THE OLD TESTAMENT

IN GREEK

ACCORDING TO THE SEPTUAGINT

London: C. J. CLAY AND SONS,
CAMBRIDGE UNIVERSITY PRESS WAREHOUSE,
AVE MARIA LANE.
Glasgow: 263, ARGYLE STREET.

Leipzig: F. A. BROCKHAUS.
New York: THE MACMILLAN COMPANY.
Bombay: E. SEYMOUR HALE.

THE OLD TESTAMENT

IN GREEK

ACCORDING TO THE SEPTUAGINT

EDITED FOR THE
SYNDICS OF THE UNIVERSITY PRESS

BY

HENRY BARCLAY SWETE D.D.
HON. LITT. D. DUBLIN
FELLOW OF GONVILLE AND CAIUS COLLEGE
REGIUS PROFESSOR OF DIVINITY

VOL. III.

HOSEA—4 MACCABEES
PSALMS OF SOLOMON, ENOCH, THE ODES

SECOND EDITION

CAMBRIDGE
AT THE UNIVERSITY PRESS
1899

First Edition, 1894.
Second Edition, 1899.

THE present volume completes the manual edition of the Cambridge Septuagint. The work was commenced in 1883; the first volume appeared in 1887, the second in 1891. Little is needed by way of preface to this last instalment of a long task. The general principles upon which the edition is based were stated in the preface to the first volume, and both the earlier volumes have been accompanied by some account of the MSS. used in the preparation of the text and notes. It remains only to add particulars relating to the volume which is now in the reader's hands.

In the Prophets it has been possible to employ, in addition to the great codices BℵA, the Codex Marchalianus (Q), the Codex rescriptus Cryptoferratensis (Γ), and the Dublin fragments of Isaiah (O), as well as those edited by Tischendorf (Z). It is well known that in Daniel the text of the LXX. is preserved in one MS. only, a cursive, and not earlier than the ninth century. Before the days of Jerome the Church had ceased to read the Septuagint of Daniel, its room having been filled by the version attributed to Theodotion[1]. This is not the place to attempt an explanation of the fact, or to discuss the relation of the two versions to one another and to the original. But since the present is an edition of 'the Old Testament in Greek according to the LXX.,' the LXX. version has been restored in Daniel to the place of honour, whilst we have placed opposite to it at each opening the version of Theodotion, which, as the Greek Daniel of the Church Bible, must always be indispensable to the student of ancient Christian literature as well as of the literary history and the criticism of the

[1] Hieron. *praef. in Daniel.*: "illud quoque lectorem admoneo, Danielem non iuxta LXX. interpretes sed iuxta Theodotionem ecclesias legere." Cf. *Apol. ad Rufin.* ii.: "ecclesiae iuxta Theodotionem legunt Danielem. Ego quid peccavi, si ecclesiarum iudicium sequutus sum?"

Book. Daniel is unfortunately wanting in ℵ; but BAQ, together with Γ and a newly acquired Bodleian fragment (Δ) of a portion of *Bel and the Dragon*, supply a fair amount of uncial authority for the text of Theodotion. The Septuagint text has been derived from Cozza's transcript of the Chigi MS.; but it has been thought desirable to follow Tischendorf's example and to give at the foot of the page the readings of the Syro-hexaplaric version, our only other authority. For this purpose a collation of Ceriani's photolithograph of the Syriac MS.[1] has been made by Norman McLean, Esq., Fellow of Christ's College, who has kindly superintended the passage of its readings through the Press, and has supplied the editor with a description of the MS., which will be found in the proper place.

The great Vatican MS., whose text and order we have generally followed, ends with the Prophets. For the Books of the Maccabees we have been compelled to look elsewhere, and since the Codex Alexandrinus is the only early Uncial which contains them all, the text of that MS. has been adopted throughout[2]; in the notes to these Books use has been made of the Codex Sinaiticus so far as it is available, and of the important although relatively late Codex Venetus, which has been newly collated for this purpose.

The Books of the Maccabees are followed by three collections which, if they cannot in strictness be said to belong to the Greek Old Testament, have some peculiar claims to a place at the close of the Alexandrian Bible. The Psalms of Solomon, though not actually included in any uncial MS., at one time followed the New Testament in the Codex Alexandrinus, and are to be found in several cursive MSS. of the Sapiential Books. The Book of Enoch holds an important position in pre-Christian Jewish literature, and is cited in the New Testament; and the extant fragments of the Greek version of Enoch deserve for many reasons the serious attention of Biblical students. The 'Odes' are printed as they appear at the end of the Psalter of Codex Alexandrinus, with the various readings of the Verona and Zurich MSS., the former from Bianchini's transcript, verified by a personal examination of the MS., the latter from Tischendorf's facsimile[3]. Some interest will be found in comparing the text of the Old Testament Canticles as they appear in MS. Psalters with that which they present in the Books from which they

[1] A. Ceriani: *Codex Syro-hexaplaris Ambrosianus photo-lithographice editus* (Mediol. 1874).

[2] Apart from the convenience of this arrangement, the selection is perhaps justified on the whole by the character of the A text of the Maccabees. But the copy which the scribe of A follows was so carelessly written that it has been found necessary to admit a considerable number of corrections from the other MSS. Occasionally all the uncial MSS. are at fault, and here a conjecture has been allowed to take a provisional place in the text. In all such cases the rejected readings are recorded in the notes.

[3] See vol. ii. pp. ix.—xi.

are severally derived. The New Testament Canticles and the *ὕμνος ἑωθινός* have been allowed to retain the place which they hold in the Psalter of Codex A.

We proceed to give some account of MSS. not previously described and used in the *apparatus* of the present volume.

CODEX MARCHALIANUS, Vat. Gr. 2125.

Contains at present 416 leaves of thin vellum, measuring 11¾ x 7 inches, written in single columns of 29 lines, each line consisting of 24 to 30 letters. The first 12 leaves, which were not part of the original MS., are occupied by (1) an extract from the Synopsis printed among the works of St Athanasius, here attributed to Eusebius; (2) extracts from the 'Lives of the Prophets' which appear in the editions of Epiphanius. The Prophets follow in the first hand, and in the order of Cod. B (i.e. the order in which they are printed in the present edition).

In its original form the MS. was without interlinear or marginal additions, except a few corrections by the *diorthota*, and the Hexaplaric marks inserted in its text. Neither breathings nor accents seem to have been added by the first hand.

This MS. was written in Egypt, and, in the judgement of Ceriani, not later than the sixth century. The characters are simple, firm, and free, with the exception of ε, θ, ο, c, which are narrow, after the manner of the next century; but this peculiarity does not, as Ceriani has shewn, in the case of an Egyptian MS. require us to assume a later date[1].

The history of the MS. is of much interest. It appears to have remained in Egypt until after the 9th century, and all the additions and corrections in uncial writing are by Egyptian hands. From Egypt it passed into South Italy, probably before the 12th century, and there the patristic scholia and a few readings in the text and margin, signalised by a preliminary γρ[άφεται], seem to have been added in cent. XIII. From South Italy it was carried, perhaps by some Norman or French hand, into France, where it found a home in the Abbey of St Denys, near Paris. While in Italy the codex had received various Latin notes, chiefly renderings from the Vulgate and other elucidations of the Greek text; and this process of annotation in Latin was carried on after its arrival in France. In the 16th century the book passed out of the possession of the monks of St Denys and became the property first of René Marchal (Renatus Marchalus Boismoraeus[2]), after whom it is still named; and subsequently of Cardinal François Rochefoucauld, to whom it belonged about A.D. 1636. The Cardinal presented it to the Jesuit College of

[1] Ceriani, *comm.* p. 36: "pro litteris ε, θ, ο, c iam initia oblongarum formarum reperire est in antiquissimis papyris ut in Iliade Musei Britannici......etiam codex Coptus *Pistis Sophia*, quem Hyvernat fere saec. VI. dicit, licet crassiori typo scripturae utatur, in ε, θ, ο, c, formis Marchalianis satis proxime accedit."

[2] Cf. I. Curterii *Procopius in Esaiam*, praef. β. Kamphausen in *Th. St. u. Kr.*, 1869, p. 743.

Clermont, near Paris; a century and a half later, when the treasures of the College were dispersed, this MS. was purchased (1785) by Pope Pius VI. for the Vatican Library, where it is still preserved.

The Codex Marchalianus has been used by a succession of scholars since the beginning of the seventeenth century, among whom were Morin and Montfaucon. It was collated for the great work of Holmes and Parsons, and portions of it were edited by Tischendorf in the *Monumenta Sacra*[1]. Dr Field used for his *Hexapla* (1875) all the materials for the presentation of its readings which were then available, and suggested and offered to defray a part of the cost of a photo-lithograph[2]. Ultimately a heliotype of the MS. was published in 1890 under the superintendence of Cozza, and a monograph upon the Codex by Dr Antonio Ceriani, which will take its place among the classical works of Biblical palaeography, was issued simultaneously by the Vatican Press[3].

To return to the MS. itself. A few corrections which are coaeval with the first hand may be recognised in the heliotype by the relative thickness of the letters as well as by their form; these are denoted in this volume by Q^1. Other corrections in minute uncial characters, written by various hands and at different periods, are placed under the common symbol Q^a; and the same symbol has been used to represent the copious marginal annotations transcribed from a Hexaplaric MS. by a hand not much later than the original scribe. This hand has also inserted before Isaiah and Ezekiel two important notes evidently copied from the MS. which supplied the Hexaplaric additions[4]; and to it is also due the writing

[1] Vol. ix. pp. 227 ff. (1870).

[2] Ceriani, p. 47: "de hoc uiro, Field... praedicandum quod circa annum 1875 pro codicis Marchaliani editione, eius pretii peritissimus iudex, ad me scripsit se daturum italicarum libellarum quatuor millia, ut tandem codex integre ederetur qua meliori ratione fieri posset, photo-lithographia nempe, si recte memini."

[3] The volume is entitled, Prophetarum | codex Graecus Vaticanus 2125 | uetustate uarietate lectionum notationibus | unicus aeque et insignis | heliotypice editus | auspice | Leone XIII. Pont. Max. | curante | Iosepho Cozza-Luzi Abate Basiliano | S. Rom. ecclesiae uicebibliothecario | accedit commentatio critica | Ant. Ceriani Ambrosianae biblioth. praefecti || Romae | e bibliotheca Vaticana | agente photographo Danasi | MDCCCLXXXX. The title of Ceriani's monograph runs: De codice Marchaliano | seu | Vaticano Graeco 2125 | Prophetarum | phototypica arte repraesentato | commentatio | Antonii Ceriani | bibliothecae Ambrosianae praefecti || Romae ex bibliotheca Vaticana | anno MDCCCXC.

[4] These notes, which throw much light on the history both of the MS. and of the LXX., deserve a place here. They are as follows: (1) *μετεληφθη ο ησαΐας απο αντιγραφου | του αββα απολιναριου του κοινοβιαρχου | εν ω καθϋπετακτο ταυτα | μετεληφθη ο ησαΐας εκ των κατα τας εκδο|σεις εξαπλων αντεβληθη δε και προς | ετερον εξαπλουν εχον την παρασημει|ωσιν ταυτην διορθωνται ακριβως πα|σαι αι εκδοσεις αντεβληθησαν γαρ προς τε|τραπλουν ησαΐαν ετι δε και προς εξαπλουν | προς τουτοις και τα απο της αρχης εως του | οραματος τυρου ακριβεστερον διορθωται | ευπορησαντες γαρ των μεχρι τελους του | οραματος τυρου τομων εξηγητικων | εις τον ησαΐαν ωριγενους και ακριβως | επιστησαντες τη εννοια καθ ην εξηγη|σατο εκαστην λεξιν καθως οιον τ[ε ην] | και παν αμφιβολον κατα την εκει[νου] | εννοιαν διορθωσαμεθα προς τουτοις συ|νεκριθη η των εβδομηκοντα εκδοσις | και προς τα ϋπο ευσεβειου εις τον ησαΐαν | ειρημενα εν οις διεφωνουν της εξη|γησεως την εννοιαν ζητησαντες και | προς αυτην διορθωσαμενοι.*

(2) *μετεληφθη δε απο αντιγραφου του |*

which covers the first 12 leaves of the Codex. Q^b has been used to represent the cursive Greek hand or hands of the thirteenth century.

It has been thought best on the whole to admit into the notes of this volume the whole of the uncial writing in Q, with the exception of the patristic matter at the beginning of the volume, and the memoranda on Isaiah and Ezekiel to which reference has just been made. In the Hexaplaric notes the symbols α′, σ′ (συ′), θ′ (θε′) represent the readings of Aquila, Symmachus, and Theodotion respectively; collectively the three versions are described as οἱ γ′ or simply γ′, πάντες (π′), or οἱ λοιποί; the last term is also used when two of the versions agree against the third. Οἱ ο′ marks a true Septuagintal reading, where it differs from the text of Q;[1] ωρ stands for Origen, and the Hexapla is occasionally mentioned as τὸ ἑξασέλιδον. The Hexaplaric signs employed in the MS. are the asterisk (※), the obelus (÷), and the *metobelus*. The *metobelus* has not been represented in the notes of this edition, and the *obeli* in the photograph of the MS. are faint and difficult to detect[2]. The asterisks and *obeli* in the margins belong to Q^a; those in the text were added by the scribe or by a hand contemporary with him.

By an elaborate examination of a number of test passages, Ceriani has shewn that the original text of Q, which agrees largely with that of Cyril of Alexandria and of the Memphitic version, is on the whole Egyptian, and of the type which, as we learn from Jerome, was current in Egypt, the Hesychian recension of the LXX.[3]

Codex rescriptus Cryptoferratensis.

This MS. is a palimpsest of the Prophets which has long been in the possession of the Basilian house of Grotta ferrata, near Frascati[4]. The codex when complete

αββα απολιναριου του κοινοβιαρχου εν ω | καθυπεταχθη ταυτα μετελημφθη α|πο των κατα τας εκδοσεις εξαπλων και | διορθωθη απο των ωριγενους αυτου τε|τραπλων ατινα και αυτου χειρι διορθω|το και εσχολιογραφητο· οθεν ευσεβιος εγω | τα σχολια παρεθηκα· παμφιλος και ευσε|βιος διορθωσαντο.

[1] Thus ὁμοίως τοῖς ο′ generally indicates the agreement of one or more of the versions with the Hexaplaric text of the LXX., as against the first hand of the codex. The interpretation of the marginal notes is often a matter of some delicacy, and the perplexity of the student is occasionally increased by errors in the attachment of the notes to the text; see Ceriani, pp. 13—15.

[2] Ceriani, p. 10: "attentos tamen obeli et acutos desiderant oculos, quia ualde interdum euanuerunt, uel in margine scriptura seriori fere obruuntur...primus fortasse Tischendorf obelos retulit in partibus quas edidit. Locos alios plures contuli, et passim quisque facile conferre poterit."

[3] Ceriani, p. 106. For the reference to Jerome see the preface to the first volume of this edition, p. x; and for a discussion of the Hesychian group of MSS., comp. Cornill, *Ezekiel*, p. 66 ff.

[4] The library of Grotta ferrata, which was founded in the eleventh century by Nilus of Rossano in Calabria, is rich in Greek MSS., of which the convent became a famous workshop (Montfaucon, *Palaeogr. Graec.* p. 113). Most of its Greek MSS. are palimpsests. Cf. Mai, *Spicil. Rom.* t. II. ii. p. 2 (cited by Rocchi, *Codices Cryp-*

seems to have formed 54 quires of 8 leaves each, measuring, to judge from a photographed specimen, 10¾ × 8¼ inches; the writing was in double columns of 25 to 28 lines, each line consisting of 13 to 20 letters; the margins were of unusual breadth. The handwriting, as shewn in the specimen, exhibits the sloping uncials which are characteristic of the eighth and ninth centuries. Initial letters often fall outside the column, and are coloured; contractions and abbreviations, such as ϛ, ȝ, μ̊, appear at the end of the lines; the rough breathing occurs frequently, but accents *prima manu* are rare.

With the exception of a few fragments which have been discovered in other palimpsest MSS. belonging to the same monastery[1], the surviving leaves of this great codex form part of a single volume (E. β′. vii. formerly C. 4) entitled Κοντάκια καὶ οἶκοι[2], and containing liturgical and poetical compositions accompanied by musical notation (*neumes*). The hand which has written these pieces over the older writing is attributed to the 13th century. In some places the parchment is doubly palimpsest; a hand of the 10th century having written a work of St John of Damascus[3] over the uncials, itself to undergo the same treatment from the later scribe of the hymns. Other portions of the volume originally formed part of a collection of patristic homilies[4]. The palimpsest of the Prophets, however, supplied the thirteenth century scribe with the greater part of his parchment; of the 380 pages which make up the present codex, about 260 belonged to it. Cozza, to whom we owe our knowledge of this MS., has found it possible to transcribe more or less fully 191 pages; but in some contexts his transcript[5] shews large gaps, and there are pages where the consecutive words are very few. Hence it will be precarious for the reader of this edition to draw conclusions from the silence of Γ, which may be due to the impossibility of deciphering its testimony. To call attention in the notes to all the passages where Cozza has failed to read his MS. would have been inconvenient and scarcely practicable. But it may be well to mention here the contexts where the transcript is conspicuously defective: the fragments of Hosea, Amos, and Haggai, Zech. x. 10—end, Mal. i. 11—ii. 3, Isa. lii. 12—liii. 4, lv. 3—10, Jer. xx. 3 ff., li. 15 ff., Bar. i. 12—ii. 3, iii. 32—iv. 3 ff., Lam. i. 8—ii. 14, Ep. of Jer. 7—16, Ezek. xi.

tenses, mon. p. 2): "illud peculiare Cryptensium codicum est quod paene omnes in palimpsestis scripti fuerunt;" "etenim hoc in more apud illos monachos positum fuisse uidetur, ut nunquam fere nouus codex exararetur, quin alicuius prisci et obsoleti membranae huic usui accommodarentur." For further particulars as to the history of the Abbey and its MSS. see M. Batiffol's *La Vaticane de Paul III à Paul V* (Paris, 1891), p. 95 ff.

[1] A few fragments were found by Cozza in Codd. Cryptof. B β′ vii and A α′ vi.

[2] Two forms of the hymn used in the Greek offices; see Goar, *Euchol.* (Paris, 1647), *in laud. off.*, notes 31, 32. The fuller title of this volume is ψαλτικὸν σὺν θεῷ ἐνιαυτοῦ ὅλου· ποίημα Ῥωμανοῦ τοῦ μελῳδοῦ. There are tokens that it was written for use in the church of the monastery.

[3] A παρακλητικόν on the B.V.M.

[4] Amongst these were extracts from Hippolytus, Athanasius, Chrysostom, Proclus, Eulogius of Alexandria.

[5] Published in the *Sacrorum bibliorum vetustissima fragmenta graeca et latina*, vol. i. (Romae, 1867).

10—17, xvi. 15—31, xxii. 31—xxv. 9, xxx. 24—xxxi. 4; the fragments of Daniel. These are large deductions from the usefulness of the codex, but it may be hoped that farther examination may in time to come fill up much that is wanting now.

Fragmenta rescripta Tischendorfiana Isaiae prophetae.

These fragments contain Isa. iii. 8—14, v. 2—14, xxix. 11—23, xliv. 26—xlv. 5, written in a bold and somewhat coarse uncial hand of the eighth or ninth century, so far as it is possible to form a judgement from the specimen which Tischendorf appends to his transcript. Tischendorf himself is disposed to place it earlier, and considers that it was written in Egypt or the neighbourhood in the seventh century. Each column of the MS. appears to have consisted of 19 lines, with 19 or 20 letters to the line. An obelus is prefixed to Isa. iii. 10 (εἰπόντες... δύσχρηστος ἡμῖν ἐστιν).

The fragments were found by Tischendorf during one of his journeys to Egypt and the East (probably in 1853), and published in the *Monumenta Sacra Inedita, nov. coll.* vol. i. (Lipsiae, 1857); the transcript will be found on pp. 185—198, and the facsimile (Isa. iii. 9—10) at the end of the volume (tab. iii. 5). The upper writing is Armenian, and the six leaves which contain the fragments of Isaiah were probably part of the Armenian Codex to which the palimpsest fragments of the New Testament and of 2, 3 Regg., also published in the first volume of the *Monumenta*, once belonged.

Fragmenta rescripta Dublinensia.

These fragments (Isa. xxx. 2—xxxi. 7, xxxvi. 17—xxxviii. 1) are bound up in the volume which contains the well-known palimpsest of St Matthew (Z), one of the treasures of the Library of Trinity College, Dublin. The volume consists of 110 leaves, and the later writing (? cent. XI.) presents extracts from various Greek fathers and ecclesiastical authors. Sixty-nine of the leaves are palimpsest; of these twenty-nine originally contained portions of the orations of Gregory of Nazianzus, thirty-two belonged to the Gospel of St Matthew, and eight to Isaiah. The eight leaves which yield fragments of Isaiah were but four in the original codex. Each of the original leaves measured at least 12×9 inches; the writing was in two columns of 36 lines, with 14—17 letters in each line. With two or three exceptions the characters resemble generally those of the fragments of St Matthew, and probably belong to the same age; the forms of the A and M point to an Egyptian scribe[1], and the general style of the writing is that of the early sixth century. There are no large initials, the abbreviations are few and simple; breathings and accents are entirely wanting, and the writing is continuous, except where a space denotes a break in the sense; the punctuation is limited to the use of a single point.

[1] E. Maunde Thompson, *Greek and Latin Palaeography*, p. 154.

The fragments of St Matthew were edited by Dr J. Barrett in 1801, when attention was briefly called to the fragments of Isaiah[1]. The latter have been published in facsimile by Dr T. K. Abbott, Professor of Hebrew, sometime Professor of Biblical Greek, in the University of Dublin[2], to whose account of the MS. the above description is chiefly due. The Isaiah fragment was collated for Holmes and Parsons, and in their edition is denominated VIII: Lagarde distinguishes it as O, and his symbol has been used in the present volume.

CODEX CHISIANUS, Biblioth. Chis. Rom. R. vii. 45.

This MS. contains Jeremiah, Baruch, Lamentations, Ep. of Jeremiah, Daniel κατὰ τοὺς ο', Hippolytus on Daniel, Daniel (Th.), Ezekiel, Isaiah. Since there are no signatures, and both Daniel and Ezekiel begin fresh quires, it is impossible to say whether the order of the books is that of the original codex. The present MS. is a large folio of 402 leaves, in gatherings of 8. The handwriting appears to belong to the Calabrian school of Greek calligraphy, and the date usually assigned to it is the ninth century[3].

The MS. once belonged to Pope Alexander VII., a member of the Chigi family, who recognised its importance and entrusted the publication of the text to Leo Allatius, at that time librarian of the Vatican. Leo proceeded with his work so far as to procure a complete copy of the codex, and this transcript is still preserved among the Chigi MSS. (=R. vii. 46). A century later Bianchini took up the work, and after his death the *editio princeps* appeared at Rome in 1772. Among later editions are those of Michaelis, Segaar, Bugati, and Hahn; and the text was published in succession by Holmes and Parsons, Mai, and Tischendorf. Meanwhile the MS. itself had received little attention, until at the suggestion of Vercellone a critical edition was undertaken by Cozza, whose labours, published in the third part of his *Vetustissima fragmenta*, have at length provided Biblical scholars with an adequate transcript of this unique MS.

The Oxford editors quote two Chigi MSS. on the Prophets, which they call 87 and 88. Field[4], however, has shewn that their 88 is Leo Allatius's

[1] *Evangelium sec. Matthaeum ex codice rescripto...opera et studio Joannis Barrett*, S.T.P. (Dublinii, 1801): see prolegg., p. 1.

[2] *Par Palimpsestorum Dublinensium: The Codex rescriptus Dublinensis of S. Matthew's Gospel; also the fragments of the Book of Isaiah...by T. K. Abbott, B.D.* (Dublin and London, 1880).

[3] The facsimile of Thren. v. 14—Ep. Jer. 2 which may be seen in Bianchini, *Vindiciae*, p. cclxxv, suggests a later date (? cent. xi).

[4] *Praef. ad Esa.*: "87, Codex Bibliothecae Chisianae in fol. scriptus charactere saeculi ix. Continet Prophetas omnes...incipit ab Osea Propheta." *Praef. ad Jer.* "87, Codex Biblioth. Chisianae, num. ii. (cf. Praef. ad Esaiam). 88 Codex Biblioth. Chisianae, num. iii. membranaceus, in folio. Videtur esse transcriptus an. 880. Continet 4 Prophetas majores, cum Baruch et Abacum; sed incipit ab Hieremia. Margini adscribuntur Collationes Aquilae, &c., &c." *Praef. ad Dan.* "87, saec. forte x, deficit a voce νηστείαις cap. ix, 3, ad την πολιν σου, cap. ix, 19. 88, saec. xi, continet textum Theodotionaeum et Septuagintauiralem." Field's remarks on 88 (Parsons) will be found in

copy, and abandons the task of identifying their 87, while he uses the latter number for the true Chisian text. In this we have followed him, citing Chis. R. vii. 45 as 87.

CODEX SYRO-HEXAPLARIS AMBROSIANUS, Biblioth. Ambros. Mediol. C. 313. Inf.

Contains Psalms, Job, Proverbs, Ecclesiastes, Canticles, Wisdom, Ecclesiasticus, and all the Prophets, from the literal Syriac version of the entire LXX. made from a hexaplar text in the years 616—617 by Paul, Bishop of Tella dhe-Mauzelath or Constantina. The MS. is of somewhat thick parchment, and almost everywhere well preserved. It contains 193 leaves of $14\frac{1}{2} \times 10\frac{3}{4}$ inches; there are two columns to the page, each containing about 55 lines. The character is a well-formed, somewhat thick Estrangelo, very easily read. The titles, most headings of chapters and lessons, ornaments, and sometimes the larger points, are in red: occasionally other colours are employed. The asterisks and obeli of Origen's LXX. are faithfully reproduced, and many extracts from the other Greek versions are given, in a Syriac translation, in the margin. The book of Daniel (including Susanna, and Bel and the Dragon) begins on the first page of f. 143, and ends with f. 151.

The first volume of this codex was in the possession of Andreas Masius, but seems to have disappeared at his death in 1573. It contained part of Deuteronomy, Joshua, Judges, the four books of Kings, Chronicles, Ezra and Nehemiah, Judith, and part of Tobit. The extant volume was brought to the Ambrosian Library early in the 17th century from the monastery of S. Maria Deipara in the desert of Scetis, as we learn from a note at the end, which Ceriani believes to be in the handwriting of Antonio Giggeo. It lay for a long time unused, and attention was next called to it by Branca in 1767. After he, Björnståhl, and De Rossi had published descriptions and specimens, it was examined by Norberg in 1778; and as a result he edited Jeremiah and Ezekiel. Bugati published Daniel in 1788; his Psalms appeared posthumously in 1820. Middeldorpf's edition of Isaiah, the Minor Prophets, Proverbs, Job, Canticles, Lamentations, and Ecclesiastes followed in 1835; and the series was continued by Ceriani's edition of Baruch, Lamentations, and the Epistle of Jeremiah in *Mon. Sacra et Profana*, t. i. (1861). Of even greater value than these editions is his photolithographic reproduction of the entire codex issued at Milan in 1874. Finally, the readings of the Syriac codex have been thoroughly examined and placed in comparison with those of Greek hexaplar MSS. by Field in his great work on the Hexapla.

Hexapla, vol. ii. pp. 567, 766—7; on 87 (Parsons) he writes (*ib.* p. 767): "superest Parsonsii Cod. 87 (sive Chisianus ii), de quo in praesenti hoc unum affirmare possumus eum *non* esse celebrem illum Chisianum... Hoc probatur, partim e lectionibus pro quibus Codicem suum 87 testem appellat Parsonsius......partim e paucis Symmachi et Theodotionis lectiunculis quas versus finem libri idem ex eodem codice (nobis 87*) excerpsit, cum Chisianum (nobis 87) talibus accessionibus omnino carere constat."

Fragmenta rescripta Bodleiana. MS. Gr. bib. d. 2 (P).

Two vellum fragments making a quire of four leaves, each leaf measuring, when complete, about 5⅝ × 3⅜ inches. The first four pages contain portions of *Bel and the Dragon* (vv. 20—41) according to Theodotion, in upright majuscules of the fifth if not the fourth century. Underneath these on pp. 1, 2 in slightly sloping letters of perhaps the fourth century is a fragment of a (?) homily containing a reference to Matt. ix. 37—8 or Luke x. 2. On pp. 3, 4 the original hand had written some Latin 'rustic' capitals, among which the words PROCVRATOR, PROCVRATORES, or part of them, frequently occur; p. 5 has the letters DOMIT..., possibly referring to L. Domitius Domitianus, an Egyptian pretender in the time of Diocletian[1].

The substance of this description is due to E. W. B. Nicholson, Esq., Librarian of the Bodleian, who has very kindly supplied a collation of the fragment of Bel, and subsequently compared the proof of the notes with the MS. The scantiness of our uncial authorities for this part of the text of Theodotion's Daniel seemed to justify the use of the Oxford fragment, which has been quoted as Δ. These interesting scraps were acquired by the Bodleian Library in 1888, and came from Egypt.

Codex Venetus Gr. 1.

A large folio vellum MS., the leaves of which measure 16½ × 11¾ inches; written in the sloping uncials of the eighth and ninth centuries, with the exception of certain portions of the text which are in the round but artificial characters of the same period. The writing is arranged in double columns of 60 lines, with an average of 30 letters to the line[2]. New sections begin with a letter (often an inch long) outside the column. The parchment varies in quality; it is usually thick but not coarse; some leaves however are too thin to take the ink readily[3]. The MS. is gathered in quires of 8 leaves, bearing signatures which range from κϛʹ (V^a) on f. 1 to μεʹ (V^a = μϛʹ V^*) on f. 153. Thus the original Codex seems to have consisted of about 372 leaves, of which the first 208 have disappeared[4]. The present volume begins with Job xxx. 8 (καὶ κλέος) and contains the rest of Job, Proverbs, Ecclesiastes, Canticles, both Wisdoms, the Minor Prophets (in the order Hos., Am., Joel, Ob., Jon., Mic., Nah., Hab., Zeph., Hag., Zech., Mal.), Isaiah, Jeremiah, Baruch, Lamentations, Ezekiel, Daniel (with the apocryphal additions), Tobit, Judith, and the four Books of the Maccabees. After Daniel, and again after 4 Macc., the scribe has

[1] Mr Nicholson adds: "P. 5 contains upper writing consisting of fragments of (?) accounts in cursive Greek; on pp. 6—8 appear the beginnings or ends of lines in slightly sloping Greek majuscules (? 4th century)."

[2] A facsimile of Jeremiah xix.—xxi. may be seen in Wattenbach's *scripturae graecae specimina* (Berlin, 1883), tab. ix: cf. *ib.* pp. 4, 5.

[3] Morelli recognises three hands, distinguished by the colour of the ink as well as by the varying merits of their calligraphy; Job xxx. 8 to end of Ecclesiastes was written by one hand, Hosea to Isaiah xxvii. by a second, and Isaiah xxvii. to the end of the volume by a third.

[4] A leaf, once pasted inside the cover of an earlier binding, contains in a Greek hand of the fifteenth or sixteenth century a list of the contents at that time, from which it appears that the volume then began with Job: + ἡ βίβλος αὕτη περιέχει Ἰώβ, παροιμίας Σολομῶντος, κ.τ.λ. Klostermann (*Analecta*, p. 9 f.) has shewn that there is ground for believing that Cod. Vat. gr. 2106 (Holmes XI., Lag. N) was part of the original codex.

copied from his archetype a chronological table reaching from Adam to Justinian I, which in the second and fuller form ends εἰς ἐμοῦ (*cod.* ἐμ.) γίνεσθαι ἀπὸ χῦ παρουσίας ἕως ὧδε ἔτη φογ (ut vid): the margin adds εἰσὶν ἕως ὧδε ἔτη ςπε. An ornamental cross below these dates bears the inscription: Κύριε, βοήθει (*cod.* -θη) Βασιλείῳ μοναχῷ ἡγουμένῳ (*cod.* ἡγ.) τῆς Κάρου (sic, ut vid) τῷ συγγραψαμένῳ τὴν βίβλον ταύτην (*cod.* τι βιβλίω ταυτη); and beneath the cross is added: Παρακαλῶ εὔχεσθαι ὑπὲρ Ὀνησίμου μοναχοῦ ἁμαρτωλοῦ καλλιγράφου. ἀμήν. On ff. 163b—164b a minute hand has written the Eusebian canons.

This precious MS. belonged to the library of Cardinal Bessarion, by whom it was given with the rest of his Greek codices to the library of Saint Mark's at Venice.

It was used for the great Roman edition of 1587, as the preface to that volume announces[1], and probably supplies in great part the text of the first three Books of the Maccabees, which are wanting in the Vatican codex. Specimens of its readings were liberally produced by Zanetti in his catalogue of the Greek MSS. of St Mark's (Venice, 1740[2]), and the importance of the MS. was recognised by Giac. Morelli, who described it at length in his account of the codices under his care. Stroth also gave some account of it in Eichhorn's *Repertorium* for 1781 (p. 181). A collation of the whole MS. was made for Holmes and Parsons in 1789 by Geo. Zoega and Nich. Schow; the correspondence which relates to this undertaking is still preserved in the Venice library. The Oxford editors, however, were not at first made aware that it was written in uncials, and it takes rank in their notes as a cursive under the number 23. The prologues to the Prophets were printed by Tischendorf in his *Anecdota sacra et profana*, pp. 103—9, Lips. 1855.

In the present edition Cod. V has been employed only for the four Books of Maccabees, where the paucity of uncial testimony rendered it necessary to depart from the rule which prescribed the sole use of such MSS. as are accessible in published facsimiles and photographs[3]. The four Books as given in V were collated afresh by the Editor of this work in the spring of 1895; but by the courtesy of Dr E. Klostermann he had been previously provided with a collation of the second Book, which that scholar had made in 1892—3, and Dr Klostermann also kindly compared the new collation of Books i.—iii. with his own. Where the two collations differed, an appeal was made to the notes of Holmes and Parsons.

[1] The words are: "Ex omnibus autem libris qui in manibus fuerunt, unus hic [Vat. Gr. 1209] prae aliis......mirum in modum institutam emendationem adiuuit; post eum uero alii duo qui ad eius uetustatem proximi quidem sed longo proximi interuallo accedunt, unus Uenetus ex bibliotheca Bessarionis Cardinalis, et is quoque grandioribus litteris scriptus," &c.

[2] See *Graeca D. Marci Bibliotheca codd. manuscriptorum*, pp. 1—13.

The MS. has been corrected by the scribe himself or his *diorthotes* (V^1), and by a late hand (V^a), but the corrections with few exceptions affect only the spellings.

FRAGMENTA TISCHENDORFIANA LIBRI QUARTI MACCABAEORUM.

Four leaves used in the binding of the MS. of the Acts, Epistles and Apocalypse known as Codex Porfirianus Chiovensis (P), and published by Tischendorf with a facsimile of the writing in *Mon. Sacr.* vi. 339, 340 f. Tischendorf ascribes the hand to the seventh century; but the characters, which are large, coarsely formed, and sloping, are suggestive of the ninth. The fragments (viii. 5, 6, 11, 12, 15, 29; ix. 28—30, 31, 32), brief as they are, present some peculiar readings, which seemed to justify their employment in the present edition.

The following MSS. have been used for the PSALMS OF SOLOMON.

CODEX CASANATENSIS. A MS. on paper of cent. xii—xiv, consisting of 310 leaves, measuring 38·4 × 24·9 cm., and containing the Psalter with a catena, the Psalms of Solomon, and other Scriptural and liturgical collections. The Psalms of Solomon in this MS. were collated for Professor Gebhardt by Dr J. Tschiedel.

CODEX HAVNIENSIS. A folio MS. of the 11th century, written in double columns. The volume was purchased at Venice in 1699, and in 1732 passed into the Royal Library at Copenhagen, where it is still preserved (no. 6). It consists at present of quires 11—39 of the original MS., containing Job (with a catena), Proverbs, Ecclesiastes, Canticles (these three books with scholia), Wisdom of Solomon, Psalms of Solomon, Ecclesiasticus. A collation of the Psalms of Solomon was made by Professor Ryle in 1888 at Cambridge, where the MS. was deposited for the purpose by the courtesy of the Copenhagen authorities. Professor Gebhardt has used another which is due to Ch. Graux[1].

CODEX IBERITICUS. A MS.[2] on paper of the 14th century belonging to the Iveron monastery (ἡ μονὴ Ἰβήρων) on Mt Athos; it contains Job, Proverbs, Ecclesiastes, Canticles, Wisdom, Sirach, and the Psalms of Solomon, followed by scholia on some of the books, and other patristic matter. Written στιχηρῶς. Transcribed by Ph. Meyer in 1886.

CODEX LAURENSIS. A MS. of the 12th century belonging to the Lavra monastery (μονὴ μεγίστης λαύρας τοῦ ἁγίου Ἀθανασίου) on Mt Athos. Its 310 leaves contain an exposition of the Psalter, the Odes, the Psalms of Solomon, and a commentary on Canticles by Cyril of Alexandria. The Psalms of Solomon in this MS. were collated for Professor Gebhardt by Ἀλέξανδρος Λαυριώτης.

CODEX MOSQUENSIS. A thirteenth century MS., consisting of 225 leaves measuring 13¾ × 11 inches, written in two or sometimes in three columns. The book contains Job, Proverbs, Ecclesiastes, Canticles, Wisdom of Solomon, Psalms of Solomon, Ecclesiasticus; the first four Books are accompanied by catenae or

[1] See *die Psalmen Salomo's*...von Oscar von Gebhardt, Leipzig, 1895. Dr Gebhardt's Introduction contains a valuable investigation into the genealogy of the MSS. (p. 30 ff.).

[2] See *Catalogue of the Greek MSS. on Mt Athos* by Professor Lambros, vol. ii., p. 169 (Camb. Univ. Press).

scholia. This MS. was brought to Moscow in 1653 from the monastery of Iveron at Mt Athos. A transcript of the *Psalms* was furnished to Professor Ryle and Dr James by the Archimandrite Wladimir of Moscow, and a collation was made in 1874 by Professor Gebhardt.

Codex Parisinus. A quarto of 495 leaves written on paper in 1419, consisting of miscellaneous matter and containing *inter alia* (ff. 224^a—248^a) the Wisdom and Psalms of Solomon and Ecclesiasticus. The volume is preserved in the Bibliothèque Nationale at Paris, where it is numbered 2991 A. A collation was made for the Cambridge edition of the *Psalms* by the Abbé Batiffol, of Paris, and another by Professor Gebhardt in 1877.

Codex Romanus (Vaticanus Gr. 336). This MS. which is cited by Parsons as 253, and used by him for Job, Proverbs, Canticles, and the two books of Wisdom, is a quarto vellum MS. of the 12th century, containing in 194 leaves Job, Proverbs, Ecclesiastes, Canticles, Wisdom, Psalms of Solomon, and Ecclesiasticus. The text of the Psalms of Solomon in the first edition of this volume was derived from a collation made by Dr E. Klostermann in 1893; in the present edition use has been made of the corrections and a few of the conjectural emendations supplied in Professor Gebhardt's book.

Codex Vindobonensis. A folio MS. of the 11th century, written in double columns of 26 lines, and in a semiuncial hand. The volume, which is numbered Cod. Gr. Theol. 7, and was purchased at Constantinople in the sixteenth century, consists of 166 leaves, and contains Job, Proverbs, Ecclesiastes, Canticles (with a catena so far), Wisdom of Solomon, Psalms of Solomon, Ecclesiasticus. The collation used by the Cambridge editors was communicated to them by Dr Rudolf Beer; for the present edition of this volume Professor Gebhardt's collation has also been available.

The text of Enoch has been derived from the following sources:

Codex Panopolitanus. A MS. discovered in 1886 in a grave at Akhmim, the Panopolis of Strabo. The volume contains (1) fragments of the Pseudo-Petrine Gospel and Apocalypse, (2) a large fragment of the Greek version of the Book of Enoch; the latter, which is written in uncials of the 8th or 9th century, occupies 23 leaves and contains Enoch i.—xxxii.[1] Ch. xix. 3—xxi. 9 has been written twice, before ch. i. 1 as well as in its proper place; both texts are given in this edition, the detached fragment being placed at the foot of the page and distinguished by the symbol P_2. The text of P in this edition has been obtained from M. Bouriant's heliogravure in *Mémoires publiés par les membres de la Mission Archéologique Française au Caire, t. neuvième* (Paris, 1892).

Codex Vaticanus Gr. 1809, a tachygraphical MS. described by Mai *scr. vet. nov. coll.* vi., *praef.* p. 37, contains an excerpt from Enoch (c. lxxxix) printed by Gildemeister (*ZDMG.*, ix., p. 621 ff.); a specimen of the tachygraphy may be seen in Mai *patr. nov. bibl.* ii., *ad init.*

Fragments of the Greek Enoch are preserved also in the Chronography of

[1] The hand changes at xiv. 22, but the writing is consecutive and probably contemporary.

Georgius Syncellus[1] (Enoch *cc.* vi. 1—ix. 4, viii. 4—x. 14, xv. 8—xvi. 1, and a short extract to which the Ethiopic version of Enoch yields no parallel). These are printed in the present volume at the foot of the Akhmim text, in a smaller type. For Syncellus use has been made of the edition of W. Dindorf[2], who quotes two Paris MSS. (A, B), and the readings of Goar's text (Sync[g]). The single fragment of Enoch preserved in the Epistle of St Jude is given as it stands in the text of Westcott and Hort, but the readings of ℵAC are added in the apparatus.

The Akhmim text as reproduced in M. Bouriant's heliogravure has been collated afresh for this edition. Reference has also been made to Professor Dillmann's paper *über den neufundenen griechischen Text des Henoch-Buches* (in *Sitzungsberichte d. k. pr. Akademie der Wissenschaften zu Berlin*, 1892); M. Lod's *Livre d'Hénoch* (Paris, 1892) and Mr Charles's *Book of Enoch*, Oxford, 1893.

The Greek Psalters which supply the text of the ecclesiastical Canticles and of the notes upon them have been described in the preface to the second volume of this work (pp. viii—xii).

The pleasant duty remains of acknowledging the help which has been liberally rendered on every side. Official duties prevented the editor from devoting to this volume so much of his time as he was able to give to the two volumes which preceded it. The greater part of the preparatory work was therefore entrusted to two colleagues, the Rev. Forbes Robinson, M.A., of Christ's College, and H. St John Thackeray, Esq., M.A., of King's College, whose assistance the Syndics of the Press kindly enabled him to secure. Mr Robinson collated the photographs of BAQ as far as Jeremiah xxxvi., where his work was taken up by Mr Thackeray, who completed the task, and also prepared the appendix of unsubstantial variants. Without the patient and accurate labour of these fellow-workers the appearance of the third volume would have been delayed perhaps for several years. Students who use this volume will also owe a debt of gratitude to Mr Redpath and to Dr Nestle, who continued their invaluable work of revision. Mr Redpath again read through the proofs, with excellent results, and Dr Nestle generously volunteered to recollate the whole of the sheets of the Prophets with the photograph of B. It may therefore be hoped that a near approach to perfect accuracy has been made so far as that MS. is concerned. A similar service has been rendered by Dr C. I. Beard, who has with scrupulous care compared the apparatus to Isaiah and Ezekiel with the facsimile of Q, and the result of his labours has been to enrich the notes of this second edition with a large

[1] Ἐκλογὴ χρονογραφίας συνταγεῖσα ὑπὸ Γεωργίου μοναχοῦ συγκέλλου γεγονότος Ταρασίου πατριάρχου Κωνσταντινουπόλεως.

[2] Georgius Syncellus...ex recensione Gul. Dindorfii, Bonnae, 1829 (in Niebuhr's *corpus scr. hist. Byzantinae*). The passages will be found in i. pp. 20 ff., 42 ff., 46 f., 47.

number of fresh particulars chiefly relating to the Hexaplaric signs, as well as to correct errors which had found their way into the edition of 1894. In dealing with the textual difficulties of the second Book of Maccabees the Editor was assisted by the Revised English Version and by a list of readings prepared for the use of the revisers, proofs of which were supplied to him by the kindness of the late Dr Moulton. The publication of the Syriac version of 4 Maccabees[1] has thrown fresh light upon the Greek text of that book, and Dr Barnes has generously compiled for the present edition a list of its most important readings, which will be found at the end of the Appendix.

The great scholar to whom this book owed its inception and its inspiration is, alas, no longer with us. But the recollection of Dr Hort's keen interest in the progress of the work—an interest sustained to the last days of his life—remains to give strength to those who have entered on the more arduous and responsible task of preparing the larger edition of the Cambridge Septuagint.

The death of Dr Hort on Nov. 30, 1892, was followed within six months by that of Professor Bensly, and the University has since been called to deplore the loss of Professor W. Robertson Smith. In each of these eminent Oriental scholars this undertaking found a warm friend. Professor Bensly was at the time of his death a member of the LXX. Committee, and he had hoped to take an active part in the collection of materials for the larger edition. Professor Robertson Smith's deep interest in all that concerns the study of the Old Testament secured for the Cambridge Septuagint his steady support and occasional but valuable assistance; within a few weeks of his death his counsel was sought upon some doubtful points connected with the present volume, and most kindly given.

In conclusion, the Editor desires to express his personal thanks to the Syndics of the University Press for the indulgence they have shewn to him during the course of a work which has necessarily been of slow and uncertain growth; to the Septuagint Committee for their consideration of the questions which have from time to time been submitted to their judgement; and to the officers and workmen, especially the readers, of the Press, whose unremitting attention has brought the printing of these volumes to a successful end.

[1] *The Fourth Book of Maccabees...edited by the late Prof. Bensly, with an Introduction by W. E. Barnes, D.D.* (Cambridge, 1896).

PROPHETAE ET MACCABAEORUM LIBRI.

ℵ = Codex Sinaiticus (= S, Lagarde, Nestle).
A = Codex Alexandrinus (= III, Parsons).
B = Codex Vaticanus (= II, Parsons).
O = Fragmenta rescripta Dublinensia (= VIII, Parsons).
Q = Codex Marchalianus (= XII, Parsons).
V = Codex Venetus (= 23, Parsons).
Z = Fragmenta rescripta Tischendorfiana Isaiae prophetae (= Z^b, Lagarde).
Γ = Codex rescriptus Cryptoferratensis.
Δ = Fragmenta rescripta Bodleiana.
Π = Fragmenta Tischendorfiana libri IV. Maccabaeorum.
87 = Codex Chisianus LXXviralis libri Danielis.
Syr = Codex Syro-Hexaplaris Ambrosianus.

PSALMI SOLOMONIS.

c = Codex Casanatensis.
h = Codex Havniensis.
i = Codex Iberiticus.
l = Codex Laurensis.
m = Codex Mosquensis.
p = Codex Parisinus.
r = Codex Romanus.
v = Codex Vindobonensis.

LIBRI ENOCH FRAGMENTA GRAECA.

P = Codex Panopolitanus.
V = Codex Vaticanus Gr. 1809.
Sync = Georgii Syncelli Chronographia.

CANTICA.

A = Psalterium Codicis Alexandrini (= III, Parsons).
R = Psalterium Graeco-Latinum Veronense.
T = Psalterium Turicense (= 262, Parsons).

ΩΣΗΕ

I 1 ΛΟΓΟΣ Κυρίου ὃς ἐγενήθη πρὸς Ὡσῆε τὸν τοῦ Βεηρεὶ ἐν ἡμέραις B
Ὀζείου καὶ Ἰωαθὰμ καὶ Ἀχὰς καὶ Ἑζεκίου βασιλέων Ἰούδα καὶ ἐν
ἡμέραις Ἰεροβοὰμ υἱοῦ Ἰωὰς βασιλέως Ἰσραήλ.

2 [2]Ἀρχὴ λόγου Κυρίου ἐν Ὡσῆε. καὶ εἶπεν Κύριος πρὸς Ὡσηέ
Βάδιζε λάβε σεαυτῷ γυναῖκα πορνείας καὶ τέκνα πορνείας, διότι
3 ἐκπορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθεν τοῦ κυρίου. [3]καὶ
ἐπορεύθη καὶ ἔλαβεν τὴν Γόμερ θυγατέρα Δεβηλάιμ, καὶ συνέλαβεν
4 καὶ ἔτεκεν αὐτῷ υἱόν. [4]καὶ εἶπεν Κύριος πρὸς αὐτόν Κάλεσον τὸ
ὄνομα αὐτοῦ Ἰεζραέλ, διότι ἔτι μικρὸν καὶ ἐκδικήσω τὸ αἷμα τοῦ
Ἰεζραὲλ ἐπὶ τὸν οἶκον Ἰούδα, καὶ καταπαύσω βασιλείαν οἴκου Ἰσραήλ·
5 [5]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συντρίψω τὸ τόξον τοῦ Ἰσραὴλ ἐν
6 κοιλάδι τοῦ Ἰεζραέλ. [6]καὶ συνέλαβεν ἔτι καὶ ἔτεκεν θυγατέρα. καὶ
εἶπεν αὐτῷ Κάλεσον τὸ ὄνομα αὐτῆς Οὐκ ἠλεημένη, διότι οὐ μὴ
προσθήσω ἔτι ἐλεῆσαι τὸν οἶκον Ἰσραήλ, ἀλλ' ἢ ἀντιτασσόμενος
7 ἀντιτάξομαι αὐτοῖς. [7]τοὺς δὲ υἱοὺς ἐλεήσω καὶ σώσω αὐτοὺς ἐν
Κυρίῳ θεῷ αὐτῶν, καὶ οὐ σώσω αὐτοὺς ἐν τόξῳ οὐδὲ ἐν ῥομφαίᾳ
8 οὐδὲ ἐν πολέμῳ οὐδὲ ἐν ἵπποις οὐδὲ ἐν ἱππεῦσιν. [8]καὶ ἀπεγα-
λάκτισεν τὴν Οὐκ ἠλεημένην, καὶ συνέλαβεν ἔτι καὶ ἔτεκεν υἱόν.
9 [9]καὶ εἶπεν Κάλεσον τὸ ὄνομα αὐτοῦ Οὐ λαός μου, διότι ὑμεῖς οὐ λαός

Inscr Ωσηε B Ωσ. α AQ I 1 Κυριου] $\overline{κς}$ Q | Βεηρι Q | Οζιου B^bAQ | AQ
Αχαζ AQ | om και 4° Q^* (hab Q^{mg}) | υιου] pr του A 2 εν] προς
AQ^{mg} | om βαδιζε A 3 Δεβηλαειμ AQ 4 Ιουδα] Ιηου Q^{mg} | κατα-
παυσω] αποστρεψω Q^* (mg οι ο' καταπ.) 5 του Ισραηλ] om του Q^*
(superscr Q^a) | κοιλαδι] pr τη AQ 6 ελεησαι] pr του Q | Ισραηλ] pr
του AQ 7 υιους] + Ιουδα AQ | ουδε quater] ουτε A | ουδε εν πο-
λεμω] + ουτε εν αρμασιν A ουδε εν αρμ. Q^* (ουδε εν πολ. $Q^{1(mg)}$)

B μου καὶ ἐγὼ οὐκ εἰμὶ ὑμῶν. [10]Καὶ ἦν ὁ ἀριθμὸς τῶν υἱῶν 10 (1) (II)
Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, ἣ οὐκ ἐκμετρηθήσεται οὐδὲ
ἐξαριθμηθήσεται· καὶ ἔσται ἐν τῷ τόπῳ οὗ ἐρρέθη αὐτοῖς Οὐ λαός
μου ὑμεῖς, κληθήσονται καὶ αὐτοὶ υἱοὶ θεοῦ ζῶντος. [11]καὶ συν- 11 (2)
αχθήσονται οἱ υἱοὶ Ἰούδα καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπὶ τὸ αὐτό, καὶ
θήσονται ἑαυτοῖς ἀρχὴν μίαν, καὶ ἀναβήσονται ἐκ τῆς γῆς, ὅτι
μεγάλη ἡ ἡμέρα τοῦ Ἰεζραέλ. [1]εἴπατε τῷ ἀδελφῷ ὑμῶν Λαός μου, 1 (3) II
καὶ τῇ ἀδελφῇ ὑμῶν Ἐλεημένη. [2]Κρίθητε πρὸς τὴν μητέρα 2 (4)
ὑμῶν, κρίθητε, ὅτι αὕτη οὐ γυνή μου καὶ ἐγὼ οὐκ ἀνὴρ αὐτῆς.
καὶ ἐξαρῶ τὴν πορνίαν αὐτῆς ἐκ προσώπου μου καὶ τὴν μοιχείαν
αὐτῆς ἐκ μέσου μαστῶν αὐτῆς, [3]ὅπως ἂν ἐκδύσω αὐτὴν γυμνήν, 3 (5)
καὶ ἀποκαταστήσω αὐτὴν καθὼς ἡ ἡμέρα γενέσεως αὐτῆς· καὶ
θήσω αὐτὴν ἔρημον καὶ τάξω αὐτὴν ὡς γῆν ἄνυδρον, καὶ ἀπο-
κτενῶ αὐτὴν ἐν δίψει· [4]καὶ τὰ τέκνα αὐτῆς οὐ μὴ ἐλεήσω, ὅτι 4 (6)
τέκνα πορνείας ἐστίν. [5]ὅτι ἐξεπόρνευσεν ἡ μήτηρ αὐτῶν, κατῄ- 5 (7)
σχυνεν ἡ τεκοῦσα αὐτά, ὅτι εἶπεν Πορεύσομαι ὀπίσω τῶν ἐρα-
στῶν μου τῶν διδόντων μοι τοὺς ἄρτους μου καὶ τὸ ὕδωρ μου καὶ
τὰ ἱμάτιά μου καὶ τὰ ὀθόνιά μου, τὸ ἔλαιόν μου καὶ πάντα ὅσα μοι
καθήκει. [6]διὰ τοῦτο ἰδοὺ ἐγὼ φράσσω τὴν ὁδὸν αὐτῆς ἐν σκό- 6 (8)
λοψιν, καὶ ἀνοικοδομήσω τὰς ὁδοὺς καὶ τὴν τρίβον αὐτῆς οὐ μὴ
εὕρῃ· [7]καὶ καταδιώξεται τοὺς ἐραστὰς αὐτῆς καὶ οὐ μὴ καταλάβῃ 7 (9)
αὐτούς, καὶ ζητήσει αὐτοὺς καὶ οὐ μὴ εὕρῃ αὐτούς, καὶ ἐρεῖ Πορεύ-
σομαι καὶ ἐπιστρέψω πρὸς τὸν ἄνδρα μου τὸν πρότερον, ὅτι
καλῶς μοι ἦν τότε ἢ νῦν. [8]καὶ αὕτη οὐκ ἔγνω ὅτι ἐγὼ ἔδωκα 8 (10)
αὐτῇ τὸν σῖτον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον, καὶ ἀργύριον ἐπλή-
θυνα αὐτῇ· αὕτη δὲ ἀργυρᾶ καὶ χρυσᾶ ἐποίησεν τῇ Βάαλ. [9]διὰ 9 (11)
τοῦτο ἐπιστρέψω καὶ κομιοῦμαι τὸν σῖτόν μου καθ᾿ ὥραν αὐτοῦ
καὶ τὸν οἶνόν μου ἐν καιρῷ αὐτοῦ, καὶ ἀφελοῦμαι τὰ ἱμάτιά μου
καὶ τὰ ὀθόνιά μου τοῦ μὴ καλύπτειν τὴν ἀσχημοσύνην αὐτῆς·
[10]καὶ νῦν ἀποκαλύψω τὴν ἀκαθαρσίαν αὐτῆς ἐνώπιον τῶν ἐρα- 10 (12)

AQ 10 τω τοπω ου sup ras B^{ab} | ερρηθη Q^{a} | κληθησονται] pr εκει A | om και αυτοι A (ὁ θ′ το καὶ Q^{mg}) 11 εαυτοις] αυτοις A | Ιεζραελ] Ιεσραελ Q II 1 λαος] pr ου Q* (om ου $\text{Q}^{?}$) | ηλεημενη A^{b}Q 1, 2 ηλεημενη...μοιχειαν sup ras A^{b} 2 πορνειαν B^{b}AQ 3 εκδυσω] εκλυσω $\text{B}^{b\,vid}$ | η ημερα] om η A | θησω] θησομαι AQ | ερημον] pr ως AQ 5 οτι ειπεν] ειπεν γαρ A | πορευσομαι] ακολουθησω A | τα οθονια (ια sup ras $\text{A}^{?vid}$) μου] + καὶ τον οινον $\text{Q}^{1\,mg}$ | το ελαιον] pr και AQ* (om $\text{Q}^{?}$) 6 οδους] + αυτης AQ 7 αυτους 1° sup ras $\text{B}^{a?b\,(vid)}$ 8 δεδωκα AQ | αργυριον] + και χρυσιον $\text{Q}^{1\,mg}$ 9 ασχημοσυνην] αισχυνην Q 10 ενωπιον] εναντιον AQ

(13) 11 στῶν αὐτῆς, καὶ οὐδεὶς οὐ μὴ ἐξέληται αὐτὴν ἐκ χειρός μου· [11]καὶ B
ἀποστρέψω πάσας τὰς εὐφροσύνας αὐτῆς, ἑορτὰς αὐτῆς καὶ τὰς
νουμηνίας αὐτῆς καὶ τὰ σάββατα αὐτῆς καὶ πάσας τὰς πανηγύρεις
(14) 12 αὐτῆς· [12]καὶ ἀφανιῶ ἄμπελον αὐτῆς καὶ τὰς συκᾶς αὐτῆς, ὅσα
εἶπεν Μισθώματά μου ταῦτά ἐστιν ἃ ἔδωκάν μοι οἱ ἐρασταί μου,
καὶ θήσομαι αὐτὰ εἰς μαρτύριον, καὶ καταφάγεται αὐτὰ τὰ θηρία
τοῦ ἀγροῦ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ ἑρπετὰ τῆς γῆς·
(15) 13 [13]καὶ ἐκδικήσω ἐπ᾽ αὐτὴν τὰς ἡμέρας τῶν Βααλεὶμ ἐν αἷς ἐπέθυεν
αὐτοῖς, καὶ περιετίθετο τὰ ἐνώτια αὐτῆς καὶ τὰ καθόρμια αὐτῆς καὶ
ἐπορεύετο ὀπίσω τῶν ἐραστῶν αὐτῆς, ἐμοῦ δὲ ἐπελάθετο, λέγει
(16) 14 Κύριος. [14]διὰ τοῦτο ἰδοὺ ἐγὼ πλανῶ αὐτὴν καὶ τάξω αὐτὴν ὡς
(17) 15 ἔρημον, καὶ λαλήσω ἐπὶ τὴν καρδίαν αὐτῆς, [15]καὶ δώσω αὐτῇ τὰ
κτήματα αὐτῆς ἐκεῖθεν καὶ τὴν κοιλάδα ᾿Αχὼρ διανοῖξαι σύνεσιν
αὐτῆς· καὶ ταπεινωθήσεται ἐκεῖ κατὰ τὰς ἡμέρας νηπιότητος αὐτῆς
(18) 16 καὶ κατὰ τὰς ἡμέρας ἀναβάσεως αὐτῆς ἐκ γῆς Αἰγύπτου. [16]καὶ
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, καλέσει με Ὁ ἀνήρ μου,
(19) 17 καὶ οὐ καλέσει με ἔτι Βααλείμ· [17]καὶ ἐξαρῶ τὰ ὀνόματα τῶν
Βααλεὶμ ἐκ στόματος αὐτῆς, καὶ οὐ μὴ μνησθῶσιν οὐκέτι τὰ ὀνό-
(20) 18 ματα αὐτῶν. [18]καὶ διαθήσομαι αὐτοῖς διαθήκην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
μετὰ τῶν θηρίων τοῦ ἀγροῦ καὶ μετὰ τῶν πετεινῶν τοῦ οὐρανοῦ
καὶ τῶν ἑρπετῶν τῆς γῆς· καὶ τόξον καὶ ῥομφαίαν καὶ πόλεμον
(21) 19 συντρίψω ἀπὸ τῆς γῆς, καὶ κατοικιῶ σε ἐπ᾽ ἐλπίδι. [19]καὶ μνη-
στεύσομαί σε ἐμαυτῷ εἰς τὸν αἰῶνα, καὶ μνηστεύσομαί σε ἐμαυτῷ
(22) 20 ἐν δικαιοσύνῃ καὶ ἐν κρίματι καὶ ἐν ἐλέει καὶ ἐν οἰκτειρμοῖς, [20]καὶ
μνηστεύσομαί σε ἐμαυτῷ ἐν πίστει, καὶ ἐπιγνώσῃ τὸν κύριον.
(23) 21 [21]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, ἐπακούσομαι τῷ
(24) 22 οὐρανῷ, καὶ αὐτὸς ἐπακούσεται τῇ γῇ, [22]καὶ ἡ γῆ ἐπακούσεται τὸν
σῖτον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον, καὶ αὐτὰ ἐπακούσεται τῷ
(25) 23 Ἰεζραέλ. [23]καὶ σπερῶ αὐτὴν ἐμαυτῷ ἐπὶ τῆς γῆς, καὶ ἀγαπήσω
τὴν Οὐκ ἠγαπημένην, καὶ ἐρῶ τῷ Οὐ λαῷ μου Λαός μου εἶ σύ,
καὶ αὐτὸς ἐρεῖ Κύριος ὁ θεός μου εἶ σύ.

11 εορτας] pr τας A | πανηγυρις B* (-ρεις B[ab]AQ) 14 ως] εις Q* AQ (ως Q[a]) 16 εν τη ημερα εκεινη] εν εκεινη τη ημ. A | om λεγει Κυριος A | μου] + λεγει κ̅ς̅ A | ετι] ουκετι A 17 τα ονοματα 1°] τα ονομα Q* | ουκετι] ετι A 18 διαθηκην εν τη ημερα εκεινη] εν εκ. τη ημ. διαθ. A διαθ. εν εκ. τη ημ. Q | των ερπετων] pr μετα AQ | om και 6° B* | εφ B* (επ B[ab]) 21 εν τη ημερα εκεινη] εν εκ. τη ημ. AQ | αυτος] ο ουρανος AQ 23 αγαπησω] ελεησω AQ | ηγαπημενην] ηλεημενην AQ

B 1Καὶ εἶπεν Κύριος πρός μέ Ἔτι πορεύθητι καὶ ἀγάπησον γυναῖκα 1 III
ἀγαπῶσαν πονηρὰ καὶ μοιχαλίν, καθὼς ἀγαπᾷ ὁ θεὸς τοὺς υἱοὺς
Ἰσραήλ, καὶ αὐτοὶ ἐπιβλέπουσιν ἐπὶ θεοὺς ἀλλοτρίους καὶ φιλοῦσιν
πέμματα μετὰ σταφίδος. 2καὶ ἐμισθωσάμην ἐμαυτῷ πέντε καὶ δέκα 2
ἀργυρίου καὶ γόμορ κριθῶν καὶ νέβελ οἴνου, 3καὶ εἶπα πρὸς αὐτήν 3
Ἡμέρας πολλὰς καθήσῃ ἐπ᾽ ἐμοί, καὶ οὐ μὴ πορνεύσῃς οὐδὲ μὴ
γένῃ ἀνδρί, καὶ ἐγὼ ἐπὶ σοί. 4διότι ἡμέρας πολλὰς καθήσονται οἱ 4
υἱοὶ Ἰσραὴλ οὐκ ὄντος βασιλέως οὐδὲ ὄντος ἄρχοντος οὐδὲ οὔσης
θυσίας οὐδὲ ὄντος θυσιαστηρίου οὐδὲ ἱερατίας οὐδὲ δήλων. 5καὶ 5
μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραὴλ καὶ ἐπιζητήσουσιν Κύριον
τὸν θεὸν αὐτῶν καὶ Δαυεὶδ τὸν βασιλέα αὐτῶν, καὶ ἐκστήσονται ἐπὶ
τῷ κυρίῳ καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν.

1Ἀκούσατε λόγον Κυρίου, υἱοὶ Ἰσραήλ, ὅτι κρίσις τῷ κυρίῳ πρὸς 1 IV
τοὺς κατοικοῦντας τὴν γῆν, διότι οὐκ ἔστιν ἀλήθεια οὐδὲ ἔλεος οὐδὲ
ἐπίγνωσις θεοῦ ἐπὶ τῆς γῆς· 2ἀρὰ καὶ ψεῦδος καὶ φόνος καὶ κλοπὴ καὶ 2
μοιχεία κέχυται ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ᾽ αἵμασιν μίσγουσιν. 3διὰ 3
τοῦτο πενθήσει ἡ γῆ, καὶ μικρυνθήσεται σὺν πᾶσιν τοῖς κατοικοῦσιν
αὐτήν, σὺν τοῖς θηρίοις τοῦ ἀγροῦ καὶ σὺν τοῖς ἑρπετοῖς τῆς γῆς καὶ
σὺν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ οἱ ἰχθύες τῆς θαλάσσης ἐκλεί-
ψουσιν, 4ὅπως μηδεὶς μήτε δικάζηται μήτε ἐλέγχῃ μηδείς. ὁ δὲ λαός 4
μου ὡς ἀντιλεγόμενος ἱερεύς, 5καὶ ἀσθενήσει ἡμέρας, καὶ ἀσθενήσει 5
προφήτης μετὰ σοῦ· νυκτὶ ὡμοίωσα τὴν μητέρα σου, 6ὡμοιώθη ὁ λαός 6
μου ὡς οὐκ ἔχων γνῶσιν· ὅτι σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαι
σὲ τοῦ ἱερατεύειν μοι· καὶ ἐπελάθου νόμον θεοῦ σου, κἀγὼ ἐπιλήσομαι
τέκνων σου. 7κατὰ τὸ πλῆθος αὐτῶν οὕτως ἥμαρτόν μοι· τὴν δόξαν 7
αὐτῶν εἰς ἀτιμίαν θήσομαι, 8ἁμαρτίας λαοῦ μου φάγονται, καὶ ἐν ταῖς 8
ἀδικίαις αὐτῶν λήμψονται τὰς ψυχὰς αὐτῶν. 9καὶ ἔσται καθὼς ὁ λαὸς 9
οὕτως καὶ ὁ ἱερεύς, καὶ ἐκδικήσω ἐπ᾽ αὐτὸν τὰς ὁδοὺς αὐτοῦ, καὶ τὰ
διαβούλια αὐτοῦ ἀνταποδώσω αὐτῷ. 10καὶ φάγονται καὶ οὐ μὴ ἐμπλη- 10

AQ III 1 επιβλεπουσιν] αποβλ. AQ | φιλουσι A | σταφιδων AQ* (-δος Q[a])
3 πορνευσηι (sic) Q*[vid] | ανδρι] + ετερω AQ | και εγω] καγω A 4 ουδε 2°]
ουκ AQ* (ουδε Q[a]) | ουδε 4°] ουτε A | ιερατειας B[a]AQ[a] | ουδε 5°] ουτε A
5 Κυριον τον θεον] τον κν θν A | εσχατου Q IV 1 υιοι] pr οι Q | οτι]
διοτι AQ* | κρισεις A 3 σμικρυνθησεται AQ | πασι Q | κατοικουσι Q*
4 μηδεις 1°] μηθεις A | μητε 1°] μηδε Q* (μητε Q[a]) 5 προφητης] pr και
AQ 6 ωμοιωθη] pr νυκτι A | καγω 1°] και εγω AQ | ιερατευειν] pr
μη A | νομου A 7 θησομαι] θησω A 8 ληψονται Q 9 δια-
βουλεια A

σθῶσιν, ἐπόρνευσαν καὶ οὐ μὴ κατευθύνωσιν, διότι τὸν κύριον ἐγκατέ- B
11 λιπον τοῦ φυλάξαι [11]πορνείαν. καὶ οἶνον καὶ μέθυσμα ἐδέξατο
12 καρδία λαοῦ μου· [12]ἐν συμβόλοις ἐπηρώτων, καὶ ἐν ῥάβδοις αὐτοῦ
ἀπήγγελλον αὐτῷ· πνεύματι πορνείας ἐπλανήθησαν καὶ ἐξεπόρνευ-
13 σαν ἀπὸ τοῦ θεοῦ αὐτῶν. [13]ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐθυσίαζον,
καὶ ἐπὶ τοὺς βουνοὺς ἔθυον ὑποκάτω δρυὸς καὶ λεύκης καὶ δένδρου
συσκιάζοντος, ὅτι καλὸν σκέπη. διὰ τοῦτο ἐκπορνεύσουσιν αἱ θυγα-
14 τέρες ὑμῶν, καὶ αἱ νύμφαι ὑμῶν μοιχεύσουσιν· [14]καὶ οὐ μὴ ἐπισκέ-
ψωμαι ἐπὶ τὰς θυγατέρας ὑμῶν ὅταν πορνεύωσιν, καὶ ἐπὶ τὰς νύμφας
ὑμῶν ὅταν μοιχεύωσιν· ὅτι αὐτοὶ μετὰ τῶν πορνῶν συνεφύροντο, καὶ
μετὰ τῶν τετελεσμένων ἔθυον, καὶ ὁ λαὸς ὁ συνίων συνεπλέκετο μετὰ
15 πόρνης. [15]σὺ δέ, Ἰσραήλ, μὴ ἀγνόει, καὶ Ἰούδα, μὴ εἰσπορεύεσθε εἰς
Γάλγαλα, καὶ μὴ ἀναβαίνετε εἰς τὸν οἶκον Ὤν, καὶ μὴ ὀμνύετε ζῶντα
16 Κύριον. [16]διότι ὡς δάμαλις παροιστρῶσα παροίστρησεν Ἰσραήλ· νῦν
17 νεμήσει αὐτοὺς Κύριος ὡς ἀμνὸν ἐν εὐρυχώρῳ. [17]μέτοχος εἰδώλων
18 Ἐφράιμ ἔθηκεν ἑαυτῷ σκάνδαλα, [18]ᾑρέτισεν Χαναναίους· πορνεύοντες
19 ἐξεπόρνευσαν, ἠγάπησαν ἀτιμίαν ἐκ φρυάγματος αὐτῆς. [19]συστροφὴ
πνεύματος σὺ εἶ ἐν ταῖς πτέρυξιν αὐτῆς, καὶ καταισχυνθήσονται
ἐκ τῶν θυσιαστηρίων αὐτῶν.

V 1 [1]Ἀκούσατε ταῦτα, οἱ ἱερεῖς, καὶ προσέχετε, οἶκος Ἰσραήλ, καὶ ὁ
οἶκος τοῦ βασιλέως, ἐνωτίζεσθε, διότι πρὸς ὑμᾶς ἐστιν τὸ κρίμα· ὅτι
παγὶς ἐγενήθητε τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰτα-
2 βύριον, [2]ὃ οἱ ἀγρεύοντες τὴν θήραν κατέπηξαν. ἐγὼ δὲ παιδευτὴς
3 ὑμῶν· [3]ἐγὼ ἔγνων τὸν Ἐφράιμ, καὶ Ἰσραὴλ οὐκ ἄπεστιν ἀπ' ἐμοῦ.
4 διότι νῦν ἐξεπόρνευσεν Ἐφράιμ, ἐμιάνθη Ἰσραήλ. [4]οὐκ ἔδωκαν τὰ
διαβούλια αὐτῶν τοῦ ἐπιστρέψαι πρὸς τὸν θεὸν αὐτῶν, ὅτι πνεῦμα
5 πορνίας ἐν αὐτοῖς ἐστίν, τὸν δὲ κύριον οὐκ ἐπέγνωσαν. [5]καὶ ταπει-
νωθήσεται ἡ ὕβρις τοῦ Ἰσραὴλ εἰς πρόσωπον αὐτοῦ, καὶ Ἰσραὴλ καὶ
Ἐφράιμ ἀσθενήσουσιν ἐν ταῖς ἀδικίαις αὐτῶν, καὶ ἀσθενήσει καὶ
6 Ἰούδας μετ' αὐτῶν. [6]μετὰ προβάτων καὶ μόσχων πορεύσονται τοῦ
ἐκζητῆσαι τὸν κύριον, καὶ οὐ μὴ εὕρωσιν αὐτόν, ὅτι ἐκκέκλικεν

10 κατευθυνουσιν A | εγκατελειπον AQ 12 απηγγελον A | αυτω] AQ αυτου B^{*} (-τω B^{ab}) 14 πορνευσωσιν Q | μοιχευσωσιν Q^{a} | οτι] διοτι και AQ | συνανεφυροντο Q^{a} | ο συνιων] οι ο' ου σ. Q^{mg} 15 Ων $B^{*}Q^{mg}$] της αδικιας $B^{ab\,mg}$ (non inst Ων B^{b}) AQ 16 διοτι] οτι AQ | παροιστρησεν] παροιστρωσεν $Q^{*\,vid}$ 18 αυτης BQ^{a}] αυτων AQ^{*} 19 ταις πτερυξιν] om ταις Q | αυτης] αυτων A V 1 Ισραηλ] pr του Q^{mg} | ο οικος] om ο AQ | πακις B^{*} (παγις B^{ab}) 2 κατεπηξαν] ηξ sup ras B^{ab} 3 απεστην B^{*} (-τη B^{b}) 4 διαβουλεια A | πορνειας B^{ab}AQ 5 και 5°]+γε A 6 εκκεκλικεν BQ^{mg}] εξεκλεινεν AQ^{*}

B ἀπ᾽ αὐτῶν· 7 ὅτι τὸν κύριον ἐνκατέλιπον, ὅτι τέκνα ἀλλότρια ἐγεννή- 7
θησαν αὐτοῖς· νῦν καταφάγεται αὐτοὺς ἡ ἐρυσίβη καὶ τοὺς κλήρους
αὐτῶν.

8 Σαλπίσατε σάλπιγγι ἐπὶ τοὺς βουνούς, ἠχήσατε ἐπὶ τῶν ὑψη- 8
λῶν, κηρύξατε ἐν τῷ οἴκῳ Ὤν, ἐξέστη Βενιαμείν, 9 Ἐφράιμ εἰς 9
ἀφανισμὸν ἐγένετο ἐν ἡμέραις ἐλέγχου. ἐν ταῖς φυλαῖς τοῦ Ἰσραὴλ
ἔδειξα πιστά· 10 ἐγένοντο οἱ ἄρχοντες Ἰούδα ὡς μετατιθέντες ὅρια, 10
ἐπ᾽ αὐτοὺς ἐκχεῶ ὡς ὕδωρ τὸ ὅρμημά μου. 11 κατεδυνάστευσεν 11
Ἐφράιμ τὸν ἀντίδικον αὐτοῦ, κατεπάτησεν τὸ κρίμα, ὅτι ἤρξατο
πορεύεσθαι ὀπίσω τῶν ματαίων. 12 καὶ ἐγὼ ὡς ταραχὴ τῷ Ἐφράιμ, 12
καὶ ὡς κέντρον τῷ οἴκῳ Ἰούδα. 13 καὶ εἶδεν Ἐφράιμ τὴν νόσον αὐτοῦ, 13
καὶ Ἰούδας τὴν ὀδύνην αὐτοῦ· καὶ ἐπορεύθη Ἐφράιμ πρὸς Ἀσσυρίους
καὶ ἀπέστειλεν πρέσβεις πρὸς βασιλέα Ἰαρείμ· καὶ οὗτος οὐκ ἠδυ-
νάσθη ἰάσασθαι ὑμᾶς, καὶ οὐ μὴ διαπαύσῃ ἐξ ὑμῶν ὀδύνη. 14 διότι ἐγώ 14
εἰμι ὡς πανθὴρ τῷ Ἐφράιμ, καὶ ὡς λέων τῷ οἴκῳ Ἰούδα· καὶ ἐγὼ
ἁρπῶμαι καὶ πορεύσομαι καὶ λήμψομαι, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος.
15 πορεύσομαι καὶ ἐπιστρέψω εἰς τὸν τόπον μου, ἕως οὗ ἀφανισθῶσιν 15
καὶ ζητήσουσιν τὸ πρόσωπόν μου.

1 Ἐν θλίψει αὐτῶν ὀρθριοῦσι πρός με λέγοντες Πορευθῶμεν καὶ 1 VI
ἐπιστρέψωμεν πρὸς Κύριον τὸν θεὸν ἡμῶν, ὅτι αὐτὸς ἥρπακεν καὶ
ἰάσεται ἡμᾶς, πατάξει καὶ μοτώσει ἡμᾶς, 2 ὑγιάσει ἡμᾶς μετὰ δύο 2
ἡμέρας· ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ ἀναστησόμεθα, καὶ ζησόμεθα ἐνώπιον
αὐτοῦ, 3 καὶ γνωσόμεθα· διώξομεν τοῦ γνῶναι τὸν κύριον, ὡς ὄρθρον 3
ἕτοιμον εὑρήσομεν αὐτόν, καὶ ἥξει ὡς ὑετὸς ἡμῖν πρόιμος καὶ ὄψιμος
γῇ. 4 Τί σοι ποιήσω, Ἐφράιμ; τί σοι ποιήσω, Ἰούδα; τὸ δὲ 4
ἔλεος ὑμῶν ὡς νεφέλη πρωινὴ καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη.
5 διὰ τοῦτο ἀπεθέρισα τοὺς προφήτας ὑμῶν, ἀπέκτεινα αὐτοὺς ἐν 5
ῥήματι στόματός μου, καὶ τὸ κρίμα μου ὡς φῶς ἐξελεύσεται. 6 διότι 6
ἔλεος θέλω ἢ θυσίαν, καὶ ἐπίγνωσιν θεοῦ ἢ ὁλοκαυτώματα. 7 αὐτοὶ 7
δέ εἰσιν ὡς ἄνθρωπος παραβαίνων διαθήκην· ἐκεῖ κατεφρόνησέν μου
8 Γαλαάδ, πόλις ἐργαζομένη μάταια, ταράσσουσα ὕδωρ, 9 καὶ ἡ ἰσχύς 8 9

AQ 7 ενκατελιπον (εγκ. B[ab])] εγκατελειπον AQ | οτι 2°] και A | εγεννησαν Q* (α′ θ′ εγεννηθησαν Q[mg]) 8 σαλπιγγι] λ sup ras A[a?] 9 εν 2° sup ras B? 11 το κριμα] om το AQ* 13 Ιαρειμ] Ιαρειβ Q[a] | ουτος] αυτος AQ | ιασασθαι] οι ο′ ρυσασθαι Q[mg] 14 τω οικω] pr εν Q[a] | λημψομαι Q 15 ζητησουσιν] επιζητησουσιν AQ (-σι) VI 1 ορθριουσιν AQ | Κυριον] pr τον Q[a] | μοτωσει] μοτωσει B[a?b] A* fort (μοτ sup ras A[b]) 2 om και 1° A | ενωπιον] εναντιον Q 3 προιμος B*AQ*] πρωιμος B[ab]Q[a] | γη] pr τη AQ 5 ρηματι BQ[a]] ρημασιν AQ* (οι ο′ Q[mg]) 6 η 1°] και ου AQ* (η Q[a])

σου ἀνδρὸς πειρατοῦ· ἔκρυψαν ἱερεῖς ὁδόν, ἐφόνευσαν Σίκιμα, ὅτι B
10 ἀνομίαν ἐποίησαν [10]ἐν τῷ οἴκῳ τοῦ Ἰσραήλ· εἶδον φρικώδη ἐκεῖ,
πορνείαν τοῦ Ἐφράιμ· ἐμιάνθη Ἰσραὴλ [(11)]καὶ Ἰουδά.
11 [11]Ἄρχου τρυγᾶν σεαυτῷ ἐν τῷ ἐπιστρέφειν με τὴν αἰχμαλωσίαν τοῦ
VII 1 λαοῦ μου, [1]ἐν τῷ ἰάσασθαί με τὸν Ἰσραήλ. καὶ ἀποκαλυφθήσεται ἡ
ἀδικία Ἐφράιμ καὶ ἡ κακία Σαμαρείας, ὅτι ἠργάσαντο ψευδῆ· καὶ κλέπ-
της πρὸς αὐτὸν εἰσελεύσεται, ἐκδιδύσκων λῃστὴς ἐν τῇ ὁδῷ αὐτοῦ,
2 [2]ὅπως συνᾴδωσιν ὡς ᾄδοντες τῇ καρδίᾳ αὐτῶν. πάσας τὰς κακίας
αὐτῶν ἐμνήσθην· νῦν ἐκύκλωσαν αὐτοὺς τὰ διαβούλια αὐτῶν, ἀπέ-
3 ναντι τοῦ προσώπου μου ἐγένοντο. [3]ἐν ταῖς κακίαις αὐτῶν εὔφραναν
4 βασιλεῖς, καὶ ἐν τοῖς ψεύδεσιν αὐτῶν ἄρχοντας· [4]πάντες μοιχεύοντες,
ὡς κλίβανος καιόμενος εἰς πέψιν κατακαύματος ἀπὸ τῆς φλογός, ἀπὸ
5 φυράσεως στέατος, ἕως τοῦ ζυμωθῆναι αὐτό. [5]ἡμέραι τῶν βασιλέων
ὑμῶν, ἤρξαντο οἱ ἄρχοντες θυμοῦσθαι ἐξ οἴνου, ἐξέτεινεν τὴν χεῖρα
6 αὐτοῦ μετὰ λοιμῶν· [6]διότι ἀνεκαύθησαν ὡς κλίβανος αἱ καρδίαι αὐτῶν,
ἐν τῷ καταράσσειν αὐτοὺς ὅλην τὴν νύκτα ὕπνου Ἐφράιμ ἐνεπλήσθη·
7 πρωὶ ἐνεγενήθη, ἀνεκαύθη ὡς πυρὸς φέγγος. [7]πάντες ἐθερμάνθησαν
ὡς κλίβανος, καὶ κατέφαγον τοὺς κριτὰς αὐτῶν· πάντες οἱ βασιλεῖς
8 αὐτῶν ἔπεσαν, οὐκ ἦν ὁ ἐπικαλούμενος ἐν αὐτοῖς πρὸς μέ. [8]Ἐφράιμ
ἐν τοῖς λαοῖς αὐτοῦ συνεμίγνυτο, Ἐφράιμ ἐγένετο ἐνκρυφίας οὐ
9 μεταστρεφόμενος· [9]κατέφαγον ἀλλότριοι τὴν ἰσχὺν αὐτοῦ, αὐτὸς δὲ
10 οὐκ ἔγνω, καὶ πολιαὶ ἐξήνθησαν αὐτῷ, καὶ αὐτὸς οὐκ ἔγνω. [10]καὶ
ταπεινωθήσεται ἡ ὕβρις Ἰσραὴλ εἰς πρόσωπον αὐτοῦ, καὶ οὐκ ἐπέ-
στρεψαν πρὸς Κύριον τὸν θεὸν αὐτῶν, καὶ οὐκ ἐξεζήτησαν αὐτὸν ἐν
11 πᾶσι τούτοις. [11]καὶ ἦν Ἐφράιμ ὡς περιστερὰ ἄνους, οὐκ ἔχουσα
καρδίαν· Αἴγυπτον ἐπεκαλεῖτο, καὶ εἰς Ἀσσυρίους ἐπορεύθησαν.
12 [12]καθὼς ἂν πορεύωνται ἐπιβαλῶ ἐπ' αὐτοὺς τὸ δίκτυόν μου, καθὼς
τὰ πετεινὰ τοῦ οὐρανοῦ κατάξω αὐτούς, παιδεύσω αὐτοὺς ἐν τῇ ἀκοῇ

9 οδον] + $\overline{κυ}$ AQ   10 του Ισραηλ] om του AQ^{*} (hab του Q^{a}) | Ιουδας A AQ́
11 αιχμαλωσιαν] αιχμασιαν Q   VII 1 αδικια] κακια Q^{a} | ηργασαντο] ειργ. B^{ab}AQ   2 συναδουσιν A | αδοντες] συναδοντες AQ | εκυκλωσεν AQ | μου εγενοντο sup ras A^{b} | εγενοντο] εγενετο Q   3 βασιλεις] βασιλεας Q^{*} (οι ο' -λεα Q^{mg}) | ψευδεσιν sup ras A^{b} 4 μοιχευωντες A (ες sup ras A^{b})   5 ημεραι] pr αι A | υμων] ημων A | οι αρχοντες] om οι Q^{*} (hab Q^{mg}) | την χειρα] εν τη χειρι Q   6 ενεγενηθη] γε sup ras $B^{?}$ εγενηθη AQ | ανεκαυθη] ανεκαυθησαν Q^{a} | πυρος] πυρ AQ^{*} (πυρος Q^{a})   7 κλιβανος] + πυρος καιομενου αι καρδιαι αυτων A + αι καρδιαι αυτων Q | κατεφαγον] κατεφαγεν πυρ A κατεφαγε Q^{a} | επεσον AQ^{*} (επεσαν Q^{a})   8 συνανεμιγνυτο AQ | εγκρυφιας AQ   9 εγνω] επεγνω A | αυτω] αυτων A   10 εξεζητησαν] εζητησαν Q | πασιν A
11 εχουσαν B^{*} (-σα B^{ab}) | επεκαλειτο] επεκαλεσατο Q^{a}

B τῆς θλίψεως αὐτῶν. [13]οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ· δείλαιοί 13
εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ· ἐγὼ δὲ ἐλυτρωσάμην αὐτούς, αὐτοὶ δὲ
κατελάλησαν κατ' ἐμοῦ ψευδῆ. [14]καὶ οὐκ ἐβόησαν πρὸς μὲ αἱ καρ- 14
δίαι αὐτῶν, ἀλλ' ἢ ὠλόλυζον ἐν ταῖς κοίταις αὐτῶν· ἐπὶ σίτῳ καὶ οἴνῳ
κατετέμνοντο. [15]ἐπαιδεύθησαν ἐν ἐμοί, κἀγὼ κατίσχυσα τοὺς βρα- 15
χίονας αὐτῶν, καὶ εἰς ἐμὲ ἐλογίσαντο πονηρά. [16]ἀπεστράφησαν εἰς 16
οὐθέν, ἐγένοντο ὡς τόξον ἐντεταμένον· πεσοῦνται ἐν ῥομφαίᾳ οἱ
ἄρχοντες αὐτῶν δι' ἀπαιδευσίαν γλώσσης αὐτῶν· οὗτος ὁ φαυλισμὸς
αὐτῶν ἐν γῇ Αἰγύπτῳ.

[1]Εἰς κόλπον αὐτῶν ὡς γῆ, ὡς ἀετὸς ἐπ' οἶκον Κυρίου, ἀνθ' ὧν 1 VIII
παρέβησαν τὴν διαθήκην μου καὶ κατὰ τοῦ νόμου μου. [2]ἐμὲ κεκρά- 2
ξονται Ὁ θεός, ἐγνώκαμέν σε. [3]ὅτι Ἰσραὴλ ἀπεστρέψατο ἀγαθά, 3
ἐχθρὸν κατεδίωξαν· [4]ἑαυτοῖς ἐβασίλευσαν καὶ οὐ δι' ἐμοῦ, ἦρξαν καὶ 4
οὐκ ἐγνώρισάν μοι, τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν ἐποίησαν
ἑαυτοῖς εἴδωλα, ὅπως ἐξολοθρευθῶσιν. [5]ἀπότριψαι τὸν μόσχον σου, 5
Σαμάρεια· παροξύνθη ὁ θυμός μου ἐπ' αὐτούς· ἕως τίνος οὐ μὴ
δύνωνται καθαρισθῆναι [6]ἐν τῷ Ἰσραήλ; καὶ αὐτὸ τέκτων ἐποίησεν 6
καὶ οὐ θεός ἐστιν· διότι πλανῶν ἦν ὁ μόσχος σου, Σαμάρεια. [7]ὅτι 7
ἀνεμόφθορα ἔσπειραν, καὶ ἡ καταστροφὴ αὐτῶν ἐκδέξεται αὐτά·
δράγμα οὐκ ἔχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον· ἐὰν δὲ καὶ ποιήσῃ,
ἀλλότριοι καταφάγονται αὐτά. [8]κατεπόθη Ἰσραήλ, νῦν ἐγένετο ἐν 8
τοῖς ἔθνεσιν ὡς σκεῦος ἄχρηστον. [9]ὅτι αὐτοὶ ἀνέβησαν εἰς Ἀσσυρίους· 9
ἀνέθαλεν καθ' ἑαυτὸν Ἐφράιμ, δῶρα ἠγάπησαν, [10]διὰ τοῦτο παρα- 10
δοθήσονται ἐν τοῖς ἔθνεσιν. νῦν εἰσδέξομαι αὐτούς, καὶ κοπάσουσιν
μικρὸν τοῦ χρίειν βασιλέα καὶ ἄρχοντας. [11]ὅτι ἐπλήθυνεν Ἐφράιμ 11
θυσιαστήρια, εἰς ἁμαρτίας ἐγένοντο αὐτῷ θυσιαστήρια ἠγαπημένα. [12]κα- 12
ταγράψω αὐτῷ πλῆθος, καὶ τὰ νόμιμά μου εἰς ἀλλότρια ἐλογίσθησαν·
θυσιαστήρια τὰ ἠγαπημένα. [13]διότι ἐὰν θύσωσιν θυσίαν καὶ φάγωσιν 13
κρέα, Κύριος οὐ προσδέξεται αὐτά· νῦν μνησθήσεται τὰς ἀδικίας αὐτῶν

AQ 13 απεπε|πηδ. B π 3° sup ras B[ab] 14 εν] επι Q[a] 15 καγω] και εγω AQ | κατισχυσα] α 2° sup ras A[a?] | om και A 16 εντεταμενον] ου τεταμενον Q[a] | δι] δια AQ VIII 1 μου 2°] + ησεβησαν B[ab mg] AQ 2 ο θεος] pr λεγοντες Q[mg] 4 εξολεθρευθωσιν A 5 παρωξυνθη B[ab]AQ 7 ανεμοφθορια A | αυτα] αυτο B[ab]AQ | om δε Q 8 εγενοντο Q* (εγενετο Q[a]) 9 ανεβησαν] εγενοντο Q* (ανεβ. Q[mg]) | ηγαπησαν BQ*] ηγαπησεν AQ[a] 10 παραδοθησονται] παρεδοθησαν AQ[a] | om εν Q* (superscr Q[a]) | κοπιασουσιν A* | om μικρον A 11 αμαρτιαν AQ* (-τιας Q[a]) | ηγαπημενα] pr τα A 12 μου B*[vid]] αυτου B[a]AQ | α ελογισθησαν sup ras B[ab] | τα ηγαπημενα] om τα Q* (superscr Q[a])

καὶ ἐκδικήσει τὰς ἁμαρτίας αὐτῶν· αὐτοὶ εἰς Αἴγυπτον ἀπέστρεψαν, B
14 καὶ ἐν Ἀσσυρίοις ἀκάθαρτα φάγονται. [14]καὶ ἐπελάθετο Ἰσραὴλ τοῦ
ποιήσαντος αὐτόν, καὶ ᾠκοδόμησαν τεμένη· καὶ Ἰούδας ἐπλήθυνεν
πόλεις τετειχισμένας· καὶ ἐξαποστελῶ πῦρ εἰς τὰς πόλεις αὐτοῦ, καὶ
καταφάγεται τὰ θεμέλια αὐτῶν.

IX 1 [1]Μὴ χαῖρε, Ἰσραήλ, μηδὲ εὐφραίνου καθὼς οἱ λαοί· διότι ἐπόρνευ-
σας ἀπὸ τοῦ θεοῦ σου, ἠγάπησας δόματα ἐπὶ πάντα ἅλωνα σίτου.
2 [2]ἅλων καὶ ληνὸς οὐκ ἔγνω αὐτούς, καὶ ὁ οἶνος ἐψεύσατο αὐτούς. [3]οὐ
3 κατῴκησαν ἐν τῇ γῇ τοῦ κυρίου· κατῴκησεν Ἐφράιμ Αἴγυπτον, καὶ
4 ἐν Ἀσσυρίοις ἀκάθαρτα φάγονται. [4]οὐκ ἔσπεισαν τῷ κυρίῳ οἶνον,
καὶ οὐχ ἥδυναν αὐτῷ· αἱ θυσίαι αὐτῶν ὡς ἄρτος πένθους αὐτοῖς,
πάντες οἱ ἔσθοντες αὐτὰ μιανθήσονται, διότι οἱ ἄρτοι αὐτῶν ταῖς
5 ψυχαῖς αὐτῶν οὐκ εἰσελεύσονται εἰς τὸν οἶκον Κυρίου. [5]τί ποιήσετε ἐν
6 ἡμέραις πανηγύρεως καὶ ἐν ἡμέρᾳ ἑορτῆς τοῦ κυρίου; [6]διὰ τοῦτο ἰδοὺ
πορεύονται ἐκ ταλαιπωρίας Αἰγύπτου, καὶ ἐκδέξεται αὐτοὺς Μέμφις,
καὶ θάψει αὐτοὺς Μαχμάς· τὸ ἀργύριον αὐτῶν ὄλεθρος κληρονομήσει
7 αὐτό, ἄκανθαι ἐν τοῖς σκηνώμασιν. [7]ἥκασιν αἱ ἡμέραι τῆς ἐκδικήσεως,
ἥκασιν αἱ ἡμέραι τῆς ἀνταποδόσεώς σου, καὶ κακωθήσεται Ἰσραὴλ
ὥσπερ ὁ προφήτης ὁ παρεξεστηκώς, ἄνθρωπος ὁ πνευματοφόρος· ὑπὸ
8 τοῦ πλήθους τῶν ἀδικιῶν σου ἐπληθύνθη μανία σου. [8]σκοπὸς
Ἐφράιμ μετὰ θεοῦ· προφήτης, παγὶς σκολιὰ ἐπὶ πάσας τὰς ὁδοὺς
9 αὐτοῦ· μανίαν ἐν οἴκῳ θεοῦ κατέπηξαν. [9]ἐφθάρησαν κατὰ τὰς ἡμέρας
τοῦ βουνοῦ· μνησθήσεται ἀδικίας αὐτῶν, ἐκδικήσει ἁμαρτίας αὐτῶν.
10 [10]ὡς σταφυλὴν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραήλ, καὶ ὡς σκοπὸν ἐν συκῇ
πρόιμον εἶδον πατέρας αὐτῶν· αὐτοὶ εἰσῆλθον πρὸς τὸν Βεελφεγώρ,
καὶ ἀπηλλοτριώθησαν εἰς αἰσχύνην, καὶ ἐγένοντο οἱ ἐβδελυγμένοι ὡς
11 οἱ ἠγαπημένοι. [11]Ἐφράιμ ὡς ὄρνεον ἐξεπετάσθη, αἱ δόξαι αὐτῶν
12 ἐκ τόκων καὶ ὠδίνων καὶ συνλήμψεων· [12]διότι καὶ ἐὰν ἐκθρέψωσιν
τὰ τέκνα αὐτῶν, ἀτεκνωθήσονται ἐξ ἀνθρώπων· διότι καὶ οὐαὶ αὐτοῖς

13 αμαρτιας] ανομιας Q^{mg} | αυτοι] + δε A 14 του ποιησαντος] τον ποιησαντα Q | ωκοδομησεν Q | αυτων] αυτου A IX 2 ο οινος] om ο A* (superscr A^1) 3 του κ̅υ̅ sup ras B^{ab} | κατωκησεν] pr και Q | Αιγυπτον] pr εις AQ 4 ουχ BQ^a] ουκ A* (ras κ $A^?$) Q* | ηδυναν] ηδυναντο A | εσθιοντες Q^a | τον οικον] om τον A 5 ποιησεται BAQ | ημεραις] ημερα AQ | ημερα] ημεραις A 6 πορευσονται AQ | Μαχμας] οι ο' Ταχαχμας Q^{mg} | om αυτο AQ | σκηνωμασιν] + αυτων B^{ab}AQ 7 εκδικησεως] + σου A | ανταποδωσεως A | μανια] μνεια A 8 αυτου μανιαν εν οι| sup ras $A^?$ | θεου 2°] κ̅υ̅ AQ 9 αυτων bis BQ^a] αυτου AQ* 10 σκοπον] συκον Q^a | πρωιμον $B^{a?b}$A | εβδελυγμενοι] ηγαπημενοι AQ | ηγαπημενοι] εβδελυγμενοι AQ 11 συνλημψεων] συλλημψ. B^bQ συλλημψ. A

B ἐστιν, σάρξ μου ἐξ αὐτῶν. 13 Ἐφράιμ ὃν τρόπον εἰς θήραν παρέστη- 13
σαν τὰ τέκνα αὐτῶν, καὶ Ἐφράιμ τοῦ ἐξαγαγεῖν εἰς ἀποκέντησιν τὰ
τέκνα αὐτοῦ. 14 δὸς αὐτοῖς, Κύριε· τί δώσεις αὐτοῖς; μήτραν ἀτεκνοῦ- 14
σαν καὶ μαστοὺς ξηρούς. 15 πᾶσαι αἱ κακίαι αὐτῶν ἐν Γαλγάλ, ὅτι 15
ἐκεῖ αὐτοὺς ἐμίσησα διὰ τὰς κακίας τῶν ἐπιτηδευμάτων αὐτῶν· ἐκ τοῦ
οἴκου μου ἐκβαλῶ αὐτούς, οὐ μὴ προσθήσω τοῦ ἀγαπῆσαι αὐτούς·
πάντες οἱ ἄρχοντες αὐτῶν ἀπειθοῦντες. 16 ἐπόνεσεν Ἐφράιμ· τὰς 16
ῥίζας αὐτοῦ ἐξηράνθη, καρπὸν οὐκέτι μὴ ἐνέγκῃ· διότι καὶ ἐὰν
γεννήσωσιν, ἀποκτενῶ τὰ ἐπιθυμήματα κοιλίας αὐτῶν. 17 ἀπώσεται 17
αὐτοὺς ὁ θεός, ὅτι οὐκ εἰσήκουσαν αὐτοῦ, καὶ ἔσονται πλανῆται ἐν
τοῖς ἔθνεσιν.

1 Ἄμπελος εὐκληματοῦσα Ἰσραήλ, ὁ καρπὸς εὐθηνῶν αὐτῆς· κατὰ 1 X
τὸ πλῆθος τῶν καρπῶν αὐτῆς ἐπλήθυνεν θυσιαστήρια, κατὰ τὰ
ἀγαθὰ τῆς γῆς αὐτοῦ ᾠκοδόμησεν στήλας. 2 ἐμέρισαν καρδίας αὐτῶν, 2
§ Γ νῦν ἀφανισθήσονται· αὐτὸς § κατασκάψει τὰ θυσιαστήρια αὐτῶν, ταλαι-
πωρήσουσιν αἱ στῆλαι αὐτῶν. 3 διότι νῦν ἐροῦσιν Οὐκ ἔστιν βασιλεὺς 3
ἡμῖν, ὅτι οὐκ ἐφοβήθημεν τὸν κύριον. ὁ δὲ βασιλεὺς τί ποιήσει
ἡμῖν, 4 λαλῶν ῥήματα προφάσεις ψευδεῖς; διαθήσεται διαθήκην, 4
ἀνατελεῖ ὡς ἄγρωστις κρίμα ἐπὶ χέρσον ἀγροῦ. 5 τῷ μόσχῳ τοῦ 5
οἴκου Ὢν παροικήσουσιν κατοικοῦντες Σαμάρειαν, ὅτι ἐπένθησεν λαὸς
αὐτοῦ ἐπ' αὐτόν· καὶ καθὼς παρεπίκραναν αὐτόν, ἐπιχαροῦνται ἐπὶ
τὴν δόξαν αὐτοῦ, ὅτι μετῳκίσθη ἀπ' αὐτοῦ. 6 καὶ αὐτὸν εἰς Ἀσσυρίους 6
δήσαντες, ἀπήνεγκαν ξένια τῷ βασιλεῖ Ἰαρείμ· ἐν δόματι Ἐφράιμ
δέξεται, καὶ αἰσχυνθήσεται Ἰσραὴλ ἐν τῇ βουλῇ αὐτοῦ. 7 ἀπέρριψεν 7
Σαμάρεια βασιλέα αὐτῆς ὡς φρύγανον ἐπὶ προσώπου ὕδατος· 8 καὶ 8
ἐξαρθήσονται βωμοὶ Ὢν, ἁμαρτήματα τοῦ Ἰσραήλ· ἄκανθαι καὶ τρίβολοι
ἀναβήσονται ἐπὶ τὰ θυσιαστήρια αὐτῶν· καὶ ἐροῦσιν τοῖς ὄρεσιν
Καλύψατε ἡμᾶς, καὶ τοῖς βουνοῖς Πέσατε ἐφ' ἡμᾶς. 9 ἀφ' οὗ οἱ 9
¶ Γ βουνοί, ἥμαρτεν Ἰσραήλ, ἐκεῖ ἔστησαν· οὐ μὴ καταλάβῃ αὐτοὺς ¶ ἐν

AQΓ 13 τροπον] + ειδον AQ | παρεστη Qª 14 μητραν] pr δος αυτοις AQ 15 εν] εις A | προσθησω] θησω Qª (προσθ. Q^mg) 17 πλανηται] pr ως A X 1 αυτης ευθηνων AQ | αυτης 2°] αυτων A* vid αυτου Aª? Qª | θυσιαστηρια] pr τα AQ | κατα 2°] pr και A pr κατα τα θυσιαστηρια Q* | ωκοδομησαν Q* (-σεν Qª) 2 om ταλαιπ. αι στηλαι αυτων Q* (hab Q^mg) 4 λαλων ρηματα προφασεις] ν ρημ, ις sup ras Aª? | ανετελει A 5 κατοικουντες] pr οι AQΓ | οτι] δια τουτο A διοτι Γ | λαος] pr ο AQΓ | απ] επ A 6 Ιαρειβ Qª 7 απεριψεν Q* (απερρ. Qª) | βασιλεα] pr τον A | φρυγανον επι προσωπου] ον επι προ sup ras Aª (φρυγανεπιπροσ. A* vid) | προσωπον A 8 εξαρθησονται] ται saltem B^b(mg) εξαρτησωνται Γ | καλυψατε] πεσετε εφ A | πεσατε (πεσετε Qª) εφ] καλυψατε A

10 τῷ βουνῷ πόλεμος ἐπὶ τὰ τέκνα ἀδικίας [10]παιδεῦσαι αὐτούς· καὶ B
συναχθήσονται ἐπ᾽ αὐτοὺς λαοί, ἐν τῷ παιδεύεσθαι αὐτοὺς ἐν ταῖς
11 δυσὶν ἀδικίαις αὐτῶν. [11]Ἐφράιμ δάμαλις δεδιδαγμένη ἀγαπᾷν νεῖκος,
ἐγὼ δὲ ἐπελεύσομαι ἐπὶ τὸ κάλλιστον τοῦ τραχήλου αὐτῆς· ἐπιβιβῶ
12 Ἐφράιμ, παρασιωπήσομαι Ἰούδαν, ἐνισχύσει αὐτῷ Ἰακώβ. [12]σπεί-
ρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγήσατε εἰς καρπὸν ζωῆς, φωτίσατε
ἑαυτοῖς φῶς γνώσεως, ἐκζητήσατε τὸν κύριον ἕως τοῦ ἐλθεῖν γενήματα
13 δικαιοσύνης ἡμῖν. [13]ἵνα τί παρεσιωπήσατε ἀσέβειαν, καὶ τὰς ἀδικίας
αὐτῆς ἐτρυγήσατε, ἐφάγετε καρπὸν ψευδῆ; ὅτι ἤλπισας ἐν τοῖς
14 ἁμαρτήμασίν σου, ἐν πλήθει δυνάμεώς σου, [14]καὶ ἐξαναστήσεται
ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα τὰ περιτετειχισμένα σου οἰχήσεται.
ὡς ἄρχων Σαλαμὰν ἐκ τοῦ οἴκου Ἰεροβοάμ, ἐν ἡμέραις πολέμου μητέρα
15 ἐπὶ τέκνοις ἠδάφισαν, [15]οὕτως ποιήσω ὑμῖν, οἶκος τοῦ Ἰσραήλ, ἀπὸ
XI 1 προσώπου ἀδικίας κακιῶν ὑμῶν. [1]ὄρθρου ἀπερίφησαν· ἀπερίφη
βασιλεὺς Ἰσραήλ.
(1) Ὅτι νήπιος Ἰσραὴλ καὶ ἐγὼ ἠγάπησα αὐτόν, καὶ ἐξ Αἰγύπτου μετε-
2 κάλεσα τὰ τέκνα αὐτοῦ. [2]καθὼς μετεκάλεσα αὐτούς, οὕτως ἀπῴχοντο
ἐκ προσώπου μου· αὐτοὶ τοῖς Βααλεὶμ ἔθυον καὶ τοῖς γλυπτοῖς
3 ἐθυμίων. [3]καὶ ἐγὼ συνεπόδισα τὸν Ἐφράιμ, ἀνέλαβον αὐτὸν ἐπὶ τὸν
4 βραχίονά μου· οὐκ ἔγνωσαν ὅτι ἴαμαι αὐτούς. [4]ἐν διαφθορᾷ ἀνθρώπων,
ἐξέτεινα αὐτοὺς ἐν δεσμοῖς ἀγαπήσεώς μου, καὶ ἔσομαι αὐτοῖς ὡς
ῥαπίζων ἄνθρωπος ἐπὶ τὰς σιαγόνας αὐτοῦ· καὶ ἐπιβλέψομαι πρὸς
5 αὐτόν, δυνήσομαι αὐτῷ. [5]κατῴκησεν Ἐφράιμ ἐν Αἰγύπτῳ, καὶ
6 Ἀσσοὺρ αὐτὸς βασιλεὺς αὐτοῦ, ὅτι οὐκ ἠθέλησεν ἐπιστρέψαι· [6]καὶ
ἠσθένησεν ῥομφαία ἐν ταῖς πόλεσιν αὐτοῦ, καὶ κατέπαυσεν ἐν ταῖς
7 χερσὶν αὐτοῦ· καὶ φάγονται ἐκ τῶν διαβουλίων αὐτῶν. [7]καὶ ὁ λαὸς
αὐτοῦ ἐπικρεμάμενος ἐκ τῆς κατοικίας αὐτοῦ· καὶ ὁ θεὸς ἐπὶ τὰ τίμια

9 τα τεκνα] om τα A | αδικιας] pr της Q + ηλθεν AQ 10 εν bis] επι AQ Q | παιδευεσθαι] παιδευσαι Q^{a} 11 νικος B*Q (νεικος B^{ab}A) | επελευσομαι] επιβησομαι Q* (επελ. Q^{a}) | om αυτης Q* (hab Q$^{1 mg}$) | επε|βιβω B$^{* vid}$ | παρασιωπησομαι] pr και AQ* 12 τρυγησατε] + εαυτοις A | του ελθειν] ου ελθη Q* (τ. ελθειν Q^{a}) | ημιν] υμιν AQ 13 ινα τι] om τι Q* (superscr Q^{a}) | ασεβειας Q* (-αν Q^{a}) | τοις αμαρτημασιν] αρμασιν A τοις αρμ. Q 14 οικησεται A | αρχων] pr ο Q^{a} | Ιεροβοαμ] Ιεροβααλ A του Ιεροβοαμ Q* του Ιεροβααλ Q^{a} 15 om αδικιας AQ XI 1 ορθου B* (ορθρ. B^{ab}) | απερειφησαν B* απερριφ. B^{ab}AQ | απερριφη B^{ab}AQ | Ισραηλ 1°] pr του A | οτι] διοτι AQ | ηγαπησα] ηγαπηκα A 2 μετεκαλεσα] μετεκαλεσατο A | αυτου B* (αυτους B^{ab}) 3 ουκ] pr και B$^{ab vid}$Q 4 δεσμοις] δεσμω Q | εσομαι] pr εγω A | τας σιαγονας αυτου BAQ^{mg}] σιαγονα Q* τας σιαγονας Q^{a} | δυνησομαι] pr και Q$^{a (?)}$ 5 Αιγυπτω] pr γη Q 6 διαβουλειων A 7 κατοικιας] παροικιας Q^{a} | και ο θεος] ο δε θ̅ς̅ A | τιμια] ταμεια Q^{mg}

B αὐτοῦ θυμωθήσεται, καὶ οὐ μὴ ὑψώσῃ αὐτόν. [8]τί σε διαθῶμαι, 8
Ἐφράιμ; ὑπερασπιῶ σου, Ἰσραήλ; τί σε διαθῶ; ὡς Ἀδαμὰ θήσομαί
σε καὶ ὡς Σεβωείμ. μετεστράφη ἡ καρδία μου ἐν τῷ αὐτῷ, συνετα-
ράχθη ἡ μεταμελία μου· [9]οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ 9
μου, οὐ μὴ ἐγκαταλίπω τοῦ ἐξαλειφθῆναι τὸν Ἐφράιμ· διότι θεὸς ἐγώ
εἰμι καὶ οὐκ ἄνθρωπος· ἐν σοὶ ἅγιος, καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν.
[10]ὀπίσω Κυρίου πορεύσομαι· ὡς λέων ἐρεύξεται, ὅτι αὐτὸς ὠρύσεται, 10
καὶ ἐκστήσονται τέκνα ὑδάτων. [11]ἐκπτήσονται ὡς ὄρνεον ἐξ Αἰγύπ- 11
του, καὶ ὡς περιστερὰ ἐκ γῆς Ἀσσυρίων· καὶ ἀποκαταστήσω αὐτοὺς
εἰς τοὺς οἴκους αὐτῶν, λέγει Κύριος.

[12]Ἐκύκλωσέν με ἐν ψεύδει Ἐφράιμ, καὶ ἐν ἀσεβείᾳ οἶκος 12 (1) (XII)
Ἰσραὴλ καὶ Ἰούδα. νῦν ἔγνω αὐτοὺς ὁ θεός, καὶ λαὸς ἅγιος
κεκλήσεται θεοῦ. [1]ὁ δὲ Ἐφράιμ πονηρὸν πνεῦμα, ἐδίωξεν καύ- 1 (2) XII
σωνα ὅλην τὴν ἡμέραν· κενὰ καὶ μάταια ἐπλήθυνεν καὶ διαθήκην
μετὰ Ἀσσυρίων διέθετο, καὶ ἔλαιον εἰς Αἴγυπτον ἐνεπορεύετο.
[2]καὶ κρίσις τῷ κυρίῳ πρὸς Ἰούδαν τοῦ ἐκδικῆσαι τὸν Ἰακὼβ κατὰ 2 (3)
τὰς ὁδοὺς αὐτοῦ, καὶ κατὰ τὰ ἐπιτηδεύματα αὐτοῦ ἀποδώσει αὐτῷ.
[3]ἐν τῇ κοιλίᾳ ἐπτέρνισεν τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐν κόποις 3 (4)
αὐτοῦ ἐνίσχυσεν πρὸς θεόν, [4]καὶ ἐνίσχυσεν μετὰ ἀγγέλου καὶ 4 (5)
ἠδυνάσθη· ἔκλαυσαν καὶ ἐδεήθησάν μου, ἐν τῷ οἴκῳ Ὢν εὕροσάν
με, καὶ ἐκεῖ ἐλαλήθη πρὸς αὐτούς. [5]ὁ δὲ κύριος ὁ θεὸς ὁ παντο- 5 (6)
κράτωρ ἔσται μνημόσυνον αὐτοῦ. [6]καὶ σὺ ἐν θεῷ σου ἐπι- 6 (7)
στρέψεις· ἔλεον καὶ κρίμα φυλάσσου, καὶ ἔγγιζε πρὸς τὸν θεόν
σου διὰ παντός.

[7]Χανάαν ἐν χειρὶ αὐτοῦ ζυγὸς ἀδικίας, καταδυναστεύειν ἠγά- 7 (8)
πησε. [8]καὶ εἶπεν Ἐφράιμ Πλὴν πεπλούτηκα, εὕρηκα ἀναψυ- 8 (9)
χὴν ἐμαυτῷ. πάντες οἱ πόνοι αὐτοῦ οὐχ εὑρεθήσονται αὐτῷ
δι' ἀδικίας ἃς ἥμαρτεν. [9]ἐγὼ δὲ Κύριος ὁ θεός σου ἀνήγαγόν 9 (10)
σε ἐκ γῆς Αἰγύπτου, ἔτι κατοικιῶ σε ἐν σκηναῖς καθὼς ἡμέραι

AQ 7 ου] η Q^{a} | υψωσει Q 8 διαθωμαι] διαθω AQ | μεταμελια $B^{*}A$] μεταμελεια $B^{ab}Q$ 9 οργην] ορμην Q^{*} (οργ. Q^{a}) | εγκαταλειπω AQ | εγω ειμι] ειμι εγω Q 10 ορευξεται $B^{*\,vid}$ | ωρυσσεται B^{ab} | εκστησονται] εκστησεται Q^{*} (-σονται Q^{a}) 11 εκπτησονται $B^{*\,vid}AQ^{mg}$ (εκστησονται $B^{?}Q^{*}$)] pr και AQ | περιστεραι Q 12 εκυκλωσαν Q^{a} | ασεβεια οικος] ασεβειας οικου A ασεβειαις οικος Q^{*} | κεκλησεται] κληθησεται A XII 1 κενα] καινα A 2 κρισεις A | Ιουδαν] pr τον A | αποδωσει] ανταποδωσει AQ 3 θεον] pr τον A 4 ενισχυσεν μετα αγγελου] ε|γελων $Q^{*\,vid}$ ενισχυσε μ. αγγελου $Q^{1\,(mg)\,et\,corr}$ | εκλαυσαν] λαυ| sup ras B^{ab} | Ων] om Q^{a} (hab $Q^{*\,mg}$) μου A | αυτους] αυτον A 6 τον θεον] pr κ̅ν̅ Q 7 ηγαπησεν AQ 8 ευρεθησονται] ρ sup ras $B^{?}$ | δι] δια AQ 9 ημερα AQ

(11) 10 ἑορτῆς. [10]καὶ λαλήσω πρὸς προφήτας, καὶ ἐγὼ ὁράσεις ἐπλή- B
(12) 11 θυνα, καὶ ἐν χερσὶν προφητῶν ὡμοιώθην. [11]εἰ μὴ Γαλαάδ ἐστιν,
ἄρα ψευδεῖς ἦσαν ἐν Γαλαὰδ ἄρχοντες θυσιάζοντες, καὶ τὰ
(13) 12 θυσιαστήρια αὐτῶν ὡς χελῶναι ἐπὶ χέρσον ἀγροῦ. [12]καὶ ἀνε-
χώρησεν Ἰακὼβ εἰς πεδίον Συρίας, καὶ ἐδούλευσεν Ἰσραὴλ ἐν
(14) 13 γυναικί, καὶ ἐν γυναικὶ ἐφυλάξατο. [13]καὶ ἐν προφήτῃ ἀνήγαγεν
Κύριος τὸν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου, καὶ ἐν προφήτῃ διεφυ-
(15) 14 λάχθη. [14]ἐθύμωσεν Ἐφράιμ καὶ παρώργισεν· καὶ τὸ αἷμα αὐτοῦ
ἐπ᾽ αὐτὸν ἐκχυθήσεται, καὶ τὸν ὀνειδισμὸν αὐτοῦ ἀνταποδώσει
XIII 1 αὐτῷ Κύριος. [1]Κατὰ τὸν λόγον Ἐφράιμ δικαιώματα αὐτὸς ἔλαβεν
2 ἐν τῷ Ἰσραήλ, καὶ ἔθετο αὐτὰ τῇ Βάαλ καὶ ἀπέθανεν. [2]καὶ προσέ-
θεντο τοῦ ἁμαρτάνειν, καὶ ἐποίησαν ἑαυτοῖς χώνευμα ἐκ τοῦ ἀργυρίου
αὐτῶν κατ᾽ εἰκόνα εἰδώλων, ἔργα τεκτόνων συντετελεσμένα αὐτοῖς·
3 αὐτοὶ λέγουσιν Θύσατε ἀνθρώπους, μόσχοι γὰρ ἐκλελοίπασιν. [3]διὰ
τοῦτο ἔσονται ὡς νεφέλη πρωινὴ καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη,
ὡς χνοῦς ἀποφυσώμενος ἀφ᾽ ἅλωνος καὶ ὡς ἀτμὶς ἀπὸ δακρύων.
4 [4]ἐγὼ δὲ Κύριος ὁ θεός σου, στερεῶν τὸν οὐρανὸν καὶ κτίζων γῆν, οὗ
αἱ χεῖρες ἔκτισαν πᾶσαν τὴν στρατείαν τοῦ οὐρανοῦ, καὶ οὐ παρέδειξά
σοι αὐτὰ τοῦ πορεύεσθαι ὀπίσω αὐτῶν· καὶ ἐγὼ ἀνήγαγόν σε ἐκ γῆς
Αἰγύπτου, καὶ θεὸν πλὴν ἐμοῦ οὐ γνώσῃ, καὶ σώζων οὐκ ἔστιν παρὲξ
5 6 ἐμοῦ. [5]ἐγὼ ἐποίμαινόν σε ἐν τῇ ἐρήμῳ, ἐν γῇ ἀοικήτῳ [6]κατὰ τὰς
νομὰς αὐτῶν· καὶ ἐνεπλήσθησαν εἰς πλησμονήν, καὶ ὑψώθησαν αἱ
7 καρδίαι αὐτῶν, ἕνεκα τούτου ἐπελάθοντό μου. [7]καὶ ἔσομαι αὐτοῖς ὡς
8 πανθὴρ καὶ ὡς πάρδαλις κατὰ τὴν ὁδὸν Ἀσσυρίων· [8]ἀπαντήσομαι
αὐτοῖς ὡς ἄρκος ἀπορουμένη, καὶ διαρρήξω συνκλεισμὸν καρδίας
αὐτῶν, καὶ καταφάγονται αὐτοὺς ἐκεῖ σκύμνοι δρυμοῦ, θηρία ἀγροῦ
9 10 διασπάσει αὐτούς. [9]τῇ διαφθορᾷ σου, Ἰσραήλ, τίς βοηθήσει; [10]ποῦ
ὁ βασιλεύς σου οὗτος; καὶ διασωσάτω σε ἐν πάσαις ταῖς πόλεσίν σου·
11 κρινάτω σε ὃν εἶπας Δός μοι βασιλέα καὶ ἄρχοντα. [11]καὶ ἔδωκά σοι
12 βασιλέα ἐν ὀργῇ μου, καὶ ἔσχον ἐν τῷ θυμῷ μου. [12]συστροφὴν

10 προφητας] pr τους Q 11 Γαλααδ 2°] Γαλγαλοις $Q^{?}$ 12 γυναικι 1°] AQ γυναιξι Q* (-κι Q^{a}) 13 Κυριος] + αυτου Q^{mg} | εκ γης] εξ AQ* (εκ γης Q^{a}) XIII 2 και 1°] + νυν Q^{mg} | προσεθετο AQ* (-θεντο Q^{a}) | αμαρτανειν] + ετι A | αυτων] εαυτων A 3 ως 3°] ωσπερ A η ωσπερ Q | χνους] χους A | απο δακρυων] εκ καπνοδοχης AQ* (απο δ. Q^{mg}) 4 om σου Q* (superscr Q^{a}) | στερεων] pr ο A | τον ουρανον] om τον AQ | στρατιαν B^{b}Q 6 om και 1° A | πλησμονην] πλησμον sup ras B^{ab} | ενεκεν Q^{a} | επελαθεντο B* (-θοντο $B^{a?b}$) 8 σῡ|κλεισμον B* (συγκλ. $B^{a}Q^{a}$) συγκλισμον A | καταφαγονται] φαγονται A 9 διαφθορα] θ sup ras A^{b} 11 εσχον] ανεσχον Q^{a} 12 συστρ. αδικιας c praeced coniung A

B ἀδικίας Ἐφράιμ, ἐνκεκρυμμένη ἡ ἁμαρτία αὐτοῦ· [13]ὠδῖνες ὡς τι- 13
κτούσης ἥξουσιν αὐτῷ. οὗτος ὁ υἱός σου ὁ φρόνιμος, διότι οὐ μὴ
ὑποστῇ ἐν συντριβῇ τέκνων. [14]ἐκ χειρὸς ᾅδου ῥύσομαι καὶ ἐκ 14
θανάτου λυτρώσομαι αὐτούς· ποῦ ἡ δίκη σου, θάνατε; ποῦ τὸ κέντρον
σου, ᾅδη; παράκλησις κέκρυπται ἀπὸ ὀφθαλμῶν μου, [15]διότι οὗτος 15
ἀνὰ μέσον ἀδελφῶν διαστελεῖ. ἐπάξει καύσωνα ἄνεμον Κύριος ἐκ
τῆς ἐρήμου ἐπ' αὐτόν, καὶ ἀναξηρανεῖ τὰς φλέβας αὐτοῦ, ἐξερημώσει
τὰς πηγὰς αὐτοῦ· αὐτὸς καταξηρανεῖ τὴν γῆν αὐτοῦ καὶ πάντα τὰ
σκεύη τὰ ἐπιθυμητὰ αὐτοῦ. [1]ἀφανισθήσεται Σαμάρεια, ὅτι ἀν- 1 XIV
τέστη πρὸς τὸν θεὸν αὐτῆς· ἐν ῥομφαίᾳ πεσοῦνται αὐτοί, καὶ τὰ
ὑποτίτθια αὐτῶν ἐδαφισθήσονται, καὶ αἱ ἐν γαστρὶ ἔχουσαι αὐ-
τῶν διαρραγήσονται.

[2]Ἐπιστράφηθι, Ἰσραήλ, πρὸς Κύριον τὸν θεόν σου, διότι ἠσθέ- 2
νησας ἐν ταῖς ἀδικίαις σου. [3]λάβετε μεθ' ἑαυτῶν λόγους καὶ ἐπι- 3
στράφητε πρὸς Κύριον τὸν θεὸν ὑμῶν· εἴπατε αὐτῷ ὅπως μὴ λάβητε
ἀδικίαν καὶ λάβητε ἀγαθά, καὶ ἀνταποδώσομεν καρπὸν χειλέων
ἡμῶν. [4]Ἀσσοὺρ οὐ μὴ σώσῃ ἡμᾶς, ἐφ' ἵππον οὐκ ἀναβησόμεθα· 4
οὐκέτι μὴ εἴπωμεν Θεοὶ ἡμῶν, τοῖς ἔργοις τῶν χειρῶν ἡμῶν· ὁ ἐν
σοὶ ἐλεήσει ὀρφανόν. [5]ἰάσομαι τὰς κατοικίας αὐτῶν, ἀγαπήσω 5
αὐτοὺς ὁμολόγως, ὅτι ἀπέστρεψεν τὴν ὀργήν μου ἀπ' αὐτοῦ. [6]ἔσομαι 6
ὡς δρόσος τῷ Ἰσραήλ, ἀνθήσει ὡς κρίνον, καὶ βαλεῖ τὰς ῥίζας
αὐτοῦ ὡς ὁ Λίβανος· [7]πορεύσονται οἱ κλάδοι αὐτοῦ, καὶ ἔσται ὡς 7
ἐλαία κατάκαρπος, καὶ ἡ ὀσφρασία αὐτοῦ ὡς Λιβάνου· [8]ἐπιστρέ- 8
ψουσιν καὶ καθιοῦνται ὑπὸ τὴν σκέπην αὐτοῦ, ζήσονται καὶ μεθυ-
σθήσονται σίτῳ· καὶ ἐξανθήσει ἄμπελος μνημόσυνον αὐτοῦ, ὡς οἶνος

AQ 12 ενκεκρυμμενη B* A (εγκ. B^{ab}Q^{a})] κεκρυμμενη Q* | η αμαρτια] αδικεια A 13 ηξουσιν αυτω ως τικτουσης A | ο φρονιμος] ου φρ. Q^{a} | ου] pr νυν Q^{a} θ' σ' ου σοφος Q^{mg} 14 ρυσομαι] + αυτους AQ | om και A | λυτρωσομαι] ελυτρωσαμην Q^{a} (ϗ το εξασελιδον ελυτρ. ειχεν Q^{mg}) | απο] εξ A 15 διαστελλει A | ανεμον καυσωνα AQ | εκ της ερ. Κυριος A | αυτον] αυτους Q^{a} | φλεβας] φλε sup ras A^{b} | αυτος] ουτος A | την γην] om την Q | αυτου 3°] του sup ras A^{a} | τα επιθυμητα] τα| επι sup ras B^{ab} | αυτου 4°] pr τα Q^{*vid} XIV 1 om αυτοι Q^{a} | υποτιθθια B* (-τιτθ. B^{ab}AQ^{a}) υποτιθια Q* 2 επιστραφητι B* (-στραφηθι B^{ab}) 3 λαβητε 1°] λασητε (sic) A | λαβητε 2°] λαβετε A | ημων] υμων Q* (ημων Q^{a}) 4 σωσει A | εφ| ιππον B* (εφ ιπ|πον B^{b})] εφ ιππων A | μη 2°] pr ου Q 5 οτι] διοτι A | απεστρεψεν BQ^{a}] αποστρεψω A αποστρεφω Q* | την οργην] εν τη οργη Q^{a} | απ αυτου] απ αυτων AQ^{a} εξ αυτων Q* 6 εσομαι] pr και A | ο Λιβανος] om ο A 7 οσφρησια Q* οσφρησις Q^{a} 8 την σκεπην] in την forte ras aliq B? | μεθυσθησονται] στηριχθησονται Q^{a} | αμπελος] pr ως B^{ab}A | μνημοσυνον] pr το AQ

9 Λιβάνου. [9]τῷ Ἐφράιμ, τί αὐτῷ ἔτι καὶ εἰδώλοις; ἐγὼ ἐταπείνωσα B
αὐτόν, καὶ κατισχύσω αὐτόν· ἐγὼ ὡς ἄρκευθος πυκάζουσα, ἐξ ἐμοῦ
10 ὁ καρπός σου εὕρηται. [10]τίς σοφὸς καὶ συνήσει ταῦτα; ἢ συνετὸς
καὶ ἐπιγνώσεται αὐτά; διότι εὐθεῖαι αἱ ὁδοὶ τοῦ κυρίου, καὶ δίκαιοι
πορεύσονται ἐν αὐταῖς, οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν αὐταῖς.

9 *τω* Εφραιμ· BA | *τι ετι αυτω* A | *κατισχυσω*] pr *εγω* $AQ^{*\,et\,mg}$ (om AQ *εγω* Q^{a}) | om *εγω* 2° Q^{*} (hab Q^{mg}) **10** *επιγνωσεται*] *γνωσεται* Q^{a} | *του κυριου*] om *του* Q^{*} (superscr Q^{a})

Subscr *Ωσηε α* BAQ (+ *λυπουμενος και παρ Εβραιοις α'* Q^{a})

Α Μ Ω Σ

B ΛΟΓΟΙ Ἀμὼς οἳ ἐγένοντο ἐν Ἀκκαρεὶμ ἐν Θεκουέ, οὓς εἶδεν ὑπὲρ 1 I
Ἰερουσαλὴμ ἐν ἡμέραις Ὀζείου βασιλέως Ἰούδα καὶ ἐν ἡμέραις Ἰερο-
βοὰμ τοῦ Ἰωὰς βασιλέως Ἰσραήλ, πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ.

[2]Καὶ εἶπεν Κύριος ἐκ Σιὼν ἐφθέγξατο, καὶ ἐξ Ἰερουσαλὴμ ἔδωκεν 2
φωνὴν αὐτοῦ, καὶ ἐπένθησαν αἱ νομαὶ τῶν ποιμένων, καὶ ἐξηράνθη ἡ
κορυφὴ τοῦ Καρμήλου.

[3]Καὶ εἶπεν Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Δαμασκοῦ καὶ ἐπὶ 3
ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἀνθ' ὧν ἔπριζον πρίοσιν
§ Γ σιδηροῖς τὰς ἐν γαστρὶ §ἐχούσας τῶν ἐν Γαλαάδ· [4]καὶ ἐξαποστελῶ 4
πῦρ εἰς τὸν οἶκον Ἀζαήλ, καὶ καταφάγεται θεμέλια υἱοῦ Ἀδέρ· [5]καὶ 5
συντρίψω μοχλοὺς Δαμασκοῦ, καὶ ἐξολεθρεύσω κατοικοῦντας ἐκ πεδίου
Ὤν, καὶ κατακόψω φυλὴν ἐξ ἀνδρῶν Χαρράν, καὶ αἰχμαλωτευθήσε-
ται λαὸς Συρίας ἐπίκλητος, λέγει Κύριος.

[6]Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Γάζης καὶ ἐπὶ 6
ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς, ἕνεκεν τοῦ αἰχμαλω-
τεῦσαι αὐτοὺς αἰχμαλωσίαν τοῦ Σαλωμών, τοῦ συγκλεῖσαι εἰς τὴν
Ἰδουμαίαν· [7]καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη Γάζης, καὶ κατα- 7
φάγεται θεμέλια αὐτῆς. [8]καὶ ἐξολεθρεύσω κατοικοῦντας ἐξ Ἀζώτου, 8
καὶ ἐξαρθήσεται φυλὴ ἐξ Ἀσκάλωνος, καὶ ἐπάξω τὴν χεῖρά μου
ἐπὶ Ἀκκαρών, καὶ ἀπολοῦνται οἱ κατάλοιποι τῶν ἀλλοφύλων, λέγει
Κύριος.

[9]Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Τύρου καὶ ἐπὶ 9

AQΓ Inscr Αμως β BAQ I 1 εν 2°] εκ A | Οζιου B^{b}A 2 ποιμενων] ποιμνιων Q (-μενων Q^{a}) 3 πριοσι Q^{vid} | om τας Q^{*} (hab Q^{mg}) | om εν 2° A 4 εις] επι Γ | θεμελια] pr τα Q^{a} 5 αιχμαλωτευθησεται] αιχμαλωτισθησεται AQ^{a} αιχμαλωτισθησονται Γ 6 αυτους 1°] αυτην Q^{a} | συγκλεισαι] συνκλισαι A

ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτήν, ἀνθ' ὧν συνέκλεισαν B
αἰχμαλωσίαν τοῦ Σαλωμὼν εἰς τὴν Ἰδουμαίαν, καὶ οὐκ ἐμνήσθησαν
10 διαθήκης ἀδελφῶν· [10] καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ¶ τείχη Τύρου, καὶ ¶ Γ
καταφάγεται τὰ θεμέλια αὐτῆς.
11 [11] Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις τῆς Ἰδουμαίας καὶ
ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς, ἕνεκα τοῦ διῶξαι
αὐτοὺς ἐν ῥομφαίᾳ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐλυμήνατο μητέρα ἐπὶ
γῆς, καὶ ἥρπασεν εἰς μαρτύριον φρίκην αὐτοῦ, καὶ τὸ ὅρμημα αὐτοῦ
12 ἐφύλαξεν εἰς νῖκος· [12] καὶ ἐξαποστελῶ πῦρ εἰς Θαιμάν, καὶ κατα-
φάγεται θεμέλια τειχέων αὐτῆς.
13 [13] Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ἀμμὼν καὶ
ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἀνθ' ὧν ἀνέσχιζον
τὰς ἐν γαστρὶ ἐχούσας τῶν Γαλααδειτῶν, ὅπως ἐνπλατύνωσιν τὰ ὅρια
14 ἑαυτῶν· [14] καὶ ἀνάψω πῦρ ἐπὶ τὰ τείχη Ῥαββά, καὶ καταφάγεται
θεμέλια αὐτῆς μετὰ κραυγῆς ἐν ἡμέρᾳ πολέμου, καὶ σεισθήσεται ἐν
15 ἡμέραις συντελείας αὐτῆς· [15] καὶ πορεύσονται οἱ βασιλεῖς αὐτῆς ἐν
αἰχμαλωσίᾳ, οἱ ἱερεῖς αὐτῶν καὶ οἱ ἄρχοντες αὐτῶν ἐπὶ τὸ αὐτό, λέγει
Κύριος.
II 1 [1] Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Μωὰβ καὶ ἐπὶ ταῖς
τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἀνθ' ὧν κατέκαυσαν τὰ ὀστᾶ
2 βασιλέως τῆς Ἰδουμαίας εἰς κονίαν· [2] καὶ ἐξαποστελῶ πῦρ ἐπὶ Μωάβ,
καὶ καταφάγεται τὰ θεμέλια τῶν πόλεων αὐτῆς, καὶ ἀποθανεῖται ἐν
3 ἀδυναμίᾳ Μωὰβ μετὰ κραυγῆς καὶ μετὰ φωνῆς σάλπιγγος· [3] καὶ ἐξο-
λεθρεύσω κριτὴν ἐξ αὐτῆς, καὶ πάντας αὐτῆς ἀποκτενῶ μετ' αὐτοῦ,
λέγει Κύριος.
4 [4] Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ἰούδα καὶ
ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἕνεκα τοῦ ἀπώσασθαι

9 τερσαρσιν A* (τεσσ. A^1) | αυτην] αυτον Q^a (θ' -την α' σ' -τον Q^{mg}) | AQΓ αιχμαλωσιαν] pr τῇ| Γ | Ιδουμαιαν] Ιουδαιαν B* (Ιδ. B^{ab}) A 10 τα θεμελια] om τα A 11 Ιδουμαιας] Ιουδαιας A* (Ιδ. A^1) | τερσαρσιν A | ενεκεν A | τον αδελφον] pr εκαστος A | μητερα] μητραν AQ | νεικος B^{ab} 13 αυτον] αυτους A | Γαλααδειτων] Γαλααδιτων A Γαλααδιτι|των Q* -διτι|λων Q$^{a\,vid}$ | οπως ενπλατυνωσιν] οι ο' ωστε εμπλατυναι Q^{mg} εμπλατυνωσι B$^{b\,(vid)}$ (-σιν Q^a) εμπλατυνουσιν A | εαυτων] αυτων A 14 αναψω] οι ο' εξαψω Q^{mg} | θεμελια] pr τα Q | ημερα AQ^a | συντελει B* (-τελειας B^{ab}) 15 αυτων 1°] αυτου Q^a | αυτων 2°] ομ(οιως) οι γ' αυτου Q^{mg} II 1 ασεβειας B* (-βειαις B^{ab}) | τερσαρσιν A* (τεσσ. A$^{a?}$) 2 επι] εις Q^a | τα θεμελια] om τα AQ | των πολ. αυτης] της Καριωθ Q^{mg} | αυτης BA*Q^a] αυτων A^{b}Q* | αδυναμεια B* (-μια B^b) A | φωνη A* (-νης A^1) 3 παντας] + τους αρχοντας AQ* (om τους Q^a) | αυτου] αυτης AQ* σ' -της Q^{mg} (-του Q^a) 4 αυτον] αυτους AQ* (-τον Q^a) | ενεκεν A

B αὐτοὺς τὸν νόμον τοῦ κυρίου, καὶ τὰ προστάγματα αὐτοῦ οὐκ ἐφυ-
λάξαντο, καὶ ἐπλάνησεν αὐτοὺς τὰ μάταια αὐτῶν ἃ ἐποίησαν, οἷς
ἐξηκολούθησαν οἱ πατέρες αὐτῶν ὀπίσω αὐτῶν· [5]καὶ ἐξαποστελῶ πῦρ 5
ἐπὶ Ἰούδαν, καὶ καταφάγεται θεμέλια Ἰερουσαλήμ.
[6]Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Ἰσραὴλ καὶ ἐπὶ 6
ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἀνθ' ὧν ἀπέδοντο
ἀργυρίου δίκαιον, καὶ πένητα ἕνεκεν ὑποδημάτων, [7]τὰ πατοῦντα ἐπὶ 7
τὸν χοῦν τῆς γῆς, καὶ ἐκονδύλιζον εἰς κεφαλὰς πτωχῶν, καὶ ὁδὸν
ταπεινῶν ἐξέκλιναν, καὶ υἱὸς καὶ πατὴρ αὐτοῦ εἰσεπορεύοντο πρὸς
τὴν αὐτὴν παιδίσκην, ὅπως βεβηλῶσιν τὸ ὄνομα τοῦ θεοῦ αὐτῶν·
[8]καὶ τὰ ἱμάτια αὐτῶν δεσμεύοντες σχοινίοις παραπετάσματα ἐποίουν 8
ἐχόμενα τοῦ θυσιαστηρίου, καὶ οἶνον ἐκ συκοφαντιῶν ἔπινον ἐν τῷ
οἴκῳ τοῦ θεοῦ αὐτῶν. [9]ἐγὼ δὲ ἐξῆρα τὸν Ἀμορραῖον ἐκ προσώπου 9
αὐτῶν, οὗ ἦν καθὼς ὕψος κέδρου τὸ ὕψος αὐτοῦ, καὶ ἰσχυρὸς ἦν
ὡς δρῦς, καὶ ἐξήρανα τὸν καρπὸν αὐτοῦ ἐπάνωθεν καὶ τὰς ῥίζας
αὐτοῦ ὑποκάτωθεν· [10]καὶ ἐγὼ ἀνήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου, καὶ 10
περιήγαγον ὑμᾶς ἐν τῇ ἐρήμῳ μʹ ἔτη τοῦ κατακληρονομῆσαι τὴν γῆν
τῶν Ἀμορραίων· [11]καὶ ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας, καὶ 11
ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν· μὴ οὐκ ἔστιν ταῦτα, υἱοὶ
Ἰσραήλ; λέγει Κύριος. [12]καὶ ἐποτίζετε τοὺς ἡγιασμένους οἶνον, καὶ 12
τοῖς προφήταις ἐνετέλλεσθε λέγοντες Οὐ μὴ προφητεύσητε. [13]διὰ 13
τοῦτο ἰδοὺ ἐγὼ κυλίω ὑποκάτω ὑμῶν ὃν τρόπον κυλίεται ἡ ἅμαξα ἡ
γέμουσα καλάμης· [14]καὶ ἀπολεῖται φυγὴ ἐκ δρομέως, καὶ ὁ κραταιὸς 14
οὐ μὴ κρατήσῃ τῆς ἰσχύος αὐτοῦ, καὶ ὁ μαχητὴς οὐ μὴ σώσει τὴν
ψυχὴν αὐτοῦ, [15]καὶ ὁ τοξότης οὐ μὴ ὑποστῇ, καὶ ὁ ὀξὺς τοῖς ποσὶν 15
αὐτοῦ οὐ μὴ διασωθῇ, οὐδὲ ὁ ἱππεὺς οὐ μὴ σώσει τὴν ψυχὴν αὐτοῦ,
[16]καὶ ὁ κραταιὸς οὐ μὴ εὑρήσει τὴν καρδίαν αὐτοῦ ἐν δυναστείαις, ὁ 16
γυμνὸς διώξεται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος.

[1]Ἀκούσατε τὸν λόγον τοῦτον ὃν ἐλάλησεν Κύριος ἐφ' ὑμᾶς, οἶκος 1 III

AQ 4 του κυριου] om του A | ματαια] αιματα A* (ματ. A$^{a?}$) 7 βεβηλωσιν] βεβηλωσωσιν A^{a} (σωσιν το ονομα του sup ras) βεβηλωσωσι Q 9 εξηρα] εξεγειρα A | εκ] προ Q* (εκ Q^{a}) | ου] ουν B | επανωθεν] απανωθεν A 10 μʹ] τεσσερακοντα AQ 11 ελαβον] ανελαβον Q^{a} 13 κυλιω] κωλυω A 14—15 ταιος ου μη κρατηση…ιππευς sup ras A^{a} 14 κρατησει Q | om ου μη σωσει την ψυχην αυτου A^{a} | σωσει] σωση Q^{a} 15 διασωθη] pro δ incep σ B* | ουδε] και Q^{mg} | ιππεις Q$^{a vid}$ | σωση AQ^{a} 16 om ο κραταιος ου μη AQ om ου μη B^{ab} | ευρησει την καρδιαν] ηυρεθη καρδια Q^{mg} | δυναστιαις A

Ἰσραήλ, καὶ κατὰ πάσης φυλῆς ἧς ἀνήγαγον ἐκ γῆς Αἰγύπτου, B
2 λέγων [2]Πλὴν ὑμᾶς ἔγνων ἐκ πασῶν φυλῶν γῆς· διὰ τοῦτο ἐκδικήσω
3 ἐφ᾽ ὑμᾶς πάσας τὰς ἁμαρτίας ὑμῶν. [3]εἰ πορεύσονται δύο ἐπὶ τὸ
4 αὐτὸ καθόλου ἐὰν μὴ γνωρίσωσιν ἑαυτούς; [4]εἰ ἐρεύξεται λέων ἐκ τοῦ
δρυμοῦ αὐτοῦ θήραν οὐκ ἔχων; εἰ δώσει σκύμνος φωνὴν αὐτοῦ ἐκ
5 τῆς μάνδρας αὐτοῦ καθόλου ἐὰν μὴ ἁρπάσῃ τι; [5]εἰ πεσεῖται ὄρνεον
ἐπὶ τὴν γῆν ἄνευ ἰξευτοῦ; εἰ σχασθήσεται παγὶς ἐπὶ τῆς γῆς ἄνευ
6 τοῦ συλλαβεῖν τι; [6]εἰ φωνήσει σάλπιγξ ἐν πόλει καὶ λαὸς οὐ μὴ
πτοηθήσεται; εἰ ἔσται κακία ἐν πόλει ἣν Κύριος οὐκ ἐποίησεν;
7 [7]διότι οὐ μὴ ποιήσει Κύριος ὁ θεὸς πρᾶγμα ἐὰν μὴ ἀποκαλύψῃ παι-
8 δείαν πρὸς τοὺς δούλους αὐτοῦ τοὺς προφήτας. [8]λέων ἐρεύξεται, καὶ
τίς οὐ φοβηθήσεται; Κύριος ὁ θεὸς ἐλάλησεν, καὶ τίς οὐ προφητεύσει;
9 [9]Ἀπαγγείλατε χώραις ἐν Ἀσσυρίοις καὶ ἐπὶ τὰς χώρας τῆς
Αἰγύπτου, καὶ εἴπατε Συνάχθητε ἐπὶ τὸ ὄρος Σαμαρείας, καὶ ἴδετε
θαυμαστὰ πολλὰ ἐν μέσῳ αὐτῆς καὶ καταδυναστείαν τὴν ἐν αὐτῇ·
10 [10]καὶ οὐκ ἔγνω ἃ ἔσται ἐναντίον αὐτῆς, λέγει Κύριος, οἱ θησαυρίζοντες
11 ἀδικίαν καὶ ταλαιπωρίαν ἐν ταῖς χώραις αὐτῶν. [11]διὰ τοῦτο τάδε
λέγει Κύριος ὁ θεός Τύρος κυκλόθεν ἡ γῆ σου ἐρημωθήσεται, καὶ
12 κατάξει ἐκ σοῦ ἰσχύν σου, καὶ διαρπαγήσονται αἱ χῶραί σου. [12]τάδε
λέγει Κύριος Ὃν τρόπον ὅταν ἐκσπάσῃ ὁ ποιμὴν ἐκ στόματος τοῦ
λέοντος δύο σκέλη ἢ λοβὸν ὠτίου, οὕτως ἐκσπασθήσονται οἱ υἱοὶ
Ἰσραὴλ οἱ κατοικοῦντες ἐν Σαμαρείᾳ κατέναντι τῆς φυλῆς καὶ ἐν
13 Δαμασκῷ ἱερεῖς. [13]ἀκούσατε καὶ ἐπιμαρτύρασθε τῷ οἴκῳ Ἰακώβ,
14 λέγει Κύριος ὁ θεὸς ὁ παντοκράτωρ, [14]διότι ἐν τῇ ἡμέρᾳ ὅταν ἐκδικῶ
ἀσεβείας τοῦ Ἰσραὴλ ἐπ᾽ αὐτόν, καὶ ἐκδικήσω ἐπὶ τὰ θυσιαστήρια
Βαιθήλ, καὶ κατασκαφήσεται τὰ κέρατα τοῦ θυσιαστηρίου καὶ πε-
15 σοῦνται ἐπὶ τὴν γῆν· [15]συνχεῶ καὶ πατάξω τὸν οἶκον τὸν περίπτερον

III 2 πασων] πασης Q^{*} (-σων Q^{a}) | φυλων] pr των AQ | γης] pr της AQ | υμων] αυτων $A^{*\,vid}$ (υμ. A^{a}) 5 την γην] της γης A | χασθησεται A^{*} (σχασθ. A^{1}) 6 om μη A 7 ποιηση A | παιδειαν] + αυτου AQ 9 απαγγειλατε] αναγγ. Q^{a} | τας χωρας] ταις χωραις Q^{a} (τας χωρας $Q^{*\,vid}$) | της Αιγ.] om της A εν γη Αιγυπτω Q^{a} | Σαμαρειας] Σαμα sup ras B^{ab} | ειδετε Q | καταδυναστειαν] pr την AQ 10 εσται] εστιν Q^{mg} | εναντιον αυτης] εν αυτη A ενωπιον (εναντ. $Q^{a\,vid\,et\,mg}$) αυτης Q^{*} 11 ο θεος] om ο A^{b} 12 εκπαση B^{*} (εκσπ. B^{ab}) | η] ο B^{*} (η B^{ab}) | εκσπαθησονται B | om εν 1° Q^{*} (hab Q^{a}) | Σαμαρειαν Q | της φυλης] om της AQ | ιερεις] κλινη Q^{mg} 13 επιμαρτυρασθε] incep επι μαρτυρια $Q^{*\,vid}$ 14 εκδικησω AQ | ασεβειαν $AQ^{*\,vid}$ | Βεθηλ Q | κατασκαφθησεται Q^{*} 15 συγχεω $B^{ab}AQ^{a}$ και συντριψω Q^{mg}

B ἐπὶ τὸν οἶκον τὸν θερινόν, καὶ ἀπολοῦνται οἶκοι ἐλεφάντινοι, καὶ προσ-
τεθήσονται ἕτεροι οἶκοι πολλοί, λέγει Κύριος.

1 Ἀκούσατε τὸν λόγον τοῦτον, δαμάλεις τῆς Βασανίτιδος αἱ ἐν τῷ 1 IV
ὄρει τῆς Σαμαρείας, αἱ καταδυναστεύουσαι πτωχοὺς καὶ καταπατοῦσαι
πένητας, αἱ λέγουσαι τοῖς κυρίοις αὐτῶν Ἐπίδοτε ἡμῖν ὅπως πίωμεν.
2 ὀμνύει Κύριος κατὰ τῶν ἁγίων αὐτοῦ διότι Ἰδοὺ ἡμέραι ἔρχονται 2
ἐφ' ὑμᾶς καὶ λήμψονται ὑμᾶς ἐν ὅπλοις, καὶ τοὺς μεθ' ὑμῶν εἰς
λέβητας ὑποκαιομένους ἐμβαλοῦσιν ἔμπυροι λοιμοί, 3 καὶ ἐξενεχθή- 3
σεσθε γυμναὶ κατέναντι ἀλλήλων, καὶ ἀπορειφήσεσθε εἰς τὸ ὄρος
τὸ Ῥομμάν, λέγει Κύριος. 4 Εἰσήλθατε εἰς Βαιθὴλ καὶ ἠσεβή- 4
σατε, καὶ εἰς Γάλγαλα ἐπληθύνατε τοῦ ἀσεβῆσαι, καὶ ἠνέγκατε εἰς
τὸ πρωὶ θυσίας ὑμῶν, εἰς τὴν τριημερίαν τὰ ἐπιδέκατα ὑμῶν· 5 καὶ 5
ἀνέγνωσαν ἔξω νόμον, καὶ ἐπεκαλέσαντο ὁμολογίας· ἀναγγείλατε ὅτι
ταῦτα ἠγάπησαν οἱ υἱοὶ Ἰσραήλ, λέγει Κύριος ὁ θεός. 6 καὶ ἐγὼ δώσω 6
ὑμῖν γομφιασμὸν ὀδόντων ἐν πάσαις ταῖς πόλεσιν ὑμῶν, καὶ ἔνδειαν
ἄρτων ἐν πᾶσι τοῖς τόποις ὑμῶν, καὶ οὐκ ἐπεστρέψατε πρὸς μέ,
λέγει Κύριος. 7 καὶ ἐγὼ ἀνέσχον ἐξ ὑμῶν τὸν ὑετὸν πρὸ τριῶν μηνῶν 7
τοῦ τρυγητοῦ, καὶ βρέξω ἐπὶ πόλιν μίαν, ἐπὶ δὲ πόλιν μίαν οὐ βρέξω·
μερὶς μία βραχήσεται, καὶ μερὶς ἐφ' ἣν οὐ βρέξω ξηρανθήσεται. 8 καὶ 8
συναθροισθήσονται δύο καὶ τρεῖς πόλεις εἰς πόλιν μίαν τοῦ πιεῖν
ὕδωρ καὶ οὐ μὴ ἐμπλησθῶσιν, καὶ οὐκ ἐπεστράφητε πρὸς μέ, λέγει
Κύριος. 9 ἐπάταξα ὑμᾶς ἐν πυρώσει καὶ ἐν ἰκτέρῳ· ἐπληθύνατε κήπους 9
ὑμῶν, ἀμπελῶνας ὑμῶν καὶ συκῶνας ὑμῶν καὶ ἐλαιῶνας ὑμῶν κατέ-
φαγεν ἡ κάμπη, καὶ οὐδ' ὣς ἐπεστρέψατε πρὸς μέ, λέγει Κύριος.
10 ἐξαπέστειλα εἰς ὑμᾶς θάνατον ἐν ὁδῷ Αἰγύπτου, καὶ ἀπέκτεινα ἐν 10
ῥομφαίᾳ τοὺς νεανίσκους ὑμῶν μετὰ αἰχμαλωσίας ἵππων σου, καὶ
ἀνήγαγον ἐν πυρὶ τὰς παρεμβολὰς ὑμῶν ἐν τῇ ὀργῇ ὑμῶν, καὶ
οὐδ' ὣς ἐπεστρέψατε πρὸς μέ, λέγει Κύριος. 11 κατέστρεψα ὑμᾶς 11

AQ 15 ελεφαντινοι] pr οι Q^a | οικοι ετεροι AQ | om Κυριος B IV 1 δαμαλις A | πτωχους] πενητας AQ | πενητας] πτωχους AQ 2 διοτι] οτι A | ληψονται Q | υποκεομενους B* (υποκαιομ. B^ab) | om υποκ. εμβαλουσιν AQ* (hab Q^mg) 3 απορριφησεσθε B^a (vid) b Q^a | Ρεμμαν AQ* Ερμωνα Q^mg | Κυριος] + ο θ̅ς̅ AQ 4 εισηλθετε Q* vid | ησεβησατε] ηνομησατε AQ 5 απαγγειλατε Q* (αναγγ. Q^a) | οτι] διοτι Q 6 πασι (-σιν Q) τοις τοποις] πασαις ταις πολεσιν A 7 τιων A* (τριων A^1) | τρυγητου] θερισμου Q^mg | επι 1° sup ras B? vid | βρεξω 3°] + επ αυτην AQ 8 δυο] + πολεις A | πολεις] πολις B* (-λεις B^ab (vid)) | πολεις εις πολιν] ς πο sup ras B? vid πολεις εις sup ras A^a | ουκ επεστραφητε] ουδ ως επεστρεψατε AQ* (ουκ επεστραφ. Q^mg) 9 υμας] υ sup ras B? 10 υμων 2°] μου AQ* (υμ. Q^1 mg)

καθὼς κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γόμορρα, καὶ ἐγένεσθε ὡς B
δαλὸς ἐξεσπασμένος ἐκ πυρός, καὶ οὐδ᾽ ὡς ἐπεστρέψατε πρός μέ,
12 λέγει Κύριος. [12]διὰ τοῦτο οὕτως ποιήσω σοι, Ἰσραήλ· πλὴν ὅτι
οὕτως ποιήσω σοι, ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν θεόν σου, Ἰσραήλ.
13 [13]διότι στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλλων εἰς
ἀνθρώπους τὸν χριστὸν αὐτοῦ, ὁ ποιῶν ὄρθρον καὶ ὁμίχλην, ἐπι-
βαίνων ἐπὶ τὰ ὕψη τῆς γῆς· Κύριος ὁ θεὸς ὁ παντοκράτωρ ὄνομα
αὐτῷ.
V 1 [1]Ἀκούσατε τὸν λόγον Κυρίου τοῦτον ὃν ἐγὼ λαμβάνω ἐφ᾽ ὑμᾶς
2 θρῆνον Οἶκος Ἰσραήλ [2]ἔπεσεν, οὐκέτι μὴ προσθήσει τοῦ ἀναστῆναι·
παρθένος τοῦ Ἰσραὴλ ἔσφαλεν ἐπὶ τῆς γῆς αὐτοῦ, οὐκ ἔστιν ὁ ἀνα-
3 στήσων αὐτήν. [3]διὰ τοῦτο τάδε λέγει κύριος Κύριος Ἡ πόλις ἐξ ἧς
ἐξεπορεύοντο χίλιοι, ὑπολειφθήσονται ρ᾽, καὶ ἐξ ἧς ἐξεπορεύοντο ρ᾽,
4 ὑπολειφθήσονται δέκα τῷ οἴκῳ Ἰσραήλ. [4]διότι τάδε λέγει Κύριος
5 πρὸς τὸν οἶκον Ἰσραήλ Ἐκζητήσατέ με, καὶ ζήσεσθε· [5]καὶ μὴ ἐκζη-
τεῖτε Βαιθὴλ καὶ εἰς Γάλγαλα μὴ εἰσπορεύεσθε, καὶ ἐπὶ τὸ φρέαρ τοῦ
ὅρκου μὴ διαβαίνετε, ὅτι Γάλγαλα αἰχμαλωτευομένη αἰχμαλωτευθή-
6 σεται, καὶ Βαιθὴλ ἔσται ὡς οὐχ ὑπάρχουσα. [6]ἐκζητήσατε τὸν κύριον,
καὶ ζῆτε, ὅπως μὴ ἀναλάμψῃ ὡς πῦρ ὁ οἶκος Ἰωσήφ καὶ καταφάγῃ
7 αὐτόν, καὶ οὐκ ἔσται ὁ σβέσων τῷ οἴκῳ Ἰσραήλ. [7]ὁ ποιῶν εἰς ὕψος
8 κρίμα, καὶ δικαιοσύνην εἰς γῆν ἔθηκεν· [8]ὁ ποιῶν πάντα καὶ μετα-
σκευάζων, καὶ ἐκτρέπων εἰς τὸ πρωὶ σκιάν, καὶ ἡμέραν εἰς νύκτα
συσκοτάζων· ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέων
9 αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς, Κύριος ὄνομα αὐτῷ· [9]ὁ διαιρῶν
συντριμμὸν ἐπ᾽ ἰσχύν, καὶ ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων.
10 [10]ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα, καὶ λόγον ὅσιον ἐβδελύξαντο.

11 εξεσπασμενος] ε 2° sup ras (ubi α prius ut vid) B? εξεσταλ|σμενον Q* AQ (-νος Qa) εξαπεσταλμενος Qmg **12** τι ουτως ποι sup ras et in mg Aa (om οτι A* vid) **13** διοτι] + ιδου εγω Bab mg AQ | απαγγελλων] αναγγελλων Q* (απαγγ. Qa) | χριστον] θ᾽ λογον Qmg | ο ποιων] om ο AQ | επιβαινων] pr και A | υψη] υψηλα Q* (υψη Qa) **V 1** κ̅υ̅ τουτο̅| sup ras Ab (om κ̅υ̅ A* vid) | Ισραηλ] pr του AQ **2** προσθησει] προσθη AQ (sed οσθ sup ras Qa vid) | αυτου] om A αῠτης Q | αναστησων] οι ο᾽ ανιστων Qmg **3** δια τουτο] διοτι AQ | Κυριος] ο θ̅ς̅ Qa | om εξ ης B* (hab Ba?) | εξεπορευοντο bis] επορευοντο A | ρ᾽ bis] εκατον AQ **4** Ισραηλ] Ισαηλ B* (Ισρ. Bab) **5** Βαιθηλ 1°] Βεθηλ Q* (Βαιθ. Qa) | διαβαινετε] αναβαινετε AQa (-ται Q*) | Βαιθηλ 2°] Βαθηλ Q* vid (Βαιθ. Qa) **6** ζητε] ζησατε BabQ* ζησετε AQa | αναλημψη B | καταφαγη] καταφαγεται AQ **7** ο ποιων] pr κ̅ς̅ ο θ̅ς̅ A pr κ̅ς̅ Q **8** ο ποιων] om ο AQ* (hab Qa) | σκιαν] + θανατου Qmg | προσωπου AQ* (-πον Qa) | Κυριος] + ο θ̅ς̅ ο παντοκρατωρ AQ **9** ο διαιρων] om ο A ο διοριζων Q | επ] επι A

B 11 διὰ τοῦτο ἀνθ' ὧν κατεκονδύλιζον πτωχούς, καὶ δῶρα ἐκλεκτὰ 11
ἐδέξασθε παρ' αὐτῶν, οἴκους ξεστοὺς ᾠκοδομήσατε καὶ οὐ μὴ κατοι-
κήσητε ἐν αὐτοῖς, ἀμπελῶνας ἐπιθυμητοὺς ἐφυτεύσατε καὶ οὐ μὴ
πίητε τὸν οἶνον ἐξ αὐτῶν. 12 ὅτι ἔγνων πολλὰς ἀσεβείας ὑμῶν, καὶ 12
ἰσχυραὶ αἱ ἁμαρτίαι ὑμῶν καταπατοῦσαι δίκαιον, λαμβάνοντες ἀνταλ-
λάγματα καὶ πένητας ἐν πύλαις ἐκκλίνοντες. 13 διὰ τοῦτο ὁ συνίων ἐν 13
τῷ καιρῷ ἐκείνῳ σιωπήσεται, ὅτι καιρὸς πονηρῶν ἐστιν. 14 ἐκζητήσατε 14
τὸ καλὸν καὶ μὴ πονηρόν, ὅπως ζήσητε, καὶ ἔσται οὕτως μεθ' ὑμῶν
Κύριος ὁ θεὸς ὁ παντοκράτωρ· ὃν τρόπον εἴπατε 15 Μεμισήκαμεν τὰ 15
πονηρὰ καὶ ἠγαπήκαμεν τὰ καλά, καὶ ἀποκαταστήσατε ἐν πύλαις κρίμα,
ὅπως ἐλεήσῃ Κύριος ὁ θεὸς ὁ παντοκράτωρ τοὺς περιλοίπους τοῦ Ἰωσήφ.
16 διὰ τοῦτο τάδε λέγει Κύριος ὁ θεὸς ὁ παντοκράτωρ Ἐν πάσαις ταῖς 16
πλατείαις κοπετός, καὶ ἐν πάσαις ταῖς ὁδοῖς ῥηθήσεται Οὐαὶ οὐαί·
κληθήσεται γεωργὸς εἰς πένθος καὶ κοπετόν, καὶ εἰς εἰδότας θρῆνον,
17 καὶ ἐν πάσαις ὁδοῖς κοπετός, διότι ἐλεύσομαι διὰ μέσου σου, εἶπεν 17
Κύριος. 18 οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου· ἵνα τί αὕτη ὑμῖν 18
ἡ ἡμέρα τοῦ κυρίου; καὶ αὕτη ἐστὶν σκότος καὶ οὐ φῶς. 19 ὃν τρόπον 19
ἐὰν φύγῃ ἄνθρωπος ἐκ προσώπου τοῦ λέοντος, καὶ ἐμπέσῃ αὐτῷ ἡ
ἄρκος, καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀπερείσηται τὰς χεῖρας
αὐτοῦ ἐπὶ τὸν τοῖχον, καὶ δάκῃ αὐτὸν ὄφις. 20 οὐχὶ σκότος ἡ ἡμέρα 20
τοῦ κυρίου καὶ οὐ φῶς; καὶ γνόφος οὐκ ἔχων φέγγος αὕτη; 21 μεμί- 21
σηκα, ἀπῶσμαι ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ θυσίας ἐν ταῖς
πανηγύρεσιν ὑμῶν. 22 διότι ἐὰν ἐνέγκητέ μοι ὁλοκαυτώματα καὶ θυσίας 22
ὑμῶν, οὐ προσδέξομαι, καὶ σωτηρίους ἐπιφανείας ὑμῶν οὐκ ἐπιβλέ-

AQ 11 πτωχους] εις κεφαλας πτωχων AQ* (πτωχους Q^{mg}) | ξεστους] ξυστους AQ* (ξεστ. Q^{a}) | ωκοδομησατε BQ^{a}] οικοδομησετε A οικοδομηθησεται Q* | κατοικησητε] κατοικησεται Q* (-κησετε Q^{a}) | αμπελωνας] pr και A | εφυτευσατε] φυτευσετε AQ* (-ται) φυτευσατε Q^{a} | τον οινον] om τον Q* (hab Q^{a}) | om εξ A 12 καταπατουσαι B] καταπατουντες AQ* (οι ο' -τουσαι Q^{mg}) | ανταλλαγματα] αλλαγμ. AQ | πενητα Q* (-τας Q^{a}) | εκκλινοντες] τες sup ras $A^{a?}$ 13 σιωπησητε B* σιωπησεται $B^{ab}A^{b}$ ([σεται sup ras 7 forte litt] Q) σιωπηθησεται A^{*vid} | πονηρος AQ 14 πονηρον] pr το A 15 τα πονηρα] το πονηρον A | τα καλα] το καλον A | ελεησει A 16 ταις πλατειαις (-τιαις A)] om ταις AQ | κοπετος] ras 1 lit post τ $A^{?}$ | ταις οδοις] om ταις AQ | ειδοτας] ιδοντας A 17 ελευσομαι] επελευσομαι A 18 ουαι| οι επιθυμ in mg et sup ras A^{a} 19 εαν] οταν A | φυγη] εκφυγη A | εμπεση αυτω η αρκος και εισπηδηση (εισπηδησει A)] εμπεσει A^{*vid} (εμπεση αυτω η αρκος ϗ εισ|πηδη in mg et sup ras $A^{a?}$) | απερεισηται] απεριση A απερισηται Q* (απερεισ. Q^{a}) | επι] προς A εις Q 20 φεγγος] φθεγγος A^{*vid} | αυτη] αυτης Q 21 om θυσιας Q 22 εαν] pr και AQ | ολοκαυτωματα] pr τα A | om ου προσδεξομαι...υμων Q* (hab Q^{mg}) | προσδεξομαι] + αυτα AQ^{mg} | σωτηριου A

23 ψομαι. 23 μετάστησον ἀπ᾽ ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων B
24 σου οὐκ ἀκούσομαι· 24 καὶ κυλισθήσεται ὡς ὕδωρ κρίμα, καὶ δικαιοσύνη
25 ὡς χειμάρρους ἄβατος. 25 μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι
26 ἐν τῇ ἐρήμῳ μ´ ἔτη, οἶκος Ἰσραήλ; 26 καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ
Μολὸχ καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥαιφάν, τοὺς τύπους αὐτῶν οὓς
27 ἐποιήσατε ἑαυτοῖς· 27 καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Δαμασκοῦ, λέγει
Κύριος, ὁ θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ.

VI 1 1 Οὐαὶ τοῖς ἐξουθενοῦσιν Σειὼν καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος
Σαμαρείας· ἀπετρύγησαν ἀρχὰς ἐθνῶν, καὶ εἰσῆλθον αὐτοί. οἶκος τοῦ
2 Ἰσραήλ, 2 διάβητε πάντες καὶ ἴδετε, καὶ διέλθατε ἐκεῖθεν εἰς Ἑμὰθ
Ῥαββά, καὶ κατάβητε ἐκεῖθεν εἰς Γὲθ ἀλλοφύλων, τὰς κρατίστας ἐκ
πασῶν τῶν βασιλειῶν τούτων, εἰ πλέονα τὰ ὅρια αὐτῶν ἐστὶν τῶν
3 ὑμετέρων ὁρίων. 3 οἱ ἐρχόμενοι εἰς ἡμέραν κακήν, οἱ ἐγγίζοντες καὶ
4 ἐφαπτόμενοι σαββάτων ψευδῶν, 4 οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλε-
φαντίνων καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν, καὶ
ἔσθοντες ἐρίφους ἐκ ποιμνίων καὶ μοσχάρια ἐκ μέσου βουκολίων
5 γαλαθηνά, 5 οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων, ὡς
6 ἑστηκότα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα· 6 οἱ πίνοντες τὸν δινλι-
λισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι, καὶ οὐκ ἔπασχον
7 οὐδὲν ἐπὶ τῇ συντριβῇ Ἰωσήφ. 7 διὰ τοῦτο νῦν αἰχμάλωτοι ἔσονται
ἀπ᾽ ἀρχῆς δυναστῶν, καὶ ἐξαρθήσεται χρεμετισμὸς ἵππων ἐξ Ἐφράιμ.
8 8 ὅτι ὤμοσεν Κύριος καθ᾽ ἑαυτοῦ διότι Βδελύσσομαι ἐγὼ πᾶσαν τὴν
ὕβριν Ἰακώβ, καὶ τὰς χώρας αὐτοῦ μεμίσηκα, καὶ ἐξαρῶ πόλιν σὺν
9 πᾶσιν τοῖς κατοικοῦσιν αὐτήν· 9 καὶ ἔσται ἐὰν ὑπολειφθῶσιν δέκα ἐν
οἰκίᾳ μιᾷ, καὶ ἀποθανοῦνται καὶ ὑπολειφθήσονται οἱ κατάλοιποι,
10 10 καὶ λήμψονται οἱ οἰκεῖοι οἱ αὐτῶν καὶ παραβιῶνται τοῦ ἐξενέγκαι
τὰ ὀστᾶ αὐτῶν ἐκ τοῦ οἴκου· καὶ ἐρεῖ τοῖς προεστηκόσι τῆς οἰκίας Εἰ
ἔτι ὑπάρχει παρὰ σοί; καὶ ἐρεῖ Οὐκ ἔτι· καὶ ἐρεῖ Σίγα, ἕνεκα τοῦ
11 μὴ ὀνομάσαι τὸ ὄνομα Κυρίου. 11 διότι ἰδοὺ Κύριος ἐντέλλεται, καὶ

25 προσηνεγκετε Q[a] | μ´ ετη οικος Ισραηλ] οικος Ισλ τεσσερακοντα ετη λεγει AQ κς A τεσσερακοντα ετη οικ. Ισλ λεγει κς Q 26 Ρεφαν Q | om αυτων AQ* (hab Q[mg]) VI 1 εξουθενουσι Q[a] | Σιων B[b]AQ[a] | αυτοι] εαυτοις Q[a] 2 ειδετε Q | om και διελθατε εκειθεν Q | Εμαθ] Αιμαθ A Μαθ Q | Ραββα] + και διελθατε (-θετε Q[a]) εκειθεν Q | om εκειθεν 2° Q | βασιλεων A | πλεονα] πλιονα A 3 ερχομενοι BQ[a]] ευχομενοι AQ* 4 και 2°] αι Q* (και Q[a]) | om μεσου A 5 εστηκοτα] εστωτα AQ 7 απ] εξ Q* επ Q[mg] | χρεμετισμος] χ sup ras B[ab] | om εξ Q 8 διοτι] οτι A | αυτου] αυτων A | συν πασιν] συμπασιν (? συμ π.) B 9 δεκα] + ανδρες AQ | om και 2° A 10 οικειοι] οικοι Q* (-κειοι Q[a]) | om οι 2° A | παραβιωνται] οι παραβιωται A | προεστηκοσιν AQ | om μη Q* (hab Q[a])

B πατάξει τὸν οἶκον τὸν μέγαν θλάσμασιν καὶ τὸν οἶκον τὸν μικρὸν
ῥάγμασιν. [12]εἰ διώξονται ἐν πέτραις ἵπποι; εἰ παρασιωπήσονται 12
ἐν θηλείαις; ὅτι ἐξεστρέψατε εἰς θυμὸν κρίμα, καὶ καρπὸν δικαιο-
σύνης εἰς πικρίαν, [13]οἱ εὐφραινόμενοι ἐπ' οὐδενὶ λόγῳ, οἱ λέγοντες 13
Οὐκ ἐν τῇ ἰσχύι ἡμῶν ἔσχομεν κέρατα; [14]διότι ἰδοὺ ἐγὼ ἐπεγείρω 14
ἐφ' ὑμᾶς, οἶκος Ἰσραήλ, ἔθνος, λέγει Κύριος τῶν δυνάμεων, καὶ ἐκθλί-
ψουσιν ὑμᾶς τοῦ μὴ εἰσελθεῖν εἰς Ἑμὰθ καὶ ὡς τοῦ χειμάρρου τῶν
δυσμῶν.

[1]Οὕτως ἔδειξέν μοι Κύριος ὁ θεός, καὶ ἰδοὺ ἐπιγονὴ ἀκρίδων 1 VII
ἐρχομένη ἑωθινή, καὶ ἰδοὺ βροῦχος εἷς Γὼγ ὁ βασιλεύς. [2]καὶ ἔσται 2
ἐὰν συντελέσῃ τοῦ καταφαγεῖν τὸν χόρτον τῆς γῆς, καὶ εἶπα Κύριε
Κύριε, ἵλεως γενοῦ· τίς ἀναστήσει τὸν Ἰακώβ; ὅτι ὀλιγοστός
ἐστιν· [3]μετανόησον, Κύριε, ἐπὶ τούτῳ. Καὶ τοῦτο οὐκ ἔσται, λέγει 3
Κύριος. [4]Οὕτως ἔδειξέν μοι Κύριος, καὶ ἰδοὺ ἐκάλεσεν τὴν δίκην 4
ἐν πυρὶ Κύριος, καὶ κατέφαγε τὴν ἄβυσσον τὴν πολλήν, καὶ κατέ-
φαγεν τὴν μερίδα Κυρίου. [5]καὶ εἶπα Κύριε, κόπασον δή· τίς 5
ἀναστήσει τὸν Ἰακώβ; ὅτι ὀλιγοστός ἐστιν· [6]μετανόησον, Κύριε, 6
ἐπὶ τούτῳ. Καὶ τοῦτο οὐ μὴ γένηται, λέγει Κύριος. [7]Οὕτως 7
ἔδειξέν μοι Κύριος, καὶ ἰδοὺ ἑστηκὼς ἐπὶ τείχους ἀδαμαντίνου, καὶ
ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας. [8]καὶ εἶπεν Κύριος πρός με Τί σὺ ὁρᾷς, 8
Ἀμώς; καὶ εἶπα Ἀδάμαντα. καὶ εἶπεν Κύριος πρός με Ἰδοὺ ἐγὼ
ἐντάσσω ἀδάμαντα ἐν μέσῳ λαοῦ μου Ἰσραήλ, οὐκέτι μὴ προσθῶ
τοῦ παρελθεῖν αὐτόν· [9]καὶ ἀφανισθήσονται βωμοὶ τοῦ γέλωτος, καὶ 9
αἱ τελεταὶ τοῦ Ἰσραὴλ ἐρημωθήσονται, καὶ ἀναστήσομαι ἐπὶ τὸν οἶκον
Ἰεροβοὰμ ἐν ῥομφαίᾳ.

[10]Καὶ ἐξαπέστειλεν Ἀμασίας ὁ ἱερεὺς Βαιθὴλ πρὸς Ἰεροβοὰμ 10
βασιλέα Ἰσραὴλ λέγων Συστροφὰς ποιεῖται κατὰ σοῦ Ἀμὼς ἐν μέσῳ
οἴκου Ἰσραήλ· οὐ μὴ δύνηται ἡ γῆ ὑπενεγκεῖν πάντας τοὺς λόγους
αὐτοῦ. [11]διότι τάδε λέγει Ἀμώς Ἐν ῥομφαίᾳ τελευτήσει Ἰεροβοάμ, 11
ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ. [12]καὶ εἶπεν 12

AQ 11 ρηγμασιν AQ[a] 12 οτι] + υμεις AQ 14 Ισραηλ] pr του AQ | om λεγει Κυριος των δυν. AQ | om εισελθειν A | ως] εως AQ VII 1 Κυριος ο θεος] om ο θεος AQ pr κ̅ς̅ Q[a] 2 συντελησῃ B* (-λεσῃ B[a?b]) 4 Κυριος 1°] + ο θ̅ς̅ A pr κ̅ς̅ Q[a] | Κυριος 2°] + ο θ̅ς̅ Q[mg] | κατεφαγεν AQ | om Κυριου AQ 5 Κυριε] + κ̅ε̅ AQ 6 Κυριος] + κ̅ς̅ Q 7 ιδου] + ανηρ AQ[1 mg] 8 ειπα] ειπον Q[a] | εν μεσω] εις μεσον AQ* (εν μεσω Q[a]) | λαου] pr του Q | προσθω] προσθησω AQ* (-θω Q[a]) 9 ερημωθησονται] εξερημωθησονται A 10 δυνηται] γενηται A | παντας] απαντας A

Ἀμασίας πρὸς Ἀμὼς Ὁ ὁρῶν, βάδιζε, ἐκχώρησον σὺ εἰς γῆν Ἰούδα, B
13 καὶ ἐκεῖ καταβίου, καὶ ἐκεῖ προφητεύσεις· [13]εἰς δὲ Βαιθὴλ οὐκέτι
προσθήσεις τοῦ προφητεῦσαι, ὅτι ἁγίασμα βασιλέως ἐστίν, καὶ
14 οἶκος βασιλείας ἐστίν. [14]καὶ ἀπεκρίθη Ἀμὼς καὶ εἶπεν πρὸς Ἀμα-
σίαν Οὐκ ἤμην προφήτης ἐγὼ οὐδὲ υἱὸς προφήτου, ἀλλ' ἢ αἰπόλος
15 ἤμην καὶ κνίζων συκάμινα. [15]καὶ ἀνέλαβέν με Κύριος ἐκ τῶν προ-
βάτων, καὶ εἶπεν Κύριος πρὸς μέ Βάδιζε, προφήτευσον ἐπὶ τὸν
16 λαόν μου Ἰσραήλ. [16]καὶ νῦν ἄκουε λόγον Κυρίου Σὺ λέγεις Μὴ
προφήτευε ἐπὶ τὸν Ἰσραήλ, καὶ οὐ μὴ ὀχλαγωγήσεις ἐπὶ τὸν οἶκον
17 Ἰακώβ· [17]διὰ τοῦτο τάδε λέγει Κύριος Ἡ γυνή σου ἐν τῇ πόλει
πορνεύσει, καὶ οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου ἐν ῥομφαίᾳ πεσοῦνται,
καὶ ἡ γῆ σου ἐν σχοινίῳ καταμετρηθήσεται, καὶ σὺ ἐν γῇ ἀκα-
θάρτῳ τελευτήσεις, ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς
αὐτοῦ.

VIII 1 [1]Οὕτως ἔδειξέν μοι κύριος Κύριος, [1]καὶ ἰδοὺ ἄγγος ἰξευτοῦ·
2 καὶ εἶπεν Τί σὺ βλέπεις, Ἀμώς; καὶ εἶπα Ἄγγος ἰξευτοῦ. [2]καὶ
εἶπεν Κύριος πρὸς μέ Ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου Ἰσραήλ, οὐ
3 προσθήσω ἔτι τοῦ παρελθεῖν αὐτόν. [3]καὶ ὀλολύξει τὰ φατνώματα
τοῦ ναοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος Κύριος· πολὺς ὁ πεπτωκὼς
4 ἐν παντὶ τόπῳ, ἐπιρρίψω σιωπήν. [4]ἀκούσατε δὴ ταῦτα οἱ ἐκτρίβοντες
εἰς τὸ πρωὶ πένητα, καὶ καταδυναστεύοντες πτωχοὺς ἀπὸ τῆς γῆς,
5 [5]λέγοντες Πότε διελεύσεται ὁ μὴν καὶ ἐμπολήσομεν, καὶ τὰ σάββατα
καὶ ἀνοίξομεν θησαυρὸν τοῦ ποιῆσαι μικρὸν μέτρον, καὶ τοῦ μεγαλῦναι
6 στάθμιον καὶ ποιῆσαι ζυγὸν ἄδικον, [6]τοῦ κτᾶσθαι ἐν ἀργυρίῳ καὶ
πτωχοὺς καὶ ταπεινὸν ἀντὶ ὑποδημάτων, καὶ ἀπὸ παντὸς γενήματος
7 ἐμπορευσόμεθα; [7]ὀμνύει Κύριος κατὰ τῆς ὑπερηφανίας Ἰακὼβ Εἰ
8 ἐπιλησθήσεται εἰς νῖκος πάντα τὰ ἔργα ὑμῶν, [8]καὶ ἐπὶ τούτοις οὐ

12 om συ AQ 13 om δε A | Βεθηλ Q | ουκετι] + μη AQ* (om μη Q^{a}) | προσθης AQ^{*vid} (προσθησεις Q$^{1(mg)}$) 14 om και 3° AQ 15 προφητων B (προβατων AQ) | Ισραηλ] pr του A 16, 17 γησεις επι τον οικ. Ι. δια τουτο τα sup ras ut vid B$^{1?a?}$ | οχλαγωγησης AQ 17 om εν τη πολει...η γη σου Q* (hab Q^{mg}) | om συ Q* (hab Q^{a}) | κυριος Κυριος] $\overline{κς}$ AQ VIII 1 βλεπεις] ορας A 2 ου προσθησω ετι] ουκετι μη προσθω AQ* (om μη Q^{a}) 3 τα φατνωματα (φατμ. B*)] om τα Q | εκεινη τη ημερα] τη ημ. εκεινη AQ | κυριος Κυριος] $\overline{κς}$ Q* (κς $\overline{κς}$ Q^{a}) | επιριψω AQ* 4 om και A | καταδυναστευοντες] ντ sup ras B^{ab} 5 λεγοντες] pr οι AQ | ενπολησομεν A εμπλησομεν Q* (εμπολ. Q^{a}) | θησαυρους AQ* (-ρον Q^{mg}) | μετρον μικρον Q | του μεγαλυναι] in με ras aliq B$^{?}$ om του A | σταθμιον] σταθμια A σταθμεια Q^{*vid} (-θμιον Q^{a}) 6 om και 1° AQ | ταπεινον] πενητα Q^{mg} | αντι] ανθ Q^{a} | παντος γεν.] πασης πρασεως Q^{mg} 7 κατα της υπερηφανιας] κατ (καθ Q) υπερηφανειας AQ | επιλησθησεται] επιλησεται A

Α Μ Ω Σ

B ΛΟΓΟΙ Ἀμὼς οἳ ἐγένοντο ἐν Ἀκκαρεὶμ ἐν Θεκουέ, οὓς εἶδεν ὑπὲρ 1 I
Ἰερουσαλὴμ ἐν ἡμέραις Ὀζείου βασιλέως Ἰούδα καὶ ἐν ἡμέραις Ἰερο-
βοὰμ τοῦ Ἰωὰς βασιλέως Ἰσραήλ, πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ.

2 Καὶ εἶπεν Κύριος ἐκ Σιὼν ἐφθέγξατο, καὶ ἐξ Ἰερουσαλὴμ ἔδωκεν 2
φωνὴν αὐτοῦ, καὶ ἐπένθησαν αἱ νομαὶ τῶν ποιμένων, καὶ ἐξηράνθη ἡ
κορυφὴ τοῦ Καρμήλου.
3 Καὶ εἶπεν Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Δαμασκοῦ καὶ ἐπὶ 3
ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἀνθ' ὧν ἔπριζον πρίοσιν
§ Γ σιδηροῖς τὰς ἐν γαστρὶ § ἐχούσας τῶν ἐν Γαλαάδ· 4 καὶ ἐξαποστελῶ 4
πῦρ εἰς τὸν οἶκον Ἀζαήλ, καὶ καταφάγεται θεμέλια υἱοῦ Ἀδέρ· 5 καὶ 5
συντρίψω μοχλοὺς Δαμασκοῦ, καὶ ἐξολεθρεύσω κατοικοῦντας ἐκ πεδίου
Ὤν, καὶ κατακόψω φυλὴν ἐξ ἀνδρῶν Χαρράν, καὶ αἰχμαλωτευθήσε-
ται λαὸς Συρίας ἐπίκλητος, λέγει Κύριος.
6 Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Γάζης καὶ ἐπὶ 6
ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς, ἕνεκεν τοῦ αἰχμαλω-
τεῦσαι αὐτοὺς αἰχμαλωσίαν τοῦ Σαλωμών, τοῦ συγκλεῖσαι εἰς τὴν
Ἰδουμαίαν· 7 καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη Γάζης, καὶ κατα- 7
φάγεται θεμέλια αὐτῆς. 8 καὶ ἐξολεθρεύσω κατοικοῦντας ἐξ Ἀζώτου, 8
καὶ ἐξαρθήσεται φυλὴ ἐξ Ἀσκάλωνος, καὶ ἐπάξω τὴν χεῖρά μου
ἐπὶ Ἀκκαρών, καὶ ἀπολοῦνται οἱ κατάλοιποι τῶν ἀλλοφύλων, λέγει
Κύριος.
9 Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Τύρου καὶ ἐπὶ 9

AQΓ Insct Αμως β BAQ I 1 εν 2°] εκ A | Οζιου B^bA 2 ποιμενων] ποιμνιων Q (-μενων Q^a) 3 πριοσι Q^{vid} | om τας Q^* (hab Q^{mg}) | om εν 2° A 4 εις] επι Γ | θεμελια] pr τα Q^a 5 αιχμαλωτευθησεται] αιχμαλωτισθησεται AQ^a αιχμαλωτισθησονται Γ 6 αυτους 1°] αυτην Q^a | συγκλεισαι] συνκλισαι A

ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτήν, ἀνθ᾽ ὧν συνέκλεισαν B
αἰχμαλωσίαν τοῦ Σαλωμὼν εἰς τὴν Ἰδουμαίαν, καὶ οὐκ ἐμνήσθησαν
10 διαθήκης ἀδελφῶν· [10]καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ¶ τείχη Τύρου, καὶ ¶ Γ
καταφάγεται τὰ θεμέλια αὐτῆς.
11 [11]Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις τῆς Ἰδουμαίας καὶ
ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς, ἕνεκα τοῦ διῶξαι
αὐτοὺς ἐν ῥομφαίᾳ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐλυμήνατο μητέρα ἐπὶ
γῆς, καὶ ἥρπασεν εἰς μαρτύριον φρίκην αὐτοῦ, καὶ τὸ ὅρμημα αὐτοῦ
12 ἐφύλαξεν εἰς νῖκος· [12]καὶ ἐξαποστελῶ πῦρ εἰς Θαιμάν, καὶ κατα-
φάγεται θεμέλια τειχέων αὐτῆς.
13 [13]Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ἀμμὼν καὶ
ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἀνθ᾽ ὧν ἀνέσχιζον
τὰς ἐν γαστρὶ ἐχούσας τῶν Γαλααδειτῶν, ὅπως ἐνπλατύνωσιν τὰ ὅρια
14 ἑαυτῶν· [14]καὶ ἀνάψω πῦρ ἐπὶ τὰ τείχη Ῥαββά, καὶ καταφάγεται
θεμέλια αὐτῆς μετὰ κραυγῆς ἐν ἡμέρᾳ πολέμου, καὶ σεισθήσεται ἐν
15 ἡμέραις συντελείας αὐτῆς· [15]καὶ πορεύσονται οἱ βασιλεῖς αὐτῆς ἐν
αἰχμαλωσίᾳ, οἱ ἱερεῖς αὐτῶν καὶ οἱ ἄρχοντες αὐτῶν ἐπὶ τὸ αὐτό, λέγει
Κύριος.
II 1 [1]Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Μωὰβ καὶ ἐπὶ ταῖς
τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἀνθ᾽ ὧν κατέκαυσαν τὰ ὀστᾶ
2 βασιλέως τῆς Ἰδουμαίας εἰς κονίαν· [2]καὶ ἐξαποστελῶ πῦρ ἐπὶ Μωάβ,
καὶ καταφάγεται τὰ θεμέλια τῶν πόλεων αὐτῆς, καὶ ἀποθανεῖται ἐν
3 ἀδυναμίᾳ Μωὰβ μετὰ κραυγῆς καὶ μετὰ φωνῆς σάλπιγγος· [3]καὶ ἐξο-
λεθρεύσω κριτὴν ἐξ αὐτῆς, καὶ πάντας αὐτῆς ἀποκτενῶ μετ᾽ αὐτοῦ,
λέγει Κύριος.
4 [4]Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ἰούδα καὶ
ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἕνεκα τοῦ ἀπώσασθαι

9 *τερσαρσιν* A* (*τεσσ.* A^{1}) | *αυτην*] *αυτον* Q^{a} (*θ′ -την α′σ′ -τον* Q^{mg}) | AQΓ *αιχμαλωσιαν*] pr *τῇ* Γ | *Ιδουμαιαν*] Ιουδαιαν B* (Ιδ. B^{ab}) A 10 *τα θεμελια*] om *τα* A 11 Ιδουμαιας] Ιουδαιας A* (Ιδ. A^{1}) | *τερσαρσιν* A | *ενεκεν* A | *τον αδελφον*] pr *εκαστος* A | *μητερα*] *μητραν* AQ | *νεικος* B^{ab} 13 *αυτον*] *αυτους* A | Γαλααδειτων] Γαλααδιτων A Γαλααδιτι|των Q* -διτι|λων Q$^{a\,vid}$ | *οπως ενπλατυνωσιν*] *οι ο′ ωστε εμπλατυναι* Q^{mg} *εμπλατυνωσι* B$^{b\,(vid)}$ (*-σιν* Q^{a}) *εμπλατυνουσιν* A | *εαυτων*] *αυτων* A 14 *αναψω*] *οι ο′ εξαψω* Q^{mg} | *θεμελια*] pr *τα* Q | *ημερα* AQ^{a} | *συντελει* B* (*-τελειας* B^{ab}) 15 *αυτων* 1°] *αυτου* Q^{a} | *αυτων* 2°] *ομ(οιως*) *οι γ′ αυτου* Q^{mg} II 1 *ασεβειας* B* (*-βειαις* B^{ab}) | *τερσαρσιν* A* (*τεσσ.* A$^{a?}$) 2 *επι*] *εις* Q^{a} | *τα θεμελια*] om *τα* AQ | *των πολ. αυτης*] *της* Καριωθ Q^{mg} | *αυτης* BA*Q^{a}] *αυτων* A^{b}Q* | *αδυναμεια* B* (*-μια* B^{b}) A | *φωνη* A* (*-νης* A^{1}) 3 *παντας*] + *τους αρχοντας* AQ* (om *τους* Q^{a}) | *αυτου*] *αυτης* AQ* *σ′ -της* Q^{mg} (*-του* Q^{a}) 4 *αυτον*] *αυτους* AQ* (*-τον* Q^{a}) | *ενεκεν* A

B αὐτοὺς τὸν νόμον τοῦ κυρίου, καὶ τὰ προστάγματα αὐτοῦ οὐκ ἐφυ-
λάξαντο, καὶ ἐπλάνησεν αὐτοὺς τὰ μάταια αὐτῶν ἃ ἐποίησαν, οἷς
ἐξηκολούθησαν οἱ πατέρες αὐτῶν ὀπίσω αὐτῶν· 5καὶ ἐξαποστελῶ πῦρ 5
ἐπὶ Ἰούδαν, καὶ καταφάγεται θεμέλια Ἰερουσαλήμ.

6Τάδε λέγει Κύριος Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Ἰσραὴλ καὶ ἐπὶ 6
ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτόν, ἀνθ' ὧν ἀπέδοντο
ἀργυρίου δίκαιον, καὶ πένητα ἕνεκεν ὑποδημάτων, 7τὰ πατοῦντα ἐπὶ 7
τὸν χοῦν τῆς γῆς, καὶ ἐκονδύλιζον εἰς κεφαλὰς πτωχῶν, καὶ ὁδὸν
ταπεινῶν ἐξέκλιναν, καὶ υἱὸς καὶ πατὴρ αὐτοῦ εἰσεπορεύοντο πρὸς
τὴν αὐτὴν παιδίσκην, ὅπως βεβηλῶσιν τὸ ὄνομα τοῦ θεοῦ αὐτῶν·
8καὶ τὰ ἱμάτια αὐτῶν δεσμεύοντες σχοινίοις παραπετάσματα ἐποίουν 8
ἐχόμενα τοῦ θυσιαστηρίου, καὶ οἶνον ἐκ συκοφαντιῶν ἔπινον ἐν τῷ
οἴκῳ τοῦ θεοῦ αὐτῶν. 9ἐγὼ δὲ ἐξῆρα τὸν Ἀμορραῖον ἐκ προσώπου 9
αὐτῶν, οὗ ἦν καθὼς ὕψος κέδρου τὸ ὕψος αὐτοῦ, καὶ ἰσχυρὸς ἦν
ὡς δρῦς, καὶ ἐξήρανα τὸν καρπὸν αὐτοῦ ἐπάνωθεν καὶ τὰς ῥίζας
αὐτοῦ ὑποκάτωθεν· 10καὶ ἐγὼ ἀνήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου, καὶ 10
περιήγαγον ὑμᾶς ἐν τῇ ἐρήμῳ μ' ἔτη τοῦ κατακληρονομῆσαι τὴν γῆν
τῶν Ἀμορραίων· 11καὶ ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας, καὶ 11
ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν· μὴ οὐκ ἔστιν ταῦτα, υἱοὶ
Ἰσραήλ; λέγει Κύριος. 12καὶ ἐποτίζετε τοὺς ἡγιασμένους οἶνον, καὶ 12
τοῖς προφήταις ἐνετέλλεσθε λέγοντες Οὐ μὴ προφητεύσητε. 13διὰ 13
τοῦτο ἰδοὺ ἐγὼ κυλίω ὑποκάτω ὑμῶν ὃν τρόπον κυλίεται ἡ ἅμαξα ἡ
γέμουσα καλάμης· 14καὶ ἀπολεῖται φυγὴ ἐκ δρομέως, καὶ ὁ κραταιὸς 14
οὐ μὴ κρατήσῃ τῆς ἰσχύος αὐτοῦ, καὶ ὁ μαχητὴς οὐ μὴ σώσει τὴν
ψυχὴν αὐτοῦ, 15καὶ ὁ τοξότης οὐ μὴ ὑποστῇ, καὶ ὁ ὀξὺς τοῖς ποσὶν 15
αὐτοῦ οὐ μὴ διασωθῇ, οὐδὲ ὁ ἱππεὺς οὐ μὴ σώσει τὴν ψυχὴν αὐτοῦ,
16καὶ ὁ κραταιὸς οὐ μὴ εὑρήσει τὴν καρδίαν αὐτοῦ ἐν δυναστείαις, ὁ 16
γυμνὸς διώξεται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος.

1Ἀκούσατε τὸν λόγον τοῦτον ὃν ἐλάλησεν Κύριος ἐφ' ὑμᾶς, οἶκος 1 III

AQ 4 του κυριου] om του A | ματαια] αιματα A* (ματ. A^a?) 7 βεβηλωσιν] βεβηλωσωσιν A^a (σωσιν το ονομα του sup ras) βεβηλωσωσι Q 9 εξηρα] εξεγειρα A | εκ] προ Q* (εκ Q^a) | ου] ουν B | επανωθεν] απανωθεν A 10 μ'] τεσσερακοντα AQ 11 ελαβον] ανελαβον Q^a 13 κυλιω] κωλυω A 14—15 ταιος ου μη κρατηση...ιππευς sup ras A^a 14 κρατησει Q | om ου μη σωσει την ψυχην αυτου A^a | σωσει] σωση Q^a 15 διασωθη] pro δ incep σ B* | ουδε] και Q^mg | ιππεις Q^a vid | σωση AQ^a 16 om ο κραταιος ου μη AQ om ου μη B^ab | ευρησει την καρδιαν] ηυρεθη καρδια Q^mg | δυναστιαις A

Ἰσραήλ, καὶ κατὰ πάσης φυλῆς ἧς ἀνήγαγον ἐκ γῆς Αἰγύπτου, B
2 λέγων [2]Πλὴν ὑμᾶς ἔγνων ἐκ πασῶν φυλῶν γῆς· διὰ τοῦτο ἐκδικήσω
3 ἐφ' ὑμᾶς πάσας τὰς ἁμαρτίας ὑμῶν. [3]εἰ πορεύσονται δύο ἐπὶ τὸ
4 αὐτὸ καθόλου ἐὰν μὴ γνωρίσωσιν ἑαυτούς; [4]εἰ ἐρεύξεται λέων ἐκ τοῦ
δρυμοῦ αὐτοῦ θήραν οὐκ ἔχων; εἰ δώσει σκύμνος φωνὴν αὐτοῦ ἐκ
5 τῆς μάνδρας αὐτοῦ καθόλου ἐὰν μὴ ἁρπάσῃ τι; [5]εἰ πεσεῖται ὄρνεον
ἐπὶ τὴν γῆν ἄνευ ἰξευτοῦ; εἰ σχασθήσεται παγὶς ἐπὶ τῆς γῆς ἄνευ
6 τοῦ συλλαβεῖν τι; [6]εἰ φωνήσει σάλπιγξ ἐν πόλει καὶ λαὸς οὐ μὴ
πτοηθήσεται; εἰ ἔσται κακία ἐν πόλει ἣν Κύριος οὐκ ἐποίησεν;
7 [7]διότι οὐ μὴ ποιήσει Κύριος ὁ θεὸς πρᾶγμα ἐὰν μὴ ἀποκαλύψῃ παι-
8 δείαν πρὸς τοὺς δούλους αὐτοῦ τοὺς προφήτας. [8]λέων ἐρεύξεται, καὶ
τίς οὐ φοβηθήσεται; Κύριος ὁ θεὸς ἐλάλησεν, καὶ τίς οὐ προφητεύσει;
9 [9]Ἀπαγγείλατε χώραις ἐν Ἀσσυρίοις καὶ ἐπὶ τὰς χώρας τῆς
Αἰγύπτου, καὶ εἴπατε Συνάχθητε ἐπὶ τὸ ὄρος Σαμαρείας, καὶ ἴδετε
θαυμαστὰ πολλὰ ἐν μέσῳ αὐτῆς καὶ καταδυναστείαν τὴν ἐν αὐτῇ·
10 [10]καὶ οὐκ ἔγνω ἃ ἔσται ἐναντίον αὐτῆς, λέγει Κύριος, οἱ θησαυρίζοντες
11 ἀδικίαν καὶ ταλαιπωρίαν ἐν ταῖς χώραις αὐτῶν. [11]διὰ τοῦτο τάδε
λέγει Κύριος ὁ θεός Τύρος κυκλόθεν ἡ γῆ σου ἐρημωθήσεται, καὶ
12 κατάξει ἐκ σοῦ ἰσχύν σου, καὶ διαρπαγήσονται αἱ χῶραί σου. [12]τάδε
λέγει Κύριος Ὃν τρόπον ὅταν ἐκσπάσῃ ὁ ποιμὴν ἐκ στόματος τοῦ
λέοντος δύο σκέλη ἢ λαβὸν ὠτίου, οὕτως ἐκσπασθήσονται οἱ υἱοὶ
Ἰσραὴλ οἱ κατοικοῦντες ἐν Σαμαρείᾳ κατέναντι τῆς φυλῆς καὶ ἐν
13 Δαμασκῷ ἱερεῖς. [13]ἀκούσατε καὶ ἐπιμαρτύρασθε τῷ οἴκῳ Ἰακώβ,
14 λέγει Κύριος ὁ θεὸς ὁ παντοκράτωρ, [14]διότι ἐν τῇ ἡμέρᾳ ὅταν ἐκδικῶ
ἀσεβείας τοῦ Ἰσραὴλ ἐπ' αὐτόν, καὶ ἐκδικήσω ἐπὶ τὰ θυσιαστήρια
Βαιθήλ, καὶ κατασκαφήσεται τὰ κέρατα τοῦ θυσιαστηρίου καὶ πε-
15 σοῦνται ἐπὶ τὴν γῆν· [15]συνχεῶ καὶ πατάξω τὸν οἶκον τὸν περίπτερον

III 2 πασων] πασης Q* (-σων Qᵃ) | φυλων] pr των AQ | γης] pr της AQ AQ | υμων] αυτων A* vid (υμ. Aᵃ) 5 την γην] της γης A | χασθησεται A* (σχασθ. A¹) 6 om μη A 7 ποιηση A | παιδειαν] + αυτου AQ 9 απαγγειλατε] αναγγ. Qᵃ | τας χωρας] ταις χωραις Qᵃ (τας χωρας Q* vid) | της Αιγ.] om της A εν γη Αιγυπτω Qᵃ | Σαμαρειας] Σαμα sup ras Bᵃᵇ | ειδετε Q | καταδυναστειαν] pr την AQ 10 εσται] εστιν Qᵐᵍ | εναντιον αυτης] εν αυτη A ενωπιον (εναντ. Qᵃ vid et mg) αυτης Q* 11 ο θεος] om ο Aᵇ 12 εκπαση B* (εκσπ. Bᵃᵇ) | η] ο B* (η Bᵃᵇ) | εκσπαθησονται B | om εν 1° Q* (hab Qᵃ) | Σαμαρειαν Q | της φυλης] om της AQ | ιερεις] κλινη Qᵐᵍ 13 επιμαρτυρασθε] incep επι μαρτυρια Q* vid 14 εκδικησω AQ | ασεβειαν AQ* vid | Βεθηλ Q | κατασκαφθησεται Q* 15 συγχεω BᵃᵇAQᵃ και συντριψω Qᵐᵍ

B ἐπὶ τὸν οἶκον τὸν θερινόν, καὶ ἀπολοῦνται οἶκοι ἐλεφάντινοι, καὶ προσ-
τεθήσονται ἕτεροι οἶκοι πολλοί, λέγει Κύριος.

1 Ἀκούσατε τὸν λόγον τοῦτον, δαμάλεις τῆς Βασανίτιδος αἱ ἐν τῷ 1 IV
ὄρει τῆς Σαμαρείας, αἱ καταδυναστεύουσαι πτωχοὺς καὶ καταπατοῦσαι
πένητας, αἱ λέγουσαι τοῖς κυρίοις αὐτῶν Ἐπίδοτε ἡμῖν ὅπως πίωμεν.
2 ὀμνύει Κύριος κατὰ τῶν ἁγίων αὐτοῦ διότι Ἰδοὺ ἡμέραι ἔρχονται 2
ἐφ' ὑμᾶς καὶ λήμψονται ὑμᾶς ἐν ὅπλοις, καὶ τοὺς μεθ' ὑμῶν εἰς
λέβητας ὑποκαιομένους ἐμβαλοῦσιν ἔμπυροι λοιμοί, 3 καὶ ἐξενεχθή- 3
σεσθε γυμναὶ κατέναντι ἀλλήλων, καὶ ἀπορριφήσεσθε εἰς τὸ ὄρος
τὸ Ῥομμάν, λέγει Κύριος. 4 Εἰσήλθατε εἰς Βαιθὴλ καὶ ἠσεβή- 4
σατε, καὶ εἰς Γάλγαλα ἐπληθύνατε τοῦ ἀσεβῆσαι, καὶ ἠνέγκατε εἰς
τὸ πρωὶ θυσίας ὑμῶν, εἰς τὴν τριημερίαν τὰ ἐπιδέκατα ὑμῶν· 5 καὶ 5
ἀνέγνωσαν ἔξω νόμον, καὶ ἐπεκαλέσαντο ὁμολογίας· ἀναγγείλατε ὅτι
ταῦτα ἠγάπησαν οἱ υἱοὶ Ἰσραήλ, λέγει Κύριος ὁ θεός. 6 καὶ ἐγὼ δώσω 6
ὑμῖν γομφιασμὸν ὀδόντων ἐν πάσαις ταῖς πόλεσιν ὑμῶν, καὶ ἔνδειαν
ἄρτων ἐν πᾶσι τοῖς τόποις ὑμῶν, καὶ οὐκ ἐπεστρέψατε πρὸς μέ,
λέγει Κύριος. 7 καὶ ἐγὼ ἀνέσχον ἐξ ὑμῶν τὸν ὑετὸν πρὸ τριῶν μηνῶν 7
τοῦ τρυγητοῦ, καὶ βρέξω ἐπὶ πόλιν μίαν, ἐπὶ δὲ πόλιν μίαν οὐ βρέξω·
μερὶς μία βραχήσεται, καὶ μερὶς ἐφ' ἣν οὐ βρέξω ξηρανθήσεται. 8 καὶ 8
συναθροισθήσονται δύο καὶ τρεῖς πόλεις εἰς πόλιν μίαν τοῦ πιεῖν
ὕδωρ καὶ οὐ μὴ ἐμπλησθῶσιν, καὶ οὐκ ἐπεστράφητε πρὸς μέ, λέγει
Κύριος. 9 ἐπάταξα ὑμᾶς ἐν πυρώσει καὶ ἐν ἰκτέρῳ· ἐπληθύνατε κήπους 9
ὑμῶν, ἀμπελῶνας ὑμῶν καὶ συκῶνας ὑμῶν καὶ ἐλαιῶνας ὑμῶν κατέ-
φαγεν ἡ κάμπη, καὶ οὐδ' ὣς ἐπεστρέψατε πρὸς μέ, λέγει Κύριος.
10 ἐξαπέστειλα εἰς ὑμᾶς θάνατον ἐν ὁδῷ Αἰγύπτου, καὶ ἀπέκτεινα ἐν 10
ῥομφαίᾳ τοὺς νεανίσκους ὑμῶν μετὰ αἰχμαλωσίας ἵππων σου, καὶ
ἀνήγαγον ἐν πυρὶ τὰς παρεμβολὰς ὑμῶν ἐν τῇ ὀργῇ ὑμῶν, καὶ
οὐδ' ὣς ἐπεστρέψατε πρὸς μέ, λέγει Κύριος. 11 κατέστρεψα ὑμᾶς 11

AQ 15 ελεφαντινοι] pr οι Q^{a} | οικοι ετεροι AQ | om Κυριος B IV 1 δαμαλις A | πτωχους] πενητας AQ | πενητας] πτωχους AQ 2 διοτι] οτι A | ληψονται Q | υποκεομενους B* (υποκαιομ. B^{ab}) | om υποκ. εμβαλουσιν AQ* (hab Q^{mg}) 3 αποριφησεσθε B$^{a (vid) b}$Q^{a} | Ρεμμαν AQ* Ερμωνα Q^{mg} | Κυριος] + ο θ̅ς̅ AQ 4 εισηλθετε Q$^{* vid}$ | ησεβησατε] ηνομησατε AQ 5 απαγγειλατε Q* (αναγγ. Q^{a}) | οτι] διοτι Q 6 πασι (-σιν Q) τοις τοποις] πασαις ταις πολεσιν A 7 τιων A* (τριων A^{1}) | τρυγητου] θερισμου Q^{mg} | επι 1° sup ras B$^{? vid}$ | βρεξω 3°] + επ αυτην AQ 8 δυο] + πολεις A | πολεις] πολις B* (-λεις B$^{ab (vid)}$) | πολεις εις πολιν] ς πο sup ras B$^{? vid}$ πολεις εις sup ras A^{a} | ουκ επεστραφητε] ουδ ως επεστρεψατε AQ* (ουκ επεστραφ. Q^{mg}) 9 υμας] υ sup ras B$^{?}$ 10 υμων 2°] μου AQ* (υμ. Q$^{1 mg}$)

καθὼς κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γόμορρα, καὶ ἐγένεσθε ὡς B
δαλὸς ἐξεσπασμένος ἐκ πυρός, καὶ οὐδ' ὣς ἐπεστρέψατε πρός με,
12 λέγει Κύριος. [12]διὰ τοῦτο οὕτως ποιήσω σοι, Ἰσραήλ· πλὴν ὅτι
οὕτως ποιήσω σοι, ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν θεόν σου, Ἰσραήλ.
13 [13]διότι στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλλων εἰς
ἀνθρώπους τὸν χριστὸν αὐτοῦ, ὁ ποιῶν ὄρθρον καὶ ὁμίχλην, ἐπι-
βαίνων ἐπὶ τὰ ὕψη τῆς γῆς· Κύριος ὁ θεὸς ὁ παντοκράτωρ ὄνομα
αὐτῷ.

V 1 [1]Ἀκούσατε τὸν λόγον Κυρίου τοῦτον ὃν ἐγὼ λαμβάνω ἐφ' ὑμᾶς
2 θρῆνον Οἶκος Ἰσραήλ [2]ἔπεσεν, οὐκέτι μὴ προσθήσει τοῦ ἀναστῆναι·
παρθένος τοῦ Ἰσραὴλ ἔσφαλεν ἐπὶ τῆς γῆς αὐτοῦ, οὐκ ἔστιν ὁ ἀνα-
3 στήσων αὐτήν. [3]διὰ τοῦτο τάδε λέγει κύριος Κύριος Ἡ πόλις ἐξ ἧς
ἐξεπορεύοντο χίλιοι, ὑπολειφθήσονται ρ', καὶ ἐξ ἧς ἐξεπορεύοντο ρ',
4 ὑπολειφθήσονται δέκα τῷ οἴκῳ Ἰσραήλ. [4]διότι τάδε λέγει Κύριος
5 πρὸς τὸν οἶκον Ἰσραήλ Ἐκζητήσατέ με, καὶ ζήσεσθε· [5]καὶ μὴ ἐκζη-
τεῖτε Βαιθὴλ καὶ εἰς Γάλγαλα μὴ εἰσπορεύεσθε, καὶ ἐπὶ τὸ φρέαρ τοῦ
ὅρκου μὴ διαβαίνετε, ὅτι Γάλγαλα αἰχμαλωτευομένη αἰχμαλωτευθή-
6 σεται, καὶ Βαιθὴλ ἔσται ὡς οὐχ ὑπάρχουσα. [6]ἐκζητήσατε τὸν κύριον,
καὶ ζῆτε, ὅπως μὴ ἀναλάμψῃ ὡς πῦρ ὁ οἶκος Ἰωσὴφ καὶ καταφάγῃ
7 αὐτόν, καὶ οὐκ ἔσται ὁ σβέσων τῷ οἴκῳ Ἰσραήλ. [7]ὁ ποιῶν εἰς ὕψος
8 κρίμα, καὶ δικαιοσύνην εἰς γῆν ἔθηκεν· [8]ὁ ποιῶν πάντα καὶ μετα-
σκευάζων, καὶ ἐκτρέπων εἰς τὸ πρωὶ σκιάν, καὶ ἡμέραν εἰς νύκτα
συσκοτάζων· ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέων
9 αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς, Κύριος ὄνομα αὐτῷ· [9]ὁ διαιρῶν
συντριμμὸν ἐπ' ἰσχύν, καὶ ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων.
10 [10]ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα, καὶ λόγον ὅσιον ἐβδελύξαντο.

11 *εξεσπασμενος*] *ε* 2° sup ras (ubi *α* prius ut vid) B^{1} *εξεσταλ|σμενον* Q* AQ (-*νος* Q^{a}) *εξαπεσταλμενος* Q^{mg} **12** *τι ουτως ποι* sup ras et in mg A^{a} (om *οτι* A^{*vid}) **13** *διοτι*] + *ιδου εγω* B$^{ab\,mg}$AQ | *απαγγελλων*] *αναγγελλων* Q* (*απαγγ.* Q^{a}) | *χριστον*] *θ' λογον* Q^{mg} | *ο ποιων*] om *ο* AQ | *επιβαινων*] pr *και* A | *υψη*] *υψηλα* Q* (*υψη* Q^{a}) V **1** *κ̅υ̅ τουτο*| sup ras A^{b} (om *κ̅υ̅* A^{*vid}) | *Ισραηλ*] pr *του* AQ **2** *προσθησει*] *προσθη* AQ (sed *οσθ* sup ras Q$^{a\,vid}$) | *αυτου*] om A *αυτης* Q | *αναστησων*] *οι ο' ανιστων* Q^{mg} **3** *δια τουτο*] *διοτι* AQ | *Κυριος*] *ο θ̅ς̅* Q^{a} | om *εξ ης* B* (hab B$^{a?}$) | *εξεπορευοντο* bis] *επορευοντο* A | *ρ'* bis] *εκατον* AQ **4** *Ισραηλ*] *Ισαηλ* B* (*Ισρ.* B^{ab}) **5** *Βαιθηλ* 1°] *Βεθηλ* Q* (*Βαιθ.* Q^{a}) | *διαβαινετε*] *αναβαινετε* AQ^{a} (-*ται* Q*) | *Βαιθηλ* 2°] *Βαθηλ* Q$^{*\,vid}$ (*Βαιθ.* Q^{a}) **6** *ζητε*] *ζησατε* B^{ab}Q* *ζησετε* AQ^{a} | *αναλημψη* B | *καταφαγη*] *καταφαγεται* AQ **7** *ο ποιων*] pr *κ̅ς̅ ο θ̅ς̅* A pr *κ̅ς̅* Q **8** *ο ποιων*] om *ο* AQ* (hab Q^{a}) | *σκιαν*] + *θανατου* Q^{mg} | *προσωπου* AQ* (-*πον* Q^{a}) | *Κυριος*] + *ο θ̅ς̅ ο παντοκρατωρ* AQ **9** *ο διαιρων*] om *ο* A *ο διοριζων* Q | *επ*] *επι* A

B [11]διὰ τοῦτο ἀνθ' ὧν κατεκονδύλιζον πτωχούς, καὶ δῶρα ἐκλεκτὰ 11
ἐδέξασθε παρ' αὐτῶν, οἴκους ξεστοὺς ᾠκοδομήσατε καὶ οὐ μὴ κατοι-
κήσητε ἐν αὐτοῖς, ἀμπελῶνας ἐπιθυμητοὺς ἐφυτεύσατε καὶ οὐ μὴ
πίητε τὸν οἶνον ἐξ αὐτῶν. [12]ὅτι ἔγνων πολλὰς ἀσεβείας ὑμῶν, καὶ 12
ἰσχυραὶ αἱ ἁμαρτίαι ὑμῶν καταπατοῦσαι δίκαιον, λαμβάνοντες ἀνταλ-
λάγματα καὶ πένητας ἐν πύλαις ἐκκλίνοντες. [13]διὰ τοῦτο ὁ συνίων ἐν 13
τῷ καιρῷ ἐκείνῳ σιωπήσεται, ὅτι καιρὸς πονηρῶν ἐστιν. [14]ἐκζητήσατε 14
τὸ καλὸν καὶ μὴ πονηρόν, ὅπως ζήσητε, καὶ ἔσται οὕτως μεθ' ὑμῶν
Κύριος ὁ θεὸς ὁ παντοκράτωρ· ὃν τρόπον εἴπατε [15]Μεμισήκαμεν τὰ 15
πονηρὰ καὶ ἠγαπήκαμεν τὰ καλά, καὶ ἀποκαταστήσατε ἐν πύλαις κρίμα,
ὅπως ἐλεήσῃ Κύριος ὁ θεὸς ὁ παντοκράτωρ τοὺς περιλοίπους τοῦ Ἰωσήφ.
[16]διὰ τοῦτο τάδε λέγει Κύριος ὁ θεὸς ὁ παντοκράτωρ Ἐν πάσαις ταῖς 16
πλατείαις κοπετός, καὶ ἐν πάσαις ταῖς ὁδοῖς ῥηθήσεται Οὐαὶ οὐαί·
κληθήσεται γεωργὸς εἰς πένθος καὶ κοπετόν, καὶ εἰς εἰδότας θρῆνον,
[17]καὶ ἐν πάσαις ὁδοῖς κοπετός, διότι ἐλεύσομαι διὰ μέσου σου, εἶπεν 17
Κύριος. [18]οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου· ἵνα τί αὕτη ὑμῖν 18
ἡ ἡμέρα τοῦ κυρίου; καὶ αὐτή ἐστιν σκότος καὶ οὐ φῶς. [19]ὃν τρόπον 19
ἐὰν φύγῃ ἄνθρωπος ἐκ προσώπου τοῦ λέοντος, καὶ ἐμπέσῃ αὐτῷ ἡ
ἄρκος, καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀπερείσηται τὰς χεῖρας
αὐτοῦ ἐπὶ τὸν τοῖχον, καὶ δάκῃ αὐτὸν ὄφις. [20]οὐχὶ σκότος ἡ ἡμέρα 20
τοῦ κυρίου καὶ οὐ φῶς; καὶ γνόφος οὐκ ἔχων φέγγος αὐτῇ; [21]μεμί- 21
σηκα, ἀπῶσμαι ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ θυσίας ἐν ταῖς
πανηγύρεσιν ὑμῶν. [22]διότι ἐὰν ἐνέγκητέ μοι ὁλοκαυτώματα καὶ θυσίας 22
ὑμῶν, οὐ προσδέξομαι, καὶ σωτηρίους ἐπιφανείας ὑμῶν οὐκ ἐπιβλέ-

AQ 11 πτωχους] εις κεφαλας πτωχων AQ* (πτωχους Q^{mg}) | ξεστους] ξυστους AQ* (ξεστ. Q^a) | ωκοδομησατε BQ^a] οικοδομησετε A οικοδομηθησεται Q* | κατοικησητε] κατοικησεται Q* (-κησετε Q^a) | αμπελωνας] pr και A | εφυτευσατε] φυτευσετε AQ* (-ται) φυτευσατε Q^a | τον οινον] om τον Q* (hab Q^a) | om εξ A 12 καταπατουσαι B] καταπατουντες AQ* (οι ο' -τουσαι Q^{mg}) | ανταλλαγματα] αλλαγμ. AQ | πενητα Q* (-τας Q^a) | εκκλινοντες] τες sup ras A$^{a?}$ 13 σιωπησητε B* σιωπησεται B^{ab}A^b ([σεται sup ras 7 forte litt] Q) σιωπηθησεται A^{*vid} | πονηρος AQ 14 πονηρον] pr το A 15 τα πονηρα] το πονηρον A | τα καλα] το καλον A | ελεησει A 16 ταις πλατειαις (-τιαις A)] om ταις AQ | κοπετος] ras 1 lit post τ A$^?$ | ταις οδοις] om ταις AQ | ειδοτας] ιδοντας A 17 ελευσομαι] επελευσομαι A 18 ουαι| οι επιθυμ in mg et sup ras A^a 19 εαν] οταν A | φυγη] εκφυγη A | εμπεση αυτω η αρκος και εισπηδηση (εισπηδησει A)] εμπεσει A^{*vid} (εμπεση αυτω η αρκος κ εισ|πηδη in mg et sup ras A$^{a?}$) | απερεισηται] απερειση A απερισηται Q* (απερεισ. Q^a) | επι] προς A εις Q 20 φεγγος] φθεγγος A^{*vid} | αυτη] αυτης Q 21 om θυσιας Q 22 εαν] pr και AQ | ολοκαυτωματα] pr τα A | om ου προσδεξομαι...υμων Q* (hab Q^{mg}) | προσδεξομαι] + αυτα AQ^{mg} | σωτηριου A

23 ψομαι. [23]μετάστησον ἀπ᾿ ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων B
24 σου οὐκ ἀκούσομαι· [24]καὶ κυλισθήσεται ὡς ὕδωρ κρίμα, καὶ δικαιοσύνη
25 ὡς χειμάρρους ἄβατος. [25]μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι
26 ἐν τῇ ἐρήμῳ μ´ ἔτη, οἶκος Ἰσραήλ; [26]καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ
Μολὸχ καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥαιφάν, τοὺς τύπους αὐτῶν οὓς
27 ἐποιήσατε ἑαυτοῖς· [27]καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Δαμασκοῦ, λέγει
Κύριος, ὁ θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ.

VI 1 [1]Οὐαὶ τοῖς ἐξουθενοῦσιν Σειὼν καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος
Σαμαρείας· ἀπετρύγησαν ἀρχὰς ἐθνῶν, καὶ εἰσῆλθον αὐτοί. οἶκος τοῦ
2 Ἰσραήλ, [2]διάβητε πάντες καὶ ἴδετε, καὶ διέλθατε ἐκεῖθεν εἰς Ἑμὰθ
Ῥαββά, καὶ κατάβητε ἐκεῖθεν εἰς Γὲθ ἀλλοφύλων, τὰς κρατίστας ἐκ
πασῶν τῶν βασιλειῶν τούτων, εἰ πλέονα τὰ ὅρια αὐτῶν ἐστὶν τῶν
3 ὑμετέρων ὁρίων. [3]οἱ ἐρχόμενοι εἰς ἡμέραν κακήν, οἱ ἐγγίζοντες καὶ
4 ἐφαπτόμενοι σαββάτων ψευδῶν, [4]οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλε-
φαντίνων καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν, καὶ
ἔσθοντες ἐρίφους ἐκ ποιμνίων καὶ μοσχάρια ἐκ μέσου βουκολίων
5 γαλαθηνά, [5]οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων, ὡς
6 ἑστηκότα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα· [6]οἱ πίνοντες τὸν διυ-
λισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι, καὶ οὐκ ἔπασχον
7 οὐδὲν ἐπὶ τῇ συντριβῇ Ἰωσήφ. [7]διὰ τοῦτο νῦν αἰχμάλωτοι ἔσονται
ἀπ᾿ ἀρχῆς δυναστῶν, καὶ ἐξαρθήσεται χρεμετισμὸς ἵππων ἐξ Ἐφράιμ.
8 [8]ὅτι ὤμοσεν Κύριος καθ᾿ ἑαυτοῦ διότι Βδελύσσομαι ἐγὼ πᾶσαν τὴν
ὕβριν Ἰακώβ, καὶ τὰς χώρας αὐτοῦ μεμίσηκα, καὶ ἐξαρῶ πόλιν σὺν
9 πᾶσιν τοῖς κατοικοῦσιν αὐτήν· [9]καὶ ἔσται ἐὰν ὑπολειφθῶσιν δέκα ἐν
οἰκίᾳ μιᾷ, καὶ ἀποθανοῦνται καὶ ὑπολειφθήσονται οἱ κατάλοιποι,
10 [10]καὶ λήμψονται οἱ οἰκεῖοι οἱ αὐτῶν καὶ παραβιῶνται τοῦ ἐξενέγκαι
τὰ ὀστᾶ αὐτῶν ἐκ τοῦ οἴκου· καὶ ἐρεῖ τοῖς προεστηκόσι τῆς οἰκίας Εἰ
ἔτι ὑπάρχει παρὰ σοί; καὶ ἐρεῖ Οὐκ ἔτι· καὶ ἐρεῖ Σίγα, ἕνεκα τοῦ
11 μὴ ὀνομάσαι τὸ ὄνομα Κυρίου. [11]διότι ἰδοὺ Κύριος ἐντέλλεται, καὶ

25 προσηνεγκετε Q^a | μ´ ετη οικος Ισραηλ] οικος Ισλ τεσσερακοντα ετη λεγει AQ κς A τεσσερακοντα ετη οικ. Ισλ λεγει κς Q 26 Ρεφαν Q | om αυτων AQ^* (hab Q^{mg}) VI 1 εξουθενουσι Q^a | Σιων B^bAQ^a | αυτοι] εαυτοις Q^a 2 ειδετε Q | om και διελθατε εκειθεν Q | Εμαθ] Αιμαθ A Μαθ Q | Ραββα] + και διελθατε (-θετε Q^a) εκειθεν Q | om εκειθεν 2° Q | βασιλεων A | πλεονα] πλιονα A 3 ερχομενοι BQ^a] ευχομενοι AQ^* 4 και 2°] αι Q^* (και Q^a) | om μεσου A 5 εστηκοτα] εστωτα AQ 7 απ] εξ Q^* επ Q^{mg} | χρεμετισμος] χ sup ras B^{ab} | om εξ Q 8 διοτι] οτι A | αυτου] αυτων A | συν πασιν] συμπασιν (? συμ π.) B 9 δεκα] + ανδρες AQ | om και 2° A 10 οικειοι] οικοι Q^* (-κειοι Q^a) | om οι 2° A | παραβιωνται] οι παραβιωται A | προεστηκοσιν AQ | om μη Q^* (hab Q^a)

B πατάξει τὸν οἶκον τὸν μέγαν θλάσμασιν καὶ τὸν οἶκον τὸν μικρὸν
ῥάγμασιν. [12]εἰ διώξονται ἐν πέτραις ἵπποι; εἰ παρασιωπήσονται 12
ἐν θηλείαις; ὅτι ἐξεστρέψατε εἰς θυμὸν κρίμα, καὶ καρπὸν δικαιο-
σύνης εἰς πικρίαν, [13]οἱ εὐφραινόμενοι ἐπ᾽ οὐδενὶ λόγῳ, οἱ λέγοντες 13
Οὐκ ἐν τῇ ἰσχύι ἡμῶν ἔσχομεν κέρατα; [14]διότι ἰδοὺ ἐγὼ ἐπεγείρω 14
ἐφ᾽ ὑμᾶς, οἶκος Ἰσραήλ, ἔθνος, λέγει Κύριος τῶν δυνάμεων, καὶ ἐκθλί-
ψουσιν ὑμᾶς τοῦ μὴ εἰσελθεῖν εἰς Ἑμὰθ καὶ ὡς τοῦ χειμάρρου τῶν
δυσμῶν.

[1]Οὕτως ἔδειξέν μοι Κύριος ὁ θεός, καὶ ἰδοὺ ἐπιγονὴ ἀκρίδων 1 VII
ἐρχομένη ἑωθινή, καὶ ἰδοὺ βροῦχος εἷς Γὼγ ὁ βασιλεύς. [2]καὶ ἔσται 2
ἐὰν συντελέσῃ τοῦ καταφαγεῖν τὸν χόρτον τῆς γῆς, καὶ εἶπα Κύριε
Κύριε, ἵλεως γενοῦ· τίς ἀναστήσει τὸν Ἰακώβ; ὅτι ὀλιγοστός
ἐστιν· [3]μετανόησον, Κύριε, ἐπὶ τούτῳ. Καὶ τοῦτο οὐκ ἔσται, λέγει 3
Κύριος. [4]Οὕτως ἔδειξέν μοι Κύριος, καὶ ἰδοὺ ἐκάλεσεν τὴν δίκην 4
ἐν πυρὶ Κύριος, καὶ κατέφαγε τὴν ἄβυσσον τὴν πολλήν, καὶ κατέ-
φαγεν τὴν μερίδα Κυρίου. [5]καὶ εἶπα Κύριε, κόπασον δή· τίς 5
ἀναστήσει τὸν Ἰακώβ; ὅτι ὀλιγοστός ἐστιν· [6]μετανόησον, Κύριε, 6
ἐπὶ τούτῳ. Καὶ τοῦτο οὐ μὴ γένηται, λέγει Κύριος. [7]Οὕτως 7
ἔδειξέν μοι Κύριος, καὶ ἰδοὺ ἑστηκὼς ἐπὶ τείχους ἀδαμαντίνου, καὶ
ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας. [8]καὶ εἶπεν Κύριος πρός μέ Τί σὺ ὁρᾷς, 8
Ἀμώς; καὶ εἶπα Ἀδάμαντα. καὶ εἶπεν Κύριος πρός μέ Ἰδοὺ ἐγὼ
ἐντάσσω ἀδάμαντα ἐν μέσῳ λαοῦ μου Ἰσραήλ, οὐκέτι μὴ προσθῶ
τοῦ παρελθεῖν αὐτόν· [9]καὶ ἀφανισθήσονται βωμοὶ τοῦ γέλωτος, καὶ 9
αἱ τελεταὶ τοῦ Ἰσραὴλ ἐρημωθήσονται, καὶ ἀναστήσομαι ἐπὶ τὸν οἶκον
Ἰεροβοὰμ ἐν ῥομφαίᾳ.

[10]Καὶ ἐξαπέστειλεν Ἀμασίας ὁ ἱερεὺς Βαιθὴλ πρὸς Ἰεροβοὰμ 10
βασιλέα Ἰσραὴλ λέγων Συστροφὰς ποιεῖται κατὰ σοῦ Ἀμὼς ἐν μέσῳ
οἴκου Ἰσραήλ· οὐ μὴ δύνηται ἡ γῆ ὑπενεγκεῖν πάντας τοὺς λόγους
αὐτοῦ. [11]διότι τάδε λέγει Ἀμώς Ἐν ῥομφαίᾳ τελευτήσει Ἰεροβοάμ, 11
ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ. [12]καὶ εἶπεν 12

AQ 11 ρηγμασιν AQ[a] 12 οτι] + υμεις AQ 14 Ισραηλ] pr του AQ | om λεγει Κυριος των δυν. AQ | om εισελθειν A | ως] εως AQ VII 1 Κυριος ο θεος] om ο θεος AQ pr κ̅ς̅ Q[a] 2 συντεληση B* (-λεση B[a?b]) 4 Κυριος 1°] + ο θ̅ς̅ A pr κ̅ς̅ Q[a] | Κυριος 2°] + ο θ̅ς̅ Q[mg] | κατεφαγεν AQ | om Κυριου AQ 5 Κυριε] + κ̅ε̅ AQ 6 Κυριος] + κ̅ς̅ Q 7 ιδου] + ανηρ AQ[1mg] 8 ειπα] ειπον Q[a] | εν μεσω] εις μεσον AQ* (εν μεσω Q[a]) | λαου] pr του Q | προσθω] προσθησω AQ* (-θω Q[a]) 9 ερημωθησονται] εξερημωθησονται A 10 δυνηται] γενηται A | παντας] απαντας A

Ἀμασίας πρὸς Ἀμώς Ὁ ὁρῶν, βάδιζε, ἐκχώρησον σὺ εἰς γῆν Ἰούδα, B
13 καὶ ἐκεῖ καταβίου, καὶ ἐκεῖ προφητεύσεις· [13]εἰς δὲ Βαιθὴλ οὐκέτι
προσθήσεις τοῦ προφητεῦσαι, ὅτι ἁγίασμα βασιλέως ἐστίν, καὶ
14 οἶκος βασιλείας ἐστίν. [14]καὶ ἀπεκρίθη Ἀμὼς καὶ εἶπεν πρὸς Ἀμα-
σίαν Οὐκ ἤμην προφήτης ἐγὼ οὐδὲ υἱὸς προφήτου, ἀλλ' ἢ αἰπόλος
15 ἤμην καὶ κνίζων συκάμινα. [15]καὶ ἀνέλαβέν με Κύριος ἐκ τῶν προ-
βάτων, καὶ εἶπεν Κύριος πρός μέ Βάδιζε, προφήτευσον ἐπὶ τὸν
16 λαόν μου Ἰσραήλ. [16]καὶ νῦν ἄκουε λόγον Κυρίου Σὺ λέγεις Μὴ
προφήτευε ἐπὶ τὸν Ἰσραήλ, καὶ οὐ μὴ ὀχλαγωγήσεις ἐπὶ τὸν οἶκον
17 Ἰακώβ· [17]διὰ τοῦτο τάδε λέγει Κύριος Ἡ γυνή σου ἐν τῇ πόλει
πορνεύσει, καὶ οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου ἐν ῥομφαίᾳ πεσοῦνται,
καὶ ἡ γῆ σου ἐν σχοινίῳ καταμετρηθήσεται, καὶ σὺ ἐν γῇ ἀκα-
θάρτῳ τελευτήσεις, ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς
αὐτοῦ.

VIII 1 [(1)]Οὕτως ἔδειξέν μοι κύριος Κύριος, [1]καὶ ἰδοὺ ἄγγος ἰξευτοῦ·
2 καὶ εἶπεν Τί σὺ βλέπεις, Ἀμώς; καὶ εἶπα Ἄγγος ἰξευτοῦ. [2]καὶ
εἶπεν Κύριος πρός μέ Ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου Ἰσραήλ, οὐ
3 προσθήσω ἔτι τοῦ παρελθεῖν αὐτόν. [3]καὶ ὀλολύξει τὰ φατνώματα
τοῦ ναοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος Κύριος· πολὺς ὁ πεπτωκὼς
4 ἐν παντὶ τόπῳ, ἐπιρρίψω σιωπήν. [4]ἀκούσατε δὴ ταῦτα οἱ ἐκτρίβοντες
εἰς τὸ πρωὶ πένητα, καὶ καταδυναστεύοντες πτωχοὺς ἀπὸ τῆς γῆς,
5 [5]λέγοντες Πότε διελεύσεται ὁ μὴν καὶ ἐμπολήσομεν, καὶ τὰ σάββατα
καὶ ἀνοίξομεν θησαυρὸν τοῦ ποιῆσαι μικρὸν μέτρον, καὶ τοῦ μεγαλῦναι
6 στάθμιον καὶ ποιῆσαι ζυγὸν ἄδικον, [6]τοῦ κτᾶσθαι ἐν ἀργυρίῳ καὶ
πτωχοὺς καὶ ταπεινὸν ἀντὶ ὑποδημάτων, καὶ ἀπὸ παντὸς γενήματος
7 ἐμπορευσόμεθα; [7]ὀμνύει Κύριος κατὰ τῆς ὑπερηφανίας Ἰακώβ Εἰ
8 ἐπιλησθήσεται εἰς νῖκος πάντα τὰ ἔργα ὑμῶν, [8]καὶ ἐπὶ τούτοις οὐ

12 om συ AQ 13 om δε A | Βεθηλ Q | ουκετι]+μη AQ* (om μη AQ Q^a) | προσθης AQ* vid (προσθησεις Q^1(mg)) 14 om και 3° AQ 15 προφητων B (προβατων AQ) | Ισραηλ] pr τον A 16, 17 γησεις επι τον οικ. Ι. δια τουτο τα sup ras ut vid B^(1?a?) | οχλαγωγησης AQ 17 om εν τη πολει...η γη σου Q* (hab Q^mg) | om συ Q* (hab Q^a) | κυριος Κυριος] κ̅ς̅ AQ VIII 1 βλεπεις] ορας A 2 ου προσθησω ετι] ουκετι μη προσθω AQ* (om μη Q^a) 3 τα φατνωματα (φατμ. B*)] om τα Q | εκεινη τη ημερα] τη ημ. εκεινη AQ | κυριος Κυριος] κ̅ς̅ Q* (κς κ̅ς̅ Q^a) | επιριψω AQ* 4 om και A | καταδυναστευοντες] ντ sup ras B^ab 5 λεγοντες] pr οι AQ | ενπολησομεν A εμπλησομεν Q* (εμπολ. Q^a) | θησαυρους AQ* (-ρον Q^mg) | μετρον μικρον Q | του μεγαλυναι] in με ras aliq B? om του A | σταθμιον] σταθμια A σταθμεια Q* vid (-θμιον Q^a) 6 om και 1° AQ | ταπεινον] πενητα Q^mg | αντι] ανθ Q^a | παντος γεν.] πασης πρασεως Q^mg 7 κατα της υπερηφανιας] κατ (καθ Q) υπερηφανειας AQ | επιλησθησεται] επιλησεται A

B ταραχθήσεται ἡ γῆ, καὶ πενθήσει πᾶς ὁ κατοικῶν ἐν αὐτῇ, καὶ ἀναβή-
σεται ὡς ποταμὸς συντέλεια, καὶ καταβήσεται ὡς ποταμὸς Αἰγύπτου.
9καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος Κύριος, καὶ δύσεται ὁ 9
ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς· 10καὶ 10
μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος, καὶ πάσας τὰς ᾠδὰς ὑμῶν
εἰς θρῆνον, καὶ ἀναβιβῶ ἐπὶ πᾶσαν ὀσφὺν σάκκον, καὶ ἐπὶ πᾶσαν
κεφαλὴν φαλάκρωμα, καὶ θήσομαι αὐτὸν ὡς πένθος ἀγαπητοῦ, καὶ
τοὺς μετ' αὐτοῦ ὡς ἡμέραν ὀδύνης. 11ἰδοὺ ἡμέραι ἔρχονται, λέγει 11
Κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτων οὐδὲ
δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου· 12καὶ σαλευ- 12
θήσονται ὕδατα τῆς θαλάσσης, καὶ ἀπὸ βορρᾶ ἕως ἀνατολῶν περιδρα-
μοῦνται ζητοῦντες τὸν λόγον Κυρίου καὶ οὐ μὴ εὕρωσιν. 13ἐν τῇ 13
ἡμέρᾳ ἐκείνῃ ἐκλείψουσιν αἱ παρθένοι αἱ καλαὶ καὶ οἱ νεανίσκοι ἐν
δίψει, 14οἱ ὀμνύοντες κατὰ τοῦ ἱλασμοῦ Σαμαρείας, καὶ οἱ λέγοντες 14
Ζῇ ὁ θεός σου, Δάν, καὶ ζῇ ὁ θεός σου, Βηρσάβεε. καὶ πεσοῦνται καὶ
οὐ μὴ ἀναστῶσιν ἔτι.

1Εἶδον τὸν κύριον ἐφεστῶτα ἐπὶ τοῦ θυσιαστηρίου, καὶ εἶπεν 1 IX
Πάταξον ἐπὶ τὸ ἱλαστήριον καὶ σεισθήσεται τὰ πρόπυλα, καὶ διά-
κοψον εἰς κεφαλὰς πάντων· καὶ τοὺς καταλοίπους αὐτῶν ἐν ῥομ-
φαίᾳ ἀποκτενῶ, οὐ μὴ διαφύγῃ ἐξ αὐτῶν φεύγων, καὶ οὐ μὴ
διασωθῇ ἐξ αὐτῶν ἀνασωζόμενος. 2ἐὰν κατακρυβῶσιν εἰς ᾅδου, 2
ἐκεῖθεν ἡ χείρ μου ἀνασπάσει αὐτούς· καὶ ἐὰν ἀναβῶσιν εἰς τὸν
οὐρανόν, ἐκεῖθεν κατάξω αὐτούς· 3ἐὰν ἐγκατακρυβῶσιν εἰς τὴν κο- 3
ρυφὴν τοῦ Καρμήλου, ἐκεῖθεν ἐξερευνήσω καὶ λήμψομαι αὐτούς·
καὶ ἐὰν καταδύσωσιν ἐξ ὀφθαλμῶν μου εἰς τὰ βάθη τῆς θαλάσσης,
ἐκεῖ ἐντελοῦμαι τῷ δράκοντι καὶ δήξεται αὐτούς· 4καὶ ἐὰν πορευ- 4
θῶσιν ἐν αἰχμαλωσίᾳ πρὸ προσώπου τῶν ἐχθρῶν αὐτῶν, ἐκεῖ ἐντε-
λοῦμαι τῇ ῥομφαίᾳ καὶ ἀποκτενεῖ αὐτούς· καὶ στηριῶ τοὺς ὀφ-
θαλμούς μου ἐπ' αὐτοὺς εἰς κακὰ καὶ οὐκ εἰς ἀγαθά. 5καὶ κύριος 5

AQ 9 Κυριος] ο θς̄ AQ̇ 10 αυτον] αυτην Q^a 11 Κυριος] + κ̄ς̄ Q^a | αρτου AQ* (-των Q^a) | διψαν] οι ο' διψος Q^mg | αλλα] αλλ η Q^a 12 σαλευθησονται] σαλευθησεται A συναχθησονται Q* (σαλευθ. Q^mg) | της θαλασσης] εως θαλ. AQ* (απο θαλ. Q^mg) | Κυριου] pr του A 14 ο θεος (1°)] pr κ̄ς̄ A IX 1 ιλαστηριον] θυσιαστηριον AQ* (ιλαστ. Q^mg) | σεισθησεται BAQ^mg] σισθησονται (σεισθ. Q^a) Q* | διαφυγη] διαφευξη A | και ου] ουδε A om και Q (superscr ϗ Q^a) 2 κατακρυβωσιν] κατορυγωσιν AQ 3 εγκατακρυβωσιν] εγκρυβωσιν A ενκρυβ. Q* (εγκρυβ. Q^a) | εξεραυνησω Q* (εξερευν. Q^a) | ληψομαι Q | καταδυσωσιν...εκει εντελουμαι] ras aliq B? vid 4 τους οφθαλμους] το προσωπον A

Κύριος ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ἐφαπτόμενος τῆς γῆς καὶ σαλεύων B
αὐτήν, καὶ πενθήσουσιν πάντες οἱ κατοικοῦντες αὐτήν, καὶ ἀνα-
βήσεται ὡς ποταμὸς συντέλεια αὐτῆς, καὶ καταβήσεται ὡς ποταμὸς
6 Αἰγύπτου· 6 ὁ οἰκοδομῶν εἰς τὸν οὐρανὸν ἀνάβασιν αὐτοῦ, καὶ τὴν
ἐπαγγελίαν αὐτοῦ ἐπὶ τῆς γῆς θεμελιῶν, ὁ προσκαλούμενος τὸ ὕδωρ
τῆς θαλάσσης καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς· Κύριος Παντο-
7 κράτωρ ὄνομα αὐτῷ. 7 οὐχ ὡς υἱοὶ Αἰθιόπων ὑμεῖς ἐστε ἐμοί, υἱοὶ
Ἰσραήλ; λέγει Κύριος· οὐ τὸν Ἰσραὴλ ἀνήγαγον ἐκ γῆς Αἰγύπτου,
καὶ τοὺς ἀλλοφύλους ἐκ Καππαδοκίας, καὶ τοὺς Σύρους ἐκ βόθρου;
8 8 Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου τοῦ θεοῦ ἐπὶ τὴν βασιλείαν τῶν ἁμαρ-
τωλῶν, καὶ ἐξαρῶ αὐτὴν ἀπὸ προσώπου τῆς γῆς· πλὴν ὅτι οὐκ εἰς
9 τέλος ἐξαρῶ τὸν οἶκον Ἰακώβ, λέγει Κύριος. 9 διότι ἐγὼ ἐντέλλομαι,
καὶ λικμήσω ἐν πᾶσι τοῖς ἔθνεσιν τὸν οἶκον Ἰσραὴλ ὃν τρόπον
λικμᾶται ἐν τῷ λικμῷ, καὶ οὐ μὴ πέσῃ σύντριμμα ἐπὶ τὴν γῆν·
10 10 ἐν ῥομφαίᾳ τελευτήσουσι πάντες ἁμαρτωλοὶ λαοῦ μου, οἱ λέγοντες
11 Οὐ μὴ ἐγγίσῃ οὐδὲ μὴ γένηται ἐφ' ἡμᾶς τὰ κακά. 11 Ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαυεὶδ τὴν πεπτωκυῖαν, καὶ
ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς, καὶ τὰ κατεσκαμμένα αὐτῆς
ἀναστήσω, καὶ ἀνοικοδομήσω αὐτὴν καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος,
12 12 ὅπως ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων, καὶ πάντα τὰ
ἔθνη ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς, λέγει Κύριος
13 ὁ ποιῶν ταῦτα. 13 Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ κατα-
λήμψεται ὁ ἀμητὸς τὸν τρυγητόν, καὶ περκάσει ἡ σταφυλὴ ἐν τῷ
σπόρῳ, καὶ ἀποσταλάξει τὰ ὄρη γλυκασμόν, καὶ πάντες οἱ βουνοὶ
14 σύμφυτοι ἔσονται· 14 καὶ ἐπιστρέψω τὴν αἰχμαλωσίαν λαοῦ μου
Ἰσραήλ, καὶ οἰκοδομήσουσιν πόλεις τὰς ἠφανισμένας καὶ κατοική-
σουσιν, καὶ καταφυτεύσουσιν ἀμπελῶνας καὶ πίονται τὸν οἶνον αὐ-

6 αναβασιν] pr την Q^mg | επαγγελειαν AQ* | της θαλασσης] om της A ¦ AQ
προσωπου AQ | Κυριος]+ο θ̄ς AQ | Παντοκρατωρ] pr ο AQ 7 εμου]
εμοι AQ 8 Ιακωβ] Ἰη̄λ A 9 εγω] pr ιδου AQ | λικμησω BQ^a]
λιμιω A* λεγμιω A^1 λικμιω Q^{*vid} | πασιν AQ | Ισραηλ] pr του A | λικμαται]
λεγμαται A | λικμω Q] λικνω B λεγμω A 10 τελευτησουσιν AQ | ουδε]
ουδ ου AQ | γενηται] ελθη Q^mg 11 πεπτωκυιαν] κατεπεπτ. Q^{*vid} |
αυτης 1°] αυτων Q^mg | κατεσκαμμενα] κατεστραμμενα A^bQ* (κατεσκ. Q^a)
12 οπως]+αν A | εκζητησουσιν Q^a | ανθρωπων]+του κ̄υ A | Κυριος]+ο θ̄ς A
13 καταλημψεται Q | αμητος] αλοητος AQ^a 14 λαου] pr του A | κατα-
φυτευσουσιν] φυτευσ. Q^a | αμπελωνας B^{ab}AQ

B τῶν, καὶ φυτεύσουσιν κήπους καὶ φάγονται τοὺς καρποὺς αὐτῶν·
[15]καὶ καταφυτεύσω αὐτοὺς ἐπὶ τῆς γῆς αὐτῶν, καὶ οὐ μὴ ἐκσπα- 15
σθῶσιν οὐκέτι ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς, λέγει Κύριος ὁ θεὸς ὁ
παντοκράτωρ.

AQ 14 φυτευσουσιν] καταφυτευσουσιν A φυτευσουσι Q[a] (ποιησουσι Q[mg]) | τους καρπους] τον καρπον AQ 15 αυτους] αυτου A | εκσπασθωσιν] εκπασθ. A | γης 2°]+αυτων AQ

Subscr Αμως β BAQ (+εντελλομενος παρ Εβραιοις γ' Q[a])

ΜΕΙΧΑΙΑΣ

I 1 ΚΑΙ ἐγένετο λόγος Κυρίου πρὸς Μειχαίαν τὸν τοῦ Μωρασθεὶ ἐν B
ἡμέραις Ἰωαθὰμ καὶ Ἀχὰζ καὶ Ἐζεκίου βασιλέων Ἰούδα, ὑπὲρ ὧν
εἶδεν περὶ Σαμαρείας καὶ περὶ Ἰερουσαλήμ.

2 [2]Ἀκούσατε, λαοί, λόγους, καὶ προσεχέτω ἡ γῆ καὶ πάντες οἱ
ἐν αὐτῇ, καὶ ἔσται κύριος Κύριος ἐν ὑμῖν εἰς μαρτύριον, Κύριος ἐξ
3 οἴκου ἁγίου αὐτοῦ. [3]διότι ἰδοὺ Κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου
4 αὐτοῦ, καὶ καταβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς, [4]καὶ σαλευθήσεται τὰ ὄρη
ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσ-
5 ώπου πυρός, καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει. [5]διὰ ἀσέ-
βειαν Ἰακὼβ πάντα ταῦτα, καὶ διὰ ἁμαρτίαν οἴκου Ἰσραήλ. τίς ἡ
ἀσέβεια τοῦ Ἰακώβ, οὐ Σαμάρεια; καὶ τίς ἡ ἁμαρτία οἴκου Ἰούδα,
6 οὐχὶ Ἰερουσαλήμ; [6]καὶ θήσομαι Σαμάρειαν εἰς ὀπωροφυλάκιον ἀγροῦ
καὶ εἰς φυτίαν ἀμπελῶνος, καὶ κατασπάσω εἰς χάος τοὺς λίθους
7 αὐτῆς, καὶ τὰ θεμέλια αὐτῆς ἀποκαλύψω· [7]καὶ πάντα τὰ γλυπτὰ
αὐτῆς κατακόψουσιν, καὶ πάντα τὰ μισθώματα αὐτῆς ἐμπρήσουσιν
ἐν πυρί, καὶ πάντα τὰ εἴδωλα αὐτῆς θήσομαι εἰς ἀφανισμόν· διότι
ἐκ μισθωμάτων πορνείας συνήγαγεν, καὶ ἐκ μισθωμάτων πορνείας

Inscr Μειχαιας γ B* Μιχαιας γ B^b AQ   I 1 Μιχαιαν B^b AQ | Μωραθει AQ A Μωραθι Q* Μωρασθιν Q^mg | Αχας Q^a | βασιλεως A | υπερ] περι Q | ειδεν] ιδε A | περι Ιερουσαλημ] περιλημ (sic) A   2 λογους] παντες Q^mg | εσται] οι ο' εστω Q^mg | κυριος Κυριος] κ̅ς̅ AQ* κ̅ς̅ ο θ̅ς̅ Q^mg   3 τοπου] τοπ sup ras A^a | καταβησεται] επιβησεται A + και επιβησεται B^ab Q^a et mg (καταβ. Q^a) | υψη] υψηλα Q* (υψη Q^a)   5 δια bis] δι Q^a | παντα ταυτα] ταυτα παντα Q* | του Ιακωβ] om του A | ου] ουχι A   6 εις 1°] ως A | οπωροφυλακιον] ο 1° sup ras A^a -κειον Q* | φυτειαν B^a?b AQ^a   7 κατακοψουσιν] κοψουσιν Q* (κατακοψ. Q^mg) | εμπρησουσιν Q

B συνέστρεψεν. 8 ἕνεκεν τούτου κόψεται καὶ θρηνήσει, πορεύσεται 8
ἀνυπόδετος καὶ γυμνή, ποιήσεται κοπετὸν ὡς δρακόντων καὶ πένθος
ὡς θυγατέρων σειρήνων· 9 ὅτι κατεκράτησεν ἡ πληγὴ αὐτῆς, διότι 9
ἦλθεν ἕως Ἰούδα καὶ ἥψατο ἕως πύλης λαοῦ μου, ἕως Ἰερου-
σαλήμ. 10 Οἱ ἐν Γέθ, μὴ μεγαλύνεσθε, οἱ ἐν Ἀκείμ, μὴ ἀνοι- 10
κοδομεῖτε ἐξ οἴκου καταγέλωτα· γῆν καταπάσασθε καταγέλωτα
ὑμῶν· 11 κατοικοῦσα καλῶς τὰς πόλεις αὐτῆς, οὐκ ἐξῆλθεν κατοι- 11
κοῦσα Σενναάρ, κόψασθαι οἶκον ἐχόμενον αὐτῆς· λήμψεται ἐξ ὑμῶν
πληγὴν ὀδύνης. 12 τίς ἤρξατο εἰς ἀγαθὰ κατοικούσῃ ὀδύνας; ὅτι 12
κατέβη κακὰ παρὰ Κυρίου ἐπὶ πύλας Ἰερουσαλήμ, 13 ψόφος ἁρμάτων 13
καὶ ἱππευόντων. κατοικοῦσα Λαχεὶς ἀρχηγὸς ἁμαρτίας αὕτη ἐστὶν τῇ
θυγατρὶ Σειών, ὅτι ἐν σοὶ εὑρέθησαν ἀσέβειαι τοῦ Ἰσραήλ. 14 διὰ 14
τοῦτο δώσει ἐξαποστελλομένους ἕως κληρονομίας Γέθ, οἴκους ματαί-
ους, εἰς κενὸν ἐγένοντο τοῖς βασιλεῦσιν τοῦ Ἰσραήλ· 15 ἕως τοὺς 15
κληρονόμους ἀγάγωσιν, κατοικοῦσα Λαχείς· κληρονομία ἕως Ὀδολλὰμ
ἥξει, ἡ δόξα τῆς θυγατρὸς Ἰσραήλ. 16 ξύρησαι καὶ κεῖραι ἐπὶ τὰ τέκνα 16
τὰ τρυφερά σου, ἐνπλάτυνον τὴν χηρίαν σου ὡς ἀετός, ὅτι ᾐχμαλω-
τεύθησαν ἀπὸ σοῦ.

1 Ἐγένοντο λογιζόμενοι κόπους καὶ ἐργαζόμενοι κακὰ ἐν ταῖς κοί- 1 II
ταις αὐτῶν, καὶ ἅμα τῇ ἡμέρᾳ συνετέλουν αὐτά, διότι οὐκ ἦραν πρὸς
τὸν θεὸν τὰς χεῖρας αὐτῶν· 2 καὶ ἐπεθύμουν ἀγρούς, καὶ διήρπαζον 2
ὀρφανούς, καὶ οἴκους κατεδυνάστευον, καὶ διήρπαζον ἄνδρα καὶ τὸν
οἶκον αὐτοῦ, καὶ ἄνδρα καὶ τὴν κληρονομίαν αὐτοῦ. 3 διὰ τοῦτο τάδε 3
λέγει Κύριος Ἰδοὺ ἐγὼ λογίζομαι ἐπὶ τὴν φυλὴν ταύτην κακά, ἐξ
ὧν οὐ μὴ ἄρητε τοὺς τραχήλους ὑμῶν, καὶ οὐ μὴ πορευθῆτε ὀρθοὶ
ἐξαίφνης, ὅτι καιρὸς πονηρός ἐστιν. 4 Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ 4
λημφθήσεται ἐφ' ὑμᾶς παραβολή, καὶ θρηνηθήσεται θρῆνος ἐν μέλει
λέγων Ταλαιπωρίᾳ ἐταλαιπωρήσαμεν· μερὶς λαοῦ μου κατεμετρήθη ἐν
σχοινίῳ, καὶ οὐκ ἦν ὁ κωλύσων αὐτὸν τοῦ ἀποστρέψαι· οἱ ἀγροὶ

AQ 7 *συνεστρεψεν*] *επεστρεψεν* Q^{mg} 8 *θρηνησει*] *πενθησει* Q^{mg} | *ποιησεται*] pr *και* A | *δρακοντων*] *ντω*| sup ras B^{ab} | *σιρηνων* Q^{*} 10 *εν Ακειμ*] (*εν*) Βαχειμ Q^{mg} | *γην*] *υμων* A | *καταγελωτα* 2°] pr *εις* Q^{a} | *υμων* sup ras A^{a} 11 *Σενναρ...οικον* sup ras B^{ab} | *Σενναρ*] *Σεννααν* Q^{a} | *ληψεται* Q 13 *ψοφος*] pro φ coep π (? γ) B^{*vid} | *αυτη*] *αυτης* A (θ' [*αυτη*] Q^{mg}) | *εστι* Q^{a} | *Σιων* B^{b}AQ | *ασεβειαι*] pr *αι* A 14 *δωσεις* A | *κενον εγενοντο* BQ^{mg}] *κενα εγενετο* AQ^{*} (*-νοντο* Q^{a}) | *του Ισραηλ*] om *του* A 15 *αγαγωσιν*] *αγαγω σοι* Q^{mg} | Οδολλαμ] λ 1° ras $B^{a\,vid}$ 16 *εμπλατυνον* B^{ab}Q | *χηρειαν* $B^{ab}Q^{a}$ (*ξυρησιν* Q^{mg}) II 1 *αυτων* 1° sup ras pl litt A^{b} 2 *οικους*] *υς* sup ras A^{a} | om *και* 6° AQ^{*} (hab Q^{mg}) 3 *ορθροι* A 4 *ληφθησεται* Q

5 ἡμῶν διεμερίσθησαν. [5]διὰ τοῦτο οὐκ ἔσται σοι βάλλων σχοινίον ἐν B
6 κλήρῳ ἐν ἐκκλησίᾳ Κυρίου. [6]μὴ κλαίετε δάκρυσιν, μηδὲ δακρυέτωσαν
7 ἐπὶ τούτοις· οὐ γὰρ ἀπώσεται ὀνείδη [7]ὁ λέγων Οἶκος Ἰακὼβ παρώρ-
γισεν πνεῦμα Κυρίου. εἰ ταῦτα τὰ ἐπιτηδεύματα αὐτοῦ ἐστίν; οὐχ οἱ
8 λόγοι αὐτοῦ εἰσὶν καλοὶ μετ' αὐτοῦ, καὶ ὀρθοὶ πεπόρευνται; [8]καὶ
ἔμπροσθεν ὁ λαός μου εἰς ἔχθραν ἀντέστη· κατέναντι τῆς εἰρήνης
αὐτοῦ τὴν δορὰν αὐτοῦ ἐξέδειραν, τοῦ ἀφελέσθαι ἐλπίδα συντριμμὸν
9 πολέμου. [9]ἡγούμενοι λαοῦ μου ἀποριφήσονται ἐκ τῶν οἰκιῶν τρυφῆς
αὐτῶν, διὰ τὰ πονηρὰ ἐπιτηδεύματα αὐτῶν ἐξώσθησαν. ἐγγίσατε
10 ὄρεσιν αἰωνίοις· [10]ἀνάστηθι καὶ πορεύου, ὅτι οὐκ ἔστιν σοι αὕτη
11 ἀνάπαυσις ἕνεκεν ἀκαθαρσίας. διεφθάρητε φθορᾷ, [11]κατεδιώχθητε
οὐδενὸς διώκοντος· πνεῦμα ἔστησεν ψεῦδος, ἐστάλαξέν σοι εἰς οἶνον
12 καὶ μέθυσμα. καὶ ἔσται ἐκ τῆς σταγόνος τοῦ λαοῦ τούτου [12]συνα-
γόμενος συναχθήσεται Ἰακὼβ σὺν πᾶσιν· ἐκδεχόμενος ἐκδέξομαι τοὺς
καταλοίπους τοῦ Ἰσραήλ, ἐπὶ τὸ αὐτὸ θήσομαι τὴν ἀποστροφὴν αὐ-
τοῦ· ὡς πρόβατα ἐν θλίψει, ὡς ποίμνιον ἐν μέσῳ κοίτης αὐτῶν ἐξα-
13 λοῦνται ἐξ ἀνθρώπων· [13]διὰ τῆς διακοπῆς πρὸ προσώπου αὐτῶν
διέκοψαν, καὶ διῆλθον πύλην καὶ ἐξῆλθον δι' αὐτῆς, καὶ ἐξῆλθεν
ὁ βασιλεὺς αὐτῶν πρὸ προσώπου αὐτῶν, ὁ δὲ κύριος ἡγήσεται
αὐτῶν.

III 1 [1]Καὶ ἐρεῖ Ἀκούσατε δὴ ταῦτα, αἱ ἀρχαὶ οἴκου Ἰακὼβ καὶ οἱ
κατάλοιποι οἴκου Ἰσραήλ. οὐχ ὑμῖν ἐστὶν τοῦ γνῶναι τὸ κρίμα;
2 [2]μισοῦντες τὰ καλὰ καὶ ζητοῦντες τὰ πονηρά, ἁρπάζοντες τὰ δέρ-
ματα αὐτῶν ἀπ' αὐτῶν καὶ τὰς σάρκας αὐτῶν ἀπὸ τῶν ὀστέων
3 αὐτῶν. [3]ὃν τρόπον κατέφαγον τὰς σάρκας τοῦ λαοῦ μου, καὶ τὰ
δέρματα αὐτῶν ἀπ' αὐτῶν ἐξέδειραν, καὶ τὰ ὀστέα αὐτῶν συνέθλα-
σαν καὶ ἐμέλισαν ὡς σάρκας εἰς λέβητα καὶ ὡς κρέα εἰς χύτραν,
4 [4]οὕτως κεκράξονται πρὸς Κύριον καὶ οὐκ εἰσακούσεται αὐτῶν· καὶ
ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτῶν ἐν τῷ καιρῷ ἐκείνῳ,
ἀνθ' ὧν ἐπονηρεύσαντο ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν ἐπ' αὐτούς.

4 *διεμερισθησαν*] *διεμετρηθησαν* AQ 6 *τουτοις*] *τουτω* AQ* (-*τοις* AQ Q^{a}) 7 *ει*] *ου* Q* (*ει* Q^{mg}) | *καλοι εισιν* Q 8 *εχραν* A* (*εχθρ.* A$^{b?}$) | *αντεστη*] *αντικατεστη* A 9 *ηγουμενοι*] pr *δια τουτο* AQ | *απορριφησονται* AQ | *τα πονηρα*] om *τα* Q* (hab Q^{mg}) 10 *οι* λ' *αναστητε* Q^{mg} | *αναπαυσις*] pr *η* A 11 *ουθενος* AQ | *ψευδες* Q^{a} 12 *εκδεχομενος* in mg et sup ras A^{a} | *Ισραηλ*] *του λαου τουτου* A | *αυτου*] *αυτων* AQ 13 om *και* 1° A III 2 *μισουντες*] pr *οι* AQ 3 *απ*] *απο των οστεων* AQ | *οστεα*] *οστα* AQ | *συνεθλασαν*] *συνεκλεισαν* A | *κρεας* Q^{a} | *χυτρα* A^{fort} 4 *αυτου* sup ras A^{a}

B 5 τάδε λέγει Κύριος ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν 5
μου, τοὺς δάκνοντας ἐν τοῖς ὀδοῦσιν αὐτῶν καὶ κηρύσσοντας ἐπ' αὐ-
τὸν εἰρήνην, καὶ οὐκ ἐδόθη εἰς τὸ στόμα αὐτῶν, ἤγειραν ἐπ' αὐτὸν
πόλεμον· 6 διὰ τοῦτο νὺξ ὑμῖν ἔσται ἐξ ὁράσεως, καὶ σκοτία ὑμῖν 6
ἔσται ἐκ μαντείας, καὶ δύσεται ὁ ἥλιος ἐπὶ τοὺς προφήτας, καὶ
συσκοτάσει ἐπ' αὐτοὺς ἡ ἡμέρα· 7 καὶ καταισχυνθήσονται οἱ ὁρῶντες 7
τὰ ἐνύπνια, καὶ καταγελασθήσονται οἱ μάντεις, καὶ καταλαλήσουσιν
κατ' αὐτῶν πάντες αὐτοί, διότι οὐκ ἔσται ὁ εἰσακούων αὐτῶν. 8 ἐὰν 8
μὴ ἐγὼ ἐμπλήσω ἰσχὺν ἐν πνεύματι Κυρίου καὶ κρίματος καὶ δυ-
ναστείας τοῦ ἀπαγγεῖλαι τῷ Ἰακὼβ ἀσεβείας αὐτοῦ καὶ τῷ Ἰσραὴλ
ἁμαρτίας αὐτοῦ. 9 ἀκούσατε δὴ ταῦτα, οἱ ἡγούμενοι οἴκου Ἰακὼβ καὶ 9
οἱ κατάλοιποι οἴκου Ἰσραήλ, οἱ βδελυσσόμενοι κρίμα καὶ πάντα τὰ
ὀρθὰ διαστρέφοντες, 10 οἱ οἰκοδομοῦντες Σειὼν ἐν αἵμασιν καὶ Ἰερου- 10
σαλὴμ ἐν ἀδικίαις· 11 οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον, καὶ οἱ 11
ἱερεῖς αὐτῆς μετὰ μισθοῦ ἀπεκρίνοντο, καὶ οἱ προφῆται αὐτῆς μετὰ
ἀργυρίου ἐμαντεύοντο, καὶ ἐπὶ τὸν κύριον ἐπανεπαύοντο λέγοντες
Οὐχὶ Κύριος ἐν ἡμῖν ἐστιν; οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά. 12 διὰ 12
τοῦτο δι' ὑμᾶς Σειὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἰερουσαλὴμ ὡς
ὀπωροφυλάκιον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ.

1 Καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος τοῦ κυρίου, 1 IV
ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω
τῶν βουνῶν· καὶ σπεύσουσιν πρὸς αὐτὸ λαοί, 2 καὶ πορεύσονται ἔθνη 2
πολλὰ καὶ ἐροῦσιν Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου καὶ εἰς τὸν
οἶκον τοῦ θεοῦ Ἰακώβ· καὶ δείξουσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευ-
σόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ. ὅτι ἐκ Σειὼν ἐξελεύσεται νόμος, καὶ
λόγος Κυρίου ἐξ Ἰερουσαλήμ, 3 καὶ κρινεῖ ἀνὰ μέσον λαῶν πολλῶν, 3
καὶ ἐξελέγξει ἔθνη ἰσχυρὰ ἕως εἰς μακράν· καὶ κατακόψουσιν τὰς
ῥομφαίας αὐτῶν εἰς ἄροτρα καὶ τὰ δόρατα αὐτῶν εἰς δρέπανα, καὶ
οὐκέτι μὴ ἀντάρῃ ἔθνος ἐπ' ἔθνος ῥομφαίαν, καὶ οὐκέτι μὴ μάθωσιν

AQ 5 ηγειραν] ηγιασαν Q^{mg} 7 εσται] εστιν Q^{mg} | εισακουων] επακουσων AQ 8 εμπλησω εγω A | δυναστιας B^{*} (-τειας B^{ab}) 9 Ιακωβ] Ι̅η̅λ A | Ισραηλ] Ιακωβ A 10 om Σειων A Σιων $B^{b}Q^{a}$ | αδικειαις B^{*} (-κιαις B^{b}) 11 ημιν] υμιν Q^{*} (ημ. Q^{a}) | κακα] pr τα A 12 Σιων B^{b}A | ως 2°] εις A | οπωροφυλακειον Q^{a} | εις] ως AQ^{*} (εις Q^{a}) IV 1 εσχατον Q^{a} | του κυριου] om του Q^{*} (hab Q^{mg}) | προς] επ Q^{mg} | αυτον B^{b}Q 2 πορευσονται] + προς αυτο A + επ αυτον Q | Κυριου 1°] pr του AQ | Σιων AQ 3 εξελεγξει] ελεγξει AQ | μακραν] pr γην A | ρομφαιας] μαχαιρας Q^{mg} | τα δορατα] τας ζιβυνας AQ^{*} (τα δορ. Q^{mg}) | μη 1°] pr ου AQ^{*} (om ου Q^{a}) |ανταρη] αρη AQ | επ] οι σ' προς Q^{mg} | ουκετι 2°] ου AQ | μαθωσιν] + ετι AQ

4 πολεμεῖν· [4]καὶ ἀναπαύσεται ἕκαστος ὑποκάτω ἀμπέλου αὐτοῦ, καὶ B
ἕκαστος ὑποκάτω συκῆς αὐτοῦ, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν, διότι τὸ
5 στόμα Κυρίου Παντοκράτορος ἐλάλησεν ταῦτα· [5]ὅτι πάντες οἱ λαοὶ
πορεύσονται ἕκαστος τὴν ὁδὸν αὐτοῦ, ἡμεῖς δὲ πορευσόμεθα ἐν ὀνό-
6 ματι Κυρίου θεοῦ ἡμῶν εἰς τὸν αἰῶνα καὶ ἐπέκεινα. [6]ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, λέγει Κύριος, συνάξω τὴν συντετριμμένην, καὶ τὴν ἐξωσμένην
7 εἰσδέξομαι, καὶ οὓς ἀπωσάμην· [7]καὶ θήσομαι τὴν συντετριμμένην εἰς
ὑπόλιμμα, καὶ τὴν ἀπωσμένην εἰς ἔθνος δυνατόν, καὶ βασιλεύσει
Κύριος ἐπ' αὐτοὺς ἐν ὄρει Σειὼν ἀπὸ τοῦ νῦν ἕως εἰς τὸν αἰῶνα.
8 [8]καὶ σύ, πύργος ποιμνίου αὐχμώδης, θυγάτηρ Σειών, ἐπὶ σὲ ἥξει,
καὶ εἰσελεύσεται ἡ ἀρχὴ ἡ πρώτη, βασιλεία ἐκ Βαβυλῶνος τῇ θυγατρὶ
9 Ἰερουσαλήμ. [9]Καὶ νῦν ἵνα τί ἔγνως κακά; μὴ βασιλεὺς οὐκ ἦν
σοι; ἢ ἡ βουλή σου ἀπώλετο ὅτι κατεκράτησάν σου ὠδῖνες ὡς τικτού-
10 σης; [10]ὤδινε καὶ ἀνδρίζου καὶ ἔγγιζε, θυγάτηρ Σειών, ὡς τίκτουσα·
διότι νῦν ἐξελεύσῃ ἐκ πόλεως, καὶ κατασκηνώσεις ἐν πεδίῳ, καὶ ἥξεις
ἕως Βαβυλῶνος· ἐκεῖθεν ῥύσεταί σε Κύριος ὁ θεός σου ἐκ χειρὸς
11 ἐχθρῶν σου. [11]καὶ νῦν ἐπισυνήχθη ἐπὶ σὲ ἔθνη πολλὰ λέγοντες
12 Ἐπιχαρούμεθα, καὶ ἐπόψονται ἐπὶ Σειὼν οἱ ὀφθαλμοὶ ἡμῶν. [12]αὐτοὶ
δὲ οὐκ ἔγνωσαν τὸν λογισμὸν Κυρίου, καὶ οὐ συνῆκαν τὴν βουλὴν
13 αὐτοῦ, ὅτι συνήγαγεν αὐτοὺς ὡς δράγματα ἅλωνος. [13]ἀνάστηθι καὶ
ἀλόα αὐτούς, θυγάτηρ Σειών, ὅτι τὰ κέρατά σου θήσομαι σιδηρᾶ, καὶ
τὰς ὁπλάς σου θήσομαι χαλκᾶς· καὶ κατατήξεις λαοὺς πολλούς, καὶ
ἀναθήσεις τῷ κυρίῳ τὸ πλῆθος αὐτῶν, καὶ τὴν ἰσχὺν αὐτῶν τῷ κυρίῳ
V (14) 1 πάσης τῆς γῆς. [1]νῦν ἐμφραχθήσεται θυγάτηρ ἐμφραγμῷ, συνοχὴν
ἔταξεν ἐφ' ὑμᾶς, ἐν ῥάβδῳ πατάξουσιν ἐπὶ σιαγόνα τὰς πύλας
τοῦ Ἰσραήλ.
(1) 2 [2]Καὶ σύ, Βηθλέεμ οἶκος Ἐφράθα, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν
χιλιάσιν Ἰούδα· ἐξ οὗ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα τοῦ

4 om αυτου 1° Q* vid (hab Q^a(mg)) 5 εκαστος] pr σε Q* | om Κυριου AQ
A 6 συναξω την συντετρ. λεγει κ̅ς̅ A | εξωσμενην] απωσμενην A
7 υπολειμμα B^ab Q^a + διαμενον Q^mg | εθνον B* (εθνος B^1 b) | δυνατον] ισχυρον
AQ | Σιων AQ: item 8, 10, 11, 13 | εως] pr και AQ 8 αυχμωδους
Q | θυγατερ AQ: item 10, 13 9 σου 2°] σε A 10 om και εγγιζε
A | ρυσεται σε] + και εκειθεν λυτρωσεται σε B^ab(mg) AQ 11 λεγοντες]
pr οι AQ 12 αυτοι δε] και αυτοι AQ | Κυριου] κ̅ν̅ B | δραγματα]
δραγμα αφ Q* (-ματα Q^a) 13 αναστα AQ* (αναστηθι Q^a) | κατατηξεις]
λεπτυνεις AQ V 1 θυγατηρ] + Εφραιμ AQ | εμφραγμω] ενφραγμω
(? εν φρ.) AQ | υμας] ημας Q^a | σιαγονας A | πυλας] φυλας AQ 2 Εφραθα]
pr του AQ | εξ ου] εκ σου B^b?c AQ | εξελευσεται] + ηγουμενος A | του Ισραηλ]
εν τω Ισρ. AQ

B Ἰσραήλ, καὶ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. [3]διὰ 3 (2)
τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης τέξεται, καὶ οἱ ἐπίλοιποι
τῶν ἀδελφῶν αὐτῶν ἐπιστρέψουσιν ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ. [4]καὶ 4 (3)
στήσεται καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύι
Κύριος, καὶ ἐν τῇ δόξῃ ὀνόματος Κυρίου θεοῦ αὐτῶν ὑπάρξουσιν·
διότι νῦν μεγαλυνθήσεται ἕως ἄκρων τῆς γῆς. [5]καὶ ἔσται αὕτη 5 (4)
εἰρήνη· Ἀσσοὺρ ὅταν ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν καὶ ὅταν ἐπιβῇ
ἐπὶ τὴν χώραν ὑμῶν, καὶ ἐπεγερθήσονται ἐπ' αὐτὸν ἑπτὰ ποιμένες
καὶ ὀκτὼ δήγματα ἀνθρώπων· [6]καὶ ποιμανοῦσιν τὸν Ἀσσοὺρ ἐν 6 (5)
ῥομφαίᾳ καὶ τὴν γῆν τοῦ Νεβρὼδ ἐν τῇ τάφρῳ αὐτῆς· καὶ ῥύσεται
ἐκ τοῦ Ἀσσούρ, ὅταν ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν καὶ ὅταν ἐπιβῇ
ἐπὶ τὰ ὅρια ὑμῶν. [7]καὶ ἔσται τὸ ὑπόλιμμα τοῦ Ἰακὼβ ἐν τοῖς 7 (6)
ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν ὡς δρόσος παρὰ Κυρίου πίπτουσα
καὶ ὡς ἄρνες ἐπὶ ἄγρωστιν, ὅπως μὴ συναχθῇ μηδεὶς μηδὲ ὑποστῇ
ἐν υἱοῖς ἀνθρώπων. [8]καὶ ἔσται τὸ ὑπόλιμμα Ἰακὼβ ἐν τοῖς 8 (7)
ἔθνεσιν ἐν μέσῳ πολλῶν λαῶν ὡς λέων ἐν κτήνεσιν ἐν τῷ δρυμῷ
καὶ ὡς σκύμνος ἐν ποιμνίοις προβάτων, ὃν τρόπον ὅταν διέλθῃ
καὶ διαστείλας ἁρπάσῃ, καὶ μὴ ᾖ ὁ ἐξαιρούμενος. [9]ὑψωθήσεται 9 (8)
ἡ χείρ σου ἐπὶ τοὺς θλίβοντάς σε, καὶ πάντες οἱ ἐχθροί σου
ἐξολεθρευθήσονται. [10]Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ, λέγει Κύριος, 10 (9)
ἐξολεθρεύσω τοὺς ἵππους ἐκ μέσου σου καὶ ἀπολῶ τὰ ἅρματά σου,
[11]καὶ ἐξολεθρεύσω τὰς πόλεις τῆς γῆς σου καὶ ἐξαρῶ πάντα τὰ 11 (10)
ὀχυρώματά σου, [12]καὶ ἐξολεθρεύσω τὰ φάρμακά σου ἐκ τῶν χειρῶν 12 (11)
σου, καὶ ἀποφθεγγόμενοι οὐκ ἔσονται ἐν σοί· [13]καὶ ἐξολεθρεύσω 13 (12)
τὰ γλυπτά σου καὶ τὰς στήλας σου ἐκ μέσου σου, καὶ οὐκέτι μὴ
προσκυνήσῃς τοῖς ἔργοις τῶν χειρῶν σου, [14]καὶ ἐκκόψω τὰ ἄλση 14 (13)
ἐκ μέσου σου, καὶ ἀφανιῶ τὰς πόλεις σου, [15]καὶ ποιήσω ἐν ὀργῇ 15 (14)
καὶ ἐν θυμῷ ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἀνθ' ὧν οὐκ εἰσήκουσαν.

[1]Ἀκούσατε δὴ λόγον. κύριος Κύριος εἶπεν Ἀνάστηθι κρίθητι 1 VI

AQ 2 εξοδοι] pr αι A 4 στησεται, ποιμανει] adnot τα ωβελισμε(να) εις τους δυο τοπους ου κειται ε̄ τω εξασελ(ιδω) Q^{mg} | ονοματος] pr του AQ | θεου] pr του AQ | μεγαλυνθησεται B^{*vid}] μεγαλυνθησονται $B^{a?b}$AQ 5 ειρηνη] pr η A | Ασσουρ οταν] οταν Ασσυριος AQ 7 υπολειμμα $B^{b(vid)}AQ^{a}$ | επι] επ A 8 υπολειμμα $B^{b(vid)}Q^{a}$ | Ιακωβ] pr του AQ | λαων πολλων A | ποιμνιοις] ν rescr A^{1} | εξαιρουμενος] ρυομενος Q^{*} (εξαιρ. Q^{mg}) 10 τη ημερα] + εκεινη A pr εκεινη Q | ιππους] + σου AQ | μεσω B^{*} (-σου $B^{a?b}$) 11 εξολοθρευσω $B^{?}$ 12 εξολεθρευσω] εξαρω AQ | τα φαρμακα] pr παντα A 13 προσκυνησεις AQ^{*} (-σης Q^{a}) 14 αλση] + σου AQ | μεσω B^{*} (-σου $B^{a?b?}$) | αφανισω Q 15 οργη] θυμω A | θυμω] οργη A | εκδικησιν] pr και Q | εισηκουσαν] + μου A VI 1 λογον κυριος Κυριος] λογον κ̅υ̅ α ο κ̅ς̅ A α ο κ̅ς̅ Q | κριθητι] pr και AQ

2 πρὸς τὰ ὄρη, καὶ ἀκουσάτωσαν οἱ βουνοὶ φωνήν σου. 2ἀκούσατε, B
λαοί, τὴν κρίσιν τοῦ κυρίου, καὶ αἱ φάραγγες θεμέλια τῆς γῆς, ὅτι
κρίσις τῷ κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ μετὰ τοῦ Ἰσραὴλ διε-
3 λεγχθήσεται. 3λαός μου, τί ἐποίησά σοι, ἢ τί ἐλύπησά σε, ἢ τί
4 παρηνώχλησά σοι; ἀποκρίθητί μοι. 4διότι ἀνήγαγόν σε ἐκ γῆς
Αἰγύπτου, καὶ ἐξ οἴκου δουλίας ἐλυτρωσάμην σε, καὶ ἐξαπέστειλα
5 πρὸ προσώπου σου τὸν Μωσῆν καὶ Ἀαρὼν καὶ Μαριάμ. 5λαός
μου, μνήσθητι δὴ τί ἐβουλεύσατο κατὰ σοῦ Βαλὰκ βασιλεὺς Μωάβ,
καὶ τί ἀπεκρίθη αὐτῷ Βαλαὰμ υἱὸς τοῦ Βεὼρ ἀπὸ τῶν σχοίνων ἕως
6 τοῦ Γαλγάλ, ὅπως γνωσθῇ ἡ δικαιοσύνη τοῦ κυρίου. 6ἐν τίνι κατα-
λάβω τὸν κύριον, ἀντιλήμψομαι θεοῦ μου Ὑψίστου; εἰ καταλήμψομαι
7 αὐτὸν ἐν ὁλοκαυτώμασιν ἐν μόσχοις ἐνιαυσίοις; 7εἰ προσδέξεται
Κύριος ἐν χιλιάσιν κριῶν ἢ ἐν μυριάσιν χειμάρρων πιόνων; εἰ δῶ
πρωτότοκά μου ἀσεβείας, καρπὸν κοιλίας μου ὑπὲρ ἁμαρτίας ψυχῆς
8 μου; 8εἰ ἀνηγγέλη σοι, ἄνθρωπε, τί καλόν; ἢ τί Κύριος ἐκζητεῖ
παρὰ σοῦ ἀλλ' ἢ τοῦ ποιεῖν κρίμα καὶ ἀγαπᾶν ἔλεον καὶ ἕτοιμον
9 εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου θεοῦ σου; 9Φωνὴ Κυρίου
τῇ πόλει ἐπικληθήσεται, καὶ σώσει φοβουμένους τὸ ὄνομα αὐτοῦ.
10 ἄκουε, φυλή, καὶ τίς κοσμήσει πόλιν; 10μὴ πῦρ καὶ οἶκος ἀνόμου
11 θησαυρίζων θησαυροὺς ἀνόμους, καὶ μετὰ ὕβρεως ἀδικία; 11εἰ δι-
12 καιωθήσεται ἐν ζυγῷ ἄνομος, καὶ ἐν μαρσίππῳ στάθμια δόλου; 12ἐξ
ὧν τὸν πλοῦτον αὐτῶν ἀσεβείας ἔπλησαν, καὶ οἱ κατοικοῦντες αὐ-
τὴν ἐλάλουν ψεύδη, καὶ ἡ γλῶσσα αὐτῶν, ὑψώθητι ἐν τῷ στόματι
13 αὐτῶν. 13καὶ ἐγὼ ἄρξομαι τοῦ πατάξαι σε, ἀφανιῶ σε ἐν ταῖς
14 ἁμαρτίαις σου. 14σὺ φάγεσαι καὶ οὐ μὴ ἐμπλησθῇς, καὶ σκοτάσει
ἐν σοὶ καὶ ἐκνεύσει, καὶ σὺ οὐ μὴ διασωθῇς, καὶ ὅσοι ἐὰν διασω-
15 θῶσιν εἰς ῥομφαίαν παραδοθήσονται· 15σὺ σπερεῖς καὶ οὐ μὴ ἀμήσῃς,
σὺ πιέσεις ἐλαίαν καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον, καὶ οἶνον καὶ οὐ μὴ

2 λαοι] βουνοι AQ^{*} (ορη Q^{mg}) 4 δουλειας $B^{ab}AQ$ | Μωυσην Q 5 τι AQ δη Q^{*} (δη τι Q^{a}) | αυτω απεκριθη Q 6 αντιληψομαι Q | om θεου μου Υψ. ει καταλημψ. Q^{*} (hab Q^{mg}) 7 Κυριος] pr ο A | χιλιασι Q^{a} | χειμαρρων] αρνων A 8 ανηγγελη] απηγγελη Q^{a} | εκζητει κ̅ς Q | ελεος AQ | θεου] pr του A 9 φοβουμενους] pr τους A | τις] τι A 10 ανομου] ανομων AQ | ανομους] ανομιας AQ^{*} (-μους Q^{a}) | om και 2° A 11 ει] pr και AQ 12 επλησαν] ενεπλησαν AQ^{*} (επλ. Q^{a}) | ελαλουν] ελαλησαν Q^{a} | ψευδη] οι λ' αδικα Q^{mg} | υψωθη AQ 13 και] + γε Q^{a} | αρξομαι] εβασανισα επι σε δια Q^{mg} | αφανιω] pr και A | εν] επι A 14 εμπλησθης] + και εξωσω σε εν σοι Q in mg et sup ras | σκοτασει εν σοι και εκνευσει] σκ. εν σοι και εννευσει Q^{*vid} καταλημψη (sup ras et improb και εvv.) $Q^{??}$ θε′ σκ. εν σοι και εκν. Q^{mg} | om συ 2° AQ | εαν] αν Q 15 σπαρεις Q^{*vid} | αμησεις Q | συ πιεσεις] εκπιεσεις $Q^{a\,vid}$ | ελαιαν] ελαιον Q^{a}

B πίητε, καὶ ἀφανισθήσεται νόμιμα λαοῦ μου. 16 καὶ ἐφύλαξας τὰ 16
δικαιώματα Ζαμβρεὶ καὶ πάντα τὰ ἔργα οἴκου Ἀχαάβ, καὶ ἐπορεύ-
θητε ἐν ταῖς ὁδοῖς αὐτῶν, ὅπως παραδῶ σε εἰς ἀφανισμὸν καὶ τοὺς
κατοικοῦντας αὐτὴν εἰς συρισμόν, καὶ ὀνείδη λαῶν λήψεσθε.

1 Οἴμοι ὅτι ἐγενήθην ὡς συνάγων καλάμην ἐν ἀμήτῳ καὶ ὡς ἐπι- 1 VII
φυλλίδα ἐν τρυγήτῳ, οὐχ ὑπάρχοντος βότρυος τοῦ φαγεῖν τὰ πρω-
τόγονα. οἴμοι ψυχή, 2 ὅτι ἀπόλωλεν εὐσεβὴς ἀπὸ τῆς γῆς, καὶ 2
κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει· πάντες εἰς αἵματα δικάζονται,
ἕκαστος τὸν πλησίον αὐτοῦ ἐκθλίβουσιν ἐκθλιβῇ, 3 ἐπὶ τὸ κακὸν τὰς 3
χεῖρας αὐτῶν ἑτοιμάζουσιν· ὁ ἄρχων αἰτεῖ, καὶ ὁ κριτὴς εἰρηνικοὺς
λόγους ἐλάλησεν, καταθύμιον ψυχῆς αὐτοῦ ἐστιν. καὶ ἐξελοῦμαι τὰ
ἀγαθὰ αὐτῶν 4 ὡς σὴς ἐκτρώγων καὶ βαδίζων ἐπὶ κανόνος ἐν ἡμέρᾳ 4
σκοπιᾶς. οὐαὶ οὐαί, αἱ ἐκδικήσεις σου ἥκασιν, νῦν ἔσονται κλαυθμοὶ
αὐτῶν. 5 μὴ καταπιστεύετε ἐν φίλοις, καὶ μὴ ἐλπίζετε ἐπὶ ἡγου- 5
μένοις, ἀπὸ τῆς συνκοίτου σου φύλαξαι τοῦ ἀναθέσθαι τι αὐτῇ·
6 διότι υἱὸς ἀτιμάζει πατέρα, θυγάτηρ ἐπαναστήσεται ἐπὶ τὴν μη- 6
τέρα αὐτῆς, νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς, ἐχθροὶ πάντες ἀνδρὸς
οἱ ἐν τῷ οἴκῳ αὐτοῦ. 7 Ἐγὼ δὲ ἐπὶ τὸν κύριον ἐπιβλέψομαι, 7
ὑπομενῶ ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου, εἰσακούσεταί μου ὁ θεός μου.
8 μὴ ἐπίχαιρέ μοι ἡ ἐχθρά μου ὅτι πέπτωκα, καὶ ἀναστήσομαι· διότι 8
ἐὰν καθίσω ἐν τῷ σκότει, Κύριος φωτιεῖ μοι. 9 ὀργὴν Κυρίου ὑποίσω 9
ὅτι ἥμαρτον αὐτῷ, ἕως τοῦ δικαιῶσαι αὐτὸν τὴν δίκην μου· καὶ ποι-
ήσει τὸ κρίμα μου καὶ ἐξάξεις με εἰς τὸ φῶς, ὄψομαι τὴν δικαιο-
σύνην αὐτοῦ· 10 καὶ ὄψεται ἡ ἐχθρά μου καὶ περιβαλεῖται αἰσχύνην, 10
ἡ λέγουσα πρὸς μέ Ποῦ Κύριος ὁ θεός σου; οἱ ὀφθαλμοί μου ἐπό-
ψονται αὐτήν, νῦν ἔσται εἰς καταπάτημα ὡς πηλὸς ἐν ταῖς ὁδοῖς.
11 ἡμέρας ἀλοιφῆς πλίνθου, ἐξάλειψίς σου ἡ ἡμέρα ἐκείνη, καὶ ἀπο- 11
τρίψεται νόμιμά σου ἡ ἡμέρα ἐκείνη· 12 καὶ αἱ πόλεις σου εἴξουσιν 12

AQ 15 πιητε] πιης οινον Q^{mg} | νομημα Q 16 Ζαμβρι A Ζαμβρη Q | οδοις] βουλαις AQ | παραδωσω AQ | κατοικουντας] ενοικ. Q^{mg} | συριγμον Q^{a} | λημψεσθε A VII 1 εγενηθην BQ^{a}] εγενομην AQ^{*} 2 ευσεβης] ευλαβης $B^{b\ \text{nisi potius}\ c}$ AQ 3 ο κριτης] om ο Q^{a} κρ. sup ras $Q^{1?a?}$ | εστιν] pr ως Q^{a} 4 αδιζων B^{*} (βαδ. $B^{1?ab}$) | σκοπιας] + σου Q^{mg} | αι εκδικησεις] om αι Q^{*} (hab Q^{a}) 5 καταπιστευε Q^{*} (-ετε Q^{a}) | και μη] μηδε Q^{mg} | ελπιζε Q^{*} (-ετε Q^{a}) | συγκοιτου $B^{ab}Q^{a}$ | τι αυτη] αυτη τι A 6 υιος] pr ο Q^{*} (om ο Q^{a}) | θυγατηρ] pr και A | επαναστησεται] οι ο' αναστησ. Q^{mg} | νυμφη] pr και A | om παντες Q^{a} | ανδρος] οι ανδρες AQ^{*} + οι ανδρες $Q^{a\,vid}$ 7 επι τον κυριον] εν τω κω̄ Q^{a} | επιβλεψομαι] αποσκοπευσω Q^{mg} 8 καθισω] πορευθω Q^{mg} | Κυριος] pr ο AQ | φωτιει] οι ο' φως Q^{mg} 9 εως του] εως ου A | ποιησει] αποισει A | εξαξει B^{b}AQ 11 αποτριψεται] απωσεται AQ | νομιμη Q^{*} | om σου 2° AQ | η ημερα 2°] om η Q 12 ειξουσιν] ηξουσιν B^{b}AQ

εἰς ὁμαλισμὸν καὶ εἰς διαμερισμὸν Ἀσσυρίων, καὶ αἱ πόλεις σου αἱ B
ὀχυραὶ εἰς διαμερισμὸν ἀπὸ Τύρου ἕως τοῦ ποταμοῦ, καὶ ἀπὸ θα-
13 λάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ὄρους ἕως τοῦ ὄρους· [13]καὶ ἔσται ἡ
γῆ εἰς ἀφανισμὸν σὺν τοῖς κατοικοῦσιν αὐτήν, ἀπὸ καρπῶν ἐπιτηδευ-
μάτων αὐτῶν.
14 [14]Ποίμαινε λαόν σου ἐν ῥάβδῳ σου, πρόβατα κληρονομίας σου,
κατασκηνοῦντας καθ᾽ ἑαυτοὺς δρυμὸν ἐν μέσῳ τοῦ Καρμήλου· νεμή-
σονται τὴν Βασανεῖτιν καὶ τὴν Γαλααδεῖτιν καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος.
15 [15]καὶ κατὰ τὰς ἡμέρας ἐξοδίας σου ἐξ Αἰγύπτου ὄψεσθε θαυμαστά·
16 [16]ὄψονται ἔθνη καὶ καταισχυνθήσονται καὶ ἐκ πάσης τῆς ἰσχύος αὐ-
τῶν, ἐπιθήσουσιν χεῖρας ἐπὶ τὸ στόμα αὐτῶν, τὰ ὦτα αὐτῶν ἀπο-
17 κωφωθήσονται, [17]λίξουσιν χοῦν ὡς ὄφις σύροντες γῆν, συγχυθή-
σονται ἐν συνκλεισμῷ αὐτῶν· ἐπὶ τῷ κυρίῳ θεῷ ἡμῶν ἐκστήσονται,
18 καὶ φοβηθήσονται ἀπὸ σοῦ. [18]Τίς θεὸς ὥσπερ σύ; ἐξαίρων
ἀνομίας καὶ ὑπερβαίνων ἀσεβείας τοῖς καταλοίποις τῆς κληρονομίας
αὐτοῦ· καὶ οὐ συνέσχεν εἰς μαρτύριον ὀργὴν αὐτοῦ, ὅτι θελητὴς
19 ἐλέους ἐστίν. [19]ἐπιστρέψει καὶ οἰκτειρήσει ἡμᾶς, καταδύσει τὰς
ἀδικίας ἡμῶν καὶ ἀπορριφήσονται εἰς τὰ βάθη τῆς θαλάσσης, πάσας
20 τὰς ἁμαρτίας ἡμῶν. [20]δώσει εἰς ἀλήθειαν τῷ Ἰακώβ, ἔλεον τῷ
Ἀβραάμ, καθότι ὤμοσας τοῖς πατράσιν ἡμῶν κατὰ τὰς ἡμέρας τὰς
ἔμπροσθεν.

12 *ομαλισμον*] *συγκλεισμō* Q^{mg} | *του ποταμου* (om *του* Q^{*} hab Q^{mg})] AQ + *Συριας* A + *Συριας ημερα υδατος και θορυβου* Q | om *και απο θαλασσης*... *ορους* 2° Q^{*} (hab Q^{mg}) | *ορους* 1°] pr *του* AQ^{mg} | *του ορους*] om *του* B^{ab} + *ημερα υδατος και θορυβου* A **13** *συν τοις κατοικουσιν*] *μετα των κατοικουντων* AQ | *αυτην*] *αυτων* A | *απο*] *εκ* AQ^{*} (*απο* Q^{mg}) **14** *σου* 2°] pr *φυλην* AQ | *καθ εαυτους*] *κατα μονας* Q^{mg} | *δρυμον*] *δρυμη* $Q^{a\,vid}$ | *Βασανιτιν* A (lit B rescr A^{1}) Q | *Γαλααδιτιν* AQ | *καθως αι*] *κατα τας* Q^{mg} **15** *εξ*] *εκ γης* Q^{mg} | *οψεσθε*] *δειξω αυτοις* Q^{mg} **16** om *και* 2° A | *επιθησουσιν χειρας*] *επιθ. χειρα* A *τας χ. επιθησουσιν* Q | *το στομα*] om *το* AQ | *τα ωτα*] pr *και* A **17** *λειξουσιν* Q^{a} | *οφις* BAQ | *συνχυθησονται* Q^{*} *ταραχθησ.* Q^{mg} | *συγκλεισμω* $B^{ab}AQ^{a}$ *συγκλισμ.* Q^{*} **18** *ανομιας*] *αδικιας* A | *ασεβειας*] *αδικιας* Q pr *επι* Q^{mg} | *ου συνεσχεν*] *ουκ εκρατησεν* Q^{mg} | *οργην* α sup ras B^{ab} | *εστιν*] *στ*, *ν* sup ras $B^{?}$ **19** *επιστρεψει*] pr *αυτος* AQ | *οικτειρησει* (*οικτιρ.* A)] *οικτειρηση* Q^{*} (*-σει* Q^{a}) | *καταδυσει*] pr *και* A | *απορριφησονται*] *απορριψει* AQ^{a} (*αποριψ.* Q^{*}) **20** *ελεος* AQ^{*} (*ελεον* Q^{a}) | *Αβρααμ καθ* sup ras B^{ab} | *εμπροσθεν*] *οι σ´ αρχηθεν* Q^{mg}

Subscr *Μειχαιας γ* B^{*} *Μιχ. γ* $B^{b}AQ$ (pr *Μιχ. τις ουτος παρ Εβραιοις* ς´ Q^{a})

ΙΩΗΛ

B ΛΟΓΟΣ Κυρίου ὃς ἐγενήθη πρὸς Ἰωὴλ τὸν τοῦ Βαθουήλ. 1 I

[2]Ἀκούσατε ταῦτα, οἱ πρεσβύτεροι, καὶ ἐνωτίσασθε, πάντες οἱ 2
κατοικοῦντες τὴν γῆν. εἰ γέγονεν τοιαῦτα ἐν ταῖς ἡμέραις ἡμῶν, ἢ
ἐν ταῖς ἡμέραις τῶν πατέρων ὑμῶν; [3]ὑπὲρ αὐτῶν τοῖς τέκνοις ὑμῶν 3
διηγήσασθε, καὶ τὰ τέκνα ὑμῶν τοῖς τέκνοις αὐτῶν, καὶ τὰ τέκνα
αὐτῶν εἰς γενεὰν ἑτέραν. [4]τὰ κατάλοιπα τῆς κάμπης κατέφαγεν ἡ 4
ἀκρίς, καὶ τὰ κατάλοιπα τῆς ἀκρίδος κατέφαγεν ὁ βροῦχος, καὶ τὰ
κατάλοιπα τοῦ βρούχου κατέφαγεν ἡ ἐρυσίβη. [5]Ἐκνήψατε, οἱ 5
μεθύοντες, ἐξ οἴνου αὐτῶν καὶ κλαύσατε· θρηνήσατε, πάντες οἱ πί-
νοντες οἶνον, εἰς μέθην, ὅτι ἐξήρθη ἐκ στόματος ὑμῶν εὐφροσύνη
καὶ χαρά. [6]ὅτι ἔθνος ἀνέβη ἐπὶ τὴν γῆν μου ἰσχυρὸν καὶ ἀνα- 6
ρίθμητον, οἱ ὀδόντες αὐτοῦ ὀδόντες λέοντος, καὶ αἱ μύλαι αὐτοῦ
σκύμνου· [7]ἔθετο τὴν ἄμπελόν μου εἰς ἀφανισμόν, καὶ τὰς συκᾶς 7
μου εἰς συνκλασμόν· ἐρευνῶν ἐξηρεύνησεν αὐτὴν καὶ ἔριψεν, ἐλεύ-
κανεν τὰ κλήματα αὐτῆς. [8]θρήνησον πρὸς μὲ ὑπὲρ νύμφην περιε- 8
ζωσμένην σάκκον ἐπὶ τὸν ἄνδρα αὐτῆς τὸν παρθενικόν. [9]ἐξῆρται 9
θυσία καὶ σπονδὴ ἐξ οἴκου Κυρίου· πενθεῖτε, ἱερεῖς οἱ λειτουργοῦντες
θυσιαστηρίῳ. [10]ὅτι τεταλαιπώρηκεν τὰ πεδία, πενθείτω ἡ γῆ· ὅτι 10
τεταλαιπώρηκεν σῖτος, ἐξηράνθη οἶνος, ὠλιγώθη ἔλαιον, [11]ἐξηράν- 11

ℵAQ Inscr Ιωηλ δ BℵAQ I 2 ακουσατε] + δη AQ | τοιαυτας ℵ* (-τα ℵ^{1}) | ημων] υμων B^{ab}ℵAQ* (ημ. Q^{mg}) | η] και Q* (η Q^{mg}) | υμων] ημων ℵ* (υμ. ℵ$^{c.a}$) Q^{a} 4 βουχος ℵ* (βρουχος ℵ$^{1\ fort\ c.b}$) βροχος Q* | ερισυβη A 5 αυτων] των sup ras B^{ab} | εξηρθη Bℵ$^{c.a\ vid}$] εξηχθη (? εξηκθη) ℵ* εξηρται ℵ$^{c.b}$AQ | στοματος] pr του A 6 σκυμνου αυτου ℵ* (αυτ. σκυμν. ℵ^{1} sign transl postea ras) 7 συγκλασμον B^{ab}AQ^{a} | ερευνον ℵ* (-νων ℵ$^{c.a,\ c.b}$) | om αυτην AQ* (hab Q$^{1\ mg}$) | ερριψεν B^{ab}AQ | τα κληματα] om τα ℵA 8 θρηνησον] θρηνησει ℵ$^{c.b\ vid}$ (postea ras) 9 εξηρται] εξηλθε ℵ* (εξηρτ. ℵ$^{c.a\ (vid)\ c.b}$) | ιερεις] pr οι AQ | θυσιαστηριω] pr τιτι Q^{mg} 10 ωλιγωθη ℵ$^{*\ c.b}$ (ολ. ℵ$^{c.c}$): item 12 11 εξηρανθησαν BAQℵ$^{*\ c.b}$] κατησχυνθησαν ℵ$^{c.a}$

θησαν γεωργοί· θρηνεῖτε, κτήματα, ὑπὲρ πυροῦ καὶ κριθῆς, ὅτι ἀπό- B
12 λωλεν τρυγητὸς ἐξ ἀγροῦ· [12] ἡ ἄμπελος ἐξηράνθη, καὶ αἱ συκαῖ
ὠλιγώθησαν· ῥόα καὶ φοίνιξ καὶ μῆλον καὶ πάντα τὰ ξύλου
ἀγροῦ ἐξηράνθησαν, ὅτι ᾔσχυναν χαρὰν οἱ υἱοὶ τῶν ἀνθρώπων.
13 [13] περιζώσασθε καὶ κόπτεσθε οἱ ἱερεῖς, θρηνεῖτε οἱ λειτουργοῦντες
θυσιαστηρίῳ· εἰσέλθατε, ὑπνώσατε ἐν σάκκοις, λειτουργοῦντες θεῷ,
14 ὅτι ἀπέσχηκεν ἐξ οἴκου θεοῦ ὑμῶν θυσία καὶ σπονδή. [14] ἁγιάσατε
νηστείαν, κηρύξατε θεραπείαν, συναγάγετε πρεσβυτέρους, πάντας
κατοικοῦντας γῆν εἰς οἶκον θεοῦ ὑμῶν, καὶ κεκράξατε πρὸς Κύριον
15 ἐκτενῶς [15] Οἴμοι οἴμοι οἴμοι εἰς ἡμέραν, ὅτι ἐγγὺς ἡμέρα Κυρίου, καὶ
16 ὡς ταλαιπωρία ἐκ ταλαιπωρίας ἥξει. [16] κατέναντι τῶν ὀφθαλμῶν
ὑμῶν βρώματα ἐξωλεθρεύθη, ἐξ οἴκου θεοῦ ὑμῶν εὐφροσύνη καὶ
17 χαρά. [17] ἐσκίρτησαν δαμάλεις ἐπὶ ταῖς φάτναις αὐτῶν, ἠφανίσθη-
18 σαν θησαυροί, κατεσκάφησαν ληνοί, ὅτι ἐξηράνθη σῖτος. [18] τί ἀπο-
θήσομεν ἑαυτοῖς; ἔκλαυσαν βουκόλια βοῶν, ὅτι οὐχ ὑπῆρχεν νομὴ
19 αὐτοῖς, καὶ τὰ ποίμνια τῶν προβάτων ἠφανίσθησαν. [19] πρὸς σέ,
Κύριε, βοήσομαι, ὅτι πῦρ ἀνήλωσεν τὰ ὡραῖα τῆς ἐρήμου, καὶ φλὸξ
20 ἀνῆψεν πάντα τὰ ξύλα τοῦ ἀγροῦ· [20] καὶ τὰ κτήνη τοῦ πεδίου ἀνέ-
βλεψαν πρὸς σέ· ὅτι ἐξηράνθησαν ἀφέσεις ὑδάτων, καὶ πῦρ κατέ-
φαγεν τὰ ὡραῖα τῆς ἐρήμου.
II 1 [1] Σαλπίσατε σάλπιγγι ἐν Σειών, κηρύξατε ἐν ὄρει ἁγίῳ μου, καὶ
συγχυθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν γῆν, διότι πάρεστιν ἡμέρα
2 Κυρίου, ὅτι ἐγγύς· [2] ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα νεφέλης καὶ
ὁμίχλης. ὡς ὄρθρος χυθήσεται ἐπὶ τὰ ὄρη λαὸς πολὺς καὶ ἰσχυρός·
ὅμοιος αὐτῷ οὐ γέγονεν ἀπὸ τοῦ αἰῶνος, καὶ μετ' αὐτὸν οὐ προστε-
3 θήσεται ἕως ἐτῶν εἰς γενεὰς γενεῶν. [3] τὰ ἔμπροσθεν αὐτοῦ πῦρ
ἀναλίσκον, καὶ τὰ ὀπίσω αὐτοῦ ἀναπτομένη φλόξ· ὡς παράδεισος
τρυφῆς ἡ γῆ πρὸ προσώπου αὐτοῦ, καὶ τὰ ὄπισθεν αὐτοῦ πεδίον

11 γεωργοι] pr οι AQ | θρηνειτε] θνηνιτε ℵ* (θρην. ℵ$^{c.a, c.b}$) | απελωλεν ℵ ℵAQ
12 ξυλου] ξυλα του B^{ab}ℵAQ | εξηρανθησαν] εξηρανθη ℵ$^{?}$ 13 εισελθετε Q | επεσχηκεν ℵ* (απεσχ. ℵ$^{c.a}$) | θυσια και σπονδη εξ οικου θυ̅ υμων ℵ$^{?}$ (sign transl postea ras) | θεου] κυ̅ θυ̅ Q | υμων] ημων Q* (υμ. Q^{a}) 14 νηστιαν ℵ | θεραπιαν ℵ | θεου] κυ̅ ℵ$^{c.a}$ κυ̅ θυ̅ ℵ$^{c.b}$A | εκτενως] adnot θ' μονος τον οβελ[ισκον] ειπεν ομ[οιως] τ[οι]ς σ' Q^{mg} 15 ημερα] pr η ℵAQ 16 εξωλεθρευθη] εξηρθη (? εξηρανθη) ℵ^{c} (postea ras) 17 δαμαλις ℵ* (-λεις ℵ$^{c.b}$) A | φατναις] παθναις ℵ* (φατν. ℵ$^{c.a, c.b}$) 18 ηφανισθη AQ* (-θησαν Q^{mg}) 20 ανεβλεψεν A | om οτι A II 1 Σιων B^{b}ℵQ^{a} | συγχυθητωσαν (συνχ. Q^{a})] συναχθητωσαν A | διοτι] οτι ℵ$^{c.b}$ | ημερα] pr η ℵA | Κυριου] pr του A | εγγυς] + η ημερα του κυ̅ A 2 ημερα 1°] pr η ℵ | ορθρος] pr ο ℵ | αυτω] αυτου A | αυτον] οι σ' αυτου Q^{mg} 3 τα εμπροσθεν] τα δε εμπρ. ℵ$^{c.a}$ (postea ras δε) | οπισω] οπισθεν A | τρυφης] θυνης ℵ* (τρυφ. ℵ$^{c.a (vid) c.b}$) | οπισθεν] οπισω ℵ$^{c.a}$Q

B ἀφανισμοῦ, καὶ ἀνασῳζόμενος οὐκ ἔσται αὐτῷ. [4]ὡς ὅρασις ἵππων 4
ἡ ὅρασις αὐτῶν, καὶ ὡς ἱππεῖς οὕτως καταδιώξονται· [5]ὡς φωνὴ 5
ἁρμάτων ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐξαλοῦνται, καὶ ὡς φωνὴ
φλογὸς πυρὸς κατεσθιούσης καλάμην, καὶ ὡς λαὸς πολὺς καὶ ἰσχυρὸς
παρατασσόμενος εἰς πόλεμον. [6]ἀπὸ προσώπου αὐτοῦ συντριβή- 6
σονται λαοί, πᾶν πρόσωπον ὡς πρόσκαυμα χύτρας. [7]ὡς μαχηταὶ 7
δραμοῦνται, καὶ ὡς ἄνδρες πολεμισταὶ ἀναβήσονται ἐπὶ τὰ τείχη,
καὶ ἕκαστος ἐν τῇ ὁδῷ αὐτοῦ πορεύσεται, καὶ οὐ μὴ ἐκκλίνωσιν τὰς
τρίβους αὐτῶν, [8]καὶ ἕκαστος ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ οὐκ ἀφέξεται· 8
καταβαρυνόμενοι ἐν τοῖς ὅπλοις αὐτῶν πορεύσονται, καὶ ἐν τοῖς
βέλεσιν αὐτῶν πεσοῦνται, καὶ οὐ μὴ συντελεσθῶσιν. [9]τῆς πόλεως 9
ἐπιλήμψονται, καὶ ἐπὶ τῶν τειχέων δραμοῦνται, καὶ ἐπὶ ταῖς οἰκίαις
ἀναβήσονται, καὶ διὰ θυρίδων εἰσελεύσονται ὡς κλέπται. [10]πρὸ 10
προσώπου αὐτοῦ συγχυθήσεται ἡ γῆ καὶ σεισθήσεται ὁ οὐρανός, ὁ
ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσιν, καὶ τὰ ἄστρα δύσουσιν τὸ φέγγος
αὐτῶν. [11]καὶ Κύριος δώσει φωνὴν αὐτοῦ πρὸ προσώπου δυνάμεως 11
αὐτοῦ, ὅτι πολλή ἐστιν σφόδρα ἡ παρεμβολὴ αὐτοῦ, ὅτι ἰσχυρὰ ἔργα
λόγων αὐτοῦ· διότι μεγάλη ἡμέρα τοῦ κυρίου, μεγάλη καὶ ἐπιφανὴς
σφόδρα, καὶ τίς ἔσται ἱκανὸς αὐτῇ; [12]καὶ νῦν λέγει Κύριος ὁ θεὸς 12
ὑμῶν Ἐπιστράφητε πρὸς μὲ ἐξ ὅλης τῆς καρδίας ὑμῶν καὶ ἐν νηστείᾳ
καὶ ἐν κλαυθμῷ καὶ ἐν κοπετῷ, [13]καὶ διαρήξατε τὰς καρδίας ὑμῶν καὶ 13
μὴ τὰ ἱμάτια ὑμῶν, καὶ ἐπιστράφητε πρὸς Κύριον τὸν θεὸν ὑμῶν, ὅτι
ἐλεήμων καὶ οἰκτίρμων ἐστίν, μακρόθυμος καὶ πολυέλεος καὶ μετα-
νοῶν ἐπὶ ταῖς κακίαις. [14]τίς οἶδεν εἰ ἐπιστρέψει καὶ μετανοήσει, 14
καὶ ὑπολείψεται ὀπίσω αὐτοῦ εὐλογίαν, θυσίαν καὶ σπονδὴν Κυρίῳ
τῷ θεῷ ἡμῶν;

[15]Σαλπίσατε σάλπιγγι ἐν Σειών, ἁγιάσατε νηστίαν, κηρύξατε 15

ℵAQ 3 εσται] εστω A | om αυτω A 4 ορασις 2°] οψις A (-ψεις) Q* (ορ. Q^mg) | ατων ℵ* (αυτ. ℵ^1 c.b) | ως 2°] οι A | ουτω ℵ* (-τως ℵ^c.a) 5 om και 3° ℵ 7 εκκλειουσιν A εκκλινουσι Q^a | τας τριβ.] τους τριβ. A 8 αδελφου] πλησιον Q^mg | αυτου] αυτων Q^a | συντελεσθωσιν] συντελεσωσιν ℵ^c.b συντελεσουσιν A συντελεσουσιν Q* vid συντελεσωσι Q^a 9 επιληψονται Q | τας οικιας AQ 10 αυτου] αυτων ℵ* (-του ℵ^c.b) AQ | συσχυθησεται ℵ | συσκοτασουσιν] συσκοτασθωσιν Q* (-σι Q^a) | δυσουσιν] ου δωσουσιν και τα αστρα ου δωσουσιν Q* ου δωσουσι Q^a | φεγγος] φθεγγος A 11 διοτι] οτι ℵ* (διοτι ℵ^c.a) | ημερα] pr η ℵ | του κυριου] om του Q* (hab Q^a) | om μεγαλη 2° A | εσται ικανος BQℵ^c.b] εστιν ικανος ℵ* ικανος εστιν A 12 της καρδιας] om της Q* (hab Q^1 mg) | om και 2° A | νηστια ℵ 13 διαρρηξατε ℵ^c.a, c.b AQ | οικτειρμων ℵ^c.b A | ταις κακιαις] om ταις Q* (hab Q^mg) 15 Σιων B^b Q^a | νηστειαν B^ab AQ

16 θεραπείαν, 16 συναγάγετε λαόν, ἁγιάσατε ἐκκλησίαν, ἐκλέξασθε πρε- B
σβυτέρους, συναγάγετε νήπια θηλάζοντα μαστούς, ἐξελθάτω νυμφίος
17 ἐκ τοῦ κοιτῶνος αὐτοῦ καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς. 17 ἀνὰ μέσον
τῆς κρηπῖδος τοῦ θυσιαστηρίου κλαύσονται οἱ ἱερεῖς οἱ λειτουργοῦντες
Κυρίῳ καὶ ἐροῦσιν Φεῖσαι, Κύριε, τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρο-
νομίαν σου εἰς ὄνειδος τοῦ κατάρξαι αὐτῶν ἔθνη, ὅπως μὴ εἴπωσιν ἐν
τοῖς ἔθνεσιν Ποῦ ἐστιν ὁ θεὸς αὐτῶν;
18 18 Καὶ ἐζήλωσεν Κύριος τὴν γῆν αὐτοῦ, καὶ ἐφείσατο τοῦ λαοῦ
19 αὐτοῦ. 19 καὶ ἀπεκρίθη Κύριος καὶ εἶπεν τῷ λαῷ αὐτοῦ Ἰδοὺ ἐγὼ
ἐξαποστέλλω ὑμῖν τὸν σῖτον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον, καὶ ἐμπλη-
σθήσεσθε αὐτῶν, καὶ οὐ δώσω ὑμᾶς οὐκέτι εἰς ὀνειδισμὸν ἐν τοῖς
20 ἔθνεσι· 20 καὶ τὸν ἀπὸ βορρᾶ ἐκδιώξω ἀφ' ὑμῶν καὶ ἐξώσω αὐτὸν
εἰς γῆν ἄνυδρον, καὶ ἀφανιῶ τὸ πρόσωπον αὐτοῦ εἰς τὴν θάλασσαν
τὴν πρώτην, καὶ τὰ ὀπίσω αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην·
καὶ ἀναβήσεται σαπρία αὐτοῦ, καὶ ἀναβήσεται ὁ βρόμος αὐτοῦ, ὅτι
21 ἐμεγάλυνεν τὰ ἔργα αὐτοῦ. 21 θάρσει, γῆ, χαῖρε καὶ εὐφραίνου, ὅτι
22 ἐμεγάλυνεν Κύριος τοῦ ποιῆσαι. 22 θαρσεῖτε, κτήνη τοῦ πεδίου, ὅτι
βεβλάστηκεν πεδία τῆς ἐρήμου, ὅτι ξύλον ἤνεγκεν τὸν καρπὸν αὐτοῦ,
23 συκῆ καὶ ἄμπελος ἔδωκαν τὴν ἰσχὺν αὐτῶν. 23 καὶ τὰ τέκνα Σειών,
χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ τῷ κυρίῳ θεῷ ὑμῶν, διότι ἔδωκεν ὑμῖν
τὰ βρώματα εἰς δικαιοσύνην, καὶ βρέξει ὑμῖν ὑετὸν πρόιμον καὶ
24 ὄψιμον καθὼς ἔμπροσθεν, 24 καὶ πλησθήσονται αἱ ἅλωνες σίτου, καὶ
25 ὑπερχυθήσονται αἱ ληνοὶ οἴνου καὶ ἐλαίου. 25 καὶ ἀνταποδώσει ὑμῖν
ἀντὶ τῶν ἐτῶν ὧν κατέφαγεν ἡ ἀκρὶς καὶ ὁ βροῦχος καὶ ἡ ἐρυσίβη καὶ
26 ἡ κάμπη, ἡ δύναμίς μου ἡ μεγάλη ἣν ἐξαπέστειλα εἰς ὑμᾶς· 26 καὶ
φάγεσθε ἐσθίοντες καὶ ἐμπλησθήσεσθε, καὶ αἰνέσετε τὸ ὄνομα Κυρίου
τοῦ θεοῦ ὑμῶν, ἃ ἐποίησεν μεθ' ὑμῶν εἰς θαυμάσια, καὶ οὐ μὴ

15 θεραπιαν ℵ **16** λαον] pr τον A | εξελθετω ℵ* (-θατω ℵ$^{c.a}$ postea ℵAQ -θετω) Q^{a} | κοιτωνος] νυμφωνος Q* (κοιτ. Q^{mg}) | om αυτου Q* (hab Q^{mg}) | αυτης Q^{a} (de Q* non liq) **17** καταρξαι αυτων] καταξε αυτους ℵ* (καταρξε (-ξαι ℵ$^{c.b}$) αυτων ℵ$^{c.a,\,c.b}$) | ο θεος] pr κ̅ς̅ A **18** post 18 dist B **19** εθνεσιν ℵAQ **20** εξωσω] εξοισω Q* (εξωσ. Q^{a}) | γην] την ℵ* (γ. ℵ$^{?}$) | αφανισω ℵ* (postea -νιω) | και τα οπισω...εργα αυτου in mgg et sup ras A^{a} | σαπρια (rescr σαπρ. ℵ^{1})] pr η ℵA^{a}Q | εμεγαλυνεν] εμεγαλυνθη AQ **22** πεδια] pr τα ℵ$^{c.b}$AQ* (om τα Q^{a}) | αμπελος και συκη AQ **23** Σιων B^{b}ℵAQ^{a} | επι] εν Q^{a} | τω κυριω] κ̅ω̅ θ̅ω̅ Q* κ̅ω̅ τω θ̅ω̅ Q$^{mg\ vid}$ | διοτι] οτι ℵ$^{c.b}$ | βραματα ℵ* (βρωμ. ℵ$^{c.b}$) | πρωιμον B^{b}Q^{a} **24** πλησθησονται] εμπλησθ. A | αλωνεσιτου ℵ* (αλ. σειτου ℵ$^{c.a}$) | υπερεκχυθησονται AQ* (-χυθησεται Q^{mg}) **25** ανταποδωσω ℵA | η ακρις...η καμπη] adnot Αιγυπτιοι Βαβυλωνιοι Ασσυριοι Ελληνες Ρωμαιοι Q^{mg} | η δυναμις] pr και ℵ* (improb και ℵ$^{c.a}$) | εις] εφ AQ* (εις Q^{a}) **26** εσθοντες Q | εμπλησθ.] ου μη εμπλησεσθαι Q* (-σθε Q^{a}) | ενεσατε ℵ | του θεου] om του A

B καταισχυνθῇ ὁ λαός μου εἰς τὸν αἰῶνα· [27] καὶ ἐπιγνώσεσθε ὅτι ἐν 27
μέσῳ τοῦ Ἰσραὴλ ἐγώ εἰμι, καὶ ἐγὼ Κύριος ὁ θεὸς ὑμῶν, καὶ
οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ, καὶ οὐ μὴ καταισχυνθῶσιν ἔτι ὁ λαός μου
εἰς τὸν αἰῶνα.

[28] Καὶ ἔσται μετὰ ταῦτα καὶ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ 28 (1) (III)
πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες
ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ
οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται· [29] καὶ ἐπὶ τοὺς δούλους μου 29 (2)
καὶ ἐπὶ τὰς δούλας ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύ-
ματός μου· [30] καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς αἷμα 30 (3)
καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ· [31] ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος 31 (4)
καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἐλθεῖν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ
ἐπιφανῆ· [32] καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου 32 (5)
σωθήσεται· ὅτι ἐν τῷ ὄρει Σειὼν καὶ ἐν Ἰερουσαλὴμ ἔσται ἀνα-
σωζόμενος, καθότι εἶπεν Κύριος, καὶ εὐαγγελιζόμενοι οὓς Κύριος
προσκέκληται. [1] Διότι ἰδοὺ ἐγὼ ἐν ταῖς ἡμέραις ἐκείναις καὶ 1 III (IV)
ἐν τῷ καιρῷ ἐκείνῳ ὅταν ἐπιστρέψω τὴν αἰχμαλωσίαν Ἰούδα καὶ
Ἰερουσαλήμ, [2] καὶ συνάξω πάντα τὰ ἔθνη καὶ κατάξω αὐτὰ εἰς τὴν 2
κοιλάδα Ἰωσαφάτ, καὶ διακριθήσομαι πρὸς αὐτοὺς ἐκεῖ ὑπὲρ τοῦ
λαοῦ μου καὶ τῆς κληρονομίας μου Ἰσραήλ, οἳ διεσπάρησαν ἐν
τοῖς ἔθνεσιν· καὶ τὴν γῆν μου καταδιείλαντο, [3] καὶ ἐπὶ τὸν λαόν μου 3
ἔβαλον κλήρους, καὶ ἔδωκαν τὰ παιδάρια πόρναις, καὶ τὰ κοράσια
ἐπώλουν ἀντὶ οἴνου καὶ ἔπινον. [4] καὶ τί ὑμεῖς ἐμοί, Τύρος καὶ 4
Σειδών, καὶ πᾶσα Γαλειλαία ἀλλοφύλων; μὴ ἀνταπόδομα ὑμεῖς
ἀνταποδίδοτέ μοι; ἢ μνησικακεῖτε ὑμεῖς ἐπ' ἐμοὶ ὀξέως; καὶ ταχέως
ἀνταποδώσω τὸ ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν, [5] ἀνθ' ὧν τὸ 5
ἀργύριόν μου καὶ τὸ χρυσίον μου ἐλάβετε, καὶ τὰ ἐπίλεκτά μου
καὶ τὰ καλὰ εἰσηνέγκατε εἰς τοὺς ναοὺς ὑμῶν· [6] καὶ τοὺς υἱοὺς 6

ℵAQ 27 καταισχυνθη ℵ$^{a?b}$AQ | ετι] οτι ℵ* (ετι ℵ$^{c.a, c.b (vid)}$) ουκετι AQ | ο λαος] pr πας AQ 28 om και 2° ℵ$^{c.b}$AQ* (hab Q^{a}) | σαρκαν ℵ | ενυπνια Bℵ$^{c.a}$ (-πνα ℵ*)] ενυπνιοις ℵ$^{c.b}$AQ | ορασις ℵ* (-σεις ℵ$^{c.b}$) 29 και 1°]+γε ℵ$^{c.a, c.b}$A | om μου 1° ℵ* (hab ℵ$^{c.a, c.b}$) | δουλας]+μου ℵ$^{c.a}$AQ 30 και 2°] ανω και σημια ℵ$^{c.b}$ 31 εισκοτος ℵ | ημεραν] pr την A | μεγαλη A | επιφανην ℵ* 32 αν] εαν ℵ | επικαληται ℵ* (-λεσηται ℵ$^{c.a}$ -λησηται ℵ$^{c.b}$) | Σιων B^{b}ℵAQ^{a} | om εν 2° A | ευαγγελιζομενος ℵQ^{a} (-νοι Q^{*vid}) III 1 om διοτι Q^{a} | επιστρεψω ℵA 2 καταξω] οι ο' καταδιωξω Q^{mg} | κοιλαδαν ℵ*: item 12 | κατεδιειλαντο ℵ$^{c.a \text{ et postea}}$ κατεδιειλοντο Q^{a} 3 επινον] επιον ℵ^{*vid} (επιν. ℵ^{1}) 4 τι]+και AQ^{a} | Σιδων B^{b}ℵQ | Γαλιλαια B^{b}ℵAQ | ανταποδιδετε B$^{b(vid)}$ 5 om μου 2° Q^{a} | om και 3° Q^{a} | καλα]+μου A | εισενεγκατε ℵ$^{c.a}$ (mox rejxos εισην.) | τους ναους] τους θησαυρους A | om τους Q* (hab Q^{mg})

Ἰούδα καὶ τοὺς υἱοὺς Ἰερουσαλὴμ ἀπέδοσθε τοῖς υἱοῖς τῶν Ἑλλή- B
7 νων, ὅπως ἐξώσητε αὐτοὺς ἐκ τῶν ὁρίων αὐτῶν. [7]ἰδοὺ ἐγὼ ἐξεγείρω
αὐτοὺς ἐκ τοῦ τόπου οὗ ἀπέδοσθε αὐτοὺς ἐκεῖ, καὶ ἀνταποδώσω τὸ
8 ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν, [8]καὶ ἀποδώσομαι τοὺς υἱοὺς
ὑμῶν καὶ τὰς θυγατέρας ὑμῶν εἰς χεῖρας τῶν υἱῶν Ἰούδα, καὶ ἀπο-
δώσονται αὐτοὺς εἰς αἰχμαλωσίαν εἰς ἔθνος μακρὰν ἀπέχον, ὅτι
9 Κύριος ἐλάλησεν. [9]Κηρύξατε ταῦτα ἐν τοῖς ἔθνεσιν, ἁγιά-
σατε πόλεμον, ἐξεγείρατε τοὺς μαχητάς, καὶ προσαγάγετε καὶ ἀνα-
10 βαίνετε πάντες ἄνδρες πολεμισταί, [10]συγκόψατε τὰ ἄροτρα ὑμῶν εἰς
ῥομφαίας καὶ τὰ δρέπανα ὑμῶν εἰς σειρομάστας· ὁ ἀδύνατος λεγέτω
11 ὅτι Ἰσχύω ἐγώ. [11]συναθροίζεσθε καὶ εἰσπορεύεσθε πάντα τὰ ἔθνη
12 κυκλόθεν καὶ συνάχθητε ἐκεῖ· ὁ πραῢς ἔστω μαχητής. [12]ἐξεγει-
ρέσθωσαν, ἀναβαινέτωσαν πάντα τὰ ἔθνη εἰς τὴν κοιλάδα Ἰωσαφάτ,
13 διότι ἐκεῖ καθιῶ τοῦ διακρῖναι πάντα τὰ ἔθνη κυκλόθεν. [13]ἐξαπο-
στείλατε δρέπανα, ὅτι παρέστηκεν τρυγητός· εἰσπορεύεσθε, πατεῖτε,
διότι πλήρης ἡ ληνός· ὑπερεκχεῖτε τὰ ὑπολήνια, ὅτι πεπλήθυνται
14 τὰ κακὰ αὐτῶν. [14]ἦχοι ἐξήχησαν ἐν τῇ κοιλάδι τῆς δίκης, ὅτι ἐγγὺς
15 ἡμέρα Κυρίου ἐν τῇ κοιλάδι τῆς δίκης. [15]ὁ ἥλιος καὶ ἡ σελήνη συσκο-
16 τάσουσιν, καὶ οἱ ἀστέρες δύσουσιν φέγγος αὐτῶν. [16]ὁ δὲ κύριος ἐκ
Σειὼν ἀνακεκράξεται, καὶ ἐξ Ἰερουσαλὴμ δώσει φωνὴν αὐτοῦ, καὶ
σεισθήσεται ὁ οὐρανὸς καὶ ἡ γῆ· ὁ δὲ κύριος φείσεται τοῦ λαοῦ
17 αὐτοῦ καὶ ἐνισχύσει τοὺς υἱοὺς Ἰσραήλ. [17]καὶ ἐπιγνώσεσθε διότι
ἐγὼ Κύριος ὁ θεὸς ὑμῶν ὁ κατασκηνῶν ἐν Σειών, ἐν ὄρει ἁγίῳ μου· καὶ
ἔσται Ἰερουσαλὴμ ἁγία, καὶ ἀλλογενεῖς οὐ διελεύσονται δι' αὐτῆς
18 οὐκέτι. [18]Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσταλάξει τὰ ὄρη
γλυκασμόν, καὶ οἱ βουνοὶ ῥυήσονται γάλα, καὶ πᾶσαι αἱ ἀφέσεις
Ἰούδα ῥυήσονται ὕδατα, καὶ πηγὴ ἐξ οἴκου Κυρίου ἐξελεύσεται καὶ

6 αυτων] pr της κληρονομιας ℵ$^{c.b(vid)}$ (mox improb) 7 om και ℵ$^{?}$ (rurs ℵAQ repos) | κεφαλας] οι ο' κεφαλην Q^{mg} 8 om υμων 2° A | των υιων] om των AQ 9 om και 1° ℵ$^{?}$ (mox revoc) A 10 υμων 1°] ημων ℵ* (υμ. ℵ$^{c.a, c.b}$) | σειρομαστρας B* (-τας B^{ab}) | αδυνατος] δυνατος ℵ*Q^{a} (adnot α αδυν. Q^{mg}) | ισχυωγω ℵ* (ισχυω εγω ℵ$^{1 (vid) c}$)] ισχυεγω A 11 συναχθησετε ℵ* (-χθητε ℵ$^{c.a, c.b}$) 12 εξεγειρεσθωσαν] εγειρεσθωσαν A | αναβαινετωσαν] pr και ℵA | καθισω Q^{a} | διακριναι] διακριθηναι Q 13 τρυγητος] pr ο A | υπερχετε ℵ* -χειται ℵ$^{c.b}$ υπερχειτε A 14 κοιλαδι 1°] κοιλη ℵ* (-λαδι ℵ$^{c.a}$) | οτι] διοτι A | ενγυς B* (εγγ. B^{ab}) | ημερα] pr η ℵA 15 φεγγος] pr το ℵ$^{c.a}$AQ 16 om ο δε κυριος...φωνην αυτου ℵ* (hab ℵ$^{c.b}$) | Σιων B^{b}ℵ$^{c.b}$AQ | ανακραξεται ℵ$^{c.a}$AQ | om και σεισθησεται...η γη ℵ$^{c.b}$ (postea revoc) | ενισχυσει (ν sup ras B^{b} ετ. B^{*forte})] + $\overline{κς}$ Q 17 επιγνωσεσθε] γνωσεσθε ℵ$^{c.b}$ | διοτι] οτι ℵ$^{c.b}$ | Σιων B^{b}ℵAQ | om εν 2° A | αγια] pr πολις ℵ$^{c.a? c.b?}$ (rurs ras) 18 αφεσις ℵ* (-σεις ℵ$^{c.b}$)

B ποτιεῖ τὸν χειμάρρουν τῶν σχοίνων. [19]Αἴγυπτος εἰς ἀφανισμὸν 19
ἔσται, καὶ ἡ Ἰδουμαία εἰς πεδίον ἀφανισμοῦ ἔσται ἐξ ἀδικιῶν υἱῶν
Ἰούδα, ἀνθ᾽ ὧν ἐξέχεαν αἷμα δίκαιον ἐν τῇ γῇ αὐτῶν. [20]ἡ δὲ Ἰουδαία 20
εἰς τὸν αἰῶνα κατοικηθήσεται, καὶ Ἰερουσαλὴμ εἰς γενεὰς γενεῶν·
[21]καὶ ἐκζητήσω τὸ αἷμα αὐτῶν καὶ οὐ μὴ ἀθῳώσω, καὶ Κύριος κατα- 21
σκηνώσει ἐν Σειών.

ℵAQ 18 χειμαρρουν] οι ο' χειμαρρον Q^mg 19 Ιδουμαια] Ιουδεα ℵ* (Ιδουμεα ℵ^c.a -μαια ℵ^c.b) 20 Ιουδεα ℵ | αιωναν ℵ* 21 εκζητησω] εκδικησω AQ^a | αθοωσω B*ℵAQ* (αθωωσω B^b Q^a) | Σιων B^b AQ^a

Subscr Ιωηλ δ BℵAQ (+ ισχυς $\overline{κυ}$ παρ Εβραιοις β' Q^a)

ΟΒΔΕΙΟΥ

1 ΟΡΑΣΙΣ Ὀβδειού. B

Τάδε λέγει Κύριος ὁ θεὸς τῇ Ἰδουμαίᾳ Ἀκοὴν ἤκουσα παρὰ
Κυρίου, καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν Ἀνάστητε καὶ ἐξανα-
2 στῶμεν ἐπ' αὐτὴν εἰς πόλεμον. 2 ἰδοὺ ὀλιγοστὸν δέδωκά σε ἐν τοῖς
3 ἔθνεσιν, ἠτιμωμένος σὺ εἶ σφόδρα· 3 ὑπερηφανία τῆς καρδίας σου
ἐπῆρέν σε κατασκηνοῦντα ἐν ταῖς ὀπαῖς τῶν πετρῶν· ὕψῶν κατοικίαν
4 αὐτοῦ, λέγων ἐν καρδίᾳ αὐτοῦ Τίς με κατάξει ἐπὶ τὴν γῆν; 4 ἐὰν
μετεωρισθῇς ὡς ἀετός, καὶ ἐὰν ἀνὰ μέσον τῶν ἄστρων θῇς νοσσιάν
5 σου, ἐκεῖθεν κατάξω σε, λέγει Κύριος. 5 εἰ κλέπται εἰσῆλθον πρὸς
σὲ ἢ λῃσταὶ νυκτός, ποῦ ἂν ἀπερρίφης; οὐκ ἂν ἔκλεψαν τὰ ἱκανὰ
ἑαυτοῖς; καὶ εἰ τρυγηταὶ εἰσῆλθον πρὸς σέ, οὐκ ἂν ὑπελίποντο ἐπι-
6 φυλλίδας; 6 πῶς ἐξηρευνήθη Ἠσαὺ καὶ κατελήμφθη αὐτοῦ τὰ κεκρυμ-
7 μένα. 7 ἕως τῶν ὁρίων ἐξαπέστειλάν σε· πάντες οἱ ἄνδρες τῆς διαθή-
κης σου ἀντέστησάν σοι, ἠδυνάσθησαν πρὸς σὲ ἄνδρες εἰρηνικοί σου,
8 ἔθηκαν ἔνεδρα ὑποκάτω σου, οὐκ ἔστιν σύνεσις αὐτοῖς. 8 ἐν ἐκείνῃ τῇ
ἡμέρᾳ, λέγει Κύριος, ἀπολῶ σοφοὺς ἐκ τῆς Ἰδουμαίας καὶ σύνεσιν ἐξ
9 ὄρους Ἠσαύ· 9 καὶ πτοηθήσονται οἱ μαχηταί σου οἱ ἐκ Θαιμάν, ὅπως

Inscr Οβδειου ε B* Οβδιου ε B^{c} Αβδιου ε ℵQ Αβδειου ε A 1 Οβδιου ℵAQ B^{b} Αβδιου ℵAQ | εξαναστησωμαιν ℵ* 3 υπερηφανια] pr η ℵ$^{c.a}$ (om η ℵ$^{c.b}$) | κατασκηνουντος (nisi potius -ντες) ℵ* -ντα ℵ$^{c.a}$ -ντας ℵ$^{c.b}$ | των πετρων] in ω 1° fort ras aliq B$^{?}$ | καρδια] pr τη A 4 μετεωρισθη Q* (-θης Q^{a}) | om εαν 2° ℵAQ* (hab Q^{a} om ανα ut vid) | αστερων ℵ* (αστρων ℵ$^{c.b}$) 5 η] incep ε ℵ* ει A | απεριφης ℵ | εαυτοις] αυτοις (ε improb postea ras) ℵ$^{?}$ | υπελιποντο] υπολιποντο ℵ* (υπελ. ℵ$^{c.a,\ c.b}$) υπελειποντο AQ^{a} (υπελειπον Q*) | επιφυλλιδας] υποφυλλιδας ℵ$^{*\ c.b}$ υποφυλλιδα ℵ$^{c.a}$ A 6 εξηραυνηθη A | κατελημφθη] κατελιφθη ℵ κατεληφθη Q | κεκρυμενα ℵ 7 οριων]+σου AQ* | εστιν]+σοι A | αυτοις] pr εν AQ αυτω Q^{a} 8 λεγει] φησιν Q^{mg} | απολω] οι ο' απολεσω Q^{mg} 9 πτοηθησονται] οι ο' ηττηθησονται Q^{mg} | σου] σοι A* (σου A^{1}) | Θαιμαν] Θεμαν ℵQ

B ἐξαρθῇ ἄνθρωπος ἐξ ὄρους Ἠσαύ· 10 διὰ τὴν σφαγὴν καὶ τὴν ἀσέβειαν 10
ἀδελφοῦ σου Ἰακὼβ καλύψει σε αἰσχύνη, καὶ ἐξαρθήσῃ εἰς τὸν
αἰῶνα. 11 Ἀφ᾽ ἧς ἡμέρας ἀντέστης ἐξ ἐναντίας ἐν ἡμέραις αἰχμα- 11
λωτευόντων ἀλλογενῶν δύναμιν αὐτοῦ, καὶ ἀλλότριοι εἰσῆλθον εἰς
πύλας αὐτοῦ καὶ ἐπὶ Ἰερουσαλὴμ ἔβαλον κλήρους, καὶ σὺ ἧς ὡς εἷς
ἐξ αὐτῶν. 12 καὶ μὴ ἐπίδῃς ἡμέραν ἀδελφοῦ σου ἐν ἡμέρᾳ ἀλλοτρίων, 12
καὶ μὴ ἐπιχαρῇς ἐπὶ τοὺς υἱοὺς Ἰούδα ἐν ἡμέρᾳ ἀπωλίας αὐτῶν, καὶ
μὴ μεγαλορημονῇς ἐν ἡμέρᾳ θλίψεως· 13 μηδὲ εἰσέλθῃς εἰς πύλας 13
λαῶν ἐν ἡμέρᾳ πόνων αὐτῶν, μηδὲ ἐπίδῃς καὶ σὺ τὴν συναγωγὴν
αὐτῶν ἐν ἡμέρᾳ ὀλέθρου αὐτῶν, μηδὲ συνεπιθῇ ἐπὶ τὴν δύναμιν
αὐτῶν ἐν ἡμέρᾳ ἀπωλίας αὐτῶν· 14 μηδὲ ἐπιστῇς ἐπὶ τὰς διεκβολὰς 14
αὐτοῦ ἐξολεθρεῦσαι τοὺς ἀνασωζομένους αὐτοῦ, μηδὲ συγκλείσῃς τοὺς
φεύγοντας αὐτοῦ ἐν ἡμέρᾳ θλίψεως. 15 διότι ἐγγὺς ἡμέρα Κυρίου 15
ἐπὶ πάντα τὰ ἔθνη· ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀντα-
πόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου· 16 διότι ὃν τρόπον 16
ἔπιες ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου, πίονται καὶ καταβήσονται, καὶ ἔσονται
καθὼς οὐχ ὑπάρχοντες. 17 Ἐν δὲ τῷ ὄρει Σειὼν ἔσται σωτηρία, 17
καὶ ἔσται ἅγιον· καὶ κατακληρονομήσουσιν ὁ οἶκος Ἰακὼβ τοὺς κατα-
κληρονομήσαντας αὐτούς. 18 καὶ ἔσται ὁ οἶκος Ἰακὼβ πῦρ, ὁ δὲ 18
οἶκος Ἰωσὴφ φλόξ, ὁ δὲ οἶκος Ἠσαὺ εἰς καλάμην, καὶ ἐκκαυθήσονται
εἰς αὐτοὺς καὶ καταφάγονται αὐτούς, καὶ οὐκ ἔσται πυροφόρος τῷ
οἴκῳ Ἠσαύ, διότι Κύριος ἐλάλησεν. 19 καὶ κατακληρονομήσουσιν οἱ 19

ℵAQ 9 εξαρθη] οι ο′ αρθη Q^{mg} 10 την ασεβειαν (-βιαν ℵ)] pr δια Q | αδελφου] την εις τον αδελφον $\aleph^{c.a}$ (mox αδελφου revoc) AQ^* (αδελφου Q^{mg}) | καλυψει] pr και $\aleph^{c.a}$ (mox improb) AQ^* | αιωναν $\aleph^*$ 11 αντεστη Q^* | ημεραις] ημερα AQ | αυτου 1°] αυτων $\aleph^*$ (-του $\aleph^{c.a,\, c.b}$) | πυλας] pr τας A | εβαλον] επβαλλον $\aleph^*$ (π improb $\aleph^{1\,vid}$ λ 1° improb $\aleph^{c}$) | συ ης] υμεις εστε Q^{mg} 12 επιδης (εφ. $Q^{mg\,vid}$)] επιδοις A | απωλειας B^{ab}AQ | μεγαλορημονης] μεγαλορημονησης $\aleph^{1}$ (μεγαρηονησης $\aleph^{*\,vid}$) AQ^* μεγαλορρ. Q^{a} 13 λαων] λαου μου $\aleph^{c.b}$ α′ λαου μου Q^{mg} λαου σου A λαου Q^* (λαων Q^{a}) | πονων] πονηριων $\aleph^*$ (ηρ ras et iam antea improb $\aleph^{?}$) πονου AQ | αυτων 1°, 2°, 3°, 4°] αυτου $\aleph^{c.b}$ | μηδε 2°] μητε Q^* μη $Q^{a\,vid}$ | om μηδε συνεπιθη...αυτων (5°). $B^{ab}\aleph^*$ (hab μηδε συν. επι την δ. αυτ. εν ημ. απολιας αυτων ε $\aleph^{c.a,\, c.b}$) | απωλειας AQ | αυτων 5°] οι γ′ αυτου Q^{mg} 14 επιστης] στης A συνεπιστης Q | αυτου 1°] αυτων $\aleph^{c.a}$ (postea rurs -του) AQ^* | εξολεθρευσαι] pr του AQ^* | αυτου 2°] εξ αυτων $\aleph^{c.a}$ (mox αυτου revoc) αυτων AQ | συνκλισης ℵ (συνκ. etiam $Q^{*\,vid}$) | φυγοντας Q | αυτου 3°] αυτων $\aleph^{c.a}$ (mox αυτου revoc) εξ αυτων AQ 15 ημερα] pr η ℵA | Κυριου] pr του A | εσται] εστω A | ανταποδωμα, ανταποδωθ. A 16 διοτι] δια τουτο A | πιονται] + παντα τα εθνη οινον πιονται $\aleph^{c.a}$A + πιονται παντα τα εθνη οινον Q 17 Σιων B^{b}AQ | σωτηρια] pr η $\aleph^{c.b}$A 18 ο δε οικος 1°] και ο οικ. Q^{mg} | om εις 1° ℵ | εκκαυθησεται AQ | om και 3° $\aleph^*$ (hab ϗ $\aleph^{c.a}$) | καταφαγεται Q | πυρφορος $\aleph^{?}$A | τω οικω] pr εν AQ | Ησαυ 2°] υ rescr $\aleph^{1}$ | διοτι] οτι $\aleph^{c.b}Q^{a}$

ἐν Νάγεβ τὸ ὄρος τὸ Ἠσαύ, καὶ οἱ ἐν τῇ Σεφηλὰ τοὺς ἀλλοφύλους· B
καὶ κατακληρονομήσουσιν τὸ ὄρος Ἐφράιμ καὶ τὸ πεδίον Σαμαρείας
20 *καὶ Βενιαμεὶν καὶ τὴν Γαλααδεῖτιν.* [20] *καὶ τῆς μετοικεσίας ἡ ἀρχὴ*
αὕτη· τοῖς υἱοῖς Ἰσραήλ, γῆ τῶν Χαναναίων ἕως Σαρέπτων, καὶ ἡ
μετοικεσία Ἰερουσαλὴμ ἕως Ἐφράθα· κληρονομήσουσιν τὰς πόλεις
21 *τοῦ Νάγεβ.* [21] *καὶ ἀναβήσονται ἀνασῳζόμενοι ἐξ ὄρους Σειὼν τοῦ*
ἐκδικῆσαι τὸ ὄρος Ἠσαύ, καὶ ἔσται τῷ κυρίῳ ἡ βασιλεία.

19 *ενεγεβ* ℵ* (*εν* N. ℵ$^{\text{c.a, c.b}}$) | *Σαφηλα* Q$^{\text{mg}}$ | *Σαμαριας* ℵ | *Γαλααδιτιν* ℵAQ AQ$^{\text{a}}$ **20** *μετοικησιας*, *-κησια* Q$^{\text{a}}$ | *Χαναναιων* ℵ | *εως* 1°] pr *και* Q* | *Σαρεφθων* Q$^{\text{a}}$ | *Εφραθα*] *Σφραθα* Q$^{*\text{ vid fort}}$: *Σαφαραδ* Q$^{\text{a}}$ | *κληρονομησουσιν*] pr *και* ℵ$^{\text{c.a}}$ (improb ℵ$^{\text{c.b}}$) AQ | *πολις* ℵ* (*-λεις* ℵ$^{\text{c.b}}$) **21** *ανασωζομενοι*] *ανδρες σεσωσμενοι* A *ανδρες εσωομενοι* (sic) Q* (*ανασωζ.* Q$^{\text{a}}$) | *Σιων* B$^{\text{b}}$ℵAQ | *βασιλια* ℵ* (*-λεια* ℵ$^{\text{c.b}}$)

Subscr Ο*βδειου ε* B* (Ο*βδιου* B$^{\text{bc}}$) *Αβδειου ε* ℵ *Αβδιου ε* A *Αβδαιου ε* Q (+ *δουλευων* $\overline{\textit{κω}}$ *παρ Εβραιοις δ'* Q$^{\text{a}}$)

ΙΩΝΑΣ

B ΚΑΙ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθεὶ λέγων, 1 I
2Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην καὶ 2
κήρυξον ἐν αὐτῇ, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρὸς μέ. 3καὶ 3
ἀνέστη Ἰωνᾶς τοῦ φυγεῖν εἰς Θαρσεὶς ἐκ προσώπου Κυρίου, καὶ
κατέβη εἰς Ἰόππην· καὶ εὗρεν πλοῖον βαδίζον εἰς Θαρσείς, καὶ ἔδωκεν
τὸ ναῦλον αὐτοῦ καὶ ἐνέβη εἰς αὐτὸ τοῦ πλεῦσαι μετ' αὐτῶν εἰς Θαρσεὶς
ἐκ προσώπου Κυρίου. 4Καὶ Κύριος ἐξήγειρεν πνεῦμα ἐπὶ τὴν 4
θάλασσαν, καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ, καὶ τὸ πλοῖον
ἐκινδύνευεν συντριβῆναι. 5καὶ ἐφοβήθησαν οἱ ναυτικοὶ καὶ ἀνεβόησαν 5
ἕκαστος πρὸς τὸν θεὸν αὐτοῦ, καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν
τῶν ἐν τῷ πλοίῳ εἰς τὴν θάλασσαν, τοῦ κουφισθῆναι ἀπ' αὐτῶν·
Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοίλην τοῦ πλοίου, καὶ ἐκάθευδεν καὶ ἔρεγχεν.
6καὶ προσῆλθεν πρὸς αὐτὸν ὁ πρωρεὺς καὶ εἶπεν αὐτῷ Τί σὺ ῥέγχεις; 6
ἀνάστα καὶ ἐπικαλοῦ τὸν θεόν σου, ὅπως διασώσῃ ὁ θεὸς ἡμᾶς καὶ
μὴ ἀπολώμεθα. 7καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ Δεῦτε 7
βάλωμεν κλήρους καὶ ἐπιγνῶμεν τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐν
ἡμῖν. καὶ ἔβαλον κλήρους, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ἰωνᾶν. 8καὶ 8

ℵAQ Inscr Ιωνας ε BℵAQ I 1 Αμαθι AQ 2 πορευθητι B^{ab} (-ρευθυτητι B*)] πορευου A | Νινευη] pr την A | κραυη ℵ* (-γη ℵ$^{c.a}$) 3 φυγειν] υγ rescr ℵ^{1} (φοιν ℵ^{*vid}) | εκ 1°] απο ℵA | Ιοππην] Ιππην ℵ* (Ιοππ. ℵ$^{c.a}$) | om και εδωκεν...εις Θαρσεις (3°) ℵ* (hab ℵ$^{c.a}$) | μετ αυτων εις Θαρσεις] εις Θ. μετ αυτων A | Θαρσις (3°) ℵ$^{c.a}$ 4 επι] εις ℵ$^{c.a, c.b}$AQ | εκινδυνευεν] εκινδυνευε Q^{a} | συντριβηναι] του διαλυθηναι ℵ$^{c.b}$ (postea συντρ.) A 5 ανεβοησαν] εβοων A ανεβοων ℵ$^{c.b}$Q | αυτου] αυτων AQ* (-του Q^{a}) | ερεγκε Q^{a} 6 πρωρευς] οι γ' κυβερνητης Q^{mg} | αυτω] προς αυτον A | ρεγχεις (ρεγκ. Q^{a})] ρεγχει ℵ* (-γχεις ℵ$^{c.a, c.b}$) | αναστα] αναστηθι ℵ$^{c.b}$Q^{a} | om και 3° Q | οπως] ειπως AQ^{a} (επως Q*) | διασωσει Q^{*vid} | ημας] pr η ℵ | μη] pr ου ℵ$^{c.a}$AQ^{a} 7 ειπεν] ειπαν Q | επιγνωμεν] επιγνωσομεν ℵ* (-γνωμεν ℵ$^{c.a, c.b}$) | αυτη εστιν] η ε rescr ℵ^{1} | εν ημιν] εφ ημας Q

εἶπον πρὸς αὐτόν Ἀπάγγειλον ἡμῖν τίς σου ἡ ἐργασία ἐστίν, καὶ B
9 πόθεν ἔρχῃ, καὶ ἐκ ποίας χώρας καὶ ἐκ ποίου λαοῦ εἶ σύ; [9]καὶ εἶπεν
πρὸς αὐτούς Δοῦλος Κυρίου ἐγώ εἰμι, καὶ τὸν κύριον θεὸν τοῦ οὐρανοῦ
10 ἐγὼ σέβομαι, ὃς ἐποίησεν τὴν θάλασσαν καὶ τὴν ξηράν. [10]καὶ ἐφο-
βήθησαν οἱ ἄνδρες φόβον μέγαν καὶ εἶπαν πρὸς αὐτόν Τί τοῦτο ἐποί-
ησας; διότι ἔγνωσαν οἱ ἄνδρες ὅτι ἐκ προσώπου Κυρίου ἦν φεύγων,
11 ὅτι ἀπήγγειλεν αὐτοῖς. [11]καὶ εἶπαν πρὸς αὐτόν Τί σοι ποιήσομεν, καὶ
κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν; ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρεν
12 μᾶλλον κλύδωνα. [12]καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς Ἄρατέ με καὶ
ἐμβάλετέ με εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν·
διότι ἔγνωκα ἐγὼ ὅτι δι' ἐμὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ' ὑμᾶς ἐστίν.
13 [13]καὶ παρεβιάζοντο οἱ ἄνδρες τοῦ ἐπιστρέψαι πρὸς τὴν γῆν, καὶ οὐκ ἠ-
δύναντο, ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξηγείρετο μᾶλλον ἐπ' αὐτούς.
14 [14]καὶ ἀνεβόησαν πρὸς Κύριον καὶ εἶπαν Μηδαμῶς, Κύριε· μὴ ἀπολώ-
μεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς ἐφ' ἡμᾶς
15 αἷμα δίκαιον, διότι σύ, Κύριε, ὃν τρόπον ἐβούλου πεποίηκας. [15]καὶ
ἔλαβον τὸν Ἰωνᾶν καὶ ἐξέβαλον αὐτὸν εἰς τὴν θάλασσαν, καὶ ἔστη ἡ
16 θάλασσα ἐκ τοῦ σάλου αὐτῆς. [16]καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβῳ
μεγάλῳ τὸν κύριον, καὶ ἔθυσαν θυσίας τῷ κυρίῳ καὶ εὔξαντο εὐχάς.
II 1 [1]Καὶ προσέταξεν Κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν Ἰωνᾶν· καὶ
ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.
2 [2]καὶ προσηύξατο Ἰωνᾶς πρὸς Κύριον τὸν θεὸν αὐτοῦ ἐκ τῆς κοιλίας
3 τοῦ κήτους, [3]καὶ εἶπεν

8 ειπον] ειπαν ℵAQ | απαγγειλον] + δη Q[mg] | ημιν] + τινος ενεκεν η κακια ℵAQ αυτη εστιν εν ημιν AQ | ερχη] + ϗ που πορευει ℵ[c.b] + και που πορευη Q[mg] | ει συ] συ ει Q   9 ειμι εγω ℵ* (εγω ειμι ℵ[c] mox ειμι εγω revoc) | τον κυριον θεον] κ̄ν̄ τον θ̄ν̄ Q | σεβομαι] φοβουμαι ℵ[c.b]   10 φοβω μεγαλω ℵ[c.b (vid)] (mox φοβον μεγαν revoc) | φευων ℵ* (φευγων ℵ[c.a]) 11 ποιησωμεν ℵA | εποpυετο ℵ[c.b] επωρυετο AQ*: item 13   12 αυτους] αυτο Q[a vid] | εμβαλετε] ενβαλατε ℵ | om με 2° AQ[a] | οτι] διοτι ℵ* (οτι ℵ[c.b]) | κλυδων] γ pro κ incep ℵ* (κλ. ℵ[1])   13 καιπερ εβιαζοντο B*[vid] (και παρεβιαζ. B[ab]) | προς] θ'σ' εις Q[mg] | εδυναντο A | επηγειρετο ℵ* (εξηγ. ℵ[1 c.a]) 14 προς Κυριον και ειπαν μηδαμως sup ras et in mg A[a] | Κυριον] pr τον ℵ* (om τον ℵ[c.b]) | om μη απολωμεθα...συ Κυριε ℵ* (hab ℵ[c.a]) | απολοιμεθα ℵ[c.a] (απολωμ. ℵ[c.b]) Q | διοτι] οτι AQ* (διοτι Q[mg]) | συ] σου ℵ[c.a] | βεβουλου ℵ* (εβ. ℵ[?])   15 εξεβαλον] εβαλον ℵ*[c.b] ενεβαλον ℵ[c.a]A | σαλους AQ* (-λου Q[a]) 16 εφοβηθησαν] incep εp ℵ* | θυσιαν AQ* (-ας Q[a]) | om κυριω ℵ* (superscr κ̄ω̄ ℵ[1]) | ηυξαντο ℵ[1] (ηξ. ℵ*) AQ   II 1 κητει] τητει ℵ* (κητει ℵ[c.a, c.b]) | καταπιειν] και κατεπιεν ℵ* (καταπ. ℵ[c.a, c.b]) | τον Ιωναν] om τον ℵ[?]   2 τον θεον] om τον ℵ[c.a] (rurs ras) Q   2—3 om αυτου εκ της κοιλιας...Κυριον τον θεον (2°) ℵ* (hab ℵ[1 c.a (vid), c.b])   2 τον θεον] om τον Q   3 ειπεν] + ως Q[mg]

B Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν θεόν μου, καὶ εἰσήκουσέν μου.
ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου·
4 ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, 4
καὶ ποταμοί με ἐκύκλωσαν,
πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.
5 καὶ ἐγὼ εἶπα Ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· 5
ἆρα προσθήσω τοῦ ἐπιβλέψαι πρὸς τὸν λαὸν τὸν ἅγιόν σου;
6 περιεχύθη ὕδωρ μοι ἕως ψυχῆς, 6
ἄβυσσος ἐκύκλωσέν με ἐσχάτη,
ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων,
7 κατέβην εἰς γῆν ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι· 7
καὶ ἀναβήτω φθορὰ ζωῆς μου, Κύριε ὁ θεός μου,
8 ἐν τῷ ἐκλιπεῖν ἀπ' ἐμοῦ τὴν ψυχήν μου τοῦ κυρίου ἐμνήσθην, 8
καὶ ἔλθοι πρὸς σὲ ἡ εὐχή μου εἰς ναὸν ἅγιόν σου.
9 φυλασσόμενοι μάταια καὶ ψευδῆ 9
ἔλεος αὐτῶν ἐγκατέλιπον.
10 ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι, 10
ὅσα ηὐξάμην ἀποδώσω σοι σωτηρίου τῷ κυρίῳ.
11 Καὶ προσετάγη τῷ κήτει, καὶ ἐξέβαλεν τὸν Ἰωνᾶν ἐπὶ τὴν ξηράν. 11
1 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν ἐκ δευτέρου λέγων 1 III
2 Ἀνάστηθι πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον 2
ἐν αὐτῇ κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν ὃ ἐγὼ ἐλάλησα πρὸς σέ.
3 καὶ ἀνέστη Ἰωνᾶς καὶ ἐπορεύθη εἰς Νινευή, καθὰ ἐλάλησεν Κύριος· 3
ἡ δὲ Νινευὴ ἦν πόλις μεγάλη τῷ θεῷ, ὡσεὶ πορείας ὁδοῦ ἡμερῶν τριῶν.

ℵAQ 3 εβοησα] pr ωδη A | κραυης ℵ* (-γης ℵ$^{c.a}$) 4 απεριψας ℵQ* | με 1°] μες (sic) ℵ | om σου 2° Q* (hab Q^{1mg}) 5 και εγω] καγω A | επιβλεψαι] επιστρεψε ℵ* (επιβλεψε ℵ^{1} -ψαι ℵ$^{c.a, c.b}$) | τον λαον B^{*b}] τον ναον B^{ab}ℵ ναον AQ 6 υδωρ μοι (μου ℵ* μοι ℵ^{1})] μοι υδωρ AQ | ψυχης] + μου Q$^{a (mg) vid}$ | εισχισμας ℵ* (εις σχ. ℵ$^{c.b}$) 7 φθορα ζωης] εκ φθορας ζωης ℵ$^{c.c (vid)}$ εκ φθορας η ζωη AQ | Κυριε] pr προς σε ℵ$^{c.c (vid)}$ 8 εκλειπειν AQ | απ εμου την ψυχην μου] την ψ. μου απ εμου AQ | ευχη] προσευχη ℵ$^{c.b}$AQ 9 ελεον ℵ$^{c.a}$ (mox ελεος revoc) Q | εγκατελειπον AQ* (-λιπον Q^{a}) 10 αινεσως B* (-σεως B^{ab}) | και] ε pro κ incep B* | σοι σωτηριου] εις σωτηριον μου ℵ$^{c.a\ non\ c.b}$AQ | τω κυριω] pr ω ℵ* (om ω ℵ$^{1\ c.a}$) pr τω ℵ$^{c.b}$ (per incur) 11 προσεταγη] + απο $\overline{κυ}$ ℵ$^{c.b}$ (postea ras) III 2 πορευθητι] pr και ℵ$^{c.a}$ (postea ras) AQ | Νινευην ℵ 3 καθως AQ* (καθα Q^{a}) | ποριας ℵA

4 [4]καὶ ἤρξατο Ἰωνᾶς τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν ὡσεὶ πορείαν ἡμέρας B
μιᾶς, καὶ ἐκήρυξεν καὶ εἶπεν Ἔτι τρεῖς ἡμέραι καὶ Νινευὴ καταστρα-
5 φήσεται. [5]καὶ ἐνεπίστευσαν οἱ ἄνδρες Νινευὴ τῷ θεῷ, καὶ ἐκήρυξαν
νηστίαν, καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μεγάλου αὐτῶν ἕως μικροῦ
6 αὐτῶν. [6]καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα τῆς Νινευή· καὶ
ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ, καὶ περιείλατο τὴν στολὴν αὐτοῦ
7 ἀφ᾽ ἑαυτοῦ καὶ περιεβάλετο σάκκον, καὶ ἐκάθισεν ἐπὶ σποδοῦ. [7]καὶ
ἐκηρύχθη καὶ ἐρρέθη ἐν τῇ Νινευὴ παρὰ τοῦ βασιλέως καὶ παρὰ τῶν
μεγιστάνων αὐτοῦ λέγων Οἱ ἄνθρωποι καὶ τὰ κτήνη καὶ οἱ βόες καὶ
τὰ πρόβατα μὴ γευσάσθωσαν μηδὲν μηδὲ νεμέσθωσαν μηδὲ ὕδωρ
8 πιέτωσαν. [8]καὶ περιεβάλοντο σάκκους οἱ ἄνθρωποι καὶ τὰ κτήνη,
καὶ ἀνεβόησαν πρὸς τὸν θεὸν ἐκτενῶς· καὶ ἀπέστρεψαν ἕκαστος ἀπὸ
τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν,
9 λέγοντες [9]Τίς οἶδεν εἰ μετανοήσει ὁ θεὸς καὶ ἀποστρέψει ἐξ ὀργῆς
10 θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα; [10]καὶ εἶδεν ὁ θεὸς τὰ ἔργα
αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν· καὶ
μετενόησεν ὁ θεὸς ἐπὶ τῇ κακίᾳ ᾗ ἐλάλησεν τοῦ ποιῆσαι αὐτοῖς, καὶ
IV 1 οὐκ ἐποίησεν. [1]Καὶ ἐλυπήθη Ἰωνᾶς λύπην μεγάλην, καὶ συνε-
2 χύθη· [2]καὶ προσεύξατο πρὸς Κύριον καὶ εἶπεν Ὦ Κύριε, οὐχ οὗτοι
οἱ λόγοι μου, ἔτι ὄντος μου ἐν τῇ γῇ μου; διὰ τοῦτο προέφθασα
τοῦ φυγεῖν εἰς Θαρσείς, διότι ἔγνων ὅτι σὺ ἐλεήμων καὶ οἰκτίρμων,
3 μακρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. [3]καὶ νῦν,
δέσποτα Κύριε, λάβε τὴν ψυχήν μου ἀπ᾽ ἐμοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν
4 με ἢ ζῆν με. [4]καὶ εἶπεν Κύριος πρὸς Ἰωνᾶν Εἰ σφόδρα λελύπησαι
5 σύ; [5]καὶ ἐξῆλθεν Ἰωνᾶς ἐκ τῆς πόλεως, καὶ ἐκάθισεν ἀπέναντι τῆς

4 εισελθειν] εισπορευεσθαι ℵc.b AQ | πορειαν (-ριαν ℵ)] πορια AQ* (πορειαν ℵAQ Qa) + οδου AQ | ημερας] μερας ℵ* (ημ. ℵ1?c.a) | εκηρυξω ℵ* (-ξεν ℵ1) | τρεις] οι λ' τεσσερακοντα Qmg 5 ενεπιστευσαν] επιστευσαν ℵc.a | νηστειαν Bab AQ | και 3°] αι ℵ* (και ℵc.a) | μικρου αυτων (om αυτ. AQ* hab Qmg) εως μεγαλου αυτων ℵc.b (postea μεγ. αυτ. εως μικρ. αυτ. revoc) AQ 6 λογος] λαος ℵc.b (mox λογος revoc) | βασια ℵ* (βασιλεα ℵc.a) | Νινευης ℵ* (ς improb ℵc.a postea ras) | περιειλετο Qa (vid) 7 ερρεθη (ερεθη ℵ*)] ερρηθη Bab Qa | παρα των μεγιστανων αυτου] παντων μεγ. αυτω̄ ℵc.a, c.b | γευεσθωσαν ℵ* (γευσασθ. ℵc.a, c.b) A | μηθεν A | νεμεσθωσαν] + μηδεν ℵ* (om μηδεν ℵc.b) | πινετωσαν ℵ 8 ανεστρεψαν ℵc.b Q* απεστρεψεν A α'θ' επεστρεψαν Qmg | πονηρας] πο sup ras seq ras pl litt Aa 10 οιδε̄ ℵ1?c.a (οιδες ℵ* vid) | μετανοησει Q* (-νοησ. Qa) | τη κακια η] τα κακα α A | αυτοις] αυτοι ℵ* (-τοις ℵc.a) IV 2 προσηυξατο Bb et forte c ℵAQ | ω] + ω δη ℵc.b vid Qa | μου 1°] + ους ελαλησα A | εγνων] + εγω ℵc.a (mox improb) | συ] + θς̄ Q | οικτειρμων ℵc.b AQ* (-κτιρμ. Qa) 3 η] ει Bℵ* (η ℵc.b) pr μαλλον ℵc.a (μ. postea ras) | om με 2° ℵc.b AQ* vid (hab Qmg) 4 σφοδρα] + συ ℵ* (improb ℵc.a postea ras)

B πόλεως· καὶ ἐποίησεν ἑαυτῷ ἐκεῖ σκηνὴν καὶ ἐκάθητο ὑποκάτω αὐτῆς
ἐν σκιᾷ, ἕως οὗ ἀπίδῃ τί ἔσται τῇ πόλει. [6]καὶ προσέταξεν Κύριος 6
ὁ θεὸς κολοκύνθῃ, καὶ ἀνέβη ὑπὲρ κεφαλῆς τοῦ Ἰωνᾶ τοῦ εἶναι σκιὰν
ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ, τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν κακῶν
αὐτοῦ· καὶ ἐχάρη Ἰωνᾶς ἐπὶ τῇ κολοκύνθῃ χαρὰν μεγάλην. [7]καὶ 7
προσέταξεν ὁ θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύριον, καὶ ἐπάταξεν τὴν
κολόκυνθαν, καὶ ἀπεξηράνθη. [8]καὶ ἐγένετο ἅμα τῷ ἀνατεῖλαι τὸν 8
ἥλιον καὶ προσέταξεν ὁ θεὸς πνεύματι καύσωνος συνκαίοντι, καὶ
ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν Ἰωνᾶ· καὶ ὠλιγοψύχησεν καὶ
ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ, καὶ εἶπεν Καλόν μοι ἀποθανεῖν με ἢ
ζῆν. [9]καὶ εἶπεν ὁ θεὸς πρὸς Ἰωνᾶν Εἰ σφόδρα λελύπησαι σὺ ἐπὶ 9
τῇ κολοκύνθῃ; καὶ εἶπεν Σφόδρα λελύπημαι ἐγὼ ἕως θανάτου. [10]καὶ 10
εἶπεν Κύριος Σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακο-
πάθησας ἐπ' αὐτήν, καὶ οὐκ ἐξέθρεψας αὐτήν, ἣ ἐγενήθη ὑπὸ νύκτα
καὶ ὑπὸ νύκτα ἀπώλετο. [11]ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευὴ τῆς 11
πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσιν πλείους δώδεκα μυριάδες
ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν,
καὶ κτήνη πολλά;

ℵAQ 5 εκει σκηνην εαυτω A | om ου Q | αφειδη A | τη πολει] pr εν ℵ 6 κολοκυνθη bis] κολοκυντη AQ* (-νθη Q[a]) | του ειναι] om του AQ | σκιαν] pr εις ℵ[c.a] (mox ras) | αυτου 2°] αυτων ℵ* (-του ℵ[c.a, c.b]) 7 ο θεος] ων ℵ* pr $\overline{κς}$ AQ | σκωληκι] pr σ ℵ* (improb ℵ[1]) | κολοκυνταν A 8 ο θεος] pr $\overline{κς}$ AQ | συγκαιοντι B[b] | ολιγοψυχησεν ℵ | om μοι Q* (hab Q[mg]) | αποθανειν] pr το ℵ[c.b]AQ | om με ℵ | ζην] + με ℵ[c.a]Q 9 ο θεος] pr $\overline{κς}$ ℵ[c.b]A | κολοκυντη AQ[a] 10 κολοκυντης AQ[a] | επ αυτην] επ αυτης ℵ* (επ αυτην ℵ[c.a (vid)]) A εις αυτην ℵ[c.b]Q[a] | και ουκ] ουδε ℵ[c.b] | υπο νυκτα εγενηθη AQ 11 om της μεγαλης A | κατοικουσιν] + εν αυτη Q[mg] | πλειους] πλιου ℵ* (πλιους ℵ[c.a]) + η ℵ[c.a]Q | η 2°] ουδε A
Subscr Ιωνας ϛ BℵQ Ιωνας προφητης ϛ A

ΝΑΟΥΜ

I 1 ΛΗΜΜΑ Νινευή, βιβλίον ὁράσεως Ναοὺμ τοῦ Ἐλκεσαίου. B

2 [2]Θεὸς ζηλωτὴς καὶ ἐκδικῶν Κύριος μετὰ θυμοῦ, ἐκδικῶν Κύριος
τοὺς ὑπεναντίους αὐτοῦ, καὶ ἐξαίρων αὐτὸς τοὺς ἐχθροὺς αὐτοῦ.
3 [3]Κύριος μακρόθυμος, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ ἀθῷον οὐκ ἀθῳ-
ώσει Κύριος· ἐν συντελείᾳ καὶ ἐν συνσεισμῷ ἡ ὁδὸς αὐτοῦ, καὶ
4 νεφέλαι κονιορτὸς ποδῶν αὐτοῦ· [4]ἀπειλῶν θαλάσσῃ καὶ ξηραίνων
αὐτήν, καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν. ὀλιγώθη ἡ Βασανῖτις
5 καὶ ὁ Κάρμηλος, καὶ τὰ ἐξανθοῦντα τοῦ Λιβάνου ἐξέλιπεν· [5]τὰ ὄρη
ἐσείσθησαν ἀπ' αὐτοῦ, καὶ οἱ βουνοὶ ἐσαλεύθησαν· καὶ ἀνεστάλη ἡ
γῆ ἀπὸ προσώπου αὐτοῦ, ἡ σύμπασα, καὶ πάντες οἱ κατοικοῦντες
6 ἐν αὐτῇ. [6]ἀπὸ προσώπου ὀργῆς αὐτοῦ τίς ὑποστήσεται; καὶ τίς
ἀντιστήσεται ἐν ὀργῇ θυμοῦ αὐτοῦ; ὁ θυμὸς αὐτοῦ τήκει ἀρχάς, καὶ
7 αἱ πέτραι διεθρύβησαν ἀπ' αὐτοῦ. [7]χρηστὸς Κύριος τοῖς ὑπομένουσιν
αὐτὸν ἐν ἡμέρᾳ θλίψεως, καὶ γινώσκων τοὺς εὐλαβουμένους αὐτόν.
8 [8]καὶ ἐν κατακλυσμῷ πορείας συντέλειαν ποιήσεται, τοὺς ἐπεγειρο-
9 μένους καὶ τοὺς ἐχθροὺς αὐτοῦ διώξεται σκότος. [9]τί λογίζεσθε ἐπὶ
τὸν κύριον; συντέλειαν αὐτὸς ποιήσεται, οὐκ ἐκδικήσει δὶς ἐπὶ τὸ
10 αὐτὸ ἐν θλίψει· [10]ὅτι ἕως θεμελίου αὐτοῦ χερσωθήσεται, καὶ ὡς σμῖλαξ
11 περιπλεκομένη βρωθήσεται, καὶ ὡς καλάμη ξηρασίας μεστή. [11]ἐκ

Inscr Ναουμ ζ BℵAQ   I 1 Ελκαισεου ℵ* Ελκεσεου ℵ$^{c.b}$ 2 Κυ- ℵAQ
ριος 1°] + εκδικων B^{ab} | εκδικων 2°] pr και ℵ$^{c.a}$ | om Κυριος 2° Q   3 αθωον]
αθοων ℵ$^{c.a, c.b}$AQ^{a} αθοον Q* | αθοωσει B*ℵAQ* (αθωωσ. B^{b}Q^{a}) | συντελια
ℵ* (-λεια ℵ$^{c.b}$) | συσσεισμω B^{ab}ℵQ^{a} 4 ωλιγωθη B^{b}ℵ* (ολιγ. ℵ$^{c.a, c.b}$)
A | τα εξανθουντα] pr παντα ℵ$^{c.b}$ | εξελειπεν AQ   5 απ] υπ Q* | om
και οι βουνοι εσαλευθησαν και α ℵ* (hab ℵ$^{1?a?}$ partim rescr partim inst
ℵ$^{c.c}$) | ανεσταλη] ανεστη ℵ$^{c.b}$ (ανεσταλ. revoc ℵ$^{c.c}$) | συνπασα ℵA   6 om
οργης Q^{*vid} (hab Q$^{a(mg)}$)   8 ποριας ℵ | συντελιαν ℵ* (-λειαν ℵ$^{c.b}$):
item 9   9 om τι Q* (superscr Q^{a}) | ποιησεται] ποιησει ℵ$^{c.b}$ 9—10 om
ουκ εκδικησει...χερσωθησεται ℵ* (hab ℵ$^{c.a, c.b}$)   10 αυτου] αυτης ℵ$^{c.a, c.b}$
αυτων A | χερσωθησονται A | ωσμιλας ℵ* (ως σμιλαξ ℵ$^{c.b}$) ωσμιλαξ A
11 εκ σου] εξ ου ℵ

B σοῦ ἐξελεύσεται λογισμὸς κατὰ τοῦ κυρίου πονηρά, βουλευόμενος
ἐναντία. [12]τάδε λέγει Κύριος κατάρχων ὑδάτων πολλῶν Καὶ οὕτως 12
διασταλήσονται, καὶ ἡ ἀκοή σου οὐκ ἐνακουσθήσεται ἔτι. [13]καὶ νῦν 13
συντρίψω τὴν ῥάβδον αὐτοῦ ἀπὸ σοῦ, καὶ τοὺς δεσμοὺς διαρήξω·
[14]καὶ ἐντελεῖται ὑπὲρ σοῦ Κύριος, οὐ σπαρήσεται ἐκ τοῦ ὀνόματός 14
σου ἔτι· ἐξ οἴκου θεοῦ σου ἐξολεθρεύσω τὰ γλυπτά, καὶ χωνευτὰ
θήσομαι ταφήν σου. ὅτι ταχεῖς [15]ἰδοὺ ἐπὶ τὰ ὄρη οἱ πόδες εὐαγ- 15 (1) (II)
γελιζομένου καὶ ἀπαγγέλλοντος εἰρήνην· ἑόρταζε, Ἰούδα, τὰς ἑορ-
τάς σου, ἀπόδος τὰς εὐχάς σου, διότι οὐ μὴ προσθήσωσιν ἔτι τοῦ
διελθεῖν διὰ σοῦ εἰς παλαίωσιν.

[1]Συντετέλεσται, ἐξῆρται· [2]ἀνέβη ἐμφυσῶν εἰς πρόσωπόν σου, 1 2 II
ἐξαιρούμενος ἐκ θλίψεως. σκόπευσον ὁδόν, κράτησον ὀσφύος,
ἄνδρισαι τῇ ἰσχύι σφόδρα· [3]διότι ἀπέστρεψεν Κύριος τὴν ὕβριν 3
Ἰακὼβ καθὼς ὕβριν τοῦ Ἰσραήλ, διότι ἐκτινάσσοντες ἐξετίναξαν
αὐτοὺς καὶ τὰ κλήματα αὐτῶν διέφθειραν. [4]ὅπλα δυναστείας αὐτῶν 4
ἐξ ἀνθρώπων, ἄνδρας δυνατοὺς ἐμπαίζοντας ἐν πυρί· αἱ ἡνίαι τῶν
ἁρμάτων αὐτῶν ἐν ἡμέρᾳ ἑτοιμασίας αὐτοῦ, καὶ οἱ ἱππεῖς θορυβη-
θήσονται [5]ἐν ταῖς ὁδοῖς, καὶ συγχυθήσονται τὰ ἅρματα καὶ συνπλακή- 5
σονται ἐν ταῖς πλατείαις· ἡ ὅρασις αὐτῶν ὡς λαμπάδες πυρὸς καὶ
ὡς ἀστραπαὶ διατρέχουσαι. [6]καὶ μνησθήσονται οἱ μεγιστᾶνες αὐτῶν, 6
καὶ φεύξονται ἡμέρας καὶ ἀσθενήσουσιν ἐν τῇ πορίᾳ αὐτῶν, καὶ
σπεύσουσιν ἐπὶ τὰ τείχη αὐτῆς καὶ ἑτοιμάσουσιν τὰς προφυλακὰς
αὐτῶν. [7]πύλαι τῶν πόλεων διηνοίχθησαν, καὶ τὰ βασίλεια διέπεσεν, 7
[8]καὶ ἡ ὑπόστασις ἀπεκαλύφθη· καὶ αὕτη ἀνέβαινεν καὶ αἱ δοῦλαι 8
αὐτῆς ἤγοντο καθὼς περιστεραὶ φθεγγόμεναι ἐν καρδίαις αὐτῶν. [9]καὶ 9

ℵAQ 11 του κυριου] om του Q | πονηρα] α' κακιαν Q^{mg} | βουλευομενος] λογιζομενος AQ^{a} α' βουλ. αποστασια Q^{mg} | εναντια] pr ποιησεται A^{*} (ras τα $A^{?}$) 13 δεσμους] + σου ℵ$^{c.a}$ A | διαρρηξω B^{b}ℵ$^{c.b}$AQ 14 υπερ] περι ℵ | εκ του ονοματος] εξ ονομ. ℵ$^{c.b}$ | εξ οικου] pr τα A | τα γλυπτα] improb τα ℵ$^{c.b}$ + σου A 15 σου αποδος τας ευ sup ras ℵ^{1} | προσθησωσιν] προσθωσιν ℵAQ | om δια σου AQ II 1 εξηρται] εξηπε ℵ* (εξηρτε ℵ$^{c.a}$ -ρται ℵ$^{c.b}$ etiam ανηλωται ℵ$^{c.b\,mg}$) 2 ενφυσων ℵ | προσωπον] pr το Q^{*} (improb το Q^{a}) | εξαιρουμενος] + σε A | τη ισχυι] της ισχ. (nisi forte τη εισχ.) ℵ* + σου A 3 υβιν 1° ℵ* (υβρ. ℵ$^{c.a}$) 4 δυναστιας ℵ | om εξ ανθρωπων Q^{*} (hab Q^{mg}) | αυτων 2°] αυτου Q^{a} | αυτου] αυτων ℵ$^{c.b}$ (postea rurs -του) 5 improb και 1° ℵ^{1} (mox revoc) | συγχυθησονται] συσχυθ. ℵ* συνχυθ. ℵ$^{c.a,\,c.b}$ συγχυνθ. A^{*} | συμπλακησονται B^{b}ℵAQ^{*} (συμπλεκ. Q^{a}) | πλατιαις ℵA 6 τη πορια (-ρεια $B^{ab}Q^{a}$)] ταις πορειαις A | om αυτης AQ | ετοιμασουσι Q^{a} 7 πολεων] signa v l adscr $B^{?}$ (ras aliq in mg) ποταμων ℵ* (πολεων ℵ$^{c.a,\,c.b}$) | βασιλεα ℵ* (-λεια ℵ$^{c.a}$) | διεπεσαν AQ 8 ανεβεννεν ℵ αναιβεννε̄] A | καρδιαις] pr ταις A

Νινευή, ὡς κολυμβήθρα ὕδατος τὰ ὕδατα αὐτῆς, καὶ αὐτοὶ φεύγοντες B
10 οὐκ ἔστησαν, καὶ οὐκ ἦν ὁ ἐπιβλέπων. [10]διήρπασαν τὸ ἀργύριον,
διήρπαζον τὸ χρυσίον, καὶ οὐκ ἦν πέρας τοῦ κόσμου αὐτῆς· βεβά-
11 ρυνται ἐπὶ πάντα σκεύη τὰ ἐπιθυμητὰ αὐτῆς. [11]ἐκτιναγμὸς καὶ
ἀνατιναγμός, καὶ ἐκβραγμὸς καὶ καρδίας θραυσμός, καὶ ὑπόλυσις
γονάτων καὶ ὠδῖνες ἐπὶ πᾶσαν ὀσφύν, καὶ τὸ πρόσωπον πάντων
12 ὡς πρόσκαυμα χύτρας. [12]ποῦ ἐστιν τὸ κατοικητήριον τῶν λεόντων,
καὶ ἡ νομὴ ἡ οὖσα τοῖς σκύμνοις; ποῦ ἐπορεύθη λέων τοῦ εἰσελθεῖν
13 ἐκεῖ σκύμνον λέοντος, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν; [13]λέων ἥρπασεν τὰ
ἱκανὰ τοῖς σκύμνοις αὐτοῦ καὶ ἀπέπνιξεν τοῖς λέουσιν αὐτοῦ, καὶ
ἔπλησεν θήρας νοσσιὰν αὐτοῦ καὶ τὸ κατοικητήριον αὐτοῦ ἁρπαγῆς.
14 [14]Ἰδοὺ ἐγὼ ἐπὶ σέ, λέγει Κύριος Παντοκράτωρ, καὶ ἐκκαύσω ἐν καπνῷ
πλῆθός σου, καὶ τοὺς λέοντάς σου καταφάγεται ῥομφαία, καὶ ἐξολε-
θρεύσω ἐκ τῆς γῆς τὴν θήραν σου, καὶ οὐ μὴ ἀκουσθῇ οὐκέτι τὰ
ἔργα σου.
III 1 [1]Ὦ πόλις αἱμάτων, ὅλη ψευδής, ἀδικίας πλήρης, οὐ ψηλαφηθή-
2 σεται θήρα. [2]φωνὴ μαστίγων καὶ φωνὴ σεισμοῦ τροχῶν, καὶ ἵππου
3 διώκοντος καὶ ἅρματος ἀναβράσσοντος, [3]καὶ ἱππέως ἀναβαίνοντος καὶ
στιλβούσης ῥομφαίας καὶ ἐξαστραπτόντων ὅπλων, καὶ πλήθους τραυ-
ματιῶν καὶ βαρείας πτώσεως, καὶ οὐκ ἦν πέρας τοῖς ἔθνεσιν αὐτῆς·
καὶ ἀσθενήσουσιν ἐν τοῖς σώμασιν αὐτῶν ἀπὸ πλήθους πορνείας.
4 [4]πόρνη καλὴ καὶ ἐπιχαρής, ἡγουμένη φαρμάκων, ἡ πωλοῦσα ἔθνη
5 ἐν τῇ πορνείᾳ αὐτῆς καὶ λαοὺς ἐν τοῖς φαρμάκοις αὐτῆς. [5]Ἰδοὺ ἐγὼ
ἐπὶ σέ, λέγει Κύριος ὁ θεὸς ὁ παντοκράτωρ, καὶ ἀποκαλύψω τὰ
ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου, καὶ δείξω ἔθνεσιν τὴν αἰσχύνην

9 ως] ην A | τα] τειχη A | φευγοντες] φθυο̄|τες ℵ* (φευγ. ℵ$^{c.a, c.b (vid)}$) | ℵAQ επιβλεπων] βλεπων A 10 διηρπασαν] διηρπαζον ℵAQ | διηρπαζον το sup ras B^{ab} | επι] υπερ ℵAQ | σκευη] pr τα AQ | επιθυμηματα Q* (-θυμητα Q^{a}) 11 εντιναγμος Q* | εκβρασμος B$^{* fort ab}$ℵQ | om και 3° Q | θραυμος ℵ* (θραυσμ. ℵ$^{c.a}$) | χυθρας ℵ* (χυτρ. ℵ$^{c.a, c.b}$) 12 η νομη] om η ℵ* (hab ℵ$^{c.a}$) | τοις σκυμνοις (-μνοι ℵ* -μνοις ℵ$^{c.a}$)] pr εν A | που 2°] ου A | σκυμνον] σκυμνος ℵ$^{c.a}$AQ | λεοντος] incep λο ℵ* (λεοντ. ℵ$^{c.a (vid)}$) | εκφορων ℵ* (εκφοβ. ℵ$^{c.a}$) 13 ηρπασε Q^{a} | απεπνιξε Q^{a} + τα ικανα Q | επλησεν] ενεπλησεν Q* (-σε Q^{a}) | θηραν ℵ* (θηρας ℵ$^{c.a, c.b}$) 14 εγω] + ειμι ℵ$^{c.a}$ (rurs ras) | σε] αι ℵ* (σε ℵ$^{c.a, c.b}$) | παντοκρατωρ] pr ο AQ | om και 3° Q* | της γης] om της Q* (hab Q^{mg}) | ου μη ακ. ουκετι] ου μη ακ. ετι ℵ? ουκετι ου μη ακ. A | τα εργα] om τα Q* (superscr Q^{a}) III 1 πληρης αδικιας AQ 2 ιππων ℵ* (-που ℵ$^{c.a, c.b}$) | om αναβρασσοντος Q* (hab $Q^{a (mg)}$) 3 improb και 1° ℵ$^{c.b}$ | τραυματιων] incep κ ℵ* (τρ. ℵ$^{1? c.a}$) | πορνιας ℵ 4 επιχαρις B^{ab}Q | εθνη] θνη ℵ* (εθν. ℵ$^{1? c.a}$) | πορνια ℵ | λαους] φυλας ℵ$^{c.a, c.b}$AQ 5 ο παντοκρατωρ] improb ο ℵ? (mox revoc) | το προσωπον] om το AQ | εθνεσι Q^{a} | αισχυνην] ασχημοσυνην A

B σου καὶ βασιλείαις τὴν ἀτιμίαν σου· [6]καὶ ἐπιρίψω ἐπὶ σὲ βδελυγμὸν 6
κατὰ τὰς ἀκαθαρσίας σου, καὶ θήσομαί σε εἰς παράδειγμα· [7]καὶ 7
ἔσται πᾶς ὁ ὁρῶν σε καταβήσεται ἀπὸ σοῦ καὶ ἐρεῖ Δειλαία Νινευή·
τίς στενάξει αὐτήν; πόθεν ζητήσω παράκλησιν αὐτῇ; [8]ἑτοίμασαι 8
μερίδα, ἅρμοσαι χορδήν, ἑτοίμασαι μερίδα, Ἀμμών, ἡ κατοικοῦσα ἐν
ποταμοῖς· ὕδωρ κύκλῳ αὐτῆς, ἧς ἡ ἀρχὴ θάλασσα καὶ ὕδωρ τὰ τείχη
αὐτῆς. [9]καὶ Αἰθιοπία ἰσχὺς αὐτῆς καὶ Αἴγυπτος, καὶ οὐκ ἔστιν πέρας 9
τῆς φυγῆς, καὶ Λίβυες ἐγένοντο βοηθοὶ αὐτῆς. [10]καὶ αὐτὴ εἰς μετοι- 10
κεσίαν πορεύσεται αἰχμάλωτος, καὶ τὰ νήπια αὐτῆς ἐδαφιοῦσιν
ἐπ' ἀρχὰς πασῶν τῶν ὁδῶν αὐτῆς, καὶ ἐπὶ πάντα τὰ ἔνδοξα
αὐτῆς βαλοῦσιν κλήρους, καὶ πάντες οἱ μεγιστᾶνες αὐτῆς δεθή-
σονται χειροπέδαις. [11]καὶ σὺ μεθυσθήσῃ καὶ ἔσῃ ὑπερεωραμένη, 11
καὶ σὺ ζητήσεις σεαυτῇ στάσιν ἐξ ἐχθρῶν. [12]πάντα τὰ ὀχυρώματά 12
σου συκαῖ σκοποὺς ἔχουσαι· ἐὰν σαλευθῶσιν, πεσοῦνται εἰς στόμα
ἔσθοντος. [13]ἰδοὺ ὁ λαός σου ὡς γυναῖκες ἐν σοί· τοῖς ἐχθροῖς σου 13
ἀνοιγόμεναι ἀνοιχθήσονται πύλαι τῆς γῆς σου, καταφάγεται πῦρ
τοὺς μοχλούς σου. [14]ὕδωρ περιοχῆς ἐπίσπασαι σεαυτῇ, καὶ κατα- 14
κράτησον τῶν ὀχυρωμάτων σου· ἔμβηθι εἰς πηλὸν καὶ συμπατήθητι
ἐν ἀχύροις, κατακράτησον ὑπὲρ πλίνθον· [15]ἐκεῖ καταφάγεταί σε 15
πῦρ, ἐξολεθρεύσει σε ῥομφαία, καταφάγεταί σε ὡς ἀκρίς, καὶ
βαρυνθήσει ὡς βροῦχος. [16]ἐπλήθυνας τὰς ἐμπορίας σου ὑπὲρ τὰ 16
ἄστρα τοῦ οὐρανοῦ· βροῦχος ὥρμησεν καὶ ἐξεπετάσθη. [17]ἐξήλατο 17
ὡς ἀττέλεβος ὁ συμμικτός σου, ὡς ἀκρὶς ἐπιβεβηκυῖα ἐπὶ φραγμὸν
ἐν ἡμέρᾳ πάγους· ὁ ἥλιος ἀνέτειλεν, καὶ ἀφήλατο, καὶ οὐκ ἔγνω

ℵAQ 5 ατιμιαν] ιμιαν rescr ℵ^{1} 6 επιρριψω B$^{a\,(fort)\,b}$Q^{a} | ακαθαρσιας] αμαρτιας ℵ* (ακαθ. ℵ$^{c.b}$ postea rurs αμ.) | παραδισγμα ℵ* (-δειγμα ℵ$^{c.b\ et\ iam\ antea}$) παραδιγμα A 7 αυτην] απο σου A pr επ Q^{mg} | παρακλησις A 8 om ετοιμασαι μεριδα (1°) ℵ$^{c.b}$ om ετοιμασαι 2° ℵ$^{c.b}$ | μεριδα 2°] μερις ℵ$^{c.a,\,c.b}$ | Αρμων ℵ* (Αμμων ℵ$^{c.a,\,c.b}$) | ης] ως ℵ* (ης ℵ$^{c.a}$) | αρχη] + αυτης A 9 om και 1° ℵ$^{c.b}$ | Εθιοπια ℵ* (Αιθ. ℵ$^{c.a,\,c.b}$) | ισχυς] pr η ℵ$^{c.a?\,c.b?}$ (postea ras) AQ | εστιν] εσται A εστι Q^{a} | φυγης] + σου ℵ$^{c.a}$AQ | εγενοντο] εγενεντο Q^{vid} 10 μετοικησιαν B* (-κεσιαν B$^{b\,(vid)}$) | πορευεται Q | και 2°] + πανηγυρια ℵ* (improb ℵ$^{c.a,\,c.b}$) | αρχης ℵ$^{c.b}$ | οδων] ορεων ℵ* (οδ. ℵ$^{c.b}$) | βαλουσι Q^{a} | μεγιστανες] + αυτης ℵ$^{c.a}$ 11 και 1°] + γε AQ | υπερεωραμενη (υπερεορ. Q^{a})] παρεωραμενη ℵ$^{c.b}$ | om εξ ℵ* (hab εξ ℵ$^{c.b}$) 12 σκοπους] καρπους B^{ab} | πεσουνται] pr και AQ | αιστομα ℵ* (εις στ. ℵ$^{c.a}$) A | εσθιοντος ℵ$^{c.a\,(vid)}$ (postea εσθοντ. revoc) 13 καταφαγεται] pr α ℵ* (ras ℵ?) pr και A 14 om επισπασαι σεαυτη ℵ* (hab ℵ$^{c.a}$) | om και 1° ℵ$^{c.a,\,c.b}$AQ | πηλον] πολεμον ℵ* (πηλ. ℵ$^{1\,(vid)}$) | συμπατηθητι (συνπ. Q*)] συνπατει A 15 καταφαγεται 2°] pr και ℵ$^{c.a}$A | βαρυνθηση ℵAQ | βουχος ℵ* (βρ. ℵ$^{c.a}$) 16 om επληθυνας...βρουχος ℵ* (hab ℵ$^{c.a}$) | υπερ] ως ℵ$^{c.a}$ ωσπερ ℵ$^{c.b}$ | ωρμησεν Q^{a} 17 αττελαβος AQ* (-λεβος Q^{a}) | ημεραις AQ | παγου A | γνω ℵ* (εγν. ℵ^{1c})

18 τὸν τόπον αὐτῆς. οὐαὶ αὐτοῖς. [18]ἐνύσταξαν οἱ ποιμένες σου, B
βασιλεὺς Ἀσσύριος ἐκοίμισεν τοὺς δυνάστας σου· ἀπῆρεν ὁ λαός
19 σου ἐπὶ τὰ ὄρη, καὶ οὐκ ἦν ὁ ἐκδεχόμενος. [19]οὐκ ἔστιν ἴασις τῇ
συντριβῇ σου, ἐφλέγμανεν ἡ πληγή σου· πάντες οἱ ἀκούοντες τὴν
ἀγγελίαν σου κροτήσουσιν χεῖρας ἐπὶ σέ· διότι ἐπὶ τίνα οὐκ ἐπῆλθεν
ἡ κακία σου διὰ παντός;

17 ουαι] + ουαι A 18 Ασσυριων Q | εκοιμισε Q^{a} | δυναστας] δυνα- ℵAQ
τους Q | απηραν Q^{vid} 19 ακουσαντες ℵ$^{c.b}$AQ | κροτησουσι Q^{a} | χειρα
A | τιναν ℵ*

Subscr Ναουμ ζ BℵAQ

ΑΜΒΑΚΟΥΜ

B ΤΟ λῆμμα ὃ εἶδεν Ἀμβακοὺμ ὁ προφήτης. 1 I

[2]Ἕως τίνος, Κύριε, κράξομαι, καὶ οὐ μὴ εἰσακούσῃς; βοήσομαι 2
πρὸς σὲ ἀδικούμενος, καὶ οὐ σώσεις; [3]ἵνα τί ἔδειξάς μοι κόπους 3
καὶ πόνους ἐπιβλέπειν, ταλαιπωρίαν καὶ ἀσέβειαν; ἐξ ἐναντίας μου
γέγονεν κρίσις, καὶ ὁ κριτὴς λαμβάνει· [4]διὰ τοῦτο διεσκέδασται νόμος, 4
καὶ οὐ διεξάγεται εἰς τέλος κρίμα, ὅτι ἀσεβὴς καταδυναστεύει τὸν
δίκαιον· ἕνεκεν τούτου ἐξελεύσεται τὸ κρίμα διεστραμμένον. [5]ἴδετε, 5
οἱ καταφρονηταί, καὶ ἐπιβλέψατε, καὶ θαυμάσατε θαυμάσια καὶ ἀφανί-
σθητε· διότι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν ὃ οὐ μὴ
πιστεύσητε ἐάν τις ἐκδιηγῆται. [6]διότι ἰδοὺ ἐγὼ ἐξεγείρω τοὺς Χαλ- 6
δαίους, τὸ ἔθνος τὸ πικρὸν καὶ τὸ ταχινόν, τὸ πορευόμενον ἐπὶ τὰ πλάτη
τῆς γῆς τοῦ κατακληρονομῆσαι σκηνώματα οὐκ αὐτοῦ· [7]φοβερὸς καὶ 7
ἐπιφανής ἐστιν, ἐξ αὐτοῦ τὸ κρίμα αὐτοῦ ἔσται, καὶ τὸ λῆμμα αὐτοῦ
ἐξ αὐτοῦ ἐξελεύσεται· [8]καὶ ἐξαλοῦνται ὑπὲρ παρδάλεις οἱ ἵπποι αὐτοῦ, 8
καὶ ὀξύτεροι ὑπὲρ τοὺς λύκους τῆς Ἀραβίας· καὶ ἐξιππάσονται οἱ
ἱππεῖς αὐτοῦ καὶ ὁρμήσουσιν μακρόθεν, καὶ πετασθήσονται ὡς ἀετὸς
πρόθυμος εἰς τὸ φαγεῖν. [9]συντέλεια εἰς ἀσεβεῖς ἥξει, ἀνθεστηκότας 9
προσώποις αὐτῶν ἐξ ἐναντίας, καὶ συνάξει ὡς ἄμμον αἰχμαλωσίαν.

ℵAQ Inscr Αμβακουμ η BℵAQ I 1 προφης A 2 κραξομαι] κεκρ. B$^{a\,(fort)\,b}$ℵ* (κραξ. ℵ? postea κεκρ. revoc) AQ 3 μοι εδειξας A | ταλαιπωριαν] pr επι A 4 διεξαγεται] εξαγε sup ras A^{b} | ασεβης] pr ο AQ 5 θαυμασετε Q* (-σατε Q^{a}) | om εργον εγω Q* (hab Q^{mg}) | υμων] ημων ℵ* (υμ. ℵ$^{c.b}$) | εκδιηγησηται ℵ* (εκδιηγηται ℵ$^{c.a,\,c.b}$) εκδιηγησεται Q* (-σηται Q^{a}) + υμιν ℵ$^{c.a\,(non\,c.b)}$AQ^{mg} 6 διοτι] οτι A | εξεγειρω] + εφ υμας ℵ$^{c.a}$ (postea ras) A | Χαλδαιους (-δεους ℵ) + τους μαχητας AQ | πικρον] ταχινον AQ^{a} (ταχειν. Q*) | ταχινον] ταπινον ℵ* (ταχ. ℵ^{c}) πικρον AQ | τα πλατη] το πλατος A 7 αυτου 4°] ουτου ℵ* (αυτ. ℵ$^{c.a,\,c.b}$) 8 παρδαλις Bℵ* (-λεις ℵ$^{c.b}$) A | λοικους ℵ* (λυκ. ℵ$^{c.a,\,c.b}$) | Αραβειας A | ιππις ℵ* (-πεις ℵ$^{c.b}$) | ορμησουσι Q^{a} | προθυμος] προιμος ℵ* (προθ. ℵ^{1}) 9 συντελια ℵ* (-λειαν ℵ$^{c.b}$) | εις] επι ℵ$^{c.b\,(vid)}$ (postea εις) επ AQ | συ|ναξι ℵ* σῡ|αξι ℵ$^{c.a}$

10 [10]καὶ αὐτὸς ἐν βασιλεῦσιν ἐντρυφήσει καὶ τύραννοι παίγνια αὐτοῦ, B
καὶ αὐτὸς εἰς πᾶν ὀχύρωμα ἐμπαίξεται, καὶ βαλεῖ χῶμα καὶ κρατήσει
11 αὐτοῦ. [11]τότε μεταβαλεῖ τὸ πνεῦμα, καὶ διελεύσεται καὶ ἐξιλάσεται·
12 αὕτη ἡ ἰσχὺς τῷ θεῷ μου. [12]Οὐχὶ σὺ ἀπ' ἀρχῆς, Κύριε ὁ θεὸς
ὁ ἅγιός μου; καὶ οὐ μὴ ἀποθάνωμεν. Κύριε, εἰς κρίμα τέταχας αὐτό·
13 καὶ ἔπλασέν με τοῦ ἐλέγχειν παιδείαν αὐτοῦ. [13]καθαρὸς ὀφθαλμὸς
τοῦ μὴ ὁρᾶν πονηρὰ καὶ ἐπιβλέπειν ἐπὶ πόνους ὀδύνης· ἵνα τί ἐπι-
βλέπεις ἐπὶ καταφρονοῦντας; παρασιωπήσῃ ἐν τῷ καταπίνειν ἀσεβῆ
14 τὸν δίκαιον; [14]καὶ ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς
15 θαλάσσης, καὶ ὡς τὰ ἑρπετὰ τὰ οὐκ ἔχοντα ἡγούμενον; [15]συντέλειαν
ἐν ἀγκίστρῳ ἀνέσπασεν, καὶ εἵλκυσεν αὐτὸν ἐν ἀμφιβλήστρῳ, καὶ
16 συνήγαγεν αὐτὸν ἐν ταῖς σαγήναις αὐτοῦ. [16]ἕνεκεν τούτου εὐφρανθή-
σεται καὶ χαρήσεται ἡ καρδία αὐτοῦ· ἕνεκεν τούτου θύσει τῇ σαγήνῃ
αὐτοῦ καὶ θυμιάσει τῷ ἀμφιβλήστρῳ αὐτοῦ, ὅτι ἐν αὐτοῖς ἐλίπανεν
17 μερίδα αὐτοῦ καὶ τὰ βρώματα αὐτοῦ ἐκλεκτά· [17]διὰ τοῦτο ἀμφιβαλεῖ
τὸ ἀμφίβληστρον αὐτοῦ, καὶ διὰ παντὸς ἀποκτέννειν ἔθνη οὐ φείσεται.
II 1 [1]Ἐπὶ τῆς φυλακῆς μου στήσομαι καὶ ἐπιβήσομαι ἐπὶ πέτραν,
καὶ ἀποσκοπεύσω τοῦ ἰδεῖν τί λαλήσει ἐν ἐμοί, καὶ τί ἀποκριθῶ ἐπὶ
2 τὸν ἔλεγχόν μου. [2]καὶ ἀπεκρίθη πρὸς μὲ Κύριος καὶ εἶπεν Γράψον
ὅρασιν καὶ σαφῶς εἰς πυξίον, ὅπως διώκῃ ὁ ἀναγινώσκων αὐτά.
3 [3]διότι ἔτι ὅρασις εἰς καιρόν, καὶ ἀνατελεῖ εἰς πέρας καὶ οὐκ εἰς
κενόν· ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτόν, ὅτι ἐρχόμενος ἥξει καὶ οὐ
4 μὴ χρονίσῃ. [4]ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ·
5 ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζήσεται. [5]ὁ δὲ κατοιόμενος κατα-
φρονητής· οὐδὲν μὴ περάνῃ· ὃς ἐπλάτυνεν καθὼς ᾅδης τὴν ψυχὴν

10 om *τυραννοι* Q* (hab Q^{mg}) | *βαλλι* ℵ* (*βαλει* ℵ$^{c.b}$) 11 *μεταβαλλι* ℵAQ ℵ* (*μεταβαλει* ℵ$^{c.b}$) 12 *αρχης*] + *μου* Q | *θεος*] + *μου* A | *αυτο*] *αυτον* AQ | *παιδιαν* ℵ 13 *οφθαλμος*] + *σου* ℵ$^{c.a}$ + *μου* A pr *ο* A | *οδυνης*] *ου δυνηση* ℵ$^{c.b}$AQ* (*οδ.* Q^{mg}) | *ινα*] *εις* A | *επιβλεπης* Q^{a} | *καταπινειν* (*κατιν.* B*)] *καταπιειν* ℵ$^{c.b}$ (rursus *-πινιν*) Q* (*-πινειν* Q^{mg}) 14 *ποιησης* ℵ | *ηχθυς* ℵ* (*ιχθυας* ℵ$^{c.a}$) | om *τα* 2° ℵ$^{*\,c.b\,(vid)}$ (hab ℵ$^{c.a}$) 15 *συντελιαν* ℵ* (*-λειαν* ℵ$^{c.b}$) 16 om *η καρδια αυτου* ℵ^{1} (postea restit) | *θυσει*] *θυμιασει* Q | *τη σαγηνη*] *τω αμφιβληστρω* AQ | *τω αμφιβλ.*] *τη σαγηνη* AQ | om *και τα βρωματα αυτου* Q* (hab Q^{mg}) 17 *αμφιβαλλει* ℵ* (*αμφιβαλει* ℵ$^{c.b?}$) ε[*πιβαλει*] Q$^{a\,vid}$ | *αποκτειν*ειν ℵ$^{*\,c.b}$A *αποκτενει* ℵ$^{c.a\,(vid)}$ II 1 om *και επιβησομαι* Q* (hab Q^{mg}) | *ελεγχον μου*] *ελεγμου* ℵ* (*-γχον μου* ℵ$^{c.a}$) 2 *προς με Κυριος*] *κ̅ς̅ προς με* AQ | om *και* 3° ℵ$^{c.a}$ (postea revoc) | *εις*] *επι* AQ | *ιωκη* ℵ* (*διωκη* ℵ$^{c.a}$) 3 *διοτι*] *οτι* A | *ορασεις* AQ* | *ανατελει*] *απαγγελει* ℵ$^{c.a\,(vid)\,mg\,inf}$ (postea ras) | *εις* 2°] *ες* A | *κενον*] *καινον* A | *υστερησει* ℵA 4 *ευδοκει*] *ευδοκις* ℵ* (*σ* improb et ras ℵ$^{?}$) | *δικαιος*] + *μου* A 5 *καταφρονητης*] pr *και* B^{ab}ℵA pr *ο* Q + *ανηρ αλαζων* B$^{ab\,mg}$ℵAQ | *ουδεν*] *ουθεν* ℵ$^{c.b}$AQ | *αδης*] pr *ο* ℵA

B αὐτοῦ, καὶ οὗτος ὡς θάνατος οὐκ ἐμπιπλάμενος, καὶ ἐπισυνάξει
ἐπ' αὐτὸν πάντα τὰ ἔθνη, καὶ εἰσδέξεται πρὸς αὐτὸν πάντας τοὺς
λαούς. [6] οὐχὶ ταῦτα πάντα παραβολὴν κατ' αὐτοῦ λήμψονται καὶ 6
πρόβλημα εἰς διήγησιν αὐτοῦ; καὶ ἐροῦσιν Οὐαὶ ὁ πληθύνων ἑαυτῷ
τὰ οὐκ ὄντα αὐτοῦ· ἕως τίνος; καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στι-
βαρῶς. [7] ὅτι ἐξαίφνης ἀναστήσονται δάκνοντες αὐτόν, καὶ ἐκνήψουσιν 7
οἱ ἐπίβουλοί σου, καὶ ἔσῃ εἰς διαρπαγὴν αὐτοῖς. [8] διότι ἐσκύλευσας 8
ἔθνη πολλά, σκυλεύσουσιν πάντες οἱ ὑπολελιμμένοι λαοί, δι' αἵματα
ἀνθρώπων καὶ ἀσεβείας γῆς καὶ πόλεως καὶ πάντων τῶν κατοι-
κούντων αὐτήν. [9] Ὦ ὁ πλεονεκτῶν πλεονεξίαν κακὴν τῷ οἴκῳ 9
αὐτοῦ, τοῦ τάξαι εἰς ὕψος νοσσιὰν αὐτοῦ, τοῦ ἐκσπασθῆναι ἐκ χειρὸς
κακῶν· [10] ἐβουλεύσω αἰσχύνην τῷ οἴκῳ σου, συνεπέρανας λαοὺς 10
πολλούς, καὶ ἐξήμαρτεν ἡ ψυχή σου· [11] διότι λίθος ἐκ τοίχου βοή- 11
σεται, καὶ κάνθαρος ἐκ ξύλου φθέγξεται αὐτά. [12] Οὐαὶ ὁ 12
οἰκοδομῶν πόλιν ἐν αἵμασιν, καὶ ἑτοιμάζων πόλιν ἐν ἀδικίαις. [13] οὐ 13
ταῦτά ἐστιν παρὰ Κυρίου Παντοκράτορος; καὶ ἐξέλιπον λαοὶ ἱκανοὶ
ἐν πυρί, καὶ ἔθνη πολλὰ ὠλιγοψύχησαν. [14] ὅτι ἐμπλησθήσεται ἡ γῆ 14
τοῦ γνῶναι τὴν δόξαν Κυρίου, ὡς ὕδωρ κατακαλύψει αὐτούς. [15] Ὦ 15
ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπῇ θολερᾷ, καὶ μεθύσκων, ὅπως
ἐπιβλέπῃ ἐπὶ τὰ σπήλαια αὐτῶν. [16] πλησμονὴν ἀτιμίας ἐκ δόξης πίε 16
καὶ σύ· καρδίᾳ σαλεύθητι καὶ σείσθητι· ἐκύκλωσεν ἐπὶ σὲ ποτήριον
δεξιᾶς Κυρίου, καὶ συνήχθη ἀτιμία ἐπὶ τὴν δόξαν σου. [17] διότι 17
ἀσέβεια τοῦ Λιβάνου καλύψει σε, καὶ ταλαιπωρία θηρίων πτοήσει σε,
διὰ αἵματα ἀνθρώπων καὶ ἀσεβείας γῆς καὶ πόλεως καὶ πάντων τῶν
κατοικούντων αὐτήν. [18] Τί ὠφελεῖ γλυπτόν, ὅτι ἔγλυψαν αὐτό; 18
ἔπλασεν αὐτὸ χώνευμα, φαντασίαν ψευδῆ, ὅτι πέποιθεν ὁ πλάσας

ℵAQ 5 ουτως ℵ* (ουτος ℵ$^{c.a, c.b}$) | ενπιπλαμενος ℵ εμπιμπλ. Q^{a} (εμπιπλ. Q*) | επ] προς AQ 6 ταυτα ταυτα ℵ | λημψεται ℵ* (-ψονται ℵ$^{c.b}$) ληψονται Q^{a} | διηγημασιν Q* (διηγησιν Q^{a}) | εαυτω] αυτω AQ 7 δαγνοντες A 8 διοτι] + συ ℵ$^{c.a}$ (postea ras) AQ | σκυλευσουσιν] σκυλευσῑ ℵ* (-σουσιν ℵ$^{c.a}$) + σε ℵAQ | υπολελειμμενοι B^{ab}Q^{a} | ασεβειας (-βιας ℵ)] ασεβειαν A 9 υψος] οικō ℵ* (υψος ℵ$^{c.a, c.b}$) | εκσπαθ. B εκπασθ. ℵ* (εκσπ. ℵ$^{c.b}$) A 10 σου 2°] νου ℵ* vid (σ sup ras ℵ^{1}) 11 κ ξυλου sup ras B^{ab} υ 1° improb ℵ^{1} (οι rescr) 12 ο οικοδομων] οποικ. ℵ* (π improb ℵ$^{1 fort}$) 13 εξελειπον AQ (εξελιπ. Q^{a}) | ολιγοψυχησαν ℵ 14 οτι] και A | εμπλησθησεται] ενπλησετε ℵ* πλησθησετε ℵ$^{c.a}$ (-ται ℵ$^{c.c}$) ενεπλησθη AQ | γη] pr συμπασα AQ | υδωρ] + πολυ AQ 15 αυτων] αυτου Q 16 ατιμια ℵ* (-μιας ℵ$^{1 (vid) c.a}$) | καρδια σαλευθητι] και διασαλ. ℵ$^{c.b (vid)}$ (postea καρδ. σαλ. revoc) om A | εκυκλωσαν ℵ* (-σεν ℵ$^{c.a, c.b}$) 16—17 om συνηχθη...διοτι ℵ* (hab ℵ$^{c.a}$) 17 ασεβεια] ασεβιαν ℵ* (-βια ℵ$^{?}$) | δια] δι ℵ$^{c.a, c.b}$ | ασεβειας (-βιας ℵ)] ασεβειαν A | om και 3° Q* (hab Q^{a}) | αυτην] αυτων A 18 επλασαν ℵ$^{c.b}$Q | αυτο 2°] το ℵ$^{c.b}$ (postea αυτο)

19 ἐπὶ τὸ πλάσμα αὐτοῦ τοῦ ποιῆσαι εἴδωλα κωφά. [19]οὐαὶ ὁ λέγων B
τῷ ξύλῳ Ἔκνηψον ἐξεγέρθητι, καὶ τῷ λίθῳ Ὑψώθητι· καὶ αὐτό ἐστιν
φαντασία, τοῦτο δέ ἐστιν ἔλασμα χρυσίου καὶ ἀργυρίου, καὶ πᾶν
20 πνεῦμα οὐκ ἔστιν ἐν αὐτῷ. [20]ὁ δὲ κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ·
εὐλαβείσθω ἀπὸ προσώπου πᾶσα ἡ γῆ.

III Προσευχὴ Ἀμβακοὺμ τοῦ προφήτου μετὰ ᾠδῆς.

2 [2]Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην·
κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην.
ἐν μέσῳ δύο ζῴων γνωσθήσῃ,
ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ·
ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ·
ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ.
3 [3]ὁ θεὸς ἐκ Θαιμὰν ἥξει,
καὶ ὁ ἅγιος ἐξ ὄρους Φαρὰν κατασκίου δασέος. διάψαλμα.
ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ,
καὶ αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.
4 [4]καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται·
κέρατα ἐν χερσὶν αὐτοῦ,
καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ.
5 [5]πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος,
καὶ ἐξελεύσεται εἰς πεδία κατὰ πόδας αὐτοῦ.
6 [6]ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ·
ἐπέβλεψεν, καὶ διετάκη ἔθνη·
διεθρύβη τὰ ὄρη βίᾳ,
ἐτάκησαν βουνοὶ αἰώνιοι πορείας αἰωνίας αὐτοῦ.
7 [7]ἀντὶ κόπων εἶδον σκηνώματα Αἰθιόπων·
πτοηθήσονται καὶ αἱ σκηναὶ γῆς Μαδιάμ.
8 [8]μὴ ἐν ποταμοῖς ὠργίσθης, Κύριε;
ἢ ἐν ποταμοῖς ὁ θυμός σου;

19 οι λεγοντες ℵ* (ο λεγων ℵ$^{\text{c.b}}$) | τω ξυλω] om τω Q$^{*\,\text{vid}}$ (hab Q$^{\text{a}}$) | om ℵAQ και 1° ℵ$^{\text{c.b}}$ | φαντασια] φαντασμα Q* (-σια Q$^{\text{mg}}$) | om παν Q* (hab Q$^{\text{mg}}$) **20** προσωπου] + αυτου ℵAQ III tit μετα] μετ A **2** κατενοησα] pr κ̅ε̅ ℵ **3** εκ] απο ℵ$^{\text{c.a, c.b}}$ | Θεμαν ℵ | om Φαραν ℵ$^{\text{c.a, c.b}}$ | δασεως ℵAQ* (-σεος Q$^{\text{a}}$) | διαψαλμα non inst B$^{\text{b}}$: item infra **5** εξελευσονται Q$^{\text{a}}$ | εις πεδια] εις πεδιαν ℵ$^{\text{c.a}}$ εν πεδιλοις AQ (εν πεδειλ.) | κατα ποδας] οι ποδες AQ **6** η γη] om η ℵ* (hab ℵ$^{\text{1 (vid) c.a}}$) | διετακη] ετακη ℵ* (διετ. ℵ$^{\text{c.b}}$) | διεθρυβη] pr και A$^{\text{a?}}$Q | βιαν ℵ* | ποριας ℵ$^{\text{c.a}}$Q* (-ρειας Q$^{\text{a}}$) | αιωνιους A **7** αντι] + δε ℵ$^{\text{c.a (vid)}}$ (postea ras) | ειδον] ιδο̄ Q | Εθιοπων ℵ* (Αιθ. ℵ$^{\text{c.a, c.b}}$) | αι σκηναι] om αι ℵ | Μαδιαν ℵ* (-αμ ℵ$^{\text{c.a}}$) **8** οργισθης AQ

B ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου;
ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου,
καὶ ἡ ἱππασία σου σωτηρία.
9 ἐντείνων ἐνέτεινας τόξον σου ἐπὶ σκῆπτρα, λέγει Κύριος. 9
διάψαλμα.
ποταμῶν ῥαγήσεται γῆ,
10 ὄψονταί σε καὶ ὠδινήσουσιν λαοί. 10
σκορπίζων ὕδατα πορείας·
ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς,
ὕψος φαντασίας αὐτῆς.
11 ἐπήρθη (11) ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς· 11
εἰς φῶς βολίδες σου πορεύσονται,
εἰς φέγγος ἀστραπῆς ὅπλων σου.
12 ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, 12
καὶ ἐν θυμῷ κατάξεις ἔθνη.
13 ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, 13
τοῦ σῶσαι τὸν χριστόν σου·
βαλεῖς εἰς κεφαλὰς ἀνόμων θάνατον,
ἐξήγειρας δεσμοὺς ἕως τραχήλου. διάψαλμα.
14 διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν, 14
σεισθήσονται ἐν αὐτῇ·
διανοίξουσιν χαλινοὺς αὐτῶν ὡς ἔσθων πτωχὸς λάθρα.
15 καὶ ἐπιβιβᾷς εἰς θάλασσαν τοὺς ἵππους σου 15
ταράσσοντας ὕδωρ πολύ.
16 ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ κοιλία μου 16
ἀπὸ φωνῆς προσευχῆς χειλέων μου,
καὶ εἰσῆλθεν τρόμος εἰς τὰ ὀστᾶ μου,
καὶ ὑποκάτωθέν μου ἐταράχθη ἡ ἕξις μου.

ℵAQ 8 om η εν θαλ. το ορμ. σου ℵ* (hab ℵ$^{c.a}$) | επι] επ ℵ | ιππουσου ℵ | η ιππασια] ιππασιας ℵ* pr η ℵ$^{c.a}$ 9 ενετεινας] εντενεις ℵ$^{c.a, c.b}$AQ | τοξον] pr το ℵ$^{c.a}$AQ | σκηπτρα] σκηπτα ℵ* (-τρα ℵ$^{c.b}$) pr τα AQ | λεγει] ειπεν Q | ποταμω ℵ$^{c.a}$ (postea -μων) 10 ωδινησουσι Q^{a} | πορειας (-ριας ℵ)] + αυτου AQ 11 τη ταξει] om τη ℵ* (hab ℵ$^{c.a, c.b}$) | εις 1°] ες ℵ* (εις ℵ$^{c.a, c.b}$) | οπλον ℵ* (οπλων ℵ$^{c.a, c.b}$) 12 απειλη] + σου AQ^{mg} | ολιγωσεις ℵ* (-σεις ℵ$^{c.a}$) ωλιγωσεις A | θυμω] + σου AQ^{mg} | καταρξεις Q* (καταξ. Q^{mg}) 13 τον χριστον] τους χριστους ℵ$^{c.c (vid)}$AQ | βαλεις] εβαλας ℵ$^{c.a, c.b}$A εβαλες Q | δεσμους] + σου Q | διαψαλμα] om Q pr εις τελος ℵ$^{c.a}$ 14 διεκοψας] διεκοπας ℵ* (-ψας ℵ$^{c.a}$) διεκοψεν Q* (-ψας Q^{a}) | εσθιων ℵ$^{c.a}$ (postea εσθων) 15 επιβιβας] επεβιβασας ℵ$^{c.a}$AQ | υδωρ πολυ] υδατα πολλα ℵ$^{c.b}$ 16 κοιλια] καρδια ℵ$^{c.a, c.b}$ | απο] pr ϗ ℵ$^{c.a, c.b}$ | εις 1°] ις sup ras B? | om και 3° ℵ$^{c.a, c.b}$ | τρομος] + με ℵ$^{c.a, c.c}$ (ras ℵ$^{c.b}$) | εξις] ισχυς ℵ$^{c.b}$

ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεως B
τοῦ ἀναβῆναι εἰς λαὸν παροικίας μου.
17 [17]διότι συκῆ οὐ καρποφορήσει,
καὶ οὐκ ἔσται γενήματα ἐν ταῖς ἀμπέλοις·
ψεύσεται ἔργον ἐλαίας,
καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν·
ἐξέλιπεν ἀπὸ βρώσεως πρόβατα,
καὶ οὐχ ὑπάρχουσιν βόες ἐπὶ φάτναις.
18 [18]ἐγὼ δὲ ἐν τῷ κυρίῳ ἀγαλλιάσομαι,
χαρήσομαι ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου.
19 [19]Κύριος ὁ θεὸς δύναμίς μου,
καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν·
ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με
τοῦ νικῆσαι ἐν τῇ ᾠδῇ αὐτοῦ.

16 εις 2°] ει ℵ* (εις ℵ$^{1\,c.a}$) 17 ταις αμπ.] τοις αμπ. ℵ* (ταις αμπ. ℵAQ ℵ$^{c.b}$) | εξελιπεν] εξελιπον ℵ$^{c.a}$ (-πεν ℵ$^{c.b}$) εξελειπον AQ$^{*\,vid}$ (-λιπ. Q^{a}) | om και 3° ℵ$^{?}$ (postea revoc) | βοες επι φατναις] επι φατνης βοες Q | φατναις] + εξιλασεως αυτων A + εξ ιασεως αυτων Q* εξ ιλ. αυτ. Q^{a} 18 εν] επι AQ | αγαλιασομαι ℵ* (αγαλλ. ℵ$^{c.b}$) 19 θεος] + μου ℵ$^{c.a}$ (postea ras) | συντελιαν ℵ* (-λειαν ℵ$^{c.b}$) | επι] pr ϛ ℵ$^{c.a}$ (postea ras) | νικησαι] + με ℵ$^{c.a}$ (improb ℵ$^{c.b}$) A | ωδη] οδω ℵ* (ωδ. ℵ$^{c.b}$)

Subscr Αμβακουμ η BℵAQ

ΣΟΦΟΝΙΑΣ

B ΛΟΓΟΣ Κυρίου ὃς ἐγενήθη πρὸς Σοφονίαν τὸν τοῦ Χουσεὶ υἱὸν 1 I
Γοδολίου τοῦ Ἀμορίου τοῦ Ἑζεκίου ἐν ἡμέραις Ἰωσείου υἱοῦ Ἀμὼν
βασιλέως Ἰούδα.

[2]Ἐκλείψει ἐκλιπέτω ἀπὸ προσώπου τῆς γῆς, λέγει Κύριος· 2
[3]ἐκλιπέτω ἄνθρωπος καὶ κτήνη, ἐκλιπέτω τὰ πετεινὰ τοῦ οὐρανοῦ 3
καὶ οἱ ἰχθύες τῆς θαλάσσης· καὶ ἀσθενήσουσιν οἱ ἀσεβεῖς, καὶ ἐξαρῶ
τοὺς ἀνόμους ἀπὸ προσώπου τῆς γῆς, λέγει Κύριος. [4]καὶ ἐκτενῶ 4
τὴν χεῖρά μου ἐπὶ Ἰούδαν καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας Ἰερου-
σαλήμ· καὶ ἐξαρῶ ἐκ τοῦ τόπου τούτου τὰ ὀνόματα τῆς Βάαλ καὶ τὰ
ὀνόματα τῶν ἱερέων, [5]καὶ τοὺς προσκυνοῦντας ἐπὶ τὰ δώματα τῇ 5
στρατιᾷ τοῦ οὐρανοῦ, καὶ τοὺς προσκυνοῦντας καὶ τοὺς ὀμνύοντας
κατὰ τοῦ κυρίου, καὶ τοὺς ὀμνύοντας κατὰ τοῦ βασιλέως αὐτῶν, [6]καὶ 6
τοὺς ἐκκλίνοντας ἀπὸ τοῦ κυρίου, καὶ τοὺς μὴ ζητοῦντας τὸν κύριον,
καὶ τοὺς μὴ ἀντεχομένους τοῦ κυρίου.

[7]Εὐλαβεῖσθε ἀπὸ προσώπου Κυρίου τοῦ θεοῦ, διότι ἐγγὺς ἡμέρα 7
τοῦ κυρίου, ὅτι ἡτοίμακεν Κύριος τὴν θυσίαν αὐτοῦ, ἡγίακεν τοὺς

ℵAQ Inscr Σοφονιας θ BℵAQ I 1 Χουσι ℵ* (-σει ℵ$^{c.b}$) Q | Αμοριου] Αμμορεου ℵ* (-ριου ℵ$^{c.b (vid)}$) Αμαριου ℵ$^{c.c (vid)}$ Q Αμορειου A | Ιωσιου B^{b}ℵ$^{c.a, c.b}$AQ Ιουσιου ℵ* | Αμων] Αμως B$^{a?b}$AQ Αμμω̄ ℵ 2 εκλιπετω] εκλιψετω ℵ* (εκλιπετω παντα ℵ$^{c.a}$) εκλιπετωσαν ℵ$^{c.b}$ εκλειπετω AQ 3 εκλιπετω 1°] εκλιψετω ℵ* (εκλιπ. ℵ$^{c.a, c.b}$) εκλειπετω AQ | εκλιπετω 2°] εκλιψετω ℵ* (εκλιπ. ℵ$^{c.a, c.b}$) Q εκλειπετωσαν A | ασεβεις] βασιλεις ℵ* (ασ. sup ras ℵ^{1}) | ανομους] ο 1° sup ras A^{a} 4 χειραν B* | om μου ℵ*$^{c.a}$ (hab ℵ$^{c.b}$) | Ιουδα A 5 δωματα] ιδωλα ℵ | τη στρατια] της στρατια ℵ τη στρατεια AQ | om και τους προσκυνουντας (2°)... του κυριου A | om και τους προσκ. (2°) Q | om και 3° ℵ | κατα 1°] κατα τα ℵ* (improb τα 2° ℵ$^{1 c.b}$) | om κυριου (hab Q$^{1 (mg?)}$) και τους ομν. κατα του Q* | βασιλεως] pr κ̅υ̅ ℵ$^{c.a}$ (postea ras) Q$^{a (mg)}$ Μολοχ Q^{mg} | αυτων] αυτου ℵ$^{1 (vid)}$ 6 του κυριου (1°)] om του Q | ζητησαντας AQ | om μη 2° Q 7 Κυριου] pr του ℵ* (om του ℵ$^{c.a}$ postea revoc) | ημερα] pr η ℵAQ | του κυριου] om του Q* (hab Q^{mg}) | ητοιμασεν ℵAQ | ηγιασεν A

8 κλητοὺς αὐτοῦ. [8]καὶ ἔσται ἐν ἡμέρᾳ θυσίας Κυρίου καὶ ἐκδικήσω B
ἐπὶ τοὺς ἄρχοντας καὶ ἐπὶ τὸν οἶκον τοῦ βασιλέως καὶ ἐπὶ πάντας
9 τοὺς ἐνδεδυμένους ἐνδύματα ἀλλότρια· [9]καὶ ἐκδικήσω ἐμφανῶς ἐπὶ
τὰ πρόπυλα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τοὺς πληροῦντας τὸν οἶκον Κυρίου
10 θεοῦ αὐτῶν ἀσεβείας καὶ δόλου. [10]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,
λέγει Κύριος, φωνὴ κραυγῆς ἀπὸ πύλης ἀποκεντούντων, καὶ ὀλο-
λυγμὸς ἀπὸ τῆς δευτέρας, καὶ συντριμμὸς μέγας ἀπὸ τῶν βουνῶν.
11 [11]θρηνήσατε, οἱ κατοικοῦντες τὴν κατακεκομμένην, ὅτι ὡμοιώθη πᾶς
12 ὁ λαὸς Χανάαν, ἐξωλεθρεύθησαν πάντες οἱ ἐπηρμένοι ἀργυρίῳ. [12]καὶ
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξερευνήσω τὴν Ἰερουσαλὴμ μετὰ λύχνου,
καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄνδρας τοὺς καταφρονοῦντας ἐπὶ τὰ φυ-
λάγματα αὐτῶν· οἱ δὲ λέγοντες ἐν ταῖς καρδίαις αὐτῶν Οὐ μὴ ἀγα-
13 θοποιήσῃ Κύριος οὐδὲ μὴ κακώσῃ, [13]καὶ ἔσται ἡ δύναμις αὐτῶν εἰς
διαρπαγήν, καὶ οἱ οἶκοι αὐτῶν εἰς ἀφανισμόν· καὶ οἰκοδομήσουσιν
οἰκίας καὶ οὐ μὴ κατοικήσουσιν ἐν αὐταῖς, καὶ καταφυτεύσουσιν
14 ἀμπελῶνας καὶ οὐ μὴ πίωσιν τὸν οἶνον αὐτῶν. [14]Ὅτι ἐγγὺς
ἡμέρα Κυρίου ἡ μεγάλη, ἐγγὺς καὶ ταχεῖα σφόδρα· φωνὴ ἡμέρας
15 Κυρίου πικρὰ καὶ σκληρὰ τέτακται, δυνατή. [15]ἡμέρα ὀργῆς, ἡ ἡμέρα
ἐκείνη, ἡμέρα θλίψεως καὶ ἀνάγκης, ἡμέρα ἀωρίας καὶ ἀφανισμοῦ,
16 ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα νεφέλης καὶ ὁμίχλης, [16]ἡμέρα
σάλπιγγος καὶ κραυγῆς ἐπὶ τὰς πόλεις τὰς ὀχυρὰς καὶ ἐπὶ τὰς
17 γωνίας τὰς ὑψηλάς. [17]καὶ ἐκθλίψω τοὺς ἀνθρώπους, καὶ πορεύ-
σονται ὡς τυφλοί, ὅτι τῷ κυρίῳ ἐξήμαρτον· καὶ ἐκχεεῖ τὸ αἷμα αὐ-
18 τῶν ὡς χοῦν, καὶ τὰς σάρκας αὐτῶν ὡς βόλβιτα· [18]καὶ τὸ ἀργύριον
αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν οὐ μὴ δύνηται ἐξελέσθαι αὐτοὺς ἐν
ἡμέρᾳ ὀργῆς Κυρίου. καὶ ἐν πυρὶ ζήλους αὐτοῦ καταναλωθήσεται
πᾶσα ἡ γῆ, διότι συντέλειαν καὶ σπουδὴν ποιήσει ἐπὶ πάντας τοὺς
κατοικοῦντας τὴν γῆν.

9 εκδικησω]+επι παντας ℵAQ | προπυλα ℵ* c.b] προπυλαια ℵ[c.a] | om ℵAQ θεου ℵ[c.b] pr του AQ | ασεβειας (-βιας ℵ)] ανομιας A | δολους ℵ* (δολου ℵ[1 (vid)]) 10 εκειvη τη ημερα ℵ[c.a] (mox τη ημ. εκ. restit) AQ | κραυης ℵ* (-γης ℵ[c.a]): item 16 | om και 2° A 11 θνηψησατε ℵ* (θρην. ℵ[c.a, c.b]) | ομοιωθη ℵ 12 εκειvη τη ημερα AQ | om δε ℵAQ | om εν ταις καρδιαις αυτων A | αγαθοποιησει ℵ (-σι) Q* (-ση Q[a]) | ουδε] ουδ ου AQ | κακωσει ℵQ* (-ση Q[a]) 13 οι] ο Q* (οι Q[a]) | καταφυτευσωσιν AQ* (-σουσιν Q[a]) | πιωσι Q[a] 14 ημερα] pr η ℵAQ[a] | μεγαλα A* vid | σκηρα ℵ* (σκλ. ℵ[c.a]) | δυνατη ℵ* (δυν. ℵ[c.a]) 15 om ημερα θλιψεως και αναγκης A | αωριας] ταλαιπωριας ℵ[c.b] 16 τας πολεις] τας πολις ℵ* (-λεις ℵ[c.b]) om τας Q* vid (hab Q[a]) | οχυρας] ισχυρας A | om και 2° A 18 δυνηται] δυνωνται ℵ* (-νηται ℵ[c.b]) | εξελεσθαι] pro σ incep vid ξ A* | και 3°] οτι Q | ζηλου Q | αυτου] αυτους A* (-του A[a?]) | συντελιαν ℵ* (-λειαν ℵ[c.b]) | τους κατοικ.] του κατοικ. ℵ* (τους ℵ[c.b] nisi iam antea)

B [1]Συνάχθητε καὶ συνδέθητε, τὸ ἔθνος τὸ ἀπαίδευτον, [2]πρὸ τοῦ γε- 1 2 II
νέσθαι ὑμᾶς ὡς ἄνθος παραπορευόμενον, πρὸ τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς
ὀργὴν κυρίου, πρὸ τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς ἡμέραν θυμοῦ κυρίου.
[3]ζητήσατε τὸν κύριον, πάντες ταπεινοὶ γῆς· κρίμα ἐργάζεσθε καὶ 3
δικαιοσύνην ζητήσατε, καὶ ἀποκρίνεσθε αὐτά, ὅπως σκεπασθῆτε ἐν
ἡμέρᾳ ὀργῆς κυρίου. [4]Διότι Γάζα διηρπασμένη ἔσται, καὶ 4
Ἀσκάλων εἰς ἀφανισμόν, καὶ Ἄζωτος μεσημβρίας ἐκριφήσεται, καὶ
Ἀκκαρὼν ἐκριζωθήσεται. [5]οὐαὶ οἱ κατοικοῦντες τὸ σχοίνισμα τῆς 5
θαλάσσης, πάροικοι Κρητῶν· λόγος κυρίου ἐφ' ὑμᾶς Χανααν, γῆ
ἀλλοφύλων, καὶ ἀπολῶ ὑμᾶς ἐκ κατοικίας· [6]καὶ ἔσται Κρήτη νομὴ 6
ποιμνίων καὶ μάνδρα προβάτων, [7]καὶ ἔσται τὸ σχοίνισμα τῆς θα- 7
λάσσης τοῖς καταλοίποις οἴκου Ἰουδα· ἐπ' αὐτοὺς νεμήσονται ἐν τοῖς
οἴκοις Ἀσκάλωνος, δείλης καταλύσουσιν ἀπὸ προσώπου υἱῶν Ἰουδα,
ὅτι ἐπέσκεπται αὐτοὺς κύριος ὁ θεὸς αὐτῶν, καὶ ἀπέστρεψε τὴν
αἰχμαλωσίαν αὐτῶν. [8]Ἤκουσα ὀνειδισμοὺς Μωαβ καὶ κονδυ- 8
λισμοὺς υἱῶν Αμμων, ἐν οἷς ὠνείδιζον τὸν λαόν μου καὶ ἐμεγα-
λύνοντο ἐπὶ τὰ ὅριά μου. [9]διὰ τοῦτο ζῶ ἐγώ, λέγει κύριος τῶν 9
δυνάμεων ὁ θεὸς Ισραηλ, διότι Μωαβ ὡς Σοδομα ἔσται, καὶ υἱοὶ
Αμμων ὡς Γομορρα, καὶ Δαμασκὸς ἐκλελιμμένη ὡς θιμωνιὰ ἅλωνος
καὶ ἠφανισμένη εἰς τὸν αἰῶνα· καὶ οἱ κατάλοιποι λαοῦ μου διαρ-
πῶνται αὐτούς, καὶ οἱ κατάλοιποι ἔθνους μου κληρονομήσουσιν αὐ-
τούς. [10]αὕτη αὐτοῖς ἀντὶ τῆς ὕβρεως αὐτῶν, διότι ὠνείδισαν καὶ 10
ἐμεγαλύνθησαν ἐπὶ τὸν κύριον τὸν παντοκράτορα. [11]ἐπιφανήσεται 11
§ Γ κύριος ἐπ' αὐτούς, καὶ ἐξολεθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν
τῆς γῆς, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ,
πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν. [12]Καὶ ὑμεῖς, Αἰθίοπες, τραυματίαι 12
ῥομφαίας μού ἐστε· [13]καὶ ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ βορρᾶν καὶ 13

ℵAQΓ II 1 συνδεηθητε ℵ[c.a] (rursus συνδεθ.) 2 om προ του επ. εφ υμ. οργην Κυριου ℵ[c.b] 3 σκεπασθητε] εκσπασθητε Q 4 εις αφαν.] pr εσται AQ | εκριφησεται] εκριζωθησεται A | εκριζωθησεται] εκριφησεται A 5 εφ] προς A 7 επ] εξ ℵ* (επ ℵ[c.a, c.b]) | αυτους 1°] αυτου ℵ[1] (-τους ℵ* c.a (vid)) AQ* (-τους Q[mg]) | νομησονται ℵ* (νεμ. ℵ[1]) | Ιουδα 2°] pr υ ℵ* (improb ℵ[1] postea ras) | απεστρεψε (-ψεν ℵ[c.b]AQ*)] επεστρεψε ℵ* (-ψεν ℵ[c.a]) 8 Αμμως ℵ* (Αμμων ℵ[c.a, c.b]) | ονιδειζον Q* (ονειδ. Q[a]) 9 διοτι] οτι ℵ* (διοτι ℵ[c.a] postea οτι) | υιοι (incep υια ℵ* υιοι ℵ[1])] pr οι ℵAQ | εκλελειμμενη B[a?b]Q[a] | αιωναν ℵ* | καταλοιπου (1°) A | λαου] pr του A 10 παντοκρατοραν ℵ* (-ρα ℵ[c.a]) 11 επιφανησεται] επιφανης εσται ℵ* (-στε) A (-σετε ℵ[c.a] -σεται ℵ[c.b] postea εσται revoc) | αυτω] αυτου ℵ* (-τω ℵ[1 c.a, c.b]) | αυτου] αυτων A 13 εκτενει] εκτενω ℵ[c.b] (postea -νι) AQΓ | αυτου] μου ℵ[c.b] (postea αυτου) AQΓ

ἀπολεῖ τὸν Ἀσσύριον, καὶ θήσει τὴν Νινευὴ εἰς ἀφανισμὸν ἄνυδρον B
14 ὡς ἔρημον· [14]καὶ νεμήσονται ἐν μέσῳ αὐτῆς ποίμνια καὶ πάντα τὰ
θηρία τῆς γῆς, καὶ χαμαιλέοντες καὶ ἐχῖνοι ἐν τοῖς φατνώμασιν αὐτῆς
κοιτασθήσονται, καὶ θηρία φωνήσει ἐν τοῖς διορύγμασιν αὐτῆς, κόρακες
ἐν τοῖς πυλῶσιν αὐτῆς, διότι κέδρος τὸ ἀνάστημα αὐτῆς.
III 1 (15) [1]Αὕτη ἡ πόλις ἡ φαυλίστρια, ἡ κατοικοῦσα ἐπ' ἐλπίδι, ἡ
λέγουσα ἐν καρδίᾳ αὐτῆς Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν μετ' ἐμὲ ἔτι.
πῶς ἐγενήθη εἰς ἀφανισμόν, νομὴ θηρίων· πᾶς ὁ διαπορευόμενος
2 (1) δι' αὐτῆς συριεῖ καὶ κινήσει τὰς χεῖρας αὐτοῦ. [2]ὢ ἡ ἐπιφανὴς
(2) καὶ ἀπολελυτρωμένη πόλις, ἡ περιστερά· (2)οὐκ εἰσήκουσεν φωνῆς,
οὐκ ἐδέξατο παιδίαν, ἐπὶ τῷ κυρίῳ οὐκ ἐπεποίθει, καὶ πρὸς τὸν
3 θεὸν αὐτῆς οὐκ ἤγγισεν. [3]οἱ ἄρχοντες αὐτῆς ἐν αὐτῇ ὡς λέοντες
ὠρυόμενοι· οἱ κριταὶ αὐτῆς ὡς λύκοι τῆς Ἀραβίας, οὐχ ὑπελίποντο
4 εἰς τὸ πρωί· [4]οἱ προφῆται αὐτῆς πνευματοφόροι, ἄνδρες καταφρο-
5 νηταί· οἱ ἱερεῖς αὐτῆς βεβηλοῦσιν τὰ ἅγια καὶ ἀσεβοῦσιν νόμον. [5]ὁ
δὲ κύριος δίκαιος ἐν μέσῳ αὐτῆς καὶ οὐ μὴ ποιήσῃ ἄδικον· πρωὶ
πρωὶ δώσει κρίμα αὐτοῦ εἰς φῶς, καὶ οὐκ ἀπεκρύβη καὶ οὐκ ἔγνω
6 ἀδικίαν ἐν ἀπαιτήσει, καὶ οὐκ εἰς νῖκος ἀδικίαν. [6]ἐν διαφθορᾷ
κατέσπασα ὑπερηφάνους, ἠφανίσθησαν γωνίαι αὐτῶν· ἐξερημώσω
τὰς ὁδοὺς αὐτῶν τὸ παράπαν τοῦ μὴ διοδεύειν· ἐξέλιπον αἱ πόλεις
7 αὐτῶν παρὰ τὸ μηδένα ὑπάρχειν μηδὲ κατοικεῖν. [7]εἶπα Πλὴν φο-
βεῖσθέ με καὶ δέξασθε παιδείαν, καὶ οὐ μὴ ἐξολοθρευθῆτε ἐξ ὀφθαλ-
μῶν αὐτῆς, πάντα ὅσα ἐξεδίκησα ἐπ' αὐτήν· ἑτοιμάζου ὄρθρισον,
ἔφθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν.

13 απολει] απολω ℵ$^{c.b}$ (postea -λι) QΓ | θησει] θησω ℵ$^{c.b}$ (postea -σι) Γ | ℵAQΓ
Νινευην ℵ* | αφανσμō ℵ 14 νεμησονται] νεμηθησονται Γ | χαμαλεοντες ℵ* (χαμαιλ. ℵ$^{c.a}$ χαμελ. ℵ$^{c.b(vid)}$) | εχιδνοι Q* (εχινοι Q^{a}) | φατμωμασιν B* (φατν. B^{b}) | κοιτασσθησονται ℵ* | διωρυγμασιν ℵ | om κορακες εν τοις πυλ. αυτης ℵ* (hab ℵ$^{c.a}$) | αναστημα (-στεμα AQ^{a}Γ*)] ανταλλαγμα Q* III 1 επ] εν Q* (superscr π Q$^{a\,vid}$) | εστι Q^{a} | διαπορευομενος] παραπορ. AΓ πορ. Q | δι] δια ℵ | κινησει] seq ras pl litt in A 2 απολελυτρωμενη] λελυτρ. ℵ$^{?}$ (postea απολ.) | εισηκουσε Q^{a} | παιδιαν (-δειαν B$^{a?b}$QΓ)] παιδιας ℵ* (-διαν ℵ$^{c.a,c.b}$) | επεποιθει] επεποθει ℵ* (-ποιθ. ℵ$^{c.b}$) επεποιθησεν AQΓ | ηγγικεν Q 3 λεοντες] incep λο ℵ* (λε. ℵ$^{1?c.b}$) | Αραβειας A | υπελιποντο (-λειπ. AQΓ)] επελιφθησαν (sic) ℵ* (υπελιπ. ℵ$^{c.a(vid),c.b}$) 4 αυτης 2°] αυτων Γ | βεβηλουσι Q^{a} | om τα αγια και ασεβ. ℵ* (hab ℵ$^{c.a}$) | ασεβουσι Q^{a} 5 ποιησει Γ* (-ση Γ^{a}) | κριμα] pr το AQΓ | om εις φως...εν απαιτησει AQ | ενω ℵ* (εγν. ℵ$^{1(vid)c.a,c.b}$) | νεικος B^{ab} 6 διαφθορα] καταφθορα ℵ* (διαφθ. ℵ$^{c.b}$ postea καταφθ.) | αυτων 2°] αυτου Q* (-των Q^{a}) | εξελειπον AQ* (-λιπον Q^{a}Γ^{a}) Γ* | πολις B*ℵ* (-λεις B^{ab}ℵ$^{c.b}$) | παρα] δια ℵ$^{c.b}$AΓ 7 πειδιαν ℵ* πεδ. ℵ^{1} παιδ. ℵ$^{c.a}$A | εξολεθρευθηται ℵ* εξολεθρευθη ℵ$^{c.b}$ εξολεθρευθητε AQΓ | παντα] pr δια Q$^{b?}$ | εξεδικησα] εκδικησα A | ετοιμαζου] ετοιμαζωνου ℵ* (-ζου ℵ$^{1\,c.a,c.b}$) | εφθαρται] διεφθαρται ℵ$^{c.a}$AQ | επιφυλις Γ*

B [8]Διὰ τοῦτο ὑπόμεινόν με, λέγει Κύριος, εἰς ἡμέραν ἀναστάσεώς 8
μου εἰς μαρτύριον· διότι τὸ κρίμα μου εἰς συναγωγὰς ἐθνῶν, τοῦ
εἰσδέξασθαι βασιλεῖς, τοῦ ἐκχέαι ἐπ᾽ αὐτοὺς πᾶσαν ὀργὴν θυμοῦ
μου· διότι ἐν πυρὶ ζήλους μου καταναλωθήσεται πᾶσα ἡ γῆ. [9]ὅτι 9
τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰν αὐτῆς, τοῦ ἐπικα-
¶ Γ λεῖσθαι πάντας¶ τὸ ὄνομα Κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν
ἕνα. [10]ἐκ περάτων ποταμῶν Αἰθιοπίας προσδέξομαι ἐν διεσπαρ- 10
μένοις μου, οἴσουσιν θυσίας μοι. [11]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐ μὴ καται- 11
σχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου ὧν ἠσέβησας εἰς ἐμέ·
ὅτι τότε περιελῶ ἀπὸ σοῦ τὰ φαυλίσματα τῆς ὕβρεώς σου, καὶ
οὐκέτι μὴ προσθῇς τοῦ μεγαλαυχῆσαι ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου.
[12]καὶ ὑπολείψομαι ἐν σοὶ λαὸν πρᾳὺν καὶ ταπεινόν, καὶ εὐλαβηθή- 12
σονται ἀπὸ τοῦ ὀνόματος Κυρίου [13]οἱ κατάλοιποι τοῦ Ἰσραήλ, καὶ 13
οὐ ποιήσουσιν ἀδικίαν καὶ οὐ λαλήσουσιν μάταια, καὶ οὐ μὴ εὑρεθῇ
ἐν τῷ στόματι αὐτῶν γλῶσσα δολία· διότι αὐτοὶ νεμήσονται καὶ κοι-
τασθήσονται, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς. [14]Χαῖρε, θύ- 14
γατερ Σειών, κήρυσσε, θύγατερ Ἰερουσαλήμ· εὐφραίνου καὶ κατα-
τέρπου ἐξ ὅλης τῆς καρδίας σου, θύγατερ Ἰερουσαλήμ. [15]περιεῖλεν 15
Κύριος τὰ ἀδικήματά σου, λελύτρωταί σε ἐκ χειρὸς ἐχθρῶν σου·
βασιλεὺς Ἰσραὴλ Κύριος ἐν μέσῳ σου, οὐκ ὄψῃ κακὰ οὐκέτι. [16]ἐν 16
τῷ καιρῷ ἐκείνῳ ἐρεῖ Κύριος τῇ Ἰερουσαλὴμ Θάρσει, Σειών, μὴ πα-
ρείσθωσαν αἱ χεῖρές σου. [17]Κύριος ὁ θεός σου ἐν σοί, ὁ δυνατὸς 17
σώσει σε, ἐπάξει ἐπὶ σὲ εὐφροσύνην καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει
αὐτοῦ, καὶ εὐφρανθήσεται ἐπὶ σὲ ἐν τέρψει ὡς ἐν ἡμέρᾳ ἑορτῆς.
[18]καὶ συνάξω τοὺς συντετριμμένους· οὐαί, τίς ἔλαβεν ἐπ᾽ αὐτὴν ὀνει- 18

ℵAQΓ 8 πασαν] pr vid την οργην μου ℵ$^{c.b (vid)}$ (postea ras) | διοτι 2°] οτι A | ζηλους] του ζηλου B^{ab}A ζηλου ℵΓ 9 μεταστρψω (sic) ℵ (ω rescr ℵ^{1}) | γλωσαν ℵ* (-σσαν ℵ$^{c.a}$) | γενεαν αυτης] γενεας αυτων A | παν|... Γ | ζυγιον Q* (-γον Q^{a}) 10 Εθιωπιας ℵ* (Αιθ. ℵ$^{c.a, c.b}$) | προσδεξομαι]+τους ικετευοντας με των εσπαρμενων ℵ$^{c.a (vid)}$ (postea ras) | om προσδεξομαι εν διεσπ. μου AQ | διεσπασμενοις ℵ* (διεσπαρσμ. [sic] ℵ$^{c.a}$) | οισουσι Q^{a} | μοι] μου incep ℵ* (μοι ℵ$^{1 \text{ et postea}}$) 11 επιτηδευματων] βδελυγματων Q 12 υπολειψομαι] υπολιψωμαι ℵ* (-ψομαι ℵ$^{c.b}$) | πραυν] πολυν A | Κυριου] pr του A 13 και ου (2°)] ουδε μη AQ | λαλησουσι AQ^{a} | τω στοματι] om τω A | ααυτων (sic) A | νεμησονται] νομ incep ℵ* (νεμ. ℵ^{1}) 14 θυγατερ] θυγατηρ ℵ* (-τερ ℵ$^{c.b}$) ter: item Q (1° et 2°) | Σιων B^{b}ℵAQ^{a}: item 16 | κατατερπου] τερπου ℵ* (κατατ. ℵ$^{c.a, c.b}$) 15 περιειλε Q^{a} | λελυτρωται σε] λελυτρωσε ℵ* (-ται σε ℵ$^{c.a}$) | βασιλευς Ισραηλ] βασιλευσει ℵ$^{c.a (vid), c.b}$A | Κυριος 2°] pr ο AQ | ουκ] pr και A 16 παρησθωσαν ℵ* (παρισθ. ℵ$^{?}$) 17 ο δυνατος] om ο ℵ$^{c.b}$AQ | αγαπησει] ευφροσυνη ℵ* (αγαπησι ℵ$^{c.a, c.b}$) | ευφρανθησεται] ευφρανι σε ℵ* (-νθησεται ℵ$^{c.a}$) | σε 4°] σοι A 18 συντετριμμενους]+σου AQ | ου. επ αυτην ℵ^{c} (postea επ αυτ. ου.) AQ

19 δισμόν; [19] ἰδοὺ ἐγὼ ποιῶ ἐν σοὶ ἕνεκεν σοῦ ἐν τῷ καιρῷ ἐκείνῳ, B
λέγει Κύριος, καὶ σώσω τὴν ἐκπεπιεσμένην καὶ τὴν ἀπωσμένην·
20 εἰσδέξομαι αὐτοὺς εἰς καύχημα καὶ ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ. [20] καὶ
καταισχυνθήσονται ἐν τῷ καιρῷ ἐκείνῳ ὅταν καλῶς ὑμῖν ποιήσω, καὶ
ἐν τῷ καιρῷ ὅταν εἰσδέξομαι ὑμᾶς· διότι δώσω ὑμᾶς ὀνομαστοὺς καὶ
εἰς καύχημα ἐν πᾶσιν τοῖς λαοῖς τῆς γῆς, ἐν τῷ στρέφειν με τὴν αἰχμα-
λωσίαν ὑμῶν ἐνώπιον ὑμῶν, λέγει Κύριος.

19 ποιων B | ενεκα AQ | εκπεπιεσμενην] εκπερ incep ℵ* (εκπεπ. ℵ[1]) | ℵAQ αυτους] pr και θησομαι ℵ[c.a]AQ 20 εισδεξομαι] εισδεξωμαι B[a?b] εισδεχωμαι AQ | πασι AQ | στρεφειν] επιστρεφειν B[a vid]ℵAQ

Subscr Σοφονιας θ BℵAQ

ΑΓΓΑΙΟΣ

B ΕΝ τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρίου τοῦ βασιλέως ἐν τῷ μηνὶ τῷ 1 I
ἕκτῳ μιᾷ τοῦ μηνὸς ἐγένετο λόγος Κυρίου ἐν χειρὶ Ἁγγαίου τοῦ
προφήτου λέγων Εἰπὸν πρὸς Ζοροβαβὲλ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς
Ἰούδα καὶ πρὸς Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ τὸν ἱερέα τὸν μέγαν λέγων
[2]Τάδε λέγει Κύριος Παντοκράτωρ λέγων Ὁ λαὸς οὗτος λέγουσιν 2
Οὐχ ἥκει ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου. [3]καὶ ἐγένετο 3
λόγος Κυρίου ἐν χειρὶ Ἁγγαίου τοῦ προφήτου λέγων [4]Εἰ καιρὸς 4
μὲν ὑμῖν ἐστιν τοῦ οἰκεῖν ἐν οἴκοις ὑμῶν κοιλοστάθμοις, ὁ δὲ οἶκος
ὑμῶν ἐξηρήμωται; [5]καὶ νῦν τάδε λέγει Κύριος Παντοκράτωρ Τάξατε 5
δὴ τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν· [6]ἐσπείρατε πολλὰ καὶ 6
εἰσηνέγκατε ὀλίγα, ἐφάγετε καὶ οὐκ εἰς πλησμονήν, ἐπίετε καὶ
οὐκ εἰς μέθην, περιεβάλεσθε καὶ οὐκ ἐθερμάνθητε ἐν αὐτοῖς, καὶ ὁ
τοὺς μισθοὺς συνάγων συνήγαγεν εἰς δεσμὸν τετρυπημένον. [7]τάδε 7
λέγει Κύριος Παντοκράτωρ Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς
ὑμῶν· [8]ἀνάβητε εἰς τὸ ὄρος καὶ κόψατε ξύλα καὶ οἰκοδομήσατε τὸν 8
οἶκον, καὶ εὐδοκήσω ἐν αὐτῷ καὶ ἐνδοξασθήσομαι, εἶπεν Κύριος.
[9]ἐπεβλέψατε εἰς πολλὰ καὶ ἐγένετο ὀλίγα, καὶ εἰσηνέχθη εἰς τὸν 9
οἶκον καὶ ἐξεφύσησα αὐτά. διὰ τοῦτο τάδε λέγει Κύριος Παντο-
κράτωρ Ἀνθ' ὧν ὁ οἶκός μού ἐστιν ἔρημος, ὑμεῖς δὲ διώκετε ἕκαστος

ℵAQ Insct Αγγαιος ι BℵAQ I 1 Δαρειου B^{a}Q | Αγγεου B^{*} (-γαιου B^{ab}) ℵ | ειπον] + δη AQ | εκ φυλης] pr τον A 2 om λεγων $ℵ^{?}$ (postea revoc) | ο καιρος] om ο Q^{*} (hab Q^{a}) 3 Αγγεου ℵ 4 μεν υμιν] υμιν μεν ℵAQ^{mg} om μεν Q^{*} | εστι Q^{a} | om υμων 1° $ℵ^{c.a}$ (postea revoc) AQ | υμων 2°] ουτος ℵAQ | εξερημωται AQ^{*} (εξηρ. Q^{a}) 5 om δη $ℵ^{c.b}$ 6 εσπειρατε] pr διοτι ταδε λεγει κ̅ς̅ παντοκρατωρ (seq ras 1 lit) A | εισηνεγκετε Q^{a} | om και 2° $ℵ^{1\,c.a,\,c.b}$ | επιετε] π sup ras A^{a} | εις 2°] ες A^{*} (εις A^{1}) | εθερμαρθητε $ℵ^{*}$ (εθερμανθ. $ℵ^{c}$) | συναγων] συναγαγων ℵ | τετρετημενον $ℵ^{*}$ (τετρυπ. $ℵ^{c.a,\,c.b}$) 7 τας καρδιας sup ras A^{a} | τας οδους] om τας $ℵ^{*}$ (hab $ℵ^{c.a,\,c.b}$) οδους sup ras pl litt A^{a} 8 εις] επι $ℵ^{c.b}$AQ | το ορος] om το $ℵ^{*}$ (hab $ℵ^{1(vid)}$) | κοψετε $ℵ^{*}$ (-ψατε $ℵ^{c.a,\,c.b}$) 9 εγενετο] εγενοντο A | εστιν] pr ος $ℵ^{c.(b?)\,vid}$ (rurs del)

10 εἰς τὸν οἶκον αὐτοῦ, [10]διὰ τοῦτο ἀνέξει ὁ οὐρανὸς ἀπὸ δρόσου, καὶ B
11 ἡ γῆ ὑποστελεῖται τὰ ἐκφόρια αὐτῆς· [11]καὶ ἐπάξω ῥομφαίαν ἐπὶ
τὴν γῆν καὶ ἐπὶ τὰ ὄρη, καὶ ἐπὶ τὸν σῖτον καὶ ἐπὶ τὸν οἶνον καὶ
ἐπὶ τὸ ἔλαιον καὶ ὅσα ἐκφέρει ἡ γῆ, καὶ ἐπὶ τοὺς ἀνθρώπους καὶ ἐπὶ
12 τὰ κτήνη, καὶ ἐπὶ πάντας τοὺς πόνους τῶν χειρῶν αὐτῶν. [12]Καὶ
ἤκουσεν Ζοροβαβὲλ ὁ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ Ἰησοῦς ὁ
τοῦ Ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας καὶ πάντες οἱ κατάλοιποι τοῦ
λαοῦ τῆς φωνῆς Κυρίου τοῦ θεοῦ αὐτῶν καὶ τῶν λόγων Ἀγγαίου
τοῦ προφήτου, καθότι ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ θεὸς αὐτῶν πρὸς
13 αὐτούς, καὶ ἐφοβήθη ὁ λαὸς ἀπὸ προσώπου Κυρίου. [13]καὶ εἶπεν
Ἀγγαῖος ἄγγελος Κυρίου ἐν ἀγγέλοις Κυρίου τῷ λαῷ Ἐγώ εἰμι
14 μεθ' ὑμῶν, λέγει Κύριος. [14]καὶ ἐξήγειρεν Κύριος τὸ πνεῦμα Ζο-
ροβαβὲλ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ τὸ πνεῦμα Ἰησοῦ τοῦ
Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου καὶ τὸ πνεῦμα τῶν καταλοίπων
παντὸς τοῦ λαοῦ, καὶ εἰσῆλθον καὶ ἐποίουν ἔργα ἐν τῷ οἴκῳ Κυρίου
Παντοκράτορος θεοῦ αὐτῶν.
II (15) 1 [1]Τῇ τετράδι καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἕκτου τῷ δευτέρῳ ἔτει ἐπὶ
(1) Δαρίου τοῦ βασιλέως [(1)]τῷ μηνὶ τῷ ἑβδόμῳ μιᾷ καὶ εἰκάδι τοῦ μηνὸς
2 ἐλάλησεν Κύριος ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου λέγων [2]Εἰπὸν δὴ
πρὸς Ζοροβαβὲλ τὸν Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ πρὸς Ἰησοῦν
τὸν τοῦ Ἰωσεδὲκ τὸν ἱερέα τὸν μέγαν καὶ πρὸς πάντας τοὺς κατα-
3 λοίπους τοῦ λαοῦ λέγων [3]Τίς ἐξ ὑμῶν ὃς εἶδεν τὸν οἶκον τοῦτον ἐν
τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν; καὶ πῶς ὑμεῖς βλέπετε αὐτὸν νῦν;
4 καθὼς οὐχ ὑπάρχοντα ἐνώπιον ὑμῶν. [4]καὶ νῦν κατίσχυε, Ζοροβα- ¶ Γ
βέλ, λέγει Κύριος, καὶ κατίσχυε, Ἰησοῦ ὁ τοῦ Ἰωσεδὲκ ὁ ἱερεὺς ὁ
μέγας, καὶ κατισχυέτω πᾶς ὁ λαὸς τῆς γῆς, λέγει Κύριος, καὶ ποι-
5 εῖτε· διότι μεθ' ὑμῶν ἐγώ εἰμι, λέγει Κύριος ὁ παντοκράτωρ, [5]καὶ

11 σιον ℵ* (σειτον ℵ$^{c.a, c.b}$) 12 εκ φυλης] pr ο A 12—14 om ℵAQΓ και Ιησους...Σαλαθιηλ εκ φυλης Ιουδα Q* (hab Q$^{mg\ sinistr}$: item hab και Ιησους...εξαποστειλεν αυτον κ̅ς̅ ο θ̅ς̅ αυτου προς Q$^{(?)\ mg\ sup}$) | αυτων 1°] αυτου Q^{mg} (postea -των) | Αγγεου ℵ 13 Αγγεος ℵ | αγγελος Κυριου] Αγγεος ℵ* (om ℵ$^{c.a, c.b}$) | εν αγγελοις Κυριου] ο αγγελος κυριου ℵ$^{c.a}$ αγγελος κ. ℵ$^{c.b}$ om AQ^{mg} 14 το π̅ν̅α̅ Ιησου sup ras (seq ras) A^{b} | om παντος Q* (hab Q^{mg}) | εισηλθεν ℵ* (-λθον ℵ$^{c.a}$) | εργα] pr τα AQ II 1 τετραδι] τεταρτη Q* (τετραδι Q^{a}) | om ετει Q* (hab Q^{a}) | Δαρειου B^{ab} | τω μηνι τω εβδομω] τω εβδομω μηνι A (-νει) Q | ελαλησεν] ελαβεν ℵ* (ελαλ. ℵ$^{c.a}$) | Αγγεου ℵ 2 Σαλαθιηλ] pr του B$^{ab\ vid}$ℵAQ | φηλης ℵ* (φυλ. ℵ$^{c.a}$) 3 τις εξ υμων] + περιλειφθεις ℵ$^{c.a}$ (postea ras) | ειδεν] οιδεν A 4 Ζοροβαβελ ℵ* (Ζορ. ℵ$^{c.a}$) | Ιησου ο] Ιησους A^{vid} | εγω μεθ υμων AΓ | ο παντοκρατωρ] om ο ℵ$^{c.b}$AQΓ

B τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν· θαρσεῖτε. [6]διότι λέγει 6
Κύριος Παντοκράτωρ Ἔτι ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν καὶ τὴν γῆν
καὶ τὴν θάλασσαν καὶ τὴν ξηράν, [7]καὶ συνσείσω πάντα τὰ ἔθνη, 7
καὶ ἥξει τὰ ἐκλεκτὰ πάντων τῶν ἐθνῶν· καὶ πλήσω τὸν οἶκον τοῦ-
τον δόξης, λέγει Κύριος Παντοκράτωρ. [8]ἐμὸν τὸ ἀργύριον καὶ ἐμὸν 8
τὸ χρυσίον, λέγει Κύριος Παντοκράτωρ. [9]διότι μεγάλη ἔσται ἡ δόξα 9
τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει Κύριος Παντο-
κράτωρ· καὶ ἐν τῷ τόπῳ τούτῳ δώσω εἰρήνην, λέγει Κύριος Παντο-
κράτωρ, καὶ εἰρήνην ψυχῆς εἰς περιποίησιν παντὶ τῷ κτίζοντι τοῦ
ἀναστῆσαι τὸν ναὸν τοῦτον.

[10]Τετράδι καὶ εἰκάδι τοῦ ἐνάτου μηνὸς ἔτους δευτέρου ἐπὶ Δαρίου 10
ἐγένετο λόγος Κυρίου πρὸς Ἀγγαῖον τὸν προφήτην λέγων [11]Τάδε 11
λέγει Κύριος Παντοκράτωρ Ἐπερώτησον τοὺς ἱερεῖς νόμον λέγων
[12]Ἐὰν λάβῃ ἄνθρωπος κρέας ἅγιον ἐν τῷ ἄκρῳ τοῦ ἱματίου αὐτοῦ, 12
καὶ ἅψηται τὸ ἄκρον τοῦ ἱματίου αὐτοῦ ἄρτου ἢ ἑψέματος ἢ οἴνου
ἢ ἐλαίου ἢ παντὸς βρώματος, εἰ ἁγιασθήσεται; καὶ ἀπεκρίθησαν οἱ
ἱερεῖς καὶ εἶπαν Οὔ. [13]καὶ εἶπεν Ἀγγαῖος Ἐὰν ἅψηται μεμιαμμένος 13
ἀκάθαρτος ἐπὶ ψυχῇ ἐπὶ παντὸς τούτων, εἰ μιανθήσεται; καὶ ἀπεκρί-
θησαν οἱ ἱερεῖς καὶ εἶπαν Μιανθήσεται. [14]καὶ ἀπεκρίθη Ἀγγαῖος καὶ 14
εἶπεν Οὕτως ὁ λαὸς οὗτος, καὶ οὕτως τὸ ἔθνος τοῦτο ἐνώπιον ἐμοῦ,
λέγει Κύριος, καὶ οὕτως πάντα τὰ ἔργα τῶν χειρῶν αὐτῶν, καὶ ὃς
ἐὰν ἐγγίσῃ ἐκεῖ, μιανθήσεται ἕνεκεν τῶν λημμάτων αὐτῶν τῶν ὀρθρι-
νῶν, ὀδυνηθήσονται ἀπὸ προσώπου πόνων αὐτῶν· καὶ ἐμισεῖτε ἐν
πύλαις ἐλέγχοντας. [15]καὶ νῦν θέσθε δὴ εἰς τὰς καρδίας ὑμῶν ἀπὸ 15
τῆς ἡμέρας ταύτης καὶ ὑπεράνω, πρὸ τοῦ θεῖναι λίθον ἐπὶ λίθον ἐν
τῷ ναῷ Κυρίου, [16]τίνες ἦτε, ὅτε ἐνεβάλλετε εἰς κυψέλην κριθῆς εἴ- 16
κοσι σάτα, καὶ ἐγένετο κριθῆς δέκα σάτα, καὶ εἰσεπορεύεσθε εἰς

ℵAQΓ 5 το πνευμα] om το Γ 6 διοτι]+ταδε AQ | Παντοκρατωρ] pr ο $ℵ^{*}$ (improb ο $ℵ^{c.a, c.b}$) | om και 2° $ℵ^{*}$ (hab $ℵ^{c.a}$) 7 συσσεισω $B^{ab}Q^{a}$ | εκλεκτα] επιλεκτα Γ | πλησω] πληρωσω AΓ 9 ειρηνην 2°] ειρηνης A | κτιζοντι] κτισαντι Γ 10 του ενατου μηνος] μηνι τω ενατω AΓ τω μηνι τω εν. Q | Δαρειου $B^{ab}Q^{a}$Γ | Αγγεον ℵ 11 επερωτησον]+δη $ℵ^{c.b}$ 12 αγιον] αγριον $ℵ^{* vid}$ | η εψεματος η οινου] η οινου η εψ. $ℵ^{c.b (vid)}$ η εψ. τ[ου] οιν. $Γ^{vid}$ | εψηματος $ℵ^{c.b}$ | om ει $ℵ^{?}$ (postea revoc) 13 Αγγεος ℵ | μεμιασμενος ℵΓ | ακαθαρτος] om $ℵ^{c.b}$ pr η AQ | επι ψυχη] ψυχη επι ψυχη A ψυχη επι ψυχην Q | επι 2°] απο AQ 14 Αγγεος ℵ | εμου] μου Q | εαν] αν Q | ενγιση ℵ | εκει] αυτων Q | om αυτων 2° Γ | πονων] πονηριων $ℵ^{c.a}$ 15 εις] επι $ℵ^{c.b}$AQΓ | υπερανω προ] επανω A | om προ A 16 κριθης 1°] post ι 2 fort litt ras $A^{?}$ | εγενετο] εγινετο Q | κριθης δεκα σατα] δεκα σατα κρ. $ℵ^{c.b}$

τὸ ὑπολήνιον ἐξαντλῆσαι πεντήκοντα μετρητάς, καὶ ἐγένοντο εἴκοσι. B
17 [17]ἐπάταξα ὑμᾶς ἐν ἀφορίᾳ καὶ ἐν ἀνεμοφθορίᾳ καὶ ἐν χαλάζῃ, πάντα
τὰ ἔργα τῶν χειρῶν ὑμῶν, καὶ οὐκ ἐπεστρέψατε πρὸς μέ, λέγει
18 Κύριος. [18]ὑποτάξατε δὴ τὰς καρδίας¶ ὑμῶν ἀπὸ τῆς ἡμέρας ταύτης ¶ Γ
καὶ ἐπέκεινα, ἀπὸ τῆς τετράδος καὶ εἰκάδος τοῦ ἐνάτου μηνός, καὶ
ἀπὸ τῆς ἡμέρας ἧς τεθεμελίωται ὁ ναὸς Κυρίου· θέσθε ἐν ταῖς καρ-
19 δίαις ὑμῶν, [19]εἰ ἐπιγνωσθήσεται ἐπὶ τῆς ἅλω, καὶ εἰ ἔτι ἡ ἄμπελος
καὶ ἡ συκῆ καὶ ἡ ῥόα καὶ τὰ ξύλα τῆς ἐλαίας τὰ οὐ φέροντα καρπόν·
ἀπὸ τῆς ἡμέρας ταύτης εὐλογήσω.
20 [20]Καὶ ἐγένετο λόγος Κυρίου ἐκ δευτέρου πρὸς Ἁγγαῖον τὸν προ-
21 φήτην τετράδι καὶ εἰκάδι τοῦ μηνὸς λέγων [21]Εἰπὸν πρὸς Ζοροβαβὲλ
τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα λέγων Ἐγὼ σείω τὸν οὐρανὸν
22 καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὴν ξηράν, [22]καὶ καταστρέψω
θρόνους βασιλέων, καὶ ὀλεθρεύσω δύναμιν βασιλέων τῶν ἐθνῶν, καὶ
καταστρέψω ἅρματα καὶ ἀναβάτας, καὶ καταβήσονται ἵπποι καὶ ἀνα-
23 βάται αὐτῶν ἕκαστος ἐν ῥομφαίᾳ πρὸς τὸν ἀδελφὸν αὐτοῦ. [23]ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος Παντοκράτωρ, λήμψομαί σε Ζοροβαβὲλ τὸν
τοῦ Σαλαθιὴλ τὸν δοῦλόν μου, λέγει Κύριος, καὶ θήσομαί σε ὡς σφρα-
γῖδα, διότι σὲ ᾑρέτισα, λέγει Κύριος Παντοκράτωρ.

16 *πεντηκοντα*] *ν'* ℵ | *εγενοντο*] *εγινοντο* Q | *εικοσι* 2°] pr *εις* ℵ 17 *επαταξα*] pr *και* Q | *αφορια*] *αποια* ℵ* (*αφ.* ℵ$^{c.b}$) *αφθορια* A 18 *υποταξατε*] *ταξατε* ℵ$^{c.a, c.b}$AQΓ | *τεθεμελιωται*] *εθεμελιωθη* AQ 19 *ει* 1°]+*ετι* ℵ$^{c.a}$AQ | *επιγνωσθησεται* (*επεγν.* B* *επιγν.* B^{ab})] *επιγνωσησθε* ℵ* (*επιγνωσθ.* ℵ$^{c.b}$) | om *ει* 2° AQ | om *ετι* A | *ξυλα*] *φυλλα* ℵ* (*ξυλα* ℵ$^{c.b}$) | *ευλογησω*] *και επανω ευλ. αυτα* A 20 *Αγγεον* ℵ 21 *σειω*] *σισω* ℵ$^{c.(?a)}$ 22 om *και ολεθρευσω δυν. βασ.* ℵ* hab *ϛ εξολεθρευσω δυν. βασ.* ℵ$^{a, c.a (vid)}$ (postea ras) | *εξολεθρευσω* AQ | *αναβατας*]+*αυτῶ* ℵ$^{c.b}$ (postea ras)+ ˙ *και κατα|στρεψω πασαν την δυναμιν αυτῶ| και καταβαλω τα ορια αυτων και| ενισχυω τους εκλεκτους μου* A | *καταβησονται*] *αναβησονται* A Q^{a} (*λ' καβησ.* [sic] Q^{mg}) 23 *λημψομαι* (*ληψ.* Q)]+*σε* ℵ$^{c.a, c.b}$ | *ως σφραγιδα* (*ωσφρ.* ℵ)] *εις σφρ.* A | *διοτι*] *οτι* A | *ηρετισαμην* ℵ^{c} (postea *ηρετισα*) ℵAQΓ

Subscr *Αγγαιος* (*-γεος* ℵ) *ι* BℵAQ

ΖΑΧΑΡΙΑΣ

B ΕΝ τῷ ὀγδόῳ μηνὶ ἔτους δευτέρου ἐπὶ Δαρείου ἐγένετο λόγος 1 I
Κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου υἱὸν Ἀδδὼ τὸν προφήτην
λέγων [2]Ὠργίσθη Κύριος ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην. 2
[3]καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει Κύριος Παντοκράτωρ Ἐπι- 3
στρέψατε πρὸς μέ, λέγει Κύριος τῶν δυνάμεων, καὶ ἐπιστραφήσομαι
πρὸς ὑμᾶς, λέγει Κύριος τῶν δυνάμεων. [4]καὶ μὴ γίνεσθε καθὼς οἱ 4
πατέρες ὑμῶν, οἷς ἐνεκάλεσαν αὐτοῖς οἱ προφῆται ἔμπροσθεν λέ-
γοντες Τάδε λέγει Κύριος Παντοκράτωρ Ἀποστρέψατε ἀπὸ τῶν
ὁδῶν ὑμῶν τῶν πονηρῶν καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ὑμῶν τῶν
πονηρῶν· καὶ οὐκ εἰσήκουσαν, καὶ οὐ προσέσχον τοῦ εἰσακοῦσαί μου,
λέγει Κύριος. [5]οἱ πατέρες ὑμῶν, ποῦ εἰσιν; καὶ οἱ προφῆται, μὴ τὸν 5
αἰῶνα ζήσονται; [6]πλὴν τοὺς λόγους μου καὶ τὰ νόμιμά μου δέχεσθε, 6
ὅσα ἐγὼ ἐντέλλομαι ἐν πνεύματί μου τοῖς δούλοις μου τοῖς προ-
φήταις, οἳ κατελάβοσαν τοὺς πατέρας ὑμῶν. καὶ ἀπεκρίθησαν καὶ
εἶπαν Καθὼς παρατέτακται Κύριος Παντοκράτωρ τοῦ ποιῆσαι ἡμῖν
κατὰ τὰς ὁδοὺς ἡμῶν καὶ κατὰ τὰ ἐπιτηδεύματα ἡμῶν, οὕτως ἐποίησεν
ἡμῖν.
[7]Τῇ τετράδι καὶ εἰκάδι τῷ ἑνδεκάτῳ μηνί, οὗτός ἐστιν ὁ μὴν 7
Σαβάτ, ἐν τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου ἐγένετο λόγος Κυρίου πρὸς
Ζαχαρίαν τὸν τοῦ Βαραχίου υἱὸν Ἀδδὼ τὸν προφήτην λέγων [8]Ἑό- 8

ℵAQ Inscr *Ζαχαριας ια* BAQ om ℵ* *Ζαχαριας* ℵ$^{c.b}$ I 1 *δευτερου*] *β'* ℵ | *Δαρειου* (BQ^{a})] *Δαριου* ℵAQ* 2 *υμων*] *ημων* A 3 *λεγει Κυριος των δυναμεων* (1°)] *λ. κ̅ς̅ παντοκρατωρ* ℵ* om ℵ$^{c.a}$ (om *παντοκρ.* etiam ℵ$^{c.b}$) Q | *και επιστραφησομαι προς υμας*] *επιστρεψατε προς με* ℵ* (*ϗ επιστραφ. προς υμ.* ℵ$^{c.a, c.b}$) | *των δυναμεων* (2°)] *παντοκρατωρ* AQ 4 *υμων* 1°] *υπων* ℵ* (*υμ.* ℵ$^{c.a}$) | *εμπροσθεν*] pr *οι* ℵ$^{c.a}$AQ | *και απο...πονηρων* (2°) sup ras A^{1} | om *και ουκ εισηκουσαν* AQ 5 *εισι* Q^{a} 6 *παρατετακτο* Q^{a} | om *ημιν* 1° AQ *υμιν* ℵ* (*ημ.* ℵ$^{c.a, c.b}$) | *ημων* 1°] *ρων* ℵ* (*ημ.* ℵ$^{c.a, c.b}$) *υμων* AQ | *ημων* 2°] *υμων* AQ 7 *τη τετραδι*] om *τη* Q | *Δαρειου* (inst *ε* B^{b})] *Δαριου* ℵ 8 *εωρακα* B^{a}ℵQ$^{a\,vid}$

ρακα τὴν νύκτα, καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ ἵππον πυρρόν, καὶ B
οὗτος ἱστήκει ἀνὰ μέσον τῶν ὀρέων τῶν κατασκίων, καὶ ὀπίσω αὐτοῦ
9 ἵπποι πυρροὶ καὶ ψαροὶ καὶ ποικίλοι καὶ λευκοί. [9]καὶ εἶπα Τί οὗτοι,
κύριε; καὶ εἶπεν πρὸς μὲ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί Ἐγὼ δείξω σοι
10 τί ἐστιν ταῦτα. [10]καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἐφεστηκὼς ἀνὰ μέσον τῶν
ὀρέων καὶ εἶπεν πρὸς μέ Οὗτοί εἰσιν οὓς ἐξαπέστειλεν Κύριος περιο-
11 δεῦσαι τὴν γῆν. [11]καὶ ἀπεκρίθησαν τῷ ἀγγέλῳ Κυρίου τῷ ἐφεστῶτι
ἀνὰ μέσον τῶν ὀρέων καὶ εἶπον Περιωδεύσαμεν πᾶσαν τὴν γῆν, καὶ
12 ἰδοὺ πᾶσα ἡ γῆ κατοικεῖται καὶ ἡσυχάζει. [12]καὶ ἀπεκρίθη ὁ ἄγγελος
Κυρίου καὶ εἶπεν Κύριε Παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν
Ἰερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες τοῦτο ἑβδομηκοστὸν
13 ἔτος; [13]καὶ ἀπεκρίθη Κύριος Παντοκράτωρ τῷ ἀγγέλῳ τῷ λαλοῦντι
14 ἐν ἐμοὶ ῥήματα καλὰ καὶ λόγους παρακλητικούς. [14]καὶ εἶπεν πρὸς μὲ
ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί Ἀνάκραγε λέγων Τάδε λέγει Κύριος
Παντοκράτωρ Ἐζήλωκα τὴν Ἰερουσαλὴμ καὶ τὴν Σειὼν ζῆλον μέγαν,
15 [15]καὶ ὀργὴν μεγάλην ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα,
ἀνθ' ὧν μὲν ἐγὼ ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά.
16 [16]διὰ τοῦτο τάδε λέγει Κύριος Ἐπιβλέψω ἐπὶ Ἰερουσαλὴμ ἐν οἰ-
κτιρμῷ, καὶ ὁ οἶκός μου ἀνοικοδομηθήσεται ἐν αὐτῇ, λέγει Κύριος
17 Παντοκράτωρ, καὶ μέτρον ἐκταθήσεται ἐπὶ Ἰερουσαλὴμ ἔτι. [17]καὶ
εἶπεν πρὸς μὲ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί Ἀνάκραγε λέγων Τάδε
λέγει Κύριος Παντοκράτωρ Ἔτι διαχυθήσονται πόλεις ἐν ἀγαθοῖς,
καὶ ἐλεήσει Κύριος ἔτι τὴν Σειὼν καὶ αἱρετιεῖ τὴν Ἰερουσαλήμ.
(II) (1) 18 [18]Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον, καὶ ἰδοὺ τέσσαρα
(2) 19 κέρατα. [19]καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί Τί

8 επι ιππον] ειππον ℵ* (επι ιππ. ℵ$^{c.a, c.b}$) εφ ιππον A | πυρον ℵ* (πυρρον ℵAQ ℵ$^{c.a, c.b}$) | ειστηκει B^{ab}Q^{a} εστηκι ℵ* ειστηκι ℵ$^{c.a}$ (ιστηκει ℵ$^{c.b}$) | ορεων] pr δυο AQ | αυτου] τουτου Q | πυροι ℵ* (πυρρ. ℵ$^{c.b}$) | om και ψαροι ℵ$^{c.b}$ 9 εστιν] ετιν ℵ* (εστ. ℵ$^{c.b}$) εστι Q^{a} 10 επεστηκως ℵ* (εφεστ. ℵ$^{c.a, c.b}$) | εξαπεσταλκεν ℵ$^{c.b}$ (postea εξαπεστειλεν) AQ | περιοδευσαι] pr του AQ* (περιωδ. Q$^{1 (vid) mg}$) 11 ειπαν AQ | περιοδευκαμεν A 12 ελεησεις A | πολις ℵ* (-λεις ℵ$^{c.b}$) | υπερδες ℵ* υπεριδες ℵ$^{c.a, c.b}$A 13 και απεκριθη...καλα] 4 lineas obelis notavit et in mg adscr ου κ' π' Εβρ' B^{ab} 14 και ειπεν] hastulam adpinx B^{a} | εζηλωσα ℵ | Σιων B^{b}ℵAQ^{a}: item 17 15 οργισομαι ℵ$^{c.b (vid)}$ (postea οργιζομαι) | εγω μεν ℵAQ | οργισθην Q* (ωργ. Q^{a}) 16 Κυριος]+παντοκρατωρ A | επιβλεψω] επιστρεψω B^{ab}ℵAQ | εν 1°] επ B$^{* fort}$ (ras aliq in ν B?) | οικτειρμω AQ* (οικτιρμ. Q^{a}) | εκτεθησεται A 17 προς με...εν εμοι obelo notavit et in mg ου κ' π' Εβρ' adscr B^{a} | Παντοκρατωρ] pro π incep κ et ν scr inter ω et ρ ℵ* (παντοκρατωρ ℵ^{1}) | πολεις (-λις ℵ* -λεις ℵ$^{c.b}$)] pr αι Q | ελεησει Κυριος] ει et ς sup ras ℵ^{1} | αιρετιει]+ετι ℵQ$^{* vid et 1 (vid) mg}$+ $\overline{κς}$ A | Ιερουσαλημ]+ετι A 18 ιδον ℵ^{c}A | τεσσερα ℵAQ 19 λαλοντα ℵ* (-λουντα ℵ$^{c.a}$)

B ἐστιν ταῦτα, κύριε; καὶ εἶπεν πρὸς μέ Ταῦτα τὰ κέρατα τὰ δια-
σκορπίσαντα τὸν Ἰούδαν καὶ τὸν Ἰσραὴλ καὶ Ἰερουσαλήμ. 20 καὶ 20 (3)
ἔδειξέν μοι Κύριος τέσσαρας τέκτονας. 21 καὶ εἶπα Τί οὗτοι ἔρχον- 21 (4)
ται ποιῆσαι; καὶ εἶπεν Ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν
Ἰούδαν καὶ τὸν Ἰσραὴλ κατέαξαν, καὶ οὐδεὶς αὐτῶν ἦρεν κεφαλήν·
καὶ ἐξήλθοσαν οὗτοι τοῦ ὀξῦναι αὐτὰ εἰς χεῖρας αὐτῶν τὰ τέσ-
§ Γ σαρα κέρατα, τὰ ἔθνη τὰ §ἐπαιρόμενα κέρας ἐπὶ τὴν γῆν Κυρίου
τοῦ διασκορπίσαι αὐτήν.

1 Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον, καὶ ἰδοὺ ἀνὴρ καὶ ἐν 1 (5) II
τῇ χειρὶ αὐτοῦ σχοινίον γεωμετρικόν. 2 καὶ εἶπα πρὸς αὐτόν 2 (6)
Ποῦ σὺ πορεύῃ; καὶ εἶπεν πρὸς μέ Διαμετρῆσαι τὴν Ἰερουσα-
λήμ, τοῦ ἰδεῖν πηλίκον τὸ πλάτος αὐτῆς ἐστιν καὶ πηλίκον τὸ
μῆκος. 3 καὶ ἰδοὺ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ ἱστήκει, καὶ ἄγγελος 3 (7)
ἕτερος ἐξεπορεύετο εἰς συνάντησιν αὐτῷ, 4 καὶ εἶπεν πρὸς αὐτὸν 4 (8)
λέγων Δράμε καὶ λάλησον πρὸς τὸν νεανίαν ἐκεῖνον λέγων
Κατακάρπως κατοικηθήσεται Ἰερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων
καὶ κτηνῶν ἐν μέσῳ αὐτῆς· 5 καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει Κύριος, 5 (9)
τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς.
6 ὢ ὢ φεύγετε ἀπὸ γῆς βορρᾶ, λέγει Κύριος, διότι ἐκ τῶν τεσ- 6 (10)
σάρων ἀνέμων τοῦ οὐρανοῦ συνάξω ὑμᾶς, λέγει Κύριος· 7 εἰς 7 (11)
Σειὼν ἀνασῴζεσθε, οἱ κατοικοῦντες θυγατέρα Βαβυλῶνος. 8 διότι 8 (12)
τάδε λέγει Κύριος Παντοκράτωρ Ὀπίσω δόξης ἀπέσταλκέν με
ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς, διότι ὁ ἁπτόμενος ὑμῶν ὡς
ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ· 9 διότι ἰδοὺ ἐγὼ ἐπι- 9 (13)
φέρω τὴν χεῖρά μου ἐπ' αὐτούς, καὶ ἔσονται σκῦλα τοῖς δουλεύ-
ουσιν αὐτοῖς, καὶ γνώσεσθε ὅτι Κύριος Παντοκράτωρ ἀπέσταλκέν
με. 10 τέρπου καὶ εὐφραίνου, θύγατερ Σειών, διότι ἰδοὺ ἐγὼ 10 (14)

ℵAQΓ 19 εστι Q^a | και ειπεν...Ιερουσαλημ] obelis notavit et in mg adscr ου κ' π' Εβρ' B^a(?) | om και Ιερουσαλημ AQ 20 τεσσαρες ℵQ* (-ρας Q^a) | τεκτονες ℵ* (-νας ℵ^c.a, c.b) 21 ειπεν (-πε Q^a)] + προς με AQ | δεις Q* (ουδ. Q^a) | εξηλθοσαν] εισηλθον AQ | τεσσερα ℵ^1 AQ* | om τα εθνη A* (hab A^a?) | διασκορπησαι Γ* II 1 ιδον ℵAΓ | σχοινιον ℵ 2 συ] σοι ℵ* (συ ℵ^c.a, c.b) | ιδειν] ειδειν ℵ* ειδ. ℵ^? 3 ειστηκει B^ab | συναντησιν αυτω] απαντησιν αυτου ℵAQ 4 ειπε Q^a | om λεγων 1° ℵ* (hab ℵ^c.a) | νεανιαν] νεανισκον ℵ | κατακαρπος Q^a | κατοικησεται ℵ* (-κηθησεται ℵ^c.a) | εν μεσω] pr των AQ^mg Γ 5 λεγει] φησιν AQ* (φησι Q^a vid) Γ | εσομαι 2°] εσω και Γ | αυτης] αυτων AΓ 6 απο] εκ Q 7 Σιων B^b ℵAQ^a Γ: item 10 8 λεγει] λει ℵ* λεγι ℵ^c.a | απτομενος 2°] pr ο ℵAΓ 9 om ιδου Q* (hab Q^mg) | δουλευσασιν AQ | αυτοις] αυτης Γ | γνωσονται ℵ* (-σεσθε ℵ^c.b) | οτι] διοτι AQΓ | Κυριος] pr εγω ειμι ℵ* (improb ℵ^1 (vid) c.a, c.b) | απεσταλκε Q^a 10 θυγατηρ ℵ* (-τερ ℵ^c.b) | διοτι] οτι ℵ | om εγω A

(15) 11 ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος. [11]καὶ B
καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,
καὶ ἔσονται αὐτῷ εἰς λαόν, καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου,
καὶ ἐπιγνώσῃ ὅτι Κύριος Παντοκράτωρ ἐξαπέσταλκέν με πρὸς
(16) 12 σέ. [12]καὶ κατακληρονομήσει Κύριος τὸν Ἰούδαν, τῇ μερίδι αὐ-
τοῦ ἐπὶ τὴν γῆν τὴν ἁγίαν, καὶ αἱρετιεῖ ἔτι τὴν Ἰερουσαλήμ.
(17) 13 [13]εὐλαβείσθω πᾶσα σὰρξ ἀπὸ προσώπου Κυρίου, ὅτι ἐξεγήγερται
ἐκ νεφελῶν ἁγίων αὐτοῦ.

III 1 [1]Καὶ ἔδειξέν μοι Κύριος τὸν Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν, ἑστῶτα
πρὸ προσώπου ἀγγέλου Κυρίου, καὶ ὁ διάβολος ἱστήκει ἐκ δεξιῶν
2 αὐτοῦ τοῦ ἀντικεῖσθαι αὐτῷ. [2]καὶ εἶπεν Κύριος πρὸς τὸν διάβολον
Ἐπιτιμήσαι Κύριος ἐν σοί, διάβολε, καὶ ἐπιτιμήσαι Κύριος ἐν σοὶ
ὁ ἐκλεξάμενος τὴν Ἰερουσαλήμ· οὐκ ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπα-
3 σμένος ἐκ πυρός; [3]καὶ Ἰησοῦς ἦν ἐνδεδυμένος ἱμάτια ῥυπαρά, καὶ
4 ἱστήκει πρὸ προσώπου τοῦ ἀγγέλου. [4]καὶ ἀπεκρίθη καὶ εἶπεν πρὸς
τοὺς ἑστηκότας πρὸ προσώπου αὐτοῦ λέγων¶ Ἀφέλετε τὰ ἱμάτια τὰ ¶ Γ
ῥυπαρὰ ἀπʼ αὐτοῦ. καὶ εἶπεν πρὸς αὐτόν Ἰδοὺ ἀφῄρηκα τὰς ἀνο-
5 μίας σου, καὶ ἐνδύσατε αὐτὸν ποδήρη, [5]καὶ ἐπίθετε κίδαριν καθαρὰν
ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ ἐπέθηκαν κίδαριν καθαρὰν ἐπὶ τὴν
κεφαλὴν αὐτοῦ, καὶ περιέβαλον αὐτὸν ἱμάτια. καὶ ὁ ἄγγελος Κυρίου
6 ἱστήκει· [6]καὶ διεμαρτύρατο ὁ ἄγγελος Κυρίου πρὸς Ἰησοῦν λέγων
7 [7]Τάδε λέγει Κύριος Παντοκράτωρ Ἐν ταῖς ὁδοῖς μου πορεύῃ καὶ ἐν
τοῖς προστάγμασίν μου φυλάξῃ, καὶ σὺ διακρινεῖς τὸν οἶκόν μου· καὶ
ἐὰν διαφυλάσσῃς τὴν αὐλήν μου, καὶ δώσω σοι ἀναστρεφομένους ἐν
8 μέσῳ τῶν ἑστηκότων τούτων. [8]ἄκουε δή, Ἰησοῦς ὁ ἱερεὺς ὁ μέγας,
σὺ καὶ οἱ πλησίον σου οἱ καθήμενοι πρὸ προσώπου, διότι ἄνδρες

11 επιγνωση] γνωση ℵ^{1} (postea rurs επιγν.) | εξαπεσταλκεν] απεσταλ- ℵAQΓ
κεν A 12 τη μεριδι] την μεριδα ℵ*QΓ και την μ. ℵ$^{c.a}$ (postea ras κ) A
13 σαραξ ℵ* | απο] πο ℵ* (απ. ℵ$^{c.a}$) | οτι] διοτι AQΓ III 1 εδειξε Q^{a} |
τον Ιησουν] om τον AQΓ | ειστηκει B^{ab}Q^{a}Γ$^{b (vid)}$ (item 3, 5) | του αντικει-
σθαι] om του A 2 τουτο] το B* (του|το B$^{a?b}$) | εξεσπαμενος B*
(εξεσπασμ. B$^{b (vid)}$) 3 του αγγελου] om του Q* (hab Q^{mg}) + κ̅υ̅ Q
4 ειπεν 1°] ειτα A ειπε Q^{a} | τους εστηκοτας] τ. εστωτας ℵ* (τ. εστηκοτας ℵ$^{c.b}$)
τον εστηκοτα Q | αφελε Q* (-λετε Q^{a}) | ρυπαρα] ρυ sup ras A$^{a?}$ | ποδηρη]
πορηδη (sic) ℵ 5 om και επεθηκαν...αυτου (2°) ℵ* (hab ℵ$^{c.b}$) και περιε-
βαλον αυτον ιματια και επεθ. κιδ. καθ. επι την κεφ. αυτου AQ 6 λε-
γων προς Ιησουν A 7 εν 1°] εαν B^{ab}A pr εαν Q | εν 2° improb B^{ab} |
προσταγμασι Q^{a} | φυλασση ℵ$^{c.b (vid)}$ (postea φυλαξη revoc) AQ | διαφυλασ-
σῃς] φυλαξης και γε A διαφυλαξης και γε Q | τουτων] pr α ℵ* (improb ℵ^{1})
8 Ιησου ℵAQ | οι καθημενοι] pr και AQ | προσωπου] + σου ℵAQ

B τερατοσκόποι εἰσί· διότι ἰδοὺ ἐγὼ ἄγω τὸν δοῦλόν μου Ἀνατολήν·
[9]διότι ὁ λίθος ὃν ἔδωκα πρὸ προσώπου Ἰησοῦ, ἐπὶ τὸν λίθον τὸν 9
ἕνα ἑπτὰ ὀφθαλμοί εἰσιν· ἰδοὺ ἐγὼ ὀρύσσω βόθρον, λέγει Κύριος
Παντοκράτωρ, καὶ ψηλαφήσω πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐκείνης ἐν
ἡμέρᾳ μιᾷ. [10]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος Παντοκράτωρ, συν- 10
καλέσετε ἕκαστος τὸν πλησίον αὐτοῦ ὑποκάτω ἀμπέλου καὶ ὑποκάτω
συκῆς.

[1]Καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ ἐξῆρέν με ὃν 1 IV
τρόπον ὅταν ἐξεγερθῇ ἄνθρωπος ἐξ ὕπνου αὐτοῦ· [2]καὶ εἶπεν πρὸς 2
μέ Τί σὺ βλέπεις; καὶ εἶπα Ἑόρακα, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη,
καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς, καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς, καὶ
ἑπτὰ ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς ἐπάνω αὐτῆς, [3]καὶ δύο ἐλαῖαι 3
ἐπάνω αὐτῆς, μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς καὶ μία ἐξ εὐω-
νύμων. [4]καὶ ἐπηρώτησα καὶ εἶπον πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα 4
ἐν ἐμοὶ λέγων Τί ἐστιν ταῦτα, κύριε; [5]καὶ ἀπεκρίθη ὁ ἄγγελος 5
ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπεν πρὸς μὲ λέγων Οὐ γινώσκεις τί ἐστιν
ταῦτα; καὶ εἶπα Οὐχί, κύριε. [6]καὶ ἀπεκρίθη καὶ εἶπεν πρὸς μὲ 6
λέγων Οὗτος ὁ λόγος Κυρίου πρὸς Ζοροβαβὲλ λέγων Οὐκ ἐν δυ-
νάμει μεγάλῃ οὐδὲ ἐν ἰσχύι ἀλλ' ἢ ἐν πνεύματί μου, λέγει Κύριος
Παντοκράτωρ. [7]τίς εἶ σύ, τὸ ὄρος τὸ μέγα τὸ πρὸ προσώπου Ζο- 7
ροβαβέλ, τοῦ κατορθῶσαι; καὶ ἐξοίσω τὸν λίθον τῆς κληρονομίας
ἰσότητα χάριτος χάριτα αὐτῆς. [8]καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ 8
λέγων [9]Αἱ χεῖρες Ζοροβαβέλ, ἐθεμελίωσεν τὸν οἶκον τοῦτον, καὶ αἱ 9
§ Γ χεῖρες αὐτοῦ [§]ἐπιτελέσουσιν αὐτόν, καὶ ἐπιγνώσῃ διότι Κύριος Παντο-
κράτωρ ἐξαπέσταλκέν με πρὸς σέ. [10]διότι τίς ἐξουδένωσεν εἰς ἡμέ- 10
ρας μικράς; καὶ χαροῦνται καὶ ὄψονται τὸν λίθον τὸν κασσιτέρινον
ἐν χειρὶ Ζοροβαβέλ· ἑπτὰ οὗτοι ὀφθαλμοί εἰσιν οἱ ἐπιβλέποντες ἐπὶ
πᾶσαν τὴν γῆν. [11]καὶ ἀπεκρίθην καὶ εἶπα πρὸς αὐτόν Τί αἱ δύο 11

ℵAQΓ 8 εισι] ει|σει ℵ* (ει 1° sup ras ℵ^{1}) εισιν ℵ$^{c.a, c.b}$AQ* (-σι Q^{a}) | αγω] επαγω ℵ$^{c.b}$ 9 δεδωκα Q | επτα] ζ' ℵ 10 συγκαλεσετε B^{ab}AQ^{*vid} (-σατε Q$^{a\ saltem}$) IV 1 εξηρεν] εξηγειρεν ℵAQ* (-ρε Q^{a}) | εξεγερθη] εξερθη A^{vid} 2 ειπα] ειπεν AQ* (ειπε Q^{a}) | εωρακα B^{b}ℵQ$^{a\ vid}$ | λυχνοι] λυχνι ℵ* (-χνοι ℵ^{1}) | επαρυστιδες ℵ^{1} (παρ. ℵ* -στριδας ℵ$^{c.b}$) A 4 ειπον] ειπα AQ | om λεγων A | εστι Q^{a}: item 5, 13 5 om προς με λεγων A 5—6 om ου γινωσκεις ...προς με λεγων (2°) ℵ* (hab ℵ$^{c.a\ mg\ inf}$ rescr ℵ$^{c.b\ mg\ sinistr}$) 6 ειπε Q^{a}: item 13 | Ζοβαβελ ℵ* (Ζοροβ. ℵ$^{c.b\ vel\ etiam\ antea}$) | εν 1°] ν sup ras B? 9—10 om εθεμελιωσεν...εν χειρι Ζοροβ. Q* (hab Q^{mg}) 9 εθεμελιωσαν ℵAQ^{mg} | επιτελουσιν A | εξαπεστειλεν A 10 χαρησονται ℵ$^{c.b}$AQ^{mg}Γ | κασσιδεριον ℵ* (κασσιτερινον ℵ$^{c.a, c.b}$) | επτα] ζ' ℵ | οφθαλμοι] + $\overline{κυ}$ ℵQΓ$^{a?}$ (sup ras) | εισιν] + $\overline{κυ}$ A ει sup ras Γ$^{a?}$ 11 ειπα] ειπον ℵ

12 ἐλαῖαι αὗται αἱ ἐκ δεξιῶν τῆς λυχνίας καὶ ἐξ εὐωνύμων; [12]καὶ ἐπη- B
ρώτησα ἐκ δευτέρου καὶ εἶπα πρὸς αὐτόν Τί οἱ δύο κλάδοι τῶν
ἐλαιῶν οἱ ἐν ταῖς χερσὶν τῶν δύο μυξωτήρων τῶν χρυσῶν τῶν
13 ἐπιχεόντων καὶ ἐπαναγόντων τὰς ἐπαρυστρίδας τὰς χρυσᾶς; [13]καὶ
εἶπεν πρός μέ Οὐκ οἶδας τί ἐστιν ταῦτα; καὶ εἶπα Οὐχί, κύριε.
14 [14]καὶ εἶπεν Οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος παρεστήκασιν κυρίῳ
πάσης τῆς γῆς.
V 1 [1]Καὶ ἐπέστρεψα καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον, καὶ ἰδοὺ
2 δρέπανον πετόμενον. [2]καὶ εἶπεν πρός μέ Τί σὺ βλέπεις; καὶ εἶπα
Ἐγὼ ὁρῶ δρέπανον πετόμενον μήκους πήχεων εἴκοσι καὶ πλάτους
3 πήχεων δέκα. [3]καὶ εἶπεν πρός μέ Αὕτη ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ
προσώπον πάσης τῆς γῆς· διότι πᾶς ὁ κλέπτης ἐκ τούτου ἕως θανά-
του ἐκδικηθήσεται, καὶ πᾶς ὁ ἐπίορκος ἐκ τούτου ἐκδικηθήσεται.
4 [4]καὶ ἐξοίσω αὐτό, λέγει Κύριος Παντοκράτωρ, καὶ εἰσελεύσεται εἰς
τὸν οἶκον τοῦ κλέπτου καὶ εἰς τὸν οἶκον τοῦ ὀμνύοντος τῷ ὀνόματί
μου ἐπὶ ψεύδει, καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ, καὶ συντε-
5 λέσει αὐτὸν καὶ τὰ ξύλα αὐτοῦ καὶ τοὺς λίθους αὐτοῦ. [5]Καὶ
ἐξῆλθεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπεν πρός μέ Ἀνάβλεψον
6 τοῖς ὀφθαλμοῖς σου καὶ ἴδε τὸ ἐκπορευόμενον τοῦτο. [6]καὶ εἶπα Τί
ἐστιν; καὶ εἶπεν Τοῦτο τὸ μέτρον τὸ ἐκπορευόμενον. καὶ εἶπεν
7 Αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ. [7]καὶ ἰδοὺ τάλαντον μολίβου
8 ἐξαιρόμενον· καὶ ἰδοὺ μία γυνὴ ἐκάθητο ἐν μέσῳ τοῦ μέτρου. [8]καὶ
εἶπεν Αὕτη ἐστὶν ἡ ἀνομία· καὶ ἔριψεν αὐτὴν ἐν μέσῳ τοῦ μέτρου,
9 καὶ ἔριψεν τὸν λίθον τοῦ μολίβου εἰς τὸ στόμα αὐτῆς. [9]καὶ ἦρα
τοὺς ὀφθαλμούς μου καὶ εἶδον, καὶ ἰδοὺ δύο γυναῖκες ἐκπορευόμεναι,

11 αι εκ δ.] om αι Γ* | της λυχνιας και εξ ευωνυμων] υμων ℵ* (της λ. κ. εξ ευων. ℵ[c.a, c.b]) | ευωνυμων] + (pr asterisc non inst B[b]) αυτης B[a] ℵAQΓ 12 ταις χερσιν] om ταις Γ | επαρυστιδας ℵ* (-στριδας ℵ[c (nondum c.a)]) 13 με] + λεγω̄ ℵ[c.b] + ο αγγελος Γ | ειπα ουχι] α ο rescr ℵ[1] (ειπεν ℵ* fort) 14 ουτοι] + εισιν Γ | δυοι ℵ | παρεστηκασιν (σι Q)] pr οι ℵ[c.a] οι (ο sup ras) παραστηκουσιν Γ | κυριω] pr τω AQΓ V 1 ιδον ΑΓ | πετομενον] ε 2° sup ras η ut vid A[a] πετωμ. Γ* 2 ειπεν (-πε Q[a])] + κ̄ς ℵ | ορω εγω A | μηκος AQΓ | πλατος AQΓ 3 προσωπου AQ | ο κλεπτης] om ο Γ | εκδικηθησεται 2°] pr εως θανατου ℵAQΓ 4 εκξοισω (sic) ℵ | αυτο] αυτα A[b] | εισελευσομαι A | κλεπτου] πλεπου ℵ* πλεπτ. ℵ[1 (vid)] (κλεπτ. ℵ[c]) | το ονοματι Γ* | καταλυση ℵ | αυτου] αυ sup ras Γ[1] (incep τα ξ Γ*) 5 τοις οφθ.] pro τ incep π B* (τοις B[1]) | ιδε] + τι ℵ[c.a] | εκπορευομενον] ρευ sup ras Γ[?] 6 εστι Q[a] | ειπε (1°) Q[a]: item 11 | αυτων] αυτου ℵ* (-των ℵ[c.a, c.b]) 7 μολυβου ℵ | γυνη μια AQΓ | μετρου] ταλαντου A (λαντ sup ras A[b]) 8 και 2°] αι ℵ* (κ. ℵ[item antea c.a]) | ερριψεν 1° B[b]AQΓ: 2°, AQ* (-ψε Q[a]) Γ | το] ο B* (το B[ac]) 9 ειδον] ιδον ℵΑΓ | εκπορευομενοι ℵ* vid (-ναι ℵ[1])

B καὶ πνεῦμα ἐν ταῖς πτέρυξιν αὐτῶν, καὶ αὗται εἶχον πτέρυγας ἔποπος·
καὶ ἀνέλαβον τὸ μέτρον ἀνὰ μέσον τῆς γῆς καὶ ἀνὰ μέσον τοῦ οὐρανοῦ.
10 καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί Ποῦ αὗται ἀπο- 10
φέρουσιν τὸ μέτρον; 11 καὶ εἶπεν πρὸς μέ Οἰκοδομῆσαι αὐτῷ οἰκίαν 11
ἐν γῇ Βαβυλῶνος καὶ ἑτοιμάσαι, καὶ θήσουσιν αὐτὸ ἐκεῖ ἐπὶ τὴν
ἑτοιμασίαν αὐτοῦ.

1 Καὶ ἐπέστρεψα καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον, καὶ ἰδοὺ 1 VI
τέσσαρα ἅρματα ἐκπορευόμενα ἐκ μέσου δύο ὀρέων, καὶ τὰ ὄρη ἦν
ὄρη χαλκᾶ. 2 ἐν τῷ ἅρματι τῷ πρώτῳ ἵπποι πυρροί, καὶ ἐν τῷ 2
ἅρματι τῷ δευτέρῳ ἵπποι μέλανες, 3 καὶ ἐν τῷ ἅρματι τῷ τρίτῳ ἵπποι 3
λευκοί, καὶ ἐν τῷ ἅρματι τῷ τετάρτῳ ἵπποι ποικίλοι ψαροί. 4 καὶ 4
ἀπεκρίθην καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί Τί ἐστιν
ταῦτα, κύριε; 5 καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπεν 5
Ταῦτά ἐστιν οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ, ἐκπορεύονται παρα-
στῆναι τῷ κυρίῳ πάσης τῆς γῆς. 6 ἐν ᾧ ἦσαν οἱ ἵπποι οἱ μέλανες, 6
ἐξεπορεύοντο ἐπὶ γῆν βορρᾶ, καὶ οἱ λευκοὶ ἐξεπορεύοντο κατόπισθεν
αὐτῶν, καὶ οἱ ποικίλοι ἐξεπορεύοντο ἐπὶ γῆν νότου, 7 καὶ οἱ ψαροὶ 7
ἐξεπορεύοντο καὶ ἐπέβλεπον τοῦ πορεύεσθαι τοῦ περιοδεῦσαι τὴν
γῆν. καὶ εἶπεν Πορεύεσθε καὶ περιοδεύσατε τὴν γῆν· καὶ περιώ-
δευσαν τὴν γῆν. 8 καὶ ἀνεβόησαν, καὶ ἐλάλησεν πρὸς μὲ λέγων 8
Ἰδοὺ οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βορρᾶ, καὶ ἀνέπαυσαν τὸν θυμόν μου
ἐν γῇ βορρᾶ.

9 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων 10 Λάβε τὰ ἐκ τῆς 9 10
αἰχμαλωσίας παρὰ τῶν ἀρχόντων καὶ παρὰ τῶν χρησίμων αὐτῆς καὶ
παρὰ τῶν ἐπεγνωκότων αὐτήν, καὶ εἰσελεύσῃ σὺ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
εἰς τὸν οἶκον Ἰωσίου τοῦ Σοφονίου τοῦ ἥκοντος ἐκ Βαβυλῶνος, 11 καὶ 11
λήψῃ ἀργύριον καὶ χρυσίον καὶ ποιήσεις στεφάνους, καὶ ἐπιθήσεις

ℵAQΓ 9 ταις πτ.] τοις πτ. ℵ* (ταις ℵ^{1}) | ειχον] ειπον ℵ^{*vid} (ειχ. ℵ^{1}) | πτερυγας (-γες ℵ^{*vid} -γας ℵ^{1})] + ως πτερυγας ℵAQ^{mg} 10 που] του ℵ^{*vid} (που ℵ^{1}) | αποφερουσι Q^{a} 11 αυτο] αυτω Γ* VI 1 επεστρεψα] incep επι ℵ* (επεστρ. ℵ$^{1 (vid) et postea}$) | ειδον] ιδον AΓ | τεσσερα ℵAΓ 2 εν 1°] pr και Γ | πυροι ℵA 4 εστι Q^{a} 5 ειπεν (-πε Q^{a})] + προς με ℵ$^{c.a}$ (postea del) | ταυτα εστιν] ουτοι εισιν A ταυτα εισιν Q | εκπορευονται] pr οι ℵ$^{c.a}$ (postea del) QΓ | τω κυριω] ἐν $\overline{κω}$ Γ^{*vid} 6 οι ιπποι] om οι ℵ | επι γην] εγγης ℵ* (επι γην ℵ$^{c.a, c.b}$) | βορραν ℵ* | om αυτων ℵ* (hab ℵ?) αυτου Γ 7 εξεπορευοντο] + ϗ εζητουν ℵ$^{c.a}$ (ras et superscr επι γην νοτου ℵ$^{c.b}$ ras omnia ℵ$^{c.c}$) | om πορευεσθαι...και ειπεν ℵ* (hab περιοδευσαι την γην ϗ ειπεν ℵ$^{c.a, c.b}$) | του περιοδευσαι] και περιοδ. AQΓ 8 ανεβοησεν B^{ab}ℵAQ* (-σε Q^{a}) Γ | γην] την ℵ* γης QΓ | om και 3° ℵ$^{c.a, c.b}$AQΓ 9 με] εμε ℵ* 10 και παρα (1°) bis scr ℵ* (improb 1° ℵ^{1}) | αυτην] αυτων A 11 λημψη ℵAQ λημψω Γ* ληψω Γ^{a} | στεφανους] ου rescr ℵ^{1} (prius ην ut vid)

12 ἐπὶ τὴν κεφαλὴν Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου, [12]καὶ B
ἐρεῖς πρὸς αὐτόν Τάδε λέγει Κύριος Παντοκράτωρ Ἰδοὺ ἀνήρ, Ἀνατολὴ
ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ, καὶ οἰκοδομήσει τὸν
13 οἶκον Κυρίου· [13]καὶ αὐτὸς λήμψεται ἀρετήν, καὶ καθιεῖται καὶ κατάρξει
ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἔσται ὁ ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ, καὶ βουλὴ
14 εἰρηνικὴ ἔσται ἀνὰ μέσον ἀμφοτέρων. [14]ὁ δὲ στέφανος ἔσται τοῖς
ὑπομένουσιν καὶ τοῖς χρησίμοις αὐτῆς καὶ τοῖς ἐπεγνωκόσιν αὐτήν,
15 καὶ εἰς χάριτα υἱοῦ Σοφονίου, καὶ εἰς ψαλμὸν ἐν οἴκῳ Κυρίου. [15]καὶ
οἱ μακρὰν ἀπ' αὐτῶν ἥξουσιν καὶ οἰκοδομήσουσιν ἐν τῷ οἴκῳ Κυρίου,
καὶ γνώσεσθε διότι Κύριος Παντοκράτωρ ἀπέσταλκέν με πρὸς ὑμᾶς·
καὶ ἔσται ἐὰν εἰσακούοντες εἰσακούσητε τῆς φωνῆς Κυρίου τοῦ θεοῦ
ὑμῶν.

VII 1 [1]Καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει ἐπὶ Δαρείου τοῦ βασιλέως ἐγένετο
λόγος Κυρίου πρὸς Ζαχαρίαν, τετράδι τοῦ μηνὸς τοῦ ἐνάτου ὅς ἐστιν
2 Χασελεύ· [2]καὶ ἐξαπέστειλεν εἰς Βαιθὴλ Σαράσαρ καὶ Ἀρβεσεὲρ ὁ βασι-
3 λεὺς καὶ οἱ ἄνδρες αὐτοῦ ἐξιλάσασθαι τὸν κύριον, [3]λέγων πρὸς τοὺς
ἱερεῖς τοὺς ἐν τῷ οἴκῳ Κυρίου Παντοκράτορος καὶ πρὸς τοὺς προφή-
τας, λέγων Εἰσελήλυθεν ὧδε ἐν τῷ μηνὶ τῷ πέμπτῳ τὸ ἁγίασμα,
4 καθότι ἐποίησεν ἤδη ἱκανὰ ἔτη. [4]καὶ ἐγένετο λόγος Κυρίου τῶν
5 δυνάμεων πρὸς μὲ λέγων [5]Εἰπὸν πρὸς ἅπαντα τὸν λαὸν τῆς γῆς καὶ
πρὸς τοὺς ἱερεῖς λέγων Ἐὰν νηστεύσητε ἢ κόψησθε ἐν ταῖς πέμπταις
ἢ ἐν ταῖς ἑβδόμαις, καὶ ἰδοὺ ἑβδομήκοντα ἔτη μὴ νηστίαν νενηστεύ-
6 κατέ μοι; [6]καὶ ἐὰν φάγητε ἢ πίητε, οὐχ ὑμεῖς ἔσθετε καὶ πίνετε;
7 [7]οὐχ οὗτοι οἱ λόγοι εἰσὶν οὓς ἐλάλησεν Κύριος ἐν χερσὶν τῶν προ-
φητῶν τῶν ἔμπροσθεν, ὅτε ἦν Ἰερουσαλὴμ κατοικουμένη καὶ εὐθη-

12 ανατελλι ℵ* (-τελει ℵ$^{c.b}$) ατελει Q* (ανατ. Q^{a}) 13 ληψεται QΓ^{a} | ℵAQΓ
καθιεται B*ℵ* (καθιειται B^{ab}ℵ$^{c.a, c.b}$A [-τε] QΓ) | καταξει ℵ* (καταρξει ℵ$^{c.a, c.b}$) | του θρονου] om του Q* (hab Q^{a}) 14 υπομενουσιν] πομενουσιν sup ras B^{ab} (-σι B$^{b\,vid}$Q^{a}) + αυτον A | επεγνωκοσι B* (-σιν B^{ab}) | υιου] τοις υιοις AQΓ 15 ηξουσι Q^{a} | τω οικω] om τω Γ | γνωσεσθε] επιγνωσεσθε A (εσθαι sup ras A^{a}) QΓ | διοτι κ̅ς̅ sup ras A^{a} | εισακουσαντες ℵ$^{c.a}$ (postea revoc εισακουοντες) | υμων] ημων ℵ* (υμ. ℵ$^{c.b}$) VII 1 Δαριου ℵAQ*Γ* (-ρειου Q^{a}Γ^{a}) | τετραδι] τη τετρ. και εικαδι A | Χασιλευ ℵ$^{1?\,c.a, c.b}$ (Ρασ. vel potius Γασ. ℵ*) Χασλευ Γ* (Χασελ. Γ^{a}) 2 εξαπεστειλεν] improb εξ ℵ$^{?}$ (mox revoc) εξαπεστειλαν Q | Βεθηλ ℵ | Αρβεσεερ] Αρβεσερ ℵ$^{c.a}$ (-σεερ revoc ℵ$^{c.b}$) Αρβεσεσερ A Αρβεσεε Q | εξιλασασθαι] pr του ℵ$^{c.a\,vid}$ (rurs ras) AQ 3 λεγων 1°] λεγοντες Q | εισεληλυθεν] pr ει AΓ pr η Q | το αγιασμα εν τω μηνι τω πεμπτω A | εποιησαν AQ | ετη] τ rescr ℵ^{1} (επη ℵ$^{*\,vid}$) 5 ειπον] ειπε A ειπον δη Q | απαντα] παντα ℵAQ om Γ | ιερεις] + της γης Q | νηστειαν B^{ab}AQ 6 η] και A και εαν Q | εσθετε] εσθιετε ℵ$^{c.a}$ (rurs εσθετε) A (-ς) Q | πινετε] pr υμεις AQ 7 οτε] οτι ℵ* (-τε ℵ$^{c.a}$)

B νοῦσα, καὶ αἱ πόλεις αὐτῆς κυκλόθεν, καὶ ἡ ὀρεινὴ καὶ ἡ πεδινὴ
κατῳκεῖτο;

[8]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν λέγων [9]Τάδε λέγει 8 9
Κύριος Παντοκράτωρ Κρίμα δίκαιον κρίνατε, καὶ ἔλεος καὶ οἰκτειρμὸν
ποιεῖτε ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ, [10]καὶ χήραν καὶ ὀρφανὸν 10
καὶ προσήλυτον καὶ πένητα μὴ καταδυναστεύετε, καὶ κακίαν ἕκαστος
τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακείτω ἐν ταῖς καρδίαις ὑμῶν. [11]καὶ 11
ἠπείθησαν τοῦ προσέχειν, καὶ ἔδωκαν νῶτον παραφρονοῦντα, καὶ τὰ
ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ εἰσακούειν, [12]καὶ τὴν καρδίαν αὐτῶν 12
ἔταξαν ἀπειθῆ τοῦ μὴ εἰσακούειν τοῦ νόμου μου καὶ τοὺς λόγους οὓς
ἐξαπέστειλεν Κύριος Παντοκράτωρ ἐν πνεύματι αὐτοῦ ἐν χερσὶν τῶν
προφητῶν τῶν ἔμπροσθεν· καὶ ἐγένετο ὀργὴ μεγάλη παρὰ Κυρίου
Παντοκράτορος. [13]καὶ ἔσται ὃν τρόπον εἶπεν καὶ οὐκ εἰσήκουσαν, 13
οὕτως κεκράξονται καὶ οὐ μὴ εἰσακούσω, λέγει Κύριος Παντοκράτωρ.
[14]καὶ ἐκβαλῶ αὐτοὺς εἰς πάντα τὰ ἔθνη ἃ οὐκ ἔγνωσαν, καὶ ἡ γῆ 14
ἀφανισθήσεται κατόπισθεν αὐτῶν ἐκ διοδεύοντος καὶ ἐξ ἀναστρέ-
φοντος· καὶ ἔταξαν γῆν ἐκλεκτὴν εἰς ἀφανισμόν.

[1]Καὶ ἐγένετο λόγος Κυρίου Παντοκράτορος λέγων [2]Τάδε λέγει 1 2 VIII
Κύριος Παντοκράτωρ Ἐζήλωκα τὴν Ἰερουσαλὴμ καὶ τὴν Σειὼν
ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ἐζήλωκα αὐτήν. [3]τάδε λέγει Κύριος 3
Ἐπιστρέψω ἐπὶ Σειών, καὶ κατασκηνώσω ἐν μέσῳ Ἰερουσαλήμ, καὶ
κληθήσεται ἡ Ἰερουσαλὴμ πόλις ἡ ἀληθινή, καὶ τὸ ὄρος Κυρίου
Παντοκράτορος ὄρος ἅγιον. [4]τάδε λέγει Κύριος Παντοκράτωρ Ἔτι 4
καθήσονται πρεσβύτεροι καὶ πρεσβύτεραι ἐν ταῖς πλατείαις Ἰερου-

ℵAQΓ 7 πολις ℵ* (-λεις ℵ$^{c.b}$) | αυτης] αυτων A | ορινη AQ*Γ* (-ρειν. Q^{a}Γ^a) | η πεδινη (πεδειν. Γ^a)] om η Γ 9 Παντοκρατωρ] + λεγων QΓ | κρινεται ℵ* (κρινατε ℵ$^{c.a, c.b}$) | ελεον ℵ$^{c.b}$ | οικτιρμον B^b ℵΓ^a 10 καταδυναστευσητε Q | μη μνησικακειτω του αδελφου αυτου Q 11 ηπειθησαν] επιθ. ℵ* (ηπιθ. ℵ^1) | προεχειν Q* vid (προσ. Q^1) | παραφρονουτα ℵ* (-νουντα ℵ$^{c.a}$) του παραφρονειν Γ 12 τας καρδιας ℵ* (την καρδιαν ℵ$^{c.a, c.b}$) | απιθη Γ* απειθη Γ^a mox απειθειν | εισακουσαι A | εξαπεσταλκεν QΓ | οργη] ορμη A (notavit et in mg διπλην adscr A$^{a?}$ | παντοκρατος (sic) ℵ 13 εισηκουσαν] + αυτου ℵAQΓ | ουτω Q^a | εισακουσω] + αυτων AQΓ 14 αναστρεψοντος ℵ* (-στρεφοντος ℵ$^{c.a}$) VIII 1 λεγων] pr προς με ℵ$^{c.b}$ (postea ras) 2 παντοκρατων ℵ*: item 6 (1°) | εζηλωκα 1°] εζηλησα (sic) ℵ εζηλωσα AΓ | Ιερουσαλημ] pr obelum et in mg adscr ου κ' π' Εβρ' B^a | Σιων B^{b}ℵAQ^{a}Γ: item 3 | εζηλωκα 2°] εζηλωσα ℵAQΓ 3 Κυριος] + παντοκρατωρ ℵ$^{c.b}$ | επιστρεψω] pr και AQΓ | om επι Q* (hab Q^{mg}) | η Ιερουσαλημ (Ειερ. ℵ* Ιερ. ℵ^c)] om η ℵA | η αληθινη] om η ℵAQΓ | και 3°] + ρ ℵ* (improb ℵ$^{1 vid}$ et postea ras) | om ορος 2° ℵ* 4 πρεσβυτερου ℵ* (-ροι ℵ$^{1 c.b}$) | πρεσβυτεραι] πρεσβυτε ℵ* (-τεραι ℵ$^{c.a}$)

σαλήμ, ἕκαστος τὴν ῥάβδον αὐτοῦ ἔχων ἐν τῇ χειρὶ αὐτοῦ ἀπὸ B
5 πλήθους ἡμερῶν· [5]καὶ αἱ πλατεῖαι τῆς πόλεως πλησθήσονται παιδα-
6 ρίων καὶ κορασίων παιζόντων ἐν ταῖς πλατείαις αὐτῆς. [6]τάδε λέγει
Κύριος Παντοκράτωρ Εἰ ἀδυνατήσει ἐνώπιον τῶν καταλοίπων τοῦ
λαοῦ τούτου ἐν ταῖς ἡμέραις ἐκείναις, μὴ καὶ ἐνώπιον ἐμοῦ ἀδυνατήσει;
7 λέγει Κύριος Παντοκράτωρ. [7]τάδε λέγει Κύριος Παντοκράτωρ Ἰδοὺ
ἐγὼ σώζω τὸν λαόν μου ἀπὸ γῆς ἀνατολῶν καὶ ἀπὸ γῆς δυσμῶν,
8 [8]καὶ εἰσάξω αὐτοὺς καὶ κατασκηνώσω ἐν μέσῳ Ἰερουσαλήμ, καὶ
ἔσονταί μοι εἰς λαὸν κἀγὼ ἔσομαι αὐτοῖς εἰς θεὸν ἐν ἀληθείᾳ καὶ ἐν
9 δικαιοσύνῃ. [9]τάδε λέγει Κύριος Παντοκράτωρ Κατισχυέτωσαν αἱ
χεῖρες ὑμῶν τῶν ἀκουόντων ἐν ταῖς ἡμέραις ταύταις τοὺς λόγους
τούτους ἐκ στόματος τῶν προφητῶν, ἀφ' ἧς ἡμέρας τεθεμελίωται ὁ
10 οἶκος Κυρίου Παντοκράτορος, καὶ ὁ ναὸς ἀφ' οὗ ᾠκοδόμηται. [10]διότι
πρὸ τῶν ἡμερῶν ἐκείνων ὁ μισθὸς τῶν ἀνθρώπων οὐκ ἔσται εἰς
ὄνησιν, καὶ ὁ μισθὸς τῶν κτηνῶν οὐχ ὑπάρξει, καὶ τῷ ἐκπορευομένῳ
καὶ τῷ εἰσπορευομένῳ οὐκ ἔσται εἰρήνη ἀπὸ τῆς θλίψεως· καὶ
ἐξαποστελῶ πάντας τοὺς ἀνθρώπους ἕκαστον ἐπὶ τὸν πλησίον
11 αὐτοῦ. [11]καὶ νῦν οὐ κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν ἐγὼ ποιῶ τοῖς
12 καταλοίποις τοῦ λαοῦ τούτου, λέγει Κύριος Παντοκράτωρ, [12]ἀλλ'
ἢ δείξω εἰρήνην· ἡ ἄμπελος δώσει τὸν καρπὸν αὐτῆς, καὶ ἡ γῆ
δώσει τὰ γενήματα αὐτῆς, καὶ ὁ οὐρανὸς δώσει τὴν δρόσον αὐτοῦ,
καὶ κατακληρονομήσω τοῖς καταλοίποις τοῦ λαοῦ μου τούτου ταῦτα
13 πάντα. [13]καὶ ἔσται ὃν τρόπον ἦτε ἐν κατάρᾳ ἐν τοῖς ἔθνεσιν
οἶκος Ἰούδα καὶ οἶκος Ἰσραήλ, οὕτως διασώσω ὑμᾶς καὶ ἔσεσθε ἐν
14 εὐλογίᾳ· θαρσεῖτε καὶ κατισχύετε ἐν ταῖς χερσὶν ὑμῶν. [14]διότι τάδε
λέγει Κύριος Παντοκράτωρ Ὃν τρόπον διενοήθην τοῦ κακῶσαι ὑμᾶς
ἐν τῷ παροργίσαι με τοὺς πατέρας ὑμῶν, λέγει Κύριος Παντοκράτωρ,
15 καὶ οὐ μετενόησα· [15]οὕτως παρατέταγμαι καὶ διανενόημαι ἐν ταῖς
ἡμέραις ταύταις τοῦ καλῶς ποιῆσαι τὴν Ἰερουσαλὴμ καὶ τὸν οἶκον

4 *ραβδον*] *ραβον* ℵ* (δ superscr ℵ[1]) | *τη χειρι*] om *τη* A 5 *αυτης*] ℵAQΓ *αυτων* ℵ* (-*της* ℵ[c.a, c.b]) 6 *ει*] pr *διοτι* A | *αδυνατωσει* (1°) ℵ* (-*τησει* ℵ[1? c.a]) 7 *σωζω*] *ανασωζω* AQΓ 8 *καγω*] *και εγω* ℵAQΓ | *αληθια* ℵ* (-*θεια* ℵ[c]) 9 *τους λογους τουτους εν ταις ημεραις ταυταις* ℵ[c] (ord priorem postea revoc) | *παντοπρατορος* (sic) ℵ | *ωκοδομηθη* ℵ* (-*μηται* ℵ[c.b]) 10 *προ*] *πρω* ℵ* (*προ* ℵ[1]) | *ονησιν*] incep *ονο* ℵ* (improb *ο* 2° ℵ[1] postea ras) | *υπαρχει* AQΓ | *και τω εκπορευομενω*] *και τω εκ* sup ras ℵ[1] 12 *η αμπ.*] *μη αμπ.* ℵ* (*η* ℵ[c.b]) | om *και η γη δωσει τα γενηματα αυτης και ο* ℵ* (hab ℵ[c.b]) | om *τουτου* ℵ[c.b]AQΓ | *παντα ταυτα* AQΓ 13 *οικος* 2°] pr *ο* AQ | *διασω* ℵ* (*διασωσω* ℵ[c.a]) 14 om *με* Q* (superscr Q[a]) 15 *την Ιερ.*] *της Ιερ.* ℵ[1, c.a (vid)]

B Ἰούδα· θαρσεῖτε. 16 οὗτοι οἱ λόγοι οὓς ποιήσετε· λαλεῖτε ἀλήθειαν 16
¶ Γ ἕκαστος πρὸς τὸν ¶ πλησίον αὐτοῦ, ἀλήθειαν καὶ κρίμα εἰρηνικὸν
κρίνατε ἐν ταῖς πύλαις ὑμῶν, 17 καὶ ἕκαστος τὴν κακίαν τοῦ πλησίον 17
αὐτοῦ μὴ λογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν, καὶ ὅρκον ψευδῆ μὴ
ἀγαπᾶτε· διότι ταῦτα πάντα ἐμίσησα, λέγει Κύριος Παντοκράτωρ.
18 Καὶ ἐγένετο λόγος Κυρίου Παντοκράτορος πρὸς μέ 19 Λέγει 18 19
Κύριος Παντοκράτωρ Νηστεία ἡ τετρὰς καὶ νηστεία ἡ πέμπτη καὶ
νηστεία ἡ ἑβδόμη καὶ νηστεία ἡ δεκάτη ἔσονται τῷ οἴκῳ Ἰούδα εἰς
χαρὰν καὶ εὐφροσύνην καὶ εἰς ἑορτὰς ἀγαθάς, καὶ εὐφρανθήσεσθε, καὶ
τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ἀγαπήσατε. 20 τάδε λέγει Κύριος 20
Παντοκράτωρ Ἔτι ἥξουσιν λαοὶ πολλοὶ καὶ κατοικοῦντες πόλεις
πολλάς, 21 καὶ συνελεύσονται κατοικοῦντες πέντε πόλεις εἰς μίαν 21
πόλιν, λέγοντες Πορευθῶμεν δεηθῆναι τοῦ προσώπου Κυρίου καὶ
ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου Παντοκράτορος· πορεύσομαι κἀγώ·
22 καὶ ἥξουσιν λαοὶ πολλοὶ καὶ ἔθνη πολλὰ ἐκζητῆσαι τὸ πρόσωπον 22
Κυρίου Παντοκράτορος ἐν Ἰερουσαλὴμ καὶ ἐξιλάσασθαι τὸ πρόσωπον
Κυρίου. 23 τάδε λέγει Κύριος Παντοκράτωρ Ἐν ταῖς ἡμέραις ἐκείναις, 23
ἐὰν ἐπιλάβωνται δέκα ἄνδρες ἐκ πασῶν τῶν γλωσσῶν τῶν ἐθνῶν, καὶ
ἐπιλάβωνται τοῦ κρασπέδου ἀνδρὸς Ἰουδαίου, λέγοντες Πορευσόμεθα
μετὰ σοῦ, διότι ἀκηκόαμεν ὅτι θεὸς μεθ᾽ ὑμῶν ἐστιν.

1 Λῆμμα λόγου Κυρίου ἐν γῇ Σεδράχ, καὶ Δαμασκοῦ θυσία αὐτοῦ, 1 IX
διότι Κύριος ἐφορᾷ ἀνθρώπους καὶ πάσας φυλὰς τοῦ Ἰσραήλ, 2 καὶ ἐν 2
Ἐμὰθ ἐν τοῖς ὁρίοις αὐτῆς· Τύρος καὶ Σειδών, διότι ἐφρόνησαν σφόδρα·
3 καὶ ᾠκοδόμησεν Τύρος ὀχυρώματα αὐτῇ, καὶ ἐθησαύρισεν ἀργύριον 3

ℵAQ 16 Ιουδα] οικονυ|δα ℵ* (Ιουδα ℵ$^{1 (vid)}$) 16 αληθιαν bis ℵ: item 19 | εκαστο ℵ* (-στος ℵ^{1}) | om αληθειαν 2° AQ | ειρηνικον] δικαιον A | κρινετε AQ 17 ψυδην ℵ* (ψευδη ℵ$^{1.c}$) | παντα ταυτα A 18 προς με] + λεγων ℵ$^{c.a}$AQ 19 λεγει] pr ταδε ℵ$^{c.a}$AQ | νηστια quater ℵ | ευφροσυνην] pr εις AQ | εις 2°] ει ℵ* (εις ℵ$^{1 (vid) c}$) | ευφρανθησεσθε] εστε ℵ* και ευφρ. ℵ$^{c.a}$ 20 ετι] τι ℵ* (ετι ℵ$^{c.a}$) | κατοικουντες] pr οι Q | πολεις] πολιν ℵ* πολις ℵ^{1} (λεις ℵ$^{c.b}$) 21 συνελευσονται] συνοδευσοντε ℵ* (συνελ. ℵ$^{c.b}$) | πεντε πολεις] πολις πολλας και| συνελευσοντε κα|τοικουνταις πεν|τε πολεις ℵ* unc incl omnia ℵ$^{c.a}$ et (exc πεντε π.) ℵ$^{c.b}$ | πολιν μιαν A | πορευθωμεν] + πορευσει ℵ$^{c. (a ut vid)}$ (rurs ras) 22 om παντοκρ. εν Ιερουσαλημ ℵ* (hab ℵ$^{c.b}$) | εξιλασασθαι] pr του ℵ$^{c.a}$ (rurs ras) του εξιλασκεσθαι A (-σθε) Q 23 επιλαβωνται 2°] επιβαλωντε ℵ* (-νται ℵ$^{c.b}$) | ακηκοαμεν (-κοκοαμεν ℵ*)] ηκουσαμεν Q | θεος] pr ο ℵQ | μεθ υμων] μετα σου A IX 1 γη] τη ℵ* | Σεδρακ AQ | Δαμασκος ℵ$^{c.a}$ (-σκου ℵ$^{c.b}$) | διοτι] οτι Q 2 om εν 1° AQ | Εμαθ] Εματ ℵ$^{c. (a et ut vid b)}$ (Εμαθ γενος ℵ$^{c.c(?)}$) Ημαθ AQ | αυτης] + ϛ ℵ$^{c.b}$ | Σιδων B^{b}ℵAQ | εφρονησαν] εφρορησαν ℵ* ηφρονησαν Q 3 αυτη] αυτης ℵ εαυτη AQ

4 ὡς χοῦν, καὶ χρυσίον ὡς πηλὸν ὁδῶν. ⁴καὶ διὰ τοῦτο Κύριος κληρονο- B
μήσει αὐτούς, καὶ πατάξει εἰς θάλασσαν δύναμιν αὐτῆς, καὶ αὕτη ἐν
5 πυρὶ καταναλωθήσεται. ⁵ὄψεται Ἀσκάλων καὶ φοβηθήσεται, καὶ
Γάζα καὶ ὀδυνηθήσεται σφόδρα, καὶ Ἀκκαρών, ὅτι ᾐσχύνθη ἐπὶ
τῷ παραπτώματι αὐτῆς· καὶ ἀπολεῖται βασιλεὺς ἐκ Γάζης, καὶ
6 Ἀσκάλων οὐ μὴ κατοικηθῇ. ⁶καὶ κατοικήσουσιν ἀλλογενεῖς ἐν
7 Ἀζώτῳ, καὶ καθελῶ ὕβριν ἀλλοφύλων, ⁷καὶ ἐξαρῶ τὸ αἷμα αὐτῶν
ἐκ στόματος αὐτῶν, καὶ τὰ βδελύγματα αὐτῶν ἐκ μέσου ὀδόντων
αὐτῶν· καὶ ὑπολειφθήσονται καὶ οὗτοι τῷ θεῷ ἡμῶν, καὶ ἔσονται §ὡς § Γ
8 χιλίαρχος ἐν Ἰούδᾳ, καὶ Ἀκκαρὼν ὡς ὁ Ἰεβουσαῖος· ⁸καὶ ὑποστήσομαι
τῷ οἴκῳ μου ἀνάστημα τοῦ μὴ διαπορεύεσθαι μηδὲ ἀνακάμπτειν, καὶ
οὐ μὴ ἐπέλθῃ ἐπ' αὐτοὺς οὐκέτι ἐξελαύνων, διότι νῦν ἑόρακα ἐν τοῖς
ὀφθαλμοῖς μου.

9 ⁹Χαῖρε σφόδρα, θύγατερ Σειών· κήρυσσε, θύγατερ Ἰερουσαλήμ·
ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραῢς καὶ
10 ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. ¹⁰καὶ ἐξολεθρεύσει
ἅρματα ἐξ Ἐφράιμ καὶ ἵππον ἐξ Ἰερουσαλήμ, καὶ ἐξολεθρεύσεται
τόξον πολεμικόν, καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν· καὶ κατάρξει
11 ὑδάτων ἕως θαλάσσης καὶ ποταμῶν διεκβολὰς γῆς. ¹¹καὶ σὺ ἐν
αἵματι διαθήκης σου ἐξαπέστειλας δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος
12 ὕδωρ. ¹²καθήσεσθε ἐν ὀχυρώμασιν δέσμιοι τῆς συναγωγῆς, καὶ ἀντὶ

3 χουν] χου ℵ^{*fort} | και 3°] + συνηγαγεν ℵ$^{c.(a\ ut\ vid)}$ (postea del) AQ | χρυ- ℵAQΓ
σιον] αργυριον Q 4 om και 1° ℵAQ | αυτους] αυτην ℵ$^{c.a}$ (postea -τους) AQ | παταξει] καταξει ℵ* (πατ. ℵ$^{c.a, c.b}$) AQ^{a} | εις] ως ℵ* | δυναμιν] pr την AQ 5 οδυνηθησεται] οδυνηθησονται ℵ^{*vid} (-θησεται ℵ^{1}) | επι τω παραπτωματι] επι π. ℵ* (επι τω π. ℵ$^{c.a}$) απο της ελπιδος AQ | βασιλευς] βασιλεια A | εκ] απο AQ 6 κατοικησουσιν] κατοικηθησουσιν ℵ* (-κησ. ℵ$^{c.a, c.b}$) | Αζωτω] ζ, ω 2° rescr ℵ^{1} 7 αυτων 3°] αυτου A | οδοντων] οδων ℵ* (οδοντ. ℵ$^{c.a}$) | υπολιφθησονται B*ℵAΓ (-λειφθ. B^{ab}Q) | ημων] υμω̄ ℵ* (ημ. ℵ$^{c.a, c.b}$) | ως 1°] pr και Q* (om Q^{a}) | Ακκαρων] incep Αρ ℵ* (ρ improb ℵ^{1} postea ras) 8 αναστεμα AQ* (-στημα Q^{a}) Γ | εωρακα B^{b}ℵQ*Γ^{a} | om εν A | om μου 2° Q* (hab Q^{a}) 9 σφοδα ℵ* (-δρα ℵ^{c}) | θυγατηρ bis ℵ* (-τερ ℵ$^{c.a, c.b}$) | Σιων B^{b}ℵAQ^{a}Γ 10 εξολεθρευσει] εξολεθρευθησετε ℵ* (-θρευσει ℵ$^{c.a, c.b}$) -σεται Γ | αρματα] τοξον ℵ* (αρμ. ℵ$^{c.a, c.b}$) | Εφρεμ ℵ: item 13 | εξολεθρευσεται] εξολεθρευθησεται ℵ* (correcturus erat -θρευσει ℵ$^{c.a}$ sed restit -θρευθησετε) AQ | τοξον] ξον ℵ* τοξ. ℵ$^{c.a\ nisi\ iam\ antea\ 1}$ | εθνων] εθρων ℵ* εκθρ. vel εχθρ. ℵ$^{?}$ (εθν. ℵ$^{c.a, c.b}$) | καταρξει] καταξει ℵ* (-αρξ. ℵ$^{c.a}$) | υδατων] + απο θαλασσης ℵ$^{c.a}$ | ποταμων] pr απο ℵ$^{c.a}$ | διεκβολας] εως διεκβολων ℵ$^{c.a}$ (postea rurs διεκβολας) 11 διαθης ℵ* (-θηκης ℵ$^{c.a, c.b}$) | om σου 1° AQ | δεσμιους] τους δεσμους AQ* (-μιους Q^{a}) Γ | σου 2°] signa v l adpinx sed rurs ras ℵ$^{?}$ 12 καθησεσθε] καθησεται ℵ* (-θησεσθε ℵ$^{c.a, c.b}$) Γ και θησονται A και θησεσθε Q* (καθησεσθε Q^{a}) | οχυρωματι AQΓ

B μιᾶς ἡμέρας παροικεσίας σου διπλᾶ ἀνταποδώσω σοι· 13 διότι ἐνέτεινά 13
σε, Ἰούδα, ἐμαυτῷ τόξον, ἔπλησα τὸν Ἐφράιμ, καὶ ἐξεγερῶ τὰ τέκνα
σου Σειὼν ἐπὶ τὰ τέκνα τῶν Ἑλλήνων, καὶ ψηλαφήσω σε ὡς ῥομφαίαν
μαχητοῦ· 14 καὶ Κύριος ἔσται ἐπ' αὐτούς, καὶ ἐξελεύσεται ὡς ἀστραπὴ 14
βολίς, καὶ Κύριος Παντοκράτωρ ἐν σάλπιγγι σαλπιεῖ καὶ πορεύσεται
ἐν σάλῳ ἀπειλῆς αὐτοῦ. 15 Κύριος Παντοκράτωρ ὑπερασπιεῖ αὐτούς· 15
καὶ καταναλώσουσιν αὐτούς, καὶ καταχώσουσιν αὐτοὺς ἐν λίθοις
σφενδόνης, καὶ ἐκπίονται αὐτοὺς ὡς οἶνον, καὶ πλήσουσιν τὰς φιάλας
ὡς θυσιαστήριον. 16 καὶ σώσει αὐτοὺς Κύριος ὁ θεὸς αὐτῶν ἐν τῇ 16
ἡμέρᾳ ἐκείνῃ, ὡς πρόβατα λαὸν αὐτοῦ, διότι λίθοι ἅγιοι κυλίονται ἐπὶ
τῆς γῆς αὐτοῦ. 17 ὅτι εἴ τι ἀγαθὸν αὐτοῦ, καὶ εἴ τι καλὸν αὐτοῦ, σῖτος 17
νεανίσκοις, καὶ οἶνος εὐωδιάζων εἰς παρθένους.

1 Αἰτεῖσθε παρὰ Κυρίου ὑετὸν καθ' ὥραν, πρόιμον καὶ ὄψιμον· 1 X
Κύριος ἐποίησεν φαντασίας, καὶ ὑετὸν χειμερινὸν δώσει αὐτοῖς, ἑκάστῳ
βοτάνην ἐν ἀγρῷ. 2 διότι οἱ ἀποφθεγγόμενοι ἐλάλησαν κόπους, καὶ 2
οἱ μάντεις ὁράσεις ψευδεῖς, καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν, μάταια
παρεκάλουν· διὰ τοῦτο ἐξηράνθησαν ὡς πρόβατα καὶ ἐκακώθησαν,
διότι οὐκ ἦν ἴασις. 3 ἐπὶ τοὺς ποιμένας παρωξύνθη ὁ θυμός μου, καὶ 3
ἐπὶ τοὺς ἀμνοὺς ἐπισκέψομαι· καὶ ἐπισκέψεται Κύριος ὁ θεὸς ὁ
παντοκράτωρ τὸ ποίμνιον αὐτοῦ τὸν οἶκον Ἰούδα, καὶ τάξει αὐτοὺς ὡς
ἵππον εὐπρεπῆ αὐτοῦ ἐν πολέμῳ. 4 καὶ ἀπ' αὐτοῦ ἐπέβλεψεν, καὶ 4
ἀπ' αὐτοῦ ἔταξεν, καὶ ἀπ' αὐτοῦ τόξον ἐν θυμῷ· ἀπ' αὐτοῦ ἐξελεύσεται
πᾶς ὁ ἐξελαύνων ἐν τῷ αὐτῷ. 5 καὶ ἔσονται ὡς μαχηταὶ πατοῦντες 5
πηλὸν ἐν ταῖς ὁδοῖς ἐν πολέμῳ, καὶ παρατάξονται, διότι Κύριος
μετ' αὐτῶν· καὶ καταισχυνθήσονται ἀναβάται ἵππων. 6 καὶ κατι- 6
σχύσω τὸν οἶκον Ἰούδα, καὶ τὸν οἶκον Ἰωσὴφ σώσω, καὶ κατοικιῶ

ℵAQΓ 13 τοξον] pr εις ΑΓ | εξεγειρω] επεγειρω AQΓ | Σιων B^{b}AQΓ 14 Κυριος εσται] εσται κ̅ς̅ ΑΓ | σαλπιει] σαλπιγγει ℵ* (-πιει ℵ^{1} postea ras) | πορευσονται A 15 αυτους 1°] αυτων ℵ$^{c.a, c.b}$AQΓ | καταναλωσωσιν A | om και καταχωσουσιν αυτους ℵ$^{c.a}$ (hab ℵ$^{*c.b}$) | αυτους 4°] το αιμα αυτων ℵ$^{c.a, c.b}$AQΓ | τας φιαλας] ως φ. AQΓ | om ως 2° AQ 16 om ο θεος αυτων AQΓ | κυλιονται Γ$^{a(vid)}$ (? Γ*) 17 om και ει τι καλον αυτου Γ | αυτου 2°] αυτων ℵ* (-του ℵ$^{c.a, c.b}$) pr παρ AQ X 1 παρα Κυριου υετον] υετον παρα κ̅υ̅ AQΓ | πρωιμον B^{b}QΓ^{a} | υετον 2°] υτον ℵ* (υετ. ℵ$^{c.a, c.b}$) 2 μαντις ℵ* (-τεις ℵ$^{c.b}$) | εξηρανθησαν] εξηρθησαν ℵ$^{c.b}$ | διοτι 2°] οτι ℵ$^{c.b}$A 3 παρωξυνθη B^{ab} | om και 1° ℵ* (hab ℵ$^{c.b}$) | επισκεπτεται A | om και 3° ℵ$^{c.b}$ (postea restit) 4 απ quater] εξ ℵ$^{c.b}$ (1°, etiam ℵ$^{c.a}$) AQΓ | απ αυτου (1°)] απ| αυτ. B* α|π αυτ. B^{b} | τοξον] pr το AQ* (om Q^{a}) + εξ αυτου Q* (om Q^{a}) | απ αυτου (4°)] pr και Q | εξελαυνων] ελαυνων A 5 διοτι] οτι ℵ$^{c.b}$ | Κυριος] + παντοκρατωρ A | μετ| αυτων B* με|τ αυτ. B^{b} | αναβαται] αναβοται ℵ^{1}

αὐτούς, ὅτι ἠγάπησα αὐτούς, καὶ ἔσονται ὃν τρόπον οὐκ ἀπεστρεψάμην B
αὐτούς· διότι ἐγὼ Κύριος ὁ θεὸς αὐτῶν, καὶ ἐπακούσομαι αὐτοῖς.
7 [7]καὶ ἔσονται ὡς μαχηταὶ τοῦ Ἐφράιμ, καὶ χαρήσεται ἡ καρδία αὐτῶν
ὡς ἐν οἴνῳ· καὶ τὰ τέκνα αὐτῶν ὄψονται καὶ εὐφρανθήσονται, καὶ
8 χαρεῖται ἡ καρδία αὐτῶν ἐπὶ τῷ κυρίῳ. [8]σημανῶ αὐτοῖς καὶ εἰσδέξο-
μαι αὐτούς, διότι λυτρώσομαι αὐτούς, καὶ πληθυνθήσονται καθότι
9 ἦσαν πολλοί· [9]καὶ σπερῶ αὐτοὺς ἐν λαοῖς, καὶ οἱ μακρὰν μνησθή-
10 σονταί μου, ἐκθρέψουσιν τὰ τέκνα αὐτῶν καὶ ἐπιστρέψουσιν. [10]καὶ
ἐπιστρέψω αὐτοὺς ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ Ἀσσυρίων εἰσδέξομαι
αὐτούς, καὶ εἰς τὴν Γαλααδῖτιν καὶ εἰς τὸν Λίβανον εἰσάξω αὐτούς, καὶ
11 οὐ μὴ ὑπολειφθῇ ἐξ αὐτῶν οὐδὲ εἷς· [11]καὶ διελεύσονται ἐν θαλάσσῃ
στενῇ, καὶ πατάξουσιν ἐν θαλάσσῃ κύματα, καὶ ξηρανθήσεται πάντα
τὰ βάθη ποταμῶν, καὶ ἀφαιρεθήσεται πᾶσα ὕβρις Ἀσσυρίων, καὶ
12 σκῆπτρον Αἰγύπτου περιαιρεθήσεται. [12]καὶ κατισχύσω αὐτοὺς ἐν
Κυρίῳ θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ κατακαυχήσονται, λέγει
Κύριος.

XI 1 [1]Διάνοιξον ὁ Λίβανος τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς
2 κέδρους σου· [2]ὀλολυξάτω πίτυς, διότι πέπτωκεν κέδρος, ὅτι με-
γάλως μεγιστᾶνες ἐταλαιπώρησαν· ὀλολύξατε, δρύες τῆς Βασανείτι-
3 δος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος. [3]φωνὴ θρηνούντων
ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλοσύνη αὐτῶν· φωνὴ ὠρυο-
4 μένων λεόντων, ὅτι τεταλαιπώρηκεν τὸ φρύαγμα τοῦ Ἰορδάνου. [4]τάδε
5 λέγει Κύριος Παντοκράτωρ Ποιμαίνετε τὰ πρόβατα τῆς σφαγῆς, [5]ἃ οἱ
κτησάμενοι κατέσφαζον καὶ οὐ μετεμέλοντο, καὶ οἱ πωλοῦντες αὐτὰ
ἔλεγον Εὐλογητὸς Κύριος, καὶ πεπλουτήκαμεν· καὶ οἱ ποιμένες αὐ-
6 τῶν οὐκ ἔπασχον οὐδὲν ἐπ' αὐτοῖς. [6]διὰ τοῦτο οὐ φείσομαι οὐκέτι
ἐπὶ τοὺς¶ κατοικοῦντας τὴν γῆν, λέγει Κύριος· καὶ ἰδοὺ ἐγὼ παρα- ¶ Γ
δίδωμι τοὺς ἀνθρώπους, ἕκαστον εἰς χεῖρας τοῦ πλησίον αὐτοῦ καὶ

6 ηγαπηκα AQΓ | εσονται] εσται AQΓ | απεστρεψαμην] απεστρεψα ℵ$^{c.a, c.b}$ | ℵAQΓ
αυτοις] αυτους ℵ^{1} 7 Εφμεμ ℵ | και 2°] αι ℵ* (και ℵ$^{c.a, c.b}$) | οψονται] οψεται AQΓ | ευφρανθησεται AQΓ^{vid} | χαρειται] χαρησεται ℵ$^{c.b}$ χαρισεται Γ | η καρδια αυτων] αυτω η καρδια A αυτων η κ. A^{1}Γ 8 αυτοις] αυτους διοτι λυτρωσομαι αυτους A | εισδεξομαι] εις δοξαν ℵ^{*vid} | om διοτι λυτρ. αυτους A 9 λαοις] αλληλοις A | εκθρεψουσιν (-σι Q^{a})] pr και A | επιστρεψουσι Q^{a} 11 ξηρανθησονται A | υβρις] pr η Q | σκηπτον ℵ* (-τρον ℵ$^{c.a}$) 12 κατεσχυσω ℵ* (κατεισχ. ℵ$^{c.a}$ κατ'ισχ. ℵ$^{c.b}$) XI 2 πιτους ℵ* | πεπτωκε Q^{a} | Βασανιτιδος ℵAQ 3 μεγαλωσυνη B^{b}ℵ$^{c.a}$AQΓ | ορυομενων ℵ | τεταλαιπωρηκε (2°) Q^{a} 5 μετεμελλοντο Γ$^{1 vid}$ | πολουντες Γ* (πωλ. Γ^{1}) | αυτα ελεγον] α ε rescr ℵ^{1} | εσπασχον B* (επ. B^{ab}) 6 Κυριος] + παντοκρατωρ A | χειρας] χειρα A

B εἰς χεῖρας βασιλέως αὐτοῦ, καὶ κατακόψουσιν τὴν γῆν, καὶ οὐ μὴ
ἐξέλωμαι ἐκ χειρὸς αὐτῶν. [7]καὶ ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς 7
εἰς τὴν Χαναανῖτιν· καὶ λήμψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν μὲν μίαν
ἐκάλεσα Κάλλος, καὶ τὴν ἑτέραν ἐκάλεσα Σχοίνισμα, καὶ ποιμανῶ τὰ
πρόβατα. [8]καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνί, καὶ βαρυν- 8
θήσεται ἡ ψυχή μου ἐπ' αὐτούς, καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο
ἐπ' ἐμέ. [9]καὶ εἶπα Οὐ ποιμανῶ ὑμᾶς· τὸ ἀποθνῆσκον ἀποθνησκέτω, 9
καὶ τὸ ἐκλιπὸν ἐκλιπέτω, καὶ τὰ λοιπὰ κατεσθιέτωσαν ἕκαστος τὰς
σάρκας τοῦ πλησίον αὐτοῦ. [10]καὶ λήμψονται τὴν ῥάβδον μου τὴν 10
καλήν, καὶ ἀπορρίψω τοῦ διασκεδάσαι τὴν διαθήκην μου ἣν διεθέμην
πρὸς πάντας τοὺς λαούς· [11]καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, 11
καὶ γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι· διότι
λόγος Κυρίου ἐστίν. [12]καὶ ἐρῶ πρὸς αὐτούς Εἰ καλὸν ἐνώπιον ὑμῶν 12
ἐστιν, δότε τὸν μισθόν μου ἢ ἀπείπασθε· καὶ ἔστησαν τὸν μισθόν
μου τριάκοντα ἀργυροῦς. [13]καὶ εἶπεν Κύριος πρὸς μέ Κάθες αὐτοὺς 13
εἰς τὸ χωνευτήριον, καὶ σκέψομαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκι-
μάσθη ὑπὲρ αὐτῶν. καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυροῦς καὶ ἐνέ-
βαλον αὐτοὺς εἰς τὸν οἶκον Κυρίου εἰς τὸ χωνευτήριον. [14]καὶ ἀπέρ- 14
ριψα τὴν ῥάβδον τὴν δευτέραν, τὸ σχοίνισμα, τοῦ διασκεδάσαι τὴν
κατάσχεσιν ἀνὰ μέσον Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ. [15]Καὶ 15
εἶπεν Κύριος πρὸς μέ Ἔτι λάβε σεαυτῷ σκεύη ποιμενικὰ ποιμένος
ἀπείρου. [16]διότι ἰδοὺ ἐξεγείρω ποιμένα ἐπὶ τὴν γῆν· τὸ ἐκλιμπάνον 16

ℵAQ 6 χειρας] χειρα A | εξελουμαι A 7 τα προβατα της σφαγης] τα πρ. ης σφ. ℵ* το προβατον της σφ. ℵ$^{1 vid}$ (τα προβατα της σφ. ℵ$^{c.b}$) | την 1°] γην ℵ$^{* c.c (vid)}$ (την ℵ$^{c.a (vid)}$) | Χαναανιτιν] Χαναveιτιν ℵ Χαvανιτιν A | ληψομαι ℵ*Q | om μεν ℵAQ | μιαν] μαν Q* | προβατα 2°] + μου ℵ$^{c.b}$ 8 ψυχαι] χιρες ℵ* (χειρ. ℵ$^{c.b}$ sed vult etiam ψυχαι) | αυτων] αυτω A* (-των A^{1}) | επωρυοντο] επορυοντο ℵ 9 ειπα] ειπō Q | ποιμαινω Q* (-μανω Q^{a}) | αποθνησκων A | εκλειπον B^{a}AQ | εκλειπετω B^{ab}AQ^{a} εκλιμπανετω Q* | λοιπα] καταλοιπα AQ 10 λημψονται] λημψομαι ℵAQ* (ληψ. Q^{a}) | απορριψω (αποριψω ℵQ)] + αυτην B^{ab}ℵAQ 11 διασκεδασθησονται A | Χαvανεοι ℵ | τα φυλασσ.] om τα ℵ* (hab ℵ$^{c.a}$) | om μοι AQ | om Κυριου A* (superscr A^{1}) | εστι Q^{a}: item 12 12 δοτε] + στησαντες AQ | η απειπασθαι sup ras (seq ras 3 vel 4 litt) A^{a} 13 καθες] καταθες ℵ* (τα ras et iam antea improb ℵ$^{?}$) | σκεψομαι] σκεψαι ℵ$^{c.b}$AQ^{vid} + αυτο A | δοκιμιον ℵ$^{c.a vid}$ (postea -μον) Q* (-μειον Q^{a}) | εδοκιμασθην B$^{* fort}$ℵAQ | τον οικον] om τον A 14 απεριψα ℵQ$^{* vid}$ | του διασκ.] ωστε διασκ. ℵ$^{c.b}$ (mox revoc του) | κατασχεσιν] διαθηκην ℵ$^{c.b}$AQ + μου A | Ισραηλ] pr του AQ 15 σκευη ποιμενικα (ποιμαν. Q$^{* vid}$) ποιμενος απειρου] σκευος ποιμαινος απειρου ποιμαινικα A 16 ιδου] + εγω ℵ$^{c.b}$ (postea ras) Q | ποιμενα] + απιρον ℵ$^{c.a}$ (rurs ras) | εκλιμπανον (? εκλιπ. ℵ*)] εκλιπον ℵ$^{c.a vid}$ εκλειπον ℵ$^{c.b}$

οὐ μὴ ἐπισκέψηται, καὶ τὸ ἐσκορπισμένον οὐ μὴ ζητήσῃ, καὶ τὸ B
συντετριμμένον οὐ μὴ ἰάσηται, καὶ τὸ ὁλόκληρον οὐ μὴ κατευθύνῃ,
καὶ τὰ κρέα τῶν ἐκλεκτῶν καταφάγεται, καὶ τοὺς ἀστραγάλους αὐ-
17 τῶν ἐκστρέψει. [17]ὢ οἱ ποιμαίνοντες τὰ μάταια καὶ καταλελοιπότες
τὰ πρόβατα· μάχαιρα ἐπὶ τοὺς βραχίονας αὐτοῦ καὶ ἐπὶ τὸν ὀφθαλ-
μὸν §τὸν δεξιὸν αὐτοῦ· ὁ βραχίων αὐτοῦ ξηραινόμενος ξηρανθήσεται, § Γ
καὶ ὀφθαλμὸς ὁ δεξιὸς αὐτοῦ ἐκτυφλούμενος ἐκτυφλωθήσεται.

XII 1 [1]Λῆμμα λόγου Κυρίου ἐπὶ τὸν Ἰσραήλ.
Λέγει Κύριος, ἐκτείνων οὐρανόν, καὶ θεμελιῶν γῆν, καὶ πλάσσων
2 πνεῦμα ἀνθρώπου ἐν αὐτῷ [2]Ἰδοὺ ἐγὼ τίθημι τὴν Ἰερουσαλὴμ ὡς
πρόθυρα σαλευόμενα πᾶσι τοῖς λαοῖς κύκλῳ, καὶ ἐν τῇ Ἰουδαίᾳ
3 ἔσται περιοχὴ ἐπὶ Ἰερουσαλήμ. [3]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θή-
σομαι τὴν Ἰερουσαλὴμ λίθον καταπατούμενον πᾶσιν τοῖς ἔθνεσιν·
πᾶς ὁ καταπατῶν αὐτὴν ἐμπαίζων ἐμπαίξεται, καὶ ἐπισυναχθήσεται
4 ἐπ᾽ αὐτὴν πάντα τὰ ἔθνη τῆς γῆς. [4]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει
Κύριος Παντοκράτωρ, πατάξω πάντα ἵππον ἐν ἐκστάσει καὶ τὸν
ἀναβάτην αὐτοῦ ἐν παραφρονήσει, ἐπὶ δὲ τὸν οἶκον Ἰούδα δια-
νοίξω τοὺς ὀφθαλμούς μου, καὶ πάντας τοὺς ἵππους τῶν λαῶν πα-
5 τάξω ἐν ἀποτυφλώσει. [5]καὶ ἐροῦσιν οἱ χιλίαρχοι Ἰούδα ἐν ταῖς
καρδίαις αὐτῶν Εὑρήσομεν ἑαυτοῖς τοὺς κατοικοῦντας Ἰερουσαλὴμ ἐν
6 Κυρίῳ Παντοκράτορι θεῷ αὐτῶν. [6]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τοὺς
χιλιάρχους Ἰούδα ὡς δαλὸν πυρὸς ἐν ξύλοις, καὶ ὡς λαμπάδα πυρὸς
ἐν καλάμῃ, καὶ καταφάγονται ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων πάντας
τοὺς λαοὺς κυκλόθεν, καὶ κατοικήσει Ἰερουσαλὴμ ἔτι καθ᾽ ἑαυτὴν ἐν
7 Ἰερουσαλήμ. [7]καὶ σώσει Κύριος τὰ σκηνώματα Ἰούδα καθὼς ἀπ᾽ ἀρ-
χῆς, ὅπως μὴ μεγαλύνηται καύχημα οἴκου Δαυεὶδ καὶ ἐπάρσεις τῶν
8 κατοικούντων Ἰερουσαλὴμ ἐπὶ τὸν Ἰούδαν. [8]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ

16 εσκορπισμενον] διεσκορπ. AQ | ζητηση] επισκεψηται ℵ* vid (ζητ. ℵ[1]) | ℵAQΓ εκστρεψει] εκτριψει A 17 καταλελοιποτες] pr οι AQ | τους βραχιονας] του βραχιονος Q | ο βραχιων] pr και Γ | οφθαλμος ο δεξιος αυτου] ο οφθ. αυτ. ο δεξιος AQΓ[vid] XII 1 ανθρωπου] αυτου A 2 Ιουδεα ℵ | εσται] pr και AQ 3 πασι ℵAQ | εθνεσι Q[a] | εμπαιζων] ενπ. ℵ | επισυναχθησονται AQΓ 4 ημερα...κ̅ς̅] pr obel B[?] | ημερα] ηρερα ℵ* (ημ. ℵ[c.a et iam antea]) | του λαου ℵ* (των λαων ℵ[c.a, c.b]) | παταξω 2°] καταξω ℵ* (πατ. ℵ[c.a, c.b]) | αναβατην] επι(β)ατην Γ 6 om εν ξυλοις...πυρος 2° ℵ* (hab ℵ[c.a]) | ξυλος B* (-λοις B[ab]) | Ιερουσαλημ 1°] pr την ℵ* (om ℵ[c.a, c.b]) | εν Ιερουσαλημ] asterisc superscr B[a] om ℵ[c.b]AQ 7 σωσει] δωσει A | μεγαλυνεται Γ | επαρσεις (-σις ℵQ)] επαρξεις A | Ιουδαν] οικον Ιουδα Q Ιουδα Γ[vid]

B ἐκείνῃ ὑπερασπιεῖ Κύριος ὑπὲρ τῶν κατοικούντων Ἰερουσαλήμ· καὶ
ἔσται ὁ ἀσθενῶν ἐν αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὡς Δαυείδ, ὁ δὲ οἶκος
Δαυεὶδ ὡς οἶκος θεοῦ, ὡς ἄγγελος Κυρίου ἐνώπιον αὐτῶν. 9 καὶ ἔσται 9
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ζητήσω ἐξᾶραι πάντα τὰ ἔθνη τὰ ἐρχόμενα ἐπὶ
Ἰερουσαλήμ, 10 καὶ ἐκχεῶ ἐπὶ τὸν οἶκον Δαυεὶδ καὶ ἐπὶ τοὺς κατοι- 10
κοῦντας Ἰερουσαλὴμ πνεῦμα χάριτος καὶ οἰκτιρμοῦ· καὶ ἐπιβλέψονται
πρός μὲ ἀνθ᾽ ὧν κατωρχήσαντο, καὶ κόψονται ἐπ᾽ αὐτὸν κοπετὸν ὡς
ἐπ᾽ ἀγαπητῷ, καὶ ὀδυνηθήσονται ὀδύνην ὡς ἐπὶ τῷ πρωτοτόκῳ. 11 ἐν 11
τῇ ἡμέρᾳ ἐκείνῃ μεγαλυνθήσεται ὁ κοπετὸς ἐν Ἰερουσαλὴμ ὡς κοπετὸς
ῥοῶνος ἐν πεδίῳ ἐκκοπτομένου, 12 καὶ κόψεται ἡ γῆ κατὰ φυλὰς φυ- 12
λάς· φυλὴ οἴκου Δαυεὶδ καθ᾽ ἑαυτήν, καὶ αἱ γυναῖκες αὐτῶν καθ᾽ ἑαυ-
τάς· φυλὴ οἴκου Ναθὰν καθ᾽ ἑαυτήν, καὶ αἱ γυναῖκες αὐτῶν καθ᾽ ἑαυτάς·
13 φυλὴ οἴκου Λευεὶ καθ᾽ ἑαυτήν, καὶ αἱ γυναῖκες αὐτῶν καθ᾽ ἑαυτάς· 13
φυλὴ τοῦ Συμεὼν καθ᾽ ἑαυτήν, καὶ αἱ γυναῖκες αὐτῶν καθ᾽ ἑαυτάς.
14 πᾶσαι αἱ ὑπολελιμμέναι φυλαί, φυλὴ καθ᾽ ἑαυτήν, καὶ αἱ γυναῖκες 14
αὐτῶν καθ᾽ ἑαυτάς.

1 Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται πᾶς τόπος διανοιγόμενος τῷ οἴκῳ 1 XIII
Δαυεὶδ καὶ τοῖς κατοικοῦσιν Ἰερουσαλὴμ εἰς τὴν μετακίνησιν καὶ εἰς
τὸν χωρισμόν. 2 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος σαβαώθ, 2
ἐξολεθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκέτι
ἔσται αὐτῶν μνεία· καὶ τοὺς ψευδοπροφήτας καὶ τὸ πνεῦμα τὸ ἀκά-
θαρτον ἐξαρῶ ἀπὸ τῆς γῆς. 3 καὶ ἔσται ἐὰν προφητεύσῃ ἄνθρωπος 3
ἔτι, καὶ ἐρεῖ πρὸς αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ, οἱ γεν-
νήσαντες αὐτόν Οὐ ζήσῃ, ὅτι ψευδῆ ἐλάλησας ἐπ᾽ ὀνόματι Κυρίου·
καὶ συμποδιοῦσιν αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ, οἱ γεν-

ℵAQΓ 8 Ἰερουσαλη̄ ℵ[*] (-λημ ℵ[c.a, c.b]) | Δαυειδ 1°] οικος Δ̄ᾱδ̄ AQΓ | om ο δε οικος Δαυειδ AΓ 9 εξαραι] pr του AQ | ερχομενα] επερχομενα AQ 10 Δαυειδ] Ῑη̄μ̄ ℵ[*] Δ̄ᾱδ̄ ℵ[1] | οικτριμου ℵ οικτειρμου AQ[*] | προς με] + (?) εις ον ε[ξ]ε[κεντησαν] Γ | κοψονται] οψονται ℵ[*] (κοψ. ℵ[c.a]) | αυτον] αυτους A αυτοις Q | αγαπητον AQ | οδυνη ℵQ[vid] | τω πρωτοτοκω] om τω AQ 12 φυλας 2°] om ℵ + φυλη φυλη (om φυλη 2° Q) καθ εαυτην και αι γυναικες αυτων καθ εαυτας AQΓ | Δαυειδ] Ναθαν A[* vid] Δ̄ᾱδ̄ A[1] 13 Λευει sup ras ℵ[1] (Ιουδα ℵ[* fort]) Λευι Q[a] | γυναικες 1°] γυναι κ̄ς̄ A 14 αι υπολελιμμεναι (-λελειμμ. B[ab] Γ[a]) φυλαι] φυλαι αι υπολελειμμεναι AQ[a] φ. αι υπολελιμμ. Q[*] | φυλη] + φυλη ℵ[c.b] XIII 1 τω οικω Δαυειδ...χωρισμον] asteriscos adpinx B[a (vid)] (partim sup ras) ℵ[1] | τω οικω] pr εν AQ | om και τοις κατοικουσιν...χωρισμον Q | τον (το| B) χωρισμον] τον ραντισμον ℵ[c.b] A de Γ non liq 2 om σαβαωθ AQ | εξελεθρευσαι ℵ[*] (εξολεθρ. ℵ[c.a]) | ονοματα των] in α των ras aliq B[?] | ψευδοφροφητας ℵ[*] (ψευδοπροφ. ℵ[c.a, c.b]) 3 αυτον 1°] + εν τω προφητευειν αυτον AΓ[vid] | ζησει Q[a] | επ] εν AQ | συνποδιουσιν ℵ[*] (-δισουσιν ℵ[c.b]: postea rursus -διουσιν)

4 νήσαντες αὐτόν, ἐν τῷ προφητεύειν αὐτόν. ⁴καὶ ἔσται ἐν τῇ ἡμέρᾳ B
ἐκείνῃ καταισχυνθήσονται οἱ προφῆται, ἕκαστος ἐκ τῆς ὁράσεως αὐτοῦ
ἐν τῷ προφητεύειν αὐτόν, καὶ ἐνδύσονται δέρριν τριχίνην ἀνθ' ὧν
5 ἐψεύσαντο. ⁵καὶ ἐρεῖ Οὐκ εἰμὶ προφήτης ἐγώ, διότι ἄνθρωπος ἐρ-
γαζόμενος τὴν γῆν ἐγώ εἰμι, ὅτι ἄνθρωπος ἐγέννησέν με ἐκ νεό-
6 τητός μου. ⁶καὶ ἐρεῖ πρὸς αὐτόν Τί αἱ πληγαὶ αὗται ἀνὰ μέσον
τῶν χειρῶν σου; καὶ ἐρεῖ Ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τῷ ἀγαπητῷ
7 μου. ⁷Ῥομφαία, ἐξεγέρθητι ἐπὶ τοὺς ποιμένας μου καὶ ἐπ'
ἄνδρα πολίτην μου, λέγει Κύριος Παντοκράτωρ· πατάξατε τοὺς ποι-
μένας καὶ ἐκσπάσατε τὰ πρόβατα, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ
8 τοὺς μικρούς. ⁸καὶ ἔσται ἐν πάσῃ τῇ γῇ, λέγει Κύριος, τὰ δύο
μέρη αὐτῆς ἐξολεθρευθήσεται καὶ ἐκλείψει, τὸ δὲ τρίτον ὑπολει-
9 φθήσεται ἐν αὐτῇ· ⁹καὶ διάξω τὸ τρίτον διὰ πυρός, καὶ πυρώσω
αὐτοὺς ὡς πυροῦται τὸ ἀργύριον, καὶ δοκιμῶ αὐτοὺς ὡς δοκιμάζεται
τὸ χρυσίον· αὐτὸς ἐπικαλέσεται τὸ ὄνομά μου, κἀγὼ ἐπακούσομαι
αὐτῷ, καὶ ἐρῶ Λαός μου οὗτός ἐστιν, καὶ αὐτὸς ἐρεῖ Κύριος ὁ θεός
μου.

XIV 1 ¹Ἰδοὺ ἡμέραι ἔρχονται τοῦ κυρίου, καὶ διαμερισθήσεται τὰ σκῦλά
2 σου ἐν σοί· ²καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἐπὶ Ἰερουσαλὴμ εἰς πόλε-
μον, καὶ ἁλώσεται ἡ πόλις καὶ διαρπαγήσονται αἱ οἰκίαι, καὶ αἱ
γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν
αἰχμαλωσίᾳ, οἱ δὲ κατάλοιποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθῶσιν
3 ἐκ τῆς πόλεως. ³καὶ ἐξελεύσεται Κύριος καὶ παρατάξεται ἐν τοῖς
ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρα παρατάξεως αὐτοῦ ἐν ἡμέρᾳ πολέμου.

4 προφηται] π, η sup ras ℵ^{1} 5 διοτι] οτι Q^{a} | om ανθρωπος ℵAQΓ εργαζομενος την γην εγω ειμι οτι AQΓ 6 ερει 1°] ερω AQ | om αυται ℵ* (hab ℵ$^{c.a}$) | χειρων] adnot ωμων ℵ$^{c\,mg}$ postea ras | επληγη Γ^{vid} | του αγαπητου A 7 τους ποιμενας (1°)] τον ποιμεναν ℵ$^{c.b}$ τον ποιμαινα AQ* τον ποιμενα Q^{a}Γ | επ] επι Γ | πολιτην] πολεμηστην ℵ* (πολιτην repos ℵ^{c}) | μου 2°] αυτου ℵ$^{c.(a\,vid)}$ (postea μου) AQΓ | παταξατε] παταξον ℵ$^{c.b\,(vid)}$AQ | τους ποιμενας 2°] τον ποιμενα ℵ$^{c.a,\,c.b}$AQΓ | και 2°] + διασκορπισθησονται (-θητωσαν Q^{a}) τα προβατα Q | εκσπασατε] εκπασατε ℵ* (εκσπ. correcturus erat ℵ^{c} sed rurs del σ) διασκορπισθητω ℵ$^{c.a}$ διασκορπισθητωσαν ℵ$^{c.b}$Γ διασκορπισθησο|ται A | προβατα] + της ποιμνης A | επαξω] επιστρεψω ℵ$^{c.b}$ | μικρους] pr ποιμενας τους ℵ$^{c.a}$ (improb postea revoc ℵ$^{?}$) ποιμενας AQΓ 8 παση τη γη] τη ημερα εκεινη ℵ$^{c.b}$AΓ | αυτης] asterisc adpinx B^{a} (non inst B^{b}) om Q 9 το τριτον] το το τρ. ℵ* (το τρ. ℵ$^{c.a,\,c.b}$) | το χρυσιον sup ras A$^{?vid}$ | ονομα] τ incep ℵ* (improb τ ℵ^{1}) | καγω] και εγω AΓ | εστι Q^{a} XIV 1 ερχον (sic) Γ^{vid} | διαμερισθησονται ℵ* (-σεται ℵ$^{c.b}$) A | σου] σοι incep ℵ* (σου ℵ^{1}) sup ras Q^{vid} 2 εθνη] pr τα ℵAΓ | καaλοιποι ℵ* (καταλ. ℵ$^{1\,et\,postea}$) | λαου sup ras A$^{?}$ | εξολεθρευθωσιν ℵAQ 3 ημερα 1°] ημεραι A αι ημεραι Γ

B [4]καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν 4
ἐλαιῶν τὸ κατέναντι Ἰερουσαλὴμ ἐξ ἀνατολῶν· καὶ σχισθήσεται τὸ
ὄρος τῶν ἐλαιῶν, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς καὶ θάλασσαν, χάος
μέγα σφόδρα· καὶ κλινεῖ τὸ ἥμισυ τοῦ ὄρους πρὸς βορρᾶν, καὶ τὸ
ἥμισυ αὐτοῦ πρὸς νότον· [5]καὶ φραχθήσεται ἡ φάραγξ ὀρέων μου, καὶ 5
ἐνκολληθήσεται φάραγξ ὀρέων ἕως Ἰασόδ, καὶ ἐνφραχθήσεται καθὼς
ἐνεφράγη ἐν ταῖς ἡμέραις τοῦ σεισμοῦ, ἐν ἡμέραις Ὀζείου βασιλέως
Ἰούδα· καὶ ἥξει Κύριος ὁ θεός μου, καὶ πάντες οἱ ἅγιοι μετ᾽ αὐτοῦ.
[6]καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς καὶ ψύχη καὶ πάγος· 6
[7]ἔσται μίαν ἡμέραν, καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ, καὶ 7
οὐχ ἡμέρα καὶ οὐ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς. [8]καὶ ἐν τῇ 8
ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἰερουσαλήμ, τὸ ἥμισυ αὐτοῦ
εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θά-
λασσαν τὴν ἐσχάτην, καὶ ἐν θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως. [9]καὶ 9
ἔσται Κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
ἔσται Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, [10]κυκλῶν πᾶσαν τὴν γῆν 10
καὶ τὴν ἔρημον ἀπὸ Γάβε ἕως Ῥεμμὼν κατὰ νότον Ἰερουσαλήμ.
Ῥαμὰ δὲ ἐπὶ τόπου μενεῖ, ἀπὸ τῆς πύλης Βενιαμεὶν ἕως τοῦ τόπου
τῆς πύλης τῆς πρώτης, ἕως τῆς πύλης τῶν γωνιῶν καὶ ἕως τοῦ
πύργου Ἁναμεήλ, ἕως τῶν ὑποληνίων τοῦ βασιλέως· [11]κατοικήσουσιν 11
ἐν αὐτῇ, καὶ ἀνάθεμα οὐκ ἔσται ἔτι, καὶ κατοικήσει Ἰερουσαλὴμ
πεποιθότως. [12]Καὶ αὕτη ἔσται ἡ πτῶσις ἣν κόψει Κύριος 12
πάντας τοὺς λαοὺς ὅσοι ἐπεστράτευσαν ἐπὶ Ἰερουσαλήμ· τακήσονται
αἱ σάρκες αὐτῶν ἑστηκότων ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ οἱ ὀφθαλμοὶ

ℵAQΓ 4 om το κατεναντι...των ελαιων A | θαλασσαν] pr το ημισυ αυτου προς AQΓ | χαος μεγα sup ras A[?vid] | κλινει sup ras A[?vid] | αυτου 3°] αυτων ℵ* (-του ℵ[c.a, c.b]) 5 φραχθησεται] εμφραχθ. AQ | η φαραγξ] η παραξ ℵ* (η φαραξ ℵ[c.a, c.b vid]) om η Q | ορεων 1°] pr των ℵ[c.a, c.b] Γ[vid] | εγκολληθησεται B[a?b]Q[a] ενκολληθηθησεται ℵ* | φαραγξ 2°] φαραξ ℵ* -ραγξ ℵ[c] | Ιασοδ] Ασαηλ AQ | om και ενφραχθησεται AQΓ[vid] | εμφραχθησεται B[a fort b] | καθως] ον τροπον ℵ[c.b] | εν ταις ημεραις] απο προσωπου ℵ[c.b] | Οζιου B[b] 6 om και εσται AQΓ | και 2°] αλλα ℵ[c.a] (mox revoc και) | ψυχη] ψυχος ℵ[c.a, c.b]AQ[vid] Γ[1 (vid)] 7 μιαν ημεραν] μια ημερα A | ου sup ras B[?] | om και 4° A 8 και εν θερει] notulam arabicam adpinx ℵ[?] | εαρι] εαρ B* εαρι B[ab] αερει A | εσται] αις ℵ* (εσται ℵ[c.a, c.b]) 10 κυκλουν ℵ[c.a]AQ | Γαβεε ℵ[c.a]A Γαβελ Q | εως 1°] ως ℵ* (εως ℵ[c.a]) | τοπου 1°] pr του Γ | Βενιαμειν] Βνιαμειν ℵ* (Βεν. ℵ[1 fort, c.a]) | om του τοπου AQΓ | των γωνιων] om των A | εως 5°] pr και A 11 κατοικησουσιν] pr και ℵ[c.a] κατοικουσιν A | ουκ εσται αναθεμα AQΓ 11—12 om πεποιθοτως...επι Ιερουσαλημ ℵ* (hab πεποιθοτος [-τως ipse ut vid corr]... επι Ιλημ ℵ[c.b]) 12 αι σαρκες] om αι ℵ* (hab ℵ[c.a]) | εστηκοτων] εστηκοτες ℵ* (-των ℵ[c.b]) + αυτων AQ | τους ποδας] των ποδων Γ[vid]

αὐτῶν ῥυήσονται ἐκ τῶν ὀπῶν αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν τακή- B
13 *σεται ἐν τῷ στόματι αὐτῶν.* [13]*καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκ-*
στασις Κυρίου μεγάλη ἐπ᾽ αὐτούς· καὶ ἐπιλήμψονται ἕκαστος τῆς
χειρὸς τοῦ πλησίον αὐτοῦ, καὶ συμπλακήσεται ἡ χεὶρ αὐτοῦ πρὸς
14 *τὴν χεῖρα τοῦ πλησίον αὐτοῦ.* [14]*καὶ Ἰούδας παρατάξεται ἐν Ἰερου-*
σαλήμ, καὶ συνάξει τὴν ἰσχὺν πάντων τῶν λαῶν κυκλόθεν, χρυσίον
15 *καὶ ἀργύριον καὶ ἱματισμὸν εἰς πλῆθος σφόδρα.* [15]*καὶ αὕτη ἔσται*
ἡ πτῶσις τῶν ἵππων καὶ τῶν ἡμιόνων καὶ τῶν καμήλων καὶ τῶν
ὄνων καὶ πάντων τῶν κτηνῶν τῶν ὄντων ἐν ταῖς παρεμβολαῖς ἐκεί-
16 *ναις, κατὰ τὴν πτῶσιν ταύτην.* [16]*καὶ ἔσται ὅσοι ἐὰν καταλιφθῶ-*
σιν ἐκ πάντων τῶν ἐθνῶν τῶν ἐλθόντων ἐπὶ Ἰερουσαλήμ, καὶ
ἀναβήσονται κατ᾽ ἐνιαυτὸν τοῦ προσκυνῆσαι τῷ βασιλεῖ Κυρίῳ
17 *Παντοκράτορι καὶ τοῦ ἑορτάζειν τὴν ἑορτὴν τῆς σκηνοπηγίας.* [17]*καὶ*
ἔσται, ὅσοι ἐὰν μὴ ἀναβῶσιν ἐκ πασῶν φυλῶν τῆς γῆς εἰς Ἰερου-
σαλὴμ τοῦ προσκυνῆσαι τῷ βασιλεῖ Κυρίῳ Παντοκράτορι, καὶ οὗτοι
18 *ἐκείνοις προστεθήσονται.* [18]*ἐὰν δὲ φυλὴ Αἰγύπτου μὴ ἀναβῇ μηδὲ*
ἔλθῃ, καὶ ἐπὶ τούτους ἔσται ἡ πτῶσις ἣν πατάξει Κύριος πάντα τὰ
ἔθνη ὅσα ἐὰν μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας.
19 [19]*αὕτη ἔσται ἡ ἁμαρτία Αἰγύπτου καὶ ἡ ἁμαρτία πάντων τῶν ἐθνῶν,*
20 *ὅσα ἂν μὴ ἀναβῇ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας.* [20]*ἐν τῇ*
ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπὶ τὸν χαλινὸν τοῦ ἵππου ἅγιον τῷ κυρίῳ
Παντοκράτορι· καὶ ἔσονται οἱ λέβητες ἐν τῷ οἴκῳ Κυρίου ὡς φιάλαι
21 *πρὸ προσώπου τοῦ θυσιαστηρίου·* [21]*καὶ ἔσται πᾶς λέβης ἐν Ἰερου-*
σαλὴμ καὶ ἐν τῷ Ἰούδᾳ ἅγιος τῷ κυρίῳ Παντοκράτορι· καὶ ἥξουσιν
πάντες οἱ θυσιάζοντες καὶ λήμψονται ἐξ αὐτῶν καὶ ἑψήσουσιν ἐν
αὐτοῖς, καὶ οὐκ ἔσται Χαναναῖος ἔτι ἐν τῷ οἴκῳ Κυρίου Παντοκρά-
τορος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

12 *εκ*] *απο* A **13** *εστασις* ℵ* (*εκστ.* ℵ$^{c.a}$) | *επ αυτους μεγαλη* AQΓ | ℵAQΓ *επιλημψεται* ΑΓ *επιληψεται* Q | *συνπλακησ.* ℵA *συμπλοκησ.* Q^{vid} | *την χειρα*] om *την* AQΓ **14** *Ιουδας*] pr *ο* AQ | *παραταc* incep ℵ* *παραταξ.* ℵ$^{1 \text{ et postea}}$ | *ιχυν* ℵ* (*ισχ.* ℵ^{1,c}) **15** om *και* 1° A | *εκειναις*] *εκιναιν* ℵ* *εκειναις* ℵ$^{c.b}$ (*ς* pro *ν* iam antea repos) **16** *εαν*] *αν* A | *καταλιφθωσιν* (-*λειφθ.* B^{ab})] *καταλημφθωσιν* A | *παντοκρατι* B* (-*τορι* B^{ab}) **17** *αναβωσιν*] + *εκει* A | *φυλων*] pr *των* ℵAQΓ | *Κυριω*] $\overline{κυ}$ ℵ* ($\overline{κω}$ ℵ^{c}) **18** *ελθη*] + *εκει* AQΓ | om *και* A | *τουτους*] *τουτοις* AQ | *ην*] + $\overline{κς}$ A **19** *εσται*] *εστιν* A | *οσα*] *οσ* ℵ$^{c.a}$Q | *αν*] *εαν* ℵAΓ | *εορτασαι*] pr *του* ℵ$^{c.b}$AQ **20** *τω ιππω* ℵ* (*του ιππου* ℵ$^{c.a}$) | *παντοκρατορ* ℵ* (-*τορι* ℵ$^{c.a}$) om ℵ$^{c.b}$ | om *και* ℵ* (hab ℵ$^{c.a}$) | *εν* 2°] pr *οι* AQΓ **21** *αγιος*] *αγιον* AQΓ | *ηξουσι* Q^{a} | *ληψονται* QΓ$^{a\,vid}$ | *Χαναveος* ℵ | *ετι*] *ουκετι* AQΓ | *εκειvη*] *ενση* ℵ*

Subscr *Ζαχαριας ια* BℵA *Ζαχαριας*| *μνημη* $\overline{θυ}$ Q de Γ non liq

ΜΑΛΑΧΙΑΣ

B ΛΗΜΜΑ λόγου Κυρίου ἐπὶ τὸν Ἰσραὴλ ἐν χειρὶ ἀγγέλου αὐτοῦ· 1 I
θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑμῶν.

[2]Ἠγάπησα ὑμᾶς, λέγει Κύριος· καὶ εἴπατε Ἐν τίνι ἠγάπησας 2
ἡμᾶς; οὐκ ἀδελφὸς ἦν Ησαυ τοῦ Ἰακώβ; λέγει Κύριος· καὶ ἠγά-
πησα τὸν Ἰακώβ, [3]τὸν δὲ Ησαυ ἐμίσησα, καὶ ἔταξα τὰ ὅρια αὐ- 3
τοῦ εἰς ἀφανισμὸν καὶ τὴν κληρονομίαν αὐτοῦ εἰς δόματα ἐρήμου.
[4]διότι ἐρεῖ Ἡ Ἰδουμαία κατέστραπται, καὶ ἐπιστρέψωμεν καὶ ἀνοι- 4
κοδομήσωμεν τὰς ἐρήμους. τάδε λέγει Κύριος Παντοκράτωρ Αὐτοὶ
οἰκοδομήσουσιν καὶ ἐγὼ καταστρέψω· καὶ ἐπικληθήσεται αὐτοῖς ὅρια
ἀνομίας, καὶ λαὸς ἐφ᾽ ὃν παρατέτακται Κύριος ἕως αἰῶνος. [5]καὶ 5
ὀφθαλμοὶ ὑμῶν ὄψονται, καὶ ὑμεῖς ἐρεῖτε Ἐμεγαλύνθη Κύριος ὑπερ-
άνω τῶν ὁρίων τοῦ Ἰσραήλ.

[6]Υἱὸς δοξάζει πατέρα, καὶ δοῦλος τὸν κύριον αὐτοῦ. καὶ εἰ 6
πατήρ εἰμι ἐγώ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ κύριός εἰμι ἐγώ, ποῦ
ἐστιν ὁ φόβος μου; λέγει Κύριος Παντοκράτωρ. ὑμεῖς οἱ ἱερεῖς οἱ
φαυλίζοντες τὸ ὄνομά μου, καὶ εἴπατε Ἐν τίνι ἐφαυλίσαμεν τὸ ὄνομά
σου; [7]προσάγοντες πρὸς τὸ θυσιαστήριόν μου ἄρτους ἠλισγημένους. 7
καὶ εἴπατε Ἐν τίνι ἠλισγήσαμεν αὐτούς; ἐν τῷ λέγειν ὑμᾶς Τράπεζα
Κυρίου ἠλισγημένη ἐστίν, καὶ τὰ ἐπιτιθέμενα ἐξουδενώσατε. [8]διότι 8

ℵAQ Inscr Μαλαχιας ιβ BℵAQ I 1—2 εν χειρι...υμας] obelos adpinx et in mg ου κ΄ π΄ εβρ΄ B$^{a (non b)}$ 2 ημας] υμας ℵ* (ημ. ℵ$^{c.a, c.b}$) | Ιακωβ 2°] + λεγει κ̅ς̅ ℵ 4 Ιδουμεα ℵ | τας] τα ℵ* τας ℵ^{1} | ερημους] ερημωμενας αυτης ℵ$^{c.a}$ ερημωμενας ℵ$^{c.b \text{ et postea}}$ ηρημωμενας AQ | οικοδομησουσι Q^{a} | και εγω] καγω Q 5 οφθαλμοι] pr οι ℵA | των] τεν ℵ* (των ℵ$^{c.a, c.b}$) 6 αυτου] + φοβηθησεται ℵ$^{c.a}$ (postea ras) 7 και ειπατε] in mg ras asterisc B? | ηλισγημενη (-νην B*)] εξουδενωμενη ℵ$^{c.a, c.b}$Q | εστι Q^{a}: item 10, 12, 13 | και τα επιτ.] in mg ras asterisc B? | επιθενα ℵ* επιθεμενα ℵ$^{1, c.a}$ | εξουδενωσατε] βρωματα εξουδενωνται ℵ$^{c.b}$ (postea revoc εξουδενωσατε) βρωματα εξουδενωμενα AQ

ἐὰν προσαγάγητε τυφλὸν εἰς θυσίαν, οὐ κακόν; καὶ ἐὰν προσαγά- B
γητε χωλὸν ἢ ἄρρωστον, οὐ κακόν; προσάγαγε δὴ αὐτὸ τῷ ἡγου-
μένῳ σου, εἰ προσδέξεταί σε, εἰ λήμψεται πρόσωπόν σου, λέγει
9 Κύριος Παντοκράτωρ. [9] καὶ νῦν ἐξιλάσκεσθε τὸ πρόσωπον τοῦ θεοῦ
ὑμῶν καὶ δεήθητε αὐτοῦ· ἐν χερσὶν ὑμῶν γέγονεν ταῦτα· εἰ λήμψο-
10 μαι ἐξ ὑμῶν πρόσωπα ὑμῶν; λέγει Κύριος Παντοκράτωρ. [10] διότι
καὶ ἐν ὑμῖν συνκλεισθήσονται θύραι, καὶ οὐκ ἀνάψεται τὸ θυσιαστή-
ριόν μου δωρεάν· οὐκ ἔστιν μου θέλημα ἐν ὑμῖν, λέγει Κύριος Παντο-
11 κράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν. [11] διότι
ἀπ' ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν
τοῖς ἔθνεσιν, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί
μου καὶ θυσία καθαρά· διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσιν,
12 §λέγει Κύριος Παντοκράτωρ. [12] ὑμεῖς δὲ βεβηλοῦτε αὐτὸ ἐν τῷ λέ- § Γ
γειν ὑμᾶς Τράπεζα Κυρίου ἠλισγημένη ἐστίν, καὶ τὰ ἐπιτιθέμενα
13 ἐξουδένωνται βρώματα αὐτοῦ. [13] καὶ εἴπατε Ταῦτα ἐκ κακοπαθίας
ἐστίν. καὶ ἐξεφύσησα αὐτά, λέγει Κύριος Παντοκράτωρ. καὶ εἰσε-
φέρετε ἁρπάγματα καὶ τὰ χωλὰ καὶ τὰ ἐνοχλούμενα· καὶ ἐὰν φέρητε
τὴν θυσίαν, εἰ προσδέξομαι αὐτὰ ἐκ τῶν χειρῶν ὑμῶν; λέγει Κύριος
14 Παντοκράτωρ. [14] καὶ ἐπικατάρατος ὃς ἦν δυνατός, καὶ ὑπῆρχεν ἐν
τῷ ποιμνίῳ αὐτοῦ ἄρσεν, καὶ εὐχὴ αὐτοῦ ἐπ' αὐτῷ, καὶ θύει διεφθαρ-
μένον τῷ κυρίῳ· διότι βασιλεὺς μέγας ἐγώ εἰμι, λέγει Κύριος Παντο-
κράτωρ, καὶ τὸ ὄνομά μου ἐπιφανὲς ἐν τοῖς ἔθνεσιν.

II 1 2 [1] Καὶ νῦν ἡ ἐντολὴ αὕτη πρὸς ὑμᾶς, οἱ ἱερεῖς. [2] ἐὰν μὴ ἀκούσητε,
καὶ ἐὰν μὴ θῆσθε εἰς τὴν καρδίαν ὑμῶν τοῦ δοῦναι δόξαν τῷ ὀνό-
ματί μου, λέγει Κύριος Παντοκράτωρ, καὶ ἐξαποστελῶ ἐφ' ὑμᾶς τὴν
κατάραν, καὶ ἐπικαταράσομαι τὴν εὐλογίαν ὑμῶν, καὶ καταράσομαι
αὐτήν· καὶ διασκεδάσω τὴν εὐλογίαν ὑμῶν, καὶ οὐκ ἔσται ἐν ὑμῖν,

8 κακον 1°] ακ sup ras A^{a} | προσαγαγε] προσαγαγετε ℵ* (-γαγε ℵ$^{c.b}$) | σε] ℵAQΓ αυτο ℵ$^{c.a}$ (postea σε) AQ | ληψεται Q 9 εξειλακεσθε B* (εξειλασκ. B^{a} εξιλασκ. B^{b}) | αυτου] + ινα ελεηση υμας ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | λημψομαι] λημψοντε ℵ* (-μαι ℵ$^{c.a, c.b}$) 10 συγκλ. B$^{a\ fort\ b}$AQ | αναιψεται ℵ* (αναψ. ℵ$^{1\ et\ postea}$) 11 απ] απο AΓ | om και 1° AQ | δυσ|μων B* δυ|σμων B^{ab} | εθνεσι bis Q^{a} | προσαγεται] προσαγαγετε επι A προσαγαγετε Q$^{*\ vid}$ (-αγεται Q^{a}) 12 εξουδενωται ℵ$^{c.a}$ (postea -νωνται) 13 κακοπαθειας B^{ab}AQ$^{a\ vid}$ | εξεφυσησατε ℵ | εισφερετε A* (εισεφ. A^{1}) | αρπαγματα] pr τα ℵ$^{c.b}$A | εαν φερητε] προσφερετε ℵ$^{c.a\ c.b}$ εαν θυσητε Γ | την θυσιαν] om την AQΓ 14 υπηρχεν] + αυτω A | τω ποιμνιω] om τω Q* (hab Q^{a}) | om αυτου 1° A | θυει] θυσι ℵ | μεγας βασιλευς A II 1 οι ιερεις] τους ιερ. Γ 2 ακουσητε] υπακουσ. AΓ | om εαν μη (2°) ℵ$^{c.b}$ (postea ras) | θησθε] θεσθε ℵ$^{c.a, c.b}$ | εις την καρδιαν (1°)] εν ταις καρδιαις ℵ$^{c.b}$ (postea repos εις την καρδιαν) | εξαποστελλω ℵ* (-στελω ℵ$^{c.a, c.b}$) | και διασκεδασω...υμων] obelos adpinx et in mg ου κ' παρ εβρ. B$^{?\ mg}$

B ὅτι ὑμεῖς οὐ τίθεσθε εἰς τὴν καρδίαν ὑμῶν. [3]Ἰδοὺ ἐγὼ ἀφορίζω ὑμῖν 3
τὸν ὦμον, καὶ σκορπιῶ ἔνυστρον ἐπὶ τὰ πρόσωπα ὑμῶν, ἔνυστρον
ἑορτῶν, καὶ λήμψομαι ὑμᾶς εἰς τὸ αὐτό· [4]καὶ ἐπιγνώσεσθε διότι 4
ἐγὼ ἐξαπέσταλκα πρὸς ὑμᾶς τὴν ἐντολὴν ταύτην, τοῦ εἶναι τὴν
διαθήκην μου πρὸς τοὺς Λευείτας, λέγει Κύριος Παντοκράτωρ. [5]ἡ 5
διαθήκη μου ἦν μετ' αὐτοῦ τῆς ζωῆς καὶ τῆς εἰρήνης, καὶ ἔδωκα
αὐτῷ ἐν φόβῳ φοβεῖσθαι καὶ ἀπὸ προσώπου ὀνόματός μου στέλ-
λεσθαι αὐτόν. [6]νόμος ἀληθείας ἦν ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀδι- 6
κία οὐχ εὑρέθη ἐν χείλεσιν αὐτοῦ· ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη
μετ' ἐμοῦ, καὶ πολλοὺς ἐπέστρεψεν ἀπὸ ἀδικίας. [7]ὅτι χείλη ἱερέως 7
φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, διότι
ἄγγελος Κυρίου Παντοκράτορός ἐστιν. [8]ὑμεῖς δὲ ἐξεκλίνατε ἐκ τῆς 8
ὁδοῦ καὶ ἠσθενήσατε πολλοὺς ἐν νόμῳ, διεφθείρατε τὴν διαθήκην
τοῦ Λευί, λέγει Κύριος Παντοκράτωρ. [9]κἀγὼ δέδωκα ὑμᾶς ἐξου- 9
δενωμένους καὶ ἀπερριμμένους εἰς πάντα τὰ ἔθνη, ἀνθ' ὧν ὑμεῖς
οὐ φυλάσσεσθε τὰς ὁδούς μου ἀλλὰ ἐλαμβάνετε πρόσωπα ἐν
νόμῳ.

[10]Οὐχὶ θεὸς εἷς ἔκτισεν ὑμᾶς; οὐχὶ πατὴρ εἷς πάντων ὑμῶν; τί 10
ὅτι ἐνκατελίπετε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, τοῦ βεβηλῶσαι τὴν
διαθήκην τῶν πατέρων ὑμῶν; [11]ἐνκατελίφθη Ἰούδας, καὶ βδέλυγμα 11
ἐγένετο ἐν τῷ Ἰσραὴλ καὶ ἐν Ἰερουσαλήμ, διότι ἐβεβήλωσεν Ἰούδας
τὰ ἅγια Κυρίου, ἐν οἷς ἠγάπησεν καὶ ἐπετήδευσεν εἰς θεοὺς ἀλλο-
τρίους. [12]ἐξολεθρεύσει Κύριος τὸν ἄνθρωπον τὸν ποιοῦντα ταῦτα, 12
ἕως καὶ ταπεινωθῇ ἐκ σκηνωμάτων Ἰακὼβ καὶ ἐκ προσαγόντων
θυσίαν τῷ κυρίῳ Παντοκράτορι. [13]καὶ ταῦτα ἃ ἐμίσουν, ἐποιεῖτε· 13

ℵAQΓ 2 εις 2°] επι ℵ$^{c. (b vid)}$ (postea ras) 3 om επι τα προσ. υμ. ενυστρον ℵ* (hab ℵ$^{c.a}$) | εορτων και λημψομαι υμ. sup ras B^{a} | εορτων] + υμων ℵ εορτης υμων AQ | λημψομαι (ληψ. Q)] λημψονται ℵ$^{c.b}$ (postea revoc -μαι) | εις] επι A 4 επιγνωσεσθε] γνωσεσθε ℵΓ^{vid} | εγω] + $\overline{κς}$ AQΓ | την διαθηκην] om την ℵ? | Λευιτας AQ^{a}Γ 5 om εν ℵ$^{c.b}$ | φοβεισθαι] + με B$^{ab (vid)}$ℵAQ | ονοματος] pr του A 6 αληθιας ℵ* (-θειας ℵ$^{c.b}$) | χειλεσιν] pr τοις Q | κατευθυνων] κατευθυμ incep ℵ* (κατευθυν. ℵ^{1}) 8 πολλους ησθενησατε AQΓ | διεφθειρατε] και διεφθειρα A (sign sup α 2° adpinx A$^{a?}$) | Λευι BQ^{a}] Λευει ℵAQ*Γ 9 καγω] και εγω AQΓ | εξουδενωμενους] εξουν incep ℵ* (εξουδ. ℵ$^{1 vid}$) | απερριμμενους B^{ab}AΓ] απερριμενους B* ℵ* παριμενους ℵ$^{c.b fort}$ (πα superscr) παρειμενους Q | ου φυλασσεσθε] ουκ εφυλαξασθε A (-σθαι) QΓ | αλλα] αλλ A 10 ουχι $\overline{πηρ}$ εις παντων υμων ουχι $\overline{θς}$ εις εκτισεν υμ. ℵ$^{c.b}$ (prior ord mox restit) | τι οτι] διοτι Γ | εγκατελιπετε B^{b} εγκατελειπετε AQΓ 11 εγκατελειφθη B^{ab}AQ εγκατελιφθη Γ | διοτι] οτι ℵ$^{c.c}$ | om εις ℵ$^{c.b}$ 12 ποιουνταυτα A | εως] + αν ℵ$^{c.a}$ | εκ 1°] εξ ℵ* (εκ ℵ$^{c.b}$) | προσαγοντων] προσαγαγοντων A | τω κυριω] om τω A 13 om α Q* (superscr Q$^{1 vid}$) | εμισων ℵ* (-σουν ℵ$^{c.a, c.b}$)

ἐκαλύπτετε δάκρυσιν τὸ θυσιαστήριον Κυρίου καὶ κλαυθμῷ καὶ B
στεναγμῷ ἐκ κόπων. ἔτι ἄξιον ἐπιβλέψαι εἰς θυσίαν ἢ λαβεῖν
14 δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν; [14]καὶ εἴπατε Ἕνεκεν τίνος; ὅτι Κύριος
διεμαρτύρατο ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον γυναικὸς νεότητός σου,
ἣν ἐνκατέλιπες· καὶ αὕτη κοινωνός σου καὶ γυνὴ διαθήκης σου.
15 [15]καὶ οὐ καλὸν ἐποίησεν καὶ ὑπόλιμμα πνεύματος αὐτοῦ; καὶ
εἴπατε Τί ἄλλο ἢ σπέρμα ζητεῖ ὁ θεός; καὶ φυλάξασθε ἐν τῷ
16 πνεύματι ὑμῶν, καὶ γυναῖκα νεότητός σου μὴ ἐνκαταλίπῃς· [16]ἀλλὰ
ἐὰν μισήσας ἐξαποστείλῃς, λέγει Κύριος ὁ θεὸς τοῦ Ἰσραήλ, καὶ
καλύψει ἀσέβεια ἐπὶ τὰ ἐνθυμήματά σου, λέγει Κύριος Παντο-
κράτωρ. καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν καὶ οὐ μὴ ἐνκατα-
17 λίπητε, [17]οἱ παροξύνοντες τὸν θεὸν ἐν τοῖς λόγοις ὑμῶν· καὶ εἴπατε
Ἐν τίνι παρωξύναμεν αὐτόν; ἐν τῷ λέγειν ὑμᾶς Πᾶς ποιῶν πονηρόν,
καλὸν ἐνώπιον Κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησεν· καί Ποῦ ἐστιν
ὁ θεὸς τῆς δικαιοσύνης;

III 1 [1]Ἰδοὺ ἐξαποστέλλω τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ
προσώπου μου, καὶ ἐξέφνης ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ κύριος ὃν
ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης ὃν ὑμεῖς θέλετε· ἰδοὺ
2 ἔρχεται, λέγει Κύριος Παντοκράτωρ. [2]καὶ τίς ὑπομενεῖ ἡμέραν
εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; διότι αὐ-
τὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου καὶ ὡς ποία πλυνόντων.
3 [3]καθιεῖται χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον καὶ ὡς τὸ χρυ-
σίον, καὶ καθαρίσει τοὺς υἱοὺς Λευεὶ καὶ χεεῖ αὐτοὺς ὥσπερ τὸ
χρυσίον καὶ ὡς τὸ ἀργύριον· καὶ ἔσονται τῷ κυρίῳ προσάγοντες

13 δρακυσιν B* (δακρ. B^{ab}) | κοπτων ℵ* 14 ενεκα AQΓ | οτι] ο AΓ | ℵAQΓ
εγκατελιπες B^{ab} εγκατελειπες AQ^a (ενκ. Q*) εγκατελειπας Γ 15 ου
καλον] ου καλος $ℵ^{c.b}$ ουκ αλλος nisi potius ου καλλος AQΓ (ουκ α. $Γ^{vid}$) |
υπολειμμα B^{ab}Q | ειπατε] ειπα ℵ* (ειπαται $ℵ^{c.a}$) | η] pr αλλ Q | φυ-
λαξεσθε ℵ* (-ξασθε $ℵ^{c.b}$) | γυνεκᾱ ℵ* (γυναικα $ℵ^{c.a, c.b}$) | εγκαταλιπης B^{ab}
εγκαταλειπης AQ^a (ενκ. Q^{*vid}) Γ 16 αλλα] αλλ ℵAΓ | μισησης $Q^{b?}$
εξαποστειλ|ον $Q^{b?}$ | ο θεος] + ο παντοκρατωρ θς A | του Ισραηλ] om του
AΓ | ασεβιᾱ ℵ | τω πνευματι] om τω Γ | εγκαταλιπητε B^{ab}Γ εγκαταλειπητε
A (-ται) Q 17 παρωξυναμεν] παροξ. ℵA | om αυτον AΓ | ευδοκησεν]
ε 2° sup ras A? ηυδοκησεν Q* (-σε Q^a) III 1 ιδου 1°] + εγω $ℵ^{c.(b\ vid)}$ (mox
ras) AQΓ | om και 1° ℵ* (superscr ϗ $ℵ^{1, c.a}$) | εξαιφνης $B^{ab}ℵ^{c.b}$Q | εαυτου]
αυτου AQ^{mg}Γ om Q* 2 η] και A | ποια] πλοια ℵ* ποα Q 3 καθι-
ειται] pr και ℵAQΓ | καθαριζων] καθαριειτε ℵ* (-ριζων $ℵ^{c.a, c.b}$) | και ως το
χρυσιον] obel adpinx $B^{a\ (non\ b)\ mg}$ | om ως 2° ℵQ* | καθαρισει] καθαριει ℵ*
(-ρισι ℵ?) QΓ | Λευει] Λειει ℵ* (Λευει $ℵ^{c.a}$) Λευι AQ^a | χεει] εκχεει $ℵ^{c.a}$ (mox
ras εκ) χει A | ωσπερ] ως $ℵ^{c.b}$AQ | χρυσιον 2°] αργυριον (α rescr A^1) A | ως
3°] om ℵ* (hab $ℵ^{c.b}$) Γ ωσπερ A | αργυριον 2°] χρυσιον A | κυριω] θω Γ |
προσ|αγοντες Q* προ|σαγ. Q^a

3 θυσίαν ἐν δικαιοσύνῃ, 4καὶ ἀρέσει τῷ κυρίῳ θυσία Ἰούδα καὶ Ἰε- 4
ρουσαλὴμ καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος καὶ καθὼς τὰ ἔτη τὰ ἔμ-
προσθεν. 5καὶ προσάξω πρὸς ὑμᾶς ἐν κρίσει, καὶ ἔσομαι μάρτυς 5
ταχὺς ἐπὶ τὰς φαρμακοὺς καὶ ἐπὶ τὰς μοιχαλίδας καὶ ἐπὶ τοὺς
ὀμνύοντας τῷ ὀνόματί μου ἐπὶ ψεύδει, καὶ ἐπὶ τοὺς ἀποστεροῦντας
μισθὸν μισθωτοῦ καὶ τοὺς καταδυναστεύοντας χήραν καὶ τοὺς κονδυ-
λίζοντας ὀρφανοὺς καὶ τοὺς ἐκκλίνοντας κρίσιν προσηλύτου καὶ τοὺς
μὴ φοβουμένους με, λέγει Κύριος Παντοκράτωρ. 6διότι ἐγὼ Κύριος ὁ 6
θεὸς ὑμῶν, καὶ οὐκ ἠλλοίωμαι.

7Καὶ ὑμεῖς, υἱοὶ Ἰακώβ, οὐκ ἀπέχεσθε ἀπὸ τῶν ἀδικιῶν τῶν 7
πατέρων ὑμῶν, ἐξεκλίνατε νόμιμά μου καὶ οὐκ ἐφυλάξασθε. ἐπι-
στρέψατε πρὸς μέ, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος ὁ
Παντοκράτωρ. καὶ εἴπατε Ἐν τίνι ἐπιστρέψωμεν; 8μήτι πτερνιεῖ 8
ἄνθρωπος θεόν; διότι ὑμεῖς πτερνίζετέ με. καὶ ἐρεῖτε Ἐν τίνι
ἐπτερνίσαμέν σε; ὅτι τὰ ἐπιδέκατα καὶ αἱ ἀπαρχαὶ μεθ' ὑμῶν εἰσιν·
9καὶ ἀποβλέποντες ὑμεῖς ἀποβλέπετε, καὶ ἐμὲ ὑμεῖς πτερνίζετε. τὸ 9
ἔτος συνετελέσθη, 10καὶ εἰσηνέγκατε πάντα ἐκφόρια εἰς τοὺς θη- 10
σαυρούς, καὶ ἔσται ἡ διαρπαγὴ αὐτοῦ ἐν τῷ οἴκῳ αὐτοῦ. ἐπισκέ-
ψασθε δὴ ἐν τούτῳ, λέγει Κύριος Παντοκράτωρ· ἐὰν μὴ ἀνοίξω ὑμῖν
τοὺς καταράκτας τοῦ οὐρανοῦ, καὶ ἐκχεῶ ὑμῖν τὴν εὐλογίαν μου ἕως
τοῦ ἱκανωθῆναι· 11καὶ διαστελῶ ὑμῖν εἰς βρῶσιν, καὶ οὐ μὴ δια- 11
φθείρω ὑμῶν τὸν καρπὸν τῆς γῆς, καὶ οὐ μὴ ἀσθενήσει ὑμῶν ἡ
ἄμπελος ἡ ἐν τῷ ἀγρῷ, λέγει Κύριος Παντοκράτωρ. 12καὶ μακα- 12
ριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη, διότι ἔσεσθε ὑμεῖς γῆ θελητή, λέγει

ℵAQΓ 3 θυσιας ℵQ 4 θυσια] pr η ℵ | ετη] τ sup ras A[a] 5 om προς A | εσομαι μαρτυς in mg et sup ras A[1] (om μαρτυς A* vid) | χηραν] χη| ℵ* vid χηρας ℵc.a, c.b τας χηραν Q* τας χηρας Q[a] | κρισιν] κριμα Q | προσηλυτου] προσηλυτους (superscr s) Q[a] οι γ' προσηλυτου Q[mg] 6 υμων] ημων AΓ | om και A 7 απεσεσθε B* (απεχ. B[ab]) επεσχεσθε A | επιστρεψατε] επιστραφητε AΓ | ο παντοκρατωρ] om ο B[ab]ℵAQΓ[vid] | επιστρεψωμεν] επιστρεψωμαι ℵ* (-ψωμεν ℵc.a, c.b) επιστρεψομεν Q[a] 8 μητι] ει ℵc.bAQΓ | πτερνιζετε] επτερνιζετε Q* (πτερν. Q[a]) | ερειτε] ειπατε ℵc.bAQ[a]Γ | επτερνισαμεν (επερν. ℵ)] επτερνικαμεν A πτερνικαμεν (sic) Γ | απαρχαι] αρχαι ℵ* (απαρχαι ℵc.a, c.b) | εισι Q[a] 9 αποβλεπετα ℵ* (-ται ℵc.a, c.b) | ετος] εθνος ℵ* (ετ. ℵc.a, c.b) | συντελεσθη Q* (συνετελ. Q[a]) 10 εκφορια (-ρεια AQ[a])] pr τα ℵAQΓ | τον θησαυρον ℵc.a (postea τους θησαυρους) | εν τω οικω αυτ. εσται η διαρπαγη αυτου AQΓ | om εσται ℵ[1] (postea restit) | αυτου 1°] αυτων ℵc.a (postea ras) | τω οικω αυτου] τοις οικοις υμων ℵc.a, c.b | επισκεψασθε] επιστρεψατε ℵc.bAΓ 11 εις βρωσιν] την βρ. A | om ου μη (1°) Γ | διαφθειρω] διαφθερω A | ασθενηση ℵQ | η αμπελος υμων AΓ | τω αγρω] om τω A 12 om και A* (hab A[a (mg)])

13 Κύριος Παντοκράτωρ. 13Ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν, B
14 λέγει Κύριος, καὶ εἴπατε Ἐν τίνι κατελαλήσαμεν κατὰ σοῦ; 14εἴ-
πατε Μάταιος ὁ δουλεύων θεῷ, καὶ τί πλέον ὅτι ἐφυλάξαμεν τὰ φυ-
λάγματα αὐτοῦ, καὶ διότι ἐπορεύθημεν ἱκέται πρὸ προσώπου Κυρίου
15 Παντοκράτορος; 15καὶ νῦν ἡμεῖς μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοι-
κοδομοῦνται πάντες ποιοῦντες ἄνομα, καὶ ἀντέστησαν θεῷ καὶ ἐσώ-
16 θησαν. 16Ταῦτα κατελάλησαν οἱ φοβούμενοι τὸν κύριον, ἕκαστος
πρὸς τὸν πλησίον αὐτοῦ· καὶ προσέσχεν Κύριος καὶ εἰσήκουσεν, καὶ
ἔγραψεν βιβλίον μνημοσύνου ἐνώπιον αὐτοῦ τοῖς φοβουμένοις τὸν
17 κύριον καὶ εὐλαβουμένοις τὸ ὄνομα αὐτοῦ. 17Καὶ ἔσονταί μοι, λέγει
Κύριος Παντοκράτωρ, εἰς ἡμέραν ἣν ἐγὼ ποιῶ εἰς περιποίησιν, καὶ
αἱρετιῶ αὐτοὺς ὃν τρόπον αἱρετίζει ἄνθρωπος τὸν υἱὸν αὐτοῦ τὸν
18 δουλεύοντα αὐτῷ. 18καὶ ἐπιστραφήσεσθε καὶ ὄψεσθε ἀνὰ μέσον
δικαίου καὶ ἀνὰ μέσον ἀνόμου, καὶ ἀνὰ μέσον τοῦ δουλεύοντος θεῷ
IV (III 19) 1 καὶ τοῦ μὴ δουλεύοντος. 1διότι ἰδοὺ ἡμέρα ἔρχεται καιομένη
ὡς κλίβανος, καὶ φλέξει αὐτούς, καὶ ἔσονται πάντες οἱ ἀλλο-
γενεῖς καὶ πάντες οἱ ποιοῦντες ἄνομα καλάμη, καὶ ἀνάψει αὐ-
τοὺς ἡ ἡμέρα ἐρχομένη, λέγει Κύριος Παντοκράτωρ, καὶ οὐ μὴ
(20) 2 ὑπολειφθῇ ἐξ αὐτῶν ῥίζα οὐδὲ κλῆμα. 2καὶ ἀνατελεῖ ὑμῖν τοῖς
φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς
πτέρυξιν αὐτοῦ· καὶ ἐξελεύσεσθε καὶ σκιρτήσετε ὡς μοσχάρια
(21) 3 ἐκ δεσμῶν ἀνειμένα. 3καὶ καταπατήσετε ἀνόμους, διότι ἔσονται
σποδὸς ὑποκάτω τῶν ποδῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ ᾗ ἐγὼ ποιῶ,
(23) 4 λέγει Κύριος Παντοκράτωρ. 4Καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμῖν
Ἠλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν ἡμέραν Κυρίου τὴν μεγάλην
(24) 5 καὶ ἐπιφανῆ, 5ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν καὶ

14 μετεος ℵ* (ματεος ℵc.a, c.b) | πλεον] πλιον ℵ* πλειον ℵc.a, c.bQ | om ℵAQΓ και 2° AΓ 15 om παντες ℵc.b vid AQΓ | bis scr ποιουντες B | om και 3° AQΓ 16 κατελαλησαν] ελαλησαν A | φοβουμενοι] + τοι ℵ* (improb ℵ1, c.a, c.b) | τον κυριον 1°] om τον QΓ om κ̅ν̅ ℵ*vid (hab ℵ1) | προσεσχεν (-σχε Qa)] ιδεν Γ | εισηκουσε Qa | εγραψε Qa 17 μοι] μου ℵ*vid (μοι ℵ1) | αιρετιω] ερετι A* (ω superscr A1) | αιρετιζει] αιρετιει Q* 18 om και 1° ℵ* (hab ℵc.a) | ανομου] αδικου AΓ | θεω] pr τω A | του μη] τω μη B*b (του μη Ba) | δουλευοντος 2°] + αυτω Γ IV 1 διοτι] οτι ℵc.b | om ιδου A* (διοτι ιδου in mg et sup ras Aa?) | ημερα 1°] + κ̅υ̅ AQΓ | καομενη Q* | ανομα] pr τα Γ | ερχομενη] pr η ℵAQΓ | υπολιφθη B*ℵΓ (-λειφθ- BabAQ) | om εξ ℵc.b 2 αυτου] αυτων A | εξελευσεσθε και σκιρτησετε] λευσεσθε και σκιρ| sup ras Aa (σκιρ|σατε A) 3 καταπατησατε A 4—6 vers 6 ante 4 poni vult ut vid ℵc.b 4 om και 1° Γ | ημεραν] pr την Γ

B *καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ, μὴ ἔλθω καὶ πατάξω*
τὴν γῆν ἄρδην. [6] *Μνήσθητε νόμου Μωσῆ τοῦ δούλου μου,* 6 (22)
καθότι ἐνετειλάμην αὐτῷ ἐν Χωρὴβ πρὸς πάντα τὸν Ἰσραήλ,
προστάγματα καὶ δικαιώματα.

ℵAQΓ 5 *ελθω και*] *ελθων* ℵ[c.b] 6 *Μωυση* AQΓ
Subscr *Μαλαχιας ιβ'* B *προφητης αγγελος Μαλαχιας ιβ'* ℵA *Μαλ. ιβ'*|
προφηται ιβ' Q deest ut vid in Γ

ΗΣΑΙΑΣ

I 1 ΟΡΑΣΙΣ, ἣν εἶδεν Ἠσαίας υἱὸς Ἀμώς, ἣν εἶδεν κατὰ τῆς Ἰουδαίας B
καὶ κατὰ Ἰερουσαλήμ, ἐν βασιλείᾳ Ὀζείου καὶ Ἰωαθὰμ καὶ Ἀχὰς καὶ
Ἑζεκίου οἳ ἐβασίλευσαν τῆς Ἰουδαίας.

2 [2]Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν. υἱοὺς
3 ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. [3]ἔγνω βοῦς τὸν κτησά-
μενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω,
4 καὶ ὁ λαός με οὐ συνῆκεν. [4]οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης
ἁμαρτιῶν, σπέρμα πονηρόν, υἱοὶ ἄνομοι. ἐγκατελίπατε τὸν κύριον
5 καὶ παρωργίσατε τὸν ἅγιον τοῦ Ἰσραήλ. [5]τί ἔτι πληγῆτε προστιθέντες
6 ἀνομίαν; πᾶσα κεφαλὴ εἰς πόνον καὶ πᾶσα καρδία εἰς λύπην. [6]ἀπὸ
ποδῶν ἕως κεφαλῆς οὔτε τραῦμα οὔτε μώλωψ οὔτε πληγὴ φλεγ-
μαίνουσα, οὐκ ἔστιν μάλαγμα ἐπιθεῖναι οὔτε ἔλαιον οὔτε καταδέ-
7 σμους. [7]ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι· τὴν χώραν
ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν, καὶ ἠρήμωται
8 κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων. [8]ἐγκαταλειφθήσεται ἡ θυγάτηρ
Σειὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηράτῳ,

Inscr Ησαιας Bℵ* (ras dein inst addito αρχη ℵ?) Q + ορασματισμος Qmg ℵAQΓ Ησ. προφητης ιγʹ A Ησ. ιγʹ Γ I 1 ιδεν bis Q | Αμως ην] Αμωσειν ℵd.a | βασιλεια] αʹσʹθʹ ημεραις Qmg | Οζιου BbAQΓ | Αχαζ ℵQΓ 2 Κυριος] πιπι Qmg (item 4, 9, et identidem) | εγεννησα] θʹσʹ εξεθρεψα Qmg 3 με 1°] αʹθʹ μου Qmg 4 αμαρτωλον] απολωλο̄ (sic) Γ | πληρης] οι λʹ βεβαρημενο̄ Qmg | πονηρον] οι γʹ πονηρευομενων Qmg | εγκατελιπατε (ενκ. ℵ* εγκ. ℵc.b)] εγκατελειπετε AQ εγκατελειπατε Γ | παρωργησατε Γ | του Ισραηλ] om του ℵ* (hab ℵc) + αʹ ※ απηλλοτριωθησαν εις τα οπισω Qmg 5 ανομιας ℵ | πονον] αʹ αρρωστημα σʹ νοσον Qmg 6 ποδων] pr (vid) σʹθʹ ιχνους Qmg | κεφαλης] + αʹ ※ ουκ εστῑ εν αυτω ολοκληρια Qmg | επιθηναι inst ℵd.a 7 πυρικαυτοι ℵ* (-καυστ. ℵ1(vid)) | αυτη A* (-την A1) | ερημωσ̄, Γ | om λαων Γ 8 ενκαταλ. ℵ | Σιων BbAQΓ | αμπελωσιν ℵ | σικυηρατω] σικυηλατω Bab συκυηρ. ℵ*d.a (σικ. ℵc) A

B ὡς πόλις πολιορκουμένη· 9 καὶ εἰ μὴ Κύριος σαβαὼθ ἐγκατέλιπεν 9
ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώ-
θημεν. 10 Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων· προσέχετε 10
νόμον θεοῦ, λαὸς Γομόρρας. 11 τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; 11
λέγει Κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν
καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, 12 οὐδ' ἂν ἔρχησθε ὀφθῆναί 12
μοι. τίς γὰρ ἐξεζήτησεν ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν τὴν
αὐλήν μου 13 οὐ προσθήσεσθε· ἐὰν φέρητε σεμίδαλιν, μάταιον· θυμίαμα, 13
βδέλυγμά μοί ἐστιν· τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα καὶ ἡμέραν
μεγάλην οὐκ ἀνέχομαι· νηστείαν καὶ ἀργίαν 14 καὶ τὰς νουμηνίας ὑμῶν 14
καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου· ἐγενήθητέ μοι εἰς πλησμονήν,
οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. 15 ὅταν ἐκτείνητε τὰς χεῖρας 15
ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν
δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν, αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις.
16 λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν 16
ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου· παύσασθε ἀπὸ τῶν πονηριῶν
ὑμῶν, 17 μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικού- 17
μενον, κρίνατε ὀρφανῷ καὶ δικαιώσατε χήρᾳ. 18 καὶ δεῦτε διελεγχθῶ- 18
μεν, λέγει Κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς
χιόνα λευκανῶ, ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. 19 καὶ 19
ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· 20 ἐὰν δὲ 20
μὴ θέλητε μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ
στόμα Κυρίου ἐλάλησεν ταῦτα. 21 Πῶς ἐγένετο πόρνη πόλις πιστὴ 21
Σειών, πλήρης κρίσεως; ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ
φονευταί. 22 τὸ ἀργύριον ὑμῶν ἀδόκιμον· οἱ κάπηλοί σου μίσγουσι 22

ℵAQΓ 8 πολεις πολις B* (om -λις B^{ab}) 9 σαβαωθ] σ'θ' των δυναμεων α' στρατειων Q^{mg} | εγκατελιπεν (ενκ. ℵ)] ενκατελειπεν ℵ$^{c.b}$ εγκατελειπεν AQΓ | εγεννηθημεν A | ομοιωθημεν AQ* (ωμ. Q^{a}) Γ 10 νομον] λογον ℵ* (νομ. ℵ$^{c.a, c.b}$) | θεου] + οι γ' ημων Q^{mg} | λαος] λαον ℵ* (λαος ℵ$^{c.d.a}$) 11 μοι] εμοι A | πληρης] α'σ' εμπεπλησμαι Q^{mg} | ολοκαυτωμα, των B | αρνων] αν͞ων Q^{*fort} (αρν. Q^{a}) 12 ουδ εαν (? ουδε αν) ℵ* 13 φερητε] + μοι A | σιμιδαλιν B* (σεμ. B^{ab}) | μεγαλην] α' κλητην θ' επικλητον Q^{mg} | νηστιαν ℵQ* (-τειαν Q^{a}) | αργειαν AΓ 14 om και τας νουμηνιας υμων ℵ | μοι] μου ℵ* (μοι ℵ$^{1(vid)}$) | πλησμονην] α'σ'θ' ενοχλησιν Q^{mg} | ουκετι ανησω] σ' εκοπωθη͞ ιλασκομενος Q^{mg} 15 εκτεινητε τας χειρας] τας χ. εκτ. προς με ℵAQΓ | πληρης Γ 16 γινεσθε Γ 16—20 υμων απεναντι...ελαλησεν ταυτα] pr obelos B^{a} (non inst B^{b}) 16 των πονηριων] om των Γ σ' πονηρευομενοι Q^{mg} 17 χηραν B^{ab}ℵAΓ 18 δευτε] + και ℵAQΓ + (οι γ' ※) δη Q^{mg} | διελεγχωμεν Q* διελεγχθ. Q$^{1(vid)}$ | ωσιν 2°] pr σ' πυραι Q^{mg} | ως 4°] ωσι ℵ* 19 θελετε A 21 Σιων B^{b}Q (sub ÷) Γ | κρισεως] + και αληθιας ℵ* (improb ℵ$^{c.b}$) | εκοιμηθη] σ' ηυλιζετο Q^{mg} 22 αδοκιμον] + αι πολεις υμων πυρικαυστοι A | μισγουσιν ℵAΓ

23 τὸν οἶνον ὕδατι· [23]οἱ ἄρχοντές σου ἀπειθοῦσιν κοινωνοὶ κλεπτῶν, B
ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες καὶ
24 κρίσιν χηρῶν οὐ προσέχοντες. [24]διὰ τοῦτο τάδε λέγει Κύριος ὁ
δεσπότης σαβαώθ Οὐαὶ οἱ ἰσχύοντες Ἰσραήλ· οὐ παύσεται γάρ μου
ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις, καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν μου ποιήσω.
25 [25]καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σὲ καὶ πυρώσω εἰς καθαρόν, τοὺς δὲ
26 ἀπειθοῦντας ἀπολέσω, καὶ ἀφελῶ πάντας ἀνόμους ἀπὸ σοῦ· [26]καὶ
ἐπιστήσω τοὺς κριτάς σου ὡς τὸ πρότερον, καὶ τοὺς συμβούλους σου
ὡς τὸ ἀπ᾽ ἀρχῆς· καὶ μετὰ ταῦτα κληθήσῃ Πόλις δικαιοσύνης, μητρό-
27 πολις πιστὴ [(27)]Σειών. [27]μετὰ γὰρ κρίματος σωθήσεται ἡ αἰχμαλωσία
28 αὐτῆς καὶ μετὰ ἐλεημοσύνης· [28]καὶ συντριβήσονται οἱ ἄνομοι καὶ οἱ
ἁμαρτωλοὶ ἅμα, καὶ οἱ ἐγκαταλιπόντες τὸν κύριον συντελεσθήσονται·
29 [29]διότι αἰσχυνθήσονται ἀπὸ τῶν εἰδώλων αὐτῶν ἃ αὐτοὶ ἠβούλοντο,
30 καὶ ᾐσχύνθησαν ἐπὶ τοῖς κήποις, ἃ ἐπεθύμησαν. [30]ἔσονται γὰρ ὡς
τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ
31 ἔχων· [31]καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στιππύου, καὶ αἱ ἐρ-
γασίαι αὐτῶν ὡς σπινθῆρες, καὶ κατακαυθήσονται οἱ ἄνομοι καὶ οἱ
ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων.

II 1 [1]Ὁ λόγος ὁ γενόμενος πρὸς Ἡσαίαν υἱὸν Ἀμὼς περὶ τῆς Ἰουδαίας
καὶ περὶ Ἰερουσαλήμ.

2 [2]Ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, καὶ
ὁ οἶκος τοῦ θεοῦ ἐπ᾽ ἄκρου τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν

23 απειθουσιν] θ′ εκκλειναντες σ′ απειθεις Q^mg | αγαπωντες] α′ πας αυτος ℵAQΓ αγαπων σ′ απας αγαπα θ′ πας τις αγαπα Q^mg | χηρων] χηρας ℵAQ (et ita α′σ′θ′ Q^mg) Γ   24 ο δεσποτης κ̅ς̅ ℵAQΓ | Ισραηλ] Ι̅λ̅η̅μ̅ A   25 πυρωσω] +σε ℵAQΓ | εις καθαρον...απολεσω] σ′ εις κ. την σκωριαν σου θ′ εις κ. το γιγαρτωδες σου α′ ως εκλεκτον στεμφυλα σου Q^mg | σου]+και παντας υπερηφανους ταπεινωσω ℵ (om ταπ. ℵ* hab ℵ^c) AQΓ   26 επιστησω] σ′θ′ αποκαταστησω Q^mg | δικαιοσυνης A | Σιων B^bℵAQΓ   27 και]+η αποστροφη αυτης ℵ* (improb ℵ^c.a, c.b)   28 ενκαταλιποντες ℵ εγκαταλειπ. AQ^aΓ   29 αισχυνθησονται] καταισχ. AQ (θ′ καταισχ. α′σ′ ομοιως τοις ο′ Q^mg) | απο] επι ℵ* c.b(vid) (απο ℵ^c.a) AΓ εν Q (οι γ′ απο Q^mg) | των ειδωλων] τοις ειδωλοις ℵ*A (ιδ.) Q (-λων Q^mg) Γ | ησχυνθησαν] επεσχυνθησαν ℵ* (επαισχ. ℵ^c.b) εσχυνθησονται ℵ^c.a επαισχυνθησονται A επησχυνθησαν Q | επι τοις κηποις] α′σ′θ′ απο των κηπων Q^mg | κηποις]+αυτων A | κηποις α επεθ.] γλυπτοις αυτων εφ οις αυτοι εποιησαν Q^mg | α 2°]+αυτοι ℵ* αυτων α ℵ^c.a (α ℵ^c.b)   31 στιππυου] στιππειου Q^a | ως σπινθηρες (ωσπινθ. ℵA)]+πυρος ℵAΓ α′σ′ εις σπινθηρα Q^mg | κατακαυθησονται] α′σ′ αναφθησ[ονται] Q^mg | οι ανομοι κ. οι αμαρτωλοι] α′ δυο αυτοι σ′ αμφοτερα θ′ αμφοτεροι Q^mg   II 1 ο λογος] om ο Γ | γενομενος]+παρα κ̅υ̅ ℵA (hiat Γ)   2 εμφανες] θ′σ′ ετοιμον εσται Q^mg | το ορος] α′ ορος Q^mg | Κυριου] pr του A pr θ′σ′ του οικου et α′ οικου Q^mg | ακρων ℵAQΓ

B βουνῶν, καὶ ἥξουσιν ἐπ᾽ αὐτὸ πάντα τὰ ἔθνη. 3 καὶ πορεύσονται 3
ἔθνη πολλὰ καὶ ἐροῦσιν Δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου καὶ
εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ
πορευσόμεθα ἐν αὐτῇ. ἐκ γὰρ Σειὼν ἐξελεύσεται νόμος, καὶ λόγος
Κυρίου ἐξ Ἰερουσαλήμ· 4 καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν, καὶ ἐξελέγξει 4
λαὸν πολύν· καὶ συγκόψουσιν τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς
ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήμψεται ἔθνος ἐπ᾽ ἔθνος μάχαιραν,
καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. 5 Καὶ νῦν, ὁ οἶκος Ἰακώβ, 5
δεῦτε πορευθῶμεν τῷ φωτὶ Κυρίου. 6 ἀνῆκεν γὰρ τὸν λαὸν αὐτοῦ 6
τὸν οἶκον τοῦ Ἰσραήλ· ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπ᾽ ἀρχῆς ἡ χώρα αὐτῶν
κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων, καὶ τέκνα πολλὰ ἀλλόφυλα
ἐγενήθη αὐτοῖς. 7 ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν ἀργυρίου καὶ χρυσίου, 7
καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν· καὶ ἐνεπλήσθη ἡ γῆ ἵππων,
καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν· 8 καὶ ἐνεπλήσθη ἡ γῆ βδελυ- 8
γμάτων τῶν ἔργων τῶν χειρῶν αὐτῶν, καὶ προσεκύνησαν ἃ ἐποίησαν
οἱ δάκτυλοι αὐτῶν· 9 καὶ ἔκυψεν ἄνθρωπος καὶ ἐταπεινώθη ἀνήρ, καὶ οὐ 9
μὴ ἀνήσω αὐτούς. 10 καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας καὶ κρύπτεσθε 10
εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς
ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. 11 οἱ γὰρ ὀφθαλμοὶ 11
Κυρίου ὑψηλοί, ὁ δὲ ἄνθρωπος ταπεινός· καὶ ταπεινωθήσεται τὸ ὕψος
τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.
12 ἡμέρα γὰρ Κυρίου σαβαὼθ ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον 12
καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ταπεινωθήσονται, 13 καὶ ἐπὶ 13
πᾶσαν κέδρον τοῦ Λιβάνου τῶν ὑψηλῶν καὶ μετεώρων, καὶ ἐπὶ πᾶν
δένδρον βαλάνου Βασάν, 14 καὶ ἐπὶ πᾶν ὄρος, καὶ ἐπὶ πάντα βουνὸν 14
ὑψηλόν, 15 καὶ ἐπὶ πάντα πύργον ὑψηλόν, καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλόν, 15

ℵAQΓ 2 αυτο] αυτον ℵ* (-το ℵ$^{c.b}$) Q^{*fort} αυτω Γ 3 εθνη πολλα] α′θ′σ′ λαοι πολλοι Q^{mg} | om και 3° AQ* (hab Q^{mg}) Γ | εις το ορος] α′σ′θ′ ομοι[ως] Q^{mg} | Κυριου 1°] pr του A | πορευσωμεθα ℵ | Σιων ℵQΓ | Ιιλημ ℵ* Ιλμ ℵ$^{c.b(vid)}$ 4 των εθνων] εθν. πολλων ℵ | εξελεγξει] ελεγξει ℵ (ελεξι ℵ* -γξει ℵ$^{c.b}$) AQΓ | συνκοψουσιν ℵQ^{*vid} | ου 1°] + μη ℵ* (improb ℵ$^{c.b}$) θ′ ου μη Q^{mg} | λημψεται (ληψ. B^{*vid} [λημψ. B^{mg}] Q)] + ετι ℵ$^{c.a(vid)}$ (improb ℵ$^{c.b}$) AQ θ′ αρη Q^{mg} | και 6°] σ′ ουδε Q^{mg} 5 νυν] + συ Q^{mg} | ο οικος] om ο ℵQ | Ιακωβ] pr του ℵAQ | δευτε] + και ℵQ^{mg} 6 ανηκε Q^{a} 7 αριθμος bis] pr ο ℵ* (improb ℵ$^{c.b}$) | η γη] + αυτων A 8 om α εποιησαν B οις επ. ℵ$^{c.b}$AQΓ 9 αυτους] αυτοις ℵ$^{*c.b}$ (-τους ℵ$^{c.a}$) Q (α′θ′σ′ -τους Q^{mg}) 10 και νυν sub ÷ Q | εισελθατε ℵAΓ | οταν αναστη (σταναστη Γ)...την γην] pr obelos B^{a} (non inst B^{b}) sub ÷ Q | θραυσαι] θαυσε ℵ (item 19) 12 υψηλον] in ο ras aliq B$^{?}$ | ταπεινωθησονται] α′σ′ -θησεται θ′ ομοιως τοις σ′ Q^{mg} 13 μεωρων B* (μετ. B^{ab}) 14 ορος] + υψηλον ℵ οι γ′ ※ υψ. Q^{mg} 15 παν] παντα ℵ* (παν ℵ$^{c.a, c.b}$)

16 [16]καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης, καὶ ἐπὶ πᾶσαν θέαν πλοίων κάλλους· B
17 [17]καὶ ταπεινωθήσεται πᾶς ἄνθρωπος, καὶ πεσεῖται ὕβρις ἀνθρώπων,
18 καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. [18]καὶ τὰ χειρο-
19 ποίητα πάντα κατακρύψουσιν, [19]εἰσενέγκαντες εἰς τὰ σπήλαια καὶ εἰς
τὰς σχισμὰς τῶν πετρῶν καὶ εἰς τὰς τρώγλας τῆς γῆς, ἀπὸ προσώπου
τοῦ φόβου Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ
20 θραῦσαι τὴν γῆν. [20]τῇ γὰρ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ
βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐποίησαν προσκυνεῖν,
21 τοῖς ματαίοις καὶ ταῖς νυκτερίσιν, [21]τοῦ εἰσελθεῖν εἰς τὰς τρώγλας τῆς
στερεᾶς πέτρας καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, ἀπὸ προσώπου τοῦ
φόβου Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ
θραῦσαι τὴν γῆν.

III 1 [1]Ἰδοὺ δὴ ὁ δεσπότης Κύριος σαβαὼθ ἀφελεῖ ἀπὸ Ἰερουσαλὴμ καὶ
ἀπὸ τῆς Ἰουδαίας ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου καὶ ἰσχὺν
2 ὕδατος, [2]γίγαντα καὶ ἰσχύοντα καὶ ἄνθρωπον πολεμιστὴν καὶ δικαστὴν
3 καὶ προφήτην καὶ στοχαστὴν καὶ πρεσβύτερον [3]καὶ πεντηκόνταρχον
καὶ θαυμαστὸν σύμβουλον καὶ σοφὸν ἀρχιτέκτονα καὶ συνετὸν
4 ἀκροατήν· [4]καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαῖκται
5 κυριεύσουσιν αὐτῶν. [5]καὶ συμπεσεῖται ὁ λαός, ἄνθρωπος πρὸς
ἄνθρωπον, καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ· προσκόψει τὸ
6 παιδίον πρὸς τὸν πρεσβύτην, ὁ ἄτιμος πρὸς τὸν ἔντιμον. [6]ὅτι
ἐπιλήμψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ ἢ τοῦ οἰκείου τοῦ πατρὸς
αὐτοῦ λέγων Ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡμῶν γενοῦ, καὶ τὸ βρῶμα τὸ
7 ἐμὸν ὑπὸ σὲ ἔστω. [7]καὶ ἀποκριθεὶς ἐρεῖ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Οὐκ ἔσο-
μαί σου ἀρχηγός· οὐ γάρ ἐστιν ἐν τῷ οἴκῳ μου ἄρτος οὐδὲ ἱμάτιον·
8 οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου. [8]ὅτι ἀνεῖται Ἰερουσαλὴμ καὶ
ἡ Ἰουδαία συμπέπτωκεν, καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς
9 Κύριον ἀπειθοῦντες· [8]διότι νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν, [9]καὶ ἡ § Z

17 υβρις] υψος ℵAQΓ | Κυριος] in 5 ras aliq $B^?$ 18 κατακρυψουσιν] ℵAQZΓ κρυ sup ras A^a 19 εισενηγκανταις ℵ* (εισενεγκαντες $ℵ^{c.a, c.b}$) εισενεγκοντες $Q^?$ | om φοβου $Γ^{fort}$ 20 τη γαρ ημερα] om γαρ AQ* (hab Q^{mg}) α'σ'θ' εν τη ημερα Q^{mg} | εποιησαν] εποιησεν A ομοιως οι γ' -σαν Q^{mg} 21 εισ|ελθειν B^* ει|σελθ. $B^?$ | γην] + α' ※ παυσασθε υμῑ απο του ανου ω αναπνοη εν μυκτηρι αυτου οτι εν τινι ελογισθη αυτος Q^{mg} III 1 Ιερουσαλημ] της Ιουδεας ℵ τ. Ιουδαιας AQΓ | της Ιουδαιας] Ιλμ ℵ Ιερουσαλημ A Ιλημ QΓ | καιισχυν ℵ* (και ισχυν $ℵ^{c.b}$) 2 γιγαντα] θ' δυναστην α' δυνατο̄ σ' ανδριο̄ Q^{mg} | om και ισχυοντα ℵ* (hab $ℵ^{c.a, c.b}$) hab sub ÷ Q 3 αρχιτεκτοναν ℵ* | ακροατην] α' ψιθυρισμω σ' ομιλια μυστικη θ' επωδη Q^{mg} 6 επιληψεται Q^a 6—7 και το βρωμα...αποκριθεις rescr A^1 | υπο σε..εν τη ημε[ρα]] pr obelos B^a (non inst B^b) 8 η Ιουδαια] om η ℵ | διοτι] οτι A διο Z

B αἰσχύνη τοῦ προσώπου αὐτῶν ἀντέστη αὐτοῖς· τὴν δὲ ἁμαρτίαν αὐτῶν
ὡς Σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνισαν. οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι
βεβούλευνται βουλὴν πονηρὰν καθʼ ἑαυτῶν, [10]εἰπόντες Δήσωμεν τὸν 10
δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν· τοίνυν τὰ γενήματα τῶν ἔργων
αὐτῶν φάγονται. [11]οὐαὶ τῷ ἀνόμῳ· πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν 11
αὐτοῦ συμβήσεται αὐτῷ. [12]λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται 12
ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν. λαός μου, οἱ μακαρί-
ζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς καὶ τὸν τρίβον τῶν ποδῶν ὑμῶν ταράσ-
σουσιν. [13]ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν Κύριος, καὶ στήσει εἰς 13
κρίσιν τὸν λαὸν αὐτοῦ· [14]αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ των 14
πρεσβυτέρων τοῦ λαοῦ καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ. ὑμεῖς δὲ τί
¶ Z ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ¶ ἐν τοῖς
οἴκοις ὑμῶν; [15]τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου, καὶ τὸ πρόσωπον τῶν 15
πτωχῶν καταισχύνετε; [16]Τάδε λέγει Κύριος Ἀνθʼ ὧν ὑψώθη- 16
σαν αἱ θυγατέρες Σειών, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ καὶ ἐν
νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν ἅμα σύρουσαι τοὺς
χιτῶνας καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, [17]καὶ ταπεινώσει ὁ θεὸς 17
ἀρχούσας θυγατέρας Σειών. καὶ Κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν·
[18]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ἀφελεῖ Κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ 18
αὐτῶν, τὰ ἐμπλόκια καὶ τοὺς κοσύμβους καὶ τοὺς μηνίσκους, [19]καὶ 19
τὸ κάθεμα καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν, [20]καὶ τὴν σύνθεσιν 20
τοῦ κόσμου τῆς δόξης, καὶ τοὺς χλιδῶνας καὶ τὰ ψέλια καὶ τὸ ἐμπλόκιον
καὶ τοὺς δακτυλίους καὶ τὰ περιδέξια καὶ τὰ ἐνώτια, [21]καὶ τὰ περι- 21

ℵAQZΓ 9 ανηγγειλαν] α′θ′ ομοιως τοις ο′ σ′ απηγγ. Q^mg | ενεφανησαν Γ | διοτι] οτι AΓ | βεβουλονται Γ 9—10 [βε]βουλευνται...ημιν εστιν] pr obelos B^a (non inst B^b) 10 ειποντες...εστιν] pr obelos Z^(?) | ειπαντες A | δησωμεν sub ÷ Q δησομεν Z | οτι δυσχ. ημ. ε. sub ÷ Q σχρηστος ημιν sup ras A^a 11 κατα...αυτω] συμβησεται αυτω| κατα τα εργα των χει| (cet evan) Z | συνβησεται B^* fort 12 κυριευσουσιν ℵ^* c.b (κυριευουσιν ℵ^c.a) Γ | υμων 2°] ημων Γ | τον τριβον] την τρ. ℵAZ | υμων 3°] αυτων Z 14 Κυριος] pr ο Z | om και μετα των αρχοντων αυτου ℵ^* (hab και των αρχ. αυτ. ℵ^c.a, c.b) | αυτου] αυτων Q | om η Q^* (superscr Q^1 (?)) 15 των πτωχων] τω πτ. ℵ^* (των πτ. ℵ^1) | καταισχυνετε] + ※ φησι κ̅ς̅ κ̅ς̅ [πιπι πιπι] στρατειω̅ + σ′ λεγει κ̅ς̅ των δυναμεω̅ Q^mg 16 λεγε ℵ | Σειων B^* c ℵ] Σιων B^b AQΓ : item 17 | om εν ℵAQ^* (hab Q^mg) Γ | πορια ℵAQ^* 17 om Κυριος Γ | ανακαλυψει] αποκαλυψει AΓQ (θ′ αποκ.) οι ο′ ανακ. Q^mg 18 του ιματ.] αυτου ιματ. Q^* (του ιμ. Q^a) | αυτων] + και τους κοσμους αυτων και ℵAQ^* (sub ÷) + και τον κοσμον αυτ. Q^mg Γ | τα εμπλοκια] + αυτων ℵ (sub ÷ Q) | κοσυμβους] + αυτων ℵ α′ τελαμωνας Q^mg | μηνισκους] σ′ μανιακας Q^mg 19 το καθεμα] θ′ τα καθεματα α′ κροκυφαντους σ′ χαλαστα Q^mg 20 συνθεσιν] συνεσιν A | δοξης] + αυτων ℵ^* (improb ℵ^c.b) A | χλιδωνας] σ′ βραχιαρια τα εγκομβωματα Q^mg | om και τα ψελια...τα περιδεξια ℵ^* και τα ψελια και το εμπλοκιον (τα εμπλοκια ℵ^c.b) και τα περιδεξια και τους δακτ. ℵ^c.a, c.b AQ

22 πόρφυρα καὶ τὰ μεσοπόρφυρα, [22]καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν B
23 οἰκίαν καὶ τὰ διαφανῆ Λακωνικά, [23]καὶ τὰ βύσσινα καὶ τὰ ὑακίνθινα
καὶ κόκκινα, καὶ τὴν βύσσον, σὺν χρυσῷ καὶ ὑακίνθῳ συνκαθυφασμένα,
24 καὶ θέριστρα κατάκλιτα. [24]καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας κονιορτός, καὶ
ἀντὶ ζώνης σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ
χρυσίου φαλάκρωμα ἕξεις διὰ τὰ ἔργα σου, καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ
25 μεσοπορφύρου περιζώσῃ σάκκον. [25]καὶ ὁ υἱός σου ὁ κάλλιστος ὃν
ἀγαπᾷς μαχαίρᾳ πεσεῖται, καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται
26 καὶ ταπεινωθήσονται· [26]καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν,
IV 1 καὶ καταλειφθήσῃ μόνη καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ. [1]καὶ ἐπιλήμ-
ψονται ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνὸς λέγουσαι Τὸν ἄρτον ἡμῶν
φαγόμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα· πλὴν τὸ ὄνομα τὸ σὸν
2 κεκλήσθω ἐφ' ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν. [2]Τῇ δὲ ἡμέρᾳ
ἐκείνῃ ἐπιλάμψει ὁ θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι
3 καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραήλ· [3]καὶ ἔσται τὸ ὑπολειφθὲν ἐν
Σειὼν καὶ τὸ καταλειφθὲν ἐν Ἰερουσαλήμ, ἅγιοι κληθήσονται πάντες
4 οἱ γραφέντες εἰς ζωὴν ἐν Ἰερουσαλήμ. [4]ὅτι ἐκπλυνεῖ Κύριος τὸν
ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σειών, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ
5 μέσου αὐτῶν ἐν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως. [5]καὶ ἥξει,
καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σειὼν καὶ πάντα τὰ περικύκλῳ αὐτῆς
σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ καὶ φωτὸς πυρὸς καιομένου
6 νυκτός, καὶ πάσῃ τῇ δόξῃ σκεπασθήσεται· [6]καὶ ἔσται εἰς σκιὰν ἀπὸ
καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ.

V 1 [1]Ἄισω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί

22 τα κατα την οικιαν sub ÷ Q om τα Γ 23 κοκκινα] pr τα ℵAQΓ | ℵAQΓ χρυσιω ℵAQΓ | συγκαθυφ. B^{ab} (συνκατυφ. B*ℵ) Q (συγ|κ. Q^{*vid} συ|γκ. Q^{a}) | θεριστρα] σ' σπαθαρικα Q^{mg} | κατακλιτα (sub ÷ Q)] και τα κατακλιστρα ℵ* κατακλιστα ℵ$^{c.a, c.b}$ κατακλειστα Γ 24 ηδειας] ιδιας AQ^{*vid} ευωδε.. Γ + και A^{*vid} (ras A^{1}) | κονιορτος] pr τη A* | σχοινιῶ ℵ | του χρυσιου sub ÷ Q | εξεις...σου sub ÷ Q | σακκοι ℵ* σακκον ℵ$^{c.a, c.b}$ + ταυτα σοι αντι καλλωπισμου σου Q^{mg} (adnot οι γ' στιχοι οι υποκειμενοι ουκ εκειντο εν τω πεντασελιδω ουδε Ωρ. εξηγουμενος τουτω̄ εμνησθη Q^{mg}) 25 κ. ο υιος...ον αγαπας] α' οτι αντι καλλους ανδρες σου Q^{mg} | μαχ. πεσειται] α' εν μαχ. πεσουνται Q^{mg} | και ταπειν. c seqq coniung ℵ IV 1 επιληψ. Q | om ενος Γ^{*vid} (superscr Γ$^{?}$) | περιβαλομεθα Γ 2 επιλαμψει] λαμψει A 3 Σιων B^{b}ℵAQΓ (item 4, 5) | Ιελμ (1°) ℵ (sic) 4 το ρ. Γ | τ. υιων και sub ÷ Q | υ|ιων B* |υιων B$^{?}$ | αιμα] + Ιλμ ℵ* (improb ℵ$^{c.b}$) + ※ οι γ' Ιλημ Q^{mg} | om και πνευματι καυσεως A | πνευματι 2°] pr εν ℵ 5 ς σκιασει sub ÷ Q | ως καπνου και φωτος] α'θ'σ' ϗ καπνον ϗ φεγγος Q^{mg} | φωτος] pr ως ℵAQΓ | om και 6° ℵAQΓ | σκεπασθησεται] κ̄υ πασθησεται A (? A$^{?}$) 6 om απο 2° A V 1 ασω] pr ωδη ℵ$^{c.a}$ | om μου 1° ℵAQ* (hab Q^{mg}) Γ | τω αμπελωνι μου] σ' εις τον αμπελωνα αυτου θ' τω αμπελωνι αυτου Q^{mg}

B μου. ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι ἐν τόπῳ πίονι. [2]καὶ 2
§ Z φραγμὸν περιέθηκα καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα [2]ἄμπελον σωρήκ,
καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν
αὐτῷ· καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, καὶ ἐποίησεν ἀκάνθας. [3]καὶ 3
νῦν, οἱ ἐνοικοῦντες ἐν Ἰερουσαλὴμ καὶ ἄνθρωπος τοῦ Ἰούδα, κρίνατε
ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου. [4]τί ποιήσω ἔτι τῷ 4
ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα τοῦ ποιῆσαι
σταφυλήν, ἐποίησεν δὲ ἀκάνθας. [5]νῦν δὲ ἀναγγελῶ ὑμῖν τί ποιήσω 5
τῷ ἀμπελῶνί μου. ἀφελῶ τὸν φραγμὸν αὐτοῦ καὶ ἔσται εἰς διαρπαγήν,
καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ καὶ ἔσται εἰς καταπάτημα. [6]καὶ ἀνήσω 6
τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ οὐδὲ μὴ σκαφῇ, καὶ ἀναβήσονται
εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθαι· καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ
μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. [7]ὁ γὰρ ἀμπελὼν Κυρίου σαβαὼθ οἶκος 7
τοῦ Ἰσραήλ, καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον· ἔμεινα
τοῦ ποιῆσαι κρίσιν, ἐποίησεν δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην ἀλλὰ
κραυγήν. [8]Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν 8
πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι· μὴ οἰκήσετε
μόνοι ἐπὶ τῆς γῆς; [9]ἠκούσθη γὰρ εἰς τὰ ὦτα Κυρίου σαβαὼθ ταῦτα· 9
ἐὰν γὰρ γένωνται οἰκίαι πολλαί, εἰς ἔρημον ἔσονται· μεγάλαι καὶ
καλαί, καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς. [10]οὗ γὰρ ἐργῶνται 10
δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν, καὶ ὁ σπείρων ἀρτάβας ἓξ
ποιήσει μέτρα τρία. [11]Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωὶ καὶ τὸ σί- 11
κερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συνκαύσει.

ℵAQZΓ 1 εν κερατι] ομοιως οι γ′ Q^{mg} 2 ..|πελον inc Z | σωρηχ ℵ* (χ improb ut vid ℵ^{c}) AZΓ σ′ εκλεκτη̄ α′θ′ ομοιως τοις ο′ Q^{mg} | και εποιησεν] εποιησεν δε ℵAQ (σ′θ′ επ. δε α′ ϗ οι ο′ ϗ επ. Q^{mg}) Γ 3 ανθρωπος του Ιουδα και οι ενοικουντες (-ταις ℵ*) εν Ιερουσαλημ ℵAQZΓ | κρινατε] pr νυν Q^{mg} + οι γ′ ※ δη Q^{mg} | και ανα] καινα Z* (α 2° superscr) 4 τω αμπ. μου ετι ℵ | διοτι] θ′σ′ τι οτι α′ τι ουν Q^{mg} | του ποιησαι] ινα ποιηση Z 5 δε] ουν Q^{mg}Z | αναγγελω] + δη Z οι γ′ ※ δη Q^{mg} | ποιησω] pr εγω Q^{mg} (c ※) Z | εσται 1°] incep ερ ℵ* (εστε ℵ^{1} εσται ℵ$^{c.b}$) | τοιχον] οικο̄ A* (τοιχ. A^{1}) | καταπατημα] διαρπαγην A 6 ουδε] ουδ ου ℵ | σκαφη] + ετει ℵ* (postea ετι) improb ετ. ℵ$^{c.b}$ | αναβησονται] αβαβησεται ℵ* (αναβησονται ℵ$^{c.a}$) αναβησεται ℵ$^{c.b}$AQZΓ | εις 1°] επ Γ | ακανθαι (ακαθ. B* ακανθ. B^{ab})] ακανθα ℵ$^{c.a}$AQ (ακαθα Q*) ZΓ | εις 3°] επ Γ 7 σαβαωθ] θ′ των δυναμεων α′ στρατειω̄ Q^{mg} | Ισραηλ] + εστιν ℵAQ (sub ÷) Z | του Ιουδα] om του Γ | ποιησαι] ινα ποιηση Z | κραυ|ην ℵ* (-γην ℵ$^{c.b}$) 8 om προς οικιαν Z | ινα του πλ. αφελωνται τι] α′ εως περατος τοπου θ′ εως του μη υπαρχειν τοπον σ′ του μη ειναι τοπον Q^{mg} | αφελονται B* (-λωνται B^{ab}) ℵ | τι sub ÷ Q | οικησηται ℵ οικησατε Γ 9 om εν αυταις ℵ$^{c.b}$ (postea revoc) AQ* (hab Q^{mg}) 10 ζευη ℵ* (-γη ℵ$^{c.a}$) | ποιησε ℵ* (-σει ℵ$^{c.a}$) 11 το πρωι] θ′ ομοιως Q^{mg} | συγκαυσει B^{ab}AQ$^{a(vid)}$

12 [12]μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν B
οἶνον πίνουσιν, τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσιν, καὶ τὰ ἔργα
13 τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσιν. [13]τοίνυν αἰχμάλωτος ὁ λαός μου
ἐγενήθη διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν κύριον, καὶ πλῆθος ἐγενήθη
14 νεκρῶν διὰ λιμὸν καὶ δίψος ὕδατος. [14]καὶ ἐπλάτυνεν ὁ ᾅδης τὴν
ψυχὴν ¶ αὐτοῦ καὶ διήνοιξεν τὸ στόμα αὐτοῦ τοῦ μὴ διαλιπεῖν, καὶ ¶ Z
καταβήσονται οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι καὶ οἱ λοιμοὶ
15 αὐτῆς. [15]καὶ ταπεινωθήσεται ἄνθρωπος, καὶ ἀτιμασθήσεται ἀνήρ,
16 καὶ οἱ ὀφθαλμοὶ οἱ μετέωροι ταπεινωθήσονται· [16]καὶ ὑψωθήσεται
Κύριος σαβαὼθ ἐν κρίματι, καὶ ὁ θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν δι-
17 καιοσύνῃ· [17]καὶ βοσκηθήσονται οἱ διηρπασμένοι ὡς ταῦροι, καὶ τὰς
18 ἐρήμους τῶν ἀπειλημμένων ἄρνες φάγονται. [18]Οὐαὶ οἱ ἐπι-
σπώμενοι τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι
19 δαμάλεως τὰς ἀνομίας, [19]οἱ λέγοντες Τὸ τάχος ἐγγισάτω ἃ ποι-
ήσει, ἵνα εἴδωμεν, καὶ ἐλθάτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶ-
20 μεν. [20]Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν καὶ τὸ καλὸν
πονηρόν, οἱ τιθέντες τὸ σκότος φῶς καὶ τὸ φῶς σκότος, οἱ τιθέντες
21 τὸ πικρὸν γλυκὺ καὶ τὸ γλυκὺ πικρόν. [21]Οὐαὶ οἱ συνετοὶ ἐν
22 ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες. [22]Οὐαὶ οἱ ἰσχύοντες
ὑμῶν οἱ πίνοντες τὸν οἶνον, καὶ οἱ δυνάσται οἱ κεραννύντες τὸ σί-
23 κερα, [23]οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων καὶ τὸ δίκαιον τοῦ
24 δικαίου αἴροντες. [24]διὰ τοῦτο ὃν τρόπον καυθήσεται καλάμη ὑπὸ
ἄνθρακος πυρός, καὶ συνκαυθήσεται ὑπὸ φλογὸς ἀνειμένης, ἡ ῥίζα
αὐτῶν ὡς χνοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβήσεται·
οὐ γὰρ ἠθέλησαν τὸν νόμον Κυρίου σαβαώθ, ἀλλὰ τὸ λόγιον τοῦ

12 μετα γαρ...πινουσιν] α′ ϛ εγενετο κιθαρα ϛ ναβλα ϛ τυμπανον ϛ αυλος ℵAQZΓ
και οινος ποτοι αυτων Q^{mg} | om γαρ Γ | και τυμπανων] + και χορων ℵ | Κυριου]
του θῡ ℵ* του κ̄ῡ ℵ$^{c.b}$Q* (πιπι Q^{mg}) Z | εμβλεψουσιν ℵ* (εμβλεπ. ℵ$^{c.a, c.b}$) |
κατανοουσιν] pro ο 2° incep υ B* (ο B^{1}) κατανοησουσιν ℵ* (-νοουσιν ℵ$^{c.a, c.b}$)
13 εγενηθη ο λαος μου Z εγεν. sub ÷ Q | τον κ. sub ÷ Q | διψος] διψαν ℵA
(δειψ.) Q* (-ψος Q^{mg}) ZΓ 14 το στομα αυτου] οι γ′ το στ. αυτου οι ο′ το
στ. του Q^{mg} | διαλειπειν AΓ | αυτης] + σ′θ′ ※ ϛ ο αγαλλιωμενος εν αυτη Q^{mg}
16 εν κριματι] θ′σ′ ιεν κρ. α′ ϛ οι ο′ εν κρισει Q^{mg} 17 φαγωνται ℵ*
(-γονται ℵ^{c}) 18 επισπωμενοι] incep επιστρ. A^{*vid} | αμαρτιας] σ′ ανομιας
α′θ′ την ανομιαν Q^{mg} | ωσχοινιω ℵ* (ως σχ. ℵ$^{c.b}$) 19 ποιησει] ποιη ο θ̄ς
ℵ$^{c.a(vid)}$ | ειδωμεν] ιδωμεν ℵQΓ | ελθατω] ελθοι A ελθετω ℵQ | om Ισραηλ A
20 καλον (2°)] κα| sup ras ℵ$^{1(vid)}$ | το φως σκοτος και το σκοτος φως ℵ
21 εαυτοις] αυτοις Γ | αυτων (αὐτ. B^{a})] εαυτων AQΓ 22 οισχυοντες B*
(οι ισχ. B^{b}) | τον οινον πινοντες ℵAQ | κεραννοντες B*ℵ* (-νυντες B^{ab}ℵ$^{c.b}$)
κεραννυντες A 23 ασεβην ℵ* 24 καυθησεται bis scr A^{*vid} (ras 1°
A^{1}) | συγκαυθησεται B^{ab}AQ^{a} | ανειμενης] η sup ras A^{1} | χνους] χους Q* χν.
Q$^{a\,mg\,i\,pot\,z}$ | αλλα] και Γ

B ἁγίου Ἰσραὴλ παρώξυναν. [25]καὶ ἐθυμώθη ὀργῇ Κύριος σαβαὼθ 25
ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπέβαλεν τὴν χεῖρα ἐπ' αὐτοὺς καὶ ἐπά-
ταξεν αὐτούς· καὶ παρωξύνθη τὰ ὄρη, καὶ ἐγενήθη τὰ θνησιμαῖα
αὐτῶν ὡς κοπρία ἐν μέσῳ ὁδοῦ. καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπε-
στράφη ὁ θυμὸς αὐτοῦ, ἀλλὰ ἔτι ἡ χεὶρ ὑψηλή. [26]τοιγαροῦν ἀρεῖ 26
σύσσημον ἐν τοῖς ἔθνεσιν τοῖς μακρὰν καὶ συριεῖ αὐτοὺς ἀπ' ἄκρου
τῆς γῆς, καὶ ἰδοὺ ταχὺ κούφως ἔρχονται. [27]οὐ πεινάσουσιν οὐδὲ 27
κοπιάσουσιν οὐδὲ νυστάξουσιν οὐδὲ κοιμηθήσονται, οὐδὲ λύσουσιν
τὰς ζώνας αὐτῶν ἀπὸ τῆς ὀσφύος αὐτῶν, οὐδὲ μὴ ῥαγῶσιν οἱ ἱμάντες
τῶν ὑποδημάτων αὐτῶν· [28]ὧν τὰ βέλη ὀξεῖά ἐστι καὶ τὰ τόξα αὐ- 28
τῶν ἐντεταμένα· οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα·
ἐλογίσθησαν οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίς. [29]ὀργιῶσιν 29
ὡς λέοντες, παρέστηκαν ὡς σκύμνοι λέοντος· καὶ ἐπιλήμψεται, καὶ
βοήσει ὡς θηρίον, καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔσται ὁ ῥυόμενος αὐτούς,
[30]καὶ βοήσει δι' αὐτοὺς τῇ ἡμέρᾳ ἐκείνῃ ὡς φωνὴ θαλάσσης κυμαι- 30
νούσης· καὶ ἐμβλέψονται εἰς τὴν γῆν, καὶ ἰδοὺ σκότος σκληρὸν ἐν τῇ
ἀπορίᾳ αὐτῶν.

[1]Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν Ὀζείας ὁ βασιλεὺς εἶδον 1 VI
τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης
ὁ οἶκος τῆς δόξης αὐτοῦ. [2]καὶ σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, 2
ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶν

ℵAQΓ 24 om αγιου A | παροξυναν ℵ* 25 και 1°] θ'σ' δια τουτο Q^mg | εθυμωθη] ωργισθη ℵ | οργη] θυμω ℵ | επι] εις A | χειρα] + αυτου ℵAQΓ (αυ...) | παρωξυνθη (παροξ. ℵ)] α' εκλονηθησαν Q^mg | τα ορη] τα ορ sup ras ℵ^1(vid) | εν μεσω] μεσον Γ | om και 6° AQ* (hab Q^mg) Γ | πασιν AΓ | om αυτου 2° ℵAQ* (hab Q^mg + οι γ' ομοιως) Γ | αλλα] αλλ ℵAQ 26 post αρει ins comma B^a (non inst B^b) | συνσημον ℵ* (συσσ. ℵ^c.c(vid)) | εθνεσι Q | συριει] α'σ' συρισει θ' ομοιως τοις ο' Q^mg | αυτους] αυτοις ℵAQ* (οι γ' αυτω Q^mg) 27 om πεινασουσιν ουδε A | ουδε 4°] + μη ℵ^c.a vid (postea ras) Q ουδ ου μη A | ραγωσιν] παραγωσιν ℵ* (improb πα postea ras ℵ^?) | υποδηματων] α'σ' υποδηματος θ' του υποδ. αυτου Q^mg 28 εστιν ℵAΓQ | οι ποδες] οι λ' αι οπλαι Q^mg | ωστερεα ℵ* (ως στ. ℵ^c.b) | καταιγις] α' συσεισμος (sic) Q^mg 29 οργιωσιν] ορμωσιν ℵ* (ορμωσαν ℵ^c.a) AQ (α' βρυχημα αυτω̄ θ'σ' ωρυγμα αυτου Q^mg) | ως 1°, 2°] ωσει ℵ | παρεστηκαν] παρεστηκασιν ℵ^c.bA παρεστησαν Γ pr και ℵAQΓ | σκυμνος ℵAQ | επιληψεται Q | βοησεται AQΓ (item 30) | om αυτους AQ* (hab sub ÷ Q^mg) 30 βοησει δι αυτους] σ' ηχησει επ αυτον θ' ϗ βοησεται επ αυτον Q^mg | τη ημ. εκ.] pr εν ℵAQ | κυμαιν. sub ÷ Q | εμβλεψονται] + εις τον ουρανον ανω και ℵΓ | γην] + κατω εμβλεψονται ℵ^c.a κατ. εμβλ. ϗ ℵ^c.a VI 1 pr ορασις γ' Q^mg | Οζιας B^bℵAQ | ιδον ℵA | πληρης] θ' ϗ τα προς ποδων αυτου επληρου τον ναō Q^mg 2 σεραφειν ℵA σεραφιμ Γ | ιστηκεισαν AΓ

κατεκάλυπτον τὸ πρόσωπον, ταῖς δὲ δυσὶν κατεκάλυπτον τοὺς πό- B
3 δας, καὶ ταῖς δυσὶν ἐπέταντο. ³καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον
καὶ ἔλεγον Ἅγιος ἅγιος ἅγιος Κύριος σαβαώθ, πλήρης πᾶσα ἡ γῆ
4 τῆς δόξης αὐτοῦ. ⁴καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς
5 ἐκέκραγον, καὶ ὁ οἶκος ἐνεπλήσθη καπνοῦ. ⁵καὶ εἶπον Ὦ τάλας
ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων
ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ, και τὸν βασιλέα
6 Κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. ⁶καὶ ἀπεστάλη πρός με
ἓν τῶν σεραφείν, καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα ὃν τῇ λαβίδι ἔλαβεν
7 ἀπὸ τοῦ θυσιαστηρίου, ⁷καὶ ἥψατο τοῦ στόματός μου καὶ εἶπεν Ἰδοὺ
ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς
8 ἁμαρτίας σου περικαθαριεῖ. ⁸καὶ ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος
Τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπα
9 Ἰδού εἰμι ἐγώ· ἀπόστειλόν με. ⁹καὶ εἶπεν Πορεύθητι καὶ εἰπὸν τῷ
λαῷ τούτῳ Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε
10 καὶ οὐ μὴ ἴδητε. ¹⁰ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ
τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν καὶ τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν,
μή ποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσιν, καὶ τῇ καρ-
11 δίᾳ συνῶσιν καὶ ἐπιστρέψωσιν, καὶ ἰάσομαι αὐτούς. ¹¹καὶ εἶπα Ἕως
πότε, Κύριε; καὶ εἶπεν Ἕως ἂν ἐρημωθῶσιν πόλεις παρὰ τὸ μὴ
κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ ἡ γῆ κατα-
12 λειφθήσεται ἔρημος. ¹²καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ θεὸς τοὺς ἀνθρώ-
13 πους, καὶ οἱ καταλειφθέντες πληθυνθήσονται ἐπὶ τῆς γῆς, ¹³καὶ ἔτι
ἐπ' αὐτῆς ἐστιν τὸ ἐπιδέκατον, καὶ πάλιν ἔσται εἰς προνομήν, ὡς τερέ-
βινθος καὶ ὡς βάλανος ὅταν ἐκπέσῃ ἐκ τῆς θήκης αὐτῆς.

VII 1 ¹Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἀχὰζ τοῦ Ἰωαθὰμ τοῦ υἱοῦ Ὀζείου

2 ταις δε] και ταις (τες ℵ* ταις ℵ^c.a, c.b) AQΓ | δυσι 1°, 2° B^b?vid | επεταντο] επεταοντο ℵ (επετ sup ras ℵ^1) 3 εκεκραγον ℵAQΓ 4 ενεπλησθη] επλησθη ℵAQ* (ενεπλ. Q^a) 5 ειπον] ειπα ℵAQΓ | κατανενυμαι ℵ* (-γμαι ℵ^d.a) οι λ' εσιωπησα Q^mg | ανθωπος ℵ* (ανθρ. ℵ^c) 6 απεσταλην ℵ* | εν τω σερ. B* (εν των σερ. B^ab) | σαραφει̅ ℵ* (σεραφ. ℵ^c.b) σεραφειμ AQ σεραφιμ B^abΓ | χειρι]+οι γ' αυτου Q^mg | ειχεν] εχον Γ | ανθρακα]+πυρος A οι γ' ομοιως Q^mg 7 σου 1°] μου ℵ* (σου ℵ^c.a, c.b) 8 τινα] pr α' ※ τον Q^mg | αποστ. και τις] αποστις ℵ* αποστειλω ϗ ℵ^c.a (vid), c.b | εγω ειμι ℵΓ 9 πορευθητι] πορευου ℵ+προς τον λαον τουτον Γ | ακουσητε AΓ | ειδητε ℵ 10 om αυτων ℵ* (hab ℵ^c.b) | οφθαλμους]+αυτων ℵAQ | εκαμβυσαν B* (εκαμμ. B^bℵ*AQΓ) εκαμυυσαν ℵ^d.a | ακουσωσι, συνωσι, επιστρεψωσι B^b?vid (huiusmodi identidem) | ωσιν 2°]+αυτων Γ | επιστρεψουσιν ℵ 13 εσται] εστιν Γ | εκπεση] εκσπασθη A | εκ] απο ℵAQ | αυτης 2°]+θ' ※ σπερμα αγιο̅ το στηλωμα αυτης Q^mg VII 1 pr ορασις δ' Q^mg | Οζιου B^bAQΓ

B βασιλέως Ἰούδα ἀνέβη Ῥασεὶν βασιλεὺς Ἀρὰμ καὶ Φάκεε υἱὸς Ῥομελιὰ
βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἰερουσαλὴμ πολεμῆσαι αὐτήν, καὶ οὐκ ἠδυνή-
θησαν πολιορκῆσαι αὐτήν. ²καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαυεὶδ λέγων 2
Συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφράιμ· καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ
καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύ-
ματος σαλευθῇ. ³Καὶ εἶπεν Κύριος πρὸς Ἡσαίαν Ἔξελθε εἰς 3
συνάντησιν Ἀχὰζ σὺ καὶ ὁ καταλειφθεὶς Ἰασοὺβ ὁ υἱός σου πρὸς τὴν
κολυμβήθραν τῆς ἄνω ὁδοῦ ἀγροῦ τοῦ γναφέως. ⁴καὶ ἐρεῖς αὐτῷ 4
Φύλαξαι τοῦ ἡσυχάσαι καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω
ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων· ὅταν
γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι. ⁵καὶ ὁ υἱὸς τοῦ 5
Ἀρὰμ καὶ ὁ υἱὸς τοῦ Ῥομελίου, ὅτι ἐβουλεύσαντο βουλὴν πονηράν
⁶Ἀναβησόμεθα εἰς τὴν Ἰουδαίαν, καὶ συνλαλήσαντες αὐτοῖς ἀπο- 6
στρέψομεν αὐτοὺς πρὸς ἡμᾶς, καὶ βασιλεύσομεν αὐτῆς τὸν υἱὸν
Ταβεήλ· ⁷τάδε λέγει Κύριος σαβαώθ Οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη 7
οὐδὲ ἔσται. ⁸ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ Δαμασκός, καὶ ἡ κεφαλὴ Δα- 8
μασκοῦ Ῥασείμ· ἀλλ' ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν ἐκλείψει ἡ βασι-
λεία Ἐφράιμ ἀπὸ λαοῦ. ⁹καὶ ἡ κεφαλὴ Ἐφράιμ Σομορών, καὶ ἡ 9
κεφαλὴ Σομορὼν υἱὸς τοῦ Ῥομελίου· καὶ ἐὰν μὴ πιστεύσητε, οὐδὲ
μὴ συνῆτε. ¹⁰Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἀχὰζ λέγων 10
¹¹Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου θεοῦ σου εἰς βάθος ἢ εἰς 11
ὕψος. ¹²καὶ εἶπεν Ἀχάζ Οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω Κύριον. 12
¹³καὶ εἶπεν Ἀκούσατε δή, οἶκος Δαυείδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα 13

ℵAQΓ 1 Ρασειν] Ρaασσων ℵAQΓ | Αραμ] σ'α' Συριας Qmg | Φακεε] Φακες Γ | Ρομελιου ℵc.bAQΓ 2 λεγων] λεγοντες AQΓ | ον τροπον] pr οταν A α' ως Qmg | εν δρυμω...σαλευθη] pr οταν Q α' σαλευεται ξυλα δρυμου εκ προσωπου ανεμου Qmg | σαλευθη] adnot αντι του εθορυβηθη κατα δε τον Συμμαχον εκλονηθη Γ?mg 3 ειπεν ℵAQΓ | Ιασσουβ ℵ | υιος] αδελφος A | αγρου] pr του AQ pr το Γ | γναφεως] οι γ' ομοιως Qmg 4 η ψυχη] om η Γ | των δαλων bis scr B* (non inst 2° Ba) 5 του Αραμ] om του Γ | εβουλευσαντο]+περι σου ℵ | πονηραν]+θ' ※ Εφραιμ ϗ ο υιος του Ρομελιου Qmg+λεγονταις ℵ* (-τες ℵc.b)+περι σου λεγοντες AQΓ 6 Ιουδαιαν (-δεαν ℵ)] Ιδουμαιαν A | συλλαλησαντες BbAQΓ | αποστρεψωμεν AQ*Γ (de ℵ non liq) α' αποσχισωμεν αυτην Qmg | αυτης] αυτοις AΓ 7 μεινη] εμμινη ℵ* εμμεινη ℵc.bAQΓ | αυτη η βουλη ℵ 8 Αραμ] α'σ' Συριας θ' Αρ. Qmg | om και η κεφ. Δαμ. Ρασειμ ℵ* (hab ϗ η κεφ. Δαμ. Ρασει ℵc.b) Γ | Διαμασκου Q* | Ρασειν AQ (και η κ. Δ. Ρ. sub ※ Q?) | η βασ. sub ÷ Q? | Εφρεμ ℵ 9 Εφεμ ℵ* (Εφρεμ ℵc.a c.b) | Σομορων 1°] α'σ' Σαμαρεια Qmg | υιος] pr ο ℵ | ουδε] ουδ ου Q 10 Αχααζ A 11 θεου] pr του ℵ 12 om Αχαζ Q | ουδε] ουδ ου ℵAQΓ | Κυριον] pr ※ τον Qmg 13 μη μικρον ...αγωνα (2°)] α' μητι ολιγο̄ απομοχθουν ανδρας οτι μοχθουται ϗ γε τον θν̄ μου σ' μη ουκ αυταρκες υμιν κοπουν ανο̄υς οτι κοπουτε ετι ϗ τον θν̄ μου Qmg

14 παρέχειν ἀνθρώποις, καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; [14]διὰ τοῦτο B
δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήμψεται
15 καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· [15]βούτυρον
καὶ μέλι φάγεται πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, ἐκ-
16 λέξασθαι τὸ ἀγαθόν· [16]διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ
κακόν, ἀπειθεῖ πονηρίᾳ ἐκλέξασθαι τὸ ἀγαθόν, καὶ καταλειφθήσεται
17 ἡ γῆ ἣν σὺ φοβῇ ἀπὸ προσώπου τῶν δύο βασιλέων. [17]ἀλλὰ ἐπάξει
ὁ θεὸς ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός
σου ἡμέρας αἳ οὔπω ἥκασιν ἀφ᾽ ἧς ἡμέρας ἀφεῖλεν Ἐφράιμ ἀπὸ
18 Ἰούδα, τὸν βασιλέα τῶν Ἀσσυρίων. [18]Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ συριεῖ Κύριος μυίαις, ὃ κυριεύσει μέρος ποταμοῦ Αἰγύπτου,
19 καὶ τῇ μελίσσῃ ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων· [19]καὶ ἐλεύσονται πάντες
ἐν ταῖς φάραγξι τῆς χώρας καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν καὶ
20 εἰς τὰ σπήλαια καὶ εἰς πᾶσαν ῥαγάδα. [20]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
ξυρήσει Κύριος ἐν τῷ ξυρῷ τῷ μεμισθωμένῳ πέραν τοῦ ποταμοῦ
βασιλέως Ἀσσυρίων τὴν κεφαλήν, καὶ τὰς τρίχας τῶν ποδῶν καὶ
21 τὸν πώγωνα ἀφελεῖ. [21]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θρέψει
22 ἄνθρωπος δάμαλιν βοῶν καὶ δύο πρόβατα· [22]καὶ ἔσται ἀπὸ τοῦ
πλεῖστον ποιεῖν γάλα, βούτυρον καὶ μέλι φάγεται πᾶς ὁ καταλει-
23 φθεὶς ἐπὶ τῆς γῆς. [23]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶς τόπος
οὗ ἐὰν ὦσιν χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς χέρσον ἔσονται καὶ
24 εἰς ἄκανθαν· [24]μετὰ βέλους καὶ τοξεύματος εἰσελεύσονται ἐκεῖ, ὅτι
25 χέρσος καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ· [25]καὶ πᾶν ὄρος ἀροτριώμενον

13 παρεχετε] προσεχεται Γ 14 δια...σημειον sup ras pl litt A^{a} | κ̅ς̅ ℵAQΓ autos δωσει Γ | αυτος] αυτοις A^{a} | γατρι ℵ | λημψεται (ληψ. B$^{b\,vid}$)] εξει ℵAQ | καλεσεις] καλεσει ℵ καλεσετε Q* -σεις οι γ′ καλεσεις ομοιως Q^{mg} καλεσ[ουσι]ν Γ 15 om η 2° A | πονηρα] πονηρον Γ^{fort} | εκλεξασθαι] εκλεξεται ℵ$^{c.a,\,c.b}$AQΓ 16 πριν η γνωναι...το αγαθον] α′ του γνωναι αυτον απορριψαι εν κακω ϗ εκλεξασθαι εν αγαθω σ′ εις το γνωναι αυτον αποδοκιμασαι το κακον ϗ επιλεξασθαι το αγαθον Q^{mg} | om απειθει...το αγαθον ℵ* (hab ℵ$^{c.a\,(vid),\,c.b}$) | εκλεξασθαι] pr του ℵ$^{c.a}$ (improb ℵ$^{c.b}$) AQΓ | φοβη] α′ σειγχανεις (sic) θ′ βδελυσση Q^{mg} | των δυο βασιλεων] αυτων A 17 αλλα] αλλ ℵΓ | om σου 2° ℵ* (hab ℵ$^{c.a}$) 18 συριει] α′σ′ συρισει Q^{mg} | μυιας Γ | κυριευει ℵAQΓ | μερους ℵ^{c}AQ | μελιση ℵ 19 ελευσονται] εξελευσ. ℵ*Γ α′θ′ ομοιως [ελ.] σ′ ηξουσιν Q^{mg} | παντες] + και αναπαυσονται ℵAQΓ | φαραγξιν ℵAΓ | χωρας] + σου ℵ | εις 2°] επι A | ραγαδα (-δαν A)] + και εν παντι ξυλω ℵAQΓ 20 om εν 2° ℵAQΓ | μεμισθωμενω] μεγαλω και μεμεθυσμενω ℵA μεγ. τω μεμεθυσμενω Q μεμεθυσμενω Γ* (μεμισθ. Γ$^{?}$) α′ ομοιως [τοις ο′?] θ′ μεμισθωμενω σ′ τους μεμισθωμενους Q^{mg} | περαν] pr ο εστιν ℵ$^{c.b}$AQ* εν αλλοις ουκ εχει το ο εστι̅ σ′ pr τους εν τω Q^{mg} 22 βουτυρον] pr π′ ⁜ φαγεται Q^{mg} 23 πας] pr π′ ⁜ εσται Q^{mg} | om εις 2° A | ακανθας ℵ* (-θαν ℵ^{c}) 24 μετα...τοξ.] α′ εν βελεσι ϗ εν τοξω Q^{mg} | χερος A* (-ρσος A$^{a?}$) | ακανθε ℵ* (-θα ℵ$^{c.a,\,c.b}$)

B ἀροτριαθήσεται· οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος, ἔσται γὰρ ἀπὸ τῆς χέρ-
σου καὶ ἀκάνθης εἰς βόσκημα προβάτου καὶ καταπάτημα βοός.

[1]Καὶ εἶπεν Κύριος πρὸς μέ Λάβε σεαυτῷ τόμον καινοῦ μεγάλου, 1 VIII
καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου τοῦ ὀξέως προνομὴν ποι-
ῆσαι σκύλων· πάρεστιν γάρ· [2]καὶ μάρτυράς μοι ποίησον πιστοὺς 2
ἀνθρώπους, τὸν Οὐρείαν καὶ Ζαχαρίαν υἱὸν Βαραχίου. [3]καὶ προσ- 3
ῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβεν καὶ ἔτεκεν υἱόν.
καὶ εἶπεν Κύριός μοι Κάλεσον τὸ ὄνομα αὐτοῦ Ταχέως σκύλευσον,
ὀξέως προνόμευσον· [4]διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πα- 4
τέρα ἢ μητέρα, λήμψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμα-
ρείας ἔναντι βασιλέως Ἀσσυρίων. [5]Καὶ προσέθετο Κύριος 5
λαλῆσαί μοι ἔτι [6]Διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ 6
Σειλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βούλεσθαι ἔχειν Ῥασσὼν
καὶ τὸν υἱὸν Ῥομελίου βασιλέα ἐφ' ὑμῶν, [7]διὰ τοῦτο ἰδοὺ Κύριος 7
ἀνάγει ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ τὸ πολύ,
τὸν βασιλέα τῶν Ἀσσυρίων καὶ τὴν δόξαν αὐτοῦ· καὶ ἀνα-
βήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν, καὶ περιπατήσει ἐπὶ πᾶν τεῖ-
χος ὑμῶν, [8]καὶ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον ὃς δυνήσεται 8
κεφαλὴν ἆραι ἢ δυνατὸν συντελέσασθαί τι· καὶ ἔσται ἡ παρεμβολὴ
αὐτοῦ ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου. μεθ' ἡμῶν ὁ
θεός. [9]γνῶτε ἔθνη καὶ ἡττᾶσθε, ἐπακούσατε ἕως ἐπ' ἐσχάτου τῆς 9
γῆς, ἰσχυκότες ἡττᾶσθε· ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττη-
θήσεσθε. [10]καὶ ἣν ἂν βουλεύσησθε βουλὴν διασκεδάσει Κύριος, καὶ 10

ℵAQΓ 25 ου μη] pr και AQ | επελθη ℵ^{vid} | καταπατημα] pr εις ℵ$^{c.b}$AQ VIII 1 σαυτω ℵ* σεαυτω ℵ$^{c.a}$ | τομον]+χαρτου A | τ. καιν. μεγ.] α' κεφαλιδα μεγαλην σ' τευχος μεγα Q^{mg} | καινου sub ÷ Q | εις αυτον] εκει ℵ* (εις αυτ. ℵ$^{c.b}$) 2 ανθρ. sub ÷ Q | Ουριαν B^{b}ℵAQΓ + ※ οι γ' τον ιερεα Q^{mg} | Ζαχαριαν] pr τον ℵAQΓ 3 προσηλθεν ℵAQ (de Γ non liq) | γατρι ℵ* (γαστρι ℵ$^{1,c.b}$) | rescr σκυλευσō A^{1} 4 λημψεται Q | δυναμιν] pr ※ την Q^{mg} | Σαμαρειας] ας scr ut vid B^{a} Σαμαριας ℵQ* (-ρειας Q^{a}) 5 ετι]+ ※ λεγων Q^{mg} οτι Γ 6 Σιλωαμ AQΓ οι γ' ομοιως Σιλωα Q^{mg} | Ρασσων] τον Ραασσων ℵAQΓ^{vid} οι γ' Ρασιν Q^{mg} | Ρομελιου] pr (※ θ' superscr) του QΓ | βασ. εφ υμ. sub ÷ Q 7 αναγει κ̄ς̄ ℵAQΓ | βασιλεαν ℵ | Ασσυριων] Ασσ sup ras 4 fort litt A^{1} | την δοξαν] τ. δυναμιν ℵ pr πασα[ν] Γ 8 Ιουδεας ℵ | η 1°] ει ℵ$^{c.b}$A | συντελεσαι A | om ωστε πληρωσαι A | το πλατος] τα πλατη A οι γ' ομοιως Q^{mg} | om σου Γ | μεθ ημων ο θεος] c seqq coniung ℵ$^{c.a}$ adnot η εβραικη λεξις αντι του μεθ ημ. ο θ̄ς̄ Εμμανουηλ περιεχει ϗ αυθις εν τω τελει...οτι μεθ ημ. ο θ̄ς̄ Εμμανουηλ ειρηται Q^{mg} 9 [επακου]σατε...παλιν 1°] pr obelos B^{a} (non inst B^{b}) | επακουσετε AQ (-σεται Q^{*vid} -σετε Q^{a}) | om επ B$^{?vid}$ℵAQΓ | ισχυκ. ηττασθε sub ÷ Q | om γαρ παλιν Q* (hab Q^{mg}) | om ισχυσητε παλιν ℵ* (hab ισχυσηται π. ℵ$^{a,c.b}$) 10 ην] ης ℵ* (ην ℵ$^{c.a,c.b}$)

λόγον ὃν λαλήσητε οὐ μὴ ἐμμείνῃ ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ θεός. B
11 [11]οὕτως λέγει Κύριος Τῇ ἰσχυρᾷ χειρὶ ἀπειθοῦσιν τῇ πορείᾳ τῆς
12 ὁδοῦ τοῦ λαοῦ τούτου, λέγοντες [12]Μή ποτε εἴπωσιν σκληρόν· πᾶν
γὰρ ὃ ἂν εἴπῃ ὁ λαὸς οὗτος σκληρόν ἐστιν· τὸν δὲ φόβον αὐτοῦ οὐ
13 μὴ φοβηθῆτε οὐδὲ μὴ ταραχθῆτε· [13]Κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐ-
14 τὸς ἔσται σου φόβος. [14]κἂν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, ἔσται σοι εἰς
ἁγίασμα, καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσεσθε οὐδὲ ὡς
πέτρας πτώματι. οἱ δὲ οἶκοι Ἰακὼβ ἐν παγίδι, καὶ ἐν κοιλάσματι
15 ἐγκαθήμενοι ἐν Ἰερουσαλήμ· [15]διὰ τοῦτο ἀδυνατήσουσιν ἐν αὐτοῖς
πολλοί, καὶ πεσοῦνται καὶ συντριβήσονται, καὶ ἐγγιοῦσιν καὶ ἁλώ-
16 σονται ἄνθρωποι ἐν ἀσφαλείᾳ. [16]Τότε φανεροὶ ἔσονται οἱ
17 σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν. [17]καὶ ἐρεῖ Μενῶ τὸν θεὸν
τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακώβ, καὶ
18 πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ. [18]ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν
ὁ θεός. καὶ ἔσται σημεῖα καὶ τέρατα ἐν τῷ οἴκῳ Ἰσραὴλ παρὰ
19 Κυρίου σαβαώθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει Σειών. [19]καὶ ἐὰν εἴπω-
σιν πρὸς ὑμᾶς Ζητήσατε τοὺς ἐνγαστριμύθους καὶ τοὺς ἀπὸ τῆς
γῆς φωνοῦντας, τοὺς κενολογοῦντας οἱ ἐκ τῆς κοιλίας φωνοῦσιν,
οὐκ ἔθνος πρὸς θεὸν αὐτοῦ ἐκζητήσουσιν; τί ἐκζητοῦσιν περὶ τῶν
20 ζώντων τοὺς νεκρούς; [20]νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν, ἵνα εἴπωσιν
οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστιν δῶρα δοῦναι περὶ αὐτοῦ.
21 [21]καὶ ἥξει ἐφ' ὑμᾶς σκληρὰ λιμός, καὶ ἔσται ὡς ἂν πεινάσητε, λυ-

10 λογον] pr τον A | ον]+εαν ℵAQΓ | λαλησε incep ℵ* (λαλησητε ℵ^{1}) | ℵAQΓ ενμινη ℵ* ενμεν. ℵ$^{c.b}$ | om υμιν ℵQΓ | ο θεος] pr κ̅ς̅ ℵAQΓ α'θ' ισχυρος Q^{mg} 11 Κυριος]+ο θ̅ς̅ A 12 om ποτε ℵΓ | ειπωσιν] ειπητε ℵ (-ται) AQΓ | αν] εαν ℵQΓ | ουδε] ουδ ου A 13 Κυριον] pr ※ α'θ' τον Q^{mg} + ※ σ'θ' των δυναμεων Q^{mg} | φοβος] βοηθος ℵ 14 καν] και εαν ℵAQΓ | σοι] σου ℵ* (σοι ℵ$^{c.b (vid)}$) Q | και 1° ... προσκομματι] α'θ' ϗ εις λιθον προσκομματος Q^{mg} | συναντησεσθε]+αυτω ℵAQ | ουδε] ουδ ℵ | ουδε ως πετρ. πτωματι] α' ϗ εις στερεο̅ σκανδαλου θ' ϗ εις πετρα̅ πτωματος Q^{mg} | οι δε οικοι] ο δε οικος ℵAQ* (οι δε οικοι Q$^{a \text{ et } mg}$) Γ α'σ'θ' τοις δυσιν οικοις Q^{mg} | εν κοιλασματι] α' εις σκωλον Q^{mg} | ενκαθημενοι ℵΓ 15 εγγιουσι Q | [αλωσον]ται..ασφα[λεια]] pr obel B^{a} (non inst B^{b}) | ασφαλεια (-λια ℵ)]+οντες ℵ^{c} (rurs exstinx) AQ (εν αλλοις ου κειτ̣ οντες Q^{mg}) ανθρ. εν ασφ. sub ÷ Q 16 τοτε...μαθειν] α' ενδησον μαρτυριον σφραγισαι νομον εν διδακτοις μου Q^{mg} | σφραγιζομενοι] εσφραγισμενοι ℵQ^{*vid} (σφραγιζ. Q^{a}) | om μη A 17 μενω] θ' ϗ υπομενω Q^{mg} 18 α μοι εδωκεν] θ' α εδ. μοι σ'α' ομ[οιω]ς τ[οι]ς ο' Q^{mg} | σημεια] pr εις ℵAQΓ | om οικω AQ* (hab Q^{mg}) Γ | Σιων B^{b}ℵ^{1}AQΓ 19 εγγαστριμυθους (εγγ. B^{ab})] απο της γης φωνουντας ℵAQΓ | απο της γης φωνουντας] εγγαστριμυθους ℵQ*Γ εγγ. AQ^{a} | εκ] απο A | εκζητησουσιν...ζων[των]] pr obelos B^{a} (non inst B^{b}) | om εκζητησουσιν ℵAQ* (hab Q^{mg}) Γ α'θ' εκζητησει Q^{mg} | εκζητουσιν] εκζητωσιν A 20 βοηθιαν ℵQ* (-θειαν Q^{a}) 21 εφ υμας] εφ υ sup ras ℵ^{1}

B πηθήσεσθε καὶ κακῶς ἐρεῖτε τὸν ἄρχοντα καὶ τὰ πάτρια, καὶ ἀνα-
βλέψονται εἰς τὸν οὐρανὸν ἄνω, [22]καὶ εἰς τὴν γῆν κάτω ἐμβλέ- 22
ψονται· καὶ ἰδοὺ ἀπορία στενὴ καὶ σκότος, θλίψις καὶ στενοχωρία
καὶ σκότος ὥστε μὴ βλέπειν, καὶ οὐκ ἀπορηθήσεται ὁ ἐν στενοχωρίᾳ
ὢν ἕως καιροῦ.

[1]Τοῦτο πρῶτον πίε, ταχὺ ποίει, χώρα Ζαβουλών, ἡ γῆ 1 (23) IX
Νεφθαλείμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν καὶ πέραν τοῦ
Ἰορδάνου, Γαλειλαία τῶν ἐθνῶν. [2]ὁ λαὸς ὁ πορευόμενος 2 (1)
ἐν σκότει, ἴδετε φῶς μέγα· οἱ κατοικοῦντες ἐν χώρᾳ σκιᾷ
θανάτου, φῶς λάμψει ἐφ᾽ ὑμᾶς. [3]τὸ πλεῖστον τοῦ λαοῦ ὃ κατή- 3 (2)
γαγες ἐν εὐφροσύνῃ σου, καὶ εὐφρανθήσονται ἐνώπιόν σου ὡς οἱ
εὐφραινόμενοι ἐν ἀμήτῳ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα.
[4]διότι ἀφῄρηται ὁ ζυγὸς ὁ ἐπ᾽ αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ 4 (3)
ἐπὶ τοῦ τραχήλου αὐτῶν· τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων διε-
σκέδασεν ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ. [5]ὅτι πᾶσαν στολὴν 5 (4)
ἐπισυνηγμένην δόλῳ καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσιν,
καὶ θελήσουσιν εἰ ἐγένοντο πυρίκαυστοι. [6]ὅτι παιδίον ἐγεν- 6 (5)
νήθη ἡμῖν, υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου
αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ Μεγάλης βουλῆς ἄγγελος·

ℵAQΓ 21 κακως ερειτε τον αρχοντα και τα πατρια] α′θ′ καταρα εστ̣ εν τω βασιλει αυτου ϗ εν τοις θεοις αυτου Q^{mg} | τα πατρια] σ′ πατραρχα ειδωλα Q^{mg} | εις τ. ουρ. sub ÷ Q 22 κατω sub ÷ Q | απορια...στενοχωρια (1°)] απορια στενη θλιψις και στενοχ. ℵ θλιψις και στενοχ. και σκοτος απορια στενη (στενη sub ÷ Q) AQΓ | ο εν] ος ε ℵ* ο εν τη ℵ$^{c.a}$ | om ων A IX 1 πιε] ποιει Q^{mg} (postea ras) om Γ* (hab πιε pro ποιει Γ^{1mg}) | Νεφθαλιμ ℵ Νεφθαλι Q + οδον θαλασσης ℵ$^{c.a}$AQ (adnot τινες ουκ εχουσιν οδο̄ θαλ. Q^{mg}) + α′θ′ οδ. της θαλ. Q^{mg} | οι λοιποι] οι καταλοιποι ℵ$^{c.a}$ (κατα rurs ras) om οι Γ | παραλιαν (-λιον ℵA)] + κατοικουντες ℵ$^{c.a}$AQ | Γαλιλαια B^{b}ℵ (-λεα) AQΓ | εθνων] + τα μερη της Ιουδαιας B$^{?}$ℵ (-δεας) AQ (adnot εν αλλοις ουκ εστι τα μερη της Ιουδ. Q^{mg}) 2 πορευομενος] καθημενος A | ιδετε] ειδετε ℵ* (-ται ℵ$^{c.b}$) Γ ειδεν ℵ^{c} | σκια] pr και ℵ$^{c.a}$AQΓ 3 πλειστον] θ′ πληθος Q^{mg} | κατηγαγες] οι λοιποι ουκ εμεγαλυνας Q^{mg} | ον τροπον] + ευφραινονται ℵA 4 αφηρηται] αφαιρεθησεται AQ* (αφηρ. Q^{mg}) | αυτων 1°] αυτω Q | απαιτουντων] απετ. ℵ* απειθ. ℵ$^{c.a}$ (απαιτ. ℵ$^{c.b}$) | διεσκεδασεν] + κ̅ς̅ ℵAQ | τη ημερα] pr εν Γ 5 εγενοντο] εγενηθησαν ℵAQ* (εγενοντο Q^{mg}) Γ 6 οτι...υγειαν αυτω] α′ οτι παιδιον εγεννηθη ημ̄ι υ̅ς̅ εδοθη ημ̄ι ϗ εγενετο το μετρον επ ωμου αυτου ϗ εκαλεσεν ονομα αυτου θαυμαστος συμβουλος ισχυρος δυνατος π̅η̅ρ̅ ετι αρχων ειρηνης σ′ νεανιας γαρ εγεννηθη ημιν υιος εδοθη ημιν ϗ εσται η παιδεια επι του ωμου αυτου ϗ κληθησεται ονομα αυτου παραδοξασμος βουλευτικος ισχ. δυν. π̅η̅ρ̅ αιωνος αρχων ειρηνης θ′...θαυμαστως βουλευων ισχ. δυν. π̅η̅ρ̅ αρχ. ειρηνης Q^{mg} | εγεννηθη] εγενηθη AQ* (εγενν. Q$^{a\ nisi\ pot\ 1}$) | ημιν 1°] υμιν Q* (ημ. Q$^{a(vid)}$) | υιος] + και ℵAQΓ | ημιν 2°] υμιν ℵ* (ημ. ℵ$^{c.a,c.b}$) A | om εγενηθη Γ | καλειται (-τε B*ℵ*)] καλεσει A | μεγαλη ℵ* (-λης ℵ$^{1\ et\ postea}$) | αγγελος] + θαυμαστος συμβουλος· θ̈ς

(6) 7 ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρχοντας καὶ ὑγείαν αὐτῷ. 7 μεγάλη B
ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον, ἐπὶ τὸν
θρόνον Δαυεὶδ καὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτὴν καὶ
ἀντιλαβέσθαι ἐν κρίματι καὶ ἐν δικαιοσύνῃ, ἀπὸ τοῦ νῦν καὶ εἰς
τὸν αἰῶνα· ὁ ζῆλος Κυρίου σαβαὼθ ποιήσει ταῦτα.
(7) 8 8 Θάνατον ἀπέστειλεν Κύριος ἐπὶ Ἰακώβ, καὶ ἦλθεν ἐπὶ Ἰσραήλ.
(8) 9 9 καὶ γνώσονται πᾶς ὁ λαὸς τοῦ Ἐφράιμ καὶ οἱ καθήμενοι ἐν Σαμα-
(9) 10 ρείᾳ, ἐφ' ὕβρει καὶ ὑψηλῇ καρδίᾳ λέγοντες 10 Πλίνθοι πεπτώ-
κασιν, ἀλλὰ δεῦτε λαξεύσωμεν λίθους, καὶ κόψωμεν συκαμίνους
(10) 11 καὶ κέδρους, καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργον. 11 καὶ ῥάξει ὁ
θεὸς τοὺς ἐπανισταμένους ἐπὶ ὄρος Σειὼν ἐπ' αὐτόν, καὶ τοὺς
(11) 12 ἐχθροὺς διασκεδάσει, 12 Συρίαν ἀφ' ἡλίου ἀνατολῶν καὶ τοὺς
Ἕλληνας ἀφ' ἡλίου δυσμῶν, τοὺς κατεσθίοντας τὸν Ἰσραὴλ ὅλῳ
τῷ στόματι. ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ' ἔτι
(12) 13 ἡ χεὶρ ὑψηλή. 13 καὶ ὁ λαὸς οὐκ ἐπεστράφη ἕως ἐπλήγη, καὶ
(13) 14 τὸν κύριον οὐκ ἐζήτησαν. 14 Καὶ ἀφεῖλεν Κύριος ἀπὸ Ἰσραὴλ
κεφαλὴν καὶ οὐράν, μέγαν καὶ μικρὸν ἐν μιᾷ ἡμέρᾳ, πρεσβύ-
(14) 15 την καὶ τοὺς τὰ πρόσωπα θαυμάζοντας, αὕτη ἡ ἀρχή, 15 καὶ
(15) 16 προφήτην διδάσκοντα ἄνομα, οὗτος ἡ οὐρά. 16 καὶ ἔσονται οἱ
μακαρίζοντες τὸν λαὸν τοῦτον πλανῶντες, καὶ πλανῶσιν ὅπως
(16) 17 καταπίνωσιν αὐτούς. 17 διὰ τοῦτο ἐπὶ τοὺς νεανίσκους αὐτῶν

ισχυρος εξουσιαστης αρχων ιρηνης π̄η̄ρ̄ του μελλοντος αιωνος ℵ$^{c.a}$ + θαυμ. ℵAQΓ
συμβ. ισχ. εξουσ. αρχων ειρ. π̄η̄ρ̄ τ. μ. αιωνος A | αξω γαρ] εγω γαρ αξω
ℵAQΓ | αρχοντας] + ειρηνην ℵ$^{c.b}$AQ | υγειαν] υγιαν B*ℵ*AQ*Γ υγιειαν
B^{b}ℵ$^{c.b}$ (υγειαν Q^a) 7 μεγαλη η αρχη αυτου] θ' τω πληθυνειν την
παιδειαν [σ'] επληθυνθη παιδεια α' πολλης τω μετρω Q^{mg} | η αρχη] om η ℵ*
(hab ℵ$^{c.a}$) | οριον] θ'σ' περας α' τελος Q^{mg} | την βασ.] pr επι Γ | αντιλαβε-
σθαι] + αυτης ℵ$^{c.(?a)}$ (rurs ras) AQ (θ' αντιλ. αυτης Q^{mg}) | εν δικαιοσυνη κ. εν
κριματι ℵAQΓ | εις τον αιωνα] εως του αιωνος ℵΓ α' εως αιωνος Q^{mg} | αιωνα]
+ χρονον AQ 8 θανατον] λογον ℵ* (θαν. ℵ$^{c.a, c.b}$) Γ οι λοιποι λογō α'
ρημα Q^{mg} 9 Εφρεμ ℵ | καθημενοι] ενκαθ. ℵ$^{c.a}$Γ εγκαθ. AQ | Σαμαρια
ℵQ* | εφ] εν ℵΓ | υψηλη (υψη Q*)] pr εν Γ 10 κοψωμεν] εκκοψομεν ℵ
εκκοψωμεν A (-με A* μεν A^1) Γ | om κεδρους και ℵ* (hab ℵ$^{c.a}$) | κεδρον
Γ | οικοδομ. A 11 επανιστανομενους ℵ* (επανισταμ. ℵ^c) A + επι Ι̅λ̅μ̅
ℵ* (postea ras) | επι] επ ℵAQΓ | ορους A | Σιων B^{b}ℵAQΓ | αυτον] αυτους
ℵ* (-τον ℵ^c postea revoc -τους) A | εχθρους] + αυτων ℵA + ※ α'θ'σ' αυτου
Q^{mg} 12 στοματι] + αυτων ℵ | πασι τουτοις Γ 13 επεστραφη] απε-
στραφη ℵAQΓ | τον κυριον] + ※ θ'σ' των δυναμεων Q^{mg} | εζητησαν] εξεζη-
τησαν ℵ$^{c.b}$AQ 14 αφειλεν] θ' αφελει Q^{mg} | μεγαν] με rescr ℵ^1 (fort
pro ουραν scr ουρανον ℵ*) | αυτη η αρχη] οι λοιποι αυτος κεφαλη Q^{mg}
16 πλανωσιν] πλα|νεσειν ℵ* (-νωσιν ℵ$^{c.a, c.b}$) | καταπιωσιν ℵ^{1}AQΓ 17 νεανι-
κους ℵ* (νεανισκ. ℵ^1) | om αυτων 1° A

B οὐκ εὐφρανθήσεται ὁ κύριος, καὶ τοὺς ὀρφανοὺς αὐτῶν καὶ τὰς
χήρας αὐτῶν οὐκ ἐλεήσει· ὅτι πάντες ἄνομοι καὶ πονηροί, καὶ
πᾶν στόμα λαλεῖ ἄδικα. ἐπὶ πᾶσιν τούτοις οὐκ ἀπεστράφη ὁ
θυμός, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. 18 Καὶ καυθήσεται ὡς πῦρ 18 (17)
ἡ ἀνομία, καὶ ὡς ἄγρωστις ξηρὰ βρωθήσεται ὑπὸ πυρός· καὶ
καυθήσεται ἐν τοῖς δάσεσι τοῦ δρυμοῦ, καὶ συγκαταφάγεται τὰ
κύκλῳ τῶν βουνῶν πάντα· 19 διὰ θυμὸν ὀργῆς Κυρίου συγκέ- 19 (18)
καυται ἡ γῆ ὅλη, καὶ ἔσται ὁ λαὸς ὡς ὑπὸ πυρὸς κατακεκαυ-
¶Γ μένος.¶ ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει, 20 ἀλλὰ ἐκκλινεῖ 20 (19)
εἰς τὰ δεξιά, ὅτι πεινάσει, καὶ φάγεται ἐκ τῶν ἀριστερῶν, καὶ
οὐ μὴ ἐμπλησθῇ ἄνθρωπος ἔσθων τὰς σάρκας τοῦ βραχίονος
αὐτοῦ. 21 φάγεται γὰρ Μανασσὴ τοῦ Ἐφράιμ, καὶ Ἐφράιμ τοῦ 21 (20)
Μανασσή, ὅτι ἅμα πολιορκήσουσιν τὸν Ἰούδαν. ἐπὶ τούτοις
πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. 1 Οὐαὶ 1 X
τοῖς γράφουσιν πονηρίαν· γράφοντες γὰρ πονηρίαν γράφουσιν, 2 ἐκ- 2
κλίνοντες κρίσιν πτωχῶν, ἁρπάζοντες κρίμα πενήτων τοῦ λαοῦ μου,
ὥστε εἶναι αὐτοῖς χήραν εἰς ἁρπαγὴν καὶ ὀρφανὸν εἰς προνομήν.
3 καὶ τί ποιήσουσιν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; ἡ γὰρ θλίψις ὑμῖν 3
πόρρωθεν ἥξει· καὶ πρὸς τίνα καταφεύξεσθε τοῦ βοηθηθῆναι; καὶ
ποῦ καταλείψετε τὴν δόξαν ὑμῶν 4 τοῦ μὴ ἐμπεσεῖν εἰς ἀπαγωγήν; 4
ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ἡ ὀργή, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή.

5 Οὐαὶ Ἀσσυρίοις, ἡ ῥάβδος τοῦ θυμοῦ μου καὶ ἡ ὀργή ἐστιν ἐν ταῖς 5
χερσὶν αὐτῶν. 6 τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποστελῶ, καὶ τῷ 6

ℵAQΓ 17 ουκ| B* ου|κ Bb(vid) | κυριος] θς̄ ℵAQ* (κυριος [πιπι] Qmg) Γ | αυτων 2°, 3°] οι γ' αυτου Qmg | πασι ℵAQΓ 18 δασεσι (-σιν A)] δαδεσιν Γ | συγκαταφαγεται Bab AQa 19 συνκεκαυτ. ℵQ* fort Γ συγκαυθησεται A | κατακεκαυμενος] κατα... Γ 20 οτι] οτι ν ℵ* | ενπλησθη ℵ* (εμπλ. ℵc.b vid) | εσθων] εσθιων ℵc.a(vid) (rurs εσθων) εσθω A* (εσθων A1) | βραχιονος] + του αδελφου A 21 Μαννασση (bis) A Μανασσης 1° Q | Εφρεμ ℵ (bis) | πολιορκησουσι B? | τον] τοι ℵ* (τον ℵc.a) | πασιν τουτοις ℵ πασι τουτοις Q | απεστρα ut vid B* (φη in mg Bab) | θυμος] + ※ οι γ' αυτου Qmg X 1 ουαι] ο sup ras ℵ1 | γραφουσι (1°) B? 2 αρπαζοντες] pr και ℵAQ (pr ※ και [οι γ' superscr] Q?) | κριμα] κριματα ℵQ (οι γ' κρισῑ Qmg) | αυτοις] αυτους ℵ 3 ποιησουσι B? | τη ημερα] pr εν ℵc.bAQ | της επισκοπης] om της A | υμιν] υμων ℵ* (υμιν ℵc.b(vid)) Qa | πορωθεν ℵ* (πορρ. ℵc.b) | bis scr (in fin pag) και προς τινα καταφευξε ℵ* (om 1° ℵ?) | βοηθηθηναι] βο, θ 1° sup ras ℵ1 4 του μη...απαγωγην] θ' του μη καμψαι υπο δεσμō Qmg | επαγωγην ℵA | επι] pr και υποκατω ανηρημενων πεσουνται ℵA et (pr ※) Qmg | τουτοις πασιν AQ | η οργη] ο θυμος ℵAQ θ' ο θυμος αυτου (οι σ' η οργη) Qmg 5 Ασσυριοις] οις sup ras ℵ1 | η οργη] οργης ℵAQ | om εστιν A 6 αποστελω] αποστρεψω ℵ* (-στελω ℵc.b) αποστελλω A

ἐμῷ λαῷ συντάξω ποιῆσαι σκῦλα καὶ προνομήν, καὶ καταπατεῖν τὰς B
7 πόλεις καὶ θεῖναι αὐτὰς εἰς κονιορτόν. [7]αὐτὸς δὲ οὐχ οὕτως ἐνεθυμήθη,
καὶ τῇ ψυχῇ οὐχ οὕτως λελόγισται· ἀλλὰ ἀπαλλάξει ὁ νοῦς αὐτοῦ, καὶ
8 τοῦ ἔθνη ἐξολοθρεῦσαι οὐκ ὀλίγα. [8]καὶ ἐὰν εἴπωσιν αὐτῷ Σὺ μόνος
9 εἶ ἄρχων, [9]καὶ ἐρεῖ Οὐκ ἔλαβον τὴν χώραν τὴν ἐπάνω Βαβυλῶνος
καὶ Χαλαννή, οὗ ὁ πύργος ᾠκοδομήθη; καὶ ἔλαβον Ἀραβίαν καὶ
10 Δαμασκὸν καὶ Σαμάρειαν· [10]ὃν τρόπον ταύτας ἔλαβον, καὶ πάσας
τὰς ἀρχὰς λήμψομαι. ὀλολύξατε, τὰ γλυπτὰ ἐν Ἰερουσαλὴμ καὶ
11 ἐν Σαμαρείᾳ· [11]ὃν τρόπον γὰρ ἐποίησα Σαμαρείᾳ καὶ τοῖς χειρο-
ποιήτοις αὐτῆς, οὕτως ποιήσω καὶ Ἰερουσαλὴμ καὶ τοῖς εἰδώλοις
12 αὐτῆς. [12]Καὶ ἔσται ὅταν συντελέσῃ Κύριος πάντα ποιῶν ἐν τῷ ὄρει
Σειὼν καὶ Ἰερουσαλήμ, ἐπάξει ἐπὶ τὸν νοῦν §τὸν μέγαν, ἐπὶ τὸν ἄρχοντα § Γ
13 τῶν Ἀσσυρίων, καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ. [13]εἶπεν
γάρ Ἐν τῇ ἰσχύι ποιήσω, καὶ ἐν τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια
14 ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω· [14]καὶ σείσω πόλεις κατοι-
κουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήμψομαι τῇ χειρὶ ὡς νοσσιάν,
καὶ ὡς καταλελιμμένα ᾠὰ ἀρῶ· καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με ἢ
15 ἀντείπῃ μοι. [15]μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ;
ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν; ὡς ἄν τις ἄρῃ ῥάβδον
16 ἢ ξύλον, καὶ οὐχ οὕτως; [16]ἀλλὰ ἀποστελεῖ Κύριος σαβαὼθ εἰς τὴν
σὴν τιμὴν ἀτιμίαν, καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμενον καυθήσεται·
17 [17]καὶ ἔσται τὸ φῶς τοῦ Ἰσραὴλ εἰς πῦρ, καὶ ἁγιάσει αὐτὸν ἐν πυρὶ
18 καιομένῳ, καὶ φάγεται ὡσεὶ χόρτον τὴν ὕλην. [18]τῇ ἡμέρᾳ ἐκείνῃ

6 ποιησαι] pr του ℵAQ* (pr ※ α'θ' Q^a vid) | τας πολεις] τας, ς 2° sup ras ℵAQΓ ℵ¹ | πολις ℵ*Q* (-λεις ℵ^c.b Q^a) **7** λελογισται] λελογεισθαι ℵ* (-γεισται ℵ^c.a, c.b) | om και του ℵ | εξολεθρ. εθνη AQ | ουκ ολιγα] α' ουκ ολιγως θ'σ' ομοιως τοις σ' Q^mg **9** ερει] pr ουκ Q^mg | ωκο|μηθη (sic) ℵ | Αραβειαν A | Σαμαριαν ℵQ* (-ρειαν Q^a) **10** ον τροπον...λημψομαι] θ' καθαπερ ευρεν η χειρ μου εις τας βασιλειας του ειδωλου Q^mg | ελαβον] + εν τη χειρι (χιρι ℵ* χειρι ℵ^c.b) μου ℵA | αρχας] χωρας ℵAQ* (αρχ. Q^mg) | ληψομαι B^b Q | Σαμαρια ℵQ* (-ρεια Q^a): item 11 **11** αυτης 1°] αυτοις A | και 2°] + εν ℵ εν Q | om και τοις ειδωλοις αυτης Q (hab Q^mg) **12** παν ℵ* (παντα ℵ^c) | Σιων B^b ℵAQ | Ιερουσαλημ] pr εν AQ | επαξει] + κ̅ς̅ ℵQ | om επι 2° ℵAQΓ | αυτου] αυτων ℵ* (-του ℵ^c.a, c.b) **13** ειπε B^? | om εν 1°, 2° ℵAQΓ | τη σοφια της συν.] τησυνεσεως της σοφιας A **14** πολις Q* (-λεις Q^a) | καταληψ. Q | χειρι] + μου A + ※ π' μου Q^mg | νοσσειαν Q^a | καταλελειμμ. B^ab Q^a | αρων ℵ* | με] μοι A | μοι] + ※ θ' ϗ ανοιγω̅ στομα ϗ στρουθιζων Q^mg **15** αυτον] [αυ]την Γ | ως αν] ωσαυτως εαν ℵAQΓ **16** αποστελει] αποστιλη ℵ* (-στειλη ℵ^c.b) | κεομενον B*ℵ* (καιομ. B^ab ℵ^c.b) **17** εις] ως A | αυτον] αυτο A | κεομενω B* (καιομ. B^ab) καιομενη ℵ* (-νω ℵ^?) | χορτος ℵ

B ἀποσβεσθήσεται τὰ ὄρη καὶ οἱ βουνοὶ καὶ οἱ δρυμοί, καὶ καταφάγεται
ἀπὸ ψυχῆς ἕως σαρκῶν· καὶ ἔσται ὁ φεύγων ὡς ὁ φεύγων ἀπὸ
φλογὸς καιομένης· 19 καὶ οἱ καταλειφθέντες ἀπ᾽ αὐτῶν ἔσονται 19
ἀριθμός, καὶ παιδίον γράψει αὐτούς. 20 Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ 20
ἐκείνῃ οὐκέτι προστεθήσεται τὸ καταλειφθὲν Ἰσραήλ, καὶ οἱ σωθέντες
τοῦ Ἰακὼβ οὐκέτι μὴ πεποιθότες ὦσιν ἐπὶ τοὺς ἀδικήσαντας αὐτούς,
ἀλλὰ ἔσονται πεποιθότες ἐπὶ τὸν θεὸν τὸν ἅγιον τοῦ Ἰσραὴλ τῇ
ἀληθείᾳ. 21 καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ἰακὼβ ἐπὶ θεὸν ἰσχύοντα. 21
22 καὶ ἐὰν γένηται ὁ λαὸς Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ 22
κατάλιμμα αὐτῶν σωθήσεται· λόγον συντελῶν καὶ συντέμνων ἐν
δικαιοσύνῃ, 23 ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐν τῇ οἰκουμένῃ 23
ὅλῃ. 24 Διὰ τοῦτο τάδε λέγει Κύριος σαβαὼθ Μὴ φοβοῦ, ὁ λαός 24
¶ Γ μου, οἱ κατοικοῦντες¶ ἐν Σειών, ἀπὸ Ἀσσυρίων, ὅτι ἐν ῥάβδῳ πατάξει
σε· πληγὴν γὰρ ἐπάγω ἐπὶ σέ, τοῦ ἰδεῖν ὁδὸν Αἰγύπτου. 25 ἔτι γὰρ 25
μικρὸν καὶ παύσεται ἡ ὀργή, ὁ δὲ θυμός μου ἐπὶ τὴν βουλὴν αὐτῶν·
26 καὶ ἐγερεῖ ὁ θεὸς ἐπ᾽ αὐτοὺς κατὰ τὴν πληγὴν Μαδιὰμ ἐν τόπῳ 26
θλίψεως, καὶ ὁ θυμὸς αὐτοῦ τῇ ὁδῷ τῇ κατὰ θάλασσαν, εἰς τὴν ὁδὸν
τὴν κατ᾽ Αἴγυπτον. 27 καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀφαιρεθήσεται 27
ὁ ζυγὸς αὐτοῦ ἀπὸ τοῦ ὤμου σου, καὶ ὁ φόβος αὐτοῦ ἀπὸ σοῦ, καὶ
καταφθαρήσεται ὁ ζυγὸς ἀπὸ τῶν ὤμων ὑμῶν. 28 ἥξει γὰρ εἰς τὴν 28
πόλιν Ἀγγαί, 29 καὶ παρελεύσεται εἰς Μαγεδώ, καὶ ἐν Μαχμὰς 29
θήσει τὰ σκεύη αὐτοῦ· (29) καὶ παρελεύσεται φάραγγα καὶ ἥξει εἰς

ℵAQΓ 18 αποσβεθ. ℵ | οι βουνοι] οι δρυμοι A αι β. Γ | δρυμοι] δροιμοι ℵ* (δρυμ. ℵ$^{c.a, c.b}$) βουνοι A | φευγων 2°] φυων ut vid ℵ* mox φευων (φευγων ℵ^{c}) 19 αριθμω Q^{a} | και 2°] sup κα ras aliq (sign ut vid) ℵ$^{?}$ | παιδιον] σ' παιδιο θ' παιδαριον α' παις Q^{mg} 20 εσται bis scr B | om εν Γ | Ισραηλ 1°] pr του ℵ$^{c.a}$Γ | αλλ ℵAQ | πεποιθοτες 2°] πεποιτες ℵ* -θοτες ℵ$^{c.a}$ | αληθια ℵ 21 θεον] λαον Γ 22 ο λαος] + (θ') σου Q^{mg} | καταλειμμα B^{ab}AQ^{a} | om αυτων AQ* (hab Q^{mg}) | λογον] + γαρ ℵAQΓ 23 συντετετμημενον A | Κυριος] ο θς ℵAQΓ οι γ' ※ κ̅ς̅ τω̅ δυναμεω̅ α' στρατειω̅ θ'σ' ομοιως τοις ο' Q^{mg} 24 Κυριος] + ο θς ℵ* (κ̅ς̅ sine ο θς ut vid ℵ$^{c.b}$ κ̅ς̅ κ̅ς̅ ℵ$^{c.c}$) AΓ οι γ' ※ κ̅ς̅ Q^{mg} | Σιων B^{b}ℵAQΓ | om εν 2° Q* (hab εν Q^{mg}) | πληῃν ℵ* (πληγην ℵ$^{c.b}$) | επαγω] pr εγω ℵQ επαξω Q* (α' αρει θ'σ' επαρει Q^{mg}) 25 η οργη] om η ℵ* (superscr ℵ$^{1\,(vid)}$) 26 εγερει] επεγερει ℵAQ^{a} επεγειρει Q* | ο θεος επ αυτους] αυτους ο θς ℵ* επ αυτ. ο θς ℵ$^{c.a}$Q | ο θεος] πιπι + θ' ※ των δυναμεω̅ Q^{mg} | Μαδιαμ] pr την ℵA | Εγυπτον ℵ* (Αιγ. ℵ$^{c.a, c.b}$) 27 ζυγος 1°] φοβος ℵAQ | om του ωμου ℵAQ | φοβος] ζυγος ℵAQ | σου 2°] pr του ωμου ℵAQ | καταφθαρησεται] καταρ incep ℵ* καταφθ. ℵ$^{1?c?}$ | καταφθ. ο ζυγος] θ' διαφθαρησεται κλοιος Q^{mg} | ζυγος 2°] + αυτω̅ (ω̅ sup ras ℵ^{1}) ℵ | των ωμων υμων] ων ωμων υ sup ras ℵ^{1} 29 Μαγεδω] Μακεδω ℵ* (Μαγ. ℵ$^{c.a, c.b}$) Μαγεδδω A θ' Μαγεδδων α'σ' ϗ το εβραικον Μαγρω̅ Q^{mg} | Μαχμα ℵ* (-μας ℵ^{c}) | αυτου] αυτων ℵ* (-του ℵ$^{c.a, c.b}$)

30 Ἀγγαί, φόβος λήμψεται Ῥαμὰ πόλιν Σαούλ. φεύξεται [30] ἡ θυγάτηρ B
31 Γαλείμ, ἐπακούσεται ἐν Σά, ἐπακούσεται ἐν Ἀναθώθ· [31] καὶ ἐξέστη
32 Μαδεβηνὰ καὶ οἱ κατοικοῦντες Γιββείρ. [32] παρακαλεῖτε σήμερον ἐν
ὁδῷ τοῦ μεῖναι, τῇ χειρὶ παρακαλεῖτε τὸ ὄρος τὴν θυγατέρα Σειών,
33 καὶ οἱ βουνοὶ οἱ ἐν Ἰερουσαλήμ. [33] Ἰδοὺ ὁ δεσπότης Κύριος σαβαὼθ
συνταράσσει τοὺς ἐνδόξους μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει
34 συντριβήσονται, καὶ οἱ ὑψηλοὶ ταπεινωθήσονται, [34] καὶ πεσοῦνται
ὑψηλοὶ μαχαίρᾳ, ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται.
XI 1 [1] Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς
2 ῥίζης ἀναβήσεται. [2] καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ θεοῦ,
πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα
3 γνώσεως καὶ εὐσεβείας· [3] ἐμπλήσει αὐτὸν πνεῦμα φόβου θεοῦ. οὐ
4 κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει, [4] ἀλλὰ κρινεῖ
ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ταπεινοὺς τῆς γῆς, καὶ πατάξει
γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ ἐν πνεύματι διὰ χειλέων
5 ἀνελεῖ ἀσεβῆ· [5] καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ,
6 καὶ ἀληθείᾳ εἰλημένος τὰς πλευράς. [6] καὶ συνβοσκηθήσεται λύ-
κος μετὰ ἀρνός, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχά-
ριον καὶ ταῦρος καὶ λέων ἅμα βοσκηθήσονται, καὶ παιδίον μικρὸν
7 ἄξει αὐτούς· [7] καὶ βοῦς καὶ ἄρκος ἅμα βοσκηθήσονται, καὶ ἅμα
8 τὰ παιδία αὐτῶν ἔσονται, καὶ λέων ὡς βοῦς φάγονται ἄχυρα· [8] καὶ
παιδίον νήπιον ἐπὶ τρωγλῶν ἀσπίδων, καὶ ἐπὶ κοίτην ἐκγόνων

29 Αγγαι (-γε ℵ* -γαι ℵ$^{c.a,\,c.b}$)] α' αυλιστηριον σ' αυλισμος θ' καταλυμα ℵAQ ομοιως οι γ' Q^{mg} | λῆψεται ℵ^{*fort}Q **30** η θυγατηρ] pr ※ χρεμετισον φωνην σου Q^{mg} | Γαλειμ] Ταλειμ ℵ* (Γαλ. ℵ^{c}) Γαλλειμ AQ | om επακουσεται εν Σα ℵ* | εν Σα] Λαισα: θ' Λεις σ' Λαις α' ϗ το εβραικον ομοιως τοις ο' Q^{mg} **31** om και 1° ℵAQ | και 2°] κα sup ras B^{1fort} **32** πακαλειται (1°) ℵ* (παρακ. ℵ$^{?}$) | οδω] pr τη A | Σιων B^{b}AQ **33** ιδου] + δη ℵ + γαρ AQ | συνταραξει ℵ συντασσει Q* (συνταρ. Q^{a}) | οι υψηλοι...συντριβησονται] α'σ' οι μετεωροι ταπεινωθησονται θ' ομοιως τοις ο' Q^{mg} | οι υψηλοι ταπεινωθησονται] om οι υψ. ℵQ ταπειν. οι υψηλοι A **34** om και πεσ. υψ. A | υψηλοι] pr οι ℵQ XI 1 Ιεσαι ℵ **2** αναπαυσεται] επαναπαυσ. ℵ | του θεου] om του Q* (hab Q^{mg}) | ευσεβειας (-βιας ℵ) **3** εμπλησει] pr κ̅ς̅ Q^{mg} και ενπλησι ℵ | θεου] κ̅υ̅ Q^{mg} **4** ελεγξει] α'θ'σ' + εν ευθυτητι Q^{mg} | τους ταπεινους της γης] τους ενδοξους τ. γ. ℵQ$^{1?a?}$ α' τοις πραεσι της γης σ' πτωχους γης θ' ομοιως τοις ο' Q^{mg} | πνευματι] pr τω ℵ | ασεβην ℵ$^{c.a}$ (-βη repos ℵ$^{c.b}$) **5** om αυτου Q* (hab αυτου Q$^{a(mg)}$) | αληθια ℵ | ειλημμενος ℵA **6** συμβοσκηθησεται B^{b}Q | περδαλις B* (παρδ. B^{a}) **7** βους (1°)...εσονται] α' δαμαλις ϗ αρκος νεμεθησονται ομου κατακλιθησο̄ται (corr -κλειθ.) παιδια αυτων θ' βους ϗ αρκος βοσκηθησονται ομοθυμαδον κατακλιθησονται (corr -κλειθ;) τα παιδια αυτω̄ Q^{mg} | βοσκ. sub ÷ Q | εσονται] βοσκηθησονται A | ως βους] και β. ℵAQ α' ως βουκολιο̄ θ' ομοιως τοις ο' Q^{mg} | φαγονται] pr αμα AQ **8** τρωγλην ℵAQ

B ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ. ⁹καὶ οὐ μὴ κακοποιήσουσιν οὐδὲ μὴ 9
δύνωνται ἀπολέσαι οὐδένα ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου, ὅτι ἐνεπλήσθη
ἡ σύμπασα τοῦ γνῶναι τὸν κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι
θαλάσσας. ¹⁰καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαὶ 10
καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν. καὶ
ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. ¹¹Καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ 11
προσθήσει ὁ κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ τοῦ ζηλῶσαι τὸ κατα-
λειφθὲν ὑπόλοιπον τοῦ λαοῦ, ὃ ἂν καταλειφθῇ ὑπὸ τῶν Ἀσσυρίων
καὶ ἀπὸ Αἰγύπτου καὶ ἀπὸ Βαβυλωνίας καὶ Αἰθιοπίας καὶ ἀπὸ Αἰλαμει-
τῶν καὶ ἀπὸ ἡλίου ἀνατολῶν καὶ ἐξ Ἀραβίας. ¹²καὶ ἀρεῖ σημεῖον εἰς 12
τὰ ἔθνη, καὶ συνάξει τοὺς ἀπολομένους Ἰσραήλ, καὶ τοὺς διεσπαρ-
μένους Ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. ¹³καὶ 13
ἀφαιρεθήσεται ὁ ζῆλος Ἐφράιμ, καὶ οἱ ἐχθροὶ Ἰούδα ἀπολοῦνται·
Ἐφράιμ οὐ ζηλώσει Ἰούδαν, καὶ Ἰούδας οὐ θλίψει Ἐφράιμ. ¹⁴καὶ 14
πετασθήσονται ἐν πλοίοις ἀλλοφύλων· θάλασσαν ἅμα προνομεύ-
σουσιν καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν καὶ Ἰδουμαίαν, καὶ ἐπὶ Μωὰβ
πρῶτον τὰς χεῖρας ἐπιβαλοῦσιν, οἱ δὲ υἱοὶ Ἀμμὼν πρῶτοι ὑπακού-
σονται. ¹⁵καὶ ἐρημώσει Κύριος τὴν θάλασσαν Αἰγύπτου, καὶ ἐπιβαλεῖ 15
τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν πνεύματι βιαίῳ, καὶ πατάξει ἑπτὰ
§ Γ φάραγγας ὥστε διαπορεύεσθαι αὐτὸν ἐν ὑποδήμασιν· §¹⁶καὶ ἔσται 16
δίοδος τῷ καταλειφθέντι μου λαῷ ἐν Αἰγύπτῳ, καὶ ἔσται τῷ Ἰσραὴλ
ὡς ἡ ἡμέρα ὅτε ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου. ¹Καὶ ἐρεῖς ἐν τῇ 1 XII
ἡμέρᾳ ἐκείνῃ Εὐλογῶ σε, Κύριε, διότι ὠργίσθης μοι, καὶ ἀπέστρεψας
τὸν θυμόν σου καὶ ἠλέησάς με. ²ἰδοὺ ὁ θεός μου σωτήρ μου, πεποιθὼς 2
ἔσομαι ἐπ' αὐτῷ, καὶ οὐ φοβηθήσομαι· διότι ἡ δόξα μου καὶ ἡ αἴνεσίς
μου Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. ³καὶ ἀντλήσετε ὕδωρ 3

ℵAQΓ 9 κακοποιησωσιν AQ^{a} | ουδε] ουδ ου A 10 εθνω (sic) A 11 τη ημ. εκεινη] pr εν AQ | ο κυριος] om ο ℵAQ | υπολοιπον] υπολιπον ℵ* (-λοιπ. ℵ$^{c.a}$) | υπο] om ℵ* (hab ℵ$^{1 (vid)}$) απο ℵ$^{c.b\ vid}$AQ | om απο 2° AQ | Αιθιοπιας (Εθ. ℵ)] pr απο ℵQ | Ελαμιτων ℵQ Αιλαμιτ. A | Αραβειας ℵA 12 Ιουδα] pr του ℵQ 13 ζηλος] ζυγος A | Εφρεμ ℵ ter | Ιουδαν] pr τον Q^{mg} 14 προνομευουσιν ℵ* (-σουσιν ℵ^{c}) | Ιδουμαιαν (-μεαν ℵ)...επιβαλουσιν] α' Ιδουμαια ϗ Μωαβ αποστολη χειρος αυτων θ' Ιδουμαια ϗ Μ. εκστασις χ. αυτ. σ' Εδωμ ϗ Μ. εκστ. χ. αυτ. Q^{mg} | επιβαλουσιν τας χειρας ℵ 15 χειραν ℵ* 16 διοδος] οδος A | εξηλθον ℵ* (-θεν ℵ$^{c.a}$ postea revoc -θον) XII 1 ευλογω σε] ευλογησω σε ℵ$^{c.b}$AQΓ α'σ'θ' εξομολογησομαι σοι Q^{mg} | διοτι] οτι Γ | μοι]+εις σωτηριαν ℵ* (improb ℵ$^{c.a, c.b}$) 2 μου (1°)...αυτω] pr obelos B^{a} (non inst B^{b}) | μου σηρ μου sup ras A^{a} (om μου 1° A^{*vid}) | μου 2°]+κ̅ς̅ ℵQ | πεποιθως εσομαι] θ' ελπιω Q^{mg} | επ αυτω sub ÷ Q | επ] εν A | αυτω] +σωθησομαι εν αυτω B$^{ab(mg)}$+και σωθησομαι (-με ℵ* -μαι ℵ$^{c.b}$) εν αυτω ℵ*Q | Κυριος] π' ※ Ια πιπι Q^{mg} 3 αντλησεται BℵAQ* (-τε Q^{a}) αντλισατε Γ

4 μετ᾽ εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. ⁴καὶ ἐρεῖς ἐν τῇ B
ἡμέρᾳ ἐκείνῃ Ὑμνεῖτε Κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν
τοῖς ἔθνεσιν τὰ ἔνδοξα αὐτοῦ· μιμνήσκεσθε ὅτι ὑψώθη τὸ ὄνομα
5 αὐτοῦ. ⁵ὑμνήσατε τὸ ὄνομα Κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν· ἀναγγείλατε
6 ταῦτα ἐν πάσῃ τῇ γῇ. ⁶ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε, οἱ κατοικοῦντες
Σειών, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ αὐτῆς.

XIII 1 ¹Ὅρασις ἣν εἶδεν Ἠσαίας υἱὸς Ἀμὼς κατὰ Βαβυλῶνος.
2 ²Ἐπ᾽ ὄρους πεδινοῦ ἄρατε σημεῖον, ὑψώσατε τὴν φωνὴν αὐτοῖς,
3 παρακαλεῖτε τῇ χειρί· ἀνοίξατε, οἱ ἄρχοντες. ³ἐγὼ συντάσσω, καὶ
ἐγώ, αὐτούς· γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου χαίροντες
4 ἅμα καὶ ὑβρίζοντες. ⁴φωνὴ ἐθνῶν πολλῶν ἐπὶ τῶν ὀρέων, ὁμοία
ἐθνῶν πολλῶν, φωνὴ βασιλέων καὶ ἐθνῶν συνηγμένων. Κύριος
5 σαβαὼθ ἐντέταλται ἔθνει ὁπλομάχῳ ⁵ἔρχεσθαι ἐκ γῆς πόρρωθεν
ἀπ᾽ ἄκρου θεμελίου τοῦ οὐρανοῦ, Κύριος καὶ οἱ ὁπλομάχοι αὐτοῦ,
6 καταφθεῖραι πᾶσαν τὴν οἰκουμένην. ⁶ὀλολύζετε· ἐγγὺς γὰρ ἡμέρα
7 Κυρίου, καὶ συντριβὴ παρὰ τοῦ θεοῦ ἥξει. ⁷διὰ τοῦτο πᾶσα χεὶρ
8 ἐκλυθήσεται, καὶ πᾶσα ψυχὴ ἀνθρώπου δειλιάσει· ⁸ταραχθήσονται
οἱ πρέσβεις, καὶ ὠδῖνες αὐτοὺς ἕξουσιν ὡς γυναικὸς τικτούσης· καὶ
συμφοράσουσιν ἕτερος πρὸς τὸν ἕτερον¶ καὶ ἐκστήσονται, καὶ τὸ ¶ Γ

3 πληγων Q* (πηγ. Q1?a?) 4 αυτου 3°] κ̅υ̅ Γ 5 εποιησε ℵ* (εποιησεν ℵc.a) ℵAQΓ 6 αγαλλιασασθαι ℵ* αγαλλιασθαι ℵc.a(vid) | Σειων (Σιων BbAQΓ)] pr εν ℵAΓ | αυτης] σου ℵAQ* (αυτης Qmg) Γ XIII 1 pr ορασις ε′ Q | ειδεν] ιδεν Q 2 αυτοις] εαυτοις ℵc.a(vid) (postea rurs αυτ.) A εαυτω̅ QΓ (nisi potius [αυ]των Γ) οι γ′ αυτοις Qmg + μη φοβεισθε ℵ (-σθαι) AQΓvid (μη ......θε) | παρακαλειτε] παρακαλισθαι ℵ* (-λειται ℵc.b) θ′ αφορισατε [α′] εξαρατε Qmg | τη χειρι] τη ψυχη A θ′ χειρι [α′] χειρα Qmg | ανοιξατε οι αρχοντες] [α′] κ̣ εισελθετωσαν ανοιγματα εκουσιαζομενω̅ Qmg 3 εγω συντασσω...υβριζοντες] [α′] εγω ενετειλαμην τοις ηγιασμενοις μου κ̣ γε εκαλεσα δυνατους μου τω θυμω μου αγαυριωμενους υπερφανειας μου (σ′...εν τω δοξασμω μου) Qmg | συντασω ℵ* (-τασσω ℵc.a) | και εγω αυτους] και εγω αγω αυτους· ηγιασμενοι (ηγειασμ. ℵ) εισι (-σιν ℵQ) και εγω αγω αυτους· B?mgℵQ και εγω αυτους ηγ. εισιν και ε. α. αυτους (-του A* -τους A1) A εγω αγω αυτ. ηγ. εισιν και ε. α. αυτους Γ | χαιροντες...υβριζοντες] σ′ χαιροντας τη υβρει μου Qmg | υβριζοντες] pr οι Γfort (οι|βριζ.) 4 om επι των ορεων...πολλων ℵ* (hab επι των ορεων ℵa hab επι...πολλων ℵc.a, c.b) | βασιλεων (βασι|ων ℵ)] οι γ′ βασιλειων Qmg | συνηγμενων ℵ* (-μενων ℵc.b) 5 ερχεσθαι] ερχεσθε και Q* (improb και Q?) | θεμελιου του sup ras et in mg Aa? (om θεμ. A*vid hab sub ÷ Q) | Κυριος] σ′ κ̅ς̅ κ̅ς̅ Qmg | οι οπλομαχοι (οι|πλομαχοι ℵ* οι οπλομ. ℵc.a)] σ′ σκευη οργης Qmg | καταφθειραι] pr του ℵc.a (improb ℵc.b(vid)) AQ | πασαν την οικουμενην] την οικ. ολην ℵAQΓ 6 ημερα] pr η ℵAQΓ 7 πασα χειρ] πασαι χειρες A 8 ταραχθησονται] pr και ℵAQΓ | συμφορασουσιν (συνφ. ℵ)] οι γ′ ωδινησουσιν Qmg

B πρόσωπον αὐτῶν ὡς φλὸξ μεταβαλοῦσιν. [9]ἰδοὺ γὰρ ἡμέρα Κυρίου 9
ἔρχεται ἀνίατος θυμοῦ καὶ ὀργῆς, θεῖναι τὴν οἰκουμένην ἔρημον καὶ
τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς. [10]οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ 10
καὶ ὁ Ὠρείων καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ τὸ φῶς οὐ δώσουσιν, καὶ
σκοτισθήσεται τοῦ ἡλίου ἀνατέλλοντος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς
αὐτῆς. [11]καὶ ἐντελοῦμαι τῇ οἰκουμένῃ ὅλῃ κακά, καὶ τοῖς ἀσεβέσιν 11
τὰς ἁμαρτίας αὐτῶν· καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερη-
φάνων ταπεινώσω. [12]καὶ ἔσονται οἱ καταλελιμμένοι ἔντιμοι μᾶλλον 12
ἢ τὸ χρυσίον τὸ ἄπυρον, καὶ ἄνθρωπος μᾶλλον ἔντιμος ἔσται ἢ ὁ
λίθος ὁ ἐν Σουφείρ. [13]ὁ γὰρ οὐρανὸς θυμωθήσεται, καὶ ἡ γῆ σει- 13
σθήσεται ἐκ τῶν θεμελίων αὐτῆς, διὰ θυμὸν ὀργῆς Κυρίου σαβαώθ,
τῇ ἡμέρᾳ ᾗ ἂν ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ. [14]καὶ ἔσονται οἱ καταλε- 14
λιμμένοι ὡς δορκάδιον φεῦγον καὶ ὡς πρόβατον πλανώμενον, καὶ
οὐκ ἔσται ὁ συνάγων, ὥστε ἄνθρωπον εἰς τὸν λαὸν αὐτοῦ ἀποστρα-
φῆναι· καὶ ἄνθρωπος εἰς τὴν χώραν ἑαυτοῦ διώξεται. [15]ὃς γὰρ ἂν ἁλῷ 15
ἡττηθήσεται, καὶ οἵτινες συνηγμένοι εἰσὶν μαχαίρᾳ πεσοῦνται. [16]καὶ 16
τὰ τέκνα αὐτῶν ῥάξουσιν ἐνώπιον αὐτῶν, καὶ τὰς οἰκίας αὐτῶν προνο-
μεύσουσιν, καὶ τὰς γυναῖκας αὐτῶν ἕξουσιν. [17]ἰδοὺ ἐπεγείρω ὑμῖν 17
τοὺς Μήδους, οἳ οὐ λογίζονται ἀργύριον οὐδὲ χρυσίου χρείαν ἔχουσιν.
[18]τοξεύματα νεανίσκων συντρίψουσιν, καὶ τὰ τέκνα ὑμῶν οὐ μὴ ἐλεή- 18
σωσιν, οὐδὲ ἐπὶ τοῖς τέκνοις σου φείσονται οἱ ὀφθαλμοὶ αὐτῶν. [19]καὶ 19
§ Γ ἔσται Βαβυλών, ἣ καλεῖται ἔνδοξος ἀπὸ βασιλέως Χαλδαίων, [§]ὃν
τρόπον κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γόμορρα· [20]οὐ κατοικηθήσεται 20
εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ μὴ εἰσέλθωσιν εἰς αὐτὴν διὰ πολλῶν

ℵAQΓ 9 ημερα] pr η ℵA | ανιατος ερχεται ℵAQ | θυμου και οργης] θ' μηνιδος ϗ οργης ϗ θυμου Q^mg | οικουμενην] + ολην ℵQ 10 ο Ωρειων] ο Ωριων B^b ℵ^c.a AQ Ωριον ℵ* | και πας..ουρανου sub ÷ Q | κοσμος] οικος ℵ* (κοσμ. ℵ^c.a) | φως 1°] + ※ αυτω̄ Q^mg | του ηλιου ανατελλοντος] σ' θ' ο ηλιος εν τη εξοδω αυτου Q^mg 11 ασεβεσι AQ 12 καταλελειμμ. B^ab Q^a? | ανθρωπος] pr ο ℵAQ | ο λιθος] om ο ℵ* (hab ℵ^c.a) | εν] εκ ℵAQ 13 ουρανος θυμωθησεται] α' ουρανους κλονησω σ' τον ουρανο̄ ταραξω θ' ουρανον θυμωσω Q^mg | om οργης Q* (hab Q^mg) | αν] εαν ℵ 14 οι καταλ. sub ÷ Q | καταλελειμμ. B^b(vid) Q^a? | φευγον] φευοντα ℵ* (φευγον ℵ^c.a, c.b) | πλαν. sub ÷ Q | και ουκ εσται...διωξεται] α' ϗ ουκ εστιν αθροιζων ανηρ προς λαον αυτου νευσουσι ϗ ανηρ προς γην αυτου φευξονται Q^mg | ανθρωπος] ανθρωπον ℵ^c.a AQ* (-πος Q^mg) | εαυτου] αυτου ℵAQ | διωξεται] διωξαι ℵ^c.a, c.b AQ* (-ξεται Q^mg) 15 ος] ως ℵ* (ος ℵ^c.a, c.b) | αν] εαν AQ | ηττηθησεται] οι γ' εκκε̄|τηθη|σεται Q^mg | οιτινες] οσοι A 16 ραξουσιν ενωπιον αυτων] om αυτων B om ραξουσιν ℵ* ενωπιον αυτων ραξ. ℵ^c.a AQ | om και τας οικιας αυτων ℵ* (hab και τ. οικειας αυτ. ℵ^c.a) 17 οι ...εχουσιν] α' οι αργυριον ου λογιζονῖ ϗ χρυσιον ουκ ευδοκησουσῖ Q^mg | χρυσιου] χρυσιον ℵ* (-ου ℵ^1(vid)) A 18 ελεησουσιν AQ* (-σωσιν Q^a) 19 Βαβυλων] pr η Q* | απο] υπο ℵAQ 20 χρονον] τ pro χ rescr ut vid ℵ^1 | om ουδε ...γενεων Γ | ουδε 1°] ουδ ου ℵQ

γενεῶν, οὐδὲ μὴ διέλθωσιν αὐτὴν Ἄραβες, οὐδὲ ποιμένες οὐ μὴ ἀνα- B
21 παύσονται ἐν αὐτῇ. [21]καὶ ἀναπαύσονται ἐκεῖ θηρία, καὶ ἐμπλησθή-
σονται αἱ οἰκίαι ἤχου· καὶ ἀναπαύσονται ἐκεῖ σειρῆνες, καὶ δαιμόνια
22 ἐκεῖ ὀρχήσονται, [22]καὶ ὀνοκένταυροι ἐκεῖ κατοικήσουσιν, καὶ νοσσο-
ποιήσουσιν ἐχῖνοι ἐν τοῖς οἴκοις αὐτῶν. ταχὺ ἔρχεται καὶ οὐ χρο-
XIV 1 νιεῖ. [1]Καὶ ἐλεήσει Κύριος τὸν Ἰακώβ, καὶ ἐκλέξεται ἔτι τὸν Ἰσ-
ραήλ, καὶ ἀναπαύσονται ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ὁ γιώρας προστεθή-
2 σεται πρὸς αὐτούς, καὶ προστεθήσεται πρὸς τὸν οἶκον Ἰακώβ, [2]καὶ
λήμψονται αὐτοὺς ἔθνη καὶ εἰσάξουσιν εἰς τὸν τόπον αὐτῶν, καὶ κατα-
κληρονομήσουσιν, καὶ πληθυνθήσονται ἐπὶ τῆς γῆς εἰς δούλους καὶ
δούλας· καὶ ἔσονται αἰχμάλωτοι οἱ αἰχμαλωτεύσαντες αὐτούς, καὶ
κυριευθήσονται οἱ κυριεύσαντες αὐτῶν.

3 [3]Καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ ἀναπαύσει σε Κύριος ἀπὸ τῆς ὀδύνης
καὶ τοῦ θυμοῦ σου τῆς δουλείας σου τῆς σκληρᾶς ἧς ἐδούλευσας αὐ-
4 τοῖς. [4]καὶ λήμψῃ τὸν θρῆνον τοῦτον ἐπὶ τὸν βασιλέα Βαβυλῶνος,
καὶ ἐρεῖς Πῶς ἀναπέπαυται ὁ ἀπαιτῶν, καὶ ἀναπέπαυται ὁ ἐπι-
5 σπουδαστής; [5]συνέτριψεν Κύριος τὸν ζυγὸν τῶν ἁμαρτωλῶν, τὸν
6 ζυγὸν τῶν ἀρχόντων· [6]πατάξας ἔθνος θυμῷ πληγῇ ἀνιάτῳ, παίων
7 ἔθνος πληγὴν θυμοῦ ἣ οὐκ ἐφείσατο, ἀνεπαύσατο πεποιθώς. [7]πᾶσα
8 ἡ γῆ βοᾷ μετ' εὐφροσύνης, [8]καὶ τὰ ξύλα τοῦ Λιβάνου εὐφράνθησαν
ἐπὶ σοὶ καὶ ἡ κέδρος τοῦ Λιβάνου Ἀφ' οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη
9 ὁ κόπτων ἡμᾶς. [9]ὁ ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι· συνη-
γέρθησάν σοι πάντες οἱ γίγαντες οἱ ἄρξαντες τῆς γῆς, οἱ ἐγείραντες

20 ουδε 2°] ουδ ου ℵ | διελθωσιν] εισ|ελθωσιν ℵΓ | αυτην 2°] pr εις ℵΓ | ℵAQΓ
αναπαυσωνται A 21 εμπλησθησονται] πλησθ. A | αι οικιαι] om αι A |
ηχου] α' φωνω̄ Q^{mg} | σιρηνες Q^{*}Γ α'σ' στρουθοκαμηλοι Q^{mg} | δαιμονια] α'
τριχιωται θ' ορθοτριχουντες Q^{mg} | ορχησονται] ορχηθησονται A 22 νοσ-
σοποιησωσιν $Γ^{vid}$ | εχινοι] π' σιρηνες Q^{mg} | χρονιει] + (θ') ※ κ̣ αι ημεραι
αυτης ου μη εφελκυσθωσιν Q^{mg} XIV 1 γιωρας (γειωρ. B^{ab}ℵAQΓ)]
adnot ο την γην φυλασσων $B^{c?}$ οι λ' προσηλυτος Q^{mg} | προσπροστεθησεται
(1°) Q^{*} | προς 2°] επι A 2 ληψονται B^{b}QΓ | πληθυνθησονται] + οικος
Ιηλ ℵ | γης] + του θῡ αυτων ℵ + του θῡ AQΓ | κυριευθησοται Q^{*} (-σονται
Q^{a}) 3 τη ημ. εκ.] pr εν ℵ* (improb ℵ$^{c.b(vid)}$ postea restit) AQ | Κυριος]
οι θς̄ ℵ* (improb ι ℵ^{1} postea ras) ο θς̄ AQ^{*}Γ κς̄ et πιπι Q^{mg} | απο] εκ
ℵ$^{c.a}$AQ om Γ | οδυνης] + σου ℵ$^{c.a}$ (postea ras) | om και 2° Q | της δουλειας
(-λιας ℵAQ^{*})] pr και ℵAQ pr εκ Γ | om σου 2° AQΓ 4 ληψη QΓ |
τον βασιλεα] om τον ℵ* (hab ℵ$^{c.b}$) | ερεις] + εν τη ημερα εκεινη (εκιν. ℵ)
ℵAQΓ 5 Κυριος] ο θς̄ ℵAQ^{*}Γ ο κς̄ et πιπι Q^{mg} 6 παταξας] Ωρ.
επαταξεν Q^{mg} | παιον Γ 8 του Λιβ. (1°) sub ÷ Q | Λιβανου 1°] δρυμου
ℵ* (Λιβ. ℵ$^{c.b(vid)}$ ras ℵ$^{c.c(vid)}$) | ηυφρανθησαν ℵAQ | Λιβανου 2°] + ερουσιν Q^{mg}
9 επικρανθη] α' εκλονηθη σ' εσαλευθη Q^{mg} | σῡ|αντ. B* συ|ναντ. $B^{?}$ συναντισας
Γ | συνηγερθησαν...γιγαντες] α'θ' εξηγειρεν σοι ραφαειμ Q^{mg} | αρξαντες]
αρχοντες ℵ* (αρξ. ℵ$^{c.a, c.b}$)

B ἐκ τῶν θρόνων αὐτῶν πάντας βασιλεῖς ἐθνῶν. [10]πάντες ἀποκρι- 10
θήσονται καὶ ἐροῦσίν σοι Καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς, ἐν ἡμῖν δὲ
κατελογίσθης. [11]κατέβη εἰς ᾅδου ἡ δόξα σου, ἡ πολλὴ εὐφροσύνη 11
σου· ὑποκάτω σου στρώσουσιν σῆψιν, καὶ τὸ κατακάλυμμά σου
σκώληξ. [12]πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωὶ ἀνα- 12
τέλλων; συνετρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη.
[13]σὺ δὲ εἶπας τῇ διανοίᾳ σου Εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω 13
τῶν ἀστέρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καθιῶ ἐν ὄρει ὑψηλῷ
ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βορρᾶν, [14]ἀναβήσομαι ἐπάνω τῶν 14
νεφῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. [15]νῦν δὲ εἰς ᾅδην καταβήσῃ καὶ 15
εἰς τὰ θεμέλια τῆς γῆς. [16]οἱ ἰδόντες σε θαυμάσονται ἐπὶ σοὶ καὶ 16
ἐροῦσιν Οὗτος ὁ ἄνθρωπος ὁ παροξύνων τὴν γῆν, σείων βασιλεῖς,
[17]ὁ θεὶς τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τὰς πόλεις αὐτοῦ καθεῖλεν, 17
τοὺς ἐν ἐπαγωγῇ οὐκ ἔλυσεν. [18]πάντες οἱ βασιλεῖς τῶν ἐθνῶν ἐκοι- 18
μήθησαν ἐν τιμῇ, ἄνθρωπος ἐν τῷ οἴκῳ αὐτοῦ· [19]σὺ δὲ ῥιφήσῃ ἐν 19
τοῖς ὄρεσιν, ὡς νεκρὸς ἐβδελυγμένος, μετὰ πολλῶν τεθνηκότων ἐκ-
κεκεντημένων μαχαίραις καταβαινόντων εἰς ᾅδου. ὃν τρόπον ἱμάτιον
ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρόν, [20]οὕτως οὐδὲ σὺ ἔσῃ καθα- 20
ρός, διότι τὴν γῆν μου ἀπώλεσας καὶ τὸν λαόν μου ἀπέκτεινας· οὐ
μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον, σπέρμα πονηρόν. [21]ἑτοίμασον τὰ 21
τέκνα σου σφαγῆναι ταῖς ἁμαρτίαις τοῦ πατρὸς αὐτῶν, ἵνα μὴ ἀνα-
στῶσιν καὶ τὴν γῆν κληρονομήσωσιν καὶ ἐμπλήσωσι τὴν γῆν πο-
λέμων. [22]καὶ ἐπαναστήσομαι αὐτοῖς, λέγει Κύριος σαβαώθ, καὶ ἀπολῶ 22

ℵAQΓ

9 παντες ℵQ | βασιλις ℵ* (-λεις ℵ^c.b) 11 κατεβη] + δε ℵA | σου ευφροσυνη Q | σου 4°] οι π' κατα Ωρ. σου Q^mg 12 εις] επι Γ | ο αποστελλων] om ο ℵ | προς] εις ℵ* (προς ℵ^c.a, c.b) | εθη ℵ* (εθν. ℵ^vid 1) 13 τη διανοια] τη καρδια ℵ pr εν ℵAQ | αστρων ℵAQΓ | μου] μ rescr A^a | τα προς βορραν] om τα ℵ* (hab ℵ^c) 14 νεφων] νεφελων ℵAQΓ 15 αδην] αδου ℵA | τα θεμελια της γης] α'θ' μηρους λακκου Q^mg 16 θαυμασονται] θαυμασουσιν ℵAQΓ | ο παροξυνων] α' [? ο] κλονων σ' ο ταραξας θ' ο παροργιζων Q^mg 17 om και τας π. αυτ. καθειλεν A | πολις ℵ* (-λεις ℵ^c.b) Q* | om αυτου ℵQ | εν επαγωγη] εν απ. Q^mg οι γ' ※ + αυτου οι λ' δεσμιους Q^mg 18 ανθρωπος] εκαστος A σ' εκαστος α'θ' ανηρ Q^mg 19 ορεσιν] εθνεσιν Γ | αδου] αδην Γ | τροπον] + γαρ ℵ^c.a (postea ras) | εν αιματι ιματιον A 20 om ου μη μεινης εις τ. αιωνα χρ. Q* (hab Q^mg) | αιωναν ℵ* | σπ. πον. c seqq coniung A 21 σφαγηναι τα τεκνα σου A | πατρος] α'σ' πατερων θ' πατρος Q^mg | αυτων] σου ℵAQ* (αυτ. Q^mg) Γ α'σ'θ' αυτων Q^mg | κληρονομησουσιν ℵΓ | εμπλησωσι την γην πολεμων] α' πληρωσωσι προσωπο̄ οικουμενης πολεων θ' πληρ. το προσ. της οικ. πολεων σ' πληρωσουσι το προσ. της οικ. πολεων Q^mg 22 επαναστησομαι] α 2° sup ras ℵ^1

22 αὐτῶν ὄνομα καὶ κατάλιμμα καὶ σπέρμα· τάδε λέγει Κύριος. [23]καὶ B
θήσω τὴν Βαβυλωνίαν ἔρημον ὥστε κατοικεῖν ἐχίνους, καὶ ἔσται εἰς
οὐδέν· καὶ θήσω αὐτὴν πηλοῦ βάραθρον εἰς ἀπώλειαν.
24 [24]Τάδε λέγει Κύριος σαβαώθ Ὃν τρόπον εἴρηκα οὕτως ἔσται, καὶ
25 ὃν τρόπον βεβούλευμαι οὕτως μενεῖ, [25]τοῦ ἀπολέσαι τοὺς Ἀσσυρίους
ἐπὶ τῆς γῆς τῆς ἐμῆς καὶ ἐπὶ τῶν ὀρέων μου· καὶ ἔσονται εἰς κατα-
πάτημα, καὶ ἀφαιρεθήσεται ἀπ' αὐτῶν ὁ ζυγὸς αὐτῶν, καὶ τὸ κῦδος
26 αὐτῶν ἀπὸ τῶν ὤμων ἀφαιρεθήσεται. [26]αὕτη ἡ βουλὴ ἣν βεβού-
λευται Κύριος ἐπὶ τὴν οἰκουμένην ὅλην, καὶ αὕτη ἡ χεὶρ ἡ ὑψηλὴ
27 ἐπὶ πάντα τὰ ἔθνη. [27]ἃ γὰρ ὁ θεὸς ὁ ἅγιος βεβούλευται, τίς διασκε-
δάσει; καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέψει;

28 [28]Τοῦ ἔτους οὗ ἀπέθανεν ὁ βασιλεὺς Ἀχὰζ ἐγενήθη τὸ ῥῆμα τοῦτο.
29 [29]Μὴ εὐφρανθείητε, πάντες οἱ ἀλλόφυλοι, συνετρίβη γὰρ ὁ ζυ-
γὸς τοῦ παίοντος ὑμᾶς· ἐκ γὰρ σπέρματος ὄφεως ἐξελεύσεται ἔκ-
γονα ἀσπίδων, καὶ τὰ ἔκγονα αὐτῶν ἐξελεύσονται ὄφεις πετάμενοι.
30 [30]καὶ βοσκηθήσονται πτωχοὶ δι' αὐτοῦ· πτωχοὶ δὲ ἄνθρωποι ἐπὶ
εἰρήνης ἀναπαύσονται· ἀνελεῖ δὲ λιμῷ τὸ σπέρμα σου, καὶ τὸ κατά-
31 λειμμά σου ἀνελεῖ. [31]ὀλολύξατε, πύλαι πόλεων, κεκραγέτωσαν πό-
λεις τεταραγμέναι, οἱ ἀλλόφυλοι πάντες, ὅτι ἀπὸ βορρᾶ καπνὸς
32 ἔρχεται, καὶ οὐκ ἔστιν τοῦ εἶναι. [32]καὶ τί ἀποκριθήσονται βασιλεῖς
ἐθνῶν; ὅτι Κύριος ἐθεμελίωσεν Σειών, καὶ δι' αὐτοῦ σωθήσονται οἱ
ταπεινοὶ τοῦ λαοῦ.

22 αυτων] α'σ' της Βαβυλωνος Q^{mg} | καταλειμμα B^{ab}AQ$^{?}$Γ | Κυριος 2°] ℵAQΓ +σαβαωθ ℵ (c seqq coniung) 23 Βαβυλωνα ℵ$^{c.a (vid)}$ (-νιαν ℵ$^{* c.b}$) | ουδεν] ουθεν ℵQΓ | βαραθρον] βαθρον A | απωλιαν ℵQ* 25 απωλεσαι Γ | επι 1°] εκ ℵ* απο ℵ$^{c.b}$AQ* (ε[πι] Q$^{mg vid}$) Γ | επι της γης της εμ.] α' εν γη μου θ'σ' εν τη γη μου Q^{mg} | επι 2°] απο ℵAQΓ | οριων ℵ$^{c.a, c.b (vid)}$ | om απ αυτων ℵ* | αυτων 2°]+απ αυτων ℵ$^{c.a}$ (postea ras) | αφαιρεθησεται 2°] incep απ ℵ* (αφερ. ℵ^{1} αφαιρ. ℵ$^{c.b}$) 26 ην] η ℵ* (ην ℵ$^{c.a}$) | Κυριος sub ÷ Q | οικουβενη̄ ℵ* (οικουμ. ℵ$^{post c.a (vid)}$) | υψηλη] υψωθη ℵ* (υψηλη ℵ$^{c.a, c.b}$) υψυ|λη (sic) Q | εθνη]+της οικουμενης ℵAQΓ 27 om αυτου ℵAQΓ | αστρεψει ℵ* (αποστρ. ℵ$^{c.a}$) 28 evan in Γ | ου] του ℵ* (ου ℵ$^{1 fort}$) | Αχαζ ο βασιλευς ℵAQ (?Γ) | ο βασιλευς] οι γ' ομοιως Q^{mg} 29 pr ορασις ς' Q^{mg} | αλλοφυλοι] υλ rescr ℵ^{1} | οφεων ℵ$^{c.a, c.b}$AQ (οι γ' ομοιως Q^{mg}) | εκγονα 1°] εγγονα AΓ | εκγονα 2°] εγγονα Γ | εξελευσονται] εξελευσεται ℵ* (-σονται ℵ^{a}) | οφεις] οφις Q* | πετομενοι ℵAQΓ 30 αυτου] αυτων ℵ$^{c.a}$ (postea restit -του) | ανθρωποι] ανδρες ℵAQ* (ανοι̅ Q^{mg}) Γ | επι] επ ℵAQΓ | καταλιμμα ℵAQ*Γ 31 ολολυξατε] ολολυξετε ℵ$^{* fort}$ ολολυζετε ℵ^{1}AQΓ (-ται) | πολεων] πολεως Q^{mg} | κεκραγετωσαν] καικραγ. ℵ* και κεκραγ. ℵ$^{c.a}$ | οτι] διοτι ℵ$^{c.a}$ (δι postea ras) | απο βορρα καπνος] καπνος (και incep ℵ*) απο β. ℵAQΓ | απο β.] οι γ' ομοιως Q^{mg} 32 οτι] διοτι ℵ$^{c.a}$ (postea restit οτι) | Σειων] Σιων B^{b}ℵAQΓ pr την ℵ

B **Τὸ ῥῆμα τὸ κατὰ τῆς Μωαβείτιδος.** XV

1 Νυκτὸς ἀπολεῖται ἡ Μωαβεῖτις, νυκτὸς γὰρ ἀπολεῖται τὸ τεῖχος 1
τῆς Μωαβείτιδος. 2 λυπεῖσθε ἐφ' ἑαυτούς, ἀπολεῖται γὰρ καὶ Δηβών, 2
οὗ ὁ βωμὸς ὑμῶν· ἐκεῖ ἀναβήσεσθε κλαίειν, ἐπὶ Ναβαὺ τῆς Μωαβ-
είτιδος. ὀλολύξατε, ἐπὶ πάσης κεφαλῆς φαλάκρωμα, πάντες βρα-
χίονες κατατετμημένοι, 3 ἐν ταῖς πλατείαις αὐτῆς περιζώσασθε σάκ- 3
κους, καὶ κόπτεσθε ἐπὶ τῶν δωμάτων αὐτῆς καὶ ἐν ταῖς ῥύμαις
αὐτῆς, πάντες ὀλολύζετε μετὰ κλαυθμοῦ. 4 ὅτι κέκραγεν Ἐσεβὼν 4
καὶ Ἐλεαλή, ἕως Ἰάσσα ἠκούσθη ἡ φωνὴ αὐτῶν· διὰ τοῦτο ἡ ὀσφὺς
τῆς Μωαβείτιδος βοᾷ, ἡ ψυχὴ αὐτῆς γνώσεται. 5 ἡ καρδία τῆς 5
Μωαβείτιδος βοᾷ ἐν αὐτῇ ἕως Σήγωρ· δάμαλις γάρ ἐστιν τριετής,
ἐπὶ δὲ τῆς ἀναβάσεως Λουεὶθ πρὸς σὲ κλαίοντες ἀναβήσονται τῇ
ὁδῷ Ἀρωνιείμ· βοᾷ σύντριμμα καὶ σεισμός, 6 τὸ ὕδωρ τῆς Νεμηρεὶμ 6
ἔρημος ἔσται, καὶ ὁ χόρτος αὐτῆς ἐκλείψει· χόρτος γὰρ χλωρὸς
οὐκ ἔσται. 7 μὴ καὶ οὕτως μέλλει σωθῆναι; ἐπάξω γὰρ ἐπὶ τὴν 7
φάραγγα Ἄραβας καὶ λήμψονται αὐτήν. 8 συνῆψεν γὰρ ἡ βοὴ τὸ 8
ὅριον τῆς Μωαβείτιδος τῆς Ἀγαλείμ, καὶ ὀλολυγμὸς αὐτῆς ἕως τοῦ
φρέατος τοῦ Αἰλείμ. 9 τὸ δὲ ὕδωρ τὸ Δειμὼν πλησθήσεται αἵματος· 9

ℵAQΓ XV tit evan in Γ pr *ορασις ζ'* Q^{mg} | *ρημα*] *οραμα* A | *Μωαβιτιδος* ℵAQ 1 *Μωαβιτις*, *Μωαβιτιδος* AQΓ 2 *εφ εαυτους*] *εφ εαυτοις* ℵAQ *εν εαυτοις* Γ | *και Δηβων*] *Δαιβηδων* ℵ* (*και Δηβ.* ℵ$^{corr\ pl}$) A *Δεβηδων* QΓ | *Μωαβιτιδος* ℵAQΓ | *ολολυξατε*] *ολολυζετε* ℵAQΓ (*-ται*) | *κατατετμημενοι* (*κατατετετμ.* A)] + *εισιν* ℵ* (improb ℵ$^{c.a, c.b}$) 3 *πλατιαις* AQ* | *σακκους ...δωματων*] pr obelos B^{a} (non inst B^{b}) *κ. κοπτεσθε* sub ÷ Q | *εν ταις ρυμαις αυτης*] pr *εν ταις πλατειαις* (*-τιαις* A) *αυτης και* B$^{?}$A *θ' σ' α' εν ταις πλατειαις αυτης* Q^{mg} | *αυτης* 3°] 6 fere litt adscr (prima lit vid fuisse o) ℵ$^{c.a, mg}$ | *καυθμου* ℵ* 4 *Ελεαλη*] *ελαλησεν* B^{ab}AQ* (*Ελεαλη οι γ' ομοιως* Q^{mg}) Γ pr *ελαλησεν* ℵ* (improb *Ελεαλη* ℵ$^{c.a, c.b(vid)}$ repos ℵ$^{c.c(fort)}$) | om *Ιασσα* ℵ$^{c.a, c.b}$ (repos ℵ$^{c.c(fort)}$) AQ* (hab *Ιασα* Q^{mg}) | *αυτων*] *αυτης* ℵAQ | *Μωαβιτιδος* AQΓ (item 5) | *ψυχυχη* ℵ 5 *αυτη*] *εαυτη* ℵAΓ | *εως*] *ως* ℵ* (*εως* ℵ$^{c.a}$) | *γαρ εστιν* sub ÷ Q | *επι δε...σεισμος*] *οτι αναβασει της Λουειθ εν κλαυθμω αναβησεται εν αυτω οτι οδω Ωρωναειμ κραυγην συντριμμου εξανεγερουσιν* Q^{mg} | *Λουειθ*] pr *της* ℵ *της* AQ* (*Λουειθ* Q^{mg}) *της Λουδαειμ* Γ | *αναβησεσθε* Q* (*-σονται* Q^{mg}) | *Αρωνιειμ*] *Αδωνιειμ* A | *συντριμμα*] *σι* incep ℵ^{*vid} (*συντρ.* ℵ^{1}) *σεισμος*] *συ|σισμος* Γ 6 *Νεμηρειμ*] *Νεβριμ* ℵ *Νεμρειμ* AQ* (*Νεμηρειμ* Q^{mg}) *Νεβηρειμ* Γ | om *ερημος εσται* ℵ* hab *ερημον εσται* ℵ$^{c.a}$ (sed paene evan) AQΓ 7 *φαραγγα̅* ℵ$^{*c.b(vid)}$ | *ληψονται* B$^{?}$ Q^{corr} Γ 8 *συνηψε* B$^{?}$ | *βοη*] *οι γ' κραυγη* Q^{mg} | *οριον*] *ορος* A (*οι γ' το οριον* Q^{mg}) | *Μωαβιτ.* ℵAQΓ | *Αγαλλιμ* ℵ *Αγαλλειμ* AQ | ※ *ολολυγμος αυτης* Q^{mg} | *Αιλιμ* ℵ 9 *Δειμων* 1°] *Δεμμων* (*μ* 1° sup ras) ℵ$^{?}$ *Δερμων* ℵ^{*fort} *Ρεμμων* ℵ$^{c.a, c.b}$AQ* (*Διμων ομ[οιω]ς οι γ' ς το εβραικ[ον]* Q^{mg}) Γ

ἐπάξω γὰρ ἐπὶ Δειμὼν [9]Ἄραβας, καὶ ἀρῶ τὸ σπέρμα Μωὰβ καὶ Ἀριὴλ B
καὶ τὸ κατάλοιπον Ἀδαμά.

XVI 1 [1]Ἀποστελῶ ὡς ἑρπετὰ ἐπὶ τὴν γῆν· μὴ πέτρα ἔρημός ἐστιν τὸ
2 ὄρος θυγατρὸς Σειών; [2]ἔσῃ γὰρ ὡς πετεινοῦ ἀνιπταμένου νοσσὸς
3 ἀφῃρημένος, ἔσῃ, θυγάτηρ Μωάβ· ἐπὶ τάδε, Ἀρνών, πλείονα [3]βου-
λεύου, ποιεῖτε σκέπην πένθους αὐτῇ διὰ παντός· ἐν μεσημβρινῇ
4 σκοτίᾳ φεύγουσιν, ἐξέστησαν· μὴ ἀχθῇς. [4]παροικήσουσίν σοι οἱ
φυγάδες Μωάβ· ἔσονται σκέπη ὑμῖν ἀπὸ προσώπου διώκοντος, ὅτι
ἤρθη ἡ συμμαχία σου, καὶ ὁ ἄρχων ἀπώλετο ὁ καταπατῶν ἀπὸ τῆς
5 γῆς. [5]καὶ διορθωθήσεται μετ᾽ ἐλέους θρόνος, καὶ καθιεῖται ἐπ᾽ αὐ-
τοῦ μετὰ ἀληθείας ἐν σκηνῇ Δαυείδ, κρίνων καὶ ἐκζητῶν κρίμα
6 καὶ σπεύδων δικαιοσύνην. [6]Ἠκούσαμεν τὴν ὕβριν Μωάβ,
ὑβριστὴς σφόδρα, τὴν ὑπερηφανίαν ἐξῆρα. οὐχ οὕτως ἡ μαντία
7 σου, οὐχ οὕτως. [7]ὀλολύξει Μωάβ, ἐν γὰρ τῇ Μωαβείτιδι πάντες
ὀλολύξουσιν· τοῖς κατοικοῦσιν Δέσεθ μελετήσεις, καὶ οὐκ ἐντρα-
8 πήσῃ. [8]τὰ πεδία Ἐσεβὼν πενθήσει, ἄμπελος Σεβαμά· καταπίνοντες
τὰ ἔθνη, καταπατήσετε τὰς ἀμπέλους αὐτῆς ἕως Ἰαζήρ· οὐ μὴ συνά-

9 Δειμων 2°] Νεμμω̄ | ℵ* Ρεμμων ℵ[c.a, c.b]AQΓ | Αραβας] pr |αβ᾽ και ℵAQΓ Αρει᾽ ℵ* (improb ℵ[1 fort, c.a, c.b]) | Αδαμα] μ sup ras ℵ[1] XVI 1 αποστελω...γην c antecedd coniung ℵ | αποστελω]+γαρ ℵ[c.a] (postea ras) | ως] +α ℵ* (improb ℵ[1 fort] postea ras) | επι την γην] απο της γης ℵ* επι της γης ℵ[c.a, c.b] | om θυγατρος AQ* (θυγ. ομοιως οι γ᾽ Q[mg]) Γ | Σιων B[b]ℵAQΓ 2 εση 1°...Μωαβ] α᾽ ϗ εσται ως πετεινον μεταναστευον εξαπεσταλμενη εσονται θυγατερες Μωαβ Q[mg] | νεοσσος ℵAQ (hiat Γ) | om εση 2° ℵAQ | θυγατηρ] θυγατερ ℵ[c.b] pr η Γ | Μωαβ] β rescr (?sup ras φ) ℵ[1] 2—3 επι ταδε (ἔπειτα δὲ B[b]) Αρνων πλειονα βουλευου] διαβασεις των Αρνω̄ φερετε βουλη̄ θ᾽ αι διαβ. Αρνω̄ φ. βουλη̄ Q[mg] 3 αυτη] σαυτη Q[a] αυτης Γ | φευουσιν ℵ* (φευγ. ℵ[c]) | μη αχθης B[*b]Q[mg]] μη απ αρχης B[a]ℵAQ*Γ θ᾽α᾽ μη αποκαλυψης σ᾽ μη αποδιωξης Q[mg] 4 om σοι A | εσονται (+γαρ A) σκ. υμιν] α᾽σ᾽ γινου αποκρυβη αυτοις Q[mg] | σου]+συνετελεσθη ταλαιπωρια A | απωλετω Γ | απο 2°] επι ℵAQ* (απο Q[mg]) Γ θ᾽σ᾽ εκ α᾽ ομοιως τοις ο᾽ Q[mg] 5 μετ] μετα ℵAΓ | καθιεται B*ℵ* (καθιειτ. B[ab]AQΓ) | αληθιας ℵQ* | εκζητων] ζητω̄ Q 6 υβριστης...εξηρα] σ᾽ υπερηφανος σφοδρα κατα το επαρμα αυτου ϗ κατα την υπερηφανιαν αυτου ϗ την οργη̄ αυτου Q[mg] | υπερηφανιαν (-νειαν Γ)]+αυτου ℵ[c.a] (ras ℵ[c.b (vid)]) Γ | εξηρα] εξηρας B[ab]ℵ[c.b] (ρα sup ras ℵ[1]) AQ*+※ ϗ η υβρις αυτου ϗ η μηνις αυτου Q[mg] | μαντεια B[ab]AQ[a]Γ 7 Μωαβιτιδι AQΓ | παντες] απαντες ℵ | ολολυζουσιν Q | τοις κατοικουσιν Δεσεθ (?δε Σεθ) μελετησεις] σ᾽ τοις ευφραινομενοις εν τω τειχει τω οστρακινω φθεγξασθε α᾽ τοις πολυχρονιοις μου τοιχω οστρακου μελετησατε θ᾽ τοις αυχμωδεσιν...Q[mg] | τοις κατοικ.] pr ϗ ℵ[c.a] (postea ras) | Δεσεθ] δε σε ℵ[c.a] (repos θ ℵ[c.b]) | εντραπησης ℵ[1 fort] εντραπησηται Γ 8 πεδια] α᾽ αρουραι σ᾽ κληματα θ᾽ αγροι θανατου Q[mg] | αμπελοσεβ. ℵ* (αμπελος Σεβ. ℵ[c.a]) | καταπατησατε A[a] (ατε sup ras 5 vel 6 litt) Q καταπατησονται A[* fort]Γ

B ψητε, πλανήθητε τὴν ἔρημον· οἱ ἀπεσταλμένοι ἐνκατελείφθησαν, διέ-
βησαν γὰρ τὴν θάλασσαν. 9 διὰ τοῦτο κλαύσομαι ὡς τὸν κλαυθμὸν 9
Ἰαζὴρ ἄμπελον Σεβαμά· τὰ δένδρα σου κατέβαλεν Ἑσεβὼν καὶ
Ἐλεαλή, ὅτι ἐπὶ τῷ θερισμῷ καὶ ἐπὶ τῷ τρυγητῷ σου καταπα-
τήσω, καὶ πάντα πεσοῦνται. 10 καὶ ἀρθήσεται εὐφροσύνη καὶ ἀγαλ- 10
λίαμα ἐκ τῶν ἀμπελώνων, καὶ ἐν τοῖς ἀμπελῶσίν σου οὐ μὴ εὐφραν-
θήσονται, καὶ οὐ μὴ πατήσουσιν οἶνον εἰς τὰ ὑπολήνια, πέπαυται
γάρ. 11 διὰ τοῦτο ἡ κοιλία μου ἐπὶ Μωὰβ ὡς κιθάρα ἠχήσει, καὶ 11
τὰ ἐντός μου ὡς τεῖχος ἐνεκαίνισας. 12 καὶ ἔσται εἰς τὸ ἐντραπῆναί 12
σε, ὅτι ἐκοπίασεν Μωὰβ ἐπὶ τοῖς βωμοῖς, καὶ εἰσελεύσεται εἰς τὰ
χειροποίητα αὐτῆς ὥστε προσεύξασθαι, καὶ οὐ μὴ δύνηται ἐξελέσθαι
αὐτόν. 13 τοῦτο ῥῆμα ὃ ἐλάλησεν Κύριος ἐπὶ Μωάβ, ὁπότε ἐλάλησεν. 13
14 καὶ νῦν λέγω Ἐν τρισὶν ἔτεσιν ἐτῶν μισθωτοῦ ἀτιμασθήσεται ἡ 14
δόξα Μωὰβ παντὶ τῷ πλούτῳ τῷ πολλῷ, καὶ καταλειφθήσεται ὀλι-
γοστὸς καὶ οὐκ ἔντιμος.

Τὸ ῥῆμα τὸ κατὰ Δαμασκοῦ. XVII

1 Ἰδοὺ Δαμασκὸς ἀρθήσεται ἀπὸ πόλεων, καὶ ἔσται εἰς πτῶσιν, 1
2 καταλελιμμένη εἰς τὸν αἰῶνα, εἰς κοίτην ποιμνίων καὶ ἀνάπαυσιν, 2
καὶ οὐκ ἔσται ὁ διώκων· 3 καὶ οὐκέτι ἔσται ὀχυρὰ τοῦ καταφυγεῖν 3
Ἐφράιμ· καὶ οὐκέτι βασιλεία ἐν Δαμασκῷ καὶ τὸ λοιπὸν τῶν Σύρων·
οὐ γὰρ σὺ βελτίων εἶ τῶν υἱῶν Ἰσραὴλ καὶ τῆς δόξης αὐτῶν. 4 Τά- 4
δε λέγει Κύριος σαβαὼθ Ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκλειψις

ℵAQΓ 8 επλανηθητε ℵ | απεσταλμενοι] + ※ α′ μο[νος] απ αυτης Q^{mg} | ενκατελειφθησαν] εγκ. B^{a}AQ | θαλασσαν] ερημον ℵ* (θαλ. ℵ$^{c.a}$ postea repos ερ.) AQ* (θαλ. Q^{mg} οι γ′ ϛ το Εβρ. ομ[οιω]ς θαλ. Q^{mg}) 9 κλαυθμον] α sup ras ℵ$^{?}$ | αμελον ℵ* (αμπ. ℵ$^{c.a}$) αμπελος Γ | Σαβαμα Q | κατεβαλεν] κατελαβεν ℵ | σ′ Εσβω Q^{mg} | Ελεαλη] ελαλησεν B^{ab}ℵAQ* (Ελεαλη ομοιως οι γ′ Q^{mg}) Γ + αλη ℵ* (improb ℵ$^{1\,vid}$ postea ras) | οτι] ετι ℵQΓ om A 10 αγαλιαμα ℵ | εκ των αμπελωνων] + σου ℵAQΓ α′ απο του Καρμηλου σ′θ′ εκ του Κ. Q^{mg} | εν τ. αμπ. σου ου μη ευφρανθ.] α′ ε̄ αμπελωσιν ουκ αινεσει Q^{mg} | πατησωσιν Γ 11 ως 2°] ωσει ℵAQΓ | τειχος ενεκαινισας (σα rescr A^{1} -νησας Γ)] τ. ο ενεκαιν. ℵAQΓ σ′ [τειχει] τω οστρακινω Q^{mg} 12 εις 1°] ως A | om οτι A 12—13 εξελεσθαι αυτον του[] pr obel B^{a} (non inst B^{b}) 13 τουτο ρημα] τοτοτο ρ. ℵ* τοτο ρ. ℵ$^{c.a}$ τουτο το ρ. ℵ$^{c.b}$AQΓ | ελαλησεν 2°] pr και ℵAQΓ 14 λεγων Γ | παντι τω πλουτω] pr εν ℵAQΓ | om τω πολλω Γ | πλολω ℵ* (πολλ. ℵ$^{c.a}$) XVII tit periit in Γ pr ορασις η′ Q^{mg} 2 καταλελιμμ. (καταλελειμμ. B^{ab}Q^{a}Γ) εις τον αι.] οι γ′ καταλελιμμεναι πολεις Q^{mg} | και αναπαυσιν] + βουκολιων ℵ$^{c.a}$A om και αναπ. ℵ* (hab ℵ$^{c.a}$) | ουκ] ουκαιτι ℵ* ουκετι ℵ$^{c.a,\,c.b}$ 3 καταφυγειν] υ sup ras A$^{a?}$ | Εφρεμ ℵ | ουκετι 2°] + εσται ℵ (-τε) AQΓ | Συρων] Ασσυρων (sic) A^{1} + απολειται ℵ (-λιτ. ℵ* -λειτ. ℵ$^{c.b}$) A | βερτιων ℵ* (βελτ. ℵ$^{c.a,\,c.b}$) | om και της δοξης αυτων Γ

5 δόξης Ἰακώβ, καὶ τὰ πίονα τῆς δόξης αὐτοῦ σεισθήσεται. [5]καὶ B
ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ ἀμητὸν ἑστηκότα καὶ σπέρμα
σταχύων ἀμήσῃ, καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ στάχυν
6 ἐν φάραγγι στερεᾷ, [6]καὶ καταλειφθῇ ἐν αὐτῇ καλάμη, ἢ ὡς ῥῶγες
ἐλαίας δύο ἢ τρεῖς ἐπ᾽ ἄκρου μετεώρου, ἢ τέσσαρες ἢ πέντε ἐπὶ
τῶν κλάδων αὐτῶν καταλειφθῇ. τάδε λέγει Κύριος ὁ θεὸς Ἰσραήλ.
7 [7]τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσται ὁ ἄνθρωπος ἐπὶ τῷ ποιήσαντι
αὐτόν, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν ἅγιον τοῦ Ἰσραὴλ ἐμβλέ-
8 ψονται, [8]καὶ οὐ μὴ πεποιθότες ὦσιν ἐπὶ τοῖς βωμοῖς οὐδὲ ἐπὶ
τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν, καὶ
9 οὐκ ὄψονται τὰ δένδρα οὐδὲ τὰ βδελύγματα αὐτῶν. [9]τῇ ἡμέρᾳ
ἐκείνῃ ἔσονται αἱ πόλεις σου ἐγκαταλελιμμέναι ὃν τρόπον κατέ-
λιπον οἱ Ἀμορραῖοι καὶ οἱ Εὐαῖοι ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ,
10 καὶ ἔσονται ἔρημοι· [10]διότι κατέλιπες τὸν θεὸν τὸν σωτῆρά σου, καὶ
Κυρίου τοῦ βοηθοῦ σου οὐκ ἐμνήσθης. διὰ τοῦτο φυτεύσεις φύ-
11 τευμα ἄπιστον καὶ σπέρμα ἄπιστον· [11]τῇ δὲ ἡμέρᾳ ᾗ ἂν φυτεύ-
σῃς, πλανηθήσῃ· τὸ δὲ πρωὶ ἐὰν σπείρῃς, ἀνθήσει εἰς ἀμητὸν ᾗ
ἂν ἡμέρᾳ κληρώσῃ, καὶ ὡς πατὴρ ἀνθρώπου κληρώσῃ τοῖς υἱοῖς
12 σου. [12]Οὐαὶ πλῆθος ἐθνῶν πολλῶν· ὡς θάλασσα κυμαίνουσα,
οὕτως ταραχθήσεσθε, καὶ νῶτος ἐθνῶν πολλῶν ὡς ὕδωρ ἠχήσει·
13 [13]ὡς ὕδωρ πολὺ ἔθνη πολλά, ὡς ὕδατος πολλοῦ βίᾳ φερομένου.
καὶ ἀποσκορακιεῖ αὐτόν, καὶ πόρρω αὐτὸν διώξεται ὡς χνοῦν ἀχύ-
ρου λικμώντων ἀπέναντι ἀνέμου, καὶ ὡς κονιορτὸν τροχοῦ καται-
14 γὶς φέρουσα. [14]πρὸς ἑσπέραν, καὶ ἔσται πένθος· πρὶν ἢ πρωί, καὶ

4 δοξης 1°] pr της ℵAQΓ | πιονα (πει. B* πι. B^{b}A*)] πλειονα (πλι. ℵA^{1}Q*) ℵAQΓ Q^{a}Γ | σεισθησεται (σισθ. A)] ισ sup ras $A^{a?}$ 5 σταχυων (ταχ. ℵ* σταχ. ℵ$^{1 (vid), c.b}$)] + εν τω βραχιονι αυτου ℵ* (improb ℵ$^{c.a, c.b}$) A | αμησει ℵ$^{* fort}$ (η 2° sup ras ℵ^{1}) 6 αυτων] αυτου AQ* (-των Q^{mg}) 7 ο αν-θρωπος] om ο ℵ* (hab ℵ$^{c.a, c.b}$) A 8 ωσιν] + επι τοις αδικησασιν αυτους ουδε ℵ | εργοις] ερτ incep ℵ* | αυτων 2°] + αλλ εσονται (-τε ℵ) πεποιθοτες (πο incep ℵ* πεπ. ℵ$^{1 (vid)}$) επι τον αγιον του Ιηλ ℵQ | δενδρα] + επι τα αρση αυτων ℵ* (improb ℵ$^{c.a}$ et [exc αυτων] ℵ$^{c.b}$) αλση αυτων A + αυτων Q 9 πολις ℵ*Q* (-λεις ℵ$^{c.b}$$Q^{a}$) | om σου ℵ* (hab ℵ$^{c.a}$) | ενκαταλελιμμ. ℵ εγ-καταλελειμμ. $B^{ab}$$Q^{a}$Γ | κατελιπον] ε̄|κατελιπον ℵ εγκατελειπον A κατελειπον Q^{a} (postea ras ε 2°) Γ | Αμ|μορραιοι ℵ (-ρρεοι) Q 10 κατελειπες Q^{a} (postea ras ε 2°) εγκατελειπες AΓ | βοηθου] θυ Γ 11 αν 1°] εαν ℵ | φυτευ-σεις Γ | σπειρης] φυτευσης A | ως] ωσπερ A | κληρωσει (2°) ℵ (-σι) Γ | om σου A 13 φερομενου] καταφερ. AQ | χνουν] χνους ℵ* (χνουν ℵ$^{c.a, c.b}$) χουν AΓ | αχυρων QΓ | λικμωντων] θ′σ′ ορεων Q^{mg} 14 προς] pr σ′θ′ το Q^{mg} | om και 1° ℵAQΓ | προι ℵ* (πρωι ℵ$^{c.a, c.b}$)

B οὐκ ἔσται. αὕτη ἡ μερὶς τῶν ὑμᾶς προνομευσάντων, καὶ κληρονομία
τοῖς ὑμᾶς κληρονομήσασιν.

[1]Οὐαὶ γῆς πλοίων πτέρυγες ἐπέκεινα ποταμῶν Αἰθιοπίας, [2]ὁ 1 2 XVIII
ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα καὶ ἐπιστολὰς βυβλίνας ἐπάνω τοῦ
ὕδατος. πορεύσονται γὰρ ἄγγελοι κοῦφοι πρὸς ἔθνος μετέωρον, καὶ
ξένον λαὸν καὶ χαλεπόν· τίς αὐτοῦ ἐπέκεινα; ἔθνος ἀνέλπιστον καὶ
καταπεπατημένον. νῦν οἱ ποταμοὶ τῆς γῆς [3]πάντες ὡς χώρα κατοι- 3
κουμένη κατοικηθήσεται· ἡ χώρα αὐτῶν ὡς εἰς σημεῖον ἀπὸ ὄρους
ἀρθῇ, ὡς σάλπιγγος φωνὴ ἀκουστὸν ἔσται. [4]διότι οὕτως μοι εἶπεν 4
Κύριος Ἀσφάλεια ἔσται ἐν τῇ ἐμῇ πόλει ὡς φῶς καύματος με-
σημβρίας, καὶ ὡς νεφέλη δρόσου ἡμέρας ἀμήτου ἔσται. [5]πρὸ τοῦ 5
θερισμοῦ, ὅταν συντελεσθῇ ἄνθος, καὶ ὄμφαξ ἀνθήσει ἄνθος ὀμφα-
κίζουσα· καὶ ἀφελεῖ τὰ βοτρύδια τὰ μικρὰ τοῖς δρεπάνοις, καὶ τὰς
κληματίδας ἀφελεῖ καὶ ἀποκόψει, [6]καὶ καταλείψει ἅμα τοῖς πετεινοῖς 6
τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς· καὶ συναχθήσεται ἐπ' αὐτοὺς
τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ πάντα τὰ θηρία τῆς γῆς ἐπ' αὐτὸν ἥξει.
[7]ἐν τῷ καιρῷ ἐκείνῳ ἀνενεχθήσεται δῶρα Κυρίῳ σαβαὼθ ἐκ λαοῦ 7
τεθλιμμένου καὶ τετιλμένου, καὶ ἀπὸ λαοῦ μεγάλου ἀπὸ τοῦ νῦν καὶ
εἰς τὸν αἰῶνα χρόνον· ἔθνος ἐλπίζον καὶ καταπεπατημένον, ὅ ἐστιν
ἐν μέρει ποταμοῦ τῆς χώρας αὐτοῦ, εἰς τὸν τόπον οὗ τὸ ὄνομα Κυρίου
σαβαώθ, ὄρος Σειών.

Ὅρασις Αἰγύπτου. XIX

[1]Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης καὶ ἥξει εἰς Αἴγυπτον, 1
καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ

ℵAQΓ 14 τοις υμας κληρονομησασιν (-σουσιν $\aleph^{*}$ -σασιν $\aleph^{c.a, c.b}$)] των υμας κληρονομησαντων AΓ τοις ημας (υμ. Q^{mg}) κληρονομησασιν (sup ras) Q^{a} XVIII 1 ουαι] ο sup ras Q^{a} 2 ομηρα…βυβλινας] α' πρεσβυτας ϗ εν σκευεσι βιβλιου σ' αποστολους ϗ δια σκευων παπυρινω̄ θ' ομηρα ϗ εν σκευεσι παπυρου Q^{mg} | βιβλινας ℵAQΓ | om αγγελοι Q | προς] επ F | τις] τι A | κατεπατημ. A | νυν bis scr A 3 ως εις] ωσει B^{ab}ℵAQΓ | αρθη] αρθησεται ℵΓ + θ'α'σ' οψεσθε Q^{mg} 4 διοτι] οτι ℵAQ | ειπεν μοι ℵAQΓ | ασφαλια $\aleph Q^{*}$ | κυματος A^{*vid} (καυμ. $A^{?}$) 5 ανθος 1°] pr το $\aleph^{c.a}$ (rurs ras) | ανθηση A | αφελει 1°] αφαιρει Γ | κλιματιδας Q^{*} (κλημ. Q^{a}) | αποκοψει] κατακοψει ℵ (-ψι $\aleph^{*}$ -ψει $\aleph^{c.b}$) AQ^{*} (αποκ. Q^{mg}) Γ 6 του ουρ. (2°) sub ÷ Q 7 τετιλμενου] + και ταπινου $\aleph^{*}$ (-πειν. $\aleph^{c.b}$) | μεγαλου] οι λοιποι φοβερου Q^{mg} | εθνος ελπιζον (ανελπιστον ℵ) και καταπεπατημενον] α' υπομενοντος ϗ συμπεπατημενου Q^{mg} | ποταμου] pr του A | σαβαωθ] + επεκληθη ℵ | ορος] pr εις Q^{mg} | Σιων B^{b}AQ XIX tit periit in Γ 1 καθηται επι νεφ. κουφης] α' επιβαινει επι παχους ελαφρου Q^{mg} | Αιγυπου (sic) ℵ

2 ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς. 2 καὶ ἐπεγερθήσονται Αἰ- B
γύπτιοι ἐπ' Αἰγυπτίους, καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐ-
τοῦ καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ, πόλις ἐπὶ πόλιν καὶ νομὸς
3 ἐπὶ νομόν. 3 καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν Αἰγυπτίων ἐν αὐ-
τοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω, καὶ ἐπερωτήσουσιν τοὺς
θεοὺς αὐτῶν καὶ τὰ ἀγάλματα αὐτῶν καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας
4 καὶ τοὺς ἐγγαστριμύθους. 4 καὶ παραδώσω Αἴγυπτον εἰς χεῖρας ἀν-
θρώπων κυρίων σκληρῶν, καὶ βασιλεῖς σκληροὶ κυριεύσουσιν αὐ-
5 τῶν. τάδε λέγει Κύριος σαβαώθ. 5 καὶ πίονται οἱ Αἰγύπτιοι ὕδωρ
6 τὸ παρὰ θάλασσαν, ὁ δὲ ποταμὸς ἐκλείψει καὶ ξηρανθήσεται· 6 καὶ
ἐκλείψουσιν οἱ ποταμοὶ καὶ αἱ διώρυχες τοῦ ποταμοῦ, καὶ ξηραν-
θήσεται πᾶσα συναγωγὴ ὕδατος καὶ ἐν παντὶ ἕλει καλάμου καὶ
7 παπύρου, 7 καὶ τὸ ἄχι τὸ χλωρὸν πᾶν τὸ κύκλῳ τοῦ ποταμοῦ καὶ
8 τὸ σπειρόμενον διὰ τοῦ ποταμοῦ ξηρανθήσεται ἀνεμόφθορον. 8 καὶ
στενάξουσιν οἱ ἁλεεῖς, καὶ στενάξουσιν πάντες οἱ βάλλοντες ἄγκιστρα
εἰς τὸν ποταμόν, καὶ οἱ βάλλοντες σαγήνας καὶ οἱ ἀμφιβολεῖς πενθή-
9 σουσιν. 9 καὶ αἰσχύνη λήμψεται τοὺς ἐργαζομένους τὸ λίνον τὸ
10 σχιστὸν καὶ τοὺς ἐργαζομένους τὴν βύσσον, 10 καὶ ἔσονται οἱ ἐργα-
ζόμενοι αὐτὰ ἐν ὀδύνῃ, καὶ πάντες οἱ ποιοῦντες τὸν ζῦθον λυπηθή-
11 σονται καὶ τὰς ψυχὰς πονέσουσιν. 11 καὶ μωροὶ ἔσονται οἱ ἄρχοντες
Τάνεως· οἱ σοφοὶ σύμβουλοι τοῦ βασιλέως, ἡ βουλὴ αὐτῶν μωραν-
θήσεται. πῶς ἐρεῖτε τῷ βασιλεῖ Υἱοὶ συνετῶν ἡμεῖς, υἱοὶ βασιλέων
12 τῶν ἐξ ἀρχῆς; 12 ποῦ εἰσιν νῦν οἱ σοφοί σου; καὶ ἀναγγειλάτωσάν
σοι καὶ εἰπάτωσαν τί βεβούλευται Κύριος σαβαὼθ ἐπ' Αἴγυπτον.

1 η καρδια] αι καρδιαι A ομοιως οι γ' [η καρδια] Qmg | ηττηθησονται A ℵAQΓ
2 επεγερθησεται ℵ* (-σονται ℵ1) | ανθρωπος 2°] οι γ' ανηρ Qmg | πολις (-λεις B* -λις Ba)] pr και επεργηθησονται Bb(vid) mg pr και επεργηθησεται ℵc.aA pr πολεμησι και ℵ* pr πολεμησι επεργηθησεται και ℵc.b 3 θεους] ν rescr Q?vid | του εγγαστριμυθου B* τους ενγαστριμυθους BaℵAQ*Γ (τους εγγ. BbQa) + και τους γνωστας ℵA 4 Αιγυπτον] pr τη̄ ομοιως οι γ' Qmg | ανθρ. sub ÷ Q 5 οι Αιγ. sub ÷ Q 6 διωρυγες ℵAQ* (-χες Qa) de Γ non liq | κ. εν π. ελει sub ÷ Q 7 [α]χει Γ | το σπειρομενον] pr παν BabℵAQΓ 8 αλιεις Ba?bℵc.bQ? (-λειεις) Γ | στεναξουσι 2° Q | οι βαλλοντες 1°] οι (sup ras ℵ1) βαλ. ℵ* (οι βαλλ. ℵc.a) | αγκιστρα (ανγ. B* αγκ. Bab)] αγκιστρον ℵ (αγγ. ℵ* αγκ. ℵc.b) AQ σαγηνην Γ | σαγηνας] αγκιστρον Γ 9 λημψεται] ληψ. QΓ ται sup ras ℵ1 | το λινον το σχι sup ras ℵ1 | σχιστον (σχι|τον ℵ* fort σχισ|τ. ℵc.a, c.b)] σ' κτενιστον Qmg 10 οι εργαζομενοι αυτα εν οδυνη] α' αι αποθηκαι αυτης τεταπεινωμεναι θ' τα πειονα αυτης τεταπεινωμενα Qmg | εργαζομενοι Bℵ*Γvid] διαζομενοι ℵc.b(vid) (postea ras) διαλογιζομενοι AQ* (εργ. Qmg) | ποιουντες τον ζυθον] τον ζυθον (ζυγον ℵ* ζυθ. ℵc.a et postea) ποιουντ. ℵAQ ποιουντ. το ζυθον Γ 11 αρχον ℵ* (αρχοντες ℵc) | συνβουλοι ℵ συμβολοι Γ | η βουλη] pr και ℵc.a (postea ras)

B [13]ἐξέλιπον οἱ ἄρχοντες Τάνεως, καὶ ὑψώθησαν οἱ ἄρχοντες Μέμφεως, 13
καὶ πλανήσουσιν Αἴγυπτον κατὰ φυλάς. [14]Κύριος γὰρ ἐκέρασεν 14
αὐτοῖς πνεῦμα πλανήσεως, καὶ ἐπλάνησαν Αἴγυπτον ἐν πᾶσι τοῖς
ἔργοις αὐτῶν, ὡς πλανᾶται ὁ μεθύων καὶ ὁ ἐμῶν ἅμα. [15]καὶ 15
οὐκ ἔσται τοῖς Αἰγυπτίοις ἔργον ὃ ποιήσει κεφαλὴν καὶ οὐρὰν καὶ
ἀρχὴν καὶ τέλος. [16]Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἔσονται οἱ Αἰγύπτιοι 16
ὡς γυναῖκες ἐν φόβῳ καὶ ἐν τρόμῳ ἀπὸ προσώπου τῆς χειρὸς
Κυρίου σαβαὼθ ἣν αὐτὸς ἐπιβαλεῖ αὐτοῖς. [17]καὶ ἔσται ἡ χώρα 17
τῶν Ἰουδαίων τοῖς Αἰγυπτίοις εἰς φόβηθρον· πᾶς ὃς ἐὰν ὀνομάσῃ
αὐτὴν αὐτοῖς, φοβηθήσονται διὰ τὴν βουλὴν ἣν βεβούλευται Κύριος
ἐπ' αὐτήν. [18]Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται πέντε πόλεις ἐν Αἰ- 18
γύπτῳ λαλοῦσαι τῇ γλώσσῃ τῇ Χανααneίτιδι καὶ ὀμνύντες τῷ ὀνό-
ματι Κυρίου· πόλις ἀσεδὲκ κληθήσεται ἡ μία πόλις. [19]Τῇ 19
ἡμέρᾳ ἐκείνῃ ἔσται θυσιαστήριον τῷ κυρίῳ ἐν χώρᾳ Αἰγυπτίων, καὶ
στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ κυρίῳ, [20]καὶ ἔσται εἰς σημεῖον εἰς 20
τὸν αἰῶνα Κυρίῳ ἐν χώρᾳ Αἰγύπτου· ὅτι κεκράξονται πρὸς Κύριον
διὰ τοὺς θλίβοντας αὐτούς, καὶ ἀποστελεῖ αὐτοῖς ἄνθρωπον ὃς σώσει
αὐτούς, κρίνων σώσει αὐτούς. [21]καὶ γνωστὸς ἔσται Κύριος τοῖς 21
Αἰγυπτίοις· καὶ γνώσονται οἱ Αἰγύπτιοι τὸν κύριον ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, καὶ ποιήσουσιν θυσίας, καὶ εὔξονται εὐχὰς τῷ κυρίῳ καὶ
ἀποδώσουσιν. [22]καὶ πατάξει Κύριος τοὺς Αἰγυπτίους πληγῇ, καὶ 22
ἰάσεται αὐτοὺς ἰάσει, καὶ ἐπιστραφήσονται πρὸς Κύριον, καὶ εἰσα-

ℵAQΓ **13** εξελειπον AQ* (-λιπον Q^{a}) Γ | πλανησουσιν] οι γ' επλανησᾱ Q^{mg} | Αιγυπτον] pr τη (sic) Q$^{mg\ vid}$ **14** επλανησεν ℵ | Αιγυπτον] pr α'σ'θ' ※ την Q^{mg} | πασιν AΓ | αυτων] οι γ' αυτης Q^{mg} **15** Εγυπτιοις (sic) ℵ* Αιγ. ℵ$^{c.a,c.b}$ | om και 3° ℵAQΓ **16** τη δε ημερα εκ.] om δε Q | Εγυπτ. ℵ* (Αιγ. ℵ$^{c.a,c.b}$: item 18, 21) | om εν 2° Q **17** χωραν A* (χωρα A$^{a?}$) | φοβηθρον] φο sup ras B^{ab} φοβητρον ℵAQΓ | εαν] αν ℵAQΓ | ομοση ℵ* (ονομ. ℵ$^{c.b(vid)}$) ονομασει Γ | αυτοις αυτην ℵ* (αυτην αυτοις ℵ$^{c.a}$) | την β.] την rescr vid B$^{?}$ + κ̅υ̅ σαβαωθ A | Κυριος] + ※ σαβαωθ Q^{mg} | αυτην 2°] αυτους ℵ* (-την ℵ$^{c.a,c.b}$) Q **18** τη ημερα] pr εν ℵ | πολεις] πολις Q* | Αιγυπτω] pr οι γ' ※ γη Q^{mg} | τη γλωσση] om τη Q | Χαναντιτιδι ℵAQΓ | ομνυντες] ομνυοντες ℵ* οι ομνυοντ. Γ ομνυουσαι ℵ$^{c.b}$AQ (superscr οι γ' Q$^{?}$) οι σ' ομνυοντες Q^{mg} | Κυριου] + ※ σαβαωθ Q^{mg} | ασεδεκ] ασεδ ηλιου ℵ* (improb δ ηλιου ℵ$^{c.a}$ ασεδεκ ℵ$^{c.b}$) σ' ηλιου α'θ' αρες (α' θαρες sic) Q^{mg} | κληθησεται] pr και ℵ* (mox improb) **19** θυσιαστηριον] pr το A | Αιγυπτιων] Αιγυπτου Q **20** εισημιον ℵ* (εις σημ. ℵ$^{?vid}$) | αιωνα ℵ* (-να ℵ$^{c.b}$) | Κυριω] κ̅ς̅ ℵ* (κ̅ω̅ ℵ$^{c.a,c.b}$) | om προς Κυριον ℵ* (hab ℵ$^{c.a}$) | αυτοις] + κ̅ς̅ ℵAQΓ | ανθρωπον ος σωσει αυτους] α'σ'θ' σ̅ρ̅α̅—οπερ ερμηνευεται Ι̅ς̅ (sic) Q^{mg} **21** και γνωστος] αι γνω sup ras B^{ab} | θυσιας] σ' θυσιᾱ α' θυσια + ※ α' και δωρω Q^{mg} | αποδωσωσειν ℵ* (-σιν ℵ$^{c.b}$) **22** πληγη] + μεγαλη ℵAQ | και ιασεται αυτους ιασει] θ' θραυσει κ̧ ιασι Q^{mg} | εισακουσεται] εισακουσονται ℵ* (-σεται ℵ^{c} επακουσεται AQ)

23 κούσεται αὐτῶν καὶ ἰάσεται αὐτούς. [23]Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται B
ἡ ὁδὸς Αἰγύπτου πρὸς Ἀσσυρίους, καὶ εἰσελεύσονται Ἀσσύριοι εἰς
Αἴγυπτον· καὶ Αἰγύπτιοι πορεύσονται πρὸς Ἀσσυρίους, καὶ δουλεύ-
24 σουσιν Αἰγύπτιοι τοῖς Ἀσσυρίοις. [24]Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται
Ἰσραὴλ τρίτος ἐν τοῖς Αἰγυπτίοις καὶ ἐν τοῖς Ἀσσυρίοις, εὐλογημένος
25 ἐν τῇ γῇ [25]ἣν εὐλόγησεν Κύριος σαβαὼθ λέγων Εὐλογημένος ὁ λαός
μου ὁ ἐν Αἰγύπτῳ καὶ ὁ ἐν Ἀσσυρίοις, καὶ ἡ γῆ κληρονομία μου,
Ἰσραήλ.

XX 1 [1]Τοῦ ἔτους ὅτε εἰσῆλθε Ταναθὰν εἰς Ἄζωτον, ἡνίκα ἀπεστάλη
ὑπὸ Ἀρνὰ βασιλέως Ἀσσυρίων καὶ ἐπολέμησεν τὴν Ἄζωτον καὶ
2 ἔλαβεν αὐτήν, [2]τότε ἐλάλησεν Κύριος πρὸς Ἡσαίαν υἱὸν Ἀμὼς
λέγων Πορεύου καὶ ἄφελε τὸν σάκκον ἀπὸ τῆς ὀσφύος σου, καὶ τὰ
σανδάλιά σου ὑπόλυσαι ἀπὸ τῶν ποδῶν σου, καὶ ποίησον οὕτως,
3 πορευόμενος γυμνὸς καὶ ἀνυπόδετος. [3]καὶ εἶπεν Κύριος [3]Ὃν τρό-
πον πεπόρευται ὁ παῖς μου Ἡσαίας γυμνὸς καὶ ἀνυπόδετος τρία
ἔτη, τρία ἔτη ἔσται εἰς σημεῖα καὶ τέρατα τοῖς Αἰγυπτίοις καὶ
4 Αἰθίοψιν· [4]ὅτι οὕτως ἄξει βασιλεὺς Ἀσσυρίων τὴν αἰχμαλωσίαν
Αἰγύπτου καὶ Αἰθιόπων, νεανίσκους καὶ πρεσβύτας, γυμνοὺς καὶ
5 ἀνυποδέτους ἅμα, κεκαλυμμένους τὴν αἰσχύνην Αἰγύπτου. [5]καὶ αἰ-
σχυνθήσονται ἡττηθέντες ἐπὶ τοῖς Αἰθίοψιν, ἐφ' οἷς ἦσαν πεποι-
6 θότες οἱ Αἰγύπτιοι, οἳ ἦσαν αὐτοῖς δόξα. [6]καὶ ἐροῦσιν οἱ κατοι-
κοῦντες ἐν τῇ νήσῳ ταύτῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Ἰδοὺ ἡμεῖς ἦμεν

23 η οδος] ο οδ. ℵ om η AQΓ | Ασσυριοι εις Αιγ.] ι εις sup ras B^{ab} | πορευσ. ℵAQΓ sub ÷ Q | Αιγυπτιοι 2°] pr οι AQΓ 24 τριτος Ι̅η̅λ̅ Q | εν τοις Ασσ. (Ασσυριος ℵ* -ριοις ℵ$^{\text{vix ante c.a}}$) και εν τοις Αιγ. ℵAΓ 25 ην] η A | ευλογημενος ο] ευλ. εσται Ι̅ς̅ ℵ$^{*\,\text{vid}}$ ευλ. εσται ο ℵ$^{?}$ | ο εν Ασσ.] om ο Q | om γη B^{ab}ℵAQ XX 1—2 pr ορασις ι' Q^{mg} | του ετους...λεγων evan in Γ 1 οτε] ου ℵAQ | εισηλθε Ταναθαν] Τα non inst B^{b} εισηλθεν Ναθαν ℵ*A εισηλθεν Ταν. ℵ$^{\text{c.a, d.a, al}}$ Q* εισηλθεν Θαρθα̅ Q^{mg} hiat Γ | Αρνα] α'θ' Σαραγω̅ σ' Σαργω̅ Q^{mg} | τον Αζωτον ℵ* (την Αζ. ℵ$^{c.a}$) | ελαβεν] κατελαβετο ℵAQ 2 om υιον Αμως ℵAQ hiat Γ | σανδαλια] θ'σ' υποδηματα Q^{mg} | πδων ℵ* (ποδ. ℵ$^{1(\text{vid})}$) | ποιησον] ποιησεν (sic) ℵ* (-σον ℵ^{c}) εποιησεν α' ομοιως [sc. ut vid ποιησον] Q^{mg}Γ | ανυποδητος A 3 Ησαιας ο παις μου AQΓ | τρια ετη (1°)] τριαετης ℵ | om τρια ετη (2°) ℵAQΓ | om εις ℵAQΓ | Εγυπτιοις ℵ | Εθιοψιν ℵ* (Αιθ. ℵ$^{c.b}$) 4 οτι] pr και νοησουσιν ℵΓ | βασιλευς] pr ο ℵΓ | Ασσυριων] pr των Γ | Αιγυπτου 1°] Αιγυπτιου Q* (-του Q$^{1\,\text{fort}}$) + ※ σ' ϛ την αιχμαλωσια̅ Q^{mg} | Αιθιοπων] Εθιοπων ℵ (Αιθ. ℵ$^{c.b}$) Αιθιοπιας Γ | αμα κεκαλυμμενους] ανακεκαλ. ℵAQΓ 5 αισχυνθησονται...Αιθ.] θ' καταισχυ̅|θησονται απο Αιθιοπιας ελπιδος αυτω̅ Q^{mg} | ηττηθεντες (π pro η 1° inst ℵ$^{d.a}$ postea corr)] + οι Αιγυπτιοι ℵAQΓ | οι ησαν] ησαν γαρ AQ 6 ερουσιν] + εν τη ημερα εκεινη ℵ | om εν τη ημ. εκεινη ℵAQ (hab ※ οι γ' Q^{mg}) Γ

B πεποιθότες τοῦ φυγεῖν εἰς αὐτοὺς εἰς βοήθειαν, οἱ οὐκ ἐδύναντο σω-
θῆναι ἀπὸ βασιλέως Ἀσσυρίων· καὶ πῶς ἡμεῖς σωθησόμεθα;

Τὸ ὅραμα τῆς ἐρήμου. XXI

[1] Ὡς καταιγὶς δι' ἐρήμου διέλθοι, ἐξ ἐρήμου ἐρχομένη ἐκ γῆς· 1
φοβερὸν [2] τὸ ὅραμα καὶ σκληρὸν ἀνηγγέλη μοι. ὁ ἀθετῶν ἀθετεῖ, 2
ὁ ἀνομῶν ἀνομεῖ. ἐπ' ἐμοὶ οἱ Ἐλαμεῖται, καὶ οἱ πρέσβεις τῶν
Περσῶν ἐπ' ἐμὲ ἔρχονται. νῦν στενάξω καὶ παρακαλέσω ἐμαυτόν.
[3] διὰ τοῦτο ἐνεπλήσθη ἡ ὀσφύς μου ἐκλύσεως, καὶ ὠδῖνες ἔλαβόν 3
με ὡς τὴν τίκτουσαν· ἠδίκησα τὸ μὴ ἀκοῦσαι, ἐσπούδασα τοῦ μὴ
βλέπειν. [4] ἡ καρδία μου πλανᾶται καὶ ἡ ἀνομία με βαπτίζει, ἡ 4
ψυχή μου ἐφέστηκεν εἰς φόβον. [5] ἑτοίμασον τὴν τράπεζαν, φά- 5
γετε, πίετε· ἀναστάντες οἱ ἄρχοντες ἑτοιμάσατε θυρεούς, [6] ὅτι οὕτως 6
εἶπεν πρὸς μὲ Κύριος Βαδίσας σεαυτῷ στῆσον σκοπόν, καὶ ὃ ἂν
ἴδῃς ἀνάγγειλον. [7] καὶ εἶδον ἀναβάτας ἱππεῖς δύο, καὶ ἀναβάτην 7
ὄνου καὶ ἀναβάτην καμήλου. ἀκρόασαι ἀκρόασιν πολλήν, [8] καὶ κά- 8
λεσον Οὐρείαν εἰς τὴν σκοπιάν. Κύριος εἶπεν Ἔστην διὰ παντὸς
ἡμέρας, καὶ ἐπὶ τῆς παρεμβολῆς ἐγὼ ἔστην ὅλην τὴν νύκτα, [9] καὶ ἰδοὺ 9
αὐτὸς ἔρχεται ἀναβάτης συνωρίδος. καὶ ἀποκριθεὶς εἶπεν Πέπτωκεν
πέπτωκεν Βαβυλών, καὶ πάντα τὰ ἀγάλματα αὐτῆς καὶ τὰ χειρο-
ποίητα αὐτῆς συνετρίβη εἰς τὴν γῆν. [10] ἀκούσατε οἱ καταλελιμ- 10

ℵAQΓ 6 εαυτους B* (εις αυτους B^{ab}) | βοηθιαν ℵQ* | οι] και αυτοι ℵΓ | ηδυναντο ℵAQΓ | απο] υπο Γ XXI tit οραμα] ρημα Q hiat Γ | ερημου] ※ θαλασσης Q^{mg} | pr ορασις ια' Q^{mg} 1 θοι Q* (διελ[θοι] Q^{mg}) | εξ] επ ℵ* (εξ ℵ$^{c.a}$) 2 Ελαμιται ℵ (-τε ℵ* -ται ℵ$^{c.b}$) Q 3 ηδικησα] ηδικησαν ως ℵ* (ν ως ras ℵ?) | εσπουδασαν ℵ* (ν ras ℵ?) | του μη βλ.] το μη βλ. ℵAQΓ 4 και η ανομια με] ανομια με και η αμαρτια με ℵ* om και η αμ. με ℵ$^{c.a, c.b}$ (ϛ η ανομια με ℵ$^{c.b}$) | ψη|χη ℵ* (ψυ. ℵ?) | βον ℵ* (φοβον ℵ$^{iam ante c.a}$) 5 ετοιμασον] ετοιμασατε ℵ | τραπεζαν] + ※ σκοπευσον την σκοπιαν Q^{mg} | πιετε φαγετε ℵAQ | θερεους B* (θυρ. B^{ab}) 6 οτι] διοτι ℵΓ | προς με Κυριος] προς με κ̅ς̅ σαβαωθ ℵ$^{c.a}$ κ̅ς̅ προς με AQ μοι κ̅ς̅ Γ | σεαυτω] εαυτω ℵ | και ο αν ιδης αναγγειλον] α' ϛ οσα οψεται αναγγελει θ' ο εαν ιδη αναγγελει σ' ο αν ιδη αναγγειλατω Q^{mg} | ο] ον B*^{vid} ℵ* (ο ℵ$^{c.a, c.b}$) Γ | αν] εαν ℵ$^{c.a, c.b}$AQ 7 και ειδον (ιδον ℵAΓ)] α'θ' ϛ οψεται σ' ϛ ιδεν Q^{mg} | om και 2° ℵAQΓ | ακροασιν] pr ※ σ'θ' Q^{mg} 8 Ουριαν B^{b}ℵAQΓ θ' αριηλ α' λεοντα σ' λεαιναν Q^{mg} | σκοπιαν] + κ̅υ̅ ℵAQΓ + κ̅ς̅ Q^{mg} | Κυριος] και ℵAQΓ | παρεμολης ℵ* (παρεμβ. ℵ^{c}) | om εγω AQ 9 συνωριδος ℵ* ξυν. ℵ^{c} (postea συν.) | om πεπτωκεν 2° ℵAQ (ομοιως οι γ' Q^{mg}) Γ | παντα] ειποντα ℵ* (παντα ℵ$^{c.a (vid) et postea}$) | συνετριβη (συ|ετρ. B* συ|νετρ. B?)] συνετριβησαν ℵAQΓ 10 καταλελιμμ. (καταλιμμ. B* καταλελιμμ. B^{ab})] καταλελειμμ. Q^{a}

μένοι καὶ οἱ ὀδυνώμενοι, ἀκούσατε ἃ ἤκουσα παρὰ Κυρίου σαβαώθ· ὁ B
θεὸς τοῦ Ἰσραὴλ ἀνήγγειλεν ἡμῖν.

Τὸ ὅραμα τῆς Ἰδουμαίας.

11 12 11 Πρὸς ἐμὲ καλεῖ παρὰ τοῦ Σηείρ Φυλάσσετε ἐπάλξεις. 12 φυ-
λάσσω τὸ πρωὶ καὶ τὴν νύκτα· ἐὰν ζητῇς ζήτει, καὶ παρ' ἐμοὶ
13 14 οἴκει, 13 ἐν τῷ δρυμῷ ἑσπέρας κοιμηθήσῃ, ἐν τῇ ὁδῷ Δαιδάν. 14 εἰς
συνάντησιν διψῶντι ὕδωρ φέρετε, οἱ ἐνοικοῦντες ἐν χώρᾳ Θαιμάν,
15 ἄρτοις συναντᾶτε τοῖς φεύγουσιν 15 διὰ τὸ πλῆθος τῶν πεφονευ-
μένων καὶ διὰ τὸ πλῆθος τῶν πλανωμένων καὶ διὰ τὸ πλῆθος τῆς
μαχαίρας καὶ διὰ τὸ πλῆθος τῶν τοξευμάτων τῶν διατεταμένων καὶ
16 διὰ τὸ πλῆθος τῶν πεπτωκότων ἐν τῷ πολέμῳ. 16 διότι οὕτως
εἶπέν μοι Κύριος Ἔτι ἐνιαυτὸς ὡς ἐνιαυτὸς μισθωτοῦ, ἐκλείψει ἡ
17 δόξα τῶν υἱῶν Κηδάρ, 17 καὶ τὸ κατάλοιπον τῶν τοξευμάτων τῶν
ἰσχυρῶν υἱῶν Κηδὰρ ἔσται ὀλίγον, ὅτι Κύριος ὁ θεὸς Ἰσραὴλ ἐλά-
λησεν.

XXII Τὸ ῥῆμα τῆς φάραγγος Σειών.

1 1 Τί ἐγένετό σοι ὅτι νῦν ἀνέβητε πάντες εἰς δώματα μάταια;
2 2 ἐνεπλήσθη ἡ πόλις βοώντων, οἱ τραυματίαι σου οὐ τραυματίαι ἐν
3 μαχαίραις, οὐδὲ οἱ νεκροί σου νεκροὶ πολέμῳ. 3 πάντες οἱ ἄρ-
χοντές σου πεφεύγασιν, καὶ ἁλόντες σκληρῶς δεδεμένοι εἰσίν, καὶ

10 οι οδυν.] om οι A | ο θεος] pr α Γ | ημιν] μοι Γ 11 (tit) το ℵAQΓ οραμα της Ιδ. deest ut vid in Γ pr ορασις ιβ' Q^{mg} 1 καλει] καλειτε A εκαλεσεν Γ | φυλασσεται ℵ$^{c.b}$Γ φυλαξεται A | επαλξις ℵ* (-ξεις ℵ$^{c.b}$) 12 φυλασσω] φυλασσου ℵ$^{c.a}$ (postea repos -σω) | εαν ζητης...οικει] α' εαν επιζητητε επιζητειτε επιστραφητε ηκατε Q^{mg} | ζητης] ζητεις Γ | ωκει ℵ 13 εν 1°] pr ※ θ' λημμα εν τη Αραβια σ' λημμα Αραβιας α' αρμα εν Αραβεια Q^{mg} | εσπελ incep ℵ* (εσπερας ℵ$^{1 fort}$) | κοιμηθηση] κοιμηθησεσθαι Γ | Δαιδαν] α'σ' Δωδανιμ θ' Ωρ. Δαιδ. Q^{mg} Δαν Γ 14 διψωντι (διψωντ. Γ) υδωρ] υδ. διψ. A 15 πεφονευμενων] φευγοντων ℵAQ (οι ο' πεφον. οι γ' μαχαιρω̄ Ωρ. κατα τους ο' Q^{mg}) Γ | των (A$^{a(mg)}$) διατεταμενων...πολεμω] sup ras A^{a} | πολεμω] παιδιω A^{a} 16 διοτι] οτι AQ* (διοτι Q^{mg}) Γ | εκλειψει] pr και ℵ | om των υιων Q 17 καταλοιπον] λοιπον ℵ | om ισχ. Q | των υιων sub ÷ Q | ολιγον] λι rescr A^{1} | οτι] διοτι ℵAQ (οι γ' οτι Q^{mg}) | ελαλησεν ο θς Ιηλ ℵAQ (οι γ' ο θς Ιηλ ελαλ. Q^{mg}) Γ XXII tit το ρημα της φαρ. Σειων (Σιων B^{b}AQ)] το οραμα της φαρ. Σ. A θ'σ' λημμα φαρ. ορασεως α' οραματιστιριου (sic) Q^{mg} hiat Γ 1 νυν οτι AQΓ 2 βοωντων] + ※ η πολις αγαυριωσα Q^{mg} | αι τραυμ. ℵ* (οι τραυμ. ℵ$^{c.a\ et\ postea}$) | εν μαχαιραις] μαχαιρας ℵ (μαχερας) AQΓ | πολεμου ℵAQ (α'θ' πολεμου οι ο' πολεμω σ' ομοιως τοις ο' Q^{mg}) Γ 3 και αλ.] κλαυοντ. B^{*vid} | αλοντες] οι αλ. B^{ab}AQ οι αλ. σου Γ οι λαλωνταις (sic) ℵ* αλονταις ℵ$^{1 fort}$ (-τες ℵ$^{c.b}$) | δεδεμενοι] δεδεγμενοι A

B οἱ ἰσχύοντες ἐν σοὶ πόρρω πεφεύγασιν. 4 διὰ τοῦτο εἶπα Ἄφετέ με, 4
πικρῶς κλαύσομαι· μὴ κατισχύσητε παρακαλεῖν με ἐπὶ τὸ σύντριμμα
τῆς θυγατρὸς τοῦ γένους μου. 5 ὅτι ἡμέρα ταραχῆς καὶ ἀπωλείας, καὶ 5
καταπάτημα καὶ πλάνησις παρὰ Κυρίου σαβαώθ· ἐν φάραγγι Σειὼν
πλανῶνται, ἀπὸ μικροῦ ἕως μεγάλου πλανῶνται ἐπὶ τὰ ὄρη. 6 οἱ 6
δὲ Ἐλαμεῖται ἔλαβον φαρέτρας, ἀναβάται ἄνθρωποι ἐφ' ἵππους,
καὶ συναγωγὴ παρατάξεως. 7 καὶ ἔσονται αἱ ἐκλεκταὶ φάραγγές σου, 7
πλησθήσονται ἁρμάτων, οἱ δὲ ἱππεῖς ἐμφράξουσι τὰς πύλας σου,
8 καὶ ἀνακαλύψουσιν τὰς πύλας Ἰούδα· καὶ ἐμβλέψονται τῇ ἡμέρᾳ 8
ἐκείνῃ εἰς τοὺς ἐκλεκτοὺς οἴκους τῆς πόλεως, 9 καὶ ἀνακαλύψουσιν τὰ 9
κρυπτὰ τῶν οἴκων τῆς ἄκρας Δαυείδ. καὶ εἴδοσαν ὅτι πλείους εἰσίν,
καὶ ὅτι ἀπέστρεψεν τὸ ὕδωρ τῆς ἀρχαίας κολυμβήθρας εἰς τὴν πόλιν,
10 καὶ ὅτι καθεῖλοσαν τοὺς οἴκους Ἰερουσαλὴμ εἰς ὀχυρώματα τείχους 10
τῇ πόλει. 11 καὶ ἐποιήσατε ἑαυτοῖς ὕδωρ ἀνὰ μέσον τῶν δύο τειχῶν 11
ἐσώτερον τῆς κολυμβήθρας τῆς ἀρχαίας, καὶ οὐκ ἐνεβλέψατε εἰς τὸν
ἀπ' ἀρχῆς ποιήσαντα αὐτήν, καὶ τὸν κτίσαντα αὐτὴν οὐκ εἴδετε. 12 καὶ 12
ἐκάλεσεν κύριος Κύριος σαβαὼθ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κλαυθμὸν καὶ
κοπετὸν καὶ ξύρησιν καὶ ζῶσιν σάκκων, 13 αὐτοὶ δὲ ἐποιήσαντο εὐφρο- 13
σύνην καὶ ἀγαλλίαμα, σφάζοντες μόσχους καὶ θύοντες πρόβατα, ὥστε
φαγεῖν κρέα καὶ πιεῖν οἶνον Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀπο-
θνήσκομεν. 14 καὶ ἀνακεκαλυμμένα ταῦτά ἐστιν ἐν τοῖς ὠσὶν Κυρίου 14
σαβαώθ, ὅτι οὐκ ἀφεθήσεται ὑμῖν αὕτη ἡ ἁμαρτία ἕως ἂν ἀποθάνητε.

ℵAQΓ 3 εν σοι]+θ' ※ εδεθησαν ομοθυμαδον Q^{mg} σου Γ | πορω ℵ* (-ρρω ℵ$^{c.a}$) | πεφευασιν ℵ* (-γασιν ℵ$^{c.a, d.a}$) 4 μη] pr και ℵ | κατισχυσω incep ℵ* (-σητε ℵ^{1}) | παραλειν ℵ* (παρακαλ. ℵ$^{c.b}$) | συντρυμμα Γ | γενους] λαου Q 5 ταραχους ℵ* (-χης ℵ$^{c.a, c.b}$) ταραχη Q* (-χης Q^{a}) | απολειας B απωλιας ℵQ* | καταπατηματος ℵAQΓ | om και πλανησις ℵ* (hab ꝁ πλανησεως ℵ$^{c.a}$ ꝁ πλανησις ℵ$^{d.a}$) Q* (hab ꝁ πλανησις Q^{mg}) Γ | φαραγγι Σειων (Σιων B^{b}AQΓ)] φαραγγει Ων ℵ* φαραγγει Σιων ℵ$^{c.a\ et\ antea}$ | μικου ℵ* (-ρου ℵ$^{c.a}$) 6 Ελαμιται ℵQ^{a} | αναβαται ανθρ. εφ ιππους] α' εν αρματι ανων ιππεων θ' συν επιβαταις ανων ιππευσιν Q^{mg} | ιππους] ιπποις ℵ$^{c.b}$AQ* 7 αι εκλεκται (εκλεται A) φαρ. σου] om αι ℵ θ'σ' αι εκλεκται κοιλαδες σου α' εκλογαι κοιλαδων σου Q^{mg} | πλησθησονται] ενπλ. ℵ$^{c.a}$ εμπλ. ℵ$^{d.a}$ | ενφραξωσιν ℵ εμφραξουσιν QΓ 9 ιδοσαν ℵ | απεστρεψαν ℵAQΓ 10 καθιλοσαν ℵ καθηλ. Γ | Ιερουσαλημ] Ιελμ ℵ* Ιλημ ℵ$^{d.a\ salt}$ Ιηλ A$^{*\ vid}$ Ιημ A^{1} | οχυρωμα ℵAQΓ | τειχους] pr του ℵAQΓ 11 και εποιησατε...ανα μεσον] θ'σ' ꝁ εποιησατε ανα μεσον Q^{mg} | εαυτοις] αυτοις Γ | των δυο] om των ℵ* (hab ℵ$^{c.a}$) | τειχεων ℵ (τιχ.) AQΓ | απ αρχης] απαρχη ℵ* (-χης ℵ$^{c.a, c.b}$) | αυτην 2°] + ※ πορρωθε Q^{mg} | ιδετε B^{b}ℵ 12 εκαλεσν ℵ$^{*\ vid}$ (-σεν ℵ^{1}) | om κυριος 1° AQ* (hab Q^{mg}) Γ 13 σφαζωνταις ℵ* (-ζονταις ℵ$^{c.a}$ -τες ℵ$^{c.b}$) | πιν ℵ* (πιειν ℵ$^{c.b}$) | φαγωμεν] pr λεγοντες ℵAQ (sub ÷) Γ | αποθ(νησ)κωμε̄| Γ 14 ταυτα sub ÷ Q | om εν τοις ℵ$^{*\ vid}$ (hab ℵ$^{1\ fort,\ c.a}$) | Κυριου] κ̄ῡ ℵ? | εως] incep υ ℵ* (improb ℵ$^{1\ (vid)}$) | αποθανητε] αποθανειτε Γ + ειπεν κ̄ς̄ ℵ$^{c.a}$ + θ'σ' ειπεν κ̄ς̄ κ̄ς̄ των δυναμεων Q^{mg}

15 [15]Τάδε λέγει Κύριος σαβαώθ Πορεύου εἰς τὸ παστοφόριον πρὸς B
16 Σόμναν τὸν ταμίαν καὶ εἰπὸν αὐτῷ [16]Τί σὺ ὧδε, καὶ τί σοί ἐστιν
ὧδε ὅτι ἐλατόμησας σεαυτῷ ὧδε μνημεῖον, καὶ ἐποίησας σεαυτῷ ἐν
17 ὑψηλῷ μνημεῖον, καὶ ἔγραψας σεαυτῷ ἐν πέτρᾳ σκηνήν; [17]ἰδοὺ δὴ
Κύριος σαβαὼθ ἐκβάλλει καὶ ἐκτρίψει ἄνδρα, καὶ ἀφελεῖ τὴν στο-
18 λήν σου καὶ τὸν στέφανόν σου τὸν ἔνδοξον, [18]καὶ ῥίψει σε εἰς
χώραν μεγάλην καὶ ἀμέτρητον, καὶ ἐκεῖ ἀποθανῇ· καὶ θήσει τὸ ἅρμα
19 σου τὸ καλὸν εἰς ἀτιμίαν, καὶ τὸν οἶκον τοῦ ἄρχοντός σου, [19]καὶ
20 ἀφαιρεθήσει ἐκ τῆς οἰκονομίας σου καὶ ἐκ τῆς στάσεώς σου. [20]καὶ
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ καλέσω τὸν παῖδά μου Ἐλιακεὶμ τὸν
21 τοῦ Χελκίου, [21]καὶ ἐνδύσω αὐτὸν τὴν στολήν σου, καὶ τὸν στέφα-
νόν σου δώσω αὐτῷ κατὰ κράτος, καὶ τὴν οἰκονομίαν σου δώσω εἰς
τὰς χεῖρας αὐτοῦ· καὶ ἔσται ὡς πατὴρ τοῖς ἐνοικοῦσιν ἐν Ἰερουσαλὴμ
22 καὶ τοῖς ἐνοικοῦσιν ἐν Ἰούδᾳ. [22]καὶ δώσω τὴν δόξαν Δαυεὶδ αὐτῷ,
καὶ ἄρξει, καὶ οὐκ ἔσται ὁ ἀντιλέγων, καὶ κλείσει καὶ οὐκ ἔστιν ὁ ἀνοί-
23 γων. [23]καὶ στηλῶ αὐτὸν ἄρχοντα ἐν τόπῳ πιστῷ, καὶ ἔσται εἰς

15 λε|λεγει B | Κυριος] pr κ̅ς̅ Qmg | σαβαωθ (-ων A* -ωθ A1(vid))] + προς ℵAQΓ με ℵc.a (rurs ras) | πορευου] + ※ οι γ′ εισελθε Qmg | πανστοφοριον ℵ* (παστ. ℵ1) παστοφορειον Qa | Σομναν] ομοιως οι γ′ Qmg | ταμιαν] γραμματαια A 15—16 κ. ειπον...εστιν sub ÷ Qvid 16 τι συ ωδε] τι ωδε συ ℵ* τις ωδε συ ℵd.a τι σοι ωδε QΓ | om σεαυτω εν υψηλω μνημειον ℵ* (hab ℵc.a) Q* (hab Qmg) | om και εγραψας ℵc.a (postea repos) Q* (hab Qmg) 17 σαβαωθ sub ÷ Q | εκβαλει ℵ1AQa 18 εις 2° sub ÷ Q | αρχοντος σου] om σου ℵ + εις καταπατημα ℵAQ (sub ÷) Γ 19 αφαιρεθηση Bab ℵc.a(vid), c.b (αφρεθ. ℵ* αφερεθ. ℵ1) AQΓ (αφερεθ.) | στασεως] τ(α)ξεως Γvid 20 om και 2° ℵAQ* (hab Qmg) Γ | Ελιακιμ ℵQa 21 τὴν στολην] των στ. ℵ*vid την στ. ℵ1 | om σου 1° Γ | σου 2°] ※ οι γ′ Qa | κατα κρατος] και το κρ. ℵAQ θ′ κραταιωσω αυτο Qmg | εν 1°] εις Γ | om και τοις ενοικουσιν εν Ιουδα A* (hab Aa(mg)) | om τοις ενοικουσιν (2°) QΓ 22 και δωσω...ο ανοιγων] και δωσω και αυτω την κλιδαν οικου Δ. επι τω ωμω αυτου και ανοιξει και ουκ εστε ο αποκλιων και κλισει και ουκ εστιν ο ανοιγων ℵ* και δωσω την δοξαν Δ. αυτω και αρξει την κλιδαν οικ. Δ. επι τω ωμ. αυτ. και ανοιξει και ουκ εστ. ο αποκλ. και κλισει και ουκ εσται ο αντιλεγων ℵc.a και δωσω την δοξαν Δ. αυτω και αρξ. και ουκ εσται ο αντιλεγων ※ και δωσω αυτω την κλιδαν οικ. Δ. επι τω ωμ. αυτ. και ανοιξ. και ουκ εστ. ο αποκλ. και κλισει ※ και ουκ εσται ο ανοιγων ℵc.b και δωσω την δοξαν Δ. αυτω και αρξ. και ουκ εσται ο αντιλεγων ※ την κλιδαν οικ. Δ. επι τω ωμ. αυτ. και ανοιξ. και ουκ εστ. ο αποκλ. και κλισει και ουκ εστιν ο ανοιγων ℵd.a και δωσω την δοξαν Δ. αυτω και αρξ. και ουκ εστ. ο αντιλεγων και δωσω την κλιδα οικ. Δα̅δ̅ επι του ωμου αυτου και ανοιξει και ουκ εσται ο αποκλεισων και κλεισει και ουκ εσται ο ανοιγων A om και κλεισει...ανοιγων QΓ | αντιλεγων] + α′θ′σ′ ※ ϗ δωσω (σ′ επιθησω) τ̅η̅ κλειδα οικου Δα̅δ̅ επι του ωμου αυτου ϗ ανοιξει ϗ ουκ εσται ο αποκλειων ϗ κλεισει ϗ ουκ εσται ο ανοιγων Qmg 23 και στηλω αυτον] και στησω αυτον BaAQ* (στηλω Qmg) Γ και στησω αυτοις ℵ pr ※ ℵd.a | και 2°] κα sup ras ℵ1

B θρόνον δόξης τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ. 24 καὶ ἔσται πεποιθὼς 24
ἐπ' αὐτὸν πᾶς ἔνδοξος ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ ἀπὸ μικροῦ
ἕως μεγάλου, καὶ ἔσονται ἐπικρεμάμενοι αὐτῷ 25 τῇ ἡμέρᾳ ἐκείνῃ. 25
τάδε λέγει Κύριος σαβαώθ· κινηθήσεται ὁ ἄνθρωπος ὁ ἐστηριγμένος ἐν
τόπῳ πιστῷ, καὶ ἀφαιρεθήσεται καὶ πεσεῖται, καὶ ἐξολεθρευθήσεται ἡ
δόξα ἡ ἐπ' αὐτόν, ὅτι Κύριος ἐλάλησεν.

Τὸ ῥῆμα Τύρου. XXIII

1 Ὀλολύξατε, πλοῖα Καρχηδόνος, ὅτι ἀπώλετο, καὶ οὐκέτι ἔρχονται 1
ἐκ γῆς Κιτιαίων· ἦκται αἰχμάλωτος. 2 τίνι ὅμοιοι γεγόνασιν οἱ ἐνοι- 2
κοῦντες ἐν τῇ νήσῳ, μεταβόλοι Φοινίκης, διαπερῶντες τὴν θάλασσαν
3 ἐν ὕδατι πολλῷ, σπέρμα μεταβόλων; ὡς ἀμητοῦ εἰσφερομένου οἱ 3
μεταβόλοι τῶν ἐθνῶν. 4 αἰσχύνθητι, Σειδών, εἶπεν ἡ θάλασσα· ἡ δὲ 4
ἰσχὺς τῆς θαλάσσης εἶπεν Οὐκ ὤδινον οὐδ' ἔτεκον, οὐδὲ ἐξέθρεψα
νεανίσκους οὐδὲ ὕψωσα παρθένους. 5 ὅταν δὲ ἀκουστὸν γένηται 5
Αἰγύπτῳ, λήμψεται αὐτοὺς ὀδύνη περὶ Τύρου. 6 ἀπέλθατε εἰς Καρ- 6
χηδόνα, ὀλολύξατε, οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ. 7 οὐχ αὕτη 7
ἦν ὑμῶν ἡ ὕβρις ἀπ' ἀρχῆς πρὶν ἢ παραδοθῆναι αὐτήν; 8 τίς ταῦτα 8
ἐβούλευσεν ἐπὶ Τύρον; μὴ ἥσσων ἐστίν, ἢ οὐκ ἰσχύει; οἱ ἔμποροι
αὐτῆς ἔνδοξοι, ἄρχοντες τῆς γῆς. 9 Κύριος σαβαὼθ ἐβουλεύσατο 9
παραλῦσαι πᾶσαν τὴν ὕβριν τῶν ἐνδόξων καὶ ἀτιμάσαι πᾶν ἔν-
δοξον ἐπὶ τῆς γῆς. 10 ἐργάζου τὴν γῆν σου, καὶ γὰρ πλοῖα οὐκέτι 10

ℵAQΓ 23 του οικου] τω οικω Q | πατρος] ρς (in $\overline{\pi\rho\varsigma}$) sup ras ℵ^{1} πρς A^{vid} 24 και εσται...πατρος αυτου bis scr ℵ* (unc et punct improb 2° ℵ$^{c.a, c.b}$) | πεποιως ℵ* | om εν Q* (hab Q^{mg}) | μεγαλου] + θ' ※ παντος (sic) σκευος το μικρον απο σκευους των αγανωθ Q^{mg} | αυτω] pr εν A 25 τη ημερα εκ.] pr εν ℵAQΓ c antecedd coniung BℵA | Κυριος] pr $\overline{\kappa\varsigma}$ Q^{mg} | κινηθησεται] στηριχθησεται Q | τοπω] τω ℵ | και πεσειται και αφαιρεθησεται ℵ (αφερ.) AQΓ | om και εξολεθρευθησεται ℵAQ (θ' ※ ϗ εξολεθρ. Q^{mg}) και πεσειται και αφ. και πεσ. Γ XXIII tit pr ορασις ιδ' Q^{mg} | ρημα] οραμα ℵAQ^{mg} (hiat Γ) α' αρμα θ'σ' λημμα Q^{mg} 1 ολολυξατε] ολολυζετε ℵAQ de Γ non liq | Χαρκηδονος B*ℵ* (Καρχ. B^{ab}ℵ$^{c.a, c.b}$) οι γ' Θαρσεις Q^{mg} | Κιτιαιων] Κητιαιων A Κιτιεων B 2 Φινικης A Φοινηκης Γ 3 σπερματαβολων ℵ* (σπερμα μεταβ. ℵ$^{iam\ ante\ c.a}$) | μεταβολοι] μετα B^{*vid} + βολοι B$^{ab(mg)}$ 4 Σειδων] Σιδων B^{a}AQΓ Σειων ℵ* (Σειδ. ℵ^{1}) | θαλασσα] + η δε θαλασσα Q* (improb Q$^{1\ fort}$) | ουδ] ουδε ℵAQΓ | εξεθρεψα] εθρεψα Q* (εξεθρ. Q^{mg}) 5 Αιγυπτω] pr εν ℵ$^{c.a}$A | ληψεται Q 6 απελθετε Q^{a} | Καρχηδονα] οι γ' Θαρσεις Q^{mg} | ολολυξατε] ολολυζετε AQ | κατοικουντες] ενοικ. ℵAQ 7 υμων ην A | απ αρχης] pr η ℵAQ | παδοθ. ℵ* (παραδ. ℵ$^{c.a}$) | αυτην] + θ' ※ απαξουσιν αυτην οι ποδες αυτης πορρωθεν εις παροικιαν Q^{mg} 8 εβουλευσεν] εβουλευσατο ℵ | ησσον Γ | ισχυουσιν ℵΓ | ενδοξοι] pr οι ℵΓ | αρχοντες] pr οι ℵ + ※ Χαναан Q^{mg} 9 om πασαν A | παν] παντα Q

11 ἔρχεται ἐκ Καρχηδόνος. [11] ἡ δὲ χείρ σου οὐκέτι ἰσχύει κατὰ θά- B
λασσαν, ἡ παροξύνουσα βασιλεῖς· Κύριος σαβαὼθ ἐνετείλατο περὶ
12 Χανάαν ἀπολέσαι αὐτῆς τὴν ἰσχύν. [12] καὶ ἐροῦσιν Οὐκέτι μὴ προσ-
τεθῆτε τοῦ ὑβρίζειν καὶ ἀδικεῖν τὴν θυγατέρα Σειδῶνος· καὶ ἐὰν
13 ἀπέλθῃς εἰς Κιτιεῖς, οὐδὲ ἐκεῖ ἀνάπαυσις ἔσται σοι· [13] καὶ εἰς γῆν
Χαλδαίων, καὶ αὕτη ἠρήμωται ἀπὸ τῶν Ἀσσυρίων, ὁ τοῖχος αὐτῆς
14 πέπτωκεν. [14] ὀλολύξατε, πλοῖα Καρχηδόνος, ὅτι ἀπόλωλε τὸ ὀχύ-
15 ρωμα ὑμῶν. [15] καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καταλειφθήσεται Τύρος
ἑβδομήκοντα ἔτη, ὡς χρόνος βασιλέως, ὡς χρόνος ἀνθρώπου· καὶ
16 ἔσται μετὰ ἑβδομήκοντα ἔτη ἔσται Τύρος ὡς ᾆσμα πόρνης. [16] λάβε
κιθάραν, ῥέμβευσον πόλις πόρνη ἐπιλελησμένη, καλῶς κιθάρισον,
πολλὰ ᾆσον, ἵνα σου μνεία γένηται. καὶ ἔσται μετὰ τὰ ἑβδομήκοντα
ἔτη ἐπισκοπὴν ποιήσει ὁ θεὸς Τύρου, καὶ πάλιν ἀποκαταστήσεται
17 εἰς τὸ ἀρχαῖον, [17] καὶ ἔσται ἐμπόριον πάσαις ταῖς βασιλείαις τῆς
18 οἰκουμένης ἐπὶ πρόσωπον τῆς γῆς. [18] καὶ ἔσται ἡ ἐμπορία αὐτῆς
καὶ ὁ μισθὸς ἅγιον Κυρίῳ, οὐκ αὐτοῖς συναχθήσεται ἀλλὰ τοῖς κατοι-
κοῦσιν ἔναντι Κυρίου, πᾶσα ἡ ἐμπορία αὐτῆς, φαγεῖν καὶ πιεῖν καὶ
ἐμπλησθῆναι, καὶ εἰς συμβολὴν μνημόσυνον ἔναντι Κυρίου.

XXIV 1 [1] Ἰδοὺ Κύριος καταφθείρει τὴν οἰκουμένην, καὶ ἐρημώσει αὐτήν
καὶ ἀνακαλύψει τὸ πρόσωπον αὐτῆς καὶ διασπερεῖ τοὺς ἐνοικοῦντας

10 ερχονται A **11** βασιλις ℵ* (-λεις ℵ$^{c(?b)}$) **12** προστεθητε] προσθητε ℵAQ | την θυγατερα] α'θ'σ' ※ παρθενον θυγ. Q^{mg} | Σειδωνος] Σειων B$^{a\,mg}$ ℵ Σιων B^{a}AQΓ^{vid} οι γ' Σιδωνος Q^{mg} | απελθης] λθη rescr ℵ^{1} -λθεις Γ | Κητιειμ A | εκει σοι αναπ. εσται AQ **13** και αυτη] pr η A* (ras A?) | Ασσυριων] + ουδε εκει σοι αναπαυσις (-σεις A) εσται οτι ℵA + οτι Γ + ※ εθεμελιωσε αυτην εις σηειμ εστησαν επαλξεις αυτου εξηγειρᾱ βαρεις αυτης (adnot τουτων τω̄ ηστερισμενω̄ Ωρ. ως των ο' μεμνηται εν τω κε' τομω των εις τον Ησαιαν) Q^{mg} **14** ολολυξατε] ολολυζετε ℵ* (-ξαται ℵ$^{c.b}$ postea -ζετε) AQ | Χαρχηδονος ℵ* (Καρχ. ℵ$^{c.a}$) | απολωλε] απωλετο ℵAQΓ | υμων] ημων ℵ^{1} **15** ετη εβδομηκοντα (1°) ℵAQΓ | βασιλεως] + οι γ' ενος Q^{mg} | ως χρ. ανθρ. sub ÷ Q | και 2°] sign adpinx ℵ$^{c\,mg}$ (postea ras) | εβδ. 2°] ο' ℵ | om ετη 2° A* (hab A$^{?mg}$) | Τυρος 2°] οι γ' Τυρω Q^{mg} **16** κιθαριον ℵ* -ρισον ℵ$^{iam\ ante\ c.a}$ -ρησον Γ | πολις B*ℵ* (-λεις B^{ab}ℵ$^{c.b}$) | μνεια] pr η A | τα εβδ. ετη] om ετη B^{*vid} (hab B$^{ab\,mg}$) om τα ℵAQΓ | αποκαταστησεται] αποκατασταθησεται ℵQ^{mg}Γ κατασταθησεται Q* **17** ταις βασ.] om ταις ℵ* (hab ℵ$^{c.b}$) | της οικ.] om της (in fin lin) B^{*vid} (hab B$^{ab(vid)}$) | om επι προσωπον της γης ℵAQ (※ θ' επι...γης Q^{mg}) Γ **18** η εμπορια αυτης] αυτης η εμπορια ℵAQ αυτης‖ η εμπ. αυτ..Γ | Κυριω] pr τω ℵ* (improb ℵ$^{c.b(vid)}$ postea repos) AQΓ^{vid} | κατοικ. ℵ* (κατοικ. ℵ$^{iam\ ante\ c.a}$) | Κυριου 1°] + εν Ι̅λ̅μ̅ ℵ | πιν ℵ* (πιειν ℵ$^{c.b}$) | om και 5° ℵAQΓ | om εναντι κ̅υ̅ (2°) A^{*vid} (hab A$^{a?}$) **XXIV 1** το προσωπον] τα ορια Q* (το προσ. Q^{mg}) | ενοικουντας] pr παντας ℵ* (improb ℵ$^{c.a,c.b}$) ℵAQΓ

B ἐν αὐτῇ. 2 καὶ ἔσται ὁ λαὸς ὡς ὁ ἱερεύς, καὶ ὁ παῖς ὡς ὁ κύριος, καὶ 2
ἡ θεράπαινα ὡς ἡ κυρία· ἔσται ὁ ἀγοράζων ὡς ὁ πωλῶν, ὁ δανίζων
ὡς ὁ δανιζόμενος, καὶ ὁ ὀφίλων ὡς ᾧ ὀφίλει. 3 φθορᾷ φθαρήσεται 3
ἡ γῆ, καὶ προνομῇ προνομευθήσεται ἡ γῆ· τὸ γὰρ στόμα Κυρίου
ἐλάλησεν ταῦτα. 4 ἐπένθησεν ἡ γῆ, καὶ ἐφθάρη ἡ οἰκουμένη, ἐπέν- 4
θησαν οἱ ὑψηλοὶ τῆς γῆς. 5 ἡ δὲ γῆ ἠνόμησεν διὰ τοὺς κατοικοῦντας 5
αὐτήν, διότι παρήλθοσαν τὸν νόμον καὶ ἤλλαξαν τὰ προστάγματα,
διαθήκην αἰώνιον. 6 διὰ τοῦτο ἀρὰ ἔδεται τὴν γῆν, ὅτι ἡμάρτοσαν οἱ 6
κατοικοῦντες αὐτήν· διὰ τοῦτο πτωχοὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τῇ
γῇ, καὶ καταλειφθήσονται ἄνθρωποι ὀλίγοι. 7 πενθήσει οἶνος, πεν- 7
θήσει ἄμπελος, στενάξουσιν πάντες οἱ εὐφραινόμενοι τὴν ψυχήν.
8 πέπαυται εὐφροσύνη τυμπάνων, πέπαυται αὐθαδία καὶ πλοῦτος 8
ἀσεβῶν, πέπαυται φωνὴ κιθάρας. 9 ᾐσχύνθησαν, οὐκ ἔπιον οἶνον, 9
πικρὸν ἐγένετο τὸ σίκερα τοῖς πίνουσιν. 10 ἠρημώθη πᾶσα πόλις, 10
κλείσει οἰκίαν τοῦ μὴ εἰσελθεῖν. 11 ὀλολύζετε περὶ τοῦ οἴνου 11
πανταχῇ· πέπαυται πᾶσα εὐφροσύνη. 12 καταλειφθήσονται πό- 12
λεις ἔρημοι, καὶ οἶκοι ἐγκαταλελιμμένοι ἀπολοῦνται. 13 ταῦτα πάντα 13
ἔσονται ἐν τῇ γῇ ἐν μέσῳ τῶν ἐθνῶν· ὃν τρόπον ἐάν τις καλα-
μήσηται ἐλαίαν, οὕτως καλαμήσονται αὐτούς· καὶ ἐὰν παύσηται ὁ
τρυγητός. 14 οὗτοι βοῇ φωνήσουσιν, οἱ δὲ καταλειφθέντες ἐπὶ τῆς 14
γῆς εὐφρανθήσονται ἅμα τῇ δόξῃ Κυρίου, ταραχθήσεται τὸ ὕδωρ τῆς
θαλάσσης. 15 διὰ τοῦτο ἡ δόξα Κυρίου ἐν ταῖς νήσοις ἔσται τῆς 15
θαλάσσης, τὸ ὄνομα Κυρίου ἔνδοξον ἔσται. 16 Κύριε ὁ θεὸς 16

ℵAQΓ

2 ο παις] om ο Γ | ο παις ως ο κυριος] α′ ως ο δυλος ως ο κυριος αυτου Q^{mg} | εσται 2°] pr και ℵΓ | ο δανιζων] pr και ℵAQΓ | δανειζων, δανειζομενος B^{ab}Q^{a} | και οφιλων...οφιλει] σ′ ως ο απαιτω̄ ουτως ο απαιτουμενος Q^{mg} | οφειλων B^{ab}AQ^{a}Γ | om ως 6° ℵ* | οφειλει B^{ab}Q^{a} (?Γ) 3 φθο||[ρ]ησεται Γ | προνομι Q* (-μη Q$^{a\ nisi\ pot\ 1}$) | ταυτα] θ′ το ρημα τουτο Q^{mg} 4 επενθησεν] + θ′σ′ ※ κατερριφη Q^{mg} | εφθαρη] + θ′σ′ ※ κατερριφη Q^{mg} | επενθησαν] pr και A επενθησεν Γ 5 η δε γη] και η γη ℵΓ | παρηλθοσαν] παρεβησαν AQ* (παρηλθο̄ Q^{mg}) | προσταγματα] + κ̅υ̅ A | διαθηκην] pr διεσκεδασαν ℵ pr οι ο′ ※ διεσκεδασᾱ α′ ηκυρωσαν θ′σ′ ομοιως τοις ο′ Q^{mg} 6 ενοικουντες (εν|οικ. B* ε|νοικ. B?)] κατοικουντες Γ | καταλειφθ. ανθρ. ολιγοι] α′ υπολειφθησεται α̅ν̅ο̅ς̅ ελαχιστος (σ′ α̅ν̅ο̅ς̅ ολιγος θ′ α̅ν̅ο̅ι̅ ολιγοι) Q^{mg} | ανθρωποι] pr οι Q^{mg} 7 στεναξουσι Q 8 αυθαδεια B^{ab}Q^{a} 10 ηρημωθη] ηρωμωθη A ηρημωται Γ + ολη η γη ℵ | κλεισει] κλισθησονται ℵ$^{c.a}$ | οικιαν (οι bis scr ℵ* οικ. ℵ$^{1\ (vid)\ c.b}$)] οικιαι ℵ$^{c.a}$ οικιας Q 11 ολολυξετε Γ | πεπαυται...ευφροσυνη] + θ′ ※ απεσχισθη χαρα Q^{mg} | ευφροσυνη] + της γης ℵAQΓ 12 καταλειφθ.] pr και ℵAQΓ | πολις ℵ* (-λεις ℵ$^{c.b}$) Q* | εγκαταλελειμμ. B^{ab}Q^{a} ενκαταλελιμμ. ℵ 13 παντα ταυτα Γ | εσονται] εσται ℵ$^{c.b}$ (εστε ℵ*) AQΓ | καλαμησονται] καλαμαται ℵΓ καλαμησωνται Q | ο τρυγητος] om ο Γ 14 βοη φωνησουσιν] φωνη βοησονται ℵAQΓ | οι δε...γης sub ÷ Q 16 Κυριε ο θεος] οι γ′ κ̅υ̅ θ̅υ̅ Q^{mg}

Ἰσραήλ, (16) ἀπὸ τῶν πτερύγων τῆς γῆς τέρατα ἠκούσαμεν Ἐλπὶς τῷ B
εὐσεβεῖ. καὶ ἐροῦσιν Οὐαὶ τοῖς ἀθετοῦσιν· οἱ ἀθετοῦντες τὸν νό-
17 μον, 17 φόβος καὶ βόθυνος καὶ παγὶς ἐφ' ὑμᾶς τοὺς ἐνοικοῦντας ἐπὶ
18 τῆς γῆς. 18 καὶ ἔσται ὁ φεύγων τὸν φόβον ἐμπεσεῖται εἰς τὸν βό-
θυνον· καὶ ὁ ἐκβαίνων ἐκ τοῦ βοθύνου ἁλώσεται ὑπὸ τῆς παγίδος·
ὅτι θυρίδες ἐκ τοῦ οὐρανοῦ ἀνεῴχθησαν, καὶ σεισθήσεται τὰ θεμέλια
19 τῆς γῆς. 19 ταραχῇ ταραχθήσεται ἡ γῆ, καὶ ἀπορίᾳ ἀπορηθήσεται
20 ἡ γῆ. 20 ἔκλινεν ὡς ὁ μεθύων καὶ κραιπαλῶν, καὶ σεισθήσεται ὡς
ὀπωροφυλάκιον ἡ γῆ, κατίσχυσεν γὰρ ἐπ' αὐτῆς ἡ ἀνομία, καὶ πε-
21 σεῖται καὶ οὐ μὴ δύνηται ἀναστῆναι. 21 Καὶ ἐπάξει ὁ θεὸς ἐπὶ
τὸν κόσμον τοῦ οὐρανοῦ τὴν χεῖρα καὶ ἐπὶ τοὺς βασιλεῖς τῆς γῆς.
22 22 καὶ συνάξουσιν συναγωγὴν αὐτῆς εἰς δεσμωτήριον καὶ ἀποκλεί-
σουσιν εἰς ὀχύρωμα, διὰ πολλῶν γενεῶν ἐπισκοπὴ ἔσται αὐτῶν.
23 23 καὶ τακήσεται ἡ πλίνθος, καὶ πεσεῖται τὸ τεῖχος· ὅτι βασιλεύσει
Κύριος ἐκ Σειὼν καὶ εἰς Ἰερουσαλήμ, καὶ ἐνώπιον τῶν πρεσβυτέρων
δοξασθήσεται.

XXV 1 1 Κύριε ὁ θεός, δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας
2 θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθινήν· γένοιτο. 2 ὅτι ἔθηκας
πόλεις εἰς χῶμα, πόλεις ὀχυρὰς τοῦ μὴ πεσεῖν αὐτῶν τὰ θεμέλια·

16 α. τ. πτ. τ. γης] οι γ' ομοιως τοις ο' Qmg | ερουσιν] α'θ' ερει Qmg | ουαι] ℵAQΓ pr ⁜ το μυστηριō μου εμοι το μυστηριον μου εμοι Qmg | οι αθετουντες (αθουντες ℵ) τον νομον] ⁜ θ' ϗ αθεσιαν αθετου|των Qmg 17 υμας] ημας ℵ* (υμ. ℵc) | ενοικουντας] κατοικ. ℵ* (ενοικ. ℵc.b) Γ | επι της γης] εν τη γη ℵΓ 18 και ο εκβ.] ο δε εκβ. ℵAQ | εκβαινον Γ | ηνεωχθησαν ℵAQΓ 19—20 ταραχη ...αναστηναι] θ' θραυσει θραυσθησεται η γη ϗ διασκεδασει διασκεδασθησεται η γη κλινομενη κλειθησεται η γη σαλω σαλευθησετ̧ η γη ως ο μεθυων ϗ σεισθησεται ως οπωροφυλακιον ϗ καταβαρυνθησετ̧ επ αυτης η ανομια αυτης ϗ πεσειται ϗ ου προσθησει αναστηṇ Qmg 19 ταραχθη ℵ* (-χη ℵ?) 20 om ως ο μεθυων και κραιπαλων (κραπ. B) ℵ (εκλινεν κ. σισθ. bis scr ℵ* improb 1° ℵc.a, c.b) AQΓ | σεισθησεται] σαλω σαλευθησεται Qmg + η γη QmgΓ | η γη] + ως ο μεθυω̄ και ο κραιπαλων ℵAQΓ (κρεπ. ℵAΓ) | om κατισχυσεν...η ανομια ℵAQΓ | αναστηναι] + κατισχυσεν γαρ επ αυτης η ανομια ℵAQΓ post ανομια add και πεσιται και ου μη δυνηται στηναι ℵ* (improb et unc incl ℵc.a, c.b) 21 και 1°] + ⁜ α'σ'θ' ⁜ εστ̧ εν τη ημερα εκεινη Qmg | γης] + ⁜ θ'σ' επι της γης Qmg 22 om συναγωγην αυτης εις δεσμωτηριον ℵAQΓ ⁜ θ' συναγωγη αυτης Qmg | οχυρωμα] + και εις δεσμωτηριον ℵAQΓ | γενεων] ετω̄ Qmg | αυτων] pr επ Γ 23 και 1°...τειχος] (⁜ ℵc.a, c.b) και εντραπησεται η σεληνη και αισχυνθησεται (εσχ. ℵ) ο ηλιος ℵQmg | βασιλευσ|ει ℵ* -|σει ℵc.a, c.b | εκ] εν ℵAQ | Σιων BbℵAQΓ (pr ⁜ τω ορει Qmg) | εις] εν ℵAQ εκ Γ (sic) | πρεσβυτερων] + αυτου ℵ XXV 1 Κυριε] pr ωδη A | θεος] + μου ℵAQ | γενοιτο] α' πεπιστωμενως σ' πιστει θ' ομοιως τοις ο' Qmg + κε̄ ℵAQΓ 2 πολεις 1°] πολιν ℵ* (-λεις ℵc.b) πολις Q* | πολεις 2°] πολις ℵ* (-λεις ℵc.b) | om μη 1° ℵAQ

B τῶν ἀσεβῶν πόλις τὸν αἰῶνα οὐ μὴ οἰκοδομηθῇ. [3]διὰ τοῦτο εὐλο- 3
γήσει σε ὁ λαὸς ὁ πτωχός, καὶ πόλεις ἀνθρώπων ἀδικουμένων εὐ-
λογήσουσίν σε. [4]ἐγένου γὰρ πάσῃ πόλει ταπεινῇ βοηθός, καὶ τοῖς 4
ἀθυμήσασιν διὰ ἔνδειαν σκέπη, ἀπὸ ἀνθρώπων πονηρῶν ῥύσῃ αὐ-
τούς· σκέπη διψώντων, καὶ πνεῦμα ἀνθρώπων ἀδικουμένων, [5]ὡς 5
ἄνθρωποι ὀλιγόψυχοι διψῶντες ἐν Σειὼν ἀπὸ ἀνθρώπων ἀσεβῶν,
οἷς ἡμᾶς παρέδωκας. [6]καὶ ποιήσει Κύριος σαβαὼθ πᾶσι τοῖς 6
ἔθνεσιν· ἐπὶ τὸ ὄρος τοῦτο πίονται εὐφροσύνην, πίονται οἶνον·
[7]χρίσονται μύρον ἐν τῷ ὄρει τούτῳ. παράδος πάντα ταῦτα τοῖς 7
ἔθνεσιν· ἡ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη. [8]κατέπιεν ὁ θά- 8
νατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλεν Κύριος ὁ θεὸς πᾶν δάκρυον ἀπὸ
παντὸς προσώπου· τὸ ὄνειδος τοῦ λαοῦ ἀφεῖλεν ἀπὸ πάσης τῆς
γῆς, τὸ γὰρ στόμα Κυρίου ἐλάλησεν. [9]καὶ ἐροῦσιν τῇ ἡμέρᾳ ἐκείνῃ 9
Ἰδοὺ ὁ θεὸς ἡμῶν ἐφ᾽ ᾧ ἠλπίζομεν, καὶ σώσει ἡμᾶς· οὗτος Κύριος,
ὑπεμείναμεν αὐτῷ καὶ ἠγαλλιώμεθα, καὶ εὐφρανθησόμεθα ἐπὶ τῇ
σωτηρίᾳ ἡμῶν. [10]ἀνάπαυσιν δώσει ὁ θεὸς ἐπὶ τὸ ὄρος τοῦτο, καὶ 10
καταπατηθήσεται ἡ Μωαβεῖτις ὃν τρόπον πατοῦσιν ἅλωνα ἐν ἁμάξαις·
[11]καὶ ἀνήσει τὰς χεῖρας αὐτοῦ, ὃν τρόπον καὶ αὐτὸς ἐταπείνωσεν τοῦ 11
ἀπολέσαι, καὶ ταπεινώσει τὴν ὕβριν αὐτοῦ ἐφ᾽ ἃ τὰς χεῖρας ἐπέ-
βαλεν· [12]καὶ τὸ ὕψος τῆς καταφυγῆς τοῦ τοίχου σου ταπεινώσει, καὶ 12
καταβήσονται ἕως τοῦ ἐδάφους.

ℵAQΓ 2 πολις] πολεις ℵ$^{c.b}$A | λεις τον αιωνα ου μη sup ras A^{a} | τον αιωνα] pr εις ℵ$^{c.a}$ | οικοδομηθη] κοδομηθη A (sic) 3 πολεις] πολις ℵ* (-λεις ℵ$^{c.b}$) Q*Γ 4 ταπεινω ℵ* (-νη ℵ$^{c.a, c.b}$) | δια] δι AQ | απο] α sup ras ℵ^{1} | ρυσαι Γ | αδικουμενων (αδικουμ sup ras ℵ^{1})] + ευλογησουσιν (-σι Q^{mg}) σε ℵAQ^{mg} 5 Σιων B^{b}ℵAQΓ + οτι ρυση αυτους ℵ* (improb ℵ$^{c.a, c.b}$) | απο ανθρωπων... παρεδωκας] θ′ ※ ηχον αλγογενων (corr αλλογ.) καταισχυνεις καυσωνα εν σκεπη νεφους κληματιδα ισχυρων Q^{mg} | παρεδωκας] + ※ ταπεινωσεις Q^{mg} 6 πασιν ℵ | ορος] ορους ℵ^{*vid} (ορος ℵ^{1}) | οινον] + θ′ ※ τρυγιων διυλισμενων Q^{mg} 7 χρισονται μυρον] θ′ ϗ καταπιεται...Q^{mg} | εν τω ορει τουτω παραδος] ϗ παραδοσει παραδοθησεται εν τω ορει Q^{mg} | ταυτα παντα AQΓ | βουλη] incep σου ℵ* (β. ℵ^{1}) 8 κατεπιεν...ισχυσας] θ′ κατεποθη ο θ. εις νικος α′ καταποντισει τον θανατον εις νικος Q^{mg} | om Κυριος AQΓ | δακριον ℵ* (δακρυον ℵ^{c}) | ελαλησεν] + ταυτα Q^{mg} 9 τη ημερα εκ.] pr εν AΓ | ο θεος] pr κ̅ς̅ ℵΓ | om και σωσει...υπεμ. αυτω ℵAQ* (hab θ′σ′ ※ ϗ σωσει ημας ουτ. κ̅ς̅ υπεμειναμεν [+ αυτω mg dextr] Q^{mg}) Γ | και ευφρ. επι τη σωτηρια ημων] om Q^{txt} (hab sub ※ Q^{mg}) επι τω σωτηρι (τη σωτηρια ℵ$^{c.a}$Γ) ημων και ευφρανθ. (ευφανθ. ℵ* ευφρ. ℵ^{c}) ℵΓ | ευφρανθημεν A^{a} (-θησομεθα A^{*vid}) 10 αναπαυσιν (-σει A* -σειν A$^{a?}$)] pr οτι ℵAQΓ | Μωαβιτις ℵAQΓ | πατωσιν A πατουσι Q | αλωνος Γ | αμαξοις ℵ^{*vid} (-ξαις ℵ^{1}) αμαξ.. Γ 11 ανησει...απολεσαι] σ′ εξαπλωσει τας χειρας αυτου εν μεσω αυτου καθως αναπλωσαι ο λουομενος εις το κολυμβησ, Q^{mg} | απωλεσαι Γ | α] ων ℵ 12 καταβησεται ℵAQΓ | του εδαφους] om του Q

XXVI 1 [1]Τῇ ἡμέρᾳ ἐκείνῃ ᾄσονται τὸ ᾆσμα τοῦτο ἐπὶ γῆς τῆς Ἰουδαίας B
Ἰδοὺ πόλις ἰσχυρά, καὶ σωτήριον θήσει τὸ τεῖχος καὶ περίτειχος.
2 [2]ἀνοίξατε πύλας, εἰσελθέτω λαὸς φυλάσσων δικαιοσύνην καὶ φυ-
3 λάσσων ἀλήθειαν, [3]ἀντιλαμβανόμενος ἀληθείας καὶ φυλάσσων εἰ-
4 ρήνην. ὅτι ἐπὶ σοὶ ἐλπίδι [4]ἤλπισαν, Κύριε, ἕως τοῦ αἰῶνος, ὁ
5 θεὸς ὁ μέγας ὁ αἰώνιος, [5]ὃς ταπεινώσας κατήγαγες τοὺς ἐνοικοῦντας
ἐν ὑψηλοῖς· πόλεις ὀχυρὰς καταβαλεῖς καὶ κατάξεις ἕως ἐδάφους,
6 [6]καὶ πατήσουσιν αὐτοὺς πόδες πραέων καὶ ταπεινῶν. [7]ὁδὸς εὐ-
7 σεβῶν εὐθεῖα ἐγένετο, ἡ ὁδὸς τῶν εὐσεβῶν καὶ παρεσκευασμένη.
8 [8]ἡ γὰρ ὁδὸς Κυρίου κρίσις· ἠλπίσαμεν ἐπὶ τῷ ὀνόματί σου καὶ ἐπὶ
9 τῇ μνείᾳ [9]ᾗ ἐπιθυμεῖ ἡ ψυχὴ ἡμῶν. ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά
μου πρὸς σέ, ὁ θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.
10 δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. [10]πέπαυται γὰρ ὁ
ἀσεβής· πᾶς ὃς οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ
11 μὴ ποιήσει· ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου. [11]Κύριε,
ὑψηλός σου ὁ βραχίων καὶ οὐκ ᾔδεισαν, γνόντες δὲ αἰσχυνθήσονται·
ζῆλος λήμψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδε-
12 ται. [12]Κύριε ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας
13 ἡμῖν. [13]κτῆσαι ἡμᾶς, Κύριε· ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά
14 σου ὀνομάζομεν. [14]οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ

XXVI 1 *τη ημερα*] pr *ωδη* A | *ασονται...ισχυρα*] *α′ ασθησεται το ασμα τουτο εν γη* Ιουδα *πολιν κρατους αυτου* Q^mg | *της* Ιουδ.] Ιουδα ℵAQΓ^vid (Ιουδ..) | *ιδου*] pr *λεγοντες* ℵ^c.b AQ | *ισχυρα*] *οχυρα* ℵAQΓ | *σωτηριον*]+*ημιν* ℵ*A (*ημι*| sic) Γ+*ημων* ℵ^c.b et sub ÷ Q | *το τειχος*] om *το* ℵAQΓ 2 *εισελθατω* ℵAΓ (-*το*) | *αληθιαν* Q* 3 *αληθιας* ℵQ* 3—4 [*φυλασ*]*σων...ο μεγας*] pr ※ B^a (non inst B^b) 3 *ειρηνην*] *α′θ′* ※ *ειρηνην* Q^mg | om *ελπιδι* ℵAQ (hab *θ′* ※ *ελπιδι* Q^mg) Γ 4 *ηλπισα* A? (-*σαν* A* vid) *ηλπισαμεν* Q | *εως*] *ως* ℵ 5 *του ενοικ.* Γ* (*τους ενοικ.* Γ?) | *πολις* ℵ* (-*λεις* ℵ^c) Q* | *καταξεις*]+*αυτας* A | *εως εδαφους*] *εως του εδ.* A *εως χωματος* Q^mg 6 *αυτους*] *αυτας* ℵ^c.b(vid) A^a Q (-*τους* Q^mg) | *πραδεων* ℵ* (*πραεων* ℵ?) | *ταπεινων*]+*βηματα θ′ πενητων* Q^mg 7 *και παρεσκευασμενη* (*παρασκ.* ℵ*Γ) *η οδος των ευσεβων* (*ασ.* ℵ*) ℵ^1(vid) AQΓ 8 Κυριου] *πιπι ους* ϕ Q^mg | *το ονοματι* Γ | om *σου* A? 9 *επεθυμει* ℵ (-*μι* ℵ* -*μει* ℵ^c.b) | *εκ νυκτος*] pr *ευχ*[*η*] B? pr *ωδη* A pr *προσευχη* Q^mg | *μαθετε*]+*ποιειν* Γ 10 om *πας ος* ℵ^c et postea AQ | *ου μη μαθη*] *θ′σ′ ουκ εμαθε̄ α′ ου μη μαθη: ου μην εμαθε̄* Q^mg | *αληθιαν* B* (-*θειαν* B^ab) ℵQ* | *μη* 2°] *μο* incep ℵ* (*μη* ℵ^1) | *ποιηση* ℵAQ | *αρθ. ο ασ.* sub ÷ Q | *ειδη* B* (*ιδ.* B^b) ℵQΓ 11 *ηδεισαν*] *ειδησαν* Γ | *γνωντες* Γ | *αισχυνθησονται*] *αισχυνθητωσαν* (*εσχ.*) ℵ* (*εσχυνθησ.* ℵ^c.a *αισχυνθησ.* ℵ^c.b) Γ *σ′θ′ αισχῡ*|*θητωσαν̄ α′ αισχῡ*|*θειησᾱ* Q^mg | *ληψεται* Q^a Γ | *λαον*] *λαος* A* (improb *ς* A?) 12 *ο θεος ημων* sub ÷ Q | *ειρηνην δος*] *θ′ θησεις ειρηνην* Q^mg | *γαρ*]+ ※ *τα εργα ημω̄* Q^mg | *απεδοκας* Γ 13 *κτησαι*] pr *κ̄ε ο θ̄ς ημων* B^ab mg ℵAQΓ 14 *οι δε...αναστησουσιν*] *α′ αποθνησκοντες ου μη ζησωσιν ραφαι*| *θ′ ου μη αναστωσι*| (sic: fort leg *ου μη αναστ. θ′*) *οι νεκροι ου μη ζωοποιησωσι*| *οι λοιποι ομοιως τοις ο′* Q^mg | *ειδωσειν* ℵ* (-*σιν* ℵ^c.b) | *ιατροι*] pr *οι* Q

B μὴ ἀναστήσουσιν· διὰ τοῦτο ἐπήγαγες καὶ ἀπώλεσας καὶ ἦρες πᾶν
ἄρσεν αὐτῶν. [15] πρόσθες αὐτοῖς κακά, Κύριε, πρόσθες κακὰ τοῖς 15
ἐνδόξοις τῆς γῆς. [16] Κύριε, ἐν θλίψει ἐμνήσθην σου, ἐν θλίψει 16
μικρᾷ ἡ παιδία σου ἡμῖν. [17] καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τεκεῖν, ἐπὶ 17
τῇ ὠδῖνι αὐτῆς ἐκέκραξεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου. [18] διὰ 18
τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέ-
κομεν· πνεῦμα σωτηρίας σου ἐποιήσαμεν ἐπὶ τῆς γῆς, ἀλλὰ πεσοῦν-
ται πάντες οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. [19] ἀναστήσονται οἱ νεκροί, 19
καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ
γῇ· ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν, ἡ δὲ γῆ τῶν
ἀσεβῶν πεσεῖται. [20] Βάδιζε, λαός μου, εἴσελθε εἰς τὰ ταμεῖά 20
σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον,
ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου. [21] ἰδοὺ γὰρ Κύριος ἀπὸ τοῦ ἁγίου 21
ἐπάγει τὴν ὀργὴν ἐπὶ τοὺς ἐνοικοῦντας ἐπὶ τῆς γῆς· καὶ ἀνακαλύψει
ἡ γῆ τὸ αἷμα αὐτῆς, καὶ οὐ κατακαλύψει τοὺς ἀνῃρημένους.

[1] Τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ θεὸς τὴν μάχαιραν τὴν ἁγίαν καὶ τὴν 1 XXVII
μεγάλην καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα ὄφιν φεύγοντα, ἐπὶ τὸν
δράκοντα ὄφιν σκολιόν, ἀνελεῖ τὸν δράκοντα. [2] Τῇ ἡμέρᾳ 2
ἐκείνῃ ἀμπελὼν καλός· ἐπιθύμημα ἐξάρχειν κατ᾽ αὐτῆς. [3] ἐγὼ πόλις 3
ὀχυρά, πόλις πολιορκουμένη, μάτην ποτιῶ αὐτήν· ἁλώσεται γὰρ

ℵAQΓ 14 αναστησουσιν] αναστησονται ℵ^{*vid} αναστησωσιν ℵ^{1} (ωσιν sup ras) Q | ηρας B^{ab}ℵ$^{c.a,c.b}$AQΓ | παν αρσεν] σ′ πασαν την μνημην Q^{mg} 15 Κυριε] κ̅ς̅ ℵ^{*fort} | προσθες 2°] προσθησει ℵ* (προσθες ℵ$^{c.a,c.b}$) | τοις ενδοξοις] pr πασιν ℵAQΓ (-σι) + ⁜ εμακρυνας παντα τα περατα Q^{mg} 16 παιδια] παι|α ℵ* (παιδια ℵ$^{c.b}$) παιδεια Q^{a}Γ | ημιν] pr εγενηθη ℵ* (improb ℵ$^{c.a,c.b}$) 17 τεκειν] pr του ℵ$^{c.a}$AQ (ins ⁜ et superscr α′ Q$^{?}$) Γ | επι] pr και ℵAQΓ 18 δια] δα ℵ* (δια ℵ$^{1(vid)}$) | γατρι ℵ* (γαστρι ℵ$^{c.a}$) | om σου 2° Q | αλλα] pr ου πεσουμεθα ℵ$^{c.a}$ (rurs ras) Q$^{?mg}$ pr ου πεσ. ημεις Γ | πεσουται ℵ* (-νται ℵ$^{c.a}$) | om παντες ℵAQΓ 19 αναστησονται] + γαρ A | νεκροι] + ⁜ σου Q^{mg} | οι εν τη γη] om οι Γ* (superscr Γ$^{1(vid)}$) 20 λαος] pr ο A | ταμεια (-μια ℵ*)] ταμιεια ℵ^{c}AQ | θυρα A* (-ραν A^{1}) 21 απο] οι γ′ ομοιως Q^{mg} | επαγει ...γης] σ′ επισκεψασθαι την ανομιαν των κατοικουντων την γην Q^{mg} | οργην] + αυτου ℵΓ | ενοικουντας] κατοικουντας ℵ | αιμα] στομα A | κατακαλυψει] + η γη A | τους (του ℵ* τους ℵ$^{1(vid)}$) ανηρημ.] + επ αυτης ℵ* (improb ℵ$^{c.a,c.b}$) XXVII 1 ο θεος] κ̅ς̅ ℵ* (ο θ̅ς̅ [sic] ℵ$^{c.b}$) | την μεγ.] om την Q* (hab Q^{mg}) | επι τον δρακοντα (1°)...τον δρακοντα (3°)] α′ επι λευιαθαν οφιν μοχλον επι λευιαθαν οφιν ενεσκιρωμενον ϗ αποκτενει συν το κητος εν θαλασση σ′ κατα λευιαθα̅ του οφεως του συγκλειοντος ϗ κατα [λευιαθαν mg] του οφεως του σκολιου ϗ αποκτενει το̅ δρακοντα το̅ εν τη θαλασση Q^{mg} | ανελει] pr και ℵAQΓ | δρακοντα 3°] + τον εν τη θαλασση ℵ et (pr ⁜) Q^{mg} 2 τη ημερα εκ. c antecedd coniung Γ | κατ αυτης c seqq coniung ℵ | αυτης] αυτους ℵ$^{c.a}$ (revoc -της ℵ$^{c.b(fort)}$) αυτου Q$^{?}$ 3 οχυρα] ισχυρα ℵAQ* (οχ. Q^{mg}) | αυτην] αυτους A^{*vid} (-την A$^{a?}$)

4 νυκτός, ἡμέρας δὲ πεσεῖται τεῖχος. [4]οὐκ ἔστιν ἣ οὐκ ἐπελάβετο B
αὐτῆς· τίς με θήσει φυλάσσειν καλάμην ἐν ἀγρῷ; διὰ τὴν πολε-
μίαν ταύτην ἠθέτηκα αὐτήν. τοίνυν διὰ τοῦτο ἐποίησεν Κύριος
5 πάντα ὅσα συνέταξεν. κατακέκαυμαι, [5]βοήσονται οἱ ἐνοικοῦντες ἐν
6 αὐτῇ, ποιήσωμεν εἰρήνην. [6]οἱ ἐρχόμενοι, τέκνα Ἰακώβ, βλαστήσει
καὶ ἐξανθήσει Ἰσραήλ, καὶ πλησθήσεται ἡ οἰκουμένη τοῦ καρποῦ
7 αὐτοῦ. [7]μὴ ὡς αὐτὸς ἐπάταξεν, καὶ αὐτὸς οὕτως πληγήσεται; καὶ
8 ὡς αὐτὸς ἀνεῖλεν, οὕτως ἀναιρεθήσεται; [8]μαχόμενος καὶ ὀνειδίζων
ἐξαποστελεῖ αὐτούς· οὐ σὺ ἦσθα μελετῶν τῷ πνεύματι τῷ σκληρῷ,
9 ἀνελεῖν αὐτοὺς πνεύματι θυμοῦ; [9]διὰ τοῦτο ἀφαιρεθήσεται ἀνομία
Ἰακώβ, καὶ τοῦτό ἐστιν ἡ εὐλογία αὐτοῦ, ὅταν ἀφέλωμαι αὐτοῦ τὴν
ἁμαρτίαν, ὅταν θῶσιν πάντας τοὺς λίθους τῶν βωμῶν κατακεκομ-
μένους ὡς κονίαν λεπτήν· καὶ οὐ μὴ μείνῃ τὰ δένδρα αὐτῶν, καὶ
10 τὰ εἴδωλα αὐτῶν ἐκκεκομμένα ὥσπερ δρυμὸς μακράν. [10]τὸ κατοι-
κούμενον ποίμνιον ἀνειμένον ἔσται, ὡς ποίμνιον καταλελιμμένον·
11 καὶ ἔσται πολὺν χρόνον εἰς βόσκημα, καὶ ἐκεῖ ἀναπαύσονται. [11]καὶ
μετὰ χρόνον οὐκ ἔσται ἐν αὐτῇ πᾶν χλωρὸν διὰ τὸ ξηρανθῆναι.
γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε· οὐ γάρ λαός ἐστιν ἔχων σύ-
νεσιν, διὰ τοῦτο οὐ μὴ οἰκτειρήσῃ ὁ ποιήσας αὐτούς, οὐδὲ ὁ πλά-
12 σας αὐτοὺς οὐ μὴ ἐλεήσῃ. [12]Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
συμφράξει ὁ θεὸς ἀπὸ τῆς διώρυγος τοῦ ποταμοῦ ἕως Ῥινοκορούρων·
13 ὑμεῖς δὲ συναγάγετε κατὰ ἕνα τοὺς υἱοὺς Ἰσραήλ. [13]Καὶ ἔσται
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ σαλπιοῦσιν τῇ σάλπιγγι τῇ μεγάλῃ, καὶ ἥξουσιν
οἱ ἀπολόμενοι ἐν τῇ χώρᾳ τῶν Ἀσσυρίων καὶ οἱ ἀπολόμενοι ἐν Αἰγύ-
πτῳ, καὶ προσκυνήσουσιν τῷ κυρίῳ ἐπὶ τὸ ὄρος τὸ ἅγιον Ἰερουσαλήμ.

3 τειχος] pr το ℵAQ   4 ουκ 1°] pr και A | καλαμην φυλασσ. ℵ | ℵAQΓ Κυριος]+ο θ̅ς̅ ℵ$^{c.b}$AQΓ | συνεταξεν]+κ̅ς̅ ℵ* (improb ℵ$^{c.b}$)   5 ειρηνην] +αυτω ποιησωμεν ειρηνην (+αυτω Q^{mg}) ℵAQΓ   6 πλησθησεται] εμπλησθ. ℵAQΓ   7 ουτως 2° (-τος ℵ* -τως ℵ$^{c.a, c.b}$)]+και Γ   8 μαχομενι incep ℵ* (-νος ℵ$^{1(vid)}$) | εξαποστελλει ℵ* (-στελει ℵ?) | συ] σοι ℵ | μελετων] pr ο ℵAQΓ | τω πνευματι]+σου ℵ$^{c.a}$ (mox ras) | πνευματι 2°] π̅ν̅α̅ ℵ* (+τι ℵ$^{c.a}$ postea ras)   9 ανομια] pr η ℵAQΓ | ε|τιν ℵ* (εστιν ℵ$^{c.b}$) | θωσιν] θω A | εκκομμενα ℵ* (εκκεκ. ℵ$^{c.a}$) | μακραν c seqq coniung Γ   10 ποιμνιον 2°] ποιμοι incep ℵ* (ποιμν. ℵ$^{1(vid), c.b}$) | καταλελειμμ. B^{ab} | και εκει] κακει Q* (και εκ. Q^{a})   11 om και ℵA | χρονον] pr πολυν ℵ | χλορον Γ | συν|εσιν B* συ|νεσιν B^{ab} | ελεησει A   12 συμφραξει] συνταραξει ℵΓ οι γ´ ραβδισει Q^{mg} | ο θεος] κ̅ς̅ ℵAQΓ | διωρυγος ℵAQΓ | Ρεινοκορουρων B* (Ρι. B^{b}ℵAQΓ) | κατα ενα τους υιους Ισρ.] τους υιους Ι̅η̅λ̅ κατα (κατ A) ενα ενα ℵAQΓ   13 σαλπιουσι Q | τη μεγαλη] pr εν A | απολομενοι 1°] απο ανατολων A | Αιγυπτω] εγ incep ℵ* vid Εγ. ℵ^{1} (Αιγ. ℵ$^{c.a, c.b}$) | προσκυνησωσιν A | Ιερουσαλημ] pr εν ℵAQΓ

B [1]Οὐαὶ τῷ στεφάνῳ τῆς ὕβρεως, οἱ μισθωτοὶ Ἐφράιμ, τὸ ἄνθος τὸ 1 XXVIII
ἐκπεσὸν ἐκ τῆς δόξης ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ παχέος, οἱ μεθύ-
οντες ἄνευ οἴνου. [2]ἰδοὺ ἰσχυρὸν καὶ σκληρὸν ὁ θυμὸς Κυρίου, ὡς χά- 2
λαζα καταφερομένη οὐκ ἔχουσα σκέπην, βίᾳ καταφερομένη· ὡς ὕδατος
πολὺ πλῆθος σῦρον χώραν, τῇ γῇ ποιήσει ἀνάπαυμα· ταῖς χερσὶν
[3]καὶ τοῖς ποσὶν καταπατηθήσεται ὁ στέφανος τῆς ὕβρεως, οἱ μισθω- 3
τοὶ Ἐφράιμ. [4]καὶ ἔσται τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς ἐλπίδος τῆς ζωῆς 4
ἐπ' ἄκρου τοῦ ὄρους τοῦ ὑψηλοῦ· ὡς πρόδρομος σύκου, ὁ ἰδὼν
αὐτό, πρὶν εἰς τὴν χεῖρα αὐτοῦ λαβεῖν αὐτό, θελήσει αὐτὸ κατα-
πιεῖν. [5]τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Κύριος σαβαὼθ ὁ στέφανος τῆς 5
ἐλπίδος ὁ πλεκεὶς τῆς δόξης τῷ καταλειφθέντι τοῦ λαοῦ· [6]κατα- 6
λειφθήσονται ἐπὶ πνεύματι κρίσεως ἐπὶ κρίσιν καὶ ἰσχὺν κωλύων
ἀνελεῖν. [7]οὗτοι γὰρ οἴνῳ πεπλημμελημένοι εἰσίν· ἐπλανήθησαν διὰ 7
τὸ σίκερα, ἱερεὺς καὶ προφήτης ἐξέστησαν διὰ τὸ σίκερα, κατεπό-
θησαν διὰ τὸν οἶνον, ἐσείσθησαν ἀπὸ τῆς μέθης, ἐπλανήθησαν·
τοῦτ' ἔστι φάσμα. [8]ἀρὰ ἔδεται ταύτην τὴν βουλήν· αὕτη γὰρ ἡ 8
βουλὴ ἕνεκεν πλεονεξίας. [9]τίνι ἀνηγγείλαμεν κακά, καὶ τίνι ἀνηγ- 9
γείλαμεν ἀγγελίαν; οἱ ἀπογεγαλακτισμένοι ἀπὸ γάλακτος, οἱ ἀπο-
σπασμένοι ἀπὸ μαστοῦ. [10]θλίψιν ἐπὶ θλίψιν προσδέχου, ἐλπίδα 10
ἐπ' ἐλπίδι, ἔτι μικρὸν ἔτι μικρόν, [11]διὰ φαυλισμὸν χειλέων, διὰ 11
γλώσσης ἑτέρας· ὅτι λαλήσουσιν τῷ λαῷ τούτῳ [12]λέγοντες αὐτοῖς 12
Τοῦτο τὸ ἀνάπαυμα τῷ πεινῶντι καὶ τοῦτο τὸ σύντριμμα, καὶ

ℵAQΓ XXVIII 1 Εφρεμ ℵ | ανθος]+το ωρεον ℵ* (ωραιον ℵ$^{c.b}$) | εκ της δοξης] ※ δυναμις δοξης αυτου Q^{mg} | επι] pr ο εστι̅ Q^{mg} | κορυφης] κεφαλης Γ | παχεως A 2 σκληρον (σκηρ. ℵ* σκλ. ℵ^{1})]+παρα κ̅υ̅ ℵ* (improb ℵ$^{c.a, c.b}$) | om ουκ εχουσα σκεπην βια καταφ. ℵ* (hab ℵ$^{c.a\ mg\ sup}$) | αναπαυμα] αναπαυσιν ℵAQ ανα|αναπαυσιν Γ | ταις χερσιν] pr και ℵ* (improb ℵ$^{c.b}$) Γ 3 καταπατηθησεται] ομοιως α' θ' Q^{mg} pr και ℵQΓ | υβρεως] υπερηφανιας Q^{mg} | Εφραιμ (Εφρεμ ℵ)] pr του AQΓ 4 ελπιδος της ζωης] ελπ. τ. δοξης ℵAΓ δοξης τ. ελπιδος Q | ακου ℵ* (ακρ. ℵ$^{1\ fort}$) | του ορους] bis scr του ℵ* (improb 1° ℵ$^{?}$) | αυτο 1°] αυτω Γ* (-το Γ^{1}) | πριν]+η ℵAQΓ | χειραν ℵ* | bis scr λαβειν ℵ* (improb 2° ℵ$^{c.a, c.b}$) | om αυτο 2° ℵ$^{c.b}$AQ | θελησῃ Γ | καταπιν ℵ* (-πιειν ℵ$^{c(b\ vid)}$) 5 bis scr εσται κ̅ς̅ σαβαωθ A | πλεκεις] πλακεις ℵ$^{c.b}$ (πλακις ℵ$^{c.a}$) AQΓ | του λαου] μου λαω ἐν Αιγυπτω B^{b} μ. λ. A+μου Q 6 καταλειφθ...κρισεως] οι γ' ϗ εις π̅ν̅α̅ κρισεως Q^{mg} | καταλιφθησεται ℵ pr και A | επι 1°] pr γαρ Q | επι 2°] pr ※ τω καθημενω Q^{mg} 7 πεπλημμελημενοι] πεπλανημενοι B^{b}ℵ (οι rescr ℵ^{1}) AQΓ | προφητης] φ incep ℵ* (προφ. ℵ^{1}) | om δια το σικερα κατεποθησαν ℵAQΓ | μεθης]+του σικερα ℵAQΓ | τουτ εστι (-τιν Q)] τουτο εστιν ℵAΓ | φασμα] φαντασμα A 8 om αυτη γαρ η βουλη ℵ* (hab ℵ$^{1, a\ (vel\ a.b), c.b}$) 9 ανηγγειλαμεν 2°] ανηγγελιλαμεν ℵ* (λ 1° ras ℵ$^{?}$) | οι απογεγαλακτ.] pr και ℵ* (improb ℵ$^{c.b}$) | απεσπασμενοι ℵ$^{post\ c.a\ (vid)}$ AQΓ 10 om ελπιδα επ B$^{*\ vid}$ (hab B^{ab}) | ελπιδι] δ sup ras B$^{a\ (vid)\ b}$ 12 αυτοις] αυτω ℵ$^{c.a}$AQ* (-τοις Q^{mg}) | πεινωντι] πινοντι ℵ πινωντι Q*Γ

13 οὐκ ἠθέλησαν ἀκούειν. [13]καὶ ἔσται αὐτοῖς τὸ λόγιον Κυρίου θλίψις B
ἐπὶ θλίψιν, ἐλπὶς ἐπὶ ἐλπίδι, ἔτι μικρὸν ἔτι μικρόν, ἵνα πορεύ-
σωσιν καὶ πέσωσιν ὀπίσω, καὶ συντριβήσονται καὶ κινδυνεύσου-
14 σιν καὶ ἁλώσονται. [14]Διὰ τοῦτο ἀκούσατε λόγον τοῦ κυρίου,
ἄνδρες τεθλιμμένοι καὶ ἄρχοντες τοῦ λαοῦ τούτου τοῦ ἐν Ἰερου-
15 σαλήμ, [15]ὅτι εἴπατε Ἐποιήσαμεν διαθήκην μετὰ τοῦ ᾅδου, καὶ μετὰ
τοῦ θανάτου συνθήκας· καταιγὶς φερομένη ἐὰν παρέλθῃ, οὐ μὴ ἔλθῃ
ἐφ᾽ ἡμᾶς· ἐθήκαμεν ψεῦδος τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκε-
16 πασθησόμεθα. [16]διὰ τοῦτο οὕτως λέγει κύριος Κύριος Ἰδοὺ ἐγὼ
ἐμβάλλω εἰς τὰ θεμέλια Σειὼν λίθον πολυτελῆ ἐκλεκτὸν ἀκρογω-
νιαῖον ἔντιμον, εἰς τὰ θεμέλια αὐτῆς, καὶ ὁ πιστεύων οὐ μὴ καται-
17 σχυνθῇ. [17]καὶ θήσω κρίσιν εἰς ἐλπίδα, ἡ δὲ ἐλεημοσύνη μου εἰς
σταθμούς, καὶ οἱ πεποιθότες μάτην ψεύδει· ὅτι μὴ παρέλθῃ ὑμᾶς
18 καταιγίς, [18]μὴ καὶ ἀφέλῃ ὑμῶν τὴν διαθήκην τοῦ θανάτου, καὶ ἡ
ἐλπὶς ὑμῶν ἡ πρὸς τὸν ᾅδην οὐ μὴ ἐμμείνῃ· καταιγὶς φερομένη ἐὰν
19 ἐπέλθῃ, ἔσεσθε αὐτῇ εἰς καταπάτημα. [19]ὅταν παρέλθῃ, λήμψεται
ὑμᾶς· πρωὶ πρωὶ παρελεύσεται ἡμέρας, καὶ ἐν νυκτὶ ἔσται ἐλπὶς
20 πονηρά. μάθετε ἀκούειν [20]στενοχωρούμενοι· οὐ δυνάμεθα μάχεσθαι,
21 αὐτοὶ δὲ ἀσθενοῦμεν τοῦ ἡμᾶς συναχθῆναι. [21]ὥσπερ ὄρος ἀσεβῶν
ἀναστήσεται Κύριος, καὶ ἔσται ἐν τῇ φάραγγι Γαβαών, μετὰ θυμοῦ
ποιήσει τὰ ἔργα αὐτοῦ, πικρίας ἔργον· ὁ δὲ θυμὸς αὐτοῦ ἀλλοτρίως
22 χρήσεται, καὶ ἡ σαπρία αὐτοῦ ἀλλοτρία. [22]καὶ ὑμεῖς μὴ εὐφραν-
θείητε, μηδὲ ἰσχυσάτωσαν ὑμῶν οἱ δεσμοί· διότι συντετελεσμένα καὶ
συντετμημένα πράγματα ἤκουσα παρὰ Κυρίου σαβαὼθ ἃ ποιήσει

12 ηθελησαν] ηθελᾱ| ℵ **13** Κυριου] + του θῡ ℵAQ + θῡ Γ | θλιψιν] ℵAQΓ + ※ προσδεχου προσδεχου Q^{mg} | επι 2°] επ ℵ* (επι ℵ$^{c.a}$ sed ipse statim revoc επ) AQΓ | ελπιδι] ελπιδα ℵ* (-δι ℵ$^{c.a, c.b}$) | πορευθωσιν ℵAQΓ | οπισω] pr εις τα ℵAQΓ | συντριβησονται και κινδυνευσουσιν] κινδυνευσωσειν· (corr -σιν) συντρ. ℵ κινδυνευσουσι (-σωσιν Γ) και συντρ. AQΓ **14** του κυριου] om του Γ | om τουτου ℵΓ | του εν Ιερ.] om του AQ | Ιελ̄μ ℵ **15** καταιγις] pr ϛ Γ | παρελθη] επελθη Q^{mg} | εφ ημας] ημιν ℵ$^{c.b}$A **16** om κ̄ς 2° ℵAQ* (hab Q^{mg}) Γ | εμβαλω ℵAQ | Σιων B^{b}ℵAQΓ | αυτης] + ※ τεθεμελιωμενον Q^{mg} | ο πιστευων] + επ αυτω ℵAQ | ου μη καταισχυνθη (θη sup ras A$^{?vid}$)] οι γ′ ου σπευσει Q^{mg} **17** εισταθμους B*ℵ* (εις στ. B^{ab}ℵ$^{c.a}$) A | μη] pr ου ℵAQΓ **18** αφεληται Q αφελει Γ | ενμινη ℵ* (ενμειν. ℵ$^{c.b}$) **19** ληψεται Q | πρωι 1°] pr σ′ ※ οτι κατα Q^{mg} | εν νυκτι] α′θ′ ομοιως σ′ νυκτος Q^{mg} **20** στενοχουρ. ℵ* (στενοχωρ. ℵ$^{c.b\,(nisi\,c.c)}$) | δυνομεθα B | μαχεσθαι] α 1° sup ras ℵ^{1} | ημας] υμας Γ **21** ωσπερ ορος ασεβων] α′ ως ορει διακοπτων...θ′σ′ εν τω ορει των διακοπτων κ̄ς Q^{mg} | om Κυριος AQ* (hab Q^{mg}) Γ | εργον] εργα ℵ* (-γον ℵ$^{c.a}$) | ο δε θυμος] ο δε sup ras ℵ$^{?\,vid}$ | σαπρια] πικρια ℵAQΓ **22** ισχυετωσαν Γ | οι δεσμοι] + οι οφθαλμοι ℵ* (improb ℵ$^{c.a}$) οι οφθ. Γ | διοτι συντετελ. rescr vid B$^{?}$ | συντετμημενα] συντετελμημενα A συντετμε.να Γ | Κυριου] pr του ℵ* (improb ℵ$^{c.b}$) pr οι γ′ ※ κ̄υ Q^{mg} | ποιησει] ποιει ℵ

B ἐπὶ πᾶσαν τὴν γῆν. [23]Ἐνωτίζεσθε καὶ ἀκούετε τῆς φωνῆς μου, 23
προσέχετε καὶ ἀκούετε τοὺς λόγους μου. [24]μὴ ὅλην τὴν ἡμέραν 24
ἀροτριάσει ὁ ἀροτριῶν; ἢ σπόρον προετοιμάσει πρὶν ἐργάσασθαι
τὴν γῆν; [25]οὐχ ὅταν ὁμαλίσῃ τὸ πρόσωπον αὐτῆς, τότε σπείρει 25
μικρὸν μελάνθιον καὶ κύμινον, καὶ πάλιν σπείρει πυρόν, κριθὴν καὶ
κέγχρον καὶ ζέαν ἐν τοῖς ὁρίοις σου; [26]καὶ παιδευθήσει κρίματι 26
θεοῦ, καὶ εὐφρανθήσῃ. [27]οὐ γὰρ μετὰ σκληρότητος καθαίρεται τὸ 27
μελάνθιον, οὐδὲ τροχὸς ἁμάξης περιάξει ἐπὶ τὸ κύμινον· ἀλλὰ
ῥάβδῳ τινάσσεται τὸ μελάνθιον, τὸ δὲ κύμινον [28]μετὰ ἄρτου βρω- 28
θήσεται. οὐ γὰρ εἰς τὸν αἰῶνα ἐγὼ ὑμῖν ὀργισθήσομαι, οὐδὲ
φωνὴ τῆς πικρίας μου καταπατήσει ὑμᾶς. [29]καὶ ταῦτα παρὰ Κυρίου 29
σαβαὼθ ἐξῆλθεν τὰ τέρατα· βουλεύσασθε, ὑψώσατε ματαίαν παρά-
κλησιν.

[1]Οὐαὶ Ἀριὴλ πόλις, ἣν ἐπολέμησεν Δαυείδ. συναγάγετε γενήματα 1 XXIX
ἐνιαυτὸν ἐπὶ ἐνιαυτόν· φάγεσθε, φάγεσθε γὰρ σὺν Μωάβ. [2]ἐκθλίψω 2
γὰρ Ἀριήλ, καὶ ἔσται αὐτῆς ἡ ἰσχὺς καὶ ὁ πλοῦτος ἐμοί. [3]καὶ 3
κυκλώσω ὡς Δαυεὶδ ἐπὶ σέ, καὶ βαλῶ περὶ σὲ χάρακα, καὶ θήσω περὶ
σὲ πύργους, [4]καὶ ταπεινωθήσονται εἰς τὴν γῆν οἱ λόγοι σου, καὶ εἰς 4
τὴν γῆν οἱ λόγοι σου δύσονται· καὶ ἔσονται ὡς οἱ φωνοῦντες ἐκ τῆς
γῆς ἡ φωνή σου, καὶ πρὸς τὸ ἔδαφος ἡ φωνή σου ἀσθενήσει. [5]καὶ 5
ἔσται ὡς κονιορτὸς ἀπὸ τοίχου ὁ πλοῦτος τῶν ἀσεβῶν, καὶ ὡς χνοῦς
φερόμενος τὸ πλῆθος τῶν καταδυναστευόντων σε, καὶ ἔσται ὡς στιγμὴ
παραχρῆμα [6]παρὰ Κυρίου σαβαώθ· ἐπισκοπὴ γὰρ ἔσται μετὰ βροντῆς 6

ℵAQΓ **22** επασαν B* (επι π. B^{ab}) **23** ακουετε 1°] ακουσατε A **24** αροτριασει ο αροτριων] μελλει (-λλι ℵ) ο αροτριων αροτριαν ℵAΓQ α′σ′θ′ ※ αροτριασει ο αροτριῶ Q^{mg} | η σπορον] α′ του σπειραι Q^{mg} | προετοιμασει] ετοιμασει ℵ* (προετ. ℵ$^{c.b}$) | πριν] + η Q | εργαζεσθαι ℵ **25** ουχ] και A | αυτης το προσωπον ℵAQΓ | τοτε...μελανθιον] α′ ϗ διασκορπισει μελανθ. Q^{mg} | τοτε] πρωτον A | om σπειρει 2° A | κριθην] pr και ℵAQΓ | om και κεγχρον ℵAQ* (ϗ κεγχρ. α′θ′ ομοιως Q^{mg}) Γ **26** παιδευθηση B^{ab}ℵAQΓ | om (in fin col) κριματι...ευφρανθ. ℵ* (hab ℵ$^{c.a}$) | κριματι] α′ τω κρ. σ′θ′ εις κριμα Q^{mg} | θεου] + σου $B^{a\,(vid)}$ℵ$^{c.a}$AQ **27** καθαιρειται Γ | τινασσεται] εκτινασσεται ℵAQΓ (εκτειν.) XXIX **1** πολις Αριηλ ℵAQ (+ Αριηλ sub οι γ′ ※ Q^{mg}) Γ | Δαδ επολεμησεν ℵAQΓ | επι] επ ℵAQΓ | om φαγεσθε 1° AQ* (hab φαγεσθαι Q^{mg}) Γ | συ ℵ* (συν ℵ$^{c.a\ et\ iam\ antea}$) **2** εκθλιψω] εκλιψω ℵ* (εκθλ. ℵ$^{c.a,\,c.b}$) | ο πλουτος] το πλ. ℵAΓ **3** περι 2°] επι A **4** και ταπ. εις την γην οι λ. σου] και ταπ. οι λογοι σου εις την γην (1°) ℵAQ (sub ÷) Γ ※ ϗ ταπεινωθηση εκ γης λαλησεις Q^{mg} | εσονται] εσται ℵ$^{c.b}$ (εστε ℵ*) AQΓ **5** τοιχου] τροχου ℵAQΓ | [φερομε]νος...ως στιγμη] pr asteriscos B^{a} (non inst B^{b}) | om το πληθος των καταδυν. σε ℵAQΓ (hab σ′θ′ sub ※ Q^{mg}) | ωστιγμη Q **6** βροτης B* (βροντ. B^{ab}) κραυγης A

καὶ σεισμοῦ καὶ φωνὴ μεγάλη, καταιγὶς φερομένη καὶ φλὸξ πυρὸς B
7 κατεσθίουσα. [7]καὶ ἔσται ὡς ἐνυπνιαζόμενος καθ' ὕπνους νυκτὸς ὁ
πλοῦτος ἁπάντων τῶν ἐθνῶν ὅσοι ἐπεστράτευσαν ἐπὶ Ἰερουσαλήμ,
καὶ πάντες οἱ στρατευόμενοι ἐπὶ Ἰερουσαλήμ, καὶ πάντες οἱ συνη-
8 γμένοι ἐπ' αὐτὴν καὶ οἱ θλίβοντες αὐτήν. [8]καὶ ὡς οἱ ἐν τῷ ὕπνῳ
πίνοντες καὶ ἔσθοντες, καὶ ἐξαναστάντων μάταιον τὸ ἐνύπνιον· καὶ
ὃν τρόπον ἐνυπνιάζεται ὁ διψῶν ὡς πίνων, καὶ ἐξαναστὰς ἔτι διψᾷ,
ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κενὸν ἤλπισεν, οὕτως ἔσται ὁ πλοῦτος πάντων
9 τῶν ἐθνῶν ὅσοι ἐπεστράτευσαν ἐπὶ τὸ ὄρος Σειών. [9]Ἐκλύθητε
10 καὶ ἔκστητε, κραιπαλήσατε οὐκ ἀπὸ σίκερα οὐδὲ ἀπὸ οἴνου· [10]ὅτι
πεπότικεν ὑμᾶς Κύριος πνεύματι κατανύξεως, καὶ καμμύσει τοὺς
ὀφθαλμοὺς αὐτῶν καὶ τῶν προφητῶν αὐτῶν καὶ τῶν ἀρχόντων αὐτῶν,
11 οἱ ὁρῶντες τὰ κρυπτά. [11]καὶ ἔσται ὑμῖν τὰ ῥήματα πάντα ταῦτα ὡς
οἱ λόγοι τοῦ βιβλίου τοῦ ἐσφραγισμένου, ὃ ἂν δῶσιν αὐτὸ ἀνθρώπῳ
ἐπισταμένῳ γράμματα λέγοντες Ἀνάγνωθι ταῦτα, καὶ ἐρεῖ Οὐ δύναμαι
12 §ἀναγνῶναι, ἐσφράγισται γάρ. [12]καὶ δοθήσεται τὸ βιβλίον τοῦτο εἰς § Z
χεῖρας ἀνθρώπου μὴ ἐπισταμένου γράμματα, καὶ ἐρεῖ αὐτῷ Ἀνάγνωθι
13 τοῦτο· καὶ ἐρεῖ Οὐκ ἐπίσταμαι γράμματα. [13]καὶ εἶπεν Κύριος Ἐγγίζει
μοι ὁ λαὸς οὗτος ἐν τῷ στόματι αὐτοῦ, καὶ ἐν τοῖς χείλεσιν αὐτῶν
τιμῶσίν με, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ
14 σέβονταί με διδάσκοντες ἐντάλματα ἀνθρώπων καὶ διδασκαλίας. [14]διὰ

6 φωνης μεγαλης ℵAQ (οι γ' ομοιως Q^{mg}) Γ 7 ενυπνιαζομενος] pr ο ℵ$^{c.b}$AQΓ | καθ υπνους] εν υπνω ℵQ* (καθ' υπνους Q^{mg}) Γ ενυπνιον A | om νυκτος ℵAQ (hab α' ※ Q^{mg}) Γ | πλουτως A* (improb ω A?) | απαντων των εθνων] om εθνων B* (hab B^{ab}) των εθνων| απαντων ℵ (sed ε sup ras ℵ^{1}) των εθν. παντων AΓ των ασεβων παντων Q | Ιερουσαλημ 1° (plene scr B)] Ιηλ ℵAQ* (Ιλημ: οι γ' αριηλ Q^{mg}) Γ | στρατευσαμενοι ℵ$^{c.a}$AQΓ | Ιερουσαλημ 2°] Ιελμ ℵ | οι θλιβοντες] om οι ℵAQΓ 8 και 1°]+εσονται ℵAQΓ | τω υπνω] om τω ℵ$^{c.b}$AQ | εσθοντες κ. πινοντες Γ | ματαιον] ματεων ℵ* -τεον ℵ$^{c.a, c.b}$ | το ενυπνιον] pr αυτων ℵAQΓ | ενυπνιαζεται] ν 2° rescr vid Q? | πινων] pr ο ℵ$^{c.b}$AΓ | επι]+Ιλημ ℵ$^{c.a}$ (postea ras) pr επι Ιλημ και A | Σιων B^{b}ℵAQΓ 9 εκστητε (εστ. ℵ* εκστ. ℵ$^{c.b}$)]+σ' ※ εξαπατηθητε κ απατασθε Q^{mg} | κραιπαλησατε] pr και ℵAQΓ | απο σικ. ουδ απο sub ÷ Q | ουδε] ουδ AQ | οινου]+θ' ※ κινουμενοι και ου σικερα Q^{mg} 10 πνευματι] πνα ℵ 11 εσται] εσονται ℵ$^{c.b}$AQ | ταυτα τα ρηματα AQ | οι λογοι] om οι Q | βιβλιου]+τουτου ℵ | [εσφραγισ]μενου...επισταμε[νω]] pr obelos B^{a} (non inst B^{b}) | εσφραγισμενου (-μεου ℵ* -μενου ℵ$^{c.b}$)] σ 2° sup ras ℵ^{1}+τουτου AQ ομοιως οι γ Q^{mg} | αν] εαν ℵAQΓ | ανθρ. sub ÷ Q | αναγνωθι]+οι γ' ※ δη Q^{mg} | ταυτα 2°] ταυτουτο ℵ* ταυτα ℵ$^{c.a}$ τουτο ℵ$^{c.b}$ | αναγνωναι (sub ÷ Q)]...γνωναι inc Z 12 ερει 1°] ερουσιν Z | τουτο 2°] ταυτα ℵ* (τουτο ℵ$^{c.b}$) Z 13 μοι] μου ℵ* (μοι ℵ$^{c.a, c.b}$) | om εν τω στοματι αυτου και εν ℵAQ (hab οι γ' ※ εν τω στ. αυτ. Q^{mg}) | om εν bis Γ | το στοματι Γ | αυτου] αυτων Z | οις χειλεσιν sup ras B^{ab} | τιμουσιν ℵ* (-μωσιν ℵ$^{c.a, c.b}$) | πορω ℵ* (πορρ. ℵ$^{c.a (vid), c.b}$) | διδασκοντε A* (-τες A^{1})

B τοῦτο ἰδοὺ προσθήσω τοῦ μεταθεῖναι τὸν λαὸν τοῦτον· καὶ μεταθήσω
αὐτούς, καὶ ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν
συνετῶν κρύψω. 15 Οὐαὶ οἱ βαθέως βουλὴν ποιοῦντες καὶ ἔσται 15
ἐν σκότει τὰ ἔργα αὐτῶν, καὶ ἐροῦσιν Τίς ἑόρακεν ἡμᾶς; καὶ τίς
ἡμᾶς γνώσεται ἢ ἃ ἡμεῖς ποιοῦμεν; 16 οὐχ ὡς ὁ πηλὸς τοῦ κεραμέως 16
λογισθήσεσθε; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι αὐτό Οὐ σύ με
ἔπλασας; ἢ τὸ ποίημα τῷ ποιήσαντι Οὐ συνετῶς με ἐποίησας; 17 οὐκέτι 17
μικρὸν καὶ μετατεθήσεται ὁ Λίβανος ὡς τὸ ὄρος τὸ Χερμέλ, καὶ τὸ
Χερμὲλ εἰς δρυμὸν λογισθήσεται. 18 καὶ ἀκούσονται ἐν τῇ ἡμέρᾳ 18
ἐκείνῃ κωφοὶ λόγους βιβλίου, καὶ οἱ ἐν τῷ σκότει καὶ οἱ ἐν τῇ ὁμίχλῃ,
ὀφθαλμοὶ τυφλῶν ὄψονται, 19 καὶ ἀγαλλιάσονται πτωχοὶ διὰ Κύριον ἐν 19
εὐφροσύνῃ, καὶ οἱ ἀπηλπισμένοι τῶν ἀνθρώπων ἐμπλησθήσονται
εὐφροσύνης. 20 ἐξέλιπεν ἄνομος, καὶ ἀπώλετο ὑπερήφανος, καὶ ἐξω- 20
λεθρεύθησαν οἱ ἀνομοῦντες ἐπὶ κακίᾳ, 21 καὶ οἱ ποιοῦντες ἁμαρτεῖν 21
ἀνθρώπους ἐν λόγῳ· πάντας δὲ τοὺς ἐλέγχοντας ἐν πύλαις πρόσ-
κομμα θήσουσιν, ὅτι ἐπλαγίασαν ἐν ἀδίκοις δίκαιον. 22 διὰ τοῦτο τάδε 22
λέγει Κύριος ἐπὶ τὸν οἶκον Ἰακώβ, ὃν ἀφώρισεν ἐξ Ἀβραάμ Οὐ νῦν
αἰσχυνθήσεται Ἰακώβ, οὐδὲ νῦν τὸ πρόσωπον μεταβαλεῖ· 23 ἀλλ' ὅταν 23
¶ Z ἴδωσιν τὰ τέκνα αὐτῶν τὰ ἔργα μου, δι' ἐμὲ ἁγιάσωσιν τὸ ὄνομά¶
μου, καὶ ἁγιάσωσιν τὸν ἅγιον Ἰακώβ, καὶ τὸν θεὸν τοῦ Ἰσραὴλ φοβη-
θήσονται. 24 καὶ γνώσονται πλανώμενοι τῷ πνεύματι σύνεσιν, οἱ δὲ 24

ℵAQZΓ 14 ιδου] + εγω ℵ* (improb ℵ[c.b]) A | αυτους] + μεταθεσει Z | σοφων] + αυτου Z | συνετων] + αυτου Z 15 οι βαθεως βουλην ποιουντες] τοις βαθ. ποιουσιν βουλην Z | βουλην ποιουντες sub ÷ Q | ποιουντες] + και ου δια κυ̅ ουαι οι εν κρυφη (εγκρ. A) βουλην ποιουντες B[ab mg inf] ℵ (ποιουνταις ℵ* -τες ℵ[c.b]) AQZΓ | εορακεν (εωρ. B[b]) ημας] ημας εωρακεν ℵAQ[a]Γ ημ. εορ. Q* [vid] Z | om η ℵΓ 16 λογισθησεται ℵ* (-θησεσθαι ℵ[c.a]) | om αυτο ℵAQΓ | συ] σοι ℵ* (συ ℵ[c.a, c.b]) 17 ουκετι] ουχι ετι Z | μικρον] + σ'θ' ※ βραχυ Q[mg] | om το ορος Q | το Χερμελ 1°] ο Χερμελ Q ο (? το) Χελμελ Γ | το Χερμελ 2°] το Χελμελ ℵ* (Χερμ. ℵ[c.b]) ο Χερμελ Z (de Γ non liq) pr το ορος ℵ[c.b]AQ 18 βιβλιου] α' βιβλιου οι ο' βιβλου θ' ομοιως τοις ο' Q[mg] | οι εν τη ομ.] om οι Q | οψονται] βλεψονται ℵ[c.b] AQ* (οψ. Q[mg]) 19 αγαλιασ. ℵ* (αγαλλιασ. ℵ[c]) | πτωχοι] pr οι ℵΓ | εμπλησθησονται] ευφρα̣θησοντ, Q[mg] | ευφροσυνης] + ※ κ̅ Ιηλ̅ (Ωρ.) Q[mg] 20 εξελειπεν AQ*Γ | εξολεθρευθησαν ℵ | οι ανομουντες] pr οι γ' ※ παντες Q[mg] 21 οι ποιουντες] om οι Γ[vid] | ελεγ|τας ℵ* (ελεγχ. ℵ[c.b]) | οτι] και ℵAQZΓ | δικαιον] οι γ' ομοιως Q[mg] 22 ουδε...μεταβαλει] θ' ουδε νυν το προσωπον αυτου εντραπησεται Q[mg] | προσωπον] + αυτου Z | μεταβαλει] + Ιηλ̅ ℵAQ + Ισλ̅ Γ 23 αλλ οταν ιδωσιν] θ' οτι εν τω ιδειν Q[mg] | αλλ] αλλα ℵAQ | οταν] τα νυν ℵ* (οταν ℵ[c.a, c.b]) | ιδωσιν] δωσι̅ ℵ* (ιδ. ℵ[c.a, c.b]) | αυτων] αυτου Γ* (-των Γ[1]) | μου sup ras ℵ[1] | αγιασουσιν bis ℵ (sed ιασο 1° sup ras ℵ[1]) AQΓ: 1°, Z | του Ισραηλ] om του ℵ* (hab ℵ[c.a]) | φοβ. c seqq coni. B 24 πλανωμενοι τω πνευματι] οι τω πν. πλαν. ℵAQΓ

γογγύζοντες μαθήσονται ὑπακούειν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι B
μαθήσονται λαλεῖν εἰρήνην.

XXX 1 [1]Οὐαὶ τέκνα ἀποστάται, λέγει Κύριος· ἐποιήσατε βουλὴν οὐ
δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου, προσθεῖναι ἁμαρ-
2 τίας ἐφ' ἁμαρτίας· [2]οἱ πορευόμενοι καταβῆναι¶ εἰς Αἴγυπτον, §ἐμὲ δὲ ¶ Γ § O
οὐκ ἐπηρώτησαν, τοῦ βοηθηθῆναι ὑπὸ Φαραὼ καὶ σκεπασθῆναι ὑπὸ
3 Αἰγυπτίων. [3]ἔσται γὰρ ὑμῖν σκέπη Φαραὼ εἰς αἰσχύνην, καὶ τοῖς
4 πεποιθόσιν ἐπ' Αἴγυπτον ὄνειδος. [4]ὅτι εἰσὶν ἐν Τάνει ἀρχηγοὶ
5 ἄγγελοι πονηροί· [5]μάτην κοπιάσουσιν πρὸς λαὸν ὃς οὐκ ὠφελήσει
αὐτοὺς εἰς βοήθειαν ἀλλὰ εἰς αἰσχύνην καὶ ὄνειδος.

Ἡ ὅρασις τῶν τετραπόδων τῶν ἐν τῇ ἐρήμῳ.

6 [6]Ἐν τῇ θλίψει καὶ τῇ στενοχωρίᾳ λέων καὶ σκύμνος λέοντος,
ἐκεῖθεν καὶ ἀσπίδες καὶ ἔκγονα ἀσπίδων, οἳ ἔφερον ἐπ' ὄνων καὶ
καμήλων τὸν πλοῦτον αὐτῶν πρὸς ἔθνος ὃ οὐκ ὠφελήσει αὐτούς.
7 [7]Αἰγύπτιοι μάταια καὶ κενὰ ὠφελήσουσιν ὑμᾶς· ἀπάγγειλον αὐτοῖς
8 ὅτι ματαία ἡ παράκλησις ὑμῶν αὕτη. [8]νῦν οὖν καθίσας γράψον ἐπὶ
πυξίου ταῦτα καὶ εἰς βιβλίον, ὅτι ἔσται εἰς ἡμέρας ταῦτα καιρῷ καὶ ἕως
9 εἰς τὸν αἰῶνα. [9]ὅτι λαὸς ἀπειθής ἐστιν, υἱοὶ ψευδεῖς οἳ οὐκ ἠβούλοντο
10 ἀκούειν τὸν νόμον τοῦ θεοῦ, [10]οἱ λέγοντες τοῖς προφήταις Μὴ ἀναγ-
γέλλετε ἡμῖν, καὶ τοῖς τὰ ὁράματα ὁρῶσιν Μὴ λαλεῖτε ἡμῖν, ἀλλὰ ἡμῖν
11 λαλεῖτε καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν, [11]καὶ ἀποστρέψατε

24 υπακουειν] + κ̅ω̅ ℵ | και 2°...ειρηνην] pr obelos B^{a} (non inst B^{b}) Q$^{?}$ ℵAOQΓ
XXX 1 ουαι...Κυριος] α' ω υιοι αφισταμενοι φησι κ̅ς̅ Q^{mg} | αποσταιε ℵ* (-ται ℵ$^{c.a, c.b}$) | λεγει] pr ταδε ℵAQΓ | ου] pr και A | προσθηναι B προσθιναι ℵ (θι sup ras ℵ^{1}) | αμαρτιας 1°] αμαρτιαις A* | αμαρτιας 2°] αμαρτιαις ℵAQΓ 2 Εγυπτον ℵ* (Αιγ. ℵ$^{c.a, c.b}$) | om δε ℵ* (hab ℵ$^{c.a, c.b}$) | επερωτησαν] επηρωτησαν B^{ab} ℵA ηρωτησαν O | βοηθηναι ℵ* (βοηθηθ. ℵ$^{c.a}$) 3 σκεπη] pr η ℵAOQ | ονειδος (οα incep ℵ* α improb ℵ$^{1 vid}$ postea ras)] pr εις O 4 Τανι ℵ | αρχηγοι] + οι γ' ※ αυτου Q^{mg} | αγγελοι] + οι γ' ※ αυτου Q^{mg} 4—5 πονηροι...ονειδος sup ras ℵ^{1} (propter membranae vitium ut vid) 5 ματην] + οι γ' ※ παντες Q^{mg} | εις 1°] pr ουτε ℵ$^{c.b}$AQ | βοηθειαν (-θιαν ℵQ*)] + ουτε εις ωφελειαν (-λιαν ℵ$^{c.b}$Q*) ℵ$^{c.b}$AQ | αλλα] αλλ Q | αισαισχ. ℵ* 6 (tit) η ορασις] om η ℵO | τη στενοχ.] pr εν ℵA (de O non liq) | om και 3° ℵ* (hab ℵ$^{c.a}$) | εκγονα] εγγονα ℵ | ασπιδων] + πετομενων B$^{ab\,mg}$ℵAOQ | επ ονων] pr ※ Q + ※ θησαυρους αυτω Q^{mg} | επ] εφ ℵ* (επ ℵ$^{c.a, c.b}$) | καμηλων] pr θ' επι ωμων Q^{mg} | προς...αυτους] θ' επι λαον μη ωφελουντας Q^{mg} | om ο ℵ* (hab ο ℵ$^{c.a}$ ος ℵ$^{c.b}$) | αυτους] + εις βοηθειαν (-θιαν ℵQ*) αλλ (αλλα AQ) εις (ει sup ras ℵ^{1}) αισχυνην και ονειδος (ονιδ. ℵ) ℵAOQ 7 Αιγυπτιοι...ωφελησουσιν] θ' ϗ Αιγυπτος ματαια ϗ κενα βοηθησουσιν Q^{mg} 8 ημεραν ℵ* (-ρας ℵ$^{c.a, c.b}$) | ταυτα καιρω] καιρων ταυτα ℵAOQ | om εως A | αιωναν ℵ*
9 λαος] pr ο B$^{a?b}$ | του θεου] pr κ̅υ̅ Q^{mg}

B ἡμᾶς ἀπὸ τῆς ὁδοῦ ταύτης· ἀφέλετε ἀφ' ἡμῶν τὸν τρίβον τοῦτον, καὶ
ἀφέλετε ἀφ' ἡμῶν τὸ λόγιον τοῦ Ἰσραήλ. [12]διὰ τοῦτο τάδε λέγει ὁ 12
ἅγιος τοῦ Ἰσραήλ Ὅτι ἠπειθήσατε τοῖς λόγοις τούτοις καὶ ἠλπίσατε
ἐπὶ ψεύδει, καὶ ὅτι ἐγόγγυσας καὶ πεποιθὼς ἐγένου ἐπὶ τῷ λόγῳ
τούτῳ, [13]διὰ τοῦτο ἔσται ὑμῖν ἡ ἁμαρτία αὕτη ὡς τεῖχος πίπτον παρα- 13
χρῆμα πόλεως ὀχυρᾶς ἑαλωκυίας, ἧς παραχρῆμα πάρεστιν τὸ πτῶμα·
[14]καὶ τὸ πτῶμα αὐτῆς ἔσται ὡς σύντριμμα ἀγγίου ὀστρακίνου, ἐκ 14
κεραμίου λεπτὰ ὥστε μὴ εὑρεῖν ἐν αὐτοῖς ὄστρακον ἐν ᾧ πῦρ ἀρεῖς,
καὶ ἐν ᾧ ἀποσυριεῖς ὕδωρ μικρόν. [15]οὕτω λέγει κύριος Κύριος ὁ 15
ἅγιος τοῦ Ἰσραήλ Ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ καὶ
γνώσῃ ποῦ ἦσθα· ὅτε ἐπεποίθεις ἐπὶ τοῖς ματαίοις, ματαία ἡ ἰσχὺς
ὑμῶν ἐγενήθη. καὶ οὐκ ἠβούλεσθε ἀκούειν, [16]ἀλλ' εἴπατε Ἐφ' ἵππων 16
φευξόμεθα· διὰ τοῦτο φεύξεσθε· καὶ ἐπὶ κούφοις ἀναβάταις ἐσόμεθα·
διὰ τοῦτο κοῦφοι ἔσονται οἱ διώκοντες ὑμᾶς. [17]χίλιοι διὰ φωνὴν ἑνὸς 17
§ Γ φεύξονται, καὶ διὰ φωνὴν πέντε φεύξονται § πολλοί, ἕως ἂν καταλει-
φθῆτε ὡς ἱστὸς ἐπ' ὄρους, καὶ ὡς σημαίαν φέρων ἐπὶ βουνοῦ. [18]καὶ 18
πάλιν μενεῖ ὁ θεὸς τοῦ οἰκτειρῆσαι ὑμᾶς, καὶ διὰ τοῦτο ὑψωθήσεται
τοῦ ἐλεῆσαι ὑμᾶς, διότι κριτὴς Κύριος ὁ θεὸς ὑμῶν· μακάριοι οἱ ἐμμένον-
τες ἐπ' αὐτῷ. [19]Διότι λαὸς ἅγιος ἐν Σειὼν οἰκήσει· καὶ 19
Ἰερουσαλὴμ κλαυθμῷ ἔκλαυσεν Ἐλέησόν με· ἐλεήσει σε, τὴν φωνὴν

ℵAOQΓ 11 ημας] ημιν ℵ* (ημας ℵ1 et postea) | αφελετε 1°] pr και ℵc.a (improb ℵc.b) | τον τριβον] την τρ. ℵ* (τον τρ. ℵc.a, c.b) | τουτον (ν sup ras Bab)] ταυτην ℵ* (τουτον ℵc.a, c.b) 12 δια...Ισραηλ] οι γ' ※ δια τουτο ταδε λεγει ο αγιος του Ιηλ Qmg | τουτο] το ℵ* (τουτο ℵc.a, c.b) | ταδε] ουτως ℵc.b AQ | ο αγιος] pr κ̅ς̅ ℵAOQ 13 om οχυρας A | εαλωκυ|ιας B* -κυι|ας Bb εαλωκυιης ℵ εαλωκοτος O | πτωμα] + αυτης O 14 αυτης] αυτω incep ℵ* (ω improb ℵ1(vid) postea ras dein revoc) | αγγειου BbQb? | λεπτον AO | om εν 1° O | om αρεις...υδωρ ℵ* (hab ℵc.a) | και εν ω...μικρον] α' του ανασυραι υδωρ απο βοθυνου Qmg 15 ουτω (-τως AOQ)] pr οτι O pr οι γ' ※ οτι Qmg | κυριος Κυριος] om κ̅ς̅ 2° ℵA | του Ισραηλ] om του AO | στεναξη| A | και 1° bis scr ℵ* (1° improb ℵc.a, c.b) | [ο]τε επεποιθεις επι τοις] pr obel Ba (non inst Bb) | η ισχυς] om η ℵ* (hab ℵc.a) | ηβουλεσθε] εβουλ. Bcℵ (αιβουλεσθαι ℵ* εβ. ℵc.a, c.b) AQ 16 αλλ] αλλα ℵA | ειπετε Qa | ιπποις A | και] + ειπατε ℵA | επι] εκ incep ℵ* | αναβαται ℵ* (-ταις ℵc) AO 17 δια φ. ενος φευξ. χιλιοι ℵOQ και δια φ. ενος φευξ. χιλιοι A οι γ' χιλιας μια απο προσωπου επιτιμησεως (vid) ενος Qmg | om ως 1° ℵ* (hab ℵc.a) 18 οικτιρησαι ℵ | υμας 2°] ημας ℵ* (υμ. ℵc.b) O | διοτι] οτι O | Κυριος] + κ̅ς̅ Qmg | υμων] ημων Ba?c?ℵc.bAOQΓ + εστιν (om QΓ) και που καταλειψετε (-λιψεται ℵΓ -λιψετε O) την δοξαν υμων ℵAOQΓ | μακαριοι] + παντες A | ενμενοντες ℵ | επ αυτω] εν αυτοις ℵ* εν αυτω ℵc.a, c.b AOQΓ 19 αγιος sub ÷ Q | Σιων BbℵAQ | Ιελμ ℵ* Ιελημ ℵd.a | κλαυθμω (καυθμ. ℵ* vid)] pr εν O | εκλαυσεν] pr ※ ουκ α'σ' ου κλαυσεις θ' ου κλαυσετε Qmg | ελεησει] pr και AO | om σε ℵA | την φωνην της κραυγης (κραυης B*ℵ* -γης Babℵc)] την κραυγην της φωνης O της φωνης της κραυγης Q*

20 τῆς κραυγῆς σου ἡνίκα εἶδεν, ἐπήκουσέν σου. 20 καὶ δώσει Κύριος B
ὑμῖν ἄρτον θλίψεως καὶ ὕδωρ στενόν, καὶ οὐκέτι μὴ ἐγγίσωσίν σοι οἱ
πλανῶντές σε· ὅτι οἱ ὀφθαλμοί σου ὄψονται τοὺς πλανῶντάς σε,
21 21 καὶ τὰ ὦτά σου ἀκούσονται τοὺς λόγους τῶν ὀπίσω σε πλανησάντων,
οἱ λέγοντες Αὕτη ἡ ὁδός, πορευθῶμεν ἐν αὐτῇ εἴτε δεξιὰ εἴτε ἀριστερά.
22 22 καὶ μιανεῖς τὰ εἴδωλα τὰ περιηργυρωμένα καὶ περικεχρυσωμένα,
λεπτὰ ποιήσεις καὶ λικμήσεις ὡς ὕδωρ ἀποκαθημένης, καὶ ὡς κόπρον
23 ὤσεις αὐτά. 23 τότε ἔσται ὁ ὑετὸς τῷ σπέρματι τῆς γῆς σου, καὶ ὁ
ἄρτος τοῦ γενήματος τῆς γῆς σου ἔσται πλησμονὴ καὶ λιπαρός· καὶ
βοσκηθήσεταί σου τὰ κτήνη τῇ ἡμέρᾳ ἐκείνῃ τόπον πίονα καὶ εὐρύ-
24 χωρον, 24 οἱ ταῦροι ὑμῶν καὶ οἱ βόες οἱ ἐργαζόμενοι τὴν γῆν ἄχυρα
25 ἀναπεποιημένα φάγονται ἐν κριθῇ λελικμημένῃ. 25 καὶ ἔσται ἐπὶ
παντὸς ὄρους ὑψηλοῦ καὶ ἐπὶ παντὸς βουνοῦ μετεώρου ὕδωρ διαπο-
ρευόμενον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅταν ἀπόλωνται πολλοί, ὅταν πέσωσιν
26 πύργοι. 26 καὶ ἔσται τὸ φῶς τῆς σελήνης ὡς τὸ φῶς τοῦ ἡλίου, καὶ
τὸ φῶς τοῦ ἡλίου ἔσται ἑπταπλάσιον, ἐν τῇ ἡμέρᾳ ὅταν ἰάσηται
Κύριος τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ, καὶ τὴν ὀδύνην τῆς πληγῆς σου
27 ἰάσεται. 27 Ἰδοὺ τὸ ὄνομα Κυρίου ἔρχεται διὰ χρόνου, καιόμενος
θυμός· μετὰ δόξης τὸ λόγιον τῶν χειλέων αὐτοῦ, τὸ λόγιον ὀργῆς
28 πλῆρες, καὶ ἡ ὀργὴ τοῦ θυμοῦ ὡς πῦρ ἔδεται· 28 καὶ τὸ πνεῦμα αὐτοῦ
ὡς ὕδωρ ἐν φάραγγι σῦρον ἥξει ἕως τοῦ τραχήλου, καὶ διαιρεθήσεται
τοῦ ταράξαι ἔθνη ἐπὶ πλανήσει ματαίᾳ, καὶ διώξεται αὐτοὺς πλάνησις
29 καὶ λήμψεται αὐτοὺς κατὰ πρόσωπον αὐτῶν. 29 μὴ διὰ παντὸς δεῖ
ὑμᾶς εὐφραίνεσθαι, καὶ εἰσπορεύεσθαι εἰς τὰ ἅγιά μου διὰ παντὸς
ὡσεὶ ἑορτάζοντας, καὶ ὡσεὶ εὐφραινομένους εἰσελθεῖν μετὰ αὐλοῦ εἰς

19 ιδεν Γ | επηκουσεν] και ηκουσεν O 20 υμιν κ̅ς̅ Q | μη] pr ου A | σοι] ℵAOQΓ σε ℵ* (σοι ℵ^{c}) om Γ periit in O 21 λεγονται ℵ* (-τες ℵ$^{c.a, c.b}$) | δεξια] δια B* (δεξ. B$^{a\,mg\,b}$) 22 μιανεις] εξαρεις ℵ$^{c.b}$AQ* (μιαν. Q^{mg}) | περικεχρυσωμενα] pr τα ℵAQΓ | om και 3° B | om και λικμησεις Q* (hab Q^{mg}) | υδως ℵ* (υδωρ ℵ^{c}) 23 om και ο αρτος του γενηματος της γης σου ℵ* (hab ℵ$^{c.b}$) | πλησμονη] εις πλησμονην OΓ | βοσκηθησονται O | τα κτηνη σου O 24 ε βοες ℵ* οι β. ℵ$^{c.a, c.b}$ | αχυρα αναπεπ. φαγονται] φαγονται αχυρα αναπεπ. ℵAQΓ αχυρα φαγονται αναπεπ. O | om εν O | λελικμημενα ℵAQΓ (de O non liq) 25 διαπορευομενον] ιαπ sup ras ℵ^{1} -μενου Γ | οταν 2°] pr και ℵAOQΓ | πεσωσι Q 26 om και το φως του ηλιου Γ | επταπλασιον] + ※ ως το φως των επτα ημερων Q 27 ερχεται δια χρονου] δια χρονου ερχ. πολλου ℵAOQΓ οι γ′ ερχεται μακροθε̄ Q^{mg} | καιομενος θυμος] σ′ φλεγομενος ο θ. αυτου Q^{mg} | θυμος] pr ο ℵAQΓ | πληρης ℵ | η οργη] om η O | του θυμου] + μου Γ 28 του τραχ.] ου τραχ. Q* (τ superscr Q$^{1\,fort}$) | εθνη ταραξαι ℵAQΓ | πλανησις] + ματαια ℵ^{c}A | ληψεται Q 29 δει] δι Bℵ* (δει ℵ$^{c.d}$) | και εισπ. et δια παντος sub ÷ Q | om ωσει 2° ℵ* (hab ℵ$^{c.da}$)

B τὸ ὄρος Κυρίου πρὸς τὸν θεὸν τοῦ Ἰσραήλ; 30 καὶ ἀκουστὴν ποιήσει 30
Κύριος τὴν δόξαν τῆς φωνῆς αὐτοῦ καὶ τὸν θυμὸν τοῦ βραχίονος
αὐτοῦ δεῖξαι μετὰ θυμοῦ καὶ ὀργῆς καὶ φλογὸς κατεσθιούσης, κεραυ-
νώσει βιαίῳ, καὶ ὡς ὕδωρ καὶ χάλαζα συνκαταφερομένη βίᾳ. 31 διὰ 31
γὰρ τῆς φωνῆς Κυρίου ἡττηθήσονται Ἀσσύριοι, τῇ πληγῇ ᾗ ἂν πατάξῃ
αὐτούς. 32 καὶ ἔσται αὐτῷ κυκλόθεν, ὅθεν ἦν αὐτῶν ἡ ἐλπὶς τῆς 32
βοηθείας, ἐφ' ᾗ αὐτὸς πεποίθει· αὐτοὶ μετὰ τυμπάνων καὶ κιθάρας
πολεμήσουσιν αὐτὸν ἐκ μεταβολῆς. 33 σὺ γὰρ πρὸ ἡμερῶν ἀπαιτη- 33
θήσῃ· μὴ καὶ σοὶ βασιλεύειν ἡτοιμάσθη, φάραγγα βαθεῖαν, ξύλα
κείμενα, πῦρ καὶ ξύλα πολλά; ὁ θυμὸς Κυρίου ὡς φάραγξ ὑπὸ
θείου καιομένη.

1 Οὐαὶ οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις 1 XXXI
πεποιθότες καὶ ἐφ' ἅρμασιν· ἔστι γὰρ πολλά, καὶ ἐφ' ἵπποις πλῆθος
σφόδρα· καὶ οὐκ ἦσαν πεποιθότες ἐπὶ τὸν ἅγιον τοῦ Ἰσραήλ, καὶ τὸν
κύριον οὐκ ἐζήτησαν. 2 καὶ αὐτὸς σοφὸς ἦγεν ἐπ' αὐτοὺς κακά, καὶ ὁ 2
λόγος αὐτοῦ οὐ μὴ ἀθετηθῇ, καὶ ἐπαναστήσεται ἐπ' οἴκους ἀνθρώπων
πονηρῶν καὶ ἐπὶ τὴν ἐλπίδα αὐτῶν τὴν ματαίαν, 3 Αἰγύπτιον ἄνθρω- 3
πον καὶ οὐ θεόν, ἵππων σάρκας καὶ οὐκ ἔστιν βοήθεια· ὁ δὲ κύριος
ἐπάξει τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, καὶ κοπιάσουσιν οἱ βοηθοῦντες,
καὶ ἅμα πάντες ἀπολοῦνται. 4 ὅτι οὕτως εἶπέν μοι Κύριος Ὃν τρόπον 4

ℵAOQΓ 29 το ορος] om το ℵ* (hab ℵ$^{c.a}$) τον οικον A | Κυριου] pr του ℵAQ^{mg} του θυ̅ OQ*Γ | του Ισρ.] om του Γ 30 ακου|την ℵ* (ακουστ. ℵ$^{c.a}$) | Κυριος] ο θς̅ ℵAQ (κς̅ Q^{mg}) Γ ο κς̅ O | του βραχ.] om του O | om και 3° OΓ | φλογος] + πυρος Q^{mg} | βιαιω] βιαιως ℵ (βιεως ℵ* βιαι. ℵ$^{c.b}$) AOQ (de Γ non liq) | συγκαταφ. B^{ab}Q^{a} 31 δια γαρ της φωνης] α' θ' οτι απο φωνης σ' απο γαρ φ. Q^{mg} | της φωνης BQ^{mg}] om της ℵOΓ την φωνην A φωνην Q* | Ασσυριοι] pr οι A | πληγη...αυτους] om |γη η αν πατ. αυ| ℵ | παταξει AΓ 32 αυτων] αυτω ℵAOQΓ | βοηθιας ℵQ*Γ | η 2°] ης ℵ* (ς postea ras) | πεποιθει] επεποιθει (-θι ℵ* -θει ℵ$^{c.b}$) AOQΓ | τυμπανων] αυλων ℵAOQ* (τυμπ. Q^{mg}) Γ | κιθαρας (ς sup ras A^{a})] + θ' ※ κ̣ εν πολεμοις αφορισμου Q^{mg} 33 συ] σοι B^{ab} ου ℵAOQ* (συ Q^{mg}) Γ | γαρ] + συ A | απαιτηθησει ℵ (απετ. ℵ* απαιτ. ℵ$^{c.b}$) | σοι] συ B* (σοι B^{ab}) ℵA | ητοιμασθη (εθοιμ. Γ) βασιλευειν ℵAOQΓ | φαραγγαν ℵ$^{c.b}$ | βαθιαιαν ℵ* βαθιαν ℵ^{1} (-θειαν ℵ$^{d.a}$) βαθεαν O | κειμενα] καιομενα O | πυρ] πυρ' α κε θειον ℵ* (improb α κε θ. ℵ$^{1\,c.a,\,c.b}$) πυρ και θειον Γ XXXI 1 βοηθιαν ℵQ* | εφ ιπποις 1°] επιφιπποις (sic) B* (εφ ιππ. B^{b}) | εστιν ℵAOQΓ | εφ ιπποις 2°] εφ| ιππ. B* ε|φ ιππ. B^{b} | κυριον] θν̅ ℵAOQΓ | εζητησαν] εξεζητησαν ℵ (-σαι ℵ$^{*\,vid}$) AOQΓ 2 σοφως Γ | αυτους] αυτος ℵ* (-τους ℵ$^{c.a}$) 3 Εγυπτιον ℵ* (Αιγ. ℵ$^{c.a,\,c.b}$) | ανθρωπων ℵ* (-πον ℵ^{corr}) | βοηθεια (-θια ℵ)] pr η ℵ* (postea ras) | αυτου επ] ου ε sup ras A^{a} | βοηθουντες] + και πεσειται ο βοηθουμενος O et (pr ※) Q^{mg} | απολουνται παντες ℵOΓ 4 μοι] + παντες ℵ* (improb ℵ$^{1\,fort,\,c}$) | ον τροπον] + εαν ℵ$^{c.b}$A + οταν OQ$^{1?}$ (οαν Q*) σ' θ' ομοιως Q^{mg}

βοήσῃ ὁ λέων ἢ ὁ σκύμνος ἐπὶ τῇ θήρᾳ ᾗ ἔλαβεν, καὶ κεκράξῃ ἐπ' αὐτῇ B
ἕως ἐμπλησθῇ τὰ ὄρη τῆς φωνῆς αὐτοῦ, καὶ ἡττήθησαν καὶ τὸ πλῆθος
τοῦ θυμοῦ ἐπτοήθησαν, οὕτως καταβήσεται Κύριος σαβαὼθ ἐπιστρα-
5 *τεῦσαι ἐπὶ τὸ ὄρος τὸ Σειών, ἐπὶ τὰ ὄρη αὐτῆς.* [5] *ὡς ὄρνεα πετόμενα,*
οὕτως ὑπερασπιεῖ Κύριος σαβαώθ, ὑπὲρ Ἰερουσαλὴμ ὑπερασπιεῖ καὶ
6 *ἐξελεῖται, καὶ περιποιήσεται καὶ σώσει.* [6] *ἐπιστράφητε, οἱ τὴν βα-*
7 *θεῖαν βουλὴν βουλευόμενοι καὶ ἄνομον υἱοὶ Ἰσραήλ.* [7] *ὅτι τῇ ἡμέρᾳ*
ἐκείνῃ ἀπαρνήσονται οἱ ἄνθρωποι τὰ χειροποίητα αὐτῶν τὰ ἀργυρᾶ
8 *καὶ τὰ χειροποίητα τὰ χρυσᾶ ἃ ἐποίησαν*¶ *αἱ χεῖρες αὐτῶν.* [8] *καὶ* ¶ O
πεσεῖται Ἀσσούρ· οὐ μάχαιρα ἀνδρὸς οὐδὲ μάχαιρα ἀνθρώπου κατα-
φάγεται αὐτόν, καὶ φεύξεται οὐκ ἀπὸ προσώπου μαχαίρας· οἱ δὲ
9 *νεανίσκοι ἔσονται εἰς ἥττημα,* [9] *πέτρᾳ γὰρ περιλημφθήσονται ὡς χά-*
ρακι καὶ ἡττηθήσονται, ὁ δὲ φεύγων ἁλώσεται.

Τάδε λέγει Κύριος Μακάριος ὃς ἔχει ἐν Σειὼν σπέρμα καὶ οἰκείους ἐν
XXXII 1 *Ἰερουσαλήμ.* [1] *ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ*
2 *κρίσεως ἄρξουσιν.* [2] *καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ,*
καὶ κρυβήσεται ὡς ἀφ' ὕδατος φερομένου·¶ *καὶ φανήσεται ἐν Σειὼν* ¶ Γ
3 *ὡς ποταμὸς φερόμενος ἔνδοξος ἐν γῇ διψώσῃ.* [3] *καὶ οὐκέτι ἔσονται*
4 *πεποιθότες ἐπ' ἀνθρώποις, ἀλλὰ τὰ ὦτα ἀκούειν δώσουσιν·* [4] *καὶ ἡ*
καρδία τῶν ἀσθενούντων προσέξει τοῦ ἀκούειν, καὶ αἱ γλῶσσαι
5 *αἱ ψελλίζουσαι ταχὺ μαθήσονται λαλεῖν εἰρήνην·* [5] *καὶ οὐκέτι μὴ*

4 *βοησει* ℵ (-*σι* ℵ* -*σαι* ℵ^c.b) | *ο λεων*] om *ο* A | *η* 1°] *και* OQ | *η* 2°] *ην* O | *κεκραξει* O | *αυτη*] *αυτην* ℵ *αυτης* O | *εως...επτοηθησαν*] θ' *πληρη ποιμενων* ꝁ *απο της φωνης αυτων ου μη ηττηθη* ꝁ *απο του πληθους αυτων ου μη υποταγη* Q^mg | *εως*]+*αν* ℵAQΓ | *εμπλησῃ* ℵ* (*εμπλησθη* ℵ^pl post 1) *ενεπλησθη* O *ενπλησθη* Γ | *το Σειων* (*Σιων* B^bAOQΓ)] om *το* ℵOΓ | *επι* 3°] pr *και* A pr *οι* γ' *και* Q^mg 5 om *σαβαωθ* AOQ* (hab Q^mg) | Ιελ̄μ ℵ* Ιεληµ ℵ^d.a | om *υπερασπιει* 2° ℵ^c.b AOQ* (hab Q^mg) Γ σ' θ' *υπερασπιζω̄* α' *θυρεων* Q^mg | *εξελειται*]+*σε* ℵ* | *περιποιησεται*] *περιποιηθησονται* ℵ* (*περιποιησ.* ℵ^c.a, c.b) 6 *βουλευσαμενοι* A | om *υιοι Ισραηλ* ℵAO^vid Q* (*οι* γ' ※ *υιοι* Ιη̄λ Q^mg) Γ 7 *απαρνησονται*] *απαρνηθησονται* AO *αρνησονται* Q* (*απ* superscr Q^a) *απαιρουν*ς: α' *αποκρυψουσι̅* σ' *αποβαλουν*ς θ' *απωσονται* Q^mg | *οι ανθρωποι...τα χρυσα*] θ' *ανηρ τα ειδωλα αυτου αργυριου αυτου* ꝁ *τα ειδωλα του χρυσιου αυτου* Q^mg | om *τα χειροποιητα* (2°) ℵAOQ (hab pr ※ Q^mg) Γ | *αι χειρες*] *οι δακτυλοι* ℵ* (*αι χ.* ℵ^c.b) Γ | *αυτων* 2°]+α' ※ *αμαρτημα* Q^mg 8 *φευξονται* Γ | *ουκ απο* sup ras B^a.b | *απο*] *α* ℵ* (*απο* ℵ^c.a) | *μαχαιρας*] *διωκοντος* A | *νεανισκοι*]+*αυτου* ℵ^c (? a) vid (rurs ras) 9 *περιληφθ.* Q | *φευων* ℵ* (*φευγ.* ℵ^c, d.a) | *Σιων* B^bQΓ *Σιω* A | Ιλ̄μ ℵ* Ιλ̄ημ ℵ^d.a XXXII 1 *αρξουσιν*] *αρχουσιν* ℵ* (*αρξ.* ℵ^c.a et postea) 2 *αυτου*] *τουτους* A | *φερο...*Γ | *Σιων* ℵAQ 3 *ακουειν δωσουσιν* (*ω* sup ras ℵ^1 vid)] *δωσουσιν ακουειν* ℵAQ 4 *ασθενουντων*] *ασθενων* A | *προσηξει*] *προσεξει* ℵAQ | *ψελλιζουσαι ταχυ*] *σαι τα* in mg *χυ* sup ras A^a (om *ταχυ* A*) 5 *μη* 1°, 2°] pr *ου* A ℵAOQΓ

B εἴπωσιν τῷ μωρῷ ἄρχειν, καὶ οὐκέτι μὴ εἴπωσιν οἱ ὑπηρέται
σου Σίγα. 6ὁ γὰρ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ 6
μάταια νοήσει, τοῦ συντελεῖν ἄνομα καὶ λαλεῖν πρὸς Κύριον
πλάνησιν, τοῦ διασπεῖραι ψυχὰς πεινώσας, καὶ τὰς ψυχὰς τὰς
διψώσας κενὰς ποιήσει. 7ἡ γὰρ βουλὴ τῶν πονηρῶν ἄνομα βουλεύ- 7
σεται, καταφθεῖραι ταπεινοὺς ἐν λόγοις ἀδίκοις καὶ διασκεδάσαι
λόγους ταπεινῶν ἐν κρίσει. 8οἱ δὲ εὐσεβεῖς συνετὰ ἐβουλεύσαντο, 8
καὶ αὕτη ἡ βουλὴ μενεῖ. 9Γυναῖκες πλούσιαι, ἀνάστητε καὶ 9
ἀκούσατε τῆς φωνῆς μου· θυγατέρες ἐν ἐλπίδι, εἰσακούσατε λόγους
μου. 10ἡμέρας ἐνιαυτοῦ μνείαν ποιήσασθε ἐν ὀδύνῃ μετ' ἐλπίδος· 10
ἀνήλωται ὁ τρυγητός, πέπαυται, οὐκέτι μὴ ἔλθῃ. 11ἔκστητε, λυπήθητε 11
αἱ πεποιθυῖαι, ἐκδύσασθε, γυμναὶ γένεσθε, περιζώσασθε τὰς ὀσφῦς
12καὶ ἐπὶ τῶν μαστῶν κόπτεσθε, ἀπὸ ἀγροῦ ἐπιθυμήματος καὶ 12
ἀμπέλου γενήματος. 13ἡ γῆ τοῦ λαοῦ μου, ἄκανθα καὶ χόρτος ἀναβή- 13
σεται, καὶ ἐκ πάσης οἰκίας εὐφροσύνη ἀρθήσεται· πόλις πλουσία,
14οἶκοι ἐγκαταλελιμμένοι πλοῦτον πόλεως ἀφήσουσιν, οἴκους ἐπι- 14
θυμήματος· καὶ ἔσονται αἱ κῶμαι σπήλαια ἕως τοῦ αἰῶνος, εὐφροσύνη
ὄνων ἀγρίων, βοσκήματα ποιμένων, 15ἕως ἂν ἔλθῃ ἐφ' ὑμᾶς πνεῦμα 15
ἀφ' ὑψηλοῦ. καὶ ἔσται ἔρημος ὁ Χερμέλ, καὶ ὁ Χερμὲλ εἰς δρυμὸν
λογισθήσεται. 16καὶ ἀναπαύσεται ἐν τῇ ἐρήμῳ κρίμα, καὶ δικαιοσύνη 16
ἐν τῷ Καρμήλῳ κατοικήσει· 17καὶ ἔσται τὰ ἔργα τῆς δικαιοσύνης 17
εἰρήνη, καὶ κρατήσει ἡ δικαιοσύνη ἀνάπαυσιν, καὶ πεποιθότες ἕως τοῦ
αἰῶνος· 18καὶ οἰκήσει ὁ λαὸς αὐτοῦ ἐν πόλει εἰρήνης καὶ ἐνοικήσει 18

ℵAQ 6 μωρα λαλησει] ρα λαλησ sup ras A^a | αυτου] αυτων A | πλανησιν ℵ* (-σειν ℵ^{c.a} -σιν ℵ^{c.b}) | διασπειραι] διαφθειραι A | διψωσας] πινωσας ℵ* (διψ. ℵ^{c.a, c.b}) | κενας] καινας ℵ* et inst (κεν. ℵ?) | ποιησαι ℵAQ 7 βουλευσεται] βουλευεται ℵ* (-σεται ℵ^{c.a}) A οι γ' εβουλευσατο Q^{mg} | λογους] λογισμους A 9 αναστητε] + οι γ' ※ δη Q^{mg} | εισακουσατε] ακουσατε ℵ* (εισακ. ℵ^{d.a}) AQ | λογους] pr τους ℵ^{c.b} AQ α' λογιον σ' τας ρησεις θ' τα ρηματα Q^{mg} 10 μετ] μετα ℵ* A | πεπαυται...ελθη] α' συλλογη ου μη ελθη σ' εκωλυθη ινα μη ελθη Q^{mg} | πεπαυται] + ο σπορος και ℵAQ 11 εκστητε] pr ※ ευθηνουσ Q^{mg} | περιζωσασθε (π sup ras B^{a vid})] + σακκους ℵA α' ϗ ζωσασθαι Q^{mg} | οσφυς (-φυας B^{b (vid)} ℵAQ)] + υμων ℵ α' επι οσφυας Q^{mg} 12 μασθων A | απο] περι ℵ^{c.b}A α' επι θ'σ' περι Q^{mg} 13 αρθησεται sub ÷ Q 14 εγκαταλελειμμενοι B^{ab} εγκαταλεμ|μ. ℵ* (εγκαταλελιμμ. ℵ^{c. (b vid)}) | πολεων Q* (-ως Q^{mg}) | αφησουσιν (in σι ras aliq B?) οικ. επιθυμηματος] και οικους επιθυμητους αφησουσιν ℵ^{c.b}AQ | σπηλαια] in π ras aliq B? 15 ελθη] επελθη ℵAQ | υμας ημας ℵ* (υμ. ℵ^{c.b}) | εσται ερημος] inter ι et ε ras aliq B? 15—16 λογισθησεται και] in ται κ ras aliq B? 16 τω Καρμ.] in τω ras aliq B? 17 δικαιοσυνης (δικαιωσ. A)] δικαιοσυνην ℵ* (-νης ℵ^{c.a, c.b}) | πεποιθοτες...αιωνος] α'σ' πεποιθησεις (ς superscr) εως αιωνος θ' ελπις εως [τ. αιων.] Q^{mg} | πεποιθοτες pr οι ℵ* + εσονται ℵ^{c.b}A 18 οικησει] κατοικησαι ℵ (-σι) AQ | in ο λαος emend aliq ℵ^{1 vid}

19 πεποιθώς, καὶ ἀναπαύσονται μετὰ πλούτου. [19]ἡ δὲ χάλαζα ἐὰν B
καταβῇ, οὐκ ἐφ' ὑμᾶς ἥξει. καὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τοῖς δρυμοῖς
20 πεποιθότες ὡς ἐν τῇ πεδινῇ. [20]μακάριοι οἱ σπείροντες ἐπὶ πᾶν
ὕδωρ, οὗ βοῦς καὶ ὄνος πατεῖ.

XXXIII 1 [1]Οὐαὶ τοῖς ταλαιπωροῦσιν ὑμᾶς, ὑμᾶς δὲ οὐδεὶς ποιεῖ ταλαι-
πώρους, καὶ ὁ ἀθετῶν ὑμᾶς οὐκ ἀθετεῖ· ἁλώσονται οἱ ἀθετοῦντες
καὶ παραδοθήσονται, καὶ ὡς σὴς ἐφ' ἱματίου οὕτως ἡττήσονται.
2 [2]Κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν· ἐγενήθη τὸ σπέρμα
τῶν ἀπειθούντων εἰς ἀπώλειαν, ἡ δὲ σωτηρία ἡμῶν ἐν καιρῷ θλί-
3 ψεως. [3]διὰ φωνὴν τοῦ φόβου ἐξέστησαν λαοὶ ἀπὸ τοῦ φόβου σου
4 καὶ διεσπάρησαν τὰ ἔθνη. [4]νῦν δὲ συναχθήσεται τὰ σκῦλα ὑμῶν
μικροῦ καὶ μεγάλου· ὃν τρόπον ἐάν τις συναγάγῃ ἀκρίδα, οὕτως
5 ἐμπαίξουσιν ὑμῖν. [5]ἅγιος ὁ θεὸς ὁ κατοικῶν ἐν ὑψηλῷ, ἐνεπλήσθη
6 Σειὼν κρίσεως· καὶ δικαιοσύνη [6]ἐν νόμῳ παραδοθήσονται, ἐν θη-
σαυροῖς ἡ σωτηρία ἡμῶν, ἥκει σοφία καὶ ἐπιστήμη καὶ εὐσέβεια
7 πρὸς τὸν κύριον· οὗτοί εἰσιν θησαυροὶ δικαιοσύνης. [7]Ἰδοὺ δὴ
ἐν τῷ φόβῳ ὑμῶν οὗτοι φοβηθήσονται· οὓς ἐφοβεῖσθε, βοήσονται
ἀφ' ὑμῶν· ἄγγελοι ἀποσταλήσονται πικρῶς κλαίοντες, παρακα-
8 λοῦντες εἰρήνην. [8]ἐρημωθήσονται γὰρ αἱ τούτων ὁδοί· πέπαυται ὁ
φόβος τῶν ἐθνῶν, καὶ ἡ πρὸς τούτους διαθήκη αἴρεται, καὶ οὐ μὴ
9 λογισθήσεσθε αὐτοὺς ἀνθρώπους. [9]ἐπένθησεν ἡ γῆ, ᾐσχύνθη ὁ
Λίβανος, ἕλη ἐγένετο ὁ Σαρών· φανερὰ ἔσται ἡ Γαλειλαία καὶ ὁ

18 πλουτου] λ superscr A^{1} 19 εαν bis scr A | ως] om ℵ + οι A ℵAQ + οι ενοικουντες Q 20 υδω] ℵ* (υδωρ ℵ$^{c.a}$) XXXIII 1 ταλαιπωροισιν Q* (-ρουσιν Q^{a}) | δε] + γαρ ℵ* (improb ℵ$^{c.a, c.b}$) | υμας 3°] υμιν A | εφ] επι AQ | ιματιου] τ sup ras B* ιματιω ℵ | ηττησονται] ηττηθησονται ℵAQ 2 απειθουτων B* (-ντων B^{ab}) | απωλειαν (-λιαν ℵQ*)] in π ras aliq B$^{?}$ 3 φοβου 1°] + σου ℵAQ σ' κατα το εβρ. αμω α' οχλου θ' πληθυς (sic) Q^{mg} 4 υμων] ημων ℵ | μικρου και μεγαλου] pr obel B^{a} (non inst B^{b}) Q | μικρου] pr απο A | ακριδας ℵAQ + θ' ※ ως απο τω βοθυνων Q^{mg} | εμπαιξουσιν] εμπαιξονται ℵ$^{c.b (vid)}$ (postea revoc -ξουσιν) A (εμπεξ.) 5 ο θεος] pr $\overline{κς}$ Q^{mg} | υψηλοις ℵAQ | ενεπλησθη] in π ras aliq B$^{?}$ | Σιων B^{b}ℵAQ: item 14 | δικαιοσυνης ℵAQ 6 ηκει BQ^{mg}] εκει ℵ (-κι ℵ* -κει ℵ$^{c.b}$) AQ^{txt} | ευσεβια ℵQ* | κυριον] $\overline{θν}$ ℵ* ($\overline{κν}$ ℵ$^{c.b}$) 7 [υ]μων ουτοι...υμων αγ[γελοι]] pr obelos B^{a} (non inst B^{b}) ου κ' π' εβρ' B^{mg} | ουτοι] αυτοι ℵA | ους sub ÷ Q | βοησονται] φοβηθησονται ℵ$^{c.b}$AQ* (βοησ. Q^{mg}) | αγγελοι...ειρηνην] α' αγγελοι ειρηνης πικρως κλαυσονται Q^{mg} | αγγελοι] + γαρ ℵA | αποσταλησονται] + αξιουντες ειρηνην (ιρ. ℵ$^{c.a}$) ℵ$^{c.a}$AQ 8 πεπαυται (ras aliq in π 1° B$^{?}$)] + γαρ A | λογισθησεσθε BQ*] λογισησθε ℵ (λογεισ.) A λογισεσθε Q^{a} 9 επενθησεν] ομοιως οι γ' Q^{mg} | ο Σαρων] Ασαρων ℵ* (ο Σ. ℵ$^{c.b}$) ο Σααρων Q* (ο Σαρ. Q^{a}) | Γαλιλαια B^{b}ℵAQ

B Χερμέλ. 10 νῦν ἀναστήσομαι, λέγει Κύριος, νῦν δοξασθήσομαι, νῦν 10
ὑψωθήσομαι· 11 νῦν ὄψεσθε, νῦν αἰσθηθήσεσθε· ματαία ἔσται ἡ 11
ἰσχὺς τοῦ πνεύματος ὑμῶν, πῦρ κατέδεται ὑμᾶς, 12 καὶ ἔσονται 12
ἔθνη κατακεκαυμένα ὡς ἄκανθα ἐν ἀγρῷ ἐρριμμένη καὶ κατακεκαυ-
μένη. 13 Ἀκούσονται οἱ πόρρωθεν ἃ ἐποίησα, γνώσονται οἱ 13
ἐγγίζοντες τὴν ἰσχύν μου. 14 ἀπέστησαν οἱ ἐν Σειὼν ἄνομοι, λήμ- 14
ψεται τρόμος τοὺς ἀσεβεῖς· τίς ἀναγγελεῖ ὑμῖν ὅτι πῦρ καίεται; τίς
ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον; 15 πορευόμενος ἐν δικαιοσύνῃ, 15
λαλῶν εὐθεῖαν ὁδόν, μισῶν ἀνομίαν καὶ ἀδικίαν, καὶ τὰς χεῖρας ἀπο-
σειόμενος ἀπὸ δώρων, βαρύνων τὰ ὦτα ἵνα μὴ ἀκούσῃ κρίσιν αἵ-
ματος, καμμύων τοὺς ὀφθαλμοὺς ἵνα μὴ ἴδῃ ἀδικίαν, 16 οὗτος οἰκήσει 16
ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς· ἄρτος αὐτῷ δοθήσεται, καὶ τὸ
ὕδωρ αὐτοῦ πιστόν. 17 βασιλέα μετὰ δόξης ὄψεσθε, οἱ ὀφθαλμοὶ 17
ὑμῶν ὄψονται γῆν πόρρωθεν· 18 ἡ ψυχὴ ὑμῶν μελετήσει φόβον· ποῦ 18
§Γ εἰσιν οἱ γραμματικοί; ποῦ εἰσιν οἱ συμβουλεύοντες; ποῦ ἐστιν ὁ
ἀριθμῶν τοὺς τρεφομένους 19 μικρὸν καὶ μέγαν λαόν; ᾧ οὐ συνε- 19
βουλεύσατο οὐδὲ ᾔδει βαθύφωνον, ὥστε μὴ ἀκοῦσαι λαὸς πεφαυ-
λισμένος, καὶ οὐκ ἔστιν τῷ ἀκούοντι σύνεσις. 20 ἰδοὺ Σειὼν ἡ πόλις, 20
τὸ σωτήριον ἡμῶν, οἱ ὀφθαλμοί σου ὄψονται Ἰερουσαλήμ, πόλις
πλουσία, σκηναὶ αἳ οὐ μὴ σεισθῶσιν, οὐδὲ μὴ κινηθῶσιν οἱ πάσ-
σαλοι τῆς σκηνῆς αὐτῆς εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ τὰ σχοινία
αὐτῆς οὐ μὴ διαρραγῶσιν· 21 ὅτι τὸ ὄνομα Κυρίου μέγα ὑμῖν. τόπος 21
ὑμῖν ἔσται, ποταμοὶ καὶ διώρυχες πλατεῖς καὶ εὐρύχωροι· οὐ πο-
ρεύσῃ ταύτην τὴν ὁδόν, οὐδὲ πορεύσεται πλοῖον ἐλαῦνον. 22 ὁ γὰρ 22

ℵAQΓ 9 ο Χερμελ] ο Καρμηλος ℵA pr ο Καρμηλος και Q 11 αισθηθησεσθε] αισχυνθησεσθε ℵ$^{c.a}$ (-σθαι: revoc αισθ. ℵ$^{c.b}$) A αισθηθησεσθαι Q$^{*\,fort}$ αισθησεσθε Q^{a} | ματαια] + δε ℵ | υμας κατεδεται ℵAQ 12 ερισμενη ℵ* εριμμ. ℵ$^{c.a,\,c.b}$ | και κατακεκαυμενη] ϗ κ| ℵ* ϗ κατακεκαλυμενη ℵ$^{a.b,\,c.a}$ 13 εποιησε ℵ$^{*\,c.b}$ 14 λημψονται ℵ* (-ψεται ℵ$^{c.a,\,c.b}$) ληψεται Q | καιεται] και εστε ℵ* (καιεται ℵ^{c}) 15 πορευομενος] + αμωμος ℵ | λαλων] οι γ' λαλει Q^{mg} | απο] pr και ℵ* (improb ℵ$^{c.b}$) | αιματος] + αδικου Q$^{1\,mg\,dextr}$ ομοιως οι γ': αιματων Q^{mg} | ειδη Q* (ιδ. Q^{a}) | ιδικιαν B* (ιδη αδικ. B^{ab}) 16 οικηση ℵ | ισχυρας] σχυρας A 17 οι οφθ.] pr και ℵ$^{c.a}$AQ | πορωθεν ℵ 18 ημων] υμων AQ | φοβον] + κ̅υ̅ A | τρεφομενους] συστρεφ. ℵAQΓ α'θ' μεμεγαλυμμενους σ' εκτεθραμμενους Q^{mg} 19 μεγα A | συνεβουλευσαντο ℵQΓ συνεβουλευσα̅| A | ουδε ηδει βαθυφωνον] σ' ουκ οψη λαον βαρυν ε̅| χειλεσιν Q^{mg} | λαος (λος ℵ* α superscr ℵ^{1}) | πεφαυλισμενος] pr ο ℵ$^{c.a}$ (postea ras) 20 Σιων B^{b}ℵAQΓ | η πολις] om η Γ* (hab Γ^{1}) | Ιερουσαλημ] pr πολις B* (improb B^{ab}) Ι̅η̅λ̅ Γ* (Ι̅λ̅η̅μ̅ Γ^{1}) | σεισθωσιν (ω rescr ℵ^{1})] σεισ rescr A^{1} (σαλευθ. A$^{*\,fort}$) εισθωσιν Γ | ουδε 1°] ουδ ου A και ου Γ | κινηθωσιν] η rescr A^{1} | αιωναν ℵ* | διαραγωσιν ℵ* (διαρρ. ℵ$^{c.b}$) 21 τονομα A* (το ον. A^{1}) | υμιν 1°] εστιν A | διωρυγες ℵAQ* (-χες Q^{a}) Γ

θεός μου μέγας ἐστίν· οὐ παρελεύσεταί με· Κύριος κριτὴς ἡμῶν, B
Κύριος ἄρχων ἡμῶν, Κύριος βασιλεὺς ἡμῶν, Κύριος οὗτος ἡμᾶς σώ-
23 σει. 23 ἐρράγησαν τὰ σχοινία σου, ὅτι οὐκ ἐνίσχυσαν· ὁ ἱστός σου
ἔκλινεν, οὐ χαλάσει τὰ ἱστία, οὐκ ἀρεῖ σημεῖον, ἕως οὗ παραδοθῇ
24 εἰς προνομήν· τοίνυν πολλοὶ χωλοὶ προνομὴν ποιήσουσιν. 24 καὶ
οὐ μὴ εἴπωσιν Κοπιῶ ὁ λαὸς ἐνοικῶν ἐν αὐτοῖς· ἀφέθη γὰρ αὐτοῖς
ἡ ἁμαρτία.

XXXIV 1 1 Προσαγάγετε, ἔθνη, καὶ ἀκούσατε, ἄρχοντες· ἀκουσάτω ἡ γῆ
2 καὶ οἱ ἐν αὐτῇ, ἡ οἰκουμένη καὶ ὁ λαὸς ὁ ἐν αὐτῇ. 2 διότι θυμὸς
Κυρίου ἐπὶ πάντα τὰ ἔθνη καὶ ὀργὴ ἐπὶ τὸν ἀριθμὸν αὐτῶν, τοῦ
3 ἀπολέσαι αὐτοὺς καὶ παραδοῦναι αὐτοὺς εἰς σφαγήν. 3 οἱ δὲ τραυ-
ματίαι αὐτῶν ῥιφήσονται καὶ οἱ νεκροί, καὶ ἀναβήσεται αὐτῶν ἡ
4 ὀσμή, καὶ βραχήσεται τὰ ὄρη ἀπὸ τοῦ αἵματος αὐτῶν. 4 καὶ τακή-
σονται πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ ἑλιγήσεται ὡς βιβλίον
ὁ οὐρανός, καὶ πάντα τὰ ἄστρα πεσεῖται ὡς φύλλα ἐξ ἀμπέλου,
5 καὶ ὡς πίπτει φύλλα ἀπὸ συκῆς. 5 ἐμεθύσθη ἐν τῷ οὐρανῷ ἡ μά-
χαιρά μου· ἰδοὺ ἐπὶ τὴν Ἰδουμαίαν καταβήσεται καὶ ἐπὶ τὸν λαὸν
6 τῆς ἀπωλείας μετὰ κρίσεως. 6 ἡ μάχαιρα τοῦ κυρίου ἐνεπλήσθη
αἵματος, ἐπαχύνθη ἀπὸ στέατος, ἀπὸ αἵματος τράγων καὶ ἀμνῶν
καὶ ἀπὸ στέατος τράγων καὶ κριῶν. ὅτι θυσία τῷ κυρίῳ ἐν Βόσορ,
7 καὶ σφαγὴ μεγάλη ἐν τῇ Ἰδουμαίᾳ. 7 καὶ συμπεσοῦνται οἱ ἁδροὶ
μετ᾽ αὐτῶν καὶ οἱ κριοὶ καὶ οἱ ταῦροι, καὶ μεθυσθήσεται ἡ γῆ ἀπὸ
8 τοῦ αἵματος, καὶ ἀπὸ τοῦ στέατος αὐτῶν ἐμπλησθήσεται. 8 ἡμέρα
γὰρ κρίσεως Κυρίου, καὶ ἐνιαυτὸς ἀνταποδόσεως κρίσεως Σειών.

22 μεγαρ ℵ* (μεγας $ℵ^{c.a,\,c.b}$) | Κυριος 1°]+ πηρ κς A^a | ουτος] αυτος Γ ℵAQΓ
23 ενισχυσεν ℵAQ* (-σαν οι γ′ ※ ουτως Q^{mg}) | αρη Γ | ποιησωσιν AΓ 24 ει-
πωσιν] ειπη ℵAQ* (ειπωσῑ Q^{mg}) Γ | om κοπιω ℵΓ | ενοικων] pr ο ℵAQΓ
κατοικων Q* (ενοικ. Q^a) | αυτοις 1°]+ κοπιω ℵΓ XXXIV 1 αρ-
χοντες]+ ※ προσεχετε Q^{mg} | οι εν αυτη] οι ενοικουντες εν αυτ. A | η οικουμενη]
οι οικουνταις ℵ* οικουμενη $ℵ^{c.a}$ (η οικ. $ℵ^{c.b}$) 2 παντα] οι γ′ ※ παντα Q^{mg} |
εθν B* (η superscr B^{ab}) 3 και αναβησεται αυτων] adnot ου κ′ π′ εβρ′ $B^{a\,mg}$
4 om και τακησονται...ουρανων ℵAQΓ οι γ′ ※ κ̸ τακ. ... ουρανων Q^{mg} | ειλι-
γησεται $B^{bc\,(vid)}$ | ο ουρανος ως βιβλιον ℵAQ | ως 2°]+ πιπτει Q 5 εμεθυ-
σθη] pr οι γ′ ※ οτι Q^{mg} | η μαχαιρα μου εν τω ουρανω ℵAQΓ | απωλειας (-λιας
$ℵ^{c.a,\,c.b}$ Q*)] γης ℵ* | μετα κρισεως c seqq coniung Γ 6 η μαχ. του κυ
ενεπλη[σθη]] adnot ου κ′ π′ εβρ′ $B^{a\,mg}$ | του κυριου] om του ℵAQ* (hab Q^{mg})
Γ | στεατος 1°]+ αρνων ℵAQΓ | om απο αιματος τραγων και αμνων ℵAQΓ
hab σ′ ※ απο αιματος αρνων και τραγων Q^{mg} | τω κυριω] om τω ℵAQ^{mg} |
Βοσορ] pr γη A 7 συνπεσουνται ℵAQΓ | οι αδροι] om οι ℵ* (hab $ℵ^{c.b}$) |
ταυροι] αυρο sup ras $ℵ^1$ | μεθυσθησονται $Q^{*\,vid}$ | απο 2°] pr θ′ ※ το χωμα
αυτων Q^{mg} | ενπλησθησεται ℵ 8 ανταποδωσεως AΓ | Σιων B^bℵAQΓ

B τοῦτο ἰδοὺ προσθήσω τοῦ μεταθεῖναι τὸν λαὸν τοῦτον· καὶ μεταθήσω
αὐτούς, καὶ ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν
συνετῶν κρύψω. 15 Οὐαὶ οἱ βαθέως βουλὴν ποιοῦντες καὶ ἔσται 15
ἐν σκότει τὰ ἔργα αὐτῶν, καὶ ἐροῦσιν Τίς ἑόρακεν ἡμᾶς; καὶ τίς
ἡμᾶς γνώσεται ἢ ἃ ἡμεῖς ποιοῦμεν; 16 οὐχ ὡς ὁ πηλὸς τοῦ κεραμέως 16
λογισθήσεσθε; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι αὐτό Οὐ σύ με
ἔπλασας; ἢ τὸ ποίημα τῷ ποιήσαντι Οὐ συνετῶς με ἐποίησας; 17 οὐκέτι 17
μικρὸν καὶ μετατεθήσεται ὁ Λίβανος ὡς τὸ ὄρος τὸ Χερμέλ, καὶ τὸ
Χερμὲλ εἰς δρυμὸν λογισθήσεται. 18 καὶ ἀκούσονται ἐν τῇ ἡμέρᾳ 18
ἐκείνῃ κωφοὶ λόγους βιβλίου, καὶ οἱ ἐν τῷ σκότει καὶ οἱ ἐν τῇ ὁμίχλῃ,
ὀφθαλμοὶ τυφλῶν ὄψονται, 19 καὶ ἀγαλλιάσονται πτωχοὶ διὰ Κύριον ἐν 19
εὐφροσύνῃ, καὶ οἱ ἀπηλπισμένοι τῶν ἀνθρώπων ἐμπλησθήσονται
εὐφροσύνης. 20 ἐξέλιπεν ἄνομος, καὶ ἀπώλετο ὑπερήφανος, καὶ ἐξω- 20
λεθρεύθησαν οἱ ἀνομοῦντες ἐπὶ κακίᾳ, 21 καὶ οἱ ποιοῦντες ἁμαρτεῖν 21
ἀνθρώπους ἐν λόγῳ· πάντας δὲ τοὺς ἐλέγχοντας ἐν πύλαις πρόσ-
κομμα θήσουσιν, ὅτι ἐπλαγίασαν ἐν ἀδίκοις δίκαιον. 22 διὰ τοῦτο τάδε 22
λέγει Κύριος ἐπὶ τὸν οἶκον Ἰακώβ, ὃν ἀφώρισεν ἐξ Ἀβραάμ Οὐ νῦν
αἰσχυνθήσεται Ἰακώβ, οὐδὲ νῦν τὸ πρόσωπον μεταβαλεῖ· 23 ἀλλ' ὅταν 23
¶ Z ἴδωσιν τὰ τέκνα αὐτῶν τὰ ἔργα μου, δι' ἐμὲ ἁγιάσωσιν τὸ ὄνομά¶
μου, καὶ ἁγιάσωσιν τὸν ἅγιον Ἰακώβ, καὶ τὸν θεὸν τοῦ Ἰσραὴλ φοβη-
θήσονται. 24 καὶ γνώσονται πλανώμενοι τῷ πνεύματι σύνεσιν, οἱ δὲ 24

ℵAQZΓ 14 ιδου] + εγω ℵ* (improb ℵ$^{c.b}$) A | αυτους] + μεταθεσει Z | σοφων] + αυτου Z | συνετων] + αυτου Z 15 οι βαθεως βουλην ποιουντες] τοις βαθ. ποιουσιν βουλην Z | βουλην ποιουντες sub ÷ Q | ποιουντες] + και ου δια κυ̅ ουαι οι εν κρυφη (εγκρ. A) βουλην ποιουντες B$^{ab\ mg\ inf}$ ℵ (ποιουνταις ℵ* -τες ℵ$^{c.b}$) AQZΓ | εορακεν (εωρ. B^{b}) ημας] ημας εωρακεν ℵAQ^{a}Γ ημ. εορ. Q$^{*\ vid}$ Z | om η ℵΓ 16 λογισθησεται ℵ* (-θησεσθαι ℵ$^{c.a}$) | om αυτο ℵAQΓ | συ] σοι ℵ* (συ ℵ$^{c.a,\ c.b}$) 17 ουκετι] ουχι ετι Z | μικρον] + σ'θ' ※ βραχυ Q^{mg} | om το ορος Q | το Χερμελ 1°] ο Χερμελ Q ο (? το) Χελμελ Γ | το Χερμελ 2°] το Χελμελ ℵ* (Χερμ. ℵ$^{c.b}$) ο Χερμελ Z (de Γ non liq) pr το ορος ℵ$^{c.b}$AQ 18 βιβλιου] α' βιβλιου οι ο' βιβλου θ' ομοιως τοις ο' Q^{mg} | οι εν τη ομ.] om οι Q | οψονται] βλεψονται ℵ$^{c.b}$ AQ* (οψ. Q^{mg}) 19 αγαλιασ. ℵ* (αγαλλιασ. ℵ^{c}) | πτωχοι] pr οι ℵΓ | εμπλησθησονται] ευφραν|θησοντ, Q^{mg} | ευφροσυνης] + ※ κ̅ Ι̅η̅λ̅ (Ωρ.) Q^{mg} 20 εξελειπεν AQ*Γ | εξολεθρευθησαν ℵ | οι ανομουντες] pr οι γ' ※ παντες Q^{mg} 21 οι ποιουντες] om οι Γ^{vid} | ελεγ|τας ℵ* (ελεγχ. ℵ$^{c.b}$) | οτι] και ℵAQZΓ | δικαιον] οι γ' ομοιως Q^{mg} 22 ουδε...μεταβαλει] θ' ουδε νυν το προσωπον αυτου εντραπησεται Q^{mg} | προσωπον] + αυτου Z | μεταβαλει] + Ι̅η̅λ̅ ℵAQ + Ι̅σ̅λ̅ Γ 23 αλλ οταν ιδωσιν] θ' οτι εν τω ιδειν Q^{mg} | αλλ] αλλα ℵAQ | οταν] τα νυν ℵ* (οταν ℵ$^{c.a,\ c.b}$) | ιδωσιν] δωσῑ ℵ* (ιδ. ℵ$^{c.a,\ c.b}$) | αυτων] αυτου Γ* (-των Γ^{1}) | μου sup ras ℵ^{1} | αγιασουσιν bis ℵ (sed ιασο 1° sup ras ℵ^{1}) AQΓ: 1°, Z | του Ισραηλ] om του ℵ* (hab ℵ$^{c.a}$) | φοβ. c seqq coni. B 24 πλανωμενοι τω πνευματι] οι τω πν. πλαν. ℵAQΓ

γογγύζοντες μαθήσονται ὑπακούειν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι B
μαθήσονται λαλεῖν εἰρήνην.

XXX 1 ¹Οὐαὶ τέκνα ἀποστάται, λέγει Κύριος· ἐποιήσατε βουλὴν οὐ
δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου, προσθεῖναι ἁμαρ-
2 τίας ἐφ' ἁμαρτίας· ²οἱ πορευόμενοι καταβῆναι¶ εἰς Αἴγυπτον, §ἐμὲ δὲ ¶ Γ § O
οὐκ ἐπηρώτησαν, τοῦ βοηθηθῆναι ὑπὸ Φαραὼ καὶ σκεπασθῆναι ὑπὸ
3 Αἰγυπτίων. ³ἔσται γὰρ ὑμῖν σκέπη Φαραὼ εἰς αἰσχύνην, καὶ τοῖς
4 πεποιθόσιν ἐπ' Αἴγυπτον ὄνειδος. ⁴ὅτι εἰσὶν ἐν Τάνει ἀρχηγοὶ
5 ἄγγελοι πονηροί· ⁵μάτην κοπιάσουσιν πρὸς λαὸν ὃς οὐκ ὠφελήσει
αὐτοὺς εἰς βοήθειαν ἀλλὰ εἰς αἰσχύνην καὶ ὄνειδος.

Ἡ ὅρασις τῶν τετραπόδων τῶν ἐν τῇ ἐρήμῳ.

6 ⁶Ἐν τῇ θλίψει καὶ τῇ στενοχωρίᾳ λέων καὶ σκύμνος λέοντος,
ἐκεῖθεν καὶ ἀσπίδες καὶ ἔκγονα ἀσπίδων, οἳ ἔφερον ἐπ' ὄνων καὶ
καμήλων τὸν πλοῦτον αὐτῶν πρὸς ἔθνος ὃ οὐκ ὠφελήσει αὐτούς.
7 ⁷Αἰγύπτιοι μάταια καὶ κενὰ ὠφελήσουσιν ὑμᾶς· ἀπάγγειλον αὐτοῖς
8 ὅτι ματαία ἡ παράκλησις ὑμῶν αὕτη. ⁸νῦν οὖν καθίσας γράψον ἐπὶ
πυξίου ταῦτα καὶ εἰς βιβλίον, ὅτι ἔσται εἰς ἡμέρας ταῦτα καιρῷ καὶ ἕως
9 εἰς τὸν αἰῶνα. ⁹ὅτι λαὸς ἀπειθής ἐστιν, υἱοὶ ψευδεῖς οἳ οὐκ ἠβούλοντο
10 ἀκούειν τὸν νόμον τοῦ θεοῦ, ¹⁰οἱ λέγοντες τοῖς προφήταις Μὴ ἀναγ-
γέλλετε ἡμῖν, καὶ τοῖς τὰ ὁράματα ὁρῶσιν Μὴ λαλεῖτε ἡμῖν, ἀλλὰ ἡμῖν
11 λαλεῖτε καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν, ¹¹καὶ ἀποστρέψατε

24 υπακουειν]+κ̅ω̅ ℵ | και 2°...ειρηνην] pr obelos B[a] (non inst B[b]) Q[?] ℵAOQΓ
XXX 1 ουαι...Κυριος] α' ω υιοι αφισταμενοι φησι κ̅ς̅ Q[mg] | αποσταε ℵ* (-τατε ℵ[c.a, c.b]) | λεγει] pr ταδε ℵAQΓ | ου] pr και A | προσθηναι B προσθιναι ℵ (θι sup ras ℵ[1]) | αμαρτιας 1°] αμαρτιαις A* | αμαρτιας 2°] αμαρτιαις ℵAQΓ 2 Εγυπτον ℵ* (Αιγ. ℵ[c.a, c.b]) | om δε ℵ* (hab ℵ[c.a, c.b]) | επερωτησαν] επηρωτησαν B[ab] ℵA ηρωτησαν O | βοηθηναι ℵ* (βοηθηθ. ℵ[c.a]) 3 σκεπη] pr η ℵAOQ | ονειδος (οα incep ℵ* α improb ℵ[1 vid] postea ras)] pr εις O 4 Τανι ℵ | αρχηγοι]+οι γ' ※ αυτου Q[mg] | αγγελοι]+οι γ' ※ αυτου Q[mg] 4—5 πονηροι...ονειδος sup ras ℵ[1] (propter membranae vitium ut vid) 5 ματην] +οι γ' ※ παντες Q[mg] | εις 1°] pr ουτε ℵ[c.b]AQ | βοηθειαν (-θιαν ℵQ*)]+ουτε εις ωφελειαν (-λιαν ℵ[c.b]Q*) ℵ[c.b]AQ | αλλα] αλλ Q | αισαισχ. ℵ* 6 (tit) η ορασις] om η ℵO | τη στενοχ.] pr εν ℵA (de O non liq) | om και 3° ℵ* (hab ℵ[c.a]) | εκγονα] εγγονα ℵ | ασπιδων]+πετομενων B[ab mg]ℵAOQ | επ ονων] pr ※ Q+※ θησαυρους αυτω Q[mg] | επ] εφ ℵ* (επ ℵ[c.a, c.b]) | καμηλων] pr θ' επι ωμων Q[mg] | προς...αυτους] θ' επι λαον μη ωφελουντας Q[mg] | om ο ℵ* (hab ο ℵ[c.a] ος ℵ[c.b]) | αυτους]+εις βοηθειαν (-θιαν ℵQ*) αλλ (αλλα AQ) εις (ει sup ras ℵ[1]) αισχυνην και ονειδος (ονιδ. ℵ) ℵAOQ 7 Αιγυπτιοι... ωφελησουσιν] θ' ϗ Αιγυπτος ματαια ϗ κενα βοηθησουσιν Q[mg] 8 ημεραν ℵ* (-ρας ℵ[c.a, c.b]) | ταυτα καιρω] καιρων ταυτα ℵAOQ | om εως A | αιωναν ℵ*
9 λαος] pr ο B[a?b] | του θεου] pr κ̅υ̅ Q[mg]

B ἡμᾶς ἀπὸ τῆς ὁδοῦ ταύτης· ἀφέλετε ἀφ' ἡμῶν τὸν τρίβον τοῦτον, καὶ
ἀφέλετε ἀφ' ἡμῶν τὸ λόγιον τοῦ Ἰσραήλ. [12]διὰ τοῦτο τάδε λέγει ὁ 12
ἅγιος τοῦ Ἰσραήλ Ὅτι ἠπειθήσατε τοῖς λόγοις τούτοις καὶ ἠλπίσατε
ἐπὶ ψεύδει, καὶ ὅτι ἐγόγγυσας καὶ πεποιθὼς ἐγένου ἐπὶ τῷ λόγῳ
τούτῳ, [13]διὰ τοῦτο ἔσται ὑμῖν ἡ ἁμαρτία αὕτη ὡς τεῖχος πίπτον παρα- 13
χρῆμα πόλεως ὀχυρᾶς ἑαλωκυίας, ἧς παραχρῆμα πάρεστιν τὸ πτῶμα·
[14]καὶ τὸ πτῶμα αὐτῆς ἔσται ὡς σύντριμμα ἀγγίου ὀστρακίνου, ἐκ 14
κεραμίου λεπτὰ ὥστε μὴ εὑρεῖν ἐν αὐτοῖς ὄστρακον ἐν ᾧ πῦρ ἀρεῖς,
καὶ ἐν ᾧ ἀποσυριεῖς ὕδωρ μικρόν. [15]οὕτω λέγει κύριος Κύριος ὁ 15
ἅγιος τοῦ Ἰσραήλ Ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ καὶ
γνώσῃ ποῦ ἦσθα· ὅτε ἐπεποίθεις ἐπὶ τοῖς ματαίοις, ματαία ἡ ἰσχὺς
ὑμῶν ἐγενήθη. καὶ οὐκ ἠβούλεσθε ἀκούειν, [16]ἀλλ' εἴπατε Ἐφ' ἵππων 16
φευξόμεθα· διὰ τοῦτο φεύξεσθε· καὶ ἐπὶ κούφοις ἀναβάταις ἐσόμεθα·
διὰ τοῦτο κοῦφοι ἔσονται οἱ διώκοντες ὑμᾶς. [17]χίλιοι διὰ φωνὴν ἑνὸς 17
§ Γ φεύξονται, καὶ διὰ φωνὴν πέντε φεύξονται § πολλοί, ἕως ἂν καταλει-
φθῆτε ὡς ἱστὸς ἐπ' ὄρους, καὶ ὡς σημαίαν φέρων ἐπὶ βουνοῦ. [18]καὶ 18
πάλιν μενεῖ ὁ θεὸς τοῦ οἰκτειρῆσαι ὑμᾶς, καὶ διὰ τοῦτο ὑψωθήσεται
τοῦ ἐλεῆσαι ὑμᾶς, διότι κριτὴς Κύριος ὁ θεὸς ὑμῶν· μακάριοι οἱ ἐμμένον-
τες ἐπ' αὐτῷ. [19]Διότι λαὸς ἅγιος ἐν Σειὼν οἰκήσει· καὶ 19
Ἰερουσαλὴμ κλαυθμῷ ἔκλαυσεν Ἐλέησόν με· ἐλεήσει σε, τὴν φωνὴν

ℵAOQΓ 11 ημας] ημιν ℵ* (ημας ℵ$^{1 \text{ et postea}}$) | αφελετε 1°] pr και ℵ$^{c.a}$ (improb ℵ$^{c.b}$) | τον τριβον] την τρ. ℵ* (τον τρ. ℵ$^{c.a, c.b}$) | τουτον (ν sup ras B^{ab})] ταυτην ℵ* (τουτον ℵ$^{c.a, c.b}$) 12 δια...Ισραηλ] οι γ' ※ δια τουτο ταδε λεγει ο αγιος του Ιηλ Q^{mg} | τουτο] το ℵ* (τουτο ℵ$^{c.a, c.b}$) | ταδε] ουτως ℵ$^{c.b}$AQ | ο αγιος] pr κ̅ς̅ ℵAOQ 13 om οχυρας A | εαλωκυ|ιας B* -κυι|ας B^{b} εαλωκυιης ℵ εαλωκοτος O | πτωμα]+αυτης O 14 αυτης] αυτω incep ℵ* (ω improb ℵ$^{1 (vid)}$ postea ras dein revoc) | αγγειου B^{b}Q$^{b?}$ | λεπτον AO | om εν 1° O | om αρεις...υδωρ ℵ* (hab ℵ$^{c.a}$) | και εν ω...μικρον] α' του ανασυραι υδωρ απο βοθυνου Q^{mg} 15 ουτω (-τως AOQ)] pr οτι O pr οι γ' ※ οτι Q^{mg} | κυριος Κυριος] om κ̅ς̅ 2° ℵA | του Ισραηλ] om του AO | στεναξη| A | και 1° bis scr ℵ* (1° improb ℵ$^{c.a, c.b}$) | [ο]τε επεποιθεις επι τοις] pr obel B^{a} (non inst B^{b}) | η ισχυς] om η ℵ* (hab ℵ$^{c.a}$) | ηβουλεσθε] εβουλ. B^{c}ℵ (αιβουλεσθαι ℵ* εβ. ℵ$^{c.a, c.b}$) AQ 16 αλλ] αλλα ℵA | ειπετε Q^{a} | ιπποις A | και]+ειπατε ℵA | επι] εκ incep ℵ* | αναβαται ℵ* (-ταις ℵ^{c}) AO 17 δια φ. ενος φευξ. χιλιοι ℵOQ και δια φ. ενος φευξ. χιλιοι A οι γ' χιλιας μια απο προσωπου επιτιμησεως (vid) ενος Q^{mg} | om ως 1° ℵ* (hab ℵ$^{c.a}$) 18 οικτιρησαι ℵ | υμας 2°] ημας ℵ* (υμ. ℵ$^{c.b}$) O | διοτι] οτι O | Κυριος]+κ̅ς̅ Q^{mg} | υμων] ημων B$^{a?c?}$ℵ$^{c.b}$AOQΓ +εστιν (om QΓ) και που καταλειψετε (-λιψεται ℵΓ -λιψετε O) την δοξαν υμων ℵAOQΓ | μακαριοι]+παντες A | ενμενοντες ℵ | επ αυτω] εν αυτοις ℵ* εν αυτω ℵ$^{c.a, c.b}$ AOQΓ 19 αγιος sub ÷ Q | Σιων B^{b}ℵAQ | Ιελμ ℵ* Ιελημ ℵ$^{c.a}$ | κλαυθμω (καυθμ. ℵ* vid)] pr εν O | εκλαυσεν] pr ※ ουκ α'σ' ου κλαυσεις θ' ου κλαυσετε Q^{mg} | ελεησει] pr και AO | om σε ℵA | την φωνην της κραυγης (κραυης B*ℵ* -γης B^{ab}ℵ^{c})] την κραυγην της φωνης O της φωνης της κραυγης Q*

20 τῆς κραυγῆς σου ἡνίκα εἶδεν, ἐπήκουσέν σου. [20]καὶ δώσει Κύριος B
ὑμῖν ἄρτον θλίψεως καὶ ὕδωρ στενόν, καὶ οὐκέτι μὴ ἐγγίσωσίν σοι οἱ
πλανῶντές σε· ὅτι οἱ ὀφθαλμοί σου ὄψονται τοὺς πλανῶντάς σε,
21 [21]καὶ τὰ ὦτά σου ἀκούσονται τοὺς λόγους τῶν ὀπίσω σε πλανησάντων,
οἱ λέγοντες Αὕτη ἡ ὁδός, πορευθῶμεν ἐν αὐτῇ εἴτε δεξιὰ εἴτε ἀριστερά.
22 [22]καὶ μιανεῖς τὰ εἴδωλα τὰ περιηργυρωμένα καὶ περικεχρυσωμένα,
λεπτὰ ποιήσεις καὶ λικμήσεις ὡς ὕδωρ ἀποκαθημένης, καὶ ὡς κόπρον
23 ὤσεις αὐτά. [23]τότε ἔσται ὁ ὑετὸς τῷ σπέρματι τῆς γῆς σου, καὶ ὁ
ἄρτος τοῦ γενήματος τῆς γῆς σου ἔσται πλησμονὴ καὶ λιπαρός· καὶ
βοσκηθήσεταί σου τὰ κτήνη τῇ ἡμέρᾳ ἐκείνῃ τόπον πίονα καὶ εὐρύ-
24 χωρον, [24]οἱ ταῦροι ὑμῶν καὶ οἱ βόες οἱ ἐργαζόμενοι τὴν γῆν ἄχυρα
25 ἀναπεποιημένα φάγονται ἐν κριθῇ λελικμημένῃ. [25]καὶ ἔσται ἐπὶ
παντὸς ὄρους ὑψηλοῦ καὶ ἐπὶ παντὸς βουνοῦ μετεώρου ὕδωρ διαπο-
ρευόμενον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅταν ἀπόλωνται πολλοί, ὅταν πέσωσιν
26 πύργοι. [26]καὶ ἔσται τὸ φῶς τῆς σελήνης ὡς τὸ φῶς τοῦ ἡλίου, καὶ
τὸ φῶς τοῦ ἡλίου ἔσται ἑπταπλάσιον, ἐν τῇ ἡμέρᾳ ὅταν ἰάσηται
Κύριος τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ, καὶ τὴν ὀδύνην τῆς πληγῆς σου
27 ἰάσεται. [27]Ἰδοὺ τὸ ὄνομα Κυρίου ἔρχεται διὰ χρόνου, καιόμενος
θυμός· μετὰ δόξης τὸ λόγιον τῶν χειλέων αὐτοῦ, τὸ λόγιον ὀργῆς
28 πλῆρες, καὶ ἡ ὀργὴ τοῦ θυμοῦ ὡς πῦρ ἔδεται· [28]καὶ τὸ πνεῦμα αὐτοῦ
ὡς ὕδωρ ἐν φάραγγι σῦρον ἥξει ἕως τοῦ τραχήλου, καὶ διαιρεθήσεται
τοῦ ταράξαι ἔθνη ἐπὶ πλανήσει ματαίᾳ, καὶ διώξεται αὐτοὺς πλάνησις
29 καὶ λήμψεται αὐτοὺς κατὰ πρόσωπον αὐτῶν. [29]μὴ διὰ παντὸς δεῖ
ὑμᾶς εὐφραίνεσθαι, καὶ εἰσπορεύεσθαι εἰς τὰ ἅγιά μου διὰ παντὸς
ὡσεὶ ἑορτάζοντας, καὶ ὡσεὶ εὐφραινομένους εἰσελθεῖν μετὰ αὐλοῦ εἰς

19 ιδεν Γ | επηκουσεν] και ηκουσεν O 20 υμιν $\overline{κς}$ Q | μη] pr ου A | σοι] ℵAOQΓ σε ℵ* (σοι ℵ^{c}) om Γ periit in O 21 λεγονται ℵ* (-τες ℵ$^{c.a,\,c.b}$) | δεξια] δια B* (δεξ. B$^{a\,mg\,b}$) 22 μιανεις] εξαρεις ℵ$^{c.b}$AQ* (μιαν. Q^{mg}) | περικεχρυσωμενα] pr τα ℵAQΓ | om και 3° B | om και λικμησεις Q* (hab Q^{mg}) | υδωs ℵ* (υδωρ ℵ^{c}) 23 om και ο αρτος του γενηματος της γης σου ℵ* (hab ℵ$^{c.b}$) | πλησμονη] εις πλησμονην OΓ | βοσκηθησονται O | τα κτηνη σου O 24 ε βοες ℵ* οι β. ℵ$^{c.a,\,c.b}$ | αχυρα αναπεπ. φαγονται] φαγονται αχυρα αναπεπ. ℵAQΓ αχυρα φαγονται αναπεπ. O | om εν O | λελικμημενα ℵAQΓ (de O non liq) 25 διαπορευομενον] ιαπ sup ras ℵ? -μενου Γ | οταν 2°] pr και ℵAOQΓ | πεσωσι Q 26 om και το φως του ηλιου Γ | επταπλασιον] + ※ ως το φως των επτα ημερων Q 27 ερχεται δια χρονου] δια χρονου ερχ. πολλου ℵAOQΓ οι γ′ ερχεται μακροθε̄ Q^{mg} | καιομενος θυμος] σ′ φλεγομενος ο θ. αυτου Q^{mg} | θυμος] pr ο ℵAQΓ | πληρης ℵ | η οργη] om η O | του θυμου] + μου Γ 28 του τραχ.] ου τραχ. Q* (τ superscr Q$^{1\,fort}$) | εθνη ταραξαι ℵAQΓ | πλανησις] + ματαια ℵ^{c}A | ληψεται Q 29 δει] δι Bℵ* (δει ℵ$^{c.d}$) | και εισπ. et δια παντος sub ÷ Q | om ωσει 2° ℵ* (hab ℵ$^{c.\,d.a}$)

B τὸ ὄρος Κυρίου πρὸς τὸν θεὸν τοῦ Ἰσραήλ; 30 καὶ ἀκουστὴν ποιήσει 30
Κύριος τὴν δόξαν τῆς φωνῆς αὐτοῦ καὶ τὸν θυμὸν τοῦ βραχίονος
αὐτοῦ δεῖξαι μετὰ θυμοῦ καὶ ὀργῆς καὶ φλογὸς κατεσθιούσης, κεραυ-
νώσει βιαίῳ, καὶ ὡς ὕδωρ καὶ χάλαζα συνκαταφερομένη βίᾳ. 31 διὰ 31
γὰρ τῆς φωνῆς Κυρίου ἡττηθήσονται Ἀσσύριοι, τῇ πληγῇ ᾗ ἂν πατάξῃ
αὐτούς. 32 καὶ ἔσται αὐτῷ κυκλόθεν, ὅθεν ἦν αὐτῶν ἡ ἐλπὶς τῆς 32
βοηθείας, ἐφ' ᾗ αὐτὸς πεποίθει· αὐτοὶ μετὰ τυμπάνων καὶ κιθάρας
πολεμήσουσιν αὐτὸν ἐκ μεταβολῆς. 33 σὺ γὰρ πρὸ ἡμερῶν ἀπαιτη- 33
θήσῃ· μὴ καὶ σοὶ βασιλεύειν ἡτοιμάσθη, φάραγγα βαθεῖαν, ξύλα
κείμενα, πῦρ καὶ ξύλα πολλά; ὁ θυμὸς Κυρίου ὡς φάραγξ ὑπὸ
θείου καιομένη.

1 Οὐαὶ οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις 1 XXXI
πεποιθότες καὶ ἐφ' ἅρμασιν· ἔστι γὰρ πολλά, καὶ ἐφ' ἵπποις πλῆθος
σφόδρα· καὶ οὐκ ἦσαν πεποιθότες ἐπὶ τὸν ἅγιον τοῦ Ἰσραήλ, καὶ τὸν
κύριον οὐκ ἐζήτησαν. 2 καὶ αὐτὸς σοφὸς ἤγεν ἐπ' αὐτοὺς κακά, καὶ ὁ 2
λόγος αὐτοῦ οὐ μὴ ἀθετηθῇ, καὶ ἐπαναστήσεται ἐπ' οἴκους ἀνθρώπων
πονηρῶν καὶ ἐπὶ τὴν ἐλπίδα αὐτῶν τὴν ματαίαν, 3 Αἰγύπτιον ἄνθρω- 3
πον καὶ οὐ θεόν, ἵππων σάρκας καὶ οὐκ ἔστιν βοήθεια· ὁ δὲ κύριος
ἐπάξει τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, καὶ κοπιάσουσιν οἱ βοηθοῦντες,
καὶ ἅμα πάντες ἀπολοῦνται. 4 ὅτι οὕτως εἶπέν μοι Κύριος Ὃν τρόπον 4

ℵAOQΓ 29 το ορος] om το ℵ* (hab ℵ$^{c.a}$) τον οικον A | Κυριου] pr του ℵAQ^{mg} του θῡ OQ*Γ | του Ισρ.] om του Γ 30 ακου|την ℵ* (ακουστ. ℵ$^{c.a}$) | Κυριος] ο θ̅ς̅ ℵAQ (κ̅ς̅ Q^{mg}) Γ ο κ̅ς̅ O | του βραχ.] om του O | om και 3° OΓ | φλογος] + πυρος Q^{mg} | βιαιω] βιαιως ℵ (βιεως ℵ* βιαι. ℵ$^{c.b}$) AOQ (de Γ non liq) | συγκαταφ. B^{ab}Q^{a} 31 δια γαρ της φωνης] α'θ' οτι απο φωνης σ' απο γαρ φ. Q^{mg} | της φωνης BQ^{mg}] om της ℵOΓ την φωνην A φωνην Q* | Ασσυριοι] pr οι A | πληγη...αυτους] om |γη η αν πατ. αυ| ℵ | παταξει AΓ 32 αυτων] αυτω ℵAOQΓ | βοηθιας ℵQ*Γ | η 2°] ης ℵ* (ς postea ras) | πεποιθει] επεποιθει (-θι ℵ* -θει ℵ$^{c.b}$) AOQΓ | τυμπανων] αυλων ℵAOQ* (τυμπ. Q^{mg}) Γ | κιθαρας (ς sup ras A^{a})] + θ' ※ ς εν πολεμοις αφορισμου Q^{mg} 33 συ] σοι B^{ab} ου ℵAOQ* (συ Q^{mg}) Γ | γαρ] + συ A | απαιτηθησει ℵ (απετ. ℵ* απαιτ. ℵ$^{c.b}$) | σοι] συ B* (σοι B^{ab}) ℵA | ητοιμασθη (εθοιμ. Γ) βασιλευειν ℵAOQΓ | φαραγγαν ℵ$^{c.b}$ | βαθιαιαν ℵ* βαθιαν ℵ^{1} (-θειαν ℵ$^{d.a}$) βαθεαν O | κειμενα] καιομενα O | πυρ] πυρ' α κε θειον ℵ* (improb α κε θ. ℵ$^{1\,c.a,\,c.b}$) πυρ και θειον Γ XXXI 1 βοηθιαν ℵQ* | εφ ιπποις 1°] επιφιπποις (sic) B* (εφ ιππ. B^{b}) | εστιν ℵAOQΓ | εφ ιπποις 2°] εφ| ιππ. B* ε|φ ιππ. B^{b} | κυριον] θ̅ν̅ ℵAOQΓ | εζητησαν] εξεζητησαν ℵ (-σαι ℵ* vid) AOQΓ 2 σοφως Γ | αυτους] αυτος ℵ* (-τους ℵ$^{c.a}$) 3 Εγυπτιον ℵ* (Αιγ. ℵ$^{c.a,\,c.b}$) | ανθρωπων ℵ* (-πον ℵ^{corr}) | βοηθεια (-θια ℵ)] pr η ℵ* (postea ras) | αυτου επ] ου ε sup ras A^{a} | βοηθουντες] + και πεσειται ο βοηθουμενος O et (pr ※) Q^{mg} | απολουνται παντες ℵOΓ 4 μοι] + παντες ℵ* (improb ℵ$^{1\,fort.\,c}$) | ον τροπον] + εαν ℵ$^{c.b}$A + οταν OQ$^{1?}$ (οαν Q*) σ'θ' ομοιως Q^{mg}

βοήσῃ ὁ λέων ἢ ὁ σκύμνος ἐπὶ τῇ θήρᾳ ᾗ ἔλαβεν, καὶ κεκράξῃ ἐπ' αὐτῇ B
ἕως ἐμπλησθῇ τὰ ὄρη τῆς φωνῆς αὐτοῦ, καὶ ἡττήθησαν καὶ τὸ πλῆθος
τοῦ θυμοῦ ἐπτοήθησαν, οὕτως καταβήσεται Κύριος σαβαὼθ ἐπιστρα-
5 τεῦσαι ἐπὶ τὸ ὄρος τὸ Σειών, ἐπὶ τὰ ὄρη αὐτῆς. [5]ὡς ὄρνεα πετόμενα,
οὕτως ὑπερασπιεῖ Κύριος σαβαώθ, ὑπὲρ Ἰερουσαλὴμ ὑπερασπιεῖ καὶ
6 ἐξελεῖται, καὶ περιποιήσεται καὶ σώσει. [6]ἐπιστράφητε, οἱ τὴν βα-
7 θεῖαν βουλὴν βουλευόμενοι καὶ ἄνομον υἱοὶ Ἰσραήλ. [7]ὅτι τῇ ἡμέρᾳ
ἐκείνῃ ἀπαρνήσονται οἱ ἄνθρωποι τὰ χειροποίητα αὐτῶν τὰ ἀργυρᾶ
8 καὶ τὰ χειροποίητα τὰ χρυσᾶ ἃ ἐποίησαν¶ αἱ χεῖρες αὐτῶν. [8]καὶ ¶ O
πεσεῖται Ἀσσούρ· οὐ μάχαιρα ἀνδρὸς οὐδὲ μάχαιρα ἀνθρώπου κατα-
φάγεται αὐτόν, καὶ φεύξεται οὐκ ἀπὸ προσώπου μαχαίρας· οἱ δὲ
9 νεανίσκοι ἔσονται εἰς ἥττημα, [9]πέτρᾳ γὰρ περιλημφθήσονται ὡς χά-
ρακι καὶ ἡττηθήσονται, ὁ δὲ φεύγων ἁλώσεται.

Τάδε λέγει Κύριος Μακάριος ὃς ἔχει ἐν Σειὼν σπέρμα καὶ οἰκείους ἐν
XXXII 1 Ἰερουσαλήμ. [1]ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ
2 κρίσεως ἄρξουσιν. [2]καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ,
καὶ κρυβήσεται ὡς ἀφ' ὕδατος φερομένου·¶ καὶ φανήσεται ἐν Σειὼν ¶ Γ
3 ὡς ποταμὸς φερόμενος ἔνδοξος ἐν γῇ διψώσῃ. [3]καὶ οὐκέτι ἔσονται
4 πεποιθότες ἐπ' ἀνθρώποις, ἀλλὰ τὰ ὦτα ἀκούειν δώσουσιν· [4]καὶ ἡ
καρδία τῶν ἀσθενούντων προσήξει τοῦ ἀκούειν, καὶ αἱ γλῶσσαι
5 αἱ ψελλίζουσαι ταχὺ μαθήσονται λαλεῖν εἰρήνην· [5]καὶ οὐκέτι μὴ

4 βοησει ℵ (-σι ℵ* -σαι ℵ$^{c.b}$) | ο λεων] om ο A | η 1°] και OQ | η 2°] ℵAOQΓ
ην O | κεκραξει O | αυτη] αυτην ℵ αυτης O | εως...επτοηθησαν] θ' πληρη ποιμενων κ̸ απο της φωνης αυτων ου μη ηττηθη̄ κ̸ απο του πληθους αυτων ου μη υποταγη Q^{mg} | εως]+αν ℵAQΓ | εμπληση ℵ* (εμπλησθη ℵ$^{pl post 1}$) ενεπλησθη O ενπλησθη Γ | το Σειων (Σιων B^{b}AOQΓ)] om το ℵOΓ | επι 3°] pr και A pr οι γ' και Q^{mg} 5 om σαβαωθ AOQ* (hab Q^{mg}) | Ιελμ ℵ* Ιελημ ℵ$^{d.a}$ | om υπερασπιει 2° ℵ$^{c.b}$ AOQ* (hab Q^{mg}) Γ σ' θ' υπερασπιζω̄ α' θυρεων Q^{mg} | εξελειται]+σε ℵ* | περιποιησεται] περιποιηθησονται ℵ* (περιποιησ. ℵ$^{c.a, c.b}$) 6 βουλευσαμενοι A | om υιοι Ισραηλ ℵAO^{vid}Q* (οι γ' ※ υιοι Ιηλ Q^{mg}) Γ 7 απαρνησονται] απαρνηθησονται AO αρνησονται Q* (απ superscr Q^{a}) απαιρουσι: α' αποκρυψουσῑ σ' αποβαλουσι θ' απωσονται Q^{mg} | οι ανθρωποι...τα χρυσα] θ' ανηρ τα ειδωλα αυτου αργυριου αυτου κ̸ τα ειδωλα του χρυσιου αυτου Q^{mg} | om τα χειροποιητα (2°) ℵAOQ (hab pr ※ Q^{mg}) Γ | αι χειρες] οι δακτυλοι ℵ* (αι χ. ℵ$^{c.b}$) Γ | αυτων 2°]+α' ※ αμαρτημα Q^{mg} 8 φευξονται Γ | ουκ απο sup ras B$^{a.b}$ | απο] α ℵ* (απο ℵ$^{c.a}$) | μαχαιρας] διωκοντος A | νεανισκοι]+αυτου ℵ$^{c (? a) vid}$ (rurs ras) 9 περιληφθ. Q | φευων ℵ* (φευγ. ℵ$^{c, d.a}$) | Σιων B^{b}QΓ Σιω A | Ιλμ ℵ* Ιλημ ℵ$^{d.a}$ XXXII 1 αρξουσιν] αρχουσιν ℵ* (αρξ. ℵ$^{c.a et postea}$) 2 αυτου] τουτους A | φερο...Γ | Σιων ℵAQ 3 ακουειν δωσουσιν (ω sup ras ℵ$^{1 vid}$)] δωσουσιν ακουειν ℵAQ 4 ασθενουντων] ασθενων A | προσηξει] προσεξει ℵAQ | ψελλιζουσαι ταχυ] σαι τα in mg χυ sup ras A^{a} (om ταχυ A*) 5 μη 1°, 2°] pr ου A

B εἴπωσιν τῷ μωρῷ ἄρχειν, καὶ οὐκέτι μὴ εἴπωσιν οἱ ὑπηρέται
σου Σίγα. [6]ὁ γὰρ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ 6
μάταια νοήσει, τοῦ συντελεῖν ἄνομα καὶ λαλεῖν πρὸς Κύριον
πλάνησιν, τοῦ διασπεῖραι ψυχὰς πεινώσας, καὶ τὰς ψυχὰς τὰς
διψώσας κενὰς ποιήσει. [7]ἡ γὰρ βουλὴ τῶν πονηρῶν ἄνομα βουλεύ- 7
σεται, καταφθεῖραι ταπεινοὺς ἐν λόγοις ἀδίκοις καὶ διασκεδάσαι
λόγους ταπεινῶν ἐν κρίσει. [8]οἱ δὲ εὐσεβεῖς συνετὰ ἐβουλεύσαντο, 8
καὶ αὕτη ἡ βουλὴ μενεῖ. [9]Γυναῖκες πλούσιαι, ἀνάστητε καὶ 9
ἀκούσατε τῆς φωνῆς μου· θυγατέρες ἐν ἐλπίδι, εἰσακούσατε λόγους
μου. [10]ἡμέρας ἐνιαυτοῦ μνείαν ποιήσασθε ἐν ὀδύνῃ μετ' ἐλπίδος· 10
ἀνήλωται ὁ τρυγητός, πέπαυται, οὐκέτι μὴ ἔλθῃ. [11]ἔκστητε, λυπήθητε 11
αἱ πεποιθυῖαι, ἐκδύσασθε, γυμναὶ γένεσθε, περιζώσασθε τὰς ὀσφῦς
[12]καὶ ἐπὶ τῶν μαστῶν κόπτεσθε, ἀπὸ ἀγροῦ ἐπιθυμήματος καὶ 12
ἀμπέλου γενήματος. [13]ἡ γῆ τοῦ λαοῦ μου, ἄκανθα καὶ χόρτος ἀναβή- 13
σεται, καὶ ἐκ πάσης οἰκίας εὐφροσύνη ἀρθήσεται· πόλις πλουσία,
[14]οἶκοι ἐγκαταλελιμμένοι πλοῦτον πόλεως ἀφήσουσιν, οἴκους ἐπι- 14
θυμήματος· καὶ ἔσονται αἱ κῶμαι σπήλαια ἕως τοῦ αἰῶνος, εὐφροσύνη
ὄνων ἀγρίων, βοσκήματα ποιμένων, [15]ἕως ἂν ἔλθῃ ἐφ' ὑμᾶς πνεῦμα 15
ἀφ' ὑψηλοῦ. καὶ ἔσται ἔρημος ὁ Χερμέλ, καὶ ὁ Χερμὲλ εἰς δρυμὸν
λογισθήσεται. [16]καὶ ἀναπαύσεται ἐν τῇ ἐρήμῳ κρίμα, καὶ δικαιοσύνη 16
ἐν τῷ Καρμήλῳ κατοικήσει· [17]καὶ ἔσται τὰ ἔργα τῆς δικαιοσύνης 17
εἰρήνη, καὶ κρατήσει ἡ δικαιοσύνη ἀνάπαυσιν, καὶ πεποιθότες ἕως τοῦ
αἰῶνος· [18]καὶ οἰκήσει ὁ λαὸς αὐτοῦ ἐν πόλει εἰρήνης καὶ ἐνοικήσει 18

ℵAQ 6 μωρα λαλησει] ρα λαλησ sup ras A^{a} | αυτου] αυτων A | πλανησεν ℵ* (-σειν ℵ$^{c.a}$ -σιν ℵ$^{c.b}$) | διασπειραι] διαφθειραι A | διψωσας] πινωσας ℵ* (διψ. ℵ$^{c.a, c.b}$) | κενας] καινας ℵ* et inst (κεν. ℵ$^{?}$) | ποιησαι ℵAQ 7 βουλευσεται] βουλευεται ℵ* (-σεται ℵ$^{c.a}$) A οι γ' εβουλευσατο Q^{mg} | λογους] λογισμους A 9 αναστητε] + οι γ' ※ δη Q^{mg} | εισακουσατε] ακουσατε ℵ* (εισακ. ℵ$^{c.a}$) AQ | λογους] pr τους ℵ$^{c.b}$ AQ α' λογιον σ' τας ρησεις θ' τα ρηματα Q^{mg} 10 μετ] μετα ℵ* A | πεπαυται...ελθη] α' συλλογη ου μη ελθη σ' εκωλυθη ινα μη ελθη Q^{mg} | πεπαυται] + ο σπορος και ℵAQ 11 εκστητε] pr ※ ευθηνους Q^{mg} | περιζωσασθε (π sup ras B$^{a vid}$)] + σακκους ℵA α' ϗ ζωσασθαι Q^{mg} | οσφυς (-φυας B$^{b (vid)}$ ℵAQ)] + υμων ℵ α' επι οσφυας Q^{mg} 12 μασθων A | απο] περι ℵ$^{c.b}$A α' επι θ' σ' περι Q^{mg} 13 αρθησεται sub ÷ Q 14 εγκαταλελειμμενοι B^{ab} εγκαταλεμ|μ. ℵ* (εγκαταλελιμμ. ℵ$^{c. (b vid)}$) | πολεων Q* (-ως Q^{mg}) | αφησουσιν (in σι ras aliq B$^{?}$) οικ. επιθυμηματος] και οικους επιθυμητους αφησουσιν ℵ$^{c.b}$AQ | σπηλαια] in π ras aliq B$^{?}$ 15 ελθη] επελθη ℵAQ | υμας ημας ℵ* (υμ. ℵ$^{c.b}$) | εσται ερημος] inter ι et ε ras aliq B$^{?}$ 15—16 λογισθησεται και] in ται κ ras aliq B$^{?}$ 16 τω Καρμ.] in τω ras aliq B$^{?}$ 17 δικαιοσυνης (δικαιωσ. A)] δικαιοσυνην ℵ* (-νης ℵ$^{c.a, c.b}$) | πεποιθοτες...αιωνος] α'σ' πεποιθησεις (ς superscr) εως αιωνος θ' ελπις εως [τ. αιων.] Q^{mg} | πεποιθοτες pr οι ℵ* + εσονται ℵ$^{c.b}$A 18 οικησει] κατοικησαι ℵ (-σι) AQ | in ο λαος emend aliq ℵ$^{1 vid}$

19 πεποιθώς, καὶ ἀναπαύσονται μετὰ πλούτου. [19] ἡ δὲ χάλαζα ἐὰν B
καταβῇ, οὐκ ἐφ' ὑμᾶς ἥξει. καὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τοῖς δρυμοῖς
20 πεποιθότες ὡς ἐν τῇ πεδινῇ. [20] μακάριοι οἱ σπείροντες ἐπὶ πᾶν
ὕδωρ, οὗ βοῦς καὶ ὄνος πατεῖ.

XXXIII 1 [1] Οὐαὶ τοῖς ταλαιπωροῦσιν ὑμᾶς, ὑμᾶς δὲ οὐδεὶς ποιεῖ ταλαι-
πώρους, καὶ ὁ ἀθετῶν ὑμᾶς οὐκ ἀθετεῖ· ἁλώσονται οἱ ἀθετοῦντες
καὶ παραδοθήσονται, καὶ ὡς σὴς ἐφ' ἱματίου οὕτως ἡττήσονται.
2 [2] Κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν· ἐγενήθη τὸ σπέρμα
τῶν ἀπειθούντων εἰς ἀπώλειαν, ἡ δὲ σωτηρία ἡμῶν ἐν καιρῷ θλί-
3 ψεως. [3] διὰ φωνὴν τοῦ φόβου σου ἐξέστησαν λαοὶ ἀπὸ τοῦ φόβου σου
4 καὶ διεσπάρησαν τὰ ἔθνη. [4] νῦν δὲ συναχθήσεται τὰ σκῦλα ὑμῶν
μικροῦ καὶ μεγάλου· ὃν τρόπον ἐάν τις συναγάγῃ ἀκρίδα, οὕτως
5 ἐμπαίξουσιν ὑμῖν. [5] ἅγιος ὁ θεὸς ὁ κατοικῶν ἐν ὑψηλῷ, ἐνεπλήσθη
6 Σειὼν κρίσεως· καὶ δικαιοσύνη [6] ἐν νόμῳ παραδοθήσονται, ἐν θη-
σαυροῖς ἡ σωτηρία ἡμῶν, ἥκει σοφία καὶ ἐπιστήμη καὶ εὐσέβεια
7 πρὸς τὸν κύριον· οὗτοί εἰσιν θησαυροὶ δικαιοσύνης. [7] Ἰδοὺ δὴ
ἐν τῷ φόβῳ ὑμῶν οὗτοι φοβηθήσονται· οὓς ἐφοβεῖσθε, βοήσονται
ἀφ' ὑμῶν· ἄγγελοι ἀποσταλήσονται πικρῶς κλαίοντες, παρακα-
8 λοῦντες εἰρήνην. [8] ἐρημωθήσονται γὰρ αἱ τούτων ὁδοί· πέπαυται ὁ
φόβος τῶν ἐθνῶν, καὶ ἡ πρὸς τούτους διαθήκη αἴρεται, καὶ οὐ μὴ
9 λογισθήσεσθε αὐτοὺς ἀνθρώπους. [9] ἐπένθησεν ἡ γῆ, ᾐσχύνθη ὁ
Λίβανος, ἕλη ἐγένετο ὁ Σαρών· φανερὰ ἔσται ἡ Γαλειλαία καὶ ὁ

18 πλουτου] λ superscr A^{1} 19 εαν bis scr A | ως] om ℵ +οι A ℵAQ +οι ενοικουντες Q 20 υδω] ℵ* (υδωρ ℵ$^{c.a}$) XXXIII 1 ταλαιπωροισιν Q* (-ρουσιν Q^{a}) | δε]+γαρ ℵ* (improb ℵ$^{c.a, c.b}$) | υμας 3°] υμιν A | εφ] επι AQ | ιματιου] τ sup ras B* ιματιω ℵ | ηττησονται] ηττηθησονται ℵAQ 2 απειθουτων B* (-ντων B^{ab}) | απωλειαν (-λιαν ℵQ*)] in π ras aliq B$^{?}$ 3 φοβου 1°]+σου ℵAQ σ' κατα το εβρ. αμω̄ α' οχλου θ' πληθυς (sic) Q^{mg} 4 υμων] ημων ℵ | μικρου και μεγαλου] pr obel B^{a} (non inst B^{b}) Q | μικρου] pr απο A | ακριδας ℵAQ + θ' ※ ως απο τω βοθυνων Q^{mg} | εμπαιξουσιν] εμπαιξονται ℵ$^{c.b\,(vid)}$ (postea revoc -ξουσιν) A (εμπεξ.) 5 ο θεος] pr κ̅ς̅ Q^{mg} | υψηλοις ℵAQ | ενεπλησθη] in π ras aliq B$^{?}$ | Σιων B^{b}ℵAQ: item 14 | δικαιοσυνης ℵAQ 6 ηκει BQ^{mg}] εκει ℵ (-κι ℵ* -κει ℵ$^{c.b}$) AQ^{txt} | ευσεβια ℵQ* | κυριον] θ̅ν̅ ℵ* (κ̅ν̅ ℵ$^{c.b}$) 7 [υ]μων ουτοι...υμων αγ[γελοι]] pr obelos B^{a} (non inst B^{b}) ου κ' π' εβρ' B^{mg} | ουτοι] αυτοι ℵA | ους sub ÷ Q | βοησονται] φοβηθησονται ℵ$^{c.b}$AQ* (βοησ. Q^{mg}) | αγγελοι...ειρηνην] α' αγγελοι ειρηνης πικρως κλαυσονται Q^{mg} | αγγελοι]+γαρ ℵA | αποσταλησονται]+αξιουντες ειρηνην (ιρ. ℵ$^{c.a}$) ℵ$^{c.a}$AQ 8 πεπαυται (ras aliq in π 1° B$^{?}$)]+γαρ A | λογισθησεσθε BQ*] λογισησθε ℵ (λογεισ.) A λογισεσθε Q^{a} 9 επενθησεν] ομοιως οι γ' Q^{mg} | ο Σαρων] Ασαρων ℵ* (ο Σ. ℵ$^{c.b}$) ο Σααρων Q* (ο Σαρ. Q^{a}) | Γαλιλαια B^{b}ℵAQ

B Χερμέλ. [10]νῦν ἀναστήσομαι, λέγει Κύριος, νῦν δοξασθήσομαι, νῦν 10
ὑψωθήσομαι· [11]νῦν ὄψεσθε, νῦν αἰσθηθήσεσθε· ματαία ἔσται ἡ 11
ἰσχὺς τοῦ πνεύματος ὑμῶν, πῦρ κατέδεται ὑμᾶς, [12]καὶ ἔσονται 12
ἔθνη κατακεκαυμένα ὡς ἄκανθα ἐν ἀγρῷ ἐρριμμένη καὶ κατακεκαυ-
μένη. [13]Ἀκούσονται οἱ πόρρωθεν ἃ ἐποίησα, γνώσονται οἱ 13
ἐγγίζοντες τὴν ἰσχύν μου. [14]ἀπέστησαν οἱ ἐν Σειὼν ἄνομοι, λήμ- 14
ψεται τρόμος τοὺς ἀσεβεῖς· τίς ἀναγγελεῖ ὑμῖν ὅτι πῦρ καίεται; τίς
ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον; [15]πορευόμενος ἐν δικαιοσύνῃ, 15
λαλῶν εὐθεῖαν ὁδόν, μισῶν ἀνομίαν καὶ ἀδικίαν, καὶ τὰς χεῖρας ἀπο-
σειόμενος ἀπὸ δώρων, βαρύνων τὰ ὦτα ἵνα μὴ ἀκούσῃ κρίσιν αἵ-
ματος, καμμύων τοὺς ὀφθαλμοὺς ἵνα μὴ ἴδῃ ἀδικίαν, [16]οὗτος οἰκήσει 16
ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς· ἄρτος αὐτῷ δοθήσεται, καὶ τὸ
ὕδωρ αὐτοῦ πιστόν. [17]βασιλέα μετὰ δόξης ὄψεσθε, οἱ ὀφθαλμοὶ 17
ὑμῶν ὄψονται γῆν πόρρωθεν· [18]ἡ ψυχὴ ἡμῶν μελετήσει φόβον· ποῦ 18
§ Γ εἰσιν οἱ γραμματικοί; ποῦ εἰσιν οἱ συμβουλεύοντες; ποῦ ἐστιν ὁ
ἀριθμῶν τοὺς τρεφομένους [19]μικρὸν καὶ μέγαν λαόν; ᾧ οὐ συνε- 19
βουλεύσατο οὐδὲ ᾔδει βαθύφωνον, ὥστε μὴ ἀκοῦσαι λαὸς πεφαυ-
λισμένος, καὶ οὐκ ἔστιν τῷ ἀκούοντι σύνεσις. [20]Ἰδοὺ Σειὼν ἡ πόλις, 20
τὸ σωτήριον ἡμῶν, οἱ ὀφθαλμοί σου ὄψονται Ἰερουσαλήμ, πόλις
πλουσία, σκηναὶ αἳ οὐ μὴ σεισθῶσιν, οὐδὲ μὴ κινηθῶσιν οἱ πάσ-
σαλοι τῆς σκηνῆς αὐτῆς εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ τὰ σχοινία
αὐτῆς οὐ μὴ διαρραγῶσιν· [21]ὅτι τὸ ὄνομα Κυρίου μέγα ὑμῖν. τόπος 21
ὑμῖν ἔσται, ποταμοὶ καὶ διώρυχες πλατεῖς καὶ εὐρύχωροι· οὐ πο-
ρεύσῃ ταύτην τὴν ὁδόν, οὐδὲ πορεύσεται πλοῖον ἐλαῦνον. [22]ὁ γὰρ 22

ℵAQΓ 9 ο Χερμελ] ο Καρμηλος ℵA pr ο Καρμηλος και Q 11 αισθηθησεσθε] αισχυνθησεσθε ℵ$^{c.a}$ (-σθαι: revoc αισθ. ℵ$^{c.b}$) A αισθηθησεσθαι Q* ^{fort} αισθησεσθε Q^{a} | ματαια] + δε ℵ | υμας κατεδεται ℵAQ 12 ερισμενη ℵ* εριμμ. ℵ$^{c.a, c.b}$ | και κατακεκαυμενη] ϗ κ| ℵ* ϗ κατακεκαλυμενη ℵ$^{a.b, c.a}$ 13 εποιησα ℵ* $^{c.b}$ 14 λημψονται ℵ* (-ψεται ℵ$^{c.a, c.b}$) ληψεται Q | καιεται] και εστε ℵ* (καιεται ℵ^{c}) 15 πορευομενος] + αμωμος ℵ | λαλων] οι γ′ λαλει Q^{mg} | απο] pr και ℵ* (improb ℵ$^{c.b}$) | αιματος] + αδικου Q$^{1\ mg\ dextr}$ ομοιως οι γ′: αιματων Q^{mg} | ειδη Q* (ιδ. Q^{a}) | ιδικιαν B* (ιδη αδικ. B^{ab}) 16 οικηση ℵ | ισχυρας] σχυρας A 17 οι οφθ.] pr και ℵ$^{c.a}$AQ | πορωθεν ℵ 18 ημων] υμων AQ | φοβον] + $\overline{κυ}$ A | τρεφομενους] συστρεφ. ℵAQΓ α′θ′ μεμεγαλυμμενους σ′ εκτεθραμμενους Q^{mg} 19 μεγα A | συνεβουλευσαντο ℵQΓ συνεβουλευσα̅ A | ουδε ηδει βαθυφωνον] σ′ ουκ οψη λαον βαρυν ε̄| χειλεσιν Q^{mg} | λαος (λος ℵ* α superscr ℵ^{1}) | πεφαυλισμενος] pr ο ℵ$^{c.a}$ (postea ras) 20 Σιων B^{b}ℵAQΓ | η πολις] om η Γ* (hab Γ^{1}) | Ιερουσαλημ] pr πολις B* (improb B^{ab}) $\overline{Ιηλ}$ Γ* ($\overline{Ιλημ}$ Γ^{1}) | σεισθωσιν (ω rescr ℵ^{1})] σεισ rescr A^{1} (σαλευθ. A* ^{fort}) εισθωσιν Γ | ουδε 1°] ουδ ου A και ου Γ | κινηθωσιν] η rescr A^{1} | αιωναν ℵ* | διαραγωσιν ℵ* (διαρρ. ℵ$^{c.b}$) 21 τονομα A* (το ον. A^{1}) | υμιν 1°] εστιν A | διωρυγες ℵAQ* (-χες Q^{a}) Γ

θεός μου μέγας ἐστίν· οὐ παρελεύσεταί με· Κύριος κριτὴς ἡμῶν, B
Κύριος ἄρχων ἡμῶν, Κύριος βασιλεὺς ἡμῶν, Κύριος οὗτος ἡμᾶς σώ-
23 σει. [23]ἐρράγησαν τὰ σχοινία σου, ὅτι οὐκ ἐνίσχυσαν· ὁ ἱστός σου
ἔκλινεν, οὐ χαλάσει τὰ ἱστία, οὐκ ἀρεῖ σημεῖον, ἕως οὗ παραδοθῇ
24 εἰς προνομήν· τοίνυν πολλοὶ χωλοὶ προνομὴν ποιήσουσιν. [24]καὶ
οὐ μὴ εἴπωσιν Κοπιῶ ὁ λαὸς ἐνοικῶν ἐν αὐτοῖς· ἀφέθῃ γὰρ αὐτοῖς
ἡ ἁμαρτία.

XXXIV 1 [1]Προσαγάγετε, ἔθνη, καὶ ἀκούσατε, ἄρχοντες· ἀκουσάτω ἡ γῆ
2 καὶ οἱ ἐν αὐτῇ, ἡ οἰκουμένη καὶ ὁ λαὸς ὁ ἐν αὐτῇ. [2]διότι θυμὸς
Κυρίου ἐπὶ πάντα τὰ ἔθνη καὶ ὀργὴ ἐπὶ τὸν ἀριθμὸν αὐτῶν, τοῦ
3 ἀπολέσαι αὐτοὺς καὶ παραδοῦναι αὐτοὺς εἰς σφαγήν. [3]οἱ δὲ τραυ-
ματίαι αὐτῶν ῥιφήσονται καὶ οἱ νεκροί, καὶ ἀναβήσεται αὐτῶν ἡ
4 ὀσμή, καὶ βραχήσεται τὰ ὄρη ἀπὸ τοῦ αἵματος αὐτῶν. [4]καὶ τακή-
σονται πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ ἑλιγήσεται ὡς βιβλίον
ὁ οὐρανός, καὶ πάντα τὰ ἄστρα πεσεῖται ὡς φύλλα ἐξ ἀμπέλου,
5 καὶ ὡς πίπτει φύλλα ἀπὸ συκῆς. [5]ἐμεθύσθη ἐν τῷ οὐρανῷ ἡ μά-
χαιρά μου· ἰδοὺ ἐπὶ τὴν Ἰδουμαίαν καταβήσεται καὶ ἐπὶ τὸν λαὸν
6 τῆς ἀπωλείας μετὰ κρίσεως. [6]ἡ μάχαιρα τοῦ κυρίου ἐνεπλήσθη
αἵματος, ἐπαχύνθη ἀπὸ στέατος, ἀπὸ αἵματος τράγων καὶ ἀμνῶν
καὶ ἀπὸ στέατος τράγων καὶ κριῶν. ὅτι θυσία τῷ κυρίῳ ἐν Βόσορ,
7 καὶ σφαγὴ μεγάλη ἐν τῇ Ἰδουμαίᾳ. [7]καὶ συμπεσοῦνται οἱ ἁδροὶ
μετ᾽ αὐτῶν καὶ οἱ κριοὶ καὶ οἱ ταῦροι, καὶ μεθυσθήσεται ἡ γῆ ἀπὸ
8 τοῦ αἵματος, καὶ ἀπὸ τοῦ στέατος αὐτῶν ἐμπλησθήσεται. [8]ἡμέρα
γὰρ κρίσεως Κυρίου, καὶ ἐνιαυτὸς ἀνταποδόσεως κρίσεως Σειών.

22 μεγαρ ℵ* (μεγας ℵ^{c.a, c.b}) | Κυριος 1°] + π̅η̅ρ̅ κ̅ς̅ A^a | ουτος] αυτος Γ ℵAQΓ 23 ενισχυσεν ℵAQ* (-σαν οι γ′ ※ ουτως Q^{mg}) | αρη Γ | ποιησωσιν AΓ 24 ειπωσιν] ειπη ℵAQ* (ειπωσῑ Q^{mg}) Γ | om κοπιω ℵΓ | ενοικων] pr ο ℵAQΓ κατοικων Q* (ενοικ. Q^a) | αυτοις 1°] + κοπιω ℵΓ XXXIV 1 αρχοντες] + ※ προσεχετε Q^{mg} | οι εν αυτη] οι ενοικουντες εν αυτ. A | η οικουμενη] οι οικουνταις ℵ* οικουμενη ℵ^{c.a} (η οικ. ℵ^{c.b}) 2 παντα] οι γ′ ※ παντα Q^{mg} | εθν B* (η superscr B^{ab}) 3 και αναβησεται αυτων] adnot ου κ′ π′ εβρ′ B^{a mg} 4 om και τακησονται...ουρανων ℵAQΓ οι γ′ ※ ϗ τακ. ... ουρανων Q^{mg} | ειλιγησεται B^{bc (vid)} | ο ουρανος ως βιβλιον ℵAQ | ως 2°] + πιπτει Q 5 εμεθυσθη] pr οι γ′ ※ οτι Q^{mg} | η μαχαιρα μου εν τω ουρανω ℵAQΓ | απωλειας (-λιας ℵ^{c.a, c.b}Q*)] γης ℵ* | μετα κρισεως c seqq coniung Γ 6 η μαχ. του κ̅υ̅ ενεπλη[σθη]] adnot ου κ′ π′ εβρ′ B^{a mg} | του κυριου] om του ℵAQ* (hab Q^{mg}) Γ | στεατος 1°] + αρνων ℵAQΓ | om απο αιματος τραγων και αμνων ℵAQΓ hab σ′ ※ απο αιματος αρνων και τραγων Q^{mg} | τω κυριω] om τω ℵAQ^{mg} | Βοσορ] pr γη A 7 συνπεσουνται ℵAQΓ | οι αδροι] om οι ℵ* (hab ℵ^{c.b}) | ταυροι] αυρο sup ras ℵ^1 | μεθυσθησονται Q^{* vid} | απο 2°] pr θ′ ※ το χωμα αυτων Q^{mg} | ενπλησθησεται ℵ 8 ανταποδωσεως AΓ | Σιων B^bℵAQΓ

B [9]καὶ στραφήσονται αὐτῆς αἱ φάραγγες εἰς πίσσαν, καὶ ἡ γῆ αὐτῆς 9
εἰς θεῖον· καὶ ἔσται ἡ γῆ αὐτῆς ὡς πίσσα καιομένη [10]νυκτὸς καὶ 10
ἡμέρας, καὶ οὐ σβεσθήσεται εἰς τὸν αἰῶνα χρόνον, καὶ ἀναβήσεται
ὁ καπνὸς αὐτῆς ἄνω, εἰς γενεὰς αὐτῆς ἐρημωθήσεται, καὶ εἰς χρό-
νον πολύν. [11]ὄρνεα καὶ ἐχῖνοι καὶ εἴβεις καὶ κόρακες κατοικήσουσιν 11
ἐν αὐτῇ· καὶ ἐπιβληθήσεται ἐπ' αὐτὴν σπαρτίον γεωμετρίας ἐρή-
μου, καὶ ὀνοκένταυροι οἰκήσουσιν ἐν αὐτῇ. [12]οἱ ἄρχοντες αὐτῆς 12
οὐκ ἔσονται· οἱ γὰρ βασιλεῖς καὶ οἱ μεγιστᾶνες αὐτῆς ἔσονται εἰς
ἀπώλειαν. [13]καὶ ἀναφύσει εἰς τὰς πόλεις αὐτῶν ἀκάνθινα ξύλα 13
καὶ εἰς τὰ ὀχυρώματα αὐτῆς, καὶ ἔσται ἐπαύλεις σειρήνων καὶ αὐλὴ
στρουθῶν· [14]καὶ συναντήσουσιν δαιμόνια ὀνοκενταύροις καὶ βοή- 14
σονται ἕτερος πρὸς τὸν ἕτερον, ἐκεῖ ἀναπαύσονται ὀνοκένταυροι
εὑρόντες αὐτοῖς ἀνάπαυσιν· [15]ἐκεῖ ἐνόσσευσεν ἐχῖνος, καὶ ἔσωσεν 15
ἡ γῆ τὰ παιδία αὐτῆς μετὰ ἀσφαλείας· ἐκεῖ συνήντησαν ἔλαφοι καὶ
εἶδον τὰ πρόσωπα ἀλλήλων· [16]ἀριθμῷ παρῆλθον, καὶ μία αὐτῶν 16
οὐκ ἀπώλετο, ἑτέρα τὴν ἑτέραν οὐκ ἐζήτησαν, ὅτι Κύριος αὐτοῖς
ἐνετείλατο, καὶ τὸ πνεῦμα αὐτοῦ συνήγαγεν αὐτά. [17]καὶ αὐτὸς 17
ἐπιβαλεῖ αὐτοῖς κλήρους, καὶ ἡ χεὶρ αὐτοῦ διεμέρισεν βόσκεσθαι·

ℵAQΓ 9 στραφησεται Q* (ον superscr Q^{a}) | θειον] ον rescr sup ras pl litt ℵ^{1} | η γη αυτης (2°)] αυτης η γη ℵAQ | καιομενη (κεομ. Γ^{1}) ως πισσα ℵAQΓ 10 om και 2° Q | και| ου σβ in mg et sup ras A^{a} | σβεθησεται B* (σβεσθ. B^{ab}) σβεσθησονται Γ* (-θησεται Γ^{1}) | αιωναν ℵ* | αυτης 1°] ης sup ras A^{a} (αυτου A*) | εις γενεας ... ερημωθησεται] οι γ' εις γενεαν ερημ. Q^{mg} | om αυτης 2° ℵAQ* (hab Q^{mg}) | και εις χρονον πολυν] om ℵ$^{c.b}$AQ* (hab Q^{mg}) α'θ' εις νικος νικαιω σ' εις εσχατα εσχατων Q^{mg} | πολυν] + ερημωθησεται ℵ* (improb ℵ$^{c.b}$) Γ + ερημ. και ουκ εσται ο διαπορευομενος δι αυτης ℵ$^{c.a}$ (improb ℵ$^{c.b}$) + θ' ※ ουκ εστιν ο παραπορευομενος εν αυτη Q^{mg} 11 ορνεα] pr και κατοικησουσιν εν αυτη ℵQ pr και κατοικησονται εν αυτη A + και οικησουσιν εν αυτη Γ | ειβις B* ιβεις B^{a} (-βις B^{b}) AΓ | om κατοικησουσιν εν αυτη ℵAQΓ (θ' ※ κατ. εν αυτη Q^{mg}) | αυτην] αυτη ℵA | γεομετριας B* (γεωμ. B^{b}) 12 βασιλεις (γασ. ℵ* βασ. ℵ$^{c.a}$)] + αυτης ℵ$^{c.a}$AQ + θ'α' ※ καλεσουσι Q^{mg} | οι μεγιστανες] οι αρχοντες B$^{ab\,mg}$ℵAQΓ (pr οι γ' ※ παντες Q^{mg}) | αυτης 2°] pr και οι μεγιστανες ℵ$^{c.a}$Q + και οι μεγ. αυτης A | απωλιαν ℵQΓ 13 αναφυησει B$^{c?}$ℵ$^{c.a}$ (-σι) | αυτων] αυτης Q | ακανθινα] ακανθα A | om ξυλα A | επαυλις ℵ* (-λεις ℵ$^{c.b}$) QΓ 14 βοησονται (βοησουσιν ℵ* -σονται ℵ$^{c.b}$)..προς τον ετερον] α'σ' τριχιων [α'] προς ετερον αυτου θ' ορθοτριχω̄ επι τον πλησιον αυτου Q^{mg} | αναπαυσονται ονοκενταυροι] α' ανεψυξεν λιλιθ σ' ηρεμησαν λαμια Q^{mg} | ευροντες αυτοις] ευρον γαρ αυτ. ℵAQΓ α' κ ευρεν εαυτη̄ (sic) Q^{mg} 15 ασφαλιας ℵ* (-λειας ℵ$^{c.b}$Q$^{*\,vid}$) | ελαφοι συνηντησαν ℵAQ | ειδον] ιδον AΓ ειδοσαν Q | το προσωπον Γ 16 παρηλθοσαν ℵΓ | εζητησαν] εξεζητ. AΓ | ενετειλατο αυτοις AQ | om και το ℵ | αυτα] αυτας ℵ$^{c.b}$AQ* (superscr οι γ') οι ο' αυτα Q^{mg} 17 αυτοις] ι sup ras A^{a} (-τους A*)

εἰς τὸν αἰῶνα χρόνον κληρονομήσετε, γενεὰς γενεῶν ἀναπαύσονται B
ἐπ' αὐτῆς.

XXXV 1 [1]Εὐφράνθητι, ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος καὶ ἀνθείτω
2 ὡς κρίνον, [2]καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου·
ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ καὶ ἡ τιμὴ τοῦ Καρμήλου, καὶ ὁ
3 λαός μου ὄψεται τὴν δόξαν Κυρίου καὶ τὸ ὕψος τοῦ θεοῦ. [3]Ἰσχύ-
4 σατε, χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα· [4]παρακαλέσατε,
οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ· ἰσχύσατε, μὴ φοβεῖσθε· ἰδοὺ ὁ θεὸς ἡμῶν
κρίσιν ἀνταποδίδωσιν καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς.
5 [5]τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται.
6 [6]τότε ἁλεῖται ὡς ἔλαφος χωλός, τρανὴ δὲ ἔσται γλῶσσα μογιλάλων,
7 ὅτι ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ φάραγξ ἐν γῇ διψώσῃ, [7]καὶ
ἔσται ἡ ἄνυδρος εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος
8 ἔσται· ἐκεῖ εὐφροσύνη ὀρνέων, ἐπαύλεις καλάμου καὶ ἕλη. [8]ἔσται
ἐκεῖ ὁδὸς καθαρά, καὶ ὁδὸς ἁγία κληθήσεται, καὶ οὐ μὴ παρέλθῃ
ἐκεῖ ἀκάθαρτος, οὐδὲ ἔσται ἐκεῖ ὁδὸς ἀκάθαρτος· οἱ δὲ διεσπαρ-
9 μένοι πορεύσονται ἐπ' αὐτῆς, οὐ μὴ πλανηθῶσιν. [9]καὶ οὐκ ἔσται
ἐκεῖ λέων, οὐδὲ τῶν πονηρῶν θηρίων οὐ μὴ ἀναβῇ εἰς αὐτὴν οὐδὲ
10 μὴ εὑρεθῇ ἐκεῖ, ἀλλὰ πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι [10]καὶ συν-
ηγμένοι διὰ Κύριον· καὶ ἀποστραφήσονται καὶ ἥξουσιν εἰς Σειὼν
μετ' εὐφροσύνης, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν, αἴ-

17 κληρονομησα.. A κληρονομησαιτε Q^{vid} (?-σατε Q*) | γενεας] pr εις ℵAQΓ ℵ$^{c.b}$AQ | αναπαυσονται] pr και ℵΓ XXXV 1 διψωσα] pr η (superscr) A^{1} 2 η δοξα] pr και ℵAQΓ | η τιμη του Καρμηλου (Κα|μηλου ℵ* Καρμ. ℵ$^{c.a (vid), c.b}$)] [θ'] ωραιοτης του Καρμηλου ꞓ του Σαρων ουτοι οψονται την δοξαν κ̅υ̅ (pr [ex Eus. *d. e.* 301] Καρμηλος ꞓ Σαρων τοποι των αλλοφυλων) Q^{mg} 3 χειρες] χιρα incep ℵ* (χιρες ℵ^{1} χειρ. ℵ$^{c.b}$) | γω|νατα ℵ$^{* vid}$ 4 ισχυσατε] υψωσατε Q | ανταποδιδωσιν] ανταποδωσει A 6 χωλος] pr ο ℵ^{c}AQ (ομοιως οι γ' Q^{mg}) Γ | τρανη δε] και τρ. ℵAQΓ | εσται] σεται ℵ* (εσται ℵ$^{vix 1}$) | μογγιλαλων B^{ab}QΓ -λαλου Q^{mg} | υδωρ] υ rescr ℵ^{1} 7 η ανυδρος εσται (-τε ℵ* -ται ℵ$^{c.b}$) ℵAQΓ | ras εσται 2° A$^{? vid}$ | επαυλις ℵ* (-λεις ℵ$^{c.b}$) QΓ + ποιμνιων Γ | καλαμου] ποιμνιω| ℵ οι γ' καλαμων Q^{mg} | ελη 2°] pr ποιμνιων Q$^{mg vid}$ 8 εσται εκει (1°)] εκει εσται AQ | αγια] α 2° rescr ℵ^{1} (prius ut vid οs) | εσται εκει (2°)] εκει εσται A | ου μη (2°)] pr και ℵAQΓ | [α]καθαρτος (2°)...πλανη[θωσιν]] pr obelos B^{a} (non inst B^{b}) 9 των πον. θηριων] των θηριων των πον. ℵAQΓ | εις] επ ℵAQ (de Γ non liq) | εκει αλλα] ει αλλα sup ras B$^{1 fort}$ | [πορευ]σονται εν αυτη λελυ[τρωμενοι]] adnot ου κ' π' εβρ' B$^{a mg}$ 10 Κυριον] κ̅υ̅ Q^{mg} | om και 2° ℵ$^{c.b}$AQΓ | Σιων B^{b}ℵAQΓ | κεφαλης] + αυτων επι γαρ της κεφαλης B$^{ab mg}$ + αυτων· επι γαρ κεφαλης ℵ (καιφ. ℵ* κεφ. ℵ$^{c.b}$) AQΓ

B νεσις καὶ ἀγαλλίαμα, καὶ εὐφροσύνη καταλήμψεται αὐτούς· ἀπέδρα
ὀδύνη καὶ λύπη καὶ στεναγμός.

1 Καὶ ἐγένετο τοῦ τεσσαρεσκαιδεκάτου ἔτους βασιλεύοντος Ἑζεκίου 1 XXXVI
ἀνέβη Σενναχηρεὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις τῆς Ἰουδαίας
τὰς ὀχυρὰς καὶ ἔλαβεν αὐτάς. 2 καὶ ἀπέστειλεν βασιλεὺς Ἀσσυρίων 2
Ῥαβσάκην ἐκ Λαχεὶς εἰς Ἰερουσαλὴμ πρὸς τὸν βασιλέα Ἑζεκίαν μετὰ
δυνάμεως πολλῆς, καὶ ἔστη ἐν τῷ ὑδραγωγῷ τῆς κολυμβήθρας τῆς
ἄνω, ἐν τῇ ὁδῷ τοῦ ἀγροῦ τοῦ γναφέως. 3 καὶ ἐξῆλθεν πρὸς αὐ- 3
τὸν Ἐλιακεὶμ ὁ τοῦ Χελκείου ὁ οἰκονόμος καὶ Σόβνας ὁ γραμματεὺς
καὶ Ἰωὰχ ὁ τοῦ Ἀσὰφ ὁ ὑπομνηματογράφος. 4 καὶ εἶπεν αὐτοῖς 4
Ῥαβσάκης Εἴπατε Ἑζεκίᾳ Τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας βασιλεὺς
Ἀσσυρίων Τί πεποιθὼς εἶ; 5 μὴ ἐν βουλῇ καὶ λόγοις χειλέων παρά- 5
ταξις γίνεται; καὶ νῦν ἐπὶ τίνα πέποιθας ὅτι ἀπειθεῖς μοι; 6 ἰδοὺ 6
πεποιθὼς εἶ ἐπὶ τὴν ῥάβδον τὴν καλαμίνην τὴν τεθλασμένην ταύ-
την, ἐπ᾿ Αἴγυπτον· ὃς ἂν ἐπιστηρισθῇ ἐπ᾿ αὐτήν, εἰσελεύσεται εἰς
τὴν χεῖρα αὐτοῦ· οὕτως ἐστὶν Φαραὼ βασιλεὺς Αἰγύπτου καὶ πάντες
οἱ πεποιθότες ἐπ᾿ αὐτῷ. 7 εἰ δὲ λέγετε Ἐπὶ Κύριον τὸν θεὸν ἡμῶν 7
πεποίθαμεν, 8 νῦν μίχθητε τῷ κυρίῳ μου τῷ βασιλεῖ Ἀσσυρίων, 8
καὶ δώσω ὑμῖν δισχιλίαν ἵππον, εἰ δυνήσεσθε δοῦναι ἀναβάτας
ἐπ᾿ αὐτούς. 9 καὶ πῶς δύνασθε ἀποστρέψαι εἰς πρόσωπον τῶν 9
τοπαρχῶν; οἰκέται εἰσὶν οἱ πεποιθότες ἐπ᾿ Αἴγυπτον, εἰς ἵππον

ℵAQΓ 10 ευφροσυνη 2°] σωτηρια Q* (ευφρ. Q^{mg}) | καταλημψ incep ℵ* -λημψετε ℵ$^{1(vid)}$ (-ται ℵ$^{c.b}$) -λημψεται Q | κ. λυπη sub ÷ Q XXXVI 1 πολις ℵ*Q* (-λεις ℵ$^{c.b}$Q^{a}) | Ιουδαιας] Ιδουμεας ℵ* (Ιουδαιας ℵ$^{c.b}$) | ελαβεν] συνελαβεν A 2 Ραψακην ℵAQΓ pr οι γ′ ※ τον Q^{mg} | Λα(χ)ης Γ | βασιλεαν B* (-λεα B^{ab}) | Εζεκιαν] ζ rescr ℵ^{1} | δυναμεως] ν ins ℵ$^{vid\ 1}$ | υδραγωγω] γ 1° ex π fec ℵ$^{1\,vid}$ | κολυμβηθρας] υ rescr ℵ$^{1\,vid}$ 3 εξηλθε Γ | Χελκιου B^{b}ℵAQΓ | Σοβνας] Σομνας ℵAQΓ | γραμματευς] incep γραμματεο ℵ* + της δυναμεως ℵ$^{c.b}$ | Ιωαχ (Ιωχ ℵ* Ιωαχ ℵ$^{c.b}$)] Ιωαβ Γ | του Ασαφ] pr υιος Q^{mg} | ο υπομνηματογρ.] ο αναμιμνησκων Q^{mg} 4 Ραψακης ℵAQ* (Ραβσ. Q^{mg}) Γ | ειπατε] + α′σ′θ′ ※ δη προς Q^{mg} | τι] τινι ℵ$^{c.b}$Γ 5 και 1°] η ℵAQΓ | λογοις] pr εν A | τινα] τινι ℵAQΓ 6 ταυτην την τεθλασμενην Q | Εγυπτ. ℵ* (Αιγ. ℵ$^{c.b}$) bis | επιστηρισθη επ αυτην] επιστηριχθη επ αυτην A επ αυτην επιστηριχθη ℵQ (-ρισθη) Γ + ※ ανηρ Q^{mg} | ουτως] pr θ′ ※ κ τρησει αυτην Q^{mg} | αυτω] αυτον Q 7 δε] δ sup ras ℵ^{1} (δε ℵ$^{vix\ ante\ c}$) | λεγετε] ελθεται ℵ* λεγεται ℵ$^{vix\ ante\ c}$ + α′σ′θ′ ※ προς με Q^{mg} | πεποιθαμεν] + ※ ουκ αυτος εστιν ος αφειλεν Εζεκιας τα υψηλα αυτου κ τα θυσιαστηρια αυτου κ ειπε τω Ιουδα κ τη Ι̅λ̅η̅μ̅ κατα προσωπον του θυσιαστηριου τουτου προσκυνησατε Q^{mg} 8 μιχθητε] + α′σ′θ′ ※ δη Q^{mg} | τω βασιλει] om τω A | υμιν] ημιν ℵ* (υμ. ℵ$^{c.a,\,c.b}$) | δυνησεσθε] δυνησθε Q 9 εις προσωπον] το πρ. A | των τοπαρχων] τοπαρχου ενος ℵ$^{c.b}$ (locum attig vid et ℵ$^{c.a}$) AQΓ | Αιγυπτον (Εγ. ℵ* Αιγ. ℵ$^{c.b}$)] Αιγυπτιοις AQΓ

10 καὶ ἀναβάτην. [10]καὶ νῦν μὴ ἄνευ Κυρίου ἀνέβημεν ἐπὶ τὴν χώραν B
ταύτην πολεμῆσαι αὐτήν; Κύριος εἶπεν πρὸς μέ Ἀνάβηθι ἐπὶ τὴν
11 γῆν ταύτην καὶ διάφθειρον αὐτήν. [11]καὶ εἶπεν πρὸς αὐτὸν Ἐλιακεὶμ
καὶ Σόμνας καὶ Ἰώας Λάλησον πρὸς τοὺς παῖδάς σου Συριστί, ἀκού-
ομεν γὰρ ἡμεῖς, καὶ μὴ λάλει πρὸς ἡμᾶς Ἰουδαιστί· καὶ ἵνα τί
12 λαλεῖς εἰς τὰ ὦτα τῶν ἀνθρώπων ἐπὶ τῷ τείχει; [12]καὶ εἶπεν
Ῥαβσάκης πρὸς αὐτούς Μὴ πρὸς τὸν κύριον ὑμῶν ἢ πρὸς ὑμᾶς
ἀπέσταλκέν με ὁ κύριός μου λαλῆσαι τοὺς λόγους τούτους; οὐχὶ
πρὸς τοὺς ἀνθρώπους τοὺς καθημένους ἐπὶ τῷ τείχει, ἵνα φάγωσιν
13 κόπρον καὶ πίωσιν οὖρον μεθ' ὑμῶν ἅμα; [13]καὶ ἔστη Ῥαψάκης
καὶ ἀνεβόησεν φωνῇ μεγάλῃ Ἰουδαιστὶ καὶ εἶπεν Ἀκούσατε τοὺς
14 λόγους τοῦ βασιλέως τοῦ μεγάλου βασιλέως Ἀσσυρίων [14]Τάδε λέγει
ὁ βασιλεύς Μὴ ἀπατάτω ὑμᾶς Ἑζεκίας λόγοις, οὐ μὴ δύνηται ῥύ-
15 σασθαι ὑμᾶς· [15]καὶ μὴ λεγέτω ὑμῖν Ἑζεκίας ὅτι Ῥύσεται ὑμᾶς ὁ
θεός, καὶ οὐ μὴ παραδοθῇ ἡ πόλις αὕτη ἐν χειρὶ βασιλέως Ἀσσυ-
16 ρίων· [16]μὴ ἀκούετε Ἑζεκίου. τάδε λέγει ὁ βασιλεὺς Ἀσσυρίων Εἰ
βούλεσθε εὐλογηθῆναι, ἐκπορεύεσθε πρὸς μέ, καὶ φάγεσθε ἕκαστος
τὴν ἄμπελον αὐτοῦ καὶ τὰς συκᾶς, καὶ πίεσθε ὕδωρ τοῦ χαλκοῦ
17 ὑμῶν, [17]ἕως ἂν ἔλθω καὶ λάβω ὑμᾶς εἰς γῆν ὡς ἡ γῆ ὑμῶν, γῆ
18 σίτου καὶ οἴνου καὶ ἄρτων §καὶ ἀμπελώνων. [18]μὴ ἀπατάτω ὑμᾶς § O

10 πολεμησαι] πολεμησει (-σε ℵ^{*txt} -σι ℵ^{*comm}) ℵ$^{c.b}$ | om Κυριος ειπεν ℵAOQΓ ...αυτην A (in fin col) Q totum loc asteriscis adfec ℵ$^{c.b}$ οι γ' ※ κ̅ς̅ ειπε ...αυτην Q^{mg} | επι την γην...αυτην] και καταφθιρον (-φθειρ. ℵ$^{c.b}$) την γην ταυτην ℵ και καταφθιρον αυτην Γ 11 Ελιακειμ] + ο του Χελκιου ℵ^{mg} [ο ℵ^{1}, τ. Χ. ℵ$^{1? a.b?}$] (improb ℵ$^{c.b}$) Γ | και 2°] pr ο οικονομος ℵ* (improb ℵ$^{c.b}$) Γ | Σομνας (Σοβν. Q^{mg})] + ο γραμματευς ℵAΓ | om και Ιωας ℵ*Γ και Ιωαχ ℵ$^{c.b}$AQ | λαλησον] + α'θ'σ' ※ δη Q^{mg} | τους παιδας] pr ημας Γ | Συριστει A | om γαρ Q* (hab Q^{1mg}) | λαλει] λαλη Γ | Ιουδαιστει Q* | τ. ανθρωπων] τ. ανδρων A sub ÷ Q | επι τω τειχει] pr των ℵQ*Γ pr των καθημενων A pr [των] εστηκοτων (εστ. sub ÷) Q^{mg} 12 Ραβσακης προς αυτους] Ραψ. προς αυτ. ℵQ* (Ραβσ. Q^{mg}) Γ προς αυτους Ραψ. A | ημας B* (υμ. B^{ab}) | om λαλησαι τους λογους τουτους ℵ$^{c.b(vid)}$ (idem fort postea ras uncos) Q* (hab Q^{mg}) Γ | ανθρωπους] ανδρας A | τειχει] incep τιχη ℵ* (improb η ℵ^{1vid}) | κοπρον] α'σ'θ' ※ την [κ.] αυτων Q^{mg} | ουρον (-ραν ℵ* -ρον ℵ^{c})] + α'σ'θ' ※ αυτω̅ Q^{mg} | μεθ υμων] μεθυων ℵ^{*vid} 13 Ραβσακης Q^{mg} | ανεβοησεν] εβοησεν ℵAQΓ | Ιουδαιστι] pr η Γ | om και ειπεν ℵΓ^{vid} | ακουσατε] + ※ δη Q^{mg} | του βασ.] bis scr B* (non inst 2° B^{b}) τους β. ℵ* + Ασσυριων ℵ* (om ℵ^{c}) | om βασιλεως Ασσυριων ℵ* (hab ℵ^{c}) 14 ταδε λεγει ο βασιλευς unc incl ℵ$^{c.b}$ om ο βασ. Γ | υμας απατατω A | ου μη δυνηται] οι ου δυνησονται ℵQ (λ. οι sub ÷) Γ οι ου μη δυνησονται A 15 ϗ μη λεγετω sup ras ℵ^{1} | ρυσεται] pr ※ κ̅ς̅ Q^{mg} 16 ταδε] pr οτι ℵ | υδωρ] υ sup ras A^{a} | του χαλκου] του λακκου ℵAQ εκ του λ. Γ 17 αν] εαν Q* (αν Q^{a}) | οινου] + ※ γην Q^{mg} 18 μη] η O^{vid} | υμας απατατω ℵAOQΓ

B Ἑζεκίας λέγων Ὁ θεὸς ῥύσεται ὑμᾶς. μὴ ἐρρύσαντο οἱ θεοὶ τῶν
ἐθνῶν ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρὸς βασιλέως Ἀσσυρίων;
[19]ποῦ ἐστιν ὁ θεὸς Ἐμὰθ καὶ Ἀρφάθ; καὶ ποῦ ὁ θεὸς τῆς πόλεως 19
Ἐπφαρουαίμ; μὴ ἐδύναντο ῥύσασθαι Σαμάρειαν ἐκ χειρός μου; [20]τίς 20
τῶν θεῶν πάντων τῶν ἐθνῶν τούτων ὅστις ἐρρύσατο τὴν γῆν αὐτοῦ
ἐκ χειρός μου, ὅτι ῥύσεται ὁ θεὸς τὴν Ἰερουσαλὴμ ἐκ χειρός μου;
[21]καὶ ἐσιώπησαν, καὶ οὐδεὶς ἀπεκρίθη αὐτῷ λόγον, διὰ τὸ προστάξαι 21
τὸν βασιλέα μηδένα ἀποκριθῆναι. [22]καὶ εἰσῆλθεν Ἐλιακεὶμ ὁ τοῦ 22
Χελκίου ὁ οἰκονόμος καὶ Σόμνας ὁ γραμματεὺς τῆς δυνάμεως καὶ Ἰωὰχ
ὁ τοῦ Ἀσὰφ ὁ ὑπομνηματογράφος πρὸς Ἑζεκίαν ἐσχισμένοι τοὺς
χιτῶνας, καὶ ἀνήγγειλαν αὐτῷ τοὺς λόγους Ῥαβσάκου. [1]Καὶ 1 XXXVII
ἐγένετο ἐν τῷ ἀκοῦσαι τὸν βασιλέα Ἑζεκίαν, ἔσχισεν τὰ ἱμάτια
καὶ περιεβάλετο σάκκον, καὶ ἀνέβη εἰς τὸν οἶκον Κυρίου. [2]καὶ 2
ἀπέστειλεν Ἐλιακεὶμ τὸν οἰκονόμον καὶ Σόμναν τὸν γραμματέα καὶ
τοὺς πρεσβυτέρους τῶν ἱερέων περιβεβλημένους σάκκους πρὸς
Ἠσαίαν υἱὸν Ἀμὼς τὸν προφήτην· [3]καὶ εἶπαν αὐτῷ Τάδε λέγει 3
Ἑζεκίας Ἡμέρα θλίψεως καὶ ὀνειδισμοῦ καὶ ἐλεγμοῦ καὶ ὀργῆς ἡ
σήμερον ἡμέρα, ὅτι ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει τοῦ
τεκεῖν. [4]εἰσακούσαι Κύριος ὁ θεός σου τοὺς λόγους Ῥαβσάκου, οὓς 4
ἀπέστειλεν βασιλεὺς Ἀσσυρίων ὀνειδίζειν θεὸν ζῶντα καὶ ὀνει-

ℵAOQΓ 18 ο θεος] + υμων $\aleph^{c.b}$AQ | ρυσεται υμας] υμας ρυσεται ℵ* (ρ. υμ. $\aleph^{c.b}$) OΓ | ερυσαντο ℵOQΓ | Ασσυριων] σσυρι sup ras A^a 19 Εμαθ] Α|μαρ ℵ* Αιμαθ $\aleph^{d.a}$O Αιμαρ AΓ Σεμαρ Q | Αρφαδ Γ | om και 2° ℵ* (hab $\aleph^{c.b}$) OΓ | που 2°] που |που εστιν ℵ* (που 1°, εστιν improb $\aleph^{c.a(vid)}$) om AQ* (hab Q^{mg}) που εστιν OΓ | Επφαρουαιμ (Επιφ. B*)] Σεπφαριν ℵ Σεπφαρειμ A Σεπ.... O Επφαρενι Q* (-ρουαιμ Q^{mg}) Σεπφαρουαιμ Γ | μη] η superscr $\aleph^{c.b(vid)}$ | Σαμαριαν ℵQ* | χειρος] pr της ℵ*Γ 20 τις] + [ε]στ[ιν] O^{vid} | om παντων ℵ | om οστις ℵAQ | ερυσατο ℵOQ* (?Γ) | χειρος 1°] pr της ℵAΓ | οτι] + σε ℵ* (improb $\aleph^c$) Γ | ο θεος] οι γ′ κ̅ς̅ Q^{mg} om Γ | την Ιερουσαλημ] om την ℵQ^{txt} (hab sub οι γ′ Q^{mg}) Γ 21 μηδεν ℵ* (μηδενα $\aleph^c$) | αποκριθηναι] + αυτω O 22 εισηλθεν (εισ|ηλθ. B* ει|σηλθ. B?)] εισελθεν ℵ* (εισηλθ. $\aleph^c$) | και Σομνας ο γραμματευς] adnot ου κ′ π′ Εβρ′ $B^{a\,mg}$ | της δυναμεως και Ιω[αχ] sub ÷ B^a (non inst B^b) της δυν. sub ÷ Q | Ιωαχ] ο ιγ′ ομοιως Q^{mg} Ιωαβ Γ | εσχισμενοι] περιεσχισμε[νοι] O | ανηγγειλαν] απηγγ. AQΓ (de O non liq) | Ραψακου ℵAQ* (Ραβσ. Q^{mg}) Γ periit in O XXXVII 1 βασιλεαν B* (-λεα B^b) om Γ | ιματια] + αυτου Γ | σακκον περιεβαλετο ℵAQΓ | τον οικον] om τον O^{vid} 2 Ελιακειμ (-κιμ ℵ)] pr οι γ′ ※ τον Q^{mg} | Σομναν] pr α′θ′ ※ τον Q^{mg} | και 3°] προς A | Αμως] Αμμως A* 3 ειπαν] ειπον ℵ* (-παν $\aleph^1$) $Γ^{a?}$ | ημερα θλ. και ο[νειδισμου]] sub ÷ B^a (non inst B^b) Q | η ωδιν] om η ℵ + η Γ | τικουση ℵ* (τικτ. $\aleph^{d.a(vid)}$) 4 εισ|ακουσ. B* ει|σακ. $B^{?vid}$ | om σου 1° A | Ραψακου ℵAOQ* (Ραβσ. Q^{mg}) Γ | απεστειλεν] + αυτον A | Ασσυριων] + ο κυριος αυτου Q^{mg} | ονειδιζειν 1°] ονιδιζει ℵ* (-ζειν $\aleph^c$)

δίζειν λόγους οὓς ἤκουσεν Κύριος ὁ θεός σου· καὶ δεηθήσῃ πρὸς κύ- B
5 ριόν σου περὶ τῶν καταλελιμμένων τούτων. [5]καὶ ἦλθον οἱ παῖδες
6 τοῦ βασιλέως Ἐζεκίου¶ πρὸς Ἡσαίαν, [6]καὶ εἶπεν αὐτοῖς Ἡσαίας ¶ Γ
Οὕτως ἐρεῖτε πρὸς τὸν κύριον ὑμῶν Τάδε λέγει Κύριος Μὴ φοβηθῇς
ἀπὸ τῶν λόγων ὧν ἤκουσας, οὓς ὠνείδισάν με οἱ πρέσβεις βασι-
7 λέως Ἀσσυρίων. [7]ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς αὐτὸν πνεῦμα, καὶ ἀκού-
σας ἀγγελίαν ἀποστραφήσεται εἰς τὴν χώραν αὐτοῦ, καὶ πεσεῖται
μαχαίρᾳ ἐν τῇ γῇ αὐτοῦ.
8 [8]Καὶ ἀπέστρεψεν Ῥαβσάκης, καὶ κατέλαβεν τὸν βασιλέα Ἀσσυ-
ρίων πολιορκοῦντα Λόβναν, καὶ ἤκουσεν ὅτι ἀπῆρεν ἀπὸ Λαχείς.
9 [9]καὶ ἐξῆλθεν Θαράκα βασιλεὺς Αἰθιόπων πολιορκῆσαι αὐτόν· καὶ
ἀκούσας ἀπέστρεψεν καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἐζεκίαν λέγων
10 [10]Οὕτως ἐρεῖτε Ἐζεκίᾳ βασιλεῖ τῆς Ἰουδαίας Μή σε ἀπατάτω ὁ
θεός σου, ἐφ' ᾧ πέποιθας ἐπ' αὐτῷ λέγων Οὐ μὴ παραδοθῇ Ἰε-
11 ρουσαλὴμ ἐν χειρὶ βασιλέως Ἀσσυρίων. [11]σὺ οὐκ ἤκουσας ἃ ἐποί-
ησαν βασιλεῖς Ἀσσυρίων πᾶσαν τὴν γῆν, ὡς ἀπώλεσαν, καὶ σὺ
12 ῥυσθήσῃ; [12]μὴ ἐρρύσαντο αὐτοὺς οἱ θεοὶ τῶν ἐθνῶν οὓς ἀπώλεσαν
οἱ πατέρες μου, τήν τε Γωζὰν καὶ Χαρρὰν καὶ Ῥάφεθ, αἵ εἰσιν ἐν
13 χώρᾳ Θεεμάθ; [13]ποῦ εἰσιν βασιλεῖς Ἑμὰθ καὶ ποῦ Ἀρφάθ; καὶ ποῦ
14 πόλεως Ἐπφαρουαίμ, Ἀνάγ, Οὐγανά; [14]καὶ ἔλαβεν Ἐζεκίας τὸ

4 λογους ους] λογοις οις Q εν λογοις οις O | om και 2°...σου ℵ$^{c.b\ vid}$ (postea revoc) A | κυριον]+τον θεον ℵOQΓ | καταλελειμμενων B^{ab}OΓ ℵAOQΓ 5 ηλθον] ηλθοσαν ℵΓ | bis scr του βασ. Q* | om Εζεκιου AQ 6 Ησαιας]+υιος Αμως ℵ* (unc incl ℵ$^{c.b}$ postea revoc) | ους] ων ℵ* (ους ℵ$^{c.b}$) | βασιλεοις ℵ* (-ως ℵ^{c}) 7 ενβαλω ℵ εμβαλω AOQ | μαχαιρα] pr εν O 8 Ραψακης B$^{*\ vid}$ℵAOQ* (Ραβσ. B? [sup ras] Q^{mg}) | κατελαβε ℵ | τον βασιλεα Ασσ. πολιορκουντα] πολιορκ. τον βασ. ℵAQ (+α'θ' ※ Ασσυριων Q^{mg}) | Λοβναν] Λομναν ℵ Λοβνα A Λομνα OQ οι γ' Λαβανα Q^{mg} | ηκουσεν]+βασιλευς Ασσυριων ℵAOQ | om απηρεν απο Λαχεις ℵAOQ α'σ'θ' ※ απηρ. α. Λ. Q^{mg} 9 om και 1° ℵAOQ | Θαρακα] Θαραθα ℵAQ* (-κα Q^{mg}) | Αιθιοπων] Εθειοπ. ℵ$^{*\ txt}$ [Εθιοπ. ℵ$^{*\ comm}$] (Αιθ. ℵ$^{c.a,c.b}$) Αθοπ. A* (Αιθιοπ. A^{1}) | κ. απεστειλεν] κ. απεστρεψὲ A pr ÷ Q 10 Ιουδεας ℵ | εφ] εν O | πεποιθας] πεποιθως ης ℵ* πεποιθως ει ℵ$^{c.b}$OQ (pr ※ συ Q^{mg}) συ πεποιθως ει A | πραδοθη ℵ* (παραδ. ℵ$^{1\,(vid)}$) | εν χειρι] εις χειρας (χιρ. ℵ* χειρ. ℵ$^{c.b}$) AQ | om Ασσυριων ℵ* (hab Ασυριων [sic] ℵ$^{c.b}$) 11 συ 1°] η ℵAOQ α'σ'θ' ※ ιδου συ Q^{mg} | α] pr α' συν Q^{mg} | om συ ρυσθηση ℵ om και συ ρυσθ. AQ α'σ'θ' ϗ συ ρυσθ. Q^{mg} 12 ερυσαντο ℵ$^{c.a}$ (postea ερρ.) Q* | αυτους] αυτα B$^{?\ vid}$ | οι πατερες μου απωλεσαν ℵAQ | Χαραν ℵ* (Χαρρ. ℵ$^{c.b}$) | Ραφεθ] Ραφες ℵQ* (-φεθ Q^{mg}) Ραφεις A | Θεεμαθ] Θεεμα ℵ* (sup ras ε 2° fort ο) Θεμαν ℵ^{c} Θαιμαδ A Θαι[μα]θ O^{vid} Θαιμαν Q 13 βασιλεις] pr οι ℵAOQ | Εμαθ] Αμαρ ℵAQ* (Αιμαρ Q^{a} -μαθ Q^{mg}) ..μαθ O^{vid} | om που 2° ℵAOQ | Αρφαδ Q | om και 2° O^{vid} | om που 3° ℵAO^{fort}Q | Επφαρουαιμ] Εμφαριν ℵ Σεπφαρειμ A Σεπφ[α]ρουειμ O Σεπφαρειν Q* (-ρουαιμ Q^{mg}) | Αναγ] Αναβ ℵ^{c} Ανα A Ανας Q* Αναε Q^{mg} | Ουγανα] Εγγουγανα A Ουτε Q^{vid} (Ουγανα Q^{mg})

B βιβλίον παρὰ τῶν ἀγγέλων καὶ ἀνέγνω αὐτό, καὶ ἀνέβη εἰς οἶκον
Κυρίου καὶ ἤνοιξεν αὐτὸ ἐναντίον Κυρίου. [15]καὶ προσεύξατο Ἑζε- 15
κίας πρὸς Κύριον λέγων [16]Κύριος σαβαὼθ ὁ θεὸς Ἰσραὴλ ὁ καθή- 16
μενος ἐπὶ τῶν χερουβείν, σὺ εἶ ὁ θεὸς μόνος πάσης βασιλείας τῆς
οἰκουμένης, σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν. [17]κλῖνον, Κύριε, 17
τὸ οὖς σου, εἰσάκουσον, Κύριε· ἄνοιξον, Κύριε, τοὺς ὀφθαλμούς σου,
εἴσβλεψον, Κύριε, καὶ ἴδε τοὺς λόγους Σενναχηρεὶμ οὓς ἀπέστειλεν
ὀνειδίζειν θεὸν ζῶντα. [18]ἐπ' ἀληθείας γὰρ ἠρήμωσαν βασιλεῖς 18
Ἀσσυρίων τὴν οἰκουμένην ὅλην καὶ τὴν χώραν αὐτῶν, [19]καὶ ἐνέ- 19
βαλον τὰ εἴδωλα αὐτῶν εἰς τὸ πῦρ, οὐ γὰρ θεοὶ ἦσαν ἀλλὰ ἔργα
χειρῶν ἀνθρώπων, ξύλα καὶ λίθοι, καὶ ἀπώσαντο αὐτούς. [20]νῦν δέ, 20
Κύριε ὁ θεὸς ἡμῶν, σῶσον ἡμᾶς ἐκ χειρὸς αὐτοῦ, ἵνα γνῷ πᾶσα
βασιλεία τῆς γῆς ὅτι σὺ εἶ ὁ θεὸς μόνος. [21]Καὶ ἀπεστάλη 21
Ἠσαίας υἱὸς Ἀμὼς πρὸς Ἑζεκίαν καὶ εἶπεν αὐτῷ Τάδε λέγει Κύριος
ὁ θεὸς Ἰσραὴλ Ἤκουσα ἃ προσηύξω πρὸς μὲ περὶ Σενναχηρεὶμ
βασιλέως Ἀσσυρίων. [22]οὗτος ὁ λόγος ὃν ἐλάλησεν περὶ αὐτοῦ ὁ 22
θεός Ἐφαύλισέν σε καὶ ἐμυκτήρισέν σε παρθένος θυγάτηρ Σειών,
ἐπὶ σοὶ κεφαλὴν ἐκίνησεν θυγάτηρ Ἰερουσαλήμ. [23]τίνα ὠνείδισας 23
καὶ παρώξυνας; ἢ πρὸς τίνα ὕψωσας τὴν φωνήν σου; καὶ οὐκ ἦρας
εἰς ὕψος τοὺς ὀφθαλμούς σου πρὸς τὸν ἅγιον τοῦ Ἰσραήλ; [24]ὅτι 24
δι' ἀγγέλων ὠνείδισας Κύριον· σὺ γὰρ εἶπας Τῷ πλήθει τῶν

ℵAOQ 14 om και ανεγνω...Κυριου (1°) ℵ$^{c.b}$ (postea revoc) AQ θ'σ' ※ κ̄ ανεγνω ...κ̄ῡ Q^{mg} | ανεγνοι ℵ* (-γνω ℵ$^{c.a}$) | αυτο 2°]+α'θ'σ' ※ Εζεκιας Q^{mg} | Κυριου 2°] pr του ℵ* (improb ℵ$^{c.b}$) 15 και 1°] pr προσευχη| Εζ[εκιου] βασιλεως τη[ς Ιου]δαιας O | προσηυξατο B^{ab}ℵAO | Κυριον] pr τον ℵ 16 Κυριος] κ̄ε̄ ℵAOQ | ο θεος (1°)] om ο ℵ* (superscr ο ℵ$^{1?}$) | Ισραηλ] Ῑη̄λ̄ (prius ut vid Ισ̄λ̄) ℵ | ο καθημενος] om ο O^{vid} | χερουβιμ B^{b} -βειμ AOQ | ει ο θεος μονος] θ̄s̄ μονος ει ℵAQ θ[ς̄ (?) ει μο]νος O^{vid} | βασιλειας] της βασιλιας Q* (-λειας Q^{a}) 17 om κλινον Κ. το ους σου ℵAQ* (※κλινον...σου και Q^{mg}) | κλινον] [ανοι]ξον O^{vid} | Κυριε 2°] κ̄s̄ B^{vid} | om ανοιξον Κ. τ. οφθ. σου ℵAQ* (※ ανοιξον...σου Q^{mg}) | ιδε]+κ̄ ακουσον συν παντας (? συντ.) Q^{mg} | ους απεστ. Σενναχηρειμ (-χηρ|ειμ ℵ* -χη|ρειμ ℵ$^{c.b}$) ℵAOQ | ονιζειν ℵ 18 αληθιας ℵ | γαρ]+κ̄ε̄ Q^{mg} | ηρημωσαν] ηρημων (η 1° superscr) ℵ$^{1 (vid)}$ (-μωσαν ℵ^{c})+κ̄ε̄ O$^{(? mg)}$ | την χωραν αυτων] το πληρωμα αυτης Q* (την χ. αυτων Q^{mg}) 19 απωσαντο] απωλεσαν ℵAOQ 20 νυν] συ ℵAQ* (νυν Q^{mg}) | Κυριε] κ̄s̄ A | ο θεος 1°] ras aliq in ς B$^{?}$ (θε̄ B^{*fort}) | αυτου] αυτων ℵ$^{c.b}$AQ (hiat O) | βασιλια ℵ* (-λεια ℵ$^{c.b}$) | της γης] την γην ℵ* (της γης ℵ$^{c.a, c.b}$) | συ ει] σοι ℵ* (συ ει ℵ$^{c.a, c.b}$) | ο θεος 2°] om ο ℵ* (hab ℵ$^{c.a, c.b}$) A 21 ηκουσα sub ÷ Q | προσηυξω (-ξου ℵ* -ξω ℵ$^{c.b}$)] προσευξω O | Σενναχηρειμ (ομοιως οι γ' Q^{mg})] Σενναχηριμ ℵ Σενναχηρειβ Q^{mg} 22 ελαλσεν B* (ελαλησεν B^{ab}) | Σιων B^{b}AOQ 23 τινα] pr α' ※ τον Q^{mg} | ante και 2° ras aliq ℵ$^{?}$ | ουκ| ηρ. B* ου|κ ηρ. B$^{?}$ | προς 2°] εις ℵAQ | Ισραηλ] Ῑη̄λ̄ ℵ$^{1 vel certe a.b}$ 24 Κυριον] pr τ̄ō| O | τω πληθει] pr εν O

ἁρμάτων ἐγὼ ἀνέβην εἰς ὕψος ὀρέων καὶ εἰς τὰ ἔσχατα τοῦ Λιβάνου, B
καὶ ἔκοψα τὸ ὕψος τῆς κέδρου αὐτοῦ καὶ τὸ κάλλος τῆς κυπαρίσσου,
25 καὶ εἰσῆλθον εἰς ὕψος μέρους τοῦ δρυμοῦ, 25 καὶ ἔθηκα γέφυραν,
26 καὶ ἠρήμωσα ὕδατα καὶ πᾶσαν συναγωγὴν ὕδατος. 26 οὐ ταῦτα
ἤκουσα πάλαι ἃ ἐγὼ ἐποίησα; ἐξ ἡμερῶν ἀρχαίων συνέταξα, νῦν
δὲ ἐπέδειξα ἐξερημῶσαι ἔθνη ἐν ὀχυροῖς καὶ οἰκοῦντας ἐν πόλεσιν
27 ὀχυραῖς· 27 ἀνῆκα τὰς χεῖρας, καὶ ἐξηράνθησαν, καὶ ἐγένοντο ὡς
28 χόρτος ξηρὸς ἐπὶ δωμάτων καὶ ὡς ἄγρωστις. 28 νῦν δὲ τὴν ἀνά-
παυσίν σου καὶ τὴν ἔξοδόν σου καὶ τὴν εἴσοδόν σου ἐγὼ ἐπί-
29 σταμαι· 29 ὁ δὲ θυμός σου ὃν ἐθυμώθης καὶ ἡ πικρία σου ἀνέβη
πρὸς μέ, καὶ ἐμβαλῶ φιμὸν εἰς τὴν ῥῖνά σου καὶ χαλινὸν εἰς τὰ
30 χείλη σου, καὶ ἀποστρέψω σε τῇ ὁδῷ ᾗ ἦλθες ἐν αὐτῇ. 30 τοῦτο
δέ σοι τὸ σημεῖον· φάγε τοῦτον τὸν ἐνιαυτὸν ἃ ἔσπαρκας, τῷ δὲ
ἐνιαυτῷ τῷ δευτέρῳ τὸ κατάλιμμα, τῷ δὲ τρίτῳ σπείραντες ἀμή-
σατε καὶ φυτεύσατε ἀμπελῶνας καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν.
31 31 καὶ ἔσονται οἱ καταλελιμμένοι ἐν τῇ Ἰουδαίᾳ, φυήσουσιν ῥίζαν
32 κάτω καὶ ποιήσουσιν σπέρμα ἄνω. 32 ὅτι ἐξ Ἰερουσαλὴμ ἔσονται
οἱ καταλελιμμένοι, καὶ οἱ σωζόμενοι ἐξ ὄρους Σειών· ὁ ζῆλος Κυρίου
33 σαβαὼθ ποιήσει ταῦτα. 33 διὰ τοῦτο οὕτως λέγει Κύριος ἐπὶ βασι-
λέα Ἀσσυρίων Οὐ μὴ εἰσέλθῃ εἰς τὴν πόλιν ταύτην, οὐδὲ μὴ βάλῃ
ἐπ' αὐτὴν βέλος, οὐδὲ μὴ ἐπιβάλῃ ἐπ' αὐτὴν θυρεόν, οὐδὲ μὴ κυ-
34 κλώσῃ ἐπ' αὐτὴν χάρακα· 34 ἀλλὰ τῇ ὁδῷ ᾗ ἦλθεν, ἐν αὐτῇ ἀπο-
στραφήσεται, καὶ εἰς τὴν πόλιν ταύτην οὐ μὴ εἰσέλθῃ. τάδε λέγει
35 Κύριος 35 Ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν
36 δι' ἐμὲ καὶ διὰ Δαυεὶδ τὸν παῖδά μου. 36 Καὶ ἐξῆλθεν ἄγγε-

24 αρματων] + μου OQ | ορεων] pr των ℵ* (improb ℵ$^{c.b}$ dein revoc) | τα ℵAOQ εσχατα] om τα O^{vid} | κεδου ℵ* (κεδρ. ℵ$^{1 vel a.b}$) 25—28, 30—33 valde mutila in O 26 ηκουσας ℵ$^{c.a, c.b}$AQ | αρχαιων ημερων ℵAO^{vid}Q | συνεταξα] + γαρ ℵ* (improb ℵ$^{c.a, c.b}$) | εξερημωσαι] εξερημωσα ℵ* (-σαι ℵ$^{c.b}$) ερημωσαι Q* (εξερ. Q^{a}) | οχυροις] εχυροις Q^{a} | οικουντας] ενοικουντας ℵAOQ | οχυραις] εχυραις Q^{a} 27 χορτος] pr α' χλοη χωρας θ' σ' χορτος αγρου Q^{mg} | ξηρος] χλωρος A | αγρωτις ℵ* (-στις ℵ^{c}) 29 εθυμωθης] ενεθυμηθης ℵOQ | ενβαλω ℵ | ρειναν B* (ρινα B^{b}) ριναν ℵ | εις 2°] επι Q | τη οδω] pr εν O 30 συ ℵ* (σοι ℵ$^{c.b}$) | σημειον] + παρα κῡ ℵ* (improb ℵ^{1} postea restit) | φαγη Q | εσπρακας ℵ* (εσπαρκ. ℵ$^{1 vel a.b}$) | τω δε (1°)] και τω A | καταλειμμα B^{ab}AO | αμησητε A 31 καταλελειμμ. B^{ab}ℵAOQ^{a} | Ιουδεα ℵ 32 εσονται] εξελευσονται A | καταλελειμμ. B^{ab}A (?O) Q^{a} | εξ 2°] επ A | ορου ℵ* (ορους ℵ$^{1 vel a.b}$) | Σιων ℵAOQ 33 βασιλεασσυριων A | ουδε 2°] ουδ ου O | επιβαλη] βαλη AQ | θυρειον O | ουδε 3°] ουδ ου A | κυκλωσει A | χαρακαλλα B pr ι ℵ* (improb ℵ$^{iam 1}$) 34 om και εις την πολιν τ. ου μη εισελθη ℵAOQ (θ' ※ ϛ εις...εισελθη Q^{mg}) | εισ|ελθη B* ει|σελθ. B$^{?}$ 35 εμεν ℵ*

B λος Κυρίου καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν
ὀγδοήκοντα πέντε χιλιάδας· καὶ ἀναστάντες τὸ πρωὶ εὗρον πάντα τὰ
σώματα νεκρά. [37]καὶ ἀπῆλθεν ἀποστραφεὶς Σενναχηρεὶμ βασιλεὺς 37
Ἀσσυρίων, καὶ ᾤκησεν ἐν Νινευή. [38]καὶ ἐν τῷ αὐτὸν προσκυνεῖν ἐν 38
τῷ οἴκῳ Νασαρὰχ τὸν πάτραρχον αὐτοῦ, Ἀδραμέλεχ καὶ Σαράσαρ
οἱ υἱοὶ αὐτοῦ ἐπάταξαν αὐτὸν μαχαίραις· αὐτοὶ δὲ διεσώθησαν εἰς
Ἀρμενίαν· καὶ ἐβασίλευσεν Ἀσορδὰν ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.
¶ O [1]Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ ἐμαλακίσθη Ἑζεκίας ἕως θανάτου⌉ 1 XXXVIII
καὶ ἦλθεν πρὸς αὐτὸν Ἠσαίας υἱὸς Ἀμὼς ὁ προφήτης καὶ εἶπεν πρὸς
§ Γ αὐτόν Τάδε λέγει Κύριος Τάξαι περὶ τοῦ οἴκου σου, ἀποθνήσκεις γὰρ
σὺ καὶ οὐ ζήσῃ. [2]καὶ ἀπέστρεψεν Ἑζεκίας τὸ πρόσωπον αὐτοῦ 2
πρὸς τὸν τοῖχον, καὶ προσεύξατο πρὸς Κύριον [3]λέγων Μνήσθητι, 3
Κύριε, ὡς ἐπορεύθην ἐνώπιόν σου μετὰ ἀληθείας ἐν καρδίᾳ ἀληθινῇ,
καὶ τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποίησα· καὶ ἔκλαυσεν Ἑζεκίας κλαυθμῷ
μεγάλῳ. [4]καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἠσαίαν λέγων [5]Πορεύθητι 4 5
καὶ εἰπὸν Ἑζεκίᾳ Τάδε λέγει Κύριος ὁ θεὸς Δαυεὶδ τοῦ πατρός σου
Ἤκουσα τῆς προσευχῆς σου καὶ εἶδον τὰ δάκρυά σου· ἰδοὺ προστίθημι
πρὸς τὸν χρόνον σου ἔτη δέκα πέντε· [6]καὶ ἐκ χειρὸς βασιλέως Ἀσσυ- 6
ρίων ῥύσομαί σε καὶ τὴν πόλιν ταύτην, καὶ ὑπερασπιῶ ὑπὲρ τῆς
πόλεως ταύτης. [7]τοῦτο δέ σοι τὸ σημεῖον παρὰ Κυρίου ὅτι ποιήσει 7
ὁ θεὸς τὸ ῥῆμα τοῦτο· [8]Ἰδοὺ ἐγὼ στρέφω τὴν σκιὰν τῶν ἀναβαθμῶν 8

ℵAOQΓ 36 ογδοηκοντα] pr και ℵ[c]A | χιλιαδες ℵ* (-δας ℵ[?]) | αναστατντες] εξαναστατντες ℵAQ | το πρωι] om το ℵO 37 αποστραφεις απηλθεν ℵAO[vid]Q + ※ και απεστρεψε̄ Q[mg] | Σενναχηρειμ (Ενν. ℵ* Σενν. ℵ[1 vel certe a.b])] om AQ[txt] (hab sub ※ Q[mg]) 38 προσκυνειν αυτον O | τω οικω (-κωκω ℵ*)] om τω A | Νασαραχ] Ασαρακ ℵ Ασαραχ AOQ | τ. πατρ. αυτου sub ÷ Q | παταρχον B* (πατρ. B[ab]) πατριαρχον Q* (πατρ. Q[a]) | Ανδραμ. ℵ* | Σαρασα ℵAQ | οι υιοι] om οι A | μαχερας ℵ* (-ραις ℵ[c]) | διεσωθησαν] εσωθησαν O | Αρμενειαν A | Ασορδαν] Ναχορδαν ℵ*Q[mg] (Ασ. ℵ[c.b]Q*) Αχορδαν O XXXVIII 1 εγενετο δε] και εγ. O | in εως θαν desinit O | υιος] pr ο ℵ | αποθνησκεις (-θνκις ℵ*) γαρ] οτι αποθν. A 2 προς 1°] εις ℵ* (πρ. ℵ[c.b]) | προσευξατο (προσ|ευξ. B* προ|σ. B[?])] προσηυξατο B[ab]ℵAQΓ 3 λεγων] + οι γ' ※ ω δη κε̄ Q[mg] | μνησθητι] + δη Q[mg] | om Κυριε Q[a vid] | αληθιας ℵ | εν καρδια] pr και ℵ | εποιησα sup ras pl litt A[a] (bis scr ενωπιον σου A*) | κλαθμω Γ 4 Ησαιαν] + υιον Αμως Γ 5 πορευθητι] πορευου A | Εζεκια] προς Εζεκιαν A | της προσευχης] pr της φωνης ℵAQΓ | ιδον ℵAΓ | δεκα πεντε] ιε' ℵ 6 βασιλεων ℵ | ρυσομαι σε] σωσω σε ℵAQ (superscr θ' Q[?]) Γ οι ο' ρ. σε σ' εξελουμαι σε α' ομοιως τοις ο' Q[mg] | om και την πολιν ταυτην ℵAQ (※ ϗ τ. πολιν ταυτην Q[mg]) Γ | υπερ της πολεως ταυτης υπερασπιω ℵAQΓ 7 τουτουτο B* (τουτο B[b]) | ο θ̄ς ποιησει ℵ (-σι) AQΓ | τουτο 2°] + ο ελαλησε̄ Q[mg] 8 ιδου...σκιαν] pr ※ θ' Q[?] | om εγω AQΓ | στρεφω B[* b]] στρεψω B[a]

οὓς κατέβη τοὺς δέκα ἀναβαθμοὺς τοῦ οἴκου τοῦ πατρός σου ὁ ἥλιος, B
ἀποστρέψω τὸν ἥλιον τοὺς δέκα ἀναβαθμούς. καὶ ἀνέβη ὁ ἥλιος τοὺς
δέκα ἀναβαθμοὺς οὓς κατέβη ἡ σκιά.

9 9 Προσευχὴ Ἑζεκιου βασιλέως Ιουδαίας ἡνίκα ἐμαλακίσθη καὶ ἀνέστη ἐκ τῆς μαλακίας αὐτοῦ.

10 10 Ἐγὼ εἶπα Ἐν τῷ ὕψει τῶν ἡμερῶν μου ἐν πύλαις ᾅδου καταλείψω
11 τὰ ἔτη τὰ ἐπίλοιπα. 11 εἶπα Οὐκέτι μὴ ἴδω τὸ σωτήριον τοῦ θεοῦ ἐπὶ
γῆς ζώντων, οὐκέτι μὴ ἴδω τὸ σωτήριον τοῦ Ισραηλ ἐπὶ γῆς, οὐκέτι μὴ
12 ἴδω ἄνθρωπον. 12 ἐξέλιπεν ἐκ τῆς συγγενίας μου, κατέλιπον τὸ ἐπί-
λοιπον τῆς ζωῆς μου· ἐξῆλθεν καὶ ἀπῆλθεν ἀπ᾽ ἐμοῦ ὥσπερ ὁ σκηνὴν
καταλύων πήξας· ὡς ἱστὸς τὸ πνεῦμά μου παρ᾽ ἐμοὶ ἐγένετο ἐρίθου
13 ἐγγιζούσης ἐκτεμεῖν. 13 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ παρεδόθην ἕως πρωὶ ὡς
λέοντι. συνέτριψεν πάντα τὰ ὀστᾶ μου· ἀπὸ γὰρ τῆς ἡμέρας ἕως
14 νυκτὸς παρεδόθην. 14 ὡς χελιδών, οὕτως φωνήσω, καὶ ὡς περιστερά,
οὕτως μελετῶ· ἐξέλιπον γάρ μου οἱ ὀφθαλμοὶ τοῦ βλέπειν εἰς τὸ ὕψος
τοῦ οὐρανοῦ πρὸς τὸν κύριον, ὃς ἐξείλατό με καὶ ἀφείλατό μου τὴν
16 ὀδύνην τῆς ψυχῆς. 16 Κύριε, περὶ αὐτῆς γὰρ ἀνηγγέλη σοι, καὶ ἐξή-
17 γειράς μου τὴν πνοήν, καὶ παρακληθεὶς ἔζησα. 17 εἵλου γάρ μου τὴν
ψυχὴν ἵνα μὴ ἀπόληται, καὶ ἀπέριψας ὀπίσω μου πάσας τὰς ἁμαρτίας.
18 18 οὐ γὰρ οἱ ἐν ᾅδου αἰνέσουσίν σε, οὐδὲ οἱ ἀποθανόντες εὐλογή-

8 κατεβη 1°] + ο ηλιος ℵAQΓ | τους δεκα (1°)] ι (sic) ℵ* (τ. δεκα ℵ$^{c.a}$) | ℵAQΓ om ο ηλιος (1°) ℵAQΓ | δεκα 2°, 3°] ι´ ℵ | η σκια sub ÷ Q 9 προσευχη] pr ωδη A | Ιουδαιας] Ιουδα ℵ* οι γ´ Ιουδα Q^{mg} της Ιουδαιας ℵ$^{c.a}$ (postea rurs Ιουδα) AQΓ 10 εν 2°] pr πορευσομαι ℵ$^{c.a}$ (improb ℵ$^{c.b}$ postea revoc) Q^{mg} (sub ※) Γ | αδου] + καταβησομαι Q | επιλοιπα] + μου ℵ 11 μη 1°, 3°] pr ου ℵ$^{c.a}$A | ιδω] ειδω Q (1°, 3°) Γ (1°) | γης 1°] pr της ℵ$^{c.b}$AQ | om ζωντων...επι γης (2°) ℵAQ* (hab α´ ※ ζωντων Q^{mg}) | ανθρωπον] + θ´ ※ ετι μετα κατοικουντω̄ Q^{mg} 11—12 [ανθρω]πον...εξηλθεν] pr obelos B^{a} (non inst B^{b}) 12 om εξελιπεν ℵAQ^{txt}Γ (hab εξελειπον Q$^{mg\ dextr}$ εξελειπεν α´ κατεπαυσατο θ´ εξελειπεν Q$^{mg\ sinistr}$) | εκ της συγγενιας (-νειας B^{ab}AQ^{a}Γ) μου] c antecedd coniung ℵAQ α´ γενεα μ. θ´ η γενεα μ. Q^{mg} om εκ Γ | κατελιπον] κατελειπον AQ^{a} (postea rurs -λιπ.) Γ | επιλοιπον] λοιπον AQΓ | καταλυων σκηνην ℵAQΓ | το π̄ν̄ᾱ μου παρ εμοι εγ. ως ιστος ℵAQΓ | ερειθου B* (εριθ. B^{b}) εριζου A 13 συνετριψεν (συντρ. B* συνετρ. B^{ab})] pr ουτως B$^{ab\ mg}$ pr ουτως τα οστα μου ℵAQ* pr ουτως παντα τα ο. μ. Q^{mg} et (sine ουτως) Γ^{vid} | om παντα τα οστα μου ℵAQΓ | νυκτος] pr της ℵAQΓ 14 περιστερα] pr η Γ | μελετω] μελετησω B$^{*\ fort}$ (ω εξ sup ras B^{ab}) ℵAQΓ | εξελιπον] εξελειπον AQ^{a} (postea revoc -λιπ.) Γ | om μου ℵ$^{post\ c.b}$ | οφθαλμοι] + μου ℵ* (improb ℵ$^{c.a,\ c.b}$ postea revoc) Γ | εξειλετο Q^{a} | αφειλετο Q^{a} | om μου 2° Q* (hab Q$^{1\ vid\ mg}$) | ψυχης] ψυχ sup ras Q$^{?}$ 16 Κυριε] pr θ´ ※ αυτω ϗ αυτος εποιησεν καθοδηγησαι παντας ενιαυτους μου επι πικριᾱ ψυχης μου Q^{mg} 17 ειλου (ιδ. ℵ* ιλ. ℵ$^{c.a}$)] pr ιδου γαρ εις ερηνην πικριας μου ℵ$^{c.a}$ (rurs ras) pr θ´ ※ ιδου εις ειρηνη̄ πικρια μοι Q^{mg} | απερριψας B$^{?}$Q^{a} | αμαρτιας] + μου ℵA$^{a?}$QΓ 18 ου γαρ...σε (2°)] των αλλων εκδοσεων· ουδε γαρ ο αδης αινεσει σε ουδε ο θανατος ευλογησει σε Q^{mg}

B σουσίν σε, οὐδὲ ἐλπιοῦσιν οἱ ἐν ᾅδου τὴν ἐλεημοσύνην σου. [19]οἱ 19
ζῶντες εὐλογήσουσίν σε ὃν τρόπον κἀγώ· ἀπὸ γὰρ τῆς σήμερον
παιδία ποιήσω, ἃ ἀναγγελοῦσιν τὴν δικαιοσύνην σου, [20]θεὲ τῆς 20
σωτηρίας μου· καὶ οὐ παύσομαι εὐλογῶν σε μετὰ ψαλτηρίου πάσας
τὰς ἡμέρας τῆς ζωῆς μου κατέναντι τοῦ οἴκου τοῦ θεοῦ.
[21]Καὶ εἶπεν Ἠσαίας πρὸς Ἑζεκίαν Λάβε παλάθην ἐκ σύκων καὶ 21
τρίψον καὶ κατάπλασαι, καὶ ὑγιὴς ἔσῃ. [22]καὶ εἶπεν Ἑζεκίας Τοῦτο 22
σημεῖον πρὸς Ἑζεκίαν ὅτι ἀναβήσομαι εἰς τὸν οἶκον τοῦ θεοῦ.
[1]Ἐν τῷ καιρῷ ἐκείνῳ ἀπέστειλεν Μαρωδὰχ Βαλαδὰν ὁ υἱὸς τοῦ 1 XXXIX
Βαλαδὰν ὁ βασιλεὺς τῆς Βαβυλωνίας ἐπιστολὰς καὶ πρέσβεις καὶ δῶρα·
ἤκουσεν γὰρ ὅτι ἐμαλακίσθη ἕως θανάτου καὶ ἀνέστη. [2]καὶ ἐχάρη ἐπ' 2
αὐτοῖς Ἑζεκίας, καὶ ἔδειξεν αὐτοῖς τὸν οἶκον τοῦ νεχωθὰ καὶ τοῦ
ἀργυρίου καὶ τοῦ χρυσίου καὶ τῆς στακτῆς καὶ τῶν θυμιαμάτων καὶ τοῦ
μύρου, καὶ πάντας τοὺς οἴκους τῶν σκευῶν τῆς γάζης, καὶ πάντα ὅσα
ἦν ἐν τοῖς θησαυροῖς αὐτοῦ· καὶ οὐκ ἦν οὐθὲν ὃ οὐκ ἔδειξεν Ἑζεκίας
ἐν τῷ οἴκῳ αὐτοῦ. [3]καὶ ἦλθεν Ἠσαίας ὁ προφήτης πρὸς τὸν βασιλέα 3
Ἑζεκίαν καὶ εἶπεν πρὸς αὐτόν Τί λέγουσιν οἱ ἄνθρωποι οὗτοι, καὶ
πόθεν ἥκασιν πρὸς σέ; καὶ εἶπεν Ἑζεκίας Ἐκ γῆς πόρρωθεν ἥκασιν
πρὸς μέ, ἐκ Βαβυλῶνος. [4]καὶ εἶπεν Ἠσαίας Τί εἴδοσαν ἐν τῷ οἴκῳ σου; 4
καὶ εἶπεν Ἑζεκίας Πάντα τὰ ἐν τῷ οἴκῳ μου εἴδοσαν, καὶ οὐκ ἔστιν ἐν
τῷ οἴκῳ μου ὃ οὐκ εἴδοσαν, ἀλλὰ καὶ τὰ ἐν τοῖς θησαυροῖς μου. [5]καὶ 5
εἶπεν Ἠσαίας αὐτῷ Ἄκουσον τὸν λόγον Κυρίου σαβαώθ [6]Ἰδοὺ ἡμέραι 6
ἔρχονται καὶ λήμψονται πάντα τὰ ἐν τῷ οἴκῳ σου, καὶ ὅσα συνήγαγον οἱ
πατέρες σου ἕως τῆς ἡμέρας ταύτης εἰς Βαβυλῶνα ἥξει, καὶ οὐδὲν οὐ

ℵAQΓ 18 οι εν αδου] om οι ℵ* (hab ℵ$^{c.a}$) | οι εν αδου...σου] σ' οι καταβαινοντες εις λακκο̄ την αληθειαν σου Q^{mg} 19 α αναγγελουσιν] ϗ τουτο αναγγειλαι Q^{mg} | om α ut vid ℵ* (hab ℵ$^{?(mg)}$) | post αναγγ. incep η ℵ$^{*\,vid}$ 20 θεε] κ̅ε̅ ℵAQΓ | του θεου] pr κ̅υ̅ Γ 21 Ησαιας] + ο προφητης ℵ* (improb ℵ$^{c.b}$ postea restit) | προς Εζεκιαν] adnot ου κ' π' εβρ' B$^{a\,mg}$ | om εκ ℵ | καταπλασαι] + ※ επι το ελκος Q^{mg} 22 σημειον] pr το ℵAQΓ | om προς Εζεκιαν ℵAQΓ | του θεου] pr κ̅υ̅ ℵ$^{c.b}$AQ XXXIX 1 Μαρωδαχ] Μαιωδαχ ℵQ* (Μερ. Q^{mg}) | om Βαλαδαν 1° ℵAQ* (hab sub ※ Q^{mg}) Γ | ο υιος] om ο Q | Βαλαδαν 2°] Λααδαν ℵAQ | κ. προσβεις sub ÷ Q | δωρα] + Εζεκια B$^{ab(mg)}$ℵAQΓ 2 Εζεκιας 1°] + χαραν μεγαλην ℵAQΓ | νεχωτα ℵ* (-θα ℵ$^{c.a,\,c.b}$) α'σ' των αρωματων Q^{mg} | om και του αργ. και του χρυσιου ℵAQΓ | τηστακτης ℵ* (της στ. ℵ$^{c.b}$) | μυρου] + και του αργ. και του χρυσιου ℵAQΓ | σκευων] pr θησαυρων· ℵ* (improb ℵ$^{c.a,\,c.b}$) | εδειξεν 2°] + αυτοις ℵ$^{c.a}$ (rurs ras) A | αυτου 2°] + ※ ϗ εν παση τη εξουσια αυτου Q^{mg} 3—4 [Βαβυ]λωνος και ειπεν Ησα[ιας]] pr obel B^{a} (non inst B^{b}) 4 ειδοσαν 1°] ιδοσαν ℵ ιδαν A | ειδοσαν 2°] ιδοσαν A | οικω μου ο sup ras B$^{ab\,nisi\,pot\,1}$ | ειδοσαν 3°] ιδοσαν ℵΓ 5 αυτω Ησαιας ℵAQ om αυτω Γ 6 ερχονται] + λεγει κ̅ς̅ A | ληψονται Q (item 7) | om ουδεν A

7 μὴ καταλίπωσιν· εἶπεν δὲ ὁ θεός [7]ὅτι Καὶ ἀπὸ τῶν τέκνων σου ὧν B
γεννήσεις λήμψονται, καὶ ποιήσουσιν σπάδοντας ἐν τῷ οἴκῳ τοῦ
8 βασιλέως τῶν Βαβυλωνίων. [8]καὶ εἶπεν Ἐζεκιας Ἠσαιᾳ Ἀγαθὸς λόγος
Κυρίου ὃν ἐλάλησεν· γενέσθω δὴ εἰρήνη καὶ δικαιοσύνη ἐν ταῖς ἡμέραις
μου.

XL 1 2 [1]Παρακαλεῖτε παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ θεός. [2]ἱερεῖς,
λαλήσατε εἰς τὴν καρδίαν Ἰερουσαλήμ, παρακαλέσατε αὐτήν, ὅτι
ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς· λέλυται αὐτῆς ἡ ἁμαρτία, ὅτι ἐδέξατο ἐκ
χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς.
3 [3]Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας
4 ποιεῖτε τὰς τρίβους τοῦ θεοῦ ἡμῶν. [4]πᾶσα φάραγξ πληρωθήσεται,
καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται πάντα τὰ σκολιὰ
5 εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς πεδία, [5]καὶ ὀφθήσεται ἡ δόξα Κυρίου,
καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ, ὅτι Κύριος ἐλάλησεν.
6 [6]φωνὴ λέγοντος Βόησον. καὶ εἶπα Τί βοήσω; Πᾶσα σὰρξ χόρτος,
7 καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· [7]ἐξηράνθη ὁ χόρτος
8 καὶ τὸ ἄνθος ἐξέπεσεν, [8]τὸ δὲ ῥῆμα τοῦ θεοῦ ἡμῶν μένει εἰς τὸν
9 αἰῶνα. [9]Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σειών·
ὕψωσον τῇ ἰσχύι τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἰερουσαλήμ·
ὑψώσατε, μὴ φοβεῖσθε· εἰπὸν ταῖς πόλεσιν Ἰούδα Ἰδοὺ ὁ θεὸς
10 ὑμῶν. [10]ἰδοὺ κύριος Κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ
κυρίας· ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸ ἔργον ἐναντίον αὐτοῦ.
11 [11]ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ τῷ βραχίονι αὐτοῦ συν-
12 άξει ἄρνας, καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσει. [12]Τίς ἐμέτρη-

6 καταλειπωσιν AQ[a]Γ + ουδεν A | θεος] ο κ̅ς̅ ℵ* (ο θ̅ς̅ ℵ[inm ante c.b]) ℵAQΓ
7 σου] + θ' ※ οιτινες εξελευσονται εκ σου Q[mg] | ως B* (ων B[ab]) | γεννησεις] εγεννησας ℵAQ | ποιησωσιν Γ 8 Ησαια] προς Ησαιαν ℵ[c.b]AQΓ | λογος] pr ο ℵAQΓ | γενεσθω] γενηθητω ℵ | om μου ℵ* (hab ℵ[c.b]) XL 1 λαος ℵ* (τον λαον ℵ[c.a, c.b]) | ο θεος] κ̅ς̅ A 2 ιερεις sub ÷ Q | Ιερουλα|ημμ ℵ* (-σαλημ ℵ[c.a, c.b]) | λελυται] + γαρ ℵΓ 3 ποιειτε] + δια της αβατου Q[mg] 4 πασα] παρα ℵ* (πασα ℵ[c.a, c.b]) | βουνοι incep ℵ* (βουνοις ℵ?) | om παντα A sub ÷ Q | πεδια (-αν ℵ*)] οδους λιας ℵ[c.a, c.b]A (ο. λειας) Q* πεδια: α'σ' εις πεδιον θ' ομ. τοις ο' Q[mg] 7 εξεπεσεν] + σ'θ' ※ οτι πνευμα κ̅υ̅ επνευσεν εις αυτο αληθως χορτος ο λαος εξηρανθη χορτος εξεπεσε το ανθος Q[mg] 8 om ημων Q 9 Σιων B[b]AQΓ | τη ισχυι] + σου ℵ εν ισχυι Q | υμων] ημων ℵ[c.a, c.b]Q 10 om ιδου 1° ℵ* (hab ℵ[c.b]) | om κ̅ς̅ 2° ℵ* (hab ℵ[c.b]) AQΓ | βραχιων] + αυτου ℵ[c.a] (rurs ras) A + οι γ' ※ αυτου Q[mg] 11 ποιμανει] ποιμανη Γ | και 2°] + θ'σ' ※ εν τω κολπω αυτου βαστασει Q[mg] | εν] pr τας ℵ[c.a] (postea ras) | γαστι ℵ* (-τρι ℵ[1?a.b?]) | παρακαλεσει] λεσι sup ras ℵ[1 (vid)] (-σει ℵ[c.b]) 12 τις 1°] τι ℵ* (τις ℵ[1?a.b?])

B σεν τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν
δρακί; τίς ἔστησεν τὰ ὄρη σταθμῷ καὶ τὰς νάπας ζυγῷ; 13τίς ἔγνω 13
νοῦν Κυρίου, καὶ τίς αὐτοῦ σύμβουλος ἐγένετο, ὃς συμβιβᾷ αὐτόν;
14ἢ πρὸς τίνα συνεβουλεύσατο καὶ συνεβίβασεν αὐτόν; ἢ τίς ἔδειξεν 14
αὐτῷ κρίσιν; ἢ ὁδὸν συνέσεως τίς ἔδειξεν αὐτῷ; 15εἰ πάντα τὰ ἔθνη 15
ὡς σταγὼν ἀπὸ κάδου καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν, ὡς σίελος
λογισθήσονται; 16ὁ δὲ Λίβανος οὐχ ἱκανὸς εἰς καῦσιν, καὶ πάντα τὰ 16
τετράποδα οὐχ ἱκανὰ εἰς ὁλοκάρπωσιν, 17καὶ πάντα τὰ ἔθνη ὡς οὐδέν 17
εἰσι καὶ εἰς οὐθὲν ἐλογίσθησαν. 18τίνι ὡμοιώσατε Κύριον, καὶ τίνι 18
ὁμοιώματι ὡμοιώσατε αὐτόν; 19μὴ εἰκόνα ἐποίησεν τέκτων, ἢ χρυσο- 19
χόος χωνεύσας χρυσίον περιεχρύσωσεν αὐτόν; ὁμοίωμα κατεσκεύασεν
αὐτόν; 20ξύλον γὰρ ἄσηπτον ἐκλέγεται τέκτων, καὶ σοφῶς ζητήσει 20
πῶς στήσει αὐτοῦ εἰκόνα καὶ ἵνα μὴ σαλεύηται. 21οὐ γνώσεσθε; οὐκ 21
ἀκούσεσθε; οὐκ ἀνηγγέλη ἐξ ἀρχῆς ὑμῖν; οὐκ ἔγνωτε τὰ θεμέλια τῆς
γῆς; 22ὁ κατέχων τὸν γῦρον τῆς γῆς, καὶ οἱ ἐνοικοῦντες ἐν αὐτῇ ὡς 22
ἀκρίδες, ὁ στήσας ὡς καμάραν τὸν οὐρανὸν καὶ διατείνας ὡς σκηνὴν
κατοικεῖν, 23ὁ διδοὺς ἄρχοντας ὡς οὐδὲν ἄρχειν, τὴν δὲ γῆν ὡς οὐδὲν 23
ἐποίησεν. 24οὐ γὰρ μὴ φυτεύσωσιν οὐδὲ μὴ σπείρωσιν, οὐδὲ μὴ 24
ῥιζωθῇ εἰς τὴν γῆν ἡ ῥίζα αὐτῶν· ἔπνευσεν ἐπ' αὐτοὺς καὶ ἐξηράν-
θησαν, καὶ καταιγὶς ὡς φρύγανα λήμψεται αὐτούς. 25νῦν οὖν τίνι 25
με ὡμοιώσατε, καὶ ὑψωθήσομαι; εἶπεν ὁ ἅγιος. 26ἀναβλέψατε εἰς 26
ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ ἴδετε· τίς κατέδειξεν πάντα ταῦτα;
ὁ ἐκφέρων κατ' ἀριθμὸν τὸν κόσμον αὐτοῦ, πάντας ἐπ' ὀνό-

ℵAQΓ 12 χειρι] + οι γ' ※ αυτου Q^{mg} | om δρακι ut vid Γ | εστηκεν Γ 13 συμβουλος αυτου AQΓ | συμβιβα] συμβιβασει $ℵ^{c.a}$ (-βασι sed rurs ras σι) $AQ^{mg}Γ$ 14 συνησεως Γ | αυτω 2°] + η τις προεδωκεν αυτω και ανταποδοθησεται (-δωθ. A) αυτω $ℵ^*$ (improb $ℵ^{c.b\ et\ postea}$) A 15 ωσταγων B^* (ως στ. B^{ab}) | καδου] αδ sup ras A^a | ως 3°] pr και ℵAQΓ | ως σιελος] ως σιελον A^* ωσι ελαιον (ι ελαι sup ras) $A^{a\ vid}$ 16 εις 2°] ς sup ras A^a | ολοκαρπωσιν] ολοκαυτωσιν Q (ολοκαρπ. Q^b) 17 εισιν ℵAQΓ | ουθεν] ουδεν ℵQ | ελογισθησαν] + οι γ' ※ αυτω Q^{mg} 18 ωμοιωσατε 1°] ομοιωσατε $ℵ^{c.a}$ (ωμ. postea restit) | ωμοιωματι $ℵ^{*\ d.a}$ (ομ. $ℵ^{c.a,\ c.b}$) A | ωμοιωσατε 2°] ομοιωσατε $ℵ^{c.a,\ et\ c.b\ (vid)}$ (ωμ. revoc $ℵ^{d.a}$) 19 ομοιωμα] pr η $ℵ^{c.a}$ (postea ras) 20 ζητησει] ζητει $ℵ^{c.b}$ (postea restit -τησει) AQ^* (-τησει Q^b) Γ | στηση Q | αυτου] αυτο ℵ 21 in εγνωτε fort ras aliq B^{ab} 22 ωσκηνην A (sic) 23 ως 1°] εις ℵAQ 24 φυτευσωσιν] σπειρωσιν ℵ (σπιρ.) QΓ σπειρουσιν A | σπειρωσιν] φυτευσωσιν ℵQΓ φυτευσουσιν A | επνευσεν] νευ sup ras $Q^{?\ vid}$ | φρυγανον $ℵ^*$ (-να $ℵ^{c.b}$) | λημψεται (-ται $ℵ^*$)] αναλημψεται $ℵ^{c.b}$AQ (αναληψ.) Γ α' α[ν]ε... (sic ut vid) θ'σ' ομ. τοις ο' Q^{mg} 25 ομοιωσατε ℵ | υψωθησομαι] θ'σ' ισωθησομαι α' εξισωθησομαι Q^{mg} 26 υψος] pr το A | κατεδειξεν] κατεδιωξεν Q^* (δειξ. Q^a) | ταυτα παντα ℵ | κατ] κατα ℵAQΓ | αυτου] αυτων $ℵ^*$ (-του $ℵ^{c.a,\ c.b}$) | παντας] παντα A

ματι καλέσει ἀπὸ πολλῆς δόξης, καὶ ἐν κράτει ἰσχύος οὐδέν σε B
27 ἔλαθεν. [27]Μὴ γὰρ εἴπῃς, Ἰακώβ, καὶ τί ἐλάλησας, Ἰσραήλ
Ἀπεκρύβη ἡ ὁδός μου ἀπὸ τοῦ θεοῦ, καὶ ὁ θεός μου τὴν κρίσιν
28 ἀφεῖλεν καὶ ἀπέστη; [28]καὶ νῦν οὐκ ἔγνως; εἰ μὴ ἤκουσας; θεὸς
αἰώνιος, ὁ θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, οὐ πεινάσει οὐδὲ
29 κοπιάσει, οὐδὲ ἔστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ, [29]διδοὺς τοῖς
30 πεινῶσιν ἰσχὺν καὶ τοῖς μὴ ὀδυνωμένοις λύπην. [30]πεινάσουσιν γὰρ
νεώτεροι, καὶ κοπιάσουσιν νεανίσκοι, καὶ ἐκλεκτοὶ ἀνίσχυες ἔσονται·
31 [31]οἱ δὲ ὑπομένοντες τὸν θεὸν ἀλλάξουσιν ἰσχύν, πτεροφυήσουσιν ὡς
ἀετοί, δραμοῦνται καὶ οὐ κοπιάσουσιν, βαδιοῦνται καὶ οὐ πεινάσουσιν.
XLI 1 [1]Ἐγκαινίζεσθε πρός μέ, νῆσοι, οἱ γὰρ ἄρχοντες ἀλλάξουσιν ἰσχύν·
ἐγγισάτωσαν καὶ λαλησάτωσαν ἅμα, τότε κρίσιν ἀναγγειλάτωσαν.
2 [2]τίς ἐξήγειρεν ἀπὸ ἀνατολῶν δικαιοσύνην, ἐκάλεσεν αὐτὴν κατὰ πόδας
αὐτοῦ, καὶ πορεύσεται; δώσει ἐναντίον ἐθνῶν, καὶ βασιλεῖς ἐκστήσει·
καὶ δώσει εἰς γῆν τὰς μαχαίρας αὐτῶν, καὶ ὡς φρύγανα ἐξωσμένα τὰ
3 τόξα αὐτῶν· [3]καὶ διώξεται αὐτούς, διελεύσεται ἐν εἰρήνῃ ἡ ὁδὸς τῶν
4 ποδῶν αὐτοῦ. [4]τίς ἐνήργησεν καὶ ἐποίησεν ταῦτα; ἐκάλεσεν αὐτὴν ὁ
καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχῆς· ἐγὼ θεὸς πρῶτος, καὶ εἰς τὰ ἐπερ-
5 χόμενα ἐγώ εἰμι. [5]εἴδοσαν ἔθνη καὶ ἐφοβήθησαν, τὰ ἄκρα τῆς γῆς
6 ἤγγισαν καὶ ἦλθον ἅμα, [6]κρίνων ἕκαστος τῷ πλησίον βοηθῆσαι καὶ
7 τῷ ἀδελφῷ, καὶ ἐρεῖ [7]Ἴσχυσεν ἀνὴρ τέκτων, καὶ χαλκεὺς τύπτων
σφύρῃ, ἅμα ἐλαύνων· ποτὲ μὲν ἐρεῖ Σύμβλημα καλόν ἐστιν, ἰσχύρωσεν

26 πολλης] πασης ℵ* (πολλ. ℵ[c.b]) pr της A 27 μη γαρ ειπης] ℵAQΓ σ' διατι λεγεις Q[mg] | απεστην ℵ 28 ουκ] ουκετι ℵ*[c.a (vid)] (ουκ ℵ[c.b]) | εγνως ει] γνωσει ℵ* γνωσει ει ℵ[c.a vid] εγνως ει ℵ[c.b] (postea revoc γνωσει) | ο θεος] om ο A θε̄ Q | πεινασει] πινασῃ ℵ*[txt] (-σι*[comm] -σει ℵ[c.b]) + ουδε διψησι ℵ* (-σει ℵ[c.b]) postea improb ℵ[c.a (vid)] 29 πινουσιν (sic) Q* (πειν. Q[a]) 30 ανισχυες εσονται] α' σκανδαλισθησονται θ'σ' ασθενησουσιν Q[mg] XLI 1 ενκαινιζεσθε ℵ | με] μ sup ras A[1] | αλλαξουσιν] αλαλαξουσιν ℵ | κρισιν] κρισεις A (σ 1° sup ras A[1]) | αναγγειλατωσαν] + αμα τοτε κρισιν αναγγειλατωσαν Q* (improb Q[corr]) 2 απο] απ Γ | om και 1° A | και πορ. sub ÷ Q | εναντιον] θ' κατα προσωπον αυτου σ' εμπροσθεν αυτου Q[mg] | εις γην] οι γ' ως χουν Q[mg] | εξωσμενα] θ' εξωθουμενα Q[mg] 3 διελευσεται] pr και ℵAQ | αυτου] + θ' ※ ουχ ηξει Q[mg] 4 εκαλεσεν αυτην sub ÷ Q | αυτην απο γενεων] θ' τας γενεας εξ Q[mg] | αρχης] αρχεων ℵ* (-χαιων ℵ[c.b]) 5 ιδοσαν Γ | γης] + θ' ※ εξεστησαν Q[mg] | ηλθον (-θοσαν ℵAQΓ)] α' ηκασιν Q[mg] 6 κρινων...ερει] α' ανηρ συν ετερω αυτου βοηθησουσιν ϗ τω αδελφω αυτου ειπεν Q[mg] | το πλησιον Γ* | και τω αδελφω βοηθησαι ℵAQΓ 7 ισχυσν ℵ* (-σεν ℵ[a.c. c]) | ανηρ] ρ sup ras ℵ[1] | incep χαλκεο ℵ* | σφυρη (-ρα ℵ*Q[a] -ρῃ ℵ[c.b]Q*) | αμα om A*[vid] (σφυρη| αμα ελαυνων in mg et sup ras A[a]) | ποτε] τοτε A | συμβλημα καλον εστιν] α'θ' τη κολλη αγαθον εστι σ' εις κολλησιν εστιν (sic) Q[mg] | ισχυρωσαν ℵAQ

B αὐτὰ ἐν ἥλοις· θήσουσιν αὐτὰ καὶ οὐ κινηθήσονται. [8]Σὺ δέ, 8
Ἰσραήλ, παῖς μου Ἰακώβ ὃν ἐξελεξάμην, σπέρμα Ἀβραὰμ ὃν ἠγά-
πησα· [9]οὗ ἀντελαβόμην ἀπ᾽ ἄκρων τῆς γῆς, καὶ ἐκ τῶν σκοπιῶν 9
αὐτῆς ἐκάλεσά σε καὶ εἶπά σοι Παῖς μου εἶ, ἐξελεξάμην σε καὶ οὐκ
ἐγκατέλιπόν σε· [10]μὴ φοβοῦ, μετὰ σοῦ γάρ εἰμι· μὴ πλανῶ, ἐγὼ γάρ 10
εἰμι ὁ θεός σου ὁ ἐνισχύσας σε, καὶ ἐβοήθησά σοι καὶ ἠσφαλισάμην σε
τῇ δεξιᾷ τῇ δικαίᾳ μου. [11]ἰδοὺ αἰσχυνθήσονται καὶ ἐντραπήσονται 11
πάντες οἱ ἀντικείμενοί σοι, ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ ἀπολοῦνται
πάντες οἱ ἀντίδικοί σου. [12]ζητήσεις αὐτούς, καὶ οὐ μὴ εὕρῃς τοὺς 12
ἀνθρώπους οἳ παροινήσουσιν εἰς σέ· ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ
οὐκ ἔσονται οἱ ἀντιπολεμοῦντές σε. [13]ὅτι ἐγὼ ὁ θεός σου ὁ κρατῶν 13
τῆς δεξιᾶς σου, ὁ λέγων σοι Μὴ φοβοῦ, [14]Ἰακώβ, ὀλιγοστὸς Ἰσραήλ· 14
ἐγὼ ἐβοήθησά σοι, λέγει ὁ θεὸς ὁ λυτρούμενος Ἰσραήλ. [15]ἰδοὺ 15
ἐποίησά σε ὡς τροχοὺς ἁμάξης ἀλοῶντας καινοὺς πριστηροειδεῖς, καὶ
ἀλοήσεις ὄρη καὶ λεπτυνεῖς βουνούς, καὶ ὡς χνοῦν θήσεις, [16]καὶ 16
λικμήσεις· καὶ ἄνεμος λήμψεται αὐτούς, καὶ καταιγὶς διασπερεῖ αὐτούς.
σὺ δὲ εὐφρανθήσῃ ἐν τοῖς ἁγίοις Ἰσραήλ, [17]καὶ ἀγαλλιάσονται οἱ 17
πτωχοὶ καὶ οἱ ἐνδεεῖς. ζητήσουσιν γὰρ ὕδωρ καὶ οὐκ ἔσται, ἡ γλῶσσα
αὐτῶν ἀπὸ τῆς δίψης ἐξηράνθη· ἐγὼ Κύριος ὁ θεός, ἐπακούσομαι ὁ
θεὸς Ἰσραὴλ καὶ οὐκ ἐγκαταλείψω αὐτούς, [18]ἀλλὰ ἀνοίξω ἐπὶ τῶν 18
ὀρέων ποταμοὺς καὶ ἐν μέσῳ πεδίων πηγάς, ποιήσω τὴν ἔρημον εἰς

ℵAQΓ 7 [καλ]λον εστιν...θησ.] pr obelos B* (non inst B^{b}) | θησουσιν αυτα sub ÷ Q 9 ακρων] ακρω ℵ* (-ρων ℵ$^{c.a}$) ακρου Q | ει] + συ Γ | ενκατελιπον ℵQ^{*vid} εγκατελειπον AQ^{a}Γ 10 om ειμι 2° ℵ ει| μη Γ | om σου 2° ℵ | ο ενισχυσας] ενισχυσα ℵ pr και εν| σοι δοξασθησομαι| και εγω ειπα κενως| εκοπιασα εις ματαια| μη πλανω εγω γαρ| ειμι [ο] θεος σου Γ 11 εσχυνθησομαι ℵ* (αισχυνθησονται ℵ$^{c.b}$ -σονται fort iam ℵ$^{c.a}$) 12 ζητησης Q* (-σεις Q^{a}) 13 ο θεος] pr οι γ′ ※ κ̅ς̅ Q^{mg} | om σου 1° ℵ* (hab ℵ$^{c.b}$) AΓ | om σοι 1° Γ | φοβου] + οι γ′ ※ εγω εβοηθησα σοι μη φοβου σκωληξ Q^{mg} 14 ολιγοστος (ολιαστ. B* ολιγ. B^{ab})] + ει Γ | Ισραηλ 1°] pr ι ℵ* (ει ℵ$^{c.a}$) postea ras | λυτρουμενος] λυτρωσαμενος Q + σε ℵAQΓ | Ισραηλ 2°] pr οι γ′ ※ αγιος Q^{mg} 15 σε] σοι Γ | om αλοωντας ℵ* (hab ℵ$^{c.a}$) | πριστηροειδεις (πριστηροιδις [η sup ras] ℵ* -δεις ℵ$^{c.b}$)] πριστοειδεις A | χνουν] χουν AΓ 16 λικμησεις (λιχμ. ℵ* λικμ. ℵ$^{c.a\,(vid)}$)...αυτους (1°)] θ′σ′ ομοιως τοις ο′ λικμησεις αυτους ϗ ανεμος λημψεται αυτους α′ λ. αυτους ϗ ανεμος αρει αυτους Q^{mg} | ληψεται Q | καταιγις] α′ λαιλαψ Q^{mg} | om αυτους 2° Q | εὐφρανθηση...Ισραηλ] θ′σ′ αγαλλιαση εν κ̅ω̅ (οι γ′ ※ εν πιστι) ϗ εν τω αγιω Ι̅η̅λ̅ Q^{mg} 17 και αγαλλιασονται (αγαλιασ. ℵ)] α′θ′ καυχησῃ σ′ επαινεσθηση Q^{mg} | οι πτωχοι...ουκ εσται] θ′ οι πτ. ϗ οι ενδ. ζητουντες υδωρ και ουκ εστι̅ α′σ′ οι πενητες ϗ οι πτωχοι ζητουσιν υδωρ ϗ ουκ εστιν Q^{mg} | η γλωσσα] pr και ℵ* (improb ℵ$^{c.b}$) | εξηρανθη] εξηρανθησεται ℵ* (ε improb ℵ$^{1\ \text{fort et postea}}$) | επακουσομαι] pr εγω ℵAQΓ | θεος 2°] αγιος Q | ενκαταλιψω ℵ

19 ἕλη ὑδάτων καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς, [19]θήσω εἰς τὴν ἄνυ- B
20 δρον γῆν κέδρον καὶ πύξον, μυρσίνην καὶ κυπάρισσον καὶ λεύκην· [20]ἵνα
ἴδωσιν καὶ γνῶσιν καὶ ἐννοηθῶσιν καὶ ἐπιστῶνται ἅμα ὅτι χεὶρ Κυρίου
21 ἐποίησεν ταῦτα, καὶ ὁ ἅγιος τοῦ Ἰσραὴλ κατέδειξεν. [21]Ἐγγίζει
ἡ κρίσις ὑμῶν, λέγει Κύριος ὁ θεός· ἤγγισαν αἱ βουλαὶ ὑμῶν, λέγει ὁ
22 βασιλεὺς Ἰακώβ. [22]ἐγγισάτωσαν καὶ ἀναγγειλάτωσαν ὑμῖν ἃ συμ-
βήσεται, ἢ τὰ πρότερον τίνα ἦν εἴπατε, καὶ ἐπιστήσομεν τὸν νοῦν,
23 καὶ γνωσόμεθα τί τὰ ἔσχατα, καὶ τὰ ἐπερχόμενα εἴπατε ἡμῖν· [23]ἀναγ-
γείλατε ἡμῖν τὰ ἐπερχόμενα ἐπ' ἐσχάτου, καὶ γνωσόμεθα ὅτι θεοί
ἐστε. εὖ ποιήσατε καὶ κακώσατε, καὶ θαυμασόμεθα, καὶ ὀψόμεθα ἅμα·
24 [24]ὅτι πόθεν ἐστὲ ὑμεῖς καὶ πόθεν ἡ ἐργασία ὑμῶν; ἐκ γῆς· βδέλυγμα
25 ἐξελέξαντο ὑμᾶς. [25]ἐγὼ δὲ ἤγειρα τὸν ἀπὸ βορρᾶ καὶ τὸν ἀφ' ἡλίου
ἀνατολῶν, κληθήσονται τῷ ὀνόματί μου· ἐρχέσθωσαν ἄρχοντες, καὶ
ὡς πηλὸς κεραμέως καὶ ὡς κεραμεὺς καταπατῶν τὸν πηλόν, οὕτως
26 καταπατηθήσεσθε. [26]τίς γὰρ ἀναγγελεῖ τὰ ἐξ ἀρχῆς, ἵνα γνῶμεν,
καὶ τὰ ἔμπροσθεν, καὶ ἐροῦμεν ὅτι ἀληθῆ ἐστιν; οὐκ ἔστιν ὁ προλέγων,
27 οὐδὲ ὁ ἀκούων ὑμῶν τοὺς λόγους. [27]ἀρχὴν Σειὼν δώσω, καὶ Ἰερου-
28 σαλὴμ παρακαλέσω. [28]ἀπὸ γὰρ τῶν ἐθνῶν ἰδοὺ οὐδείς, καὶ ἀπὸ τῶν
εἰδώλων αὐτῶν οὐκ ἦν ὁ ἀναγγέλλων· καὶ ἐὰν ἐρωτήσω αὐτοὺς πόθεν
29 ἐστέ, οὐ μὴ ἀποκριθῶσίν μοι. [29]εἰσὶν γὰρ οἱ ποιοῦντες ὑμᾶς, καὶ
μάτην οἱ πλανῶντες ὑμᾶς.
XLII 1 [1]Ἰακὼβ ὁ παῖς μου, ἀντιλήμψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου,

18 om *υδατων* ℵ$^{c.b}$ (postea restit) AQ (hab *οι γ' ※ υδ.* Q^{mg}) | *γην*] *την* ℵ ℵAQΓ
19 *εις την ανυδρον...λευκην*] *α'..ελατην.. θ' ※ εν τη αραβα βραθυ θαδδαρ ϗ θαασσουρ αμα σ' [εν τη] αβατω κυπαρισσ̄ πτελαιαν και πυξον* Q$^{mg\ vid}$ | *κεδρων* ℵ* (*κεδρον* ℵ$^{c.a,\ c.b}$) | *μυρσινην*] pr *και* ℵ$^{c.a}$AQ **20** *ιδωσιν*] *ειδοσιν* Γ | *επιστωνται*] *επισπωνται* A | *ταυτα*] pr *παντα* ℵ$^{c.b}$+*παντα* AQ | *του Ισραηλ* (*στρα|ης* (sic) ℵ* *Ισρ.* ℵ$^{c.b}$)] om *του* Γ | *κατεδειξεν*] *κατεδιωξεν* Q* (*κατεδειξ.* Q^{a})
22 om *και αναγγειλατωσαν* ℵ* (hab ℵ$^{a.b\ (vid),\ c}$) | *υμιν*] *οι γ' ημιν* Q^{mg} | *τα προτερα* ℵAQΓ *σ' τα πρωτα θ' τα αρχαια* Q^{mg} | *επιστησατε* ℵ* (*-σομεν* ℵ$^{c.b}$) | *γνωσωμεθα* Γ* **23** om *ημιν* ℵ$^{c.b}$AQ* (hab Q^{mg}) | om *επερχομενα* Γ | *κακωσετε* Q | om *και οψομεθα αμα* A | *αιμα* Q* (*αμα* Q^{a})
25 om *δε* A | *αφ*] *απ* AQ | *κληθησονται*] *κλησονται* A+*γαρ* Γ | *κεραμεους* ℵ* (*-μευς* ℵ$^{c.b\ (vid)}$) | *καταπατηθησεται* ℵ* (*-θησεσθαι* ℵ$^{c.a,\ c.b}$) **26** *εστιν* 1° sub ÷ Q | *ουδε*] *ουδ* AQ | *ο ακουων*] om *ο* A | *τους λογους υμων* ℵ$^{c.b}$AQ
27 *Σιων* B^{b}AQΓ | *Ιελημ* ℵ | *παρακαλεσω*]+*εις οδον* B^{ab}ℵQΓ+*εν οδω* A
28 *ουδεις*] *ουθεις* ℵAQ | *ατων* ℵ* (*αυτ.* ℵ$^{vix\ ante\ c}$) | *ερωτησω*] *επερωτησω* Q^{mg}
29 *εισιν γαρ...υμας* (2°)] *θ' ιδου παντες αυτοι αδικοι ουδεν τα εργα αυτων ανεμος ϗ κενον το χωνευμα αυτων* [*σ'*?]...*αοικοι* (sic) *και ματαιοτης οι πλασσο̄|τες υμας* Q^{mg} XLII **1** *Ιακωβ* sub ÷ Q^{vid} | *Ιακωβ...μου* (3°)] *θ' ιδου ο παις μου αντιληψεται αυτου ο εκλεκτος μου ον ευδοκησεν η ψυχη μου* Q^{mg} | *αντιληψομαι* Q^{a} | *Ισραηλ*] pr ÷ et adnot *εν τω εβραικω ουτε το Ιακωβ ονομα ουτε το Ιηλ φερεται* Q^{mg}

B προσεδέξατο αὐτὸν ἡ ψυχή μου· ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτόν,
κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει· [2]οὐ κεκράξεται οὐδὲ ἀνήσει, οὐδὲ ἀκου- 2
σθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. [3]κάλαμον τεθλασμένον οὐ συντρίψει, 3
καὶ λίνον καπνιζόμενον οὐ σβέσει, ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει κρίσιν·
[4]ἀναλάμψει καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν· καὶ 4
ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. [5]οὕτως λέγει Κύριος ὁ θεὸς ὁ 5
ποιήσας τὸν οὐρανὸν καὶ πήξας αὐτόν, ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν
αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς καὶ πνεῦμα τοῖς πατοῦσιν
αὐτήν. [6]ἐγὼ Κύριος ὁ θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω 6
τῆς χειρός σου καὶ ἐνισχύσω σε, καὶ ἔδωκά σε εἰς διαθήκην γένους,
[7]ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους καὶ 7
ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει. [8]ἐγὼ Κύριος ὁ θεός, τοῦτό 8
μού ἐστιν τὸ ὄνομα, τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, οὐδὲ τὰς ἀρετάς
μου τοῖς γλυπτοῖς. [9]τὰ ἀπ' ἀρχῆς ἰδοὺ ἥκασιν, καὶ καινὰ ἃ ἐγὼ ἀναγ- 9
γέλλω, καὶ πρὸ τοῦ ἀναγγεῖλαι ἐδηλώθη ὑμῖν. [10]Ὑμνήσατε τῷ 10
κυρίῳ ὕμνον καινόν· ἡ ἀρχὴ αὐτοῦ, δοξάζετε τὸ ὄνομα αὐτοῦ ἀπ' ἄκρου
τῆς γῆς, οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν καὶ πλέοντες αὐτήν, αἱ
νῆσοι καὶ οἱ κατοικοῦντες αὐτάς. [11]εὐφράνθητι, ἔρημος καὶ αἱ κῶμαι 11
αὐτῆς, ἐπαύλεις καὶ οἱ κατοικοῦντες Κηδάρ. εὐφρανθήσονται οἱ κατοι-
κοῦντες πέτραν, ἀπ' ἄκρου τῶν ὀρέων βοήσουσιν· [12]δώσουσιν τῷ 12
θεῷ δόξαν, τὰς ἀρετὰς αὐτοῦ ἐν ταῖς νήσοις ἀναγγελοῦσιν. [13]Κύριος 13
ὁ θεὸς τῶν δυνάμεων ἐξελεύσεται καὶ συντρίψει πόλεμον, ἐπεγερεῖ

ℵAQΓ 2 κεκραξεται] κραξεται A 3 τεθλασμενον] συντεθλ. A | καπνιζομενον] α'σ'θ' αμαυρον Q^{mg} | αλλα] αλλ Γ | κριν ℵ* (κρισ. ℵ?) 4 αναλαμψει] pr και Γ | και ου] καγου (sic) ℵ* | θραυσθησεται (θραυθ. B* θραυσθ. B^{ab})] σβεσθησεται ℵ* (θραυσθ. ℵ$^{c.a}$) | om γης B* (hab B^{ab}) | om επι 2° Q 5 πηξας αυτον sup ras pl litt A$^{a?}$ (scr την γην και τα εν αυτη A* fort) | διδους] δους A | πατουσν ℵ* (-σιν ℵ^{c}) 6 εκαλεσα σε] α 2°, σ 2° sup ras Q$^{?vid}$ ο καλεσας σε Γ | om και 3° ℵQΓ | εις] pr εις δικαιοσυνην ℵ* (improb ℵ$^{c.a, c.b}$) | γενους] + εις φως εθνων B$^{ab\,mg}$ ℵ$^{c.b}$AQΓ + μου εις φ. εθν. ℵ* 7 τυφλων] τυφλ sup ras 6 vel 7 litt ℵ$^{a.b}$ 8 ο θεος sub ÷ Q | το ονομα] om το ℵQ* (hab Q^{mg}) 9 και καινα...αναγγελλω] α' ϗ καινας εγω αναγγ. σ' καινα δε απαγγ. θ' ϗ καινα ιδου εγω απαγγ. Q^{mg} | om α A | εγω] + ποιω ℵ* (improb ut vid ℵ$^{c.b}$ sed postea revoc) | αναγγελω ℵAQ | αναγγειλαι] ανατειλαι AQ (σ' superscr) οι σ' αναγγειλαι θ' βλαστησε α' αναφυηναι Q^{mg} | υμιν] ημιν Q 10—11 mutila in Γ 10 υμνησατε...το ονομα αυ(του)] pr obelos B^{a} (non inst B^{b}) | κυριω] θω̄ ℵ* (κω̄ ℵ$^{c.b}$) | om δοξαζετε το ονομα αυτου ℵ* (hab δοξαζεται το ο. αυτ. ℵ$^{c.a}$) | απ] επ A | αιρου ℵ* (ακρου ℵ$^{c.a}$) | θαλασσαν] ν sup ras Q$^{?vid}$ | και 2°] α sup ras Q$^{?vid}$ | κατοικουντες] κα sup ras Q$^{?vid}$ 11 ευφρανθητι] α' αρατωσαν θ'σ' επαρατωσαν Q^{mg} | επαυλις ℵ* (-λεις ℵ$^{c.b}$) Q | απ ακρου] επ ακρων ℵAΓ απ ακρων Q | βοησουσιν] om A βοησονται Q 13 επεγειρει Q* (-γερει Q^{a})

14 ζῆλον καὶ βοήσεται ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ μετὰ ἰσχύος. 14 ἐσιώπησα, B
μὴ καὶ ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι; ὡς ἡ τίκτουσα ἐκαρτέρησα,
15 ἐκστήσω καὶ ξηρανῶ ἅμα. 15 ἐρημώσω ὄρη καὶ βουνούς, καὶ πάντα
χόρτον αὐτῶν ξηρανῶ καὶ θήσω ποταμοὺς εἰς νήσους, καὶ ἕλη ξηρανῶ.
16 16 καὶ ἄξω τυφλοὺς ἐν ὁδῷ ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους ἃς οὐκ ᾔδεισαν
πατῆσαι ποιήσω αὐτούς· ποιήσω αὐτοῖς τὸ σκότος εἰς φῶς, καὶ τὰ
σκολιὰ εὐθεῖαν. ταῦτα τὰ ῥήματα ποιήσω καὶ οὐκ ἐγκαταλείψω
17 αὐτούς· 17 αὐτοὶ δὲ ἀπεστράφησαν εἰς τὰ ὀπίσω. αἰσχύνθητε αἰσχύνην,
οἱ πεποιθότες ἐπὶ τοῖς γλυπτοῖς, οἱ λέγοντες τοῖς χωνευτοῖς Ὑμεῖς
ἐστε θεοὶ ἡμῶν.

18 19 18 Οἱ κωφοί, ἀκούσατε, καὶ οἱ τυφλοί, ἀναβλέψατε ἰδεῖν. 19 καὶ τίς
τυφλὸς ἀλλ' ἢ οἱ παῖδές μου, καὶ κωφοὶ ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν;
20 καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ θεοῦ. 20 εἴδετε πλεονάκις, καὶ οὐκ
21 ἐφυλάξασθε· ἠνοιγμένα τὰ ὦτα, καὶ οὐκ ἠκούσατε. 21 Κύριος ὁ θεὸς
22 ἐβουλεύσατο ἵνα δικαιωθῇ καὶ μεγαλύνῃ αἴνεσιν. 22 καὶ εἶδον, καὶ
ἐγένετο ὁ λαὸς πεπρονομευμένος καὶ διηρπασμένος· ἡ γὰρ παγὶς ἐν
τοῖς ταμείοις πανταχοῦ, καὶ ἐν οἴκοις ἅμα, ὅπου ἔκρυψαν αὐτούς,
ἐγένοντο εἰς προνομήν· καὶ οὐκ ἦν ἐξαιρούμενος ἅρπαγμα, καὶ οὐκ
23 ἦν ὁ λέγων Ἀπόδος. 23 τίς ἐν ὑμῖν ὃς ἐνωτιεῖται ταῦτα; εἰσακούσατε
24 εἰς τὰ ἐπερχόμενα 24 οἷς ἔδωκεν εἰς διαρπαγὴν Ἰακὼβ καὶ Ἰσραήλ,
τοῖς προνομεύουσιν αὐτόν. οὐχὶ ὁ θεὸς ᾧ ἡμάρτοσαν αὐτῷ, καὶ
οὐκ ἐβούλοντο ἐν ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι οὐδὲ ἀκούειν τοῦ νόμου
25 αὐτοῦ; 25 καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, καὶ κατίσχυσεν

13 βοησεται] βο[η]σ sup ras pl litt Q^{a} 14 εσιωπησα]+απ αιωνος ℵAQΓ Q^{mg} (sub ※) Γ α' εσιγησα απ αιωνος θ'σ' ομοιως τοις ο' Q^{mg} | μη sub ÷ Q^{vid} | σιωπησωμαι ℵ | εκαρτερησα ως η τικτουσα (τικουσα ℵ) ℵAQΓ | εκστησω] εκτησω ℵ* (εκστ. ℵ^{c}) τ sup ras Q$^{1?vid}$ 15 om ερημωσω...ξηρανω 1° ℵAQ (θ'σ' ※ ερημωσω ο. κ̅ β. κ̅ παντα τον χορτον αυτων ξ. Q^{mg}) Γ 16 ας] ους ℵAQ^{txt} (ας Q^{mg}) Γ | ηδεισαν] εγνωσαν Γ | om αυτους ποιησω ℵ | σκοιλια ℵ* | ευθειαν] pr εις B^{ab}ℵAQΓ | ρηματα]+τα ℵ+α A | ποιησω 3°]+※ αυτοις Q^{mg} | ουκ| B* ου|κ B? | εγκαταλειψω] ε 1° sup ras B? εκαταλ. ℵ 17 απεστραφησαν] απεστρα sup ras ℵ$^{1(vid)}$ (pr ουκ ut vid ℵ*) | γλυπτοις] γλυπτ sup ras 6 litt A^{a} | ημων] υμων ℵ* (ημ. ℵ$^{c.a, c.b}$) 19 αλλ η bis] om η ℵ | κωφοι] pr οι ℵ | και 3°] pr [θ'] ※ τις τυφλος ως ο απεσχηκως Q$^{mg\ vid}$ | του θεου] υ 1° rescr ℵ^{1} 20 ειδετε] ειδε ℵ* (-δεται ℵ$^{c.a}$) ιδετε B^{b}A | ηνοιγμενα] ηνεωγμενα Γ | om ουκ 2° ℵ* (hab ℵ$^{c.a}$) 21 εβουλευσατο] εβουλετο Q | μεγαλυνη] μεγαλυνι ℵ* (-νη ℵ$^{c.a}$) 22 ιδον AΓ | ταμιοις B*ℵ*Q*Γ (-μειοις B^{ab}) ταμειοις ℵ$^{c.b}$ AQ^{a} | οικοις] pr τοις ℵ* (improb ℵ$^{c.b}$) Γ | εξαιρουμενος] pr ο ℵAQΓ 23 ως Γ* (ος Γ$^{1(vid)}$) | εισακουσεται ℵA(Q)Γ+της φωνης του πεδος (παιδ. ℵ$^{c.b}$) αυτου ℵ* (improb ℵ$^{c.b(fort)}$ postea revoc) 24 οις] τις ℵAQ | ημαρτωσαν Γ* (-τοσαν Γ$^{1(vid)}$) | του νομου] pr της φωνης ℵ* το ονομα ℵ^{c} (postea τ. φ. του νομου revoc) 25 κατισχυσεν (-σιν ℵ* -σαν ℵ$^{c.b}$) αυτους πολεμος] α' κ̅ κραταιωσιν πολεμου θ'σ' κ̅ κρατος πολεμου Q^{mg}

B αὐτοὺς πόλεμος, καὶ οἱ συμφλέγοντες αὐτοὺς κύκλῳ, καὶ οὐκ ἔγνωσαν
ἕκαστος αὐτῶν οὐδὲ ἔθεντο ἐπὶ ψυχήν.

[1]Καὶ νῦν οὕτως λέγει Κύριος ὁ θεός, ὁ ποιήσας σε Ἰακώβ, καὶ ὁ 1 XLIII
πλάσας σε Ἰσραήλ Μὴ φοβοῦ, ὅτι ἐλυτρωσάμην σε· ἐκάλεσά σε τὸ
ὄνομά σου, ἐμὸς εἶ σύ. [2]καὶ ἐὰν διαβαίνῃς δι' ὕδατος, μετὰ σοῦ εἰμι, 2
καὶ ποταμοὶ οὐ συνκλύσουσίν σε· καὶ ἐὰν διέλθῃς διὰ πυρός, οὐ μὴ
κατακαυθῇς, φλὸξ οὐ κατακαύσει σε. [3]ὅτι ἐγὼ Κύριος ὁ θεός σου, ὁ ἅγιος 3
Ἰσραήλ, ὁ σῴζων σε· ἐποίησά σου ἄλλαγμα Αἴγυπτον καὶ Αἰθιοπίαν,
καὶ Σοήνην ὑπὲρ σοῦ. [4]ἀφ' οὗ ἔντιμος ἐγένου ἐναντίον ἐμοῦ, ἐδοξά- 4
σθης καὶ ἐγώ σε ἠγάπησα, καὶ δώσω ἀνθρώπους ὑπὲρ σοῦ καὶ
ἄρχοντας ὑπὲρ τῆς κεφαλῆς σου. [5]μὴ φοβοῦ, ὅτι μετὰ σοῦ εἰμι· ἀπὸ 5
ἀνατολῶν ἄξω τὸ σπέρμα σου, καὶ ἀπὸ δυσμῶν συνάξω σε. [6]ἐρῶ τῷ 6
βορρᾷ Ἄγε, καὶ τῷ λιβί Μὴ κώλυε· ἄγε τοὺς υἱούς μου ἀπὸ γῆς
πόρρωθεν, καὶ τὰς θυγατέρας μου ἀπ' ἄκρων τῆς γῆς, [7]πάντας ὅσοι 7
ἐπικέκληνται τῷ ὀνόματί μου. ἐν γὰρ τῇ δόξῃ μου κατεσκεύασα
αὐτὸν καὶ ἔπλασα αὐτὸν καὶ ἐποίησα αὐτόν, [8]καὶ ἐξήγαγον λαὸν 8
τυφλόν, καὶ ὀφθαλμοί εἰσιν ὡσαύτως τυφλοί, καὶ κωφοὶ τὰ ὦτα
ἔχοντες. [9]πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται 9
ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ
ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ
ἀκουσάτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. [10]γένεσθέ μοι μάρτυρες, καὶ 10
ἐγὼ μάρτυς, λέγει Κύριος ὁ θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα
γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου
οὐκ ἐγένετο ἄλλος θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. [11]ἐγὼ ὁ θεός, καὶ 11

ℵAQΓ 25 αυτους 2°] pr επ ℵ* (improb ℵ$^{c.a\,(vid)}$ postea restit) A | και οι συμφλεγοντες (συνφλ. Γ)] θ' ϗ συνεφλογισεν αυτον Q^{mg} XLIII 1 om και 2° ℵAQ* (superscr ϗ Q^{a})   2 διαβαινης] αναβαινης Γ | μετα σου ειμι] εγω ειμι· μετα σου ℵ | συνκλυσουσιν (συνκλουσιν B* συνκλυσ. ℵ* συνκλ. ℵ$^{c.b}$)] συγκλυσουσιν B^{ab}AQ^{a}Γ | ου μη κατακαυθης] α' ου καυσουσι σε σ' ου κατακαυ[σουσι σε] θ' ομοιως τοις ο' Q^{mg} | φλοξ] pr ϗ ℵ$^{c.a}$ | σε 2°] ε Q* (σ superscr Q^{a})   3 σου 1°] incep σοι ℵ* (σου ℵ^{1}) | αλλαγμα] α' εξιλασμου Q^{mg} | Εθιοπιαν ℵ* (Αιθ. ℵ$^{c.b}$) | Σοηνην (ν 2° sup ras A^{a})] Συηνην Γ   4 εμου] μου ℵAQ | και εγω] καγω AQ | ανθρωπους]+πολλους ℵAQΓ   5 δυσμων] δυσμ sup ras A^{a} (bis scr ανατολων A$^{*\,fort}$)   6 ακρου ℵΓ   7 παντες ℵΓ | om αυτον 2° ℵ$^{c.b\,vid}$ (postea restit) AQΓ   8 κωφα Q* (κωφοι Q^{mg}) | τα ωτα] om τα A   9 συ̅|ηχθ., συν|αχθ. B* συ|νηχθ., συνα|χθ. B$^{?}$ | ταυτα]+αυτοις ϗ τουτο Q^{mg} | τις αναγγελει υμιν] θ'σ' ακουτισατωσα̅ ημας Q^{mg} | om και ακουσατωσαν ℵAQ | ειπατωσαν] ω sup ras B$^{?\,vid}$ | αληθη]+ϗ ακουσατωσαν ℵ$^{c.b}$A   10 γενεσθε] γινεσθε Q | και εγω] καγω AQ | om και 2° Γ | πιστευσητε]+μοι A | improb και συνητε ℵ$^{?}$ (postea revoc) | ουκ|εστ. B* ου|κ ε. B$^{?}$ (item 11)

12 οὐκ ἔστιν πάρεξ ἐμοῦ σώζων. [12]ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ B
οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ θεὸς
13 [13]ἔτι ἀπ᾽ ἀρχῆς, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος·
ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό;
14 [14]Οὕτως λέγει Κύριος ὁ θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος Ἰσραήλ
Ἕνεκεν ὑμῶν ἀποστελῶ εἰς Βαβυλῶνα καὶ ἐπεγερῶ φεύγοντας πάντας,
15 καὶ Χαλδαῖοι ἐν πλοίοις δεθήσονται. [15]ἐγὼ Κύριος ὁ θεὸς ὁ ἅγιος
16 ὑμῶν, ὁ καταδείξας Ἰσραὴλ βασιλέα ὑμῶν. [16]οὕτως λέγει Κύριος ὁ
17 διδοὺς ἐν θαλάσσῃ ὁδὸν καὶ ἐν ὕδατι ἰσχυρῷ τρίβον, [17]ὁ ἐξαγαγὼν
ἅρματα καὶ ἵππον καὶ ὄχλον ἰσχυρόν· ἀλλὰ κοιμηθήσονται καὶ
18 οὐκ ἀναστήσονται, ἐσβέσθησαν ὡς λίνον ἐσβεσμένον. [18]Μὴ μνημο-
19 νεύετε τὰ πρῶτα, καὶ τὰ ἀρχαῖα μὴ συλλογίζεσθε· [19]ἰδοὺ ἐγὼ ποιῶ
καινὰ ἃ νῦν ἀνατελεῖ, καὶ γνώσεσθε αὐτά. καὶ ποιήσω ἐν τῇ ἐρήμῳ
20 ὁδὸν καὶ ἐν τῇ ἀνύδρῳ ποταμούς· [20]εὐλογήσουσί με τὰ θηρία τοῦ
ἀγροῦ, σειρῆνες καὶ θυγατέρες στρουθῶν, ὅτι ἔδωκα ἐν τῇ ἐρήμῳ ὕδωρ
21 καὶ ποταμοὺς ἐν τῇ ἀνύδρῳ, ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτόν, [21]λαόν
22 μου ὃν περιεποιησάμην τὰς ἀρετάς μου διηγεῖσθαι. [22]οὐ νῦν ἐκάλεσά
23 σε, Ἰακώβ, οὐδὲ κοπιᾶσαί σε ἐποίησα, Ἰσραήλ· [23]οὐκ ἐμοὶ πρόβατά
σου τῆς ὁλοκαρπώσεώς σου, οὐδὲ ἐν ταῖς θυσίαις σου ἐδόξασάς με,
24 οὐδὲ ἔγκοπον ἐποίησά σε ἐν λιβάνῳ, [24]οὐδὲ ἐκτήσω μοι ἀργυρίου
θυσίασμα, οὐδὲ τὸ στέαρ τῶν θυσιῶν σου ἐπεθύμησα, ἀλλὰ ἐν ταῖς
25 ἁμαρτίαις σου προέστης μου καὶ ἐν ταῖς ἀδικίαις σου. [25]ἐγώ εἰμι ἐγώ

11 εσιν ℵ* (εἰστιν ℵ$^{c.a}$: item 13) **12** ανηγγειλα] απηγγειλα pr οι γ' ℵAQΓ ※ εγω Q^{mg} | om ωνειδισα Γ | ημιν] υμιν ℵAQΓ | και εγω] καγω μαρτυς λεγει AQ **13** ο εκ] om ο ℵ* (hab ℵ$^{c.a}$) **14** om ο θεος Γ | παντας φευγοντας (φευοντ. ℵ* φευγονταις ℵ$^{c.a}$) ℵA (γ in φευγ. sup ras A^{a}) QΓ | Χαλδεοι ℵ | πλοιοις (πλιοις ℵ*)] κλοιοις ℵ$^{c.a}$A εν ναυσιν Q^{mg} **16** ουτως] pr οι γ' ※ οτι Q^{mg} | οδον εν θαλασση ℵAQΓ **17** εξαγαγων] εξαγων A | αλλα] αλλ B^{ab}ℵ | κοιμηθησονται] εκοιμηθησαν B^{ab}ℵAQΓ | εσβεσμενων ℵ^{1} **18** om μη 1° A | τα αρχαια και τα πρωτα Γ **19** ιδου] pr οι γ' ※ οτι Q^{mg} | εγω ποιω] om εγω ℵ$^{c.b}$ (postea revoc) AΓ ποιω εγω Q | ανατελει] ανατελω ℵ* (-τελει ℵ$^{c.a, c.b}$) | om αυτα ℵ$^{c.b}$ (postea revoc) | τη ανυδρω] γη αν. Q **20** ευλογησουσι (-σει B* -σιν Γ)] ευλογησι ℵ* -σει ℵ$^{c.b}$AQ pr και Q | τα θηρια] pr παντα Γ | σειρηνες (σιρ. Q* σειρ. Q^{a})] θ' θεννῑ Q^{mg} | θυγ. στρουθων] α' στρουθοκαμηλοι Q^{mg} | εν 2°] pr εν γη διψωσση (σ 2° postea ras) ℵ* (improb rurs restit ℵ$^{?}$) | ποτισαι] ποτιω A **21** λαον] pr τον Q **22** ου νυν εκαλεσα σε] α'θ' ϛ ουκ εμε εκαλεσας Q^{mg} | ουδε] ου A **23** ουκ] + οι γ' ※ ηνεγκας Q^{mg} | om σου 1° ℵAQΓ | με] + ουδε εδουλευσας μοι (om μοι AΓ) εν ταις θυσιαις σου ℵ$^{c.a}$AΓ + ουκ εδουλωσα σε εν θυσιαις: θ'σ' ου κατεδουλωσαμην σε α' ομοιως τοις σ' Q^{mg} | εγκοπον B^{ab}ℵAQΓ | σε] ε A* (σ superscr A^{1}) **24** εκτησε Γ$^{?vid}$ | θυσιασμα] θυμιαμα ℵAQ | το στεαρ] om το ℵ* (hab ℵ$^{c.b}$) AΓ | επιθυμησα Γ | εν ταις αμ. σου] ita α'σ'θ' Q^{mg} | om προεστης μου ℵAQΓ σ'α' εκοπωσας με θ' εγκοπον εποιησας με Q^{mg} | σου 3°] + προεστην σου ℵAQ^{a} (?Γ) + προεστης μου Q* (?Γ)

B εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου ἕνεκεν ἐμοῦ, καὶ τὰς ἁμαρτίας σου,
καὶ οὐ μνησθήσομαι. 26 σὺ δὲ μνήσθητι καὶ κριθῶμεν· λέγε σὺ τὰς 26
ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. 27 οἱ πατέρες ὑμῶν πρῶτοι καὶ 27
οἱ ἄρχοντες ὑμῶν ἠνόμησαν εἰς ἐμέ, 28 καὶ ἐμίαναν οἱ ἄρχοντες τὰ 28
ἅγιά μου· καὶ ἔδωκα ἀπολέσαι Ἰακώβ, καὶ Ἰσραὴλ εἰς ὀνειδισμόν.
1 νῦν δὲ ἄκουσον, Ἰακὼβ ὁ παῖς μου, καὶ Ἰσραὴλ ὃν ἐξελεξάμην, 1 XLIV
2 οὕτως λέγει Κύριος ὁ θεὸς ὁ ποιήσας σε, καὶ ὁ πλάσας σε ἐκ κοιλίας 2
Ἔτι βοηθηθήσῃ· μὴ φοβοῦ, παῖς μου Ἰακώβ, καὶ ὁ ἠγαπημένος Ἰσραὴλ
ὃν ἐξελεξάμην. 3 ὅτι ἐγὼ δώσω ὕδωρ ἐν δίψει τοῖς πορευομένοις ἐν 3
ἀνύδρῳ, ἐπιθήσω τὸ πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου, καὶ τὰς εὐλογίας
μου ἐπὶ τὰ τέκνα σου, 4 καὶ ἀνατελοῦσιν ὡς ἀνὰ μέσον ὕδατος χόρτος, 4
καὶ ὡς ἰτέα ἐπὶ παραρρέον ὕδωρ. 5 οὗτος ἐρεῖ Τοῦ θεοῦ εἰμι, καὶ οὗτος 5
βοήσεται ἐπὶ τῷ ὀνόματι Ἰακώβ, καὶ ἕτερος ἐπιγράψει χειρὶ αὐτοῦ
Τοῦ θεοῦ εἰμι· ἐπὶ τῷ ὀνόματι Ἰσραὴλ καὶ βοήσεται.

6 Οὕτως λέγει ὁ βασιλεὺς Ἰσραὴλ καὶ ῥυσάμενος αὐτόν, θεὸς 6
σαβαώθ Ἐγὼ πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα, πλὴν ἐμοῦ οὐκ ἔστιν θεός.
7 τίς ὥσπερ ἐγώ; στήτω καὶ καλεσάτω καὶ ἀναγγειλάτω, καὶ ἑτοιμα- 7
σάτω μοι ἀφ᾽ οὗ ἐποίησα ἄνθρωπον εἰς τὸν αἰῶνα, καὶ τὰ ἐπερχόμενα
πρὸ τοῦ ἐλθεῖν ἀναγγειλάτωσαν ὑμῖν. 8 μὴ παρακαλύπτεσθε μηδὲ 8
πλανᾶσθε· οὐκ ἀπ᾽ ἀρχῆς ἠνωτίσασθε, καὶ ἀπήγγειλα ὑμῖν; μάρτυρες
ὑμεῖς ἐστε εἰ ἔστιν θεὸς πλὴν ἐμοῦ· καὶ οὐκ ἤκουσαν τότε. 9 οἱ 9

ℵAQΓ 25 ειμι 2°] + οι γ′ ※ αυτος Q^{mg} om $Γ^{vid}$ | εξαλιφων $B^{*}ℵQ^{*}$ (εξαλειφ. B^{ab} $AQ^{a}Γ$) | om ενεκεν εμου και τας αμ. σου ℵAQΓ θ′ ※ ενεκεν...σου Q^{mg} | ου] + μη B^{ab}ℵAQΓ | μνησθησομαι] + τας αδικιας σου A 26 κριθωμεν] + α′θ′ ※ αμα Q^{mg} | πρωτος] πρωτον ℵΓ pr ÷ $Q^{?}$ 27 υμων 1°] ημων A | πρωτοι] πρωτον Q^{*} + ※ ημαρτο̄| οι γ′ ημαρτεν Q^{mg} | υμων 2°] αυτων ℵAQΓ 28 αρχοντες] + σου Q | Ισραηλ] Ιλ̄ημ A XLIV 1 Ιακωβ ο παις μου] παις μου Ι. ℵAQΓ 2 om σε 2° $ℵ^{*}$ (hab $ℵ^{c.a}$) | βοηθηθησει $ℵ^{*}$ (-σῃ $ℵ^{1}$) 2—3 ον εξελεξαμην οτι ε sup ras ut vid $B^{?}$ 3 οτι] ετι (α′θ′ οτι) Q^{mg} | εν διψει υδωρ Q | επι 1°] incep επι σ $ℵ^{*}$ | το 2°] incep τος $ℵ^{*}$ | και τας ευλογιας μου] θ′σ′ ϗ την ευλογιαν μου α′ [και] ευλογιαν μου Q^{mg} | om σου 2° Q^{vid} 4 ως 1°] ωσει AQ | χορτος ανα μεσον υδ. $ℵ^{c.b}$AQ | improb και 2° $ℵ^{c.b}$ | παραρεον ℵ (παρεον $ℵ^{*}$ παραρ. $ℵ^{c.a}$) AQΓ 5 βοησεται 1°] ερει A | επιγραψει] επιγραψη ℵ επιγραφει A | om χειρι αυτου ℵAQΓ α′θ′ ※ χειρα αυτου Q^{mg} | om και βοησεται $ℵ^{c}$AQ (hab βοησ. Q^{mg}) 6 λεγει] + ο θ̅ς̅ B^{ab}ℵAQ + κ̅ς̅ ο θ̅ς̅ Γ | om ο βασιλευς $ℵ^{*}$ (hab $ℵ^{c.a}$) | Ισραηλ] pr του ℵA | και ρυσαμενος] ο ρυσ. ℵAQΓ | σαβαωθ] Ι̅σ̅λ̅ Γ 7 ωσπερ] περ rescr $ℵ^{1}$ | om και 1° AQ | στητω (sub ÷ Q)] + ϗ καλεσατω $ℵ^{c.a}$ | καλεσατω] λαλησατω ℵ + ϗ καλεσατω $ℵ^{c.a}$ | om και αναγγειλατω $ℵAQ^{*}$ (hab sub ※ Q^{mg}) Γ | εποιησα] εταξα Q^{mg} | αιωναν $ℵ^{*}$ (-να $ℵ^{c.a, c.b}$) 8 μη παρακαλυπτεσθε] θ′ μη θαμβεισθε Q^{mg} | om μηδε πλανασθε $ℵAQ^{*}$ (hab θ′ ※ μηδε πλανασθε Q^{mg}) Γ | ηκουσαν] ησαν ℵA

πλάσσοντες καὶ οἱ γλύφοντες, πάντες μάταια, ποιοῦντες τὰ καταθύμια B
10 αὐτῶν ἃ οὐκ ὠφελήσει αὐτούς· ἀλλὰ αἰσχυνθήσονται. [10]οἱ πλάσσοντες
11 θεὸν καὶ γλύφοντες, πάντες ἀνωφελῆ, [11]καὶ πάντες ὅθεν ἐγένοντο
ἐξηράνθησαν, καὶ κωφοὶ ἀπὸ ἀνθρώπων· συναχθήτωσαν πάντες καὶ
12 στήτωσαν ἅμα, καὶ ἐντραπήτωσαν καὶ αἰσχυνθήτωσαν ἅμα. [12]ὅτι
ὤξυνεν τέκτων σίδηρον, σκεπάρνῳ εἰργάσατο αὐτὸ καὶ ἐν τερέτρῳ
ἔστησεν αὐτό, καὶ εἰργάσατο αὐτὸ ἐν τῷ βραχίονι τῆς ἰσχύος αὐτοῦ·
13 καὶ πεινάσει καὶ ἀσθενήσει καὶ οὐ μὴ πίῃ ὕδωρ. [13]ἐκλεξάμενος
τέκτων ξύλον ἔστησεν αὐτὸ ἐν μέτρῳ, καὶ ἐν κόλλῃ ἐρύθμισεν αὐτό,
καὶ ἐποίησεν αὐτὸ ὡς μορφὴν ἀνδρὸς καὶ ὡς ὡραιότητα ἀνθρώπου,
14 στῆσαι αὐτὸ ἐν οἴκῳ. [14]ἔκοψεν ξύλον ἐκ τοῦ δρυμοῦ ὃ ἐφύτευσεν ὁ
15 κύριος, καὶ ὑετὸς ἐμήκυνεν, [15]ἵνα ᾖ ἀνθρώποις εἰς καῦσιν· καὶ λαβὼν
ἀπ' αὐτοῦ ἐθερμάνθη, καὶ καύσαντες ἔπεψαν ἄρτους ἐπ' αὐτῶν· τὸ δὲ
16 λοιπὸν εἰργάσαντο θεούς, καὶ προσκυνοῦσιν αὐτούς. [16]οὗ τὸ ἥμισυ
αὐτοῦ κατέκαυσεν ἐν πυρί, καὶ ἐπὶ τοῦ ἡμίσους αὐτοῦ ἔπεψεν ἐν τοῖς
ἄνθραξιν ἄρτους, καὶ ἐπ' αὐτοῦ κρέας ὀπτήσας ἔφαγεν καὶ ἐνεπλήσθη,
17 καὶ θερμανθεὶς εἶπεν Ἡδύ μοι ὅτι ἐθερμάνθην καὶ εἶδον πῦρ· [17]τὸ δὲ

9 πλασσοντες] + με ℵ$^{\text{c.a vid}}$ (postea ras) | οι γλυφοντες] om οι AQΓ + με ℵAQΓ ℵ$^{\text{c.a vid}}$ (postea ras) | ματαιοι ℵ$^{\text{c.a}}$ (-τεοι) AQΓ | ποιουντες] pr οι ℵAQΓ | αυτων] εαυτων ℵ$^{\text{c.b}}$ 9—10 αλλα...ανωφελη] θ' ※ ϗ μαρτυρες αυτων εισι| ουκ οψονται ϗ ου γνωσονται ινα αισχυ|θωσι| τις πλασσει ισχυρον ϗ γλυπτον χωνευσει εις ανωφελη ιδου πα|τες οι κοινωνουντες αυτω| Q$^{\text{mg}}$ 9 αλλα] αλλ ℵ$^{\text{c.b}}$Γ 10 οι πλασσοντες] pr παντες ℵ* (improb ℵ$^{\text{c.b}}$ postea revoc) AQΓ 10—11 και 1°...απο ανθρ] pr ÷ Q$^{\text{?}}$ 10 οι πλ. θεον και γλυφ sup ras B$^{\text{1?ab}}$ | om παντες ℵAQ* (hab Q$^{\text{mg}}$) Γ 11 στητωσαν] στησονται A | om και 4° ℵAQΓ | εντραπητωσαν...αμα] improb vid ℵ$^{\text{c.b}}$ (postea restit) 12 οτι] pr ÷ Q | σκεπαρνω] σ sup ras A$^{\text{?}}$ | ειργασατο 1°] ηργ. Q$^{\text{* vid}}$ (ειργ. Q$^{\text{a}}$) | αυτο 1°] + οι γ' ※ εν ανθραξι Q$^{\text{mg}}$ | και εν τερετρω εστησεν αυτο] α' ϗ εν σφυραις επλασεν αυτο σ' ϗ εν τερετρω ερυθμισεν αυτο θ'...ρυθμιει αυτο Q$^{\text{mg}}$ | εστησεν] ετρησεν ℵ$^{\text{c.b}}$AQΓ | om και 2° ℵAΓ | και 4°] incep κασ ℵ* 13 εν μετρω] + α' ※ ϗ εμορφωσεν αυτο εν παραγραφιδι εποιησεν αυτο εν περιγωνιοις Q$^{\text{mg}}$ | ερρυθμισεν B$^{\text{ab}}$ | om και 2° ℵAQΓ | om εν οικω ℵ* (hab ℵ$^{\text{c.b}}$) 14 εκοψεν] pr ο ℵAQΓ + θ'α' ※ αυτω κεδρους ϗ ελαβεν αγριοβαλανον ϗ δρυ| ϗ εκαρτερωσεν αυτο Q$^{\text{mg}}$ | ο κυριος] κυριος ℵAQ (sub ÷) οι γ' ο κυριος + ※ πιτυ| Q$^{\text{mg}}$ 15 η] ην ℵ* | ανθρωποις] ανος ℵ* (-νοις ℵ$^{\text{c.a, c.b}}$) | αυτων] αυτου A | ειργασαντο (ηργ. Q$^{\text{* vid}}$)] ειργασατο A | θεους] pr εις ℵAQΓ | αυτους] αυτοις Q* αυτους + θ' ※ εποιησεν αυτο γλυπτον ϗ καμπτει αυτοις Q$^{\text{mg}}$ 16 ημισου B* (-συ B$^{\text{ab}}$) | om αυτου 1° ℵ* (hab ℵ$^{\text{c.b}}$) | κατεκαυσαν ℵQ | και 1°...αρτους] και καυσαντες επεψαν αυτους επ αυτων ℵ* (uncis incl και...αυτων ℵ$^{\text{c.a}}$ restit ℵ$^{\text{c.b}}$) και καυσ. επεψαν (επεπψ. A) αρτους επ αυτων AQ και επεψαν αρτους επ αυτων Γ ϗ επεψε| επι τοις ανθραξι| αυτους ϗ επ αυτου Q$^{\text{mg}}$ | αρτους] ρ sup ras B$^{\text{ab}}$ (αυτ. B$^{\text{* fort}}$) | και επ αυτου] ※ ϗ επι του ημισους αυτου Q$^{\text{mg}}$ | κριας ℵ* (κρεας ℵ$^{\text{c.a, c.b}}$) | οπτησας] pr ÷ Q$^{\text{?}}$ | εφαγεν] + οι γ' ※ ωπτησεν οπτον Q$^{\text{mg}}$ | ιδον A

B λοιπὸν ἐποίησεν εἰς θεὸν γλυπτόν, καὶ προσκυνεῖ καὶ προσεύχεται
πρὸς αὐτὸ λέγων Ἐξελοῦ με, ὅτι θεός μου εἶ σύ. [18]οὐκ ἔγνωσαν 18
φρονῆσαι, ὅτι ἀπημαυρώθησαν τοῦ βλέπειν τοῖς ὀφθαλμοῖς αὐτῶν καὶ
τοῦ νοῆσαι τῇ καρδίᾳ αὐτῶν. [19]καὶ οὐκ ἐλογίσατο τῇ ψυχῇ αὐτοῦ 19
οὐδὲ ἔγνω τῇ φρονήσει ὅτι τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν πυρί, καὶ
ἔπεψεν ἐπὶ τῶν ἀνθράκων αὐτοῦ ἄρτους, καὶ ὀπτήσας κρέα ἔφαγεν,
καὶ τὸ λοιπὸν αὐτοῦ εἰς βδέλυγμα ἐποίησεν καὶ προσκυνοῦσιν αὐτῷ.
[20]γνῶθι ὅτι σποδὸς ἡ καρδία αὐτῶν, καὶ πλανῶνται, καὶ οὐδεὶς 20
δύναται ἐξελέσθαι τὴν ψυχὴν αὐτοῦ· ἴδετε, οὐκ ἐρεῖτε ὅτι Ψεῦδος ἐν
τῇ δεξιᾷ μου. [21]Μνήσθητι ταῦτα, Ἰακὼβ καὶ Ἰσραήλ, ὅτι παῖς μου 21
εἶ σύ· ἔπλασά σε παῖδά μου, καὶ σύ, Ἰσραήλ, μὴ ἐπιλανθάνου μου.
[22]ἰδοὺ γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου, καὶ ὡς γνόφον τὰς 22
ἁμαρτίας σου· ἐπιστράφητι πρὸς μέ, καὶ λυτρώσομαί σε. [23]εὐφράν- 23
θητε, οὐρανοί, ὅτι ἠλέησεν ὁ θεὸς τὸν Ἰσραήλ· σαλπίσατε τὰ θεμέλια
τῆς γῆς, βοήσατε ὄρη εὐφροσύνην, οἱ βουνοὶ καὶ πάντα τὰ ξύλα τὰ ἐν
αὐτοῖς, ὅτι ἐλυτρώσατο ὁ θεὸς τὸν Ἰακώβ, καὶ Ἰσραὴλ δοξασθή-
σεται. [24]Οὕτως λέγει Κύριος ὁ λυτρούμενός σε καὶ πλάσσων σε 24
ἐκ κοιλίας Ἐγὼ Κύριος ὁ συντελῶν πάντα, ἐξέτεινα τὸν οὐρανὸν
μόνος, καὶ ἐστερέωσα τὴν γῆν. [25]τίς ἕτερος διασκεδάσει σημεῖα 25
ἐγγαστριμύθων καὶ μαντείας ἀπὸ καρδίας, ἀποστρέφων φρονίμους εἰς
τὰ ὀπίσω καὶ τὴν βουλὴν αὐτῶν μωρεύων, [26]καὶ ἱστῶν ῥήματα παιδὸς 26
αὐτοῦ, καὶ τὴν βουλὴν τῶν ἀγγέλων αὐτοῦ ἀληθεύων; ὁ λέγων
Ἰερουσαλὴμ Κατοικηθήσῃ, καὶ ταῖς πόλεσιν τῆς Ἰδουμαίας Οἰκοδομη-
§ Z θήσεσθε, καὶ τὰ ἔρημα αὐτῆς ἀνατελεῖ· [27]ὁ λέγων τῇ ἀβύσσῳ Ἐρημω- 27
θήσῃ, καὶ τοὺς ποταμούς σου ξηρανῶ· [28]ὁ λέγων Κύρῳ φρονεῖν, καὶ 28
Πάντα τὰ θελήματά μου ποιήσει· ὁ λέγων Ἰερουσαλὴμ Οἰκοδομηθήσῃ,
¶ Z καὶ τὸν οἶκον τὸν ἅγιόν μου θεμελιώσω ¶.

ℵAQZΓ 17 εποιησεν] ηργασαντο Q^{*vid} ειργ. Q^{a} (εποιησεν Q^{mg}) | om εις A | προσκυνει] + αυτω ℵAQΓ | προσ|ευχ. Q^{*} προ|σευχ. Q^{a} | προς αυτο] προς αυτον ℵ om AQ | εξελουμαι B^{*}ℵAQ^{*}Γ (εξελου με $B^{ab}Q^{a}$) 18 φρονησαι] incep φρω $ℵ^{*vid}$ (φρον. $ℵ^{1}$) | απημαρωθησαν $ℵ^{*}$ (απημαυρ. $ℵ^{c}$) 19 τη ψυχη] pr η καρδια (τη κ. $ℵ^{c\ vel\ iam\ antea}$ AQΓ) ουδε (ουδ $ℵ^{*}$Γ ουδε $ℵ^{c.a,\ c.b}$) ανελογισατο (+ εν $ℵ^{c.b}$A) ℵAQΓ | ουδε] ουδ $ℵ^{*}$ (ουδε $ℵ^{c.a}$) Γ | θρακων B^{*} (ανθρ. B^{ab}) | κρεας ℵAQΓ | προσκυνησουσιν ℵ 20 γνωθι] γνωτε ℵA 21 οτι] ο $ℵ^{*}$ (οτι $ℵ^{c.a,c.b}$) | om συ 2° Q 22 αφηλιψα $ℵ^{*}$ (απηλ. $ℵ^{c.a,c.b}$) | om ως 2° Q^{*} (hab Q^{1mg}) | επιστραφηθι B^{ab} 23 τα θεμελια] om τα AQ^{*} (hab Q^{mg}) Γ | ελυτρωσατο] ηλεησεν A 24 λυτρωμενος A | πλασσων] ο πλασας ℵ ο πλασσων Q | παντα] ταυτα A 25 διεσκεδασεν A | εγγαστριμυθων B^{ab}AQ | μαντιας ℵAQ^{*} (-τειας Q^{a}) Γ 26 παιδων A | πολεσι Q | Ιδουμαιας] Ιουδαιας ℵ (-δεας) AQΓ | ανατελει] αναστησω Z

XLV 1 [1]Οὕτως λέγει Κύριος ὁ θεὸς τῷ ‡χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα B ‡ Z
τῆς δεξιᾶς ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ ἰσχὺν βασιλέων
διαρρήξω, ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας, καὶ πόλεις οὐ¶ συνκλεισθή- ¶ Z
2 σονται [2]Ἐγὼ ἔμπροσθέν σου πορεύσομαι καὶ ὄρη ὁμαλιῶ, θύρας
3 χαλκᾶς συντρίψω καὶ μοχλοὺς σιδηροῦς συνκλάσω, [3]καὶ δώσω σοι
θησαυροὺς σκοτινοὺς ἀποκρύφους, ἀοράτους ἀνοίξω σοι, ἵνα γνῷς ὅτι
4 ἐγὼ Κύριος ὁ θεὸς ὁ καλῶν τὸ ὄνομά σου, θεὸς Ἰσραήλ. [4]ἕνεκεν τοῦ
παιδός μου Ἰακὼβ καὶ Ἰσραὴλ τοῦ ἐκλεκτοῦ μου ἐγὼ καλέσω σε τῷ
5 ὀνόματί μου καὶ προσδέξομαί σε· σὺ δὲ οὐκ ἔγνως με. [5]ὅτι ἐγὼ
Κύριος ὁ θεός, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ· ἐνίσχυσά σε, καὶ
6 οὐκ ᾔδεις με, [6]ἵνα γνῶσιν οἱ ἀπ' ἀνατολῶν ἡλίου καὶ οἱ ἀπὸ δυσμῶν
7 ὅτι οὐκ ἔστιν πλὴν ἐμοῦ. ἐγὼ Κύριος ὁ θεός, καὶ οὐκ ἔστιν ἔτι, [7]ἐγὼ
ὁ κατασκευάσας φῶς καὶ ποιήσας σκότος, ὁ ποιῶν εἰρήνην καὶ κτίζων
8 κακά· ἐγὼ Κύριος ὁ θεὸς ὁ ποιῶν πάντα ταῦτα. [8]εὐφρανθήτω ὁ
οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην· ἀνατειλάτω
ἡ γῆ καὶ βλαστησάτω ἔλεος, καὶ δικαιοσύνην ἀναγγειλάτω ἅμα· ἐγώ
9 εἰμι Κύριος ὁ κτίσας σε. [9]Ποῖον βέλτιον κατεσκεύασα ὡς πηλὸν
κεραμέως; μὴ ὁ ἀροτριῶν ἀροτριάσει τὴν γῆν ὅλην τὴν ἡμέραν; μὴ
ἐρεῖ ὁ πηλὸς τῷ κεραμεῖ Τί ποιεῖς, ὅτι οὐκ ἐργάζῃ οὐδὲ ἔχεις χεῖρας;
10 [10]μὴ ἀποκριθήσεται τὸ πλάσμα πρὸς τὸν πλάσαντα αὐτό; ὁ λέγων
11 τῷ πατρί Τί γεννήσεις; καὶ τῇ μητρί Τί ὠδίνεις¶; [11]ὅτι οὕτως λέγει ¶ Γ
Κύριος ὁ θεὸς ὁ ἅγιος Ἰσραὴλ ὁ ποιήσας τὰ ἐπερχόμενα Ἐρωτήσατέ

XLV 1 ο θεος] pr ÷ Q (item 3, 5, 6, 7, 11) | ου] ουκ $\aleph^*$ (ras κ $\aleph^{?vid c}$) | $\aleph$AQZΓ εκρατησας A | δεξιας]+αυτου $\aleph^{c.a}$Γ | επακουσαι] επακουσεται Γ | διαρηξω $\aleph^{c.b}$ | ανοιξω] ανυξαι Γ | θυρας] πυλας Γ | πολις $B^*\aleph^*Q^*$ (-λεις $B^{ab}\aleph^{c.b}Q^a$) | συγκλεισθησονται B^bAQ^aΓ 2 σου] αυτου A | πορευσομαι (-σωμαι $\aleph$)] προπορευσομαι QΓ | συγκλασω $B^{b vid}AQ^a$Γ 3 σκοτεινους $B^{ab}Q^a$ | om αορατους A^* (hab $A^{a?(mg)}$) | γνωση AΓ | ο καλων sup ras Q^a 4 Ιακωβ του παιδος μου $\aleph$AQΓ | μου 3°] σου $\aleph^*$ (μ. $\aleph^{c.b}$) οι γ' σου Q^{mg} | om με $\aleph^*$ (hab $\aleph^{c.b}$) 5 οτι] pr ÷ Q | εμου]+θς $B^{?mg}$AQΓ+ ※ ουκ εστιν [θς] Q^{mg} | om ενισχυσα σε $\aleph$AQ (θ' ※ ενισχυσας Q^{mg}) | ηδεις] ηδεισαν A 6 απ] απο $\aleph$AQΓ | δυσμων]+θ'σ' ※ αυτου Q^{mg} | εστιν (ε|σιν $\aleph^*$)]+ετι $\aleph^c$QΓ | εγω] pr και οτι A 7 ο 2° sub ÷ Q | ταυτα παντα AΓ 8 αι νεφελαι] om αι $\aleph^*$ (hab $\aleph^{c.a}$) | ρανατωσαν B^{ab}Q] ρενατωσαν B^* ραινετωσαν AΓ (ρενετ.) | om και βλαστησατω $\aleph$Q | δικαιοσυνη (2°) A | αναγγειλατω] ανατειλατω $\aleph$ (-τιλ.) AQΓ | ειμι Κυριος] om Κυριος Q^* κς ειμι Q^{mg}+ο θς $\aleph^*$ (improb $\aleph^?$ postea revoc) Γ 9 ποιον...κεραμεως] θ' ουαι ο κρινομενος μετα του πλασσοντος αυτον α' ωι (sic) δικαζομενος συμπλασσοντι αυτō Q^{mg} | βελτιων Q^* (superscr ο Q^a) | ο αροτριων] om ο Q^* (hab Q^a) | αροτριασει] αροτριαεις $\aleph^*$ (-ασει $\aleph^{c.b}$) | γην ολην την ημεραν] pr obel B^a (non inst B^b) ολην τ. ημ. uncis incl postea revoc $\aleph^?$ om AQ^* (hab $Q^{1 mg}$) 10 om μη...αυτο $\aleph^{c.a}$ (revoc $\aleph^{c.b}$) AQΓ | προς τον πλασαντα αυτο] τω προσπλασαντι αυτον $\aleph^{*c.b}$ | ο λεγων] pr ※ ουαι Q^{mg} | ωδινεις] ωδινησεις $\aleph$AQ

B με περὶ τῶν υἱῶν μου, καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου ἐντείλασθέ
μοι. [12]ἐγὼ ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς, ἐγὼ τῇ χειρί μου 12
ἐστερέωσα τὸν οὐρανόν, ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην. [13]ἐγὼ 13
ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ
εὐθεῖαι· οὗτος οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν αἰχμαλωσίαν τοῦ
λαοῦ μου ἐπιστρέψει, οὐ μετὰ λύτρων οὐδὲ μετὰ δώρων, εἶπεν Κύριος
σαβαώθ.

[14]Οὕτως λέγει Κύριος σαβαώθ Ἐκοπίασεν Αἴγυπτος, καὶ ἐμπορία 14
Αἰθιόπων, καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ
ἔσονται δοῦλοι καὶ ὀπίσω σου ἀκολουθήσουσιν δεδεμένοι χειροπέδαις,
καὶ διαβήσονται πρὸς σὲ καὶ προσκυνήσουσίν σοι, καὶ ἐν σοὶ προσεύ-
ξονται· ὅτι ἐν σοὶ ὁ θεός ἐστιν καὶ οὐκ ἔστιν θεὸς πλὴν σοῦ. [15]σὺ 15
γὰρ εἶ θεός, καὶ οὐκ ᾔδειμεν, ὁ θεὸς τοῦ Ἰσραήλ. [16]αἰσχυνθήσονται 16
καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοι αὐτῷ, καὶ πορεύσονται ἐν
αἰσχύνῃ. ἐγκαινίζεσθε πρός με, νῆσοι. [17]Ἰσραὴλ σώζεται ὑπὸ 17
Κυρίου σωτηρίαν αἰώνιον· οὐκ αἰσχυνθήσονται οὐδὲ μὴ ἐντραπῶσιν
ἕως τοῦ αἰῶνος. [18]Οὕτως λέγει Κύριος ὁ ποιήσας τὸν οὐρανόν, 18
οὗτος ὁ θεὸς ὁ καταδείξας τὴν γῆν καὶ ποιήσας αὐτήν, αὐτὸς διώρισεν
αὐτήν, οὐκ εἰς κενὸν ἐποίησεν, ἀλλὰ κατοικεῖσθαι ἔπλασεν αὐτήν,
Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἔτι. [19]οὐκ ἐν κρυφῇ λελάληκα οὐδὲ ἐν τόπῳ 19
γῆς σκοτεινῷ· οὐκ εἶπα τῷ σπέρματι Ἰακὼβ Μάταιον ζητήσατε· ἐγώ
εἰμι ἐγώ εἰμι Κύριος ὁ λαλῶν δικαιοσύνην καὶ ἀναγγέλλων ἀλήθειαν.
[20]συνάχθητε καὶ ἥκετε, βουλεύσασθε ἅμα, οἱ σωζόμενοι ἀπὸ τῶν 20

ℵAQ 11 των υιων...εργων] θ' των υιων μου ϗ περι της εργασιας Q^{mg} | μου 1°] +και περι των θυγατερων μου ℵAQ | om και περι των εργων των χ. μου Q 12 πασιν ℵ | αστροσ ℵ* (-τροις ℵ^{c}) 13 om βασιλεα ℵ$^{c.b}$AQ (hab sub ⸓ Q^{mg}) | om και 1° ℵ* (hab ℵ$^{c.a, c.b}$) | ουτος] αυτος A 14 Εγυπτος ℵ* (Αιγ. ℵ$^{c.a, c.b}$) | Εθιοπων ℵ* (Αιθ. ℵ$^{c.a, c.b}$) | και οι Σαβ. ανδρες υ[ψη]λοι adnot ου κ' π' εβρ' B^{a} (non inst B^{b}) | Σαβαειμ (-ειν ℵ*)] Σεβωειμ (-ειν ℵ$^{c.a, c.b}$Q*) A Σαβωειν: οι γ' Σαβαειμ Q^{mg} | ακολουθησωσιν ℵ | om και διαβησονται προς σε ℵAQ (θ' ⁜ ϗ διαβησονται προς σε Q$^{a mg}$ | om και 8° ℵ$^{?}$ (postea revoc) +ερουσιν AQ | θεος 2°] pr ο A 15 ουκ ηδειμεν] θ' σ' κρυφαιος α' αποκρυπτομενος Q^{mg} | ο θεος] improb ο ℵ$^{c.b}$ | Ισραηλ]+σωτηρ ℵAQ 16 αισχυνθησονται] pr ιδου Q pr και [ιδου] Q^{mg} | παντες] pr ⁜ Q | ενκενιζεσθε ℵ* (ενκαιν. ℵ$^{c.b}$) εγκαν. A* (εγκαιν. A$^{a?}$) 18 om ο θεος ℵ$^{?}$ (postea revoc) | εποιησεν]+αυτην B^{ab}ℵAQ | om επλασεν αυτην ℵAQ* (hab sub ⁜ Q^{mg}) | ειμι]+ $\overline{κς}$ Q^{mg} 19 γης] ex γ fec τ ℵ$^{?}$ | σκοτινω ℵA*Q* (-τειν. A$^{a?}$Q^{a}) | ειπα] ειπον Q | ζητησατε] ζησατε B | εγω ειμι...Κυριος ο] adnot ου κ' π' εβρ' B^{a} | om εγω ειμι (2°) ℵ$^{?}$ (postea revoc) | om Κυριος A | ο λαλων] om ο AQ | αληθιαν ℵ 20 ηκετε] ε 1° sup ras (fort propt vit membr) B$^{?}$ | των εθνων] ω 1° sup ras B^{a}

ἐθνῶν. οὐκ ἔγνωσαν οἱ αἴροντες τὸ ξύλον γλύμμα αὐτῶν, καὶ προσ- B
21 ευχόμενοι πρὸς θεοὺς οἳ οὐ σῴζουσιν. ^{21}εἰ ἀναγγελοῦσιν, ἐγγισά-
τωσαν, ἵνα γνῶσιν ἅμα τίς ἀκουστὰ ἐποίησεν ταῦτα ἀπ' ἀρχῆς· τότε
ἀνηγγέλη ὑμῖν Ἐγὼ ὁ θεός, καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ, δίκαιος
22 καὶ σωτήρ, οὐκ ἔστιν παρὲξ ἐμοῦ. ^{22}ἐπιστράφητε ἐπ' ἐμὲ καὶ
σωθήσεσθε, οἱ ἀπ' ἐσχάτου τῆς γῆς· ἐγώ εἰμι ὁ θεός, καὶ οὐκ ἔστιν
23 ἄλλος. ^{23}κατ' ἐμαυτοῦ ὀμνύω, εἰ μὴ ἐξελεύσεται ἐκ τοῦ στόματός μου
δικαιοσύνη, οἱ λόγοι μου οὐκ ἀποστραφήσονται, ὅτι ἐμοὶ κάμψει πᾶν
24 γόνυ, καὶ ὀμεῖται πᾶσα γλῶσσα τὸν θεόν, ^{24}λέγων Δικαιοσύνη καὶ
δόξα πρὸς αὐτὸν ἥξει, καὶ αἰσχυνθήσονται πάντες οἱ διορίζοντες
25 αὐτούς· ^{25}ἀπὸ Κυρίου δικαιωθήσονται, καὶ ἐν τῷ θεῷ ἐνδοξασθήσεται
πᾶν τὸ σπέρμα τῶν υἱῶν Ἰσραήλ.

XLVI 1 ^{1}Ἔπεσε Βήλ, συνετρίβη Ναβώ, ἐγένετο τὰ γλυπτὰ αὐτῶν εἰς
θηρία καὶ τὰ κτήνη· αἴρετε αὐτὰ καταδεδεμένα ὡς φορτίον κοπιῶντι,
2 ^{2}ἐκλελυμένῳ καὶ πεινῶντι, οὐκ ἰσχύοντι ἅμα, οἳ οὐ δυνήσονται σω-
3 θῆναι ἀπὸ πολέμου, αὐτοὶ δὲ αἰχμάλωτοι ἤχθησαν. ^{3}Ἀκούετέ
μου, οἶκος τοῦ Ἰακὼβ καὶ πᾶν τὸ κατάλοιπον τοῦ Ἰσραήλ, οἱ αἰ-
4 ρόμενοι ἐκ κοιλίας καὶ παιδευόμενοι ἐκ παιδίου· ^{4}ἕως γήρως ἐγώ
εἰμι, καὶ ἕως ἂν καταγηράσητε ἐγώ εἰμι, ἐγὼ ἀνέχομαι ὑμῶν,
ἐγὼ ἐποίησα καὶ ἐγὼ ἀνήσω, ἐγὼ ἀναλήμψομαι καὶ σώσω ὑμᾶς.

20 οι αιροντες] incep ο αιρ. B* (οι αιρ. B^{ab}) | το ξυλον (ξυλα ℵ*)] om ℵAQ το ℵ* (hab ℵ$^{c.b}$) | γλυμματα ℵ | προσ|ευχ. B* προ|σευχ. B$^{?}$ | προς] pr ως ℵAQ | σωζωσιν ℵA 21 αναγγελλουσιν A | γνωσιν] γνωμεν A* (improb vid A$^{?}$) | τις] τοις ℵ* | τοτε] ποτε ℵ | ο θεος sub ÷ Q 21—23 αννγ-γελη...ομνυω] γελη usque ομνυω sup ras A$^{?}$ 21 εγω] pr ουχι Q^{mg} | ο θεος] pr $\overline{κς}$ Q^{mg} | post εμου 1° ras aliq in fin lin B$^{?}$ | πλην] πρην ℵ* (πλ. ℵ$^{c.a,c.b}$) | εστιν 2°] + αλλος A$^{?}$ 22 επ εμε (sup ras B^{ab} εφ ημας B^{*vid})] προς με ℵA$^{?}$Q | αλλος] + πλην εμου| δικαιος και $\overline{σηρ}$ ουκ εστιν παρεξ εμου A$^{?}$ 23 ομνυων ℵ* (ν 2° postea ras) | ει μη] ει μην ℵ$^{c.b}$AQ* (η μην Q^{a}) | εξελευ-σεται] α' θ' ομοιως Q^{mg} | οι λογοι] pr και ℵ* (improb ℵ$^{c.b}$) | καμψει] καμψι ℵ* καμψ. ℵ$^{c.a,c.b}$ (-ψει ℵ$^{c.b}$) | ομειται] ομνιται ℵ* (ομιτ. ℵ$^{c.a}$ ομειτ. ℵ$^{c.b}$) εξομολογησεται ℵ$^{c.b\,mg}$AQ | τον θεον] τον $\overline{κν}$ ℵ* τω θεω ℵ$^{c.b}$AQ 24 δοξα] ιρηνη ℵ* (ειρ. ℵ$^{c.b}$) δοξα ℵ$^{c.a,c.b}$ | ηξει] ηξουσιν ℵ$^{c.b\,mg}$AQ | διοριζοντες Bℵ* (-ταις) Q^{mg}] αφοριζοντες ℵ$^{c.b}$ (-ταις ℵ$^{c.a}$) AQ | αυτους] εαυτους ℵQ 25 δι-καιωθησεται ℵ* (-σονται ℵ$^{c.b}$ postea repos -σεται) | εν τω θεω] om ℵ* (hab ℵ$^{c.b}$ sed ε 1° sup ras) sub ÷ Q | ενδοξασθησονται AQ | παν] pr και A

XLVI 1 επεσε] επι σε ℵ* (επεσε ℵ$^{c.b\,et\,postea}$) | Ναβω] Δαγων ℵAQ σ' Νεβους θ' α' Ναβω Q^{mg} | τα κτηνη] om τα ℵAQ | αιρετε] εδεται A | καταδε-δεμενα] δεδεμενα Q 1—2 [φορ]τιον κοπιωντι εκλε[λυμενω]] adnot ου κ' π' εβρ' B^{a} (non inst B^{b}) 1 φοντιον ℵ* (φορτ. ℵ$^{c.a,c.b}$) | κοπιωντι] pr ÷ Q^{mg} 2 πεινωντι (πιν. AQ*) κ. εκλ. AQ | εκλελυμενω] om ℵ | αμα] pr εκλελυμενω ℵ* (εκλ. ante ουκ ισχ. transpos ℵ$^{c.b}$) | ου] + μη A | δυνησονται] δυν$\overline{ω}$|ται A 3 ακουετε] ακουσατε ℵ$^{c(vid)}$ (-ται) AQ | om μου ℵ* (hab ℵ$^{c.b}$) | οικος] pr ο ℵ | εκ 2°] απο A 4 γηρους ℵ* (-ρως ℵ$^{c.b}$) A | εγω ειμι (2°), υμων sub ÷ Q | αναληψομαι Q | σωσω υμας] οι γ' ομοιως Q^{mg}

B ⁵τίνι με ὡμοιώσατε; ἴδετε, τεχνάσασθε, οἱ πλανώμενοι, ⁶οἱ συμβαλ- 5 6
λόμενοι χρυσίον ἐκ μαρσιππίου καὶ ἀργύριον ἐν ζυγῷ· στήσουσιν
ἐν σταθμῷ καὶ μισθωσάμενοι χρυσοχόον ἐποίησαν χειροποίητα, καὶ
κύψαντες προσκυνοῦσιν αὐτοῖς. ⁷αἴρουσιν αὐτὸ ἐπὶ τοῦ ὤμου καὶ 7
πορεύονται· ἐὰν δὲ θῶσιν αὐτό, ἐπὶ τοῦ τόπου αὐτοῦ μένει, οὐ μὴ
κινηθῇ· καὶ ὃς ἐὰν βοήσῃ πρὸς αὐτόν, οὐ μὴ εἰσακούσῃ, ἀπὸ κακῶν
οὐ μὴ σώσῃ αὐτόν. ⁸Μνήσθητε ταῦτα καὶ στενάξατε, μετανο- 8
ήσατε, οἱ πεπλανημένοι, ἐπιστρέψατε τῇ καρδίᾳ, ⁹καὶ μνήσθητε τὰ 9
πρότερα ἀπὸ τοῦ αἰῶνος, ὅτι ἐγώ εἰμι ὁ θεὸς καὶ οὐκ ἔστιν ἔτι
πλὴν ἐμοῦ, ¹⁰ἀναγγέλλων πρότερον τὰ ἔσχατα πρὶν γενέσθαι, καὶ 10
ἅμα συνετελέσθη· καὶ εἶπα Πᾶσά μου ἡ βουλὴ στήσεται, καὶ πάντα
ὅσα βεβούλευμαι ποιήσω· ¹¹καλῶν ἀπ᾽ ἀνατολῶν πετεινὸν καὶ ἀπὸ 11
γῆς πόρρωθεν περὶ ὧν βεβούλευμαι, ἐλάλησα καὶ ἤγαγον, ἔκτισα
καὶ ἐποίησα, ἤγαγον αὐτὸν καὶ εὐόδωσα τὴν ὁδὸν αὐτοῦ. ¹²ἀκού- 12
σατέ μου, οἱ ἀπολωλεκότες τὴν καρδίαν, οἱ μακρὰν ἀπὸ τῆς δι-
καιοσύνης. ¹³ἤγγισα τὴν δικαιοσύνην μου, καὶ τὴν σωτηρίαν τὴν 13
παρ᾽ ἐμοῦ οὐ βραδυνῶ· δέδωκα ἐν Σειὼν σωτηρίαν τῷ Ἰσραὴλ εἰς
δόξασμα.

¹Κατάβηθι, κάθισον ἐπὶ γῆν, παρθένος θυγάτηρ Βαβυλῶνος· 1 XLVII
κάθισον εἰς τὴν γῆν, θυγάτηρ Χαλδαίων, ὅτι οὐκέτι προστεθήσῃ
κληθῆναι ἁπαλὴ καὶ τρυφερά. ²λάβε μύλον, ἄλεσον ἄλευρον, ἀπο- 2

ℵAQ 5 τινι] ν sup ras ℵ^{1} | ομοιωσατε ℵ | ιδετε] bis scr ιδεται ℵ* improb 2° ℵ$^{c.b}$ 6 μαρσιππου A* (-ππιου A$^{?}$) | χειροποιητα] ιροποιητα (in χιρ.) sup ras ℵ^{1} α′θ′′ ισχυρō σ′ θεον Q^{mg} | κυψας ℵ* (-ψαντες ℵ$^{c.b}$) | προσκυνι ℵ* (-νουσιν ℵ$^{c.b}$) | αυτοις] αυτω ℵ αυτο A 7 αυτο 1°] αυτον Q* (-το Q^{a}) | του ωμου] των ωμων ℵAQ | πορευσονται ℵ* (πορευονται ℵ$^{c.b}$) | ου 1°] pr και ℵ* (improb ℵ$^{c.b}$) | om ος ℵ* (hab ℵ$^{c.a, c.b}$) | εαν 2°] αν ℵ$^{c.a, c.b}$AQ | βοησι ℵ* (-σει ℵ$^{c.b}$) | αυτον 1°] αυτο Q^{a} | εισακουση] ακουση ℵ* (εισακ. ℵ$^{c.a}$) A | σωσει A 8 επιστρεψατε] ρε sup ras ℵ$^{1 fort}$ 9 μνησθητε] pr μετανοησατε ℵ* (improb ℵ$^{c.b}$ postea repos) | προτερα] α sup ras ℵ^{1} 10 αναγγελων ℵ$^{* txt}$ [αναγελων ℵ$^{* comm}$] (αναγγελλων ℵ$^{c.a}$) | [προ]τερον τα εσχατα πριν] pr obel B^{a} (non inst B^{b}) | πριν] + αυτα ℵAQ | και αμα sub ÷ Q | ειπα] ειπατε Q 11 πορωθεν ℵ* (πορρ. ℵ$^{c.a fort, c.b}$) | ελαλησα] pr ※ σ′ και γε Q^{mg} | και 2°] ※ σ′ [και] γε Q^{mg} | ηγαγον 1°] εποιησα ℵ* (ηγ. ℵ$^{c.b}$ postea ras) | εκτισα...οδον αυτου] pr obelus B^{a} (non inst B^{b}) | και εποιησα] σ′ θ′ κ̧ ποιησω αυτην Q^{mg} | ευοδωσα B^{*b}] ευωδ. B^{a} 12 ακουσατε] θ′ ομοιως Q^{mg} 13 μου] + και την αληθιαν ℵ* (improb ℵ$^{?}$ postea repos) + θ′ ※ ου μη μακρῡ|θη Q^{mg} | και την σωτηριαν] α′ κ̧ σωτηρια μου σ′ κ̧ η σωτ. μου θ′ το σωτηριον Q^{mg} | Σιων B^{b}ℵAQ | δοξασμα sup ras B^{ab} δοξαν ℵ* (δοξασμα ℵ$^{c.b}$ postea rurs δοξαν) XLVII 1 γην 1°] pr την ℵAQ | καθισον 2°] εισελθε ℵAQ (sub ÷) ※ καθισον εις την γην ουκ εστι θρηνος (sic) Q^{mg} | εις την γην] εις το σκοτος ℵAQ (sub ÷) | θυγατηρ 2°] pr παρθενος ℵ* (improb ℵ$^{?}$ postea revoc) | Χαλδεων ℵ (item 5)

κάλυψαι τὸ κατακάλυμμά σου, ἀνακάλυψαι τὰς πολιάς, ἀνάσυραι B
3 τὰς κνήμας, διάβηθι ποταμούς· [3]ἀνακαλυφθήσεται ἡ αἰσχύνη σου,
φανήσονται οἱ ὀνειδισμοί σου· τὸ δίκαιον ἐκ σοῦ λήμψομαι, οὐκέτι
4 μὴ παραδῶ ἀνθρώποις. [4]ὁ ῥυσάμενός σε Κύριος σαβαώθ, ὄνομα
5 αὐτῷ ἅγιος Ἰσραήλ. [5]κάθισον κατανενυγμένη, εἴσελθε εἰς τὸ σκό-
6 τος, θυγάτηρ Χαλδαίων, οὐκέτι μὴ κληθήσῃ ἰσχὺς βασιλείας. [6]παρω-
ξύνθην ἐπὶ τῷ λαῷ μου, ἐμίανας τὴν κληρονομίαν μου· ἐγὼ ἔδωκα
αὐτοὺς εἰς τὴν χεῖρά σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος, τοῦ
7 πρεσβυτέρου ἐβάρυνας τὸν ζυγὸν σφόδρα, [7]καὶ εἶπας Εἰς τὸν αἰῶνα
ἔσομαι ἄρχουσα. οὐκ ἐνόησας ταῦτα ἐν τῇ καρδίᾳ σου, οὐδὲ ἐ-
8 μνήσθης τὰ ἔσχατα. [8]Νῦν δὲ ἄκουε ταῦτα, τρυφερά, ἡ καθη-
μένη, ἡ πεποιθυῖα, ἡ λέγουσα ἐν καρδίᾳ αὐτῆς Ἐγώ εἰμι, καὶ
9 οὐκ ἔστιν ἑτέρα, οὐ καθιῶ χήρα οὐδὲ γνώσομαι ὀρφανείαν. [9]νῦν
δὲ ἥξει ἐξέφνης ἐπὶ σὲ ἐν τῇ φαρμακίᾳ σου, ἐν τῇ ἰσχύι τῶν
10 ἐπαοιδῶν σου σφόδρα, [10]τῇ ἐλπίδι τῆς πονηρίας σου. σὺ γὰρ
εἶπας Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα· γνῶθι, ἡ σύνεσις τούτων
ἔσται καὶ ἡ πορνία σου σοὶ αἰσχύνη· καὶ εἶπας τῇ καρδίᾳ σου
11 Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα. [11]καὶ ἥξει ἐπὶ σὲ ἀπώλεια καὶ οὐ
μὴ γνῷς, βόθυνος, καὶ ἐμπεσῇ εἰς αὐτόν· καὶ ἥξει ἐπὶ σὲ ταλαι-
πωρία, καὶ οὐ μὴ δυνήσῃ καθαρὰ γενέσθαι· καὶ ἥξει ἐπὶ σὲ ἐξα-
12 πίνης ἀπωλία καὶ οὐ γνώσῃ. [12]στῆθι νῦν ἐν ταῖς ἐπαοιδαῖς
σου καὶ τῇ πολλῇ φαρμακίᾳ σου, ἃ ἐμάνθανες ἐκ νεότητός σου, εἰ

2 om σου ℵ* (hab ℵ$^{c.a, c.b}$) | ανασυρε ℵ 3 ληψομαι Q^{a} | ουκετι...ανθρω- ℵAQ
ποις] α′ ϗ ουκ απαντησω ανω̄ σ′ ϗ ουκ αντιστησεται μοι ανο̄ς Q^{mg} | παραδω] + σε
ℵ | ανθρωποι ℵ* (-ποις ℵ$^{c.a, c.b}$) 4 ο ρυσαμενος] pr ειπεν ℵ$^{c.a, c.b}$AQ* pr
λεγει Q^{mg} 5 κληθης ℵQ | βασιλιας ℵ*Q* (-λειας ℵ$^{c.b}$Q^{a}) 6 παροξυνθης
ℵ* -θην ℵ$^{c.b}$ (postea rurs -θης) | εμιανας] εμιανα Q^{a} α′σ′ εβεβηλωσα θ′ εβεβη-
λωσαν Q^{mg} | εδωκα] δεδωκα Q | om αυτους AQ | χιραν ℵ* χειραν ℵ$^{c.b}$ | συ
δε sub ÷ Q | ελεος] + ουδεν ℵ* (improb ℵ$^{c.a, c.b}$) 8 ακουε] ακουσον ℵ$^{c.b}$AQ |
τρυφερα] pr η ℵAQ | λεγουσα] λ sup litur B$^{?}$ | καρδια] pr τη ℵ$^{c.b}$AQ | καθιω
χηρα] θιω χ. sup ras A^{a} (om χηρα A*) | ορφανιαν B^{b} 9 εξεφνης (εξαιφν.
B^{b}ℵ$^{c.b}$Q)] om ℵ* | om επι σε ℵ^{1}AQ* (hab Q^{mg}) | εν τη φαρμακια (-κεια
B^{ab}A)] pr τα δυο ταυτα εν ημερα μια ατεκνια και χηρια (-ρεια B$^{b\,vid}$) ηξει
εξαιφνης επι σε B^{ab} pr τα δ. τ. εν μια ημ. χηρια (-ρεια Q^{a}) κ. ατ. ηξει (-ξι ℵ*
-ξει ℵ$^{c.b}$) εξεφν. (εξαιφν. ℵ$^{c.b}$Q) επι σε ℵAQ 10 πονηριας] πορνιας ℵ
πονηρας Q* (πονηριας Q^{a}) | γνωθι] + οτι ℵ$^{c.a}$ (rurs ras) AQ | γνωθι] adnot
επει εως ου συνιεις ουκ αισχυνη δια τουτο εᾱ| συνης αισχῡ|θησῃ Q^{mg} | η συνεσις
(-σεις ℵ*)] η συνεις A* (συνεσις A$^{a?}$) om η Q* (superscr Q^{a}) | εσται] pr ϗ
ℵ$^{c.a}$ om ℵ$^{c.b}$AQ* (hab Q^{mg}) | om και 2° ℵ | πορνεια B^{ab}AQ^{a} | σου 2°]
+ εσται A 11 ηξει 1°] ξ sup ras ℵ^{1} | απωλεια] απωλια ℵQ* (-λεια Q^{a}) |
βοθυνον ℵ* (-νος ℵ$^{c.a, c.b}$) | εξαπινης] εξαιφνης ℵ$^{c.b}$Q εξεφνης A | απωλια]
απωλεια B^{ab}AQ^{a} απολιας ℵ* (-λια ℵ$^{1?}$) απωλια ℵ$^{c.a}$ | ου] + μη ℵAQ | γνως
ℵA εγνως Q$^{*\,vid}$ (γνωσῃ Q^{a}) 12 τη πολλη] pr εν A | φαρμακεια B^{ab}A | α]
εν ℵ*

B δυνήσει ὠφεληθῆναι. [13] κεκοπίακας ἐν ταῖς βουλαῖς σου· στήτωσαν 13
καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, οἱ ὁρῶντες τοὺς
ἀστέρας ἀναγγειλάτωσάν σοι τί μέλλει ἐπὶ σὲ ἔρχεσθαι. [14] ἰδοὺ 14
πάντες ὡς φρύγανα ἐπὶ πυρὶ κατακαυθήσονται, καὶ οὐ μὴ ἐξέ-
λωνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογός· ὅτι ἔχεις ἄνθρακας πυρός,
κάθισαι ἐπ' αὐτούς. [15] οὗτοι ἔσονταί σοι βοήθεια· ἐκοπίασας ἐν τῇ 15
μεταβολῇ ἐκ νεότητος, ἄνθρωπος καθ' ἑαυτὸν ἐπλανήθη· σοὶ δὲ
οὐκ ἔσται σωτηρία.

[1] Ἀκούσατε ταῦτα, οἶκος Ἰακώβ, οἱ κεκλημένοι ἐπὶ τῷ ὀνόματι 1 XLVIII
Ἰσραὴλ καὶ ἐξ Ἰούδα ἐξελθόντες, οἱ ὀμνύοντες τῷ ὀνόματι Κυρίου
θεοῦ Ἰσραήλ, μιμνησκόμενοι οὐ μετὰ ἀληθείας οὐδὲ μετὰ δικαι-
οσύνης, [2] καὶ ἀντεχόμενοι τῷ ὀνόματι τῆς πόλεως τῆς ἁγίας, καὶ 2
ἐπὶ τῷ θεῷ Ἰσραὴλ ἀντιστηριζόμενοι, Κύριος σαβαὼθ ὄνομα αὐτῷ.
[3] τὰ πρότερα ἔτι ἀνήγγειλα, καὶ ἐκ τοῦ στόματός μου ἐξῆλθεν 3
καὶ ἀκουστὸν ἐγένετο· ἐξάπινα ἐποίησα, καὶ ἐπῆλθεν. [4] γινώσκω 4
ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ
μέτωπόν σου χαλκοῦν. [5] καὶ ἀνήγγειλά σοι παλαιὰ πρὶν ἐλθεῖν 5
ἐπὶ σέ· ἀκουστόν σοι ἐποίησα, μή ποτε εἴπῃς ὅτι Τὰ εἴδωλά μοι
ἐποίησεν, καὶ εἴπῃς ὅτι Τὰ γλυπτὰ καὶ τὰ χωνευτὰ ἐνετείλατό μοι.
[6] ἠκούσατε πάντα, καὶ ὑμεῖς οὐκ ἔγνωτε· ἀλλὰ ἀκουστά σοι ἐποίησα 6
τὰ καινὰ ἀπὸ τοῦ νῦν ἃ μέλλει γίνεσθαι· καὶ οὐκ εἶπας [7] Νῦν γί- 7
νεται καὶ οὐ πάλαι, καὶ οὐ προτέραις ἡμέραις ἤκουσας αὐτά· μὴ
εἴπῃς Ναί, γινώσκω αὐτά. [8] οὔτε ἔγνως οὔτε ἠπίστω, οὔτε ἀπ' ἀρ- 8
χῆς ἤνοιξά σου τὰ ὦτα· ἔγνων γὰρ ὅτι ἀθετῶν ἀθετήσεις, καὶ ἄνο-

ℵAQ 12 δυνηση B^{ab}ℵQ | ωφεληθηναι] + θ' ※ αιπως δυνηση ισχυσαι Q^{mg} 13 κεκοπιακας] pr και ℵ | μελλεις Q* 14 κατακαυθησονται] κατακαησονται AQ* (κατακαυθ. Q^{a}) | ου μ (sic) ℵ* (ου μη ℵ$^{c.a}$) | εχεις] εσχις ℵ* (εχις ℵ$^{1 fort}$ εχεις ℵ$^{c.b}$) | πιρος ℵ* (πυρ. ℵ^{a}) 15 om σοι 1° Q* (hab Q^{mg}) | βοηθια ℵ* (-θεια ℵ$^{c.b}$) Q^{*vid} (βο, ια sup ras: -θεια Q^{a}) | μεταβολη] + σου ℵA | νεοτητος] + σου Q | σοι 2°] συ B* (σοι B^{ab}) XLVIII 1 om επι ℵ$^{?}$ (postea revoc) AQ | εξ] pr οι ℵAQ | Ιουδα] pr σ'θ' ※ υδατος Q^{mg} | αληθιας ℵQ* 2 Ισραηλ] pr του ℵAQ | αντιστηριζομενος ℵ* (-νοι ℵ^{c}) 3 εξηλθον ℵ* (-θεν ℵ$^{c.b}$) | ακουστα A | εποιησεν Q^{*vid} (-σα Q^{a}) 4 γινωσκω (γιγν. B^{ab})] + εγω ℵAQ θ'σ' δια το γνωναι με Q^{mg} | οστισκλ. B* (οτι σκλ. B$^{?}$) 5 παλαια] παλαι ℵAQ pr τα ℵ$^{c.b}$AQ | om ποτε ℵAQ* (hab Q^{mg}) | εποιησαν ℵAQ (-σεν Q^{mg}) | ειπης 2°] om A* pr μη ℵA^{a}Q | om οτι 2° A | και μη ειπ. οτι sub ÷ Q | ενετιλαντο ℵ$^{c.a}$ (ενετειλατο ℵ$^{c.b}$) 6 εγνωτε] εγνωκατε ℵ* (εγνωτε ℵ$^{c.b}$ postea εγνωκ. revoc) | αλλα] + και ℵAQ | ακουστα...τα (ται ℵ*) καινα] α'θ' ηκουτισα σε καινα Q^{mg} | γινεσθαι] γενεσθαι Q 7 ηκουσας] pr αι γ' ※ ϗ ουκ Q^{mg} | αυτα 1°] ταυτα ℵQ^{mg} (om Q*) | ειπης] + οτι ℵ$^{c.b}$AQ* 8 εγνοις ℵ* (εγνως ℵ$^{c.a, c.b}$) | επιστω ℵ | τα ωτα σου A

9 μος ἔτι ἐκ κοιλίας κληθήσῃ. [9]ἕνεκεν τοῦ ἐμοῦ ὀνόματος δείξω σοι B
τὸν θυμόν μου, καὶ τὰ ἔνδοξά μου ἐπάξω ἐπὶ σέ, ἵνα μὴ ἐξολε-
10 θρεύσω σε. [10]ἰδοὺ πέπρακά σε οὐχ ἕνεκεν ἀργυρίου· ἐξειλάμην δέ
11 σε ἐκ καμίνου πτωχείας· [11]ἕνεκεν ἐμοῦ ποιήσω σοι, ὅτι τὸ ἐμὸν
12 ὄνομα βεβηλοῦται, καὶ τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω. [12]Ἄκουέ
μου, Ἰακώβ, καὶ Ἰσραὴλ ὃν ἐγὼ καλῶ· ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ
13 εἰμι εἰς τὸν αἰῶνα, [13]καὶ ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν, καὶ ἡ
δεξιά μου ἐστερέωσεν τὸν οὐρανόν· καλέσω αὐτούς, καὶ στήσονται
14 ἅμα, [14]καὶ συναχθήσονται πάντες καὶ ἀκούσονται. τίς αὐτοῖς ἀνήγ-
γειλεν ταῦτα; ἀγαπῶν σε ἐποίησα τὸ θέλημά σου ἐπὶ Βαβυλῶνα
15 τοῦ ἆραι σπέρμα Χαλδαίων· [15]ἐγὼ ἐλάλησα, ἐγὼ ἐκάλεσα, ἤγαγον
16 αὐτὸν καὶ εὐόδωσα τὴν ὁδὸν αὐτοῦ. [16]προσαγάγετε πρὸς μὲ καὶ
ἀκούσατε ταῦτα, οὐκ ἀπ᾽ ἀρχῆς ἐν §κρυφῇ λελάληκα· ἡνίκα ἐγένετο, §Γ
ἐκεῖ ἤμην, καὶ νῦν κύριος Κύριος ἀπέστειλέν με καὶ τὸ πνεῦμα
17 αὐτοῦ. [17]οὕτως λέγει Κύριος ὁ ῥυσάμενος ἅγιος Ἰσραήλ Ἐγώ εἰμι
ὁ θεός σου, δέδειχά σοι τοῦ εὑρεῖν¶ σε τὴν ὁδὸν ἐν ᾗ πορεύσῃ ἐν ¶Γ
18 αὐτῇ. [18]καὶ εἰ ἤκουσας τῶν ἐντολῶν μου, ἐγένετο ἂν ὡσεὶ ποτα-
19 μὸς ἡ εἰρήνη σου, καὶ ἡ δικαιοσύνη σου ὡς κῦμα θαλάσσης· [19]καὶ
ἐγένετο ἂν ὡς ἡ ἄμμος τὸ σπέρμα σου, καὶ τὰ ἔκγονα τῆς κοιλίας
σου ὡς ὁ χοῦς τῆς γῆς· οὐδὲ νῦν οὐ μὴ ἐξολοθρευθῇς, οὐδὲ ἀπο-
20 λεῖται τὸ ὄνομά σου ἐνώπιον ἐμοῦ. §[20]Ἔξελθε ἐκ Βαβυλῶνος §Γ
φεύγων ἀπὸ τῶν Χαλδαίων· φωνὴν εὐφροσύνης ἀναγγείλατε, καὶ

9 επαξω] pr εγω Q | om επι ℵ* (hab ℵ$^{c.a}$) | σε 1°] σοι ℵAQ | σε 2°] σοι ℵAQΓ Q* (σε Q^{a}) 10 εινεκεν ℵ$^{c.a\ vid}$ (εν. ℵ$^{c.b}$) | εξειλομην Q^{a} | πτωχιας ℵ*Q* (-χειας ℵ$^{c.b}$Q^{a}) 11 βεβουληται B* (βεβηλ . . ται B^{ab}) | ου δωσω ετερω ℵ 12 ειμι 1°] + ※ οι γ´ εγω Q^{mg} 13 εθεμελιωσεν AQ | καλεσω] + α´θ´ ※ εγω Q^{mg} 14 συ|αχθ. B* συ|ναχθ. B? | ανηγγειλεν αυτοις ℵ | αγαπων] pr οι γ´ ※ πιπι Q^{mg} | το θελημα σου] ταυτα A | Βαβυλωνα] + το θελημα σου A | Χαλδεων ℵ (item 20) 15 εγω 2°] pr ϗ Q^{mg} | ευωδωσα B^{ab} ευοδωκα ℵ 16 κρυφη] . . . . η Γ | λελαληκα] ελαλησα ℵAQ + ουδε εν τοπω γης σκοτινω ℵ* (unc incl ℵ$^{c.a,c.b}$) A | εγενετο] εγεινετο ℵ* (εγιν. ℵ$^{c.b}$) | om Κυριος ℵAQ* (hab Q^{mg}) | απεστειλεν] απεσταλκεν ℵAQΓ 17 ουτως λεγει...σου του ευ sup ras circ 70 litt A$^{a?}$ | ρυσαμενος] + σε B^{ab}ℵA$^{a?}$QΓ | αγιος] pr ο ℵA^{a}Q | om εγω ειμι ο θς̅ σου A$^{a?}$ | ειμι sub ÷ Q | ο θεος] pr κ̅ς̅ Q^{mg} | δεδειχα] pr ου ℵ* | σοι] + την οδον σου Q | om σε την οδον Q 18 om ει ℵ* (hab ℵ$^{c.a}$) | μου των εντολων ℵ | κυμα] οι γ´ ομοιως Q^{mg} 19 ως η] ωσει AQ | αμμος] + της θαλασσης ℵ | εκγονα] εγγονα ℵ | ως...της γης] οι γ´ ως αι κεγχροι αυτης Q^{mg} | χους] χνους ℵ | ουδε νυν sub ÷ Q | εξωλεθρευθης ℵ εξολεθρ. AQ | ουδε 2°] + μη ℵ* (improb ℵ? postea revoc) | ενωπιον] εναντιον ℵ* (ενωπιον ℵ$^{c.(b\ vid)}$ postea repos εναντ.) | εμου] μου ℵA 20 incep φευγη ℵ* (φευγων ℵ$^{iam\ 1\ (vid)}$) | απο] εκ ℵ* (απο ℵ$^{c.b(vid)}$ sed εκ revoc) | των] γης ℵ* (των ℵ$^{c.b(vid)}$ sed γης revoc)

B ἀκουστὸν γενέσθω τοῦτο, ἀναγγείλατε ἕως ἐσχάτου τῆς γῆς, λέγετε
¶ Γ Ἐρρύσατο¶ Κύριος τὸν δοῦλον αὐτοῦ Ἰακώβ· 21καὶ ἐὰν διψήσωσιν, 21
δι' ἐρήμου ἄξει αὐτοῖς ὕδωρ, ἐκ πέτρας ἐξάξει αὐτοῖς, σχισθήσεται
πέτρα καὶ ῥυήσεται ὕδωρ, καὶ πίεται ὁ λαός μου. 22οὐκ ἔστιν χαίρειν, 22
λέγει Κύριος, τοῖς ἀσεβέσιν.

1 Ἀκούσατέ μου, νῆσοι, καὶ προσέχετε, ἔθνη· διὰ χρόνου πολλοῦ 1 XLIX
στήσεται, λέγει Κύριος. ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά
μου, 2καὶ ἔθηκεν τὸ στόμα μου ὡς μάχαιραν ὀξεῖαν, καὶ ὑπὸ τὴν 2
σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέν με· ἔθηκέν με ὡς βέλος ἐκλεκτόν,
καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέν με, 3καὶ εἶπέν μοι Δοῦλός μου 3
εἶ σύ, Ἰσραήλ, καὶ ἐν σοὶ ἐνδοξασθήσομαι. 4καὶ ἐγὼ εἶπα Κενῶς 4
ἐκοπίασα, εἰς μάταιον καὶ εἰς οὐδὲν ἔδωκα τὴν ἰσχύν μου· διὰ τοῦτο
ἡ κρίσις μου παρὰ Κυρίῳ, καὶ ὁ πόνος μου ἐναντίον τοῦ θεοῦ μου.
5καὶ νῦν οὕτως λέγει Κύριος ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ 5
τοῦ συναγαγεῖν τὸν Ἰακὼβ πρὸς αὐτὸν καὶ Ἰσραήλ Συναχθήσομαι
καὶ δοξασθήσομαι ἐναντίον Κυρίου, καὶ ὁ θεὸς ἔσται μοι ἰσχύς.
6καὶ εἶπέν μοι Μέγα σοί ἐστιν τοῦ κληθῆναί σε παῖδά μου, τοῦ 6
στῆσαι τὰς φυλὰς Ἰακὼβ καὶ τὴν διασπορὰν τοῦ Ἰσραὴλ ἐπι-
στρέψαι· ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, τοῦ
εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. 7οὕτως λέγει Κύριος ὁ 7
ῥυσάμενός σε θεὸς Ἰσραήλ Ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν
αὐτοῦ, τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν τῶν δούλων τῶν ἀρ-

ℵAQΓ

20 αναγγειλατε 2°] απαγγ. ℵAQ | εως] ως ℵ* (εως ℵ$^{c.a\ vid}$) | της γης ([της] τη[ς] Γ^{vid})] + και ακουστον γενεσθω τουτο ℵ* (improb ℵ? postea repos) | λεγετε] + οτι ℵ* (improb ℵ? postea repos) | ερυσατο A | δουλον] λαον A 21 διψησουσιν A | αυτοις 1°] αυτους AQ | υωρ ℵ* (υδ. ℵ$^{1?c.a}$) | εξαξει A* (-ξει A$^{a?}$) 22 ουκ εστιν...ασεβεσιν] οι γ' ουκ εστιν ειρηνη ειπε̄ | κ̅ς̅ τοις ασεβεσι] Q^{mg} | τοις ασεβεσιν λεγει κ̅ς̅ ℵAQ XLIX 1 νησοι] pr αι ℵ | προσ|εχ. B* προ|σεχ. B? | εκαλεσεν ℵAQ 2 ως 1°] ωσει ℵAQ | εκρυψεν 1°] εσκεπασε̄| ℵ* (εκρυψεν ℵ$^{c.a, c.b}$) | εκρυψεν 2°] εσκεπασεν ℵ$^{c.b}$AQ* (εκρυψε̄| Q^{mg}) 3 Ισραηλ] Ιακωβ Q* (Ι̅η̅λ̅ Q^{mg}) | ενδοξασθησομαι] δοξασθησομαι (-με ℵ* -μαι ℵ$^{c.b}$) ℵAQ 4 εκοπι|ον B* εκοπι|ασα εις μαται|ον B$^{ab\,mg}$ εκοπιασα και εις ματαιον ℵ (-τεον) AQ | ουδεν] ουθεν ℵAQ | εδωκα] δεδωκα ℵ | Κυριω] κ̅υ̅ AQ^{mg} | εναντιον] ενᾳ|τι ℵ 5 εαυτω] εαυτου ℵ | τον Ιακωβ προς αυτον και Ισραηλ] τον Ι̅η̅λ̅ κ. Ιακωβ προς αυτον ℵ* τον Ιακωβ κ. Ι̅η̅λ̅ προς αυτον ℵ$^{c.a\ vel\ c.b}$AQ | συναχθησομαι (συνα|χθ. B* συ|ναχθ. B?)] συναχθησονται Q* (-σομαι Q^{b}) | δοξασθησομαι] δοξασθησονται Q* (-σομαι Q^{b}) | εναντιον] εναντι ℵ | ο θεος] + μου B^{ab}ℵAQ | μοι] μου ℵA 6 om μοι B^{a} | του κληθηναι] το (bis scr ℵ*) · κλ. ℵQ | δεδωκα] τεθεικα ℵ (τεθικ.) AQ* (δεδωκα Q^{mg}) | om εις διαθηκην γενους AQ* (hab Q^{mg}) 7 ρυομενος ℵ | θεος] pr ο ℵ* (improb ℵ$^{c.b}$ postea repos) AQ$^{*\ vid}$

χόντων· βασιλεῖς ὄψονται αὐτόν, καὶ ἀναστήσονται ἄρχοντες καὶ B
προσκυνήσουσιν αὐτῷ ἕνεκεν Κυρίου· ὅτι πιστός ἐστιν ὁ ἅγιος
8 Ἰσραήλ, καὶ ἐξελεξάμην σε. [8]οὕτως λέγει Κύριος Καιρῷ δεκτῷ
ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔπλασά
σε καὶ ἔδωκά σε εἰς διαθήκην ἐθνῶν, τοῦ καταστῆσαι τὴν γῆν
9 καὶ κληρονομῆσαι κληρονομίας ἐρήμους, [9]λέγοντα τοῖς ἐν δεσμοῖς
Ἐξέλθατε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλυφθῆναι. ἐν πάσαις ταῖς
10 ὁδοῖς βοσκηθήσονται, καὶ ἐν πᾶσιν τρίβοις ἡ νομὴ αὐτῶν· [10]οὐ πει-
νάσουσιν, οὐδὲ διψάσουσιν, οὐδὲ πατάξει αὐτοὺς καύσων οὐδὲ ὁ ἥλιος,
ἀλλ' ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει, καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐ-
11 τούς· [11]καὶ θήσω πᾶν ὄρος εἰς ὁδὸν καὶ πᾶσαν τρίβον εἰς βόσκημα
12 αὐτοῖς. [12]ἰδοὺ οὗτοι πόρρωθεν ἥξουσιν, οὗτοι ἀπὸ βορρᾶ καὶ θα-
13 λάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν. [13]εὐφραίνεσθε, οὐρανοί, καὶ
ἀγαλλιάσθω ἡ γῆ, ῥηξάτωσαν τὰ ὄρη εὐφροσύνην, ὅτι ἠλέησεν ὁ
θεὸς τὸν λαὸν αὐτοῦ, καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκά-
λεσεν.

14 [14]Εἶπεν δὲ Σειών Ἐγκατέλειπέν με Κύριος· καὶ ὅτι Κύριος ἐπε-
15 λάθετό μου. [15]μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ
ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο
16 γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαι σοῦ, εἶπεν Κύριος. [16]ἰδοὺ ἐπὶ τῶν
χειρῶν μου ἐζωγράφηκά σου τὰ τείχη, καὶ ἐνώπιόν μου εἶ διὰ
17 παντός, [17]καὶ ταχὺ οἰκοδομηθήσῃ ὑφ' ὧν καθῃρέθης, καὶ οἱ ἐρη-

7 αυτον] αυτō ℵ* αυτω̄ ℵ$^{c.b(?)}$ sub ÷ Q | προσκυνησωσῑ ℵ | αυτω] αυτον ℵAQ Q* (αυτω Q^{mg}) | Ισραηλ] pr του Q 8 σου] σοι ℵ* (σου ℵ$^{c.a\ et\ postea}$) | om και επλασα σε ℵAQ* (hab sub ※ Q^{mg}) | διαθηκην]+γενους εις φως ℵ* (improb ℵ$^{c.a,c.b}$) | κληρονομιαν ℵAQ* (-μιας Q^{mg})+οι γ' ※ ηφανισμενας Q^{mg} | ερημου ℵAQ 9 εξελθετε Q^{a} | εν 3°] pr και ℵAQ | οδοις]+αυτων ℵAQ | βοσκηθησονται] βοσκη sup ras 7 vel 8 litt A$^{?}$ | πασιν τριβοις] πασιν τοις (ταις B$^{a?b?}$) τρ. B^{a} πασαις ταις τρ. ℵAQ 10 διψησουσιν ℵ$^{c.c(vid)}$AQ^{a} (διψασ. Q$^{*\ vid\ mg}$ θ' σ' διψησ. α' ομοιως τοις σ' διψασ. Q^{mg}) | ουδε 2°]+μη A | αλλ] αλλα ℵAQ 11 πασαν] παντα ℵ* (πασ. ℵ$^{c.b}$) 12 ηξουσιν] ερχονται ℵAQ | ουτοι 2°] ο 1° sup ras B$^{a?b?}$ και ουτοι δε ℵ* (ουτοι ℵ$^{?}$) | βοραν ℵ* (βορρα ℵ$^{c.b}$) | και]+ουτοι απο ℵ$^{c.b\ vid}$ (postea ras) A+απο Q 13 ευφραινεσθε] ευφρανθητε ℵ* (ευφραιν. ℵ$^{c.b}$ postea revoc ευφρανθ.) Q | και αγ. η γη] α' ϗ αγαλλιω γη θ' σ' ϗ ευφραινου γη Q^{mg} | ευφροσυνην]+και οι βουνοι δικαι|οσυνην ℵ* (improb ℵ$^{c.b}$ postea repos) | om αυτου 2° Q* (hab Q^{mg}) 14 Σιων B^{b}ℵAQ | εγκατελιπεν B^{b} ενκατελιπεν ℵ κατελειπεν Q$^{*\ vid}$ κατελιπ. Q^{a} | οτι] ο ℵAQ | Κυριος 2°] θ̅ς̅ (sup ras) A^{a} 15 γυνη 1°] μ̅η̅ρ̅ A | om η ℵ$^{c.b}$ (postea revoc) AQ* (hab Q^{mg}) | του μη ελεησαι] θ' του μη οικτειρ. σ' ωστε μη οικτειρησαι Q^{mg} | εκγονα] εγγονα ℵ | ταυτα επιλαθοιτο] επελαθετο ταυτα ℵ* επιλαθοιτο ταυτα ℵ$^{c.(b\ vid)}$AQ | αλλ εγω] α λεγων ℵ* α λεγω ℵ$^{1?}$ (αλλ ε. ℵ^{c}) | om ειπεν Κυριος ℵ* (hab ℵ$^{c.(a\ vid)}$) 16 εζωγραφησα AQ | σου] σοι Q$^{*\ vid}$ (σου Q^{a}) | τα τειχη (τιχ.) σου ℵ 17 ων] υμων ℵ*

B μώσαντές σε ἐκ σοῦ ἐξελεύσονται. [18]ἆρον κύκλῳ τοὺς ὀφθαλμούς 18
σου καὶ ἴδε πάντας, ἰδοὺ συνήχθησαν καὶ ἦλθοσαν πρός σέ· ζῶ ἐγώ,
λέγει Κύριος, ὅτι πάντας αὐτοὺς ὡς κόσμον ἐνδύσῃ, καὶ περιθήσεις
αὐτοὺς ὡς κόσμον, ὡς νύμφη. [19]ὅτι τὰ ἔρημά σου καὶ τὰ κατεφθαρ- 19
μένα καὶ τὰ πεπτωκότα, νῦν στενοχωρήσει ἀπὸ τῶν κατοικούντων,
καὶ μακρυνθήσονται ἀπὸ σοῦ οἱ καταπίνοντές σε. [20]ἐροῦσιν γὰρ 20
εἰς τὰ ὦτά σου οἱ υἱοί σου οὓς ἀπολώλεκας Στενός μοι ὁ τόπος,
ποίησόν μοι τόπον ἵνα κατοικήσω. [21]καὶ ἐρεῖς ἐν τῇ καρδίᾳ σου 21
Τίς ἐγέννησέν μοι τούτους; ἐγὼ δὲ ἄτεκνος καὶ χήρα, τούτους δὲ
τίς ἐξέθρεψέν μοι; ἐγὼ δὲ κατελείφθην μόνη, οὗτοι δέ μοι ποῦ
ἦσαν; [22]Οὕτως λέγει Κύριος Ἰδοὺ αἴρω εἰς τὰ ἔθνη τὴν χεῖρά 22
μου, καὶ εἰς τὰς νήσους ἀρῶ σύσσημόν μου, καὶ ἄξουσιν τοὺς υἱούς
σου ἐν κόλπῳ, τὰς δὲ θυγατέρας σου ἐπ' ὤμων ἀροῦσιν, [23]καὶ 23
ἔσονται βασιλεῖς τιθηνοί σου, αἱ δὲ ἄρχουσαι αὐτῶν τροφοί σου·
ἐπὶ πρόσωπον τῆς γῆς προσκυνήσουσίν σοι, καὶ τὸν χοῦν τῶν
ποδῶν σου λίξουσιν· καὶ γνώσῃ ὅτι ἐγὼ Κύριος, καὶ οὐκ αἰσχυν-
θήσονται οἱ ὑπομένοντές με. [24]μὴ λήμψεταί τις παρὰ γίγαντος 24
σκῦλα; καὶ ἐὰν αἰχμαλωτεύσῃ τις ἀδίκως, σωθήσεται; [25]οὕτως λέγει 25
Κύριος Ἐάν τις αἰχμαλωτεύσῃ γίγαντα, λήμψεται σκῦλα· λαμβάνων
δὲ παρὰ ἰσχύοντος σωθήσεται· ἐγὼ δὲ τὴν κρίσιν σου κρινῶ, καὶ
ἐγὼ τοὺς υἱούς σου ῥύσομαι· [26]καὶ φάγονται οἱ θλίψαντές σε τὰς 26
σάρκας αὐτῶν, καὶ πίονται ὡς οἶνον νέον τὸ αἷμα αὐτῶν καὶ με-
θυσθήσονται, καὶ αἰσθανθήσεται πᾶσα σὰρξ ὅτι ἐγὼ Κύριος ὁ ῥυ-

ℵAQ 17 εξ ου B* (εκ σου B^{ab}) 18 συνηχθησαν ℵ* (συνηχθ. ℵ^{c}) | om ως κοσμον (1°) ℵAQ* (hab sub ※ Q^{mg}) | περιθησει B^{ab} περιθηση ℵAQ | κοσμον 2°] κοσμος ℵ* (-μον ℵ$^{1 (vid)}$) | om ως 3° ℵAQ | νυμφης ℵAQ 19 κατεφθαρμενα] διεφθ. ℵ$^{c.b}$AQ + σου Q^{mg} | πεπτωκοτα] κατε|πτωκοτα ℵ* (πεπτ. ℵ$^{c.b}$) | νυν] pr ※ οτι Q^{mg} | στενοχωρηση ℵ* | κατοικουντων (καιτ. ℵ* κατ. ℵ$^{c.b}$)] ενοικ. A + σε ℵ* (improb σε ℵ$^{c.a, c.b}$) | απο σου sub ÷ Q 20 απολωλεκας] απωλεκας A απωλεσας Q^{mg} 21 τουτους 1°] pr α'θ' ※ συν Q^{mg} | χηρα] + θ' ※ παροικος ϗ εκκεκλεισμενη Q^{mg} 22 Κυριος] pr $\overline{κς}$ B^{ab}Q^{mg} | αιρω] αρω Q$^{* vid}$ (αιρ. Q^{a}) | συσημον B* (συσσ. B^{ab}ℵ$^{post c.a}$) συνσημον ℵ*A | κολπω] + σου ℵ | επ ωμων] επι των ωμ. Q 23 om αυτων ℵ$^{?}$AQ | χουν] incep χω ℵ* (χουν ℵ^{1}) | λειξουσι B^{ab}Q^{a} (-σιν) | και ουκ...υπομεν. με] σ' ϗ ουκ αισχυνθησονται οι προσδοκωντες με α'θ' ομοιως τοις ο' Q^{mg} | αισχυνθησονται] αισχυνθηση (εσχ. ℵ* αισχ. ℵ$^{c.b}$) ℵAQ* (-σονται Q^{mg}) | om οι υπομενοντες με ℵAQ* (hab sub ※ Q^{mg}) 24 μη λημψεται...σωθησεται] σ' μη ληφθησεται παρα δυνατου ληψις η αιχμαλωσια δικαιου διασωθησετε α'θ'...ϗ ει αιχμαλωτιζων δικαιον περισωθησεται Q^{mg} | ληψεται B^{b}Q^{a} (item Q^{a} 25) 25 ουτως (-τω ℵ* -τως ℵ$^{c.b}$)] pr οι γ' ※ οτι Q^{mg} | σου 2°] μου B^{ab} 26 θλιψαντες] θλιβοντες A | om και 2° ℵ* (hab ℵ$^{c.a, c.b}$) | μεθυσθησον B* (+ ται B$^{ab mg}$) | αισθανθησεται] θησεται sup ras B^{ab} εσθανθησονται ℵ* (-θησεται ℵ^{c}) | σαξ ℵ* (σαρξ ℵ^{c}) | om Κυριος AQ$^{* vid}$

L 1 σάμενός σε καὶ ἀντιλαμβανόμενος ἰσχύος Ἰακώβ. [1]Οὕτως B
λέγει Κύριος Ποῖον τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν,
ᾧ ἐξαπέστειλα αὐτήν; ἢ τίνι ὑπόχρεῳ πέπρακα ὑμᾶς; ἰδοὺ ταῖς
ἁμαρτίαις ὑμῶν ἐπράθητε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν
2 μητέρα ὑμῶν. [2]τί ὅτι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος; ἐκάλεσα, καὶ
οὐκ ἦν ὁ ὑπακούων; μὴ οὐκ ἰσχύει ἡ χείρ μου τοῦ ῥύσασθαι; ἢ
οὐκ ἰσχύω τοῦ ἐξελέσθαι; ἰδοὺ τῷ ἐλεγμῷ μου ἐξερημώσω τὴν θά-
λασσαν, καὶ θήσω ποταμοὺς ἐρήμους, καὶ ξηρανθήσονται οἱ ἰχθύες
3 αὐτῶν ἀπὸ τοῦ μὴ εἶναι ὕδωρ, καὶ ἀποθανοῦνται ἐν δίψει. [3]ἐν-
δύσω τὸν οὐρανὸν σκότος, καὶ ὡς σάκκον θήσω τὸ περιβόλαιον
αὐτοῦ.

4 [4]Κύριος Κύριος δίδωσίν μοι γλῶσσαν παιδίας τοῦ γνῶναι ἡνίκα
δεῖ εἰπεῖν λόγον· ἔθηκέν μοι πρωί, προσέθηκέν μοι ὠτίον ἀκούειν,
5 [5]καὶ ἡ παιδία κυρίου Κυρίου ἀνοίγει μου τὰ ὦτα, ἐγὼ δὲ οὐκ ἀπειθῶ
6 οὐδὲ ἀντιλέγω. [6]τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σια-
γόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα
7 ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, [7]καὶ κύριος Κύριος βοηθός μοι ἐγεν-
ήθη· διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλὰ ἔθηκα τὸ πρόσωπόν μου ὡς
8 στερεὰν πέτραν, καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ. [8]ὅτι ἐγγίζει ὁ δι-
καιώσας με· τίς ὁ κρινόμενός μοι; ἀντιστήτω μοι ἅμα· καὶ τίς ὁ
9 κρινόμενός μοι; ἐγγισάτω μοι. [9]ἰδοὺ Κύριος βοηθήσει μοι· τίς
κακώσει με; ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ σὴς

L 1 ουτω ℵ | ποιον το βιβλιον] [ποιον το]υτο [β.]: σ' ποιον το β. α'θ' ℵAQ ομοιως τοις σ' ποιον τουτο β. Q^{mg} | ω] η ℵ* (ῳ ℵ$^{c.b}$) ως ℵ$^{c.a}$ | τινι] ι 2° sup ras 2 vel 3 litt A$^{?vid}$ (τινων A^{*fort}) | υποχρεω sub ÷ Q | πεπρακα] pr θ' ※ των πρασσο|ντων με ω Q^{mg} | υμας] + θ' ※ αυτω Q^{mg} 2 τι οτι ηλθον] διοτι ηλθ. ℵ οι ο' διοτι ηλθον α'σ' ομοιως τοις ο' : θ' τι οτι ηλθο̄| Q^{mg} | ουκ ην ο υπακουων (επ. ℵ* υπ. ℵ$^{c.d.a}$)] ουχ υπηκουσε̄| A | ουκ 3° (ουκ| B* ου|κ B$^{?}$)] om Q* (hab Q^{mg}) | om η ουκ ισχυω του εξελεσθαι ℵ$^{?}$ (postea revoc) | τω ελεγμω μου] + και τη απιλη μου ℵ* (improb τω ελ. μ. και ℵ$^{?}$ postea revoc) τη απειλη μου AQ* (τω ελ. μου Q^{mg}) 3 ενδυσω] pr και ℵ$^{c.b}$AQ | ως σακκον θησω] ως σακκον ℵ* θησω σακκον ℵ$^{c.b}$ θησω ως σακκον ℵ$^{post\ c.a}$ A 4 om Κυριος 1° ℵAQ* (hab Q^{mg}) | μοι διδωσιν ℵ | παιδιας (-ειας B^{ab}Q^{a})] σοφιας A | του γνωναι...λογον] α' του γν. του υποστηρισαι σ' του γν. ομιλιαν Q^{mg} | γνωναι] + εν καιρω A | πρωι] pr το A + πρωι ℵ$^{c.(b\ vid)}$ (postea ras) | προσ|εθ. Q* προ|σεθ. Q^{a} 5 παιδεια B^{ab}Q^{a} | om Κυριου ℵ*AQ* (hab ℵ$^{c.b\ fort}$ [postea ras] Q^{mg}) | ανοιει ℵ* (-γει ℵ$^{c.b}$) | τα ωτα μου A | ουδε] ουδ ℵ 6 εδωκα] δεδωκα AQ | ενπτυσματων ℵ 7 om Κυριος ℵ$^{c.b}$AQ* (hab Q^{mg}) | μοι] μου ℵAQ | αλλα] αλλ ℵQ | στερεαν] εαν sup ras A^{a} | αισχυνθω] κατεσχυνθη ℵ* -θω ℵ$^{1\ (vid)}$ (αισχυνθω ℵ$^{c.b}$) 9 Κυριος] + κ̅ς̅ B^{ab}Q^{mg} | βοηθησει] βοηθει ℵ$^{c.a,\ c.b\ (vid)}$ (postea revoc -θησει) AQ (βοηθι Q* -θει Q^{a}) οι ο' βοηθησει μοι σ' βοηθει μοι α'θ' ομοιως τοις ο' Q^{mg} | σης καταφ.] pr ως ℵ$^{c.b\ (vid)}$AQ σ' ευρως καταφ. θ' ομοιως τοις ο' Q^{mg}

B καταφάγεται ὑμᾶς. [10]Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν κύριον; 10
ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ· οἱ πορευόμενοι ἐν σκότει,
καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι Κυρίου καὶ
ἀντιστηρίσασθε ἐπὶ τῷ θεῷ. [11]Ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε καὶ 11
κατισχύετε φλόγα· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ
φλογὶ ᾗ ἐξεκαύσατε· δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμη-
θήσεσθε.

[1]Ἀκούσατέ μου, οἱ διώκοντες τὸ δίκαιον καὶ ζητοῦντες τὸν κύριον, 1 LI
ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν ἣν ἐλατομήσατε, καὶ εἰς τὸν
βόθυνον τοῦ λάκκου ὃν ὠρύξατε. [2]ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν 2
πατέρα ὑμῶν, καὶ εἰς Σάρραν τὴν ὠδίνουσαν ὑμᾶς· ὅτι εἷς ἦν καὶ
ἐκάλεσα αὐτόν, καὶ εὐλόγησα αὐτὸν καὶ ἠγάπησα αὐτόν. [3]καὶ σὲ νῦν 3
παρακαλέσω, Σειών, καὶ παρεκάλεσα πάντα τὰ ἔρημα αὐτῆς, καὶ θήσω
τὰ ἔρημα αὐτῆς ὡς παράδεισον, καὶ τὰ πρὸς δυσμὰς ὡς παράδεισον
Κυρίου· εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ, ἐξομολόγησιν
καὶ φωνὴν αἰνέσεως. [4]Ἀκούσατέ μου, ἀκούσατέ μου, λαός μου, 4
καὶ οἱ βασιλεῖς πρός με ἐνωτίσασθε, ὅτι νόμος παρ' ἐμοῦ ἐξελεύσεται,
καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν. [5]ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου, καὶ 5
ἐξελεύσεται ὡς φῶς τὸ σωτήριόν μου, καὶ εἰς τὸν βραχίονά μου
ἔθνη ἐλπιοῦσιν· ἐμὲ νῆσοι ὑπομενοῦσιν καὶ εἰς τὸν βραχίονά μου
ἐλπιοῦσιν. [6]ἄρατε εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἐμ- 6
βλέψατε εἰς τὴν γῆν κάτω, ὅτι ὁ οὐρανὸς ὡς καπνὸς ἐστερεώθη, ἡ δὲ
γῆ ὡς ἱμάτιον παλαιωθήσεται, οἱ δὲ κατοικοῦντες ὥσπερ ταῦτα ἀπο-
θανοῦνται, τὸ δὲ σωτήριόν μου εἰς τὸν αἰῶνα ἔσται, ἡ δὲ δικαιοσύνη
μου οὐ μὴ ἐκλίπῃ. [7]Ἀκούσατέ μου, οἱ εἰδότες κρίσιν, λαὸς οὗ ὁ 7

ℵAQ 10 τις] ras aliq in τ inferius B[?] | υπακουσατω] επακουσατω ℵ ακουσατω AQ* υπ. Q[b(vid)] | om και 1° ℵ[1]AQ | αντιστηρισασθε] αντιστηριζεσθαι ℵ 11 κατισχυετε] κατισχυσατε ℵ ι, χυ sup ras A[a] | φλογα]+πυρος ℵ | πυρος] προς ℵ* (πυρ. ℵ[c]) LI 1 ακουσατε] ακουσαντες ℵ* (-σατε ℵ[?]) | ην ελατομησατε...ωρυξατε] θ' εξ ης ελατομηθητε ϗ εις την οπη̅| του λακκου οθε̅| εξεκοπητε α'σ' ομοιως τα τουτων εχομενα Q[mg] 2 εμβλεψατε] εμβλε sup ras B[1(fort)ab] | Σαραν ℵ* (Σαρρ. ℵ[c]) | και ευλογ. αυτον και] pr obel B[a] (non inst B[b]) | ηυλογησα AQ | και ηγ. [αυτον] sub ÷ Q | αυτον 3°]+και επληθυνα αυτον ℵAQ 3 Σιων B[b]AQ | παντα] πα sup ras ν superscr A[a] | om και θησω...αυτης 2° A | om και τα προς δυσμας ως παραδεισον ℵ[c.b] (postea repos) | om τα προς δυσμας...Κυριου Q* hab (sub ※ exc κ̅υ̅) Q[mg] | τας προς δ. B* (τα προς δ. B[?]) | αγαλιαμα ℵ | φωνην] ν ras ℵ[?] 4 ακουσατε 2° sub ÷ Q | om μου 2° AQ | ενωτισασθε] σα sup ras Q[a vid] 5 μου 1°] om ℵ σου A* (μου A[a]) | ως φως και] εις φως ℵ om AQ* (hab ως φως Q[b mg]) | βραχιοναν (1°) ℵ* (ν 2° ras ℵ[?]) 6 ενβλεψατε ℵ | η δε γη] και η γη A | οι δε κατ.] και οι κατ. ℵ | κατοικουντες]+αυτην ℵ[c.b]Q[mg] (sub ※)+την γην AQ* | εκλειπη AQ 7 ιδοτες A | λαος]+μου ℵAQ

νόμος μου ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ B
8 τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε. [8]ὡς γὰρ ἱμάτιον βρωθήσεται ὑπὸ
χρόνου, καὶ ὡς ἔρια βρωθήσεται ὑπὸ σητός, ἡ δὲ δικαιοσύνη μου εἰς
τὸν αἰῶνα ἔσται, τὸ δὲ σωτήριόν μου εἰς γενεὰς γενεῶν.
9 [9]Ἐξεγείρου ἐξεγείρου, Ἰερουσαλήμ, καὶ ἔνδυσαι τὴν ἰσχὺν τοῦ
βραχίονός σου· ἐξεγείρου ὡς ἐν ἀρχῇ ἡμέρας, ὡς γενεὰ αἰῶνος. οὐ σὺ
10 εἶ [10]ἡ ἐρημοῦσα θάλασσαν, ὕδωρ ἀβύσσου πλῆθος; ἡ θεῖσα τὰ βάθη
11 τῆς θαλάσσης ὁδὸν διαβάσεως ῥυομένοις [11]καὶ λελυτρωμένοις; ὑπὸ
γὰρ Κυρίου ἀποστραφήσονται, καὶ ἥξουσιν εἰς Σειὼν μετ' εὐφροσύνης
καὶ ἀγαλλιάματος αἰωνίου· ἐπὶ κεφαλῆς γὰρ αὐτῶν αἴνεσις, καὶ
εὐφροσύνη καταλήμψεται αὐτούς, ἀπέδρα ὀδύνη καὶ λύπη καὶ
12 στεναγμός. [12]ἐγώ εἰμι ἐγώ εἰμι ὁ παρακαλῶν σε· γνῶθι τίς οὖσα
ἐφοβήθης ἀπὸ ἀνθρώπου θνητοῦ καὶ ἀπὸ υἱοῦ ἀνθρώπου, οἳ ὡσεὶ
13 χόρτος ἐξηράνθησαν. [13]καὶ ἐπελάθου θεὸν τὸν ποιήσαντά σε, τὸν
ποιήσαντα τὸν οὐρανὸν καὶ θεμελιώσαντα τὴν γῆν· καὶ ἐφόβου ἀεὶ
πάσας τὰς ἡμέρας τὸ [1]πρόσωπον τοῦ θυμοῦ τοῦ θλίβοντός σε, ὃν § Γ
τρόπον γὰρ ἐβουλεύσατο τοῦ ἆραί σε· καὶ νῦν ποῦ ὁ θυμὸς τοῦ
14 θλίβοντός σε; [14]ἐν γὰρ τῷ σῴζεσθαί σε οὐ στήσεται οὐδὲ χρονιεῖ·
15 [15]ὅτι ἐγὼ ὁ θεός σου ὁ ταράσσων τὴν θάλασσαν καὶ ἠχῶν τὰ κύματα
16 αὐτῆς, Κύριος σαβαὼθ ὄνομά μοι. [16]θήσω τοὺς λόγους μου εἰς τὸ
στόμα σου, καὶ ὑπὸ τὴν σκιὰν τῆς χειρός μου σκεπάσω σε, ἐν ᾗ
ἔστησα τὸν οὐρανὸν καὶ ἐθεμελίωσα τὴν γῆν· καὶ ἐρεῖ Σειὼν Λαός μου
17 εἶ σύ. [17]Ἐξεγείρου ἐξεγείρου, ἀνάστηθι, Ἰερουσαλήμ, ἡ πιοῦσα

7 μη] και ℵ* (μη ℵc.a, c.b) | φαυλισμω Qa (de Q* φ tantum superest) ℵAQΓ
8 ως 1°] ωσπερ ℵc.a AQ | om γαρ Q* (hab Qmg) | ως 2°] ωσπερ A | αιωναν ℵ* (improb ν ℵbis c.a) | γενεαν ℵ* (-νας ℵc.a, c.b) 9 Ιερουσαλημ] pr ÷ Q? | ε|ν Q* ε̄| Qa 10 η ερημουσα] pr θ' ※ η λατομησασα πλατος διαλυσασα δρακοντα ου συ ει Qmg | θαλασσα A? | τα βαθη] το βαθος ℵ* (-θος sup ras ℵ1) 11 ελυτρωμενους ℵ* (λελυτρωμενοις ℵc.a, c.b) | Σιων Bb (in ω ras aliq ut vid) AQ | επι κεφαλης γαρ] επι της κεφ. ℵ επι γαρ της κεφ. AQ | αινεσις] pr αγαλλιασις και ℵQ + αγαλλιαμα και A | καταληψεται Qa | [απε]δρα οδυνη και λυπη και] obel pr Ba (non inst Bb) | και λυπη] pr ÷ Q? 12 γνωθι] pr ÷ Q? + συ ℵ*Qa | τις ουσα] τινα ℵAQ α' τις συ σ' τις ει οι ο' τις ουσα θ' ομοιως τοις ο' Qmg | εφοβηθης (εφαβ. ℵ* εφοβ. ℵc.a, c.b)] pr ευλαβηθεισα ℵ (-θισα ℵ* -θεισα ℵc.a, c.b) AQ 13 θεον] θῡ A* (θν̄ Aa) | την γην θεμελιωσαντα Q | του προσωπου ℵ | θυμου] + μου ℵc.a | του θλιβ.] αυτου θλιβ. ℵ* | αραι σε] αρεσαι σε A αρε|σαι (? αρε σαι) Γ 14 χρονιει] + θ' ※ ϗ ου θανατωσεις (sic) διαφθορᾱ| ϗ ου μη υστερηση ο αρτος αυτου Qmg 16 σκιαν της χειρος] σκεπην (postea rurs σκιαν) της χ. ℵc.a δεξιαν A | και ερει Σ. λαος μου ει συ] α' ϗ του ειπειν τη Σιων λ. μ. συ σ' ϗ εις το ειπει[ν] τη Σ. λ. μ. ει Qmg | ερει] ερω τη ℵc.a | Σιων Bb (in ω ras aliq ut vid) ℵAQΓ
17 om εξεγειρου 2° ℵ? (postea restit) Q* (hab Qmg)

B ἐκ χειρὸς Κυρίου τὸ ποτήριον τοῦ θυμοῦ αὐτοῦ· τὸ ποτήριον γὰρ τῆς
πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ ἐξέπιες καὶ ἐξεκένωσας, [18]καὶ οὐκ ἦν ὁ 18
παρακαλῶν σε ἀπὸ πάντων τῶν τέκνων σου ὧν ἔτεκες, καὶ οὐκ ἦν ὁ
ἀντιλαμβανόμενος τῆς χειρός σου οὐδὲ ἀπὸ πάντων τῶν υἱῶν σου ὧν
ὕψωσας. [19]δύο ταῦτα ἀντικείμενά σοι· τίς σοι συνλυπηθήσεται; 19
πτῶμα καὶ σύντριμμα, λιμὸς καὶ μάχαιρα· τίς παρακαλέσει σε; [20]οἱ 20
υἱοί σου οἱ ἀπορούμενοι, οἱ καθεύδοντες ἐπ' ἄκρου πάσης ἐξόδου ὡς
σευτλίον ἡμίεφθον, οἱ πλήρεις θυμοῦ Κυρίου, ἐκλελυμένοι διὰ Κυρίου
τοῦ θεοῦ. [21]διὰ τοῦτο ἄκουε, τεταπεινωμένη καὶ μεθύουσα οὐκ ἀπὸ 21
οἴνου. [22]οὕτως λέγει Κύριος ὁ θεὸς ὁ κρίνων τὸν λαὸν αὐτοῦ Ἰδοὺ 22
εἴληφα ἐκ τῆς χειρός σου τὸ ποτήριον τῆς πτώσεως, τὸ κόνδυ τοῦ
θυμοῦ μου, καὶ οὐ προσθήσῃ ἔτι πιεῖν αὐτό· [23]καὶ δώσω αὐτὸ εἰς τὰς 23
χεῖρας τῶν ἀδικησάντων σε τῶν ταπεινωσάντων σε, οἳ εἶπαν τῇ ψυχῇ
σου Κύψον, ἵνα παρέλθωμεν· καὶ ἔθηκας ἴσα τῇ γῇ τὰ μέσα σου ἔξω
τοῖς παραπορευομένοις. [1]Ἐξεγείρου ἐξεγείρου, Σειών· ἔνδυσαι 1 LII
τὴν ἰσχύν σου, Σειών, καὶ σὺ ἔνδυσαι τὴν δόξαν σου, Ἰερουσαλήμ,
πόλις ἡ ἁγία· οὐκέτι προστεθήσεται διελθεῖν διὰ σοῦ ἀπερίτμητος καὶ
ἀκάθαρτος. [2]ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι, κάθισον, Ἰερουσαλήμ· 2
ἔκλυσαι τὸν δεσμὸν τοῦ τραχήλου σου, ἡ αἰχμάλωτος θυγάτηρ Σειών.
[3]ὅτι τάδε λέγει Κύριος Δωρεὰν ἐπράθητε, καὶ οὐ μετὰ ἀργυρίου λυτρω- 3
θήσεσθε. [4]Οὕτως λέγει κύριος Κύριος Εἰς Αἴγυπτον κατέβη ὁ λαός 4
μου τὸ πρότερον παροικῆσαι ἐκεῖ, καὶ εἰς Ἀσσυρίους βίᾳ ἤχθησαν· [5]καὶ 5

ℵAQΓ 17 εκ χειρος Κ. το ποτ. του θυμου αυτου] το ποτ. του θυμου εκ χειρος κ̅υ̅ ℵAQ [το] ποτ. εκ χειρος κ̅υ̅ Γ | της πτωσεως...θυμου (2°) sup ras A^{a} (post θυ| spat est 2 fort litt) | θυμου 2°] + μου ℵ | εξεπιες] επιες A εξεπιε Γ 18 σε] ε A | υ|ιων B* υι|ων B$^{?}$ | υψωσας Q$^{a\,vid}$ (υψωσς Q*) 19 om σοι 2° ℵ* (hab ℵ$^{c.a,\,c.b}$) | συνλυπηθησεται B*Γ] συλλυπ. B^{b}ℵAQ | σε παρακαλεσει AQ 20 σου] σοι A | ως σευτλιον (σειτλ. ℵ* σευτλ. [prius fort σευται.] ℵ$^{c.a,\,c.b}$)] α'θ'σ' ως ορυξ Q^{mg} | ημιεφθον (-φθο|ν ℵ* -φθο̅| ℵ^{c})] α' ημφιβλη-στρευμενος σ' εν αμφιβληστρω θ' συνειλημμενος Q^{mg} | πληρης B | θεου] + σου ℵ$^{c.a}$ (rurs ras) 21 ακουε] + θ'σ' ※ τουτο Q^{mg} 22 ουτω ℵ* (-τως ℵ$^{c.a}$: s rurs ras) | ο θεος] + οι γ' ※ σου | om μου ℵAQ | προσθησει ℵ 23 δωσω...σε 1°] pr obelos adnot οι ωβ' ου κ' π' εβρ' B* (non inst B^{b}) | δωσω] εμβαλω AQ | των ταπεινωσαντων] pr και B$^{b\,vel\,c}$AQΓ | τα μεσα σου] τα μεταφρενα σου ℵAQ τα μεσα..ε|να [σ]ο[υ] Γ α' σωμα σου σ' τον νωτον σου θ' ομοιως τοις ο' τα μεσα σου Q^{mg} LII 1 Σιων B^{b}ℵAQΓ (bis [1° ℵ]: item 2, 7, 8) | om Σειων 2° ℵ | om συ ℵ$^{?}$ (postea revoc) AQΓ | η αγια] om η AΓ 2 εκλυσαι] εκδυσαι ℵ (-σε ℵ* -σαι ℵ$^{c.b}$) AΓ ενδυσαι Q* (εκλυσαι Q^{mg}) α' περιλυσαι σ' απολυσαι θ' διαλυσον Q^{mg} | τραχηλου] χ sup ras B$^{?}$ | improb σου ℵ$^{?}$ (postea revoc) 4 ουτως (-τω ℵ* -τως ℵ$^{c.a}$ s rurs ras)] pr οι γ' ※ οτι Q^{mg} | om κυριος ℵAQ* (hab Q^{mg}) Γ 5 και νυν...Κυριος] α' κ̅ νυν τι μοι ωδε φησι πιπι θ'σ' κ̅ νυν τι εστι| μοι ωδε λεγει κ̅ς̅ Q^{mg}

νῦν τί ὧδέ ἐστε; τάδε λέγει Κύριος Ὅτι ἐλήμφθη ὁ λαός μου δωρεάν, B
θαυμάζετε καὶ ὀλολύζετε. τάδε λέγει Κύριος Δι' ὑμᾶς διὰ παντὸς
6 τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. ⁶διὰ τοῦτο γνώσεται ὁ
λαός μου τὸ ὄνομά μου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐγώ εἰμι αὐτὸς ὁ
7 λαλῶν· πάρειμι ⁷ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελιζομένου
ἀκοὴν εἰρήνης, ὡς εὐαγγελιζόμενος ἀγαθά, ὅτι ἀκουστὴν ποιήσω τὴν
8 σωτηρίαν σου λέγων Σειὼν Βασιλεύσει σου ὁ θεός· ⁸ὅτι φωνὴ τῶν
φυλασσόντων σε ὑψώθη, καὶ τῇ φωνῇ ἅμα εὐφρανθήσονται· ὅτι
ὀφθαλμοὶ πρὸς ὀφθαλμοὺς ὄψονται, ἡνίκα ἂν ἐλεήσῃ Κύριος τὴν
9 Σειών. ⁹ῥηξάτω εὐφροσύνην ἅμα τὰ ἔρημα Ἰερουσαλήμ, ὅτι
10 ἠλέησεν Κύριος αὐτὴν καὶ ἐρύσατο Ἰερουσαλήμ. ¹⁰καὶ ἀποκαλύψει
Κύριος τὸν βραχίονα τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν, καὶ
ὄψονται πάντα ἄκρα τῆς γῆς τὴν σωτηρίαν τὴν παρὰ τοῦ θεοῦ ἡμῶν.
11 ¹¹ἀπόστητε ἀπόστητε, ἐξέλθατε ἐκεῖθεν καὶ ἀκαθάρτου μὴ ἅψησθε,
ἐξέλθατε ἐκ μέσου αὐτῆς, ἀφορίσθητε, οἱ φέροντες τὰ σκεύη Κυρίου·
12 ¹²ὅτι οὐ μετὰ ταραχῆς ἐξελεύσεσθε οὐδὲ φυγῇ πορεύσεσθε, προ-
πορεύσεται γὰρ πρότερος ὑμῶν Κύριος καὶ ὁ ἐπισυνάγων ὑμᾶς θεὸς
Ἰσραήλ.

13 ¹³Ἰδοὺ συνήσει ὁ παῖς μου, καὶ ὑψωθήσεται καὶ δοξασθήσεται
14 σφόδρα. ¹⁴ὃν τρόπον ἐκστήσονται ἐπὶ σὲ πολλοί, οὕτως ἀδοξήσει ἀπὸ
15 ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ τῶν ἀνθρώπων. ¹⁵οὕτω
θαυμάσονται ἔθνη πολλὰ ἐπ' αὐτῷ, καὶ συνέξουσιν βασιλεῖς τὸ στόμα

5 τι ωδε..εστε Γ | εσται A | εληmφη ℵ εληφθη Q | υμας] + τους ℵAQΓ ανους Γ 5—6 βλασφημειται...τουτο γνω[σεται]] pr obelos B^{a} (non inst B^{b}) 5 εν τοις εθν. sub ÷ Q 6 γνωσεται] γνωσεσθε Γ | το ονομα μου] τον κ̅ν̅ Q* (το ον. μου Q^{mg}) | εν] om Γ pr οι γ' ※ δια τουτο Q^{mg} | αυτος ο λαλων c seqq coniung ℵ 7 ως ωρα...σωτηριαν] α' τι ωραιωθησα̅| (σ' τι ευτρεπιζεις θ' ως ευτρεπεις) επι τα ορη ποδες ευαγγελιζομενου ακουτιζοντος ειρηνην ευαγγελιζομενου αγαθον ακουτιζοντος σωτηρια̅| Q^{mg} | ωρα] ωραιοι Q$^{b\,mg}$ 8 om οτι Γ^{vid} | των φυλασσοντων] α' σκοπευτων σου θ'σ' των σκοπων σου Q^{mg} | προς bis scr ℵ* | αν] εαν QΓ | ελεησει ℵ (-σι ℵ* -σει ℵ$^{c.b}$) A 9 ευφροσυνη ℵ | om Κυριος ℵ* (hab ℵ$^{c.a}$) Γ (nisi αυτην [κ̅ς̅]) | ερρυσατο B^{ab}AQ$^{b(vid)}$Γ | om Ιερουσαλημ 2° ℵ* (hab Ι̅λ̅μ̅ ℵ$^{c.b}$) 10 αποκαλυψει (-λειψ. Γ)] θ'σ' απεκαλυψε̅| Q^{mg} | αυτου τον αγιον AQ | ακρα] pr τα εθνη τα ℵ* (improb τα εθνη ℵ$^{c.b}$ postea repos) Γ pr τα AQ | om ημων AQ$^{*\,vid}$ (hab Q^{mg}) 11 εξελθετε bis Q$^{a\,vid}$ | αψησθε] απτεσθε ℵ (-θαι) A (-θαι) Q απτησθε Γ | μεσου] pr του ℵ | αφορισθητε] pr και QΓ | σκευη] + [του οι]κου Γ^{vid} 12—LIII 4 mutila in Γ 12 πορευσεσθε] πορευεσθε Q^{a} σ' απελευσεσθαι α'θ' ομοιως τοις σ' Q^{mg} | προπορευσεται] πορευσεται AQ* (προπορ. Q^{mg}) | προτερος] προ προσωπου ℵ | επισυναγων] συναγων ℵ* (επισ. ℵ$^{c.a,\,c.b\,(vid)}$ Q | θεος] pr κ̅ς̅ ο ℵAQ 13 συ̅|ησει B$^{*\,vid}$ (συ|νησει B$^{?}$) | σφοδρα] pr οι γ' ※ ϛ μετεωρισθησεται Q^{mg} 15 ουτως ℵAQ | συναξουσιν A

B αὐτῶν· ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασιν
συνήσουσιν.
[1]Κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι 1 LIII
ἀπεκαλύφθη; [2]ἀνηγγείλαμεν ὡς παιδίον ἐναντίον αὐτοῦ, ὡς ῥίζα ἐν 2
γῇ διψώσῃ· οὐκ ἔστιν εἶδος αὐτῷ οὐδὲ δόξα. καὶ εἴδομεν αὐτόν, καὶ
οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, [3]ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλιπὸν 3
παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰδὼς
¶ Γ φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ,¶ ἠτιμάσθη καὶ
οὐκ ἐλογίσθη. [4]οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν 4
ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ
καὶ ἐν κακώσει. [5]αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ 5
μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν· παιδία εἰρήνης ἡμῶν ἐπ᾽ αὐτόν,
τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. [6]πάντες ὡς πρόβατα ἐπλανήθημεν, 6
ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη· καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς
ἁμαρτίαις ἡμῶν. [7]καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ 7
στόμα· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ
κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. [8]ἐν τῇ 8
ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;
ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου
ἤχθη εἰς θάνατον. [9]καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, 9
καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου· ὅτι ἀνομίαν οὐκ ἐποίησεν,
οὐδὲ δόλον ἐν τῷ στόματι αὐτοῦ. [10]καὶ Κύριος βούλεται καθαρίσαι 10
αὐτὸν τῆς πληγῆς· ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ἡμῶν ὄψεται
σπέρμα μακρόβιον· καὶ βούλεται Κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς
ψυχῆς αὐτοῦ, [11]δεῖξαι αὐτῷ φῶς καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι 11

ℵAQΓ 15 πιρι ℵ* (περι ℵ^{1}) LIII 1 τινι] pr α'θ' ※ επι Q^{mg} | απεκαλυφη ℵ* (-φθη ℵ^{c}) 2 εναντιον αυτου ως παιδιον ℵ (πεδ. ℵ* παιδ. ℵ$^{c.b}$) AQ | ως παιδιον] α' ως τιτθιζομενο̄| θ' ως θηλαζον Q^{mg} | αυτω ειδος Q | ιδομεν AΓ | ουδε] ουτε ℵ 3 αλλα το ειδος] αλλ ειδος Γ | om και 1° AQ | εκλιπον] εκλιποντα ℵ* (-λειπ. ℵ$^{c.b}$) εκλειπον AQ^{a} | τους υιους των ανθρωπων] pr παντας ℵ (πα̃| ℵ* παντας ℵ$^{c.a, c.b}$) παντας ανο̅υ̅ς̅ AQ* (τους υιους τω̄ ανων Q^{mg}) 4 om ειναι ℵ* (hab ℵ$^{c.b}$) | πονοις ℵ* (-νω ℵ$^{c.b}$) | πληγη] + α'θ' ※ υπο θυ (sic ut vid) Q^{mg} 5 αμαρτιας] ανομιας ℵAQ | μεμαλακισται] εμαλακισθη A | ανομιας] αμαρτιας ℵAQ | παιδεια Q^{a} 7 κεκραγωσθαι ℵ$^{* vid}$ (κεκακ. ℵ$^{?}$) | κειροντος] κειραντος ℵ$^{c.a}$ (κιρ.) A + αυτον ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) AQ 8 ταπεινωσει] σει non inst B^{b} | ηρθη] ηχθη ℵ* (ηρθ. ℵ$^{c.a, c.b}$) | ηχθη] η 1° sup ras A^{a} ηκει Q^{mg} 9 θανατου] + αυτου B^{ab}ℵAQ | δολον] ευρεθη δολος ℵ$^{c.a}$ (δολος etiam ℵ$^{c.b}$) AQ 10 της πληγης (λη sup ras A^{a})] pr απο A | υμων ℵAQΓ | βουλεται Κυριος] κ̅ς̅ βουλετε ℵ* (-ται ℵ$^{c.b}$) + οι γ' ※ εν χειρι αυτου Q^{mg} | του πονου sup ras A$^{a?}$ 11 και πλασαι τη συνεσει] α'θ' εμπλησθησεται εν τη γνωσει αυτου σ' χορτασθησεται... Q^{mg} | σῡ|εσει B* συ|νεσει B$^{?}$

δίκαιον εὖ δουλεύοντα πολλοῖς, καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. B
12 [12]διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλούς, καὶ τῶν ἰσχυρῶν μεριεῖ
σκῦλα· ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς
ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκεν, καὶ διὰ τὰς
ἀνομίας αὐτῶν παρεδόθη.

LIV 1 [1]Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον, ἡ οὐκ
ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν
2 ἄνδρα· εἶπεν γὰρ Κύριος. [2]πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου καὶ
τῶν αὐλαιῶν σου, πῆξον, μὴ φείσῃ, μάκρυνον τὰ σχοινίσματά σου,
3 καὶ τοὺς πασσάλους σου κατίσχυσον, [3]ἔτι εἰς τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ
ἐκπέτασον· καὶ τὸ σπέρμα σου ἔθνη κληρονομήσει, καὶ πόλεις
4 ἠρημωμένας κατοικιεῖς. [4]μὴ φοβοῦ ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς
ὅτι ὠνειδίσθης, ὅτι αἰσχύνην αἰώνιον ἐπιλήσῃ, καὶ ὄνειδος τῆς χηρείας
5 σου οὐ μὴ μνησθήσῃ. [5]ὅτι Κύριος ὁ ποιῶν σε, Κύριος σαβαὼθ ὄνομα
αὐτῷ· καὶ ὁ ῥυσάμενός σε, αὐτὸς θεὸς Ἰσραήλ, πάσῃ τῇ γῇ κληθή-
6 σεται. [6]οὐχ ὡς γυναῖκα καταλελιμμένην καὶ ὀλιγόψυχον κέκληκέν
σε ὁ κύριος, οὐδ' ὡς γυναῖκα ἐκ νεότητος μεμισημένην· εἶπεν ὁ θεός
7 σου. [7]χρόνον μικρὸν ἐνκατέλιπόν σε, καὶ μετ' ἐλέους μεγάλου
8 ἐλεήσω σε· [8]ἐν θυμῷ μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπὸ σοῦ,
9 καὶ ἐν ἐλέει αἰωνίῳ ἐλεήσω σε· εἶπεν ὁ ῥυσάμενός σε Κύριος. [9]ἀπὸ
τοῦ ὕδατος τοῦ ἐπὶ Νῶε τοῦτό μοί ἐστιν, καθότι ὤμοσα αὐτῷ ἐν τῷ
χρόνῳ ἐκείνῳ, τῇ γῇ μὴ θυμωθήσεσθαι ἐπὶ σοὶ ἔτι, μηδὲ ἐν ἀπειλῇ
10 σου [10]τὰ ὄρη μεταστήσεσθαι, οὐδ' οἱ βουνοί σου μετακινηθήσονται·
οὕτως οὐδὲ τὸ παρ' ἐμοῦ σοι ἔλεος ἐκλείψει, οὐδὲ ἡ διαθήκη τῆς εἰρήνης

12 *μεριειται* Q* (*-ριει* Q^{a}) | *αμαρτιας*] *α* 3° sup ras B^{1fort} | *ανομιας*] ℵAQ *αμαρτιας* AQ* (*ανομ.* Q^{mg})   LIV 1 *ρηξον και βοησον*] + ※ *και τερπου* Q$^{mg\,dextr}$ *α' κελαδι αινεσι*] *ϛ χρεμετισον θ' ρηξον ευφροσυνην* Q$^{mg\,sinistr}$ 3 *τα αριστερα*] pr *εις* ℵAQ | *πολις* ℵ* (*-λεις* ℵ$^{c.b}$) Q* | *κατοικιεις*] *κατοικησεις* A   4 *κατησχυνθης*] *η* 1° ex *ι* fort fec ℵ$^{?}$ | *χηριας* ℵAQ | om *μη* 2° ℵ | *μνησθηση*] + *οι γ'* ※ *ετι* Q^{mg} 5 *Κυριος* 1°] pr *εγω* ℵ* (improb ℵ$^{?}$ postea revoc) | om *και* ℵ* (hab ℵ$^{c.b}$) | *θ̄ς αυτος* A   6 *ως* 1°] *ω* ℵ* (*ως* ℵ$^{c.a}$) | *καταλελειμμενην* B^{ab}AQ^{a} *καταλελιμενην* ℵ | om *και ολιγοψυχον* A* (hab A$^{a?(mg)}$) | *κεκληκε* ℵ* (*-κεν* ℵ$^{c.\,d.a}$) | *ο κυριος*] om *ο* ℵAQ | *ουδ ως*] *ου|τω* ℵ* (*ουδ ως* ℵ$^{c.c,\,d.a}$)   7 *εγκατελιπον* (*ε* 2° sup ras) B^{ab} *κατελιπον* ℵQ *κατελειπον* A | *μετ*] *μετα* ℵAQ   8 *ελεει*] *ελεω* Q^{mg} | *ελεησω*] *ελεησα* ℵ$^{c.b}$ *ηλεησα* AQ^{*vid} 9—10 *απο του υδατος...εκλειψει*] *θ' κατα τας ημερας Νωε τουτο μοι οτι ωμοσα μη επαγαγειν υδωρ Νωε ετι επι την γη*| *ουτως ωμοσα του μη οργισθηναι επι σε ϛ του μη επιτιμησαι εν σοι τα γαρ ορη σαλευθησονται ϛ οι βουνοι κλιθησονται το δε ελεος μου απο σου ου σαλευθησεται* Q^{mg} 9 *εστιν* ℵAQ + *ονομα* ℵ* (improb ℵ$^{?}$ postea revoc) | *χρονω*] *κρω* (sic) ℵ^{c} (rurs ras) | *θυμωθησεσθαι*] incep *θαμ* ℵ* (*θυμ.* ℵ$^{1(vid)}$)   10 *ορη*] *ορια* ℵ | *μεταστησασθαι* ℵ (*-σθε* ℵ* *-σθαι* ℵ$^{c.b}$) AQ^{*vid} (*-σεσθαι* Q^{a}) | *ουδ*] *ουδε* ℵAQ

B σου οὐ μὴ μεταστῇ· εἶπεν γὰρ Ἵλεώς σοι, Κύριε. 11 Ταπεινὴ καὶ 11
ἀκατάστατος οὐ παρεκλήθης· ἰδοὺ ἐγὼ ἑτοιμάζω σοὶ ἄνθρακα τὸν λίθον
σου, καὶ τὰ θεμέλιά σου σάπφειρον, 12 καὶ θήσω τὰς ἐπάλξεις σου 12
ἴασπιν, καὶ τὰς πύλας σου λίθους κρυστάλλου, καὶ τὸν περίβολόν σου
λίθους ἐκλεκτούς, 13 καὶ πάντας τοὺς υἱούς σου διδακτοὺς θεοῦ, καὶ ἐν 13
πολλῇ εἰρήνῃ τὰ τέκνα σου. 14 καὶ ἐν δικαιοσύνῃ οἰκοδομηθήσῃ· 14
ἀπέχου ἀπὸ ἀδίκου, καὶ οὐ φοβηθήσῃ, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι.
15 ἰδοὺ προσήλυτοι προσελεύσονταί σοι δι' ἐμοῦ, καὶ παροικήσουσίν 15
σοι καὶ ἐπὶ σὲ καταφεύξονται. 16 ἰδοὺ ἐγὼ ἔκτισά σε, οὐχ ὡς χαλκεὺς 16
φυσῶν ἄνθρακας καὶ ἐκφέρων σκεῦος εἰς ἔργον· ἐγὼ δὲ ἔκτισά σε
οὐκ εἰς ἀπώλειαν φθεῖραι. 17 πᾶν σκεῦος σκευαστὸν ἐπὶ σὲ οὐκ 17
εὐοδώσω· καὶ πᾶσα φωνὴ ἀναστήσεται ἐπὶ σὲ εἰς κρίσιν, πάντας
αὐτοὺς ἡττήσεις, οἱ δὲ ἔνοχοί σου ἔσονται ἐν αὐτῇ. ἔστιν κληρονομία
τοῖς θεραπεύουσιν Κύριον, καὶ ὑμεῖς ἔσεσθέ μοι δίκαιοι, λέγει Κύριος.
1 Οἱ διψῶντες, πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, 1 LV
βαδίσαντες ἀγοράσατε, καὶ φάγετε ἄνευ ἀργυρίου καὶ τιμῆς οἴνου καὶ
στέαρ. 2 ἵνα τί τιμᾶσθε ἀργυρίου, καὶ τὸν μόχθον ὑμῶν οὐκ εἰς 2
πλησμονήν; καὶ φάγεσθε ἀγαθά, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ
ὑμῶν. 3 προσέχετε τοῖς ὠσὶν ὑμῶν καὶ ἐπακολουθήσατε ταῖς ὁδοῖς μου· 3
§ Γ εἰσακούσατέ μου, 3 καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν, καὶ διαθήσομαι

ℵAQ 10 σου 2°] om ℵ* (hab ℵc.b) μου Qmg | ειπεν...Κυριε] οι γ' ειπεν οικτειρας σε κ̅ς̅ Qmg | ιλεως σοι Κυριε] κ̅ς̅ ιλεως σοι ℵAQ 11 ταπεινη] pr η ℵ | ου παρεκληθης] εστε (-ται ℵc.b) παρακεκλημενη ℵ* ου παρεκλ. ℵc.a (vid) c.b | om σοι ℵ* (hab ℵc.b) 12 επαλξις ℵ* (-ξεις ℵc.b) | ιαπιν ℵ* (ιασπ. ℵ1) | κρυσταο|λου ℵ* vid (-ταλλ. ℵc.a) 14 τρομος] μ sup ras Aa (incep τροψ A*) 15 om σοι 1° Q* (hab σοι Qmg) | om και παροικ. σοι ℵAQ* (hab Qmg) 16 εκτισα 1°] κτιζω ℵAQ | ουχ ως] pr ÷ Q? | χαλκους ℵ* (-κευς ℵc.b) | φυσων] + οι γ' ※ εν πυρι Qmg | εκτισα] εκτικα ℵ | απωλιαν ℵ 17 σκευαστον] τον ℵ* φθαρτον ℵc.a? c.bAQ* σκευαστον: α' πλασσομενον σ' πεπλασμενον θ' κεραμεως Qmg | επι 1°] + δε A | ευοδωσω] ευδοκησω A ευοδωθησεται Qmg | και πασα...κρισιν] θ' κ̣ πασα γλωσσα αναστ. μετα σου εις κρ. Qmg | φωνη] + η ℵcAQ | παντας] pr και ℵ* (improb ℵc.b) | οι δε ενοχοι...αυτη] pr obelos adnot οι ωβ' ου κ' π' εβρ' Ba (non inst Bb) | ηττησετε ℵ | εν αυτη] pr ÷ Q? | Κυριον] κ̅ω̅ A | μοι] μου ℵ* (μοι ℵc (a et b vid)) | δικαιοι] αγιοι ℵ* (διχαι ℵ?) LV 1 οι διψ.] pr σ'θ' ※ ουαι Qmg | βασδισατες ℵ* βαδ. ℵ1 (βαδισαντες ℵc.a) | φαγετε] πιετε ℵAQ* (φαγετε Qmg) | ανευ] pr θ' ※ κ̣ πορευεσθε κ̣ αγορασατε Qmg | οινου] οι γ' οινον Qmg 2 αργυριω ℵ* (-ριου ℵc.a, c.b) + θ' ※ εν ουκ αρτοις Qmg | μοχθον] χθ sup ras Aa (μοσχ. A* vid) | ουκ| B* ου|κ B? | και 2°] pr ακουσασθε μοι ℵ* pr ακουσατε μοι ℵc.a et postea A pr ακουσατε Q pr θ' [ακουσατε] ※ ακοην προς με Qmg 3—10 mutila in Γ 3 ωσιν] ωτιοις AQ | μου 1°] μ sup ras Qa vid | εισακουσατε] επακ. ℵc.b (postea rurs εις) AQa vid (επ sup ras: εισ[ακ]. Qmg) | και ζησεται εν αγαθοις] pr obel Ba (non inst Bb) | αγαθοις] pr ÷ Q? | υμων 2°] ημων A

4 ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαυεὶδ τὰ πιστά. [4]ἰδοὺ μαρτύριον ἐν B
5 ἔθνεσιν ἔδωκα αὐτόν, ἄρχοντα καὶ προστάσσοντα ἔθνεσιν. [5]ἔθνη ἃ
οὐκ οἴδασίν σε ἐπικαλέσονταί σε, καὶ λαοὶ οἳ οὐκ ἐπίστανταί σε ἐπὶ
σὲ καταφεύξονται, ἕνεκεν Κυρίου τοῦ θεοῦ σου τοῦ ἁγίου Ἰσραήλ, ὅτι
6 ἐδόξασέν σε. [6]Ζητήσατε τὸν κύριον, καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν
7 ἐπικαλέσασθε· ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, [7]ἀπολιπέτω ὁ ἀσεβὴς τὰς
ὁδοὺς αὐτοῦ καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ καὶ ἐπιστραφήτω ἐπὶ
Κύριον, καὶ ἐλεηθήσεται, ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν.
8 [8]οὐ γάρ εἰσιν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδ' ὥσπερ αἱ
9 ὁδοὶ ὑμῶν αἱ ὁδοί μου, λέγει Κύριος· [9]ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ
τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν καὶ τὰ διανοή-
10 ματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. [10]ὡς γὰρ ἂν καταβῇ ὁ ὑετὸς ἢ χιὼν
ἐκ τοῦ οὐρανοῦ, καὶ οὐ μὴ ἀποστραφῇ ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ
ἐκτέκῃ καὶ ἐκβλαστήσῃ, καὶ δῷ σπέρμα τῷ σπείροντι καὶ ἄρτον εἰς
11 βρῶσιν· [11]οὕτως ἔσται τὸ ῥῆμά μου ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου,
οὐ μὴ ἀποστραφῇ ἕως ἂν τελεσθῇ ὅσα ἠθέλησα, καὶ εὐοδώσω τὰς
12 ὁδούς σου καὶ τὰ ἐντάλματά μου. [12]ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε
καὶ ἐν χαρᾷ διδαχθήσεσθε· τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται
προσδεχόμενοι ὑμᾶς ἐν χαρᾷ, καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐπικρο-
13 τήσει τοῖς κλάδοις, [13]καὶ ἀντὶ τῆς στοιβῆς ἀναβήσεται κυπάρισσος,
ἀντὶ δὲ τῆς κονύζης ἀναβήσεται μυρσίνη· καὶ ἔσται Κύριος εἰς ὄνομα
καὶ εἰς σημεῖον αἰώνιον, καὶ οὐκ ἐκλείψει.

LVI 1 [1]Τάδε λέγει Κύριος Φυλάσσεσθε κρίσιν καὶ ποιήσατε δικαιοσύνην·
ἤγγικεν γὰρ τὸ σωτήριόν μου παραγίνεσθαι, καὶ τὸ ἔλεός μου ἀπο-
2 καλυφθῆναι. [2]μακάριος ἀνὴρ ὁ ποιῶν ταῦτα, καὶ ἄνθρωπος ὁ ἀντε-

4 εν εθνεσιν εδωκα αυτον] αυτον εν εθν. δεδωκα ℵ εν εθν. δεδωκα αυτον ℵAQΓ A εθν. δεδ. αυτον Q εν εθν. αυτον δεδ. Γ^{vid} 5 εθνη...οιδασιν σε] θ'σ' εθνος ο ου γνωση Q^{mg} | εθνη] pr οι γ' ※ ιδου Q^{mg} | οιδασιν] ηδεισαν AQ | επικαλεσονται] incep επικαι ℵ* (επικαλ. ℵ^{1}) επικαλεσωνται A | om Κυριου ℵ$^{c.b}$AQ^{mg} | οτι εδοξασεν σε c seqq coniung ℵ 6 κυριον] θν̄ ℵ$^{c.b}$AQ* (κν̄ Q^{mg}) | om δ A | εγγιζει A 7 απολειπετω AQ^{a} | επι 1°] προς Q^{mg} | οτι] pr ※ ϗ προς τον θν̄ ημων Q^{mg} 8 ου] οι Q* (ου Q^{a}) | βουλαι] βουλ B* (superscr αι B^{ab}) | ουδ] ουδε ℵAQ | om λεγει Κυριος Q* (hab Q^{mg}) 9 των οδων] incep τη ℵ* (των ℵ^{1} της ℵ$^{d.a}$) 10 αν 1°] εαν AQ | ο υετος] om ο ℵA | εκ] απο A | ου μη αποστραφη] ουκ αποστραφησεται ℵ* (ου μη αποστραφη ℵ$^{c.b}$) | εκβλαστηση] βλαστησει A | δω] δωσει A 11 om μου 1° Q | αποστραφη] + θ'σ' ※ προς με κενο| Q^{mg} | τελεσθη] συντελεσθη ℵAQΓ | οσα] pr παντα Q | ευωδωσω B* (ευοδ. B^{a} υω non inst B^{b}) | om σου ℵ* (hab ℵ^{1}) | μου 3°] σου Q + φυλαξεις ℵ$^{c.a\ vid}$ (rurs ras) 12 του αγρου] τρου αγρ. A | επικρατησι ℵ*^{vid} (επικροτ. ℵ$^{c.a}$) LVI 1 om και 1° ℵAQΓ | ηγγικεν] ηγγισεν AQ

B χόμενος αὐτῶν, καὶ φυλάσσων τὰ σάββατα μὴ βεβηλοῦν, καὶ δια-
τηρῶν τὰς χεῖρας αὐτοῦ μὴ ποιεῖν ἄδικα. ³μὴ λεγέτω ὁ ἀλλογενὴς 3
ὁ προσκείμενος πρὸς Κύριον Ἀφοριεῖ με ἄρα Κύριος ἀπὸ τοῦ λαοῦ
αὐτοῦ· καὶ μὴ λεγέτω ὁ εὐνοῦχος ὅτι Ἐγώ εἰμι ξύλον ξηρόν. ⁴τάδε 4
λέγει Κύριος τοῖς εὐνούχοις ὅσοι ἐὰν φυλάξωνται τὰ σάββατά μου
καὶ ἐκλέξωνται ἃ ἐγὼ θέλω καὶ ἀντέχωνται τῆς διαθήκης μου, ⁵δώσω 5
αὐτοῖς ἐν τῷ οἴκῳ μου καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστόν, κρείτ-
τω υἱῶν καὶ θυγατέρων, ὄνομα αἰώνιον δώσω αὐτοῖς καὶ οὐκ ἐκλείψει.
⁶καὶ τοῖς ἀλλογενέσι τοῖς προσκειμένοις Κυρίῳ δουλεύειν αὐτῷ, καὶ 6
ἀγαπᾶν τὸ ὄνομα Κυρίου τῷ εἶναι αὐτῷ εἰς δούλους καὶ δούλας, καὶ
πάντας τοὺς φυλασσομένους τὰ σάββατά μου μὴ βεβηλοῦν καὶ ἀν-
τεχομένους τῆς διαθήκης μου, ⁷εἰσάξω αὐτοὺς εἰς τὸ ὄρος τὸ ἅγιόν 7
μου, καὶ εὐφρανῶ αὐτοὺς ἐν τῷ οἴκῳ τῆς προσευχῆς μου· τὰ ὁλο-
καυτώματα αὐτῶν καὶ αἱ θυσίαι αὐτῶν ἔσονται δεκταὶ ἐπὶ τὸ θυ-
σιαστήριόν μου. ὁ γὰρ οἶκός μου οἶκος προσευχῆς κληθήσεται
πᾶσιν τοῖς ἔθνεσιν, ⁸εἶπεν Κύριος ὁ συνάγων τοὺς διεσπαρμένους 8
Ἰσραήλ, ὅτι συνάξω ἐπ᾽ αὐτὸν συναγωγήν. ⁹Πάντα τὰ θηρία 9
τὰ ἄγρια, δεῦτε φάγετε, πάντα τὰ θηρία τοῦ δρυμοῦ. ¹⁰ἴδετε ὅτι 10
ἐκτετύφλωνται πάντες, οὐκ ἔγνωσαν, κύνες ἐνεοί, οὐ δυνήσονται
ὑλακτεῖν, ἐνυπνιαζόμενοι κοίτην, φιλοῦντες νυστάξαι. ¹¹καὶ οἱ 11
κύνες ἀναιδεῖς τῇ ψυχῇ, οὐκ εἰδότες πλησμονήν· καί εἰσιν πονη-
ροὶ οὐκ εἰδότες σύνεσιν, πάντες ταῖς ὁδοῖς αὐτῶν ἐξηκολούθησαν,
ἕκαστος κατὰ τὸ ἑαυτοῦ.

ℵAQΓ 2 σαββατα (σαββα ℵ* -τα ℵ$^{c.a}$)] + μου ℵ$^{c.a}$ | om χειρας ℵ* (hab ℵ$^{c.b}$) | ποιειν] ποιησαι Q* (-ειν Q^{mg}) | αδικα] αδικημα ℵAQ* (-κα Q^{a}) 3 μη 1°] pr και Γ | προς Κυριον] κ̅ω̅ ℵ | αφοριει] pr θ′ ※ λεγων αφορισμω Q^{mg} 4 ταδε] pr οι γ′ ※ οτι Q^{mg} | τοιευνουχοις ℵ* (τοις ευν. ℵ$^{c.a\ et\ amon}$) | εαν] αν AQ | σαββατα] προσταγματα ℵ* (σαββ. ℵ$^{c.b}$) | διαθηκη ℵ 5 δωσω] pr και ℵ* (om ℵ$^{c.b}$) | κρειττω] κρισσων ℵ* (-σον ℵ$^{c.a, c.b}$) κρεισσων A κρισσον Q* (κρεισσ. Q^{a}) κρειττων Γ | δωσω αυτοις και ουκ εκλειψει sup ras A^{a} 6 αλλογενεσιν ℵ (-σειν ℵ* -σιν ℵ$^{c.b}$) AΓ | Κυριω] προς κ̅ν̅ A | δουλευειν ℵ* (-ειν ℵ^{1}) | τω ειναι] του ειναι ℵAQΓ | [αυ]τω εις δουλους κ. δου[λας]] pr obel B^{a} (non inst B^{b}) | αντεχομενοις ℵ* (-νους ℵ^{c}) 7 του θυσιαστηριου ℵAQΓ | πασι ℵQ 8 Κυριος] + κ̅ς̅ Q^{mg} | ο συναγων (συν|αγ. B* συ|ναγ. B$^{?}$)] οτι συναγω Γ | διεπαρμενους ℵ* (διεσπ. ℵ^{c}) διεσπαρσμ. A | οτι συναξω] και επαξω Γ | αυτον] αυτους ℵ* (-τον ℵ$^{c.b}$) Γ 9 τα θηρια τα αγρια] τα αγρια θηρια Γ 10 παντες εκτετυφλωνται ℵAQΓ | ουκ εγνωσαν] οι γ′ ομοιως Q^{mg} | [εγνω]σαν κυνες...δυ[νησονται]] adnot ου κ′ π′ εβρ′ B$^{a\,mg}$ | εγνωσαν] + φρονησαι (-σε ℵ* -σαι ℵ$^{c.b}$) ℵAQΓ | κυνες] pr παντες B$^{ab\,mg}$ℵAQΓ | ου] pr οι ℵ 11 ιδοτες ℵ (bis) | ταις οδοις] pr εν ℵ$^{c.b}$AQ | εκαστος...εαυτου] α′ ανηρ εις πλεονεξιαν αυτου θ′σ′ εκαστος εις την πλ. αυτου Q^{mg} | εαυτου] αυτο ℵAQ* (αυτου Q^{a} + ειδος Q^{mg}) Γ + θ′ ※ απ ακρου αυτου (12) δευτε λαβωμε̅| οινον ϗ οινοφλυγισωμεν μεθη ϗ εσται τοιαυτη ημερα αυριον μεγαλη περισσως σφοδρα Q^{mg}

LVII 1 1 Ἴδετε ὡς ὁ δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ, B
καὶ ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ. ἀπὸ γὰρ προσ-
2 ώπου ἀδικίας ἦρται ὁ δίκαιος· 2 ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ, ἦρται
3 ἐκ τοῦ μέσου. 3 ὑμεῖς δὲ προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα
4 μοιχῶν καὶ πόρνης· 4 ἐν τίνι ἐνετρυφήσατε; καὶ ἐπὶ τίνα ἠνοίξατε
τὸ στόμα ὑμῶν; καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν;
5 οὐχ ὑμεῖς ἐστε τέκνα ἀπωλείας, σπέρμα ἄνομον; 5 οἱ παρακα-
λοῦντες τὰ εἴδωλα ὑπὸ δένδρα δασέα, σφάζοντες τὰ τέκνα αὐτῶν
6 ἐν ταῖς φάραγξιν ἀνὰ μέσον τῶν πετρῶν. 6 ἐκείνη σου ἡ μερίς,
οὗτός σου ὁ κλῆρος, κἀκείνοις ἐξέχεας σπονδὰς καὶ τούτοις ἀνή-
7 νεγκας θυσίας·¶ ἐπὶ τούτοις οὖν οὐκ ὀργισθήσομαι; 7 ἐπ' ὄρος ὑψη- ¶ Γ
λὸν καὶ μετέωρον, ἐκεῖ σου ἡ κοίτη, καὶ ἐκεῖ ἀνεβίβασας θυσίας·
8 8 καὶ ὀπίσω τῶν σταθμῶν τῆς θύρας σου ἔθηκας μνημόσυνά
σου· ᾤου ὅτι ἐὰν ἀπ' ἐμοῦ ἀποστῇς, πλεῖόν τι ἕξεις· ἠγάπησας
9 τοὺς κοιμωμένους μετὰ σοῦ, 9 καὶ ἐπλήθυνας τὴν πορνείαν σου
μετ' αὐτῶν, καὶ πολλοὺς ἐποίησας τοὺς μακρὰν ἀπὸ σοῦ, καὶ ἀπέ-
στειλας πρέσβεις ὑπὲρ τὰ ὅριά σου, καὶ ἐταπεινώθης ἕως ᾅδου.
10 10 ταῖς πολυοδίαις σου ἐκοπίασας, καὶ οὐκ εἶπας Παύσομαι, ἐνισχύ-
11 ουσα ὅτι ἔπραξας ταῦτα, διὰ τοῦτο οὐ κατεδεήθης μου σύ. 11 τίνα
εὐλαβηθεῖσα ἐφοβήθης, καὶ ἐψεύσω με καὶ οὐκ ἐμνήσθης, οὐδὲ
ἔλαβές με εἰς τὴν διάνοιαν οὐδὲ εἰς τὴν καρδίαν σου; καὶ ἐγώ σε
12 ἰδὼν παρορῶ, καὶ ἐμὲ οὐκ ἐφοβήθης. 12 καὶ ἐγὼ ἀπαγγελῶ τὴν

LVII 1 ιδετε ως sub ÷ Q | ουδεις]+οι γ' ※ ανηρ Qmg | εκδεχεται τη ℵAQΓ καρδια] κατανομαι ℵ* (-νοει ℵ?) | κατανοει] εκδεχεται τη καρδια ℵ 3 προσαγαγετε] α'σ' εγγισατε θ' προσαγαγητε Qmg 4 τινα 1°] τινι ℵ | απωλιας ℵQ* (-λειας Qa) 5 τα ειδωλα] pr επι ℵQ | δασεω (sic) ℵ* (-σεα ℵc.a, c.b) | φαραξ. ℵ* (φαραγξ. ℵc.a, c.b) | πετρων] pr α' ※ ακρω͞ + ※ ϗ ταις μερισι φαραγγος· Qmg 6 κακεινοις] εκινης ℵ* (-νοις ℵc.a κακ. ℵc.b) και εκεινοις Γ | σπονδας] ποδας ℵ* (σπονδ. ℵc.a, c.b) | και τουτοις] εκινοις ℵ* ϗ εκ. ℵc.a (vid) κακεινοις ℵc.bAQ* (sub ÷: ϗ τουτ. Qmg) εκεινοις Γ | οργισθησομαι]+λεγει κ͞ς ℵ 7 και εκει] κακει ℵQ | αναβιβασας ℵ* (ανεβ. ℵc.a, c.b) | θυσιας] pr οι γ' ※ θυσιασαι Qmg 8 σταθμων] ω rescr ℵ1 | μνημοσυνο (sic) ℵ* (-νον ℵc.a -να ℵc.b) | ωου] ως ℵ | εξεις]+θ' ※ επλατυνας την κοιτην σου ϗ διεθου σαυτη παρ αυτων Qmg | κοιμενους B* (κοιμωμ. Bab) 9 πορνιαν ℵQ* (-νειαν Qa) | και πολλους εποιησας] α' θ' σ' ϗ επληθυνας Qmg | τους μακραν απο σου] α' συνθεσεις σου θ' μυρεψους σου σ' τα μυρεψια σου Qmg | υπερ τα ορια σου] α'σ'θ' εως εις μακραν Qmg | και 4°] pr και απεστρεψας ℵc.bAQ (om α'σ'θ' Qmg) | εταπινωθη ℵ* εταπεινωθης ℵc.b 10 επραξας] επραξα ℵ1 (postea revoc -ξας) | ου] ο ℵ* (ου ℵc) 11 με και ουκ εμνησθης...εις την [καρδιαν]] pr obelos Ba (non inst Bb) | εμνησθης]+μου ℵAQ | ουδε bis] ο δε ℵ (ουδε ℵc) | εις τ. διαν. ουδε sub ÷ Q | διανοιαν]+σου ℵ* +μου ℵc.a, c.b | και εγω] καγω AQ 12 και εγω] καγω AQ | απαγγελλω A

B δικαιοσύνην σου καὶ τὰ κακά σου, ἃ οὐκ ὠφελήσει σε· [13]ὅταν ἀνα- 13
βοήσῃς, ἐξελέσθωσάν σε ἐν τῇ θλίψει σου· τούτους γὰρ πάντας
λήμψεται ἄνεμος καὶ ἀποίσει καταιγίς. οἱ δὲ ἀντεχόμενοί μου κτή-
σονται γῆν, καὶ κληρονομήσουσιν τὸ ὄρος τὸ ἅγιόν μου, [14]καὶ ἐροῦ- 14
σιν Καθαρίσατε ἀπὸ προσώπου αὐτοῦ ὁδούς, καὶ ἄρατε σκῶλα ἀπὸ
τῆς ὁδοῦ τοῦ λαοῦ μου. [15]Τάδε λέγει ὁ ὕψιστος ἐν ὑψηλοῖς, 15
κατοικῶν τὸν αἰῶνα, Ἅγιος ἐν ἁγίοις ὄνομα αὐτῷ, Ὕψιστος ἐν
ἁγίοις ἀναπαυόμενος, καὶ ὀλιγοψύχοις διδοὺς μακροθυμίαν, καὶ δι-
δοὺς ζωὴν τοῖς τὴν καρδίαν συντετριμμένοις [16]Οὐκ εἰς τὸν αἰῶνα 16
ἐκδικήσω ὑμᾶς, οὐδὲ διὰ παντὸς ὀργισθήσομαι ὑμῖν· πνεῦμα γὰρ
παρ' ἐμοῦ ἐξελεύσεται, καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα. [17]δι' ἁμαρ- 17
τίαν βραχύ τι ἐλύπησα αὐτόν, καὶ ἐπάταξα αὐτὸν καὶ ἀπέστρεψα
τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ· καὶ ἐλυπήθη, καὶ ἐπορεύθη στυγνὸς
ἐν ταῖς ὁδοῖς αὐτοῦ. [18]τὰς ὁδοὺς αὐτοῦ ἑόρακα, καὶ ἰασάμην αὐτὸν 18
καὶ παρεκάλεσα αὐτόν, καὶ ἔδωκα αὐτῷ παράκλησιν ἀληθινήν, [19]εἰ- 19
ρήνην ἐπ' εἰρήνην τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς οὖσιν. καὶ εἶπεν
Κύριος Ἰάσομαι αὐτούς· [20]οἱ δὲ ἄδικοι κλυδωνισθήσονται καὶ ἀνα- 20
παύσασθαι οὐ δυνήσονται. [21]οὐκ ἔστιν χαίρειν, εἶπεν ὁ θεός, τοῖς 21
ἀσεβέσιν.

[1]Ἀναβόησον ἐν ἰσχύι καὶ μὴ φείσῃ, ὡς σάλπιγγι ὕψωσον τὴν 1 LVIII
φωνήν σου, καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν καὶ
τῷ οἴκῳ Ἰακὼβ τὰς ἀνομίας αὐτῶν. [2]ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζη- 2

ℵAQ 12 σου 1°] μου ℵ$^{c.a,c.b}$AQ* (σου Q^{a}) οι γ' ομοιως Q^{mg} | ωφελησει] ωφελησουσιν ℵ$^{c.b}$ (-σι iam ℵ$^{c.a\,vid}$) AQ οι ο' ουκ ωφελησει σε οι γ' ουκ ωφελησουσιν σε Q^{mg} 13 αναβοησεις ℵ | εξελεσωσθωσαν B* (-εσθωσαν B^{ab}) | ανεμος λημψεται ℵAQ (ληψ.) | αποισει] αποισεται αυτους ℵ* (om αυτους ℵ? dein revoc) 15 ταδε] pr οι γ' ※ οτι Q^{mg} | ο υψιστος] pr κ̅ς̅ ℵ$^{c.b}$AQ | εν 1°] pr ο ℵ$^{iam\ c.a\,(vid)}$AQ | [κα]τοικων...ονομα αυ[τω]] pr obelos B^{a} (non inst B^{b}) | εν αγιοις sub ÷ Q | αυτω] + κ̅ς̅ ℵ* (improb ℵ$^{c.b}$ postea revoc) AQ | Υψιστος (υψ. sup ras B^{ab})] ο υψ. εις τον αιωναν (sic) ο ℵ* (improb εις . . ο ℵ$^{c.b}$ postea revoc) | τοις συντετρ. την καρδιαν ℵAQ + ※ ϗ ζωωσαι καρδιας τεθλασμενας Q^{mg} 16 ουκ (ουκ| B* ου|κ B?)] pr και A | υμιν, πασαν sub ÷ Q 17 δι] δια A | [αμαρτι]αν...επαταξα αυτον] pr obelos B^{a} (non inst B^{b}) | το προσ. μου απ αυτ. sub ÷ Q^{vid} | εν ταις οδοις αυτου] εν τη καρδια αυτου ℵ$^{c.a\,vid}$ (postea ras) | οδοις] + ※ της καρδιας Q^{mg} 18 εωρακα B^{b}ℵAQ | improb και παρεκαλεσα αυτον ℵ$^{c.b}$ (postea revoc) | αληθινην] + θ' ※ ϗ τοις πενθουσιν αυτου Q^{mg} 19 ειρηνην 1°] pr α'σ' ※ κτιζων καρπο̄ Q^{mg} 20 κλυδωνισθ.] pr ουτως ℵAQ | αναπαυσον|σθε (sic) ℵ* improb ον ℵ^{1} -σασ|σθε ℵ$^{c.a}$ (-θαι ℵ$^{c.b}$) | ου] + μη ℵ$^{c.a}$ | δυνησονται] + θ' ※ ϗ αποβαλλεται το υδωρ αυτης καταπατημα ϗ πηλος Q^{mg} 21 τοις ασεβεσιν ειπεν κ̅ς̅ ο θ̅ς̅ ℵAQ LVIII 1 ως σαλπιγγι] ως σαλπιγγος ℵ ως σαλπιγγα AQ α' ως κερατινη θ'σ' ως κερατινης Q^{mg} | τας ανομιας] τα ανομηματα ℵ 2 ζητουσιν] ζητησουσιν A

τοῦσιν, καὶ γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην B
πεποιηκὼς καὶ κρίσιν θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς· αἰτοῦσίν με
3 νῦν κρίσιν δικαίαν, καὶ ἐγγίζειν θεῷ ἐπιθυμοῦσιν [3]λέγοντες Τί ὅτι
ἐνηστεύσαμεν καὶ οὐκ εἶδες; ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν καὶ
οὐκ ἔγνως; ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ
θελήματα ὑμῶν, καὶ πάντας τοὺς ὑποχειρίους ὑμῶν ὑπονύσσετε.
4 [4]εἰ εἰς κρίσεις καὶ μάχας νηστεύετε καὶ τύπτετε πυγμαῖς ταπεινόν,
ἵνα τί μοι νηστεύετε ὡς σήμερον, ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν
5 ὑμῶν; [5]οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, καὶ ἡμέραν ταπεινοῦν
ἄνθρωπον τὴν ψυχὴν αὐτοῦ· οὐδ' ἂν κάμψῃς ὡς κρίκον τὸν τρά-
χηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ' οὕτως κα-
6 λέσετε νηστείαν δεκτήν. [6]οὐχὶ τοιαύτην νηστείαν ἐγὼ ἐξελεξάμην,
λέγει Κύριος, ἀλλὰ λῦε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγα-
λιὰς βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει,
7 καὶ πᾶσαν συγγραφὴν ἄδικον διάσπα. [7]διάθρυπτε πεινῶντι τὸν
ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου· ἐὰν
ἴδῃς γυμνόν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου
8 οὐχ ὑπερόψῃ. [8]τότε ῥαγήσεται πρόιμον τὸ φῶς σου, καὶ τὰ ἰά-
ματά σου ταχὺ ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δι-
9 καιοσύνη σου, καὶ ἡ δόξα τοῦ θεοῦ περιστελεῖ σε· [9]τότε βοήσῃ,
καὶ ὁ θεὸς εἰσακούσεταί σου, ἔτι λαλοῦντός σου ἐρεῖ Ἰδοὺ πάρειμι.
ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον καὶ χειροτονίαν καὶ ῥῆμα γογγυ-
10 σμοῦ, [10]καὶ δῷς πεινῶντι τὸν ἄρτον ἐκ ψυχῆς σου, καὶ ψυχὴν τετα-
πεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου, καὶ
11 τὸ σκότος σου ὡς μεσημβρία, [11]καὶ ἔσται ὁ θεός σου μετὰ σοῦ διὰ

2 τας οδους μου ℵ | επιθυμουσιν 1°] επιθυμησουσιν ℵ* (-μουσιν ℵ$^{c.a, c.b}$) | ℵAQ λαον ℵ* (λαος ℵ$^{c.a, c.b}$) | δικαιοσυνην] pr ※ ο Q^{mg} + θῦ A | ενκαταλελοιπως ℵ | νυν sub ÷ Q 3 λεγοντες sub ÷ Q | ιδες ℵ | ουκ εγνως] ου προσεσχες A | νηστιων ℵQ* (-τειων Q^{a}) 4 om ει ℵAQ | εις] pr οι γ' ※ ιδου Q^{mg} | κρισεις periit in B* (hab B$^{ab(mg)}$) κρισις ℵAQ* (-σεις ℵ$^{c.b}$Q^{a}) | ινα] α Q* (ιν superscr) | κραυη ℵ* (-γη ℵ$^{c.a, c.b}$) 5 νηστιαν ℵQ* bis | εξελεξαμην] + λεγει κ̅ς̅ παντοκρατωρ Q | και 1°] ουδε ℵ$^{c.a}$ (revoc και ℵ$^{c.b(vid)}$) | υποστρωση (τ sup ras B$^{?vid}$)] υποστρωσης ℵ$^{c.a}$ | ουτως] ως ℵ | δεκτην] pr θ'σ' ※ και ημεραν + οι γ' ※ τω π̅ν̅ι̅ Q^{mg} 6 om ουχι...Κυριος Q* (hab ουχι τοιαυτην νηστειαν εξελ. λεγει κ̅ς̅ Q^{mg}) | νηστιαν ℵ | εξελελεξαμην ℵ | στραγαλιας ℵ | τεθραυσμενους] τεθραμμενους ℵ | συγγραφην B^{ab}AQ 7 εισαγαγε ℵ | οικιων ℵQ* (-κειων Q^{a}) 8 πρωιμον B^{b} | ιαματα] ιματια ℵ$^{c.a}$ (postea revoc ιαμ.) 9 εαν αφελης...χειροτονιαν] θ'σ' εαν αφ. εκ μεσου σου κλοιον εκτεινοντα δακτυλον Q^{mg} 10 αρτον] + σου A | τεταπινωμεν ℵ* (-μενην ℵ$^{saltem c.c}$) | εμπλησις ℵ | ανατελλι ℵ* (-τελι ℵ^{1} -τελει ℵ$^{c.b}$) | το φως] om το Q* (hab Q$^{b?mg}$) | μεσημβρια] + εστε ℵ* (improb ℵ^{1} postea repos) 11 om μετα σου A

B παντός· καὶ ἐμπλησθήσῃ καθάπερ ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ τὰ
ὀστᾶ σου πιανθήσεται, καὶ ἔσται ὡς κῆπος μεθύων καὶ ὡς πηγὴ
ἣν μὴ ἐξέλιπεν ὕδωρ· [12]καὶ οἰκοδομηθήσονταί σου αἱ ἔρημοι αἰώνιοι, 12
καὶ ἔσται τὰ θεμέλιά σου αἰώνια γενεῶν γενεαῖς· καὶ κληθήσῃ Οἰ-
κοδόμος φραγμῶν, καὶ τοὺς τρίβους σου ἀνὰ μέσον παύσεις. [13]ἐὰν 13
ἀποστρέψῃς ἀπὸ τῶν σαββάτων τὸν πόδα σου τοῦ μὴ ποιεῖν τὰ
θελήματά σου ἐν τῇ ἡμέρᾳ τῇ ἁγίᾳ, καὶ καλέσεις τὰ σάββατα τρυ-
φερά, ἅγια τῷ θεῷ, οὐκ ἀρεῖς τὸν πόδα σου ἐπ' ἔργῳ, οὐδὲ λαλήσεις
λόγον ἐν ὀργῇ ἐκ τοῦ στόματός σου, [14]καὶ ἔσῃ πεποιθὼς ἐπὶ Κύριον, 14
καὶ ἀναβιβάσει σε ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς, καὶ ψωμιεῖ σε τὴν κληρονο-
μίαν Ἰακὼβ τοῦ πατρός σου· τὸ γὰρ στόμα Κυρίου ἐλάλησεν ταῦτα.

[1]Μὴ οὐκ ἰσχύει ἡ χεὶρ Κυρίου τοῦ σῶσαι; ἢ ἐβάρυνεν τὸ οὖς 1 LIX
αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι; [2]ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διαστῶσιν 2
ἀνὰ μέσον ὑμῶν καὶ ἀνὰ μέσον τοῦ θεοῦ, καὶ διὰ τὰς ἁμαρτίας
ὑμῶν ἀπέστρεψεν τὸ πρόσωπον ἀφ' ὑμῶν τοῦ μὴ ἐλεῆσαι. [3]αἱ 3
γὰρ χεῖρες ὑμῶν μεμολυσμέναι αἵματι, καὶ οἱ δάκτυλοι ὑμῶν ἐν
ἁμαρτίαις, τὰ δὲ χείλη ὑμῶν ἐλάλησεν ἀνομίαν, καὶ ἡ γλῶσσα
ὑμῶν ἀδικίαν μελετᾷ. [4]οὐθεὶς λαλεῖ δίκαια, οὐδὲ ἔστιν κρίσις ἀλη- 4
θινή· πεποίθασιν ἐπὶ ματαίοις καὶ λαλοῦσιν κενά, ὅτι κύουσιν πόνον
καὶ τίκτουσιν ἀνομίαν. [5]ᾠὰ ἀσπίδων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης 5
ὑφαίνουσιν, καὶ ὁ μέλλων τῶν ᾠῶν αὐτῶν φαγεῖν, συντρίψας οὔριον
εὗρεν, καὶ ἐν αὐτῷ βασιλίσκος. [6]ὁ ἱστὸς αὐτῶν οὐκ ἔσται εἰς ἱμάτιον, 6
οὐδὲ μὴ περιβάλωνται ἀπὸ τῶν ἔργων αὐτῶν· τὰ γὰρ ἔργα αὐτῶν

ℵAQ 11 καθαπερ] καθα ℵ | πηγη] + ※ υδατος Q^mg | ην] οι γ' ης Q^mg | εξελειπεν ℵ^c.b AQ^a | υδωρ] + και τα οστα σου ως βοτανη ανατελει και πιανθησεται και κληρονομησουσι γενεας γενεων (γεναιας γεναιων) ℵ^c.a AQ 12 οικοδομηθησονται] ανοικοδ. ℵ^c.a | εσται] ες B* (ται superscr B^a) | σου τα θεμελια ℵAQ | [θεμελι]α σου αιωνια γενεων γε[νεαις]] pr obel B^a (non inst B^b) | γενεαις (-ας ℵ* -αις ℵ^c (a et b vid))] + α'σ' ※ αναστησεις Q^mg | τους τριβους] B*^b τας τρ. B^ab | om σου 3° ℵAQ | ανα μεσον] pr τους ℵAQ | ανα μεσον παυσεις] α' του καθησθαι σ' εις το οικεισθαι θ' του οικεισθαι Q^mg 13 τον ποδα σου απο των σαββατων ℵAQ | ποιεις ℵ* (-ειν ℵ^1) | αγια| και in mg et sup ras A^a (om και A*) | το σαββατον ℵ* (τα σαββατα ℵ^c.b) | τρυφερα] α'θ'σ' δεδοξασμενα Q^mg | θεω] + σου ℵ^c.a AQ | ποδα 2°] ποс ℵ* (ποδα ℵ^1) | εν οργη sub ÷ Q 14 αναβιβαση ℵ | ταυτα] pr ÷ Q? LIX 1 Κυριου] μου Q* (κ̅υ̅ Q^b mg) | σωσαι] + σε ℵ^c.a (improb ℵ^c.b) | om αυτου ℵ | εισ|ακουσαι B* ει|σακ. B? 2 διαστωσιν A | υμων και sup ras 10 vel 11 litt A^a | om ανα μεσον του θεου και A om ανα μεσον 2° ℵ? (postea repos) Q | προσωπον] + αυτου ℵ^c.a AQ 3 μεμολυμμεναι ℵAQ* (μεμολυσμ. Q^a) | αιμα ℵ* (αιματι ℵ^c.a, c.b) | και] α sup ras A^a 4 ουθεις] ουδεις ℵ (-δις ℵ* -δεις ℵ^c.b) A (-δις) Q 5 ερηξαν ℵ | μελων ℵ* (μελλ. ℵ^c.a) | βασιλισκον ℵQ 6 μη] μην ℵ* (μη ℵ^item c.a (vid)) | περιβαλονται ℵ (-τε ℵ* -ται ℵ^c.b)

7 ἔργα ἀνομίας. [7]οἱ δὲ πόδες αὐτῶν ἐπὶ πονηρίαν τρέχουσιν, ταχι- B
νοὶ ἐκχέαι αἷμα, καὶ οἱ διαλογισμοὶ αὐτῶν ἀπὸ φόνων· σύντριμμα
8 καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, [8]καὶ ὁδὸν εἰρήνης οὐκ οἴ-
δασιν, καὶ οὐκ ἔστιν κρίσις ἐν ταῖς ὁδοῖς αὐτῶν· αἱ γὰρ τρίβοι
9 αὐτῶν διεστραμμέναι ἃς διοδεύουσιν, καὶ οὐκ οἴδασιν εἰρήνην. [9]διὰ
τοῦτο ἀπέστη ἡ κρίσις ἀπ' αὐτῶν, καὶ οὐ μὴ καταλάβῃ αὐτοὺς δι-
καιοσύνη· ὑπομεινάντων φῶς ἐγένετο αὐτοῖς σκότος, μείναντες αὐ-
10 γὴν ἐν ἀωρίᾳ περιεπάτησαν. [10]ψηλαφήσουσιν ὡς τυφλοὶ τοῖχον,
καὶ ὡς οὐχ ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσιν· πεσοῦνται ἐν
11 μεσημβρίᾳ ὡς ἐν μεσονυκτίῳ, ὡς ἀποθνήσκοντες στενάξουσιν, [11]ὡς
ἄρκος καὶ ὡς περιστερὰ ἅμα πορεύσονται· ἀνεμείναμεν κρίσιν καὶ
12 οὐκ ἔστιν· σωτηρία μακρὰν ἀφέστηκεν ἀφ' ἡμῶν. [12]πολλὴ γὰρ ἡμῶν
ἡ ἀνομία ἐναντίον σου, καὶ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν· αἱ
13 γὰρ ἀνομίαι ἡμῶν ἐν ἡμῖν, καὶ τὰ ἀδικήματα ἡμῶν ἔγνωμεν· [13]ἠσε-
βήσαμεν καὶ ἐψευσάμεθα, καὶ ἀπέστημεν ὄπισθεν τοῦ θεοῦ ἡμῶν·
ἐλαλήσαμεν ἄδικα καὶ ἠπειθήσαμεν, ἐκύομεν καὶ ἐμελετήσαμεν ἀπὸ
14 καρδίας ἡμῶν λόγους ἀδίκους, [14]καὶ ἀπεστήσαμεν ὀπίσω τὴν κρίσιν,
καὶ ἡ δικαιοσύνη μακρὰν ἀφέστηκεν· ὅτι καταναλώθη ἐν ταῖς ὁδοῖς
15 αὐτῶν ἡ ἀλήθεια, καὶ δι' εὐθείας οὐκ ἐδύναντο διελθεῖν. [15]καὶ ἡ
ἀλήθεια ἦρται, καὶ μετέστησαν τὴν διάνοιαν τοῦ συνιέναι· καὶ εἶδεν
16 Κύριος, καὶ οὐκ ἤρεσεν αὐτῷ, ὅτι οὐκ ἦν κρίσις. [16]καὶ εἶδεν καὶ
οὐκ ἦν ἀνήρ, καὶ κατενόησεν καὶ οὐκ ἦν ὁ ἀντιλημψόμενος, καὶ

6 ανομιας]+θ' ※ κ εργον αδικιας εν χερσι] αυτων Q^{mg} 7 εκχεαιμα ℵ* (εκχεαι αιμα ℵ$^{c.a}$) | αιμα]+ ※ αναιτιον Q^{mg} | αυτων 2°]+διαλογισμοι B$^{ab mg}$ ℵAQ | απο φονων (ο 2° sup ras 3 circ litt Q^{1vid})] αφρονων ℵ* (απο φον. ℵ$^{c.b}$) A αφρονων: σ' ανομιας θ' αδικιας α' ανωφελους Q^{mg} 8 οιδασιν 1°] εγνωσαν AQ^{mg} | κρισις] κρισιν θυ ℵ* (κρισις ℵ$^{c.a, c.b}$) | ειρηνην]+ην ℵ* (improb ℵ$^{c.a}$ revoc ut vid ℵ$^{c.c}$) 9 improb και ου μη καταλαβη αυτ. δικαιοσυνη ℵ$^{c.b}$ (postea repos) | υπομειναντων]+αυτων B^{ab}ℵA^{a}Q | περιεπατησαν] οι γ' περιπατησομε͞ Q^{mg} 10 ψηλαφησουσιν 1°] σ' διαψηλαφησομεν θ'σ' (sic) ομοιως τοις ο' Q^{mg} | τυφλοι] τυφλος ℵ$^{c.b}$ (postea rurs -φλοι) Q | ως ουχ] ουχ ως ℵ om ουχ Q* (hab Q^{mg}) | ψηλαφησουσιν 2°] ψηλαφησομεν Q^{mg} | πεσουνται] pr και ℵAQ 11 om ως 2° Q* (hab Q^{mg}) | αναμενουμεν ℵ$^{c.a}$ (ανεμιναμεν ℵ* ανεμειν. ℵ$^{c.b}$) 12 πολλαι γαρ ημ. αι ανομιαι ℵ$^{c.a}$ (mox priora revoc) 13 εψευσαμεθα]+α' θ' ※ εν τινι Q^{mg} | οπισθεν] pr απο ℵAQ οι ο' οπισθεν α' απο οπ. σ' θ' ομοιως τοις ο' Q^{mg} | ελαλησαμεν] ελαα incep ℵ* | ηκυομεν ℵ^{*vid} (εκ. ℵ^{1}) 14 αφεστηκεν]+αφ ημων A | κατηναλωθη B^{ab} | αυτων] om A* (hab A^{a}) αυτω Q* | αληθια ℵ* (-θεια ℵ$^{c.b}$) | ευθιας ℵ | ηδυναντο ℵ^{1} (-νοντο ℵ^{*vid}) AQ | διελθεις ℵ* (-θειν ℵ$^{c.a, c.b}$) 15 αληθια ℵ | διανοιαν (-α ℵ* -αν ℵ$^{c.a}$)]+αυτων ℵ* (improb ℵ$^{c.a, c.b}$) A$^{?}$ | συνιεναι] συνιναι ℵ* (-νιεναι ℵ$^{c.a, c.b}$) A 16 ιδεν A | ο αντιλημψομενος (-ληψ. B$^{?}$ Q$^{?}$)] ο α͞| sup ras A^{a} ℵAQ

B ἠμύνατο αὐτοὺς τῷ βραχίονι αὐτοῦ καὶ τῇ ἐλεημοσύνῃ ἐστηρίσατο.
[17]καὶ ἐνεδύσατο δικαιοσύνην ὡς θώρακα, καὶ περιέθετο περικεφα- 17
λαίαν σωτηρίου ἐπὶ τῆς κεφαλῆς, καὶ περιεβάλετο ἱμάτιον ἐκδι-
κήσεως, καὶ τὸ περιβόλαιον αὐτοῦ [18]ὡς ἀνταποδώσων ἀνταπόδοσιν 18
ὄνειδος τοῖς ὑπεναντίοις. [19]καὶ φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ 19
ὄνομα Κυρίου, καὶ οἱ ἀπ' ἀνατολῶν ἡλίου τὸ ὄνομα τὸ ἔνδοξον·
ἥξει γὰρ ὡς ποταμὸς βίαιος ἡ ὀργὴ παρὰ Κυρίου, ἥξει μετὰ θυμοῦ.
[20]καὶ ἥξει ἕνεκεν Σειὼν ὁ ῥυόμενος καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ 20
Ἰακώβ. [21]καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, εἶπεν Κύριος· τὸ 21
πνεῦμα τὸ ἐμὸν ὅ ἐστιν ἐπὶ σοί, καὶ τὰ ῥήματα ἃ ἔδωκα εἰς τὸ
στόμα σου, οὐ μὴ ἐκλίπῃ ἐκ τοῦ στόματός σου καὶ ἐκ τοῦ στόμα-
τος τοῦ σπέρματός σου· εἶπεν γὰρ Κύριος ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν
αἰῶνα.

[1]Φωτίζου φωτίζου, Ἰερουσαλήμ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ 1 LX
δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. [2]ἰδοὺ σκότος καλύψει γῆν, καὶ 2
γνόφος ἐπ' ἔθνη· ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ ἡ δόξα αὐτοῦ
ἐπὶ σὲ ὀφθήσεται· [3]καὶ πορεύσονται βασιλεῖς τῷ φωτί σου, καὶ 3
ἔθνη τῇ λαμπρότητί σου. [4]ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ 4
ἴδε συνηγμένα τὰ τέκνα σου· ἥκασιν πάντες οἱ υἱοί σου μακρόθεν,
καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων ἀρθήσονται. [5]τότε ὄψῃ, καὶ φο- 5
βηθήσῃ καὶ ἐκστήσῃ τῇ καρδίᾳ, ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτος θα-
λάσσης καὶ ἐθνῶν καὶ λαῶν. καὶ ἥξουσίν σοι [6]ἀγέλαι καμήλων, 6
καὶ καλύψουσίν σε κάμηλοι Μαδιὰμ καὶ Γαιφά· πάντες ἐκ Σαβὰ
ἥξουσιν φέροντες χρυσίον, καὶ λίβανον οἴσουσιν, καὶ τὸ σωτήριον

ℵAQ 17 και περιεθετο sub ÷ Q | σωτηριου] pr ως ℵ | om αυτου ℵAQ 18 υπεναντιοις] + θ'σ' ※ ταις νησοις ανταποδομα ανταποδωσει Q^{mg} 19 οι απο δ.] om οι ℵ* (hab ℵ$^{c.a}$) | απ] απο A | ηξι (2°) ℵ 20 Σιων B^{b}AQ | ο ρυομενος] om ο ℵ* (hab ℵ$^{c.a}$) | ασεβιας ℵ | Ιακωβ] + σ' ※ ειπε κ̅ς̅ Q^{mg} 21 επι] εν Q* (επι Q^{mg}) | το στομα] την καρδιαν ℵ* (στομα pro καρδ. ℵ$^{c.(a\ vid)}$ postea ras) | om ου μη εκλιπη εκ του στοματος σου B* (hab B$^{ab\,mg}$: in fine ras aliq) | εκλειπη AQ | στοματος 2°] σπερματος B^{*vid} (στο sup ras B^{ab}) | σου 3°] + οι γ' ※ και απο του στοματος του σπερματος του σπερματος σου Q^{mg} | om γαρ A LX 1 om φωτιζου 2° Q | Κυριου] οι γ' πιπι Q^{mg} | ανατεταλκεν] ras 1 lit ante τ 1° Q? 2 ιδου] pr ※ οτι Q^{mg} + γαρ ℵ$^{c.a(vid)}$ (rurs ras) | σκοτος και γνοφος καλυψει (-ψι ℵ* -ψει ℵ$^{c.b}$ καλυπτει A) γην επ εθνη ℵAQ | om δε A 3 σου 2°] + οι γ' ※ της ανατολης Q^{mg} 4 ιδε] + οι γ' ※ παντα Q^{mg} | ηκασιν (-σι ℵ)] pr ιδου AQ 5 οψη] + θ' ※ ϗ χαρηση Q^{mg} | εκτηση B | καρδια] + σου ℵ* (improb ℵ? postea repos) | εις] επι ℵ | πλουτος] πληθος ℵ* (πλουτ. ℵ$^{c.b}$) | ηξουσιν] εξουσιν ℵ* (ηξ. ℵ$^{c.b}$) | σοι] επι σε Q 6 καμηλοι Μαδιαμ] λοι Μα sup ras B^{ab} | Γαιφαρ ℵAQ οι γ' Γαιφα Q^{mg} | εκ Σαβα] εξαβα B* (εκ Σ. B^{ab}) | φεροντες sub ÷ Q | οισουσιν (οι|σουκισιν [οισ|. ℵ$^{c.a}$ postea repos οι|σ.] ℵ* improb κι ℵ^{1} κει (sic) revoc ℵ$^{c.b}$)] + και λιθον τιμιον ℵ* (improb mox restit ℵ?) A

7 Κυρίου εὐαγγελιοῦνται· 7 καὶ πάντα τὰ πρόβατα Κηδὰρ συναχθή- B
σονται, καὶ κριοὶ Ναβαιὼθ ἥξουσιν, καὶ ἀνενεχθήσεται δεκτὰ ἐπὶ τὸ
θυσιαστήριόν μου, καὶ ὁ οἶκος τῆς προσευχῆς μου δοξασθήσεται.
8 8 τίνες οἵδε ὡς νεφέλαι πέτονται, καὶ ὡς περιστεραὶ σὺν νοσσοῖς
9 ἐπ' ἐμέ; 9 ἐμὲ αἱ νῆσοι ὑπέμειναν καὶ πλοῖα Θαρσεὶς ἐν πρώτοις,
ἀγαγεῖν τὰ τέκνα σου μακρόθεν καὶ τὸν ἄργυρον καὶ τὸν χρυσὸν
αὐτῶν μετ' αὐτῶν, καὶ τὸ ὄνομα Κυρίου τὸ ἅγιον, καὶ διὰ τὸ τὸν
10 ἅγιον τοῦ Ἰσραὴλ ἔνδοξον εἶναι. 10 καὶ οἰκοδομήσουσιν ἀλλογενεῖς
τὰ τείχη σου, καὶ οἱ βασιλεῖς αὐτῶν παραστήσονταί σοι· διὰ γὰρ
11 ὀργήν μου ἐπάταξά σε, καὶ διὰ ἔλεον ἠγάπησά σε. 11 καὶ ἀνοιχθή-
σονται αἱ πύλαι σου διὰ παντός, ἡμέρας καὶ νυκτὸς οὐ κλεισθή-
σονται, εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν καὶ βασιλεῖς αὐτῶν ἀγο-
12 μένους. 12 τὰ γὰρ ἔθνη καὶ οἱ βασιλεῖς οἵτινες οὐ δουλεύσουσίν σοι
13 ἀπολοῦνται, καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσεται. 13 καὶ ἡ δόξα τοῦ
Λιβάνου πρὸς σὲ ἥξει ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ ἅμα,
14 δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου. 14 καὶ πορεύσονται πρὸς σὲ
δεδοικότες υἱοὶ ταπεινωσάντων σε καὶ παροξυνάντων σε, καὶ κλη-
15 θήσῃ Πόλις Κυρίου, Σειὼν Ἁγίου Ἰσραήλ. 15 διὰ τὸ γεγενῆσθαί σε
ἐνκαταλελιμμένην καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν· καὶ θήσω
16 σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεῶν γενεαῖς. 16 καὶ θηλάσεις
γάλα ἐθνῶν, καὶ πλοῦτον βασιλέων φάγεσαι, καὶ γνώσῃ ὅτι ἐγὼ

6 ευαγγελιουνται] ευαγγελιουνταις (-ται ℵ$^{?}$) σοι ℵ* (σοι improb mox revoc ℵ$^{?}$) ℵAQ
7 συναχθησονται] + σοι ℵQ | κριοι] pr οι A | ηξουσιν] + σοι ℵAQ | δεκτα] pr δωρα ℵ* (improb postea revoc ℵ$^{?}$) | δοξασθησεται] ε sup ras ℵ$^{?\,vid}$ adnot aliq mox penitus ras ℵ$^{c.a}$ 8 πετανται AQ | νοσσοις] νεοσσοις AQ$^{1\,(vid)}$ (νοσοις Q*) | om επ εμε ℵ* (hab ℵ$^{c.a\,(vid)}$) AQ 9 om εμε ℵ$^{c.a}$ | αι νησοι] om αι ℵ$^{post\ c.a}$AQ | Θαρσις ℵ* (-σεις ℵ$^{c.b}$) | αργυρον] + αυτω̄| Q^{mg} | om αυτων 1° AQ* (hab Q^{mg}) | και 4°] δια ℵAQ | και το ονομα...του Ισραηλ] οι γ' τω ονοματι κ̅υ̅ θ̅υ̅ σου κ̣ τω αγιω Ι̅η̅λ Q^{mg} | δια το τον] δια το̄| τον B* non inst τον B^{b} om το ℵQ* (hab AQ^{a}) | του Ισραηλ] improb του ℵ$^{?}$ (postea revoc) 10 βασιλις ℵ* (-λεις ℵ$^{c.b}$) | om μου Q* (hab Q^{mg}) | ελεος A 11 εισαγαγειν] pr του ℵ$^{c.a}$ (improb ℵ$^{c.b}$) | om και βασιλεις αυτων ℵ* (hab κ̣ βασιλις ℵ$^{ante\ c.a}$ + αυτων ℵ$^{c.a}$ κ̣ βασιλεις [sine αυτ.] ℵ$^{c.b}$) | om αυτων AQ* (hab Q^{mg}) 12 βασιλεις (-λις ℵ* -λεις ℵ$^{c.b}$)] + αυτων ℵ$^{c.a}$ (improb ℵ$^{c.b}$) A | οτινες ℵ* (οιτ. ℵ^{c}) | δουλευσιν Q* (-σουσιν Q^{a}) | απολουνται] αποθανοῡ|ται A | ερημωθησεται] ερημωθησονται ℵ (-τε ℵ* -ται ℵ$^{c.b}$) AQ 13 Λιβανου] in νου ras aliq B$^{?}$ | μου] + οι γ' ※ κ̣ τον τοπον των ποδω̄| μου δοξασω Q^{mg} 14 σε και παροξυναντων] pr obel et adnot οι ωβ' ου κ' π' εβρ' B^{a} (non inst B^{b}) | σε 2°] + οι γ' ※ κ̣ προσκυνησουσιν επι τα ιχνη των ποδων σου παντες οι παροξυναντες Q^{mg} | και παροξ. σε sub ÷ Q | Σιων B^{b}ℵAQ 15 ενκαταλελιμμενην B$^{*\,vid}$] εγκαταλελειμμ. B^{ab} ενκαταλελεμμ ℵ* -λελειμμ. ℵ$^{c.a}$ εγκαταλελιμμενην AQ | ευφροσυνη B 16 βασεων ℵ* (-σιλεων ℵ^{c})

B Κύριος ὁ σῴζων σε, καὶ ἐξαιρούμενός σε θεὸς Ἰσραήλ. 17 ἀντὶ χαλ- 17
κοῦ οἴσω σοι χρυσίον, ἀντὶ δὲ σιδήρου οἴσω σοι ἀργύριον, ἀντὶ δὲ
ξύλων οἴσω σοι χαλκόν, ἀντὶ δὲ λίθων σίδηρον. καὶ δώσω τοὺς
ἄρχοντάς σου ἐν εἰρήνῃ, καὶ τοὺς ἐπισκόπους σου ἐν δικαιοσύνῃ·
18 καὶ οὐκ ἀκουσθήσεται ἔτι ἀδικία ἐν τῇ γῇ σου, οὐδὲ σύντριμμα 18
οὐδὲ ταλαιπωρία ἐν τοῖς ὁρίοις σου, ἀλλὰ κληθήσεται Σωτήριον τὰ
τείχη σου, καὶ αἱ πύλαι σου Γλύμμα. 19 καὶ οὐκ ἔσται σοι ἔτι ὁ 19
ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ ἀνατολὴ σελήνης φωτιεῖ σοι τὴν νύκτα,
ἀλλ' ἔσται σοι Κύριος φῶς αἰώνιον, καὶ ὁ θεὸς δόξα σου. 20 οὐ γὰρ 20
δύσεται ὁ ἥλιός σοι, καὶ ἡ σελήνη σοι οὐκ ἐκλείψει· ἔσται γὰρ Κύριός
σοι φῶς αἰώνιον, καὶ ἀναπληρωθήσονται αἱ ἡμέραι τοῦ πένθους σου.
21 καὶ ὁ λαός σου πᾶς δίκαιος, δι' αἰῶνος κληρονομήσουσιν τὴν γῆν, 21
φυλάσσων τὸ φύτευμα, ἔργα χειρῶν αὐτοῦ εἰς δόξαν. 22 ὁ ὀλιγοστὸς 22
ἔσται εἰς χιλιάδας, καὶ ὁ ἐλάχιστος εἰς ἔθνος μέγα· ἐγὼ Κύριος κατὰ
καιρὸν συνάξω αὐτούς.

1 Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με εὐαγγελίσασθαι 1 LXI
πτωχοῖς, ἀπέσταλκέν με ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν,
κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, 2 καλέσαι ἐνιαυτὸν 2
Κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως, παρακαλέσαι πάντας τοὺς
πενθοῦντας, 3 δοθῆναι τοῖς πενθοῦσιν Σειὼν αὐτοῖς δόξαν ἀντὶ σποδοῦ, 3
ἄλιμμα εὐφροσύνης τοῖς πενθοῦσι, καταστολὴν δόξης ἀντὶ πνεύματος
ἀκηδίας· καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα Κυρίου εἰς
δόξαν. 4 καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίας, ἐξηρημωμένας πρότερον 4

ℵAQ 16 om και 4° ℵ* (hab ℵ$^{c.a}$) | θεος] pr ο A | Ισραηλ] Ιακωβ Q^{mg} 17 αντι 1°] pr και B^{ab}ℵAQ | ξυλων] ξυλου A | χαλκον] αλκ sup ras ℵ^{1} 18 ουκ] ουκετι ℵ | ακουσθησεται] ακουσθησονται ℵ* (-θησεται ℵ$^{c.b}$) | om ετι ℵ | κληθησεται] κληθησονται ℵ (-τε ℵ* -ται ℵ$^{c.b}$) 19 om σοι 1° ℵ* (hab ℵ$^{c.a, c.b}$ sed non inst ℵ$^{c.b}$) | om ετι ℵAQ | ουδε] ουτε ℵ | σοι 2°] σε ℵ | τ. νυκτ. sub ÷ Q | Κυριος] incep φ ℵ* (improb iam ℵ^{1}) | φως] pr εις ℵ* (improb postea ras ℵ$^{?}$) 20 δυσεται] δυνησεται B*ℵ* (δυσ. B^{ab}ℵ$^{?}$) | σοι 1°] σου A | Κυριος] + ο θ̅ς̅ ℵ* (improb mox repos ℵ$^{?}$) 21 δι] δια A pr και ℵAQ | κληρονομησουσουσιν B* (-μησουσι B^{ab}) | αυτου] αυτων ℵ 22 ελαχιστος] + εστε ℵ* (improb mox repos ℵ$^{c.b}$) | συ|αξω B* συ|ναξω B$^{?}$ | om αυτους Q* (hab Q^{mg}) LXI 1 Κυριου] + ※ κ̅υ̅ Q^{mg} | εχρισεν] + ※ κ̅ς̅ Q^{mg} | πτωχοις Bℵ$^{c.a, c.b}$AQ*] ταπεινοις ℵ* (-πιν.) Q^{mg} | απεταλκεν ℵ* (απεστ. ℵ$^{iam ante c}$) | τη καρδια ℵAQ 2 Κυριου] τω κ̅ω̅ Q^{mg} | δεκτος ℵ* (-τον ℵ$^{iam 1 (vid)}$) | ανταποδοσεως (δωσ. A)] ανταποδοσεων ℵ* (-σεως ℵ$^{c.a et postea}$) + ※ τω θ̅ω̅ ημω̅ Q^{mg} 3 Σιων AQ | om αυτοις ℵ^{c}AQ* (hab ※ δουναι αυτοις Q^{mg}) αλειμμα A | πενθουσιν (2°) ℵAQ | κληθησονται] + θ'α' ※ αυτοις Q^{mg} Κυριου] pr δικαιοσυνης ℵ* (improb rurs revoc ℵ$^{?}$) 4 εξηρημωμενας 1°] εξερημ. ℵA | προτερον] pr το ℵ προτερας AQ* προτερο̅: α' πρωτω̅| θ'σ' αρχαιω̅ Q^{mg}

ἐξαναστήσουσιν· καὶ καινιοῦσιν πόλεις ἐρήμους, ἐξηρημωμένας εἰς B
5 γενεάς. [5]καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ
6 ἀλλόφυλοι ἀροτῆρες καὶ ἀμπελουργοί· [6]ὑμεῖς δὲ ἱερεῖς Κυρίου κλη-
θήσεσθε, λειτουργοὶ θεοῦ· ἰσχὺν ἐθνῶν κατέδεσθε καὶ ἐν τῷ πλούτῳ
7 αὐτῶν θαυμασθήσεσθε. [7]οὕτως τὴν γῆν ἐκ δευτέρας κληρονομήσουσι,
8 καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. [8]ἐγὼ γάρ εἰμι Κύριος ὁ
ἀγαπῶν δικαιοσύνην καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας· καὶ δώσω τὸν
9 μόχθον αὐτῶν δικαίοις, καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς. [9]καὶ
γνωσθήσεται ἐν τοῖς ἔθνεσιν τὸ σπέρμα αὐτῶν, καὶ τὰ ἔκγονα αὐτῶν
ἐν μέσῳ τῶν λαῶν· πᾶς ὁ ὁρῶν αὐτοὺς ἐπιγνώσεται αὐτούς, ὅτι οὗτοί
10 εἰσιν σπέρμα ηὐλογημένον ὑπὸ θεοῦ, [10]καὶ εὐφροσύνῃ εὐφρανθήσονται
ἐπὶ Κύριον. Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ· ἐνέδυσεν
γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης, περιέθηκέν μοι ὡς
11 νυμφίῳ μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέν με κόσμῳ. [11]καὶ ὡς γῆν
αὔξουσαν τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ, οὕτως
ἀνατελεῖ κύριος Κύριος δικαιοσύνην καὶ ἀγαλλίαμα ἐναντίον πάντων
τῶν ἐθνῶν.

LXII 1 [1]Διὰ Σειὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἰερουσαλὴμ οὐκ ἀνήσω, ἕως
ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη αὐτῆς, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς
2 καυθήσεται. [2]καὶ ὄψονται ἔθνη τὴν δικαιοσύνην σου καὶ βασιλεῖς τὴν
δόξαν σου, καὶ καλέσει σε τὸ ὄνομα τὸ καινὸν ὃ ὁ κύριος ὀνομάσει
3 αὐτό. [3]καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα
4 βασιλείας ἐν χειρὶ θεοῦ σου. [4]καὶ οὐκέτι κληθήσῃ Καταλελιμμένη, καὶ

4 πολις ℵ*Q* (-λεις ℵ$^{c.a}$Q$^{1(vid)}$) | ερημους 2°] αιωνιους ℵ (αιων. ℵ* αιων. ℵAQ ℵ$^{c.a}$) ερημους και αιων. ℵ$^{c.a}$ | εξηρημωμενας 2°] εξερη|μενας ℵ εξερημωμενας A 5 σου τα προβατα και ℵ (α, βατα κ sup ras ℵ^{1} το προσωπον ℵ* ^{vid}) 6 ιερεις ℵ* (-ρεις ℵ$^{c.b}$) | λειτουργοι] pr και A | θεου]+υμων ℵ* (improb mox гενοc ℵ$^{?}$)+οι γ′ ※ υμων ρηθησεται υμιν Q^{mg} | ισχυς A | και] καν ℵ* | εν] επι A 7 ουτως] pr θ′ ※ αντι της αι|σχυνης υμω̄| διπλας ϗ εν| τροπης αγαλ|λιασονται με|ρις αυτων Q^{mg} | εκ δευτερας κληρονομησουσι (-μησου ℵ* -μησουσιν ℵ$^{c.a}$A) την γην ℵAQ | αιωνιας ℵ* (-νιος ℵ^{1}) 8 om και 3° ℵ (hab ℵ$^{c.a}$) 9 γνωσθησεται (γνωθ. B* γνωσθ. B^{ab})] γνωσθησεσθαι ℵ* (-θησεται ℵ$^{c.b}$) | σπερμα] σπερ improb postea restit ℵ$^{?}$ | εκγονα] εγγονα ℵ | om εν μεσω των λαων ℵ$^{?}$ (postea repos) AQ* (hab ※ εμμεσω τ. λαων Q^{mg} | ηυλογημενον B*^{b}AQ] ευλογ. B^{ab}ℵQ^{a} 10 και ευφροσυνη...επι τω κυριω] α′ χαιρων χαρησομαι εν κ̄ω̄ αγαλλιασεται η ψυχη μου εν θ̄ω̄ μου θ′σ′ αγαλλιασει αγαλλιασομαι εν θ̄ω̄ ευφρᾱ|θησεται η ψυχη μου εν τω θ̄ω̄ μου Q^{mg} | ευφροσυνη] ευφροσυνην ℵ pr εν A | ως νυμφιω περιεθηκεν μοι ℵAQ 11 το ανθος] om το ℵ* (hab ℵ$^{c.b}$) | κηπον AQ | αυτου]+σ′ ※ ανατελει Q^{mg} | om κυριος ℵAQ* (hab Q^{mg}) LXII 1 Σιων B^{b}ℵAQ (item 11) | σιωπησωμαι ℵ*$^{c.b}$ (-σομαι ℵ$^{c.a}$) | Ιελ̄η̄μ̄ ℵ | εως] ως Q* (εως Q$^{1(vid)}$) | αυτης] μου ℵAQ* (οι γ′ αυτης Q^{mg}) | μου] αυτης Q^{mg} 2 βασιλεις] pr α′σ′ ※ παντες Q^{mg} | ονομα]+σου ℵAQ | αυτον ℵ 3 βασιλιας Q* | θεου] κ̄ῡ ℵ* (θ̄ῡ ℵ^{1}) 4 κληθηση] κληρονομηθηση ℵ* (κληθ. [κληρθ. Tisch] ℵ$^{iam\ 1}$) | καταλελειμμ. B^{ab}

B ἡ γῆ σου οὐ κληθήσεται ἔτι Ἔρημος· σοὶ γὰρ κληθήσεται Θέλημα ἐμόν,
καὶ τῇ γῇ σου Οἰκουμένη, ὅτι εὐδόκησεν Κύριος ἐν σοί, καὶ ἡ γῆ σου
συνοικισθήσεται. [5]καὶ ὡς συνοικῶν νεανίσκος παρθένῳ, οὕτως 5
κατοικήσουσιν οἱ υἱοί σου· καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται
νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί. [6]Καὶ 6
ἐπὶ τῶν τειχῶν σου, Ἰερουσαλήμ, κατέστησα φύλακας ὅλην τὴν
ἡμέραν καὶ ὅλην τὴν νύκτα, οἳ διὰ τέλους οὐ σιωπήσονται μιμνησκό-
μενοι Κυρίου. [7]οὐκ ἔστιν γὰρ ὑμῖν ὅμοιος· ἐὰν διορθώσῃ, καὶ ποιήσῃ 7
Ἰερουσαλὴμ ἀγαυρίαμα ἐπὶ τῆς γῆς. [8]ὤμοσεν Κύριος κατὰ τῆς δόξης 8
αὐτοῦ καὶ κατὰ τῆς ἰσχύος τοῦ βραχίονος αὐτοῦ Εἰ ἔτι δώσω τὸν σῖτόν
σου καὶ τὰ βρώματα τοῖς ἐχθροῖς σου, καὶ εἰ ἔτι πίονται υἱοὶ ἀλλότριοι
τὸν οἶνόν σου ἐφ' ᾧ ἐμόχθησας· [9]ἀλλ' οἱ συναγαγόντες φάγονται αὐτὰ 9
καὶ αἰνέσουσιν Κύριον, καὶ οἱ συναγαγόντες πίονται αὐτὰ ἐν ταῖς
ἐπαύλεσιν ταῖς ἁγίαις μου. [10]πορεύεσθε διὰ τῶν πυλῶν μου καὶ 10
ὁδοποιήσατε τῷ λαῷ μου καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε,
ἐξάρατε σύσσημον εἰς τὰ ἔθνη. [11]ἰδοὺ γὰρ Κύριος ἐποίησεν ἀκουστὸν 11
ἕως ἐσχάτου τῆς γῆς· εἴπατε τῇ θυγατρὶ Σειὼν Ἰδοὺ ὁ σωτήρ σοι
παραγέγονεν ἔχων τὸν ἑαυτοῦ μισθόν, καὶ τὸ ἔργον αὐτοῦ πρὸ
προσώπου αὐτοῦ. [12]καὶ καλέσει αὐτὸν Λαὸν ἅγιον, λελυτρωμένον ὑπὸ 12
Κυρίου, σὺ δὲ κληθήσῃ Ἐπιζητουμένη πόλις, καὶ Οὐκ ἐγκαταλελιμμένη.

ℵAQ 4 om ετι ℵAQ | κληθησεται 2°] κληθηση ℵ^c.a^ (-σεται ℵ^c.b^) | τη γη] η γη ℵ^c.a^ (τη γ. ℵ^c.b^) | om οτι ευδοκησεν...συνοικισθησεται ℵAQ* (hab θ'σ' ※ οτι ευδοκησει κ̅ς̅ εν σοι ϗ η γη σου συνοικισθ. Q^mg^) | ευδοκησεν] ευδοκησει B^ab mg^ 5 σοι|νοικων ℵ* (συνοικ. ℵ^c.a^) | σου] + μετα σου ℵA | και εσται sub ÷ Q | νυμφην ℵ 6 τειχων] τειχεων ℵ (τιχ.) AQ | κατεστησα] + σοι ℵ^c.a^ (ras ℵ^c.b^) | τελος Q* | μνησκομενοι B* (μιμν. B^ab^) | Κυριου] οι γ' ※ τον κ̅ν̅ Q^mg^ 7 ουκ εστιν γαρ] ου γαρ εστιν ℵ | ομοιος] ο οικος ℵ* (ομ. ℵ^c.a, c.b^) | εαν...επι της γης] θ' ϗ μη δωτε σιγην αυτω εως ητοιμαση ϗ εως θη την Ι̅λ̅η̅μ̅ καυχημα εν τη γη Q^mg^ | Ιερουσαλημ] pr θ' ※ την Q^mg^ | αγαυριαμα...γης] θ' ※ καυχημα εν τη γη Q^mg^ | αγαυριαμα (γαυρ. B^b^ℵ^c.a^ [αγ. ℵ^c.b^])] αγαλλιαμα Q^mg^ 8 κατα τ. δοξης] α' εν δεξια Q^mg^ | δοξης] δεξιας B^a^ (non inst B^b^) οι ο' ισχυος θ' δεξιας Q^mg^ | ισχυος] δοξης ℵ:Q | om σου και τα βρωματα ℵ* (hab ℵ^c.a^) | βρωματα] + σου AQ | τοις εχθρ.] in τοις ras aliq B^ab^ | om ει 2° A 9 αλλ] + η ℵ^c.a^AQ | συναγαγοντες 1°] συναγοντες ℵAQ | om αινεσουσιν...συναγαγοντες 2° ℵ* (hab ℵ^c.a^) | συναγαγοντες 2° (σῡ|ναγ. B* συ|ναγ. B^?^)] συναγοντες ℵ^c.a^ AQ | om αυτα 2° ℵ* (hab ℵ^c.a^) | επαυλεσι Q | μου] σου A 10 πορευεσθε] + ※ πορευεσθε Q^mg^ | οδοποιησατε] θ' σκευασατε τη̅| οδον + ※ οδοποιησατε Q^mg^ | εκ της οδου] pr τους ℵ* (improb ℵ^c.b^) A | διαριψατε ℵ 11 ακουστον εποιησεν ℵ | ακουσον A* (τ superscr A^a?^) | σοι ο σωτηρ ℵAQ | παραγεγονεν] παραγεινετε ℵ* (-γεγονεν ℵ^c.b^) -ται A | μισθον] + θ'σ' ※ μετ αυτου Q^mg^ | om αυτου 1° AQ* (hab Q^mg^) 12 υπο] απο ℵ* (υπο ℵ^c.a, c.b^) | συ δε κληθηση] συνεκληθη ℵ* (συ δε κλ. ℵ^c.a^) | ουκ εγκαταλελιμμενη (εγκαταλελειμμ. B^ab^ ενκαταλελιμμ. Q* εγκ. Q^a^)] ου καταλελιμμενη ℵ

LXIII 1 [1]Τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων ἐκ Βόσορ; B
οὕτως ὡραῖος ἐν στολῇ, βίᾳ μετὰ ἰσχύος; ἐγὼ διαλέγομαι δικαιοσύνην
2 καὶ κρίσιν σωτηρίου. [2]διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά
3 σου ὡς ἀπὸ πατητοῦ ληνοῦ; [3]πλήρης καταπεπατημένης, καὶ τῶν
ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ, καὶ κατεπάτησα αὐτοὺς ἐν θυμῷ μου,
4 καὶ κατέθλασα αὐτοὺς ὡς γῆν, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν. [4]ἡμέρα
γὰρ ἀνταποδόσεως ἦλθεν αὐτοῖς, καὶ ἐνιαυτὸς λυτρώσεως πάρεστιν.
5 [5]καὶ ἐπέβλεψα, καὶ οὐκ ἦν βοηθός· καὶ προσενόησα, καὶ οὐθεὶς
ἀντελαμβάνετο· καὶ ἐρρύσατο αὐτοὺς ὁ βραχίων μου, καὶ ὁ θυμός μου
6 ἐπέστη. [6]καὶ κατεπάτησα αὐτοὺς τῇ ὀργῇ μου, καὶ κατήγαγον τὸ
αἷμα αὐτῶν εἰς γῆν.

7 [7]Τὸν ἔλεον Κυρίου ἐμνήσθην, τὰς ἀρετὰς Κυρίου ἐν πᾶσιν οἷς
ἡμῖν ἀνταποδίδωσιν. Κύριος κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραήλ, ἐπάγει
ἡμῖν κατὰ τὸ ἔλεος αὐτοῦ καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ.
8 [8]καὶ εἶπεν Οὐχ ὁ λαός μου; τέκνα, οὐ μὴ ἀθετήσωσιν· καὶ ἐγένετο
9 αὐτοῖς εἰς σωτηρίαν [9]ἐκ πάσης θλίψεως αὐτῶν. οὐ πρέσβυς οὐδὲ
ἄγγελος, ἀλλ' αὐτὸς ἔσωσεν αὐτούς, διὰ τὸ ἀγαπᾶν αὐτοὺς καὶ
φείδεσθαι αὐτῶν· αὐτὸς ἐλυτρώσατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτούς, καὶ*
10 ὕψωσεν αὐτοὺς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος· [10]αὐτοὶ δὲ ἠπείθησαν
καὶ παρώξυναν τὸ πνεῦμα τὸ ἅγιον αὐτοῦ· καὶ ἐστράφη αὐτοῖς εἰς
11 ἔχθραν, αὐτὸς ἐπολέμησεν αὐτούς. [11]καὶ ἐμνήσθη ἡμερῶν αἰωνίων·
ποῦ ὁ ἀναβιβάσας ἐκ τῆς θαλάσσης τὸν ποιμένα τῶν προβάτων;

LXIII 1 Εδωμ] Εδεμ A | εριθρημα ℵ* (ερυθρημα ℵc.a) ερυθηματα A | Βοσορ] Βοσρα Qmg | στολη] + ※ αυτου Qmg | σωτηριας ℵ* (-ριου ℵc.a, c.b) 2 ερυθα Q* (ρ 2° superscr) | πατητου] πατηματος Q* (-του Qmg) 3 πληρης] πληρους ℵ Qmg | πληρης...μετ εμου] σ' ληνον επατησα μονωτατος ϗ απο των λαων ουκ εστιν ουδεις συν εμοι Qmg | om μου ℵAQ | το αιμα] τα ιματια ℵ* (το αιμ. ℵc) | αυτων] + εις γην BabℵAQ + θ'σ' ※ ϗ παντα τα ενδυματα μου εμολυνα Qmg 4 ημερα] ρα sup ras Aa | γαρ] + κυ ℵc.a (postea ras) | ανταποδωσεως A | ηλθεν] επηλθεν ℵA 5 ουκ ην] ουδεις ℵAQ (-δις Q*) | ουθεις] ουδεις ℵQ (-δις ℵ*Q* -δεις ℵc.bQ1 vid) | αντελαμβανετο] αντελαβετο ℵ | ερυσατο ℵQ | μου 2°] + οι γ' ※ αυτος Qmg | επεστη] εστη ℵ 6 μου] + θ'σ' ※ ϗ εμεθυσα αυτους εν τω θυμω μου Qmg | γην] pr την ℵc(a?) (postea improb) 7 τον ελεον] το ελεος ℵc.a (postea revoc τον ελεον) | εμνησθην... Κυριου 2°] ※ αναμνησω την αινεσιν κυ Qmg | αρετας] + αρετας B* + αυτου κς Bab vid (superscr) | οις] bis scr ℵ* (improb οις 2° ℵiam 1) + ο κς A + κς Q | αυτου ελεος ℵ | om και ℵ 8 ειπεν] inter ι et π ras aliq ℵ? | τεκνα] + μου ℵ + και A | αθετησουσιν ℵ αθετηθωσιν Q 9 om αυτων 1° AQ | πρεσβυς] πρεσβεις A | αυτος 1°] + κς ℵ* (improb postea revoc ℵ?) A | αυτος 2°] pr ϗ Aa? 10 om αυτου A οι γ' ομοιως [αυτου] Qmg | αυτος] pr και ℵ* (improb postea repos ℵ?) Aa? οι γ' ομοιως [αυτος] Qmg 11 αιωνιων] + οι γ' ※ Μωση λαου αυτου Qmg | om που 1° ℵAQ* (hab Qmg) | της θαλασσης] της γης Bamg (γης superscr Bbtxt) Q γης ℵA ℵAQ

B ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον; [12]ὁ ἀγαγὼν τῇ δεξιᾷ 12
Μωσῆν, ὁ βραχίων τῆς δόξης αὐτοῦ; κατίσχυσεν ὕδωρ ἀπὸ προσώ-
που αὐτοῦ, ποιῆσαι ἑαυτῷ ὄνομα αἰώνιον. [13]ἤγαγεν αὐτοὺς δι' ἀβύσσου 13
ὡς ἵππον δι' ἐρήμου, καὶ οὐκ ἐκοπίασαν, [14]καὶ ὡς κτήνη διὰ πεδίου· 14
κατέβη πνεῦμα παρὰ Κυρίου καὶ ὡδήγησεν αὐτούς· οὕτως ἤγαγες τὸν
λαόν σου, ποιῆσαι σεαυτῷ ὄνομα δόξης. [15]Ἐπίστρεψον ἐκ τοῦ 15
οὐρανοῦ καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου καὶ δόξης σου· ποῦ
ἐστιν ὁ ζῆλός σου καὶ ἡ ἰσχύς σου; ποῦ ἐστιν τὸ πλῆθος τοῦ
ἐλέους σου καὶ οἰκτειρμῶν σου, ὅτι ἀνέσχου ἡμῶν; [16]σὺ γὰρ εἶ 16
πατὴρ ἡμῶν, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω
ἡμᾶς· ἀλλὰ σύ, Κύριε, πατὴρ ἡμῶν· ῥῦσαι ἡμᾶς, ἀπ' ἀρχῆς τὸ
ὄνομά σου ἐφ' ἡμᾶς ἐστιν. [17]τί ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπὸ τῆς 17
ὁδοῦ σου; ἐσκλήρυνας τὰς καρδίας ἡμῶν τοῦ μὴ φοβεῖσθαί σε;
ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονο-
μίας σου, [18]ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου. 18
[19]ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν οὐδὲ ἐκλήθη 19
τὸ ὄνομά σου ἐφ' ἡμᾶς. [1]ἐὰν ἀνοίξῃς τὸν οὐρανόν, τρόμος 1 LXIV
·λήμψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται [2]ὡς κηρὸς ἀπὸ πυρὸς 2 (1)
τήκεται, καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους, καὶ φανερὸν
ἔσται τὸ ὄνομά σου ἐν τοῖς ὑπεναντίοις· ἀπὸ προσώπου σου
ἔθνη ταραχθήσονται, [3]ὅταν ποιῇς τὰ ἔνδοξα· τρόμος λήμψεται 3 (2)
ἀπὸ σοῦ ὄρη. [4]ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν οὐδὲ οἱ ὀφθαλ- 4 (3)
μοὶ ἡμῶν εἶδον θεὸν πλὴν σοῦ, καὶ τὰ ἔργα σου ἃ ποιήσεις
τοῖς ὑπομένουσιν ἔλεον. [5]συναντήσεται τοῖς ποιοῦσιν τὸ δί- 5 (4)
καιον, καὶ τῶν ὁδῶν σου μνησθήσονται. ἰδοὺ σὺ ὠργίσθης, καὶ

ℵAQ **12** τη δεξια] τη δε|δια ℵ* (τη δεξ. ℵ$^{c.a, c.b}$) | Μωυσην ℵQ Μωση A | απο] προ Q | προσωπου] ras aliq in π 2° B? | εαυτω] αυτω ℵAQ **13** ηγαγεν] pr και A | δι αβυσσου] δια της αβ. ℵAQ **14** κατεβη] pr και A **15** επιστρεψον] α' σ' επιβλεψον θ' καθιδε Q^{mg} | om σου 2° ℵAQ | οικτειρμων (-τιρμ. B?)] οικτειρμοι ℵ* οι οικτειρμοι ℵ$^{c.a}$ των οικτειρμων ℵ$^{c.b}$AQ (των θ' ※ Q^{a}) | ημων] + κ̅ε̅ ℵ$^{c.a}$ (mox extinx) **16** om γαρ A | ει ημων πατηρ ℵ ημων ει πατηρ AQ | πατηρ 2°] pr ο ℵ | ρυσαι...εστιν] pr obelos B^{a} (non inst B^{b}) | εφ ημας εστιν (sub ÷ Q)] εστιν εν ημιν A **17** om απο ℵ* (hab ℵ$^{c.a}$) Q | εσκηρυνας ℵ | ημων τας καρδιας ℵ$^{c.b}$AQ **18** μικρον] + τι ℵ* (improb mox repos ℵ?) | σου] + οι υπεναντιοι ημων κατεπατησαν το αγιασμα σου AQ **19** εγεναμεθα ℵ | εκληθη] ενεκληθη A επεκληθη Q LXIV **1** ληψεται B? | τακησονται] τακη sup ras A^{a} **2** απο 1°] υπο ℵ* (απο ℵ$^{c.a, c.b}$) | πυρος] pr προσωπου A (σωπου sup ras A^{a}) | πυρος τηκεται sup ras A^{a} | om εσται ℵ? (postea revoc) | σου 1° BQ^{mg}] κ̅υ̅ ℵAQ* οι γ' ομοιως Q^{mg} | απο 2°] προ Q **3** ποιης] ποιησης ℵ* (ποιης ℵ? postea rurs ποιησης) **4** οι οφθ. ημ. ειδον] οι γ' οφθαλμος ουκ ιδεν Q^{mg} | ιδον A | om θεον πλην σου A* (hab A$^{1 \text{ vel salt a (mg)}}$) **5** συναντησεται] + γαρ ℵAQ | ποιουσιν] υπομενουσιν ℵ

(5) 6 ἡμεῖς ἡμάρτομεν· διὰ τοῦτο ἐπλανήθημεν, [6]καὶ ἐγενήθημεν ὡς B
ἀκάθαρτοι πάντες ἡμεῖς, ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιο-
σύνη ἡμῶν· καὶ ἐξερύημεν ὡς φύλλα διὰ τὰς ἀνομίας ἡμῶν·
(6) 7 οὕτως ἄνεμος οἴσει ἡμᾶς. [7]καὶ οὐκ ἔστιν ὁ ἐπικαλούμενος τὸ
ὄνομά σου καὶ ὁ μνησθεὶς ἀντιλαβέσθαι σου· ὅτι ἀπέστρεψας
τὸ πρόσωπόν σου ἀφ' ἡμῶν, καὶ παρέδωκας ἡμᾶς διὰ τὰς
(7) 8 ἁμαρτίας ἡμῶν. [8]Καὶ νῦν, Κύριε, πατὴρ ἡμῶν σύ, ἡμεῖς
(8) 9 δὲ πηλός, ἔργα τῶν χειρῶν σου πάντες ἡμεῖς. [9]μὴ ὀργίζου ἡμῖν
σφόδρα, καὶ μὴ ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν· καὶ νῦν
(9) 10 ἐπίβλεψον, ὅτι λαός σου πάντες ἡμεῖς. [10]πόλις τοῦ ἁγίου σου
ἐγενήθη ἔρημος Σειών· ὡς ἔρημος ἐγενήθη Ἰερουσαλήμ· εἰς κατά-
(10) 11 ραν [11]ὁ οἶκος τὸ ἅγιον ἡμῶν, καὶ ἡ δόξα ἣν εὐλόγησαν οἱ
πατέρες ἡμῶν ἐγενήθη πυρίκαυστος, καὶ πάντα ἔνδοξα ἡμῶν
(11) 12 συνέπεσε. [12]καὶ ἐπὶ πᾶσι τούτοις ἀνέσχου, Κύριε, καὶ ἐσιώ-
πησας, καὶ ἐταπείνωσας ἡμᾶς σφόδρα.

LXV 1 [1]Ἐμφανὴς ἐγενήθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν, εὑρέθην τοῖς ἐμὲ
μὴ ζητοῦσιν· εἶπα Ἰδού εἰμι, τῷ ἔθνει οἳ οὐκ ἐκάλεσάν μου τὸ
2 ὄνομα. [2]ἐξεπέτασα τὰς χεῖράς μου ὅλην τὴν ἡμέραν πρὸς λαὸν
ἀπειθοῦντα καὶ ἀντιλέγοντα, τοῖς πορευομένοις ὁδῷ οὐ καλῇ ἀλλ' ὀ-
3 πίσω τῶν ἁμαρτιῶν αὐτῶν. [3]ὁ λαὸς οὗτος ὁ παροξύνων με ἐναν-
τίον ἐμοῦ διὰ παντός· αὐτοὶ θυσιάζουσιν ἐν τοῖς κήποις καὶ θυμι-
4 ῶσιν ἐπὶ ταῖς πλίνθοις τοῖς δαιμονίοις ἃ οὐκ ἔστιν, [4]ἐν τοῖς
μνήμασιν καὶ ἐν τοῖς σπηλαίοις κοιμῶνται διὰ ἐνύπνια, οἱ ἔσθοντες
κρέας ὕειον καὶ ζωμὸν θυσιῶν, μεμολυμμένα πάντα τὰ σκεύη αὐ-

6 ρακκος ℵ[c] | εξερρυημεν B[a?b] | φυλλα] + α'θ' ※ παντες ημεις Q[mg] ℵAQ
7 σου 1°] σ sup ras A[a] | αντιλαβεσθαι] αντελαβετο ℵ* (αντιλαβεσθαι ℵ[c.a, c.b]) | α τας αμαρτιας sup ras B[? vid] 8 πηλος] + α' θ' ※ ϗ συ πλαστης ημων Q[mg] | εργον AQ | των χειρων] om των ℵ* (hab ℵ[c.b]) | om ημεις 2° ℵAQ 9 ημιν] + οι γ' ※ πιπι εως Q[mg] | μησθης B* (μν. B[ab]) 10 Σιων B[b]AQ 11 ημων 1°] μων B* (ημ. B[ab]) | ηυλογησαν AQ* (ευλ. Q[1 (vid)]) | ενδοξα] pr τα ℵAQ | om ημων 3° AQ | συνεπεσεν ℵAQ 12 Κυριε] πιπι Q[mg] | σφοδρα] pr θ' ※ εως Q[mg] . LXV 1 εγενηθην] εγενομην ℵ* (εγενηθ. ℵ[c.a] postea rurs εγενομ.) A | επερωτωσιν] ζητουσιν ℵAQ | ζητουσιν] επερωτωσιν ℵAQ | ειπα ιδου] ειπον ιδ. (ν ι sup ras ℵ[1]) ℵ | ειμι] + θ' ※ ιδου ειμι Q[mg] | οι] οιτινες A | το ονομα μου AQ 2 [η]μεραν...πορευομενοις] pr obel B[a] (non inst B[b]) | και αντιλ. sub ÷ Q | τοις πορευομενοις] οι ουκ επορευθησαν ℵ[c.a, c.b]AQ* (τοις πορ. Q[mg]) | οδω ου καλη] οδω ουκ αληθη ℵ* εν οδω καλη ℵ[c.a] οδω ουκ αληθεινη ℵ[c.b] οδω αληθινη AQ* (-θεινη Q[a]) οι γ' ※ οδω ουκ αγαθη Q[mg] 3 λααος ℵ* (λαος ℵ[iam 1 (vid)]) | εμου] μου ℵ* (εμου ℵ[c.b]) | om δια παντος ℵ* (hab ℵ[ante c.b]) | θυσιαζουσιν] θυμιαζουσιν A | τοις κηποις] om τοις ℵ* (hab ℵ[c.b]) θυμιουσιν ℵ | επι] εν ℵ | εστιν] εσται A 4 εν 1°] pr και ℵAQ | δια] δι AQ | οι εσθοντες] pr και ℵ[c.a] | κρεας υειον] κρεα υεια ℵ κρεα υια A κρεα υιō| Q* (κρεας υειō| Q[1 (vid)]) | θυσιων sub ÷ Q

B τῶν, [5]οἱ λέγοντες Πόρρω ἀπ' ἐμοῦ, μὴ ἐγγίσῃς μοι, ὅτι καθαρός 5
εἰμι· οὗτος καπνὸς τοῦ θυμοῦ μου, πῦρ καίεται ἐν αὐτῷ πάσας τὰς
ἡμέρας. [6]Ἰδοὺ γέγραπται ἐνώπιόν μου Οὐ σιωπήσω ἕως ἂν ἀπο- 6
δώσω εἰς τὸν κόλπον αὐτῶν [7]τὰς ἁμαρτίας αὐτῶν καὶ τῶν πατέ- 7
ρων αὐτῶν, λέγει Κύριος· οἳ ἐθυμίασαν ἐπὶ τῶν ὀρέων καὶ ἐπὶ
τῶν βουνῶν ὠνείδισάν με, ἀποδώσω τὰ ἔργα αὐτῶν εἰς τὸν κόλπον
αὐτῶν. [8]Οὕτως λέγει Κύριος Ὃν τρόπον εὑρεθήσεται ὁ ῥὼξ 8
ἐν τῷ βότρυι, καὶ ἐροῦσιν Μὴ λυμήνῃ αὐτόν, ὅτι εὐλογία ἐστὶν ἐν
αὐτῷ· οὕτως ποιήσω ἕνεκεν τοῦ δουλεύοντός μοι, τούτου ἕνεκεν οὐ
μὴ ἀπολέσω πάντας. [9]καὶ ἐξάξω τὸ ἐξ Ἰακὼβ σπέρμα καὶ ἐξ 9
Ἰούδα, καὶ κληρονομήσει τὸ ὄρος τὸ ἅγιόν μου, καὶ κληρονομή-
σουσιν οἱ ἐκλεκτοί μου καὶ οἱ δοῦλοί μου, καὶ κατοικήσουσιν ἐκεῖ.
[10]καὶ ἔσονται ἐν τῷ δρυμῷ ἐπαύλεις ποιμνίων, καὶ φάραγξ Ἀχὼρ 10
εἰς ἀνάπαυσιν βουκολίων τῷ λαῷ μου οἳ ἐζήτησάν με. [11]ὑμεῖς δὲ 11
οἱ ἐγκαταλιπόντες με καὶ ἐπιλανθανόμενοι τὸ ὄρος τὸ ἅγιόν μου,
καὶ ἑτοιμάζοντες τῷ δαιμονίῳ τράπεζαν καὶ πληροῦντες τῇ τύχῃ
κέρασμα, [12]ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν, πάντες ἐν σφαγῇ 12
πεσεῖσθε· ὅτι ἐκάλεσα ὑμᾶς καὶ οὐχ ὑπηκούσατε, ἐλάλησα καὶ παρη-
κούσατε, καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον ἐμοῦ καὶ ἃ οὐκ ἐβου-
λόμην ἐξελέξασθε. [13]Διὰ τοῦτο τάδε λέγει Κύριος Ἰδοὺ οἱ 13
δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε· ἰδοὺ οἱ δουλεύοντές
μοι πίονται, ὑμεῖς δὲ διψήσετε· ἰδοὺ οἱ δουλεύοντές μοι εὐφρανθή-
σονται, ὑμεῖς δὲ αἰσχυνθήσεσθε· [14]ἰδοὺ οἱ δουλεύοντές μοι ἀγαλ- 14
λιάσονται ἐν εὐφροσύνῃ, ὑμεῖς δὲ κεκράξεσθε διὰ τὸν πόνον τῆς
καρδίας, καὶ ἀπὸ συντριβῆς πνεύματος ὑμῶν ὀλολύξετε. [15]κατα- 15
λείψετε γὰρ τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου,

ℵAQ 5 μοι] μου AQ* | καιετε Bℵ* (-ται ℵc.b) | εν] ε ℵ* (εν ℵc.a) | εν αυτω sub ÷ Q 6 ενωπιον] εναντιον ℵ* (ενωπ. ℵc mox rurs εναντ.) | μου] εμου Q | ου]+μη ℵ* (improb postea revoc ℵ?) | σιωπησω (-πισω ℵ* -πησω ℵc.a, c.b)] σιωπησομαι A | αποδωσω] αποδω (αποδωσω Qmg) και ανταποδωσω ℵQ (α'σ' ※ και ανταποδωσω Qmg) αποδω A 7 αυτων 2°]+θ' ※ επι το αυτο Qmg | αποδω B* (-δωσω Bab) | εις] επι ℵ 8 ουτως (-τω ℵ)] pr ※ οτι Qmg | λυμηνητε ℵ* (ται ℵc.b) | ευλογια]+$\overline{κυ}$ ℵc.a(vid) (rurs extinx) A | εστιν sub ÷ Q | εν αυτω εστιν Q 9 |Ιακωβ B* Ι|ακωβ B? | εξ 2°] pr το ℵAQ | και 3°] οι ℵ (και ℵc.a, c.b) | κληρονομησουσει ℵc.a (-μησει repos ℵc.b) | om και 6° A 10 επαυλις ℵ*Q* (-λεις ℵc.b Q1 vid) 11 ενκαταλιποντες ℵ εγκαταλειποντες A | αγιον] ο rescr vid B? | om και 2° ℵ* (hab ℵc.b) | δαιμονιω] δαιμονι ℵ (δεμ. ℵ* δαιμ. ℵc.a, c.b) Q 12 παντες] pr και ℵ* (improb postea revoc ℵ?) | om εν ℵ | πεισεσθε Q* (πεσεισθε Qa) | ποιησατε ℵ* (επ. ℵc.a) | εμου] μου ℵ* (εμ. ℵiam 1) | ηβουλομην ℵ 13 Κυριος]+σ'θ' ※ $\overline{κς}$ Qmg | διψησετε] διψησεσθαι ℵ* (-σεται ℵc.b) A 14 ευφροσυνη]+οι γ' ※ καρδιας Qmg | καρδιας]+υμων ℵAQ | om υμων ℵAQ | ολολυζετε ℵ* (-ξετε ℵc.a, c.b) 15 κατελιψετε (sic) ℵc.a, c.b κατελειψατε Q | υμων] pr του $\overline{κυ}$ ℵc.a (ras ℵc.b)

ὑμᾶς δὲ ἀνελεῖ Κύριος. τοῖς δὲ δουλεύουσί μοι κληθήσεται ὄνομα B
16 καινόν, [16]ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς· εὐλογήσουσιν γὰρ τὸν θεὸν
τὸν ἀληθινόν, καὶ οἱ ὀμνύοντες ἐπὶ τῆς γῆς ὀμοῦνται τὸν θεὸν τὸν
ἀληθινόν. ἐπιλήσονται γὰρ τὴν θλίψιν τὴν πρώτην, καὶ οὐκ ἀνα-
17 βήσεται αὐτῶν ἐπὶ τὴν καρδίαν. [17]Ἔσται γὰρ ὁ οὐρανὸς καινὸς
καὶ ἡ γῆ καινή, καὶ οὐ μὴ μνησθῶσιν τῶν προτέρων οὐδ᾽ οὐ μὴ
18 ἐπέλθῃ αὐτῶν ἐπὶ τὴν καρδίαν, [18]ἀλλ᾽ εὐφροσύνην καὶ ἀγαλλίαμα
εὑρήσουσιν ἐν αὐτῇ· ὅτι ἰδοὺ ἐγὼ ποιῶ Ἰερουσαλὴμ ἀγαλλίαμα καὶ
19 τὸν λαόν μου εὐφροσύνην. [19]καὶ ἀγαλλιάσομαι ἐπὶ Ἰερουσαλήμ,
καὶ εὐφρανθήσομαι ἐπὶ τῷ λαῷ μου· καὶ οὐκέτι μὴ ἀκουσθῇ ἐν
20 αὐτῇ φωνὴ κλαυθμοῦ καὶ φωνὴ κραυγῆς, [20]οὐδ᾽ οὐ μὴ γένηται ἔτι
ἐκεῖ ἄωρος καὶ πρεσβύτης ὃς οὐκ ἐμπλήσει τὸν χρόνον αὐτοῦ·
ἔσται γὰρ ὁ νέος ἑκατὸν ἐτῶν, ὁ δὲ ἀποθνήσκων ἁμαρτωλὸς ἑκα-
21 τὸν ἐτῶν, καὶ ἐπικατάρατος ἔσται. [21]καὶ οἰκοδομήσουσιν οἰκίας καὶ
αὐτοὶ ἐνοικήσουσιν, καὶ καταφυτεύσουσιν ἀμπελῶνας καὶ αὐτοὶ φά-
22 γονται τὰ γενήματα αὐτῶν· [22]οὐ μὴ οἰκοδομήσουσιν καὶ ἄλλοι ἐνοι-
κήσουσιν, καὶ οὐ μὴ φυτεύσουσιν καὶ ἄλλοι φάγονται. κατὰ γὰρ
τὰς ἡμέρας τοῦ ξύλου τῆς ζωῆς αἱ ἡμέραι τοῦ λαοῦ μου· τὰ γὰρ
23 ἔργα τῶν πόνων αὐτῶν παλαιώσουσιν. [23]οἱ ἐκλεκτοί μου οὐ κο-
πιάσουσιν εἰς κενόν, οὐδὲ τεκνοποιήσουσιν εἰς κατάραν, ὅτι σπέρμα
24 εὐλογημένον ὑπὸ θεοῦ ἐστιν, καὶ τὰ ἔκγονα αὐτῶν μετ᾽ αὐτῶν. [24]καὶ
ἔσται πρὶν κεκράξαι αὐτοὺς ἐγὼ ὑπακούσομαι αὐτῶν, ἔτι λαλούν-

15 δουλευουσιν ℵAQ | μοι] αυτω AQ* (μοι sup ras Q$^{1 (vid)}$) | καινον] ℵAQ εωνιον ℵ* (καιν. ℵ$^{c.a, c.b}$) 16 της γης] om γης Q* (superscr Q^{a}) | ευλογησουσιν] ελλογησουσιν ℵ* (ευλ. ℵ$^{c.a, c.b}$) | ομνυοντες] ομουντες ℵ$^{c.b}$ (postea rurs ομν.) | επιλησονται] σ sup ras 2 litt Q$^{1 vid}$ | θλιψιν] + αυτων ℵAQ (οι γ′ ομοιως Q^{mg}) | αυτων] in ω ras aliq B$^{?}$ 17 καινος] καπνος ℵ* (καιν. ℵ$^{c.a, c.b}$) | ουδ ου] ουδε ℵ 18 αλλ] αλλα Q | αγαλλιαμα 1°] ααλλ. ℵ* (γ superscr ℵ$^{c nisi ipse i}$) | αυτη] + θ′ ※ οσα εγω κτιζω Q^{mg} | om οτι ℵ* (hab ℵ$^{c.b}$) A | Ιλημ ποιω Q | Ιερουσαλημ] pr οι γ′ ※ την Q^{mg} | αγαλιαμα (2°) ℵ* (αγαλλ. ℵ$^{c.b}$) 19 επι 1°] εν ℵ* (επι ℵ$^{c.b}$) | αυτη] αυτω ℵ | και 4°] ουδε ℵ$^{c (a vid)}$ (rurs ras) AQ* (και Q^{mg}) | κραυης ℵ* (-γης ℵ$^{c (a et b vid)}$) 20 ουδ] και ℵAQ | ου] ουκετι ℵ* improb ετι postea revoc ℵ$^{?}$ | om ετι ℵAQ | αωρος] + θ′ ※ ημεραις Q^{mg} | εμπλησει] ενπλ. A* (μ sup ras A^{a}) | νεος] + α′θ′ ※ υιος Q^{mg} | εκατον 2° (ρ′ ℵ)] pr α′θ′ ※ υιος Q^{mg} | εσται 2°] εστιν A 21 καταφυτευσωσιν ℵ | και αυτοι sub ÷ Q | φαγωνται ℵ | τα γενηματα] τον καρπον B^{*fort} (τα γεν. sup ras B^{ab}) Q* (τα γεν. Q^{mg}) 22 ου 1°] pr και AQ | φυτευσωσιν ℵ | κατα γαρ] α, γ sup ras A^{a} | της ζωης sub ÷ Q | αι ημεραι] pr εσονται ℵAQ | om γαρ 2° ℵAQ (ομοιως οι γ′ Q$^{mg ?}$) 23 οι εκλεκτοι] οι δε εκλ. ℵAQ | ουδε] ου ℵ$^{c.a}$ ου μη ℵ$^{c.b}$ | τεκνοποιησουσιν] τεκνα ποιησουσιν A | ηυλογημενον AQ* | θεου] pr του A | και τα εκγονα...αυτων 2°] pr θ′σ′ ※ Q$^{txt et mg}$ | εκγονα] εγγονα ℵ | αυτων 2°] + εσται ℵ (-τε ℵ* -ται ℵ$^{c.b}$) + εσονται AQ 24 πριν] + η A | κεκραξαι] κεκραξεται Q* (-ξεσθαι Q^{a}) | υπακουσομαι] επακουσομαι ℵ (-με ℵ* -μαι ℵ$^{c.b}$) AQ

B τῶν αὐτῶν ἐρῶ Τί ἐστιν; [25]τότε λύκοι καὶ ἄρνες βοσκηθήσονται 25
ἅμα, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα, ὄφις δὲ γῆν ὡς ἄρτον·
οὐκ ἀδικήσουσιν οὐδὲ λυμανοῦνται ἐπὶ τῷ ὄρει τῷ ἁγίῳ μου, λέγει
Κύριος.

[1]Οὕτως λέγει Κύριος Ὁ οὐρανός μου θρόνος, καὶ ἡ γῆ ὑπο- 1 LXVI
πόδιον τῶν ποδῶν μου· ποῖον οἶκον οἰκοδομήσετέ μοι; καὶ ποῖος
τόπος τῆς καταπαύσεώς μου; [2]πάντα γὰρ ταῦτα ἐποίησεν ἡ χείρ 2
μου, καί ἐστιν ἐμὰ πάντα ταῦτα, λέγει Κύριος· καὶ ἐπὶ τίνα ἐπι-
βλέψω ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντα τοὺς
λόγους μου; [3]ὁ δὲ ἄνομος ὁ θύων μοι μόσχον ὡς ἀποκτέννων 3
κύνα, ὁ δὲ ἀναφέρων σεμίδαλιν ὡς αἷμα ὕειον, ὁ διδοὺς λίβανον
εἰς μνημόσυνον ὡς βλάσφημος. καὶ αὐτοὶ ἐξελέξαντο τὰς ὁδοὺς
αὐτῶν, καὶ τὰ βδελύγματα αὐτῶν ἡ ψυχὴ αὐτῶν ἠθέλησεν, [4]καὶ 4
ἐγὼ ἐκδέξομαι τὰ ἐμπαίγματα αὐτῶν, καὶ τὰς ἁμαρτίας ἀνταπο-
δώσω αὐτοῖς· ὅτι ἐκάλεσα αὐτοὺς καὶ οὐχ ὑπήκουσάν μου, ἐλάλησα
καὶ οὐκ ἤκουσαν, καὶ ἐποίησαν τὸ πονηρὸν ἐναντίον ἐμοῦ καὶ ἃ
οὐκ ἐβουλόμην ἐξελέξαντο.

[5]Ἀκούσατε ῥήματα Κυρίου, οἱ τρέμοντες τὸν λόγον αὐτοῦ· εἴπατε, 5
ἀδελφοὶ ἡμῶν, τοῖς μισοῦσιν ὑμᾶς καὶ βδελυσσομένοις, ἵνα τὸ ὄνομα
Κυρίου δοξασθῇ καὶ ὀφθῇ ἐν τῇ εὐφροσύνῃ αὐτῶν, καὶ ἐκεῖνοι
αἰσχυνθήσονται. [6]φωνὴ κραυγῆς ἐκ πόλεως, φωνὴ ἐκ ναοῦ, φωνὴ 6
Κυρίου ἀνταποδιδόντος ἀνταπόδοσιν τοῖς ἀντικειμένοις. [7]πρὶν τὴν 7
ὠδίνουσαν τεκεῖν, πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγεν καὶ

ℵAQ 25 *τοτε* sub ÷ Q | *τοτε...λεγει κ̅ς̅*] adnot *ταυτα ηδη δευτερον λεγει* Q^{mg} [cf xi 6—9] | *οφεις* ℵ | *αρτον*] + *φαγεται και* ℵ$^{c.a}$ (postea improb) | *ουδε*] + *μη* ℵAQ | *λεγει*] *ειπεν* Q LXVI 1 om *ουτως λεγει Κυριος* ℵ* (hab *ουτω λ. κ̅ς̅* ℵ$^{a\,mg}$) | *μου* 1°] *μοι* ℵA | *και η γη*] *η δε γη* ℵAQ | *οικον*] om A* (hab A$^{1\,mg\,(vid)}$) pr θ' ※ *τουτον* + θ' ※ *ον* Q^{mg} | *και* 2°] *η* ℵA | *ποιος*] + ※ *ουτος* Q^{mg} 2 *ταυτα*] + *λεγει κ̅ς̅ και επι τινα επιβλεψω* ℵ* (improb ℵ$^{1\,et\,postea}$) | *εμα*] *αμα* ℵ* (*εμ.* ℵ$^{c.a,\,c.b}$) | *αλλ η* sub ÷ Q 2—3 *λογους...ανομος*] pr obel B^{a} (non inst B^{b}) 3 *μοχον* ℵ* (superscr *σ* ℵ$^{1\,vel\,mox\,a,\,c.b}$) | *ως* 1°] + θ'σ' ※ *τυπτων ανδρα θυσιαζ[ω]ν το εκ ποιμνιου* Q^{mg} | *αποκτεννων* (*αποκτειν.* Q$^{1\,(vid)}$)] pr *ο* ℵ$^{c.b}$AQ | *κυναν* ℵ* | *σιμιδαλιν* ℵ* (*σεμ.* ℵ$^{c.a,\,c.b}$) | *υειον*] *υιον* ℵ*AQ* (*ῦΐον* ℵ$^{c.a,\,c.b}$ *υειον* Q^{a}) | *αυτοι*] *ουτοι* ℵAQ | *η ψυχη*] pr *α* ℵAQ (*ομοιως οι γ'* Q^{mg}) 4 *και εγω*] *καγω* AQ (*οι γ'* ※ [*κα*]*ι ε*[*γω*] Q^{mg}) | *εκδεξομαι*] *εκλεξωμαι* ℵ *εκλεξομαι* AQ | *ενπαιγματα* A | *αμαρτιας*] + *αυτων* A | *ανταποδωσω*] *αποδωσω* ℵ | *αυτους*] *αυτοις* ℵ* (-*τους* ℵ$^{c.a,\,c.b}$) | *μου*] *μοι* ℵ* (*μου* ℵ$^{c.a,\,c.b}$) | *εμου*] *μου* AQ | *ηβουλομην* ℵQ | *εξελεξατο* ℵ* (-*ξαντο* ℵ$^{c.a}$) 5 *ρηματα*] *το ρημα* ℵAQ | *υμας*] *ημας* ℵAQ | *και εκεινοι*] *κακεινοι* AQ 6 om *φωνη κραυγης εκ πολεως* ℵ* (hab ℵ$^{c.b}$) | *κραυγη* A* (*s* superscr A^{1}) 7 *πριν* 1°...*αρσεν*] σ' *πριν η ωδινησαι ετεκε πριν ελθει[ν] ωδινα αυτης διεσωσε[ν] αρσεν* Q^{mg} | *πριν* 1°] + *η* ℵAQ | *πριν* 2°] pr *και* ℵ* (improb mox restit ℵ?) + *η* ℵA | *και ετεκεν* sub ÷ Q

8 ἔτεκεν ἄρσεν. [8]τίς ἤκουσεν τοιοῦτο, καὶ τίς ἑόρακεν οὕτως; εἰ B
ὤδινεν γῆ ἐν ἡμέρᾳ μιᾷ, ἢ καὶ ἐτέχθη ἔθνος εἰς ἅπαξ; ὅτι ὤδινεν
9 καὶ ἔτεκεν Σειὼν τὰ παιδία αὐτῆς. [9]ἐγὼ δὲ ἔδωκα τὴν προσδοκίαν
ταύτην, καὶ οὐκ ἐμνήσθης μου, εἶπεν Κύριος. οὐκ ἰδοὺ ἐγὼ γεν-
10 νῶσαν καὶ στεῖραν ἐποίησα; εἶπεν ὁ θεός σου. [10]Εὐφράν-
θητι, Ἰερουσαλήμ, καὶ πανηγυρίσατε ἐν αὐτῇ πάντες οἱ ἀγαπῶντες
11 αὐτήν, χάρητε ἅμα αὐτῇ χαρᾷ πάντες ὅσοι πενθεῖτε ἐπ' αὐτῇ, [11]ἵνα
θηλάσητε καὶ ἐμπλησθῆτε ἀπὸ μαστοῦ παρακλήσεως αὐτῆς, ἵνα ἐκ-
12 θηλάσαντες τρυφήσητε ἀπὸ εἰσόδου δόξης αὐτῆς. [12]ὅτι τάδε λέγει
Κύριος Ἰδοὺ ἐγὼ ἐκκλίνω εἰς αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς
χειμάρρους ἐπικλύζων δόξαν ἐθνῶν· τὰ παιδία αὐτῶν ἐπ' ὤμων
13 ἀρθήσονται καὶ ἐπὶ γονάτων παρακληθήσονται. [13]ὡς εἴ τινα μήτηρ
παρακαλέσει, οὕτως κἀγὼ παρακαλέσω ὑμᾶς, καὶ ἐν Ἰερουσαλὴμ
14 παρακληθήσεσθε. [14]καὶ ὄψεσθε, καὶ χαρήσεται ἡ καρδία ὑμῶν, καὶ
τὰ ὀστᾶ ὑμῶν ὡς βοτάνη ἀνατελεῖ· καὶ γνωσθήσεται ἡ χεὶρ Κυρίου
15 τοῖς φοβουμένοις αὐτόν, καὶ ἀπειλήσει τοῖς ἀπειθοῦσιν. [15]Ἰδοὺ γὰρ
Κύριος ὡς πῦρ ἥξει, καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ, ἀποδοῦναι ἐν
θυμῷ ἐκδίκησιν αὐτοῦ καὶ ἀποσκορακισμὸν αὐτοῦ ἐν φλογὶ πυρός.
16 [16]ἐν γὰρ τῷ πυρὶ Κυρίου κριθήσεται πᾶσα ἡ γῆ, καὶ ἐν τῇ ῥομφαίᾳ
17 αὐτοῦ πᾶσα σάρξ· πολλοὶ τραυματίαι ἔσονται ὑπὸ Κυρίου. [17]οἱ
ἁγνιζόμενοι καὶ καθαριζόμενοι εἰς τοὺς κήπους, καὶ ἐν τοῖς προ-
θύροις ἔσθοντες κρέας ὕειον καὶ τὰ βδελύγματα καὶ τὸν μῦν, ἐπὶ
18 τὸ αὐτὸ ἀναλωθήσονται, εἶπεν Κύριος. [18]Κἀγὼ τὰ ἔργα αὐτῶν
καὶ τὸν λογισμὸν αὐτῶν· ἔρχομαι συναγαγεῖν πάντα τὰ ἔθνη καὶ

8 τοιουτο] τοιαυτα ℵ | εωρακεν B^{a}ℵA | ει] η ℵ | γη] γυνη ℵ$^{c.a}$ | μια ημερα ℵAQ AQ | η] αι ℵAQ* (αι σ' η σ' ομ[οιως] α'θ' ει (vid) Q^{mg} | om και 2° A | εθος B* (εθν. B^{ab}) | Σιων B^{b}ℵAQ 9 δε εδωκα] δεδωκα ℵ | στιραν (sic) και γε|νωσαν ℵ | ο θεος] $\overline{κς}$ Q | om σου ℵAQ 10 ευφρανθητι] α'σ' ευφρανθητε θ' -τι Q^{mg} | Ιερουσαλημ] pr α' συν pr θ' αμα (※ αμα) Q^{mg} | πανυγυρισατε A | om εν αυτη A | οι αγαπωντες αυτην (οι αγ. εν αυτην ℵ* improb εν ℵ$^{iam\ 1\ (vid), c.b}$)] οι κατοικουντες εν αυτη ℵ$^{c.a}$ οι ενοικ. εν αυτη A | om αμα αυτη ℵAQ (θ' ※ αμα αυτη Q^{mg}) | χαραν A | αυτη 3°] αυτην ℵQ^{a} αυτης AQ 11 α'θ' μαστου σ' μαστ$\overline{ω}$ Q^{mg} | εκθηλασαντες]+πα ℵ* (improb ℵ$^{iam\ 1}$) | εισοδου] α' παντοδαπιας σ' λιπους θ' πληθους | δοξης] δοξε|ως ℵ (-ξης ℵ$^{c.b}$) 13 μητηρ] ηρ sup ras ℵ^{1} | παρακλεση Q | ουτως] pr οτι A | καγω] και εγω AQ | υμας παρακαλεσω ℵ 14 οψεσθε] οψεται AQ | χαρησεται] χαρι|σθε ℵ* (-ρησεται ℵ^{c}) | υμων η καρδια ℵAQ | υμων 2°] incep η ℵ* (improb η ℵ^{1}) | φοβουμενοις] σεβομενοις ℵAQ | απιληση ℵ 15 om αυτου 2° ℵA: 3°, ℵAQ | αποκορακισμων ℵ* (αποσκορακισμον ℵ^{c}) 16 Κυριου...γη] pr obel B^{a} (non inst B^{b}) | κριθησεται] καταναλωθησεται A 17 κρεας] κρεα ℵ$^{c.a}$ (κρια ℵ* κρεας ℵ$^{c.b}$) AQ* (κρεας Q^{a}) | υειον] υεια ℵ* (υειων ℵ$^{c.b}$ mox υειον) υιον AQ* (υειον Q^{a}) | αναλωθησονται] katanal. A 18 αυτων 2°]+ επισταμαι ℵ

B τὰς γλώσσας, καὶ ἥξουσιν καὶ ὄψονται τὴν δόξαν μου. 19 καὶ κατα- 19
λείψω ἐπ' αὐτῶν σημεῖον, καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους
εἰς τὰ ἔθνη, εἰς Θαρσεὶς καὶ Φοὺδ καὶ Λοὺδ καὶ Μόσοχ, καὶ εἰς
Θοβὲλ καὶ εἰς τὴν Ἑλλάδα καὶ τὰς νήσους τὰς πόρρω, οἱ οὐκ ἀκη-
κόασίν μου τὸ ὄνομα οὔτε ἑοράκασίν μου τὴν δόξαν, καὶ ἀναγγε-
λοῦσιν τὴν δόξαν μου ἐν τοῖς ἔθνεσιν. 20 καὶ ἄξουσιν τοὺς ἀδελ- 20
φοὺς ὑμῶν ἐκ πάντων τῶν ἐθνῶν δῶρον Κυρίῳ, μεθ' ἵππων καὶ
ἁρμάτων ἐν λαμπήναις ἡμιόνων μετὰ σκιαδίων, εἰς τὴν ἁγίαν πόλιν
Ἰερουσαλήμ, εἶπεν Κύριος, ὡς ἂν ἐνέγκαισαν οἱ υἱοὶ Ἰσραὴλ τὰς
θυσίας αὐτῶν ἐμοὶ μετὰ ψαλμῶν εἰς τὸν οἶκον Κυρίου. 21 καὶ 21
ἀπ' αὐτῶν λήμψομαι ἱερεῖς καὶ Λευείτας, εἶπεν Κύριος. 22 ὃν τρό- 22
πον γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινὴ ἃ ἐγὼ ποιῶ μένει ἐνώ-
πιον ἐμοῦ, λέγει Κύριος, οὕτως στήσεται τὸ σπέρμα ὑμῶν καὶ τὸ
ὄνομα ὑμῶν. 23 καὶ ἔσται μῆνα ἐκ μηνὸς καὶ σάββατον ἐκ σαβ- 23
βάτου ἥξει πᾶσα σὰρξ τοῦ προσκυνῆσαι ἐνώπιον ἐμοῦ ἐν Ἰερου-
σαλήμ, εἶπεν Κύριος. 24 καὶ ἐξελεύσονται καὶ ὄψονται τὰ κῶλα τῶν 24
ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί· ὁ γὰρ σκώληξ αὐτῶν οὐ
τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν
πάσῃ σαρκί.

ℵAQ 18 γλωσσας] + αυτων ℵ 19 σημειον] σημεια (-μια) ℵ[c.b]A (sup ras pl litt [σεσωσμ. A* fort]) Q (-μια Q* -μιον Q[mg]) | εξ] εν ℵ* (εξ ℵ[c.a, c.b]) | Φουθ ℵQ* (Φουδ Q[mg]) | Λουθ ℵ σ' Ανδους Q[mg] | om εις 3° ℵAQ | τας νησους] pr εις ℵAQ | ουτε] ουδε ℵAQ | εωρακασιν B[b]A | μου την δοξαν] μου τα εργα και τ. δ. ℵ* (improb τα εργα κ. postea revoc ℵ?) την δοξαν μου AQ | την δοξαν μου] μου την δ. ℵAQ 20 σκιαζιων ℵ* (σκιαδ. ℵ[c.a, c.b]) | εμοι τας θυσιας αυτων AQ 21 λημψομαι] + εμοι ℵ + εμαυτω A | Λευιτας ℵAQ 22 εμου] μου ℵAQ | λεγει] ειπεν ℵ* (λεγ. ℵ[c (vid)] mox penitus ras)

23 ηξει] pr και ℵ | του προσκυνησαι...εν Ιερουσαλημ] ενωπιον εμου προσκ. εν Ιλημ ℵ εν. μου προσκ. εν Ιλημ A εν. μου εν Ιλημ προσκ. Q | Κυριος] + ο θς ℵ* (improb postea revoc ℵ?) om A* (hab κς A[b? c?]) 24 τελευτησει] τελευτα A

Subscr Ησαιας Bℵ Ησ. προφητης AQ

ΙΕΡΕΜΙΑΣ

I 1 ΤΟ ῥῆμα τοῦ θεοῦ ὃ ἐγένετο ἐπὶ Ἰερεμίαν τὸν τοῦ Χελκίου B
2 ἐκ τῶν ἱερέων, ὃς κατῴκει ἐν Ἀναθὼθ ἐν γῇ Βενιαμείν· [2]ὃς ἐγενήθη
λόγος τοῦ θεοῦ πρὸς αὐτὸν ἐν ταῖς ἡμέραις Ἰωσεία υἱοῦ Ἀμὼς βασι-
3 λέως Ἰούδα, ἔτους τρισκαιδεκάτου ἐν τῇ βασιλείᾳ αὐτοῦ. [3]καὶ ἐγέ-
νετο ἐν ταῖς ἡμέραις Ἰωακεὶμ υἱοῦ Ἰωσεία βασιλέως Ἰούδα ἕως
ἑνδεκάτου ἔτους τοῦ Σεδεκία υἱοῦ Ἰωσεία βασιλέως Ἰούδα, ἕως τῆς
αἰχμαλωσίας Ἰερουσαλὴμ ἐν τῷ πέμπτῳ μηνί.
4 5 [4]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς αὐτόν [5]Πρὸ τοῦ με πλάσαι σε
ἐν κοιλίᾳ ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἡγίακά σε, προ-
6 φήτην εἰς ἔθνη τέθεικά σε. [6]καὶ εἶπα Ὁ ὢν δέσποτα Κύριε, ἰδοὺ
7 οὐκ ἐπίσταμαι λαλεῖν, ὅτι νεώτερος ἐγώ εἰμι. [7]καὶ εἶπεν Κύριος
πρὸς μέ Μὴ λέγε ὅτι Νεώτερος ἐγώ εἰμι, ὅτι πρὸς πάντας οὓς ἐὰν
ἐξαποστείλω σε πορεύσῃ, καὶ κατὰ πάντα ὅσα ἐὰν ἐντείλωμαί σοι
8 λαλήσεις. [8]μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν, ὅτι μετὰ σοῦ ἐγώ
9 εἰμι τοῦ ἐξαιρεῖσθαί σε, λέγει Κύριος. [9]καὶ ἐξέτεινεν Κύριος τὴν
χεῖρα αὐτοῦ πρὸς μὲ καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν Κύριος
10 πρὸς μέ Ἰδοὺ δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου. [10]ἰδοὺ
καθέστακά σε σήμερον ἐπὶ ἔθνη καὶ βασιλείας, ἐκριζοῦν καὶ κατα-
σκάπτειν καὶ ἀπολλύειν καὶ ἀνοικοδομεῖν καὶ καταφυτεύειν.

Inscr Ιερεμιας BℵA Ιερ. προφητης Q I 1 επι Ιερ.] επ Ιηρεμιαν ℵAQ A | κατωκει] κατοικησει ℵ* (-κει ℵ?) | Αναθωθ] ναθ sup ras ℵ^{1} 2 του θεου] θῦ A κ̅υ̅ Q | Ιωσια B^{b}A Ιωσιου Q | βασιλια ℵ* (-λεια ℵ$^{c.b}$) 3 Ιωσεια 1°] Ιωσια B^{b} Ιωσιου Q | εως 1°] pr ϛ ℵ$^{c.a}$ (ras ℵ$^{c.b}$) | ενδεκατου] pr συντελιας ℵ* (-λειας ℵ$^{c.b}$) | του Σεδ.] om του ℵQ | Σεδεκιου Q | Ιωσεια 2°] Ιωσια B^{b}ℵ Ιωσειου A Ιωσιου Q 4 αυτον] με λεγων AQ 5 εν κοιλια] εκ κοιλιας A | σε εξελθειν] εξελθειν σε A + εκ μητρας B$^{ab\,mg}$ℵAQ 7 εαν 1°] αν AQ | οσα] οσ ℵ* (οσα ℵ$^{c.a}$) | εαν 2°] αν AQ 8 φοβης A | om εγω ℵQ | εξειρεισθαι B* (εξαιρ. B^{ab}) 9 λογοις ℵ* (λογους ℵ$^{c.b}$) | σου] μου ℵ$^{*\,vid}$ (σ sup ras ℵ^{1}) 10 om ιδου A | κατεστακα BℵA | βασιλειας (-λιας ℵ* -λειας ℵ$^{c.b}$)] επι βασιλεις AQ$^{*\,vid}$ (επι βασιλειας Q^{1}) | απολλυειν] + α′θ′ ※ και κατασπαν Q^{mg} | om και ανοικοδ. και καταφυτευειν A

B 11 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων Τί σὺ ὁρᾷς; καὶ εἶπα 11
Βακτηρίαν καρυίνην. 12 καὶ εἶπεν Κύριος πρὸς μέ Καλῶς ἑώρακας, 12
διότι ἐγρήγορα ἐγὼ ἐπὶ τοὺς λόγους μου τοῦ ποιῆσαι αὐτούς. 13 καὶ 13
ἐγένετο λόγος Κυρίου πρὸς μὲ ἐκ δευτέρου λέγων Τί σὺ ὁρᾷς; καὶ
εἶπα Λέβητα ὑποκαιόμενον, καὶ τὸ πρόσωπον αὐτοῦ ἀπὸ προσώπου
βορρᾶ. 14 καὶ εἶπεν Κύριος πρὸς μέ Ἀπὸ προσώπου βορρᾶ ἐκκαυ- 14
θήσεται τὰ κακὰ ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. 15 διότι 15
ἰδοὺ ἐγὼ συνκαλῶ πάσας τὰς βασιλείας ἀπὸ βορρᾶ τῆς γῆς, λέγει
Κύριος, καὶ ἥξουσιν καὶ θήσουσιν ἕκαστος τὸν θρόνον αὐτοῦ ἐπὶ τὰ
πρόθυρα τῶν πυλῶν Ἰερουσαλὴμ καὶ ἐπὶ πάντα τὰ τείχη τὰ κύκλῳ
αὐτῆς καὶ ἐπὶ πάσας τὰς πόλεις Ἰούδα. 16 καὶ λαλήσω πρὸς αὐτοὺς 16
μετὰ κρίσεως περὶ πάσης τῆς κακίας αὐτῶν, ὡς ἐνκατέλιπόν με καὶ
ἔθυσαν θεοῖς ἀλλοτρίοις καὶ προσεκύνησαν τοῖς ἔργοις τῶν χειρῶν
αὐτῶν. 17 καὶ σὺ περίζωσαι τὴν ὀσφύν σου καὶ ἀνάστηθι καὶ εἰπὸν 17
πάντα ὅσα ἂν ἐντείλωμαί σοι· μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν
μηδὲ πτοηθῇς ἐναντίον αὐτῶν, ὅτι μετὰ σοῦ εἰμὶ τοῦ ἐξαιρεῖσθαί σε,
λέγει Κύριος. 18 ἰδοὺ τέθεικά σε ἐν τῇ σήμερον ἡμέρᾳ ὡς πόλιν 18
ὀχυρὰν καὶ ὡς τεῖχος χαλκοῦν, ὀχυροῦν πᾶσιν τοῖς βασιλεῦσιν Ἰούδα
καὶ τοῖς ἄρχουσιν αὐτοῦ καὶ τῷ λαῷ τῆς γῆς· 19 καὶ πολεμήσουσίν σε 19
καὶ οὐ μὴ δύνωνται πρὸς σέ, διότι μετὰ σοῦ ἐγώ εἰμι τοῦ ἐξαιρεῖσθαί
σε, εἶπεν Κύριος.

2 Καὶ εἶπεν Τάδε λέγει Κύριος Ἐμνήσθην ἐλέους νεότητός σου 2 II
καὶ ἀγάπης τελειώσεως αὐτοῦ, ἐξακολουθῆσαί σε τῷ ἁγίῳ Ἰσραήλ,

ℵAQ 11 συ] σοι ℵ | ορας]+Ιερεμια ℵAQ | καρυινην ℵ* (καρυιν. ℵ$^{c.a}$) καρυην. A +α'σ'θ' ※ εγω ορω Q^{mg} 12, 13 om ℵ* (hab ℵ$^{c.a\ mg\ inf}$) 12 εορακας Q 13 εκ δευτερου προς με ℵ$^{c.a}$ | υποκαιομενον (-κεομ. ℵ$^{c.a}$)]+α'θ' ※ εγω ορω Q^{mg} 14 βορρα] πορρα ℵ | κακα] επι π. τ. κατοικ. την in mg et sup ras A^{a} 15 συγκαλω B^{ab}Q | βασιλειας]+α'θ' ※ βασιλειων Q^{mg} | βορρα] pr προσωπου A | πασας τας] πασας τ sup ras B$^{1\ fort}$ 16 περι πασης της κακ. αυτων (ων sup ras A^{a}) μετα κρισεως A | εγκατελιπον B^{ab} εγκατελειπον AQ | μεν ℵ* (με ℵ$^{?}$) 17 ειπον]+προς αυτους ℵAQ | αν] εαν ℵ | incep προσωπα ℵ* (-που ℵ$^{c.b}$) | αυτων 1°] ων sup ras A^{a} | ειμι] pr εγω ℵAQ | εξαιρεσθαι A* (-ρεισθ. A$^{?}$) 18 ιδου] pr σ' ※ εγω δε Q^{mg} | οχυραν]+α'θ' ※ ϗ εις στυλον σιδηρουν Q^{mg} | τειχος] τιχον A* (τιχος A$^{a?}$) | χαλκου A | οχυρουν] οχυρον B^{b}AQ ισχυρον ℵ | πασιν] απασιν ℵAQ | αυτου] αυτω A* αυτων A^{1}+θ' ※ ϗ τοις ιερευσιν αυτων Q^{mg} 19 πολεμησωσιν ℵ | διοτι] οτι ℵ | εγω μετα σου ειμι ℵA μετα σου ειμι εγω Q | εξαιρεισθαι] εξερεσθαι ℵ* (εξαιρεσθαι ℵ$^{c.b}$) | ειπεν] λεγει AQ II 2 και 1°] pr θ' ※ (1) ϗ εγενετο λογος κυ προς με λεγων| πορευθητι και αναγνωθι ε| τοις ωσι| υιων Ιερουσαλημ Q^{mg} | εμνησθην]+※ σοι Q^{mg} | τελειωσεως] τελιοτητος ℵ | αυτου] σου τω ℵ* σου του ℵ$^{c.a,\ c.b}$AQ

3 λέγει Κύριος. ³ἅγιος Ἰσραὴλ τῷ κυρίῳ, ἀρχὴ γενημάτων αὐτοῦ· B
πάντες οἱ ἔσθοντες αὐτὸν πλημμελήσουσιν, κακὰ ἥξει ἐπ᾽ αὐτούς,
φησὶν Κύριος.
4 ⁴Ἀκούσατε λόγον Κυρίου, οἶκος Ἰακὼβ καὶ πᾶσα πατριὰ οἴκου
5 Ἰσραήλ. ⁵τάδε λέγει Κύριος Τί εὕροσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ
πλημμέλημα, ὅτι ἀπέστησαν μακρὰν ἀπ᾽ ἐμοῦ, καὶ ἐπορεύθησαν
6 ὀπίσω τῶν ματαίων καὶ ἐματαιώθησαν; ⁶καὶ οὐκ εἶπαν Ποῦ ἐστιν
Κύριος ὁ ἀναγαγὼν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ὁ καθοδηγήσας ἡμᾶς ἐν
τῇ ἐρήμῳ ἐν γῇ ἀπείρῳ καὶ ἀβάτῳ, ἐν γῇ ἀνύδρῳ καὶ ἀκάρπῳ, ἐν
γῇ ἐν ᾗ οὐ διώδευσεν ἐν αὐτῇ οὐθὲν καὶ οὐ κατῴκησεν ἄνθρωπος
7 ἐκεῖ; ⁷καὶ ἤγαγον ὑμᾶς εἰς τὸν Κάρμηλον, τοῦ φαγεῖν ὑμᾶς τοὺς
καρποὺς αὐτοῦ καὶ τὰ ἀγαθὰ αὐτοῦ· καὶ εἰσήλθατε καὶ ἐμιάνατε τὴν
8 γῆν μου, καὶ τὴν κληρονομίαν μου ἔθεσθε εἰς βδέλυγμα. ⁸οἱ ἱερεῖς
οὐκ εἶπαν Ποῦ ἐστιν Κύριος; καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου οὐκ ἠπί-
σταντό με, καὶ οἱ ποιμένες ἠσέβουν εἰς ἐμέ, καὶ οἱ προφῆται ἐπρο-
9 φήτευον τῇ Βάαλ καὶ ὀπίσω ἀνωφελοῦς ἐπορεύθησαν. ⁹διὰ τοῦτο
ἔτι κριθήσομαι πρὸς ὑμᾶς, καὶ πρὸς τοὺς υἱοὺς τῶν υἱῶν ὑμῶν κρι-
10 θήσομαι. ¹⁰διότι ἔλθετε εἰς νήσους Χεττιεὶμ καὶ ἴδετε, καὶ εἰς Κηδὰρ
11 ἀποστείλατε καὶ νοήσατε σφόδρα, καὶ ἴδετε εἰ γέγονεν τοιαῦτα, ¹¹εἰ
ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν, καὶ οὗτοι οὐκ εἰσὶν θεοί· ὁ δὲ λαός
12 μου ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἐξ ἧς οὐκ ὠφεληθήσονται. ¹²ἐξέστη
ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει Κύριος.
13 ¹³ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου· ἐμὲ ἐνκατέλιπον, πηγὴν
ὕδατος ζωῆς, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους οἳ οὐ δυνή-
14 σονται ὕδωρ συνέχειν. ¹⁴μὴ δοῦλός ἐστιν Ἰσραήλ, ἢ οἰκογενής ἐστιν;
15 διὰ τί εἰς προνομὴν ἐγένετο; ¹⁵ἐπ᾽ αὐτὸν ὠρύοντο λέοντες καὶ ἔδωκαν

2 Κυριος 2°] + α′θ′ ※ εν τη ερημω εν γη μη σπειρομενη Q^{mg} 5 ευ- ℵAQ
ροισαν A | υμων] ημων A 6 αβατω και απειρω A | εν 3°] pr και Q |
ακαρπω] + α′σ′θ′ ※ και σκια θανατου Q^{mg} | ουθεν] ανηρ B$^{ab\,mg}$Q ανος ℵ |
ανθρωπος εκει] εκει υιος ανθρωπου ℵQ 7 ηγαγον] εισηγαγον ℵQ | om
υμας 2° Q | εισηλθετε Q^{a} | om μου 2° A | εθεσθε] και εθεσθαι (sup ras) A^{a}
θεσθαι Q$^{*\,vid}$ (εθεσθε Q^{a}) 8 ιερις ℵ$^{*\,comm}$ (-ρεις ℵ$^{c.b}$) | νομου] + μου ℵAQ |
επισταντο A | επροφητευοντο A | Βαα′αλ ℵ* Βαα′αλ′ ℵ$^{c.b}$ 9 om προς
υμας...κριθησομαι ℵ* (hab ℵ$^{c.a\,et\,antea}$) | υμας] + λεγει κ̅ς̅ B^{ab}ℵ$^{c.a}$AQ | om
υμων ℵ$^{ante\,c.a}$ (hab ℵ$^{c.a}$) 10 διοτι] οτι Q | ελθετε] διελθατεν ℵ* (-τε
ℵ$^{lam\,1\,(vid)}$) ηλθετε A διηλθατε Q$^{*\,vid}$ διελθετε Q^{a} | Χεττιειν ℵ | ειδετε 1°, ℵA:
2°, ℵ | σφοδα ℵ* (-δρα ℵ$^{1\,(vid)}$) | ιδετε ει sup ras B^{ab} | ει] η ℵ* (ει ℵ$^{c.a}$)
11 εθνη] pr τα A | λαος] λ′αος ℵ (λ ex α fec) | ηλλαξαντο ℵ$^{c.a}$ (postea rurs
-ξατο) 12 πλειον] πλιω ℵ 13 om και 1° ℵ* (hab ϗ ℵ$^{c.c}$) | εγκατελιπον
B^{ab}Q^{a} εγκατελειπον AQ* | ζωης] ζωντος ℵ$^{c.a}$AQ 14 δια τι] διοτι ℵ$^{c.a}$
(postea revoc δια τι) 15 λεοντες] λεγοντες ℵ* (γ ras ℵ$^{c.a,\,c.b}$)

B τὴν φωνὴν αὐτῶν, οἳ ἔταξαν τὴν γῆν αὐτοῦ εἰς ἔρημον, καὶ αἱ πόλεις
αὐτοῦ κατεσκάφησαν παρὰ τὸ μὴ κατοικεῖσθαι. [16]καὶ υἱοὶ Μέμφεως 16
καὶ Ταφνὰς ἔγνωσάν σε καὶ κατέπαιζόν σου· οὐχὶ ταῦτα ἐποίησέν
σοι τὸ καταλιπεῖν σε ἐμέ; [17]λέγει Κύριος ὁ θεός σου. [18]καὶ νῦν τί 17 18
σοι καὶ τῇ ὁδῷ Αἰγύπτου τοῦ πιεῖν ὕδωρ Γηών; καὶ τί σοι καὶ τῇ
ὁδῷ Ἀσσυρίων τοῦ πιεῖν ὕδωρ ποταμῶν; [19]παιδεύσει σε ἡ ἀπο- 19
στασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε· καὶ γνῶθι καὶ ἴδε ὅτι πικρόν
σοι τὸ καταλιπεῖν σε ἐμέ, λέγει Κύριος ὁ θεός σου· καὶ οὐκ εὐδόκησα
ἐπὶ σοί, λέγει Κύριος ὁ θεός σου. [20]ὅτι ἀπ’ αἰῶνος συνέτριψας τὸν 20
ζυγόν σου· διέσπασας τοὺς δεσμούς σου, καὶ εἶπας Οὐ δουλεύσω σοι,
ἀλλὰ πορεύσομαι ἐπὶ πᾶν βουνὸν ὑψηλὸν καὶ ὑποκάτω παντὸς ξύλου
κατασκίου, ἐκεῖ διαχυθήσομαι ἐν τῇ πορνείᾳ μου. [21]ἐγὼ δὲ ἐφύ- 21
τευσά σε ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν· πῶς ἐστράφης εἰς
πικρίαν, ἡ ἄμπελος ἡ ἀλλοτρία; [22]ἐὰν ἀποπλύνῃς ἐν νίτρῳ καὶ πλη- 22
θύνῃς σεαυτῇ ποίαν, κεκηλίδωσαι ἐν ταῖς ἀδικίαις σου ἐναντίον ἐμοῦ,
λέγει Κύριος. [23]πῶς ἐρεῖς Οὐκ ἐμιάνθην καὶ ὀπίσω τῆς Βάαλ οὐκ ἐπο- 23
ρεύθην; ἴδε τὰς ὁδούς σου ἐν τῷ πολυανδρίῳ, καὶ γνῶθι τί ἐποίησας.
ὀψὲ φωνὴ αὐτῆς ὠλόλυξεν, [24]τὰς ὁδοὺς αὐτῆς ἐπλάτυνεν ἐφ’ ὕδατα 24
ἐρήμου, ἐν ἐπιθυμίαις ψυχῆς αὐτῆς ἐπνευματοφορεῖτο, παρεδόθη· τίς
ἐπιστρέψει αὐτήν; πάντες οἱ ζητοῦντες αὐτὴν οὐ κοπιάσουσιν, ἐν τῇ
ταπεινώσει αὐτῆς εὑρήσουσιν αὐτήν. [25]ἀπόστρεψον τὸν πόδα σου 25
ἀπὸ ὁδοῦ τραχείας, καὶ τὸν φάρυγγά σου ἀπὸ δίψους. ἡ δὲ εἶπεν
Ἀνδριοῦμαι· ὅτι ἠγαπήκει ἀλλοτρίους καὶ ὀπίσω αὐτῶν ἐπορεύετο.
[26]ὡς αἰσχύνη κλέπτου ὅταν ἁλῷ, οὕτως αἰσχυνθήσονται οἱ υἱοὶ 26
Ἰσραήλ, αὐτοὶ καὶ οἱ βασιλεῖς αὐτῶν καὶ οἱ ἄρχοντες αὐτῶν καὶ οἱ
ἱερεῖς αὐτῶν καὶ οἱ προφῆται αὐτῶν. [27]τῷ ξύλῳ εἶπαν ὅτι Πατήρ 27

ℵAQ 15 ερημον sup ras Q^{a} αφανισμον Q^{mg} | πολις ℵ* (-λεις $\aleph^{c.b}$) 16 υιοι] pr οι Q | κατεπαιζον] κατεπεξαν A | om ουχι Q (hab Q^{mg}) | εποιησεν] ε sup ras A? (-σαν A*) | καταλιπειν] λ ex α fec $\aleph^{c.b\ fort}$ 17 σου] + ※ εν τω καιρω αγοντος σε εν τη οδω Q^{mg} 18 τη οδω (1°)] γη A | Γηων] Σιωρ Q^{mg} | οδω 2°] γη A 19 om και γνωθι ℵ* (hab $\aleph^{c.a,\ c.b}$) γνωσι Q^{a} | καταλειπειν Q* (-λιπειν Q^{a}) | γει κ̅ς̅ ο θ̅ς̅ (1°) sup ras $A^{a?}$ | ηυδοκησα AQ* (ευδ. Q^{a}) | επι] εν A 20 διεσπασας] pr και $\aleph^{c.a}A^{b}Q^{b}$ και διερρηξας Q* | δουλευσω ℵ* (-λευσ. $\aleph^{c.a}$) | om σοι ℵAQ^{a} | παν] παντα A | πορνια ℵ 21 δε] δ Q* | αληθ. πασαν A | εστραφη A + α'σ' ※ μοι Q 22 αποπλυνη $B^{ab}\aleph^{c.a}$A (αποπρ.) Q | ποαν ℵAQ^{a} | εναντιον εμου (μου ℵ) εν ταις αδικιαις σου ℵA | Κυριος] + ο θ̅ς̅ σου A 23 ωλολυζεν ℵ* (-ξεν $\aleph^{c.a}$) ωλωλυξεν Q 24 ψυχης] pr της Q* | επιστεψει ℵ* (-στρ. $\aleph^{c.b}$) | παντες] pr πλην ℵ* (om $\aleph^{c.a}$) 25 αποστρεψον] + τον φαρυγγα σου απο διψους και ℵ | om και...διψους ℵ 26 οι 2°] ο ℵ* (οι $\aleph^{c.c}$) | βασιλευς ℵ* (-λεις $\aleph^{c.a}$) | om αυτων 2° A

μου εἶ σύ, καὶ τῷ λίθῳ Σὺ ἐγέννησάς με· καὶ ἔστρεψαν ἐπ' ἐμὲ B
νῶτα καὶ οὐ πρόσωπα αὐτῶν, καὶ ἐν τῷ καιρῷ τῶν κακῶν αὐτῶν
28 ἐροῦσιν Ἀνάστα καὶ σῶσον ἡμᾶς. [28]καὶ ποῦ εἰσιν οἱ θεοί σου οὓς
ἐποίησας σεαυτῷ; εἰ ἀναστήσονται καὶ σώσουσιν ἐν καιρῷ τῆς κακώ-
σεώς σου; ὅτι κατ' ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί σου, Ἰούδα,
29 καὶ κατ' ἀριθμὸν διόδων τῆς Ἰερουσαλὴμ ἔθυον τῇ Βάαλ. [29]Ἵνα
τί λαλεῖτε πρὸς μέ; πάντες ὑμεῖς ἠσεβήσατε, καὶ πάντες ὑμεῖς ἠνο-
30 μήσατε εἰς ἐμέ, λέγει Κύριος. [30]μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν, παι-
δείαν οὐκ ἐδέξασθε· μάχαιρα κατέφαγεν τοὺς προφήτας ὑμῶν ὡς λέων
31 ὀλεθρεύων, καὶ οὐκ ἐφοβήθητε. [31]ἀκούσατε λόγον Κυρίου Τάδε λέγει
Κύριος Μὴ ἔρημος ἐγενόμην τῷ Ἰσραὴλ ἢ γῆ κεχερσωμένη; διὰ τί
εἶπεν ὁ λαός μου Οὐ κυριευθησόμεθα, καὶ οὐχ ἥξομεν πρὸς σὲ ἔτι;
32 [32]μὴ ἐπιλήσεται νύμφη τὸν κόσμον αὐτῆς, καὶ παρθένος τὴν στηθο-
δεσμίδα αὐτῆς; ὁ δὲ λαός μου ἐπελάθετό μου ἡμέρας ὧν οὐκ ἔστιν
33 ἀριθμός. [33]τί ἔτι καλὸν ἐπιτηδεύσεις ἐν ταῖς ὁδοῖς σου τοῦ ζητῆσαι
ἀγάπησιν; οὐχ οὕτως· ἀλλὰ καὶ σὺ ἐπονηρεύσω τοῦ μιᾶναι τὰς ὁδούς
34 σου, [34]καὶ ἐν ταῖς χερσίν σου εὑρέθησαν αἵματα ψυχῶν ἀθῴων·
35 οὐκ ἐν διορύγμασιν εὗρον αὐτοὺς ἀλλ' ἐπὶ πάσῃ δρυί. [35]καὶ εἶπας
Ἀθῷός εἰμι, ἀλλὰ ἀποστραφήτω ὁ θυμὸς αὐτοῦ ἀπ' ἐμοῦ. ἰδοὺ ἐγὼ
36 κρίνομαι πρὸς σέ, ἐν τῷ λέγειν σε Οὐχ ἥμαρτον· [36]ὅτι κατεφρόνησας
σφόδρα τοῦ δευτερῶσαι τὰς ὁδούς σου; καὶ ἀπὸ Αἰγύπτου καταισχυν-
θήσῃ καθὼς κατῃσχύνθης ἀπὸ Ἀσσούρ, ὅτι καὶ ἐντεῦθεν ἐξελεύσῃ,
καὶ αἱ χεῖρές σου ἐπὶ τῆς κεφαλῆς σου· ὅτι ἀπώσατο Κύριος τὴν
III 1 ἐλπίδα σου, καὶ οὐκ εὐοδωθήσῃ ἐν αὐτῇ. [1]Ἐὰν ἐξαποστείλῃ
ἀνὴρ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀπέλθῃ ἀπ' αὐτοῦ καὶ γένηται ἀνδρὶ
ἑτέρῳ, μὴ ἀνακάμπτουσα ἀνακάμψει πρὸς αὐτὸν ἔτι; οὐ μιαινομένη
μιανθήσεται ἡ γυνὴ ἐκείνη; καὶ σὺ ἐξεπόρνευσας ἐν ποιμέσιν πολ-
2 λοῖς, καὶ ἀνέκαμπτες πρὸς μέ; λέγει Κύριος. [2]ἆρον εἰς εὐθεῖαν τοὺς

27 εστρεψαν] επεστρεψαν ℵ 28 που] ποι ℵ | ει] + και nisi potius γαρ ℵAQ ℵ[c.a] postea ras | σωσουσιν (σουσιν B* σω superscr B[ab])] + σε ℵAQ | σου 2° sup ras circ 5 litt A[1] | κατ bis] κατα Q | Ιρουσαλημ ℵ* (Ιερ. ℵ[c.a]) 29 om ησεβησατε...υμεις A 30 παιδιαν ℵ (πεδ. ℵ* παιδ. ℵ[c.b]) | ως λε|θρευων B* vid ως λεω| ολ. B[ab] | ολοθρευων B[b]ℵ ωλεθρευων A 31 λογον] pr τον A | εγεναμην A εγενηθην Q | δια τι] διοτι Q | κυριευθησομεθα] δουλευθησομεθα A 32 επελαθετο μου bis scr Q* 33 αγαπησιν] παρακλησιν Q 34 ευρεθη αιματα A et (αιμ. sup ras 8 vel 9 litt) Q[a] | ψυχων] + α'θ'σ' ※ πενητων Q[mg] | επι] εν A 35 ειπας] + α'σ'θ' ※ οτι Q[mg] 36 Εγυπτου ℵ* (Αιγ. ℵ[c.a, c.b]) | κατησχυνθης B[ab]Q | ευοδωθηση] ευδοκηση ℵ* (ευοδοθ. [sic] ℵ[c.a, c.b]) III 1 εαν] pr α' ※ λεγών Q | ποιμεσι Q[a] 2 τους οφθ. σου εις ευθειαν Q

B *ὀφθαλμούς σου καὶ ἴδε ποῦ οὐχὶ ἐξεφύρθης· ἐπὶ ταῖς ὁδοῖς ἐκάθι-*
σας αὐτοῖς ὡσεὶ κορώνη ἐρημουμένη, καὶ ἐμίανας τὴν γῆν ἐν ταῖς
πορνίαις σου καὶ ἐν ταῖς κακίαις σου, [3] *καὶ ἔσχες ποιμένας πολλοὺς* 3
εἰς πρόσκομμα σεαυτῇ· ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας
πρὸς πάντας. [4] *οὐχ ὡς οἶκόν με ἐκάλεσας καὶ πατέρα καὶ ἀρχηγὸν* 4
τῆς παρθενίας σου; [5] *μὴ διαμενεῖ εἰς τὸν αἰῶνα, ἢ φυλαχθήσεται εἰς* 5
νῖκος; ἰδοὺ ἐλάλησας καὶ ἐποίησας τὰ πονηρὰ ταῦτα καὶ ἠδυνάσθης.
[6] *Καὶ εἶπεν Κύριος πρὸς μὲ ἐν ταῖς ἡμέραις Ἰωσείου τοῦ βασιλέως* 6
Εἶδες ἃ ἐποίησέν μοι ἡ κατοικία τοῦ Ἰσραήλ; ἐπορεύθησαν ἐπὶ πᾶν
ὄρος ὑψηλὸν καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους καὶ ἐπόρνευσαν ἐκεῖ.
[7] *καὶ εἶπα μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα Πρὸς μὲ ἀνάστρεψον·* 7
καὶ οὐκ ἀνέστρεψεν, καὶ εἶδεν τὴν ἀσυνθεσίαν αὐτῆς ἡ ἀσύνθετος Ἰουδά.
[8] *καὶ εἶδον διότι περὶ πάντων ὧν καὶ εἶδον, περὶ πάντων ὧν κατελήμφθη* 8
ἐν οἷς ἐμοιχᾶτο ἡ κατοικία τοῦ Ἰσραήλ, καὶ ἐξαπέστειλα αὐτὴν καὶ ἔδωκα
αὐτῇ βιβλίον ἀποστασίου εἰς τὰς χεῖρας αὐτῆς· καὶ οὐκ ἐφοβήθη ἡ
ἀσύνθετος Ἰουδά, καὶ ἐπορεύθη καὶ ἐπόρνευσεν καὶ αὐτή, [9] *καὶ ἐγένετο* 9
εἰς οὐθὲν ἡ πορνεία αὐτῆς, καὶ ἐμοίχευσεν τὸ ξύλον καὶ τὸν λίθον.
[10] *καὶ ἐν πᾶσιν τούτοις οὐκ ἐπεστράφη πρὸς μὲ ἡ ἀσύνθετος Ἰουδὰ* 10
ἐξ ὅλης τῆς καρδίας αὐτῆς ἀλλ' ἐπὶ ψεύδει. [11] *καὶ εἶπεν Κύριος πρὸς* 11
μέ Ἐδικαίωσεν τὴν ψυχὴν αὐτοῦ Ἰσραὴλ ἀπὸ τῆς ἀσυνθέτου Ἰουδά.
[12] *πορεύου καὶ ἀνάγνωθι τοὺς λόγους τούτους πρὸς βορρᾶν, καὶ ἐρεῖς* 12
Ἐπιστράφητι πρὸς μέ, ἡ κατοικία τοῦ Ἰσραήλ, λέγει Κύριος, καὶ οὐ
στηριῶ τὸ πρόσωπόν μου ἐφ' ὑμᾶς· ὅτι ἐλεήμων ἐγώ εἰμι, λέγει

ℵAQ **2** *σου* 1°]+ *λεγει* $\overline{κς}$ A | *οδοις*]+ *αις* A | om *αυτοις* Q* (hab Q^{mg}) | *κορωνη*] α' *Αραψ* Q^{mg} | *ηρημωμενη* AQ | *πορνειαις* B^{ab}Q | om *και εν ταις κακιαις σου* A **3** om *και εσχες ποιμενας* ℵ* (hab $ℵ^{iam\ ante\ c.a}$) | *οψις* (-*ψεις* Q*)]+ α'σ'θ' ※ *γυναικος* Q^{mg} **4** *παρθενειας* AQ **5** *αιωναν* ℵ* | *διαφυλαχθησεται* ℵAQ | om *και εποιησας* ℵ **6** *ταις*] *ται* ℵ | *Ιωσιου* B^{b}Q *Ιωσια* ℵA | om *του βασιλεως* A | *βασιλεως*] incep *ν* $ℵ^{*vid}$ (*β* sup ras $ℵ^{1}$) | *ιδες* ℵAQ | *κατοικεια* AQ*: item 8 | *επορευθη* Q^{a} + α' ※ *εαυτη* Q^{mg} | *επορνευσαν*] *επορνευσεν* A^{*vid} (*α* sup ras A^{a}) Q **7** *παντα ταυτα* A | om *και ουκ ανεστρεψεν* Q* (hab Q^{mg}) | *ανεστρεψεν* (-*στρψ*. ℵ sic)] *ε* 3° sup ras A^{a} | *ιδεν* AQ | *ασυνθεσιαν*] *α|θεσιαν* ℵ **8** *ιδον* (1°) AQ* *ιδεν* Q^{a} adnot *Ωρ*. (? *ωρ*.) Q^{mg} | om *διοτι* ℵ* (hab $ℵ^{c.a}$) | om *ων* 1°... *παντων* (2°) B^{ab} (adnot *ου κ' π' εβρ'* B^{a} non inst B^{b}) ℵAQ | *κατεληmφη* ℵ* (-*φθη* $ℵ^{c.c}$) *κατελειφθη* Q^{a} | *μοιχατο* ℵ* (*εμοιχ*. $ℵ^{c.a}$) | *αυτην*] *αυτη|* ℵ | *Ιουδα*]+ α'σ' ※ *η αδελφη αυτης* Q^{mg} **9** *πορνια* ℵ | *αυτης*]+ α'θ' ※ *κ̄ εφονοκτονει την γη̄|* Q^{mg} | *τον λιθον και το ξυλον* ℵ **10** *πασι* ℵQ | *επεστραφη* (-*στρφ*. ℵ* -*στραφ*. $ℵ^{c.b(vid)}$)] *απεστραφη* A | *ασυνθετος*]+ α'θ' ※ *η αδελφη αυτης* Q | *αυτης*] *ης* sup ras A^{a} | *ψευδει*]+ α'σ'θ' ※ *φησι* $\overline{κς}$ Q^{mg} **11** *αυτου*] *αυτης* ℵQ **12** *πορευου*] *πορευθητι* A | *αναγνωθι*] *αναγνω|σον* A | *βορρα* A | *επιστραφηθι* B^{ab} | *κατοικεια* A | *ου* 1°]+ *μη* Q | *στηριω* (*στερ*. ℵ* *στηρ*. $ℵ^{c.a,\ c.b}$)] *στηρισω* Q | *ελεημων*] *ελεων* A

13 Κύριος, καὶ οὐ μηνιῶ ὑμῖν εἰς τὸν αἰῶνα. [13]πλὴν γνῶθι τὴν ἀδικίαν B
σου, ὅτι εἰς Κύριον τὸν θεόν σου ἠσέβησας, καὶ διέχεας τὰς ὁδούς
σου εἰς ἀλλοτρίους ὑποκάτω παντὸς ξύλου ἀλσώδους, τῆς δὲ φωνῆς
14 μου οὐχ ὑπήκουσας, λέγει Κύριος. [14]ἐπιστράφητε, υἱοὶ ἀφεστηκότες,
λέγει Κύριος, διότι ἐγὼ κατακυριεύσω ὑμῶν, καὶ λήμψομαι ὑμᾶς ἕνα
15 ἐκ πόλεως καὶ δύο ἐκ πατριᾶς καὶ εἰσάξω ὑμᾶς εἰς Σειών, [15]καὶ
δώσω ὑμῖν ποιμένας κατὰ τὴν καρδίαν μου, καὶ ποιμανοῦσιν ὑμᾶς
16 ποιμαίνοντες μετ' ἐπιστήμης. [16]καὶ ἔσται ἐὰν πληθυνθῆτε καὶ αὐξη-
θῆτε ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις, λέγει Κύριος, οὐκ ἐροῦσιν
ἔτι Κιβωτὸς διαθήκης Ἁγίου Ἰσραήλ, οὐκ ἀναβήσεται ἐπὶ καρδίαν,
οὐκ ὀνομασθήσεται οὐδὲ ἐπισκεφθήσεται καὶ οὐ ποιηθήσεται ἔτι.
17 [17]ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ καλέσουσιν τὴν
Ἰερουσαλὴμ Θρόνος Κυρίου, καὶ συναχθήσονται πάντα τὰ ἔθνη εἰς
αὐτήν, καὶ οὐ πορεύσονται ἔτι ὀπίσω τῶν ἐνθυμημάτων τῆς καρδίας
18 αὐτῶν τῆς πονηρᾶς. [18]ἐν ταῖς ἡμέραις ἐκείναις συνελεύσονται οἶκος
Ἰούδα ἐπὶ τὸν οἶκον τοῦ Ἰσραήλ, καὶ ἥξουσιν ἐπὶ τὸ αὐτὸ ἀπὸ γῆς
βορρᾶ καὶ ἀπὸ πασῶν τῶν χωρῶν ἐπὶ τὴν γῆν ἣν κατεκληρονόμησα
19 τοὺς πατέρας αὐτῶν. [19]καὶ ἐγὼ εἶπα Γένοιτο, Κύριε· ὅτι τάξω σε εἰς
ἔθνη, καὶ δώσω σοι γῆν ἐκλεκτὴν κληρονομίαν θεοῦ Παντοκράτορος
ἐθνῶν· καὶ εἶπα Πατέρα καλέσετέ με, καὶ ἀπ' ἐμοῦ οὐκ ἀποστρα-
20 φήσεσθε. [20]πλὴν ὡς ἀθετεῖ γυνὴ εἰς τὸν συνόντα αὐτῇ, οὕτως ἠθέ-
21 τησεν εἰς ἐμὲ οἶκος Ἰσραήλ, λέγει Κύριος. [21]φωνὴ ἐκ χειλέων
ἠκούσθη κλαυθμοῦ καὶ δεήσεως υἱῶν Ἰσραήλ, ὅτι ἠδίκησαν ἐν ταῖς
22 ὁδοῖς αὐτῶν, ἐπελάθοντο θεοῦ Ἁγίου αὐτῶν. [22]ἐπιστράφητε, υἱοὶ ἐπι-

12 μηνιω] + ετι ℵ | αιωναν ℵ* (-να ℵ[1 (vid)]) 13 υπηκουσας] ηκουσας A ℵAQ
14 επιστραφητες ℵ* (-ται ℵ[c.a, c.b]) | εγω] pr ιδου A | ληψομαι Q[a] | εισ|αξω B* εισαξ. B[?] | υμας 2°] pr εις Q* | Σιων B[b]ℵAQ 15 ποιμαινοντες] ποιμαινες A 16 γης] + φησι| κ̅ς̅ Q + λεγει (κ̅ς̅) Q[mg] | αγιου] κ̅υ̅ Q[mg] | α|βησεται ℵ* (αναβ. ℵ[c.a]) | καρδιαν] + αυτων Q | ουκ 3°] και ουκ A ουδε Q | επισκεφησεται ℵ* (-σκεφθ. ℵ[iam ante c.a]) 17 εις αυτην παντα τα εθνη AQ | εθνη] + α'θ' ※ τω ονοματι κ̅υ̅ εις Ιερουσαλημ Q[mg] | om ετι ℵ* (hab ℵ[c.c]) | ενθυμηματων] επιθυμ. A 18 εν] pr και A | συνελευσεται A | Ιουδα] Ι̅η̅λ̅ A | του Ισραηλ] om του AQ Ιουδα A | βορραν ℵ* | om και 2° A | χρων A* (χωρ. A[1]) | κατεκληρονομησε| ℵ* (-σα ℵ[c.c]) -σαν A | τους πατερας] οι πατερες A 19 και εγω] καγω Q | εθνη] τεκνα ℵAQ | γην] την ℵ* (γ. ℵ[c.c (vid)]) | κληρονομιαν] + α'θ' ※ ονομαστην Q[mg] | om εθνων Q | ειπα 2°] ειπατε ℵ*[c.a] ει ℵ[c.b]AQ (α'θ'σ' ※ (ει)πα Q[mg]) | πατερα καλεσετε] παρακαλεσατε ℵ* πατερα καλεσατε ℵ[c.a, c.b] πατ. επικαλεισθε Q | αποστραφηση ℵQ
20 ηθετησαν ℵ | εις εμε] ει με A* (εις εμ. A[a?]) | λεγει κ̅ς̅ οικος Ι̅η̅λ̅ A | οικος] pr ο Q 21 φωναι A | επελαθεντο B*ℵ (-θοντο B[b]AQ) | θεου] pr α' ※ του Q[mg]

B στρέφοντες, καὶ ἰάσομαι τὰ συντρίμματα ὑμῶν. ἰδοὺ δοῦλοι ἡμεῖς
ἐσόμεθά σοι, ὅτι σὺ Κύριος ὁ θεὸς ἡμῶν εἶ. [23]ὄντως εἰς ψεῦδος 23
ἦσαν οἱ βουνοὶ καὶ ἡ δύναμις τῶν ὀρέων, πλὴν διὰ Κυρίου θεοῦ
ἡμῶν ἡ σωτηρία τοῦ Ἰσραήλ. [24]ἡ δὲ αἰσχύνη κατανάλωσεν τοὺς 24
μόχθους τῶν πατέρων ἡμῶν ἀπὸ νεότητος ἡμῶν, τὰ πρόβατα αὐτῶν
καὶ τοὺς μόσχους αὐτῶν, καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐ-
τῶν. [25]ἐκοιμήθημεν ἐν τῇ αἰσχύνῃ ἡμῶν, καὶ ἐπεκάλυψεν ἡμᾶς ἡ 25
ἀτιμία ἡμῶν, διότι ἔναντι τοῦ θεοῦ ἡμῶν ἡμάρτομεν ἡμεῖς καὶ οἱ
πατέρες ἡμῶν ἀπὸ νεότητος ἡμῶν ἕως τῆς ἡμέρας ταύτης, καὶ οὐχ ὑπη-
κούσαμεν τῆς φωνῆς Κυρίου τοῦ θεοῦ ἡμῶν.

[1]Ἐὰν ἐπιστραφῇ Ἰσραήλ, λέγει Κύριος, πρὸς μέ, ἐπιστραφήσεται· 1 IV
ἐὰν περιέλῃ τὰ βδελύγματα αὐτοῦ ἐκ στόματος αὐτοῦ, καὶ ἀπὸ τοῦ
προσώπου εὐλαβηθῇ, [2]καὶ ὀμόσῃ Ζῇ Κύριος μετὰ ἀληθείας ἐν κρίσει 2
καὶ ἐν δικαιοσύνῃ, καὶ εὐλογήσουσιν ἐν αὐτῷ ἔθνη, καὶ ἐν αὐτῷ αἰ-
νέσουσιν τῷ θεῷ ἐν Ἰερουσαλήμ. [3]ὅτι τάδε λέγει Κύριος τοῖς 3
ἀνδράσιν Ἰούδα καὶ τοῖς κατοικοῦσιν Ἰερουσαλήμ Νεώσατε ἑαυτοῖς
νεώματα, καὶ μὴ σπείρητε ἐπ' ἀκάνθαις. [4]περιτμήθητε τῷ θεῷ ὑμῶν, 4
καὶ περιτέμεσθε τὴν σκληροκαρδίαν ὑμῶν, ἄνδρες Ἰούδα καὶ οἱ κατοι-
κοῦντες Ἰερουσαλήμ, μὴ ἐξέλθῃ ὡς πῦρ ὁ θυμὸς αὐτοῦ καὶ ἐκκαυθήσε-
ται, καὶ οὐκ ἔσται ὁ σβέσων ἀπὸ προσώπου πονηρίας ἐπιτηδευμάτων
ὑμῶν. [5]ἀναγγείλατε ἐν τῷ Ἰούδᾳ, καὶ ἀκουσθήτω ἐν Ἰερουσαλήμ· 5
εἴπατε, σημάνατε ἐπὶ τῆς γῆς σάλπιγγι, κεκράξετε μέγα· εἴπατε

ℵAQ 22 τα συντριμματα υμων] αυτους A | δουλοι] οιδε Q | ημεις] υμεις A | om συ A 22—23 distinx ημων· ει οντως A[vid] 23 om εις Q* (hab Q[mg]) | του Ισραηλ] τω Ισρ. A [του] οικου (sub ÷) [Ισρ.] Q[mg] 24 κατηναλωσεν ℵ* (καταν. ℵ[c.a]) | μοχθους] ο 2° suppl ℵ[1] | ημων 1°] ηων ℵ* (ημ. ℵ[mlt c.a]) | ημων 2°] αυτων ℵAQ | μοσχους] σ suppl ℵ[iam ante c.a] μοχθους A 25 εναντι] εναντιο̣ Q | om ημων 3° A | om ημεις A | οι πατερες] ο| πατερες B οι πατερ ℵ* c.b | υπηκουσαμεν] ηκουσ. A IV 1 Ισηλ ℵ | προς με λεγει κ̅ς̅ A | επιστραφησεται] pr και Q | εαν 2°] pr και Q | περιελη] λ sup ras A[a] | om εκ στοματος αυτου A απο του στ. αυτου Q* (superscr ÷ εκ Q[a]) | αυτου 2°] αυτος ut vid ℵ[1 (vid)] | του προσωπου] om του ℵ* (hab ℵ[c.b]) A + μου B[ab mg] ℵQ + αυτου A | ευλαβηθη] pr σ'θ' ※ και Q[mg] 2 αληθιας ℵ | εν 1°] pr και ℵAQ | αυτω 1°] αυτη ℵ* (-τω ℵ[c et postea]) | αινεσουσι Q[?] | τω θεω] τω sub ÷ Q[?] 3 om οτι ταδε... Ιερουσαλημ A | οτι ταδε] ουτως ℵ* (οτι τ. ℵ[c.a]) | σπειρητε] σπιρετε ℵ* -ται ℵ[c.b] σπειρεται Q* (-τε Q[a]) | ακανθας ℵ* (-θαις ℵ[c.b]) 4 περιτμηθητε] περιτμηθησεσθαι A | υμων 1°] ημων A | περιτεμεσθε Bℵ[c.a] (-θαι ℵ[c.b] Q*)] περιτεμεισθαι ℵ[c.c] Q[a] περιελεσθε ℵ*A (-θαι) | σκηροκαρδιαν ℵ* (κληροκ. [sic] ℵ[c.b comm]) | Ιερουσαλημ] pr εν AQ | αυτου] μου AQ 5 σημανεται ℵ | σαλπιγγι επι της γης Q | κεκραξετε] κεκραξατε AQ pr και ℵQ | ειπατε 2°] pr και ℵA

6 Συνάχθητε καὶ εἰσέλθωμεν εἰς τὰς πόλεις τὰς τειχήρεις, [6]ἀναλαβόντες B
φεύγετε εἰς Σειών· σπεύσατε, μὴ στῆτε, ὅτι κακὰ ἐγὼ ἐπάγω ἀπὸ
7 βορρᾶ καὶ συντριβὴν μεγάλην. [7]ἀνέβη λέων ἐκ μάνδρας αὐτοῦ, ἐξο-
λεθρεύων ἔθνη ἐξῆρεν καὶ ἐξῆλθεν ἐκ τοῦ τόπου αὐτοῦ τοῦ θεῖναι
τὴν γῆν εἰς ἐρήμωσιν, καὶ πόλεις καθαιρεθήσονται παρὰ τὸ μὴ κατοι-
8 κεῖσθαι αὐτάς. [8]ἐπὶ τούτοις περιζώσασθε σάκκους καὶ κόπτεσθε καὶ
9 ἀλαλάξατε, διότι οὐκ ἀπεστράφη ὁ θυμὸς Κυρίου ἀφ' ὑμῶν. [9]καὶ
ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος, ἀπολεῖται ἡ καρδία τοῦ βασι-
λέως καὶ ἡ καρδία τῶν ἀρχόντων, καὶ οἱ ἱερεῖς ἐκστήσονται καὶ οἱ
10 προφῆται θαυμάσονται. [10]καὶ εἶπα Ὦ δέσποτα Κύριε, ἆρά γε ἀπα-
τῶν ἠπάτησας τὸν λαὸν τοῦτον καὶ τὴν Ἰερουσαλήμ, λέγων Εἰρήνη
11 ἔσται, καὶ ἰδοὺ ἥψατο ἡ μάχαιρα ἕως τῆς ψυχῆς αὐτῶν; [11]ἐν τῷ καιρῷ
ἐκείνῳ ἐροῦσιν τῷ λαῷ τούτῳ καὶ τῇ Ἰερουσαλὴμ Πνεῦμα πλανήσεως
ἐν τῇ ἐρήμῳ, ὁδὸς τῆς θυγατρὸς τοῦ λαοῦ μου οὐκ εἰς καθαρὸν οὐδ' εἰς
12 ἅγιον. [12]πνεῦμα πληρώσεως ἥξει μοι· νῦν δὲ ἐγὼ λαλῶ κρίματα πρὸς
13 αὐτούς. [13]ἰδοὺ ὡς νεφέλη ἀναβήσεται, καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐ-
τοῦ, κουφότεροι ἀετῶν οἱ ἵπποι αὐτοῦ· οὐαὶ ἡμῖν, ὅτι ταλαιπωροῦμεν.
14 [14]ἀπόπλυνε ἀπὸ κακίας τὴν καρδίαν σου, Ἰερουσαλήμ, ἵνα σωθῇς·
15 ἕως πότε ὑπάρχουσιν ἐν σοὶ διαλογισμοὶ πόνων σου; [15]διότι φωνὴ
ἀγγέλλοντος ἐκ Δὰν ἥξει, καὶ ἀκουσθήσεται πόνος ἐξ ὄρους Ἐφράιμ.
16 [16]ἀναμνήσατε ἔθνη, ἰδοὺ ἥκασιν· ἀναγγείλατε ἐν Ἰερουσαλὴμ Συστρο-
φαὶ ἔρχονται ἐκ γῆς μακρόθεν καὶ ἔδωκαν ἐπὶ τὰς πόλεις Ἰούδα φω-
17 νὴν αὐτῶν. [17]ὡς φυλάσσοντες ἀγρὸν ἐγένοντο ἐπ' αὐτὴν κύκλῳ, ὅτι
18 ἐμοῦ ἠμέλησας, λέγει Κύριος. [18]αἱ ὁδοί σου καὶ τὰ ἐπιτηδεύματά

5 συ̃|αχθητε B* συ|ναχθ. B? | εισελθωμεν] εισελθατε A | πολις ℵ* (-λεις ℵAQ ℵ$^{c.b}$): item 7 | τειχηρεις (pr σ ℵ*)] οχυρας A 6 Σιων B^{b}ℵAQ | εγω κακα A 7 ανεβη̄ ℵ$^{c.a}$ (repos -βη) | μανδρας] pr της ℵAQ | εξολοθρευων B^{b} εξω|λεθρευων ℵ pr και Q | γην]+σου Q | πολεις] αι π. σου Q | αυτας] την γην εις ερημωσιν πολις κατερεθησονται (uncis incl εις ερημωσιν . . καθερ. [sic] et pro την γην corr αυτας ℵ$^{c.a}$) ℵ* 8 αλαλαξετε] αλλαξατε A | ουκ] ου πεστραφη ℵ* (ουκ απ. ℵ$^{c.a}$) | ο θυμος]+οργης Q | υμων] ημων ℵ* (υμ. ℵ$^{c.a}$) 9 λεγει] λ superscr B^{ab} | καρδια 1°] καρ|α ℵ* (-δια ℵ$^{c.b}$) | om και οι προφ. θαυμασονται A | om θαυμασονται ℵ* (hab ℵ$^{iam\ ante\ c.c}$) 10 ειπαν A | εσται]+υμιν AQ | om ιδου ℵ* (hab ℵ$^{c.a}$) AQ | ηψατο] αψεται Q | εως] ως ℵ* (εως ℵ$^{c.a}$) 11 εκεινω] ω sup ras ℵ^{1} τουτω A | καθαρον] ο sup ras ℵ^{1} (prius α ut vid) | ουδ] ουδε Q 12 πληρωσεως]+α'σ'θ' ※ απο τουτων Q^{mg} | δε]+α'σ'θ' ※ και Q^{mg} | λαλω] λαλησω Q | κριματα]+μου Q | αυτους] ου sup ras B$^{1\ fort}$ 13 αυτου 1°] αυτω ℵ* (-του ℵ$^{iam\ 1}$) αυτων A | αυτου 2°] αυτων ℵA | ημιν] υμιν A 14 αποπλυναι ℵ$^{c.b}$AQ | υπαρξουσιν AQ | διαλογισμοι] λογισμοι B^{ab}ℵ (-γεισμ. ℵ*) Q 15 αγγελλοντος] αναγγελλ. ℵAQ | ηξει]+μοι Q | Εφρεμ ℵ 16 συστροφαι] pr ιδου ℵ$^{c.a}$ (postea improb) | om και ℵ* (hab ς ℵ$^{c.a}$) | πολις ℵ* (-λεις ℵ$^{c.b}$) | φωνας Q 17 εγενοντο] εγενετο ℵ

B σου ἐποίησαν ταῦτά σοι· αὕτη ἡ κακία σου, ὅτι πικρά, ὅτι ἥψατο ἕως
τῆς καρδίας σου. 19 Τὴν κοιλίαν μου ἀλγῶ, καὶ τὰ αἰσθητήρια 19
τῆς καρδίας μου μαιμάσσει ἡ ψυχή μου, σπαράσσεται ἡ καρδία μου·
οὐ σιωπήσομαι, ὅτι φωνὴν σάλπιγγος ἤκουσεν ἡ ψυχή μου, κραυγὴν
πολέμου. 20 καὶ ταλαιπωρίαν συντριμμὸν ἐπικαλεῖται, ὅτι τεταλαιπώ- 20
ρηκεν πᾶσα ἡ γῆ, ἄφνω τεταλαιπώρηκεν ἡ σκηνή, διεσπάσθησαν αἱ
δέρρεις μου. 21 ἕως πότε ὄψομαι φεύγοντας, ἀκούων φωνὴν σαλ- 21
πίγγων; 22 διότι οἱ ἡγούμενοι τοῦ λαοῦ μου ἐμὲ οὐκ ᾔδεισαν· υἱοὶ 22
ἄφρονές εἰσιν καὶ οὐ συνετοί, σοφοί εἰσιν τοῦ κακοποιῆσαι, τὸ δὲ
καλῶς ποιῆσαι οὐκ ἐπέγνωσαν. 23 Ἐπέβλεψα ἐπὶ τὴν γῆν, καὶ 23
ἰδοὺ οὐθέν, καὶ εἰς τὸν οὐρανόν, καὶ οὐκ ἦν τὰ φῶτα αὐτοῦ. 24 εἶδον 24
τὰ ὄρη καὶ ἦν τρέμοντα, καὶ πάντας τοὺς βουνοὺς ταρασσομένους.
25 ἐπέβλεψα, καὶ ἰδοὺ οὐκ ἦν ἄνθρωπος, καὶ πάντα τὰ πετεινὰ τοῦ 25
οὐρανοῦ ἐπτοεῖτο. 26 εἶδον, καὶ ἰδοὺ ὁ Κάρμηλος ἔρημος, καὶ πᾶσαι 26
αἱ πόλεις ἐμπεπυρισμέναι ἀπὸ προσώπου Κυρίου, καὶ ἀπὸ προσώπου
ὀργῆς θυμοῦ αὐτοῦ ἠφανίσθησαν. 27 τάδε λέγει Κύριος Ἔρημος ἔσται 27
πᾶσα ἡ γῆ, συντέλειαν δὲ οὐ μὴ ποιήσω. 28 ἐπὶ τούτοις πενθείτω ἡ 28
γῆ, καὶ συνσκοτασάτω ὁ οὐρανὸς ἄνωθεν· διότι ἐλάλησα καὶ οὐ μετα-
νοήσω, ὥρμησα καὶ οὐκ ἀποστρέψω ἀπ᾽ αὐτῆς. 29 ἀπὸ φωνῆς ἱπ- 29
πέως καὶ ἐντεταμένου τόξου ἀνεχώρησεν πᾶσα χώρα· εἰσέδυσαν εἰς
τὰ σπήλαια, καὶ εἰς τὰ ἄλση ἐκρύβησαν, καὶ ἐπὶ τὰς πέτρας ἀνέβησαν·
πᾶσα πόλις ἐνκατελείφθη, οὐ κατῴκει ἐν αὐταῖς ἄνθρωπος. 30 καὶ σὺ 30
τί ποιήσεις ἐὰν περιβάλῃ κόκκινον καὶ κοσμήσῃ κόσμῳ χρυσῷ, ἐὰν
ἐνχρίσῃ στίβι τοὺς ὀφθαλμούς σου; εἰς μάταιον ὁ ὡραισμός σου·

ℵAQ 19 μου 1°] + την κοιλιαν μου ℵc.aAQ | om μαιμασσει (? με μασσει)...καρδια μου ℵ* (hab ℵc.a) | ψυχη 1°] pr ÷ Q? | η καρδια] pr και ℵc.aQ | σιωπησεται Q* (-σομαι Qa) | κραγην ℵ* (κραυγ. ℵc.a, c.b) 20 και] pr ÷ Q? | ταλαιπωριας Q | συντριμμον] pr και A + ※ επι συντριμμῷ Qmg | η σκηνη] σκηναι A | δερρεις] δερις ℵ -ρρις ℵc.a (-ρρεις ℵc.b) δερεις Q* 21 φευγοντες (α ras) ℵ1 | ακουων] ακουω Q* ακουσω (σ superscr) Qa 22 συνετοι] + α′ ※ εισι̅ Qmg | καλως] καλον ℵA | ποιησαι] ποιουντες A | επεγνωσαν] εγνωσαν A 23 om γην ℵ* (hab ℵc.a) | ουθεν] pr α′σ′θ′ ※ κενη και Qmg 24 ιδον ℵAQ 25 ην] υπηρχεν Q | επτοειτο] επτοηντο ℵc.aQ 26 ειδον] ιδον A | πολις ℵ* (-λεις ℵc.b) | εμπεπυρισμεναι (ενπυρισμενε ℵ* ενπεπυρ. ℵc.a -ναι ℵc.b)] + πυρι AQ | ηφανισθησαν] pr ÷ Q? 27 συντελιαν ℵ* (-λειαν ℵc.b) 28 συσκοτασατω Bbℵc.a, c.b συσκοτασετω ℵ*AQ 29 ανεχωρησαν ℵ* (-σεν ℵc.a) | πασα 1°] + η Q | σπηλαια] α 2° rescr A1 | om και επι τας πετρας ανεβησαν ℵ* (hab και επι τας π. ανεβ. ℵc.a) | επι] εις A | εγκατελειφθη BabAQ | κατωκει] κατοικησει A κατοικει Q 30 συ] + α′θ′ ※ ταλαιπωρος Qmg | κο|κινα ℵ κοκκινα ℵc.a | εαν 2°] pr και ℵAQ | εγχριση Bb (εγχρεισ. Ba) Q* εκχρισης ℵc.a χριση Qa | στιβι] στιμη A στειμι Q | ματαιον] ματην AQ

31 ἀπώσαντό σε οἱ ἐρασταί σου, τὴν ψυχήν σου ζητοῦσιν. 31 ὅτι φωνὴν B
ὡς ὠδινούσης ἤκουσα τοῦ στεναγμοῦ σου, ὡς πρωτοτοκούσης· φωνὴ
θυγατρὸς Σειὼν ἐκλυθήσεται, καὶ παρήσει τὰς χεῖρας αὐτῆς Οἴμοι ἐγώ,
ὅτι ἐκλείπει ἡ ψυχή μου ἐπὶ τοῖς ἀνῃρημένοις.
V 1 1 Περιδράμετε ἐν ταῖς ὁδοῖς Ἰερουσαλήμ, καὶ ἴδετε καὶ γνῶτε καὶ ζη-
τήσατε ἐν ταῖς πλατείαις αὐτῆς, ἐὰν εὕρητε, εἰ ἔστιν ποιῶν κρίμα καὶ
2 ζητῶν πίστιν, καὶ ἵλεως ἔσομαι αὐτοῖς, λέγει Κύριος. 2 Ζῇ Κύριος,
3 λέγουσιν· διὰ τοῦτο οὐκ ἐν ψεύδεσιν ὀμνύουσιν. 3 Κύριε, οἱ ὀφθαλμοί
σου εἰς πίστιν· ἐμαστίγωσας αὐτοὺς καὶ οὐκ ἐπόνεσαν, συνετέλεσας
αὐτοὺς καὶ οὐκ ἠθέλησαν δέξασθαι παιδείαν, ἐστερέωσαν τὰ πρόσωπα
4 αὐτῶν ὑπὲρ πέτραν καὶ οὐκ ἠθέλησαν ἐπιστραφῆναι. 4 καὶ ἐγὼ εἶπα
Ἴσως πτωχοί εἰσιν, διότι οὐκ ἐδυνάσθησαν, ὅτι οὐκ ἔγνωσαν ὁδὸν
5 Κυρίου καὶ κρίσιν θεοῦ· 5 πορεύσομαι πρὸς τοὺς ἁδροὺς καὶ λαλήσω
αὐτοῖς, ὅτι αὐτοὶ ἐπέγνωσαν ὁδὸν Κυρίου καὶ κρίσιν θεοῦ· καὶ ἰδοὺ
6 ὁμοθυμαδὸν συνέτριψαν ζυγόν, διέρρηξαν δεσμούς. 6 διὰ τοῦτο ἔπαι-
σεν αὐτοὺς λέων ἐκ τοῦ δρυμοῦ, καὶ λύκος ἕως τῶν οἰκιῶν ὠλόθρευσεν
αὐτούς, καὶ πάρδαλις ἐγρηγόρησεν ἐπὶ τὰς πόλεις αὐτῶν· πάντες οἱ
ἐκπορευόμενοι ἀπ᾽ αὐτῶν θηρευθήσονται, ὅτι ἐπλήθυναν ἀσεβείας αὐ-
7 τῶν, ἴσχυσαν ἐν ταῖς ἀποστροφαῖς αὐτῶν. 7 ποίᾳ τούτων ἵλεως γέ-
νωμαί σοι; οἱ υἱοί σου ἐγκατέλιπόν με καὶ ὤμνυον ἐν τοῖς οὐκ οὖσιν
θεοῖς· καὶ ἐχόρτασα αὐτούς, καὶ ἐμοιχῶντο καὶ ἐν οἴκοις πορνῶν κατέ-
8 λυον. 8 ἵπποι θηλυμανεῖς ἐγενήθησαν, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ
9 πλησίον αὐτοῦ ἐχρεμέτιζεν. 9 μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι; λέγει
10 Κύριος· ἢ ἐν ἔθνει τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; 10 Ἀνά-
βητε ἐπὶ τοὺς προμαχῶνας αὐτῆς καὶ κατασκάψατε, συντέλειαν δὲ
μὴ ποιήσητε· ὑπολίπεσθε τὰ ὑποστηρίγματα αὐτῆς, ὅτι τοῦ κυρίου

30 ζητουσιν] ζητησουσιν ℵAQ **31** φωνη] φωνης ℵ$^{c.a}$ | Σιων B^{b}ℵAQ ℵAQ
V **1** ιδετε] + α′ ※ δη Q^{mg} | ευρητε] + ανδρα ℵ$^{c.c}$Q | αυτοις] αυτη Q* (-τοις Q^{mg})
2 improb ουκ Q? | εν] επι ℵAQ **3** Κυριε] και A | om και ουκ επονεσαν
συνετελεσας αυτους ℵ* (hab ℵ$^{c.a}$) | συν|ετελεσας B* συ|νετ. B? | παιδιαν ℵ
(πεδ. ℵ* παιδ. ℵ$^{c.b}$) A | εστερεωσαν] εστερεωθησαν A **4** διοτι] δια
τουτο A | εδυνασθησαν] ηδυνασθησαν ℵ ηδυνηθησαν AQ **5** λαλησω] λαλη
ℵ* + σω ℵ$^{c.a}$ | αυτοις] προς αυτους A | ιδου] + α′θ′ ※ αυτοι Q^{mg} | διερηξαν ℵ*
(διερρ. ℵ$^{c.a, c.b}$) **6** επαισεν] επεσεν BℵA | του δρυμου] om του A |
ωλαθρευσεν ℵ (-θρεσ. ℵ* -θρευσ. ℵ$^{c.a}$) AQ | παρδαλε B* vid (-λις B^{ab}) | πολις
ℵ* (-λεις ℵ$^{c.b}$) | θηρευθησονται] θηρευσο̄|ται A | ισχυσαν] pr και A **7** γενω-
μαι] εσομε ℵ* (-μαι ℵ$^{c.b}$) | εγκατελιπον B^{b}Q^{a} εγκατελειπον AQ* | ουκ ουσιν
(-σι ℵAQ)] οικουσιν B^{vid} | εμοιχοντο A | κατελυον] κατελυοντο A κατελυοσαν
Q **8** θηλυμανεις] + σ′ ※ ελκομενοι Q^{mg} | εχρεμετιζον A **9** επι-
σκεψωμαι A | εκδικηση ℵ **10** αναβησεται ℵ* (αναβηται ℵ$^{c.a}$) | κατα-
σκαψετε ℵ | συντελιαν ℵ* (-λειαν ℵ$^{c.b}$) | μη] pr ου ℵA | ποιησητε] incep
ποιησε ℵ* (-σηται ℵ$^{lam\ 1}$) ποιησετε A | υπολειπεσθε AQ

B εἰσίν. [11]ὅτι ἀθετῶν ἠθέτησεν εἰς ἐμέ, λέγει Κύριος, οἶκος Ἰσραήλ, 11
καὶ οἶκος Ἰούδα [12]ἐψεύσατο τῷ κυρίῳ ἑαυτῶν, καὶ εἶπαν Οὐκ ἔστιν 12
ταῦτα· οὐχ ἥξει ἐφ' ἡμᾶς κακά, καὶ μάχαιραν καὶ λιμὸν οὐκ ὀψόμε-
θα· [13]οἱ προφῆται ἡμῶν ἦσαν εἰς ἄνεμον, καὶ λόγος Κυρίου οὐχ ὑπῆρ- 13
χεν ἐν αὐτοῖς· οὕτως ἔσται αὐτοῖς. [14]διὰ τοῦτο τάδε λέγει Κύριος 14
Παντοκράτωρ Ἀνθ' ὧν ἐλαλήσατε τὸ ῥῆμα τοῦτο, ἰδοὺ ἐγὼ δέδωκα
τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ, καὶ τὸν λαὸν τοῦτον ξύλα,
καὶ καταφάγεται αὐτούς. [15]ἰδοὺ ἐγὼ ἐπάγω ἐφ' ὑμᾶς ἔθνος πόρ- 15
ρωθεν, οἶκος Ἰσραήλ, λέγει Κύριος, ἔθνος οὗ οὐκ ἀκούσει τῆς φωνῆς
τῆς γλώσσης αὐτοῦ· [16]πάντες ἰσχυροί, καὶ κατέδονται τὸν θερισμὸν 16
ὑμῶν [17]καὶ τοὺς ἄρτους ὑμῶν, καὶ κατέδονται τοὺς υἱοὺς ὑμῶν καὶ 17
τὰς θυγατέρας ὑμῶν, καὶ κατέδονται τὰ πρόβατα ὑμῶν καὶ τοὺς
μόσχους ὑμῶν, καὶ κατέδονται τοὺς ἀμπελῶνας ὑμῶν καὶ τοὺς συ-
κῶνας ὑμῶν καὶ τοὺς ἐλαιῶνας ὑμῶν· καὶ ἀλοήσουσιν τὰς πόλεις, τὰς
πόλεις τὰς ὀχυρὰς ὑμῶν, ἐφ' αἷς ὑμεῖς πεποίθατε ἐπ' αὐταῖς, ἐν
ῥομφαίᾳ. [18]καὶ ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις, λέγει Κύριος ὁ θεός 18
σου, οὐ μὴ ποιήσω ὑμᾶς εἰς συντέλειαν. [19]καὶ ἔσται ὅταν εἴπητε 19
Τίνος ἕνεκεν ἐποίησεν Κύριος ὁ θεὸς ἡμῶν ἡμῖν πάντα ταῦτα; καὶ
ἐρεῖς αὐτοῖς Ἀνθ' ὧν ἐδουλεύσατε θεοῖς ἀλλοτρίοις ἐν τῇ γῇ ὑμῶν,
οὕτως δουλεύσετε ἀλλοτρίοις ἐν γῇ οὐχ ὑμῶν. [20]Ἀναγγείλατε 20
ταῦτα εἰς τὸν οἶκον Ἰακώβ, καὶ ἀκουσθήτω ἐν τῷ Ἰούδᾳ. [21]ἀκού- 21
σατε δὴ ταῦτα, λαὸς μωρὸς καὶ ἀκάρδιος· ὀφθαλμοὶ αὐτοῖς καὶ οὐ
βλέπουσιν, ὦτα αὐτοῖς καὶ οὐκ ἀκούουσιν. [22]μὴ ἐμὲ οὐ φοβηθή- 22
σεσθε; λέγει Κύριος, ἢ ἀπὸ προσώπου μου οὐκ εὐλαβηθήσεσθε; τὸν

ℵAQ

11 αθετων] pr ο Q* | om λεγει κ̅ς̅ ℵAQ | οικος bis] pr ο ℵQ | Ισραηλ] + α' σ' θ' ※ φησι κ̅ς̅ Qmg **12** εψευσαντο ℵQ | εαυτων] αυτων ℵAQ | om και 2° ℵ **13** ημων] υμων Qa vid | om και ℵ* (hab ℵc.a) | λογον ℵ* (-γος ℵc.a) | om ουτως εσται αυτοις A **15** πορωθεν ℵ* (πορρ. ℵiam ante c.a) | Κυριος] + θ' ※ εθνος αρχαιον εστιν εθνος απ αιωνος εστι| Qmg | ουκ ακουσει] ουκ ακουση ℵAQa (ουκ ουση Q*) | φωνης] α' (ut vid) σ' θ' γλωσσης Qmg | om της γλωσσης AQ **15** αυτου] + α' θ' ※ ουδε μη ακουσης α λαλει (16) η φαρετρα αυτου ως ταφος ανεωγμενος Qmg **16—17** om και κατεδονται... τους αρτους υμων ℵ* (hab ℵc.a) **16** υμων] αυτων A **17** αρτους] αγρους ℵc.a | τα προβατα] τους μοσχους Q | τους μοσχους] τα προβατα Q | om υμων 5° A | om και τους ελαιωνας υμων ℵ* (hab ℵc.a) | αλοησωσιν Q | πολεις 1°] + υμων Q | om τας πολεις (2°) BbℵAQ | om υμων 9° Q | αυτας ℵ* (-ταις ℵc.a) **18** om εσται ℵ | om σου ℵ | συντελιαν ℵ* (-λειαν ℵc.b) **19** ενεκεν τινος Q | παντα] απαντα ℵAQ | εδουλευσατε (-σαν ℵ* -σαται ℵc.a)] pr εγκατε|λειπετε με και Q | αλλοτριοις 1°] ετεροις A | om τη γη...εν 2° A | ουτω ℵ | γη 2°] pr τη Q* (om Qa) **20** Ιουδα] pr οικω Qmg + θ' ※ λεγω̅| Qmg **21** om δη ℵ | ακαρδιος] + θ' ※ οις Qmg **22** η] μη A | προσωπου] pr του Q

τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ, πρόσταγμα αἰώνιον, καὶ οὐχ ὑπερ- B
βήσεται αὐτό, καὶ ταραχθήσεται, καὶ οὐ δυνήσεται, καὶ ἠχήσουσιν τὰ
23 κύματα αὐτῆς καὶ οὐχ ὑπερβήσεται αὐτό. [23]τῷ δὲ λαῷ τούτῳ ἐγενήθη
24 καρδία ἀνήκοος καὶ ἀπειθής, καὶ ἐξέκλιναν καὶ ἀπήλθοσαν. [24]καὶ
οὐκ εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν Φοβηθῶμεν δὴ Κύριον τὸν θεὸν ἡμῶν,
τὸν διδόντα ἡμῖν ὑετὸν πρόιμον καὶ ὄψιμον κατὰ καιρὸν πληρώσεως
25 προστάγματος θερισμοῦ, καὶ ἐφύλαξεν ἡμῖν. [25]αἱ ἀνομίαι ὑμῶν ἐξέ-
κλιναν ταῦτα, καὶ αἱ ἁμαρτίαι ὑμῶν ἀπέστησαν τὰ ἀγαθὰ ἀφ' ὑμῶν.
26 [26]ὅτι εὑρέθησαν ἐν τῷ λαῷ μου ἀσεβεῖς, καὶ παγίδας ἔστησαν τοῦ
27 διαφθεῖραι ἄνδρας, καὶ συνελαμβάνοσαν. [27]ὡς παγὶς ἐφεσταμένη
πλήρης πετεινῶν, οὕτως οἱ οἶκοι αὐτῶν πλήρεις δόλου· διὰ τοῦτο
28 ἐμεγαλύνθησαν καὶ ἐπλούτησαν, [28]καὶ παρέβησαν κρίσιν, οὐκ ἔκρι-
29 ναν κρίσιν ὀρφανοῦ, καὶ κρίσιν χήρας οὐκ ἐκρίνοσαν. [29]μὴ ἐπὶ
τούτοις οὐκ ἐπισκέψομαι; λέγει Κύριος, ἢ ἐν ἔθνει τῷ τοιούτῳ οὐκ ἐκ-
30 δικήσει ἡ ψυχή μου; [30]Ἔκστασις καὶ φρικτὰ ἐγενήθη ἐπὶ τῆς
31 γῆς. [31]οἱ προφῆται προφητεύουσιν ἄδικα, καὶ οἱ ἱερεῖς ἐπεκρότησαν
ταῖς χερσὶν αὐτῶν, καὶ ὁ λαός μου ἠγάπησεν οὕτως· καὶ τί ποιήσητε
εἰς τὰ μετὰ ταῦτα;

VI 1 [1]Ἐνισχύσατε, υἱοὶ Βενιαμείν, ἐκ μέσου τῆς Ἰερουσαλήμ, καὶ ἐν
Θεκοῦε σημάνατε σάλπιγγι, καὶ ὑπὲρ Βαιθθαχαρμὰ ἄρατε σημεῖον·
2 ὅτι κακὰ ἐκκέκυφεν ἀπὸ βορρᾶ, καὶ συντριβὴ μεγάλη γίνεται, [2]καὶ
3 ἀφαιρεθήσεται τὸ ὕψος σου, θυγάτηρ Σειών. [3]εἰς αὐτὴν ἥξουσιν
ποιμένες καὶ τὰ ποίμνια αὐτῶν, καὶ πήξουσιν ἐπ' αὐτὴν σκηνὰς
4 κύκλῳ, καὶ ποιμανοῦσιν ἕκαστος τῇ χειρὶ αὐτοῦ. [4]παρασκευάσασθε

22 αμον ℵ* (αμμ. ℵ[1 (vid), c.b]) | οριον] εριον A | δυνησεται] δυνηθησεται A | ℵAQ
ηχησουσιν] ισχυσουσιν ℵ | υπερβησεται] υπερησετε ℵ* (υπερβ. ℵ[c.a] -ται ℵ[c.b])
23 om και 2° B[* vid] (hab B[b]) Q **24** ειπαν ℵ (ιπ. ℵ* ειπ. ℵ[c.b]) AQ | αυτων]
αυτης A | Κυριον τον] τον κ̅ν̅ ℵ | ημιν 1°] υμιν ℵAQ | πρωιμον B[b]Q **25** υμων
1°] ημων ℵ* (υμ. ℵ[c.a]) | απεστησαν] εξαπεστ. A **26** ασεβεις] ασεβειαι A |
om και 1° A | παγιδας (γιδας sup ras ℵ[1])] + σ'θ' ※ ως δικτυο̅| ιξευτου Q[mg] | του
διαφθειραι] om του ℵAQ **27** εφεσταμενη (επ. A)] συνεσταμενη ℵ | πλη-
ρεις] πληρης ℵQ **28** και 1°] pr α'σ'θ ※ ελιπανθησαν εστεατωθησαν
Q[mg] | παρεβησαν] + σ'θ' ※ τους λογους μου εις πονηρον Q[mg] | ορφανου] + α'σ'θ'
※ κατευθυνα| Q[mg] **29** om εν ℵ* (hab ℵ[c.a]) A | τω τοιουτω] om τω
ℵAQ | εκδικι ℵ* (-κησι ℵ[c.a]) **30** εκτασις A **31** επεκρωτησαν ℵ*
(επεκροτ. ℵ[1 (vid), c.a]) | μου (ου ℵ* μ. ℵ[1 (vid)])] om A | ηγαπησαν A | ποιησητε]
ποιησετε B[ab]Q ποιησεται ℵA | μετα ταυτα] μετ αυτα ℵ VI 1 Βενιαμιν
ℵQ[a] | εν] εκ A | σημανατε] incep σο ℵ* (σημ. ℵ[1 (vid)]) | Βαιθθαχαρμα] Βεθθα-
χαρμα ℵ Βηθθαχαρ A Βηθαχαρμα Q | βαρρα ℵ* (βορρ. ℵ[c.a]) **2** om και
Q* (hab Q[mg]) | το υψος σου] α'θ' ※ την ωραιαν ϗ την τρυφεραν Q[mg] | θυγατερ
Q | Σιων B[b]ℵAQ **3** τη χειρι] την χειρα ℵ (χιρ. ℵ* χειρ. ℵ[c.b]) | αυτου]
αυτων A ※ το ποιμνιο̅| αυτου Q[mg]

B ἐπ᾽ αὐτὴν εἰς πόλεμον, ἀνάστητε καὶ ἀναβῶμεν ἐπ᾽ αὐτὴν μεσημ-
βρίας· οὐαὶ ἡμῖν, ὅτι κέκλικεν ἡ ἡμέρα, ὅτι ἐκλείπουσιν αἱ σκιαὶ τῆς
ἡμέρας. 5 ἀνάστητε καὶ ἀναβῶμεν ἐπ᾽ αὐτὴν νυκτί, καὶ διαφθείρωμεν 5
τὰ θεμέλια αὐτῆς. 6 ὅτι τάδε λέγει Κύριος Ἔκκοψον τὰ ξύλα αὐτῆς, 6
ἔκχεον ἐπὶ Ἰερουσαλὴμ δύναμιν· ὢ πόλις ψευδής, ὅλη καταδυναστεία
ἐν αὐτῇ. 7 ὡς ψύχει λάκκος ὕδωρ, οὕτως ψύχει κακία αὐτῆς· ἀσέβεια 7
καὶ ταλαιπωρία ἀκουσθήσεται ἐν αὐτῇ ἐπὶ πρόσωπον αὐτῆς διὰ παντός.
πόνῳ καὶ μάστιγι 8 παιδευθήσῃ, Ἰερουσαλήμ· μὴ ἀποστῇ ἡ ψυχή μου 8
ἀπὸ σοῦ, μὴ ποιήσω σε ἄβατον γῆν ἥτις οὐ κατοικισθῇ. 9 Ὅτι 9
τάδε λέγει Κύριος Καλαμᾶσθε καλαμᾶσθε ὡς ἄμπελον τὰ κατάλοιπα
τοῦ Ἰσραήλ, ἐπιστρέψατε ὡς ὁ τρυγῶν ἐπὶ τὸν κάρταλλον αὐτοῦ.
10 πρὸς τίνα λαλήσω καὶ διαμαρτύρωμαι, καὶ ἀκούσεται; ἰδοὺ ἀπερί- 10
τμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δυνήσονται ἀκούειν· ἰδοὺ τὸ ῥῆμα Κυρίου
ἐγένετο αὐτοῖς εἰς ὀνειδισμόν, οὐ μὴ βουληθῶσιν αὐτό. 11 καὶ τὸν 11
θυμόν μου ἔπλησα καὶ ἐπέσχον, καὶ οὐ συνετέλεσα αὐτούς· ἐκχεῶ
ἐπὶ νήπια ἔξωθεν, ἐπὶ συναγωγὴν νεανίσκων ἅμα, ὅτι ἀνὴρ καὶ γυνὴ
συνλημφθήσονται, πρεσβύτερος μετὰ πλήρους ἡμερῶν· 12 καὶ μετα- 12
στραφήσονται αἱ οἰκίαι αὐτῶν εἰς ἑτέρους, ἀγροὶ καὶ αἱ γυναῖκες
αὐτῶν ἐπὶ τὸ αὐτό, ὅτι ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τοὺς κατοικοῦντας
τὴν γῆν ταύτην, λέγει Κύριος. 13 ὅτι ἀπὸ μικροῦ αὐτῶν καὶ ἕως 13
μεγάλου πάντες συνετελέσαντο ἄνομα, ἀπὸ ἱερέως ἕως ψευδοπροφήτου
πάντες ἐποίησαν ψευδῆ. 14 καὶ ἰῶντο τὸ σύντριμμα τοῦ λαοῦ μου, 14
ἐξουθενοῦντες καὶ λέγοντες Εἰρήνη εἰρήνη· καὶ ποῦ ἐστιν εἰρήνη;
15 κατῃσχύνθησαν ὅτι ἐξελίποσαν· καὶ οὐδ᾽ ὡς καταισχυνόμενοι 15
κατῃσχύνθησαν, καὶ τὴν ἀτιμίαν αὐτῶν οὐκ ἔγνωσαν· διὰ τοῦτο

ℵAQ 4 μεσημβιας ℵ* (-βρ. ℵc.a, c.b) | ημερας] εσπερας AQ 5 αναβωμεν] διαβωμεν A | επ αυτην] om ℵAQ | νυκτι] pr εν τη ℵAQ 6 Κυριος] + των δυναμεων Q | εκκοψατε Q | ξυλα] θεμελια Q | ψευδη ℵ (-δης ℵc.c) | καταδυναστια ℵ 7 υδωρ] + αυτου Q | κακεια AQ | ασεβια ℵ 8 ηστις ℵ | κατοικισθη] κατοικηθησεται ℵAQ* κατωκισθη Qmg 9 Κυριος] + των δυναμεω̄| Q | επιστρεψατε] επιστραφητε Qmg | καρταλον ℵ 10 διαμαρτυρομαι AQ | αυτων] υμων ℵA | δυνησονται] δυνα|τε ℵ* (-ται ℵc.b) δυνασθαι A δυνωνται Q | ου 2°] pr και A | βουληθωσιν] βουλωντε ℵ* (-ληθωσιν ℵc.a) | αυτο] + ακουσαι ℵc.a AQ 11 επλησαν ℵQ* (a signo improb Q? vid) | επι 2°] pr και Bab mg ℵAQ | συ|αγωγην B* συ|ναγ. B? | συλλημφθησονται BbAQ | πρεσβυτερος] πρεσ (sup ras) et βυ rescr Bab πρεσβυτης Qmg | μετα] pr και A 12 και μεταστραφησονται] α′ ⁜ κ συλληφθησονται Qmg | αι γυναικες] om αι ℵ | om τους κατοικουντας ℵ* (hab ℵc.a) 13 om και ℵ | εως 1°] ως ℵ* (εως ℵc.a) om A | συνετελεσαντο] συνετελεσαν AQ | ανομα] pr τα Q | εως 2°] pr και AQ 14 του λαου] pr σ′ ⁜ της θυγατρος Qmg 15 κατησχυνθησαν 1°] καταισχ. ℵ (-εσχ. ℵ* -αισχ. ℵc.b) | εξελειποσαν ℵc.b AQa α′σ′θ′ ⁜ εποιησαν Qmg | κατησχυνθησαν 2°] ησχυνθησαν ℵAQ | εγνωσαν] επεγνωσαν ℵ

πεσοῦνται ἐν τῇ πτώσει αὐτῶν, καὶ ἐν καιρῷ ἐπισκοπῆς ἀπολοῦνται, B
16 εἶπεν Κύριος. [16]Τάδε λέγει Κύριος Στῆτε ἐπὶ ταῖς ὁδοῖς καὶ
ἴδετε καὶ ἐρωτήσατε τρίβους Κυρίου αἰωνίους, καὶ ἴδετε ποία ἐστὶν
ἡ ὁδὸς ἡ ἀγαθή, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνισμὸν ταῖς
17 ψυχαῖς ὑμῶν· καὶ εἶπαν Οὐ πορευσόμεθα. [17]καθέστακα ἐφ᾿ ὑμᾶς
σκοπούς, ἀκούσατε τῆς φωνῆς τῆς σάλπιγγος· καὶ εἶπαν Οὐκ ἀκου-
18 σόμεθα. [18]διὰ τοῦτο ἤκουσαν τὰ ἔθνη, καὶ οἱ ποιμαίνοντες τὰ ποίμνια
19 αὐτῶν. [19]ἄκουε, γῆ· ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακά, τὸν
καρπὸν ἀποστροφῆς αὐτῶν· ὅτι τῶν λόγων μου οὐ προσέσχον, καὶ
20 τὸν νόμον μου ἀπώσαντο. [20]ἵνα τί μοι λίβανον ἐκ Σαβὰ φέρετε
καὶ κιννάμωμον ἐκ γῆς μακρόθεν; τὰ ὁλοκαυτώματα ὑμῶν οὐκ εἰ-
21 σὶν δεκτά, καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἥδυνάν μοι. [21]διὰ τοῦτο τάδε
λέγει Κύριος Ἰδοὺ ἐγὼ δίδωμι ἐπὶ τὸν λαὸν τοῦτον ἀσθενίαν, καὶ
ἀσθενήσουσιν πατέρες καὶ υἱοὶ ἅμα, γείτων καὶ ὁ πλησίον αὐτοῦ
22 ἀπολοῦνται. [22]Τάδε λέγει Κύριος Ἰδοὺ λαὸς ἔρχεται ἀπὸ βορρᾶ,
23 καὶ ἔθνη ἐγερθήσεται ἀπ᾿ ἐσχάτου τῆς γῆς, [23]τόξον καὶ ζιβύνην
κρατήσουσιν· ἰταμός ἐστιν, καὶ οὐκ ἐλεήσει· φωνὴ αὐτοῦ ὡς θάλασσα
κυμαίνουσα, ἐφ᾿ ἵπποις καὶ ἅρμασιν παρατάξεται ὡς πῦρ εἰς πόλεμον
24 πρὸς σέ, θύγατερ Σειών. [24]ἠκούσαμεν τὴν ἀκοὴν αὐτῶν, παρελύ-
θησαν αἱ χεῖρες ἡμῶν, θλίψις κατέσχεν ἡμᾶς, ὠδῖνες ὡς τικτούσης.
25 [25]μὴ ἐκπορεύεσθε εἰς ἀγρὸν καὶ ἐν ταῖς ὁδοῖς μὴ βαδίζετε, ὅτι ῥομφαία
26 τῶν ἐχθρῶν παροικεῖ κυκλόθεν. [26]θυγάτηρ λαοῦ μου, περίζωσαι
σάκκον, κατάπασαι ἐν σποδῷ, πένθος ἀγαπητοῦ ποίησαι σεαυτῇ

15 *πεσουτε* ℵ* (*-ντε* ℵ$^{c.a}$ *-νται* ℵ$^{c.b}$) | *επισκοπης*] + *αυτων* AQ **16** *αιωνιους* ℵAQ *κ̅υ̅* ℵ | *βαδιζετε*] *βαδισατε* (δ sup ras A^{a}) A | *αγνισμον*] *αγιασμον* A **17** *κατεστακα* Bℵ* (*καθ.* ℵ$^{c.a}$) A | *σαπτιγγος* ℵ* (*σαλπ.* ℵ$^{c.b}$) | *ακουσομε* ℵ* (*-σομεθα* ℵ$^{c.a}$) **19** pl rescr ut vid Q? | *ιδου*] Ιοδα ℵ* Ιουδα ℵ$^{c.a}$A | *κακα*] *κατα* ℵ | *καρπον*] *κερον* ℵ* (*καιρ.* ℵ$^{c.b}$) | *των λογων*] *τω λογω* ℵQ *τοις λογοις* A **19—20** *απω|σαντο ινα τ* sup ras B$^{1\,fort,\,ab}$ **20** *ινα τι*] + α′θ′σ′ ※ *τουτο* Q^{mg} | *εξ Σαβα* B* (*εκ Σ.* B^{b}) *εκ Σαβα* rescr Q$^{b?}$ | *κινναμομον* ℵ* (*-μωμον* ℵ$^{c.a,\,c.b}$) | *γη* ℵ* (*γης* ℵ$^{c.a,\,c.b}$): in *γης* rescr *ς* Q$^{b?}$ | *υμων*] μ sup ras A^{a} **21** *ασθενειαν* B^{ab}Q | *ασθενησουσιν*] + *εν αυτη* ℵ$^{c.a}$AQ | *υ|ιοι* B* *υι|οι* B? **22** *εθνη*] *εθνος μεγα* ℵ$^{c.a}$ (postea rursus *εθνη*) A *εθνος* Q^{a} + ※ *μεγα κ̷ βασιλεις πολλοι* Q^{mg} | *εγερθησεται*] *εξεγερθηται* ℵ* *εξεγερθησεται* ℵ$^{c.a}$ (et, nisi potius *-σονται*, ℵ^{1}) A *εξεγερθησονται* Q **23** *κρατησουσιν*] + *αυτης* Q* (improb Q?) | *ιπποις* (*ιπ* ℵ* + *ποις* ℵ$^{c.a}$)] *ιππης* Q* vid | *παραταξε* ℵ* (+ *ται* ℵ$^{c.a}$) | *θυγατηρ* ℵ | *Σιων* B^{b}ℵ$^{c.a,\,c.b}$ (*Σιδω* ℵ*) AQ **24—26** pl rescr ut vid Q? **24** *υμων* ℵ* (*ημ.* ℵ$^{c.a,\,c.b}$) | *κατεσχον* Q **25** *ρομφαια*] pr *η* ℵ | *κυκλωθεν* ℵ* (*-κλοθεν* ℵ$^{c.a,\,c.b}$) **26** *θυγατηρ*] *θυγατερες* ℵ* (*-τηρ* ℵ$^{c.a}$ rurs *-τερες*) *θυγατερ* A (*τ* rescr A^{1}) Q | *περιζωσαι*] *περιζωσασθε* ℵ* (*-σεται* ℵ$^{c.a}$ postea restit *-σασθε*) | *καταπασαι*] pr *και* AQ | *εν σποδω*] *σποδον* AQ | *πενθος*] pr *ως* ℵ$^{c.a}$ | *ποιησον* Q

B κοπετὸν οἰκτρόν, ὅτι ἐξέφνης ἥξει ταλαιπωρία ἐφ᾽ ὑμᾶς. 27δοκι- 27
μαστὴν δέδωκά σε ἐν λαοῖς δεδοκιμασμένοις καὶ γνώσῃ με ἐν τῷ
δοκιμάσαι με τὴν ὁδὸν αὐτῶν· 28πάντες ἀνήκοοι, πορευόμενοι σκολιῶς· 28
χαλκὸς καὶ σίδηρος, πάντες διεφθαρμένοι εἰσίν. 29ἐξέλιπεν φυσητὴρ 29
ἀπὸ πυρός, ἐξέλιπεν μόλιβος· εἰς κενὸν ἀργυροκόπος ἀργυροκοπεῖ,
πονηρία αὐτῶν οὐκ ἐτάκη. 30ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε 30
αὐτούς, ὅτι ἀπεδοκίμασεν αὐτοὺς Κύριος.

2Ἀκούσατε λόγον Κυρίου, πᾶσα ἡ Ἰουδαία. 3τάδε λέγει Κύριος 2 3 VII
ὁ θεὸς Ἰσραήλ Διορθώσατε τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἐπιτηδεύματα ὑμῶν,
καὶ κατοικιῶ ὑμᾶς ἐν τῷ τόπῳ τούτῳ. 4μὴ πεποίθατε ἐφ᾽ ἑαυτοῖς 4
ἐπὶ λόγοις ψευδέσιν, ὅτι τὸ παράπαν οὐκ ὠφελήσουσιν ὑμᾶς λέγοντες
Ναὸς Κυρίου, ναὸς Κυρίου ἐστίν. 5ὅτι ἐὰν διορθοῦντες διορθώσητε 5
τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἐπιτηδεύματα ὑμῶν, καὶ ποιοῦντες ποιήσητε
κρίσιν ἀνὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον τοῦ πλησίον αὐτοῦ, 6καὶ 6
προσήλυτον καὶ ὀρφανὸν καὶ χήραν μὴ καταδυναστεύσητε, καὶ αἷμα
ἀθῷον μὴ ἐκχέητε ἐν τῷ τόπῳ τούτῳ, καὶ ὀπίσω θεῶν ἀλλοτρίων μὴ
πορεύησθε εἰς κακὸν ὑμῖν· 7καὶ κατοικιῶ ὑμᾶς ἐν τῷ τόπῳ τούτῳ ἐν 7
γῇ ᾗ ἔδωκα τοῖς πατράσιν ὑμῶν ἐξ αἰῶνος καὶ ἕως αἰῶνος. 8εἰ δὲ 8
ὑμεῖς πεποίθατε ἐπὶ λόγοις ψευδέσιν ὅθεν οὐκ ὠφεληθήσεσθε, 9καὶ 9
φονεύετε καὶ μοιχᾶσθε καὶ κλέπτετε καὶ ὀμνύετε ἐπ᾽ ἀδίκῳ, καὶ
ἐθυμιᾶτε τῇ Βάαλ καὶ ἐπορεύεσθε ὀπίσω θεῶν ἀλλοτρίων ὧν οὐκ οἴδατε
10τοῦ κακῶς εἶναι ὑμῖν, καὶ ἤλθετε καὶ ἔστητε ἐνώπιον ἐμοῦ ἐν τῷ 10
οἴκῳ οὗ ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτῷ, καὶ εἴπατε Ἀπεσχήμεθα
τοῦ μὴ ποιεῖν πάντα τὰ βδελύγματα ταῦτα. 11μὴ σπήλαιον λῃστῶν 11

ℵAQ 26 εξεφνης (εφνης ℵ* εξ. ℵ$^{1.c.a}$)] εξαιφνης B^{ab}Q? (εξαι sup ras vid) 27 δεδωκα σε] δεδωκατε ℵ* (δεδ. σε ℵ^{c}) 28 χαλκος] pr ως ℵ$^{c.a}$ | παντες 2°] pr και A 29 εξελειπεν (1°) A | πυρος] της γης A | εξελειπεν (2°) ℵ$^{c.b}$A | μολιμος B* (-βος B^{ab}) | μολ. εις καινον· ℵ | πονηριαι Q | ετακησαν Q 30 αποδεδοκισμενον ℵ VII 2 ακουσατε...Ιουδαια] θ' ※ (1) ο λογος ο γενομενος προς Ιερεμιαν παρα κ̅υ̅ λεγων (2) στηθι εν πυλη οικου κ̅υ̅ ϗ αναγνωθι εκει τον λογον τουτον ϗ ερεις ακουσατε το̅| λογον κ̅υ̅ πασα η Ιουδαια οι εισπορευομενοι δια των πυλω̅| τουτων προσκυνειν τω κ̅ω̅ Q^{mg} | Ιουδεα ℵ 3 τα λεγει ℵ* (ταδε λ. ℵ$^{c.b}$) | Κυριος] + των δυναμεων Q | κατοικιω] pr ου A 4 λογοις] ο 1° rescr Q$^{b?}$ | υμας λεγοντες] ας λεγ rescr Q$^{b?}$ 5 om και τα επιτηδευματα υμων A επιτηδ. paene rescr Q$^{b?}$ | και 2°] + α'σ'θ' ※ εαν Q^{mg} | κρισιν] κριμα AQ 6 πορευσησθε A | υμιν] υμων ℵ* (-μιν ℵ$^{c.a, c.b}$) 7 τουτω] υμων ℵQ | γη] pr τη Q 8 δε] + και Q* | ωφελθ. ℵ* ωφεληθ. ℵ$^{c.a}$ 9 om και κλεπτετε ℵ* (hab ℵ$^{c.a}$) | θυμιατε A | om επορευεσθε A | αλλοτριων] + πορευεσθε A 10 κακω ℵ* (-κως ℵ$^{c.a, c.b}$) | ουκ ℵ* (ειναι ℵ$^{c.b}$) | ηλθατε ℵA | εστητε] + εν τω οικω A | εμου] μου ℵAQ | om εν τω οικω A | om μη Q | om τα βδελυγματα ℵ* om τα ℵ$^{c.c}$ | ταυτα] + τα βδελυγματα ℵ$^{c.a}$ παντα A* (improb A$^{a?}$) 11 λῃστων] + σ' ※ εγενετο Q^{mg}

ὁ οἶκός μου οὗ ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτῷ ἐκεῖ ἐνώπιον B
12 ὑμῶν; καὶ ἐγὼ ἰδοὺ ἑόρακα, λέγει Κύριος. [12]ὅτι ἐπορεύθητε εἰς τὸν
τόπον μου τὸν ἐν Σηλώ, οὗ κατεσκήνωσα τὸ ὄνομά μου ἐκεῖ ἔμπροσθεν,
καὶ ἴδετε ἃ ἐποίησα αὐτῷ ἀπὸ προσώπου κακίας λαοῦ μου Ἰσραήλ.
13 [13]καὶ νῦν ἀνθ᾽ ὧν ἐποιήσατε πάντα τὰ ἔργα ταῦτα, καὶ ἐλάλησα πρὸς
ὑμᾶς καὶ οὐκ ἠκούσατέ μου, καὶ ἐκάλεσα ὑμᾶς καὶ οὐκ ἀπεκρίθητε·
14 [14]καὶ ποιήσω τῷ οἴκῳ ᾧ ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτῷ, ἐφ᾽ ᾧ
ὑμεῖς πεποίθατε ἐπ᾽ αὐτῷ, καὶ τῷ τόπῳ ᾧ ἔδωκα ὑμῖν καὶ τοῖς
15 πατράσιν ὑμῶν, καθὼς ἐποίησα τῇ Σηλώ. [15]καὶ ἀπορρίψω ὑμᾶς
ἀπὸ προσώπου μου, καθὼς ἀπέριψα τοὺς ἀδελφοὺς ὑμῶν, πᾶν τὸ
16 σπέρμα Ἐφράιμ. [16]Καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου,
καὶ μὴ ἀξίου τοῦ ἐλεηθῆναι αὐτούς, καὶ μὴ εὔχου καὶ μὴ προσέλθῃς
17 μοι περὶ αὐτῶν, ὅτι οὐκ εἰσακούσομαι. [17]ἢ οὐχ ὁρᾷς τί αὐτοὶ ποιοῦσιν
18 ἐν ταῖς πόλεσιν Ἰούδα καὶ ἐν ταῖς ὁδοῖς Ἰερουσαλήμ; [18]οἱ υἱοὶ αὐτῶν
συλλέγουσιν ξύλα, καὶ οἱ πατέρες αὐτῶν καίουσι πῦρ, καὶ αἱ γυναῖκες
αὐτῶν τρίβουσιν σταῖς, τοῦ ποιῆσαι χαυῶνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ,
19 καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις ἵνα παροργίσωσίν με. [19]μὴ
ἐμὲ αὐτοὶ παροργίζουσιν; λέγει Κύριος, οὐχὶ ἑαυτούς, ὅπως καται-
20 σχυνθῇ τὰ πρόσωπα αὐτῶν; [20]διὰ τοῦτο τάδε λέγει Κύριος Ἰδοὺ
ὀργὴ καὶ θυμός μου χεῖται ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς
ἀνθρώπους καὶ ἐπὶ τὰ κτήνη καὶ ἐπὶ πᾶν ξύλον τοῦ ἀγροῦ αὐτῶν
καὶ ἐπὶ τὰ γενήματα τῆς γῆς, καὶ καυθήσεται καὶ οὐ σβεσθή-
21 σεται. [21]Τάδε λέγει Κύριος Τὰ ὁλοκαυτώματα ὑμῶν συναγάγετε
22 μετὰ τῶν θυσιῶν ὑμῶν καὶ φάγετε κρέα. [22]ὅτι οὐκ ἐλάλησα πρὸς

11 αυτων ℵ* (-τω ℵ$^{?}$) | ιδου (ειδ. ℵ* ιδ. ℵ$^{c.b}$) εγω ℵAQ | εωρακα B^{b}ℵA ℵAQ
12 om οτι A | πορευθητε ℵ^{1}AQ | Σηλωμ ℵ$^{c.c}$AQ | εκει] pr επ αυτω Q | ειδετε ℵ$^{c.b}$ 13 ταυτα] + α′σ′θ′ ※ φησι | κ̅ς̅ Q^{mg} | υμας 1°] + ※ ορθριζω | κ λαλω | Q^{mg} | ηκουσατε] εισηκουσατε ℵ 14 και 1°] τοινυν καγω AQ | οικω ω] οικω ου ℵ τοπω τουτω ω A οικω τουτω ου Q | εδωκα] ελαλησα A | Σηλωμ ℵ$^{c.b}$ Q 15 αποριψω ℵA | απερριψα B$^{b(vid)}$AQ | υμων] ημων A | παν] απαν ℵ$^{c.a}$ (repos παν ℵ$^{c.b}$) | Εφρεμ ℵ 16 περι 1°] υπερ A | om και μη ευχου...περι αυτων A | αυτων] των ℵ* (αυτ. ℵ$^{c.a}$) | ουχ B* ουκ B$^{aItem b}$ | εισακουσ.] + σου ℵ$^{c.a}$ (improb ℵ$^{c.b}$) 17 om εν ταις πολεσιν Ιουδα και A | Ιερουσαλημ] Ι̅η̅λ̅ ℵ* (Ι̅η̅λ̅μ̅ ℵ$^{c.a}$) 18 συλλεξουσι ℵ* (συλλεγ. ℵ$^{c.c}$) | πυρ] pr ※ το Q^{mg} | τριβουσι ℵA^{a}Q | σι σταις του ποιη sup ras A^{a} | σταις] στεας ℵ$^{c.a}$ | στρατεια AQ* | εσπεισαν] σπισαι A | παροργισωσι Q 19 αυτοι] + σπα|τοι ℵ* (σ ras ℵ$^{?}$ πατοι improb ℵ$^{c.a}$) | παροργιουσιν ℵ* (-γιζουσιν ℵ$^{c.a}$) | ουχι] ουχ A | καταισχυνθη τα προσωπα] θη τα π sup ras B$^{1\,nisi\,potius\,ab}$
20 χειται] εκχειται A | bis scr και επι παν ξυλον του αγρου Q* | om αυτων Q | om επι 5° ℵ* (superscr ℵ$^{1(vid),c.a}$) | τα γενηματα] pr παντα AQ | της γης] αυτης A | καυθησεται] εκκαυθησεται ℵQ | om ου B* (hab B^{ab}) | σβεσθησεται (σβεθ. B* σβεσθ. B^{ab})] + και ουκ εσται ο σβεσων A 22 οτι] και A

B τοὺς πατέρας ὑμῶν καὶ οὐκ ἐνετειλάμην αὐτοῖς ἐν ἡμέρᾳ ᾗ ἀνήγαγον
αὐτοὺς ἐκ γῆς Αἰγύπτου περὶ ὁλοκαυτωμάτων καὶ θυσίας· 23 ἀλλ' ἢ τὸ 23
ῥῆμα τοῦτο ἐνετειλάμην αὐτοῖς λέγων Ἀκούσατε τῆς φωνῆς μου, καὶ
ἔσομαι ὑμῖν εἰς θεὸν καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς λαόν, καὶ πορεύεσθε
ἐν πάσαις ταῖς ὁδοῖς μου αἷς ἂν ἐντείλωμαι ὑμῖν, ὅπως ἂν εὖ ᾖ ὑμῖν.
24 καὶ οὐκ ἤκουσάν μου καὶ οὐ προσέσχεν τὸ οὖς αὐτῶν, ἀλλ' ἐπορεύ- 24
θησαν τοῖς ἐνθυμήμασιν τῆς καρδίας αὐτῶν τῆς κακῆς, καὶ ἐγενή-
θησαν εἰς τὰ ὀπίσθεν καὶ οὐκ εἰς τὰ ἔμπροσθεν, 25 ἀφ' ἧς ἡμέρας 25
ἐξήλθοσαν οἱ πατέρες αὐτῶν ἐκ γῆς Αἰγύπτου καὶ ἕως τῆς ἡμέρας
ταύτης. καὶ ἐξαπέστειλα πρὸς ὑμᾶς πάντας τοὺς δούλους μου τοὺς
προφήτας, ἡμέρας καὶ ὄρθρου· καὶ ἀπέστειλα, 26 καὶ οὐκ ἤκουσάν μου 26
καὶ οὐ προσέσχεν τὸ οὖς αὐτῶν, καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν
ὑπὲρ τοὺς πατέρας αὐτῶν. 28 καὶ ἐρεῖς αὐτοῖς τὸν λόγον τοῦτον 28
Τοῦτο τὸ ἔθνος ὃ οὐκ ἤκουσεν τῆς φωνῆς Κυρίου οὐδὲ ἐδέξατο παι-
δείαν· ἐξέλιπεν ἡ πίστις ἐκ στόματος αὐτῶν. 29 Κεῖρε τὴν 29
κεφαλήν σου καὶ ἀπόριπτε, καὶ ἀνάλαβε ἐπὶ χειλέων θρῆνον, ὅτι
ἀπεδοκίμασεν Κύριος καὶ ἀπώσατο τὴν γενεὰν τὴν ποιοῦσαν ταῦτα.
30 ὅτι ἐποίησαν οἱ υἱοὶ Ἰούδα τὸ πονηρὸν ἐναντίον ἐμοῦ, λέγει Κύριος· 30
ἔταξαν τὰ βδελύγματα αὐτῶν ἐν τῷ οἴκῳ οὗ ἐπικέκληται τὸ ὄνομά μου
ἐπ' αὐτόν, τοῦ μιᾶναι αὐτόν· 31 καὶ ᾠκοδόμησαν τὸν βωμὸν τοῦ 31
Τάφεθ, ὅς ἐστιν ἐν φάραγγι υἱοῦ Ἐννόμ, τοῦ κατακαίειν τοὺς υἱοὺς
αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν ἐν πυρί, ὃ οὐκ ἐνετειλάμην αὐτοῖς
καὶ οὐ διενοήθην ἐν τῇ καρδίᾳ μου. 32 διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, 32
λέγει Κύριος, καὶ οὐκ ἐροῦσιν ἔτι Βωμὸς τοῦ Τάφεθ καὶ φάραγξ υἱοῦ
Ἐννόμ, ἀλλ' Ἡ φάραγξ τῶν ἀνῃρημένων· καὶ θάψουσιν ἐν τῷ Τάφεθ

ℵAQ 22 ανετιλαμην ℵ* (ενετ. ℵ$^{c.b}$) | ημερα η] η ημερα Q | Εγυπτου ℵ* (Αιγ. ℵ$^{c.b}$) | ολοκαυτωματων] pr α'σ' ※ λογου Q^{mg} | θυσιων AQ 23 μου] κ̅υ̅ ℵ | υμιν 1°] υμων A | om πασαις ℵ | om οπως αν ευ η υμιν ℵ* (hab ℵ$^{c.a}$) | η υμιν] ημιν A 24 ηκουσαν] εισηκουσαν AQ | και ου] ουδε Q | προσεσχεν (προσ|εσχ. B* προ|σεσχ. B? προσε|χεν [sic] ℵ* προσε|σχ. ℵ^{1} προσεσ|χ. ℵ$^{c.a}$)] προσεσχον A | αλλ] αλλα Q | τοις ενθυμημασιν] εν τ. ενθ. ℵ εν τοις επιθ. A | των καρδιων ℵ* (της καρδιας ℵ$^{c.a}$) 25 Εγυπου (sic) ℵ* (Αιγυπτ. ℵ$^{c.a\ vel\ fort\ antea}$) | om και 4° A 26 ηκουσαν] εισηκουσαν A et (sub ※) Q^{mg} | και ου] ουδε Q^{mg} | προσεσχον ℵ | το ους] τα ωτα Q^{mg} | εσκληρυνα ℵ* (-ναν ℵ$^{1(vid), c.a}$) 28 τουτον] + ※ α' ϗ ου μη ακουσωσι σου ϗ καλεσεις αυτους ϗ ου μη αποκριθωσι σοι ϗ ερεις προς αυτους Q^{mg} | Κυριου] + του θ̅υ̅ αυτων Q | εξελειπεν ℵ$^{c.b}$A (ν sup ras A^{a}) | πιστις] + ※ α'θ' ϗ εξηρται Q^{mg} | στοματος] pr του (superscr) Q^{a} 29 κειραι ℵ$^{c.b}$AQ | αποριπτε B$^{b(vid)}$A (-πται) Q^{a} | απεδοκιμασεν] + αυτους ℵ | om Κυριος A | απωσατο] + κ̅ς̅ A | ποιουσαν] ποιησασαν Q 30 τα πονηρα ℵA | εναντιον] ενωπιον AQ | εμου] μου Q 31 ος] ο Q* | και ου] ουδε A 32 Ταφετ ℵ (bis) | om υιου Εννομ αλλ η φαραγξ ℵ* (hab ℵ$^{c.a}$) | Ταφεθ 2°] pr ταφω A

33 διὰ τὸ μὴ ὑπάρχειν τόπον, 33 καὶ ἔσονται οἱ νεκροὶ τοῦ λαοῦ τούτου B
εἰς βρῶσιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ
34 οὐκ ἔσται ὁ ἀποσοβῶν. 34 καὶ καταλύσω ἐκ πόλεως Ἰούδα καὶ ἐκ
διόδων Ἰερουσαλὴμ φωνὴν εὐφραινομένων καὶ φωνὴν χαιρόντων,
φωνὴν νυμφίου καὶ φωνὴν νύμφης, ὅτι εἰς ἐρήμωσιν ἔσται πᾶσα
ἡ γῆ.

VIII 1 1 Ἐν τῷ καιρῷ ἐκείνῳ, λέγει Κύριος, ἐξοίσουσιν τὰ ὀστᾶ τῶν
βασιλέων Ἰούδα και τὰ ὀστᾶ τῶν ἀρχόντων αὐτοῦ καὶ τὰ ὀστᾶ τῶν
ἱερέων καὶ τα ὀστᾶ προφητῶν καὶ τὰ ὀστᾶ τῶν κατοικούντων ἐν
2 Ἰερουσαλὴμ ἐκ τῶν τάφων αὐτῶν, 2 καὶ ψύξουσιν αὐτὰ πρὸς τὸν
ἥλιον καὶ τὴν σελήνην καὶ πρὸς πάντας τοὺς ἀστέρας καὶ πρὸς πᾶσαν
τὴν στρατιὰν τοῦ οὐρανοῦ, ἃ ἠγάπησαν καὶ οἷς ἐδούλευσαν καὶ ὧν
ἐπορεύθησαν ὀπίσω αὐτῶν καὶ ὧν ἀντείχοντο καὶ οἷς προσεκύνησαν
αὐτοῖς· οὐ κοπήσονται καὶ οὐ ταφήσονται, καὶ ἔσονται εἰς παράδειγμα
3 ἐπὶ προσώπου τῆς γῆς, 3 ὅτι εἵλοντο τὸν θάνατον ἢ τὴν ζωήν, καὶ
πᾶσιν τοῖς καταλοίποις τοῖς καταλειφθεῖσιν ἀπὸ τῆς γενεᾶς ἐκείνης, ἐν
4 παντὶ τόπῳ οὗ ἐὰν ἐξώσω αὐτοὺς ἐκεῖ. 4 Ὅτι τάδε λέγει Κύριος
5 Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἀναστρέφει; 5 διὰ
τί ἀπέστρεψεν ὁ λαός μου οὗτος ἀποστροφὴν ἀναιδῆ, καὶ κατεκρατή-
θησαν ἐν τῇ προαιρέσει αὐτῶν καὶ οὐκ ἠθέλησαν τοῦ ἐπιστρέψαι;
6 6 ἐνωτίσασθε δὴ καὶ ἀκούσατε· οὐχ οὕτως λαλήσουσιν Οὐκ ἔστιν
ἄνθρωπος μετανοῶν ἀπὸ τῆς κακίας αὐτοῦ, λέγων Τί ἐποίησα;
διέλιπεν ὁ τρέχων ἀπὸ τοῦ δρόμου αὐτοῦ ὡς ἵππος κάθιδρος ἐν
7 χρεμετισμῷ αὐτοῦ. 7 καὶ ἡ ἀσιδὰ ἐν τῷ οὐρανῷ ἔγνω τὸν καιρὸν
αὐτῆς· τρυγὼν καὶ χελιδὼν ἀγροῦ, στρουθία ἐφύλαξαν καιροὺς

32 δια] παρα ℵ$^{c.a}$ 33 βρωσιν] καταβρωμα πασῑ| A 34 καταλυσων ℵAQ ℵ$^{c.a}$ (-σω ℵ$^{c.b}$) | πολεων Q | ευφρενομενην ℵ* (-νων ℵ$^{c.a, c.c}$ ευφραιν. ℵ$^{c.b}$) | ερημον ℵ VIII 1 εξοισουσιν] εξιουσιν ℵ* (εξοισ. ℵ$^{1 (vid), c.a}$) | αυτου] αυτω| Q | προφητων] των προφ. ℵ των προφ. αυτων AQ | om εν ℵAQ 2 την σεληνην] pr προς Q | στρατειαν AQ* | οις 2°] οι B | και ου] ουδε Q | om και εσονται Q | προσωπον ℵ | γης]+εσονται Q 3 ειλαντο ℵA | η] pr μαλλον A | πασι Q | γενεας]+α'σ' ※ της πονηρας Q | ου εαν] ω ℵ* ου αν ℵ$^{c.a}$Q ω εαν A | αυτους εκει sup ras B^{ab} +α' ·※ ϗ αιρεθησεται θανατος υπερ την ζωην λεγει κς των δυναμεω̄| (4) και ερεις προς αυτους Q^{mg} 4 ο αποστρεφων] om ο Q | αναστρεφει] επιστρεφει ℵQ* (αναστρ. Q$^{mg\ vid}$) επιστρεψει A 5 δια τι] διοτι ℵA* (δια τι A^{a}) | om μου AQ | ουτος] om ℵ+ ·※ ϗ Ιλημ Q^{mg} | ανεδην ℵ* αναιδην ℵ$^{c.b}$ | om εν AQ | om και 2° ℵ* (hab ℵ$^{c.a}$) | του επιστρεψαι (ψ sup ras A$^{a?}$)] om του A 6 λαλησουσιν] λαλουσιν A | διελειπεν ℵ$^{c.b}$ AQ* | απο του δρομου] απ ου δρ. ℵ* (απο του δρ. ℵ$^{c.c}$) εκ του δρ. ℵ$^{c.a}$AQ | καθιδρο|ς εν ℵ* καθιδρος| εν ℵ$^{c.a}$ 7 η ασιδα] α' ο ερωδιος Q^{mg} | και χελιδων αγρου στρουθια] adnot ου κ' π' εβρ' B$^{ab\ mg}$ | στουθια Q*

B εἰσόδων ἑαυτῶν· ὁ δὲ λαός μου οὐκ ἔγνω τὰ κρίματα Κυρίου. [8]πῶς 8
ἐρεῖτε ὅτι Σοφοί ἐσμεν ἡμεῖς, καὶ νόμος Κυρίου ἐστὶν μεθ' ἡμῶν;
εἰς μάτην ἐγενήθη σχοῖνος ψευδὴς γραμματεῦσιν. [9]ᾐσχύνθησαν 9
σοφοὶ καὶ ἐπτοήθησαν καὶ ἑάλωσαν, ὅτι τὸν νόμον Κυρίου ἀπεδοκί-
μασαν· σοφία τίς ἐστιν ἐν αὐτοῖς; [10]διὰ τοῦτο δώσω τὰς γυναῖκας 10
αὐτῶν ἑτέροις, καὶ τοὺς ἀγροὺς αὐτῶν τοῖς κληρονόμοις, [13]καὶ συνά- 13
ξουσιν τὰ γενήματα αὐτῶν, λέγει Κύριος· οὐκ ἔστιν σταφυλὴ ἐν
ταῖς ἀμπέλοις, καὶ οὐκ ἔστιν σῦκα ἐν ταῖς συκαῖς, καὶ τὰ φύλλα
κατερρύηκεν. [14]ἐπὶ τί ἡμεῖς καθήμεθα; συνάχθητε καὶ εἰσέλθωμεν 14
εἰς τὰς πόλεις τὰς ὀχυρὰς καὶ ἀποριφῶμεν, ὅτι ὁ θεὸς ἀπέριψεν
ἡμᾶς καὶ ἐπότισεν ἡμᾶς ὕδωρ χολῆς, ὅτι ἡμάρτομεν ἐναντίον αὐτοῦ.
[15]συνήχθημεν εἰς εἰρήνην, καὶ οὐκ ἦν ἀγαθά· εἰς καιρὸν ἰάσεως, καὶ 15
ἰδοὺ σπουδή. [16]ἐκ Δὰν ἀκουσόμεθα φωνὴν ὀξύτητος ἵππων αὐτοῦ, 16
ἀπὸ φωνῆς χρεμετισμοῦ ἱππασίας ἵππων αὐτοῦ ἐσείσθη πᾶσα ἡ
γῆ· καὶ ἥξει καὶ καταφάγεται τὴν γῆν καὶ τὸ πλήρωμα αὐτῆς, πόλιν
καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ. [17]διότι ἰδοὺ ἐγὼ ἐξαποστέλλω 17
εἰς ὑμᾶς ὄφεις θανατοῦντας, οἷς οὐκ ἔστιν ἐπᾷσαι, καὶ δήξονται
ὑμᾶς. [18]Ἀνίατα μετ' ὀδύνης καρδίας ὑμῶν ἀπορουμένης. 18
[19]Ἰδοὺ φωνὴ κραυγῆς θυγατρὸς λαοῦ μου ἀπὸ γῆς μακρόθεν· μὴ 19
Κύριος οὐκ ἔστιν ἐν Σειών; ἢ βασιλεὺς οὐκ ἔστιν ἐκεῖ; διὰ τί παρώρ-
γισάν με ἐν τοῖς γλυπτοῖς αὐτῶν καὶ ἐν ματαίοις ἀλλοτρίοις; [20]διῆλθεν 20
θέρος, παρῆλθεν ἄμητος, καὶ ἡμεῖς οὐ διεσώθημεν. [21]ἐπὶ συντρίμματι 21
θυγατρὸς λαοῦ μου ἐσκοτώθην· ἀπορίᾳ κατίσχυσάν με ὠδῖνες ὡς

ℵAQ 7 εισοδου ℵA | εαυτων] αυτων ℵAQ 8 μεθ ημων εστιν AQ | εις ματην] pr ※ δια τουτο Q^{mg} 9 om και 1° Q | om και εαλωσαν ℵ* (hab ℵ$^{c.a}$) | νομον] λογον ℵAQ 10 ετεροις] εταιροις A | κληρονομοις] + ※ οτι απο μικρου| αυτων ϗ εως μεγαλου αυτω| πας τις πλεονεκτει πλεονεξιαν απο προφητου εως ιερεως πας τις ποιει αδικα (11) ϗ ιασαντο το συ|τριμμα της θυγατρος του λαου μου επ ατιμια λεγοντες ειρηνη ειρηνη ϗ ουκ εστιν ειρηνη (12) κατησχυνθησαν οτι βδελυγμα εποιησαν ϗ γε αισχυνη ουκ ησχυνθησαν ϗ γε εντραπηναι ουκ εγνωσαν δια τουτο πεσουνται συν τοις πιπτουσιν εν καιρω επισκοπης αυτων ασθενησουσιν ειπεν κς Q^{mg} 13 εστιν 1°] εσιν B* (rasura) (superscr τ B^{ab}) | σταφυλης ℵ* 13—14 και τα φυλλα...καθημε[θα]] adnot ου κ' π' εβρ' B^{a} (non inst B^{b}) 13 κατερρυηκεν] + α'θ' ※ ϗ εδωκα αυτοις ϗ παρηλθεν αυτοις Q^{mg} 14 αποριφωμεν (αποpp. B$^{b(vid)}$AQ)] + εκει Q | απεριψεν (απερρ. B^{b}AQ)] απερριψαν ℵ$^{c.a}$ | εναντιον] ενωπιον Q 15 εις 2°] pr και ℵ 16 ακουσομαι A | εσεισθη] + απ αυτου A | την γην] om την Q 17 incep εξαποστελλε ℵ* (-λλω ℵ$^{1(vid)}$) | εις] εφ ℵA | οφις A | εστιν] + α' ※ αυτοις Q^{mg} | επασαι] επιλησαι A* επιλαλησαι (λα superscr A^{1}) | υμας 2°] + α'σ'θ' ※ φησι| κς Q^{mg} 19 κραυγης] pr σ' ※ Q^{mg} | Σιων B^{b}ℵA (Σιω) Q | βασιλευς] ιατρος Q* (βασ. Q^{mg}) | δια τι] διοτι ℵ$^{c.a, c.b}$AQ 21 κατισχυσαν με] κατισχυσα|μεν ℵ* κατισχυσαν μου ℵ$^{c.a}$ (κατ. με ℵ$^{c.c}$) | ωδινες ως τικτουσης sub ⊤ Q$^{?}$

22 τικτούσης. [22]μὴ ῥητίνη οὐκ ἔστιν ἐν Γαλαάδ, ἢ ἰατρὸς οὐκ ἔστιν B
(VIII) ἐκεῖ; διὰ τί οὐκ ἀνέβη ἴασις θυγατρὸς λαοῦ μου;
(23) IX 1 [1]Τίς δώσει κεφαλῇ μου ὕδωρ καὶ ὀφθαλμοῖς μου πηγὴν δακρύων,
καὶ κλαύσομαι τὸν λαόν μου τοῦτον ἡμέρας καὶ νυκτός, τοὺς τετραυ-
(IX) (1) 2 ματισμένους θυγατρὸς λαοῦ μου; [2]τίς δῴη μοι ἐν τῇ ἐρήμῳ σταθμὸν
ἔσχατον, καὶ καταλείψω τὸν λαόν μου καὶ ἀπελεύσομαι ἀπ' αὐτῶν;
(2) 3 ὅτι πάντες μοιχῶνται, σύνοδος ἀθετούντων, [3]καὶ ἐνέτειναν τὴν
γλῶσσαν αὐτῶν ὡς τόξον· ψεῦδος καὶ οὐ πίστις ἐνίσχυσεν ἐπὶ
τῆς γῆς, ὅτι ἐκ κακῶν εἰς κακὰ ἐξήλθοσαν, καὶ ἐμὲ οὐκ ἔγνωσαν.
(3) 4 [4]ἕκαστος ἀπὸ τοῦ πλησίον αὐτοῦ φυλάξασθε, καὶ ἐπ' ἀδελφοῖς αὐτῶν
μὴ πεποίθατε, ὅτι πᾶς ἀδελφὸς πτέρνῃ πτερνιεῖ, καὶ πᾶς φίλος
(4) 5 δολίως πορεύσεται. [5]ἕκαστος κατὰ τοῦ φίλου αὐτοῦ καταπαίξεται,
ἀλήθειαν οὐ μὴ λαλήσωσιν· μεμάθηκεν ἡ γλῶσσα αὐτῶν λαλεῖν ψευδῆ,
(5) 6 ἠδίκησαν καὶ οὐ διέλιπον τοῦ ἐπιστρέψαι. [6]τόκος ἐπὶ τόκῳ, καὶ
(6) 7 δόλος ἐπὶ δόλῳ· οὐκ ἤθελον εἰδέναι με. [7]Διὰ τοῦτο τάδε λέγει
Κύριος Ἰδοὺ ἐγὼ πυρώσω αὐτοὺς καὶ δοκιμῶ αὐτούς, ὅτι ποιήσω ἀπὸ
(7) 8 προσώπου πονηρίας θυγατρὸς λαοῦ μου. [8]βολὶς τιτρώσκουσα ἡ
γλῶσσα αὐτῶν, δόλια τὰ ῥήματα τοῦ στόματος αὐτῶν· τῷ πλησίον
(8) 9 αὐτοῦ λαλεῖ εἰρηνικὰ καὶ ἐν ἑαυτῷ ἔχει τὴν ἔχθραν. [9]μὴ ἐπὶ τούτοις
οὐκ ἐπισκέψομαι, λέγει Κύριος, ἢ ἐν λαῷ τῷ τοιούτῳ οὐκ ἐκδικήσει
(9) 10 ἡ ψυχή μου; [10]Ἐπὶ τὰ ὄρη λάβετε κοπετόν, καὶ ἐπὶ τὰς
τρίβους τῆς ἐρήμου θρῆνον, ὅτι ἐξέλιπον παρὰ τὸ μὴ εἶναι ἀνθρώπους·
οὐκ ἤκουσαν φωνὴν ὑπάρξεως ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ καὶ ἕως
(10) 11 κτηνῶν· ἐξέστησαν, ᾤχοντο. [11]καὶ δώσω τὴν Ἰερουσαλὴμ εἰς
μετοικίαν καὶ εἰς κατοικητήριον δρακόντων, καὶ τὰς πόλεις Ἰούδα
(11) 12 εἰς ἀφανισμὸν θήσομαι παρὰ τὸ μὴ κατοικεῖσθαι. [12]τίς ὁ ἄνθρωπος
ὁ συνετός, καὶ συνέτω τοῦτο· καὶ ᾧ λόγος στόματος Κυρίου πρὸς

22 ρετινη A IX 1 κεφαλην Q* | τον λαον μου sub ÷ Q? | τους τετραυμ.] ℵAQ και τετραυμ. A 2 δωη] δωσει Q | σταθμον] α' καταλυμα σ' αυλισμον Q^{mg} | τον λαον μου] + τουτον ℵ 3 τοξος A | εγνωσαν] + φησιν κ̅ς̅ Q 4 αυτου] + εξηλθοσαν A | φυλαξεσθαι ℵ | αυτων] εαυτων A 5 om κατα ℵ | αυτου] εαυτου A | καταπαιξεται] καταπεζετε ℵ* -παιζεται ℵ$^{c.b}$ -παιξεται ℵ$^{c.c}$ καταφευξεται A* (καταπεξ. A?) | αληθιαν ℵ | λαλησουσιν ℵA | διελειπον ℵ$^{c.b}$A 6 om και ℵQ | δολος] λ ex δ fec vid ℵ* | ηθελον] ηθελησαν Q | με] + φησιν κ̅ς̅ Q 7 Κυριος] + των δυναμεων Q | πυρω|ρ incep ℵ* (πυρω|σω ℵ$^{1(vid)}$) | δοκιμασω ℵ$^{c.a}$ | πονηριας] της ℵ 8 γλωσσα] καρδια A | εαυτω] αυτω ℵ* (εαυτ. ℵ$^{c.c}$) 9 om μη ℵ* (hab ℵ$^{c.a}$) | τω τοιουτω] om τω AQ 10 εξελειπον ℵ$^{c.b}$AQ$^{a\,vid}$ | ανθρωπους] + α'θ' ※ παραπορευομενους Q^{mg} | κτηνων] pr των A 11 κατοικητηρια A | πολις ℵ* (-λεις ℵ$^{c.b}$) 12 om ο bis A | συνετος (-τως A*)] σοφος Q | συνετω] συνετιω ℵ$^{c.a}$ (postea rurs -τω) συνιειτε A | om ω ℵ* (hab ℵ$^{c.c}$) A | λογος] pr ο ℵ*AQ^{a}

B αὐτόν, ἀναγγειλάτω ὑμῖν ἕνεκεν τίνος ἀπώλετο ἡ γῆ· ἀνήφθη ὡς
ἔρημος παρὰ τὸ μὴ διοδεύεσθαι αὐτήν. 13 Καὶ εἶπεν Κύριος 13 (12)
πρός με Διὰ τὸ ἐνκαταλιπεῖν αὐτοὺς τὸν νόμον μου ὃν ἔδωκα πρὸ
προσώπου αὐτῶν, καὶ οὐκ ἤκουσαν τῆς φωνῆς μου, 14 ἀλλ' ἐπορεύ- 14 (13)
θησαν ὀπίσω τῶν ἀρεστῶν τῆς καρδίας αὐτῶν τῆς κακῆς καὶ ὀπίσω
τῶν εἰδώλων ἃ ἐδίδαξαν αὐτοὺς οἱ πατέρες αὐτῶν. 15 διὰ τοῦτο τάδε 15 (14)
λέγει Κύριος ὁ θεὸς Ἰσραήλ Ἰδοὺ ἐγὼ ψωμιῶ αὐτοὺς ἀνάγκας, καὶ
ποτιῶ αὐτοὺς ὕδωρ χολῆς, 16 καὶ διασκορπιῶ αὐτοὺς ἐν τοῖς ἔθνεσιν 16 (15)
εἰς οὓς οὐκ ἐγίνωσκον αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν, καὶ ἐπαπο-
στελῶ ἐπ' αὐτοὺς τὴν μάχαιραν ἕως τοῦ ἐξαναλῶσαι αὐτοὺς ἐν
αὐτῇ. 17 Τάδε λέγει Κύριος Καλέσατε τὰς θρηνούσας καὶ 17 (16)
ἐλθέτωσαν, καὶ πρὸς τὰς σοφὰς ἀποστείλατε καὶ φθεγξάσθωσαν
18 καὶ λαβέτωσαν ἐφ' ὑμᾶς θρῆνον, καὶ καταγαγέτωσαν οἱ ὀφθαλμοὶ 18 (17)
ὑμῶν δάκρυα, καὶ τὰ βλέφαρα ὑμῶν ῥείτω ὕδωρ, 19 ὅτι φωνὴ οἰκτροῦ 19 (18)
ἠκούσθη ἐν Σειών Πῶς ἐταλαιπωρήσαμεν, κατῃσχύνθημεν σφόδρα,
ὅτι ἐνκατελίπομεν τὴν γῆν καὶ ἀπερίψαμεν τὰ σκηνώματα ἡμῶν.
20 ἀκούσατε δή, γυναῖκες, λόγον θεοῦ, καὶ δεξάσθω τὰ ὦτα ὑμῶν 20 (19)
λόγους στόματος αὐτοῦ, καὶ διδάξατε τὰς θυγατέρας ὑμῶν οἶκτον,
καὶ γυνὴ τὴν πλησίον αὐτῆς θρῆνον. 21 ὅτι ἀνέβη θάνατος διὰ τῶν 21 (20)
θυρίδων ὑμῶν, εἰσῆλθεν εἰς τὴν γῆν ὑμῶν τοῦ ἐκτρίψαι νήπια ἔξωθεν
καὶ νεανίσκους ἀπὸ τῶν πλατειῶν. 22 καὶ ἔσονται οἱ νεκροὶ τῶν 22 (21)
ἀνθρώπων εἰς παράδειγμα ἐπὶ προσώπου τοῦ πεδίου τῆς γῆς ὑμῶν,
ὡς χόρτος ὀπίσω θερίζοντος, καὶ οὐκ ἔσται ὁ συνάγων. 23 Τάδε 23 (22)
λέγει Κύριος Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ
καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύι αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος

ℵAQ 12 υμιν] ημιν AQ | τινος ενεκεν AQ | om αυτην A? 13 bis scr και ειπεν A* vid (ras 2° A?) | εγκαταλιπειν BabAQ ενκαταλειπειν ℵc.b | μου 2°] + ※ ϗ επορευθησαν εν αυτω Qmg 14 αλλ] ※ και (superscr) Qb? | αρεστων] εραστων A 15 Κυριος] + των δυναμεων Q | ψωμιζω AQ | αυτους 1°] pr υμας A + α'σ'θ' ※ τον λαον τουτον Qmg | ποτιζω Q 16 διασκοπιω ℵ* (-σκορπ. ℵc.a, c.b) | επαποστελω] αποστιλω ℵ* (επαποστελω ℵc.a) αποστελω ℵc.c | του εξαναλωσαι] ου εξαναλωσω ℵQ 17 Κυριος] + ※ των δυναμεων Qmg | καλεσατε] pr ※ συνετε Qmg | ελθατωσαν ℵA | φθεγξασθωσαν (φθεξ. ℵ* φθεγξ. ℵc.a)] φθεγξασθω sup ras B1 (fort) ab 18 και 1°] pr α'θ' ※ και ταχυνατωσαν Qmg | τα βλεφαρα] om τα Q 19 οικτου ℵc.a et antea Q | Σιων BbℵAQ | εγκατελιπομεν BabQ* b ενκατελειπομεν ℵc.b εγκατελειπ. AQa | απερριψαμεν Ba?b ℵAQ 20 θεου] κ̄υ A | οικτρον ℵ* (-τον ℵc.a) A | αυτης] εαυτης A 21 om δια τ. θυρ. υμων εισηλθεν A | εισηλθεν] pr και Q | υμων 2°] + και ηλθεν δια των θυρίδων υμων A 22 και 1°] pr θ' ※ θανατω ταδε λεγει κ̄ς Qmg | om εις ℵQ* (hab Q1 (mg)) | ως χορτος] και ℵ* (+ ως χορτος ℵc.a) pr και AQ | θεριζοντων ℵ

(23) 24 ἐν τῷ πλούτῳ αὐτοῦ, ²⁴ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, B
συνίειν καὶ γινώσκειν ὅτι ἐγώ εἰμι Κύριος ὁ ποιῶν ἔλεος καὶ κρίμα
καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς, ὅτι ἐν τούτοις τὸ θέλημά μου, λέγει
(24) 25 Κύριος. ²⁵ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐπισκέψομαι
(25) 26 ἐπὶ πάντας περιτετμημένους ἀκροβυστίας αὐτῶν, ²⁶ἐπ' Αἴγυπτον
καὶ ἐπὶ Ἰδουμαίαν καὶ ἐπὶ Ἐδώμ, καὶ ἐπὶ υἱοὺς Ἀμμὼν καὶ ἐπὶ
υἱοὺς Μωάβ, καὶ ἐπὶ πάντα περικειρόμενον τὰ κατὰ πρόσωπον αὐτοῦ,
τοὺς κατοικοῦντας ἐν τῇ ἐρήμῳ· ὅτι πάντα τὰ ἔθνη ἀπερίτμητα σαρκί,
καὶ πᾶς οἶκος Ἰσραὴλ ἀπερίτμητοι καρδίας αὐτῶν.
X 1 ¹Ἀκούσατε τὸν λόγον Κυρίου ὃν ἐλάλησεν ἐφ' ὑμᾶς, οἶκος Ἰσραήλ.
2 ²τάδε λέγει Κύριος Κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν μὴ μανθάνετε, καὶ ἀπὸ
τῶν σημείων τοῦ οὐρανοῦ μὴ φοβεῖσθε, ὅτι φοβοῦνται αὐτὰ τοῖς
3 προσώποις αὐτῶν. ³ὅτι τὰ νόμιμα τῶν ἐθνῶν μάταια· ξύλον ἐστὶν
4 ἐκ τοῦ δρυμοῦ ἐκκεκομμένον, ἔργον τέκτονος καὶ χώνευμα, ⁴ἀργυρίῳ
καὶ χρυσίῳ κεκαλλωπισμένα· ἐν σφύραις καὶ ἥλοις ἐστερέωσαν αὐτά·
5/9 ⁵θήσουσιν αὐτὰ καὶ οὐ κινηθήσονται· ⁹ἀργύριον τορευτόν ἐστιν, οὐ
πορεύσονται, ἀργύριον προσβλητὸν ἀπὸ Θαρσεὶς ἥξει, χρυσίον Μωφάζ,
καὶ χεὶρ χρυσοχόων, ἔργα τεχνιτῶν πάντα· ὑάκινθον καὶ πορφύραν
5 ἐνδύσουσιν αὐτά· ⁵αἰρόμενα ἀρθήσονται, ὅτι οὐκ ἐπιβήσονται. μὴ
φοβηθῆτε αὐτά, ὅτι οὐ μὴ κακοποιήσωσιν, καὶ ἀγαθὸν οὐκ ἔστιν
11 ἐν αὐτοῖς. ¹¹Οὕτως ἐρεῖτε αὐτοῖς Θεοὶ οἳ τὸν οὐρανὸν καὶ τὴν

24 om η Q | συνιειν ꞔ γι|νωσκειν...ελεος και κρι in mg et sup ras Aᵃ | ℵAQ γινωσκειν] + με ℵ^{c.a} (postea ras) Q | ο ποιων] om ο ℵQ 25 om ιδου... Κυριος ℵ* (hab ℵ^{c.a}) | περιτετμημενους ℵ* (-τμημ. ℵ^{c.a}) περιτετετμ. A 26 Εγυπτον ℵ* (Αιγ. ℵ^{c.b}) | Ιδουμαιαν (-μεαν ℵ)] pr την ℵAQ | υιους 1°] pr παντας τους A | υιους 2°] pr τους A | παντα 1°] παν ℵ*AQ (παντα ℵ^{c.a}Q^{1mg}) | περικειρομενον] περικειμενον Q (περικειρ. Q^{mg}) | τα κατα προσ.] om τα ℵ | απεριτετμητα A | οικος] pr ο ℵ | απεριτμητοι] απεριτμητος ℵA X 1 τον λογον] om τον ℵA το ρημα Q | ον] ο Q | ελαλησεν] + κ̅ς̅ AQ | εφ υμας] εοφμας ℵ* (εφμας ℵ^{1 fort} εφ υμ. ℵ^{c.a}) 2 των εθνων] om των A | μανθανετε (-νατε B)] πορευεσθαι A | σημειων] θηριων ℵ* (σημιων ℵ^{c.a}) | προσωποις] σωπο sup ras ℵ¹ 3 τεκτονος] pr α'σ' ※ χειρω̅| Q^{mg} 4 κεκαλλωπισμενα] κεκολαμμενα ℵ* (κεκαλλοπ. [sic] ℵ^{c.a}) + εστιν ℵAQ 5 om θησουσιν αυτα ℵAQ | [κεινηθη]σονται...αρθησον[ται]] pr obelos Bᵃ (non inst Bᵇ) 9 ου πορευσονται sub ÷ Q? | προσβλητον] προβλητον εστιν ℵ | Θαρσις ℵ | Μωφας ℵ | χειρ (χερ ℵ*)] χειρες ℵ^{c.a}A 5 om μη 2° A | κακοποιησουσιν ℵAQ | και] pr αυτα ερομενα ℵ* (uncis incl ℵ¹ ερ. improb ℵ^{c.a} item αυτα ℵ^{c.c}) | αυτοις] + θ' ※ (6) ποθεν ωσπερ συ κ̅ε̅ μεγας ει συ και μεγα το ονομα σου εν δυναμει (7) τις ου μη φοβηθησεται βασιλευ των εθνων οτι σοι ανηκεν οτι εν πασιν τοις σοφοις των εθνων και εν πασι τοις βασιλευσιν αυτων ποθεν ωσπερ συ κ̅ε̅ (8) και εισαπαξ εκκαησονται ꞔ ασθενησουσι καρδια ματαιων [ασυνετεις νοητισθησονт ꞔ παιδεια ματαιοτητων εν αυτοις] ξυλον εστιν (9) αργυριον ελατον εκ Θαρσεις φερομενον ꞔ χρυσιον εις Σουφειρ εργα τεκτονος ꞔ χειρων

B γῆν οὐκ ἐποίησαν ἀπολέσθωσαν ἀπὸ τῆς γῆς καὶ ὑποκάτωθεν τοῦ
οὐρανοῦ τούτου. [12]Κύριος ὁ ποιήσας τὴν γῆν ἐν τῇ ἰσχύι αὐτοῦ, ὁ 12
ἀνορθώσας τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ τῇ φρονήσει αὐτοῦ
ἐξέτεινεν τὸν οὐρανὸν [13]καὶ πλῆθος ὕδατος ἐν οὐρανῷ, καὶ ἀνήγαγεν 13
νεφέλας ἐξ ἐσχάτου τῆς γῆς· ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν, καὶ
ἐξήγαγεν φῶς ἐκ θησαυρῶν αὐτοῦ. [14]ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ 14
γνώσεως, κατῃσχύνθη πᾶς χρυσοχόος ἐπὶ τοῖς γλυπτοῖς αὐτοῦ, ὅτι
ψευδῆ ἐχώνευσεν, οὐκ ἔστιν πνεῦμα ἐν αὐτοῖς. [15]μάταιά ἐστιν ἔργα 15
ἐμπεπαιγμένα, ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀπολοῦνται. [16]οὐκ ἔστιν 16
τοιαύτη μερὶς τῷ Ἰακώβ, ὅτι ὁ πλάσας τὰ πάντα αὐτὸς κληρονομία
αὐτοῦ, Κύριος ὄνομα αὐτῷ. [17]Συνήγαγεν ἔξωθεν τὴν ὑπόστασίν 17
σου, κατοικοῦσα ἐν ἐκλεκτοῖς. [18]ὅτι τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ 18
σκελίζω τοὺς κατοικοῦντας τὴν γῆν ταύτην ἐν θλίψει ὅπως εὑρεθῇ
ἡ πληγή σου. [19]οὐαὶ ἐπὶ συντρίμματί σου, ἀλγηρὰ ἡ πληγή σου. 19
κἀγὼ εἶπα Ὄντως τοῦτο τὸ τραῦμά σου, καὶ κατέλαβέν σε. [20]ἡ σκηνή 20
σου ἐταλαιπώρησεν, ὤλετο, καὶ πᾶσαι αἱ δέρρεις σου διεσπάσθησαν·
οἱ υἱοί μου καὶ τὰ πρόβατά μου οὐκ εἰσίν, οὐκ ἔστιν ἔτι τόπος τῆς
σκηνῆς μου, τόπος τῶν δέρρεών μου. [21]ὅτι οἱ ποιμένες ἠφρονεύσαντο, 21
καὶ τὸν κύριον οὐκ ἐζήτησαν· διὰ τοῦτο οὐκ ἐνόησεν πᾶσα ἡ νομή,
καὶ διεσκορπίσθησαν. [22]φωνὴ ἀκοῆς ἰδοὺ ἔρχεται καὶ σεισμὸς μέγας 22
ἐκ γῆς βορρᾶ τοῦ τάξαι τὰς πόλεις Ἰούδα εἰς ἀφανισμὸν καὶ κοίτην
στρουθῶν. [23]οἶδα, Κύριε, ὅτι οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ, οὐδὲ 23
ἀνὴρ πορεύσεται καὶ κατορθώσει πορείαν αὐτοῦ. [24]παίδευσον ἡμᾶς, 24
Κύριε, πλὴν ἐν κρίσει καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλίγους ἡμᾶς ποιήσῃς.

ℵAQ χρυσοχοου υακινθος ϗ πορφυρα το ενδυμα αυτω̄| εργα σοφων παντα (10) ο δε κ̅ς̅ θ̅ς̅ αληθινος εστι θ̅ς̅ ζων ϗ βασιλευς αιωνιος απο του θυμου αυτου σαλευθησεται η γη και ουχ υποισουσιν εθνη την οργην αυτου Q^{mg} 11 υποκατω|εν ℵ* (-τωθεν ℵ^{1}) 12 ο ανορθωσας (ανοθ. ℵ* ανορθ. ℵ$^{1(vid)}$)] om ο Q^{*vid} | τη φρονησει] pr εν Q | ουρανον] + θ′ ※ εις φωνη̄| δοντος αυτου Q^{mg} 13 γης] ης ℵ* (γης ℵ^{c}) | φως] ανεμους Q | αυτου] αυτων ℵ* (-του ℵ$^{?}$) 14 κατεσχυνθη ℵ* καταισχ. ℵ$^{c.b}$ | εχωνευσαν ℵQ 15 εμπεπαιγμενα B^{ab}ℵ$^{c.b}$ (εμπαιπ.) AQ 16 μερις] pr η Q | αυτος] + α′θ′ ※ εστι ϗ Ι̅η̅λ̅ ραβδος Q^{mg} | αυτω] αυτου A 17 κατοικουσα] pr η A 18 θλιψει] + και εκθλιψω αυτους Q^{mg} 19 αργηρα ℵ* (αλγ. ℵ$^{c.a, c.b}$) | καγω] και εγω AQ | σου 3°] om A μου Q | και] ουκ A | εκατελαβεν A | σε] με AQ 20 σου bis] μου Q | ωλετο] ωχετο ℵ* (ωλ. ℵ$^{c.a}$) | δερρις ℵ* (-ρεις ℵ$^{c.b}$) | μου 1°] μοι A^{*vid} 21 ποιμενες] + μου A | ηυφρονευσαντο A | ουκ 1°] κ ℵ* (ουκ ℵ$^{c.a}$) | εζητησαν] εξεζητ. ℵAQ | ενοησεν] ηνομησεν ℵ* (ενοησ. ℵ$^{1, c.a}$) 22 πολις ℵ* (-λεις ℵ$^{c.b}$) | Ουδα A* (Ιουδ. A^{1}) 23 Κυριε] κ̅ν̅ ℵ^{*vid} (κ̅ε̅ ℵ^{1}) | ουχι] pr τ ℵ* (postea ras) | πορειαν (-ριαν A)] πονηριαν ℵ* (πoριαν ℵ$^{c.c(vid)}$) 24 ποιησεις (-σις ℵ* -σεις ℵ$^{c.b}$) ℵA

25 [25]ἔκχεον τὸν θυμόν σου ἐπὶ ἔθνη τὰ μὴ εἰδότα σε καὶ ἐπὶ γενεὰς αἳ τὸ B
ὄνομά σου οὐκ ἐπεκαλέσαντο. ὅτι κατέφαγον τὸν Ἰακὼβ καὶ ἐξανή-
λωσαν αὐτόν, καὶ τὴν νομὴν αὐτοῦ ἠρήμωσαν.

XI Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἰερεμίαν λέγων

2 [2]Ἀκούσατε τοὺς λόγους τῆς διαθήκης ταύτης, καὶ λαλήσεις πρὸς
3 ἄνδρας Ἰούδα καὶ πρὸς τοὺς κατοικοῦντας ἐν Ἰερουσαλήμ· [3]καὶ ἐρεῖς
πρὸς αὐτούς Τάδε λέγει Κύριος ὁ θεὸς Ἰσραήλ Ἐπικατάρατος ὁ
4 ἄνθρωπος ὃς οὐκ ἀκούσεται τῶν λόγων τῆς διαθήκης ταύτης, [4]ἧς
ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν ἐν ἡμέρᾳ ᾗ ἀνήγαγον αὐτοὺς ἐκ
γῆς Αἰγύπτου, ἐκ καμίνου τῆς σιδηρᾶς, λέγων Ἀκούσατε τῆς φωνῆς
μου καὶ ποιήσατε πάντα ὅσα ἐὰν ἐντείλωμαι ὑμῖν, καὶ ἔσεσθέ μοι εἰς
5 λαὸν καὶ ἐγὼ ἔσομαι ὑμῖν εἰς θεόν, [5]ὅπως στήσω τὸν ὅρκον μου ὃν
ὤμοσα τοῖς πατράσιν ὑμῶν, τοῦ δοῦναι αὐτοῖς γῆν ῥέουσαν γάλα καὶ
μέλι καθὼς ἡ ἡμέρα αὕτη. καὶ ἀπεκρίθην καὶ εἶπα Γένοιτο, Κύριε.
6 [6]καὶ εἶπεν Κύριος πρὸς μέ Ἀνάγνωθι τοὺς λόγους τούτους ἐν πόλεσιν
Ἰούδα καὶ ἔξωθεν Ἰερουσαλὴμ λέγων Ἀκούσατε τοὺς λόγους τῆς
8 9 διαθήκης ταύτης καὶ ποιήσατε αὐτούς. [8]καὶ οὐκ ἐποίησαν. [9]Καὶ
εἶπεν Κύριος πρὸς μέ Εὑρέθη σύνδεσμος ἐν ἀνδράσιν Ἰούδα καὶ ἐν
10 τοῖς κατοικοῦσιν ἐν Ἰερουσαλήμ· [10]ἐπεστράφησαν ἐπὶ τὰς ἀδικίας
τῶν πατέρων αὐτῶν τῶν πρότερον, οἳ οὐκ ἠθέλησαν εἰσακοῦσαι τῶν
λόγων μου, καὶ ἰδοὺ αὐτοὶ πορεύονται ὀπίσω θεῶν ἀλλοτρίων τοῦ
δουλεύειν αὐτοῖς, καὶ διεσκέδασαν οἶκος Ἰσραὴλ καὶ οἶκος Ἰούδα τὴν
11 διαθήκην μου ἣν διεθέμην πρὸς τοὺς πατέρας αὐτῶν. [11]διὰ τοῦτο

25 τον θυμον] την οργην A | ειδοτα] ιδοντα A | γενεας] βασιλειας Q | κα- ℵAQ
τεφαγεσαν ℵ*Q | αυτον] τον Ι̅η̅λ AQ + ※ και συνετελεσαν αυτον Q[mg] | τον
νομον ℵ* (την νομην ℵ[c.a(?)]) XI tit προς Ιερεμιαν παρα κ̅υ̅ Q 2 om
προς 2° AQ | om εν AQ 3 ο ανθρωπος] om ο ℵ | ακουσεται] ακουσει ℵ |
των λογων] της φωνης ℵ 4 ης] ην A | υμων] ημων A | εν η ημερα Q |
Εγυπτου ℵ* (Αιγ. ℵ[c.b(?)]) | καμινου] pr της ℵ[c.a mg]Q | της σιδ.] τ sup ras
B[a] | εαν] om A αν εγω Q | εντειλωμαι] εντελλομαι Q 5 υμων] ημων A |
om και 1° B* (superscr B[ab]) | καθως] ως A 6 τους λογους] pr α′ ※ συμ-
παντας Q[mg] 8 εποιησαν] Ωρ. θ′ ※ οτι επιμαρτυρια επεμαρτυραμην τοις
πατρασιν υμων εν ημερα αναγαγοντος μου αυτους εκ γης Αιγυπτου και εως της
ημερας ταυτης ορθριζων και επιμαρτυρομενος λεγων ακουσατε της φωνης μου
και ουκ ηκουσαν ϗ εξεκλιναν το ους αυτων ϗ επορευθησαν ανηρ εν τη ευθυτητι
της καρδιας αυτου της πονηρας ϗ επηγαγον επ αυτους παντας τους λογους της
διαθηκης ταυτης ης ενετειλαμην ποιειν αυτοις και ουκ εποιησαν Q[mg] 9 αν-
δρασιν] πολεσι] A | om εν 3° ℵAQ 10 προτερων ℵ | ηθελησαν] ηθελον
ℵAQ | εισακουσαι] υπακουσε ℵ* (-σαι ℵ[c.b(?)]) ακουσαι A | πορευονται] βαδι-
ζουσιν ℵAQ | διεσκεδασεν A | οικος bis] pr ο Q | τους πατ.] αυτους πατ. Q*

B τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακὰ ἐξ ὧν
οὐ δυνήσονται ἐξελθεῖν ἐξ αὐτῶν, καὶ κεκράξονται πρὸς μὲ καὶ
οὐκ εἰσακούσομαι αὐτῶν. 12 καὶ πορεύσονται πόλεις Ἰούδα καὶ οἱ 12
κατοικοῦντες Ἰερουσαλὴμ καὶ κεκράξονται πρὸς τοὺς θεοὺς οἷς αὐτοὶ
θυμιῶσιν αὐτοῖς, μὴ σώσουσιν αὐτοὺς ἐν τῷ καιρῷ τῶν κακῶν αὐτῶν.
13 ὅτι κατ' ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί σου, Ἰούδα, καὶ 13
κατ' ἀριθμὸν ἐξόδων τῆς Ἰερουσαλὴμ ἐτάξατε βωμοὺς θυμιᾷν τῇ Βάαλ.
14 καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου περὶ 14
αὐτῶν ἐν δεήσει καὶ προσευχῇ, ὅτι οὐκ εἰσακούσομαι ἐν τῷ καιρῷ
ἐν ᾧ ἐπικαλοῦνταί με, ἐν καιρῷ κακώσεως αὐτῶν. 15 τί ἡ ἠγαπημένη 15
ἐν τῷ οἴκῳ μου ἐποίησεν βδέλυγμα; μὴ εὐχαὶ καὶ κρέα ἅγια ἀφε-
λοῦσιν ἀπὸ σοῦ τὰς κακίας σου, ἢ τούτοις διαφεύξῃ; 16 ἐλαίαν ὡραίαν 16
εὔσκιον τῷ εἴδει ἐκάλεσεν Κύριος τὸ ὄνομά σου· εἰς φωνὴν περιτομῆς
αὐτῆς ἀνήφθη πῦρ ἐπ' αὐτήν, μεγάλη ἡ θλίψις ἐπὶ σέ, ἠχρεώθησαν οἱ
κλάδοι αὐτῆς, 17 καὶ Κύριος ὁ καταφυτεύσας σε ἐλάλησεν ἐπὶ σὲ κακὰ 17
ἀντὶ τῆς κακίας οἴκου Ἰσραὴλ καὶ οἴκου Ἰούδα, ὅτι ἐποίησαν ἑαυτοῖς
τοῦ παροργίσαι με ἐν τῷ θυμιᾷν αὐτοὺς τῇ Βάαλ. 18 Κύριε, γνώ- 18
ρισόν μοι, καὶ γνώσομαι· τότε εἶδον τὰ ἐπιτηδεύματα αὐτῶν, 19 ἐγὼ δὲ 19
ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι οὐκ ἔγνων. ἐπ' ἐμὲ ἐλογί-
σαντο λογισμὸν πονηρόν, λέγοντες Δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς
τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ
ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ οὐκέτι. 20 Κύριε κρίνων δίκαια, δοκι- 20
μάζων νεφροὺς καὶ καρδίας, ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἐξ αὐτῶν,
ὅτι πρὸς σὲ ἀπεκάλυψα τὸ δικαίωμά μου. 21 διὰ τοῦτο τάδε λέγει 21

ℵAQ 11 επι τον λαον τουτον] επ αυτους Q | εξ αυτων εξελθειν ℵ 12 πολις ℵ* (-λεις ℵ$^{c.b(?)}$) | κεκραξονται] ras 1 lit post κ 2° A^{1} | θεους] + αυτων AQ | θυμιωσιν] εθυμιωσαν ℵ | αυτοις] + α'θ' ※ ϗ σωτηρια Q^{mg} | om μη σωσουσιν αυτους ℵ* (hab ου μη σωσουσιν αυτους ℵ$^{c.a\ mg}$ hab ϗ ου μη σ. αυτ. ℵ$^{c.b\ mg}$) | μη] pr ου Q | σωσουσιν] σουσουσιν A | τω καιρω] om τω AQ 13 κατ bis] κατα AQ | των πολεων] om των ℵQ | om σου 1° ℵ | εξοδων] pr των ℵ διοδων Q (sed δι rescr vid) α'σ' εξοδων θ' αμφοδω̄| Q^{mg} | εταξατε] εταξαν ℵA | βωμους] pr α'θ' ※ τη αισχυνη θυσιαστηρια Q^{mg} | θυμιαν] pr του AQ 14 περι 1°] υπερ A | προευχη ℵ* (σ superscr ℵ$^{?}$) | ισακουσω ℵ* εισακουσομαι ℵ$^{c.a(?)}$ | om εν 3° AQ 15 η ηγαπημενη] om η 1° ℵ* (superscr ℵ$^{c.a(?)}$) 16 εκαλεσεν] + σε ℵ* (postea improb) | επ αυτην] εν αυτη A | η θλιψις] om η ℵ* (superscr ℵ$^{c.a(?)}$) | ηχρειωθησαν B^{ab}Q^{a} | αυτης 2°] αυτος B$^{b\ vid}$ 17 Κυριος] + των δυναμεων Q | σε 1°] ε ℵ* (σε ℵ$^{c.a(?)}$) | οικου 1°] σουι|κου ℵ$^{*\ vid}$ | εποιησαν] in ο ras aliq B$^{?}$ | εαυτοις] αυτοις A 18 ιδον A 19 om δε ℵAQ | αγομενος ℵ* (-νο| ℵ$^{c.a(?)}$) | εγνων] + α'σ'θ' ※ οτι Q* | πονηρον] om Q + κατα σου A | ενβαλωμεν ℵ εμβαλομεν A | αρτον] τραχηλον A* (pr αρτον A^{a}) | εκτριψω ℵ* (-μεν ℵ$^{c.a(?)}$) | το ονομα] om το A | ουκετι] ετι AQ 20 δοκιμαζων] pr και ℵ | εξ αυτων] εν αυτοις Q | δικαιωμα] δικαιω sup ras ℵ$^{?}$

Κύριος ἐπὶ τοὺς ἄνδρας Ἀναθὼθ τοὺς ζητοῦντας τὴν ψυχήν μου, τοὺς B
λέγοντας Οὐ μὴ προφητεύσεις ἐπὶ τῷ ὀνόματι Κυρίου, εἰ δὲ μή,
22 ἀποθάνῃ ἐν ταῖς χερσὶν ἡμῶν. [22]ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπ' αὐτούς·
οἱ νεανίσκοι αὐτῶν ἐν μαχαίρᾳ ἀποθανοῦνται, καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ
23 θυγατέρες αὐτῶν τελευτήσουσιν ἐν λιμῷ, [23]καὶ ἐνκατάλιμμα οὐκ ἔσται
αὐτῶν, ὅτι ἐπάξω κακὰ ἐπὶ τοὺς κατοικοῦντας ἐν Ἀναθὼθ ἐν ἐνιαυτῷ
ἐπισκέψεως αὐτῶν.

XII 1 [1]Δίκαιος εἶ, Κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ· πλὴν κρίματα
λαλήσω πρὸς σέ. τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; εὐθήνησαν πάντες
2 οἱ ἀθετοῦντες ἀθετήματα; [2]ἐφύτευσας αὐτοὺς καὶ ἐριζώθησαν, ἐτεκνοποιήσαντο καὶ ἐποίησαν καρπόν· ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν,
3 καὶ πόρρω ἀπὸ τῶν νεφρῶν αὐτῶν· [3]καὶ σύ, Κύριε, γινώσκεις με,
δεδοκίμακας τὴν καρδίαν μου ἐναντίον σου· ἅγνισον αὐτοὺς εἰς ἡμέραν
4 σφαγῆς αὐτῶν. [4]ἕως πότε πενθήσει ἡ γῆ καὶ πᾶς ὁ χόρτος τοῦ
ἀγροῦ ξηρανθήσεται ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ; ἠφανίσθησαν κτήνη καὶ πετεινά, ὅτι εἶπαν Οὐκ ὄψεται ὁ θεὸς ὁδοὺς ἡμῶν.
5 [5]σοῦ οἱ πόδες τρέχουσιν καὶ ἐκλύουσίν σε· πῶς παρασκευάσῃ
ἐφ' ἵπποις, καὶ ἐν γῇ εἰρήνης οὐ πέποιθας; πῶς ποιήσεις ἐν
6 φρυάγματι τοῦ Ἰορδάνου; [6]ὅτι καὶ οἱ ἀδελφοί σου καὶ ὁ οἶκος τοῦ
πατρός σου, καὶ οὗτοι ἠθέτησάν σε, καὶ αὐτοὶ ἐβόησαν, ἐκ τῶν ὀπίσω
σου ἐπισυνήχθησαν· μὴ πιστεύσῃς ἐν αὐτοῖς, ὅτι λαλοῦσιν πρὸς σὲ
7 καλά. [7]Ἐνκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν
μου, ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς.
8 [8]ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ· ἔδωκεν ἐπ' ἐμὲ
9 τὴν φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν. [9]μὴ σπήλαιον ὑαίνης ἡ
κληρονομία μου ἐμοί, ἢ σπήλαιον κύκλῳ αὐτῆς; βαδίσατε συνάγετε

21 Κυριος] + ο θς A | προφητευσης A 22 ιδου] pr σ'θ' ※ δια τουτο ταδε λεγει κς των δυναμεω̄| Q^{mg} | αποθανουνται] πεσουνται A απολουνται Q^{*} (αποθαν. Q^{mg}) 23 εγκαταλειμμα $B^{ab}Q^{*}$ ενκαταλειμμα A εγκαταλιμμα Q^{a} | οτι] και ℵ | om εν 1° Q | ενιαυτων $ℵ^{*}$ (-τω $ℵ^{?}$) | επισκεψεως] επισκοπης $B^{ab (vid) mg}$ ℵAQ
XII 1 αθετηματα] αθετημα ℵ αθετησει A 2 εριζωθησαν (ερρ. Q)] εριζωσαν ℵA | ετεκνοποιησαν ℵAQ | om και εποιησαν ℵ 3 με] in μ ras aliq $B^{?}$ ε A (μ superscr A^{1}) + ※ ιδες με και Q^{mg} | δεδοκιμακας] εδοκιμασας A | σου] μου $ℵ^{*}$ (σου $ℵ^{?}$) + θ' ※ αθροισον αυτους ως προβατα εις σφαγη̄ Q^{mg} 4 ο χορτος] om ο A | om του αγρου A | εξηρανθησ. $ℵ^{*}$ | εν αυτη] αυτων A | ηφανισθησαν] ηφανισας A | οτι] και A 5 εκλυουσιν (-λυοσ. $ℵ^{*}$)] εκλυσουσιν A | παρασκευαζη ℵ | ειφ $ℵ^{*}$ (εφ $ℵ^{?}$) | ου] σου $ℵ^{?}$ (σ superscr) A συ Q | ποιησω $ℵ^{*}$ (-σις $ℵ^{c.a(?)}$) | φυαγματι $ℵ^{*}$ 6 om και 1° A | om και ουτοι A | λαλουσιν] λαλησουσιν B^{ab}ℵAQ | προς] επι A 7 εγκαταλελοιπα $B^{b}Q$ 8 εδωκαν $ℵ^{*}$ 9 υαινης] ληστων (-των A^{*} -των $A^{a?}$) A | om η σπηλαιον κυκλω αυτης A | σπηλαιον 2°] + ληστων (※ αδικιας) Q^{mg} | βαδισατε] pr επ αυτην Q | συναγετε] συναγαγετε B^{ab}ℵ (-ται) AQ pr και A

B πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν. 10 ποι- 10
μένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα
μου, ἔδωκαν τὴν μερίδα τὴν ἐπιθυμητήν μου εἰς ἔρημον ἄβατον,
11 ἐτέθη εἰς ἀφανισμὸν ἀπωλείας· δι' ἐμὲ ἀφανισμῷ ἠφανίσθη πᾶσα ἡ 11
γῆ, ὅτι οὐκ ἔστιν ἀνὴρ τιθέμενος ἐν καρδίᾳ. 12 ἐπὶ πᾶσαν διεκβολὴν 12
ἐν τῇ ερήμῳ ἦλθον ταλαιπωροῦντες, ὅτι μάχαιρα τοῦ κυρίου κατα-
φάγεται ἀπ' ἄκρου τῆς γῆς, οὐκ ἔστιν εἰρήνη πάσῃ σαρκί. 13 σπεί- 13
ρατε πυροὺς καὶ ἀκάνθας θερίζετε· οἱ κλῆροι αὐτῶν οὐκ ὠφελήσουσιν
αὐτούς· αἰσχύνθητε ἀπὸ καυχήσεως ὑμῶν, ἀπὸ ὀνειδισμοῦ ἔναντι
Κυρίου. 14 Ὅτι τάδε λέγει Κύριος περὶ πάντων τῶν γειτόνων 14
τῶν πονηρῶν, τῶν ἁπτομένων τῆς κληρονομίας μου ἧς ἐμέρισα τῷ
λαῷ μου Ἰσραήλ Ἰδοὺ ἐγὼ ἀποσπῶ αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν, καὶ
τὸν Ἰούδαν ἐκβαλῶ ἐκ μέσου αὐτῶν. 15 καὶ ἔσται μετὰ τὸ ἐκβαλεῖν 15
με αὐτοὺς ἐπιστρέψω καὶ ἐλεήσω αὐτούς, καὶ κατοικιῶ αὐτοὺς ἕκαστον
εἰς τὴν κληρονομίαν αὐτοῦ καὶ ἕκαστον εἰς τὴν γῆν αὐτοῦ. 16 καὶ 16
ἔσται ἐὰν μαθόντες μάθωσι τὴν ὁδὸν τοῦ λαοῦ μου τοῦ ὀμνύειν τῷ
ὀνόματί μου Ζῇ Κύριος, καθὼς ἐδίδαξαν τὸν λαόν μου ὀμνύειν τῇ
Βάαλ, καὶ οἰκοδομηθήσεται ἐν μέσῳ τοῦ λαοῦ μου· 17 ἐὰν δὲ μὴ ἐπι- 17
στρέψωσιν, καὶ ἐξαρῶ τὸ ἔθνος ἐκεῖνο ἐξάρσει καὶ ἀπωλείᾳ.

1 Τάδε λέγει Κύριος Βάδισον καὶ κτῆσαι σεαυτῷ περίζωμα λινοῦν 1 XIII
καὶ περίθου περὶ τὴν ὀσφύν σου, καὶ ἐν ὕδατι οὐ διελεύσεται. 2 καὶ 2
ἐκτησάμην τὸ περίζωμα κατὰ τὸν λόγον Κυρίου καὶ περιέθηκα περὶ
τὴν ὀσφύν μου. 3 καὶ ἐγενήθη λόγος Κυρίου πρὸς μὲ λέγων 4 Λάβε τὸ 3 4

ℵAQ 9 ελθατωσαν ℵA | φαγειν] καταφαγειν A 10 om εμολυναν την μεριδα μου ℵ | την μεριδα (-δαν ℵ*) την επιθ.] μεριδα επιθ. ℵQ μεριδα μου επιθ. A | om μου 3° A | αβατον ερημον ℵ 11 ετεθη] εγενηθη AQ | απωλιας ℵ | ηφανισθη αφανισμω ℵ | ασα ℵ* (πασα ℵ?) | τιθενος ℵ* (τιθεμ. ℵ?) 12 ηλθον] ηλθοσαν A | οτι] incep εις ℵ* | καταφαγεται] κατεφαγεν A | γης] pr γης (+ και A) εως ακρου της $B^{ab\,mg}$ℵAQ 13 εσπειρατε A | ακανθας ℵAQ | θεριζετε] θερισεται ℵ θερισατε AQ (Ωρ.: εν τισιν αντιγραφοις κειται εσπειρατε ϗ εθερισατε Q^{mg} [εαυτους A | αισχυνθ.] + αισχυνην A | ονιδισμων ℵ | εναντιον Q 14 πονηρων] σκληρων A | εμερισα (ημ. A* εμ. A^1)] εμερικα ℵ | Ισραηλ] pr σ' ※ τω Q^{mg} | αποσπω] ανασπω Q | Ιουδα ℵ* (ν superscr) 15 om με A | κληρονομιαν] γην Q | om και εκαστον εις την γην αυτου ℵ* (hab $ℵ^{c.a(?)\,mg}$) | γην] κληρονομιαν Q 16 μαθοντες] μανθανοντες A | μαθωσιν ℵAQ | om του λαου (1°) A | του ομνυειν] τω ομν. ℵ* | τω ονοματι] pr εν Q | τον bis scr ℵ | τη Βααλ] pr εν Q | οικοδομηθησεται] οικοδομηθησονται A (ωκοδ.) Q 17 επιστρεψωσιν] στρεψ sup ras Q^a | om και 1° A | εξαρσει] εξαρξει A | απωλεια (-λια ℵ)] + α'σ'θ' ※ φησι $\overline{κς}$ Q^{mg} XIII 1 Κυριος] + ※ προς με Q^{mg} | διελεσεται B (ελε sup ras) 2 περιεθηκα bis scr B* (non inst 2° B^b: περιεθ. 2°, ras aliq in ε $B^?$ 3 εγενηθη] εγενετο A | με] + α'σ'θ' ※ δευτερον Q^{mg}

περίζωμα τὸ περὶ τὴν ὀσφύν σου, καὶ ἀνάστηθι καὶ βάδισον ἐπὶ τὸν B
Εὐφράτην, καὶ κατάκρυψον αὐτὸ ἐκεῖ ἐν τῇ τρυμαλιᾷ τῆς πέτρας.
5 [5]καὶ ἐπορεύθην καὶ ἔκρυψα αὐτὸ ἐν τῷ Εὐφράτῃ, καθὼς ἐνετείλατό
6 μοι Κύριος. [6]καὶ ἐγένετο μεθ' ἡμέρας πολλὰς καὶ εἶπεν Κύριος πρὸς
μέ Ἀνάστηθι βάδισον ἐπὶ τὸν Εὐφράτην, καὶ λάβε ἐκεῖθεν τὸ περί-
7 ζωμα ὃ ἐνετειλάμην σοι τοῦ κατακρύψαι ἐκεῖ. [7]καὶ ἐπορεύθην ἐπὶ
τὸν Εὐφράτην ποταμὸν καὶ ὤρυξα, καὶ ἔλαβον τὸ περίζωμα ἐκ τοῦ
τόπου οὗ κατώρυξα αὐτὸ ἐκεῖ, καὶ ἰδοὺ διεφθαρμένον ἦν, ὃ οὐ μὴ
8 χρησθῇ εἰς οὐθέν. [8]καὶ ἐγενήθη λόγος Κυρίου πρὸς μὲ λέγων Τάδε
9 λέγει Κύριος [9]Οὕτω φθερῶ τὴν ὕβριν Ἰούδα καὶ τὴν ὕβριν Ἰερου-
10 σαλήμ, [10]τὴν πολλὴν ταύτην ὕβριν, τοὺς μὴ βουλομένους ὑπακούειν
τῶν λόγων μου, καὶ πορευθέντας ὀπίσω θεῶν ἀλλοτρίων τοῦ δουλεύειν
αὐτοῖς καὶ τοῦ προσκυνεῖν αὐτοῖς· καὶ ἔσονται ὥσπερ τὸ περίζωμα
11 τοῦτο, ὃ οὐ χρησθήσεται εἰς οὐθέν. [11]ὅτι καθάπερ κολλᾶται τὸ
περίζωμα περὶ τὴν ὀσφὺν τοῦ ἀνθρώπου, οὕτως ἐκόλλησα πρὸς
ἐμαυτὸν τὸν οἶκον τοῦ Ἰσραὴλ καὶ πᾶν οἶκον Ἰούδα, τοῦ γενέσθαι μοι
εἰς λαὸν ὀνομαστὸν καὶ εἰς καύχημα καὶ εἰς δόξαν· καὶ οὐκ εἰσήκουσάν
12 μου. [12]καὶ ἐρεῖς πρὸς τὸν λαὸν τοῦτον Πᾶς ἀσκὸς πληρωθήσεται
οἴνου· καὶ ἔσται ἐὰν εἴπωσιν πρὸς σέ Μὴ γνόντες οὐ γνωσόμεθα ὅτι
13 πᾶς ἀσκὸς πληρωθήσεται οἴνου; [13]καὶ ἐρεῖς πρὸς αὐτοὺς Τάδε λέγει
Κύριος Ἰδοὺ ἐγὼ πληρῶ τοὺς κατοικοῦντας τὴν γῆν ταύτην καὶ τοὺς
βασιλεῖς αὐτῶν τοὺς καθημένους υἱοὺς τοῦ Δαυεὶδ ἐπὶ τοῦ θρόνου
αὐτῶν καὶ τοὺς ἱερεῖς καὶ τοὺς προφήτας καὶ τὸν Ἰούδαν καὶ πάντας
14 τοὺς κατοικοῦντας ἐν Ἰερουσαλὴμ μεθύσματι, [14]καὶ διασκορπιῶ αὐτοὺς

4 περιζωμα] + α'σ'θ' ※ ο εκτησω Q^{mg} | κατακυψον ℵ* (κατακρ. ℵ?) ℵAQ
5 om και επορευθην ℵ* (hab ℵ$^{c.a\,(?mg)}$) pr α'θ' ※ Q^{mg} | αυτο εν] αυτον Q* (αυτο εν Q^{a}) 6 μεθ] μετα Q | βαδισον] pr και ℵA 7 om ποταμον Q | κατωρυξαν ℵ* (-ξα ℵ?) | om ιδου Q* (hab Q^{mg}) | ην]+α'σ'θ' ※ το περιζωμα Q^{mg} | ουθεν] ουδεν Q 8 εγενηθη] εγενετο Q 9 ουτως ℵAQ 10 υβριν] α'σ'θ' ※ τον λαον τουτον το| πονηρον Q^{mg} | υπακουειν] υπακουσαι Q | μου]+ ※ οι πορευοντ εν σκολιοτητι καρδιας αυτων της πονηρας + α'θ' ※ οι πορευομενοι εν τη ευθυτητι της καρδιας αυτων της πονηρας Q^{mg} | πορευθεντας] πορευομενους B$^{ab\,mg}$ ℵ* (πορευθ. ℵ$^{c.a(?)}$) πορευονται Q^{a} | ου] + μη ℵA | χρησθησεται] χρησθη ℵ + ετι Q | ουθεν] ουδεν Q 11 οτι καθαπερ] καθαπερ γαρ Q | κολλαται το] αι το rescr Q^{a} | τον οικον] pr α'σ' ※ παντα Q^{mg} | παν] παντα ℵ$^{?mg}$ παντα τον AQ | Ιουδα] pr του ℵ + α'σ'θ' φησιν κ̅ς̅ Q^{mg} | εισηκουσαν] ηκουσαν ℵ* (εισηκ. ℵ$^{c.a(?)}$) A 12 ερεις] incep επ ℵ^{*vid} | τουτον] pr τον λογον Q + α'σ'θ' ※ ταδε λεγει κ̅ς̅ θ̅ς̅ Ι̅η̅λ̅ Q^{mg} | 1° πα|ς ℵ* πας| ℵ$^{c.b(?)}$ 13 τους κατοικ. (1°)] pr παντας Q | υιου ℵ* | του Δαυειδ] om του ℵAQ | του θρονου] om του ℵ θρονους AQ | αυτων 2°] αυτου ℵ* | Ιουδα ℵ* | κατοικουντας 2°] καθημενους A | om εν ℵQ | μεθυσματι] μεθ υμας τι Bℵ

B *ἄνδρα καὶ τὸν ἀδελφὸν αὐτοῦ, καὶ τοὺς πατέρας αὐτῶν καὶ τοὺς υἱοὺς*
αὐτῶν ἐν τῷ αὐτῷ· οὐκ ἐπιποθήσω, λέγει Κύριος, καὶ οὐ φείσομαι καὶ
οὐκ οἰκτειρήσω ἀπὸ διαφθορᾶς αὐτῶν. 15 *Ἀκούσατε καὶ ἐνω-* 15
τίσασθε, καὶ μὴ ἐπαίρεσθε, ὅτι Κύριος ἐλάλησεν· 16 *δότε τῷ κυρίῳ θεῷ* 16
ὑμῶν δόξαν πρὸ τοῦ συσκοτάσαι καὶ πρὸ τοῦ προσκόψαι πόδας ὑμῶν
ἐπ᾽ ὄρη σκοτινά· καὶ ἀναμενεῖτε εἰς φῶς, καὶ ἐκεῖ σκιὰ θανάτου, καὶ
τεθήσονται εἰς σκότος. 17 *ἐὰν δὲ μὴ ἀκούσητε, κεκρυμμένως κλαύσεται* 17
ἡ ψυχὴ ὑμῶν ἀπὸ προσώπου ὕβρεως, καὶ κατάξουσιν οἱ ὀφθαλμοὶ
ὑμῶν δάκρυα, ὅτι συνετρίβη τὸ ποίμνιον Κυρίου. 18 *εἴπατε τῷ βασιλεῖ* 18
καὶ τοῖς δυναστεύουσιν Ταπεινώθητε καὶ καθίσατε, ὅτι καθῃρέθη ἀπὸ
κεφαλῆς ὑμῶν στέφανος δόξης ὑμῶν. 19 *πόλεις αἱ πρὸς νότον συνε-* 19
κλείσθησαν, καὶ οὐκ ἦν ὁ ἀνοίγων· ἀπῳκίσθη Ἰούδας, συνετέλεσαν
ἀποικίαν τελείαν. 20 *Ἀνάλαβε ὀφθαλμούς σου, Ἰερουσαλήμ, καὶ* 20
ἴδε τοὺς ἐρχομένους ἀπὸ βορρᾶ· ποῦ ἐστιν τὸ ποίμνιον ὃ ἐδόθη σοι,
πρόβατα δόξης σου; 21 *τί ἐρεῖς ὅταν ἐπισκέπτωνταί σε; καὶ σὺ* 21
ἐδίδαξας αὐτοὺς ἐπὶ σὲ μαθήματα εἰς ἀρχήν· οὐκ ὠδῖνες καθέξουσίν
σε καθὼς γυναῖκα τίκτουσαν; 22 *καὶ ἐὰν εἴπῃς ἐν τῇ καρδίᾳ σου Διὰ* 22
τί ἀπήντησέν μοι ταῦτα; διὰ τὸ πλῆθος τῆς ἀδικίας σου ἀνεκαλύφθη
τὰ ὀπίσθιά σου, παραδειγματισθῆναι τὰς πτέρνας σου. 23 *εἰ ἀλ-* 23
λάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς,
καὶ ὑμεῖς δυνήσεσθε εὖ ποιῆσαι μεμαθηκότες τὰ κακά. 24 *καὶ διέ-* 24
σπειρα αὐτοὺς ὡς φρύγανα φερόμενα ἀπὸ ἀνέμου εἰς ἔρημον. 25 *οὗτος* 25
ὁ κλῆρός σου καὶ μερὶς τοῦ ἀπειθεῖν ὑμᾶς ἐμοί, λέγει Κύριος· ὡς
ἐπελάθου μου καὶ ἤλπισας ἐπὶ ψεύδεσιν, 26 *κἀγὼ ἀποκαλύψω τὰ* 26
ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου, καὶ ὀφθήσεται ἡ ἀτιμία σου 27 *καὶ* 27

ℵAQ **14** *εν τω αυτω*] *επι το αυτο* Q | *οικτειρησω*] incep *τ* ℵ* postea *οικτιρησω* | *διαφθορας*] *διασπορας* ℵ* (*διαφθ.* ℵ$^{c.a(?)}$) **15** *ακουσατε*] *ακουσασθε* ℵ* (*-σαται* ℵ$^{c.a(?)}$) **16** *υμων* 1°] *ημων* A | *σκοτεινα* B^{ab}AQ **17** om *δε* ℵAQ | *ακουσητε*] + *α'θ'* ※ *αυτου* Q^{mg} | *κεκρυσμενως* ℵ* | *υβρεως*] + *α'θ'* ※ *ϛ δακρυουσα δακρυσει* Q^{mg} **18** om *και καθισατε* A | *κεφαλης*] pr *της* AQ | om *υμων* 2° A **19** *πολις* ℵ* (*-λεις* ℵ$^{c.b(?)}$) | *απωκεισθη* A | *συνετελεσεν* ℵAQ **20** *ανελαβε* A* (*αναλ.* A^{a}) | *οφθαλμους*] pr *τους* AQ^{mg} | *Ιερουσαλημ*] *Ιηλ* A^{a} | *βορραν* ℵ* | *ε|στιν* ℵ* *εσ|τιν* ℵ$^{?}$ **21** *μαθηματα*] *μαθητας* A | *καθως*] *ουχ ως* A **22** om *δια* 1° A | *αδικιας*] *κακιας* A | *ανεκαλυφθη*] pr *και* ℵ *απεκαλυφθη* Q **23** *Εθιοψ* ℵ* (*Αιθ.* ℵ$^{c.b(?)}$) | om *αυτου* A | *δυνησεσθε*] *δυνησεται* A | *εποιησε* ℵ* (*ευ ποιησε* ℵ$^{c.a(?)}$ *-σαι* ℵ$^{c.b(?)}$) **24** om *και* ℵ* (hab ℵ$^{c.a(?)mg}$) | *διεσπειρα*] *διεφθειρα* A | *απο*] *υπο* ℵAQ | *ερημον*] + *τοπον* A **25** *κληρος*] *κληρονομος* ℵ | om *και* 1° ℵQ | *απειθειν υμας*] *ιθειν υμας* sup ras pl fort litt A^{a} | *μου* (*μοι* ℵ*)] pr *νομου* A | *και* 2°] *η* A* (*και* A^{a}) **26** *οπισω*] *οπισθια* A | *επι*] *κατα* A | *το προσωπον*] om *το* AQ **27** om *και* 1° Q

ἡ μοιχεία σου καὶ χρεμετισμός σου καὶ ἡ ἀπαλλοτρίωσις τῆς πορνείας B
σου· ἐπὶ τῶν βουνῶν καὶ ἐν τοῖς ἀγροῖς ἑώρακα τὰ βδελύγματά
σου. οὐαί σοι, Ἰερουσαλήμ, ὅτι οὐκ ἐκαθαρίσθης ὀπίσω μου, ἕως
τίνος ἔτι;

XIV Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰερεμίαν περὶ τῆς ἀβροχίας.
2 [2]Ἐπένθησεν ἡ Ἰουδαία, καὶ αἱ πύλαι αὐτῆς ἐκενώθησαν, καὶ
3 ἐσκοτώθησαν ἐπὶ τῆς γῆς, καὶ ἡ κραυγὴ τῆς Ἰερουσαλὴμ ἀνέβη, [3]καὶ
οἱ μεγιστᾶνες αὐτῆς ἀπέστειλαν τοὺς νεωτέρους αὐτῶν ἐφ' ὕδωρ·
ἤλθοσαν ἐπὶ τὰ φρέατα, καὶ οὐχ εὕροσαν ὕδωρ, καὶ ἀπέστρεψαν τὰ
4 ἄγγια αὐτῶν κενά. [4]καὶ τὰ ἔργα τῆς γῆς ἐξέλιπεν, ὅτι οὐκ ἦν ὑετός·
5 ᾐσχύνθησαν οἱ γεωργοί, ἐπεκάλυψαν τὰς κεφαλὰς αὐτῶν. [5]καὶ
6 ἔλαφοι ἐν ἀγρῷ ἔτεκον καὶ ἐνκατέλιπον, ὅτι οὐκ ἦν βοτάνη. [6]ὄνοι
ἄγριοι ἔστησαν ἐπὶ νάπας· εἵλκυσαν ἄνεμον, ἐξέλιπον οἱ ὀφθαλμοὶ
7 αὐτῶν, ὅτι οὐκ ἦν χόρτος. [7]Αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν·
Κύριε, ποίησον ἡμῖν ἕνεκεν σοῦ, ὅτι πολλαὶ αἱ ἁμαρτίαι ἡμῶν ἐναντίον
8 σοῦ, ὅτι σοὶ ἡμάρτομεν. [8]ὑπομονὴ Ἰσραήλ, Κύριε, καὶ σώζεις ἐν
καιρῷ κακῶν· ἵνα τί ἐγενήθης ὡσεὶ πάροικος ἐπὶ τῆς γῆς καὶ ὡς
9 αὐτόχθων ἐκκλίνων εἰς κατάλυμα; [9]μὴ ἔσῃ ὥσπερ ἄνθρωπος ὑπνῶν ἢ
ὡς ἀνὴρ οὐ δυνάμενος σώζειν; καὶ σὺ ἐν ἡμῖν εἶ, Κύριε, καὶ τὸ ὄνομά
10 σου ἐπικέκληται ἐφ' ἡμᾶς· μὴ ἐπιλάθῃ ἡμῶν. [10]Οὕτως λέγει
Κύριος τῷ λαῷ τούτῳ Ἠγάπησαν κινεῖν πόδας αὐτῶν καὶ οὐκ ἐφεί-
σαντο, καὶ ὁ θεὸς οὐκ εὐόδωσεν ἐν αὐτοῖς· νῦν μνησθήσεται τῆς
11 ἀδικίας αὐτῶν. [11]καὶ εἶπεν Κύριος πρὸς μέ Μὴ προσεύχου περὶ τοῦ

27 η μοιχεια (-χια ℵ)] αι μοιχιαι A om η Q | χρεμετισμος] pr ο ℵAQ | ℵAQ πορνειας (-νιας A)] πονηριας ℵ | εκαθερισθης A XIV tit και εγενετο λογος Κυριου] ο λογος ο γενομενος A | Ιερεμιαν] + παρα κ̅υ̅ A | αβροχειας B* (-χιας B[b]) 2 Ιουδεα ℵ | κραυη ℵ* (-γη ℵ[c.b(?)]) 3 απεστειλαν] απεστησαν ℵ* (απεστειλ. ℵ[c.a(?)]) | αυτων 1°] αυτης A | ηλθοσαν] ηλθον Q | ευροσαν] ευρον A | om και 3° AQ | αγγεια B[ab]ℵQ[a] | κενα] + θ' ※ ησχυνθησαν ϗ ενετραπησα̅ και απεκαλυψαν τη̅ κεφαλη̅ αυτων Q[mg] 4 εξελειπεν A | υετος] + θ' ※ επι της γης Q[mg] 4—5 ησχυνθησαν...βοτανη] adpinx θ' ※ Q[mg] 4 οι γεωργοι] om οι AQ | επεκαλυψεν ℵ* (-ψαν ℵ[c.a(?)]) | τας κεφαλας] την κεφαλην (καιφ. ℵ*) ℵAQ 5 ετεκον] ετεκοσαν A | εγκατελιπον B[b]Q εγκατελειπον A 6 ονοι αγριοι] οναγροι ℵ | ναπας] ναπιναπας ℵ* | ειλκυσαν] pr και A | ανεμον] + α'θ' ※ ως δρακων Q[mg] | εξελειπον A | οφθαλμοι αυτων] οφθαλμοι μου των ℵ* (οφθ. αυτ. ℵ[1 fort et postea]) | χορτος] + απο λαου αδικιας AQ 7 αι αμαρτιαι] pr ει Q | σου 1°] pr του ονοματος Q | om οτι 2° Q 8 σωσεις ℵ | εν] pr και Q | ως] ωσει ℵ | αυτοχων ℵ* (-χθων ℵ[c.a(?)]) 9 μη 1°] η ℵ | τονομα ℵ 10 λεγει] ειπεν ℵ | ηγαπησαν] pr α'σ' ※ ουτως Q[mg] | ευοδωσεν (ευωδ. B[ab])] ευδοκησεν ℵA (ηυδ.) Q | της αδικιας] των αδικιων ℵAQ | αυτων 2°] + α'θ' ※ ϗ επισκεψεται αμαρτιας αυτων Q[mg] 11 προσευχου] ου sup ras A[a]

B λαοῦ τούτου εἰς ἀγαθά, 12 ὅτι ἐὰν νηστεύσωσιν, οὐκ εἰσακούσομαι τῆς 12
δεήσεως αὐτῶν, καὶ ἐὰν προσενέγκωσιν ὁλοκαυτώματα καὶ θυσίας,
οὐκ εὐδοκήσω ἐν αὐτοῖς, ὅτι ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ
ἐγὼ συντελέσω αὐτούς. 13 καὶ εἶπα Ὁ ὤν, Κύριε, ἰδοὺ οἱ προφῆται 13
αὐτῶν προφητεύουσιν καὶ λέγουσιν Οὐκ ὄψεσθε μάχαιραν, οὐδὲ λιμὸς
ἔσται ἐν ὑμῖν, ὅτι ἀλήθειαν καὶ εἰρήνην δώσω ἐπὶ τῆς γῆς καὶ ἐν τῷ
τόπῳ τούτῳ. 14 καὶ εἶπεν Κύριος πρός με Ψευδῆ οἱ προφῆται προ- 14
φητεύουσιν ἐπὶ τῷ ὀνόματί μου, οὐκ ἀπέστειλα αὐτοὺς καὶ οὐκ ἐνε-
τειλάμην αὐτοῖς καὶ οὐκ ἐλάλησα πρὸς αὐτούς· ὅτι ὁράσεις ψευδεῖς
καὶ μαντείας καὶ οἰωνίσματα καὶ προαιρέσεις καρδίας αὐτῶν αὐτοὶ
προφητεύουσιν ὑμῖν. 15 διὰ τοῦτο τάδε λέγει Κύριος περὶ τῶν προ- 15
φητῶν, τῶν προφητῶν τῶν προφητευόντων ἐπὶ τῷ ὀνόματί μου
ψευδῆ, καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτούς, οἳ λέγουσιν Μάχαιρα καὶ λιμὸς
οὐκ ἔσται ἐπὶ τῆς γῆς ταύτης Ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται, καὶ
ἐν λιμῷ συντελεσθήσονται οἱ προφῆται 16 καὶ ὁ λαὸς οἷς αὐτοὶ προ- 16
φητεύουσιν αὐτοῖς, καὶ ἔσονται ἐριμμένοι ἐν ταῖς ὁδοῖς Ἰερουσαλὴμ
ἀπὸ προσώπου μαχαίρας καὶ τοῦ λιμοῦ, καὶ οὐκ ἔσται ὁ θάπτων
αὐτούς, καὶ αἱ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες
αὐτῶν, καὶ ἐκχεῶ ἐπ᾽ αὐτοὺς τὰ κακὰ αὐτῶν. 17 καὶ ἐρεῖς πρὸς 17
αὐτοὺς τὸν λόγον τοῦτον Καταγάγετε ἐπ᾽ ὀφθαλμοὺς ὑμῶν δάκρυα
ἡμέρας καὶ νυκτὸς καὶ μὴ διαλιπέτωσαν, ὅτι συντρίμματι συνετρίβη
θυγάτηρ λαοῦ μου, καὶ πληγῇ ὀδυνηρᾷ σφόδρα. 18 ἐὰν ἐξέλθω εἰς τὸ 18
πεδίον, καὶ ἰδοὺ τραυματίαι μαχαίρας, καὶ ἐὰν εἰσέλθω εἰς τὴν πόλιν,
καὶ ἰδοὺ πόνος λιμοῦ, ὅτι ἱερεὺς καὶ προφήτης ἐπορεύθησαν εἰς γῆν
ἣν οὐκ ᾔδεισαν. 19 Μὴ ἀποδοκιμάζων ἀπεδοκίμασας τὸν Ἰούδαν, 19
καὶ ἀπὸ Σειὼν ἀπέστη ἡ ψυχή σου; ἵνα τί ἔπαισας ἡμᾶς καὶ

ℵAQ 11 αγαθον Q 12 νηστευσουσιν A | ουκ| εισ. B* ου|κ εισ. B^b | προσενεγκωσιν] προσενηγκωσιν ℵ* προσ|εν. B*Q* προ|σεν. B^b προσε|ν. Q^a | ευδοκησω] ευδοκω ℵQ | μαχαιρη A | συντελεσω] συντελω ℵ 13 Κυριε] pr δεσποτα A | om αυτων Q | οψομεθα ℵ* (οψεσθαι $ℵ^{c.a(?)}$) | ουδε] και Q | εσται] pr ουκ ℵQ | υμιν] ημιν A | αληθιαν ℵ | om και 4° ℵ* (superscr $ℵ^{c.a(?)}$) 14 προφητευσουσιν ℵ* (-τευουσιν $ℵ^{c.a\ vid\ et\ antea}$) | ορασις ℵ* | μαντιας ℵA | προερεσις ℵ* (-αιρεσεις $ℵ^?$) 15 δια τουτο] δια του ℵ* | om των προφητων 2° $B^{b\,vid}$ℵAQ | om επι 1° A | om ψευδη Q | και εγω] καγω ℵA | λεγουσιν] λεγοντες AQ | εν θανατω...συντελεσθησονται] α′θ′ ※ εν ρομφαια ϗ λιμω τελευτησουσι] Q^{mg} | προφηται] + α′σ′θ′ ※ εκεινοι Q^{mg} 16 ερριμμενοι B^{ab}ℵA | οδοις] διοδοις AQ | μαχαιρας (-ρης A)] pr της Q | του λιμου] om του ℵ | εσται] αιτιν ℵ* εστιν $ℵ^?$ | om και αι θυγατερες αυτων ℵ 17 επ] εφ ℵ εις Q | οφθαλμους] pr τους Q | διαλειπετωσαν AQ | συντριμματι] + α′σ′ ※ μεγαλω Q^{mg} | συ|νετριβη ℵ* συν|ετρ. $ℵ^?$ | θυγατηρ] pr η A pr α′σ′ ※ παρθενος Q^{mg} 18 μαχαιρας] ρομφαιας A | om εις 3° A | γην] οδον A 19 Σιων B^bℵAQ

οὐκ ἔστιν ἡμῖν ἴασις; ὑπεμείναμεν εἰς εἰρήνην, καὶ οὐκ ἦν ἀγαθά· B
20 εἰς καιρὸν ἰάσεως, καὶ ἰδοὺ ταραχή. [20]ἔγνωμεν, Κυριε, ἁμαρτήματα
21 ἡμῶν, ἀδικίας πατέρων ἡμῶν, ὅτι ἡμάρτομεν ἐναντίον σου. [21]κό-
πασον διὰ τὸ ὄνομά σου, μὴ ἀπολέσῃς θρόνον δόξης σου· μνήσθητι,
22 μὴ διασκεδάσῃς τὴν διαθήκην σου τὴν μεθ᾽ ἡμῶν· [22]μὴ ἔστιν ἐν
εἰδώλοις τῶν ἐθνῶν ὑετίζων; καὶ εἰ ὁ οὐρανὸς δώσει πλησμονὴν
αὐτοῦ, οὐχὶ σὺ εἶ αὐτός; καὶ ὑπομενοῦμέν σε, Κύριε, ὅτι σὺ ἐποίησας
πάντα ταῦτα.

XV 1 [1]Καὶ εἶπεν Κύριος πρός μέ Ἐὰν στῇ Μωσῆς καὶ Σαμουὴλ πρὸ
προσώπου μου, οὐκ ἔστιν ἡ ψυχή μου πρὸς αὐτούς· ἐξαπόστειλον τὸν
2 λαὸν τοῦτον, καὶ ἐξελθέτωσαν. [2]καὶ ἔσται ἐὰν εἴπωσιν πρὸς σὲ
Ποῦ ἐξελευσόμεθα; καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει Κύριος Ὅσοι
εἰς θάνατον, εἰς θάνατον· καὶ ὅσοι εἰς μάχαιραν, εἰς μάχαιραν· καὶ
ὅσοι εἰς λιμόν, εἰς λιμόν· καὶ ὅσοι εἰς αἰχμαλωσίαν, εἰς αἰχμαλωσίαν.
3 [3]καὶ ἐκδικήσω ἐπ᾽ αὐτοὺς τέσσαρα εἴδη, λέγει Κύριος· τὴν μάχαιραν
εἰς σφαγήν, καὶ τοὺς κύνας εἰς διασπασμόν, καὶ τὰ θηρία τῆς γῆς καὶ
4 τὰ πετεινὰ τοῦ οὐρανοῦ εἰς βρῶσιν καὶ διαφθοράν. [4]καὶ παραδώσω
αὐτοὺς εἰς ἀνάγκας πάσαις ταῖς βασιλείαις τῆς γῆς διὰ Μανασσὴ
υἱὸν Ἑζεκίου βασιλέα Ἰούδα, περὶ πάντων ὧν ἐποίησεν ἐν Ἰερου-
5 σαλήμ. [5]τίς φείσεται ἐπὶ σοί, Ἰερουσαλήμ; καὶ τίς δειλιάσει ἐπὶ
6 σοί; ἢ τίς ἀνακάμψει εἰς εἰρήνην σοι; [6]σὺ ἀπεστράφης με, λέγει
Κύριος, ὀπίσω πορεύσῃ, καὶ ἐκτενῶ τὴν χεῖρά μου καὶ διαφθερῶ σε,
7 καὶ οὐκέτι ἀνήσω αὐτούς. [7]καὶ διασπερῶ αὐτοὺς ἐν διασπορᾷ· ἐν
πύλαις λαοῦ μου ἠτεκνώθησαν, ἀπώλεσαν τὸν λαόν μου διὰ τὰς
8 κακίας αὐτῶν, [8]ἐπληθύνθησαν χῆραι αὐτῶν ὑπὲρ τὴν ἄμμον τῆς
θαλάσσης· ἐπήγαγον ἐπὶ μητέρα νεανίσκους, ταλαιπωρίαν ἐν μεσημ-

20 αμαρτηματα] αμαρτιας Q | αδικειας B* (-κιας B^{b}) | εναtιον ℵ* (εναντ. ℵAQ ℵ?) 21 κοπασον]+δη ℵ | om την 2° A 22 πλησ|μονην B* πλη|σμ. B^{b} | αυτος]+α′σ′ ※ κε ο θς ημων Q^{mg} | υπομενουμεν σε] μεν σε sup ras A^{a} | om Κυριε ℵAQ | παντα ταυτα] ταυτα παντα ℵ pr α′ ※ συν Q^{mg} XV 1 Μωυσης ℵQ | Σαμουηλ] Ααρων A | τουτον]+ ※ απο προσωπου μου Q | εξελθατωσαν ℵAQ* 2 Κυριος]+ο θς A | μαχαιραν bis] χαραν ℵ* 3 τεσσερα ℵAQ | διαφθοραν] pr εις ℵA 4 βασιλιαις ℵ | Μαννασση A | Εζεκια A | βασιλεως Q | ων] των Q* 4—6 εποιησεν|...απεστραφης in mg et sup ras A^{a} 5 και] η ℵ | ανακαμψει]+σ′θ′ ※ ερωτησαι Q^{mg} | εις] επ ℵ 6 οπισω]+μου A | χειραν Q* | μου]+επι σε A 7 om και διασπερω αυτους ℵ* (hab ℵ$^{c.a(?)\,mg}$) | διασπερω] διαφθερω A | om αυτους A | διασπορα] διαφθορα A | om μου 1° ℵ* (hab ℵ$^{?vid}$) | ητεκνωθην ℵ* (-θησαν ℵ$^{c.a(?)}$) | om απωλεσαν τον λαον μου ℵ | αυτων] + σ′ ※ ϛ ουκ απεστραφησαν Q^{mg} 8 επληθυνθησαν]+σ′ ※ επ εμε Q^{mg} | αυτων] αυτω η ℵ^{*vid} | την αμμον] om την ℵ | θαλασσεης ℵ | επηγαγον] + α′σ′ ※ αυτοις Q^{mg} | νεανισκους] νεανισκου ℵ (-νικου ℵ*) Q

B βρίᾳ, ἐπέριψαν ἐπ' αὐτὴν ἐξέφνης τρόμον καὶ σπουδήν. [9]ἐκενώθη ἡ 9
τίκτουσα ἑπτά, ἀπεκάκησεν ἡ ψυχὴ αὐτῆς, ἐπέδυ ὁ ἥλιος αὐτῇ ἔτι
μεσούσης τῆς ἡμέρας, κατῃσχύνθη καὶ ὠνειδίσθη· τοὺς καταλοίπους
αὐτῶν εἰς μάχαιραν δώσω ἐναντίον τῶν ἐχθρῶν αὐτῶν. [10]Οἴμοι 10
ἐγώ, μῆτερ, ὡς τίνα με ἔτεκες; ἄνδρα δικαζόμενον καὶ διακρινόμενον
ἐν πάσῃ τῇ γῇ· οὔτε ὠφέλησα, οὔτε ὠφέλησέν με οὐδείς· ἡ ἰσχύς μου
ἐξέλιπεν ἐν τοῖς καταρωμένοις με. [11]γένοιτο, δέσποτα, κατευθυνόντων 11
αὐτῶν· εἰ μὴ παρέστην σοι ἐν καιρῷ τῶν κακῶν αὐτῶν καὶ ἐν καιρῷ
θλίψεως αὐτῶν, εἰς ἀγαθὰ πρὸς τὸν ἐχθρόν. [12]Εἰ γνωσθήσεται 12
σίδηρος; καὶ περιβόλαιον χαλκοῦν ἡ ἰσχύς σου. [13]καὶ τοὺς θησαυ- 13
ρούς σου εἰς προνομὴν δώσω, ἀντάλλαγμα διὰ πάσας τὰς ἁμαρτίας
σου καὶ ἐν πᾶσι τοῖς ὁρίοις σου. [14]καὶ καταδουλώσω σε κύκλῳ τοῖς 14
ἐχθροῖς σου ἐν τῇ γῇ ᾗ οὐκ ᾔδεις· ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ
μου, ἐφ' ὑμᾶς καυθήσεται. [15]Κύριε, μνήσθητί μου καὶ ἐπί- 15
σκεψαί με, καὶ ἀθῴωσον ἀπὸ τῶν καταδιωκόντων με, μὴ εἰς μακρο-
θυμίαν· γνῶθι ὡς ἔλαβον περὶ σοῦ ὀνειδισμὸν [16]ὑπὸ τῶν ἀθετούντων 16
τοὺς λόγους σου· συντέλεσον αὐτούς, καὶ ἔσται ὁ λόγος σου ἐμοὶ εἰς
εὐφροσύνην καὶ χαρὰν καρδίας μου, ὅτι ἐπικέκληται τὸ ὄνομά σου
ἐπ' ἐμοί, Κύριε Παντοκράτωρ. [17]οὐκ ἐκάθισα ἐν συνεδρίῳ αὐτῶν 17
παιζόντων, ἀλλὰ εὐλαβούμην ἀπὸ προσώπου χειρός σου· κατὰ μόνας
ἐκαθήμην, ὅτι πικρίας ἐνεπλήσθην. [18]ἵνα τί οἱ λυποῦντές με κατι- 18
σχύουσίν μου; ἡ πληγή μου στερεά, πόθεν ἰαθήσομαι; γινομένη
ἐγενήθη μοι ὡς ὕδωρ ψευδές, οὐκ ἔχον πίστιν. [19]διὰ τοῦτο τάδε 19
λέγει Κύριος Ἐὰν ἐπιστρέψῃς, καὶ ἀποκαταστήσω σε καὶ πρὸ προσ-
ώπου μου στήσῃ· καὶ ἐὰν ἐξαγάγῃς τίμιον ἀπὸ ἀξίου, ὡς στόμα μου
ἔσῃ· καὶ ἀναστρέψουσιν αὐτοὶ πρὸς σέ, καὶ σὺ οὐκ ἀναστρέψεις πρὸς
αὐτούς. [20]καὶ δώσω σε τῷ λαῷ τούτῳ ὡς τεῖχος ὀχυρὸν χαλκοῦν· 20
καὶ πολεμήσουσιν πρὸς σέ, καὶ οὐ μὴ δύνωνται πρὸς σέ, διότι μετὰ

ℵAQ 8 επεριψαν (επερρ. B^{ab})] επεριψα ℵ επερριψα AQ | εξαιφνης B^{b}ℵ$^{c.b(?)}$Q
9 εκενωθη] εγενηθη ℵ* | αυτη] pr επ Q | ετι] επι ℵ | κατησχυνθην ℵ* | εναν-
τιον] εναντι ℵ | αυτων 2°] + φησιν κ̅ς̅ Q^{mg} 10 μητηρ ℵ | ω ℵ* (ως ℵ?) | και]
+ α'θ' ※ ανδρα Q^{mg} | om εν παση A | ουτε 1°] ουκ Q | ουτε 2°] ουδε ℵQ |
ουδεις] ουδε εις ℵ* | εξελειπεν A 11 αυτων 1°] + α'σ' ※ εις αγαθον Q^{mg}
12 γνωσεται ℵ* vid 13 δωσω] δωσως ℵ | ανταλγμα ℵ | αμαρτιας] κακιας A |
πασιν A 14 καταδουλωσουσιν A | om κυκλω Q | εκκαυται B* (εκκεκ. B^{ab})
15 Κυριε] pr α'σ'θ' ※ συ εγνως Q^{mg} | αθωωσον] + με ℵQ | απο] εκ ℵ | μακρο-
θυμιαν] + θ' ※ σου μη λαβης με Q^{mg} 16 αθετουτων B* (-ντων B^{ab}) | εμοι
2°] εμε Q | Κυριε] + σ' ※ ο θ̅ς̅ Q^{mg} 17 αλλα] αλλ Q | οτι] ο B* (οτι B^{ab})
18 ιαθησομαι] ιασομαι A | μοι εγενηθη A | ψευδος ℵA | εχον] εσχον ℵ$^{c.a}$
εχων A 19 σε 1°] ε ℵ* vid | om και 2° Q | αξιου] αναξιου ℵ$^{c.a(?)}$Q |
αναστρεψωσιν Q 20 τω λαω] pr εν ℵ | πολεμησωσι ℵ | om προς 1° A

21 σοῦ εἰμὶ τοῦ σώζειν σε [21]καὶ ἐξαιρεῖσθαί σε ἐκ χειρὸς πονηρῶν, καὶ B
λυτρώσομαί σε ἐκ χειρὸς λοιμῶν.

XVI 1 2 [1]Καὶ σὺ μὴ λάβῃς γυναῖκα, λέγει Κύριος ὁ θεὸς Ἰσραήλ, [2]καὶ οὐ
3 γεννηθήσεταί σοι υἱὸς οὐδὲ θυγάτηρ ἐν τῷ τόπῳ τούτῳ. [3]ὅτι τάδε
λέγει Κύριος περὶ τῶν υἱῶν καὶ περὶ τῶν θυγατέρων τῶν γεννωμένων
ἐν τῷ τόπῳ τούτῳ, καὶ περὶ τῶν μητέρων αὐτῶν τῶν τετοκυιῶν
αὐτούς, καὶ περὶ τῶν πατέρων αὐτῶν τῶν γεγεννηκότων αὐτοὺς ἐν τῇ
4 γῇ ταύτῃ [4]Ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται, οὐ κοπήσονται καὶ οὐ
ταφήσονται· εἰς παράδειγμα ἐπὶ προσώπου τῆς γῆς ἔσονται, καὶ
τοῖς θηρίοις τῆς γῆς ἔσονται καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ· ἐν
5 μαχαίρᾳ πεσοῦνται καὶ ἐν λιμῷ συντελεσθήσονται. [5]τάδε λέγει
Κύριος Μὴ εἰσέλθῃς εἰς θίασον αὐτῶν, καὶ μὴ πορευθῇς τοῦ κόψασθαι,
καὶ μὴ πενθήσῃς αὐτούς, ὅτι ἀφέστακα τὴν εἰρήνην μου ἀπὸ τοῦ
6 λαοῦ τούτου. [6]οὐ μὴ κόψονται αὐτοὺς οὐδὲ ἐντομίδας οὐ μὴ ποιή-
7 σουσιν καὶ οὐ ξυρηθήσονται, [7]καὶ οὐ μὴ κλασθῇ ἄρτος ἐν πένθει αὐτῶν
εἰς παράκλησιν ἐπὶ τεθνηκότι· οὐ ποτιοῦσιν αὐτὸν ποτήριον εἰς παρά-
8 κλησιν ἐπὶ πατρὶ καὶ μητρὶ αὐτοῦ. [8]εἰς οἰκίαν πότου οὐκ εἰσελεύσῃ
9 συνκαθίσαι μετ᾽ αὐτῶν τοῦ φαγεῖν καὶ πιεῖν. [9]διότι τάδε λέγει
Κύριος ὁ θεὸς Ἰσραὴλ Ἰδοὺ ἐγὼ καταλύω ἐκ τοῦ τόπου τούτου
ἐνώπιον τῶν ὀφθαλμῶν ὑμῶν καὶ ἐν ταῖς ἡμέραις ὑμῶν φωνὴν χαρᾶς
10 καὶ φωνὴν εὐφροσύνης, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης. [10]καὶ
ἔσται ὅταν ἀναγγείλῃς τῷ λαῷ τούτῳ ἅπαντα τὰ ῥήματα ταῦτα, καὶ
εἴπωσιν πρὸς σέ Διὰ τί ἐλάλησεν Κύριος ἐφ᾽ ἡμᾶς πάντα τὰ κακὰ
ταῦτα; τίς ἡ ἀδικία ἡμῶν; καὶ τίς ἡ ἁμαρτία ἡμῶν ἣν ἡμάρτομεν

21 σε 1°] + α′σ′θ′ ※ φησι $\overline{κς}$ ϗ ρυσομαι σε Q^{mg} | λυτρωσομαι σε] om ℵ ℵAQ pr ※ α′σ′θ′ Q$^{a\ et\ mg}$ **XVI 1** λαβης] + α′σ′ ※ σεαυτω Q | Ισραηλ] $\overline{Ιλ}$ηλ ℵ **2** τουτω] εκινω ℵ* (superscr τουτ ℵ$^{c.a(?)}$) **3** om περι 2° ℵAQ | γεννωμενων] γεγεννημενων ℵ | αυτων 1°] τουτων ℵ$^{*\ vid}$ **4** ου 1°] pr και ℵ | και ου] ουδε A | om και 2° Q | om εσονται 2° ℵAQ | μαχαιρη A **5** εισ|ελθης B* ει|σελθ. B^{b} | αυτων] αυτου ℵ* (αυτου ℵ$^{1\ vid}$) | om μη 3° A | πενθησεις ℵ | αφεστηκα ℵ*A | τουτου] + φησιν $\overline{κς}$ Q + (post $\overline{κς}$) θ′ ※ τον ελεον ϗ τους οικτιρμους (6) ϗ αποθανουνται μεγαλοι ϗ μικροι εν τη γη ταυτη Q^{mg} **6** ου μη (1°)] om μη ℵQ* (※ ουδ ου μη Q^{mg}) | κοψωνται A | ουδε] ουδ ℵ* (ουδε ℵ$^{c.a}$) | om ου 2° ℵQ | om μη 2° ℵ | και ου] και ου μη ℵ ουδε μη A | ξυρηθησονται] ξυρησονται AQ + ※ ουδ ου μη κλαυσωσιν αυτους ου κατορυγησουσ Q^{mg} **7** παρακλησιν 1°] παρακλησεις ℵ* (-σειν ℵ$^{?}$) | πατρι] + αυτου AQ | και 2°] η επι AQ **8** συνκαθισαι (συγκ. B^{ab}Q)] συ του καθεισαι A | πειν B* (πιειν B^{ab}) **9** ενωπιον] εναντιον Q | om και 1° ℵAQ | om και 2° A* (hab ϗ A$^{a?(mg)}$) **10** αναγγειλης] απαγγειλης ℵA | λαως ℵ* | om τουτω A | απαντα] παντα ℵAQ pr α′ ※ συν Q^{mg} | ειπωσι A | om Κυριος (hab ℵ$^{c.a(?)(mg)}$) | κακα] + α′σ′θ′ ※ τα μεγαλα Q

B ἔναντι Κυρίου τοῦ θεοῦ ἡμῶν; [11] καὶ ἐρεῖς αὐτοῖς Ἀνθ᾽ ὧν ἐνκατέλιπόν 11
με οἱ πατέρες ὑμῶν, λέγει Κύριος, καὶ ᾤχοντο ὀπίσω θεῶν ἀλλοτρίων
καὶ ἐδούλευσαν αὐτοῖς καὶ προσεκύνησαν αὐτοῖς, καὶ ἐμὲ ἐγκατέλιπον
καὶ τὸν νόμον μου οὐκ ἐφυλάξαντο, [12] καὶ ὑμεῖς ἐπονηρεύσασθε ὑπὲρ 12
τοὺς πατέρας ὑμῶν· καὶ ἰδοὺ ὑμεῖς πορεύεσθε ἕκαστος ὀπίσω τῶν
ἀρεστῶν τῆς καρδίας ὑμῶν τῆς πονηρᾶς τοῦ μὴ ὑπακούειν μου. [13] καὶ 13
ἀπορίψω ὑμᾶς ἀπὸ τῆς γῆς ταύτης εἰς τὴν γῆν ἣν οὐκ ᾔδειτε ὑμεῖς
καὶ οἱ πατέρες ὑμῶν, καὶ δουλεύσετε ἐκεῖ θεοῖς ἑτέροις οἳ οὐ δώσουσιν
ὑμῖν ἔλεος. [14] Διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ 14
οὐκ ἐροῦσιν ἔτι Ζῇ Κύριος ὁ ἀναγαγὼν τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς
Αἰγύπτου, [15] ἀλλά Ζῇ Κύριος ὃς ἀνήγαγεν τὸν οἶκον Ἰσραὴλ ἀπὸ γῆς 15
βορρᾶ καὶ ἀπὸ πασῶν τῶν χωρῶν οὗ ἐξώσθησαν ἐκεῖ· καὶ ἀπο-
καταστήσω αὐτοὺς εἰς τὴν γῆν αὐτῶν ἣν ἔδωκα τοῖς πατράσιν
αὐτῶν. [16] Ἰδοὺ ἐγὼ ἀποστέλλω τοὺς ἁλεεῖς τοὺς πολλούς, λέγει 16
Κύριος, καὶ ἁλιεύσουσιν αὐτούς· καὶ μετὰ ταῦτα ἀποστελῶ τοὺς
πολλοὺς θηρευτάς, καὶ θηρεύσουσιν αὐτοὺς ἐπάνω παντὸς ὄρους καὶ
ἐπάνω παντὸς βουνοῦ καὶ ἐκ τῶν τρυμαλιῶν τῶν πετρῶν. [17] ὅτι οἱ 17
ὀφθαλμοί μου ἐπὶ πάσας τὰς ὁδοὺς αὐτῶν, καὶ οὐκ ἐκρύβη τὰ ἀδική-
ματα αὐτῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου. [18] καὶ ἀνταποδώσω διὰ 18
πάσας τὰς κακίας αὐτῶν καὶ τὰς ἁμαρτίας αὐτῶν, ἐφ᾽ αἷς ἐβεβήλωσαν
τὴν γῆν μου ἐν τοῖς θνησιμαίοις τῶν βδελυγμάτων αὐτῶν καὶ ἐν ταῖς
ἀνομίαις αὐτῶν, ἐν αἷς ἐπλημμέλησαν τὴν κληρονομίαν μου. [19] Κύριε, 19
σὺ ἰσχύς μου καὶ βοηθία μου καὶ καταφυγή μου ἐν ἡμέραις κακῶν·
πρὸς σὲ ἔθνη ἥξουσιν ἀπ᾽ ἐσχάτου τῆς γῆς καὶ ἐροῦσιν Ὡς ψευδῆ
ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὠφέ-

ℵAQ 10 εναντιον AQ 11 αυτοις 1°] προς αυτους A | ενκατελιπον] εγκατελιπον B$^{a?b}$Q* εγκατελειπον AQ^{a} | υμων] αυτων A | om και προσεκυνησαν αυτοις A | εγκατελιπον] εγκατελειπον AQ^{a} (postea εγκατελιπον) | εφυλαξαν Q 12 επονηρευσασθε] ουκ επορευεσθαι ℵ* (επονηρευεσθαι ℵ$^{c.a(?)}$) + ※ του ποιησαι Q^{mg} | πορευ|εσθε B | εκατος ℵ* | αρεστων] εραστων A | υπακουεις ℵ* vid 13 απορριψω B$^{a?}$ℵA$^{*(vid)a}$Q | om απο της γης ταυτης A* (hab απορριψω... ταυτης in mg et sup ras A^{a}) | την γην] om την ℵQ | ηδειτε] ιδητε ℵ* (ηδιται ℵ$^{?}$) | om εκει A | ετεροις] αλλοτριοις Q* (ετ. Q^{mg}) + α'σ'θ' ※ ημερας κ̧ νυκτος Q^{mg} 15 απο γης βορραν (-ρρα ℵ$^{?}$) τον οικον Ι̅σ̅λ̅ ℵ | ου] ουκ ℵ* ου ℵ$^{c.a(?)}$ | αυτων] ταυτην ℵ* (αυτ. ℵ$^{c.a(?)}$) 16 τους αλεεις (αλειεις ℵ$^{?}$ αλιεις B$^{a?b}$Q)] om τους ℵQ | τους πολλους] om τους ℵQ | αποστελω] αποστελλω ℵ* (-στελω ℵ$^{c.a}$) | τους πολλους 2°] om τους Q τους σοφους A | επανω 1°] pr και ℵ | ορους] ορου A | βουνου] + υψηλου A 17 μου 1°] αυτων ℵ* (μου ℵ$^{c.a(?)}$ superscr) | αυτων 1°] + ουκ εκρυβησαν απο προσωπου μου ℵ* (uncis incl et εκρυβη pro -βησαν ℵ$^{c.a(?)}$) α'θ' ※ Q^{mg} 18 δια πασας] διπλας B^{ab}ℵAQ | κακιας] αδικιας ℵAQ 19 om συ AQ | βοηθεια B^{ab}Q | ημερα ℵQ

20 λημα. [20]εἰ ποιήσει ἑαυτῷ ἄνθρωπος θεούς, καὶ οὗτοι οὐκ εἰσὶν θεοί; B
21 [21]διὰ τοῦτο ἰδοὺ ἐγὼ δηλώσω αὐτοῖς ἐν τῷ καιρῷ τούτῳ τὴν χεῖρά
μου, καὶ γνωριῶ αὐτοῖς τὴν δύναμίν μου, καὶ γνώσονται ὅτι ὄνομά
μοι Κύριος.
XVII 5 [5]Ἐπικατάρατος ὁ ἄνθρωπος ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον,
καὶ στηρίσει σάρκα βραχίονος αὐτοῦ ἐπ' αὐτόν, καὶ ἀπὸ Κυρίου
6 ἀποστῇ ἡ καρδία αὐτοῦ· [6]καὶ ἔσται ὡς ἡ ἀγριομυρίκη ἡ ἐν τῇ ἐρήμῳ,
οὐκ ὄψεται ὅταν ἔλθῃ τὰ ἀγαθά, καὶ κατασκηνώσει ἐν ἁλίμοις καὶ ἐν
7 ἐρήμῳ, ἐν γῇ ἁλμυρᾷ ἥτις οὐ κατοικεῖται. [7]καὶ εὐλογημένος ὁ ἄν-
θρωπος ὃς πέποιθεν ἐπὶ τῷ κυρίῳ, καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ·
8 [8]καὶ ἔσται ὡς ξύλον εὐθηνοῦν παρ' ὕδατα, καὶ ἐπὶ ἰκμάδα βαλεῖ
ῥίζαν αὐτοῦ· οὐ φοβηθήσεται ὅταν ἔλθῃ καῦμα, καὶ ἔσται ἐπ' αὐτῷ
στελέχη ἀλσώδη, ἐν ἐνιαυτῷ ἀβροχίας οὐ φοβηθήσεται, καὶ οὐ
9 διαλείψει ποιῶν καρπόν. [9]βαθεῖα ἡ καρδία παρὰ πάντα, καὶ ἄνθρω-
10 πός ἐστιν· καὶ τίς γνώσεται αὐτόν; [10]ἐγὼ Κύριος ἐτάζων καρδίας καὶ
δοκιμάζων νεφρούς, τοῦ δοῦναι ἑκάστῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ καὶ κατὰ
11 τοὺς καρποὺς τῶν ἐπιτηδευμάτων αὐτοῦ. [11]ἐφώνησεν πέρδιξ, συνή-
γαγεν ἃ οὐκ ἔτεκεν· ποιῶν πλοῦτον αὐτοῦ οὐ μετὰ κρίσεως, ἐν ἡμίσει
ἡμερῶν αὐτοῦ ἐγκαταλείψουσιν αὐτόν, καὶ ἐπ' ἐσχάτων αὐτοῦ ἔσται
12 13 ἄφρων. [12]Θρόνος δόξης ὑψωμένος ἁγίασμα ἡμῶν· [13]ὑπομονὴ
Ἰσραήλ, Κύριε, πάντες οἱ καταλιπόντες σε καταισχυνθήτωσαν,

21 om την χειρα μου Q | την δυναμιν] pr τη|ν χειραν (-ρα Q?) μου και Q | ℵAQ
ονομα μοι Κυριος BQmg] pr εγω κ̅ς̅ ℵ* εγω κ̅ς̅ ℵc.a Q XVII 5 επικαταρατος]
pr Ωρ. θ' ※ (1) αμαρτια Ιουδα γεγραπτ, εν γραφιω σιδηρω εν ονυχι αδαμα̅|τινω
εκκεκολαμμενη επι του στηθους της καρδιας αυτω̅| ϗ τοις κερασι των θυσιαστη-
ριων υμω̅| (2) ηνικα αν μνησθωσι̅| οι υιοι αυτων τα θυσιαστηρια αυτων ϗ τα
αλση αυτων επι ξυλου δασεος ϗ επι βουνων μετεωρων (3) ορεων εν αγρω
ισχυν σου και παντας (superscr ※ σ') θησαυρους σου εις προνομην δωσω τα
υψηλα σου εν αμαρτια εν πασι τοις οριοις σου (4) αφεθησεται (corr αφεθηση
μονη) και τα|πεινωθηση απο της κληρονομιας σου ης εδωκα σοι ϗ αναβι-
βασω σε (corr καταδουλωσω σε) εν τοις εχθροις σου εν τη γη η ουκ εγνως
οτι πυρ εκκεκαυται εν τω θυμω μου εως αιωνος καυθησεται (5) ταδε λεγει κ̅ς̅
Qmg | ο ανθρωπος] om ο ℵQ | στηριση Q | σαρκας ℵc.a | om επ αυτον ℵQ |
απεστη ℵ* (αποστη ℵc.a?) 6 η αγριομυρικη (αγρομ. A* αγριομ. A1) η]
om η bis ℵ* | ουκ] pr η ℵAQ1 (vid) | om και 3° Q | ερημω 2°] ερημοις ℵ*
(ω superscr ℵc.a(?)) pr τη A pr γη Q | om εν 4° Q | κατοικειται] κατοικη-
θησεται ℵ* (-κειται ℵc.a(?)) 7 ηυλογημενος Q* vid 8 υδατι Q | ριζας
ℵAQ | ου 1°] pr και ℵc.a AQ | επ] εν A | αβροχειας B* (-χιας Bb) | ποιουν
ℵc.a Q 9 βοηθια ℵ 10 om και 1° ℵQ | αυτου 2°] αυτω̅ B* (-του Ba?b)
11 ημερων] ημων ℵ* (ημερων ℵc.a(?)) | ενκαταλειψουσιν A 12 υψω-
μενος] υψουμενος A + α' σ' ※ εξ αρχης τοπος Qmg 13 υπομονης ℵ* | κατα-
λειποντες A | καταισχυνθητωσαν] εσχυ̅|θητωσαν ℵ* (καταισχ. ℵc.a) pr πτοη-
θειησαν ου|τοι και μη πτοηθειην εγνω (corr εγω) ℵ* (uncis incl ℵc.a(?))

B ἀφεστηκότες ἐπὶ τῆς γῆς γραφήτωσαν, ὅτι ἐγκατέλιπον πηγὴν ζωῆς
τὸν κύριον. [14]ἴασαί με, Κύριε, καὶ ἰαθήσομαι· σῶσόν με, καὶ σω- 14
θήσομαι, ὅτι καύχημά μου σὺ εἶ. [15]ἰδοὺ αὐτοὶ λέγουσι πρὸς μέ Ποῦ 15
ἐστιν ὁ λόγος Κυρίου; ἐλθάτω. [16]ἐγὼ δὲ οὐκ ἐκοπίασα κατα- 16
κολουθῶν ὀπίσω σου, καὶ ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμησα, σὺ
ἐπίστῃ· τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου πρὸ προσώπου
σού ἐστιν. [17]μὴ γενηθῇς μοι εἰς ἀλλοτρίωσιν, φειδόμενός μου 17
ἐν ἡμέρᾳ πονηρᾷ. [18]καταισχυνθήτωσαν οἱ διώκοντές με, καὶ μὴ 18
καταισχυνθείην ἐγώ· πτοηθείησαν αὐτοί, καὶ μὴ πτοηθείην ἐγώ·
ἐπάγαγε ἐπ' αὐτοὺς ἡμέραν πονηράν, δισσὸν σύντριμμα σύντριψον
αὐτούς. [19]Τάδε λέγει Κύριος Βάδισον καὶ στῆθι ἐν ταῖς πύλαις 19
υἱῶν λαοῦ σου, ἐν αἷς εἰσπορεύονται ἐν αὐταῖς βασιλεῖς Ἰούδα καὶ ἐν
αἷς ἐκπορεύονται ἐν αὐταῖς, καὶ ἐν πάσαις ταῖς πύλαις Ἰερουσαλήμ,
[20]καὶ ἐρεῖς αὐτοῖς τὸν λόγον Κυρίου Βασιλεῖς Ἰούδα καὶ πᾶσα 20
Ἰουδαία καὶ πᾶσα Ἰερουσαλήμ, οἱ εἰσπορευόμενοι ἐν ταῖς πύλαις
ταύταις, [21]τάδε λέγει Κύριος Φυλάσσεσθε τὰς ψυχὰς ὑμῶν, καὶ μὴ 21
αἴρετε βαστάγματα ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων καὶ μὴ ἐκπορεύεσθε
ταῖς πύλαις Ἰερουσαλήμ, [22]καὶ μὴ ἐκφέρετε βαστάγματα ἐξ οἰκιῶν 22
ὑμῶν ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ πᾶν ἔργον οὐ ποιήσετε·
ἁγιάσατε τὴν ἡμέραν τῶν σαββάτων καθὼς ἐνετειλάμην τοῖς πατρά-
σιν ὑμῶν. καὶ οὐκ ἤκουσαν καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν, [23]καὶ 23
ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν ὑπὲρ τοὺς πατέρας αὐτῶν τοῦ μὴ
ἀκοῦσαί μου καὶ τοῦ μὴ δέξασθαι παιδείαν. [24]καὶ ἔσται ἐὰν εἰσα- 24

ℵAQ 13 επι] απο ℵ$^{c.a}$ | γραφητωσαν] εγγραφ. ℵ$^{c.a}$ | ενκατελιπον ℵ εγκατελειπον A 14 με 1°...σωθησομαι in mg et sup ras A^{a} (om σωσον...σωθησομαι A^{*vid}) | om οτι A | καυχημα] pr το ℵ$^{c.a}$ | om συ A 15 λεγουσιν ℵAQ | ελθετω Q$^{b(vid)}$ + ※ α'θ' δη Q^{mg} 16 επιστη] επιστασαι AQ | χειλεων] χιλιων ℵ* (χιλεων ℵ?) | προσωπου] π 1° sup ras B? | σου 2°] μου A 17 γενηθης] εγενηθης A^{*vid} (ras ε A?) | μου] + α'θ' ※ συ Q^{mg} | om εν ημερα πονηρα ℵ* (hab ℵ$^{c.a(?)mg\ sup}$) 18 καταισχυνθητωσαν] καταισχυνθειησαν Q | καταισχυνθειην] πτοηθειην A | om πτοηθειην A | ημεραν] λιμον A | συντριμα ℵ 19 Κυριος] + ※ προς με Q^{mg} | ταις πυλαις] om ταις AQ | om εν αυταις (1°) Q* (hab ※ εν αυταις αυτοι ϗ οι Q^{mg}) | bis scr βασιλεις Ιουδα και εν αις εκπορευονται εν αυταις B* (uncis incl 1° B^{ab}) eadem prorsus om ℵ* (hab ℵ$^{c.a\ mg\ inf}$ ante εν αυταις: εν αυταις in mg postea ras) 20 αυτοις] προς αυτους AQ | τον λογον] pr ακουσατε B$^{ab(mg)}$ ℵ (om τον) A (om τον) Q | $\overline{κυ}$ βασιλεις sup ras B^{ab} | και πασα Ιουδαια] κ. πασα η Ιουδ. ℵQ om A 21 φυλασσεσθε] pr μη A* (ras μη A?) | ψυχας] φυλακας A 21—22 om και μη εκπορευεσθε...σαββατων (1°) ℵ* (hab και μη εκπορευεσθαι ταις πυλαις Ιλημ| και μη φερεται [corr εκφερεται] βασταγματα εξ οικειων| υμων εν τη ημερα των σαββατων ℵ$^{c.a\ mg}$) 22 οικιων] οικων A | υμων 2°] ημων A 23 ακουσαι] εισακουσαι A | om και του μη δεξ. παιδειαν A | πεδιαν ℵ* παιδιαν ℵ$^{c.b(?)}$

κούσητέ μου, λέγει Κύριος, τοῦ μὴ εἰσφέρειν βαστάγματα διὰ τῶν B
πυλῶν τῆς πόλεως ταύτης ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἁγιάζειν
25 τὴν ἡμέραν τῶν σαββάτων τοῦ μὴ ποιεῖν πᾶν ἔργον, 25 καὶ εἰσε-
λεύσονται διὰ τῶν πυλῶν τῆς πόλεως ταύτης βασιλεῖς καὶ ἄρχοντες
καθήμενοι ἐπὶ θρόνου Δαυεὶδ καὶ ἐπιβεβηκότες ἐφ' ἅρμασιν καὶ
ἵπποις αὐτῶν, αὐτοὶ καὶ οἱ ἄρχοντες αὐτῶν, ἄνδρες Ἰούδα καὶ οἱ
κατοικοῦντες ἐν Ἰερουσαλήμ· καὶ κατοικισθήσεται ἡ πόλις αὕτη εἰς
26 τὸν αἰῶνα, 26 καὶ ἥξουσιν ἐκ τῶν πόλεων Ἰούδα, καὶ κυκλόθεν
Ἰερουσαλὴμ καὶ ἐκ γῆς Βενιαμεὶν καὶ ἐκ γῆς πεδινῆς καὶ ἐκ τοῦ
ὄρους καὶ ἐκ τῆς πρὸς νότον φέροντες ὁλοκαυτώματα καὶ θυσίαν καὶ
θυμιάματα καὶ μάννα καὶ λίβανον, φέροντες αἴνεσιν εἰς οἶκον Κυρίου.
27 27 καὶ ἔσται ἐὰν μὴ εἰσακούσητέ μου τοῦ ἁγιάζειν τὴν ἡμέραν τῶν
σαββάτων, τοῦ μὴ αἴρειν βαστάγματα καὶ μὴ εἰσπορεύεσθαι ταῖς
πύλαις Ἰερουσαλὴμ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἀνάψω πῦρ
ἐν ταῖς πύλαις αὐτῆς καὶ καταφάγεται ἄμφοδα Ἰερουσαλήμ, καὶ οὐ
σβεσθήσεται.

XVIII Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἰερεμίαν λέγων

2 2 Ἀνάστηθι καὶ κατάβηθι εἰς οἶκον τοῦ κεραμέως, καὶ ἐκεῖ ἀκούσῃ
3 τοὺς λόγους μου. 3 καὶ κατέβην εἰς οἶκον τοῦ κεραμέως, καὶ ἰδοὺ
4 αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων, 4 καὶ ἔπεσεν τὸ ἄγγιον ὃ αὐτὸς
ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ· καὶ πάλιν αὐτὸς ἐποίησεν αὐτὸ ἄγγιον
5 ἕτερον καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ ποιῆσαι. 5 καὶ ἐγένετο λόγος
6 Κυρίου πρὸς μὲ λέγων 6 Εἰ καθὼς ὁ κεραμεὺς οὗτος οὐ δυνήσομαι τοῦ
ποιῆσαι ὑμᾶς, οἶκος Ἰσραήλ; ἰδοὺ ὡς ὁ πηλὸς τοῦ κεραμέως ὑμεῖς
7 ἐστὲ ἐν χερσίν μου. 7 πέρας λαλήσω ἐπὶ ἔθνος ἢ ἐπὶ βασιλείαν τοῦ

24 εισακουσητε] ακουσητε A ακοη ακουσητε Q | om και αγιαζειν τ. η. των ℵAQ σαββατων ℵ* hab και ασιαζιν τ. η. των σαββ. $ℵ^{1mg}$ | ποιειν]+εν αυτη Q 25 εισ|ελευσονται B* ει|σελ. $B^{?}$ | om αυτων 1° ℵ | ανδρες] pr και οι ℵ* | om εν A | κατοικισθησεται] κατοικηθ. AQ 26 Βενιαμιν ℵ | γης 2°] της ℵAQ | om και 8° ℵ* (superscr $ℵ^{c.a}$) | θυμιαμα A | μαννā| ℵ 27 εισ|α-κουσητε B* εισα|κουσ. $B^{?}$ | om μη 3° $ℵ^{c.a}$AQ | ταις πυλαις] τας π. ℵ* XVIII tit προς Ιερ. παρα Κυριου Q | λεγων sup ras B^{ab} 2 λογοις ℵ* 3 οικον] pr τον AQ 4 επεσεν] διεπεσεν ℵQ | αγγειον (1°) $B^{a?b}Q^{a}$ | om ο ℵ* (hab $ℵ^{c.a}$) | αυτος 1°] αυτου ℵ | εποιει]+α'θ' ※ εν τω πηλω Q^{mg} | αυτος 2°] αυτο A om Q | om αυτο A | αγγειον (2°) BQ^{a} | ενωπιον] εναντιον Q | ποιησαι] pr του ℵAQ 5 λεγων]+ ※ ειπε αυτοις Q^{mg} 6 κεραμεους ℵ* | Ισραηλ]+α'σ'θ' ※ φησιν κ̅ς̅ Q^{mg} | πηλος]+α' ※ εν χειρι (?χερσιν) Q^{mg} | υμεις] pr α'σ'θ' ※ ουτως Q^{mg} | χερσιν] pr ταις AQ | μου]+ ※ οικος Ι̅η̅λ̅ Q^{mg} 7 εθνη ℵ* (εθνος $ℵ^{c.a(?)}$) | η] και ℵ | βασιλειαν (-λιαν ℵ*)] βασιλειας A

B ἐξᾶραι αὐτοὺς καὶ τοῦ ἀπολλύειν, [8]καὶ ἐπιστραφῇ τὸ ἔθνος ἐκεῖνο ἀπὸ 8
πάντων τῶν κακῶν αὐτῶν, καὶ μετανοήσω περὶ τῶν κακῶν ὧν
ἐλογισάμην τοῦ ποιῆσαι αὐτοῖς. [9]καὶ πέρας λαλήσω ἐπὶ ἔθνος καὶ 9
βασιλείαν τοῦ ἀνοικοδομεῖσθαι καὶ τοῦ καταφυτεύεσθαι, [10]καὶ ποιή- 10
σωσιν τὰ πονηρὰ ἐναντίον μου τοῦ μὴ ἀκούειν τῆς φωνῆς μου, καὶ
μετανοήσω περὶ τῶν ἀγαθῶν ὧν ἐλάλησα τοῦ ποιῆσαι αὐτοῖς. [11]καὶ 11
νῦν εἰπὸν πρὸς ἄνδρας Ἰούδα καὶ πρὸς τοὺς κατοικοῦντας Ἰερου-
σαλήμ Ἰδοὺ ἐγὼ πλάσσω ἐφ' ὑμᾶς κακά, καὶ λογίζομαι ἐφ' ὑμᾶς
λογισμόν· ἀποστραφήτω δὴ ἕκαστος ἀπὸ ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς,
καὶ καλλίονα ποιήσετε τὰ ἐπιτηδεύματα ὑμῶν. [12]καὶ εἶπαν Ἀνδριού- 12
μεθα, ὅτι ὀπίσω τῶν ἀποστροφῶν ἡμῶν πορευσόμεθα, καὶ ἕκαστος
τὰ ἀρεστὰ τῆς καρδίας αὐτοῦ τῆς πονηρᾶς ποιήσομεν. [13]Διὰ 13
τοῦτο τάδε λέγει Κύριος Ἐρωτήσατε δὴ ἐν ἔθνεσιν Τίς ἤκουσεν τοιαῦτα
φρικτὰ ἃ ἐποίησεν σφόδρα παρθένος Ἰσραήλ; [14]μὴ ἐκλείψουσιν 14
ἀπὸ πέτρας μαστοί, ἢ χιὼν ἀπὸ τοῦ Λιβάνου; μὴ ἐκκλινεῖ ὕδωρ
βιαίως ἀνέμῳ φερόμενον; [15]ὅτι ἐπελάθοντό μου λαός μου, εἰς κενὸν 15
ἐθυμίασαν, καὶ ἀσθενήσουσιν ἐν ταῖς ὁδοῖς αὐτῶν σχοίνους αἰωνίους
τοῦ ἐπιβῆναι τρίβους οὐκ ἔχοντας ὁδὸν εἰς πορείαν, [16]τοῦ τάξαι τὴν 16
γῆν αὐτῶν εἰς ἀφανισμὸν καὶ σύριγμα αἰώνιον· πάντες οἱ διαπο-
ρευόμενοι αὐτῆς ἐκστήσονται καὶ κινήσουσιν τὴν κεφαλὴν αὐτῶν.
[17]ὡς ἄνεμον καύσωνα διασπερῶ αὐτοὺς κατὰ πρόσωπον ἐχθρῶν αὐ- 17
τῶν, δείξω αὐτοῖς ἡμέραν ἀπωλείας αὐτῶν. [18]Καὶ εἶπαν Δεῦτε 18
λογισώμεθα ἐπὶ Ἰερεμίαν λογισμόν, ὅτι οὐκ ἀπολεῖται νόμος ἀπὸ
ἱερέως καὶ βουλὴ ἀπὸ συνετοῦ καὶ λόγος ἀπὸ προφήτου· δεῦτε καὶ
πατάξωμεν αὐτὸν ἐν γλώσσῃ, καὶ ἀκουσόμεθα πάντας τοὺς λόγους

ℵAQ 7 αυτους] + σ' ※ ϗ καθελειν Q^mg 8 επιστραφη] ras aliq in η B? επιστρεψη AQ | om παντων Q | om αυτων A | των κακων (2°)] pr παντω| ℵA | ελογισαμην] ελαλησα A 9 εθνη A | βασιλειαν (-λιαν ℵ*)] pr επι ℵQ επι βασιλειας A 10 ποιησουσι ℵA (-σιν) | την φωνην A 11 ειπον] ειπον ℵ* ειπεν A* vid (ο sup ras A¹) | ανδρα ℵ* | Ιερουσαλημ] pr εν ℵ | ιδου] pr ※ λεγων ουτως λεγει κ̅ς̅ Q^mg | λογειμον ℵ* (sup μ punctum superscr ℵ?) | οδου] pr της A | ποιησατε AQ | τα επιτηδευματα] om τα ℵ* (hab ℵ^c.a) | υμων] + ※ ϗ τας οδους υμων Q^mg 12 πορευσωμεθα ℵ* 13 δη] in η ras aliq B? vid | εποιησεν] + μοι A | Ισραηλ] Ιημ ℵ Ιλημ A 14 om μη 1° ℵ* (hab ℵ^c.a (?) mg) | εκκλινει] εκκλινη ℵ εκλειψη A 15 επελαθεντο B*ℵA (επελαθοντο B^b sak Q) | λαος] pr ο ℵAQ | εθυμιασεν ℵ* | om εις 2° A | πορειαν (-ριαν ℵ)] πορiας A 16 συριγμα (συρρηγμα A)] pr εις A | διαπορευομενοι] παραπορ. A | αυτης] pr δι B^ab ℵAQ | την κεφαλην Bℵ^c.a (?) Q^a] om την ℵ* τας κεφαλας AQ* 17 εχθρων] pr των A | αυτων 1°] + ※ αυχενα ϗ ου προσωπον Q^mg | απωλιας ℵ 18 ιερεων ℵ* | συνετων ℵ* | om εν A | ακουσομεθα] pr ※ ουκ Q^mg

19 αὐτοῦ. [19]Εἰσάκουσόν μου, Κύριε, καὶ εἰσάκουσον τῆς φωνῆς τοῦ B
20 δικαιώματός μου. [20]εἰ ἀνταποδίδοται ἀντὶ ἀγαθῶν κακά; ὅτι συνε-
λάλησαν ῥήματα κατὰ τῆς ψυχῆς μου, καὶ τὴν κόλασιν αὐτῶν ἔκρυ-
ψάν μοι· μνήσθητι ἑστηκότος μου κατὰ πρόσωπόν σου τοῦ λαλῆσαι
ὑπὲρ αὐτῶν ἀγαθά, τοῦ ἀποστρέψαι τὸν θυμόν σου ἀπ' αὐτῶν.
21 [21]διὰ τοῦτο δὸς τοὺς υἱοὺς αὐτῶν εἰς λιμόν, καὶ ἄθροισον αὐτοὺς εἰς
χεῖρας μαχαίρας· γενέσθωσαν αἱ γυναῖκες αὐτῶν ἄτεκνοι καὶ χῆραι,
καὶ οἱ ἄνδρες αὐτῶν γενέσθωσαν ἀνῃρημένοι θανάτῳ, καὶ οἱ νεανί-
22 σκοι αὐτῶν πεπτωκότες μαχαίρᾳ ἐν πολέμῳ. [22]γενηθήτω κραυγὴ ἐν
ταῖς οἰκίαις αὐτῶν, ἐπάξεις ἐπ' αὐτοὺς λῃστὰς ἄφνω, ὅτι ἐνεχείρησαν
23 λόγον εἰς σύλλημψίν μου καὶ παγίδας ἔκρυψαν ἐπ' ἐμέ. [23]καὶ σύ,
Κύριε, ἔγνως ἅπασαν τὴν βουλὴν αὐτῶν ἐπ' ἐμὲ εἰς θάνατον· μὴ
ἀθῳώσῃς τὰς ἀδικίας αὐτῶν, καὶ τὰς ἁμαρτίας αὐτῶν ἀπὸ προσώπου
σου μὴ ἐξαλείψῃς· γενέσθω ἡ ἀσθένεια αὐτῶν ἐναντίον σου, ἐν καιρῷ
θυμοῦ σου ποίησον ἐν αὐτοῖς.

XIX 1 [1]Τότε εἶπεν Κύριος πρὸς μέ Βάδισον καὶ κτῆσαι βικὸν πεπλασ-
μένον ὀστράκινον, καὶ ἄξεις ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ ἀπὸ
2 τῶν ἱερέων, [2]καὶ ἐξελεύσῃ εἰς τὸ πολυάνδριον υἱῶν τῶν τέκνων
αὐτῶν, ὅ ἐστιν ἐπὶ τῶν προθύρων πύλης τῆς Θαρσείς, καὶ ἀνάγνωθι
3 ἐκεῖ πάντας τοὺς λόγους τούτους οὓς ἂν λαλήσω πρὸς σέ, [3]καὶ ἐρεῖς
αὐτοῖς Ἀκούσατε τὸν λόγον Κυρίου, βασιλεῖς Ἰούδα καὶ ἄνδρες Ἰούδα
καὶ οἱ κατοικοῦντες Ἰερουσαλὴμ καὶ οἱ εἰσπορευόμενοι ἐν ταῖς πύλαις
ταύταις Τάδε λέγει Κύριος ὁ θεὸς Ἰσραήλ Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν
τόπον τοῦτον κακὰ ὥστε παντὸς ἀκούοντος αὐτὰ ἠχήσει τὰ ὦτα

18 αυτου] αυτων ℵ* (αυτου ℵ$^{c.a(?)}$) 19 εισακουσον 2°] επακουσον A ℵAQ
20 om μοι ℵAQ* (hab Q^{mg}) | λαλησαι]+α B* (improb B^{ab}) | αποστεψε ℵ* (αποστρεψαι ℵ$^{c.a(?)}$) | τον θυμον] την θυραν ℵ* vid (τον θυμ. ℵ$^{c.a(?)}$) 21 μαχαιρας] om ℵ* (hab ℵ$^{c.a? mg}$) μαχαιρης A | om και 2° A | γενεσθωσαν 2°] εστωτες A | θανατω] pr εν A | μαχαιρα] εν μαχαιρη A 22 om αυτων Q* (hab sub ※ Q^{mg})+α'σ'θ' ※ οτι Q^{mg} | επαξεις] επαγαγε A | αφνων ℵ* | ενεχιρωσαν ℵ* | συλλημψ. B^{b} -λημψ. AQ 23 Κυριε]+κ̅ε̅ A | απασαν] πασαν ℵ | αυτων 1°]+ην εβουλευσαντο A | εμε] εμοι ℵ* (εμε ℵ$^{c.a(?)}$) | αμαρτιας] +των πατερων ℵAQ | om σου 1° ℵ* (superscr ℵ$^{c.a(?)}$) | μη 2°] pr και A | ασθενια ℵ | θυμω ℵ | om εν 2° A XIX 1 om οστρακινον ℵ* (hab ℵ$^{c.a(?) mg}$) | λαου (λου ℵ*)] + σου A | των ιερεων] pr των πρεσβυτερων AQ
2 πολυανδρειον B*Q (-δριον B^{b}ℵA) | πυλης] πυλων ℵ pr της A | Θαρσεις] πρθαρσινς ℵ* Θαρσις ℵ^{1} Χαρσιθ ℵ$^{c.a}$ Χαρσειθ AQ | om τουτους ℵAQ | αν] εαν A 3 τον λογον] τους λογους ℵ λογους A | βασιλεως ℵ* (-λεις ℵ$^{c.a(?)}$) | om και ανδρες Ιουδα A | Ιερουσαλημ] pr εν B^{ab}ℵ | om και οι εισπ. εν τ. π. ταυταις ℵ | Κυριος]+α'σ' ※ των δυναμεω̅| Q^{mg} | om αυτα A | τα ωτα] pr αμφοτερα ℵ$^{c.a\ mg}$Q

B αὐτοῦ, [4]ἀνθ' ὧν ἐγκατέλιπόν με καὶ ἀπηλλοτρίωσαν τὸν τόπον 4
τοῦτον, καὶ ἐθυμίασαν ἐν αὐτῷ θεοῖς ἀλλοτρίοις οἷς οὐκ ᾔδεισαν αὐτοὶ
καὶ οἱ πατέρες αὐτῶν· καὶ οἱ βασιλεῖς Ἰούδα ἔπλησαν τὸν τόπον
τοῦτον αἱμάτων ἀθῴων, [5]καὶ ᾠκοδόμησαν ὑψηλὰ τῇ Βάαλ τοῦ κατα- 5
καίειν τοὺς υἱοὺς αὐτῶν ἐν πυρί· οὐκ ἐνετειλάμην οὐδὲ διενοήθην ἐν
τῇ καρδίᾳ μου. [6]διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ 6
οὐ κληθήσεται τῷ τόπῳ τούτῳ Διάπτωσις καὶ Πολυάνδριον υἱοῦ
Ἐννόμ, ἀλλ' ἢ Πολυάνδριον τῆς σφαγῆς. [7]καὶ σφάξω τὴν βουλὴν 7
Ἰούδα καὶ τὴν βουλὴν Ἰερουσαλὴμ ἐν τῷ τόπῳ τούτῳ, καὶ καταβαλῶ
αὐτοὺς ἐν μαχαίρᾳ ἐναντίον τῶν ἐχθρῶν αὐτῶν καὶ ἐν χερσὶν τῶν
ζητούντων τὰς ψυχὰς αὐτῶν, καὶ δώσω τοὺς νεκροὺς αὐτῶν εἰς
βρῶσιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς, [8]καὶ 8
κατάξω τὴν πόλιν ταύτην εἰς ἀφανισμὸν καὶ εἰς συριγμόν· πᾶς ὁ
παραπορευόμενος ἐπ' αὐτῆς σκυθρωπάσει καὶ συριεῖ ὑπὲρ πάσης τῆς
πληγῆς αὐτῆς. [9]καὶ ἔδονται τὰς σάρκας τῶν υἱῶν αὐτῶν καὶ τὰς 9
σάρκας τῶν θυγατέρων αὐτῶν, καὶ ἕκαστος τὰς σάρκας τοῦ πλησίον
αὐτοῦ ἔδονται ἐν τῇ περιοχῇ καὶ πολιορκίᾳ ᾗ πολιορκήσουσιν αὐτοὺς
οἱ ἐχθροὶ αὐτῶν. [10]καὶ συντρίψεις τὸν βικὸν κατ' ὀφθαλμοὺς τῶν 10
ἀνδρῶν τῶν ἐκπορευομένων μετὰ σοῦ, [11]καὶ ἐρεῖς Τάδε λέγει Κύριος 11
Οὕτως συντρίψω τὸν λαὸν τοῦτον καὶ τὴν πόλιν ταύτην καθὼς
συντρίβεται ἄγγος ὀστράκινον, ὃ οὐ δυνήσεται ἰαθῆναι. [12]ὅτι οὕτως 12
ποιήσω, λέγει Κύριος, τῷ τόπῳ τούτῳ καὶ τοῖς κατοικοῦσιν ἐν αὐτῷ,
τοῦ δοθῆναι τὴν πόλιν ταύτην ὡς τὴν διαπίπτουσαν. [13]καὶ οἶκοι 13

ℵAQ 4 ων] + α' ⁜ οσα Q^{mg} | εγκατελιπον] ενκατελιπομεν ℵ εγκατελειπον AQ | om με ℵ* (hab ℵ$^{c.a(?) mg}$) | τον τοπον bis] pr α' ⁜ συν Q^{mg} 5 υψηλα] pr τα Q$^{* vid}$ (postea ras: hab sub ⁜ Q^{mg}) | πυρι (πυρ ℵ*)] + σ' ⁜ ολοκαυτωματα τω Βααλ Q^{mg} | ουκ] pr α ℵAQ | ενετειλαμην] + ουδε ελαλησα AQ 6 τω τοπω] pr επι A | τουτω] + ετι B^{ab}ℵQ | διαπτωσις] Θαφεθ ϗ φαραγξ Q^{mg} | πολυανδρειον (1°) B* (-δριον B^{b}ℵAQ) | πολυανδρειον (2°) B* (-δριον ℵAQ)] φαραγξ Q^{mg} 7 σφαξω] κατασφαξω Q | μαχαιρη A | εναντι ℵQ | των ζητουντων] om των ℵ* (superscr ℵ$^{c.a(?)}$) | ουρανου] + και τοις πετ. | του ουρ. Q* (improb Q$^{1 fort}$) 8 καταξω] ταξω AQ | την πολιν] pr α' ⁜ συν Q^{mg} | om εις 2° A | συρισμον ℵ* (γ sup ras ℵ$^{?}$) Q | πορευομενος ℵ* (παρα superscr ℵ$^{c.a(?)}$) | επ αυτης] επ αυτη Q | πασης] ταυτης ℵ* (πασ. ℵ$^{c.a(?)}$) 9 om αυτων 2° ℵ | πολιορκια] pr εν ℵA pr εν τη Q | πολιορκησωσιν Q | αυτων 3°] + α'σ'θ' ⁜ ϗ οι ζητουντες τη̄ ψυχη̄ αυτω̄ Q^{mg} 10 βικον] + τουτον A 11 ερεις] + προς αυτους Q | τον λαον] pr α' ⁜ συν Q^{mg} | ιαθηναι] + ετι AQ + (post ετι) α'θ' ⁜ ϗ εν τω Θαφεθ θαψουσῑ παρα τὸ μη υπαρχειν τοπον του θαψαι Q^{mg} 12 om οτι AQ | om ποιησω ℵ* (superscr ℵ$^{c.a(?)}$) | λεγει Κυριος] ειπεν κ̅ς̅ ℵ om A | τουτω] + λεγει κ̅ς̅ A | om και A | την πολιν] pr α' ⁜ συν Q^{mg} | ταυτην (αυτην ℵ*)] om A | διαπιπτουσαν] + γην ℵ* (improb ℵ$^{?}$) 13 οικοι 1°] pr οι ℵ pr εσονται οι Q

Ἰερουσαλὴμ καὶ οἶκοι βασιλέων Ἰουδὰ ἔσονται καθὼς ὁ τόπος ὁ B
διαπίπτων, ἀπὸ τῶν ἀκαθαρσιῶν αὐτῶν ἐν πάσαις ταῖς οἰκίαις ἐν
αἷς ἐθυμίασαν ἐπὶ τῶν δωμάτων αὐτῶν πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ
14 καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις. [14]Καὶ ἦλθεν Ἰερεμίας
ἀπὸ τῆς διαπτώσεως, οὗ ἀπέστειλεν αὐτὸν Κύριος ἐκεῖ τοῦ προφη-
τεῦσαι, καὶ ἔστη ἐν τῇ αὐλῇ οἴκου Κυρίου καὶ εἶπε πρὸς πάντα τὸν
15 λαόν [15]Τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὴν πόλιν ταύτην καὶ
ἐπὶ πάσας τὰς πόλεις αὐτῆς καὶ ἐπὶ τὰς κώμας αὐτῆς ἅπαντα τὰ κακὰ
ἃ ἐλάλησα ἐπ' αὐτήν, ὅτι ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν τοῦ μὴ
εἰσακούειν τῶν ἐντολῶν μου.

XX 1 [1]Καὶ ἤκουσεν Πασχὼρ υἱὸς Ἐμμὴρ ὁ ἱερεύς, καὶ οὗτος ἦν καθεστα-
μένος ἡγούμενος οἴκου Κυρίου, τοῦ Ἰερεμίου προφητεύοντος τοὺς
2 λόγους τούτους. [2]καὶ ἐπάταξεν αὐτόν, καὶ ἐνέβαλεν αὐτὸν εἰς τὸν
καταράκτην ὃς ἦν ἐν πύλῃ οἴκου ἀποτεταγμένου τοῦ ὑπερῴου, ὃς ἦν ἐν
3 οἴκῳ Κυρίου. [3]καὶ ἐξήγαγεν Πασχὼρ τὸν Ἰερεμίαν ἐκ τοῦ κατα-
ράκτου, καὶ εἶπεν αὐτῷ Ἰερεμίας Οὐχὶ Πασχὼρ ἐκάλεσεν Κύριος τὸ
4 ὄνομά σου ἀλλ' ἢ Μέτοικον. [4]διότι τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ
δίδωμί σε εἰς μετοικίαν σὺν πᾶσι τοῖς φίλοις σου· καὶ πεσοῦνται ἐν
μαχαίρᾳ ἐχθρῶν αὐτῶν, καὶ οἱ ὀφθαλμοί σου ὄψονται· καὶ σὲ καὶ
πάντα Ἰουδὰ δώσω εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ μετοικιοῦσιν
5 αὐτοὺς καὶ κατακόψουσιν ἐν μαχαίραις. [5]καὶ δώσω τὴν πᾶσαν ἰσχὺν
τῆς πόλεως ταύτης καὶ πάντας τοὺς πόνους αὐτῆς καὶ πάντας τοὺς

13 οικοι 2°] pr οι ℵ$^{c.a}$Q | βασιλεως Q^{a} | Ιδα ℵ* (Ιουδα ℵ$^{c.a(?)}$) | om εσονται Q | διαπιπτων] + ※ παντες οικοι βασιλεω̄| Ιουδα ως τοπος του Ταφεθ Q^{mg} | om απο ℵQ | om αυτων 1° AQ | εθυμιωσαν A | αυτων 2°] om AQ* (hab Q^{mg}) | στρατεια AQ* (-τια Q^{a}) 14 Ιηρεμιας A | διαπτωσεως] + του τοπου Ταφεθ A adnot Ταφεθ ερμηνευεται διαπτωσις Q^{mg} | om εκει A | τη αυλη] om τη ℵ* (superscr ℵ$^{c.a}$) A | οικου] pr του Q | ειπεν ℵAQ | παντα sup ras 7 ut vid litt Q$^{a?}$ 15 Κυριος] + α'θ' των δυναμεων ο θ̄ς̄ Ῑη̄λ̄ Q^{mg} | την πολιν ταυτην] Ῑλ̄η̄μ̄ Q | και 1°] pr κακα A | om πασας ℵA | πολις B*ℵ*A (-λεις B^{ab}ℵ$^{c.b(?)}$Q) | αυτης 1°] om ℵQ πασας A | om επι 3° ℵ | αυτην] + και επι τας πολεις (-λις ℵ* -λεις ℵ$^{c.b(?)}$) αυτης ℵAQ | τραχηλον] αυχενα ℵQ | εισακουσαι Q | εντολων] λογων AQ XX 1 υιος] pr ο Q | κατεσταμενος A 2 αυτον 1°] Πασχωρ το̄| Ιερεμιαν το̄| προφητη̄| Q^{mg} | ενεβαλεν] εδωκε̄| Q^{mg} | αποτεταγμενη ℵ* (-νου ℵ^{1}) 3 και 1°] pr ※ α'θ' κ̄ εγενετο τη επαυριο̄| Q^{mg} | μετοικον (-χον A* -κον A^{b})] + α'σ'θ' ※ κυκλοθεν Q^{mg} 4 διοτι] δια τουτο A | μετοικεσιαν Q* (-κιαν Q$^{?}$) | πασιν A | μαχαιρη A | Ιουδαν ℵ$^{c.a(?)}$ AQ | αυτους] + ※ εις Βαβυλωνα Q^{mg} | κατακοψουσιν] + αυτους AQ | μαχαιραις] μαχαιρα A 5 την πασαν ισχυν] πασαν την ισχ. A | παντας 1°] pr α' ※ συν Q^{mg} | αυτης] + ※ κ̄ πασᾱ| την τιμην αυτης Q^{mg} ℵAQ

B *θησαυροὺς τοῦ βασιλέως Ἰούδα εἰς χεῖρας ἐχθρῶν αὐτοῦ, καὶ ἄξουσιν*
αὐτοὺς εἰς Βαβυλῶνα. [6]*καὶ σὺ καὶ πάντες οἱ κατοικοῦντες ἐν τῷ* 6
οἴκῳ σου πορεύσεσθε ἐν αἰχμαλωσίᾳ, καὶ ἐν Βαβυλῶνι ἀποθανῇ, καὶ
ἐκεῖ ταφήσῃ σὺ καὶ πάντες οἱ φίλοι σου οἷς ἐπροφήτευσας αὐτοῖς
ψευδῆ.

[7]*Ἠπάτησάς με, Κύριε, καὶ ἠπατήθην, ἐκράτησας καὶ ἠδυνάσθης·* 7
ἐγενόμην εἰς γέλωτα, πᾶσαν ἡμέραν διετέλεσα μυκτηριζόμενος· [8]*ὅτι* 8
πικρῷ λόγῳ μου γελάσομαι, ἀθεσίαν καὶ ταλαιπωρίαν ἐπικαλέσομαι,
ὅτι ἐγενήθη λόγος Κυρίου εἰς ὀνειδισμὸν ἐμοὶ καὶ χλευασμὸν πᾶσαν
ἡμέραν μου. [9]*καὶ εἶπα Οὐ μὴ ὀνομάσω τὸ ὄνομα Κυρίου, καὶ οὐ* 9
μὴ λαλήσω ἔτι ἐπὶ τῷ ὀνόματι αὐτοῦ. καὶ ἐγένετο ὡς πῦρ καιόμενον
φλέγον ἐν τοῖς ὀστοῖς μου, καὶ παρεῖμαι πάντοθεν καὶ οὐ δύναμαι
φέρειν, [10]*ὅτι ἤκουσα ψόγον πολλῶν συναθροιζομένων κυκλόθεν* 10
κυκλόθεν Ἐπισύστητε, καὶ ἐπισυστῶμεν ἐπ' αὐτῷ πάντες ἄνδρες
φίλοι αὐτοῦ· τηρήσατε τὴν ἐπίνοιαν αὐτοῦ εἰ ἀπατηθήσεται, καὶ
δυνησόμεθα αὐτῷ καὶ λημψόμεθα τὴν ἐκδίκησιν ἡμῶν ἐξ αὐτοῦ. [11]*ὁ* 11
δὲ κύριος μετ' ἐμοῦ καθὼς μαχητὴς ἰσχύων· διὰ τοῦτο ἐδίωξαν καὶ
νοῆσαι οὐκ ἠδύναντο· ᾐσχύνθησαν σφόδρα, ὅτι οὐκ ἐνόησαν ἀτιμίας
αὐτῶν, αἳ δι' αἰῶνος οὐκ ἐπιλησθήσονται. [12]*Κύριε, δοκιμάζων* 12
δίκαια, συνίων νεφροὺς καὶ καρδίας, ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν
ἐν αὐτοῖς, ὅτι πρὸς σὲ ἀπεκάλυψα τὰ ἀπολογήματά μου. [13]*ᾄσατε* 13
τῷ κυρίῳ, αἰνέσατε αὐτῷ, ὅτι ἐξείλατο ψυχὴν πένητος ἐκ χειρὸς
πονηρευομένων. [14]*Ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ ἐτέχθην ἐν αὐτῇ.* 14
ἡ ἡμέρα ἐν ᾗ ἔτεκέν με ἡ μήτηρ μου μὴ ἔστω ἐπευκτή· [15]*ἐπι-* 15
κατάρατος ὁ ἄνθρωπος ὁ εὐαγγελισάμενος τῷ πατρί μου λέγων

ℵAQ 5 Ιουδα] + *δωσω* Q^{mg} | *εχθων* ℵ* (*εχθρ.* $ℵ^{c.a(?)}$) | *αυτου*] *αυτων* AQ^{a} + *α'θ'* ※ *κ̧ διαρπωνται αυτους κ̧ λημψονται αυτους* Q^{mg} 6 *συ* 1°] + *Πασχωρ* Q^{mg} | *κατοικουντεις* ℵ* (-*τες* ℵ?) | *πορευεσθε* ℵ* *πορευσεσθαι* $ℵ^{c.a(?)}$ 7 *εκρατησας*] + *με* ℵ | *ηδυνασθην* ℵ | *εγενομην*] pr *και* ℵ 8 *λογος*] pr *ο* Q | *χλευασμον*] *εις χλευασμα* ℵ *εις χλευασμον* AQ 9 *ονομασω*] + *ετι* Q | om *ετι* A | *αυτου*] *τουτω* A | *εγενετο*] + *α'σ'θ'* ※ *εν τη καρδια μου* Q^{mg} | *οστεοις* ℵAQ | *παρειμι* Q* (-*μαι* Q^{a}) 10 *οτι*] *επι* ℵ* (*οτι* $ℵ^{c.a}$) | *συναθριζομενων* ℵ* (-*θροιζ.* $ℵ^{c.a(?)}$) | om *κυκλοθεν* 1° B^{ab}AQ | *επιστηται* ℵ* (*επισυστ.* $ℵ^{c.a(?)}$) | om *επ* Q^{vid} | *αυτω* 1°] *αυτον* A | *λημψομεθα* Q^{a} 11 *ο δε*] *και* AQ | *μαχητης*] *μαθητης* A | *ισχυων*] *ισχυρος* A | *αιωνος*] incep *αιε* $ℵ^{*vid}$ 12 *Κυριε*] + *θ'* ※ *των δυναμεων* Q^{mg} | *εν αυτοις*] *εξ αυτων* Q | *τα απολογ.*] om *τα* ℵ* (superscr $ℵ^{c.a(vid)}$) 13 *εξειλετο* Q | *ψυχην*] pr *α'σ'* ※ *την* Q^{mg} | *πονηρευομενων*] pr *στερεωτερō*| ℵ* pr *στερεοτερō*| *κ̧* $ℵ^{c.a}$ *στερεωτερων αυτου* AQ* (*πονηρ.* Q^{mg}) 14 om *εν* 1° A | *ετεχθην*] *εγενηθην* A | *εν* 3°] om ℵ pr ※ (superscr) Q? 15 *ευαγγελισαμενος*] *σ* sup ras A^{a}

15 Ἐτέχθη σοι ἄρσεν, εὐφραινόμενος. [16]ἔστω ὁ ἄνθρωπος ἐκεῖνος ὡς B
αἱ πόλεις ἃς κατέστρεψεν Κύριος ἐν θυμῷ καὶ οὐ μετεμελήθη,
17 ἀκουσάτω κραυγῆς τὸ πρωὶ καὶ ἀλαλαγμοῦ μεσημβρίας· [17]ὅτι οὐκ ἀπέ-
κτεινέν με ἐν μήτρᾳ καὶ ἐγένετό μοι ἡ μήτηρ μου τάφος μου καὶ ἡ
18 μήτρα συλλήμψεως αἰωνίας. [18]ἵνα τί τοῦτο ἐξῆλθον ἐκ μήτρας τοῦ
βλέπειν κόπους καὶ πόνους, καὶ διετέλεσαν ἐν αἰσχύνῃ αἱ ἡμέραι μου;

XXI Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἰερεμίαν, ὅτε ἀπέστειλεν πρὸς αὐτὸν ὁ βασιλεὺς Σεδεκίας τὸν Πασχὼρ υἱὸν Μελχίου καὶ Σοφονίαν υἱὸν Μανασσαίου τὸν ἱερέα λέγων

2 [2]Ἐπερώτησον περὶ ἡμῶν τὸν κύριον, ὅτι βασιλεὺς Βαβυλῶνος
ἐφέστηκεν ἐφ' ἡμᾶς, εἰ ποιήσει Κύριος κατὰ πάντα τὰ θαυμάσια
3 αὐτοῦ, καὶ ἀπελεύσεται ἀφ' ἡμῶν. [3]Καὶ εἶπεν πρὸς αὐτοὺς
4 Ἰερεμίας Οὕτως ἐρεῖτε πρὸς Σεδεκίαν βασιλέα Ἰούδα [4]Τάδε λέγει
Κύριος Ἰδοὺ ἐγὼ μεταστρέφω τὰ ὅπλα τὰ πολεμικὰ ἐν οἷς ὑμεῖς
πολεμεῖτε ἐν αὐτοῖς πρὸς τοὺς Χαλδαίους τοὺς συνκεκλεικότας ὑμᾶς
5 ἔξωθεν τοῦ τείχους εἰς τὸ μέσον τῆς πόλεως ταύτης, [5]καὶ πολεμήσω
ἐγὼ ὑμᾶς ἐν χειρὶ ἐκτεταμένῃ καὶ ἐν βραχίονι κραταιῷ μετὰ θυμοῦ
6 καὶ ὀργῆς μεγάλης· [6]καὶ πατάξω πάντας τοὺς κατοικοῦντας ἐν τῇ
πόλει ταύτῃ, τοὺς ἀνθρώπους καὶ τὰ κτήνη, ἐν θανάτῳ μεγάλῳ, καὶ
7 ἀποθανοῦνται. [7]καὶ μετὰ ταῦτα οὕτως λέγει Κύριος Δώσω τὸν
Σεδεκίαν βασιλέα Ἰούδα καὶ τοὺς παῖδας αὐτοῦ καὶ τὸν λαὸν τὸν
καταλειφθέντα ἐν τῇ πόλει ταύτῃ ἀπὸ τοῦ θανάτου καὶ ἀπὸ τοῦ λιμοῦ

15 σοι] incep σον ℵ* | αρσην AQ^{a} pr α'σ'θ' ※ υιος Q^{mg} | ευφραινομενος] ℵAQ + ※ θ' ευφρανεν αυτον Q^{mg} 16 εστω] εσται A | πολις ℵ* (-λεις ℵ$^{c.b}$) | κατεστεψεν ℵ* | ακουσατε ℵ* (-τω ℵ$^{c.a (vid)}$) | μεσημβριας] pr ※ εν καιρω Q^{mg} 17 μητρα 1°] + μητρος AQ | η μητρα] om η Q | συλληψεως Q^{a} 18 μητρος ℵ* | πονους] μοχθους ℵ* (πον. ℵ$^{c.a\,mg}$) | om και 2° ℵ* | διετελεσαν] pr ο ℵ$^{c.a\,mg\,vid}$ XXI tit om παρα Κυριου Q | Ιερεμιαν (Ιηρ. A)] + παρα κ̅υ̅ Q | οτι A | om προς αυτον ℵ* (hab ℵ$^{c.a\,mg}$) | Σοφονιαν] pr τον Q | Μανασσαιου] Μνασσαιου B^{ab} Μασεου ℵ Μασσαιου A Μαασαιου Q | ιερεαν ℵ* ερεα A* (ιερεα A^{1}) 2 βασιλευς] pr ο A pr α'σ'θ' ※ Ναβουχοδονοσορ Q^{mg} | ει] ειπως Q^{a} | Κυριος] + α'θ' ※ μεθ ημω̅ν̅ Q^{mg} | om αφ ημων ℵ* (hab ℵ^{1}) 3 om βασιλεα Ιουδα Q 4 Κυριος] + α'σ' ※ ο θ̅ς̅ Ι̅η̅λ̅ Q^{mg} | μεταστεφω ℵ* | πολεμικα] + σ' ※ τα εν χερσι̅ν̅ υμω̅ν̅ Q^{mg} | πολεμειτε] + α'σ'θ' ※ τον βασιλεα Βαβυλωνος Q^{mg} | Χαλδεους ℵ | συνκεκλεικοτας (συγκεκλ. B^{b}Q)] συγκλειοντας A | υμας] ημας A | εις το μ.] pr θ' ※ ϗ συναξω αυτους Q^{mg} 5 εγω υμας] υμας εγω ℵ om εγω Q* (hab Q^{a}) | εν 1°] ε ℵ* (ν superscr ℵ$^{c.a?}$) | εντεταμενη A | κραταιω] pr υψηλω ℵ* pr υψ. ϗ (ϗ superscr) ℵ$^{c.a}$ υψηλω Q^{mg} | μεγαλης] και παροργισμου μεγαλου AQ 6 om εν 2° ℵ* 7 ουτω ℵ* | δωσω] παραδωσω Q | βασιλεαν ℵ* | αυτου] αυτων ℵ*

B καὶ ἀπὸ τῆς μαχαίρας εἰς χεῖρας ἐχθρῶν αὐτῶν τῶν ζητούντων τὰς
ψυχὰς αὐτῶν, καὶ κατακόψουσιν αὐτοὺς ἐν στόματι μαχαίρας· οὐ
φείσομαι ἐπ᾽ αὐτοῖς, καὶ οὐ μὴ οἰκτειρήσω αὐτούς. 8καὶ πρὸς τὸν 8
λαὸν τοῦτον ἐρεῖς Τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ δέδωκα πρὸ προσώπου
ὑμῶν τὴν ὁδὸν τῆς ζωῆς καὶ τὴν ὁδὸν τοῦ θανάτου· 9ὁ καθήμενος ἐν 9
τῇ πόλει ταύτῃ ἀποθανεῖται ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ, καὶ ὁ ἐκπορευ-
όμενος προσχωρῆσαι πρὸς τοὺς Χαλδαίους τοὺς συνκεκλεικότας ὑμᾶς
ζήσεται, καὶ ἔσται ἡ ψυχὴ αὐτοῦ εἰς σκῦλα καὶ ζήσεται. 10διότι 10
ἐστήρικα τὸ πρόσωπόν μου ἐπὶ τὴν πόλιν ταύτην εἰς κακὰ καὶ
οὐκ εἰς ἀγαθά· εἰς χεῖρας βασιλέως Βαβυλῶνος παραδοθήσεται, καὶ
κατακαύσει αὐτὴν ἐν πυρί. 11Ὁ οἶκος βασιλέως Ἰούδα, ἀκούσατε 11
λόγον Κυρίου· 12οἶκος Δαυείδ, τάδε λέγει Κύριος Κρίνατε πρωὶ κρίμα καὶ 12
κατευθύνατε, καὶ ἐξέλεσθε διηρπασμένον ἐκ χειρὸς ἀδικοῦντος αὐτόν,
ὅπως μὴ ἀναφθῇ ὡς πῦρ ἡ ὀργή μου καὶ καυθήσεται, καὶ οὐκ ἔσται ὁ
σβέσων. 13ἰδοὺ ἐγὼ πρὸς σὲ τὸν κατοικοῦντα τὴν κοιλάδα Σὸρ τὴν 13
πεδινήν, τοὺς λέγοντας Τίς πτοήσει ἡμᾶς; ἢ τίς εἰσελεύσεται πρὸς
τὸ κατοικητήριον; 14καὶ ἀνάψω πῦρ ἐν τῷ δρυμῷ αὐτῆς, καὶ ἔδεται 14
πάντα τὰ κύκλῳ αὐτῆς.

1Τάδε λέγει Κύριος Πορεύου καὶ κατάβηθι εἰς τὸν οἶκον τοῦ 1 XXII
βασιλέως Ἰούδα, καὶ λαλήσεις ἐκεῖ τὸν λόγον τοῦτον, 2καὶ ἐρεῖς 2
Ἄκουε λόγον Κυρίου, βασιλεῦ Ἰούδα ὁ καθήμενος ἐπὶ θρόνου Δαυείδ,
σὺ καὶ ὁ οἶκός σου καὶ ὁ λαός σου καὶ οἱ εἰσπορευόμενοι ταῖς πύλαις
ταύταις 3Τάδε λέγει Κύριος Ποιεῖτε κρίσιν καὶ δικαιοσύνην, καὶ 3
ἐξαιρεῖσθε διηρπασμένον ἐκ χειρὸς ἀδικοῦντος αὐτόν, καὶ προσήλυτον

ℵAQ 7 μαχαιρας 1°] + α'σ'θ' ※ εν χειρι Ναβουχοδονοσορ βασιλεως Βαβυλωνος και Qmg | των ζητουντων] pr ※ ϗ εις χειρα Qmg | αυτοις] αυτους A + ※ ϗ ουκ ελεησω αυτους Qmg 8 om εγω A | post οδον ras 7 vel 8 litt B1 fort 9 μαχαιρα] λιμω Q | λιμω] μαχαιρα Q + ※ ϗ εν θανατω Qmg | συγκεκλεικοτας BbAQ | εσται] + α'σ'θ' ※ αυτω Q | εισκυλα ℵ* (εις σκ. ℵ1) 10 διοτι] οτι ℵ* (δι superscr ℵ1) | εστηριξα ℵc.a Q εστηρισα A | ουκ| εις B* ου|κ εις B1 | αγαθα] + ※ α'σ'θ' φησὶ κς Qmg 12 πρωι] pr το ℵQ | κατευνεται ℵ* (κατευθυν. ℵ1) | εδιηρπασμενον ℵ* vid (improb ε ℵ1) | bis scr και ουκ εσται A | σβεσων] + θ' ※ απο προσωπου αδικιας επιτηδευματων υμω̄| Qmg 13 προς 1°] επι Q | ante Σορ ras 1 lit (α vid) Bab vid | πεδινην Bb (-δεινην B*) ℵ + α'σ'θ' ※ φησὶ κς Qmg | προς 2°] εις Q | κατοικητηριον] + ημων ℵAQ 14 και 1°] pr α'θ' ※ ϗ επισκεψομαι εφ υμας κατα τα πονηρα επιτηδευματα υμω̄| φησιν κς Qmg | δρυμω] θυμω A | εδεται] κατεδεται A XXII 1 εις] επ ℵ* (εις ℵc.a) | τον οικον] om τον ℵQ | τον λογον] pr α' ※ συν Qmg 2 βασιλευ] βασιλεως ℵ* | συ] + και οι παιδες ℵc.a vid (ras ℵc.b) | ο οικος] οι παιδες Q | ταις πυλαις ταυταις] τας πυλας ταυτας ℵ pr εν A 3 κρισιν] κριμα Q | προσ|ηλυτον Q* προ|σηλ. Qa

καὶ ὀρφανὸν καὶ χήραν μὴ καταδυναστεύετε, καὶ μὴ ἀσεβεῖτε, καὶ B
4 αἷμα ἀθῷον μὴ ἐκχέητε ἐν τῷ τόπῳ τούτῳ. [4]διότι ἐὰν ποιοῦντες
ποιήσητε τὸν λόγον τοῦτον, καὶ εἰσελεύσονται ἐν ταῖς πύλαις τοῦ
οἴκου τούτου βασιλεῖς καθήμενοι ἐπὶ θρόνου Δαυεὶδ καὶ ἐπιβεβηκότες
ἐφ' ἁρμάτων καὶ ἵππων, αὐτοὶ καὶ οἱ παῖδες αὐτῶν καὶ ὁ λαὸς αὐτῶν.
5 [5]ἐὰν δὲ μὴ ποιήσητε τοὺς λόγους τούτους, κατ' ἐμαυτοῦ ὤμοσα, λέγει
6 Κύριος, ὅτι εἰς ἐρήμωσιν ἔσται ὁ οἶκος οὗτος. [6]ὅτι τάδε λέγει Κύριος
κατὰ τοῦ οἴκου βασιλέως Ἰούδα Γαλαὰδ σύ μοι, ἀρχὴ τοῦ Λιβάνου,
7 ἐὰν μὴ θῶ σε εἰς ἔρημον, πόλεις μὴ κατοικηθησομένας· [7]καὶ ἐπάξω
ἐπὶ σὲ ἄνδρα ὀλεθρεύοντα καὶ τὸν πέλεκυν αὐτοῦ, καὶ ἐκκόψουσιν
8 τὰς ἐκλεκτὰς κέδρους σου καὶ ἐμβαλοῦσιν εἰς τὸ πῦρ. [8]καὶ διε-
λεύσονται ἔθνη διὰ τῆς πόλεως ταύτης, καὶ ἐρεῖ ἕκαστος πρὸς τὸν
πλησίον αὐτοῦ Διὰ τί ἐποίησεν Κύριος οὕτως τῇ πόλει ταύτῃ τῇ
9 μεγάλῃ; [9]καὶ ἐροῦσιν Ἀνθ' ὧν ἐνκατέλιπον τὴν διαθήκην Κυρίου
θεοῦ αὐτῶν, καὶ προσεκύνησαν θεοῖς ἀλλοτρίοις καὶ ἐδούλευσαν
10 αὐτοῖς. [10]Μὴ κλαίετε τὸν τεθνηκότα μηδὲ θρηνεῖτε αὐτόν·
κλαύσατε κλαυθμῷ τὸν ἐκπορευόμενον, ὅτι οὐκ ἐπιστρέφει ἔτι οὐδὲ
11 ὄψεται τὴν γῆν πατρίδος αὐτοῦ. [11]διότι τάδε λέγει Κύριος ἐπὶ
Σελλὴμ υἱὸν Ἰωσεία τὸν βασιλεύοντα ἀντὶ Ἰωσεία τοῦ πατρὸς αὐτοῦ,
12 ὃς ἐξῆλθεν ἐκ τοῦ τόπου τούτου Οὐκ ἀναστρέψει ἐκεῖ ἔτι, [12]ἀλλ' ἢ
ἐν τῷ τόπῳ οὗ μετῴκισα αὐτὸν ἐκεῖ ἀποθανεῖται, καὶ τὴν γῆν ταύτην
13 οὐκ ὄψεται ἔτι. [13]Ὁ οἰκοδομῶν οἰκίαν αὐτοῦ οὐ μετὰ δικαιο-
σύνης καὶ τὰ ὑπερῷα αὐτοῦ οὐκ ἐν κρίματι, παρὰ τῷ πλησίον αὐτοῦ
14 ἐργᾶται δωρεάν, καὶ τὸν μισθὸν αὐτοῦ οὐ μὴ ἀποδώσει αὐτῷ. [14]ᾠκο-
δόμησας σεαυτῷ οἶκον σύμμετρον, ὑπερῷα ῥιπιστὰ διεσταλμένα

3 καταδυναστευσητε ℵ* (-ται ℵ$^{c.b}$) 4 τον λογον] pr α' ※ συν Q^{mg} | εισε- ℵAQ
λευσεται ℵ | βασιλεις (-λεως ℵ$^{c.a}$ -λεις rurs ℵ$^{c.b}$)] + και αρχοντες A | Δαυιδ Q^a | αυτοι] αυτου ℵ* 5 τους λογους] pr α' ※ συν Q^{mg} 6 βασιλεως] pr του ℵ | συ] σοι ℵ | om εις Q | πολις ℵ* (-λεις ℵ$^{c.b}$) 7 επαξω] εισαξω A | σε] σοι ℵ | ολοθρευοντα B^{b}ℵQ$^{a\,fort}$ | σου] ου ℵ* | ενβαλουσιν ℵ 8 διελευσονται] ελευσοντε ℵ* (διελ. ℵ$^{c.a?}$ -νται ℵ$^{c.b}$) | εθνη] + πολλα Q | ερει] ερουσιν ℵAQ | τη πολει] της π. ℵ* | τη μεγαλη ταυτη ℵA 9 εγκατελιπον B$^{b\,vid}$Q^a ενκατελειπον ℵ* εγκατελειπ. ℵ$^{c.a}$ AQ* | θεου] pr του A | αυτων] pr των πρω̄ν Q^{mg} 10 κλαυσατε] + δη Q | οτι...αναστρε sup ras A^a | επιστρεφει] επιστρεψει ℵ (αιπ. ℵ* επ. ℵ$^{c.b}$) Q αναστρεψει A (αναστρε sup ras A^a) | ουδε] και ου μη ℵQ | οψεται] ιδη Q 11 διοτι] οτι ℵ | Ιωσεια 1°] Ιωσια B^{b}ℵQ Ιωσιου A | τω βασιλευοντι ℵAQ* (τον βασιλευοντα Q^{mg}) | Ιωσεια 2°] Ιωσια B^{b}ℵAQ | αναστρεψει] ανακαμψι ℵ* (-ψει ℵ$^{c.b}$) | ετι] ουκετι ℵA 12 αλλ] pr οτι Q | μετωκισαν Q 13 ο οικοδομων] pr ω AQ | οικιαν] pr την A | ου μετα δικαιοσυνης] ουκ εν δικαιοσυνη A | πλησιον ℵ* 14 ωκοδομησας] pr α'σ'θ' ※ ο λεγω̄| Q^{mg} | συνμετρον ℵ | ριπιστα] ευρυχωρα Q* (σ'θ' ριπιστα Q$^{1\,(vid)\,mg}$)

B θυρίσιν καὶ ἐξυλωμένα ἐν κέδρῳ καὶ κεχρισμένα ἐν μίλτῳ. [15]μὴ 15
βασιλεύσεις, ὅτι σὺ παροξύνῃ ἐν Ἀχὰζ τῷ πατρί σου; οὐ φάγονται
καὶ οὐ πίονται· βέλτιόν σε ποιεῖν κρίμα καὶ δικαιοσύνην. [16]οὐκ ἔ- 16
γνωσαν, οὐκ ἔκριναν κρίσιν ταπεινῷ οὐδὲ κρίσιν πένητος· οὐ τοῦτό
ἐστιν τὸ μὴ γνῶναί σε ἐμέ, λέγει Κύριος; [17]ἰδοὺ οὐκ εἰσὶν οἱ ὀφθαλμοί 17
σου οὐδὲ ἡ καρδία σου καλή, ἀλλ' εἰς τὴν πλεονεξίαν σου καὶ εἰς τὸ
αἷμα τὸ ἀθῷον τοῦ ἐκχέειν αὐτό, καὶ εἰς ἀδίκημα καὶ εἰς φόνον τοῦ
ποιεῖν. [18]διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ Ἰωακεὶμ υἱὸν Ἰωσεία 18
βασιλέα Ἰούδα Καὶ ἐπὶ τὸν ἄνδρα τοῦτον οὐ μὴ κόψωνται αὐτόν Ὦ
ἀδελφέ, οὐδὲ μὴ κλαύσονται αὐτόν Οἴμοι κύριε. [19]ταφὴν ὄνου 19
ταφήσεται, συμψησθεὶς ῥιφήσεται ἐπέκεινα τῆς πύλης Ἰερου-
σαλήμ. [20]Ἀνάβηθι εἰς τὸν Λίβανον καὶ κράξον, καὶ εἰς τὴν 20
Βασὰν δὸς τὴν φωνήν σου, καὶ βόησον εἰς τὸ πέραν τῆς θαλάσσης,
ὅτι συνετρίβησαν πάντες οἱ ἐρασταί σου. [21]ἐλάλησα πρὸς σὲ ἐν τῇ 21
παραπτώσει σου, καὶ εἶπας Οὐκ ἀκούσομαι· αὕτη ἡ ὁδός σου ἐκ
νεότητός σου, οὐκ ἤκουσας τῆς φωνῆς μου. [22]πάντας τοὺς ποιμένας 22
σου ποιμανεῖ ἄνεμος, καὶ οἱ ἐρασταί σου ἐν αἰχμαλωσίᾳ ἐξελεύσονται,
ὅτι τότε αἰσχυνθήσῃ καὶ ἀτιμωθήσῃ ἀπὸ πάντων τῶν φιλούντων σε.
[23]κατοικοῦσα ἐν τῷ Λιβάνῳ, ἐννοσσεύουσα ἐν ταῖς κέδροις, κατα- 23
στενάξεις ἐν τῷ ἐλθεῖν σοι ὠδῖνας ὡς τικτούσης. [24]ζῶ ἐγώ, λέγει Κύριος, 24
ἐὰν γενόμενος γένηται Ἰεχονίας υἱὸς Ἰωακεὶμ βασιλεὺς Ἰούδα ἀπο-
σφράγισμα ἐπὶ τῆς χειρὸς τῆς δεξιᾶς μου, ἐκεῖθεν ἐκσπάσω σε, [25]καὶ 25
παραδώσω σε εἰς χεῖρας τῶν ζητούντων τὴν ψυχήν σου, ὧν σὺ
εὐλαβῇ ἀπὸ προσώπου αὐτῶν, εἰς χεῖρας τῶν Χαλδαίων. [26]καὶ 26

ℵAQ 14 θυρισι Q 15 παροξυνη] παρωξυνθης Q | Αχαζ] Αχααβ A κεδρω Q^{mg} | βελτιον]+την ℵAQ | δικαιοσυνην]+καλην AQ+α'σ' ※ τοτε Q^{mg} 16 ταπεινων A | πενητος]+α'θ' ※ τοτε αγαθō| αυτω Q^{mg} | τουτο]+σοι A 17 αλλ] αλλα ℵA | και 2° sup ras ut vid $B^{?}$ | αδικηματα AQ | ποιειν] πιειν ℵ* (ο superscr $ℵ^{?}$)+ταυτα A 18 om επι Ιωακειμ... Ιουδα και ℵ | επι 1°] pr επι τον ανδρα τουτον Q^{mg} | Ιωακιμ Q^{a} | Ιωσια B^{b}A Ιωσιου Q | και] ουαι AQ | κοψονται AQ | αυτον ω] ν ω sup ras B^{ab} | ω] ουαι $ℵ^{c.a}$AQ | om ουδε...κυριε A | κυριε]+και οιμμοι (corr οιμοι) αδελφε Q (※ αγαπητε Q^{mg}) 19 ονου] ου ℵ | συμψησθεις] συνψηθεις ℵA+ως κοπρια Q^{mg} 20 κραξον] κεκραξον ℵAQ 21 ελαλησα] ελαλησαν (εαλησαν ℵ*) ℵAQ* | om και ειπας...νεοτητος σου A | ουκ 1°] ου μη ℵ | σου 3°] incep τ ℵ* | ουκ 2°] pr ※ οτι Q^{mg} | φωνην ℵ* 22 om οι ερασται σου A | αισχυνθησει ℵ* | ατιμωθηση] ατιμασθηση A 23 ενο|σευουσα A | καταστεναξεις] pr σ' ※ οτι Q^{mg} | οδυνας] ωδινας AQ 24 Ιεχονιας] Ιωακειμ A | Ιωακειμ (-κιμ Q^{a})] Ιεχονια A | Ιουδα sup ras A^{a} (seq spat 2 litt) | εκειθεν] pr α'σ' ※ οτι Q^{mg} | εκπασω ℵ* (σ superscr $ℵ^{?}$) 25 om και παραδωσω σε ℵ | των ζητουντων] om των Q | ων] pr ※ ϗ εις χειρα Q^{mg} | αυτων]+α'θ' ※ ϗ εν χειρι Ναβουχοδονοσορ βασιλεως Βαβυλωνος Q^{mg}

ἀπορίψω σὲ καὶ τὴν μητέρα σου τὴν τεκοῦσάν σε εἰς γῆν οὗ οὐκ ἐτέχθης B
27 ἐκεῖ, καὶ ἐκεῖ ἀποθανεῖσθε· 27 εἰς δὲ τὴν γῆν ἣν αὐτοὶ εὔχονται ταῖς
28 ψυχαῖς αὐτῶν οὐ μὴ ἀποστρέψωσιν. 28 ἠτιμώθη Ἰεχονίας ὡς σκεῦος
οὗ οὐκ ἔστιν χρεία αὐτοῦ, ὅτι ἐξερίφη καὶ ἐξεβλήθη εἰς γῆν ἣν οὐκ ᾔδει.
29 30 29 γῆ γῆ, ἄκουε λόγον Κυρίου· 30 γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον
ἄνθρωπον, ὅτι οὐ μὴ αὐξηθῇ ἐκ τοῦ σπέρματος αὐτοῦ καθήμενος ἐπὶ
θρόνου Δαυείδ, ἄρχων ἔτι ἐν τῷ Ἰούδᾳ.
XXIII 1 1 Ω ποιμένες οἱ ἀπολλύοντες καὶ διασκορπίζοντες τὰ πρόβατα τῆς
2 νομῆς αὐτῶν. 2 διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ τοὺς ποιμαίνοντας τὸν
λαόν μου Ὑμεῖς διεσκορπίσατε τὰ πρόβατά μου, καὶ ἐξώσατε αὐτὰ καὶ
οὐκ ἐπεσκέψασθε αὐτά, ἰδοὺ ἐγὼ ἐκδικῶ ἐφ' ὑμᾶς κατὰ τὰ πονηρὰ ἐπι-
3 τηδεύματα ὑμῶν. 3 καὶ ἐγὼ εἰσδέξομαι τοὺς καταλοίπους τοῦ λαοῦ μου
ἐπὶ πάσης τῆς γῆς οὗ ἐξῶσα αὐτοὺς ἐκεῖ, καὶ καταστήσω αὐτοὺς εἰς τὴν
4 νομὴν αὐτῶν, καὶ αὐξηθήσονται καὶ πληθυνθήσονται. 4 καὶ ἀναστήσω
αὐτοῖς ποιμένας οἳ ποιμανοῦσιν αὐτούς, καὶ οὐ φοβηθήσονται ἔτι οὐδὲ
5 πτοηθήσονται, λέγει Κύριος. 5 Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος,
καὶ ἀναστήσω τῷ Δαυεὶδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεὺς
6 καὶ συνήσει καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. 6 ἐν ταῖς
ἡμέραις αὐτοῦ καὶ σωθήσεται Ἰούδας, καὶ Ἰσραὴλ κατασκηνώσει πεποι-
θώς, καὶ τοῦτο τὸ ὄνομα αὐτοῦ ὃ καλέσει αὐτὸν Κύριος Ἰωσέδεκ.

Ἐν τοῖς προφήταις.

9 9 Συνετρίβη ἡ καρδία μου ἐν ἐμοί, ἐσαλεύθη πάντα τὰ ὀστᾶ μου,
ἐγενήθην ὡς ἀνὴρ συντετριμμένος καὶ ὡς ἄνθρωπος συνεχόμενος ἀπὸ

26 αποριψω (απορρ. B^{b}ℵQ)] παραδωσω A | την τεκουσαν] pr και ℵ* (improb ℵ$^{c.a?}$) | γην] + α'θ' ※ ετεραν Q^{mg} | ου] ην ℵ$^{c.a (mg sinistr)}$ 27 αυτων] + α'θ' ※ του επιστρεψαι Q^{mg} | ου] pr εκει Q | επιστρεψουσιν AQ 28 ητιμωθη] α' ※ το στομα εξουδενωμενον εκτετιναγμενον Q^{mg} | εξεριφη (εξερρ. B^{b})] + ※ αυτος ϗ το σπερμα αυτου Q^{mg} 30 γραψον] pr α'σ'θ' ※ ταδε λεγει κ̅ς̅ Q^{mg} | του σπερματος] om του ℵ | αυτου] + ※ εν ταις ημεραις αυτου οτι ου μη αυξηθη Q^{mg} | καθημενος] pr ανηρ AQ | εν τω Ιουδα] του Ιουδα ℵ εν τω οικω Ιουδα A · XXIII 1 ποιμενες] οι ποιμε|νεοντες (sic ut vid) ℵ οι ποιμενες A (ποιμαιν.) Q | οι απολλυοντες] pr και ℵ οι διασκορπιζοντες ℵAQ | διασκορπιζοντες] απολλυοντες A απολλυντες ℵQ | αυτων] μου AQ + φησι̅ κ̅ς̅ Q^{mg} 2 Κυριος] + α'σ'θ' ※ ο θ̅ς̅ Ι̅η̅λ̅ Q^{mg} | επι] + α'σ' ※ τους ποιμαινας Q^{mg} | δεεσκορπ. ℵ* (διεσκορπ. ℵ$^{c.b}$) | εξωσατε] απωσατε A | επεσκεψατε A | εκδικησω AQ | υμων] + α'σ'θ' ※ φησι̅ κ̅ς̅ Q^{mg} 3 και εγω] καγω A | τους καταλοιπους] το καταλοιπον A | μου] + ου διεσπειρα αυτους ℵ | επι] απο ℵAQ | ου] ουκ ℵ* 4 οι] οις ℵ* και A | ουδε] ras aliq in ο B$^{?}$ και ου ℵA | πτοηθησονται] + ετι A + α' ※ ουδε μη επισκεπωσιν Q^{mg} 5 συν|ησει B* συ|νησ. B$^{?}$ 6 αυτου 1°] εκειναις A | om και 1° Q | Ισραηλ] Ιερουσαλημ ℵ | om αυτου 2° ℵA | Ιωσεδεκ] Ιωσεικειμ ℵ* (-σεδεκ ℵ$^{c.a(?)}$) 9 συν|ετριβη B* συνε|τρ. B$^{?}$ | εν] συν A | ως ανηρ] ως ανθρωπος sup ras A^{a} | ως 2°] ωσει Q | ανθρωπος] in α̅ν̅ο̅ς̅ rescr ς A$^{a?}$ | συν|εχομενος B* συνε|χ. B$^{?}$ ℵAQ

B οἴνου, ἀπὸ προσώπου Κυρίου καὶ ἀπὸ προσώπου εὐπρεπείας δόξης
αὐτοῦ. [10]ὅτι ἀπὸ προσώπου τούτων ἐπένθησεν ἡ γῆ, ἐξηράνθησαν 10
αἱ νομαὶ τῆς ἐρήμου· καὶ ἐγένετο ὁ δρυμὸς αὐτῶν πονηρός, καὶ ἡ ἰσχὺς
αὐτῶν οὕτως. [11]ὅτι ἱερεὺς καὶ προφήτης ἐμολύνθησαν, καὶ ἐν τῷ 11
οἴκῳ μου εἶδον πονηρίας αὐτῶν. [12]διὰ τοῦτο γενέσθω ἡ ὁδὸς αὐτῶν 12
αὐτοῖς εἰς ὀλίσθημα ἐν γνόφῳ, καὶ ὑποσκελισθήσονται καὶ πεσοῦνται
ἐν αὐτῇ· διότι ἐπάξω ἐπ' αὐτοὺς κακὰ ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν.
[13]καὶ ἐν τοῖς προφήταις Σαμαρείας εἶδον ἀνομήματα· ἐπροφήτευσαν 13
διὰ τῆς Βάαλ, καὶ ἐπλάνησαν τὸν λαόν μου Ἰσραήλ. [14]καὶ ἐν τοῖς 14
προφήταις Ἰερουσαλὴμ ἑώρακα φρικτά, μοιχωμένους καὶ πορευ-
ομένους ἐν ψεύδεσι καὶ ἀντιλαμβανομένους χειρῶν πολλῶν τοῦ
μὴ ἀποστραφῆναι ἕκαστον ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς· ἐγενή-
θησάν μοι πάντες ὡς Σόδομα, καὶ οἱ κατοικοῦντες αὐτὴν ὥσπερ
Γόμορρα. [15]Διὰ τοῦτο τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ ψωμιῶ 15
αὐτοὺς ὀδύνην καὶ ποτιῶ αὐτοὺς ὕδωρ πικρόν, ὅτι ἀπὸ τῶν προφητῶν
Ἰερουσαλὴμ ἐξῆλθεν μολυσμὸς πάσῃ τῇ γῇ. [16]οὕτως λέγει Κύριος 16
Παντοκράτωρ Μὴ ἀκούετε τοὺς λόγους τῶν προφητῶν, ὅτι ματαιοῦσιν
ἑαυτοῖς ὅρασιν, ἀπὸ καρδίας αὐτῶν λαλοῦσιν καὶ οὐκ ἀπὸ στόματος
Κυρίου. [17]λέγουσιν τοῖς ἀπωθουμένοις τὸν λόγον Κυρίου Εἰρήνη 17
ἔσται ὑμῖν, καὶ πᾶσιν τοῖς πορευομένοις τοῖς θελήμασιν αὐτῶν, παντὶ
τῷ πορευομένῳ πλάνῃ καρδίας αὐτοῦ εἶπαν Οὐχ ἥξει ἐπὶ σὲ κακά.
[18]ὅτι τίς ἔστη ἐν ὑποστήματι Κυρίου καὶ εἶδεν τὸν λόγον αὐτοῦ; τίς 18
ἐνωτίσατο καὶ ἤκουσεν; [19]ἰδοὺ σεισμὸς παρὰ Κυρίου καὶ ὀργὴ ἐκ- 19

ℵAQ 9 προσωπου 1°] πρωπου ℵ* | ευπρεπιας ℵ* 10 οτι] pr α'θ' ※ οτι μοιχων ενεπλησθη η γη Qmg | αι νομαι] α νομ. ℵ* vid | δρυμος] δρομος ℵAQ | ουτως] pr ουχ AQ 11 εμολυνθησαν] ras aliq in λ B? | ιδον A | αυτων] + α'σ'θ' ※ φησι] κ̅ς̅ Qmg 12 om αυτοις Q* (hab Qmg) | πεσουνται ℵ* | αυτων 2°] αυτου ℵ* (-των ℵ1 vid) + φησιν κ̅ς̅ AQ 13 Σαμαρ. ιδο] sup ras Aa | Σαμαριας ℵAa | επροφητευσαν] pr α ℵ + εν ονοματι μου A + επι τω ον. μου Q | επλανησαν] επλανηθησαν Q* (-νησαν Qa) | Ισραηλ] pr τον Q 14 εορακα Q | φρικτα] pr τα ℵ | ψευδεσιν ℵ (-σειν ℵ*) AQ | αντιλαμβανομενος ℵ* (υ superscr ℵc.a?) | πολλων] πονηρων AQ | εγενηθησαν] γενεσθωσαν ℵ | ωσπερ] pr και ℵ* (improb ℵc.a(?)) ως A | Γομορρα] λαος Γομορα ℵ 15 Κυριος] + των δυναμεων Q* (sub ※ Qa) + α'θ' ※ επι τους προφητας Qmg | ψωμιζω AQ | οδυνας AQ | των προφητων] των πων προφ. ℵ* (improb πων ℵ?) | παση] pr εν ℵ 16 om ουτως λεγει Κ. παντοκρατωρ ℵ | παντοκρατωρ] των δυναμεω̅| ο θ̅ς̅ Ι̅η̅λ Qmg | τους λογους] των λογων ℵQa | προφητων] + ※ των προφητευοντων υμιν Qmg | εαυτοις] αυτοις A αυτοι Q + σ' ※ υμας Qmg | ορασις A | απο 1°] pr και ℵA | αυτων] εαυτων A 17 λεγουσι Qa + α'σ' ※ λεγοντες Qmg | πασι ℵA | τω πορευομενω] om τω Q | πλανω Qa | αυτου] αυτων ℵ* (-του ℵ1 (vid)) | om ειπαν ℵAQ 18 om τις 1° A | εστης Q* vid | ειδεν (ιδ. A)] + α'σ'θ' ※ ϗ ηκουσεν Qmg | ενωτισατο (ην. Bab)] + ※ των λογων μου Qmg 19 εκπορευεται] εκπορευομενη (πορ. sup ras) Aa

πορεύεται εἰς συνσεισμόν, συστρεφομένη ἐπὶ τοὺς ἀσεβεῖς ἥξει B
20 [20]καὶ οὐκέτι ἀποστρέψει ὁ θυμὸς Κυρίου, ἕως ποιήσῃ αὐτὸ ἀπὸ
ἐγχειρήματος καρδίας αὐτοῦ· ἐπ' ἐσχάτου τῶν ἡμερῶν νοήσουσιν
21 αὐτό. [21]οὐκ ἀπέστελλον τοὺς προφήτας, καὶ αὐτοὶ ἔτρεχον· οὐδὲ
22 ἐλάλησα πρὸς αὐτούς, καὶ αὐτοὶ ἐπροφήτευον. [22]καὶ εἰ ἔστησαν ἐν
τῇ ὑποστάσει μου καὶ εἰ ἤκουσαν τῶν λόγων μου, καὶ τὸν λαόν μου
ἂν ἀπέστρεφον αὐτοὺς ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων αὐτῶν.
23 24 [23]θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐχὶ θεὸς πόρρωθεν. [24]εἰ κρυβήσεταί τις
ἐν κρυφαίοις, καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν; μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν
25 γῆν ἐγὼ πληρῶ, λέγει Κύριος; [25]ἤκουσα ἃ λαλοῦσιν οἱ προφῆται·
προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου ψευδῆ λέγοντες Ἠνυπνιασάμην
26 ἐνύπνιον. [26]ἕως πότε ἔσται ἐν καρδίᾳ τῶν προφητῶν τῶν προφη-
τευόντων ψευδῆ, ἐν τῷ προφητεύειν αὐτοὺς τὰ θελήματα καρδίας
27 αὐτῶν, [27]τῶν λογιζομένων τοῦ ἐπιλαθέσθαι τοῦ νόμου μου ἐν τοῖς
ἐνυπνίοις αὐτῶν, ἃ διηγοῦντο ἕκαστος τῷ πλησίον αὐτοῦ, καθάπερ
28 ἐπελάθοντο οἱ πατέρες αὐτῶν τοῦ ὀνόματός μου ἐν τῇ Βάαλ; [28]ὁ
προφήτης ἐν ᾧ τὸ ἐνύπνιόν ἐστιν, διηγησάσθω τὸ ἐνύπνιον αὐτοῦ· καὶ
ἐν ᾧ ὁ λόγος μου πρὸς αὐτόν, διηγησάσθω τὸν λόγον μου ἐπ' ἀληθείας.
29 τί τὸ ἄχυρον πρὸς τὸν σῖτον; [29]οὕτως οἱ λόγοι μου, λέγει Κύριος·
οὐκ ἰδοὺ οἱ λόγοι μου ὥσπερ πῦρ, καὶ ὡς πέλυξ κόπτων πέτραν;
32 [32]διὰ τοῦτο ἰδοὺ ἐγὼ πρὸς τοὺς προφήτας τοὺς προφητεύοντας ἐνύπνια

19 συσσεισμον B^{b}Q | ηξει επι τ. ασ. A 20 ουκετι] ουκ Q | εως] ℵAQ +αν ℵAQ | ποιησει ℵ | απο] pr ϗ εως αν στηση αυτο B^{ab}A pr ϗ εως αν αναστηση αυτο ℵ$^{c.a}$Q | ενχειρηματος A | εσχατων AQ* | νοησουσιν] pr θ' ※ νοησει Q^{mg} | αυτο 2°] αυτα AQ 21 τους προφ.] pr α' ※ συν Q^{mg} | ουδε] ουκ AQ | προς αυτους] αυτοις ℵ | επροφητευσαν ℵ 22 τη υποστασει] om τη Q | om ει 2° ℵQ | εισηκουσαν ℵ | om αν A | απεστρεφον] αποστρεφειν A + ※ αυτους εκ της οδου αυτων της πονηρας ϗ Q^{mg} | om αυτους ℵQ | των επιτηδευματων αυτ. των πονηρων A 23 εγω ειμι] om ειμι ℵ + λεγει κ̅ς̅ B$^{ab\,mg}$ℵAQ | ουχι] ου A 24 τις] ανθρωπος AQ | αυτον] +α'σ'θ' ※ φησιν κ̅ς̅ Q^{mg} | τον ουρ.] pr α' ※ συν Q^{mg} | την γην] pr α' ※ συν Q^{mg} 25 α] pr α' ※ συν Q^{mg} | om λαλουσιν ℵ | προφητευουσιν] pr α AQ | ενυπνιασαμην AQ 26 εν 2°] pr και ℵAQ 27 επιλαθεσθαι] +α'σ'θ' ※ τον λαον μου Q^{mg} | διηγουνται A | τω πλησιον] προς τον πλ. Q | επελαθεντο B* ℵ (-θοντο B^{ab}AQ) 28 ενυπνιον 1°] ενεπνιον ℵ* | αληθιας ℵ | σιτον] + ※ φησιν κ̅ς̅ Q^{mg} 29 ουτως] pr ※ ουχ Q | ουκ ιδου] ουχι ℵ ουχ AQ | πυρ] pr φλεγον A + φλεγō| Q | και] pr λεγει κ̅ς̅ AQ | ως] ωσπερ ℵ | πελυξ] πελυκυς A | πετραν] + (30) δια τουτο ιδου εγω προς τους προφητας λεγει κ̅ς̅ ο θ̅ς̅ τους κλεπτοντας τους λογους μου εκαστος παρα του πλησιον αυτου (31) ιδου εγω προς τους προφητας τους εκβαλλοντας (incep εκπ ℵ εβαλλ. Q*) προφητειας (-τειαν A) γλωσσης (-σση A) και νυσταζοντας νυσταγμον εαυτων (αυτων Q) ℵAQ 32 om δια τουτο ℵAQ | ενυπνια ψευδη] ψευδη ενυπν. A + α'σ' ※ φησιν κ̅ς̅ Q^{mg}

B ψευδῆ, καὶ οὐ διηγοῦντο αὐτά, καὶ ἐπλάνησαν τὸν λαόν μου ἐν τοῖς
ψεύδεσιν αὐτῶν καὶ ἐν τοῖς πλάνοις αὐτῶν, καὶ ἐγὼ οὐκ ἀπέστειλα
αὐτοὺς καὶ οὐκ ἐνετειλάμην αὐτοῖς, καὶ ὠφέλειαν οὐκ ὠφελήσουσιν
τὸν λαὸν τοῦτον. [33]καὶ ἐὰν ἐρωτήσωσί σε ὁ λαὸς οὗτος ἢ ἱερεὺς ἢ 33
προφήτης Τί τὸ λῆμμα Κυρίου; καὶ ἐρεῖς αὐτοῖς Ὑμεῖς ἐστε τὸ λῆμμα
καὶ ῥάξω ὑμᾶς, λέγει Κύριος. [34]ὁ προφήτης καὶ οἱ ἱερεῖς καὶ ὁ λαὸς 34
οἳ ἂν εἴπωσιν Λῆμμα Κυρίου, καὶ ἐκδικήσω τὸν ἄνθρωπον ἐκεῖνον καὶ
τὸν οἶκον αὐτοῦ. [35]οὕτως ἐρεῖτε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ καὶ 35
ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ Τί ἀπεκρίθη Κύριος, καὶ τί ἐλά-
λησεν Κύριος; [36]καὶ Λῆμμα Κυρίου μὴ ὀνομάζετε ἔτι, ὅτι τὸ λῆμμα 36
τῷ ἀνθρώπῳ ἔσται ὁ λόγος αὐτοῦ. [37]καὶ διὰ τί ἐλάλησεν Κύριος ὁ 37
θεὸς ἡμῶν; [38]διὰ τοῦτο τάδε λέγει Κύριος ὁ θεὸς ἡμῶν Ἀνθ’ ὧν εἴπατε 38
τὸν λόγον τοῦτον Λῆμμα Κυρίου, καὶ ἀπέστειλα πρὸς ὑμᾶς λέγων
Οὐκ ἐρεῖτε Λῆμμα Κυρίου· [39]διὰ τοῦτο ἰδοὺ ἐγὼ λαμβάνω καὶ ῥάσσω 39
ὑμᾶς καὶ τὴν πόλιν ἣν ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν, [40]καὶ 40
δώσω εἰς ὑμᾶς ὀνειδισμὸν αἰώνιον καὶ ἀτιμίαν αἰώνιον, ἥτις οὐκ
ἐπιλησθήσεται. [7]διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ 7
οὐκ ἐροῦσιν ἔτι Ζῇ Κύριος ὃς ἀνήγαγεν τὸν οἶκον Ἰσραὴλ ἐκ γῆς
Αἰγύπτου, [8]ἀλλά Ζῇ Κύριος ὃς συνήγαγεν ἅπαν τὸ σπέρμα Ἰσραὴλ 8
ἀπὸ γῆς βορρᾶ καὶ ἀπὸ πασῶν τῶν χωρῶν οὗ ἐξῶσεν αὐτοὺς ἐκεῖ,
καὶ ἀπεκατέστησεν αὐτοὺς εἰς τὴν γῆν αὐτῶν.

[1]Ἔδειξέν μοι Κύριος δύο καλάθους σύκων, κειμένους κατὰ πρόσ- 1 XXIV

ℵAQ 32 om ου ℵAQ | και εγω] καγω ℵ | αυτους] αυτοις ℵ* | ωφελειαν] ωφελια ℵ ωφελιαν A | τουτον] + α′σ′θ′ ※ φησιν κ̅ς̅ Qmg 33 ερωτησωσι (-σιν A)] επερωτησουσιν ℵ ερωτηση Q | om η 2° ℵ* (superscr ℵc.a?) | προφητης] pr ο ℵ | τι] pr λεγων ℵc.a mg Q | λημμα] ρημα ℵ* (λημμ. ℵc.a?) 34 ο προφητης] pr και Q | οι ιερεις] ο (οι ℵ*) ιερευς ℵAQ | τον ανθρ.] pr α′σ′θ′ ※ επι Qmg | τον οικον] pr α′σ′θ′ ※ επι Qmg 35 ουτως] pr οτι AQ | om και τι ελαλησεν κ̅ς̅ A 36 μη] pr ου Q | ονομασητε Q | om ετι ℵA | το λημμα] om το A + κ̅υ̅ εσται AQ | om εσται AQ | αυτου] om ℵ* (superscr κ̅υ̅ ℵc.a) + (sub θ′ ※) και εξετρεψατε (corr εξεστρ.) τους| λογους θ̅υ̅ ζωντος (+ ※ κ̅υ̅ των δυναμεων θ̅υ̅ ημων Qmg) Q 37 και] pr (sub θ′ ※) ουτως ερειτε προς το̅| προφητην (+ ※ τι απεκριθη σοι κ̅ς̅ Qmg) Q | δια τι] τι οτι ℵ* (δια τι ℵc.a(vid)) | και.. ημων sub θ′ ※ Q 38 δια τουτο] pr ※ ϗ λημμα κ̅υ̅ μη λεγετε Qmg | om ο θεος ημων Q | om ημων ℵA | λημμα 1°] pr το Q* (postea improb) 39 λαμβανω] + α′σ′ ※ υμας λημμα τι Qmg | εδωκα] δεδωκα Q | υμων] + α′σ′θ′ ※ απο προσωπου μου Q 40 εις] εφ BaℵAQ | ητις] η ℵ ειτις A 7 et 8 sub ※ Q 7 ανηγαγεν] συνηγαγεν ℵ* (ανηγ. ℵc.a(?)) | οικον] λαον ℵ 8 συνηγαγεν] pr ανηγαγεν και Q | βορραν ℵ* | om απο πασων των χωρων ℵ* (hab ℵc.a(?) mg) | ου] ουκ ℵ* | εξωσεν αυτους] εξωσθησαν Q | αποκατεστησεν Ba? b | εις την γην αυτων (sup ras Bab)] εις τον τοπον αυτ. Q* (εις την γην αυτων εκει Qmg) XXIV 1 εδειξεν] pr και ℵc.a (improb ℵc.b) A

ωπον ναοῦ Κυρίου, μετὰ τὸ ἀποικίσαι Ναβουχοδονόσορ βασιλέα B
Βαβυλῶνος τὸν Ἰεχονίαν υἱὸν Ἰωακεὶμ βασιλέα Ἰούδα καὶ τοὺς ἄρ-
χοντας καὶ τοὺς τεχνίτας καὶ τοὺς δεσμώτας καὶ τοὺς πλησίους ἐξ
2 Ἰερουσαλήμ, καὶ ἤγαγεν αὐτοὺς εἰς Βαβυλῶνα. [2]ὁ κάλαθος ὁ εἷς
σύκων χρηστῶν σφόδρα ὡς τὰ σῦκα τὰ πρόιμα, καὶ ὁ κάλαθος ὁ
ἕτερος σύκων πονηρῶν σφόδρα, ἃ οὐ βρωθήσεται ἀπὸ πονηρίας
3 αὐτῶν. [3]καὶ εἶπεν Κύριος πρὸς μέ Τί σὺ ὁρᾷς, Ἰερεμία; καὶ εἶπα
Σῦκα· τὰ χρηστά, χρηστὰ λίαν, καὶ τὰ πονηρά, πονηρὰ λίαν, ἃ οὐ
4 βρωθήσεται ἀπὸ πονηρίας αὐτῶν. [4]καὶ ἐγένετο λόγος Κυρίου πρὸς
5 μὲ λέγων [5]Τάδε λέγει Κύριος ὁ θεὸς Ἰσραήλ Ὡς τὰ σῦκα τὰ χρηστὰ
ταῦτα, οὕτως ἐπιγνώσομαι τοὺς ἀποικισθέντας Ἰουδαίους, οὓς ἐξαπέ-
6 σταλκα ἐκ τοῦ τόπου τούτου εἰς γῆν Χαλδαίων εἰς ἀγαθά. [6]καὶ
στηριῶ τοὺς ὀφθαλμούς μου ἐπ' αὐτοὺς εἰς ἀγαθά, καὶ ἀποκαταστήσω
αὐτοὺς εἰς τὴν γῆν ταύτην εἰς ἀγαθά· καὶ ἀνοικοδομήσω αὐτοὺς καὶ οὐ
7 μὴ καθελῶ αὐτούς, καὶ καταφυτεύσω αὐτοὺς καὶ οὐ μὴ ἐκτίλω. [7]καὶ
δώσω αὐτοῖς καρδίαν τοῦ εἰδέναι αὐτοὺς ἐμέ, ὅτι ἐγώ εἰμι Κύριος, καὶ
ἔσονταί μοι εἰς λαὸν καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν, ὅτι ἐπιστραφή-
8 σονται ἐπ' ἐμὲ ἐξ ὅλης τῆς καρδίας αὐτῶν· [8]καὶ ὡς τὰ σῦκα τὰ
πονηρὰ ἃ οὐ βρωθήσεται ἀπὸ πονηρίας αὐτῶν, τάδε λέγει Κύριος,
οὕτως παραδώσω τὸν Σεδεκίαν βασιλέα Ἰούδα καὶ τοὺς μεγιστᾶνας
αὐτοῦ καὶ τὸ κατάλοιπον Ἰερουσαλὴμ τοὺς ὑπολελιμμένους ἐν τῇ γῇ
9 ταύτῃ καὶ τοὺς κατοικοῦντας ἐν Αἰγύπτῳ. [9]καὶ δώσω αὐτοὺς εἰς
διασκορπισμὸν εἰς πάσας τὰς βασιλείας τῆς γῆς καὶ εἰς ὀνειδισμὸν
καὶ εἰς παραβολὴν καὶ εἰς μῖσος καὶ εἰς κατάραν ἐν παντὶ τόπῳ οὗ
10 ἐξῶσα αὐτοὺς ἐκεῖ· [10]καὶ ἀποστελῶ εἰς αὐτοὺς τὸν λιμὸν καὶ τὸν
θάνατον καὶ τὴν μάχαιραν, ἕως ἂν ἐκλίπωσιν ἀπὸ τῆς γῆς ἧς ἔδωκα
αὐτοῖς.

1 βασιλεα 1°] βασιλεας ℵ* | υι|ον B* υι|ον B? | αρχοντας] + Ιουδα B^{ab} et ℵAQ (sub α'σ'θ' ※) Q^{mg} + βασιλεως Ιουδα A | om και τους δεσμωτας ℵ* (hab ℵ$^{c.a(?)}$) | πλησιους] πλουσιους B^{ab}ℵAQ | Ιερουσαλημ] + και ηγαγεν αυτους εις Ιερου|σαλημ B 2 πρωιμα B^{b}AQ 3 συκα] pr τα ℵ$^{c.a}$ et (sub α'σ'θ' ※) Q | τα χρηστα (χρητα ℵ*)] pr συκα B^{b} pr και τα συκα A pr (sub σ' ※) τα συκα Q 5 αποικι|σθεντα ℵ* (αποικισ|θεντας ℵ?) | Ιουδαιους] Ιουδα ℵAQ | εξαπεσταλκας A | Χαλδεων ℵ 6 om εις αγαθα 2° Q | om αυτους 4° ℵQ 7 ιδεναι ℵ | της καρδιας] om της Q 8 βρωθησονται B^{ab} | Σεδεκιαν B^{*b} (-κια B^{a}) | Ιερουσαλημ] pr της ℵ | υπολελειμμ. B$^{a?b}$ℵQ* | γη] πολει A 9 om εις 2° Q | πασαις ταις βασιλειαις Q | εις 3°] pr εσονται AQ | εξωσω Q 10 τον λιμον] την λ. A | τον θαν.] pr α' ※ συν Q^{mg} | εκλιπωσιν (ελιπ. ℵ*)] εκλειπωσιν AQ^{a} | ης] ως ℵ* (ης ℵ$^{c.a, c.b (vid)}$) | αυτοις] + ※ κ̧ τοις πατρασιν αυτων Q^{mg}

B [1]Ὁ λόγος ὁ γενόμενος πρὸς Ἰερεμίαν ἐπὶ πάντα τὸν λαὸν Ἰούδα ἐν τῷ 1 XXV
ἔτει τῷ τετάρτῳ τοῦ Ἰωακεὶμ υἱοῦ Ἰωσεία βασιλέως Ἰούδα, [2]ὃν 2
ἐλάλησεν πρὸς πάντα τὸν λαὸν Ἰούδα καὶ πρὸς τοὺς κατοικοῦντας
Ἰερουσαλὴμ λέγων

[3]Ἐν τρισκαιδεκάτῳ ἔτει Ἰωσία υἱοῦ Ἀμὼς βασιλέως Ἰούδα καὶ 3
§ Γ ἕως τῆς ἡμέρας ταύτης εἴκοσι καὶ τρία §ἔτη, καὶ ἐλάλησα πρὸς ὑμᾶς
ὀρθρίζων καὶ λέγων. [4]καὶ ἀπέστελλον πρὸς ὑμᾶς τοὺς δούλους μου 4
τοὺς προφήτας ὄρθρου ἀποστέλλων, καὶ οὐκ εἰσηκούσατε καὶ οὐ
προσέσχετε τοῖς ὠσὶν ὑμῶν, [5]λέγων Ἀποστράφητε ἕκαστος ἀπὸ τῆς 5
ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων ὑμῶν,
καὶ κατοικήσετε ἐπὶ τῆς γῆς ἧς ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν
ἀπ' αἰῶνος καὶ ἕως αἰῶνος. [6]μὴ πορεύεσθε ὀπίσω θεῶν ἀλλοτρίων 6
τοῦ δουλεύειν αὐτοῖς καὶ τοῦ προσκυνεῖν αὐτοῖς, ὅπως μὴ παροργί-
ζητέ με ἐν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν τοῦ κακῶσαι ὑμᾶς. [7]καὶ 7
οὐκ ἠκούσατέ μου. [8]διὰ τοῦτο τάδε λέγει Κύριος Ἐπειδὴ οὐκ ἐπι- 8
στεύσατε τοῖς λόγοις μου, [9]ἰδοὺ ἐγὼ ἀποστέλλω καὶ λήμψομαι πα- 9
τριὰν ἀπὸ βορρᾶ, καὶ ἄξω αὐτοὺς ἐπὶ τὴν γῆν ταύτην καὶ ἐπὶ τοὺς
κατοικοῦντας αὐτὴν καὶ ἐπὶ πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῆς, καὶ
ἐξερημώσω αὐτοὺς καὶ δώσω αὐτοὺς εἰς ἀφανισμὸν καὶ εἰς συριγμὸν
καὶ εἰς ὀνειδισμὸν αἰώνιον. [10]καὶ ἀπολῶ ἀπ' αὐτῶν φωνὴν χαρᾶς 10
καὶ φωνὴν εὐφροσύνης, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης, ὀσμὴν
μύρου καὶ φῶς λύχνου. [11]καὶ ἔσται πᾶσα ἡ γῆ εἰς ἀφανισμόν, καὶ 11
¶ Γ δουλεύσουσιν ἐν τοῖς ἔθνεσιν ἑβδομήκοντα ἔτη,¶ [12]καὶ ἐν τῷ πληρω- 12

ℵAQΓ XXV 1 γεναμενος A 1—2 om εν τω ετει...τον λαον Ιουδα ℵ* (hab ℵ$^{c.a\ mg}$) 1 Ιωακιμ ℵ$^{c.a}$ | Ιωσια B^{b}ℵ$^{c.a}$AQ^{a} Ιωσιου Q* | Ιουδα 2°]+(sub α' ※) αυτος ενιαυτος| πρωτος τω Ναβουχοδονοσορ βασιλει Βαβυλωνος Q 2 ον] pr α'σ'θ' ※ λογος Q^{mg} | ελαλεν ℵ$^{c.a}$ (postea ελαλησεν)+ ※ Ιερεμιας ὁ προφητης Q^{mg} 3 Ιωσια] pr του βασιλεως A | εικοσι] pr ※ ταυτα Q^{mg} | ετη]+ ※ α'θ' εγενηθη λογος κ̅υ̅ προς με Q^{mg} | om και 3° Γ | ορθιζων ℵ* | λεγων]+α'σ'θ' ※ ϗ ουκ ηκουσατε Q^{mg} 4 ορθου ℵ* | αποστελλων] απεστελλον ℵ | εισηκουσατε]+(μου) Γ^{vid} | προσ|εσχετε B* προ|σεσχ. B$^{?}$ προσεσχατε ℵ | υμων]+α'θ' ※ ακουσαι Q^{mg} 5 αποστραφητε]+δη Q | om και 1° ℵ* (hab ℵ$^{c.a\ (vid)\ mg}$) | κατοικησατε Q* (-σετε Q^{a}) | αιωνος 2°] pr του A 6 μη 1°] pr και ℵ$^{c.a}$ (improb ℵ$^{c.b}$) | θων ℵ* | παροργισητε A 7 ηκουσατε BQ*] εισηκουσατε ℵQ^{mg} εισηκουσαν A | μου]+α'θ' ※ φησιν κ̅ς̅ οπως παροργισητε με ε̄| τοις εργοις των χειρω̄| υμων του κακωσαι υμας Q^{mg} 8 Κυριος]+α'σ'θ' ※ των δυναμεων Q^{mg} 9 ληψομαι Q^{a} | πατριαν] pr την ℵAQΓ pr θ' ※ πασαν (π. την) Q^{mg} | απο] εκ του ℵ του Q | βορραν ℵ*+α'σ'θ' ※ φησιν κ̅ς̅ ϗ προς Ναβουχοδονοσορ βασιλεα Βαβυλωνος το̄| δουλο̄| μου Q^{mg} | και εξερ. αυτους] om και A pr ※ Q$^{?}$ | αφανισ|μον B* αφανι|σμον B$^{?}$ | συρισμον ℵ* (συριγμ. ℵ$^{c.a}$) Γ 10 χαρας] ευφροσυνης AΓ | ευφροσυνης] χαρας AΓ | φωνην 3°] pr και ℵ 11 γη]+α'σ'θ' ※ αυτη εις ερημωσιν και Q^{mg} | εθνεσιν]+ ※ τουτοις τω βασιλει Βαβυλωνος Q^{mg} 12 πληρωθηναι] συμπληρ. AQ

θῆναι ἑβδομήκοντα ἔτη ἐκδικήσω τὸ ἔθνος ἐκεῖνο καὶ θήσομαι αὐτοὺς B
13 εἰς ἀφανισμὸν αἰώνιον, [13]καὶ ἐπάξω ἐπὶ τὴν γῆν ἐκείνην πάντας τοὺς
§λόγους μου οὓς ἐλάλησα κατ' αὐτῆς, πάντα τὰ γεγραμμένα ἐν τῷ § Γ
βιβλίῳ τούτῳ.

(XLIX) (34) 14 [14]Ἃ ἐπροφήτευσεν Ἰερεμίας ἐπὶ τὰ ἔθνη τὰ Αἰλάμ. ¶ ¶ Γ
(35) 15 [15]Τάδε λέγει Κύριος Συνετρίβη τὸ τόξον Αἰλάμ, ἀρχὴ δυνα-
(36) 16 στείας αὐτῶν. [16]καὶ ἐπάξω ἐπὶ Αἰλὰμ τέσσαρας ἀνέμους ἐκ τῶν
τεσσάρων ἄκρων τοῦ οὐρανοῦ καὶ διασπερῶ αὐτοὺς ἐν πᾶσιν τοῖς
ἀνέμοις τούτοις, καὶ οὐκ ἔσται ἔθνος ὃ οὐχ ἥξει ἐκεῖ, οἱ ἐξωσμένοι
(37) 17 Αἰλάμ. [17]καὶ πτοήσω αὐτοὺς ἐναντίον τῶν ἐχθρῶν αὐτῶν τῶν
ζητούντων τὴν ψυχὴν αὐτῶν, καὶ ἐπάξω ἐπ' αὐτοὺς κατὰ τὴν
ὀργὴν τοῦ θυμοῦ μου, καὶ ἐπαποστελῶ ὀπίσω αὐτῶν τὴν μά-
(38) 18 χαιράν μου ἕως τοῦ ἐξαναλῶσαι αὐτούς. [18]καὶ θήσω τὸν θρόνον
μου ἐν Αἰλάμ, καὶ ἐξαποστελῶ ἐκεῖθεν βασιλέα καὶ μεγιστᾶνας,
(39) 19 [19]καὶ ἔσται ἐπ' ἐσχάτου τῶν ἡμερῶν καὶ ἀποστρέψω τὴν αἰχμα-
XXVI (34) 1 λωσίαν Αἰλάμ, λέγει Κύριος. [1]ἐν ἀρχῇ βασιλεύοντος Σεδεκίου
βασιλέως ἐγένετο ὁ λόγος οὗτος περὶ Αἰλάμ.

(XLVI) 2 [2]Τῇ Αἰγύπτῳ ἐπὶ δύναμιν Φαραὼ Νεχαὼ βασιλέως Αἰγύπτου, ὃς ἦν ἐπὶ
τῷ ποταμῷ Εὐφράτῃ ἐν Χαρμείς, ὃν ἐπάταξε Ναβουχοδονόσορ βασι-
λεὺς Βαβυλῶνος ἐν τῷ ἔτει τῷ τετάρτῳ Ἰωακεὶμ βασιλέως Ἰούδα.

3 [3]Ἀναλάβετε ὅπλα καὶ ἀσπίδας, καὶ προσαγάγετε εἰς πόλεμον,
4 [4]καὶ ἐπισάξατε τοὺς ἵππους· ἐπίβητε, οἱ ἱππεῖς, καὶ κατάστητε ἐν
ταῖς περικεφαλαίαις ὑμῶν, προσβάλετε τὰ δόρατα καὶ ἐνδύσασθε τοὺς
5 θώρακας ὑμῶν. [5]τί ὅτι αὐτοὶ πτοοῦνται καὶ ἀποχωροῦσιν εἰς τὸ ὀ-

12 εβδομηκοντα] pr τα B^{ab}ℵAQ | εκδικησω] + α'θ' ※ επι το| βασιλεα Βαβυλωνος ↙ επι Q^{mg} | εκεινο] + φησιν κ̅ς̅ AQ | αυτους] αυτο ℵ 13 επαξω] παταξω A | om γην B* (superscr B^{ab}) | παντας] απαντας A | παντα] pr α' ※ συν Q^{mg} 14 Ιηρεμιας A | τα εθνη] om τα ℵ* | Αιλαμ] + εν αρχη βασιλεως Σεδεκιου βασιλεως Ιουδα λεγων Q 15 συνετριβη] συντριβητω ℵAQ | το τοξον] om το ℵ | αρχη] pr και Q | δυναστιας ℵ 16 Ελαμ ℵ* (Αιλ. $ℵ^{c.a, c.b (vid)}$): item 18, 19 | τασσαρας ℵ* (τεσσ. $ℵ^{c.a, c.b (vid)}$) | ανεμου|ς ℵ* (-μους| ℵ?) | εκ] απο ℵ | διασπιρω ℵ* | πασι ℵA | om ουκ B* (superscr B^{ab}) 17 επ αυτους] + κακα ℵ | επαποστιλω ℵ* -στειλω $ℵ^{c.a (?)}$ -στελω $ℵ^{c.b}$ εξαποστελω A | εξανηλωσε ℵ* 18 βασιλεα] pr και ℵ* (postea improb) 19 εσχατων AQ | om και 2° AQ XXVI 1 βασιλεως] pr του ℵQ om A | περι] επι A 2 Εγυπτω ℵ* (Αιγ. $ℵ^{c.b}$) | βασιλεως 1°] βασιλεα A | ο|ς ℵ* |ος ℵ? | τω ποταμω Ευφρατη] του ποταμου Ευφρατου A | Χαρμεις] Καρχαμεις Q | βασιλευς] βασιλεως ℵ | Ιωακειμ] pr του Q 3 αναλαβατε A* (α 4° ras A?) | om και 2° ℵAQ 4 om και 1° ℵAQ | om και 2° Q^{a} | προσβαλετε] προβαλεται ℵ προβαλατε A | δορατα (δορμ. ℵ*)] + υμων A | ενδυσεσθαι ℵ 5 πτοωνται B* (πτοουνται $B^{a?b}$ [ras aliq ut vid in π 1° B?]) ℵA | εις το οπισω] om εις το ℵAQ ℵAQΓ

B πίσω; διότι οἱ ἰσχυροὶ αὐτῶν κοπήσονται, φυγῇ ἔφυγον καὶ οὐκ ἀνέ-
στρεψαν περιεχόμενοι κυκλόθεν, λέγει Κύριος. [6]μὴ φευγέτω ὁ κοῦ- 6
φος, καὶ μὴ ἀνασωζέσθω ὁ ἰσχυρὸς ἐπὶ βορρᾶν· τὰ παρὰ τὸν
Εὐφράτην ἠσθένησεν, καὶ πεπτώκασιν. [7]τίς οὗτος ὡς ποταμὸς ἀνα- 7
βήσεται, καὶ ὡς ποταμοὶ κυμαίνουσιν ὕδωρ; [8]ὕδατα Αἰγύπτου ὡσεὶ 8
ποταμὸς ἀναβήσεται, καὶ εἶπεν Ἀναβήσομαι καὶ κατακαλύψω τὴν
γῆν καὶ ἀπολῶ τοὺς κατοικοῦντας ἐν αὐτῇ. [9]ἐπίβητε ἐπὶ τοὺς ἵπ- 9
πους, παρασκευάσατε τὰ ἅρματα· ἐξέλθατε, οἱ μαχηταὶ Αἰθιόπων καὶ
Λίβυες καθωπλισμένοι ὅπλοις καὶ Λυδοί, ἀνάβητε, ἐντείνατε τόξον,
[10]καὶ ἡ ἡμέρα ἐκείνη Κυρίῳ τῷ θεῷ ἡμῶν ἡμέρα ἐκδικήσεως τοῦ ἐκ- 10
δικῆσαι τοὺς ἐχθροὺς αὐτοῦ· καὶ καταφάγεται ἡ μάχαιρα Κυρίου, καὶ
πλησθήσεται καὶ μεθυσθήσεται ἀπὸ τοῦ αἵματος αὐτῶν· ὅτι θυσία
τῷ κυρίῳ ἀπὸ γῆς βορρᾶ ἐπὶ ποταμῷ Εὐφράτῃ. [11]ἀνάβηθι, Γαλαάδ, 11
καὶ λάβε ῥητίνην τῇ παρθένῳ θυγατρὶ Αἰγύπτου· εἰς τὸ κενὸν ἐπλή-
θυνας ἰάματά σου, ὠφέλεια οὐκ ἔστιν σοί. [12]ἤκουσαν ἔθνη φωνήν 12
σου, καὶ τῆς κραυγῆς σου ἐπλήσθη ἡ γῆ, ὅτι μαχητὴς πρὸς μαχητὴν
ἠσθένησεν, ἐπὶ τὸ αὐτὸ ἔπεσαν ἀμφότεροι.

[13]Ἃ ἐλάλησεν Κύριος ἐν χειρὶ Ἰερεμίου, τοῦ ἐλθεῖν τὸν βασιλέα Βαβυλῶνος 13
τοῦ κόψαι γῆν Αἰγύπτου.

[14]Ἀναγγείλατε εἰς Μάγδωλον, καὶ παραγγείλατε εἰς Μέμφιν· εἴ- 14
πατε Ἐπίστηθι καὶ ἑτοίμασον, ὅτι κατέφαγεν μάχαιρα τὴν σμίλακά
σου. [15]διὰ τί ἔφυγεν ἀπὸ σοῦ ὁ Ἆπις; ὁ μόσχος ὁ ἐκλεκτός σου 15

ℵAQ 5 φυγην Q* (φυγη Q^{a} postea ut vid repos ν) | κυκλοθε ℵ* 6 ανασωζετω A | βορρα Q | ησθενηκεν ℵ ησθενησαν A | om και 2° ℵ^{1}AQ 7 ως 2°] ωσει Q | κυμανουσιν A | om υδωρ ℵ* (hab ℵ$^{c.a (?)}$) 8 ωσει] pr και ℵ* (postea improb) ως AQ | αναβησεται] + ※ ϗ ως ποταμων εκταρασσεται, κυματα αυτης Q^{mg} | ειπεν] ειπας ℵ | την γην] om την ℵ | τους κατοικ.] om τους ℵA pr πολιν και Q 9 παρασκευασατε] κατασκευασατε A pr και AQ* | εξελθετε Q^{a} | μαχηται] μαθηται A* (θ improb A$^{?}$) | καθοπλισμενοι Q* 10 η ημερα] om η ℵ* | Κυριω] pr τω Q | τω θεω] om τω ℵ | ημων] Ιηλ Q | η μαχαιρα] om η ℵ | om Κυριου Q | πλησθησεται] εμπλησθ. AQ | θυσια] θυμα ℵ* | τω κυριω] om τω Q* + σαβαωθ AQ 11 τη παρθενω] om τη Q | το κενον] om το AQ | επληθυνας] επληθυνεν Q* (-νας Q^{a}) | ωφελια ℵ 12 κραυης ℵ* | επεσον ℵQ 13 a] α' ※ ο λογος δ| Q^{mg} | ελθειν] + Ναβουχοδονοσορ AQ | τον βασιλεα] om τον Q | του κοψαι] και εκκοψαι A | γην] pr την A | Αιγυπτου] αυτου A 14 αναγγειλατε] + θ' ※ εν Αιγυπτω Q^{mg} | ει B* (εις B^{ab}) | ειπατε] pr και εν Ταφνας Q | ετοιμασον] + σοι Q^{mg} | κατεφαγον ℵ^{*vid} | μαχαιρα] pr ε Q* | την σμιλακα (-καν ℵ) σου] οι λοιπ. τα κυκλω σου Q^{mg} 15 δια τι] διοτι Q | om απο σου ℵAQ | ο Απις] οπις Q* (superscr α Q$^{1 fort}$) | ο μοσχος] pr ω Q*

16 οὐκ ἔμεινεν, ὅτι Κύριος παρέλυσεν αὐτόν. [16]καὶ τὸ πλῆθός σου B
ἠσθένησεν καὶ ἔπεσαν, καὶ ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ ἐλάλει
Ἀναστῶμεν καὶ ἀναστρέψωμεν πρὸς τὸν λαὸν ἡμῶν εἰς τὴν πατρίδα
17 ἡμῶν ἀπὸ προσώπου μαχαίρας Ἑλληνικῆς. [17]καλέσατε τὸ ὄνομα
18 Φαραὼ Νεχαὼ βασιλέως Αἰγύπτου Σαὼν Ἐσβεὶ Ἐμωήδ. [18]ζῶ ἐγώ,
λέγει Κύριος ὁ θεός, ὅτι ὡς τὸ Ἰταβύριον ἐν τοῖς ὄρεσιν καὶ ὡς
19 ὁ Κάρμηλος ὁ ἐν τῇ θαλάσσῃ, ἥξει. [19]σκεύη ἀποικισμοῦ ποίησον
σεαυτῇ, κατοικοῦσα θύγατερ Αἰγύπτου· ὅτι Μέμφις εἰς ἀφανισμὸν
ἔσται, καὶ κληθήσεται Οὐαί, διὰ τὸ μὴ ὑπάρχειν κατοικοῦντας ἐν
20 αὐτῇ. [20]δάμαλις κεκαλλωπισμένη Αἴγυπτος· ἀπόσπασμα ἀπὸ βορρᾶ
21 ἦλθεν ἐπ᾽ αὐτήν, [21]καὶ οἱ μισθωτοὶ αὐτῆς ἐν αὐτῇ ὥσπερ μόσχοι
σιτευτοὶ τρεφόμενοι ἐν αὐτῇ· διότι καὶ αὐτοὶ ἀπεστράφησαν καὶ ἔφυ-
γον ὁμοθυμαδόν· οὐκ ἔστησαν, ὅτι ἡμέρα ἀπωλείας ἦλθεν ἐπ᾽ αὐτοὺς
22 καὶ καιρὸς ἐκδικήσεως αὐτῶν. [22]φωνὴ ὡς ὄφεως συρίζοντος,
23 ὅτι ἐν ἄμμῳ πορεύονται, ἐν ἀξίναις ἥξουσιν ἐπ᾽ αὐτήν· [23]ὡς κό-
πτοντες ξύλα ἐκκόψουσιν τὸν δρυμὸν αὐτῆς, λέγει Κύριος, ὅτι οὐ μὴ
εἰκασθῇ, ὅτι πληθύνει ὑπὲρ ἀκρίδα καὶ οὐκ ἔστιν αὐτοῖς ἀριθμός.
24 [24]κατῃσχύνθη ἡ θυγάτηρ Αἰγύπτου, παρεδόθη εἰς χεῖρας λαοῦ ἀπὸ
25 βορρᾶ. [25]ἰδοὺ ἐγὼ ἐκδικῶ τὸν Ἀμμὼν τὸν υἱὸν αὐτῆς ἐπὶ Φαραὼ
27 καὶ ἐπὶ τοὺς πεποιθότας ἐπ᾽ αὐτῷ. [27]σὺ δὲ μὴ φοβηθῇς, δοῦλός μου
Ἰακώβ, μηδὲ πτοηθῇς, Ἰσραήλ· διότι ἰδοὺ ἐγὼ σώζων σε μακρόθεν
καὶ τὸ σπέρμα σου ἐκ τῆς αἰχμαλωσίας αὐτῶν· καὶ ἀναστρέψει Ἰακὼβ
28 καὶ ἡσυχάσει καὶ ὑπνώσει, καὶ οὐκ ἔσται ὁ παρενοχλῶν αὐτόν. [28]μὴ

15 Κυριος] pr ο A   16 om και 1° Q? | επεσεν ℵQ επεσον A | προς τον ℵAQ πλησιον] τω πλησιον Q | ελαλουν AQ | αναστρεψωμεν (αναστρψ. ℵ*)] αποστρεψωμεν A | προς 2°] εις A | τον λαον] om τον Q | ημων 1°] υμων ℵ* (ημ. ℵ^1 (vid)) | om εις την πατρ. ημων A | εις] pr και ℵ^{c.a}Q   17 Αιγυπου ℵ* | Εσβι AQ   18 om ο θεος Q | ορεσι B^bQ | ο εν τη θαλ.] om ο ℵAQ   19 αποικισμου (-κισ|μου B* -κι|σμ. B?)] αποικιασμου ℵ | σεαυτω ℵ* | καταοικουσα ℵ* | θυγατηρ ℵ | δια] παρα Q   21 ωσπερ] ως Q | αυτη 2°] η sup ras A^a | αυτοι] ουτοι (ο sup ras) A^a | απωλιας ℵ | αυτους] αυτοις A   22 φωνη] + αυτης Q (sub ※ Q?) | συριζοντος] ο 2° sup ras A^a (-τες A* vid) | αμμω̄| ℵ^vid | πορευσονται ℵAQ   23 εκκοψουσιν] εκκοψατε Q | Κυριος] ο θς̄ ℵ + ο θς̄ AQ | πληθυνει] επληθυνεν A | ακριδας A | αυτοις] αυτω ℵ   24 κατεσχυνθη ℵ* (καταισχ. ℵ^{c.a}) | η θυγατηρ] om η ℵQ   25 ιδου] pr α′θ′ ※ ειπε κ̄ς̄ των δυναμεων ο θς̄ Ι̅η̅λ̅ Q^mg | τον υιον] om τον Q | Φαραω] + ※ κ̅ επ Αιγυπτο̅| κ̅ επι τους θεους αυτης κ̅ επι τους βασιλεις αυτης και επι Φαραω Q^mg | αυτω] + θ′ ※ (26) κ̅ παραδωσω αυτους εν χειρι ζητουντω̅| ψυχην αυτω̅| κ̅ εν χειρι Ναβουχοδονοσορ βασιλεως Βαβυλωνος κ̅ εν χειρι τω̅| δουλων αυτου κ̅ μετα ταυτα κατασκηνωσει καθως εμπροσθεν λεγει κ̄ς̄ Q^mg   27 δουλους ℵ* | om διοτι ιδου εγω A* | διοτι] οτι Q | om ιδου ℵ* (superscr ℵ^{c.a}) A^a | σωζω ℵAQ | της αιχμ.] γης αιχμ. Q | om υπνωσει και ℵ* (hab υπνωσι κ̅ ℵ^{c.a (vid)}) | αυτον] αυτω ℵ   28 μη 1°] pr και συ AQ

B φοβοῦ, παῖς μου Ἰακώβ, λέγει Κύριος, ὅτι μετὰ σοῦ ἐγώ εἰμι· ἡ
ἀπτόητος καὶ τρυφερὰ παρεδόθη· ὅτι ποιήσω συντέλειαν ἐν παντὶ
εἰς οὓς ἐξῶσά σε ἐκεῖ, σὲ δὲ οὐ μὴ ποιήσω ἐκλιπεῖν· καὶ παιδεύσω
σε εἰς κρίμα, καὶ ἀθῷον οὐκ ἀθῳώσω σε.

1 Λόγος Κυρίου ὃν ἐλάλησεν ἐπὶ Βαβυλῶνα. 1 XXVII (L)

2 Ἀναγγείλατε ἐν τοῖς ἔθνεσιν καὶ ἀκουστὰ ποιήσατε καὶ μὴ κρύ- 2
ψητε· εἴπατε Ἑάλωκεν Βαβυλών, κατῃσχύνθη Βῆλος ἡ ἀπτόητος, ἡ
τρυφερὰ παρεδόθη Μαιωδάκ. 3 ὅτι ἀνέβη ἐπ' αὐτὴν ἔθνος ἀπὸ βορρᾶ· 3
οὗτος θήσει τὴν γῆν αὐτῆς εἰς ἀφανισμόν, καὶ οὐκ ἔσται ὁ κατοικῶν
ἐν αὐτῇ ἀπὸ ἀνθρώπου καὶ ἕως κτήνους. 4 ἐν ταῖς ἡμέραις ἐκείναις 4
καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἥξουσιν οἱ υἱοὶ Ἰσραήλ, αὐτοὶ καὶ οἱ υἱοὶ
Ἰούδα ἐπὶ τὸ αὐτὸ βαδίζοντες καὶ κλαίοντες πορεύσονται, τὸν κύριον
θεὸν αὐτῶν ζητοῦντες. 5 ἕως Σειὼν ἐρωτήσουσιν τὴν ὁδόν, ὧδε γὰρ 5
τὸ πρόσωπον αὐτῶν δώσουσιν, καὶ ἥξουσιν καὶ καταφεύξονται πρὸς
Κύριον τὸν θεόν· διαθήκη γὰρ αἰώνιος οὐκ ἐπιλησθήσεται. 6 Πρό- 6
βατα ἀπολωλότα ἐγενήθη ὁ λαός μου, οἱ ποιμένες αὐτῶν ἐξῶσαν αὐ-
τούς, ἐπὶ τὰ ὄρη ἀπεπλάνησαν αὐτούς, ἐξ ὄρους ἐπὶ βουνὸν ᾤχοντο,
ἐπελάθοντο κοίτης αὐτῶν. 7 πάντες οἱ εὑρίσκοντες αὐτοὺς κατανά- 7
λισκον αὐτούς· οἱ ἐχθροὶ αὐτῶν εἶπαν Μὴ ἀνῶμεν αὐτούς, ἀνθ' ὧν
ἥμαρτον τῷ κυρίῳ· νομὴ δικαιοσύνης τῷ συναγαγόντι τοὺς πατέρας
αὐτῶν. 8 ἀπαλλοτριώθητε ἐκ μέσου Βαβυλῶνος καὶ ἀπὸ γῆς Χαλ- 8
δαίων καὶ ἐξέλθατε, καὶ γένεσθε ὥσπερ δράκοντες κατὰ πρόσωπον
προβάτων. 9 ὅτι ἰδοὺ ἐγὼ ἐγείρω ἐπὶ Βαβυλῶνα συναγωγὰς ἐθνῶν 9
ἐκ γῆς βορρᾶ, καὶ παρατάξονται αὐτῇ· ἐκεῖθεν ἁλώσεται, ὡς βολὶς

ℵAQ 28 φοβου] φοβηθης Q | ειμι εγω Q | συντελιαν ℵ | παντι] + εθνει B^{ab}ℵAQ | εις ους] ου ℵ | σε 2° sup ras B$^{a\ et\ b\ (vid)}$ | εκλειπειν ℵ$^{c.a}$A | κριμα] κρισιν A | αθωον] αθοων ℵQ* XXVII 1 λογος] pr ο ℵAQ | om Κυριου AQ | ελαλησεν] + κς AQ | Βαβυλωνα] + α' ※ προς γην Χαλδαιω̄| εν χειρι Ιερεμιου του προφητου Q^{mg} 2 εθεσιν ℵ* (εθν. ℵ?) | και 1°] επαρατε σημειο̄| ακουστον ποιησατε Q^{mg} | Βηλος] Βηλ ℵAQ | παρδοθη B* (παρεδ. B^{ab}) | Μαιωδακ (Μεωδαχ ℵAQ adnot τυχη της πολεως Q^{mg})] + θ' ※ ησχυνθησᾱ| τα ειδωλα αυτης ησχῡ|θησαν τα βδελυγματα αυτης Q^{mg} 3 αυτην] αυτη A* (superscr ν A$^{1\ fort}$) | αυτης] η sup ras A^{a} | om και 2° AQ | κτηνους] + α' ※ εσαλευθησᾱ| απηλθον Q^{mg} 4 εν 1°] pr και ℵ | ημερας ℵ* | Ισραηλ] Ιακωβ A | om αυτοι A | τον κυριον] κ̅ν̅ τον ℵQ 5 Σιων B^{b}ℵAQ pr εις ℵA | καταφευξονται] ξ sup ras A^{a} | τον θεον] om Q om τον ℵA | δαθηκη ℵ* 6 επελαθεντο ℵA 7 om καταναλισκον αυτους ℵ* (hab ℵ$^{c.a\ (mg)}$) | καταναλισκον B^{ab}ℵ$^{c.a}$Q^{a} | ειπον ℵ | ημαρτοσαν Q 8 απηλλοτριωθητε A | Χαλδεων ℵ | εξελθετε Q^{a} | κατα προσ. προβατων] σ' εμπροσθεν ποιμνιων Q^{mg} 9 βορραν ℵ* | αλωσονται A | ως...συνετου] α' τα βελη αυτου ως γιγας ατεκνω̄| σ' τα β. αυτ. ως δυνατου συνετου Q^{mg}

10 μαχητοῦ συνετοῦ οὐκ ἐπιστρέψει κενή. [10]καὶ ἔσται ἡ Χαλδαία εἰς B
11 προνομήν, πάντες οἱ προνομεύοντες αὐτὴν ἐνπλησθήσονται. [11]ὅτι
ηὐφραίνεσθε καὶ κατεκαυχᾶσθε διαρπάζοντες τὴν κληρονομίαν μου,
διότι ἐσκιρτᾶτε ὡς βοίδια ἐν βοτάνῃ, καὶ ἐκερατίζετε ὡς ταῦροι.
12 [12]ᾐσχύνθη ἡ μήτηρ ὑμῶν σφόδρα, μήτηρ ἐπ᾽ ἀγαθά, ἐσχάτη ἐθνῶν,
13 ἔρημος. [13]ἀπὸ ὀργῆς Κυρίου οὐ κατοικηθήσεται· καὶ ἔσται εἰς ἀφα-
νισμὸν πᾶσα, καὶ πᾶς ὁ διοδεύων διὰ Βαβυλῶνος σκυθρωπάσει, καὶ
14 συριοῦσιν ἐπὶ πᾶσαν τὴν πληγὴν αὐτῆς. [14]παρατάξασθε ἐπὶ Βαβυ-
λῶνα κύκλῳ πάντες τείνοντες τόξον, τοξεύσατε ἐπ᾽ αὐτήν, μὴ φεί-
15 σησθε ἐπὶ τοῖς τοξεύμασιν ὑμῶν, [15]καὶ κατακρατήσατε αὐτήν· παρε-
λύθησαν αἱ χεῖρες αὐτῆς, ἔπεσαν αἱ ἐπάλξεις αὐτῆς, καὶ κατεσκάφη
τὸ τεῖχος αὐτῆς· ὅτι ἐκδίκησις παρὰ θεοῦ ἐστίν, ἐκδικεῖτε ἐπ᾽ αὐτήν,
16 καθὼς ἐποίησεν ποιήσατε αὐτῇ. [16]ἐξολεθρεύσατε σπέρμα ἐκ Βαβυ-
λῶνος, κατέχοντα δρέπανον ἐν καιρῷ θερισμοῦ, ἀπὸ προσώπου
μαχαίρας Ἑλληνικῆς ἕκαστος εἰς τὸν λαὸν αὐτοῦ ἀποστρέψουσιν,
17 καὶ ἕκαστος εἰς τὴν γῆν αὐτοῦ φεύξεται. [17]Πρόβατον πλανώ-
μενον Ἰσραήλ, λέοντες ἐξῶσαν αὐτόν· ὁ πρῶτος ἔφαγεν αὐτὸν βασι-
λεὺς Ἀσσούρ, καὶ οὗτος ὕστερον τὰ ὀστᾶ αὐτοῦ βασιλεὺς Βαβυλῶνος.
18 [18]διὰ τοῦτο τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ ἐκδικῶ ἐπὶ τὸν Βαβυλῶνος καὶ
19 ἐπὶ τὴν γῆν αὐτοῦ καθὼς ἐξεδίκησα ἐπὶ τὸν βασιλέα Ἀσσούρ. [19]καὶ
ἀποκαταστήσω τὸν Ἰσραὴλ εἰς τὴν νομὴν αὐτοῦ, καὶ νεμήσεται ἐν
τῷ Καρμήλῳ καὶ ἐν ὄρει Ἐφράιμ καὶ ἐν τῷ Γαλαάδ, καὶ πλησθή-
20 σεται ἡ ψυχὴ αὐτοῦ. [20]ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ

9 επιστρεψει] αποστρεψει Q   10 παντες] pr και Q | προνομευσαντες ℵAQ A | εμπλησθησονται B$^{a?b}$ℵAQ   11 ευφραιν. B^{ab}Q^{a} | κατακαυχασθε ℵ   12 η μητηρ υμων σφοδρα sub ※ οι γ′ Q$^{(mg)}$ | υμων] ημων A | σφοδρα] + ενετραπη η τεκουσα ημας A + (sub ※) ενετρ. η τ. υμας Q | επ] εις Q | εσχατη] pr ※ ιδου Q^{mg} 13 ορης ℵ* (οργ. ℵ$^{?}$) | κατοικηθησεται] κατοικισθησεται Q + εις τον αιωνα A | πασα] + η γη A | σκυθρωπασει] κυ|κλωπασει ℵ* (σκυθρ. ℵ$^{c.a(?)}$) | συριουσιν (ριουσιν ℵ* συρ. ℵ$^{c.a(?)}$)] συριει Q   14 κυκλω] κυκλοθεν Q | μη] pr και ℵ | φισσθαι ℵ* (φισησθαι ℵ$^{c.a(?)}$) | υμων] + παντες ※ οτι τω κω ημαρτεν Q^{mg} 15 αυτην 1°] pr επ AQ | επεσον ℵQ^{a} | επαλξις ℵ* (-ξεις ℵ$^{c.a(?)}$) | αυτης 2°] incep ε ℵ* | om και 2° AQ | θεου] pr του ℵQ | εκδικειτε] εκδικηται ℵ* εκδικησαται ℵ$^{c.a(?)}$ (postea -κηται revoc ut vid) εκδικησατε Q   16 εξολεθρευσατε (εξολοθρ.)] εξωλεθρευσατε ℵ | λαον] τοπον A | την γην] τον οικον A   17 λεοντες] λεγοντες ℵ* | εφαγεν] κατεφαγεν Q | οστερος ℵ* ο υστερος postea ουτος ο υστερον ℵ^{1} 18 Κυριος] + α′θ′ ※ των δυναμεων ο θς Ιηλ Q^{mg} | Βαβυλωνος] pr βασιλεα B$^{ab(mg)}$ℵAQ | om επι 2° Q | εξεδικηκα ℵ* (-σα ℵ$^{c.a(?)}$)   19 νεμησονται Q | Εφρεμ ℵ | τω Γαλααδ] γη Γ. A | πλησθησεται (πλη|σθ. ℵ* πλησ|θ. ℵ$^{?}$)] εμπλησθησεται AQ* εμπλησθησονται Q^{a} | η ψυχη] αι ψυχαι Q^{a} | αυτου 2°] αυτων Q^{a}

B ἐκείνῳ ζητήσουσιν τὴν ἀδικίαν Ἰσραήλ, καὶ οὐχ ὑπάρξει, καὶ τὰς
ἁμαρτίας Ἰούδα, καὶ οὐ μὴ εὑρεθῶσιν, ὅτι ἵλεως ἔσομαι τοῖς ὑπολε-
λιμμένοις ἐπὶ τῆς γῆς, λέγει Κύριος. [21]Πικρῶς ἐπίβηθι ἐπ' αὐ- 21
τὴν καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐπ' αὐτήν· ἐκδίκησον μάχαιρα καὶ
ἀφάνισον, λέγει Κύριος, καὶ ποίει κατὰ πάντα ὅσα ἐντέλλομαί σοι.
[22]φωνὴ πολέμου καὶ συντριβὴ μεγάλη ἐν γῇ Χαλδαίων. [23]πῶς ἐ- 22 23
κλάσθη καὶ συνετρίβη ἡ σφῦρα πάσης τῆς γῆς; πῶς ἐγενήθη εἰς
ἀφανισμὸν Βαβυλὼν ἐν ἔθνεσιν; [24]ἐπιβήσονταί σοι, καὶ οὐ γνώσῃ 24
ὡς Βαβυλὼν καὶ ἁλώσῃ· εὑρέθης καὶ ἐλήμφθης, ὅτι τῷ κυρίῳ ἀντέστης.
[25]ἤνοιξεν Κύριος τὸν θησαυρὸν αὐτοῦ καὶ ἐξήνεγκεν τὰ σκεύη ὀργῆς 25
αὐτοῦ, ὅτι ἔργον τῷ κυρίῳ θεῷ ἐν γῇ Χαλδαίων, [26]ὅτι ἐληλύθασιν 26
οἱ καιροὶ αὐτῆς. ἀνοίξατε τὰς ἀποθήκας αὐτῆς, ἐραυνήσατε αὐτὴν ὡς
σπήλαιον καὶ ἐξολεθρεύσατε αὐτήν, μὴ γενέσθω αὐτῆς κατάλιμμα·
[27]ἀναξηράνατε αὐτῆς πάντας τοὺς καρπούς, καὶ καταβήτωσαν εἰς 27
σφαγήν. οὐαὶ αὐτοῖς, ὅτι ἥκει ἡ ἡμέρα αὐτῶν καὶ καιρὸς ἐκδικήσεως
αὐτῶν. [28]φωνὴ φευγόντων καὶ ἀνασῳζομένων ἐκ γῆς Βαβυλῶνος, 28
τοῦ ἀναγγεῖλαι εἰς Σειὼν τὴν ἐκδίκησιν παρὰ Κυρίου θεοῦ ἡμῶν.
[29]παραγγείλατε ἐπὶ Βαβυλῶνα πολλοῖς, παντὶ ἐντείνοντι τόξον, 29
παρεμβάλετε ἐπ' αὐτὴν κυκλόθεν· μὴ ἔστω αὐτῆς ἀνασῳζόμενος,
ἀνταπόδοτε αὐτῇ κατὰ τὰ ἔργα αὐτῆς· κατὰ πάντα ὅσα ἐποίησεν
ποιήσατε αὐτῇ, ὅτι πρὸς Κύριον ἀντέστη θεὸν ἅγιον τοῦ Ἰσραήλ.
[30]διὰ τοῦτο πεσοῦνται οἱ νεανίσκοι αὐτῆς ἐν ταῖς πλατείαις αὐτῆς, 30
καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ αὐτῆς ῥιφήσονται, εἶπεν Κύριος.

ℵAQ 20 εκεινω] + φησιν κ̅ς̅ AQ | αδικειαν B* (-κιαν B^{b}) | υπολελειμμενοις B^{ab}Q* (λιμμ. Q^{a}) 21 πικρως . . αυτην (1°)] α' παραπικραινοντων αναβηθι επ αυτην Q^{mg} | om και επι τους κατ. επ αυτην ℵ* (hab ℵ$^{c.a\ fort\ mg}$) | και 1°] + εν τη γη ταυτη Q^{mg} | επ αυτην (2°)] om επ A εν αυτη Q | μαχαιρα] μαχεραν ℵ | αφανισον] + θ' ※ οπισω αυτων κακα Q^{mg} 23 εκλασθη] συνεκλασθη ℵAQ | εθνεσιν] pr ※ τοις Q^{mg} 24 επιβησονται] επιθησονται B^{ab}ℵ (-τε ℵ* -ται ℵ$^{c.b}$) Q | σοι] + και αλωση A + και αλωση Βαβυλων Q | ου γνωση] φυγη ℵ | om ως Βαβυλων και αλωση Q | αλωση] om A + ϗ ου γνωση ℵ$^{c.a\ mg}$ | ελημφθης] λημφθ. ℵ* ελημφθη A* (-φθης A^{1}) εληφθης Q^{a} 25 εξενεκεν ℵ* | οργης] pr της Q | εργον] + ※ εστι Q^{mg} | τω κυριω] om τω ℵ* (superscr ℵ$^{c.a(?)}$) om κυριω Q | om θεω AQ* (hab Q^{mg}) | Χαλδεων ℵ 26 εληλυθασιν] + ※ αυτη Q^{mg} | ερευνησατε B^{ab}ℵ$^{?}$Q pr και A | om ως σπηλαιον και εξολεθρ. αυτην ℵ | καταλειμμα B$^{a?b}$AQ* 27 om αυτης Q | καρπους] + αυτης Q 28 φωνη|νη ℵ* (improb νη 2° ℵ$^{?}$) | φευοντων ℵ* | εις] εν Q | Σιων B^{b}ℵAQ | την εκδικησιν] om την A | ημων] υμων ℵ αυτων A + παντες ※ εκδικησι] ναου αυτου Q^{mg} 29 παρεμβαλατε A | Κυριον] pr τον ℵAQ | του Ισραηλ] om του Q 30 πλατιαις ℵA | ριφησονται] + παντες ※ εν τη ημερα εκεινη Q^{mg}

31 [31]Ἰδοὺ ἐγὼ ἐπὶ σὲ τὴν ὑβρίστριαν, λέγει Κύριος, ὅτι ἥκει ἡ ἡμέρα B
32 σου καὶ ὁ καιρὸς ἐκδικήσεώς σου, [32]καὶ ἀσθενήσει ἡ ὕβρις σου καὶ
πεσεῖται, καὶ οὐκ ἔσται ὁ ἀνιστῶν αὐτήν· καὶ ἀνάψω πῦρ ἐν τῷ
33 δρυμῷ αὐτῆς, καὶ καταφάγεται πάντα τὰ κύκλῳ αὐτῆς. [33]Τάδε
λέγει Κύριος Καταδεδυνάστευνται οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ υἱοὶ Ἰούδα,
ἅμα πάντες οἱ αἰχμαλωτεύσαντες αὐτοὺς κατεδυνάστευσαν αὐτούς,
34 ὅτι οὐκ ἠθέλησαν ἐξαποστεῖλαι αὐτούς. [34]καὶ ὁ λυτρούμενος αὐ-
τοὺς ἰσχυρός, Κύριος Παντοκράτωρ ὄνομα αὐτῷ· κρίσιν κρινεῖ πρὸς
τοὺς ἀντιδίκους αὐτοῦ, ὅπως ἐξάρῃ τὴν γῆν καὶ παροξυνεῖ τοῖς κατοι-
35 κοῦσι Βαβυλῶνα. [35]μάχαιραν ἐπὶ τοὺς Χαλδαίους καὶ ἐπὶ τοὺς
κατοικοῦντας Βαβυλῶνα καὶ ἐπὶ τοὺς μεγιστᾶνας αὐτῆς καὶ ἐπὶ τοὺς
36 συνετοὺς αὐτῆς· [36]μάχαιραν ἐπὶ τοὺς μαχητὰς αὐτῆς, καὶ παραλυθή-
σονται· μάχαιραν ἐπὶ τοὺς ἵππους αὐτῶν καὶ ἐπὶ τὰ ἅρματα αὐτῶν·
37 [37]μάχαιραν ἐπὶ τοὺς μαχητὰς αὐτῶν καὶ ἐπὶ τὸν σύμμικτον τὸν ἐν
μέσῳ αὐτῆς, καὶ ἔσονται ὡσεὶ γυναῖκες· μάχαιραν ἐπὶ τοὺς θησαυ-
38 ροὺς αὐτῆς, καὶ διασκορπισθήσονται [38]ἐπὶ τῷ ὕδατι αὐτῆς, καὶ
καταισχυνθήσονται, ὅτι γῆ τῶν γλυπτῶν ἐστιν, καὶ ἐν ταῖς νήσοις
39 οὗ κατεκαυχῶντο. [39]διὰ τοῦτο κατοικήσουσιν ἰνδάλματα ἐν ταῖς νή-
σοις, καὶ κατοικήσουσιν ἐν αὐτῇ θυγατέρες σειρήνων· οὐ μὴ κατοι-
40 κηθῇ οὐκέτι εἰς τὸν αἰῶνα. [40]καθὼς κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ
Γόμορρα καὶ τὰς ὁμορούσας αὐταῖς, εἶπεν Κύριος, οὐ μὴ κατοικήσῃ
41 ἐκεῖ ἄνθρωπος, καὶ οὐ μὴ παροικήσει ἐκεῖ υἱὸς ἀνθρώπου. [41]ἰδοὺ
λαὸς ἔρχεται ἀπὸ βορρᾶ, καὶ ἔθνος μέγα καὶ βασιλεῖς πολλοὶ ἐξε-
42 γερθήσονται ἀπ' ἐσχάτου τῆς γῆς, [42]τόξον καὶ ἐνχειρίδιον ἔχοντες·

31 επι] προς A | υβριστρειαν B* υβριυστιαν ℵ* υβριστιαν A (υβριστριαν B^{b}ℵ$^{?}$Q) | καιρος]+σου Q* (om Q$^{?}$) | εκδικησεως] pr της ℵA | om σου 2° Q* (superscr Q^{a}) ℵAQ
33 καταδυναστευνται Q* | οι υιοι (bis)] om οι ℵ | αιχμαλωτευσαντες (αιχμαλευσ. B* αιχμαλωτευσ. B^{ab})] αιχμαλωτευοντες Q | om κατεδυναστευσαν αυτους ℵ* (hab ℵ$^{c.a(?)\,mg}$)
34 τοις κατοικουσι (-σιν A)] τοις παροικουσιν ℵ τους κατοικουντας Q^{mg}
35 Χαλδεους ℵ | κατοικουντα ℵ* (ς superscr ℵ$^{?}$)
36 μαχαιραν 1°] pr α' ※ μαχαιραν επι τα μαντεια αυτης ϗ εξαρθησονται Q^{mg}
37 om επι 2° A | τον συμμικτον (σῡ|μ. ℵ)] pr ※ παντα Q^{mg} | τον εν μεσω] om τον ℵ* (superscr ℵ$^{?}$) | αυτης] αυτων Q^{a} | ωσει] ως AQ* (ωσει Q^{mg}) | διασκορπισθησονται] διαρπαγησονται Q
38 επι] εν ℵ pr μαχαιρᾱ| Q^{mg} | αυτης]+επεποιθει AQ*+ω επεποιθ. Q^{a} (ω superscr) | και 1°] pr ※ ϗ ξηρανθησετε Q^{mg} | ου] σου ℵ om AQ
39 ινδαλμαται ℵ* | ταις νησοις] τοις ν. ℵ$^{*\,vid}$ | και]+δια τουτο ℵ* (improb ℵ$^{?}$) | αυτη] αυταις Q | σιρηνιν ℵ* (-νων ℵ$^{c.a(?)}$)+※ ϗ ουκ οιδομηθησετε (sic) ετι εις το νικος Q^{mg} | αιωναν ℵ*
40 Σοδομα] pr θ' ※ την Q^{mg} | ομορουσας Bℵ$^{?}$Q^{a}] ομορρουσας ℵ* ομορροουσας A ομοροουσας Q* | κατοικησει (-σι ℵ* -σει ℵ$^{c.b}$) ℵA | παροικησει] κατοικησει A παροικηση Q
41 βορρα (-ρραν ℵ*)] pr γης A
42 εγχειριδιον B^{b}Q

B ἰταμός ἐστιν, καὶ οὐ μὴ ἐλεήσῃ· φωνὴ αὐτῶν ὡς θάλασσα ἠχήσει,
ἐφ᾽ ἵπποις ἱππάσονται παρασκευασμένοι ὥσπερ πῦρ εἰς πόλεμον,
πρὸς σέ, θύγατερ Βαβυλῶνος. [43]ἤκουσεν βασιλεὺς Βαβυλῶνος τὴν 43
ἀκοὴν αὐτῶν, καὶ παρελύθησαν αἱ χεῖρες αὐτοῦ· θλῖψις κατεκράτησεν
αὐτοῦ, ὠδῖνες ὡς τικτούσης. [44]ἰδοὺ ὥσπερ λέων ἀναβήσεται ἀπὸ 44
τοῦ Ἰορδάνου εἰς Γαιθάν, ὅτι ταχέως ἐκδιώξω αὐτοὺς ἀπ᾽ αὐτῆς, καὶ
πάντα νεανίσκον ἐπ᾽ αὐτὴν ἐπιστήσω. ὅτι τίς ὥσπερ ἐγώ; καὶ τίς
ἀντιστήσεταί μοι; καὶ τίς οὗτος ποιμὴν ὃς στήσεται κατὰ πρόσωπόν
μου; [45]διὰ τοῦτο ἀκούσατε τὴν βουλὴν Κυρίου ἣν βεβούλευται ἐπὶ 45
Βαβυλῶνα, καὶ λογισμοὺς αὐτοῦ οὓς ἐλογίσατο ἐπὶ τοὺς κατοικοῦντας
Χαλδαίους· ἐὰν μὴ διαφθαρῇ τὰ ἀρνία τῶν προβάτων αὐτῶν, ἐὰν μὴ
ἀφανισθῇ νομὴ ἀπ᾽ αὐτῶν. [46]ὅτι ἀπὸ φωνῆς ἁλώσεως Βαβυλῶνος 46
σεισθήσεται ἡ γῆ, καὶ κραυγὴ ἐν ἔθνεσιν ἀκουσθήσεται.

[1]Τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ ἐξεγείρω ἐπὶ Βαβυλῶνα καὶ ἐπὶ 1 XXVIII (LI)
τοὺς κατοικοῦντας Χαλδαίους ἄνεμον καύσωνα διαφθείροντα. [2]καὶ 2
ἐξαποστελῶ εἰς Βαβυλῶνα ὑβριστάς, καὶ καθυβρίσουσιν αὐτὴν καὶ
λυμανοῦνται τὴν γῆν αὐτῆς· οὐαὶ ἐπὶ Βαβυλῶνα κυκλόθεν ἐν ἡμέρᾳ
κακώσεως αὐτῆς. [3]τεινέτω ὁ τείνων τὸ τόξον αὐτοῦ, καὶ περιθέσθω 3
ᾧ ἐστὶν ὅπλα αὐτοῦ, καὶ μὴ φείσησθε ἐπὶ νεανίσκους αὐτῆς καὶ
ἀφανίσατε πᾶσαν τὴν δύναμιν αὐτῆς. [4]καὶ πεσοῦνται τραυματίαι ἐν 4
γῇ Χαλδαίων καὶ κατακεκεντημένοι ἔξωθεν αὐτῆς. [5]διότι οὐκ ἐχή- 5
ρευσεν Ἰσραὴλ καὶ Ἰούδας ἀπὸ θεοῦ αὐτῶν, ἀπὸ Κυρίου Παντοκρά-
τορος· ὅτι ἡ γῆ αὐτῶν ἐπλήσθη ἀδικίας ἀπὸ τῶν ἁγίων Ἰσραήλ.
[6]φεύγετε ἐκ μέσου Βαβυλῶνος καὶ ἀνασώζετε ἕκαστος τὴν ψυχὴν 6
αὐτοῦ, καὶ μὴ ἀποριφῆτε ἐν τῇ ἀδικίᾳ αὐτῆς, ὅτι καιρὸς ἐκδικήσεως

ℵAQ 42 ελεησει ℵQ | αυτων] αυτου A | ιππον ℵ* (ιπποις ℵ[c.a(?)]) | ιππασονται παρεσκευασμενοι (παρασκ. B* παρεσκ. B[a?b])] παρεσκ. ιππασ. ℵ | προσε ℵ* (προς σε ℵ[?]) | θυγατηρ ℵAQ 43 om και A* (hab ϗ A[a?]) | αυτου 1°] αυτων ℵ* | κατεκρατησαν Q | αυτου 2°] αυτους ℵ*A 44 του Ιορδ.] pr α′θ′ ※ φρυαγματος Q[mg] | Γαιθαν] Θαιθαμ ℵ* Χαιθαμ postea Γαιθαμ ℵ[?] τοπον Αιθαμ AQ | ποιμην] pr ο Q | οστησεται A (sic) 45 ακουσατε] pr α ℵ* | λογισμους] διαλογισμους A | om αυτου A | ελογισατο] διελογισατο A | Χαλδεους ℵ | διαφθαρη] διαφθιρω A* (improb A[a?]) | αφανσεισθη ℵ* (αφανεισθη ℵ[?]) | νομη απ αυτων] νομη αυτ. ℵ* (ν. απ αυτ. ℵ[? mg]) απ αυτων νομη Q 46 οτι] διοτι Q | κραυη ℵ* + αυτης Q XXVIII 1 Χαλδαιους (-δεους ℵ)] α′ καρδιαν επεγειρο̄|των σ′ Λεβκαβη Q[mg] 2 εις] επι Q | καθυβριουσιν A καθυβρισωσιν Q | αυτης 1°] εκειντην ℵ* (αυτης ℵ[c.a(?) mg]) | ουαι] pr α′σ′ ※ οτι Q[mg] 3 τεινετω] pr επ αυτην ℵ[c.a mg] pr επ αυτη Q | om και 1° Q | περιθεσθω] pr επ αυτη̄| Q[mg] | ω] ως ℵ | improb και 2° ℵ[c.a]Q | νεανισκους] pr τους Q | αυαυτης (1°) ℵ* 4 τραματιαι ℵ | Χαλδεων ℵ 5 διοτι] δια τι A | θεου] pr κ̅υ̅ A | om απο 2° A 6 εκατος ℵ* | om και 2° Q | αποριφητε B[a?b] | καιρος] pr ο ℵ

αὐτῆς ἐστιν παρὰ Κυρίου, ἀνταπόδομα αὐτὸς ἀνταποδίδωσιν αὐτῇ. B
7 [7]ποτήριον χρυσοῦν Βαβυλὼν ἐν χειρὶ Κυρίου, μεθύσκον πᾶσαν τὴν
8 γῆν· ἀπὸ τοῦ οἴνου αὐτῆς ἐπίοσαν ἔθνη, διὰ τοῦτο ἐσαλεύθησαν· [8]καὶ
ἄφνω ἔπεσεν Βαβυλὼν καὶ συνετρίβη. θρηνεῖτε αὐτήν, λάβετε
9 ῥητίνην τῇ διαφθορᾷ αὐτῆς, εἴ πως ἰαθήσεται. [9]ἰατρεύσαμεν τὴν
Βαβυλῶνα, καὶ οὐκ ἰάθη· ἐνκαταλίπωμεν αὐτὴν καὶ ἀπέλθωμεν
ἕκαστος εἰς τὴν γῆν αὐτοῦ, ὅτι ἤγγικεν εἰς οὐρανὸν τὸ κρίμα αὐτῆς,
10 ἐξῆρεν ἕως τῶν ἄστρων. [10]ἐξήνεγκεν Κύριος τὸ κρίμα αὐτοῦ· δεῦτε
11 καὶ ἀναγγείλωμεν ἐν Σειὼν τὰ ἔργα Κυρίου τοῦ θεοῦ ἡμῶν. [11]παρα-
σκευάζετε τὰ τοξεύματα, πληροῦτε τὰς φαρέτρας· ἤγειρεν Κύριος τὸ
πνεῦμα βασιλέως Μήδων, ὅτι εἰς Βαβυλῶνα ἡ ὀργὴ αὐτοῦ τοῦ ἐξολε-
θρεῦσαι αὐτήν, ὅτι ἐκδίκησις Κυρίου ἐστίν, ἐκδίκησις λαοῦ αὐτοῦ
12 ἐστιν. [12]ἐπὶ τειχέων Βαβυλῶνος ἄρατε σημεῖον, ἐπιστήσατε φα-
ρέτρας, ἐγείρατε φυλακάς, ἑτοιμάσατε ὅπλα, ὅτι ἐνεχείρησεν· καὶ ποιήσει
13 Κύριος ἃ ἐλάλησεν ἐπὶ τοὺς κατοικοῦντας Βαβυλῶνα, [13]κατασκηνοῦν-
τας ἐφ᾽ ὕδασι πολλοῖς καὶ ἐπὶ πλήθει θησαυρῶν αὐτῆς· ἥκει τὸ
14 πέρας σου ἀληθῶς εἰς τὰ σπλάγχα σου. [14]ὅτι ὤμοσεν Κύριος κατὰ
τοῦ βραχίονος αὐτοῦ διότι Πληρώσω σε ἀνθρώπων ὡσεὶ ἀκρίδων, καὶ
15 φθέγξονται ἐπὶ σὲ οἱ καταβαίνοντες. [15]Ποιῶν γῆν ἐν τῇ ἰσχύι
αὐτοῦ, ἑτοιμάζων οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ, ἐν τῇ συνέσει αὐτοῦ
16 ἐξέτεινεν τὸν οὐρανόν, [16]εἰς φωνὴν ἔθετο ἦχος ὕδατος ἐν τῷ οὐρανῷ,
καὶ ἀνήγαγεν νεφέλας ἀπ᾽ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν
17 ἐποίησεν καὶ ἐξήγαγεν φῶς ἐκ τῶν θησαυρῶν αὐτοῦ. [17]ἐματαιώθη
πᾶς ἄνθρωπος ἀπὸ γνώσεως, κατῃσχύνθη πᾶς χρυσοχόος ἀπὸ τῶν
γλυπτῶν αὐτοῦ, ὅτι ψευδῆ ἐχώνευσαν, οὐκ ἔστιν πνεῦμα ἐν αὐτοῖς.
18 [18]μάταιά ἐστιν, ἔργα μεμωκημένα, ἐν καιρῷ ἐπισκέψεως αὐτῶν ἀπο-
19 λοῦνται. [19]οὐ τοιαύτη μερὶς τῷ Ἰακώβ, ὅτι ὁ πλάσας τὰ πάντα αὐτός

7 Κυριου] θ̅υ̅ ℵ   8 αφνων ℵ* | om θρηνειτε αυτην ℵ* (hab ℵ$^{c.a (?) mg}$) | ℵAQ ρητεινην B* (-τινην B^{b}) ριτινην A   9 Βαβυλωναν ℵ* | εγκαταλιπωμεν B^{b} ενκαταλειπωμεν ℵ* εγκαταλειπωμεν ℵ$^{c.a}$A εγκαταλειπομεν Q | ηγγικεν] ηγγεισεν ℵA | αστων ℵ* (αστρ. ℵ?)   10 εν] εις AQ | Σιων ℵAQ | του θεου] om του ℵAQ   11 παρασκευασατε A | φαλετρας B* (φαρ. B$^{a?b}$) | βασιλεων ℵ* (-λεως ℵ?) | του εξολεθρευσαι (εξολοθρ. B^{b} εξωλεθρ. ℵ)] om του Q | Κυριου] pr παρα Q | om εστιν 2° Q   12 τειχεων] pr ※ των Q^{mg} | om επιστησατε φαρετρας Q* (hab Q^{mg}) | φαρετραν ℵ* (-τρας ℵ?) | εγειρατε] εγειρετε A επιστησατε Q | om και ποιησει Κυριος α ελαλησεν ℵ* (hab ℵ$^{c.a (?) mg}$) | α] οσα Q   13 κατασκηνουσα Q | υδατι ℵ* (υδασι ℵ$^{c.a (?)}$) | εις (ει|ς B* εις| B?)] επι ℵA   14 καταβεννοντες A   15 ποιων] pr ο ℵQ | συν|εσει B* συνε|σ. B^{a} 16 ηχος] πληθος ηχους Q | των θησαυρων] om των ℵQ   17 εματαιωθη] εμωρανθη AQ | αυτου] αυτων ℵ* (superscr ου ℵ?) | εχωνευσεν A   19 ου τοιαυτη] ουτοι· αυτη A | μερις] pr η Q (η sub ※ Q?)

B ἐστιν κληρονομία αὐτοῦ, Κύριος ὄνομα αὐτῷ. [20]διασκορπίζεις σύ μοι 20
σκεύη πολέμου, καὶ διασκορπιῶ ἐν σοὶ ἔθνη καὶ ἐξαρῶ ἐκ σοῦ
βασιλεῖς. [21]καὶ διασκορπιῶ ἐν σοὶ ἵππον καὶ ἐπιβάτην αὐτοῦ, 21
[22]καὶ διασκορπιῶ ἐν σοὶ ἅρματα καὶ ἀναβάτας αὐτῶν· καὶ διασκορπιῶ 22
ἐν σοὶ νεανίσκον καὶ παρθένον, καὶ διασκορπιῶ ἐν σοὶ ἄνδρα καὶ
γυναῖκα. [23]καὶ διασκορπιῶ ἐν σοὶ ποιμένα καὶ τὸ ποίμνιον αὐτοῦ, 23
καὶ διασκορπιῶ ἐν σοὶ γεωργὸν καὶ τὸ γεώργιον αὐτοῦ, καὶ δια-
σκορπιῶ ἐν σοὶ ἡγεμόνας καὶ στρατηγούς σου. [24]καὶ ἀνταποδώ- 24
σω τῇ Βαβυλῶνι καὶ πᾶσι τοῖς κατοικοῦσι Χαλδαίοις πάσας τὰς
κακίας αὐτῶν ἃς ἐποίησαν ἐπὶ Σειὼν κατ' ὀφθαλμοὺς ὑμῶν, λέγει
Κύριος. [25]Ἰδοὺ ἐγὼ πρὸς σέ, τὸ ὄρος τὸ διεφθαρμένον τὸ 25
διαφθεῖρον πᾶσαν τὴν γῆν, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ σὲ καὶ
κατακυλιῶ σε ἐπὶ τῶν πετρῶν, καὶ δώσω σε ὡς ὄρος ἐμπεπυρισμένον,
[26]καὶ οὐ μὴ λάβωσιν ἀπὸ σοῦ λίθον εἰς γωνίαν καὶ λίθον εἰς θεμέλιον, 26
ὅτι εἰς ἀφανισμὸν εἰς τὸν αἰῶνα ἔσῃ, λέγει Κύριος. [27]ἄρατε σημεῖον 27
ἐπὶ τῆς γῆς, σαλπίσατε ἐν ἔθνεσιν σάλπιγγι, ἁγιάσατε ἐπ' αὐτὴν
ἔθνη, παραγγείλατε ἐπ' αὐτήν, βασιλεῖς ἄρατε παρ' ἐμοῦ, καὶ τοῖς
Ἀσχαναζέοις· ἐπιστήσατε ἐπ' αὐτὴν βελοστάσεις, ἀναβιβάσατε
ἐπ' αὐτὴν ἵππον ὡς ἀκρίδων πλῆθος. [28]ἀναβιβάσατε ἐπ' αὐτὴν 28
ἔθνη, τὸν βασιλέα τῶν Μήδων καὶ πάσης τῆς γῆς, τοὺς ἡγουμένους
αὐτοῦ καὶ πάντας τοὺς στρατηγοὺς αὐτοῦ. [29]ἐσείσθη ἡ γῆ καὶ 29
ἐπόνεσεν, διότι ἐξανέστη ἐπὶ Βαβυλῶνα λογισμὸς Κυρίου τοῦ θεῖναι
τὴν γῆν Βαβυλῶνος εἰς ἀφανισμὸν καὶ μὴ κατοικεῖσθαι αὐτήν.
[30]ἐξέλιπεν μαχητὴς Βαβυλῶνος τοῦ πολεμεῖν, καθήσονται ἐκεῖ ἐν 30
περιοχῇ, ἐθραύσθη ἡ δυναστεία αὐτῶν, ἐγενήθησαν ὡσεὶ γυναῖκες·

ℵAQ 19 κληρονομια] σ' μερις αυτου ραβδος Q^mg | Κυριος] + ※ των δυναμεων Q^mg 20 πολεμοι incep ℵ* | και 1°] καγω A | εκ σου] εν σοι Q 21 δισκορπιω A (διασκ. A¹) | επιβατην] αναβατην AQ 22 νεανισκον] ανδρα AQ | παρθενον] γυναικα A γυν. αυτου Q | ανδρα] νεανισκον AQ | γυναικα] παρθενον A παρθ. αυτου Q 23 ηγεμονα A | om σού ℵ 24 Βαβυλωνια A | om πασι Q | κατοικουσιν ℵA | Χαλδεους ℵ | κακιας] αδικιας A | om αυτων ℵ | Σιων B^b ℵAQ 25 κατακυλισω A | επι 2°] απο ℵAQ | ενπεπυρισμενον ℵ εμπεπυριμμ. Q* vid 26 εις τον αιωνα εση] εση εις τον αιωνα A αιωνιον εση Q 27 γης] + λεγει κ̅ς̅ ℵ* (improb ℵ^c.a) + σαλπισαται εν εθνεσιν ℵ^c.a mg | εθνεσι B^b Q^a | αυτην 1°] αυτη A* (-την A¹) | βασιλεις αρατε] βασιλειαις Αραρεθ A βασιλειαις Αραρετ Q | Ασχαναζαιοις A Ασκ. Q | βελοστασις ℵ (-σεις ℵ^c.b) A 27—28 om ιππον...επ αυτην ℵ* (hab ℵ^c.a(?) mg) 27 ιππων ℵ^c.a(?) mg (corr ιππον) 28 εθνη τον] η τ sup ras B^ab | τους ηγουμενους] ηγουμενους ℵ τους ηγεμονας A | τους στρατηγους] om τους ℵ | αυτου 2°] + και πασης της γης εξουσιας αυτου A + ※ κ π. τ. γ. της εξουσιας αυτ. Q^mg 29 ανεστη ℵ* (εξανεστη ℵ^c.a(?)) 30 εξελειπεν ℵ^c.a A | καθησονται] pr και A | δυναστια ℵA | εγενηθησαν] pr και ℵ

ἐνεπυρίσθη τὰ σκηνώματα αὐτῆς, συνετρίβησαν οἱ μοχλοὶ αὐτῆς. B
31 [31]διώκων εἰς ἀπάντησιν διώκοντος διώξεται, καὶ ἀναγγέλλων εἰς
ἀπάντησιν ἀναγγέλλοντος τοῦ ἀναγγεῖλαι τῷ βασιλεῖ Βαβυλῶνος
32 ὅτι ἑάλωκεν ἡ πόλις αὐτοῦ, [32]ἀπ' ἐσχάτου τῶν διαβάσεων αὐτοῦ
ἐλήμφθησαν, καὶ τὰ συστέματα αὐτῶν ἐνέπρησαν ἐν πυρί, καὶ οἱ
33 ἄνδρες αὐτοῦ οἱ πολεμισταὶ ἐξέρχονται. [33]διότι τάδε λέγει Κύριος
Οἶκοι βασιλέως Βαβυλῶνος ὡς ἅλων ὥριμος ἀλοηθήσονται· ἔτι μικρὸν
34 καὶ ἥξει ὁ ἀμητὸς αὐτῆς. [34]κατέφαγέν με, ἐμερίσατό με, κατέλαβέν
με σκότος λεπτόν, Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος κατέπιέν
με, ὡς δράκων ἔπλησεν τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῆς τρυφῆς μου·
35 [35]ἐξῶσάν με οἱ μόχθοι μου καὶ αἱ ταλαιπωρίαι μου εἰς Βαβυλῶνα, ἐρεῖ
κατοικοῦσα Σειών, καὶ τὸ αἷμά μου ἐπὶ τοὺς κατοικοῦντας Χαλδαίους,
36 ἐρεῖ Ἰερουσαλήμ· [36]διὰ τοῦτο τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ κρινῶ τὴν
ἀντίδικόν σου καὶ ἐκδικήσω τὴν ἐκδίκησίν σου, καὶ ἐρημώσω τὴν
37 θάλασσαν αὐτῆς καὶ ξηρανῶ τὴν πηγὴν αὐτῆς· [37]καὶ ἔσται Βαβυλὼν
38 εἰς ἀφανισμόν, καὶ οὐ κατοικηθήσεται. [38]ὅτι ἅμα ὡς λέοντες ἐξηγέρ-
39 θησαν καὶ ὡς σκύμνοι λεόντων. [39]ἐν τῇ θερμασίᾳ αὐτῶν δώσω
πότημα αὐτοῖς, καὶ μεθύσω αὐτοὺς ὅπως καρωθῶσιν καὶ ὑπνώσωσιν
40 ὕπνον αἰώνιον καὶ οὐ μὴ ἐγερθῶσι, λέγει Κύριος. [40]καὶ καταβίβασον
41 αὐτοὺς ὡς ἄρνας εἰς σφαγὴν καὶ ὡς κριοὺς μετ' ἐρίφων. [41]πῶς
ἑάλω καὶ ἐθηρεύθη τὸ καύχημα πάσης τῆς γῆς; πῶς ἐγένετο Βαβυλὼν
42 εἰς ἀφανισμὸν ἐν τοῖς ἔθνεσιν; [42]ἀνέβη ἐπὶ Βαβυλῶνα ἡ θάλασσα
43 ἐν ἤχῳ κυμάτων αὐτῆς, καὶ κατεκαλύφθη. [43]ἐγενήθησαν αἱ πόλεις

31 απαντησιν 1°] απαντην A | αναγγελλων] απαγγελλων ℵ* (αναγγ. ℵAQ ℵc.a(?)) 32 της διαβασεως ℵ* (των διαβασεων ℵc.a(?)) | εληφθησαν Qa | συστηματα Ba?bQ | αυτων] αυτου AQ | ενεπρησαν] ενεπρησθησαν A ενεπυρισθησαν Q | οι ανδρες] om οι BabℵAQ | αυτου 2°] αυτοι ℵ* 33 Κυριος] + ※ των δυναμεων θς̄ Ι̅η̅λ̅ Qmg | οικοι] οικος Q | βασιλεων ℵ* | αλοηθησεται ℵAQ 35 μοχθοι] εχθροι ℵ | κατοικουσα] pr και ℵ* | Σιων BbAQ | κατοικουνταις ℵ* | Χαλδεους ℵ | ερει Ιερουσαλημ] επι Ι̅η̅μ̅ ℵc.a. επι Ιλημ (sup ras et in mg) Aa 36 om και εκδικησω τ. εκδ. σου A | εδικησω ℵ* (εκδ. ℵ?) | ερημω Q* (superscr σω Qa) | θα|ασσαν ℵ | ξηρανω] εξαρω ℵ | πηγην] γην ℵA 38 om οτι ℵAQ | om αμα AQ | εξηγερθησαν (εξεγ. Q*)] + αμα AQ | σκοιμοι ℵ* (σκυμν. ℵ?) 39 καρωθωσιν (-σι Qa)] καθαρωσι] ℵ* | om και 2°...εγερθωσι ℵ* (hab ℵc.a(?)mg) | υπνωσουσιν A | εγερθωσι (-σιν Q*)] εξεγερθωσι Bab εξεγερθωσιν ℵc.a(?)mg A 40 om και 1° AQ | καταβιβασω ℵ* (-σον ℵc.a(?)) | εισφαγην ℵ* 41 εαλω] ελαλησεν ℵ* (εαλω ℵc.a(?)) + παντες ※ ο Εισακ Qmg | τοις εθνεσιν (τ. εθνσιν ℵ*)] pr πασι Q 42 ανεβη] pr ανεβη ε|πι Βαβυλωνα εις (? + ηθ)| αφανισμου εν| τοις εθνεσιν ℵ* (punct et unc improb ℵ1 fort) 43 πολις ℵ* (-λεις ℵc.b)

B αὐτῆς ὡς γῆ ἄνυδρος καὶ ἄβατος, οὐ κατοικήσει ἐν αὐτῇ οὐδὲ εἷς, οὐδὲ
μὴ καταλύσει ἐν αὐτῇ υἱὸς ἀνθρώπου. 44 καὶ ἐκδικήσω ἐπὶ Βαβυλῶνα, 44
καὶ ἐξοίσω ἃ κατέπιεν ἐκ τοῦ στόματος αὐτῆς, καὶ οὐ μὴ συναχθῶσιν
πρὸς αὐτὴν ἔτι τὰ ἔθνη, 49 καὶ ἐν Βαβυλῶνι πεσοῦνται τραυματίαι 49
πάσης τῆς γῆς. 50 ἀνασῳζόμενοι ἐκ γῆς, πορεύεσθε καὶ μὴ ἵστασθε· 50
οἱ μακρόθεν, μνήσθητε τοῦ κυρίου, καὶ Ἰερουσαλὴμ ἀναβήτω ἐπὶ τὴν
καρδίαν ὑμῶν. 51 ἠσχύνθημεν, ὅτι ἠκούσαμεν ὀνειδισμὸν ἡμῶν, 51
κατεκάλυψεν ἀτιμία τὸ πρόσωπον ἡμῶν, εἰσῆλθον ἀλλογενεῖς εἰς
τὰ ἅγια ἡμῶν, εἰς οἶκον Κυρίου. 52 διὰ τοῦτο ἰδοὺ ἡμέραι, λέγει 52
Κύριος, καὶ ἐκδικήσω ἐπὶ τὰ γλυπτὰ αὐτῆς, καὶ ἐν πάσῃ τῇ γῇ
αὐτῆς πεσοῦνται τραυματίαι. 53 ὅτι ἐὰν ἀναβῇ Βαβυλὼν ὡς ὁ οὐρανός, 53
καὶ ὅτι ἐὰν ὀχυρώσῃ τὰ τείχη ἰσχύι αὐτῆς, παρ' ἐμοῦ ἥξουσιν ἐξολε-
θρεύοντες αὐτήν, λέγει Κύριος. 54 φωνὴ κραυγῆς ἐν Βαβυλῶνι, καὶ 54
συντριβὴ μεγάλη ἐν γῇ Χαλδαίων, 55 ὅτι ἐξωλέθρευσεν Κύριος τὴν 55
Βαβυλῶνα, καὶ ἀπώλεσεν ἀπ' αὐτῆς φωνὴν μεγάλην ἠχοῦσαν ὡς
ὕδατα πολλά, ἔδωκεν εἰς ὄλεθρον φωνὴν αὐτῆς. 56 ὅτι ἦλθεν ἐπὶ 56
Βαβυλῶνα ταλαιπωρία, ἑάλωσαν οἱ μαχηταὶ αὐτῆς, ἐπτόηται τὸ τόξον

ℵAQ 43 om ως ℵAQ | γη]+παντες ※ εις αφανισμον Qmg | ου] pr ※ θ' γη Qmg | ουδε εις] ουδεις ℵQ+※ ανος Qmg | καταλυση ℵQ 44 προς αυτην ετι (επι ℵ* vid)] ετι προς αυτην AQ | εθνη]+ϗ γε το τειχος Βαβυλωνος επεσεν (45) εξελθετε εκ μεσου αυτης λαος μου ϗ σωζετε εκαστος την ψυχην αυτου απο θυμου οργης κ̅υ̅ (46) μηποτε δειλιασει η καρδια υμων ϗ φοβηθητε εν τη ακοη τη ακουσθησομενη ε| τη γη ϗ εισελευσεται εν τω ενιαυτω η ακοη ϗ μετ αυτο| εν τω ενιαυτω η ακοη ϗ η αδικια εν τη γη (+σ' ※ ϗ εξουσιαστης επ εξουσιαστην) παραβολη επι παραβολην (47) δια τουτο ιδου ημεραι ερχονται φησιν κ̅ς̅ ϗ επισκεψομαι επι τα γλυπτα Βαβυλωνος ϗ πασα η γη αυτης καταισχυνθησεται και παντες τραυματιαι αυτης πεσουνται εν μεσω αυτης (48) ϗ αγαλλιασονται επι Βαβυλωνα οι ουρανοι και η γη και παντα τα εν αυτοις οτι απο βορρα ηξουσι ταλαιπωρουντες αυτην λεγει κ̅ς̅ (49) και μεντοι εν Βαβυλωνι του πεσειν τραυματιας Ι̅η̅λ̅ εν αυτη [adnot δει ειδεναι ως εν τισιν αντιγραφοις ταυτα μετα αστερισκων κειται ου καλως] Qmg 49 τραυματιαι πασης της γης] και παντα τα εθνη ℵ 50 γης] της B* (γης Bab) | om και 1° A | ιστασθε]+εις γην ℵ* (postea improb) | μνησθητε οι μακροθεν Q | οι μακροθεν] om οι ℵ* (superscr ℵc.a(?)) | και Ιερουσαλημ] εισ̅η̅μ̅ ℵ* ϗ Ισ̅η̅μ̅ ℵc.a(?) | αναβατω ℵ | την καρδιαν] om την Q | υμων] ημων A 51 ησυ|θημεν ℵ* (ησχυ|θ. ℵ?) | ημων 1°] υμων ℵ* (η superscr ℵc.a(?)) | εισ|ηλθον B* ει|σηλθ. B? pr οτι Q 52 δια τουτο]+ταδε λεγει κ̅ς̅ ℵ | ημεραι]+ερχονται Bab mg ℵ (-ντε ℵ* -νται ℵc.b) AQ | om λεγει Κυριος ℵ | om επι ℵ | πεσουτε ℵ* (ν superscr ℵ?) | τραματιαι ℵ* (υ superscr ℵ?) 53 εαν 2°] αν Q* (ε superscr Qa) | οχυρωση] υψωση Q | τα τειχη] τα υψη Bab υψη ℵ* υψος ℵc.a AQ | ισχυι] ισχυος ℵc.a AQ (pr ※ της Qmg) | εξολοθρευοντες Bb 54 κραυης ℵ* (γ superscr ℵ?) | εν γη] εκ γης A | Χαδεων ℵ* (λ superscr ℵ?) 55 εξωλοθρευσεν Bb | om ως Q 56 εαλωκαν ℵ* (σ superscr ℵ?)

57 αὐτῶν, ὅτι ὁ θεὸς ἀνταποδίδωσιν αὐτοῖς. 57 Κύριος ἀνταποδίδωσιν B
καὶ μεθύσει μέθῃ τοὺς ἡγεμόνας αὐτῆς καὶ τοὺς σοφοὺς αὐτῆς καὶ τοὺς
στρατηγοὺς αὐτῆς, λέγει ὁ βασιλεύς, Κύριος Παντοκράτωρ ὄνομα αὐτῷ.
58 58 τάδε λέγει Κύριος Τεῖχος Βαβυλῶνος ἐπλατύνθη, κατασκαπτόμενον
κατασκαφήσεται, καὶ αἱ πύλαι αὐτῆς αἱ ὑψηλαὶ ἐνπυρισθήσονται,
καὶ οὐ κοπιάσουσιν λαοὶ εἰς κενόν, καὶ ἔθνη ἐν ἀρχῇ ἐκλείψουσιν.

59 59 Ὁ λόγος ὃν ἐνετείλατο Κύριος Ἰερεμίᾳ τῷ προφήτῃ εἰπεῖν τῷ Σαραίᾳ
υἱῷ Νηρείου υἱῷ Μαασαίου, ὅτε ἐπορεύετο παρὰ Σεδεκίου βασιλέως
Ἰούδα εἰς Βαβυλῶνα, ἐν τῷ ἔτει τῷ τετάρτῳ τῆς βασιλείας αὐτοῦ·
60 καὶ Σαραίας ἄρχων δώρων. 60 καὶ ἔγραψεν Ἰερεμίας πάντα τὰ κακὰ
ἃ ἥξει ἐπὶ Βαβυλῶνα ἐν βιβλίῳ, πάντας τοὺς λόγους τούτους τοὺς
γεγραμμένους ἐπὶ Βαβυλῶνα.

61 61 Καὶ εἶπεν Ἰερεμίας πρὸς Σαραίαν Ὅταν ἔλθῃς εἰς Βαβυλῶνα,
62 καὶ ὄψῃ καὶ ἀναγνώσῃ πάντας τοὺς λόγους τούτους, 62 καὶ ἐρεῖς Κύριε
Κύριε, σὺ ἐλάλησας ἐπὶ τὸν τόπον τοῦτον τοῦ ἐξολεθρεῦσαι αὐτὸν
καὶ τοῦ μὴ εἶναι ἐν αὐτῷ κατοικοῦντας ἀπὸ ἀνθρώπου ἕως κτήνους,
63 ὅτι ἀφανισμὸς εἰς τὸν αἰῶνα ἔσται. 63 καὶ ἔσται ὅταν παύσῃ τοῦ
ἀναγινώσκειν τὸ βιβλίον τοῦτο, καὶ ἐπιδήσεις ἐπ' αὐτὸ λίθον καὶ
64 ῥίψεις αὐτὸ εἰς μέσον τοῦ Εὐφράτου, 64 καὶ ἐρεῖς Οὕτως καταδύσεται
Βαβυλών, καὶ οὐ μὴ ἀναστῇ ἀπὸ προσώπου τῶν Χαλδαίων ὧν ἐγὼ
ἐπάγω ἐπ' αὐτήν.

56 ο θεος] om ο ℵ* (superscr ℵ$^{?}$) | ανταποδιδωσιν] ανταποδιδων ℵ$^{c.a\ mg\ inf}$ | ℵAQ
om αυτοις ℵ* (hab ℵ$^{c.a}$) Q^{a} **57** Κυριος ανταποδιδωσιν] om ℵ* (hab ℵ$^{c.a}$) pr αυτος Q^{a} | ανταποδιδωσιν] + αυτη την ανταποδοσι̅ AQ | μεθυσει] μεθυι ℵ* (-θυσι ℵ$^{?}$) | ηγεμονας] ηγουμενους Q | αυτης 2°] + θ' ※ ϗ τους ηγουμενους αυτης (pro ηγ. γ' αρχοντας) Q^{mg} | om και τους στρατηγους αυτης A | αυτης 3°] + α'θ' ※ ϗ δυνατους αυτης ϗ υπνωσουσι̅ υπνον αιωνιον ϗ ου μη εξεγερθωσι̅ Q^{mg} **58** Κυριος] + ※ των δυναμεω̅ Q^{mg} | κατακαπτομενον ℵ* (κατασκ. ℵ$^{?}$) | ενπυρισθησονται (εμπ. B$^{a?b}$AQ)] pr εν πυρι Q (sub ※ Q^{mg}) | κοπιασουσι Q^{a} **59** Κυριος] pr ο ℵ* (postea ras) | προφητω ℵ* | Σαιραια A^{*fort} (ras 1 lit post α 1° A$^{?}$) | om υιω Νηρειου ℵ* | υιω 1°] υιου A | Νηριου ℵ$^{c.a}$AQ | υιω 2°] υιου AQ | Μαασαιου] Μαχαιου ℵ* (Μαασ. ℵ$^{c.a(?)}$) Μαασσαιου A | οτε] οτι A^{*vid} (ε sup ras A^{a}) | ετει τω τεταρτω] τεταρτω ετει A | Σαρεας ℵ **60** Ιηρεμιας A | παντα] απαντα Q pr ※ συν Q^{mg} | om α ℵ* (superscr ℵ$^{c.a(?)}$) | βιβλιω (βιβιω ℵ*)] + ενι ℵAQ | παντας] pr ※ συν Q^{mg} | om τουτους A | γεγραμμενους] ενγεγραμμ. A **61** om και 1°...εις Βαβυλωνα ℵ* (hab ℵ$^{c.a\ mg\ inf}$) | Ιηρεμιας ℵ$^{c.a}$ | αναγνωση ℵ* (αναγν. ℵ$^{?}$) | παντας] pr ※ συν Q^{mg} **62** om Κυριε 2° ℵQ | του εξολεθρευσαι (εξολοθρ. B^{b} εξωλεθρ. ℵ)] om του ℵ* (superscr ℵ$^{c.a(?)}$) | αυτω] αυτοις ℵ* (-τω ℵ$^{c.a(?)}$) | κατοικουντα Q **63** οταν] οτε ℵ$^{?vid}$ (postea rurs οταν) | του αναγινωσκειν] αναγινωσκων ℵA | βιβιον ℵ* | επιδησει A* (-σεις A$^{a?}$) | επ αυτο] αυτω A | ριψεις] επιρηψεις ℵ* (ριψ. ℵ$^{c.a(?)}$) | μεσον] pr το ℵ **64** om και 2° A | των Χαλδαιων] των κακων ℵA κακων Q* των κ. Q^{a} (et sub ※ Q^{mg}) | αυτην] + α' ※ ϗ εσταθησα̅ εως ενταυθα οι λογοι Ιερεμιου Q^{mg}

B [1]Ἐπὶ τοὺς ἀλλοφύλους. 1 XXIX (XLVII)

(2) Τάδε λέγει Κύριος [2]Ἰδοὺ ὕδατα ἀναβαίνει ἀπὸ βορρᾶ, καὶ ἔσται 2
εἰς χειμάρρουν κατακλύζοντα, καὶ κατακλύσει γῆν καὶ τὸ πλήρωμα
αὐτῆς, πολιν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ· καὶ κεκράξονται οἱ
ἄνθρωποι, καὶ ἀλαλάξουσιν ἅπαντες οἱ κατοικοῦντες τὴν γῆν [3]ἀπὸ 3
φωνῆς ὁρμῆς αὐτοῦ, ἀπὸ τῶν ὁπλῶν τῶν ποδῶν αὐτοῦ καὶ ἀπὸ
σεισμοῦ τῶν ἁρμάτων αὐτοῦ, ἤχου τροχῶν αὐτοῦ. οὐκ ἐπέστρεψαν
πατέρες ἐφ' υἱοὺς αὐτῶν ἀπὸ ἐκλύσεως χειρῶν αὐτῶν, [4]ἐν τῇ ἡμέρᾳ τῇ 4
ἐπερχομένῃ τοῦ ἀπολέσαι πάντας τοὺς ἀλλοφύλους. καὶ ἀφανιῶ τὴν
Τύρον καὶ τὴν Σειδῶνα καὶ πάντας τοὺς καταλοίπους τῆς βοηθείας
αὐτῶν, ὅτι ἐξολεθρεύσει Κύριος τοὺς καταλοίπους τῶν νήσων. [5]ἥκει 5
φαλάκρωμα ἐπὶ Γάζαν, ἀπερίφη Ἀσκάλων καὶ οἱ κατάλοιποι
Ἐνακείμ. [6]ἕως τίνος κόψεις, (6)ἡ μάχαιρα τοῦ κυρίου; ἕως τίνος οὐχ 6
ἡσυχάσεις; ἀποκατάστηθι εἰς τὸν κολεόν σου, ἀνάπαυσαι καὶ ἐπάρ-
θητι. [7]πῶς ἡσυχάσει; καὶ Κύριος ἐνετείλατο αὐτῇ ἐπὶ τὴν Ἀσκάλωνα 7
καὶ ἐπὶ τὰς παραθαλασσίους, ἐπὶ τὰς καταλοίπους, ἐπεγερθῆναι.

[8]Τῇ Ἰδουμαίᾳ. 8 (7) (XLIX)

Τάδε λέγει Κύριος Οὐκ ἔστιν ἔτι σοφία ἐν Θαιμάν, ἀπώλετο
βουλὴ ἐκ συνετῶν, ᾤχετο σοφία αὐτῶν, [9]ἠπατήθη ὁ τόπος αὐτῶν. 9 (8)
βαθύνατε εἰς κάθισιν οἱ κατοικοῦντες ἐν Δαιδάμ, ὅτι δύσκολα
ἐποίησεν· ἤγαγον ἐπ' αὐτὸν ἐν χρόνῳ ᾧ ἐπεσκεψάμην ἐπ' αὐ-

ℵAQ XXIX 1 επι] pr α'σ' ※ ος εγενηθη λογος κυ προς Ιερεμιαν τον προφητην Qmg | αλλοφυλους] + ※ προ του παταξαι Φαραω την Γαζαν Qmg 2 αναβεννει ℵ* (-βαινει ℵ?) A (-ννι) | βορραν ℵ* | χιμαρρον ℵ* (-ρρουν ℵ?) | πολιν] πολις ℵ* | κατοικουντας] ενοικουντας A | κραξοντε ℵ* (κεκρ. ℵ?) | αλαλαξονται A | απαντες] παντες A 3 φωνης ορμης αυτου] σ' προσωπου οργης θυμου Qmg | οπλων των ποδων αυτου] θ' οπλω̄| αυτου των δυνατω (sic) Qmg | των ποδων] pr και ℵ* (improb ℵ?) | σεισ|μου B* σει|σμ. B? | ηχου] pr και A | τροχων] τροχου ℵ* (superscr ων ℵ?) pr των A | εστρεψαν ℵ* (επεστρ. ℵc.a?) | εφ] επι AQ | χειαω̄| ℵ* vid (χειρ. ℵc.a(?)) 4 επερχομενη] ερχομενη ℵAQ | Σειδονα B* Σιδωνα BbℵAQ | βοηθιας ℵ | εξολοθρευσει Bb εξωλεθρ. ℵ | Κυριος] + α'θ' ※ τους αλλοφυλους Qmg | τους καταλοιπους] τας καταλ. A | νησων] + α'θ' ※ και Καππαδοκιας Qmg 5 απερριφη Bb | οι καταλοιποι] τα καταλοιπα A 6 του κυριου] om του A | ουχ ησυχασεις] ου μησυχασις ℵ* ου μη ησυχ. ℵc.a? (-σεις ℵc.b) 7 ησυχασεις A | Κυριος] pr ο τ ℵ* (τ postea ras) 8 Ιουμεα ℵ* Ιδουμεα ℵc.a(?) (-μαια ℵc.b(?)) | Κυριος] om Q* (hab Q1 (vid) mg) + ※ των δυναμεων Qmg | Θεμαν ℵ | επωλετο A* (ε 1° improb Aa?) | συν|ετων B* συνε|τ. B? 9 ο τοπος] το προς ℵ* τοπος ℵ? | αυτων] αυτον ℵ* | βαθυνατε] + εαυτοις AQ | καθησιν A | κατοικουνται ℵ* (-τες ℵc.a) | om εν Q | Δαιδαν ℵA | επ 1°] επ| B* ε|π B? | επ 2°] εν ℵ* fort om AQ | αυτον 2°] αυτην ℵ

(9) 10 τόν. [10]ὅτι τρυγηταὶ ἦλθον οἳ οὐ καταλείψουσίν σοι κατάλιμμα· B
(10) 11 ὡς κλέπται ἐν νυκτὶ ἐπιθήσουσιν χεῖρα αὐτῶν. [11]ὅτι ἐγὼ κατέ-
συρα τὸν Ἠσαύ, ἀνεκάλυψα τὰ κρυπτὰ αὐτῶν, κρυβῆναι οὐ μὴ
δύνωνται· ὤλοντο διὰ χεῖρα ἀδελφοῦ αὐτοῦ γείτονός μου, καὶ
(11) 12 οὐκ ἔστιν [12]ὑπολιπέσθαι ὀρφανόν σου ἵνα ζήσεται· καὶ ἐγὼ
(12) 13 ζήσομαι, καὶ χῆραι ἐπ' ἐμὲ πεποίθασιν. [13]ὅτι τάδε εἶπεν Κύριος
Οἷς οὐκ ἦν νόμος πιεῖν τὸ ποτήριον, ἔπιον· καὶ σὺ ἀθῳωμένη οὐ
(13) 14 μὴ ἀθῳωθῇς, [14]ὅτι κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος, ὅτι εἰς
ἄβατον καὶ εἰς ὀνειδισμὸν καὶ εἰς κατάρασιν ἔσῃ ἐν μέσῳ αὐτῆς,
(14) 15 καὶ πᾶσαι αἱ πόλεις αὐτῆς ἔσονται ἔρημοι εἰς αἰῶνα. [15]ἀκοὴν
ἤκουσα παρὰ Κυρίου, καὶ ἀγγέλους εἰς ἔθνη ἀπέστειλεν Συνά-
(15) 16 χθητε καὶ παραγένεσθε εἰς αὐτήν, ἀνάστητε εἰς πόλεμον. [16]μικρὸν
(16) 17 ἔδωκά σε ἐν ἔθνεσιν, εὐκαταφρόνητον ἐν ἀνθρώποις. [17]ἡ παιγνία
σου ἐνεχείρησέν σοι, ἰταμία καρδίας σου κατέλυσεν τρυμαλιὰς
πετρῶν, συνέλαβεν ἰσχὺν βουνοῦ ὑψηλοῦ· ὅτι ὕψωσεν ὥσπερ
(17) 18 ἀετὸς νοσσιὰν αὐτοῦ, ἐκεῖθεν καθελῶ σε. [18]καὶ ἔσται ἡ Ἰδουμαία
(18) 19 εἰς ἄβατον, πᾶς ὁ παραπορευόμενος ἐπ' αὐτὴν συριεῖ. [19]ὥσπερ
κατεστράφη Σόδομα καὶ Γόμορρα καὶ αἱ πάροικοι αὐτῆς, εἶπεν
Κύριος Παντοκράτωρ, οὐ μὴ καθίσῃ ἐκεῖ ἄνθρωπος, καὶ οὐ μὴ
(19) 20 ἐνοικήσει ἐκεῖ υἱὸς ἀνθρώπου. [20]ἰδοὺ ὥσπερ λέων ἀναβήσεται
ἐκ μέσου τοῦ Ἰορδάνου εἰς τόπον Αἰθάμ, ὅτι ταχὺ ἐκδιώξω αὐτοὺς
ἀπ' αὐτῆς· καὶ τοὺς νεανίσκους ἐπ' αὐτὴν ἐπιστήσατε. ὅτι τίς
ὥσπερ ἐγώ; καὶ τίς ἀντιστήσεταί μοι; καὶ τίς οὗτος ποιμὴν ὃς

10 οι] σοι AQ* (σ postea improb) | om ου ℵ* (superscr ℵ$^{c.a(?)}$) | κατα-λειμμα B$^{a?b}$ καταλιμματα AQ^{a} καταλειμματα Q* | ως] ωσπερ A ωσει Q | κεπται ℵ* (κλ. ℵ$^{c.a(?)}$) | επιθησουσιν]+σοι Q^{mg} | χειρας ℵ (χιρ. ℵ* χειρ. ℵ$^{c.b}$) AQ ℵAQ **11** κατεσυρα] κατηραυνησα A | ανακαλυψα ℵ* (ανεκ. ℵ$^{c.a(?)}$) | τα κρυπτα] τε κρ. ℵ* (τα κρ. ℵ$^{c.a(?)}$) | ωλοντο] ωλετο Q$^{?}$+ ※ το σπερμα αυτου Q^{mg} | αυτου] σου ℵ* (αυτ. ℵ$^{c.a(?)}$) | γειτονος] pr και AQ | μου] αυτου AQ **12** υπολειπεσθαι B$^{a?b}$ℵ$^{c.b}$Q | ζησηται B^{ab} | om και εγω ζησομαι Q | χηραι] pr αι A **13** ειπεν] λεγει AQ | οις] pr ιδου Q | πιν ℵ* (πιειν ℵ$^{?}$) | επιον] pr α'θ' ※ πιοντες Q^{mg} | αθοουμενη A | αθωωθης] αθοωθηση Q + οτι πιων πιεσαι AQ **14** om οτι 1° A | καταρασιν] καταραν ℵA | πολις ℵ* (-λεις ℵ$^{?}$) | αιωνα] pr τον AQ **15** συναχθηναι ℵ* vid -ται ℵ$^{c.a(?)}$ **16** μικρον] pr ιδου AQ | εδωκα] δεδωκα A | ευκαταφρονητον] pr και A **17** ιταμιαν Q | τρυμα-λειας A | σῡ|ελαβεν B* συ|νελ. B$^{?}$ | υψωσεν] εαν υψωσεις A ε. υψωσης Q | νοσσειαν B* (-σσιαν B^{b}) | αυτου] εαυτου ℵ σου A **18** Ιουμαια ℵ* (Ιδ. ℵ$^{c.a(?)}$) | βατον ℵ* (αβατον ℵ$^{c.a(?)}$) | πας] pr και Q | συριει] εκστησεται και συριει επι πασαν την πληγην αυτης Q **19** καθιση] κατοικησει A | ενοικησει (-ση Q)] καθειση A **20** μεσου του Ιορδ.] του υδατος ℵ* (μ. τ. Ιορδ. ℵ$^{c.a(?)}$) | τοπον] pr τō| A | Αιθαμ] Ηθαμ A | om επ ℵ*(superscr ℵ$^{c.a(?)}$) | αυτην] αυτης ℵQ* (-την Q^{mg}) | επιστησατε] επιστησεται A | ποιμην] pr ο ℵ | ος στησεται (στα sup ras B$^{?ab}$)] οστησεται A

B στήσεται κατὰ πρόσωπόν μου; [21] διὰ τοῦτο ἀκούσατε βουλὴν 21 (20)
Κυρίου ἣν ἐβουλεύσατο ἐπὶ τὴν Ἰδουμαίαν, καὶ λογισμὸν αὐτοῦ
ὃν ἐλογίσατο ἐπὶ τοὺς κατοικοῦντας Θαιμάν Ἐὰν μὴ συνψηθῶσιν
τὰ ἐλάχιστα τῶν προβάτων, ἐὰν μὴ ἀβατωθῇ ἐπ' αὐτὴν κατάλυσις
αὐτῶν· [22] ὅτι ἀπὸ φωνῆς πτώσεως αὐτῶν ἐφοβήθη ἡ γῆ, καὶ 22 (21)
κραυγὴ θαλάσσης οὐκ ἠκούσθη. [23] ἰδοὺ ὥσπερ ἀετὸς ὄψεται καὶ 23 (22)
ἐκτείνει τὰς πτέρυγας ἐπ' ὀχυρώματα αὐτῆς· καὶ ἔσται ἡ καρδία
τῶν ἰσχυρῶν τῆς Ἰδουμαίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὡς καρδία
γυναικὸς ὠδινούσης.

[1] Τοῖς υἱοῖς Ἀμμών. 1 XXX (XLIX)

Οὕτως εἶπεν Κύριος Μὴ υἱοὶ οὐκ εἰσὶν ἐν Ἰσραήλ, ἢ παραλημψό-
μενος οὐκ ἔστιν αὐτοῖς; διὰ τί παρέλαβεν Μελχὸλ τὴν Γαλαάδ, καὶ
ὁ λαὸς αὐτῶν ἐν πόλεσιν αὐτῶν ἐνοικήσει; [2] διὰ τοῦτο ἰδοὺ ἡμέραι 2
ἔρχονται, φησὶν Κύριος, καὶ ἀκουτιῶ ἐπὶ Ῥαββὰθ θόρυβον πολέμων,
καὶ ἔσονται εἰς ἄβατον καὶ εἰς ἀπώλειαν, καὶ βωμοὶ αὐτῆς ἐν πυρὶ
κατακαυθήσονται, καὶ παραλήμψεται Ἰσραὴλ τὴν ἀρχὴν αὐτοῦ. [3] ἀλά- 3
λαξον, Ἐσεβών, ὅτι ὤλετο· κεκράξατε θυγατέρες Ῥαββάθ, περιζώ-
σασθε σάκκους καὶ κόψασθε, ὅτι Μελχὸλ ἐν ἀποικίᾳ βαδιεῖται, οἱ
ἱερεῖς αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ ἅμα. [4] τί ἀγαλλιᾶσθε ἐν τοῖς 4
πεδίοις Ἐνακείμ; θύγατερ ἰταμίας, ἡ πεποιθυῖα ἐπὶ θησαυροῖς αὐτῆς,
ἡ λέγουσα Τίς εἰσελεύσεται ἐπ' ἐμέ; [5] ἰδοὺ ἐγὼ φέρω φόβον ἐπὶ σέ, 5

ℵAQ 21 Ιδουμεᾱ| ℵ* (-μαιᾱ| ℵ[c.b(?)]) | συνψηθωσιν (συμψ. B[b])] συνωσι] ℵ συνψηφισθωσιν AQ + αυτω Q[mg] | αυτην] αυτης ℵ[c.a] αυτη A αυτους Q 22 om οτι Q | εφοβηθη] εσεισθη A (εσισθ.) Q | om και Q | κραυγη (κραυη ℵ*)] + σου AQ | θαλασσης] εν θαλασση AQ | om ουκ AQ 23 εκτεινει] εκτενι A εκτενει B[ab]ℵ (-νι ℵ* -νει ℵ[c.b]) | om ισχυρων Q* (hab Q[mg]) XXX 1 παραληψομενος B[b]Q[a] | αυτοις] pr εν A αυτων Q | δια τι] διοτι ℵ | Μελχολ] Μολχομ Q | την Γαλααδ] τον Γαδ Q | ενοικει AQ 2 φησιν] λεγει Q* (φησ. Q[mg]) | επι] incep ερ ℵ* | Ραβαθ ℵ* | πολεμου AQ | om εις 2° ℵ | απωλιαν ℵ | βωμοι] pr οι ℵAQ | κατακαυθησεται ℵ* (-σονται ℵ[c.a(?)]) | παραληψεται B[b] | Ισραηλ] Ιερουσαλημ ℵ* (Ι̅η̅λ ℵ[c.a(?mg)]) | αυτου] + ※ φησι κ̅ς̅ Q[mg] 3 αλαλαξον] αλλαξον B | Εσεβων] Νεσεβων ℵ* | ωλετο] + Γαι Q | κεκραξατε] καικραξαται ℵ* και κεκραξ. ℵ[c.a(?)]A | Ρεββαθ ℵ Ραββωθ Q*[vid] | και 1°] pr και επιλημπτευσασθαι ℵQ (-σθε) pr και επιλημπτευεσθαι A | κοψασθε] + ※ κ̄ διαδραμετε εν τοις φραγμοις οτι Q | οτι 2°] επι AQ | Μελχομ A Μολχομ Q | εν] pr οτι AQ | βαδιει ℵ* (-ειται ℵ[c.a(?)]) | οι ιερεις] pr και ℵ | αυτου 1°] αυτης ℵ* (-του ℵ[1]) 4 τι] αι ℵ* οτι ℵ[c.a]AQ | αγαλλιασθε] αγαλλιασι ℵ* (-σει ℵ[c.a]) αγαλλιαση AQ | εν τοις π. Ενακειμ (εν Ακ. B[b])] om Εν. ℵ* superscr σου ℵ[c.a] rurs extinx ℵ[c.b] ※ διερευσε τα παιδια σου πεδινοις Ζηφ παιδιοις σου Q[mg] | θυγατηρ ℵAQ | ιταμιας] pr της Q | πεποιθυεια ℵ | θησαυροις] θησαυρους ℵ τοις θησαυροις A | τις] ουδεις ℵ* (τις ℵ[c.a(?)]) | εισ|ελευσεται B* ει|σελ. B[b] | επ] εις Q 4—5 επ εμε ι sup ras B[a?b] 5 επι σε φοβον Q

εἶπεν Κύριος, ἀπὸ πάσης τῆς περιοίκου σου, καὶ διασπαρήσεσθε B
ἕκαστος εἰς πρόσωπον αὐτοῦ· οὐκ ἔστιν ὁ συνάγων.

(28) 6 [6]Τῇ Κηδὰρ βασιλίσσῃ τῆς αὐλῆς, ἣν ἐπάταξεν Ναβουχοδονοσὸρ βασιλεὺς Βαβυλῶνος.

Οὕτως εἶπεν Κύριος Ἀνάστητε καὶ ἀνάβητε ἐπὶ Κηδάρ, καὶ
(29) 7 πλήσατε τοὺς υἱοὺς Κέδεμ. [7]σκηνὰς αὐτῶν καὶ πρόβατα αὐτῶν
λήμψονται· ἱμάτια αὐτῶν καὶ πάντα τὰ σκεύη αὐτῶν καὶ καμήλους
αὐτῶν λήμψονται ἑαυτοῖς· καὶ καλέσατε ἐπ' αὐτοὺς ἀπώλειαν
(30) 8 κυκλόθεν. [8]φεύγετε, λίαν ἐβαθύνατε εἰς κάθισιν, καθήμενοι
ἐν τῇ αὐλῇ, ὅτι ἐβουλεύσατο ἐφ' ὑμᾶς βασιλεὺς Βαβυλῶνος
(31) 9 βουλὴν καὶ ἐλογίσατο λογισμόν. [9]ἀνάστηθι καὶ ἀνάβηθι ἐπ' ἔθνος
εὐσταθοῦν καθήμενον εἰς ἀναψυχήν, οἷς οὐκ εἰσὶν θύραι, οὐ
(32) 10 βάλανοι, οὐ μοχλοί· μόνοι καταλύουσιν. [10]καὶ ἔσονται κάμηλοι
αὐτῶν εἰς προνομὴν καὶ πλῆθος κτηνῶν αὐτῶν εἰς ἀπώλειαν, καὶ
λικμήσω αὐτοὺς παντὶ πνεύματι κεκραμένους πρὸ προσώπου
αὐτῶν, ἐκ παντὸς πέραν αὐτῶν οἴσω τὴν τροπὴν αὐτῶν, εἶπεν
(33) 11 Κύριος. [11]καὶ ἔσται ἡ αὐλὴ διατριβὴ στρουθῶν καὶ ἄβατος ἕως
αἰῶνος, οὐ μὴ καθίσῃ ἐκεῖ ἄνθρωπος, καὶ οὐ μὴ κατοικήσει ἐκεῖ
υἱὸς ἀνθρώπου.

(23) 12 [12]Τῇ Δαμασκῷ.

Κατῃσχύνθη Θημὰρ καὶ Ἀρφάδ, ὅτι ἤκουσαν ἀκοὴν πονηράν· ἐξέστησαν, ἐθυμώθησαν, ἀναπαύσασθαι οὐ μὴ δύνωνται.

5 απο πασης] απασης ℵ* (απο π. ℵ$^{c.a(?)}$) | περιοικου] παροικου A | om και 1° ℵAQ ℵ* (superscr ϗ ℵ$^{c.a(?)}$) | ουκ] pr και ℵAQ | εστιν] εσται AQ | συναγων] + α′θ′ ※ μεταναστῆ| (6) ϗ μετα ταυτα επιστρεψω την αιχμαλωσιαν υιῶ| Αμμων φησιν κ̅ς̅ Q^{mg} 6 βασιλισση] pr τη AQ | βασιλευς] pr ο A | και αναβητε] om ℵ* (hab ℵ$^{c.a(?)mg}$) | om και Q | πλησατε] πληξατε Q (πλησ. Q^{mg}) 7 προβατα] pr τα A | λημψονται bis $B^{b}Q^{a}$ | αυτων 5°] εαυτων A | εαυτοις] αυτοις A | om επ A | απωλιαν ℵ 8 λιαν] + ※ αναστατωθητε Q^{mg} | εβαθυνας ℵ | καθισιν] καθησιν A | οτι] + εν τη αυλη ℵ* | ελογισατο] + εφ υμας AQ 9 om και Q | επ] επι AQ | εθνους Q* (εθνος Q^{a}) | ευσταθουν] ησυχαζον Q^{mg} | αναψυχην] + φησι] κ̅ς̅ Q^{mg} | εισι Q^{a} | ου 1°] ουδε A | ου 2°] ουδε Q^{a} | μοχλοι] θ′ βαλανοι Q^{mg} + αυτοις Q^{mg} | καταλυουσι Q^{a} 10 καμηλοι] pr οι AQ | απωπωλιαν ℵ* (απωλιαν ℵ^{1}) | κεκραμενους] κεκαρμενους B^{ab}ℵQ | εκ παντος περαν αυτων] εκ παντος μερους αυτ. A α′ ε (sic) παντος μερους αυτῶ| θ′ εκ πᾱ|των των μερῶ| αυτου Q^{mg} 11 στουθων ℵ* | κατοικηση Q | ανθρωπου] γηγενους Q^{mg} 12 Θημαρ] Ημαρ ℵ Ημαθ AQ | Αρφαδ (Αφ. ℵ* Αρφ. ℵ$^{c.a}$)] Αρφαθ A | ηκουσαν ακοην (α sup ras A^{a}) πονηραν] πονηραν ακοην ηκουσαν ℵ ακοην πονηραν ηκ. Q | εξεστησαν] + παντες ※ εν θαλασση Q^{mg} | εθυμωθησαν] ηθυμωθησαν ℵ* εκοιμηθησαν A

B [13]ἐξελύθη Δαμασκός, ἀπεστράφη εἰς φυγήν, τρόμος ἐπελάβετο 13 (24)
αὐτῆς. [14]πῶς οὐχὶ ἐνκατέλιπεν πόλιν ἐμήν; κώμην ἠγάπησαν. 14 (25)
[15]διὰ τοῦτο πεσοῦνται νεανίσκοι ἐν πλατείαις σου, καὶ πάντες οἱ 15 (26)
ἄνδρες οἱ πολεμισταί σου πεσοῦνται, φησὶν Κύριος, [16]καὶ καύσω 16 (27)
πῦρ ἐν τείχει Δαμασκοῦ καὶ καταφάγεται ἄμφοδα υἱοῦ Ἀδέρ.

XXXI 1 (XLVIII)

[1]Τῇ Μωάβ.

Οὕτως εἶπεν Κύριος Οὐαὶ ἐπὶ Ναβαύ, ὅτι ὤλετο· ἐλήμφθη Καριαθέμ,
ᾐσχύνθη Ἀμὰθ καὶ Ἀγάθ. [2]οὐκ ἔστιν ἔτι ἰατρεία Μωάβ, ἀγαυρίαμα 2
ἐν Ἐσεβών· ἐλογίσατο ἐπ' αὐτὴν κακά· ἐκόψαμεν αὐτὴν ἀπὸ ἔθνους,
καὶ παῦσιν παύσεται. ὄπισθέν σου βαδιεῖται μάχαιρα, [3]ὅτι φωνὴν 3
κεκραγότων ἐξ Ὡρωνάιμ, ὄλεθρον καὶ σύντριμμα μέγα· [4]συνετρίβη 4
Μωάβ. ἀναγγείλατε εἰς Ζόγορα, [5]ὅτι ἐπλήσθη Ἀλὼθ ἐν κλαυθμῷ. 5
ἀναβήσεται κλαίων ἐν ὁδῷ Ὡρωνάιμ, κραυγὴν συντρίμματος ἠκούσατε·
[6]φεύγετε καὶ σώσατε τὰς ψυχὰς ὑμῶν, καὶ θέσθε ὥσπερ ὄνος ἄγριος 6
ἐν ἐρήμῳ. [7]ἐπειδὴ ἐπεποίθεις ἐν ὀχυρώμασίν σου, καὶ σὺ συλλη- 7
φθήσῃ· καὶ ἐξελεύσεται Χαμὼς ἐν ἀποικίᾳ, καὶ οἱ ἱερεῖς αὐτοῦ καὶ οἱ
ἄρχοντες αὐτοῦ ἅμα. [8]καὶ ἥξει ὄλεθρος ἐπὶ πᾶσαν πόλιν, οὐ μὴ 8
σωθῇ, καὶ ἀπολεῖται ὁ αὐλών, καὶ ἐξολοθρευθήσεται ἡ πεδινή, καθὼς
εἶπεν Κύριος. [9]δότε σημεῖα τῇ Μωάβ, ὅτι ἀφῇ ἀφθήσεται, καὶ 9
πᾶσαι αἱ πόλεις αὐτῆς εἰς ἄβατον ἔσονται· πόθεν ἔνοικος αὐτῇ; [10]ἐπι- 10

ℵAQ 13 φυγην] + ϛ εξεριφη Q^mg | αυτης] + α'θ' ※ ϛ ωδινες κατεσχον αυτης ως τικτουσης Q^mg 14 εγκατελιπεν B^ab Q εγκατελειπον A | ηγαπησεν Q* (-σαν Q^mg) 15 τουτο] incep τουν ℵ* | νεανικοι ℵ* (νεανισκ. ℵ^c.a(?)) | πλατιαις ℵ (-τιες ℵ* -τιαις ℵ^c.b) A | πολεμισται] in o ras aliq B? | πεσουνται 2°] om A + παντες ※ εν τη ημερα εκεινη Q^mg XXXI 1 Κυριος] + ※ των δυναμεω̄| Q^mg | ελημφθη] εληφθη Q α'θ' ※ εαλω ησχῡ|θη Q^mg | Καραθαιμ ℵ* Καριαθαιμ ℵ^c.a(?) AQ | ησχυνθη] κατησχυνθη Q^mg | Αμαθ] το κραταιωμα ℵ (-τεωμ.) et sub α'σ' Q* Μωαβ α'θ' ※ Μασογα Q^mg + τὸ κραταιωμα A | και Αγαθ] και ηττηθη ℵAQ 2 ουκ] pr και γαρ A | ιατρεια (-τρια ℵA)] αγαυριαμα Q | Μωαβ] pr εν A | om αγαυριαμα Q | om εν Εσεβων ελογισατο ℵ* (hab εν Εσ. ελογισαντο ℵ^c.a mg) | ελογισαντο Q | εκοψαμεν] δευτε και εκκοψωμεν Q | οπισθεν] οπισω ℵQ | βαδιεται B* (-ειται B^ab) 3 φωνη ℵ?AQ | κεκραγοντω̄| ℵ | Ορωναιμ ℵ | ολεθρος AQ^a 5 Αλωθ] Αλεθ ℵ* (-λωθ ℵ^c.a(?)) Αλαωθ AQ | Ωρωναιμ (ρ sup ras A^a)] Αρωναιμ ℵ* Ορ. ℵ^c.a | κραυγην (κραυην ℵ*)] pr θ' ※ κινδυνο̄| Q^mg | ηκουσα ℵQ 6 υμων] αυτω B* vid (υμ. B^1?a?) A | και θεσθε] αιθεσθε B* vid και εσεσθε ℵ^c.a(?) A (-σθαι) Q (-σθαι Q* -σθε Q^a) 7 σου] + ※ ηξουσι σοι θλιβο̄|τες Q^mg | και 1°] + ※ γε (superscr) Q? | om συ AQ | συλλημφθηση B* b] συλλημφθ. B^a ℵAQ | om και 3° Q 8 ου] pr και πολις AQ 9 σημειον A | τη Μωαβ] τω Μ. A | οτι] incep οτν ℵ* | αφθησεται] αναφθησεται AQ | πολις ℵ* (-λεις ℵ^c.b) | ποθεν ενοικος αυτη] ποθεν εν. αυτης ℵQ απο ενοικουντων αυτας A

καταράτος ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς, ἐξαίρων μάχαιραν αὐτοῦ B
11 ἀφ' αἵματος. 11 ἀνεπαύσατο Μωὰβ ἐκ παιδαρίου, καὶ πεποιθὼς ἦν
ἐπὶ τῇ δόξῃ αὐτοῦ· οὐκ ἐνέχεεν ἐξ ἀγγείου εἰς ἀγγεῖον, καὶ εἰς
ἀποικισμὸν οὐκ ᾤχετο· διὰ τοῦτο ἔστη γεῦμα αὐτοῦ ἐν αὐτῷ, καὶ ὀσμὴ
12 αὐτοῦ οὐκ ἐξέλιπεν. 12 διὰ τοῦτο ἰδοὺ ἡμέραι αὐτοῦ ἔρχονται, φησὶν
Κύριος, καὶ ἀποστελῶ αὐτῷ κλίνοντας, καὶ κλινοῦσιν αὐτὸν καὶ τὰ
13 σκεύη αὐτοῦ λεπτυνοῦσιν καὶ τὰ κέρατα αὐτοῦ συγκόψουσιν, 13 καὶ
καταισχυνθήσεται Μωὰβ ἀπὸ Χαμὼς ὥσπερ καταισχύνθη οἶκος
14 Ἰσραὴλ ἀπὸ Βαιθὴλ ἐλπίδος αὐτῶν, πεποιθότες ἐπ' αὐτοῖς. 14 πῶς
ἐρεῖτε Ἰσχυροί ἐσμεν, καὶ ἄνθρωπος ἰσχύων εἰς τὰ πολεμικά;
15 15 ὤλετο Μωὰβ πόλις αὐτοῦ, καὶ ἐκλεκτοὶ νεανίσκοι αὐτοῦ κατέβησαν
16 εἰς σφαγήν· 16 ἐγγὺς ἡμέρα Μωὰβ ἐλθεῖν, καὶ πονηρία αὐτοῦ ταχεῖα
17 σφόδρα. 17 κινήσατε αὐτῷ πάντες κυκλόθεν αὐτοῦ, πάντες ἔκδοτε
ὄνομα αὐτοῦ· εἴπατε Πῶς συνετρίβη βακτηρία εὐκλεής, ῥάβδος μεγα-
18 λώματος; 18 κατάβηθι ἀπὸ δόξης καὶ κάθισον ἐν ὑγρασίᾳ καθημένη.
Δαιβὼν ἐκτρίβεται, ὅτι ὤλετο Μωάβ· ἀνέβη εἰς σὲ λυμαινόμενος
19 ὀχύρωμά σου. 19 ἐφ' ὁδοῦ στῆθι καὶ ἔπιδε, καθημένη ἐν Ἀροήρ, καὶ
20 ἐρώτησον φεύγοντα καὶ σωζόμενον καὶ εἰπόν Τί ἐγένετο; 20 κατῃ-
σχύνθη Μωάβ, ὅτι συνετρίβη· ὀλόλυξον καὶ κέκραξον, ἀνάγγειλον ἐν
21 Ἀρνὼν ὅτι ὤλετο Μωάβ, 21 καὶ κρίσις ἔρχεται εἰς γῆν τοῦ Μεισὼρ ἐπὶ
22 Χαιλὼν καὶ Ῥεφὰς καὶ Μωφάς, 22 καὶ ἐπὶ Δαιβὼν καὶ ἐπὶ Ναβαὺ καὶ
23 ἐπ' οἶκον Δαιβλαθάιμ, 23 καὶ ἐπὶ Καριαθάιμ καὶ ἐπ' οἶκον Γαιμὼλ

10 εξαιρων] pr παντες ※ ϗ επικαταρατος ο Qmg | αυτου] αυ|ουτου ℵ* ℵAQ
11 ανεπαυσατο] επαυσατο ℵ* (ανεπ. ℵc.a(?)) | αγγιου, αγγιον ℵAQ* | om εις 2° ℵ* (hab ℵc.a(?)) | απωκισμον B* fort ℵ* | ωχετο] οιχετο B* fort (ω sup ras) ωχοντο Q | εξελιπεν] εξελειπεν ℵc.aQ εκλειπει A 12 om αυτου 1° ℵAQ | αυτον] αυτο ℵ* (superscr ν ℵc.a(?)) | κερατα] α' κερατα σ' κερασματα Qmg | συγκοψουσιν (σωκ. ℵ* συνκ. ℵ?)] συντριψουσιν Q 13 καταισχυνθη] κατησχυνθην ℵ* κατησχυνθη ℵ?Q | οικος] pr ο A | Βεθηλ ℵ | επ αυτοις] εφ αυτοις Q* εφ εαυτ. Qa 14 τα πολεμικα] πολεμον Q 15 Μωα ℵ* (superscr β ℵ?) | εκλεκτοι] pr ※ οι Q | νεανι|σκτοι ℵ* 17 αυτω] om ℵ* (hab ℵc.a(?)mg) αυτων AQ | εκδοτε] ειδοτες Q | ραβδος] ρ ex λ fec vid ℵ | μεγαλωματος] μεγαλωτος B* (-λωματος Bab) 18 om καταβηθι απο δοξης και ℵ* (hab ℵc.a(?)mg) | Δαιβων] Δεβων ℵ Αδαιβων Qa vid pr θυγατηρ AQ (·※ θυγατερα superscr Q?) | εκτριβεται] εκτριβηται ℵ A (τε) om Q | οχυ-ρωματα A 19 om και 1° ℵ* (hab ℵc.a(?)) | επιδε...Αροηρ] α' σκοπευσο̄| κατοικουσα Α. θ' εφιδε κατοικουσα Α. σ' εμβλεψον κατ. Αρωηρ Qmg | εφιδε ℵ? (επ. ℵ* fort) | σωζομενον] ανασωζ. Q 20 ολολυξον] ολολυξε Q | κε-κραξον] κραξον ℵ* vid | Αερνων A | om οτι 2° Q* (superscr Qa) 21 γην] pr την A | Μισωρ ℵAQ | Χελων ℵA | Ρεφας] Ραφαθ ℵ* Ρασας ℵc.a Ιασσα Q pr επι ℵAQ | om και Μωφας ℵ* | Μωφας] Νωφαθ ℵc.a Μωφαθ AQ pr επι ℵc.aQ 22 Δεβων ℵ | Δεβλαθαιμ ℵA 23 Καριαθεν ℵ | om και επ οικον Γαιμωλ ℵ* hab και επ οικ. Γαμωαβ ℵc.a | επ 1°] επι A | Γαμώλα A Γαμωλ Q.

B καὶ ἐπ᾽ οἶκον Μαών, 24 καὶ ἐπὶ Καριὼθ καὶ ἐπὶ Βοσὸρ καὶ ἐπὶ πάσας 24
τὰς πόλεις Μωὰβ τὰς πόρρω καὶ τὰς ἐγγύς. 25 κατεάχθη κέρας Μωάβ, 25
καὶ τὸ ἐπίχειρον αὐτοῦ συνετρίβη. 26 μεθύσατε αὐτόν, ὅτι ἐπὶ Κύριον 26
ἐμεγαλύνθη· καὶ ἐπικρούσει Μωὰβ ἐν χειρὶ αὐτοῦ, καὶ ἔσται εἰς
γέλωτα καὶ αὐτός. 27 καὶ εἰ μὴ εἰς γελοιασμὸν ἦν σοι, Ἰσραήλ, καὶ ἐν 27
κλοπαῖς σου εὑρέθη, ὅτι ἐπολέμεις αὐτόν. 28 κατέλιπον τὰς πόλεις 28
καὶ ᾤκησαν ἐν πέτραις οἱ κατοικοῦντες Μωάβ· ἐγενήθησαν ὥσπερ
περιστεραὶ νοσσεύουσαι ἐν πέτραις στόματι βοθύνου. 29 καὶ ἤκουσα 29
ὕβριν Μωάβ, ὕβρισεν λίαν, ὕβριν αὐτοῦ καὶ ὑπερηφανίαν αὐτοῦ, καὶ
ὑψώθη ἡ καρδία αὐτοῦ, 30 ἐγὼ δὲ ἔγνων ἔργα αὐτοῦ· οὐχὶ τὸ ἱκανὸν 30
αὐτῷ οὐχ οὕτως ἐποίησεν; 31 διὰ τοῦτο ἐπὶ Μωὰβ ὀλολύζετε πάντοθεν· 31
βοήσατε ἐπ᾽ ἄνδρας κειράδας αὐχμοῦ. 32 ὡς κλαυθμὸν Ἰαζὴρ ἀπο- 32
κλαύσομαί σοι, ἄμπελος Ὠσερημά· κλήματά σου διῆλθεν θάλασσαν,
πόλεις Ἰαζὴρ ἥψαντο ἐπὶ ὀπώραν σου, ἐπὶ τρυγηταῖς σου ὄλεθρος
ἐπέπεσεν· 33 συνεψήσθη χαρμοσύνη καὶ εὐφροσύνη ἐκ τῆς Μωαβείτι- 33
δος, καὶ οἶνος ἦν ἐπὶ ληνοῖς σου· πρωὶ οὐκ ἐπάτησαν, οὐδὲ δείλης οὐκ
ἐποίησαν αἶδε. 34 ἀπὸ κραυγῆς Ἐσεβὼν ἕως Αἰτὰμ αἱ πόλεις αὐτῶν 34
ἔδωκαν φωνὴν αὐτῶν ἀπὸ Ζόγορ ἕως Ὡρωνάιμ καὶ ἀγγελίαν Σαλα-
σειά, ὅτι καὶ τὸ ὕδωρ Νεβρεὶν εἰς κατάκαυμα ἔσται. 35 καὶ ἀπολῶ 35
τὸν Μωάβ, φησὶν Κύριος, ἀναβαίνοντα ἐπὶ τὸν βωμὸν καὶ θυμιῶντα

ℵAQ 23 Μαων] Μαωθ ℵ* Γαμων ℵ$^{c.a}$ 24 om πασας ℵ* (superscr ℵ$^{c.a(?)}$) | πολις ℵ^{*vid} 25 κερα ℵ* (superscr ς ℵ$^{c.a(?)}$) 27 om ει A | μην Q^{a} | om ην A | και 2°] ει ℵAQ | κολοπαις A | ευρεθησαν Q | οτε Q αυτον (incep αυτα ℵ*)] + α′θ′ ※ εν αυτω μεταναστευεις Q^{mg} 28 κατελειπον ℵ$^{c.a}$A | πολις ℵ* (-λεις ℵ$^{c.b}$) | οι κατοικουντες] οικουντες A | ωσπερ] ως A ωσει Q | νοσσευουσαι] pr ε A | βοθυνου στοματι A 29 om και 1° ℵ$^{c.a}$AQ | λιαν] σφοδρα A + παντες ※ το υψος αυτου Q^{mg} | υβριν 2°] pr και ℵ$^{c.a}$AQ | αυτου 2°] + ϗ την αλαζονιαν αυτου ιδον Q^{mg} 30 εργα] pr τα A | αυτου] + ※ φησιν κ̅ς̅ Q^{mg} | αυτω] αυτου ℵAQ | ουτως] + ※ οι βραχιονες αυτου ουχ ουτως Q^{mg} 31 ολολυζετε] + επι Μωαβ Q^{mg} | κειραδας αυχμου] κιδαρας αυχμ. A α′σ′ τοιχου οστρακινου Q^{mg} | αυχμου] + α′θ′ ※ ϗ μελετησει Q^{mg} 32 om σοι A | Ωσερημα] ως ερημος ℵ* (superscr α ℵ$^{c.a}$) Ασερημα A Σαβαμα Q | πολεις] πολις Bℵ* (-λεις ℵ$^{c.a}$) | οπωραν] ο sup ras π superscr A^{a} | επι 2°] pr και AQ | τρυγηταις] τρυπηταις ℵ* | επεπεσεν] ενεπεσεν ℵ επεσεν AQ 33 συνεψησθη] συνεψηθη AQ* (-ψησθ. Q^{a}) | χαρμοσυνη] χαρμονη ℵ$^{c.a}$Q | Μωαβιτιδος AQ | επατησαν] επατησας ℵ* (superscr ν ℵ$^{c.a(?)}$) επατηθησαν A 34 απο 1°] επι ℵ* (απο ℵ$^{c.a}$) | κραυης ℵ* | εως 1°] ως ℵ* (εως ℵ$^{c.a}$) | Αιταμ] Εγαβ ℵ Ελεαλη| και εως Ιασσα A Ελ. και εως Ιασσα| εως Αιταθ Q | αι πολεις] πολις ℵ* (αι πολεις ℵ$^{c.a}$) | Ζογορ] Σηγωρ Q | om και αγγελιαν Σαλασεια οτι ℵ* hab και αγγελιαν εις Σαλισα οτι ℵ$^{c.a}$ | αγγελιαν (-λειαν B* -λιαν B^{b})] αγγελια AQ | Σαλασεια] Σαλισια A Σαλασια Q | Νεβρειν] Νεβρειμ ℵ Εβριμ A Νεμρειμ Q | εις] pr ερημος αιστε ℵ* (postea improb) 35 αναβεννοντα A | τον βωμον] Μωαβ A βωμον Q | θυμιωντα (εθυμ. ℵ*)] θυσιαζοντα Q

36 θεοῖς αὐτοῦ. 36 διὰ τοῦτο καρδία τοῦ Μωὰβ ὥσπερ αὐλοὶ βομβή- B
σουσιν, καρδία μου ἐπ' ἀνθρώπους κειράδας ὥσπερ αὐλὸς βομβήσει·
37 διὰ τοῦτο ἃ περιεποιήσατο ἀπώλετο ἀπὸ ἀνθρώπου. 37 πᾶσαν κεφα-
λὴν ἐν παντὶ τόπῳ ξυρηθήσονται, καὶ πᾶς πώγων ξυρηθήσεται, καὶ
38 πᾶσαι χεῖρες κόψονται, καὶ ἐπὶ πάσης ὀσφύος σάκκος. 38 καὶ ἐπὶ
πάντων τῶν δωμάτων Μωὰβ καὶ ἐπὶ πλατείαις αὐτῆς, ὅτι συνέτριψα,
39 φησὶν Κύριος, ὡς ἀγγεῖον οὗ οὐκ ἔστιν χρεία αὐτοῦ. 39 πῶς κατήλ-
λαξεν; πῶς ἔστρεψεν νῶτον Μωάβ; ᾐσχύνθη, καὶ ἐγένετο Μωὰβ εἰς
40 γέλωτα καὶ ἐνκότημα πᾶσιν τοῖς κύκλῳ αὐτῆς. 40 ὅτι οὕτως εἶπεν
41 42 Κύριος 41 Ἐλήμφθη Ἀκκαρών, καὶ τὰ ὀχυρώματα συνελήμφθη, 42 καὶ
43 ἀπολεῖται Μωὰβ ἀπὸ ὄχλου, ὅτι ἐπὶ τὸν κύριον ἐμεγαλύνθη. 43 παγὶς
44 καὶ φόβος καὶ βόθυνος ἐπὶ σοί, καθήμενος Μωάβ. 44 ὁ φεύγων ἀπὸ
προσώπου τοῦ φόβου ἐνπεσεῖται εἰς τὸν βόθυνον· καὶ ὁ ἀναβαίνων
ἐκ τοῦ βοθύνου, συλλημφθήσεται ἐν τῇ παγίδι· ὅτι ἐπάξω ταῦτα ἐπὶ
Μωὰβ ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν.

XXXII (XXV) (15) 1 1 Οὕτως εἶπεν Κύριος ὁ θεὸς Ἰσραήλ Λάβε τὸ ποτήριον τοῦ

36 του Μωαβ] της Μ. ℵ* (του ℵ$^{c.a(?)}$) | βομβησουσοι incep ℵ* (postea ℵAQ -σιν) -σι Q^{a} | καρδια 2°] incep δ ℵ* pr και AQ | κειραδας] κιδαρ (sic) ℵ* κιδαρας ℵ$^{c.a}$ κειδαρεις A | βομβησει] β 1° sup ras A^{a} | om α B* (hab B^{ab}) | απολετο ℵ* 37 πασαν] pr ※ οτι Q^{mg} | ξυρηθησονται] ξυρησονται ℵAQ | πας] παν ℵ* | πωγω ℵ? | ψονται (sic) ℵ* (superscr κο ℵ$^{c.a(?)}$) 38 πλατειαις (-τιαις ℵA)] pr ταις Q | συνετριψα] συνεστρεψα ℵ* συνετριψα τον Μωαβ ℵ$^{c.a}$Q | Κυριος]+τον Μωαβ A | αγγιον AQ* 39 κατηλλαξεν]+σ'θ' ※ ολολυξατε Q^{mg} | om ησχυνθη και εγενετο Μωαβ ℵ* (hab ℵ$^{c.a (vid) mg}$) | ενκοτημα (τημα sup ras B$^{1 vid}$)] εγκοτημα B^{ab}Q | πασιν] π sup ras (seq spat 1 lit) B$^{1 vid}$ πασι ℵQ | κυκλω] pr περι Q* postea improb) | αυτης] αυτου (ο sup ras A^{a}) A 40 Κυριος]+θ' ※ ιδου ως αετος ορμησει ϗ εκπετασει χειρας αυτου επι Μωαβ Q^{mg} 41 Ακκαρων] Ακ¦καριωθ A Καριωθ Q | συνελημφθη] συνεληφθη Q+α'θ' ※ ϗ εσται η καρδια δυνατων Μωαβ εν τη ημερα εκεινη ως καρδια γυναικος ωδινουσης Q^{mg} 42 τον κυριον] om τον ℵ 43 επι σοι] επ εμε ℵ$^{c.a}$ επι σε Q | καθημενον Q | Μωαβ] pr επι A 44 φευων ℵ* | προσωπου του] προσω ℵ* (-που του ℵ$^{c.a(?) mg}$) | εμπεσειται B^{b}AQ | τον βοθυνον] om τον ℵ* (superscr ℵ$^{c.a(?)}$) | συλλημφθησεται] συνλημφησετε ℵ* συλληφθ. Q^{a} | οτι] διοτι A | αυτων] αυτης ℵAQ+θ' ※ ω επεσκεψαμην αυτους λεγει κ̅ς̅ (45) εν σκεπη ασεβων εστησαν απο παγιδος φευγοντες οτι πυρ εξηλθεν εξ Εσεβων φλοξ εκ πολεως Σηων ϗ κατεφαγεν αρχηγους Μωαβ ϗ εξηρευνησαν υιους Σαων (46) ουαι σοι Μωαβ απωλου λαος Χαμως οτι εληφθησαν υιοι αυτου εν αιχμαλωσια ϗ θυγατερες αυτου αιχμαλωτοι (47) ϗ επιστρεψω την αιχμαλωσιαν Μωαβ επ εσχατων των ημερων φησιν κ̅ς̅ εως ενταυθα το κριμα Μωαβ Q^{mg} XXXII 1 ουτως] pr (tit) οσα επροφητευσεν Ιερεμιας επι παντα τα εθνη [xxv 13 (Heb)] AQ et posthaec α'θ' ※ [xxv 14 (Heb)] οτι εδουλευσαν εν αυτοις ϗ γε αυτοις εθνη πολλα ϗ βασιλεις μεγαλοι ϗ ανταποδωσω αυτοις κατα την εργασιαν αυτω̅| ϗ κατα τα εργα των χειρων αυτων οτι Q^{mg}

B οἴνου τοῦ ἀκράτου τούτου ἐκ χειρός μου, καὶ ποτιεῖς πάντα τὰ
ἔθνη πρὸς ἃ ἐγὼ ἀποστέλλω σε πρὸς αὐτούς, ²καὶ ἐξεμοῦνται, καὶ 2 (16)
μανήσονται ἀπὸ προσώπου τῆς μαχαίρας ἧς ἐγὼ ἀποστέλλω ἀνὰ
μέσον αὐτῶν. ³καὶ ἔλαβον τὸ ποτήριον ἐκ χειρὸς Κυρίου, καὶ 3 (17)
ἐπότισα τὰ ἔθνη πρὸς ἃ ἀπέστειλέν με Κύριος πρὸς αὐτά, ⁴τὴν 4 (18)
Ἰερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα καὶ βασιλεῖς Ἰούδα καὶ ἄρχον-
τας αὐτοῦ, τοῦ θεῖναι αὐτὰς εἰς ἐρήμωσιν καὶ εἰς ἄβατον καὶ εἰς
συριγμόν, ⁵καὶ τὸν Φαραὼ βασιλέα Αἰγύπτου καὶ τοὺς παῖδας 5 (19)
αὐτοῦ καὶ τοὺς μεγιστᾶνας αὐτοῦ ⁶καὶ πάντα τὸν λαὸν αὐτοῦ καὶ 6 (20)
πάντας τοὺς συμμίκτους, καὶ πάντας τοὺς βασιλεῖς ἀλλοφύλων,
τὴν Ἀσκάλωνα καὶ τὴν Γάζαν καὶ τὴν Ἀκκαρών, καὶ τὸ ἐπί-
λοιπον Ἀζώτου, ⁷καὶ τὴν Ἰδουμαίαν καὶ τὴν Μωαβείτιν καὶ τοὺς 7 (21)
υἱοὺς Ἀμμών, ⁸καὶ βασιλεῖς Τύρου καὶ βασιλεῖς Σειδῶνος καὶ 8 (22)
βασιλεῖς τοὺς ἐν τῷ πέραν τῆς θαλάσσης, ⁹καὶ τὴν Δαιδὰν καὶ 9 (23)
τὴν Θαιμὰν καὶ τὴν Ῥὼς καὶ πᾶν περικεκαρμένον κατὰ πρόσωπον
αὐτοῦ, ¹⁰καὶ πάντας τοὺς συμμίκτους τοὺς καταλύοντας ἐν τῇ 10 (24)
ἐρήμῳ, ¹¹καὶ πάντας βασιλεῖς Αἰλὰμ καὶ πάντας βασιλεῖς Περσῶν, 11 (25)
¹²καὶ πάντας βασιλεῖς ἀπὸ ἀπηλιώτου τοὺς πόρρω καὶ τοὺς ἐγγύς, 12 (26)
ἕκαστον πρὸς τὸν ἀδελφὸν αὐτοῦ, καὶ πάσας βασιλείας τὰς ἐπὶ

ℵAQ 1 om εκ χειρος μου ℵ* (hab $ℵ^{c.a(?)mg}$) | ποτιεις] + ※ αυτους συν Q^{mg} | om εγω Q | αποστελλω] εξαποστελω Q 2 και 1°] pr και πιονται AQ^{a} pr και ποτιουνται Q* | μανησονται] εκμανησονται Q | μαχαιρης A 3 το ποτηριον] om ℵ pr α′ ※ συν Q^{mg} | Κυριου] + το ποτηριον ℵ | τα εθνη] pr παντα Q pr α′ συν [παντα] Q^{mg} | προς 2°] επ ℵAQ (※ superscr et α′θ′ in marg) 4 πολις ℵ* (-λεις $ℵ^{c.b}$) | Ιουδα 2°] αυτου Q^{a} | ερημωσιν] + και εις αφανισμον Q* (uncis incl $Q^{?}$) | συριγμον] συρισμον ℵ* (-γμον $ℵ^{c.a(?)}$) + α′σ′θ′ ※ κ̧ εις καταρᾱ| κατα την ημεραν ταυτην Q^{mg} 5 Εγυπτου ℵ* (Αιγ. $ℵ^{c.b}$) 6 συμμικτους (συμικτ. ℵ*)] + αυτου ℵAQ | παντας 2°] pr α′ ※ συν Q^{mg} | βασιλεις] + α′θ′ ※ της νησου κ̧ συν παντας βασιλεις της Q^{mg} | αλλοφυλων] pr παντων των A | την Ασκαλωνα (-ναν ℵ*)] pr και A | Ακκαρων ℵ* | επιλιπον ℵ* (επιλοιπ. $ℵ^{c.a(?)}$) 7 Ιδουμεᾱ| ℵ | Μωαβιτιν AQ 8 βασιλεις 1°] pr παντας A pr παντας τους Q pr α′ ※ συν [π. τ.] Q^{mg} | βασιλεις 2° (-λις ℵ* -λεις $ℵ^{c.b}$)] pr α′ ※ συν παντας Q^{mg} | Σιδωνος B^{b}ℵAQ | βασιλεις 3°] + α′θ′ ※ της νησου Q^{mg} 9 Δεδαν ℵ | Θωμεαν ℵ* Θεμαν $ℵ^{c.a}$ | την Ρως] pr α′ ※ συν Q^{mg} | Ρως] Ρωθ ℵ* Βωζ Q^{mg} | παν] παντα ℵQ | περικεκαρμενον] περικιρομενō| $ℵQ^{mg}$ κεκαρμενον Q* | κατα] pr τα Q 10 και] pr α′θ′ ※ κ̧ συν παντας βασιλεις της Αραβειας Q^{mg} | συμμικτους (συμικους ℵ* συμικτ. $ℵ^{?}$)] + αυτου A | παντας] + ※ βασιλεις Q^{mg} 11 om και παντας βασιλεις Αιλαμ ℵ*A* (hab $ℵ^{c.a(?)}A^{a}$) | και 1°] pr α′ ※ κ̧ συν παντας βασιλεις Ζαμβρι Q^{mg} | παντας bis] pr ※ συν Q^{mg} | Αιλαμ] Δαιδαν A^{a}Q* (Αιλ. Q^{mg}) | Περσων] Μηδω̄| Q^{mg} 12 παντας] pr ※ συν Q^{mg} | βασιλεις] + τους ℵ | απηλιωτου (πηλ. Q*)] pr του A του βορρα Q^{mg} | πασας] pr α′ ※ συν Q^{mg} | βασιλειας] βασιλεας αυτου ℵ* βασιλειας αυτου $ℵ^{c.a(?)}$ pr τας AQ

(27) 13 προσώπου τῆς γῆς. [13]καὶ ἐρεῖς αὐτοῖς Οὕτως εἶπεν Κύριος Παν- B
τοκράτωρ Πίετε, μεθύσθητε, καὶ ἐξεμέσατε καὶ πεσεῖσθε, καὶ οὐ
μὴ ἀναστῆτε ἀπὸ προσώπου τῆς μαχαίρας ἧς ἐγὼ ἀποστέλλω
(28) 14 ἀνὰ μέσον ὑμῶν. [14]καὶ ἔσται ὅταν μὴ βούλωνται δέξασθαι τὸ
ποτήριον ἐκ τῆς χειρός σου ὥστε πιεῖν, καὶ ἐρεῖς Οὕτως εἶπεν
(29) 15 Κύριος Πιόντες πίεσθε, [15]ὅτι ἐν πόλει ἐν ᾗ ὠνομάσθη τὸ ὄνομά μου
ἐπ' αὐτὴν ἐγὼ ἄρχομαι κακῶσαι, καὶ ὑμεῖς καθάρσει οὐ μὴ καθα-
ρισθῆτε, ὅτι μάχαιραν ἐγὼ καλῶ ἐπὶ τοὺς καθημένους ἐπὶ τῆς
(30) 16 γῆς. [16]καὶ σὺ προφητεύσεις ἐπ' αὐτοὺς τοὺς λόγους τούτους, καὶ
ἐρεῖς Κύριος ἀφ' ὑψηλοῦ χρηματιεῖ, ἀπὸ τοῦ ἁγίου αὐτοῦ δώσει
φωνὴν αὐτοῦ, λόγον χρηματιεῖ ἐπὶ τοῦ τόπου αὐτοῦ, καὶ οἶδε
ὥσπερ τρυγῶντες ἀποκριθήσονται. καὶ ἐπὶ καθημένους τὴν γῆν
(31) 17 ἥκει ὄλεθρος, [17]ἐπὶ μέρος τῆς γῆς, ὅτι κρίσις τῷ κυρίῳ ἐν τοῖς
ἔθνεσιν· κρίνεται αὐτὸς πρὸς πᾶσαν σάρκα, οἱ δὲ ἀσεβεῖς ἐδόθη-
(32) 18 σαν εἰς μάχαιραν, λέγει Κύριος. [18]Οὕτως εἶπεν Κύριος Ἰδοὺ
κακὰ ἔρχεται ἀπὸ ἔθνους ἐπὶ ἔθνος, καὶ λαῖλαψ μεγάλη ἐκπορεύ-
(33) 19 εται ἀπ' ἐσχάτου τῆς γῆς, [19]καὶ ἔσονται τραυματίαι ὑπὸ Κυρίου
ἐν ἡμέρᾳ Κυρίου ἐκ μέρους τῆς γῆς καὶ ἕως εἰς μέρος τῆς γῆς· οὐ
μὴ κατορυγῶσιν εἰς κόπρια, ἐπὶ προσώπου τῆς γῆς ἔσονται.
(34) 20 [20]ἀλαλάξατε, ποιμένες, καὶ κεκράξατε καὶ κόπτεσθε, οἱ κριοὶ τῶν
προβάτων, ὅτι ἐπληρώθησαν αἱ ἡμέραι ὑμῶν εἰς σφαγήν, καὶ
(35) 21 πεσεῖσθε ὥσπερ οἱ κριοὶ οἱ ἐκλεκτοί· [21]καὶ ἀπολεῖται φυγὴ ἀπὸ

12 προσωπον Q | της γης] pr πασης ℵ + ※ ϛ βασιλευς Σησαχ πιεται ℵAQ εσχατος αυτω̄| Q^{mg} 13 παντοκρατωρ]+ο θς̄ Ι̅η̅λ̅ Q | μεθυσθητε] pr και ℵAQ | εξεμεσατε ℵAQ (εξαιμ. Q^{a}) | ανα μεσον] απο προσωπου ℵ* (ανα μ. ℵ$^{c.a(?mg)}$) 14 om σου A^{*vid} (ρος σου sup ras A^{a}) | Κυριος]+ ※ των δυναμεω̄ ο θς Ι̅η̅λ̅ Q^{mg} 15 οτι 1°]+ ※ ιδου Q^{mg} | εν 2°] εφ AQ | ωνομασθην ℵ* | αυτην] αυτης A | αρχομαι] ερχομαι A | καθαρσει] καθαρισμω Q + α'σ'θ' ※ καθαρισθησεσθαι Q^{mg} | καλω] καλεσω A | τους καθημενους] pr παντας Q 16 om επ αυτους A | τους λογους] pr παντας Q | τουτους] + επ αυτους A$^{a?(mg)}$ | ερεις]+αυτοις A | αφ] εφ ℵ | επι 1°] απο A | του τοπου] ras 1 lit post του et οπ sup ras A^{a} | αυτου 3°] τουτου A | ωσπερ] ως Q* superscr περ Q$^{b(vid)}$ | τρυγωντες] τρυγωτες A τρυγοντες Q$^{mg\,vid}$ adnot οι ληνοβατουντες Q^{mg} | καθημενους] pr παντας τους A pr τους Q | την γην] pr επι AQ | ηκει] εκει A 17 μερους ℵ* (μερος ℵ$^{?}$) | αυτους ℵ | σαρκαν ℵ* 18 Κυριος]+α'σ'θ' ※ των δυναμεων Q^{mg} | επι] εις ℵAQ | εθνος] εθνους ℵ*A* 19 μερους] μερος A* (-ρους A$^{a?}$) | om και εως εις μερος της γης ℵ* (hab ℵ$^{c.a(?)mg}$) | γης 2°]+α'θ' ※ ϛ ου μη κοπτωσιν ουδ ου μη συναχθωσιν Q^{mg} | κατορυγωσιν] κατορυξωσιν A 20 ποιμενες] pr ※ οι Q^{mg} | κεκραξετε (-ξεται ℵ* -ξασαι ℵ$^{c.a(?)}$) ℵ*A | κοψασθε Q | υμων] ημων A | εισφαγην ℵ*A | σφαγην]+α'σ'θ' ※ ϛ οι σκορπισμοι υμων Q^{mg} | πεσεισθαι (εσεισθαι sup ras) A^{a} 21 απολειται] απολισθαι ℵ* (-λεισθαι ℵ$^{?}$)

B τῶν ποιμένων, καὶ σωτηρία ἀπὸ τῶν κριῶν τῶν προβάτων.
22 φωνὴ κραυγῆς τῶν ποιμένων, καὶ ἀλαλαγμὸς τῶν προβάτων 22 (36)
καὶ τῶν κριῶν, ὅτι ὠλέθρευσεν Κύριος τὰ βοσκήματα αὐτῶν,
23 καὶ παύσεται τὰ κατάλοιπα τῆς εἰρήνης ἀπὸ προσώπου ὀργῆς 23 (37)
θυμοῦ μου. 24 ἐνκατέλιπεν ὥσπερ λέων κατάλυμα αὐτοῦ, ὅτι 24 (38)
ἐγενήθη ἡ γῆ αὐτῶν εἰς ἄβατον ἀπὸ προσώπου τῆς μαχαίρας τῆς
μεγάλης.

XXXIII (XXVI)
1 Ἐν ἀρχῇ βασιλέως Ἰωακεὶμ υἱοῦ Ἰωσεία ἐγενήθη ὁ λόγος οὗτος παρὰ 1
Κυρίου.

2 Οὕτως εἶπεν Κύριος Στῆθι ἐν αὐλῇ οἴκου Κυρίου, καὶ χρηματιεῖς 2
ἅπασι τοῖς Ἰουδαίοις καὶ πᾶσι τοῖς ἐρχομένοις προσκυνεῖν ἐν οἴκῳ
Κυρίου ἅπαντας τοὺς λόγους οὓς συνέταξά σοι αὐτοῖς χρηματίσαι, μὴ
ἀφέλῃς ῥῆμα. 3 ἴσως ἀκούσονται καὶ ἀποστραφήσονται ἕκαστος ἀπὸ 3
τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ παύσομαι ἀπὸ τῶν κακῶν ὧν ἐγὼ
λογίζομαι τοῦ ποιῆσαι αὐτοῖς ἕνεκεν τῶν πονηρῶν ἐπιτηδευμάτων
αὐτῶν. 4 καὶ ἐρεῖς Οὕτως εἶπεν Κύριος Ἐὰν μὴ ἀκούσητέ μου τοῦ 4
πορεύεσθαι ἐν τοῖς νομίμοις μου οἷς ἔδωκα κατὰ πρόσωπον ὑμῶν,
5 εἰσακούειν τῶν λόγων τῶν παίδων μου τῶν προφητῶν οὓς ἐγὼ 5
ἀποστέλλω πρὸς ὑμᾶς ὄρθρου, καὶ ἀπέστειλα καὶ οὐκ ἠκούσατέ μου·
6 καὶ δώσω τὸν οἶκον τοῦτον ὥσπερ Σηλώ, καὶ τὴν πόλιν δώσω εἰς 6
κατάραν πᾶσιν τοῖς ἔθνεσιν πάσης τῆς γῆς. 7 καὶ ἤκουσαν οἱ ἱερεῖς 7
καὶ οἱ ψευδοπροφῆται καὶ πᾶς ὁ λαὸς τοῦ Ἰερεμίου λαλοῦντος τοὺς
λόγους τούτους ἐν οἴκῳ Κυρίου. 8 καὶ ἐγένετο Ἰερεμίου παυσαμένου 8
λαλοῦντος πάντα ἃ συνέταξεν αὐτῷ Κύριος λαλῆσαι παντὶ τῷ λαῷ,
καὶ συνελάβοσαν αὐτὸν οἱ ἱερεῖς καὶ οἱ ψευδοπροφῆται καὶ πᾶς ὁ

ℵAQ 22 καυης ℵ* (ρ et γ superscr ℵ?) | προβατων] κριων ℵ | κριων] προβατων ℵ | ωλοθρευσεν B^{b} | τα βοσκηματα] το βοσκημα ℵ 23 μου] κ̅υ̅ Q 24 ενκατελιπεν (-λειπεν ℵ?)] κατελειπεν με A εγκατελειπεν Q* (εγκατελιπ. Q^{a}) | ωσπερ λεων κα| sup ras A^{a} | καταλυμα (κα|λυμα A)] καταλειμμα Q (καταλυμα Q^{mg}) | προσωπου] + α′σ′θ′ ※ οργης Q^{mg} | της μαχαιρας] om της AQ | μεγαλης] + α′σ′θ′ ※ ϗ απο προσωπου οργης θυμου αυτου Q^{mg} XXXIII 1 om βασιλεως Q* (hab Q^{mg}) | Ιωσια B^{b}ℵA Ιωσιου Q + βασιλεως Ιουδα Q | εγενη A | Κυριου] + α′σ′θ′ ※ λεγω̅| Q^{mg} 2 απασι τοις Ιουδαιοις] παντι Ιουδα Q^{mg} | απασι (-σιν ℵ)] πασιν A πασι Q | om και πασι ℵQ | πασιν A | χρηματισαι αυτοις Q 3 της οδου] om της A | αυτου] αυτων A 4 ερεις] + α′σ′θ′ ※ προς αυτους Q^{mg} | νομιμοις] νομοις A | κατα προσωπον] προ προσωπου Q 5 των λογων] + μου και A | om των παιδων μου ℵ* (hab ℵ$^{c.a\,mg}$ (rurs improb ℵ$^{c.b}$) | παιδων] δουλων Q* (παιδ. Q^{mg}) | ορθου ℵ* | ηκουσατε] εισηκουσατε (-σαται ℵ$^{c.b}$A) ℵAQ 6 Σηλωμ ℵ$^{a(vid)}$AQ | την πολιν] + ταυτην AQ pr α′ ※ συν Q^{mg} | πασι Q 7 ειν ℵ* (εν ℵ?) 8 α] οσα AQ | om λαλησαι ℵ | συνελαβον ℵ$^{c.a}$Q

9 λαὸς λέγων Θανάτῳ ἀποθανῇ, [9]ὅτι ἐπροφήτευσας τῷ ὀνόματι Κυρίου B
λέγων Ὥσπερ Σηλὼ ἔσται ὁ οἶκος οὗτος, καὶ ἡ πόλις αὕτη ἐρημωθή-
σεται ἀπὸ κατοικούντων· καὶ ἐξεκκλησιάσθη πᾶς ὁ λαὸς ἐπὶ Ἰερεμίαν
10 ἐν οἴκῳ Κυρίου. [10]Καὶ ἤκουσαν οἱ ἄρχοντες Ἰούδα τὸν λόγον
τοῦτον, καὶ ἀνέβησαν ἐξ οἴκου τοῦ βασιλέως εἰς οἶκον Κυρίου, καὶ
11 ἐκάθισαν ἐν προθύροις πύλης τῆς καινῆς. [11]καὶ εἶπαν οἱ ἱερεῖς καὶ
οἱ ψευδοπροφῆται πρὸς τοὺς ἄρχοντας καὶ παντὶ τῷ λαῷ Κρίσις
θανάτου τῷ ἀνθρώπῳ τούτῳ, ὅτι ἐπροφήτευσεν κατὰ τῆς πόλεως
12 ταύτης καθὼς ἠκούσατε ἐν τοῖς ὠσὶν ὑμῶν. [12]καὶ εἶπεν Ἰερεμίας
πρὸς τοὺς ἄρχοντας καὶ παντὶ τῷ λαῷ λέγων Κύριος ἀπέστειλέν με
προφητεῦσαι ἐπὶ τὸν οἶκον τοῦτον καὶ ἐπὶ τὴν πόλιν ταύτην πάντας
13 τοὺς λόγους οὓς ἠκούσατε. [13]καὶ νῦν βελτίους ποιήσατε τὰς ὁδοὺς
ὑμῶν καὶ τὰ ἔργα ὑμῶν, καὶ ἀκούσατε τῆς φωνῆς Κυρίου, καὶ παύσεται
14 Κύριος ἀπὸ τῶν κακῶν ὧν ἐλάλησεν ἐφ' ὑμᾶς. [14]καὶ ἰδοὺ ἐγὼ ἐν
15 χερσὶν ὑμῶν, ποιήσατέ μοι ὡς συμφέρει καὶ ὡς βέλτιον ὑμῖν. [15]ἀλλ' ἢ
γνόντες γνώσεσθε ὅτι εἰ ἀναιρεῖτέ με, αἷμα ἀθῷον δίδοτε ἐφ' ὑμᾶς
καὶ ἐπὶ τὴν πόλιν ταύτην καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ· ὅτι ἐν
ἀληθείᾳ ἀπέσταλκέν με Κύριος πρὸς ὑμᾶς λαλῆσαι εἰς τὰ ὦτα ὑμῶν
16 πάντας τοὺς λόγους τούτους. [16]καὶ εἶπαν οἱ ἄρχοντες καὶ πᾶς ὁ λαὸς
πρὸς τοὺς ἱερεῖς καὶ πρὸς τοὺς ψευδοπροφήτας Οὐκ ἔστι τῷ
ἀνθρώπῳ τούτῳ κρίσις θανάτου, ὅτι ἐπὶ τῷ ὀνόματι Κυρίου τοῦ θεοῦ
17 ἡμῶν ἐλάλησεν πρὸς ἡμᾶς. [17]καὶ ἀνέστησαν ἄνδρες τῶν πρεσβυτέ-
18 ρων τῆς γῆς καὶ εἶπαν πάσῃ τῇ συναγωγῇ τοῦ λαοῦ [18]Μειχαίας ὁ
Μωραθείτης ἦν ἐν ταῖς ἡμέραις Ἐζεκίου βασιλέως Ἰούδα καὶ εἶπεν
παντὶ τῷ λαῷ Ἰούδα Οὕτως εἶπεν Κύριος Σειὼν ὡς ἀγρὸς ἀροτριαθή-
σεται, καὶ Ἰερουσαλὴμ εἰς ἄβατον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς

9 *τω ονοματι*] pr *επι* ℵ | *ελεγον* ℵ* (*λεγων* ℵ$^{?}$) | *Σηλωμ* ℵAQ | *αυτης* B* ℵAQ (*αυτη* B^{ab}) | *κατοικουντων*] *ενοικ.* A 10 *οι αρχοντες*] om *οι* ℵ* (superscr ℵ$^{c.a(?)}$) | *τον λογον τουτον*] *των λογων τουτων* AQ | *εις*] pr *εις οικον*| *του βασιλεως* ℵ* (improb ℵ$^{?}$) | *πυλης*] + $\overline{κυ}$ A + *οικου* $\overline{κυ}$ Q 11 om *και* 3° ℵ* (superscr ℵ$^{c.a(?)}$) | *λαω*] + ※ *λεγοντες* Q^{mg} 12 *απεστειλεν*] *απεσταλκεν* ℵ | *λογους*] + *τουτους* ℵA | om *ους ηκουσατε* ℵ 13 om *και τα εργα υμων* ℵ* (hab ℵ$^{c.a(?)\,mg}$) | *ακουσατε*] *ακουσετε* (*ακου* sup ras A^{a}) A | *Κυριου*] *ημων* ℵ$^{*\,vid}$ $\overline{κυ}$ *του* $\overline{θυ}$ *ημων* ℵ$^{c.c\,(vid)}$ $\overline{κυ}$ *του* $\overline{θυ}$ *υμων* Q | *παυσεταει* ℵ* | *εφ*] *προς* ℵ* (superscr *εφ* ℵ$^{c.a(?)}$) 15 *αιμαθωον* A | *αιμα*] pr *οτι* ℵ$^{c.a}$ Q | *αθωον* sup ras (*ωο* B$^{1\,fort}$) B$^{?}$ | *διδοτε*] pr *υμεις* Q | om *πολιν* Q* (hab Q$^{1\,(vid)\,mg}$) | *αληθια* ℵ | *απεσταλκεν*] *απεστειλεν*·A | om *ωτα* B* (hab B^{b}) 16 om *προς* 2° ℵA | *εστιν* B$^{b\,(vid)}$ ℵAQ | *ημας*] *υμας* A 17 *συ̅|αγωγη* B* *συ|ναγ.* B$^{?}$ | *λαου*] + *λεγοντες* Q 18 *Μιχεας* ℵ *Μιχαιας* AQ | *βασιλεως*] pr *του* Q | *Ιουδα* 2°] + *λεγων* AQ | *Σιων* B^{b}Q | *αροτιαθ.* ℵ* | *εις* bis] *ως* A | *αβατον* (*-τος* ℵ*)] *οπωροφυλακιον* (*-κειον* Q^{a}) AQ | *οικου*] + *εστ,* Q^{a}

B ἄλσος δρυμοῦ. [19]μὴ ἀνελὼν ἀνεῖλεν αὐτὸν Ἐζεκίας καὶ πᾶς Ἰουδά; 19
οὐχ ὅτι ἐφοβήθησαν τὸν κύριον, καὶ ὅτι ἐδεήθησαν τοῦ προσώπου
Κυρίου, καὶ ἐπαύσατο Κύριος ἀπὸ τῶν κακῶν ὧν ἐλάλησεν ἐπ' αὐτούς;
καὶ ἡμεῖς ἐποιήσαμεν κακὰ μεγάλα ἐπὶ ψυχὰς ἡμῶν. [20]καὶ ἄνθρωπος 20
ἦν προφητεύων τῷ ὀνόματι Κυρίου, Οὐρείας υἱὸς Σαμαίου ἐκ Καρια-
θιαρείμ, καὶ ἐπροφήτευσεν περὶ τῆς γῆς ταύτης κατὰ πάντας τοὺς
λόγους Ἰερεμίου. [21]καὶ ἤκουσεν ὁ βασιλεὺς Ἰωακεὶμ καὶ πάντες οἱ 21
ἄρχοντες πάντας τοὺς λόγους αὐτοῦ, καὶ ἐζήτουν ἀποκτεῖναι αὐτόν·
καὶ ἤκουσεν Οὐρείας, καὶ εἰσῆλθεν εἰς Αἴγυπτον. [22]καὶ ἐξαπέστειλεν 22
ὁ βασιλεὺς ἄνδρας εἰς Αἴγυπτον, [23]καὶ ἐξηγάγοσαν αὐτὸν ἐκεῖθεν καὶ 23
εἰσηγάγοσαν αὐτὸν πρὸς τὸν βασιλέα· καὶ ἐπάταξεν αὐτὸν ἐν μαχαίρᾳ,
καὶ ἔριψεν αὐτὸν εἰς τὸ μνῆμα υἱῶν λαοῦ αὐτοῦ. [24]πλὴν χεὶρ Ἀχεικὰμ 24
υἱοῦ Σαφὰν ἦν μετὰ Ἰερεμίου τοῦ μὴ παραδοῦναι αὐτὸν εἰς χεῖρας
τοῦ λαοῦ, μὴ ἀνελεῖν αὐτόν.

XXXIV (XXVII)

[1]Οὕτως εἶπεν Κύριος Ποίησον δεσμοὺς καὶ κλοιούς, καὶ περί- 1 (2)
θου περὶ τὸν τράχηλόν σου, [2]καὶ ἀποστελεῖς αὐτοὺς πρὸς βασιλέα 2 (3)
Ἰδουμαίας καὶ πρὸς βασιλέα Μωὰβ καὶ πρὸς βασιλέα υἱῶν Ἀμμὼν
καὶ πρὸς βασιλέα Τύρου καὶ πρὸς βασιλέα Σειδῶνος ἐν χερσὶν
ἀγγέλων αὐτῶν τῶν ἐρχομένων εἰς ἀπάντησιν αὐτῶν εἰς Ἰερουσα-
λὴμ πρὸς Σεδεκίαν βασιλέα Ἰούδα. [3]καὶ συντάξεις αὐτοῖς πρὸς 3 (4)
τοὺς κυρίους αὐτῶν εἰπεῖν Οὕτως εἶπεν Κύριος ὁ θεὸς Ἰσραήλ

ℵAQ 19 ανελων] αναιρων (ανερ. A) AQ | Εζεκιας] + βασιλευς Ιουδα Q | ουχ] ουχι ℵAQ | om οτι 1° ℵ | om και 2° ℵ | Κυριου] αυτου A | ψυχαις A | ημων] υμων ℵ* 20 τω ονοματι] pr επι A | Ουριας B^bAQ | Σαμαιου] Μασεου ℵ | Κα|ριαθειαρειμ ℵ | επροφητευσεν] + α'θ' ※ επι τη|ς πολιν ταυτη|ς και Q^{mg} | κατα] pr και ℵ | Ιηρεμιου A 21 βασιλει incep ℵ* | Ιωακειμ (-κιμ Q^a)] + ※ ϗ παντες οι δυνατοι αυτου Q^{mg} | αρχοντας ℵ* vid | εζητουν] εζητησαν Q | ηκουσαν ℵ* | Ουριας B^bℵA (Ουρ sup ras $A^?$ seq spat 2 litt Ιερεμιας A* fort) Q^a + α'θ' ※ ϗ εφοβηθη ϗ εφυγεν Q^{mg} 22 pr θ' ※ Q^{mg} | βασιλευς] + Ιωακειμ Q^{mg} | Αιγυπτον] Εγυπτω incep ℵ* (Εγυπτον postea Αιγ. $ℵ^?$) + θ' ※ Ελναθαν υιον Αχοβωρ ϗ ανδρας μετ αυτου εις Αιγυπτον Q^{mg} 23 και 1°] pr και συνελαβοσαν| αυτον A | εξηγαγον AQ | εκειθεν] pr ※ et superscr θ' $Q^?$ | εισηγαγοσαν] εισηγαγον ℵAQ (superscr ※ $Q^?$) | βασιλεα] + θ' ※ Ιωακειμ Q^{mg} | μαχαιρη A | ερριψεν B^bAQ | μνημα] μνημειον A 24 Αχικαμ AQ | Ιερεμιου] Ιερεου ℵ* (μι superscr) Ιηρεμιου A | μη ανελειν] pr του ℵAQ^a XXXIV 1 ουτως] pr α' ※ εν αρχη βασιλεως Ιωακειμ υιου Ιωσιου βασιλεως Ιουδα εγενηθη ο λογος ουτος προς Ιερεμιαν παρα $\overline{κυ}$ λεγων Q^{mg} | Κυριος] + παντες ※ προς με Q^{mg} | ποιησον] + σεαυτω Q 2 αποστελλις ℵ* (αποστελεις $ℵ^?$) | βασιλεα 1°] pr τον $ℵ^{c.a}$AQ | Ιουμαιας ℵ* | βασιλεα 3°, 5°] pr τον Q | Σιδωνος B^bAQ | αγγελων] pr των A | αυτων 1°] ων sup ras $B^?$ (αυτου B* fort) | ερχομενων] + εις $\overline{Ιλημ}$ Q | αυτων 2°] αυτω ℵ | om εις Ιερουσαλημ Q 3 συνταξεις] προσταξεις ℵ | Κυριος] + α'θ' ※ των δυναμεω|ν Q^{mg}

(5) 4 Οὕτως ἐρεῖτε πρὸς τοὺς κυρίους ὑμῶν [4]ὅτι ἐγὼ ἐποίησα τὴν γῆν ἐν B
τῇ ἰσχύι μου τῇ μεγάλῃ καὶ ἐν τῷ ἐπιχείρῳ μου τῷ ὑψηλῷ, καὶ
(6) 5 δώσω αὐτὴν ᾧ ἐὰν δόξῃ ἐν ὀφθαλμοῖς μου. [5]ἔδωκα τὴν γῆν τῷ
Ναβουχοδονοσὸρ βασιλεῖ Βαβυλῶνος δουλεύειν αὐτῷ, καὶ τὰ θηρία
(8) 6 τοῦ ἀγροῦ ἐργάζεσθαι αὐτῷ. [6]καὶ τὸ ἔθνος καὶ ἡ βασιλεία ὅσοι
ἐὰν μὴ ἐμβάλωσιν τὸν τράχηλον αὐτῶν ὑπὸ τὸν ζυγὸν βασιλέως
Βαβυλῶνος, ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ ἐπισκέψομαι αὐτούς, εἶπεν
(9) 7 Κύριος, ἕως ἐκλίπωσιν ἐν χειρὶ αὐτοῦ. [7]καὶ ὑμεῖς μὴ ἀκούετε
τῶν ψευδοπροφητῶν ὑμῶν καὶ τῶν μαντευομένων ὑμῖν καὶ τῶν
ἐνυπνιαζομένων ὑμῖν καὶ τῶν οἰωνισμάτων ὑμῶν καὶ τῶν φαρμα-
κῶν ὑμῶν τῶν λεγόντων Οὐ μὴ ἐργάσησθε τῷ βασιλεῖ Βαβυλῶνος,
(10) 8 [8]ὅτι ψευδῆ αὐτοὶ προφητεύουσιν ὑμῖν πρὸς τὸ μακρῦναι ὑμᾶς ἀπὸ
(11) 9 τῆς γῆς ὑμῶν. [9]καὶ τὸ ἔθνος ὃ ἐὰν εἰσαγάγῃ τὸν τράχηλον αὐτοῦ
ὑπὸ τὸν ζυγὸν βασιλέως Βαβυλῶνος καὶ ἐργάσηται αὐτῷ, καὶ
καταλείψω αὐτὸν ἐπὶ τῆς γῆς αὐτοῦ· καὶ ἐργᾶται αὐτῷ καὶ ἐνοική-
(12) 10 σει ἐν αὐτῇ. [10]Καὶ πρὸς Σεδεκίαν βασιλέα Ἰούδα ἐλάλησα
κατὰ πάντας τοὺς λόγους τούτους λέγων Εἰσαγάγετε τὸν τρά-
(14) 11 χηλον ὑμῶν καὶ ἐργάσασθε τῷ βασιλεῖ Βαβυλῶνος. [11]ὅτι ἄδικα

3 προς τους κυριους (2°)] τοις κυριοις A 4 om οτι Q | γην] + α'θ' ※ τους ανο̅υ̅ς̅ ϗ τα κτηνη οσα επι προσωπου της γης Q^{mg} | τη ισχυι] om τη ℵ | επιχειρω] βραχιονι Q | εαν] αν ℵ ε sup ras (pr spat 1 litt) A^{a} 5 εδωκα] + πασιν Q pr α'θ' ※ ϗ νυν εγω ειμι Q^{mg} | την γην] + πασαν A pr πασαν Q | τω Ν. β. Βαβυλωνος] pr εν (superscr) Q^{a} pr α'θ' ※ Q^{mg} | om Ναβουχοδονοσορ ℵ | Βαβυλωνος] + θ' ※ τω δουλω μου Q^{mg} | om δουλευειν αυτω ℵ | αυτω 2°] + ※ δεδωκα δουλευειν αυτω ϗ δουλευσουσιν αυτω πα̅|τα τα εθνη ϗ τω υιω αυτου ϗ τω υιω του υιου αυτου εως ελθη ο καιρος της οργης αυτου ϗ δουλευσουσιν αυτω εθνη ϗ βασιλεις μεγαλοι Q^{mg} 6 και 1°] pr α'θ' ※ ϗ εσται Q^{mg} | βασιλια ℵ* | οσοι] σοι A* (οσ. A^{1}) | εαν] αν A + ※ μη δουλευσουσι τω Ναβουχοδονοσορ βασιλει Βαβυλωνος ϗ οσοι εαν Q^{mg} | ενβαλωσι ℵ εμβαλωσι Q$^{a\,vid}$ | τον ζυγον] om τον A | Βαβυλωνος] + και δουλευ|σωσιν αυτω A | μαχαιρα] + πεσουνται ℵ* (postea improb) A | λιμω] + παντες ※ ϗ εν θανατω Q^{mg} | εως] + αν AQ | εκλειπωσιν ℵ$^{c.a}$ A εκλιπουσιν Q* (εκλιπωσιν Q^{a}) 7 ante ακουετε ras 1 lit ut vid Q$^{?}$ | υμιν 2°] + α'θ' ※ ϗ των κληδονων υμων Q^{mg} | των λεγοντων] pr και ℵ* (postea improb) om των Q* (hab Q^{mg}) | λεγοντων] + ※ προς υμας εν τω λεγειν Q^{mg} | εργασεσθε Q* (-σησθε Q^{a}) 8 αυτοι ψευδη ℵ | υμων] + α'θ' ※ ϗ διασπερω υμας ϗ απολεισθαι (-σθε Q$^{?}$) Q^{mg} 9 ο εαν] οσοι αν A ο αν Q | εισαγαγωσιν A | αυτου 1°] αυτων A | βασιεως ℵ* (βασιλ. ℵ$^{?}$) | αυτου 2°] + α'θ' ※ φησι| κ̅ς̅ Q^{mg} | αυτω 2°] pr εν ℵ* (postea improb) εν αυτη Q^{mg} 10 ελαληκας ℵ* (ελαλησα ℵ$^{c.a(?)}$) | ατα ℵ* (κατα ℵ$^{c.a(?)}$) | υμων] + υπο τον ζυγο̅| βασιλεως Βαβυλωνος ϗ δουλευσατε αυτω ϗ τω λαω αυτου ϗ ζητε ϗ ινατι αποθνησκετε συ ϗ ο λαος σου εν ρομφαια ϗ εν λιμω ϗ εν θανατω καθα ελαλησε κ̅ς̅ προς το εθνος ο εαν μη δουλευση τω βασιλει Βαβυλωνος ϗ μη ακουσητε των λογω̅| των προφητω̅| προς υμας Q^{mg} | και 2°] ουκ Q^{mg} | εργασασθε] εργασεσθαι ℵ εργαζεσθαι A ℵAQ

B αὐτοὶ προφητεύουσιν ὑμῖν, ¹²ὅτι οὐκ ἀπέστειλα αὐτούς, φησὶν 12 (15)
Κύριος, καὶ προφητεύουσιν τῷ ὀνόματί μου ἐπ᾽ ἀδίκῳ πρὸς τὸ
ἀπολέσαι ὑμᾶς· καὶ ἀπολεῖσθε ὑμεῖς καὶ οἱ προφῆται ὑμῶν οἱ
προφητεύοντες ὑμῖν ἐπ᾽ ἀδίκῳ ψευδῆ. ¹³ὑμῖν καὶ παντὶ τῷ λαῷ 13 (16)
τούτῳ καὶ τοῖς ἱερεῦσιν ἐλάλησα λέγων Οὕτως εἶπεν Κύριος Μὴ
ἀκούετε τῶν λόγων τῶν προφητῶν τῶν προφητευόντων ὑμῖν
λεγόντων Ἰδοὺ σκεύη οἴκου Κυρίου ἐπιστρέψει ἐκ Βαβυλῶνος,
ὅτι ἄδικα αὐτοὶ προφητεύουσιν ὑμῖν· ¹⁴οὐκ ἀπέστειλα αὐτούς. 14 (17)
¹⁵εἰ προφῆταί εἰσιν, καὶ εἰ ἔστιν λόγος Κυρίου ἐν αὐτοῖς, ἀπαν- 15 (18)
τησάτωσάν μοι· ¹⁶ὅτι οὕτως εἶπεν Κύριος Καὶ τῶν ἐπιλοίπων 16 (19)
σκευῶν, ¹⁷ὧν οὐκ ἔλαβον βασιλεὺς Βαβυλῶνος, ὅτε ἀπῴκισεν 17 (20)
τὸν Ἰεχονίαν ἐξ Ἰερουσαλήμ, ¹⁸εἰς Βαβυλῶνα εἰσελεύσεται, λέγει 18 (22)
Κύριος.

XXXV (XXVIII)

¹Καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει Σεδεκία βασιλέως Ἰούδα ἐν 1
μηνὶ τῷ πέμπτῳ εἶπέν μοι Ἀνανίας υἱὸς Ἀζὼρ ὁ ψευδοπροφήτης
ἀπὸ Γαβαὼν ἐν οἴκῳ Κυρίου κατ᾽ ὀφθαλμοὺς τῶν ἱερέων καὶ παντὸς
τοῦ λαοῦ λέγων ²Οὕτως εἶπεν Κύριος Συνέτριψα τὸν ζυγὸν τοῦ βασι- 2
λέως Βαβυλῶνος. ³ἔτι δύο ἔτη ἡμερῶν καὶ ἐγὼ ἀποστρέψω εἰς τὸν 3

ℵAQ 12 om οτι Q* (superscr Q^{a}) | προφητευουσιν] προφητευσουσιν ℵ | τω ονοματι] pr επι A | απολεσαι] απολε|σθαι A | απολεισθε] απολεσθε ℵ* 13 om και 1° ℵ | των προφητευοντων] om των Q* (superscr Q^{a}) | υμιν 2°] +ψευδη A | λεγοντων] pr και A | επιστρεφει AQ | Βαβυλωνος]+παντες ⁜ νυν ταχυ Q^{mg} | αδικα] αδικια ℵ* (-κα ℵ?) 14 ουκ] pr ⸓ Q? | αυτους]+ ⁜ μη ακουετε αυτων δουλευσατε τω βασιλει Βαβυλωνος ϗ ζητε ϗ ινατι γινετ, η πολις αυτη ερημος Q^{mg} 15 ει 1°] pr και A | om ει 2° A | λογος] νομος ℵ* (λογ. ℵ$^{c.a(?)}$) | απαντησατωσαν]+θ′ δη κ̅ω̅ των δυναμεω̅| προς το μη πορευθηναι τα σκευη τα υπολελειμμενα εν οικω κ̅υ̅ ϗ εν οικω βασιλεως Ιουδα ϗ εν Ι̅λ̅η̅μ̅ εις Βαβυλωνα οτι ταδε λεγει κ̅ς̅ των δυναμεων περι των στυλων και περι της θαλασσης ϗ περι των μεχωνωθ ϗ επι το λιμμα των σκευων των υπολελιμμενω̅| εν τη πολει ταυτη α ουκ ελαβεν αυτα Ναβουχοδονοσορ βασιλευς Βαβυλωνος αποικιζοντος αυτου τον Ιεχονιαν υιον Ιωακειμ βασιλεα Ιουδα εξ Ι̅λ̅η̅μ̅ εις Βαβυλωνα ϗ παντας τους ελευθερους Ιουδα ϗ Ι̅λ̅η̅μ̅ οτι ταδε λεγει κ̅ς̅ των δυναμεων θ̅ς̅ Ι̅η̅λ̅ επι τα σκευη τα καταλειφθεντα εν οικω κ̅υ̅ ϗ εν οικω βασιλεως Ιουδα ϗ εν Ι̅λ̅η̅μ̅ εις Βαβυλωνα αχθησονται ϗ εκει εσονται εως ημερας ης επισκεψομαι αυτα ταδε λεγει κ̅ς̅ ϗ αναβιβω αυτα ϗ επιστρεψω αυτα εις τον τοπον τουτο̅| Q^{mg} 16 επιλοιπων] υπολοιπων ℵ 17 βασιλεως ℵ | οτι B*A* (οτε B^{ab}ℵA?Q) | Ειεχονιαν ℵ | Ιερουσαλημ] Ιει̅η̅μ̅ (postea Ι̅η̅μ̅) ℵ 18 εγει A* (λεγει A^{1}) | Κυριος]+ο θ̅ς̅ ℵ XXXV 1 ετει]+ ⁜ εκεινω Q^{mg} | Σεδεκια (-κιου AQ)] pr βασιλευοντος AQ pr ⁜ εν αρχη [βασ.] Q^{mg} | μηνι τω πεμπτω] τω πεμπτω μηνι A+ ⁜ εν τω ετει τω τεταρτω Q^{mg} | απο] pr ο ℵA 2 Κυριος]+α′θ′ ⁜ των δυναμεων θ̅ς̅ Ι̅η̅λ̅ λεγω̅| Q^{mg} | του βασιλεως] om του ℵQ 3 δυο ετη] ετη δυο A | om και ℵAQ

4 τόπον τοῦτον τὰ σκεύη οἴκου Κυρίου [4]καὶ Ἰεχονίαν καὶ τὴν ἀποι- B
5 κίαν Ἰούδα, ὅτι συντρίψω τὸν ζυγὸν βασιλέως Βαβυλῶνος. [5]καὶ
εἶπεν Ἰερεμίας πρὸς Ἁνανίαν κατ' ὀφθαλμοὺς παντὸς τοῦ λαοῦ καὶ
6 κατ' ὀφθαλμοὺς τῶν ἱερέων τῶν ἑστηκότων ἐν οἴκῳ Κυρίου, [6]καὶ
εἶπεν Ἰερεμίας Ἀληθῶς οὕτω ποιῆσαι Κύριος· στῆσαι τὸν λόγον
σου ὃν σὺ προφητεύεις, τοῦ ἐπιστρέψαι τὰ σκεύη οἴκου Κυρίου καὶ
7 πᾶσαν τὴν ἀποικίαν ἐκ Βαβυλῶνος εἰς τὸν τόπον τοῦτον. [7]πλὴν
ἀκούσατε τὸν λόγον Κυρίου ὃν ἐγὼ λέγω εἰς τὰ ὦτα ὑμῶν καὶ εἰς
8 τὰ ὦτα παντὸς τοῦ λαοῦ [8]Οἱ προφῆται οἱ γεγονότες πρότεροί μου
καὶ πρότεροι ὑμῶν ἀπὸ τοῦ αἰῶνος, καὶ ἐπροφήτευσαν ἐπὶ γῆς πολ-
9 λῆς καὶ ἐπὶ βασιλείας μεγάλας εἰς πόλεμον· [9]ὁ προφήτης ὁ προφη-
τεύσας εἰς εἰρήνην, ἐλθόντος τοῦ λόγου γνώσονται τὸν προφήτην ὃν
10 ἀπέστειλεν αὐτοῖς Κύριος ἐν πίστει. [10]καὶ ἔλαβεν Ἁνανίας ἐν ὀ-
φθαλμοῖς παντὸς τοῦ λαοῦ τοὺς κλοιοὺς ἀπὸ τοῦ τραχήλου Ἰερεμίου
11 καὶ συνέτριψεν αὐτούς. [11]καὶ εἶπεν Ἁνανίας κατ' ὀφθαλμοὺς παντὸς
τοῦ λαοῦ λέγων Οὕτως εἶπεν Κύριος Οὕτως συντρίψω τὸν ζυγὸν βα-
σιλέως Βαβυλῶνος ἀπὸ τραχήλων πάντων τῶν ἐθνῶν. καὶ ᾤχετο
12 Ἰερεμίας εἰς τὴν ὁδὸν αὐτοῦ. [12]καὶ ἐγένετο λόγος Κυρίου πρὸς
Ἰερεμίαν μετὰ τὸ συντρίψαι Ἁνανίαν τοὺς κλοιοὺς ἀπὸ τοῦ τρα-
13 χήλου αὐτοῦ λέγων [13]Βάδιζε καὶ εἰπὸν πρὸς Ἁνανίαν λέγων Οὕτως
εἶπεν Κύριος Κλοιοὺς ξυλίνους συνέτριψας, καὶ ποιήσω ἀντ' αὐτῶν
14 κλοιοὺς σιδηροῦς. [14]ὅτι οὕτως εἶπεν Κύριος Ζυγὸν σιοηροῦν ἔθηκα

3 τα σκευη] pr παντα Q | Κυριου] ※ οσα ελαβεν Ναβουχοδονοσορ βασιλευς Βαβυλωνος εκ του τοπου τουτου ϗ εισηγαγεν αυτα εις Βαβυλωνα (4) ϗ τον Ιεχονιαν υιον Ιωακειμ βασιλεα Ιουδα ϗ πασαν αποικιαν Ιουδα τους εισελθο̄|τας εις Βαβυλωνα εγω επιστρεψω επι το̄| τοπον τουτο̄| φησιν κ̄ς̄ Q^{mg} ℵAQ 4 Ιεχονιαν] pr τον AQ | συντριψω] συνετριψα A | βασιλεως] pr του A 5 Ιερεμιας] + παντες ※ ο προφητης Q^{mg} | Ανανιαν] + θ' ※ τον ψευδοπροφητη̄| Q^{mg} | παντος του λαου] τος του λαου sup ras $B^{?}$ 6 Ιερεμιας] + παντες ※ ο προφητης Q^{mg} | ουτος ℵ^{*vid} (ουτως ℵ$^{c.a(?)}$ AQ) | ποιησει ℵ$^{c.a}$ (-σι ℵ*) | στησαι] + κ̄ς̄ AQ | σου] τουτου ℵ^{*vid} (σου ℵ$^{c.a(?)}$) | επιστρεψαι] αποστρ. Q 7 ακουσατε] ακουσον + ※ δη Q^{mg} | Κυριου] τουτον Q 8 βασιλιας ℵ* (-λειας ℵ$^{?}$) | μεγαλης ℵ | πολεμον] + α'θ' ※ ϗ εις κακα ϗ εις θανατον Q^{mg} 9 om εις ℵ | λογου] + παντες ※ του προφητου Q^{mg} | Κυριος εν πιστει] κ̄ς̄ εν πι sup ras A^{a} (om κ̄ς̄ A^{*fort}) 10 Ανανιας] + παντες ※ ο ψευδοπροφητης Q^{mg} | Ιερεμιου] + παντες ※ του προφητου Q^{mg} 11 παντος] om ℵ adpinx ※ et superscr α'σ'θ' Q^{b} | ζυγον] + παντες ※ Ναβουχοδονοσορ Q^{mg} | Βαβυλωνος] + α'θ' ※ εν δυσιν ετεσιν ημερων Q^{mg} | τραχηλου ℵQ | Ιερεμιας] + παντες ※ ο προφητης Q^{mg} 12 Ανανιαν] + σ' ※ τον προφητη̄| Q^{mg} | κλοιους (-ου ℵ*)] + θ' ※ αυτου Q^{mg} | αυτου] Ιερεμιου A 13 βαδιζε] βαδισο̄| A | αντ αυτων] αντι τουτων Q 14 Κυριος] + α'θ' ※ των δυναμεων θ̄ς̄ Ῑη̄λ Q^{mg} | εθηκα] τεθεικα Q

B ἐπὶ τὸν τράχηλον πάντων τῶν ἐθνῶν ἐργάζεσθαι τῷ βασιλεῖ Βαβυ-
λῶνος. [15]καὶ εἶπεν Ἰερεμίας τῷ Ἀνανίᾳ Οὐκ ἀπέσταλκέν σε Κύριος, 15
καὶ πεποιθέναι ἐποίησας τὸν λαὸν τοῦτον ἐπ' ἀδίκῳ. [16]διὰ τοῦτο 16
οὕτως εἶπεν Κύριος Ἰδοὺ ἐγὼ ἐξαποστέλλω σε ἀπὸ προσώπου τῆς
γῆς· τούτῳ τῷ ἐνιαυτῷ ἀποθανῇ. [17]καὶ ἀπέθανεν ἐν τῷ μηνὶ τῷ 17
ἑβδόμῳ.

XXXVI (XXIX)
[1]Καὶ οὗτοι οἱ λόγοι τῆς βίβλου οὓς ἀπέστειλεν Ἰερεμίας ἐξ Ἰε- 1
ρουσαλὴμ πρὸς τοὺς πρεσβυτέρους τῆς ἀποικίας καὶ πρὸς τοὺς ἱερεῖς
καὶ πρὸς τοὺς ψευδοπροφήτας, ἐπιστολὴν εἰς Βαβυλῶνα τῇ ἀποικίᾳ,
καὶ πρὸς ἅπαντα τὸν λαόν, [2]ὕστερον ἐξελθόντος Ἰεχονίου τοῦ βασι- 2
λέως καὶ τῆς βασιλίσσης καὶ τῶν εὐνούχων καὶ παντὸς ἐλευθέρου
καὶ δεσμώτου καὶ τεχνίτου ἐξ Ἰερουσαλήμ, [3]ἐν χειρὶ Ἐλεασὰν υἱοῦ 3
Σαφὰν καὶ Γαμαρίου υἱοῦ Χελκίου, ὃν ἀπέστειλεν Σεδεκίας βασιλεὺς
Ἰούδα πρὸς βασιλέα Βαβυλῶνος εἰς Βαβυλῶνα, λέγων [4]Οὕτως εἶπεν 4
Κύριος ὁ θεὸς Ἰσραὴλ ἐπὶ τὴν ἀποικίαν ἣν ἀπῴκισα ἀπὸ Ἰερου-
σαλήμ [5]Οἰκοδομήσατε οἴκους καὶ κατοικήσατε, καὶ φυτεύσατε παρα- 5
δείσους καὶ φάγετε τοὺς καρποὺς αὐτῶν, [6]καὶ λάβετε γυναῖκας καὶ 6
τεκνοποιήσατε υἱοὺς καὶ θυγατέρας, καὶ λάβετε τοῖς υἱοῖς ὑμῶν γυ-
ναῖκας, καὶ τὰς θυγατέρας ὑμῶν ἀνδράσιν δότε, καὶ πληθύνεσθε καὶ
μὴ σμικρυνθῆτε, [7]καὶ ζητήσατε εἰς εἰρήνην τῆς γῆς εἰς ἣν ἀπῴκισα 7
ὑμᾶς ἐκεῖ, καὶ προσεύξασθε περὶ αὐτῶν πρὸς Κύριον, ὅτι ἐν εἰρήνῃ

ℵAQ 14 εθνων] + α'θ' ※ τουτω| Q^mg | εργαζεσθαι] εργασασθε ℵ* (-σθαι ℵ^c.b) pr α'θ' ※ του Q^mg | βασιλει] pr α'θ' ※ Ναβουχοδονοσορ Q^mg | Βαβυλωνος] + παντες ※ ꞓ δουλευσουσι| αυτω και γε τα θηρια του αγρου δεδωκα αυτω Q^mg 15 Ιερεμιας] + παντες ※ ο προφητης Q^mg | Ανανια] + ※ τω προφητη ακουσο| δη Ανανια Q^mg | ουκ| απεστ. B* ου|κ απεστ. B? | απεσταλκεν] απεστειλεν Q | πεποιθεναι] pr συ AQ 16 εξαποστελω ℵ^c.a | om τουτω τω Q* (hab Q^1 (vid) mg) | αποθανη] αποθανειτε ℵ* (-νειται ℵ?) + α'θ' ※ οτι εκκλισι|σιν ελαλησας προς κ̅ν̅ Q^mg 17 απεθανεν] + παντες ※ Ανανιας ο προφητης εν τω ενιαυτω εκεινω Q^mg | om εν ℵ | μηνι τω εβδομω] εβδομω μηνι A XXXVI 1 Ιερεμιας] + ※ ο προφητης Q^mg | Ιλ̅η̅μ̅ ℵ | αποικειας Q* | απαντα] παντα ℵAQ | λαον] + α'θ' ※ ους απωκισε| Ναβουχοδονοσορ εις Βαβυλωνα Q^mg 2 ευνουχων] + θ' ※ ꞓ αρχο̅|των Ιουδα εξ Ιλ̅η̅μ̅ Q^mg | δεσμωτου] τεχνιτου Q | τεχνιτου] δεσμωτου Q | Ιεημ ℵ* (Ι̅η̅μ̅ ℵ?) 3 Ελεασαν B*b] Ελεαζαρ B^a mg ℵ Ελεασαρ A Ελεασα Q | βασιλευς] βασιλεως ℵ* -λεας ℵ^c.a(?) | βασιλεα] pr ※ Ναβουχοδονοσορ Q^mg 4 Κυριος] + α'θ' ※ των δυναμεων Q^mg | αποικειαν A | απωκισα] απωκισεν ℵA (-κεισεν) Q | απο] εξ A | Ιερουσαλημ] + παντες ※ εις Βαβυλωνα Q^mg 5 οικους] οικιαν ℵ* οικιας ℵ^c.a(?) AQ | φυτευσατε] καταφυτευσατε ℵ | φαγετε] φαγεσθε A (-θαι) Q* (-γετε Q^mg) | αυτων] αυτου A 6 τεκνοποιησασθε ℵ | om και λαβετε...θυγατερας (2°) ℵ* (hab και λαβεται τ. υιοις υμ. γυν. και ταις (corr τας) θυγατερας ℵ^c.a mg sup) | δοτε ανδρασιν AQ (-σι Q^a) | πληθυνεσθε] + παντες ※ Q^mg 7 προσευξασθε] προσευχεσθε A | ειρηνη 1°] pr τη AQ

8 αὐτῆς εἰρήνη ὑμῶν. 8 ὅτι οὕτως εἶπεν Κύριος Μὴ ἀναπειθέτωσαν B
ὑμᾶς οἱ ψευδοπροφῆται οἱ ἐν ὑμῖν, καὶ μὴ ἀναπειθέτωσαν ὑμᾶς οἱ
μάντεις ὑμῶν, καὶ μὴ ἀκούετε εἰς τὰ ἐνύπνια ὑμῶν ἃ ὑμεῖς ἐνυπνιά-
9 ζεσθε· 9 ὅτι ἄδικα αὐτοὶ προφητεύουσιν ὑμῖν ἐπὶ τῷ ὀνόματί μου καὶ
10 οὐκ ἀπέστειλα αὐτούς. 10 ὅτι οὕτως εἶπεν Κύριος Ὅταν μέλλῃ πλη-
ροῦσθαι Βαβυλῶνι ἑβδομήκοντα ἔτη, ἐπισκέψομαι ὑμᾶς καὶ ἐπιστήσω
τοὺς λόγους μου ἐφ᾿ ὑμᾶς τοῦ τὸν λαὸν ὑμῶν ἀποστρέψαι εἰς τὸν
11 τόπον τοῦτον, 11 καὶ λογιοῦμαι ἐφ᾿ ὑμᾶς λογισμὸν εἰρήνης καὶ οὐ
12 κακά, τοῦ δοῦναι ὑμῖν ταῦτα. 12 καὶ προσεύξασθε πρὸς μέ, καὶ εἰσ-
13 ακούσομαι ὑμῶν· 13 καὶ ἐκζητήσατέ με, καὶ εὑρήσετέ με· ὅτι ζητή-
14 15 σετέ με ἐν ὅλῃ καρδίᾳ ὑμῶν, 14 καὶ ἐπιφανοῦμαι ὑμῖν. 15 Ὅτι εἴ-
21 πατε Κατέστησεν ἡμῖν Κύριος προφήτας ἐν Βαβυλῶνι· 21 οὕτως εἶπεν
Κύριος ἐπὶ Ἀχιὰβ καὶ ἐπὶ Σεδεκίαν Ἰδοὺ ἐγὼ δίδωμι αὐτοὺς εἰς
χεῖρας βασιλέως Βαβυλῶνος, καὶ πατάξει αὐτοὺς κατ᾿ ὀφθαλμοὺς

7 αυτης ειρηνη] om ℵ* αυτων εσται ιρηνη ℵ^c.a mg Q αυτων εσται η ειρηνη A | υμων] υμιν B^ab ℵ (-μει̅) Q ℵAQ   8 om οτι AQ | Κυριος]+α'θ' ※ των δυναμεων θ̅ς̅ Ι̅η̅μ̅ Q^mg | αναπειθετωσαν 1°] αναπειθετω A | ψευδοφηται ℵ* (superscr προ ℵ^c.a(?)) | αναπειθετωσαν 2°] πειθετωσαν ℵ | ανυπνιαζεσθαι ℵ* (εν. ℵ?)   10 οταν] pr οτι ℵ* (improb ℵ?) | Βαβυλων Q* vid (-νι Q?) | τους λογους μου]+ ※ τους αγαθους Q^mg | τον λαον υμων αποστρεψαι] επιστρεψαι τον λαον μου Q | τουτον]+και λογιουμαι εφ υμας του τον λαον υμω̅| αποστρεψε εις τον τοπον τουτον ℵ* (uncis incl ℵ^c.a(?))   11 και 1°]+α'θ' ※ οτι εγω οιδα τον λογισμον ον εγω ειμι Q^mg | εφ υμας]+παντες ※ φησι̅] Κυριος Q^mg | ταυτα] +α'θ' ※ και ελπιδα και επικαλεσασθε με και πορευεσθε Q^mg   12 προσευξεσθε Q   13 om εκζητησατε με κ. ευρησετε με οτι ℵ | εκζητησετε AQ^a | οτι] οταν A οτι οταν Q | om ζητησετε με A | om υμων A   14 om και Q | υμιν]+θ' ※ φησι κ̅ς̅ ϗ επιστρεψω τη̅| αιχμαλωσια̅| υμων ϗ αθροισω υμας εκ παντω̅| των εθνω̅| ϗ εκ πα̅|των τοπω̅| ου διεσπειρα υμας εκει φησι κ̅ς̅ ϗ επιστρεψω υμας εις τον τοπον οθεν απωκισα υμας εκει Q^mg   15 ημιν Κυριος] κ̅ς̅ εφ ημας Q | προφητην A | Βαβυλωνι]+θ ※ (16) οτι ταδε λεγει κ̅ς̅ προς τον βασιλεα τον καθημενον επι θρονον Δ̅α̅δ̅ ϗ επι παντας τους λαους τους κατοικουντας εν τη πολει ταυτη αδελφους υμων μη εξελθο̅|τας μεθ υμων εν τη αποικια (17) ταδε λεγει κ̅ς̅ των δυναμεων ιδου εγω εξαποστελω εις αυτους την μαχαιραν τον λιμον ϗ τον θανατον ϗ δωσω αυτους ωσπερ τα συκα τα σουαρειμ α ου βρωθωσι̅| απο πονηριας (18) ϗ διωξω οπισω αυτων εν ρομφαια ϗ εν λιμω ϗ εν θανατω ϗ δωσω αυτους εις σαλον πασαις βασιλειαις της γης εις ορκον ϗ εις αφανισμον ϗ εις συρισμον ϗ εις ονειδος εν πασι τοις εθνεσιν ου διεσπειρα αυτους εκει (19) ανθ ων οτι ουκ ηκουσαν των λογων μου φησι κ̅ς̅ οτι απεστειλα προς αυτους τους δουλους μου τους προφητας ορθριζων ϗ αποστελλων ϗ ουκ ηκουσατε φησι κ̅ς̅ (20) ϗ υμεις ακουσατε λογον κ̅υ̅ πασα αποικια ην απεστειλα εξ Ι̅λ̅η̅μ̅ εις Βαβυλωνα Q^mg   21 Κυριος]+α'θ' ※ των δυναμεων θ̅ς̅ Ι̅η̅λ̅ Q^mg | Αχιαβ]+α'θ' ※ υιον Κουλιου Q^mg | Σεδεκιαν]+θ' ※ υιον Μασσιου τους προφητευοντας υμι̅| τω ονοματι μου επ αδικω Q^mg | παταξεις A | αυτου ℵ* (-τους ℵ^c.a(?))

B ὑμῶν. 22 καὶ λήμψονται ἀπ᾽ αὐτῶν κατάραν ἐν πάσῃ τῇ ἀποικίᾳ 22
Ἰούδα ἐν Βαβυλῶνι λέγοντες Ποιήσαι σε Κύριος ὡς Σεδεκίαν ἐποί-
ησεν καὶ ὡς Ἀχιάβ, οὓς ἀπετηγάνισεν βασιλεὺς Βαβυλῶνος ἐν πυρί,
23 δι᾽ ἣν ἐποίησαν ἀνομίαν ἐν Ἰσραήλ, καὶ ἐμοιχῶντο τὰς γυναῖκας 23
τῶν πολιτῶν αὐτῶν, καὶ λόγον ἐχρημάτισαν ἐν τῷ ὀνόματί μου ὃν
οὐ συνέταξα αὐτοῖς, καὶ ἐγὼ μάρτυς, φησὶν Κύριος. 24 Καὶ 24
πρὸς Σαμαίαν τὸν Αἰλαμείτην ἐρεῖς 25 Οὐκ ἀπέστειλά σε τῷ ὀνόματί 25
μου. καὶ πρὸς Σοφονίαν υἱὸν Μαασαίου τὸν ἱερέα εἰπέ 26 Κύριος 26
ἔδωκέν σε εἰς ἱερέα ἀντὶ Ἰωδᾶε τοῦ ἱερέως, γενέσθαι ἐπιστάτην ἐν
τῷ οἴκῳ Κυρίου παντὶ ἀνθρώπῳ προφητεύοντι καὶ παντὶ ἀνθρώπῳ
μαινομένῳ, καὶ δώσεις αὐτὸν εἰς τὸ ἀπόκλεισμα καὶ εἰς τὸν κατα-
ράκτην. 27 καὶ νῦν διὰ τί συνελοιδορήσατε Ἰερεμίαν τὸν ἐξ Ἀναθὼθ 27
τὸν προφητεύσαντα ὑμῖν; 28 οὐ διὰ τοῦτο ἀπέστειλεν πρὸς ὑμᾶς εἰς 28
Βαβυλῶνα λέγων Μακράν ἐστιν, οἰκοδομήσατε οἰκίας καὶ κατοική-
σατε, καὶ φυτεύσατε κήπους καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν; 29 καὶ 29
ἀνέγνω Σοφονίας τὸ βιβλίον εἰς τὰ ὦτα Ἰερεμίου. 30 καὶ ἐγένετο 30
λόγος Κυρίου πρὸς Ἰερεμίαν λέγων 31 Ἀπόστειλον πρὸς τὴν ἀποι- 31
κίαν λέγων Οὕτως εἶπεν Κύριος ἐπὶ Σαμαίαν τὸν Αἰλαμείτην Ἐπειδὴ
ἐπροφήτευσεν ὑμῖν Σαμαίας καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτόν, καὶ πε-
ποιθέναι ἐποίησεν ὑμᾶς ἐπ᾽ ἀδίκοις, 32 διὰ τοῦτο οὕτως εἶπεν Κύριος 32
Ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπὶ Σαμαίαν καὶ ἐπὶ τὸ γένος αὐτοῦ, καὶ
οὐκ ἔσται αὐτῶν ἄνθρωπος ἐν μέσῳ ὑμῶν τοῦ ἰδεῖν τὰ ἀγαθὰ ἃ ἐγὼ
ποιήσω ὑμῖν· οὐκ ὄψονται.

ℵAQ **22** απ] επ AQ | αποικια] αποκρισει ℵ* (αποικ. ℵ$^{c.a(?)}$) | Ιοδα ℵ* (υ superscr ℵ$^{c.a(?)}$) | απετηγανισεν] απεστησαν εις εν ℵ^{*vid} (απετηγανεισεν ℵ$^{c.a(?)}$) **23** Ισραηλ] Ιλ̅η̅μ̅ ℵ$^{c.a\,mg}$Q | εν 2°] επι Q | μου] + α′θ′ ※ αδικον Q^{mg} | και εγω] καγω A + α′θ′ ※ ειμι ο γνωστης και Q^{mg} **24** Σαμεαν ℵ | Ελαμιτην ℵAQ | ερεις] + ※ λεγων (25) ταδε λεγει κ̅ς̅ των δυναμεων ο θ̅ς̅ Ι̅η̅λ̅ ανθ ω̅| οτι συ απεστειλας εν τω ονοματι μου τα βιβλια προς παντα τον λαον τον εν Ιλ̅η̅μ̅ Q^{mg} **25** Μαασαιου] Μνασαιου B$^{a?b}$ Μασεου ℵ Μασσαιου A | ιερεα] + θ′ ※ και προς παντας ιερεις Q^{mg} | ειπε] εἶπεν Bℵ c κυρ. coni ειπειν AQ **26** om εις 1° ℵAQ | επιτατην ℵ* (superscr σ ℵ$^{c.a(?)}$) | τω οικω] om τω Q* (superscr Q^{a}) | το αποκλεισμα] om το Q* (superscr Q^{a}) **27** συνελοιδορησατε] ελοιδορησατε ℵ ουκ επετιμησατε Q | Ιερεμιαν τον εξ Α. τον προφητευσαντα] Ιερεμια τω εξ Α. τω προφητευσαντι Q **28** ου] om ℵ* (superscr ℵ$^{c.a(?)}$) οτι AQ | υμας] ημας Q^{a} | εις Βαβυλωνα] εν Βαβυλωνι Q | εστι A | αυτων bis scr ℵ* (improb 2° ℵ$^{?}$) **29** Σοφονιας] + ※ ο ιερευς Q^{mg} | βιβλιον] + παντες ※ τουτο Q^{mg} | Ιερεμιου] + παντες ※ του προφητου Q^{mg} **31** την αποικιαν] pr α′θ′ ※ πασα̅| Q^{mg} | Σαμεαν ℵ: item 32 | Ελαμιτην ℵA Αιλαμιτην Q | Σαμεας ℵ | και εγω] καγω A | αδικω ℵAQ **32** ανθρωπος] + α′θ′ ※ καθημενος Q^{mg} | του ιδειν] τω ειδιν ℵ* του ειδειν ℵ$^{c.a(?)}$ | οψονται] + θ′ ※ λεγει κ̅ς̅ οτι εκκλισιν ελαλησε κατα κ̅υ̅ Q^{mg}

XXXVII (XXX) 1 [1]Ὁ λόγος ὁ γενόμενος πρὸς Ἰερεμίαν παρὰ Κυρίου εἰπεῖν B

2 [2]Οὕτως εἶπεν Κύριος ὁ θεὸς Ἰσραὴλ λέγων Γράψον πάντας τοὺς
3 λόγους οὓς ἐχρημάτισα πρὸς σὲ ἐπὶ βιβλίου. [3]ὅτι ἰδοὺ ἡμέραι ἔρ-
χονται, φησὶν Κύριος, καὶ ἀποστρέψω τὴν ἀποικίαν λαοῦ μου Ἰσραὴλ
καὶ Ἰουδά, εἶπεν Κύριος, καὶ ἀποστρέψω αὐτοὺς εἰς τὴν γῆν ἣν ἔδωκα
τοῖς πατράσιν αὐτῶν, καὶ κυριεύσουσιν αὐτῆς.

4 [4]Καὶ οὗτοι οἱ λόγοι οὓς ἐλάλησεν Κύριος ἐπὶ Ἰσραὴλ καὶ Ἰούδα.

5 [5]Οὕτως εἶπεν Κύριος Φωνὴν φόβου ἀκούσεσθε· φόβος, καὶ
6 οὐκ ἔστιν εἰρήνη. [6]ἐρωτήσατε καὶ ἴδετε εἰ ἔτεκεν ἄρσεν; καὶ περὶ
φόβου ἐν ᾧ καθέξουσιν ὀσφὺν καὶ σωτηρίαν; διότι ἑώρακα πάντα
ἄνθρωπον καὶ αἱ χεῖρες αὐτοῦ ἐπὶ τῆς ὀσφύος αὐτοῦ, ἐστράφησαν
7 πρόσωπα εἰς ἴκτερον ἐγενήθη. [7]ὅτι μεγάλη ἡ ἡμέρα ἐκείνη καὶ
8 οὐκ ἔστιν τοιαύτη, καὶ χρόνος στενός ἐστιν τῷ Ἰακώβ, [8]καὶ ἀπὸ τού-
του σωθήσεται. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἶπεν Κύριος, συντρίψω τὸν
ζυγὸν ἀπὸ τοῦ τραχήλου αὐτῶν καὶ τοὺς δεσμοὺς αὐτῶν διαρρήξω,
9 καὶ οὐκ ἐργῶνται αὐτοὶ ἀλλοτρίοις, [9]καὶ ἐργῶνται τῷ κυρίῳ θεῷ αὐ-
12 τῶν, καὶ τὸν Δαυεὶδ βασιλέα αὐτῶν ἀναστήσω αὐτοῖς. [12]Οὕτως
13 εἶπεν Κύριος Ἀνέστησα σύντριμμα, ἀλγηρὰ ἡ πληγή σου, [13]οὐκ ἔστιν
κρίνων κρίσιν σου, εἰς ἀλγηρὸν ἰατρεύθης, ὠφελία σοι οὐκ ἔστιν.
14 [14]πάντες οἱ φίλοι σου ἐπελάθοντό σου, οὐ μὴ ἐπερωτήσουσιν· ὅτι
πληγὴν ἐχθροῦ ἔπαισά σε, παιδείαν στερεάν, ἐπὶ πᾶσαν ἀδικίαν

XXXVII 1 γεναμενος A 2 γραψον]+παντες ※ σεαυτω Q^{mg} | ℵAQ
εχρηματισα (-σαν Q*)] pr εγω A+εγω Q^{mg} 3 αποστρψω (1°) ℵ^{*vid} |
Κυριος 2°]+παντοκρατωρ ℵA | κυριευσωσιν Q* 5 φοβου]+αυτου ℵ |
ακουσασθαι A 6 ετεκε Q | αρσεν] σ' αρσης Q^{mg} | καθεξουσιν] κατα-
ξουσι ℵ* (θε superscr ℵ$^{c.a(?)}$) | εορακα Q^{*vid} | οσφυος αυτου]+παντες ※ ως
γυναικος τικτουσης Q^{mg} 7 χρονος] pr ο ℵ | στενος] στερος ℵ^{*vid} |
εστιν 2°] εστι B^{b}ℵ om Q 8 Κυριος]+παντες ※ των δυναμεω̄ Q^{mg} |
τον ζυγον] om τον ℵAQ | του τραχηλου] om του ℵAQ | διαρηξω ℵ* (διαρρ.
ℵ$^{?}$) | αυτοι] + ετι B^{ab}ℵAQ | αλλοτριοις] pr εν A 9 βασιλεα] pr
τον A | αναστητω ℵ* (-σω ℵ$^{c.a(?)}$) | αυτοις]+θ' ※ (10) συ δε μη φοβου παις
μου Ιακωβ λεγει κ̅ς̅ μηδε δειλιασης Ι̅η̅λ̅ οτι ιδου εγω σωζω σε μακροθεν ϗ το
σπερμα σου απο της αιχμαλωσιας αυτων κ, επιστρεψει Ιακωβ ϗ ησυχασει ϗ
ευπαθησει ϗ ουκ εσται ο εκφοβων (11) οτι μετα σου ειμι φησι κ̅ς̅ του σωζειν
σε οτι ποιησω εις λειψιν εν πασι τοις εθνεσιν εις ους διεσκορπισα εκει ϗ
παιδευσω σε εις κρισιν ϗ αθοων ουκ αθοωσω σε Q^{mg} 12 ειπεν] λεγει
A | ανεστησαν ℵ* | συντριμμα]+σου A 13 ωφελεια Q | ουκ εστιν σοι
ℵAQ 14 επελαθε̄|το ℵ | επερωτησουσιν (-σι B* -σιν B^{ab})]+ ※ τα εις
ειρηνην σου Q^{mg} | παιδιαν ℵ (πεδ. ℵ*) A

B σου ἐπλήθυναν αἱ ἁμαρτίαι σου. [16]διὰ τοῦτο πάντες οἱ ἔσθοντές σε 16
βρωθήσονται, καὶ πάντες οἱ ἐχθροί σου κρέας αὐτῶν πᾶν ἔδονται·
ἐπὶ πλῆθος ἀδικιῶν σου ἐπληθύνθησαν αἱ ἁμαρτίαι σου, ἐποίησαν
ταῦτά σοι· καὶ ἔσονται οἱ διαφοροῦντές σε εἰς διαφόρημα, καὶ πάντας
τοὺς προνομεύοντάς σε δώσω εἰς προνομήν. [17]ὅτι ἀνάξω τὸ ἴαμά 17
σου, ἀπὸ πληγῆς ὀδυνηρᾶς ἰατρεύσω σε, φησὶν Κύριος· ὅτι ἐσπαρ-
μένη ἐκλήθης· θήρευμα ὑμῶν ἐστίν, ὅτι ζητῶν οὐκ ἔστιν αὐτήν.
[18]οὕτως εἶπεν Κύριος Ἰδοὺ ἐγὼ ἀποστρέψω τὴν ἀποικίαν Ἰακώβ, 18
καὶ αἰχμαλωσίαν αὐτοῦ ἐλεήσω· καὶ οἰκοδομηθήσεται πόλις ἐπὶ τὸ
ὕψος αὐτῆς, καὶ ὁ λαὸς κατὰ τὸ κρίμα αὐτοῦ καθεδεῖται. [19]καὶ ἐξε- 19
λεύσονται ἀπ᾽ αὐτῶν ᾄδοντες, φωνὴ παιζόντων· καὶ πλεονάσω αὐ-
τούς, καὶ οὐ μὴ ἐλαττωθῶσιν. [20]καὶ εἰσελεύσονται οἱ υἱοὶ αὐτῶν 20
ὡς τὸ πρότερον, καὶ τὰ μαρτύρια αὐτῶν κατὰ πρόσωπόν μου ὀρ-
θωθήσεται· καὶ ἐπισκέψομαι τοὺς θλίβοντας αὐτούς, [21]καὶ ἔσονται 21
ἰσχυρότεροι αὐτοῦ ἐπ᾽ αὐτούς, καὶ ὁ ἄρχων αὐτοῦ ἐξ αὐτοῦ ἐξε-
λεύσεται· καὶ συνάξω αὐτοὺς καὶ ἀποστρέψουσιν πρὸς μέ, ὅτι τίς
ἐστιν οὗτος ὃς ἔδωκεν τὴν καρδίαν αὐτοῦ ἀποστρέψαι πρὸς μέ,
φησὶν Κύριος; [23]ὅτι ὀργὴ Κυρίου ἐξῆλθεν θυμώδης, ἐξῆλθεν ὀργὴ 23
στρεφομένη, ἐπ᾽ ἀσεβεῖς ἥξει. [24]οὐ μὴ ἀποστραφῇ ὀργὴ θυμοῦ 24
Κυρίου ἕως ποιήσῃ, καὶ ἕως καταστήσῃ ἐγχείρημα καρδίας αὐτοῦ·
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν γνώσεσθε αὐτά.

XXXVIII (XXXI)

[1]Ἐν τῷ χρόνῳ ἐκείνῳ, εἶπεν Κύριος, ἔσομαι εἰς θεὸν τῷ γένει 1

ℵAQ 14 επληθυναν] επληθυνθησαν Q | αμαρτιαι σου] + α′θ′ ※ (15) τι βοας επι το συντριμμα σου βιαιον το αλγος σου δια πληθος ανομιας σου ισχυσᾱ| αι αμαρτιαι σου Q[mg] 16 εσθοντες σε] εχθροι σου ℵ | αδικιων (-κειων B)] δικαιων ℵ αδικιας A | διαφορουντες] βια φοβουντες ℵ* (διαφορ. ℵ[c.a(?)]) | βια φορημα ℵ* (διαφ. ℵ[c.a(?)]) | παντας τους προνομευοντας (-τες B)] παντες οι προνομευοντες ℵ | δωσω] δοθησονται ℵ 17 ιαμα] ιματιον A | εσπαρμενη ℵ* | εκληθης] + παντες ※ Σιων Q[mg] | αυτην] αυτη ℵ[vid] 18 αποστρεψω] αποστρεφω ℵ (αποτρ. ℵ*) Q | την αποικιαν] om την ℵ τ. αιχμαλωσιαν A + α′θ′ ※ σκηνωματων Q[mg] | αιχμαλωσιαν] την αποικιαν A την αιχμ. Q | το υψος] τειχος A | λαος] ναος Q[a] 19 αδοντες] εδοντες ℵ*[vid] (αδ. ℵ[c.a(?)]) | φωνη (-νην ℵ*)] pr και ℵAQ | ελαττωθωσιν] ελαττονωθωσιν ℵ + θ′ ※ ϗ χεω αυτους ϗ ου μη σμικρῡ|θωσιν Q[mg] 20 αυτων 1°] αυτου AQ | το προτερον] om το A* (superscr A[a?]) | αυτων 2°] + ως το απ αρχης A | επισκεψομαι] + ※ επι παντας Q[mg] 21 αυτου 1°] αυτων AQ | αποστρεψουσιν (-σι A)] επιστρεψουσιν Q | αποστρεψαι] επιστρεψαι AQ | προς με (2°)] + σ′θ′ ※ φησιν κ̄ς̄ (22) ϗ εσεσθε μοι εις λαον ϗ εγω εσομαι υμιν εις θ̄ν̄ Q[mg] | φησιν] λεγει Q 23 εξηλθεν 2°] επηλθεν ℵ | επ] επι Q 24 προιηση ℵ* (ποιησ. ℵ[?]) | om και εως καταστηση ℵ* (hab ℵ[c.a(?) mg sup]) | ενχειρημα ℵA | εσχατων] εσχατω ℵ[vid] εσχατου AQ | γνωσεσθε] επιγνωσεσθε ℵ XXXVIII 1 χρονω] καιρω Q | εσομαι] pr και A

2 Ἰσραήλ, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. [2]οὕτως εἶπεν Κύριος Εὗρον B
θερμὸν ἐν ἐρήμῳ μετὰ ὀλωλότων ἐν μαχαίρᾳ· βαδίσατε καὶ μὴ ὀλέσητε
3 τὸν Ἰσραήλ. [3]Κύριος πόρρωθεν ὤφθη αὐτῷ· Ἀγάπησιν αἰώνιον
4 ἠγάπησά σε, διὰ τοῦτο εἵλκυσά σε εἰς οἰκτείρημα. [4]ὅτι οἰκοδομήσω
σε, καὶ οἰκοδομηθήσῃ παρθένος Ἰσραήλ· ἐπιλήμψει τύμπανόν σου καὶ
5 ἐξελεύσῃ μετὰ συναγωγῆς παιζόντων. [5]ὅτι ἐφυτεύσατε ἀμπελῶνας
6 ἐν ὄρεσιν Σαμαρείας, φυτεύσατε καὶ αἰνέσατε, [6]ὅτι ἔστιν ἡμέρα
κλήσεως ἀπολογουμένων ἐν ὄρεσιν Ἐφράιμ Ἀνάστητε καὶ ἀνάβητε
7 εἰς Σειὼν πρὸς Κύριον τὸν θεὸν ἡμῶν. [7]ὅτι οὕτως εἶπεν Κύριος τῷ
Ἰακώβ Εὐφράνθητε καὶ χρεμετίσατε ἐπὶ κεφαλὴν ἐθνῶν, ἀκουστὰ
ποιήσατε καὶ αἰνέσατε· εἴπατε Ἔσωσεν Κύριος τὸν λαὸν αὐτοῦ, τὸ
8 κατάλοιπον τοῦ Ἰσραήλ. [8]ἰδοὺ ἐγὼ ἄγω αὐτοὺς ἀπὸ βορρᾶ, καὶ
συνάξω αὐτοὺς ἀπ' ἐσχάτου τῆς γῆς ἐν ἑορτῇ φάσεκ· καὶ τεκνοποιήσῃ
9 ὄχλον πολύν, καὶ ἀποστρέψουσιν ὧδε. [9]ἐν κλαυθμῷ ἐξῆλθον, καὶ
ἐν παρακλήσει ἀνάξω αὐτούς, αὐλίζων ἐπὶ διώρυγας ὑδάτων ἐν ὁδῷ
ὀρθῇ, καὶ οὐ μὴ πλανηθῶσιν ἐν αὐτῇ· ὅτι ἐγενόμην τῷ Ἰσραὴλ εἰς
10 πατέρα, καὶ Ἐφράιμ πρωτότοκός μού ἐστιν. [10]Ἀκούσατε λόγους
Κυρίου, ἔθνη, καὶ ἀναγγείλατε εἰς νήσους τὰς μακρότερον· εἴπατε Ὁ
λικμήσας τὸν Ἰσραὴλ συνάξει αὐτόν, καὶ φυλάξει αὐτὸν ὡς ὁ
11 βόσκων ποίμνιον αὐτοῦ. [11]ὅτι ἐλυτρώσατο Κύριος τὸν Ἰακώβ,
12 ἐξείλατο αὐτὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ. [12]καὶ ἥξουσιν καὶ
εὐφρανθήσονται ἐν τῷ ὄρει Σειών, καὶ ἥξουσιν ἐπ' ἀγαθὰ Κυρίου, ἐπὶ
γῆν σίτου καὶ οἴνου καὶ καρπῶν καὶ κτηνῶν καὶ προβάτων· καὶ ἔσται
ἡ ψυχὴ αὐτῶν ὥσπερ ξύλον ἔνκαρπον, καὶ οὐ πεινάσουσιν ἔτι.

1 om αυτοι A   2 μαχαιρη A   3 πορωθεν ℵ* (πορρ. ℵ[?]) | ωφθη] ℵAQ οφθησεται ℵAQ | αγαπησιν] αγαπην Q | αιωνιαν A | οικτειρμα ℵ* (-ρημα ℵ[?]) 4 οτι] ετι ℵAQ | Ισραηλ] Ιλημ Q[mg] | επιλημψει (-ψη ℵ)] ετι λημψη AQ | εξελευση] incep εξο ℵ*   5 οτι] οτι ετι ℵ* (improb οτι ℵ[?]) ετι AQ | εφυτευσατε] φυτευσατε ℵ[?]A φυτευσετε Q | ορεσι B[b]ℵ | φυτευσατε] pr φυτευσαντες ℵ[c.a]Q[a] pr φυσαντες AQ*   6 απολογουμενου ℵ | Εφρεμ ℵ | Σιων B[b]ℵAQ | προς Κυριον τον θεον] προς κ̅ν̅ θ̅ν̅ ℵQ εν ορεσι] κ̅υ̅ θ̅υ̅ A 7 χρεμετισατε] χρηματισατε Q | κεφαλης A | ακουστα] ακουσατε και ℵ | αυτου το] τουτον ℵ* (αυτου το ℵ[c.a vel antea]) | το καταλοιπον] τον καταλ. ℵ* | του Ισραηλ] om του Q   8 απ] επ A | τεκνοποιησι ℵ* (-σει ℵ[?]) | πολυν] + ※ εν αυτοις τυφλος ϗ χωλος εγκυος ϗ τικτουσα ομοθυμαδον εκκλησια μεγαλη Q[mg] | αποστρεψωσιν ℵ   9 κλαυθμων ℵ* | παρακλησῃ ℵ*[vid] | αναξω] αξω Q | διορυγας AQ* (διωρ. Q[a]) | υδατων] ν sup ras B[a?] | ορθη] η sup ras A[a] (ορθω A*[vid]) | εστιν] εγενηθη ℵ   10 λογον ℵQ | om και 1° ℵ* (superscr ℵ[c.a(?)]) | μακροτερον] μακραν AQ | om και φυλαξει αυτον ως ℵ* (hab κ. φυλαξι αυτ. ως ℵ[c.a(?) mg inf]) | ποιμνιον] pr το ℵAQ   11 εξειλατο (-λετο Q[a])] pr και Q | στερωτερον ℵ* (στερεωτ. ℵ[?])   12 ευφρανθησονται] + παντες ϗ αγαλλιασο̅|ται Q[mg] | Σιων B[b]ℵAQ | η ψυχη αυτων] τη ψυχη αυτου ℵ | εγκαρπον Q

B 13 τότε χαρήσονται παρθένοι ἐν συναγωγῇ νεανίσκων, καὶ πρεσβῦται 13
χαρήσονται, καὶ στρέψω τὸ πένθος αὐτῶν εἰς χαρμονήν, καὶ ποιήσω
αὐτοὺς εὐφραινομένους. 14 μεγαλυνῶ καὶ μεθύσω τὴν ψυχὴν τῶν 14
ἱερέων υἱῶν Λευεί, καὶ ὁ λαός μου τῶν ἀγαθῶν μου ἐμπλησθή-
σεται. 15 Οὕτως εἶπεν Κύριος Φωνὴ ἐν Ῥαμὰ ἠκούσθη θρήνου 15
καὶ κλαυθμοῦ καὶ ὀδυρμοῦ· Ῥαχὴλ ἀποκλαιομένη οὐκ ἤθελεν παύ-
σασθαι ἐπὶ τοῖς υἱοῖς αὐτῆς, ὅτι οὐκ εἰσίν. 16 οὕτως εἶπεν Κύριος 16
Διαλιπέτω ἡ φωνή σου ἀπὸ κλαυθμοῦ, καὶ οἱ ὀφθαλμοί σου
ἀπὸ δακρύων σου, ὅτι ἔστιν μισθὸς τοῖς σοῖς ἔργοις, καὶ ἐπι-
στρέψουσιν ἐκ γῆς ἐχθρῶν, 17 μόνιμον τοῖς σοῖς τέκνοις. 18 ἀκοὴν 17 18
ἤκουσα Ἐφράιμ ὀδυρομένου Ἐπαίδευσάς με καὶ ἐπαιδεύθην· ἐγὼ
ὥσπερ μόσχος οὐκ ἐδιδάχθην· ἐπίστρεψόν με καὶ ἐπιστρέψω, ὅτι σὺ
Κύριος ὁ θεός μου. 19 ὅτι ὕστερον αἰχμαλωσίας μου μετενόησα, καὶ 19
ὕστερον τοῦ γνῶναί με ἐστέναξα ἐφ᾽ ἡμέρας αἰσχύνης, καὶ ὑπέδειξά
σοι ὅτι ἔλαβον ὀνειδισμὸν ἐκ νεότητός μου. 20 υἱὸς ἀγαπητὸς Ἐφράιμ 20
ἐμοί, παιδίον ἐντρυφῶν, ὅτι ἀνθ᾽ ὧν οἱ λόγοι μου ἐν αὐτῷ, μνείᾳ
μνησθήσομαι αὐτοῦ· διὰ τοῦτο ἔσπευσα ἐπ᾽ αὐτῷ, ἐλεῶν ἐλεήσω αὐ-
τόν, φησὶν Κύριος. 21 Στῆσον σεαυτήν, Σειών, ποίησον τιμωρίαν, 21
δὸς καρδίαν σου εἰς τοὺς ὤμους· ὁδὸν ᾗ ἐπορεύθης ἀποστράφηθι,
παρθένος Ἰσραήλ, ἀποστράφηθι εἰς τὰς πόλεις σου πενθοῦσα.
22 ἕως πότε ἀποστρέψεις, θυγάτηρ ἠτιμωμένη; ὅτι ἔκτισεν Κύριος 22
σωτηρίαν εἰς καταφύτευσιν καινήν, ἐν σωτηρίᾳ περιελεύσονται ἄν-

ℵAQ 13 στρεψω] επιστρεψω ℵ* (improb επι ℵ$^?$) | χαρμονην] ευφροσυνην A χαρμοσυνην Q | ευφραινομενους] + α′θ′ ※ απο της λυπης αυτων Q^{mg} 14 om ιερεων ℵ | Λευει (Λευι AQ)] + των ιερεω̅ ℵ | εμπλησθησονται ℵ 15 Ραμα] τη υψηλη ℵ* (Ραμα ℵ$^{c.a\,mg}$) A | θρηνος και κλαυθμος και οδυρμος Q | αποκλαιομενης ℵ (-κλεομ. ℵ*) AQ + επι των υιων αυτης και AQ | ουκ 1°] pr και ℵAQ | ηθελεν] ηθ rescr A^1 | παυσασθαι] παρακληθηναι B$^{ab\,mg}$A | om επι τοις υιοις αυτης AQ 16 διαλειπετω AQ | η φωνη] incep ο ℵ* | om σου 3° AQ | εστιν ℵAQ | εργοις] + παντες ※ φησι κ̅ς̅ Q^{mg} | om εχθρων Q* (hab sub ※ Q^{mg}) 17 μονιμον] pr παντες ※ ϗ εσται ελπις τη εσχατη σου φησι κ̅ς̅ Q^{mg} 18 ακοην] ακουων Q | Εφρεμ ℵ | επαιδευσας] + συ Q | μοσχον incep ℵ* (μοσχος ℵ$^?$) | συ] εγω ℵ* (συ superscr ℵ$^{c.a(?)}$) | μου] σου ℵ^1 (μ superscr ℵ$^{c.a}$) 19 με εστεναξα] μετεστεναξα ℵ* (improb τ ℵ$^?$) | ημερας] ημερες ℵ* -ραις ℵ$^{c.b(?)}$ | σοι] σε ℵ$^{c.a}$ 20 αγαπητος] + εμοι Q | Εφρεμ ℵ | om εμοι Q | παιδιον] pr ※ ει Q^{mg} | εντρυφων] incep εντρυφη ℵ* | μνεια] μνιαν ℵ* (μνια ℵ$^{c.a(?)}$) | αυτου] + σ′ ※ παλι] Q^{mg} | ελεων] ελεον ℵ* 21 Σιων ℵAQ | ποιησον] εμποιησον + α′ ※ σεαυτη Q^{mg} | ωμους] + σου ℵ$^{c.a}$ A et (sub ※) Q^{mg} | η] ην ℵAQ | επορευθης] πεπορευσαι Q | αποστραφηθι bis B^{ab} | αποστραφητι 1°] επιστραφηθι Q* | om παρθενος Ισρ. αποστραφητι ℵ* (hab ℵ$^{c.a\,mg}$) | παρθενος] + θυγατηρ A | Ισραηλ] Ιερουσαλημ A | πολις ℵ* (-λεις ℵ$^{c.b(?)}$) 22 αποστρφις ℵ* (αποστρεψεις ℵ$^?$) | εν] εις ℵ | σωτηρια] pr η AQ σωτηριαν ℵ

23 θρωποι: [23]ὅτι οὕτως εἶπεν Κύριος Ἔτι ἐροῦσιν τὸν λόγον τοῦ- B
τον ἐν γῇ Ἰούδα καὶ ἐν πόλεσιν αὐτοῦ, ὅταν ἀποστρέψω τὴν
αἰχμαλωσίαν αὐτοῦ Εὐλογημένος Κύριος ἐπὶ δίκαιον ὄρος τὸ ἅγιον
24 αὐτοῦ· [24]καὶ ἐνοικοῦντες ἐν ταῖς πόλεσιν Ἰούδα καὶ ἐν πάσῃ τῇ γῇ
25 αὐτοῦ ἅμα γεωργῷ, καὶ ἀρθήσεται ἐν ποιμνίῳ. [25]ὅτι ἐμέθυσα πᾶσαν
26 ψυχὴν διψῶσαν, καὶ πᾶσαν ψυχὴν πεινῶσαν ἐνέπλησα. [26]διὰ τοῦτο
27 ἐξηγέρθην καὶ ἴδον, καὶ ὁ ὕπνος μου ἡδύς μοι ἐγενήθη. [27]διὰ τοῦτο
ἰδοὺ ἡμέραι ἔρχονται, φησὶν Κύριος, καὶ σπερῶ τὸν Ἰσραὴλ καὶ τὸν
28 Ἰουδά, σπέρμα ἀνθρώπου καὶ σπέρμα κτήνους. [28]καὶ ἔσται ὥσπερ
ἐγρηγόρουν ἐπ' αὐτοὺς καθαιρεῖν καὶ κακοῦν, οὕτως γρηγορήσω
29 ἐπ' αὐτοὺς τοῦ οἰκοδομεῖν καὶ καταφυτεύειν, φησὶν Κύριος. [29]ἐν ταῖς
ἡμέραις ἐκείναις οὐ μὴ εἴπωσιν Οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ
30 ὀδόντες τῶν τέκνων ἡμωδίασαν· [30]ἀλλ' ἢ ἕκαστος ἐν τῇ ἑαυτοῦ
ἁμαρτίᾳ ἀποθανεῖται, καὶ τοῦ φαγόντος τὸν ὄμφακα αἱμωδιάσουσιν
31 οἱ ὀδόντες αὐτοῦ. [31]Ἰδοὺ ἡμέραι ἔρχονται, φησὶν Κύριος, καὶ
32 διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν, [32]οὐ
κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλα-
βομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι
αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, καὶ ἐγὼ ἠμέλησα αὐτῶν,
33 φησὶν Κύριος. [33]ὅτι αὕτη ἡ διαθήκη μου ἣν διαθήσομαι τῷ οἴκῳ
Ἰσραὴλ Μετὰ τὰς ἡμέρας ἐκείνας, φησὶν Κύριος, διδοὺς δώσω νόμους
μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν γράψω αὐτούς, καὶ
34 ἔσομαι αὐτοῖς εἰς θεὸν καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. [34]καὶ οὐ
διδάξουσιν ἕκαστος τὸν πολίτην αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ

23 om οτι ℵAQ | Κυριος] + ※ των δυναμεω̅ θ̅ς̅ Ι̅η̅λ̅ Qmg | Ιουδεα ℵ* | ℵAQ
αιχμαλωσιαν] αποικιαν Q **24** ενοικουντες] pr οι ℵc.aAQ | ταις πολεσιν Ιουδα] πολ. Ιουδα A τη Ιουδαια ℵQ | παση τη γη] παση πολει ℵ (-λι) Q πασαις ταις πολεσιν A | ποιμνιω] incep ποιμνια ℵ* **26** ιδον] ειδον ℵQ | μου] μοι B | εγενηθη] εγενετο A **27** om δια τουτο ℵc.a Q | φησιν] λεγει Q* (φ. Qmg) | σπερω] σπιρω ℵ | Ισραηλ] pr α'σ' ※ οικον Qmg | Ιουδαν BabAQ pr ※ οικον Qmg **28** επ] incep α ℵ* | καθαιρειν] pr ※ εκτειλλειν ϗ κατασπαν ϗ Qmg + ※ ϗ απολλυειν Qmg | γρηγορησω] εγρηγορησω ℵ* (improb ε ℵ?) **29** ομφακακα ℵ* | ημωδιασαν] εμμωνδιασαν ℵ* (ωμωδ. ℵc.a) εμωδιασαν A αιμωδ. Q **30** om εν Q | εαυτου αμαρτια] αμ. αυτου A | αποθανειται] + α'θ' ※ πας ο α̅ν̅ο̅ς̅ Qmg | εμωδιασουσιν ℵ* ωμωδ. ℵc.a αιμδ. Q* (superscr ω Qa) **31** φησιν] λεγει ℵ (-γι ℵ*) AQ **32** διαθην ℵ* (-θηκην ℵc.a(?)) | διεθεμην] εποιησα Q* (διεθ. Qmg) | αυτων 1°] υμων ℵ | και εγω] καγω A **33** om μου 1° ℵAQ | om δωσω AQ | νομον ℵ* (νομους ℵc.a?) | διανοιαν] καρδιαν ℵ* (διανοιαν ℵc.a(?)) | επι καρδιας (-αν ℵ) αυτων γραψω αυτους] επιγραψω αυτους επι τας καρδιας αυτων A επι καρδιας (θ' ※ του στηθους Qmg) αυτων επιγραψω αυτους Q | και 2°] pr και οψομαι (-με ℵ*) αυτους ℵ*A | μοι] μου ℵ* **34** ου διδαξουσιν] ου μη διδαξωσιν ℵAQ | πολιτην] αδελφον A πλησιον Q | αδελφον] πλησιον A

B λέγων Γνῶθι τὸν κύριον· ὅτι πάντες εἰδήσουσίν με ἀπὸ μικροῦ αὐτῶν
ἕως μεγάλου αὐτῶν, ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν καὶ τῶν
ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. [35]ἐὰν ὑψωθῇ ὁ οὐρανὸς εἰς 35 (37)
τὸ μετέωρον, φησὶν Κύριος, καὶ ἐὰν ταπεινωθῇ τὸ ἔδαφος τῆς γῆς
κάτω, καὶ ἐγὼ οὐκ ἀποδοκιμῶ τὸ γένος Ἰσραήλ, φησὶν Κύριος,
περὶ πάντων ὧν ἐποίησαν. [36]οὕτως εἶπεν Κύριος, ὁ δοὺς τὸν 36 (35)
ἥλιον εἰς φῶς τῆς ἡμέρας, σελήνην καὶ ἀστέρας εἰς φῶς τῆς
νυκτός, καὶ κραυγὴν ἐν θαλάσσῃ, καὶ ἐβόμβησεν τὰ κύματα
αὐτῆς, Κύριος Παντοκράτωρ ὄνομα αὐτῷ· [37]Ἐὰν παύσωνται οἱ 37 (36)
νόμοι οὗτοι ἀπὸ προσώπου μου, φησὶν Κύριος, καὶ τὸ γένος
Ἰσραὴλ παύσεται γενέσθαι ἔθνος κατὰ πρόσωπόν μου πάσας τὰς
ἡμέρας. [38]ἰδοὺ ἡμέραι ἔρχονται, φησὶν Κύριος, καὶ οἰκοδομηθήσεται 38
πόλις τῷ κυρίῳ ἀπὸ πύργου Ἀναμεὴλ ἕως πύλης τῆς γωνίας, [39]καὶ 39
ἐξελεύσεται ἡ διαμέτρησις αὐτῆς ἀπέναντι αὐτῶν ἕως βουνῶν Γαρήβ, καὶ
περικυκλωθήσεται κύκλῳ ἐξ ἐκλεκτῶν λίθων, [40]καὶ πάντες ἀσαρημὼθ 40
ἕως νάχαλ Κεδρών, ἕως γωνίας πύλης ἵππων ἀνατολῆς, ἁγίασμα τῷ
κυρίῳ, καὶ οὐκέτι οὐ μὴ ἐκλίπῃ καὶ οὐ μὴ καθαιρεθῇ ἕως τοῦ αἰῶνος.

XXXIX (XXXII)

[1]Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἰερεμίαν ἐν τῷ ἐνιαυτῷ τῷ δεκάτῳ 1
βασιλεῖ Σεδεκίᾳ, οὗτος ἐνιαυτὸς ὀκτωκαιδέκατος τῷ βασιλεῖ Ναβουχο-
δονοσὸρ βασιλεῖ Βαβυλῶνος.

[2]Καὶ δύναμις βασιλέως Βαβυλῶνος ἐχαράκωσεν ἐπὶ Ἰερουσαλήμ, 2
καὶ Ἰερεμίας ἐφυλάσσετο ἐν αὐλῇ τῆς φυλακῆς ἥ ἐστιν ἐν οἴκῳ βασι-

ℵAQ 34 ειδησουσιν] οιδησουσιν B ιδ. A | om αυτων 1° A | εως] pr και ℵ | αυτων 2°] + γ´ ※ φησι κ̅ς̅ Q^{mg} | εσονται Q^{*vid} (εσομαι Q^{a}) 35 το μετεωρον (το μετερον A)] om το Q | και εγω] καγω ℵ | om φησιν Κυριος (2°) Q | ων] των Q* | εποιησαν (ε sup ras B$^{?}$)] + μοι A 36 om της ημερας...εις φως ℵ* (hab ℵ$^{c.a(?)\,mg\,sup}$) | αστερας] τα αστρα A αστρα Q | κραυην ℵ* | εν sup ras B$^{?}$ | θαλασση] pr τη A | εβοββησεν ℵ | Κυριος 2°] κ̅ν̅ ℵ* 37 φησιν] λεγει Q | παυσηται A | γενεσθαι] pr του ℵ$^{c.a}$ | ημερας] + φησιν κ̅ς̅ A 38 οικοδομηθησεται Bℵ$^{c.a(?)}$Q] οικοδομησεται ℵ* (-τε) A | κυριω] incep λαω ℵ* (κ̅ω̅ ℵ$^{c.a(?)}$) | πυλης] pr της A | γνιας A* (γων. A^{1}) 39 εξελευσεται] + ※ ετι ελπις Q^{mg} | περικυκλωσεται ℵ* (-κλωθησεται ℵ$^{c.a(?)}$) | λιθων] κυκλω A + θ´ ※ την κοιλαδα τω̅ φαγαλσειμ κ̅ την σποδειαν Q^{mg} 40 παντες] πασαν Q | ασαρημωθ] σαρημωθ ℵ* ασσαρημωθ ℵ$^{c.a}$Q | ναχαλ] pr χειμαρρου AQ | om πυλης Q* (hab Q^{mg}) | τω κυριω] om τω ℵ | om ου 1° Q | εκλειπη ℵ$^{c.a}$A εκτιλη Q XXXIX 1 γεναμενος A* (α postea improb) | om παρα Κυριου Q* (hab Q^{mg}) | ενιαυτω sup ras B^{ab} | τω δεκατω] om τω B* τω δωδεκατω B^{ab} | βασιλει 1°] pr τω ℵA om βασιλει Q | Σεδεκια] + βασιλει Ιουδα AQ | ενιαυτος] pr ο A | om τω βασιλει Q | om βασιλει 3° A 2—4 om και δυναμις...εις χειρας βασιλεως Βαβυλωνος ℵ* (hab ℵ$^{c.a\,mg\,inf}$) 2 και 1°] + ※ τοτε Q^{mg} | επι] εν A | Ιερεμιας (Ιηρ. ℵ$^{c.a}$)] + παντες ※ ο προφητης Q^{mg} | αυλη] pr τη ℵ$^{c.a}$AQ | βασιλεως 2°] pr του ℵ$^{c.a}$AQ + ※ Ιουδα Q^{mg}

3 λέως, [3]ἐν ᾗ κατέκλεισεν αὐτὸν ὁ βασιλεὺς Σεδεκίας λέγων Διὰ τί B
σὺ προφητεύεις λέγων Οὕτως εἶπεν Κύριος Ἰδοὺ ἐγὼ δίδωμι τὴν
πόλιν ταύτην ἐν χερσὶν βασιλέως Βαβυλῶνος καὶ λήμψεται αὐτήν,
4 [4]καὶ Σεδεκίας οὐ μὴ σωθῇ ἐκ χειρὸς τῶν Χαλδαίων, ὅτι παραδόσει
παραδοθήσεται εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ λαλήσει στόμα
αὐτοῦ πρὸς στόμα αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ τοὺς ὀφθαλμοὺς
5 αὐτοῦ ὄψονται, [5]καὶ εἰσελεύσεται Σεδεκίας εἰς Βαβυλῶνα καὶ ἐκεῖ
καθιεῖται.

6 [6]Καὶ λόγος Κυρίου ἐγενήθη πρὸς Ἰερεμίαν λέγων

7 [7]Ἰδοὺ Ἀναμεὴλ υἱὸς Σαλὼμ ἀδελφοῦ πατρός σου ἔρχεται πρὸς σὲ
λέγων Κτῆσαι σεαυτῷ τὸν ἀγρόν μου τὸν ἐν Ἀναθώθ, ὅτι σοὶ κρίσις
8 παραλαβεῖν εἰς κτῆσιν. [8]καὶ ἦλθεν πρὸς μὲ Ἀναμεὴλ υἱὸς Σαμὼλ
ἀδελφοῦ πατρός μου εἰς τὴν αὐλὴν τῆς φυλακῆς καὶ εἶπε Κτῆσαι τὸν
ἀγρόν μου τὸν ἐν γῇ Βενιαμεὶν τὸν ἐν Ἀναθώθ, ὅτι σοὶ κρίμα
κτήσασθαι αὐτὸν καὶ σὺ πρεσβύτερος. καὶ ἔγνων ὅτι λόγος Κυρίου
9 ἐστίν, [9]καὶ ἐκτησάμην τὸν ἀγρὸν Ἀναμεὴλ υἱοῦ ἀδελφοῦ πατρός μου,
10 καὶ ἔστησα αὐτῷ ἑπτὰ σίκλους καὶ δέκα ἀργυρίου, [10]καὶ ἔγραψα εἰς
βιβλίον καὶ ἐσφραγισάμην, καὶ διεμαρτυράμην μάρτυρας, καὶ ἔστησα
11 τὸ ἀργύριον ἐν ζυγῷ. [11]καὶ ἔλαβον τὸ βιβλίον τῆς κτήσεως τὸ
12 ἐσφραγισμένον [12]καὶ ἔδωκα αὐτὸ τῷ Βαροὺχ υἱῷ Νηρίου υἱῷ Μαασαίου

3 Σεδεκιας] + ※ Ιουδα Q^{mg} | προφητευει B*Q | om εγω A | χερσιν] ℵAQ χειρι Q 4 Σεδεκιας] + ※ βασιλευς Ιουδα Q^{mg} | των Χαλδαιων] βασιλεως Χαλδ. A | παραδοθησονται A | τους οφθαλμους] προς οφθ. ℵ 5 εισελευσεται Σ. εις Βαβυλωνα] εισελ. εις Βαβ. Σ. A εις Βαβ. εισελ. Σ. Q | καθιειται (-θιεται B)] αποθανειται A + θ′ ※ εως ου επισκεψομαι αυτον φησι κ̅ς̅ οτι πολεμει τους Χαλδαιους ους ου μη κατευθυνητε Q^{mg} 6 και... Ιερεμιαν] παντες ※ ειπεν Ιερεμιας Q^{mg} | λογος Κυριου εγενηθη] εγενετο λογος κ̅υ̅ AQ | προς] + με Q^{mg} 7 Αναμεηλ] adnot χαρις θ̅υ̅ Q^{mg} | Σαλωμ] Σαλμων ℵ* adnot ειρηνη Q^{mg} | λεγων] + σοι A | κτησαι] κτησον B$^{a\,vid}$ | Ανα|ναθωθ A* | σοι] συ Q* (σοι Q^{a}) | κρισις] κριμα ℵAQ + παντες ※ της αγχιστειας Q^{mg} 8 προς] incep θ ℵ* | Σαμωλ] Σαλωμ B^{b}ℵ$^{c.a(?)}$AQ Σαλμων ℵ* | πατρος μου] + ※ κατα τον λογον κ̅υ̅ Q^{mg} | φυλα|λακης Q | ειπε (-πεν ℵAQ)] + μοι ℵAQ | κτησαι] + σεαυτω ℵAQ + α′ ※ δη Q^{mg} | τον εν γη ...Αναθωθ] τον εν Αναθωθ εν γη Βενιαμειν Q | Βενιαμιν ℵQ^{a} | σοι κριμα] συγκρισις Q$^{*\,vid}$ σοι κρισις Q^{a} | κτησασθαι αυτον] om αυτον ℵQ παραλαβειν εις κτησιν A [κτ.] ※ την κληρονομιαν Q^{mg} 9 Αναμεηλ] pr παντες ※ παρα Q^{mg} | μου] + παντες ※ τον εν Αναθωθ Q^{mg} | αυτω] + ※ το αργυριο| Q^{mg} | επτα και δεκα σικλους ℵ 10 εσφραγισαμην] διεσφραγ. ℵA 11 εσφραγισμενον] + και το ανεγνωσμενον ℵA pr ανεγνωσμενον και Q + παντες ※ την εντολη̅| και τα δικαιωματα ϗ το αποκεκαλυμμενον Q^{mg} 12 υιω 2°] υιου AQ | Μαασαιου] Μνασαιου B^{b} Μασεου ℵ Μασσαιου A

B κατ' ὀφθαλμοὺς Ἀναμεὴλ υἱοῦ ἀδελφοῦ πατρός μου καὶ κατ' ὀφθαλ-
μοὺς τῶν ἀνδρῶν τῶν παρεστηκότων καὶ γραφόντων ἐν τῷ βιβλίῳ
τῆς κτήσεως καὶ κατ' ὀφθαλμοὺς τῶν Ἰουδαίων τῶν ἐν τῇ αὐλῇ τῆς
φυλακῆς. [13]καὶ συνέταξα τῷ Βαρουχ κατ' ὀφθαλμοὺς αὐτῶν λέγων 13
[14]Οὕτως εἶπεν Κύριος Παντοκράτωρ Λάβε τὸ βιβλίον τῆς κτήσεως 14
τοῦτο καὶ τὸ βιβλίον τὸ ἀνεγνωσμένον καὶ θήσεις αὐτὸ εἰς ἀγγεῖον
ὀστράκινον, ἵνα διαμένῃ ἡμέρας πλείους. [15]ὅτι οὕτως εἶπεν Κύριος 15
Ἔτι κτισθήσονται ἀγροὶ καὶ οἰκίαι καὶ ἀμπελῶνες ἐν τῇ γῇ ταύτῃ.
[16]καὶ προσευξάμην πρὸς Κύριον μετὰ τὸ δοῦναί με τὸ βιβλίον τῆς 16
κτήσεως πρὸς Βαροὺχ υἱὸν Νηρίου λέγων [17]Ὁ ὢν Κύριε, σὺ ἐποίησας 17
τὸν οὐρανὸν καὶ τὴν γῆν τῇ ἰσχύι σου τῇ μεγάλῃ καὶ τῷ βραχίονί
σου τῷ ὑψηλῷ καὶ τῷ μετεώρῳ, οὐ μὴ ἀποκρυβῇ ἀπὸ σοῦ οὐθέν,
[18]ποιῶν ἔλεος εἰς χιλιάδας καὶ ἀποδιδοὺς ἁμαρτίας πατέρων εἰς 18
κόλπους τέκνων αὐτῶν μετ' αὐτούς, ὁ θεὸς ὁ μέγας ὁ ἰσχυρός,
[19]Κύριος μεγάλης βουλῆς καὶ δυνατὸς τοῖς ἔργοις, ὁ θεὸς ὁ μέγας ὁ 19
παντοκράτωρ καὶ μεγαλώνυμος Κύριος· οἱ ὀφθαλμοί σου εἰς τὰς
ὁδοὺς τῶν υἱῶν τῶν ἀνθρώπων δοῦναι ἑκάστῳ κατὰ τὴν ὁδὸν αὐτοῦ·
[20]ὃς ἐποίησας σημεῖα καὶ τέρατα ἐν γῇ Αἰγύπτῳ ἕως τῆς ἡμέρας 20
ταύτης, καὶ ἐν Ἰσραὴλ καὶ ἐν τοῖς γηγενέσιν, καὶ ἐποίησας σεαυτῷ
ὄνομα ὡς ἡ ἡμέρα αὕτη, [21]καὶ ἐξήγαγες τὸν λαόν σου Ἰσραὴλ ἐκ γῆς 21
Αἰγύπτου ἐν σημείοις καὶ ἐν τέρασιν, ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι
ὑψηλῷ [22]καὶ ἐν ὁράμασιν μεγάλοις, καὶ ἔδωκας αὐτοῖς τὴν γῆν ταύτην 22
ἣν ὤμοσας τοῖς πατράσιν αὐτῶν, γῆν ῥέουσαν γάλα καὶ μέλι. [23]καὶ 23
εἰσήλθοσαν καὶ ἔλαβον αὐτήν, καὶ οὐκ ἤκουσαν τῆς φωνῆς σου, καὶ ἐν

ℵAQ 12 om και 2° ℵ* (hab ℵc.a(?)) | ανδρων των παρεστηκοτων] ανδρ. των εστηκοτων ℵ των εστ. A εστ. μαρτυρων Q | γραφοντων] γραψαντων Q | των Ιουδαιων] + παντων A pr παντων Q | εν] pr καθημενων AQ 14 Παντοκρατωρ] + παντες ※ ο θς σαβαωθ Qsuperscr | το βιβλιον] pr θ' ※ συν Qmg | ανεγνωσμενον] + παντες ※ τουτο Qmg | θησεις] καθησεις ℵ* καταθησεις ℵc.a(?) | om αυτο ℵAQ | αγγιον AQ* (αγγειον Qa) | διαμεινη ℵ (-μιν. ℵ*) AQ 15 Κυριος] + θ' ※ παντοκρατωρ θς Ιηλ | κτισθησονται] κτηθησονται Baℵc.aAQ κτησθ||τε ℵ* | οικιαι και αγροι Q 16 προσηυξαμην AQ | om με ℵ | προς Βαρουχ υιον] Βαρ. υιω Q 17 Κυριε] + κε AQ | συ] pr ※ ιδου Qmg | τη ισχυι] pr εν A | om και τω μετεωρω ℵ om τω Q | ουθεν] ουδε| Q 18 κολπου ℵ | ο ισχυρος] και ισχ. ℵA και ο ισχ. Q 19 Κυριος 1°] + θ' ※ των δυναμεων ονομα αυτω Qmg | δυνατος] pr ο A | ο θεος ο μεγας] κς ℵ | ο παντοκρατωρ] om ο ℵ | και μεγαλωνυμος] ο μεγ. ℵQ | Κυριος 2°] om ℵ* κε ℵc.a(mg) | σου] + α'θ' ※ ανεωγμενους Qmg | τας οδους] om τας Q | om των υιων ℵA | δουναι] αποδουναι A | την οδον] τας οδους ℵ | αυτου] αυτων ℵ + θ' ※ κ̸ κατα τους καρπους τω| επιτηδευματων αυτου Qmg 20 ος] οσα A | Αιγυπτου ℵ (Εγ. ℵ*) | γηγενεσιν (-σι Qa)] οι λοιποι ανοις Qmg 21 εν τερασιν (-σι Qa)] om εν A | εν 3°] pr και AQ 22 οραμασιν (-σι Qa)] ορασιν ℵ* (-μασιν ℵc.a(?)) 23 εισηλθον Q | ελαβοσαν ℵA

τοῖς προστάγμασίν σου οὐκ ἐπορεύθησαν· ἅπαντα ἃ ἐνετείλω αὐ- B
24 τοῖς οὐκ ἐποίησαν, συμβῆναι αὐτοῖς πάντα τὰ κακὰ ταῦτα. [24]Ἰδοὺ
ὄχλος ἥκει εἰς τὴν πόλιν συλλαβεῖν αὐτήν, καὶ ἡ πόλις ἐδόθη εἰς
χεῖρας Χαλδαίων τῶν πολεμούντων αὐτὴν ἀπὸ προσώπου μαχαίρας
25 καὶ τοῦ λιμοῦ· ὡς ἐλάλησας, οὕτως ἐγένετο. [25]καὶ σὺ λέγεις πρὸς μέ
Κτῆσαι σεαυτῷ τὸν ἀγρὸν ἀργυρίου· καὶ ἔγραψα βιβλίον καὶ ἐσφρα-
γισάμην, καὶ ἐπεμαρτυράμην μάρτυρας, καὶ ἡ πόλις ἐδόθη εἰς χεῖρας
26 27 Χαλδαίων. [26]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [27]Ἐγὼ
28 Κύριος ὁ θεὸς πάσης σαρκός, μὴ ἀπ᾽ ἐμοῦ κρυβήσεταί τι; [28]διὰ τοῦτο
οὕτως εἶπεν Κύριος ὁ θεὸς Ἰσραήλ Δοθεῖσα παραδοθήσεται ἡ πόλις
29 αὕτη εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ λήμψεται αὐτήν, [29]καὶ ἥξου-
σιν οἱ Χαλδαῖοι πολεμοῦντες ἐπὶ τὴν πόλιν ταύτην, καὶ καύσουσιν
τὴν πόλιν ταύτην ἐν πυρί, καὶ κατακαύσουσιν τὰς οἰκίας ἐν αἷς ἐθυμιῶ-
σαν ἐπὶ τῶν δωμάτων αὐτῶν τῇ Βάαλ, καὶ ἔσπενδον σπονδὰς θεοῖς
30 ἑτέροις πρὸς τὸ παραπικρᾶναί με. [30]ὅτι ἦσαν οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ
υἱοὶ Ἰούδα μόνοι ποιοῦντες τὸ πονηρὸν κατ᾽ ὀφθαλμούς μου ἐκ νεότη-
31 τος αὐτῶν· [31]ὅτι ἐπὶ τὴν ὀργήν μου καὶ ἐπὶ τὸν θυμόν μου ἦν ἡ
πόλις αὕτη, ἀφ᾽ ἧς ἡμέρας ᾠκοδόμησαν αὐτὴν καὶ ἕως τῆς ἡμέρας
32 ταύτης, ἀπαλλάξαι αὐτὴν ἀπὸ προσώπου μου, [32]διὰ πάσας τὰς
πονηρίας τῶν υἱῶν Ἰσραὴλ καὶ Ἰούδα ὧν ἐποίησαν πικρᾶναί με,
αὐτοὶ καὶ οἱ βασιλεῖς αὐτῶν καὶ οἱ ἄρχοντες αὐτῶν καὶ οἱ ἱερεῖς
αὐτῶν καὶ οἱ προφῆται αὐτῶν, ἄνδρες Ἰούδα καὶ οἱ κατοικοῦντες

23 προσταγμασι Q^{a} | απαντα] παντα Q^{*} (απ. Q^{a}) | ενετειλου B^{*} (-λω ℵAQ B^{ab}) | αυτοις 1°] + παντες ※ ποιειν Q^{mg} | συμβηναι] pr και εποιησαν B^{ab} $\aleph^{c.a(?)}$AQ | παντα] απαντα AQ **24** ιδου] pr και A | εις 1°] επι Q | πολιν] + ταυτην AQ | χειρας] pr τας ℵ | λιμου] + παντες ※ ϗ τον θανατον Q^{mg} | εγενετο] + παντες ※ ιδου συ ορας Q^{mg} **25** με] + ※ κε̅ Q^{mg} | τον αγρον] om τον ℵAQ | βιβλιον] pr εις A | Χαλδεων ℵ **27** μη] ϗ Q^{mg} | om απ εμου Q^{*} (hab Q^{mg}) | κρυβησεται] κρυβεται $\aleph^{*}$ αποκρυβησεται Q | τι] ετι AQ^{*} (τι Q^{a}) σ′ ※ πας λογος Q^{mg} **28** om ο θεος Ισραηλ ℵ | αυτη] + θ′ ※ εις χειρας Χαλδαιων ϗ Q^{mg} | χειρας] + θ′ ※ Ναβουχοδονοσορ Q^{mg} | βασιλεως] βασιλεων $\aleph^{*}$ | λημψεται (ληψ. Q^{a})] λημψουσιν $\aleph^{*}$ (λημψεται $\aleph^{c.a}$) **29** Χαλδεοι ℵ | την πολιν ταυτην (1°)] την γην ταυτην A αυτη̅ | Q | την π. ταυτην (2°)] αυτην Q | κατακαυσουσιν] καυσωσιν A | την οικιαν $\aleph^{*}$ (τας οικιας $\aleph^{c.a(?)}$) | εθυμιωσαν (-ασαν Q)] + εν αυταις A | τη Βααλ] pr οτι B^{*} (om B^{ab}) **30** οι υιοι (bis)] om οι ℵ | εκ νεοτητος αυτων κατ οφθαλμους μου (μους μου sup ras $A^{a?}$) A | αυτων] + α′σ′ ※ πλην υιοι Ι̅η̅λ̅ παρωργισα̅ | με εν τοις εργοις των χειρων αυτων φησι κ̅ς̅ Q^{mg} **31** οτι ε sup ras $A^{a?}$ | την οργην] om την Q | θυμον] incep ι $\aleph^{*}$ | ην] + ※ μοι Q^{mg} | αφ] αφο $\aleph^{*}$ (αφ $\aleph^{?}$) | αυτην 2°] αυτους A **32** πονηριας $\aleph^{*}$ | των υιων] om των ℵA om των υιων Q^{*} (hab sub ※ υιων Q^{mg}) | Ιουδα] pr ※ υιων Q^{mg} | ων] οτι Q | πικραναι] παραπικραναι ℵ (-νε $\aleph^{*}$) A | αυτοι] + και οι π̅ρ̅ε̅ς̅ αυτων A | αρχοντες] μεγιστανες Q

B ἐν Ἰερουσαλήμ, 33 καὶ ἀπέστρεψαν πρὸς μὲ νῶτον καὶ οὐ πρόσωπον, 33
καὶ ἐδίδαξα αὐτοὺς ὄρθρου καὶ ἐδίδαξα καὶ οὐκ ἤκουσαν ἔτι λαβεῖν
παιδείαν. 34 καὶ ἔθηκαν τὰ μιάσματα αὐτῶν ἐν τῷ οἴκῳ οὗ ἐπεκλήθη 34
τὸ ὄνομά μου ἐπ' αὐτῷ ἐν ἀκαθαρσίαις αὐτῶν. 35 καὶ ᾠκοδόμησαν 35
τοὺς βωμοὺς τῇ Βάαλ τοὺς ἐν φάραγγι υἱοῦ Ἐννὸμ τοῦ ἀναφέρειν
τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τῷ Μολὸχ βασιλεῖ, ἃ οὐ
συνέταξα αὐτοῖς καὶ οὐκ ἀνέβη ἐπὶ καρδίαν μου, τοῦ ποιῆσαι τὸ
βδέλυγμα τοῦτο πρὸς τὸ ἐφαμαρτεῖν τὸν Ἰουδά. 36 Καὶ νῦν οὕτως 36
εἶπεν Κύριος ὁ θεὸς Ἰσραὴλ ἐπὶ τὴν πόλιν ἣν σὺ λέγεις Παραδοθή-
σεται εἰς χεῖρας βασιλέως Βαβυλῶνος ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ καὶ
ἐν ἀποστολῇ 37 Ἰδοὺ ἐγὼ συνάγω αὐτοὺς ἐκ πάσης τῆς γῆς οὗ διέ- 37
σπειρα αὐτοὺς ἐκεῖ ἐν ὀργῇ μου καὶ τῷ θυμῷ μου καὶ παροξυσμῷ
μεγάλῳ, καὶ ἐπιστρέψω αὐτοὺς εἰς τὸν τόπον τοῦτον, καὶ καθιῶ
αὐτοὺς πεποιθότας, 38 καὶ ἔσονταί μοι εἰς λαὸν καὶ ἐγὼ ἔσομαι αὐτοῖς 38
εἰς θεόν. 39 καὶ δώσω αὐτοῖς ὁδὸν ἑτέραν καὶ καρδίαν ἑτέραν, φοβη- 39
θῆναί με πάσας τὰς ἡμέρας, καὶ εἰς ἀγαθὸν αὐτοῖς καὶ τοῖς τέκνοις
αὐτῶν μετ' αὐτούς. 40 καὶ διαθήσομαι αὐτοῖς διαθήκην αἰωνίαν, ἣν οὐ 40
μὴ ἀποστρέψω ὄπισθεν αὐτῶν· καὶ τὸν φόβον μου δώσω εἰς τὴν
καρδίαν αὐτῶν πρὸς τὸ μὴ ἀποστῆναι αὐτοὺς ἀπ' ἐμοῦ. 41 καὶ ἐπι- 41
σκέψομαι τοῦ ἀγαθῶσαι αὐτούς, καὶ φυτεύσω αὐτοὺς ἐν τῇ γῇ ταύτῃ
ἐν πίστει καὶ ἐν πάσῃ καρδίᾳ καὶ ἐν πάσῃ ψυχῇ. 42 ὅτι οὕτως εἶπεν 42
Κύριος Καθὰ ἐπήγαγον ἐπὶ τὸν λαὸν τοῦτον πάντα τὰ κακὰ τὰ
μεγάλα ταῦτα, οὕτως ἐγὼ ἐπάξω ἐπ' αὐτοὺς πάντα τὰ ἀγαθὰ ἃ
ἐλάλησα ἐπ' αὐτούς. 43 καὶ κτηθήσονται ἔτι ἀγροὶ ἐν τῇ γῇ ᾗ σὺ 43
λέγεις Ἄβατος ἔσται ἀπὸ ἀνθρώπων καὶ κτήνους, καὶ παρεδόθησαν
εἰς χεῖρας Χαλδαίων· 44 καὶ κτήσονται ἀγροὺς ἐν ἀργυρίῳ, καὶ γράψεις 44
βιβλίον καὶ σφραγιῇ, καὶ διαμαρτυρῇ μάρτυρας, ἐν γῇ Βενιαμεὶν καὶ

ℵAQ 32 om εν ℵQ 33 απεστρεψαν] επεστρεψαν ℵ εστρεψαν Q | bis scr προς ℵ* (improb 1° ℵ?) | νωτα Q* (νωτον Q^{mg}) | προσωπα Q* (-πον Q^{mg}) | ορθου ℵ* (ορθρ. ℵ$^{c.a}$) | om εδιδαξα (2°) και B^{b}A | ηκουσαν] ηθελησαν A | ετι λαβειν] εκλαβειν Q | παιδιαν (πεδ. ℵ*) ℵA 34 μιασματα] incep μιαν ℵ* | ου] ω A 35 βωμους] + αυτων A | τη Βααλ] της B. Q | om βασιλει Q | καρδιαν] pr την AQ | Ιουδαν B^{b}ℵ 36 πολιν] + α'σ' ※ ταυτη⌋ Q^{mg} | μαχαιρη A 37 om εγω ℵ$^{*c.b}$ (superscr ℵ$^{c.a}$) | τω θυμω] pr εν Q | καθιω] κατοικειω A | πεποιθοτως Q 39 ετεραν 1°] μιαν Q^{mg} | ετεραν 2° sub ※ Q^{superscr} | φοβηθηναι] pr ※ ωστε Q^{mg} 40 αιωνιον ℵAQ | αυτων 1°] + ※ ωστε αγαθοποιει⌋ με αυτους Q^{mg} 41 επισκεψομαι] + αυτους ℵQ | του αγαθωσαι] om του ℵQ | καρδια] pr αληθια ℵ* (mox improb) + μου Q | ψυχη] + μου AQ 42 Κυριος] incep π ℵ* | επαξω] επαγω AQ^{a} | ελαλησα] pr εγω Q 43 η] ην A | εσται] εστιν ℵQ | ανθρωπων] ανθρωπου ℵ ανου AQ | Χαλδεω⌋ ℵ 44 βιβλιον] pr εις Q | Βενιαμιν ℵ

κύκλῳ τῆς Ἰερουσαλὴμ καὶ ἐν πόλεσιν Ἰούδα καὶ ἐν πόλεσιν τοῦ B
ὄρους τῆς σεφηλὰ καὶ ἐν πόλεσιν τῆς νάγεβ, ὅτι ἀποστρέψω τὰς
ἀποικίας αὐτῶν.

XL (XXXIII) 1 [1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰερεμίαν δεύτερον, καὶ αὐτὸς ἦν
ἔτι δεδεμένος ἐν τῇ αὐλῇ τῆς φυλακῆς, λέγων

2 [2]Οὕτως εἶπεν Κύριος, ποιῶν γῆν καὶ πλάσσων αὐτὴν τοῦ ἀνορ-
3 θῶσαι αὐτήν, Κύριος ὄνομα αὐτῷ [3]Κέκραξον πρὸς μὲ καὶ ἀποκριθή-
σομαί σοι, καὶ ἀπαγγελῶ σοι μεγάλα καὶ ἰσχυρὰ ἃ οὐκ ἔγνως αὐτά.
4 [4]ὅτι οὕτως εἶπεν Κύριος περὶ οἴκων τῆς πόλεως ταύτης καὶ περὶ
οἴκων βασιλέως Ἰούδα τῶν καθῃρημένων εἰς χάρακας καὶ προμα-
5 χῶνας, [5]τοῦ μάχεσθαι πρὸς τοὺς Χαλδαίους καὶ πληρῶσαι αὐτὴν
τῶν νεκρῶν τῶν ἀνθρώπων οὓς ἐπάταξα ἐν ὀργῇ μου καὶ ἐν θυμῷ
μου, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτῶν περὶ πασῶν τῶν
6 πονηριῶν αὐτῶν [6]Ἰδοὺ ἐγὼ ἀνάγω αὐτῇ συνούλωσιν καὶ ἴαμα, καὶ
φανερώσω αὐτοῖς καὶ ἰατρεύσω αὐτήν, καὶ εἰρήνην καὶ πίστιν·
7 [7]καὶ ἐπιστρέψω τὴν ἀποικίαν Ἰούδα καὶ τὴν ἀποικίαν Ἰσραήλ,
8 καὶ οἰκοδομήσω αὐτοὺς καθὼς καὶ τὸ πρότερον, [8]καὶ καθαριῶ αὐ-
τοὺς ἀπὸ πασῶν τῶν ἀδικιῶν αὐτῶν ὧν ἡμάρτοσάν μοι, καὶ οὐ
μὴ μνησθήσομαι ἁμαρτιῶν αὐτῶν ὧν ἥμαρτόν μοι καὶ ἀπέστησαν

44 κυκλω] κρυψω ℵ* (κυκλω ℵ$^{c.a}$) κυκλοθεν A | της Ιερουσαλημ] om της ℵAQ ℵAQ | πολεσι bis Q^{a} | σεφηλα] pr και εν πολεσιν (-σι Q^{a}) ℵAQ XL 1 δευτερον] εκ δευτερου AQ | ην ετι] ετι ην A 2 ποιων] + σ' εις το επιτελεσαι αυτο Q^{mg} | αυτην 1°] η sup ras A$^{a?}$ (αυτων A^{*vid}) 3 απαγγελω] αναγγελω A | αυτα] αυται ℵ 4 Κυριος] + ο θ̅ς̅ Ι̅σ̅λ̅ (Ι̅η̅λ̅ AQ) ℵAQ | οικων 1°] οικιας ℵ$^{c.a}$A οικιων Q pr ※ των Q^{mg} | om της πολεως ταυτης και περι οικων ℵ$^{*c.b\ vid}$ (hab ℵ$^{c.a\ mg\ inf}$) | οικων 2°] οικιας Q ※ των οικιων Q^{mg} | καθηρημενων] καθειρημενων ℵ καθημενων A | χαρακα Q | προμαχωνας] + σ' ※ των ερχομενων Q^{mg} 5 Χαλδεους ℵ | πληρωσαι] pr ※ του Q^{mg} | των νεκρων] om των AQ* (hab των sub ※ Q^{mg}) | επαταξε̄ A | om εν 1° A | οργη] pr ※ τη Q^{mg} | θυμω] pr τω ℵ et (sub ※) Q^{mg} | πονηρων Q* (πονηριων Q^{a}) 6 αναγω] επαγω A | αυτη] επ αυτους A | συνωλουσιν A | ιαμα] + και ιατρευσω αυτην (αυτους ℵ$^{c.a}$) κεν ιρηνη (improb κεν ιρ. ℵ$^{?}$) ℵ | φανερωσω αυτοις κ. ιατρευσω αυτην] ιατρευσω αυτην (αυτους ℵ$^{c.a}$) κεν ιρηνη (improb κεν ιρ. ℵ$^{?}$) και φανερωσω αυτοις εισακουειν κ. ιατρευσω αυτην (αυτους ℵ$^{c.a}$) ℵ ιατρευσω αυτους και φανερωσω (φανεροι A) αυτοις εισακουειν και ιατρευσω αυτους AQ | ειρηνην (-νη ℵ*)] pr και ποιησω αυτοις ℵ$^{c.a}$AQ 7 επιστρεψω] αποστρεψω ℵ* (ε pro α ℵ$^{c.a}$) A | om την αποικιαν Ιουδα και Q* (hab Q^{mg}) | Ισραηλ] Ι̅λ̅η̅μ̅ ℵ$^{c.a}$Q | καθως και] ως A ως και· Q* (καθως και Q^{mg}) 8 ημαρτοσαν] ημαρτον AQ | μνησθησομαι] μνησθω ℵ | αμαρτιων] pr ※ των Q^{mg} | ημαρτον] ημαρτοσαν ℵ | μοι 2°] μου A

B ἀπ' ἐμοῦ. [9]καὶ ἔσται εἰς εὐφροσύνην καὶ αἴνεσιν καὶ εἰς μεγαλειό- 9
τητα παντὶ τῷ λαῷ τῆς γῆς οἵτινες ἀκούσονται πάντα τὰ ἀγαθὰ ἃ
ἐγὼ ποιήσω, καὶ φοβηθήσονται καὶ πικρανθήσονται περὶ πάντων
τῶν ἀγαθῶν καὶ περὶ πάσης τῆς εἰρήνης ἧς ἐγὼ ποιήσω αὐτοῖς.
[10]οὕτως εἶπεν Κύριος Ἔτι ἀκουσθήσεται ἐν τῷ τόπῳ τούτῳ ᾧ ὑμεῖς 10
λέγετε Ἔρημός ἐστιν ἀπὸ ἀνθρώπων καὶ κτηνῶν, ἐν πόλεσιν Ἰούδα
καὶ ἔξωθεν Ἰερουσαλὴμ ταῖς ἠρημωμέναις παρὰ τὸ μὴ εἶναι ἄνθρω-
πον καὶ κτήνη, [11]φωνὴ εὐφροσύνης καὶ φωνὴ χαρμοσύνης, φωνὴ 11
νυμφίου καὶ φωνὴ νύμφης, φωνὴ λεγόντων Ἐξομολογεῖσθε Κυρίῳ
Παντοκράτορι, ὅτι χρηστὸς Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·
καὶ εἰσοίσουσιν δῶρα εἰς οἶκον Κυρίου, ὅτι ἀποστρέψω πᾶσαν τὴν
ἀποικίαν τῆς γῆς ἐκείνης κατὰ τὸ πρότερον, εἶπεν Κύριος. [12]οὕτως 12
εἶπεν Κύριος τῶν δυνάμεων ὅτι Ἔσται ἐν τῷ τόπῳ τούτῳ τῷ ἐρήμῳ
παρὰ τὸ μὴ εἶναι ἄνθρωπον καὶ κτῆνος, ἐν πάσαις ταῖς πόλεσιν
αὐτοῦ καταλύματα ποιμένων κοιταζόντων πρόβατα, [13]ἐν πόλεσιν τῆς 13
ὀρινῆς καὶ ἐν πόλεσιν τῆς σεφηλὰ καὶ ἐν πόλεσιν τῆς νάγεβ καὶ ἐν
γῇ Βενιαμεὶν καὶ ἐν ταῖς κύκλῳ Ἰερουσαλὴμ καὶ ἐν πόλεσιν Ἰούδα,
ἔτι παρελεύσεται πρόβατα ἐπὶ χεῖρα ἀριθμοῦντος, εἶπεν Κύριος.

ℵAQ 8 απ εμου] μου $\aleph^{*}$ (απ εμ. $\aleph^{c.a(?)}$) 9 εσται] + ※ μοι Q^{mg} | αινεσιν] pr εις ℵAQ | μεγαλειοτητα] μεγαλωσυνην ℵ | εγω 1°] + ※ ειμι Q^{mg} | ποιησω 1°] ποιω AQ + α′σ′ ※ αυτοις Q^{mg} | om και πικρανθησονται A | ποιησω 2°] ποιω AQ 10 ακουσθησεται] ακουσετε $\aleph^{*}$ (-σθησεται $\aleph^{c.a?}$) | ταις (τας $\aleph^{*}$) ερημωμεναις ℵA | παρα] pr και A | ανθρωπον] ανουσ ℵ | κτηνη] κτηνος Q^{*} (κτηνη Q^{mg}) pr ※ παρα το μη ειναι Q^{mg} 11 om και 1° ℵ | χαρμονης A | φωνη 3°, 4°] φωνην BA | φωνη 5°] incep φι $\aleph^{*}$ | λεγοντος A | Κυριω] pr τω ℵ et (sub ※) Q^{mg} | χρητος $\aleph^{*}$ | εισοισουσιν $\aleph^{c.a(?)}$A] εισουσιν $B^{*}\aleph^{*}$Q (-σι Q^{a}) οισουσι $B^{b(vid)}Q^{mg}$ | δωρα] + αινεσεως AQ | αποστρεψω] επιστρεψω ℵ | την αποικιαν πασης A | κατα το] καθα A 12 ειπεν] λεγει Q | om των δυναμεων A^{*} (hab τ. δυναμαιω̄ $A^{a?mg}$) | οτι] ετι ℵAQ | εσται] pr ακουσθης $\aleph^{*}$ (improb $\aleph^{?}$) | τουτω τω ερημω] τω ηρημωμενω τουτω A τω ερημω τουτω Q | παρα το μη ειναι ανθρ. και κτ. sub ※ παντες Q^{mg} | κτηνη AQ | εν 2°] pr και ℵAQ | προβατα] προβατων A ποιμνια Q 13 πολεσι (1° et 3°) Q^{a} | ορεινης B^{ab} | om και εν πολεσιν της σεφηλα A | πολεσιν 4°] pr ταις ℵ | ετι παρελευσεται] επιπαρελευσεται A | χιραν $\aleph^{*}$ (χειρα $\aleph^{?}$) | Κυριος] + θ′ ※ (14) ιδου ημεραι ερχονται φησι κ̅ς̅ ϗ αναστησω τον λογον μου τον αγαθον ον ελαλησα επι τον οικον Ι̅η̅λ̅ ϗ επι τον οικον Ιουδα (15) εν ταις ημεραις εκειναις ϗ εν τω καιρω εκεινω (+ ανατελω τω Δα̅δ̅ $Q^{mg\ exter}$) ανατολην δικαιαν ποιων κριμα ϗ δικαιοσυνην εν τη γη (16) εν ταις ημεραις εκειναις σωθησεται η Ιουδαια ϗ Ιλ̅η̅μ̅ κατασκηνωσει πεποιθυια ϗ τουτο το ονομα ο καλεσει αυτην κ̅ς̅ δικαιοσυνη ημων (17) οτι ταδε λεγει κ̅ς̅ ουκ εξολοθρευθησεται τω Δα̅δ̅ ανηρ καθημενος επι θρονον οικου Ι̅η̅λ̅ (18) ϗ τοις ιερευσι τοις Λευιταις ουκ εξολοθρευθησεται ανηρ εκ προσωπου μου αναφερων ολοκαυτωματα ϗ θυων θυσιαν ϗ ποιων θυμιαμα πασας τας ημερας (19) ϗ εγενετο λογος κ̅υ̅ προς Ιερεμιαν λεγων

XLI (XXXIV)
1 [1] Ὁ λόγος ὁ γενόμενος πρὸς Ἰερεμίαν παρὰ Κυρίου· καὶ Ναβουχοδονοσὸρ B
βασιλεὺς Βαβυλῶνος καὶ πᾶν τὸ στρατόπεδον αὐτοῦ καὶ πᾶσα ἡ γῆ
ἀρχῆς αὐτοῦ ἐπολέμουν αὐτὸν ἐπὶ Ἰερουσαλὴμ καὶ ἐπὶ πάσας τὰς
πόλεις Ἰούδα, λέγων

2 [2] Οὕτως εἶπεν Κύριος Βάδισον πρὸς Σεδεκίαν βασιλέα Ἰούδα καὶ ἐρεῖς
αὐτῷ Οὕτως εἶπεν Κύριος Παραδόσει παραδοθήσεται ἡ πόλις αὕτη εἰς
χεῖρας βασιλέως Βαβυλῶνος, καὶ συλλήμψεται αὐτὴν καὶ καύσει αὐτὴν
3 ἐν πυρί, [3] καὶ σὺ οὐ μὴ σωθῇς ἐκ χειρὸς αὐτοῦ, καὶ συλλήμψει συλλημ-
φθήσει καὶ εἰς χεῖρας αὐτοῦ δοθήσει, καὶ ὀφθαλμοί σου τοὺς ὀφθαλμοὺς
4 αὐτοῦ ὄψονται, καὶ εἰς Βαβυλῶνα εἰσελεύσει. [4] ἀλλὰ ἄκουσον τὸν
5 λόγον Κυρίου, Σεδεκία βασιλεῦ Ἰούδα Οὕτως λέγει Κύριος [5] Ἐν εἰρήνῃ
ἀποθανῇ· καὶ ὡς ἔκλαυσαν τοὺς πατέρας σου τοὺς βασιλεύσαντας
πρότερόν σου, κλαύσονται καὶ σέ, καὶ ἕως ᾄδου κόψονταί σε· ὅτι
6 λόγον ἐγὼ ἐλάλησα, εἶπεν Κύριος. [6] καὶ ἐλάλησεν Ἰερεμίας πρὸς
τὸν βασιλέα Σεδεκίαν πάντας τοὺς λόγους τούτους ἐν Ἰερουσαλήμ.

(20) ταδε λεγει κ̅ς̅ ει διασκεδασετε (σ' εαν διασκεδασετε) την διαθηκην μου ℵAQ την ημεραν ϗ την διαθηκην μου την νυκτα του μη ειναι ημερᾱ| ϗ νυκτα εν καιρω αυτω̅ν̅| (21) ϗ γε η διαθηκη μου διασκεδασθησεται μετα Δα̅δ̅ του δουλου μου του μη ειναι αυτω υιον βασιλευοντα επι τον θρονο̅| αυτου ϗ η προς τους Λευιτας τους ιερεις τους λειτουργουντας μοι (22) ως ουκ εξαριθμηθησεται η δυναμις του ουνο̅υ̅ ουδε εκμετρηθησεται η αμμος της θαλασσης ουτως πληθυνω το σπερμα Δα̅δ̅ του δουλου μου ϗ τους Λευιτας τους λειτουργου̅|τας μοι (23) ϗ εγενετο λογος κ̅υ̅ προς Ιερεμιαν λεγω̅ν̅| (24) αρα γε ουκ ιδες τι ο λαος ουτος ελαλησαν λεγοντες αι δυο πατριαι ας εξελεξατο κ̅ς̅ εν αυταις ϗ ιδου απωσατο αυτους ϗ τον λαον μου παρωξυναν του μη ειναι ετι εθνος ενωπιον μου (25) ταδε λεγει κ̅ς̅ ει μη τη̅| διαθηκην μου ημερας ϗ νυκτος ακριβασματα ουνο̅υ̅ ϗ γης ουκ εταξα (26) ϗ γε το σπερμα Ιακωβ ϗ Δα̅δ̅ του δουλου μου αποδοκιμω του μη λαβειν εκ του σπερματος αυτου αρχοντα προς το σπερμα Αβρααμ ϗ Ισαακ ϗ Ιακωβ οτι επιστρεψω την επιστροφην αυτων ϗ οικτειρησω αυτους Q^{mg} XLI 1 γεναμενος A | προς Ιερεμιαν (Ιερεαν B^{*} Ιερεμ. B^{ab}) παρα Κυριου] παρα κ̅υ̅ προς Ιερεμιαν ℵ | om και πασα η γη αρχης αυτου Q^{*} (hab ϗ πασαι αι βασιλειαι της γης αρχης αυτου ϗ πα̅|τες οι λαοι Q^{mg} | om αυτον ℵAQ | πολις $ℵ^{*}$ 2 παραδοσει] παραδοθει A | συλημψεται $ℵ^{*}$ συλλημψ. $B^{b}Q^{a}$ | om και καυσει αυτην Q^{*} (hab Q^{mg}) 3 om συ ℵ | χιρους $ℵ^{*}$ χειρους $ℵ^{?}$ | αυτου 1°] αυτων A | συλλημψει $B^{b}Q^{a}$ | συλλημφθηση ℵA συλλημφθησει Q^{a} -ση B^{b} | om και εις χ. αυτου δοθησει A | δοθηση B^{b}ℵQ | οφθαλμοι] pr οι ℵAQ | αυτου 3°] αυτων ℵ | οψονται]+και [+το Q] στομα αυτου μετα του στοματος σου λαλησει AQ | εισελευση B^{b}ℵAQ 4 Κυριος]+ουκ αποθανη εν ρομφαια Q 5 πατερας] π̅ρ̅ς̅ A^{*} π̅ρ̅α̅ς̅ $A^{a?}$ | βασιλευσντας (sic) $ℵ^{*}$ | σε 1°]+ω κυριε AQ^{*} (ουαι pro ω Q^{mg}) | αδου]+ω κ̅ε̅ κοψονται $B^{a\,mg}$ (non inst κοψονται B^{b}) | κοψονται] κλαυσονται A | λογον] μεγαλα Q^{mg} | om εγω AQ^{*} (hab post ελαλ. sub ※ Q^{mg}) 6 Ιηρεμιας B^{*} (Ιερ. B^{ab}) Ιερεμειας ℵ + ※ ο προφητης Q^{mg} | τον βασιλεα] om τον ℵAQ | τουτου $ℵ^{*}$ (τουτους $ℵ^{c.a(?)}$)

B 7καὶ ἡ δύναμις βασιλέως Βαβυλῶνος ἐπολέμει ἐπὶ Ἰερουσαλὴμ καὶ 7
ἐπὶ τὰς πόλεις Ἰούδα καὶ ἐπὶ Λαχεὶς καὶ ἐπὶ Ἀζηκά, ὅτι αὗται κατε-
λείφθησαν ἐν πόλεσιν Ἰούδα πόλεις ὀχυραί.
8Ὁ λόγος ὁ γενόμενος πρὸς Ἰερεμίαν παρὰ Κυρίου μετὰ τὸ συν- 8
τελέσαι τὸν βασιλέα Σεδεκίαν διαθήκην πρὸς τὸν λαὸν τοῦ καλέσαι
ἄφεσιν, 9τοῦ ἐξαποστεῖλαι ἕκαστον τὸν παῖδα αὐτοῦ καὶ ἕκαστον 9
τὴν παιδίσκην αὐτοῦ, τὸν Ἐβραῖον καὶ τὴν Ἐβραίαν, ἐλευθέρους,
πρὸς τὸ μὴ δουλεύειν ἄνδρα ἐξ Ἰούδα. 10καὶ ἐπεστράφησαν πάντες 10
οἱ μεγιστᾶνες καὶ πᾶς ὁ λαὸς οἱ εἰσελθόντες ἐν τῇ διαθήκῃ τοῦ ἀπο-
στεῖλαι ἕκαστον τὸν παῖδα αὐτοῦ καὶ τὴν παιδίσκην αὐτοῦ, καὶ ἐῶσαν
11αὐτοὺς εἰς παῖδας καὶ παιδίσκας. 12καὶ ἐγενήθη λόγος Κυρίου πρὸς 11 12
Ἰερεμίαν λέγων 13Οὕτως εἶπεν Κύριος Ἐγὼ ἐθέμην διαθήκην πρὸς 13
τοὺς πατέρας ὑμῶν ἐν τῇ ἡμέρᾳ ᾗ ἐξειλάμην αὐτοὺς ἐκ γῆς Αἰγύ-
πτου, ἐξ οἴκου δουλείας, λέγων 14Ὅταν πληρωθῇ ἓξ ἔτη, ἀποστελεῖς 14
τὸν ἀδελφόν σου τὸν Ἐβραῖον ὃς πραθήσεταί σοι καὶ ἐργᾶταί σοι
ἓξ ἔτη, καὶ ἐξαποστελεῖς αὐτὸν ἐλεύθερον· καὶ οὐκ ἤκουσάν μου καὶ
οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν. 15καὶ ἐπέστρεψαν σήμερον ποιῆσαι τὸ 15
εὐθὲς πρὸ ὀφθαλμῶν μου τοῦ καλέσαι ἄφεσιν ἕκαστον τοῦ πλησίον
αὐτοῦ, καὶ συνετέλεσαν διαθήκην κατὰ πρόσωπόν μου ἐν τῷ οἴκῳ
οὗ ἐπεκλήθη τὸ ὄνομά μου ἐπ' αὐτῷ. 16καὶ ἐπεστρέψατε καὶ ἐβεβη- 16
λώσατε τὸ ὄνομά μου τοῦ ἐπιστρέψαι ἕκαστον τὸν παῖδα αὐτοῦ καὶ
ἕκαστον τὴν παιδίσκην αὐτοῦ, οὓς ἐξαποστείλατε ἐλευθέρους τῇ ψυχῇ
αὐτῶν, ὑμῖν εἰς παῖδας καὶ παιδίσκας. 17διὰ τοῦτο οὕτως εἶπεν 17

ℵAQ 7 τας πολεις (πολις ℵ*)] om τας ℵ*Q | Ιουδα 1°] + τας καταλελιμμενας AQ^{a} (-λελειμμ. Q*) | om και 3° ℵAQ | πολεις 2°] πολις ℵ* 8 γενεμενος ℵ γεναμενος A | τον βασιλεα] om τον ℵ | τον λαον] + τον εν Ι$\overline{λημ}$ AQ pr ※ ταυτα Q^{mg} | καλεσαι] + ※ αυτοις Q^{mg} 9 om εκαστον 2° ℵ* (hab ℵ$^{c.a(?)\,mg}$) | δουλευειν] + ※ αυτοις Q^{mg} | ανδρας ℵ | Ιουδα] $\overline{Ιηλ}$ AQ^{mg} + ※ αδελφον αυτου μηδενα Q^{mg} 10 om και 1° ℵ* (hab ℵ$^{c.a(?)}$) | εισελθοντες] ελθοντες A | εν τη διαθηκη] εις την διαθηκην AQ | αποστειλαι] εξαποστιλαι ℵ* (-στειλαι ℵ$^{c.b(?)}$) | om και την παιδισκην αυτου A | την παιδ.] pr εκαστον ℵQ | αυτου 2°] + ελευθερους προς το μη δουλευσαι αυτους ετι Q^{mg} 10—11 και εωσαν...παιδισκας] ϗ επηκουσαν ϗ εξαπεστειλαν ϗ επεστραφησαν μετα ταυτα (α') ϗ επεστρεψαν τους παιδας ϗ τας παιδισκας ους εξαπεστειλαν ελευθερους Q^{mg} 10 εωσαν] εσωσαν ℵ εασαν Q* 12 εγενηθη] εγενετο A | om Κυριου ℵ* (hab ℵ$^{c.a(?)}$) 13 Κυριος] + ο $\overline{θς}$ $\overline{Ιηλ}$ AQ | εθεμην] διεθεμην AQ | ημερα] incep ημα ℵ* | εξειλομην Q^{a} 14 αποστελλις ℵ* (αποστελεις ℵ$^{?}$) | Εβρεον ℵ | εξαποστελεις (εξαπαστελλις [sic] ℵ*)] αποστελεις A | om ουκ 1° A^{*vid} (hab A$^{?}$) 15 επεστρεψαν] εστρεψαν A | προ οφθαλμων] εν οφθαλμοις A | εκαστος A | του πλησιον] τω πλ. A | om κατα προσωπον μου ℵ* (hab ℵ$^{c.a\,mg\,sup}$) | επεκηθη ℵ* (superscr λ ℵ$^{?}$) 16 το ονομα] την διαθηκην AQ | εξαπεστειλατε B^{ab}ℵ$^{c.a(?)}$AQ | υμιν] pr του ειναι AQ

Κύριος Ὑμεῖς οὐκ ἠκούσατέ μου τοῦ καλέσαι ἄφεσιν ἕκαστος πρὸς B
τὸν πλησίον αὐτοῦ· ἰδοὺ ἐγὼ καλῶ ἄφεσιν ὑμῖν εἰς μάχαιραν καὶ
εἰς τὸν θάνατον καὶ εἰς τὸν λιμόν, καὶ δώσω ὑμᾶς εἰς διασπορὰν
18 *πάσαις ταῖς βασιλείαις τῆς γῆς.* [18]*καὶ δώσω τοὺς ἄνδρας τοὺς παρε-*
ληλυθότας τὴν διαθήκην μου, τοὺς μὴ στήσαντας τὴν διαθήκην μου
ἣν ἐποίησαν κατὰ πρόσωπόν μου, τὸν μόσχον ὃν ἐποίησαν ἐργά-
19 *ζεσθαι αὐτῷ,* [19]*τοὺς ἄρχοντας Ἰούδα καὶ τοὺς δυνάστας καὶ τοὺς*
20 *ἱερεῖς καὶ τὸν λαόν,* [20]*καὶ δώσω αὐτοὺς τοῖς ἐχθροῖς αὐτῶν, καὶ ἔσται*
τὰ θνησιμαῖα αὐτῶν βρῶσις τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θη-
21 *ρίοις τῆς γῆς.* [21]*καὶ τὸν Σεδεκίαν βασιλέα τῆς Ἰουδαίας καὶ τοὺς*
ἄρχοντας αὐτῶν δώσω εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ δύναμις βασι-
22 *λέως Βαβυλῶνος τοῖς ἀποτρέχουσιν ἀπ' αὐτῶν.* [22]*ἰδοὺ ἐγὼ συν-*
τάσσω, φησὶν Κύριος, καὶ ἐπιστρέψω αὐτοὺς εἰς τὴν γῆν ταύτην,
καὶ πολεμήσουσιν ἐπ' αὐτὴν καὶ λήμψονται αὐτὴν καὶ κατακαύσουσιν
αὐτὴν ἐν πυρὶ καὶ τὰς πόλεις Ἰούδα, καὶ δώσω αὐτὰς ἐρήμους ἀπὸ
κατοικούντων.

XLII (XXXV) 1 [1]Ὁ λόγος ὁ γενόμενος πρὸς Ἰερεμίαν παρὰ Κυρίου ἐν ἡμέραις Ἰωακεὶμ
βασιλέως Ἰούδα λέγων

2 [2]*Βάδισον εἰς οἶκον Ἀρχαβεὶν καὶ ἄξεις αὐτοὺς εἰς οἶκον Κυρίου*
3 *εἰς μίαν τῶν αὐλῶν, καὶ ποτιεῖς αὐτοὺς οἶνον.* [3]*καὶ ἐξήγαγον τὸν*
Ἰεχονίαν υἱὸν Ἰερεμὶν υἱοῦ Χαβασεὶν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ

17 *υμεις*] incep *μ* ℵ* | *του καλεσαι*] om *του* ℵAQ | *αφεσιν* 1°] pr *εκαστ̅ω̅* ℵAQ ℵ* (improb ℵ$^{?}$) pr *εκαστος* A | *εκαστος*] *εκαστ̅ω̅* ℵQ om A + *προς τον αδελφον αυτου και εκαστον* ℵ$^{c.a\,mg}$ | *πλησιον*] *αδελφον* AQ | *αυτου*] + *και εκαστον προς τον πλησιον αυτου* AQ | *ιδου*] pr *και* ℵ* (postea improb ℵ$^{?}$) | *υμιν*] + *φησ̅ι̅* *κ̅ς̅* Q^{mg} **18** om *τους μη στησαντας την διαθηκην μου* ℵ* (hab ℵ$^{c.a?mg}$) A | *την διαθηκην* (2°)] ※ *τους λογους της διαθηκης μου* Q^{mg} | om *μου* 2° ℵ* (hab ℵ$^{?(mg)}$) | *εποιησαν*] + ※ *εις δυο* Q^{mg} | om *ον* ℵ **19** Ιουδα] + *κ̣ αρχοντων* Ιλ̅η̅μ̅ Q^{mg} | *δυναστας*] *ευνουχους* Q^{mg} | *ιερις* ℵ* | *τον λαον*] pr *παντα* Q^{mg} + *της γης τους διελθοντας ανα μεσον τ̅ω̅* *διχοτομηματων του μοσχου* Q^{mg} **20** *θνησιμαια*] incep *εθνη* ℵ* | *βρωσις*] *βρωματα* AQ **21** *της* Ιουδαιας] Ιουδα A | *εχθρων*] pr *των* ℵ | *αυτων* 2°] + ※ *κ̣ εις χειρας ζητουντ̅ω̅* *την ψυχην αυτου* Q^{mg} | *δυναμεις* A | *τοις αποτρεχουσιν*] *οι αποτρεχοντες* A **22** *αυτην* 1°] *αυτους* A | *ληψονται* Q^{a} | om *αυτην* 3° Q | *πολις* ℵ* | om *και* 6° AQ | *δωσω*] *δ* sup ras A^{a} | *αυτας*] *αυτους* ℵ | *ερημους*] *εις αβατον* AQ XLII **1** *γεναμενος* A | *παρα κ̅υ̅ προς* Ιερεμιαν A | Ιωακειμ (*-κιμ* Q^{a})] seq ras in B + *υιου* Ιωσιου AQ **2** *βαδισον*] *πορευθητι* AQ^{mg} | *οικον* 1°] *οικιαν* ℵQ* (*-κον* Q^{a}) ※ *τον οικον* Q^{mg} | Αρχαβειν] Αλχαβειν A Ραχαβειν Q* (*-βιν* Q^{a}) | *και* 1°] pr *και καλεσον αυτους* AQ | *αξεις*] *εξεις* ℵ$^{*\,vid}$ (*αξ.* ℵ$^{?}$) *εξαξεις* A **3** *εξηγαγον*] *ηγαγον* AQ | Ιεχονιαν] Ιεζονιαν Q | Ιερεμιν] Ιερεμιου A | *υιου*] *υιον* Q | Χαβασιν AQ

B τοὺς υἱοὺς αὐτοῦ καὶ πᾶσαν τὴν οἰκίαν Ἀρχαβείν, [4]καὶ εἰσήγαγον 4
αὐτοὺς εἰς οἶκον Κυρίου εἰς τὸ παστοφόριον υἱῶν Ἰωνὰν υἱοῦ Ἀνανίου
υἱοῦ Γοδολίου ἀνθρώπου τοῦ θεοῦ, ὅς ἐστιν ἐγγὺς τοῦ οἴκου τῶν ἀρ-
χόντων τῶν ἐπάνω τοῦ οἴκου Μαασαίου υἱοῦ Σελὼμ τοῦ φυλάσσοντος
τὴν αὐλήν. [5]καὶ ἔδωκα κατὰ πρόσωπον αὐτῶν κεράμιον οἴνου καὶ 5
ποτήρια, καὶ εἶπα Πίετε οἶνον. [6]καὶ εἶπαν Οὐ μὴ πίωμεν οἶνον, ὅτι 6
Ἰωναδὰβ υἱὸς Ῥηχὰβ ὁ πατὴρ ἡμῶν ἐνετείλατο ἡμῖν λέγων Οὐ μὴ
πίητε οἶνον, ὑμεῖς καὶ οἱ υἱοὶ ὑμῶν ἕως αἰῶνος, [7]καὶ οἰκίαν οὐ μὴ 7
οἰκοδομήσητε, καὶ σπέρμα οὐ μὴ σπείρητε, καὶ ἀμπελὼν οὐκ ἔσται
ὑμῖν, ὅτι ἐν σκηναῖς οἰκήσετε πάσας τὰς ἡμέρας ὑμῶν, ὅπως ἂν
ζήσητε ἡμέρας πολλὰς ἐπὶ τῆς γῆς ἐφ' ἧς διατρίβετε ὑμεῖς ἐπ' αὐ-
τῆς. [8]καὶ ἠκούσαμεν τῆς φωνῆς Ἰωναδὰβ τοῦ πατρὸς ἡμῶν πρὸς τὸ 8
μὴ πιεῖν οἶνον πάσας τὰς ἡμέρας ἡμῶν, ἡμεῖς καὶ αἱ γυναῖκες ἡμῶν
καὶ οἱ υἱοὶ ἡμῶν καὶ αἱ θυγατέρες ἡμῶν, [9]καὶ πρὸς τὸ μὴ οἰκοδομεῖν 9
οἰκίας τοῦ κατοικεῖν ἐκεῖ· ἀμπελὼν καὶ ἀγρὸς καὶ σπέρμα οὐκ ἐγέ-
νετο ἡμῖν· [10]καὶ ᾠκήσαμεν ἐν σκηναῖς, καὶ ἠκούσαμεν καὶ ἐποιή- 10
σαμεν κατὰ πάντα ἃ ἐνετείλατο ἡμῖν Ἰωναδὰβ ὁ πατὴρ ἡμῶν. [11]καὶ 11
ἐγενήθη ὅτε ἀνέβη Ναβουχοδονοσὸρ ἐπὶ τὴν γῆν, καὶ εἴπαμεν εἰσ-
ελθεῖν, καὶ εἰσήλθομεν εἰς Ἰερουσαλὴμ ἀπὸ προσώπου τῆς δυνάμεως
τῶν Χαλδαίων καὶ ἀπὸ προσώπου τῆς δυνάμεως τῶν Ἀσσυρίων, καὶ
ᾠκοῦμεν ἐκεῖ.
[12]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [13]Οὕτως λέγει Κύριος 12 13

ℵAQ 3 πασαν] σ' παντα α'θ' ολον Q^mg | οικιαν] σ' οικον Q^mg | Αρχαβειν] Χαραβειν A Ραχαβειν Q 4 παστοφορειον Q^a | om υιων A | om Ιωναν υιου AQ | Ιωναν] Ανναν ℵ | Αννανιου ℵ* (Αναν. ℵ^c.a) | om υιου Γοδολιου ℵ | os] o Q* (os Q^mg) | του οικου των] οικουντων A οικου των Q | των επανω] om των ℵ*AQ | Μαασαιου] Μασεου ℵ* Μαασεου ℵ^c.a Μασαιου A | Σελωμ] Διλωμ ℵ* Σαιλωμ ℵ^c.a | την αυλην] την οδον ℵ^c.a(?)Q οι γ' τον σταθμον Q^mg 5 εδωκα] εστησα AQ | αυτων]+των υιων οικου τω (sic) Ραχαβειν Q^mg | ειπα]+ ※ προς αυτους Q^mg 6 ου μη πιωμεν] ου μη πιομεν ℵ ου πιομεν A | om υιος Ρηχαβ ℵ* (hab ℵ^c.a(?)mg) | λεγων] ειπας A | αιωνος] pr του Q 7 οικιαν] οικιας A | οικησετε] κατοικησεται AQ* (-τε Q^a) | τας ημερας]+της ζωης A | αν] εαν Q* (αν Q^a) | ζησητε] ζησεται ℵ ζητε AQ | γη ℵ* (γης ℵ^c.a?) | ης] ων ℵ* 8 ηκουσαμεν] εισηκουσαμεν AQ | Ιωναδαβ] Ιωναδαν ℵ+ ※ υιου Ρηχαβ Q^mg | πιειν] πινειν ℵ* (πιειν ℵ?) | τας ημερας]+της ζωης AQ | om ημεις και αι γυναικες ημων A | ημων 4°, 5°] υμων ℵ* 9 om και 1° AQ | οικοδομειν] οικειν A* (οικοδομ. A^a?) | κατοικειν] pr μη Q^mg | αμπελων] αμπελωνας ℵ pr και AQ | αγρους ℵ 10 ωκησαμεν] οικησαμεν A | om και εποιησαμεν A | α] οσα AQ 11 ειπαμεν (-πομεν Q^a)] ειπαν ℵ* (ειπαμεν ℵ^c.a(?)) | εισελθειν και εισηλθομεν] εισελθετε και εισελθωμεν ℵ αναβαντες εισελευσομεθα AQ | om απο προσωπου της δυναμεως των Χαλδαιων και ℵ* (hab ℵ^c.a(?)mg) A | ωκουμεν] οικουμεν ℵ ωκησομεν A οικησωμεν Q* ωκησαμε| Q^mg

Πορεύου καὶ εἰπὸν ἀνθρώπῳ Ἰούδα καὶ τοῖς κατοικοῦσιν Ἰερουσαλήμ B
14 Οὐ μὴ λάβητε παιδίαν τοῦ ἀκούειν τοὺς λόγους μου; [14]ἔστησαν ῥῆμα
υἱοὶ Ἰωναδὰβ υἱοῦ Ῥηχάβ, ὃ ἐνετείλατο τοῖς τέκνοις αὐτοῦ πρὸς τὸ
μὴ πιεῖν οἶνον, καὶ οὐκ ἐπίοσαν· καὶ ἐγὼ ἐλάλησα πρὸς ὑμᾶς
15 ὄρθρου, καὶ ἐλάλησα καὶ οὐκ ἠκούσατε. [15]καὶ ἀπέστειλα πρὸς ὑμᾶς
τοὺς παῖδάς μου τοὺς προφήτας λέγων Ἀποστράφητε ἕκαστος ἀπὸ
τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ βελτίω ποιήσατε τὰ ἐπιτηδεύματα
ὑμῶν, καὶ οὐ πορεύεσθε ὀπίσω θεῶν ἑτέρων τοῦ δουλεύειν αὐτοῖς,
καὶ οἰκήσετε ἐπὶ τῆς γῆς ἧς ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν·
16 καὶ οὐκ ἐκλίνατε τὰ ὦτα ὑμῶν καὶ οὐκ ἠκούσατε. [16]καὶ ἔστησαν
υἱοὶ Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ τὴν ἐντολὴν τοῦ πατρὸς αὐτῶν, ὁ δὲ λαὸς
17 οὗτος οὐκ ἤκουσέν μου. [17]διὰ τοῦτο οὕτως εἶπεν Κύριος Ἰδοὺ ἐγὼ
φέρω ἐπὶ Ἰούδαν καὶ ἐπὶ τοὺς κατοικοῦντας Ἰερουσαλὴμ πάντα τὰ
18 κακὰ ἃ ἐλάλησα ἐπ' αὐτούς. [18]διὰ τοῦτο οὕτως εἶπεν Κύριος Ἐπει-
δὴ ἤκουσαν υἱοὶ Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ τὴν ἐντολὴν τοῦ πατρὸς αὐτῶν
19 ποιεῖν καθότι ἐνετείλατο αὐτοῖς ὁ πατὴρ αὐτῶν, [19]οὐ μὴ ἐκλίπῃ
ἀνὴρ τῶν υἱῶν Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ παρεστηκὼς κατὰ πρόσωπόν
μου πάσας τὰς ἡμέρας τῆς γῆς.

XLIII (XXXVI) 1 [1]Ἐν τῷ ἐνιαυτῷ τῷ τετάρτῳ Ἰωακεὶμ υἱοῦ Ἰωσεία βασιλέως Ἰούδα ἐγενήθη
λόγος Κυρίου πρὸς μὲ λέγων

2 [2]Λάβε σεαυτῷ χαρτίον βιβλίου, καὶ γράψον ἐπ' αὐτοῦ πάντας

13 κατοικουσι B* (-σιν Bab) | Ιερουσαλημ] pr εν A | παιδειαν BabAQ | του ℵAQ ακουειν] om του ℵAQ 14 υιου] υιοι ℵ | Ρηχοβ ℵ* | τεκνοις] υιοις Qmg | επιοσαν] επιον AQ + α'θ' ※ εως της ημερας ταυτης οτι ηκουσαν της εντολης του πατρος αυτω͞ | Qmg | και εγω] καγω A | ορθου ℵ* (ορθρ. ℵ?) | om και ελαλησα A | ηκουσατε] εισηκουσατε A 15 απεστειλα] απεστειλατε Q* (-λα Qa) | τους παιδας] το ο πεδα ℵ* vid (τους παιδ. ℵ?) τους δουλους AQ | προφητας] + ορθριζων ϗ αποστελλων και Qmg | της οδου] om της ℵ | βελτιων B* (-τιω Bab) βελτιον A βελτιονα Q | πιησατε ℵ* vid (ποιησ. ℵ?) | τα επιτηδ.] om τα A | πορευεσθε] πορευσεσθαι Q* (-σεσθε Qa) | θων ℵ* (θεων ℵ?) | ετερων] αλλοτριων ℵA | ης] ως ℵ* (ης ℵ?) | ηκουσατε] εισηκουσατε μου ℵ 16 υιοι] pr οι ℵAQ | Ιωναδαβ] Ιωναδ Q* (-ναδαβ Q?) | υιου] οι υιοι ℵ 16—18 om ο δε λαος ουτος...εντολην του πατρος αυτων Q* (hab Qmg inf) 16 ο δε λαος] και ο λ. ℵ | ουτος] μου A | ηκουσεν] ηκουσαν B* fort ℵAQ 17 om A | αυτους] + θ' ※ ανθ ων ελαλησα επ αυτους ϗ ουκ ηκουσα͞ | ϗ εκαλεσα αυτους ϗ ουκ απεκριθησα͞ (18) ϗ τω οικω Ρηχαβ ειπε͞ | Ιερεμιας Qmg 18 Κυριος] + ※ των δυναμεων ο θ͞ς Ι͞η͞λ Qmg | υιοι] pr οι ℵA | om υιου Ρηχαβ ℵ | την εντολην] om ℵ + Ιωναδαβ Qmg | αυτων 1°] + σ' ※ ϗ εφυλαξαν συν πασας τας εντολας αυτου Qmg | καθοτι] οσα A κατα παντα οσα Qmg 19 ου] pr δια τουτο ταδε λεγει κ͞ς των δυναμεων θ͞ς Ι͞η͞λ Qmg | εκλειπη ℵc.aAQa XLIII 1 εν] pr και ℵc.aAQ pr α'θ' ※ (και) εγενηθη Qmg | Ιωακιμ Qa | υιω Q* (υιου Qa) | Ιωσια BbℵΙωσιου AQ 2 χαρτιον] χαρτην AQ α' κεφαλιδα σ' τομο͞ | Qmg | αυτου] αυτω A

B τοὺς λόγους οὓς ἐλάλησα πρὸς σὲ ἐπὶ Ἰερουσαλὴμ καὶ ἐπὶ Ἰουδὰ
καὶ ἐπὶ πάντα τὰ ἔθνη ἀφ᾽ ἧς ἡμέρας λαλήσαντός μου πρὸς σέ,
ἀφ᾽ ἡμερῶν Ἰωσεία βασιλέως Ἰούδα καὶ ἕως τῆς ἡμέρας ταύτης.
[3] ἴσως ἀκούσεται ὁ οἶκος Ἰούδα πάντα τὰ κακὰ ἃ ἐγὼ λογίζομαι 3
ποιῆσαι αὐτοῖς, ἵνα ἀποστρέψωσιν ἀπὸ ὁδοῦ αὐτῶν τῆς πονηρᾶς,
καὶ ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν καὶ ταῖς ἁμαρτίαις αὐτῶν. [4] καὶ 4
ἐκάλεσεν Ἰερεμίας τὸν Βαροὺχ υἱὸν Νηρίου, καὶ ἔγραψεν ἀπὸ στό-
ματος Ἰερεμίου πάντας τοὺς λόγους Κυρίου, οὓς ἐλάλησεν πρὸς αὐ-
τόν, εἰς χαρτίον βιβλίου. [5] καὶ ἐνετείλατο Ἰερεμίας τῷ Βαροὺχ 5
λέγων Ἐγὼ φυλάσσομαι, οὐ μὴ δύνωμαι εἰσελθεῖν εἰς οἶκον Κυρίου.
[6] καὶ ἀναγνώσῃ ἐν τῷ χαρτίῳ τούτῳ εἰς τὰ ὦτα τοῦ λαοῦ ἐν οἴκῳ 6
Κυρίου ἐν ἡμέρᾳ νηστείας, καὶ ἐν ὠσὶ παντὸς Ἰούδα τῶν ἐρχο-
μένων ἐκ πόλεως αὐτῶν ἀναγνώσῃ αὐτοῖς. [7] ἴσως πεσεῖται ἔλεος 7
αὐτῶν κατὰ πρόσωπον Κυρίου, καὶ ἀποστρέψουσιν ἐκ τῆς ὁδοῦ
αὐτῶν τῆς πονηρᾶς, ὅτι μέγας ὁ θυμὸς καὶ ἡ ὀργὴ Κυρίου ἣν ἐλά-
λησεν ἐπὶ τὸν λαὸν τοῦτον. [8] καὶ ἐποίησεν Βαροὺχ κατὰ πάντα ἃ 8
ἐνετείλατο αὐτῷ Ἰερεμίας, τοῦ ἀναγνῶναι ἐν τῷ βιβλίῳ λόγους Κυ-
ρίου ἐν οἴκῳ Κυρίου. [9] καὶ ἐγενήθη ἐν τῷ ἔτει τῷ ὀγδόῳ βασιλεῖ 9
Ἰωακεὶμ τῷ μηνὶ τῷ ἐνάτῳ ἐξεκκλησίασαν νηστείαν κατὰ πρόσ-
ωπον Κυρίου πᾶς ὁ λαὸς ἐν Ἰερουσαλὴμ καὶ οἶκος Ἰούδα. [10] καὶ 10
ἀνεγίνωσκε Βαροὺχ ἐν τῷ βιβλίῳ τοὺς λόγους Ἰερεμίου ἐν οἴκῳ
Κυρίου, ἐν οἴκῳ Γαμαρείου υἱοῦ Σαφὰν τοῦ γραμματέως, ἐν τῇ αὐλῇ
τῇ ἐπάνω ἐν προθύροις πύλης τοῦ οἴκου Κυρίου τῆς καινῆς καὶ

ℵAQ 2 ελαλησα] εχρηματισα AQmg | Ιερουσαλημ] Ιηλ AQ* (Ιλημ Qmg) | Ιουδα 1°] Ιουδαν BabℵcaQ | Ιωσεια] Ιωσια BbℵA Ιωσιου Q 3 ακουσονται AQ | ο οικος] om ο AQ | παντα] pr ※ συν Qmg | τα κακα] σα κ. A*vid | εγω λογιζομαι ποιησαι αυτοις] ελαλησα επ αυτους A | ποιησαι] pr του Q | αποστρεψωσιν] αποστραφωσιν AQ + θ′ ※ εκαστος Qmg | αυτων 1°] αυτου A | ταις (ται ℵ*) αδικιαις] ταις αδικιας A* (-κιαις A1fort) 4 τον] την ℵ* (τον ℵ?) | εγραψεν] + Βαρουχ AQ | ελαλησεν] εχρηματισεν AQ 5 ου (ουλ (?ουδ) ℵ*) μη δυνωμαι] και ου δυναμαι AQ 6 χαρτιω] χαρτη ℵAQ | εν ημερα νηστιας και εν ωσιν sup ras Aa? | νηστιας ℵAa?Q* (-τειας Qa) | εν ωσι] εν ωσιν ℵAa? εις τα ωτα Q | Ιουδα] του λαου A | πολεων Q | αναγνωση] pr και Q 7 αποστρεψουσιν] + θ′ ※ εκαστος Qmg | εκ] απο AQ | οδο ℵ* (υ superscr ℵ?) | ο θυμος] + κ̅υ̅ A | om Κυριου A | ην] η A* (ν superscr A1) | ελαλησεν] + κ̅ς̅ AQ | λαον] τοπον A 8 Βαρουχ] + α′σ′ ※ υιος Νηριου Qmg | α] οσα Qmg | λογους] pr τους AQ 9 ογδοω] πεμπτω AQ | βασιλει Ιωακειμ] pr τω BabℵQ Ιωακειμ βασιλει A | τω μηνι] pr εν AQ | εξεκλησιασεν ℵ* (-σαν ℵc.a(?)) | νηστια| ℵ | εν Ιερουσαλημ] εις Ιλημ A om εν Q + ϛ πας ο λαος οι ερχομενοι εκ πολεων Ιουδα εις Ιερουσαλημ Qmg | οικος] pr ο A 10 ανεγινωσκεν ℵAQ | τους λογους] om τους A α′σ′ ※ [τους] Qsuperscr | Γαμαριου BbℵAQ: item 11 | om πυλης A | του οικου] om του AQ | om και 2° AQ

11 ἐν ὠσὶ παντὸς τοῦ λαοῦ. [11] καὶ ἤκουσεν Μειχαίας υἱὸς Γαμαρείου υἱοῦ B
12 Σαφὰν ἅπαντας τοὺς λόγους Κυρίου ἐκ τοῦ βιβλίου. [12] καὶ κατέβη
εἰς οἰκίαν τοῦ βασιλέως, εἰς τὸν οἶκον τοῦ γραμματέως, καὶ ἰδοὺ
ἐκεῖ πάντες οἱ ἄρχοντες ἐκάθηντο, Ἐλεισαμὰ ὁ γραμματεὺς καὶ
Δαλαίας υἱὸς Σελεμίου καὶ Ἰωναθὰν υἱὸς Ἀκχοβὼρ καὶ Γαμαρίας
υἱὸς Σαφὰν καὶ Σεδεκίας υἱὸς Ἀνανίου καὶ πάντες οἱ ἄμχοντες,
13 [13] καὶ ἀνήγγειλεν αὐτοῖς Μειχαίας πάντας τοὺς λόγους οὓς ἤκουσεν
14 ἀναγινώσκοντος Βαροὺχ εἰς τὰ ὦτα τοῦ λαοῦ. [14] καὶ ἀπέστειλαν
πάντες οἱ ἄρχοντες πρὸς Βαροὺχ υἱὸν Νηρίου υἱὸν Ναθανίου υἱοῦ
Σελεμίου υἱοῦ Χουσεὶ λέγοντες Τὸ χαρτίον ἐν ᾧ σὺ ἀναγινώσκεις
ἐν αὐτῷ ἐν ὠσὶ τοῦ λαοῦ, λάβε αὐτὸ εἰς τὴν χεῖρά σου καὶ ἧκε.
15 καὶ ἔλαβεν Βαροὺχ τὸ χαρτίον καὶ κατέβη πρὸς αὐτούς. [15] καὶ εἶπαν
16 αὐτῷ Πάλιν ἀνάγνωθι εἰς τὰ ὦτα ἡμῶν· καὶ ἀνέγνω Βαρούχ. [16] καὶ
ἐγενήθη ὡς ἤκουσαν πάντας τοὺς λόγους, συνεβουλεύσαντο ἕκαστος
πρὸς τὸν πλησίον αὐτοῦ καὶ εἶπαν Ἀναγγέλλοντες ἀναγγείλωμεν
17 τῷ βασιλεῖ ἅπαντας τοὺς λόγους τούτους. [17] καὶ τὸν Βαροὺχ ἠρώ-
18 τησαν λέγοντες Ποῦ ἔγραψας πάντας τοὺς λόγους τούτους; [18] καὶ
εἶπεν Βαρούχ Ἀπὸ στόματος αὐτοῦ ἀνήγγειλέν μοι Ἰερεμίας πάντας
19 τοὺς λόγους τούτους, καὶ ἔγραφον ἐν βιβλίῳ. [19] καὶ εἶπαν τῷ Βαρούχ
Βάδισον κατακρύβηθι, σὺ καὶ Ἰερεμίας· ἄνθρωπος μὴ γνώτω ποῦ
20 ὑμεῖς. [20] καὶ εἰσῆλθον πρὸς τὸν βασιλέα εἰς τὴν αὐλήν, καὶ τὸ
χαρτίον ἔδωκαν φυλάσσειν ἐν οἴκῳ Ἐλεισά, καὶ ἀνήγγειλαν τῷ
21 βασιλεῖ πάντας τοὺς λόγους. [21] καὶ ἀπέστειλεν ὁ βασιλεὺς τὸν

10 εν ωσι] εν ωσιν ℵQ* εις τα ωτα AQ^{mg} 11 Μιχαιας B^{b}AQ ℵAQ
Μιχεας ℵ: item 13 | απαντας] παντας AQ 12 οικιαν] οικον ℵAQ |
Ελισαμα ℵAQ | Δαλιας ℵ Δαλεας A | Σελεμιου] Σεδεκιου ℵ | Ιωναθαν] Ναθαν
AQ* Ελναθαν Q^{mg} | Ακχοβωρ] incep Ακχοβη ℵ* (Ακχοβωρ ℵ?) Αχοβωρ A
Ακοβωρ Q | αρχοντες 2°] αρχοντας ℵ* (-ντες ℵ?) 13 αναγεγνωσκοντος A |
Βαρουχ] pr του AQ | του λαου] κυ του ου (sic) ℵ* (improb κυ superscr λα ℵ?)
14 Νηριου] + του Ιουδει A + τ. Ιουδειν Q | υιον 2°] υιου ℵ | Σαλαμιου A |
Χουσι ℵAQ | om λεγοντες το χαρτιον ℵ* (hab ℵ$^{c.a(?)mg}$) | χαρτιον 1°] βιβλιον
AQ | συ (σου ℵ*)] om AQ* (hab sub ※ Q^{mg}) | εν αυτω sub ※ Q^{a} | εν ωσι
(-σιν ℵA)] εις τα ωτα Q | om εις την χειρα σου ℵ* (hab ℵ$^{c.a(?)mg}$) | Βαρουχ 2°]
+ υιος Νηριου AQ | χαρτιον 2°] + εν χειρι αυτου A βιβλιον εν τη χειρι αυτου Q
16 εγενηθη] εγενετο ℵ | παντας] παν bis scr ℵ* | αναγγελοντες A | αναγ-
γελωμεν ℵ* (αναγγειλ. ℵ?) AQ^{a} αναγγελλωμεν Q* | απαντας] παντας ℵAQ
17 που] ποθεν ℵ (incep που ℵ*) AQ | om παντας ℵ 18 αυτου] om A
Ιερεμιου Q | ανηγγελλεν Q | om Ιερεμιας Q | και 2°] καγω AQ | εν βιβλιω]
επι βιβλιου Q 19 ειπαν] + οι αρχοντες AQ | τω Βαρουχ] προς Β. A |
βαδισας Q | κατακρυβηθι] και κρυβηθι A | ανθρωπος] pr και ℵA | γνω A |
υμεις] υπαγεις ℵ* (υμ. ℵ?) 20 εισεηθον ℵ* (εισηλθ. ℵ?) | χαρτιον] βιβλιον
AQ | Ελεισα] Ελισαμα AQ: item 21 | λογους] + τουτους A et (sub ※) Q^{mg}

B Ἰουδεὶν λαβεῖν τὸ χαρτίον. καὶ ἔλαβεν αὐτὸ ἐξ οἴκου Ἐλεισά,
καὶ ἀνέγνω Ἰουδεὶν εἰς τὰ ὦτα τοῦ βασιλέως καὶ εἰς τὰ ὦτα πάντων
τῶν ἀρχόντων τῶν ἑστηκότων περὶ τὸν βασιλέα. [22] καὶ ὁ βασιλεὺς 22
ἐκάθητο ἐν οἴκῳ χειμερινῷ, καὶ ἐσχάρα πυρὸς κατὰ πρόσωπον αὐ-
τοῦ. [23] καὶ ἐγενήθη ἀναγινώσκοντος Ἰουδεὶν τρεῖς σελίδας καὶ τέσ- 23
σαρας, ἀπέτεμνεν αὐτὰς τῷ ξυρῷ τοῦ γραμματέως καὶ ἔριπτεν εἰς
τὸ πῦρ τὸ ἐπὶ τῆς ἐσχάρας, ἕως ἐξέλιπεν πᾶς ὁ χάρτης εἰς τὸ
πῦρ τὸ ἐπὶ τῆς ἐσχάρας. [24] καὶ οὐκ ἐζήτησαν, καὶ οὐ διέρρηξαν τὰ 24
ἱμάτια αὐτῶν ὁ βασιλεὺς καὶ οἱ παῖδες αὐτοῦ οἱ ἀκούοντες πάντας
τοὺς λόγους τούτους. [25] καὶ Ἐλναθὰν καὶ Γοδολίας ὑπέθεντο τῷ 25
βασιλεῖ πρὸς τὸ κατακαῦσαι τὸ χαρτίον. [26] καὶ ἐνετείλατο ὁ βασι- 26
λεὺς τῷ Ἰερεμεὴλ υἱῷ τοῦ βασιλέως καὶ τῷ Σαραιὰ υἱῷ Ἐσριὴλ συλλα-
βεῖν τὸν Βαροὺχ καὶ τὸν Ἰερεμίαν· καὶ κατεκρύβησαν. [27] Καὶ 27
ἐγένετο λόγος Κυρίου πρὸς Ἰερεμίαν, μετὰ τὸ κατακαῦσαι τὸν βασι-
λέα τὸ χαρτίον, πάντας τοὺς λόγους οὓς ἔγραψεν Βαροὺχ ἀπὸ στό-
ματος Ἰερεμίου, λέγων [28] Πάλιν λάβε σὺ χαρτίον ἕτερον καὶ γράψον 28
πάντας τοὺς λόγους τοὺς ὄντας ἐπὶ τοῦ χαρτίου οὓς κατέκαυσεν ὁ
βασιλεὺς Ἰωακείμ, [29] καὶ ἐρεῖς Οὕτως εἶπεν Κύριος Σὺ κατέκαυσας 29
τὸ χαρτίον τοῦτο, λέγων Διὰ τί ἔγραψας ἐπ' αὐτῷ λέγων Εἰσπο-
ρευόμενος εἰσπορεύσεται ὁ βασιλεὺς Βαβυλῶνος καὶ ἐξολεθρεύσει τὴν
γῆν ταύτην, καὶ ἐκλείψει ἀπ' αὐτῆς ἄνθρωπος καὶ κτήνη; [30] διὰ 30
τοῦτο οὕτως εἶπεν Κύριος ἐπὶ Ἰωακεὶμ βασιλέα Ἰούδα Οὐκ ἔσται

ℵAQ 21 Ιουδιν (1°) ℵ | χαρτιον] βιβλιον Q | ελαβον ℵ | εξ οικου] εκ του οικου Q | om παντων AQ | περι] προς A 23 Ιωδειν A | και 2°] η ℵ^c.a vid | απετεμεν A | αυτας] αυτα ℵA | ξυρω] σ' σμιλη Q^mg | ερειπτε B* ερριπτεν B^b(vid) Q | εως...της εσχαρας (2°)] bis scr B* (unc incl 2° B^a non inst B^b) om Q* (hab sub ※ Q^mg) | εως] + ου AQ^mg | εξελειπεν ℵ^c.a AQ^mg | om το επι 2° Q^mg 24 εζητησαν] εξεζητ. AQ + τον κ̅ν̅ Q^mg | om ου ℵ* (hab ℵ?(mg)) | διερηξαν ℵ* (διερρ. ℵ?) | οι παιδες] pr παντες Q | οι ακουοντες] ακουσαντες A οι ακουσ. Q | παντες A 25 Ελναθαν] Ναθαν A | Γοδολιας] Δαλαισα ϗ Γολιας ϗ Γαμαριας ℵ^c.c mg sup Γοδολιας και Γαμαριας A Δαλαιας και Γαμαριας και Γοδολιας Q | κατακαυσαι] pr μη ℵ^c.a AQ | χαρτιον] βιβλιον A + και ουκ ηκουσεν αυτων Q 26 Ιερεμιαηλ ℵ Ιερεμιηλ A | Σαραια AQ | Εσριηλ (Εσζρ. A Εσδρ. Q)] pr ※ του Q^mg | τον 2°] αυτον ℵ* | Ιερεμιαν ℵ^vid | om και κατεκρυβησαν ℵ* (hab ℵ^c.a mg sup) | κατεκρυβησαν] + υπο κ̅υ̅ Q^c 27 tit in A | om και εγενετο... Ιερεμιαν ℵ* (hab ℵ^c.a mg sup) | Ιηρ. ℵ^c.a | κατακαυσαι] καυσαι (-σε ℵ*) ℵA | χαρτιον] incep χο ℵ* 28 συ] σεαυτω A | παντας] απαντας AQ | ους] ου Q* vid 29 ερεις] pr προς Ιωακειμ Q | χαρτιον] βιβλιον AQ | δια τι] δια το ℵ* | αυτω] αυτο ℵQ | εισπορευσεται] εισπορευετε ℵ* (-σεται ℵ?) εισελευσεται Q | εξολοθρευσαι B^b εξωλεθρευσι ℵ* (-σει ℵ?) ολεθρευσει Q | εκλειψει] εκτριψει AQ | ανθρωπος] α̅ν̅ο̅ν̅ AQ | κτηνη] incep κι ℵ* vid 30 α Ιουδα ουκ sup ras B^ab | Ιοδα ℵ

αὐτῷ καθήμενος ἐπὶ θρόνου Δαυείδ, καὶ τὸ θνησιμαῖον αὐτοῦ ἔσται B
ἐρριμμένον ἐν τῷ καύματι τῆς ἡμέρας καὶ ἐν τῷ παγετῷ τῆς νυκτός.
31 [31]καὶ ἐπισκέψομαι ἐπ' αὐτὸν καὶ ἐπὶ τὸ γένος αὐτοῦ καὶ ἐπὶ τοὺς
παῖδας αὐτοῦ, καὶ ἐπάξω ἐπ' αὐτὸν καὶ ἐπὶ τοὺς κατοικοῦντας
Ἰερουσαλὴμ καὶ ἐπὶ γῆν Ἰούδα πάντα τὰ κακὰ ἃ ἐλάλησα πρὸς
32 αὐτούς, καὶ οὐκ ἤκουσαν. [32]καὶ ἔλαβεν Βαροὺχ χαρτίον ἕτερον καὶ
ἔγραψεν ἐπ' αὐτῷ ἀπὸ στόματος Ἰερεμίου ἅπαντας τοὺς λόγους τοῦ
βιβλίου οὓς κατέκαυσεν Ἰωακείμ· καὶ ἔτι προσετέθησαν αὐτῷ λόγοι
πλείονες ὡς οὗτοι.

XLIV (XXXVII)
1 [1]Καὶ ἐβασίλευσεν Σεδεκίας υἱὸς Ἰωσεία ἀντὶ Ἰωακείμ, ὃν ἐβασί-
2 λευσεν Ναβουχοδονοσὸρ βασιλεύειν τοῦ Ἰούδα. [2]καὶ οὐκ ἤκουσαν
αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ καὶ ὁ λαὸς τῆς γῆς τοὺς λόγους Κυρίου οὓς
3 ἐλάλησεν ἐν χειρὶ Ἰερεμίου. [3]καὶ ἀπέστειλεν ὁ βασιλεὺς Σεδεκίας
τὸν Ἰωαχὰλ υἱὸν Σελεμίου καὶ τὸν Σοφονίαν υἱὸν Μαασαίου τὸν ἱερέα
4 πρὸς Ἰερεμίαν λέγων Πρόσευξαι δὴ περὶ ἡμῶν πρὸς Κύριον. [4]καὶ
Ἰερεμίας ἦλθεν καὶ διῆλθεν διὰ μέσου τῆς πόλεως, καὶ οὐκ ἔδωκαν
5 αὐτὸν εἰς οἶκον τῆς φυλακῆς. [5]καὶ δύναμις Φαραὼ ἐξῆλθεν ἐξ
Αἰγύπτου, καὶ ἤκουσαν οἱ Χαλδαῖοι τὴν ἀκοὴν αὐτῶν, καὶ ἀνέβησαν
6 ἐπὶ Ἰερουσαλήμ. [6]καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰερεμίαν λέγων
7 [7]Οὕτως εἶπεν Κύριος Οὕτως ἐρεῖς πρὸς βασιλέα Ἰούδα τὸν ἀποστεί-
λαντα πρὸς σὲ τοῦ ἐκζητῆσαί με Ἰδοὺ δύναμις Φαραὼ ἡ ἐξελθοῦσα
8 ὑμῖν εἰς βοήθειαν ἀποστρέψουσιν εἰς γῆν Αἰγύπτου, [8]καὶ ἀναστρέ-
ψουσιν αὐτοὶ οἱ Χαλδαῖοι καὶ πολεμήσουσιν ἐπὶ τὴν πόλιν ταύτην, καὶ
9 συλλήμψονται αὐτὴν καὶ καύσουσιν αὐτὴν πυρί. [9]ὅτι οὕτως εἶπεν

30 *θρονων* A | *εσται το θν. αυτου* Q | *ερριμμενον* B$^{a (fort) b}$ *ρεριμμενον* A ℵAQ
31 *επι* 1°] incep eo ℵ* | *αυτον* 2°] *αυτους* ℵAQ* (*-τον* Q^{mg}) | *γην Ιουδα*] *την Ιδουμαιαν* ℵ* *την Ιουδαιαν* ℵ$^{c.a}$ *την γην Ιουδα* Q | *προς*] *επ* AQ 32 *αυτω* 1°] *αυτου* Q | *απαντας*] *παντας* ℵ | *ους*] *ου* ℵ | *ετι*] *επι τι* ℵ* XLIV 1 *Ιωσια* B^{b}ℵA *Ιωσιου* Q | *Ιωακειμ*] pr *Ιεχονιου υιου* AQ | *Ναβουχοδονοσορ* (*Ναβουχορδ.* B)] + *βασιλεως Βαβυλωνος* AQ 2 *ηκουσεν* ℵQ 3 *Ιωαχαλ*] *Ιωαχαχ* ℵ* *Ιωαχας* ℵ$^{c.a}$AQ | *Σελεμιου*] *Σεδεκιου* ℵ | *Μαασαιου*] *Μνασαιου* B^{ab} *Μασαιου* A | *ιερεα* sup ras A^{a} (*Ιερεμιαν* A*) | *Ιερεμιαν*] + *παντες* ※ *τον προφητη̅ν* Q^{mg} | om *δη* Q 4 *διηλθεν και ηλθεν* Q | *δια μεσου*] *ανα μεσον* AQ | *εδωκαν* (*εδ* sup ras B$^{b (fort)}$)] *απηγαγον* Q | *οικον της φυλακης*] *οικιαν της φ.* ℵ *φυλακην* Q 5 *δυναμιν* ℵ* | *επι*] *απο* ℵ$^{c.a}$AQ 6 tit in A 7 *βασιλεα*] pr *τον* Q | *τον αποστειλαντα*] *τον αποστελλοντα* ℵ | *του εκζητ.*] om *του* A | *με*] *σε* ℵ* (*με* ℵ$^{c.a (?)}$) | *υμιν*] *ημιν* A | *βοηθιαν* ℵ | *αποστρεψωσιν* Q* (*-ψουσιν* Q^{a}) | om *εις γην Αιγυπτου* ℵ* (hab ℵ$^{c.a (?) mg inf}$) 8 om *και αναστρεψουσιν* ℵ* (hab ℵ$^{c.a (?) mg inf}$) | *αυτοι*] om A sub ※ Q^{a} | *Χαλδεοι* ℵ | *και πολεμησουσιν επι την πολιν*] *οι πολεμουντες την γην* A | *συνλημψ.* ℵ *συλληψ.* Q^{a} | *καυσουσιν*] *κατακαυσουσιν* Q | *πυρι*] pr *εν* AQ 9 om *οτι* 1° ℵ

B Κύριος Μὴ ὑπολάβητε ταῖς ψυχαῖς ὑμῶν λέγοντες Ἀποτρέχοντες
ἀπελεύσονται ἀφ' ἡμῶν οἱ Χαλδαῖοι, ὅτι οὐ μὴ ἀπέλθωσιν, [10]καὶ ἐὰν 10
πατάξητε πᾶσαν δύναμιν τῶν Χαλδαίων τοὺς πολεμοῦντας ὑμᾶς, καὶ
καταλειφθῶσίν τινες ἐκκεκεντημένοι, ἕκαστος ἐν τῷ τόπῳ αὐτοῦ οὗτοι
ἀναστήσονται καὶ καύσουσιν τὴν πόλιν ταύτην ἐν πυρί. [11]Καὶ 11
ἐγένετο ὅτε ἀνέβη ἡ δύναμις τῶν Χαλδαίων ἀπὸ Ἰερουσαλὴμ ἀπὸ
προσώπου τῆς δυνάμεως Φαραώ, [12]ἐξῆλθεν Ἰερεμίας ἀπὸ Ἰερουσαλὴμ 12
τοῦ πορευθῆναι εἰς γῆν Βενιαμεὶν τοῦ ἀγοράσαι ἐκεῖθεν ἐν μέσῳ τοῦ
λαοῦ. [13]καὶ ἐγένετο αὐτὸς ἐν πύλῃ Βενιαμείν, καὶ ἐκεῖ ἄνθρωπος 13
παρ' ᾧ κατέλυεν Σαρουιὰ υἱὸς Σελεμίου υἱοῦ Ἀνανίου, καὶ συνέλαβεν
τὸν Ἰερεμίαν λέγων Πρὸς τοὺς Χαλδαίους σὺ φεύγεις; [14]καὶ εἶπεν 14
Ψεῦδος· οὐκ εἰς τοὺς Χαλδαίους ἐγὼ φεύγω. καὶ οὐκ εἰσήκουσεν αὐτοῦ,
καὶ συνέλαβεν Σαρουιὰ τὸν Ἰερεμίαν καὶ εἰσήγαγεν αὐτὸν πρὸς τοὺς
ἄρχοντας. [15]καὶ ἐπικράνθησαν οἱ ἄρχοντες ἐπὶ Ἰερεμίαν καὶ ἐπά- 15
ταξαν αὐτόν, καὶ ἀπέστειλαν αὐτὸν εἰς τὴν οἰκίαν Ἰωναθὰμ τοῦ γραμ-
ματέως, ὅτι ταύτην ἐποίησαν εἰς οἰκίαν φυλακῆς. [16]καὶ ἦλθεν 16
Ἰερεμίας εἰς οἰκίαν τοῦ λάκκου καὶ εἰς τὴν χερέθ, καὶ ἐκάθισεν ἐκεῖ
ἡμέρας πολλάς. [17]καὶ ἀπέστειλεν Σεδεκίας καὶ ἐκάλεσεν αὐτόν, καὶ 17
ἠρώτα αὐτὸν ὁ βασιλεὺς κρυφαίως εἰπεῖν Εἰ ἔστιν ὁ λόγος παρὰ
Κυρίου; καὶ εἶπεν Ἔστιν· εἰς χεῖρας βασιλέως Βαβυλῶνος παραδο-
θήσῃ. [18]καὶ εἶπεν Ἰερεμίας τῷ βασιλεῖ Τί ἠδίκησά σε καὶ τοὺς 18
παῖδάς σου καὶ τὸν λαὸν τοῦτον, ὅτι σὺ δίδως με εἰς οἰκίαν φυλακῆς;
[19]καὶ ποῦ εἰσιν οἱ προφῆται ὑμῶν οἱ προφητεύσαντες ὑμῖν λέγοντες 19

ℵAQ 9 απελευσονται] α'σ' πορευσονται Qmg | Χαλδεοι ℵ 10 δυνα-
μιν] pr την Q | Χαλδεων ℵ: item 11 | καταλειφθωσι Q* | τω τοπω] om τω
A | ουτοι] οτι αυτοι A | αναστησουσιν ℵ* (-σονται ℵ¹) | καυσουσιν] incep
καυσι ℵ* 11 οτε] ως Q | απο 1°] επι AQmg 12 Ιηρεμιας A | του
πορευθηναι] του πορευεσθαι (-σθε ℵ* -σθαι ℵc.b) ℵ om του Q | εκειθεν] + αρτον
ℵc.a mg Qmg 13 κατελυσεν AQ | Σαρουιας ℵA Αρουιας Q | υιου] υιος
ℵ | Χαλδεους ℵ: item 14 14 ουκ εις] ουχι προς ℵAQ | εισηκουσεν]
ηκουσεν ℵAQ | Σαρουιας ℵA Ιαρουιας Q* Αρ. Qa 15 αυτον 2°] + α'θ'
※ εις οικο̄| φυλακης Qmg | οικειαν bis B* (-κιαν Bb) | Ιωναθαν ℵAQ | οικιαν
2°] οικον A | φυλακης] pr της ℵ* (improb ℵc.a(?)) 16 και 1°] οτι ℵ* (και
ℵc.a(?)) | ηλθεν...χερεθ] ※ εισηλθεν Ιερεμιας εις τον οικον του λακκου ϗ εις τον
συγκλεισμον Qmg | οικιαν] τον οικον Q | χερεθ] χαρεθ ℵ 17 Σεδεκκιας
ℵ | και εκαλεσεν αυτον] sub ※ Qa | αυτον 1°] incep αυτα ℵ* | ηρωτα] ηρω-
τησεν ℵ επηρωτησεν A | ο βασιλευς (-λες ℵ*)] om A οι βασιλεις Q* (ο βασι-
λευς Qa) + ※ εν τη οικια αυτου Qmg ⌋ om ειπειν ℵAQ | ο λογος παρα Κυριου]
λογος θῡ ℵ* λ. παρα θῡ ℵc.a λογος κυ A λογος παρα κυ̅ Q | ειπεν] + αυτω AQ
+ Ιερεμιας Qmg | εστιν 2°] + α'σ' ※ ϗ ειπε̄ Qmg 18 Ιηρεμιας A | βασιλει]
+ α' ※ Σεδεκια Qmg | συ] σοι ℵ | φυλακης] pr της A 19 προφη-
τευοντες A

20 ὅτι Οὐ μὴ ἔλθῃ βασιλεὺς Βαβυλῶνος ἐπὶ τὴν γῆν ταύτην; [20]καὶ νῦν, B
κύριε βασιλεῦ, πεσέτω τὸ ἔλεός μου κατὰ πρόσωπόν σου· καὶ τί ἀπο-
στρέφεις με εἰς οἰκίαν Ἰωναθὰμ τοῦ γραμματέως, καὶ οὐ μὴ ἀποθάνω
21 ἐκεῖ; [21]καὶ συνέταξεν ὁ βασιλεύς, καὶ ἐνεβάλοσαν αὐτὸν εἰς οἰκίαν τῆς
φυλακῆς, καὶ ἐδίδοσαν αὐτῷ ἄρτον ἕνα τῆς ἡμέρας ἔξωθεν οὗ πέσ-
σουσιν, ἕως ἐξέλιπον οἱ ἄρτοι ἐκ τῆς πόλεως· καὶ ἐκάθισεν Ἰερεμίας
ἐν τῇ αὐλῇ τῆς φυλακῆς.

XLV (XXXVIII)

1 [1]Καὶ ἤκουσεν Σαφανίας υἱὸς Ναθὰν καὶ Γοδολίας υἱὸς Πασχὼρ καὶ
Ἰωαχὰλ υἱὸς Σελεμίου τοὺς λόγους οὓς Ἰερεμίας ἐλάλει ἐπὶ τὸν λαὸν
2 λέγων [2]Οὕτως εἶπεν Κύριος Ὁ κατοικῶν ἐν τῇ πόλει ταύτῃ ἀπο-
θανεῖται ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ, καὶ ὁ ἐκπορευόμενος πρὸς τοὺς
Χαλδαίους ζήσεται, καὶ ἔσται ἡ ψυχὴ αὐτοῦ εἰς εὕρεμα καὶ ζήσεται.
3 [3]ὅτι οὕτως εἶπεν Κύριος Παραδιδομένη παραδοθήσεται ἡ πόλις αὕτη
εἰς χεῖρας δυνάμεως βασιλέως Βαβυλῶνος, καὶ συλλήμψεται αὐτήν.
4 [4]καὶ εἶπαν τῷ βασιλεῖ Ἀναιρεθήτω δὴ ὁ ἄνθρωπος ἐκεῖνος, ὅτι αὐτὸς
ἐκλύει τὰς χεῖρας τῶν ἀνθρώπων τῶν πολεμούντων τῶν καταλει-
πομένων ἐν τῇ πόλει καὶ τὰς χεῖρας παντὸς τοῦ λαοῦ, λαλῶν πρὸς
αὐτοὺς κατὰ τοὺς λόγους τούτους, ὅτι ὁ ἄνθρωπος οὗτος οὐ χρησιμο-
5 λογεῖ εἰρήνην τῷ λαῷ τούτῳ ἀλλ' ἢ πονηρά. [5]καὶ εἶπεν ὁ βασιλεύς
Ἰδοὺ αὐτὸς ἐν χερσὶν ὑμῶν· ὅτι οὐκ ἠδύνατο ὁ βασιλεὺς πρὸς αὐτούς.
6 [6]καὶ ἔριψαν αὐτὸν εἰς λάκκον Μελχίου υἱοῦ τοῦ βασιλέως, ὃς ἦν ἐν
τῇ αὐλῇ τῆς φυλακῆς, καὶ ἐχάλασαν αὐτὸν εἰς τὸν λάκκον, καὶ ἐν τῷ
7 λάκκῳ οὐκ ἦν ὕδωρ ἀλλ' ἢ βόρβορος, καὶ ἦν ἐν τῷ βορβόρῳ. [7]καὶ

19 om οτι Q | Βαβυλωνος]+ ※ εφ υμας Q^mg | γην] πολιν Q^mg 20 νυν] ℵAQ + σ' ※ αξιω + ακουσον Q^mg | κυριε]+ μου A | πεσετω] πεσατω ℵA πεσαιτο Q* πεσετω Q^a + δη A et (sub ※) Q^mg | Ιωναθαν ℵAQ 21 της φυλακης] om της Q | εξελειπον ℵ^c.a A XLV 1 Σαφανιας] Σαφατ Q* Σαφατιας Q^mg | Ναθαν] Μαθθᾱ| Q^mg | Γολιας ℵ* (Γοδολ. ℵ?) | Ωαχαλ B* (Ιωαχ. B^ab) Ιωαχας ℵ | Σελεμιου]+ α'θ' ※ ϛ Πασχωρ υιος Μελχιου Q^mg | ους] ος ℵ* | Ιερεμιας (ας sup ras B?) ελαλει] ελαλει (-λι ℵ*) Ιερ. ℵ ελαλησεν Ιηρ. A | λαον] οχλō| ℵ* (λαō| ℵ^c.a(?)) 2 κατοικων] καθημενος Q | λιμω]+ α'θ' ※ ϛ εν θανατω Q^mg | Χαλδεους ℵ | ευρημα Q | om και ζησεται A 3 παραδιδομενη bis scr ℵ* (improb 2° ℵ?) | improb παραδοθησεται ℵ? | om βασιλεως ℵ | συλλημψεται] λημψετε ℵ* (superscr συν ℵ^c.a(?)) συλλημψονται A 4 ειπαν] ειπεν ℵ* + παντες ※ οι αρχοντες Q^mg | om δη A | om αυτος A | εκλυει] εκλει A* (υ superscr A¹) | πολεμουντων] πολεμιστων A | καταλειπομενων (-λιπ. ℵQ* -λειπ. Q^a)] καταλελιμμενων A | εν] επι A | χρησμολογει B^ab ℵAQ | om τουτω A 5 ιδου] incep Ιουδ ℵ* | αυαυτος ℵ | χερσιν] pr ταις A | εδυνατο ℵ 6 και 1°] pr α'θ' ※ ϛ ελαβον τō| Ιερεμιαν Q^mg | ερριψαν B^a?b AQ | λακκον 1°] pr τον ℵAQ | Μελχειου A | αυτον 2°]+ (sub παντες ※) εν σχοινιοις Q | om την 3° Q* (hab Q^mg) | βορρω B* (βορβορω B^b(vid))

B ἤκουσεν Ἀβδεμέλεχ ὁ Αἰθίοψ, καὶ αὐτὸς ἐν οἰκίᾳ τοῦ βασιλέως, ὅτι
ἔδωκαν Ἰερεμίαν εἰς τὸν λάκκον· καὶ ὁ βασιλεὺς ἦν ἐν τῇ πύλῃ
Βενιαμείν· [8]καὶ ἐξῆλθεν πρὸς αὐτόν, καὶ ἐλάλησεν πρὸς τὸν βασιλέα 8
καὶ εἶπεν [9]Ἐπονηρεύσω ἃ ἐποίησας τοῦ ἀποκτεῖναι τὸν ἄνθρωπον 9
τοῦτον ἀπὸ προσώπου τοῦ λιμοῦ, ὅτι οὐκ εἰσὶν ἔτι ἄρτοι ἐν τῇ πόλει.
[10]καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Ἀβδεμέλεχ λέγων Λάβε εἰς τὰς χεῖράς 10
σου ἐντεῦθεν τριάκοντα ἀνθρώπους καὶ ἀνάγαγε αὐτὸν ἐκ τοῦ λάκκου,
ἵνα μὴ ἀποθάνῃ. [11]καὶ ἔλαβεν Ἀβδεμέλεχ τοὺς ἀνθρώπους καὶ εἰσῆλ- 11
θεν εἰς τὴν οἰκίαν τοῦ βασιλέως τὴν ὑπόγειον, καὶ ἔλαβεν ἐκεῖθεν
παλαιὰ ῥάκη καὶ παλαιὰ σχοινία, καὶ ἔριψεν αὐτὰ πρὸς Ἰερεμίαν εἰς
τὸν λάκκον, [12]καὶ εἶπεν Ταῦτα θὲς ὑποκάτω τῶν σχοινίων. καὶ 12
ἐποίησεν Ἰερεμίας οὕτως. [13]καὶ εἵλκυσαν αὐτὸν τοῖς σχοινίοις καὶ 13
ἀνήγαγον αὐτὸν ἐκ τοῦ λάκκου· καὶ ἐκάθισεν Ἰερεμίας ἐν τῇ αὐλῇ
τῆς φυλακῆς. [14]Καὶ ἀπέστειλεν ὁ βασιλεὺς καὶ ἐκάλεσεν αὐτὸν 14
πρὸς ἑαυτὸν εἰς οἰκίαν ἀσελεισὴλ τὴν ἐν οἴκῳ Κυρίου. καὶ εἶπεν
αὐτῷ ὁ βασιλεύς Ἐρωτήσω σε λόγον, καὶ μὴ δὴ κρύψῃς ἀπ' ἐμοῦ
ῥῆμα. [15]καὶ εἶπεν Ἰερεμίας τῷ βασιλεῖ Ἐὰν ἀναγγείλω σοι, οὐχὶ 15
θανάτῳ με θανατώσεις; καὶ ἐὰν συμβουλεύσω σοι, οὐ μὴ ἀκούσῃς
μου. [16]καὶ ὤμοσεν αὐτῷ ὁ βασιλεὺς λέγων Ζῇ Κύριος, ὃς ἐποίησεν 16
ἡμῖν τὴν ψυχὴν ταύτην, εἰ ἀποκτενῶ σε καὶ εἰ δώσω σε εἰς χεῖρας
τῶν ἀνθρώπων τούτων. [17]καὶ εἶπεν αὐτῷ Ἰερεμίας Οὕτως εἶπεν 17

ℵAQ 7 ηκουσεν] ησεν ℵ* (κου superscr ℵ?) | Εθιοψ ℵ* + παντες ※ ανηρ ευνουχος Q^{mg} | αυτος] pr ην Q | οικια] τη αυλη Q | εδωκαν] ενεβαλον Q | Ιερεμιαν] pr τον Q | ην] om Q παντες ※ εκαθητο Q^{mg} | πυλη] αυλη A | Βενιαμιν ℵ 9 επονηρευσω (-σου ℵ)...τουτον] ※ κυριε βασιλευ επονηρευσαντο οι ανδρες ουτοι απαντα οσα εποιησαν Ιερεμια τω προφητη οτι ενεβαλον αυτον εις τον λακκον ϗ αποθανειται υποκατω αυτου Q^{mg} | τουτον] του θυ̅ Q^{mg} | εν τη πολει] εις την πολιν ℵ 10 βασιλεις ℵ* | Αβδεμελεχ] + παντες ※ τω Αιθιοπι Q^{mg} | λεγων] ειπας Q^{mg} | εις τας χειρας σου] εις τη̅| χειρα σ. A μετα σεαυτου Q^{a} (-τω Q*) | εντευθεν] απ εντευθεν A | τριακοντα] λ' ℵ | ανθρωπους] ανδρας Q | αναγαγε] αναγαβε ℵ* (-γαγε ℵ$^{c.a(?)}$) 11 ανθρωπους] + ※ μεθ εαυτου Q^{mg} | υπογεον ℵ υπογαιον AQ* (-γειον Q^{a}) + ※ του θησαυρου Q^{mg} | ρακκη ℵ$^{c.a}$ | σχονια ℵ* | ερριψεν B$^{a?b}$ℵAQ | Ιερεμιαν] pr τον A | λακκον (-ων ℵ*)] + θ' ※ εν τοις σχοινιοις Q^{mg} 12 ειπεν] + προς αυτον Q + θ' ※ Αβδεμελεχ ο Αιθιοψ προς Ιερεμιαν Q^{mg} | ταυτα θες] θες ταυτα Q θ' ※ θες τα παλαια ρακη κατα μαλεειν υπο τους αγκωνας των χειρω̅| σου Q^{mg} 13 τοις σχοινιοις] pr εν AQ | Ιηρεμιας A: item 17 | τη αυλη] om τη ℵA 14 ασελαισηλ] ασαλιηλ ℵ σαλαθιηλ A ασιλισιηλ Q* ασαλισιηλ οι λοιποι την τριτη̅| Q^{mg} | μη δη] δη μη ℵ* om δη ℵ?AQ 15 Ειερεμιας A | θανατω με θανατωσεις] θανατωσεις με A | εαν 2°] αν ℵ | μου ακουσης A 16 δωσω] παραδωσω AQ | χειρας] pr τας Q^{mg} | τουτων] + α'σ' ※ των ζητουντω̅| την ψυχην σου Q^{mg}

Κύριος Ἐὰν ἐξελθὼν ἐξέλθῃς πρὸς ἡγεμόνας βασιλέως Βαβυλῶνος, B
ζήσεται ἡ ψυχή σου, καὶ ἡ πόλις αὕτη οὐ μὴ κατακαυθῇ ἐν πυρί, καὶ
18 ζήσῃ σὺ καὶ ἡ οἰκία σου. [18]καὶ ἐὰν μὴ ἐξέλθῃς, δοθήσεται ἡ πόλις
αὕτη εἰς χεῖρας τῶν Χαλδαίων, καὶ καύσουσιν αὐτὴν ἐν πυρί, καὶ σὺ οὐ
19 μὴ σωθῇς. [19]καὶ εἶπεν ὁ βασιλεὺς τῷ Ἰερεμίᾳ Ἐγὼ λόγον ἔχω τῶν
Ἰουδαίων τῶν πεφευγότων πρὸς τοὺς Χαλδαίους, μὴ δώσειν με εἰς
20 χεῖρας αὐτῶν, καὶ καταμωκήσονταί μου. [20]καὶ εἶπεν Ἰερεμίας Οὐ μὴ
παραδῶσίν σε· ἄκουσον τὸν λόγον Κυρίου ὃν ἐγὼ λέγω πρὸς σέ, καὶ
21 βέλτιον ἔσται σοι καὶ ζήσεται ἡ ψυχή σου. [21]καὶ εἰ μὴ θέλεις σὺ
22 ἐξελθεῖν, οὗτος ὁ λόγος ὃν ἔδειξέν μοι Κύριος [22]Καὶ ἰδοὺ πᾶσαι αἱ
γυναῖκες αἱ καταλειφθεῖσαι ἐν οἰκίᾳ βασιλέως Ἰούδα ἐξήγοντο πρὸς
ἄρχοντας βασιλέως Βαβυλῶνος, καὶ αὗται ἔλεγον Ἠπάτησάν σε, καὶ
δυνήσονταί σοι ἄνδρες εἰρηνικοί σου, καὶ καταλύσουσιν ἐν ὀλισθή-
23 μασιν πόδας σου, ἀπέστρεψαν ἀπὸ σοῦ. [23]καὶ τὰς γυναῖκάς σου καὶ
τὰ τέκνα σου ἐξάξουσιν πρὸς τοὺς Χαλδαίους, καὶ σὺ οὐ μὴ σωθῇς,
ὅτι ἐν χειρὶ βασιλέως Βαβυλῶνος συλλημφθήσῃ, καὶ ἡ πόλις αὕτη
24 κατακαυθήσεται. [24]καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς Ἄνθρωπος μὴ γνώτω
25 ἐκ τῶν λόγων τούτων, καὶ σὺ οὐ μὴ ἀποθάνῃς. [25]καὶ ἐὰν ἀκούσωσιν
οἱ ἄρχοντες ὅτι ἐλάλησά σοι, καὶ ἔλθωσιν πρὸς σὲ καὶ εἴπωσίν σοι
Ἀνάγγειλον ἡμῖν τί ἐλάλησέν σοι ὁ βασιλεύς; μὴ κρύψῃς ἀφ᾿ ἡμῶν,
26 καὶ οὐ μὴ ἀνέλωμέν σε· καὶ τί ἐλάλησεν πρὸς σὲ ὁ βασιλεύς; [26]καὶ
ἐρεῖς αὐτοῖς Ῥίπτω ἐγὼ τὸν ἔλεόν μου κατ᾿ ὀφθαλμοὺς τοῦ βασιλέως

17 βασιλεω ℵ* vid (ς superscr ℵ?) | ζησεται] pr και ℵA 18 και εαν] εαν ℵAQ δε Qmg | εξελθης] ελθης ℵ* (εξελθ. ℵ?) + α′ ※ συ προς τους αρχοντας βασιλεως Βαβυλωνος Qmg | δοθησεται] παραδοθησεται A | των Χαλδαιων (-δεων ℵ)] βασιλεως Βαβυλωνος A | καυσουσιν] κατακαυσουσιν Qmg | σωθης] + α′ ※ εκ χειρος αυτων Qmg 19 βασιλευς] + Σεδεκιας ℵ | τω Ιερεμια] om τω ℵ | Ιουδεων ℵ | πεφευοτων ℵ* (γ superscr ℵ?) | Χαλδεους ℵ: item 23 20 παραδωσιν (-σειν Bab)] παραδωσουσιν ℵAQ | ακουσον] pr και ℵ + ※ δη Qmg | τον λογον] om τον A 21 θελεις] βουλη A | ουτος ℵAQ | μοι] σοι ℵ* (μοι ℵc.a(?)) 22 οικεια Q* | βασιλεως 1°] pr του ℵ | βασιλεως Ιουδα sup ras et in mg Aa (om βασ. A* vid) | εξαγοντο Qb?c? | αρχοντας βασιλεως] βασιλεα Q* (τους αρχ. βασιλεως Qmg) | ελεγον] λεξουσι] Qb? | ηπατησεν A | δυνησονται] ηδυνασθησαν Q | καταλυσουσιν] κατισχυσουσιν Q | ποδα ℵ* (ποδας ℵc.a) ποδος Qa | απεστρεψαν] απεστρεψεν ℵ* και απεστρεψα ℵc.a και απεστρεψαν A 23 τα τεκνα σου και τας γυναικας σου A | τας γυναικας] pr ※ πασας Qmg | εξαξουσι Qa | σωθης] σωθηση + θ′ ※ εκ της χειρος αυτου Qmg | εν χειρι] εις χειρας A | συλλημφθηση (συλληφθ. Qa)] παραδοθηση A | κατακαυθησεται] + εν πυρι Qmg 24 συ] σοι A 25 ελαλη Q* (σα superscr Qmg) | ελθωσι, ειπωσι Qa | ελαλησεν σοι ο βασιλευς] ελαλησας προς τον βασιλεα Q* (ελαλησεν σοι ο β. Qmg) | om σοι ℵ* (superscr ℵc.a(?)) | κρυψης] pr δη A 26 τον ελεον] το ελεος ℵAQ

B πρὸς τὸ μὴ ἀποστρέψαι με εἰς οἰκίαν Ἰωναθὰμ ἀποθανεῖν ἐκεῖ. [27]καὶ 27
ἤλθοσαν πάντες οἱ ἄρχοντες πρὸς Ἰερεμίαν καὶ ἠρώτησαν αὐτόν· καὶ
ἀνήγγειλεν αὐτοῖς κατὰ πάντας τοὺς λόγους τούτους οὓς ἐνετείλατο
αὐτῷ ὁ βασιλεύς· καὶ ἀπεσιώπησαν, ὅτι οὐκ ἠκούσθη λόγος Κυρίου.
[28]καὶ ἐκάθισεν Ἰερεμίας ἐν τῇ αὐλῇ τῆς φυλακῆς ἕως χρόνου οὗ 28
συνελήμφθη Ἰερουσαλήμ.

[1]Καὶ ἐγένετο τῷ μηνὶ τῷ ἐνάτῳ τοῦ Σεδεκία βασιλέως Ἰούδα 1 XLVI (XXXIX)
παρεγένετο Ναβουχοδονοσὸρ βασιλεὺς Βαβυλῶνος καὶ πᾶσα ἡ
δύναμις αὐτοῦ ἐπὶ Ἰερουσαλήμ, καὶ ἐπολιόρκουν αὐτήν. [2]καὶ ἐν 2
τῷ ἐνδεκάτῳ ἔτει τοῦ Σεδεκία ἐν τῷ μηνὶ τῷ τετάρτῳ ἐνάτῃ τοῦ
μηνὸς ἐρράγη ἡ πόλις, [3]καὶ εἰσῆλθον πάντες οἱ ἡγούμενοι βασιλέως 3
Βαβυλῶνος, καὶ ἐκάθισαν ἐν πύλῃ τῇ μέσῃ, Μαργανασὰρ καὶ Σαμαγὼθ
καὶ Ναβουσαχὰρ καὶ Ναβουσαρείς, Ναγαργασνασέρ, Ῥαβαμάθ, καὶ
οἱ κατάλοιποι ἡγεμόνες βασιλέως Βαβυλῶνος. [14]καὶ ἀπέστειλαν καὶ 14

ℵAQ 28 αποστρεψαι] επιστρεψαι (-ψε ℵ*) ℵA | om με ℵ* (superscr ℵ$^{c.a(?)}$) A | οικειαν B* (-κιαν B^{b}) | Ιωναθαν ℵAQ | αποθανειν] pr και Q 27 ηλθοσαν] ηλθαν ℵA ηλθον Q | αρχοντλες ℵ^{vid} | απεσιωπησαν] εσιωπησαν A 28 συνεληφθη Q^{a} | Ιερουσαλημ] + η πολεις A XLVI 1 εγενετο] + θ' ※ ηνικα κατεληφθη Ιερουσαλημ Q^{mg} | τω μηνι] εν τω μηνι ℵ εν τω ετει AQ | Σεδεκια B^{*b}] Σεδεκιου B^{ab}ℵAQ | Ιουδα] + εν τω μηνι τω δεκατω AQ | παρεγενοντο ℵ | βασιλευς] βασιλεως ℵA | επολιορκει A 2 Σεδεκια B* ℵ] Σεδεκιου B^{ab}AQ 3 ηγουμενοι] ηγεμονες ℵAQ | πυλη] pr τη A | Μαργανασαρ και Σαμαγωθ] Μαργαννασαρ Σαμαγωθ ℵ Νηργελ' Σασασαρ' Εισσαμαγαθ' A Νηργες Σαρασαρ Σαμαγαδ Q Νηργελ Σαρασαρ Σαμαγαρ Q^{mg} | Ναβουσαχαρ] Ναβουσαραχ Q Σαρσαχειμ Q^{mg} | om και 5° ℵ | Ναβουσαρεις] Ναβουσεεις ℵ* Ναβουσαρις ℵ$^{?}$Q Ραβσαρις Q^{mg} | Ναγαργασνασερ (Ναγαργας Νασερραβ. dist B)] pr και AQ Νασερ ℵ*AQ Νηρεα Σαρσαρ Q^{mg} | Ραβαμαθ] Ρα'ματ ℵ* Βαματ ℵ$^{c.a(?)}$ Ραβαμακ A Ραβαμαγ Q | και οι καταλοιποι...Βαβυλωνος] θ' ϗ παντες οι επιλοιποι αρχοντες βασιλεως Βαβ. Q^{mg} | οι καταλοιποι] pr παντες Q^{mg} | ηγεμονες] μεγιστανες Q^{mg} | Βαβυλωνος] + θ' ※ (4) εγενετο δε ηνικα ιδεν αυτους Σεδεκιας βασιλευς Ιουδα ϗ παντες οι ανδρες του πολεμου ϗ εφυγο̄| ϗ εξηλθον νυκτος εκ της πολεως οδον κηπου του βασιλεως της πυλης ανα μεσον των τειχεων ϗ εξηλθον οδον την αραβα (5) ϗ κατεδιωξεν δυναμις Χαλδαιων κατοπισθε̄| αυτων ϗ κατελαβον το̄| Σεδεκιαν εν αραβωθ Ιεριχω ϗ ελαβον αυτον ϗ ανηγαγον αυτο̄| προς Ναβουχοδονοσορ προς βασιλεα Βαβυλωνος εν Ρεβλαθα εν γη Αιμαθ ϗ ελαλησεν μετ αυτου κριματα (6) ϗ εσφαξεν βασιλευς Βαβυλωνος τους υιους Σεδεκιου εν Δεβλαθα κατ οφθαλμους αυτου ϗ παντας τους ελευθερους Ιουδα εσφαξεν (7) ϗ τους οφθαλμους Σεδεκιου εξετυφλωσεν ϗ εδησεν αυτον εν παιδες χαλκαις του αγαγειν αυτον εις Βαβυλωνα ϗ δουναι αυτον εις οικο̄| του μυλωνος (8) ϗ τον οικον του βασιλεως ϗ το̄| οικον του λαου ενεπρησαν οι Χαλδαιοι εν πυρι ϗ το τειχος του λαου καθειλον (9) ϗ το λοιπον του λαου τους υπολειφθεντας εν τη πολει ϗ τους εμπεσοντας οι ενεπεσαν αυτω ϗ το λοιπον του λαου των καταλελιμμενων απωκισεν Ναβουζαρδαν ο αρχιμαγιρος εις Βαβυλωνα (10) απο δε του λαου των πενητων οις ουκ υπηρχεν ουδεν κατελειπεν Ναβουζαρδαν ο αρχιμαγιρος εν γη Ιουδα ϗ εδωκεν αυτοις αμπελωνας ϗ υδρευματα εν τη

ἔλαβον τὸν Ἰερεμίαν ἐξ αὐλῆς τῆς φυλακῆς, καὶ ἔδωκαν αὐτὸν πρὸς B
τὸν Γοδολίαν υἱὸν Ἀχεικὰμ υἱοῦ Σαφάν, καὶ ἐξήγαγον αὐτόν, καὶ
15 ἐκάθισεν ἐν μέσῳ τοῦ λαοῦ. [15]καὶ πρὸς Ἰερεμίαν ἐγένετο λόγος
16 Κυρίου ἐν τῇ αὐλῇ τῆς φυλακῆς λέγων [16]Πορεύου καὶ εἰπὸν πρὸς
Ἀβδεμέλεχ τὸν Αἰθίοπα Οὕτως εἶπεν Κύριος ὁ θεὸς Ἰσραήλ Ἰδοὺ
ἐγὼ φέρω τοὺς λόγους μου ἐπὶ τὴν πόλιν ταύτην εἰς κακὰ καὶ οὐκ εἰς
17 ἀγαθά, [17]καὶ σώσω σε ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ οὐ μὴ δώσω σε εἰς
18 χεῖρας τῶν ἀνθρώπων ὧν σὺ φοβῇ ἀπὸ προσώπου αὐτῶν. [18]ὅτι
σώζων σώσω σε, καὶ ἐν ῥομφαίᾳ οὐ μὴ πέσῃς· καὶ ἔσται ἡ ψυχή σου
εἰς εὕρεμα, ὅτι ἐπεποίθεις ἐπ' ἐμοί, φησὶν Κύριος.

XLVII (XL) 1 [1]Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἰερεμίαν μετὰ τὸ ἀποστεῖλαι αὐτὸν Ναβουζαρδὰν τὸν ἀρχιμάγειρον τὸν ἐκ Δαμάν, ἐν τῷ λαβεῖν αὐτὸν ἐν χειροπέδαις ἐν μέσῳ ἀποικίας Ἰούδα τῶν ἠγμένων εἰς Βαβυλῶνα.

2 [2]Καὶ ἔλαβεν αὐτὸν ὁ ἀρχιμάγειρος καὶ εἶπεν αὐτῷ Κύριος ὁ θεός
3 σου ἐλάλησεν τὰ κακὰ ταῦτα ἐπὶ τὸν τόπον τοῦτον, [3]καὶ ἐποίησεν
4 Κύριος, ὅτι ἡμάρτετε αὐτῷ καὶ οὐκ ἠκούσατε αὐτοῦ τῆς φωνῆς. [4]ἰδοὺ
ἔλυσά σε ἀπὸ τῶν χειροπέδων τῶν ἐπὶ τὰς χεῖράς σου· εἰ καλὸν
ἐναντίον σου ἐλθεῖν μετ' ἐμοῦ εἰς Βαβυλῶνα, καὶ θήσω τοὺς ὀφθαλ-
5 μούς μου ἐπὶ σέ· [5]εἰ δὲ μή, ἀπότρεχε, ἀνάστρεψον πρὸς τὸν Γοδολίαν

ημερα εκεινη (11) ϗ ενετειλατο Ναβουχοδονοσορ βασιλευς Βαβυλωνος προς Ιερεμιαν εν χειρι Ναβουζαρδαν του αρχιμαγιρου λεγων (12) λαβε αυτο̄| και τους οφθαλμους σου θες επ αυτον ϗ μη ποιησης αυτω μηδεν κακον οτι αλλ η καθοτι εαν λαλησῃ προς σε ουτως ποιησον μετ αυτου (13) ϗ απεστειλεν Ναβουζαρδαν ο αρχιμαγιρος ϗ Ναβουσαζαβαν Ραβσαρις και Νηργελ Σαρασαρ Ροβομογ Q^{mg} 14 αυλης] αυτης ℵ* | τον Γοδολιαν] om τον AQ | Αχικαμ ℵAQ | υιου] υιον A | εκαθισεν] εκαθισαν A (-θεισ.) Q 15 εν τη αυλη] pr α'θ' ※ οντος αυτου συνεχομενου Q^{mg} 16 Εθιοπαν ℵ* | επι την πολιν] εις την γην A | αγαθα] + ※ ϗ εσονται κατα προσωπο̄| σου εν τη ημερα εκεινη Q^{mg} 17 om μη ℵQ | δωσω] παραδωσω A | χειρας] pr τας ℵ | των ανθρωπων] om των A 18 επεποιθεις] πεποιθεις ℵ XLVII 1 γεναμενος A | προς Ιερεμιαν παρα κ̅υ̅ Q | μετα] pr υστερον AQ | τον εκ Δαμαν] εκ Ραμα A εκ Δραμα Q εκ Ρεμαθ Q^{mg} | εν τω λαβειν] οτι ελαβο| Q^{mg} | αυτον 2°] + α'σ' ※ δεδεμενον Q^{mg} | αποικιας (-κειας ℵ)] pr πασης Q^{mg} | Ιουδα] Ιλ̅η̅μ̅ Q^{mg} | ηγμενων] απαγομενω̄| A αγομενων Q 2 αυτον] αυτο A | om σου A | ελαλησεν] εχρηματισεν Q^{mg} 3 ημαρτετε] ημαρτητε $B^{* vid}$ (ε 1° sup ras $B^{?}$) A | ηκουσατε] εισηκουσατε A | της φωνης αυτου AQ + α'θ' ※ και εγενηθη υμιν το ρημα τουτο (4) και νῡ| Q^{mg} 4 επι 1°] υπο A | και θησω] pr ηκε ℵQ ηκε θησω A | σε 2°] σοι ℵQ + ϗ ει πονηρον εν οφθαλμοις σου ελθειν μετ εμου εις Βαβυλωνα (※) παυσαι ιδου πασα η γη εναντιο̄| σου εις αγαθον ϗ εις το ευθες πορευθηναι εκει πορευου Q^{mg} 5 ει δε μη αποτρεχε αναστρεψον] ει δε μη αποτρεχε (αποστρεχε ℵ*) και αναστρεψον (-στρεφε Q^{mg}) ℵQ ει δε μη αποστρεψον και αποτρεχε A ※ ϗ πριν η απαλλαγω εγω ετι εμου ουκ επιστρεψεις αποτρεχε συ Q^{mg} | τον Γοδολιαν] om τον ℵAQ ℵAQ

B υἱὸν Ἀχεικὰμ υἱοῦ Σαφάν, ὃν κατέστησεν βασιλεὺς Βαβυλῶνος ἐν
γῇ Ἰούδα, καὶ οἴκησον μετ' αὐτοῦ ἐν μέσῳ τοῦ λαοῦ ἐν γῇ Ἰούδα·
εἰς ἅπαντα τὰ ἀγαθὰ ἐν ὀφθαλμοῖς σου τοῦ πορευθῆναι, πορεύου.
καὶ ἔδωκεν αὐτῷ ὁ ἀρχιμάγειρος δῶρα καὶ ἀπέστειλεν αὐτόν. [6]καὶ 6
ἦλθεν πρὸς Γοδολίαν εἰς Μασσηφά, καὶ ἐκάθισεν ἐν μέσῳ τοῦ λαοῦ
τοῦ καταλειφθέντος ἐν τῇ γῇ. [7]Καὶ ἤκουσαν πάντες οἱ ἡγεμόνες 7
τῆς δυνάμεως τῆς ἐν ἀγρῷ, αὐτοὶ καὶ οἱ ἄνδρες αὐτῶν, ὅτι κατέστησεν
βασιλεὺς Βαβυλῶνος τὸν Γοδολίαν ἐν τῇ γῇ, καὶ παρεκατέθεντο αὐτῷ
ἄνδρας καὶ γυναῖκας αὐτῶν οὓς οὐκ ἀπῴκισεν εἰς Βαβυλῶνα. [8]καὶ 8
ἦλθεν πρὸς Γοδολίαν εἰς Μασσηφὰ Ἰσμαὴλ υἱὸς Ναθανίου καὶ Ἰωνὰν
υἱὸς Καρῆε καὶ Σαραιὰ υἱὸς Θαναέμαιθ καὶ υἱοὶ Ἰωφὲ τοῦ Νετωφατεὶ
καὶ Ἰεζονίας υἱὸς τοῦ Μοχατεί, αὐτοὶ καὶ οἱ ἄνδρες αὐτῶν. [9]καὶ 9
ὤμοσεν αὐτοῖς Γοδολίας καὶ τοῖς ἀνδράσιν αὐτῶν λέγων Μὴ φοβηθῆτε
ἀπὸ προσώπου παίδων τῶν Χαλδαίων· κατοικήσατε ἐν τῇ γῇ καὶ
ἐργάσασθε τῷ βασιλεῖ Βαβυλῶνος, καὶ βέλτιον ἔσται ὑμῖν. [10]καὶ 10
ἰδοὺ ἐγὼ κάθημαι ἐναντίον ὑμῶν εἰς Μασσηφὰ στῆναι κατὰ πρόσω-
πον τῶν Χαλδαίων οἳ ἂν ἔλθωσιν ἐφ' ὑμᾶς· καὶ ὑμεῖς συναγάγετε
οἶνον καὶ ὀπώραν καὶ ἔλαιον, καὶ βάλετε εἰς τὰ ἀγγεῖα ὑμῶν, καὶ οἰκή-
σατε ἐν ταῖς πόλεσιν αἷς κατεκρατήσατε. [11]καὶ πάντες οἱ Ἰουδαῖοι οἱ 11
ἐν Μωὰβ καὶ ἐν υἱοῖς Ἀμμὼν καὶ οἱ ἐν τῇ Ἰδουμαίᾳ καὶ οἱ ἐν πάσῃ τῇ
γῇ ἤκουσαν ὅτι ἔδωκεν βασιλεὺς Βαβυλῶνος κατάλιμμα τῷ Ἰούδᾳ, καὶ
ὅτι κατέστησεν ἐπ' αὐτοὺς τὸν Γοδολίαν υἱὸν Ἀχεικάμ. [12]καὶ ἦλθον 12
πρὸς Γοδολίαν εἰς γῆν Ἰούδα εἰς Μασσηφά, καὶ συνήγαγον οἶνον καὶ
ὀπώραν πολλὴν σφόδρα καὶ ἔλαιον. [13]Καὶ Ἰωανὰν υἱὸς Καρῆε 13

ℵAQ 5 Αχικαμ ℵAQ | υιου] υιον ℵ*A | εν γη Ιουδα εις απαντα τα αγαθα εν] εις παντα τα αγαθα εν γη ℵ* (om γη ℵ?) εις παντα τα αγαθα εν Q* εν γη I. εις π. τα αγ. Qmg | πορευου] pr και A | δωρα] pr εστιατοριαν και Q 6 Μασσηφαθ Q | γη] η ℵ* (γ superscr ℵ?) 7 αυτοι]+και η δυναμεις αυτων A | οι ανδρες] η δυναμις Q | τον Γ.] incep τω ℵ* (τον Γ. ℵ?) | παρεκατεθεντο] παρεκατεθετο ℵ* (παρακατ. ℵ?) οτι παρεκατεθετο Q | ουκ απωκισεν] κατωκισεν ℵ ου κατωκεισεν A | Βαβυλονα ℵ 8 ηλθον Q | Γοδολιαν] Γαλαδιαν Qmg | Μασσηφα] Μασηφαθ Q | Ιωναν ℵ Ιωανναν AQ | Σαραιας ℵAQ | Θαναεμαιθ] Ναθαναεμεθ ℵ Θαναεμεθ AQ | om και 4° Q | Ιωφε] Ωφε ℵ Ωφετ A Ιωφεθ (sub θ' ut vid) Qmg | Νετωφατει] Νεωφατι ℵ Νετωφατι Q | Μοχατει] Μωχατει A Μααχαθι Q 9 παιδων] pr των ℵAQmg om Q* | Χαλδεων ℵ: item 10 | εργασασθε] εργαζεσθε A (-θαι) Q 10 εγω] καγω Q* (εγω Qmg) | om εναντιον υμων Q | εις 1°] εν ℵQ | Μασηφα ℵQ | οι] οι ℵ* | αν] εαν ℵA | συναγετε Q* (συναγαγ. Qa) | ελαιον] pr συναγαγετε AQ | βαλετε] εμβαλετε Qmg | αγγια ℵAQ* | οικησεται A 11 Ιουδεοι ℵ | om οι 2° ℵ | Μωαβ (Μωα ℵ*)] pr γη ℵAQ | εν υιοις] pr οι ℵAQ | Ιδουμαια] Ιουδαια ℵ* (Ιδ. ℵc.a(?)) | καταλιμμα (-λειμμα Ba?Q)] τα καταλιμματα A | Αχικαμ ℵAQ 13 Ιωαναν Bab (superscr ι et ανα sup ras) ℵ] Ιωανναν AQ

καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ ἐν τοῖς ἀγροῖς ἦλθον πρὸς B
14 τὸν Γοδολίαν εἰς Μασσηφὰ [14]καὶ εἶπαν αὐτῷ Εἰ γνώσει γινώσκεις ὅτι
Βελεισὰ βασιλεὺς υἱῶν Ἀμμὼν ἀπέστειλεν πρὸς σὲ τὸν Ἰσμαὴλ
15 πατάξαι σου ψυχήν; καὶ οὐκ ἐπίστευσεν αὐτοῖς Γοδολίας. [15]καὶ
Ἰωανὰν εἶπεν τῷ Γοδολίᾳ κρυφαίως ἐν Μασσηφά Πορεύσομαι δὴ καὶ
πατάξω τὸν Ἰσμαήλ, καὶ μηθεὶς γνώτω, μὴ πατάξῃ σου ψυχὴν καὶ
διασπαρῇ πᾶς Ἰουδὰ οἱ συνηγμένοι πρὸς σὲ καὶ ἀπολοῦνται οἱ κατά-
16 λοιποι Ἰούδα. [16]καὶ εἶπεν Γοδολίας πρὸς Ἰωανάν Μὴ ποιήσῃς τὸ
πρᾶγμα τοῦτο, ὅτι ψευδῆ σὺ λέγεις ὑπὲρ Ἰσμαήλ.

XLVIII (XLI)
1 [1]Καὶ ἐγένετο τῷ μηνὶ τῷ ἑβδόμῳ ἦλθεν Ἰσμαὴλ υἱὸς Ναθανίου
υἱοῦ Ἐλασὰ ἀπὸ γένους τοῦ βασιλέως, καὶ δέκα ἄνδρες μετ' αὐτοῦ,
2 πρὸς Γοδολίαν εἰς Μασσηφά, καὶ ἔφαγον ἐκεῖ ἄρτον ἅμα. [2]καὶ
ἀνέστη Ἰσμαὴλ καὶ οἱ δέκα ἄνδρες οἳ ἦσαν μετ' αὐτοῦ, καὶ ἐπάταξαν
3 τὸν Γοδολίαν, ὃν κατέστησεν βασιλεὺς Βαβυλῶνος ἐπὶ τῆς γῆς, [3]καὶ
πάντας τοὺς Ἰουδαίους τοὺς ὄντας μετ' αὐτοῦ ἐν Μασσηφὰ καὶ
4 πάντας τοὺς Χαλδαίους τοὺς εὑρεθέντας ἐκεῖ. [4]καὶ ἐγένετο τῇ
ἡμέρᾳ τῇ δευτέρᾳ πατάξαντος αὐτοῦ τὸν Γοδολίαν, καὶ ἄνθρωπος
5 οὐκ ἔγνω, [5]καὶ ἦλθοσαν ἄνδρες ἀπὸ Συχὲμ καὶ ἀπὸ Σαλὴμ καὶ ἀπὸ
Σαμαρίας, ὀγδοήκοντα ἄνδρες, ἐξυρημένοι πώγωνας καὶ διερρηγμένοι
τὰ ἱμάτια καὶ κοπτόμενοι, καὶ μάννα καὶ λίβανος ἐν χερσὶν αὐτῶν
6 τοῦ εἰσενεγκεῖν εἰς οἶκον Κυρίου. [6]καὶ ἐξῆλθεν εἰς ἀπάντησιν

13 ηλθαν A | τον Γοδολιαν] om τον ℵAQ 14 γινωσκει Q (-σκεις Q^{a}) | ℵAQ Βελεισα (Βενεσα ℵ* -λεισα ℵ$^{c.a}$ Βελισα Q Βααλις Q^{mg}) βασιλευς υιων Αμμων] βασιλευς υιων Αμμων Βελισα A | Ισμαηλ]+υιον Ναθανιου Q^{mg} | ψυχην σου Q | αυτοις] αυτω ℵ 15 Ιωαναν (Ανναν ℵ* Ιωαναν ℵ$^{c.a}$ Ιωανναν A) ειπεν] ειπεν Ιωαννας Q | κρυφαιως] incep εκρ ℵ* | εν] εις A | πορευομαι ℵ | παξω Q* (πατ. Q^{a}) | μηδεις A | μη]+ποτε AQ | διασπαρη πας Ιουδα (Ιουδας B$^{b\,(fort)}$ℵ$^{c.a}$Q)] διασπαρησονται παντες οι Ιουδαιοι A | οι συνηγμ.] om οι ℵ* (superscr ℵ$^{c.a}$) | συν|ηγμενοι B* συ|νηγμ. B$^{?}$ | καταλοιποι (-πα B* -ποι B^{ab})] επιλοιποι Q 16 Ιωανναν ℵ*AQ | πραγμα] ρημα Q | υπερ] περι ℵQ^{a} κατα A | Ισμαηλ] pr του A XLVIII 1 Ναθανιου] incep Ναθαλ ℵ* | υιου] υιος ℵ* | Ελασα] Ελεσα ℵ Ελεασα Q | δεκα] δωδεκα ℵ | Γοδολιαν (Γολιαν ℵ*)]+υιον Αχικαμ Q^{mg} | Μασσηφαθ Q^{mg} | αρτον εκει ℵ | αμα]+εις Μασσηφαθ Q^{mg} 2 Ισμαηλ]+υιος Ναθανιου Q^{mg} | δεκα] δωδεκα ℵ | ανδες ℵ* | μετ] incep μεμ ℵ* | επαταξεν Q | Γοδολιαν (Γολιαν ℵ*)]+υιον Αχικαμ υιου Σαφαν εν ρομφαια ϗ απεκτειναν αυτō| Q^{mg} | βασιλευς] pr ο AQ 3 Ιουδεους ℵ | εν] εις B$^{*\,fort}$ (in ν ras aliq B$^{?}$) A | Χαλδεους ℵ | εκει]+ϗ τους ανδρας του πολεμου επαταξεν Ισμαηλ Q^{mg} 4 παταξαντος] παισαντος Q^{mg} | αυτου] εκει του Ισμαηλ Q^{mg} 5 ηλθοσαν] ηλθον Q* (-θοσαν Q^{mg}) | om και 2° Q | Σαλωμ A | Σαμαρειας B^{b}AQ | ογδοηκοντα] π' ℵ | διερρηγμενοι] διερρηχοτες AQ | om τα ιματια και κοπτομενοι ℵ* (hab ℵ$^{c.a\,mg}$) | μανναα Q α' δωρα σ' ουσια Q^{mg} | χερσιν] χειρι ℵ pr ταις AQ | εισενεγκαι AQ | εις οικον] εν τω οικω ℵ

B αὐτοῖς Ἰσμαήλ, αὐτοὶ ἐπορεύοντο καὶ ἔκλαιον, καὶ εἶπεν αὐτοῖς
Εἰσέλθετε πρὸς Γοδολίαν. 7 καὶ ἐγένετο εἰσελθόντων αὐτῶν εἰς τὸ 7
μέσον τῆς πόλεως ἔσφαξεν αὐτοὺς εἰς τὸ φρέαρ. 8 καὶ δέκα ἄνδρες 8
εὑρέθησαν ἐκεῖ καὶ εἶπαν τῷ Ἰσμαήλ Μὴ ἀνέλῃς ἡμᾶς, ὅτι εἰσὶν ἡμῖν
θησαυροὶ ἐν ἀγρῷ, πυροὶ καὶ κριθαί, μέλι καὶ ἔλαιον· καὶ παρῆλθεν
καὶ οὐκ ἀνεῖλεν αὐτοὺς ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν. 9 καὶ τὸ 9
φρέαρ εἰς ὃ ἔριψεν ἐκεῖ Ἰσμαὴλ πάντας οὓς ἐπάταξεν, φρέαρ μέγα
τοῦτό ἐστιν ὃ ἐποίησεν ὁ βασιλεὺς Ἀσὰ ἀπὸ προσώπου Βαασὰ
βασιλέως Ἰσραήλ· τοῦτο ἐνέπλησεν Ἰσμαὴλ τραυματιῶν. 10 καὶ 10
ἀπέστρεψεν Ἰσμαὴλ πάντα τὸν λαὸν τὸν καταλειφθέντα εἰς Μασ-
σηφὰ καὶ τὰς θυγατέρας τοῦ βασιλέως, ἃς παρεκατέθετο ὁ ἀρχιμά-
γειρος τῷ Γοδολίᾳ υἱῷ Ἀχεικάμ, καὶ ᾤχετο εἰς τὸ πέραν υἱῶν Ἀμμών.
11 καὶ ἤκουσεν Ἰωανὰν υἱὸς Καρῆε καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνά- 11
μεως οἱ μετ' αὐτοῦ πάντα τὰ κακὰ ἃ ἐποίησεν Ἰσμαήλ, 12 καὶ ἤγαγον 12
ἅπαν τὸ στρατόπεδον αὐτῶν καὶ ᾤχοντο πολεμεῖν αὐτόν, καὶ εὗρον
αὐτὸν ἐπὶ ὕδατος πολλοῦ ἐν Γαβαών, 13 καὶ ἐγένετο ὅτε εἶδεν πᾶς ὁ 13
λαὸς ὁ μετὰ Ἰσμαὴλ τὸν Ἰωανὰν καὶ τοὺς ἡγεμόνας τῆς δυνάμεως τῆς
μετ' αὐτοῦ, 14 καὶ ἀνέστρεψαν πρὸς Ἰωανάν. 15 καὶ Ἰσμαὴλ ἐσώθη σὺν 14 15
ὀκτὼ ἀνθρώποις, καὶ ᾤχετο πρὸς τοὺς υἱοὺς Ἀμμών. 16 καὶ ἔλαβεν 16
Ἰωανὰν καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ μετ' αὐτοῦ πάντας
τοὺς καταλοίπους τοῦ λαοῦ οὓς ἀπέστρεψεν ἀπὸ Ἰσμαήλ, δυνατοὺς ἄν-

ℵAQ 6 om Ισμαηλ ℵ* (hab ℵc.a(?)mg) | αυτοι] pr και A | om αυτοις 2° ℵQ | εισ-ελθατε A 7 το μεσον] om το ℵ | αυτους] + Ισμαηλ υιος Ναθανιου ϗ ερριψεν αυτους Qmg | φρεαρ] + αυτος ϗ οι ανδρες οι μετ αυτου Qmg 8 δεκα] ι' ℵ | μελι] pr και Q | παρηλθον Q* | ανειλον Q 9 φρεαρ 1°] φρεα ℵ* | ερριψεν BbNc.b(?)AQ | om εκει Q | Εισμαηλ (1°) ℵ | ους] τους ℵ* | επαταξεν] απε-κτεινεν Q | ο βασιλευς Ασα] βασιλευς Βαβυλωνος ℵ βασ. Ασα Qa | om Βαασα ℵ | Ισραηλ] Ι̅η̅σ̅λ ℵ | ενεπλησεν] επλησεν Q | Ισμαηλ 2°] μ sup ras B1(fort) (Ισρ. B* vid) | τραυματιωον ℵ* 10 Εισμαηλ A | εις 1°] εν Q | ο αρχιμαγειρος] om ο ℵ* (superscr ℵc.a(?)) pr Ναβουζαρδα̅| Qmg | Αχεικαμ] Χεικαμ ℵ* (α superscr ℵc.a(?)) Αχικαμ AQ | και 3°] pr ϗ ωρθρισεν Ισμαηλ υιος Ναθανιου Qmg | υ|ιων B* υι|ων B1 11 Ιωανναν Q 12 απαν] παν ℵ | και 2°] pr η ℵ* (improb ℵ?) | ωχοντο (ωχοντος A) πολεμειν αυτον] επορευθησαν πολεμησαι προς Ι̅η̅λ̅ Qmg | Γαβαω (in fin lin) B 13 ειδεν] ειδον ℵA ιδον Q + αυτον A | ο μετα] om ο A | Εισμαηλ ℵ: item 15 | τον (ο rescr ℵ? vid) Ιωαναν] τον Ιωανναν AQ + υιον Καρηε Qmg | τους ηγεμονας] pr παντας AQ | της μετ αυτ.] τους μετ αυτ. ℵQ 14 και...Ιωαναν (Ιωανναν ℵ*AQ)] ϗ εχαρησαν ϗ απεστρεψεν πας ο λαος ον ηχμαλωτευσεν Ισμαηλ εκ της Μασσηφα ϗ ανα-στρεψαντες ηλθο̅| προς Ιωαναν υιον Καρηε Qmg 15 και Ισμ.] ο δε Ισμ. Q + υιος Ναθανιου Qmg | συν] εν ℵ | ανθρωποις] + απο προσωπου Ιωανα̅| Qmg 16 Ιαωνα̅| ℵ* Ιαωανα̅| ℵ? Ιωανναν AQ | απεστρεψεν 1°] απεστρεψαν A | Ισμαηλ] + θ' ※ υιου Ναθανιου εκ της Μασσηφα μετα το παταξαι Γοδολιαν υιον Αχικαμ Qmg

δρας ἐν πολέμῳ, καὶ τὰς γυναῖκας καὶ τὰ λοιπὰ καὶ τοὺς εὐνούχους οὓς B
17 ἀπέστρεψεν ἀπὸ Γαβαών, [17] καὶ ᾤχοντο καὶ ἐκάθισαν ἐν Γαβηρωχαμάα
18 τὴν πρὸς Βηθλέεμ, τοῦ πορευθῆναι εἰς Αἴγυπτον [18] ἀπὸ προσώπου
τῶν Χαλδαίων, ὅτι ἐφοβήθησαν ἀπὸ προσώπου αὐτῶν· ὅτι ἐπάταξεν
Ἰσμαὴλ τὸν Γοδολίαν, ὃν κατέστησεν βασιλεὺς Βαβυλῶνος ἐν τῇ γῇ.
XLIX (XLII) 1 [1] Καὶ προσῆλθον πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως καὶ Ἰωανὰν καὶ
Ἀζαρίας υἱὸς Μαασαίου καὶ πᾶς ὁ λαὸς ἀπὸ μικροῦ καὶ ἕως μεγάλου
2 [2] πρὸς Ἰερεμίαν τὸν προφήτην καὶ εἶπαν αὐτῷ Πεσέτω δὴ τὸ ἔλεος
ἡμῶν κατὰ πρόσωπόν σου, καὶ πρόσευξαι πρὸς Κύριον τὸν θεόν σου
περὶ τῶν καταλοίπων τούτων· ὅτι κατελείφθημεν ὀλίγοι ἀπὸ πολλῶν,
3 καθὼς οἱ ὀφθαλμοί σου βλέπουσιν. [3] καὶ ἀναγγειλάτω ἡμῖν Κύριος ὁ
θεός σου τὴν ὁδὸν ᾗ πορευσόμεθα ἐν αὐτῇ καὶ λόγον ὃν ποιήσομεν.
4 [4] καὶ εἶπεν αὐτοῖς Ἰερεμίας Ἤκουσα· ἰδοὺ προσεύξομαι πρὸς Κύριον
τὸν θεὸν ἡμῶν κατὰ τοὺς λόγους ὑμῶν. καὶ ἔσται, ὁ λόγος ὃν ἂν
ἀποκριθήσεται Κύριος, ἀναγγελῶ ὑμῖν, οὐ μὴ κρύψω ἀφ' ὑμῶν
5 ῥῆμα. [5] καὶ αὐτοὶ εἶπαν τῷ Ἰερεμίᾳ Ἔστω Κύριος ἐν ἡμῖν εἰς μάρτυρα
δίκαιον καὶ πιστόν, εἰ μὴ κατὰ πάντα τὸν λόγον ὃν ἂν ἀποστείλῃ
6 Κύριος πρὸς ἡμᾶς, οὕτως ποιήσομεν. [6] καὶ ἐὰν ἀγαθὸν καὶ ἐὰν κακόν,
τὴν φωνὴν Κυρίου τοῦ θεοῦ ἡμῶν, οὗ ἡμεῖς ἀποστέλλομέν σε πρὸς
αὐτόν, ἀκουσόμεθα, ἵνα βέλτιον ἡμῖν γένηται, ὅτι ἀκουσόμεθα τῆς
7 φωνῆς Κυρίου τοῦ θεοῦ ἡμῶν. [7] καὶ ἐγενήθη μετὰ δέκα ἡμέρας
8 ἐγενήθη λόγος Κυρίου πρὸς Ἰερεμίαν. [8] καὶ ἐκάλεσεν Ἰωανὰν καὶ
τοὺς ἡγεμόνας τῆς δυνάμεως καὶ πάντα τὸν λαὸν ἀπὸ μικροῦ καὶ ἕως

16 εν πολεμω] πολεμου ℵ* πολεμω ℵ$^{c.a}$ | τα λοιπα] τας λοιπας ℵ* (τα ℵAQ λοιπα ℵ$^{?}$) τα καταλοιπα Q | om ους 2° B*ℵ* (superscr B^{ab}ℵ$^{c.a(?)}$) | απεστρεψεν 2°] απεστραψαν ℵ* (-ψεν ℵ$^{c.a}$) απεστρεψαν A | Γαβαων] Γ sup ras B$^{?}$ (prius Ψ) 17 εκαθισεν ℵ | Γαβηρωχαμαα (χ sup ras B$^{?}$)] γη Βηρωχαμα ℵ γη Βηρωθχαμααμ A γη Βαρωθχαμααμ Q* (γη Βηρωθχ. Q^{mg}) | Βαιθλεεμ ℵ^{*vid} | πορευθηναι]+εισελθειν AQ 18 Χαλδεων ℵ | Γοδολιαν]+παντες ※ υιον Αχικαμ Q^{mg} | βασιλευς] pr ο Q XLIX 1 Ιωαννan AQ | Αζαριας] Ιεζονιας Q^{mg} | Μαασαιου] Ανναniου ℵ* Ανανιου ℵ$^{1(fort)}$ Ωσαιου ℵ$^{c.a}$Q Μασαιου A | μικρου]+αυτων ℵ | om και 5° ℵAQ 2 προς 1°] επι A | πεσατω ℵAQ | om σου 2° ℵ | καθως] καθοτι ℵQ | οι οφθαλμοι] om οι Q* (superscr Q^{a}) | βλεπουσι Q^{a} 3 ημιν] υμιν ℵ* | om σου A | η] ην ℵ εν η AQ 4 Ιερεμιας]+ο προφητης Q^{mg} | ιδου (δ sup ras B$^{?}$)]+εγω B^{ab}ℵAQ | τον θεον ημων κατα τους| λογους υ in mg et sup ras A^{a} (om προς K. τον θ. η. A^{*vid}) | τον θεον] om τον ℵQ | αν] εαν ℵ om AQ | υμων 2°] ημων ℵ* 5 om εν A | αν αποστειλη] απεστειλεν A+σε ℵ (σαι ℵ*) Q | ουτως] ου A 6 εαν 2°] εν ℵ* | της φωνης Q 7 μετα δεκα (ι' ℵ) ημερας] μεθ ημερας δεκα A | εγενηθη 2°] om ℵ* εγενετο ℵ$^{c.a\,mg}$Q 8 Ιωαναν (Ιωανναν Q)] pr τον ℵAQ | και 2° sup ras B^{ab} | τους ηγεμονας] pr παντας A | μικου ℵ* (superscr ρ ℵ$^{?}$) | om και 4° ℵAQ

B μεγάλου, [9]καὶ εἶπεν αὐτοῖς Οὕτως εἶπεν Κύριος [10]Ἐὰν καθίσαντες 9 10
καθίσητε ἐν τῇ γῇ ταύτῃ, οἰκοδομήσω ὑμᾶς καὶ οὐ μὴ καθελῶ, καὶ
φυτεύσω ὑμᾶς καὶ οὐ μὴ ἐκτίλω· ὅτι ἀναπέπαυμαι ἐπὶ τοῖς κακοῖς οἷς
ἐποίησα ὑμῖν. [11]μὴ φοβηθῆτε ἀπὸ προσώπου βασιλέως Βαβυλῶνος, 11
οὗ ὑμεῖς φοβεῖσθε ἀπὸ προσώπου αὐτοῦ· μὴ φοβηθῆτε, φησὶν Κύριος,
ὅτι μεθ' ὑμῶν ἐγὼ ἐξαιρεῖσθαι ὑμᾶς καὶ σώζειν ὑμᾶς ἐκ χειρὸς αὐτῶν.
[12]καὶ δώσω ὑμῖν ἔλεος, καὶ ἐλεήσω ὑμᾶς καὶ ἐπιστρέψω ὑμᾶς εἰς τὴν 12
γῆν ὑμῶν. [13]καὶ εἰ λέγετε ὑμεῖς Οὐ μὴ καθίσωμεν ἐν τῇ γῇ ταύτῃ 13
πρὸς τὸ μὴ ἀκοῦσαι φωνῆς Κυρίου, [14]ὅτι εἰς γῆν Αἰγύπτου εἰσελευσό- 14
μεθα, καὶ οὐ μὴ ἴδωμεν πόλεμον, καὶ φωνὴν σάλπιγγος οὐ μὴ ἀκού-
σωμεν, καὶ ἐν ἄρτοις οὐ μὴ πεινάσωμεν, καὶ ἐκεῖ οἰκήσομεν· [15]διὰ 15
τοῦτο ἀκούσατε λόγον Κυρίου Οὕτως εἶπεν Κύριος Ἐὰν ὑμεῖς δῶτε τὸ
πρόσωπον ὑμῶν εἰς Αἴγυπτον καὶ εἰσέλθητε ἐκεῖ κατοικεῖν, [16]καὶ 16
ἔσται, ἡ ῥομφαία ἣν ὑμεῖς φοβεῖσθε ἀπὸ προσώπου αὐτῆς εὑρήσει
ὑμᾶς ἐν γῇ Αἰγύπτου, καὶ ὁ λιμὸς οὗ ὑμεῖς λόγον ἔχετε ἀπὸ προσώ-
που αὐτοῦ καταλήμψεται ὑμᾶς ὀπίσω ὑμῶν ἐν Αἰγύπτῳ, καὶ ἐκεῖ
ἀποθανεῖσθε. [17]καὶ ἔσονται πάντες οἱ ἄνθρωποι καὶ πάντες οἱ 17
ἀλλογενεῖς, οἱ θέντες τὸ πρόσωπον αὐτῶν εἰς γῆν Αἰγύπτου ἐνοικεῖν
ἐκεῖ, ἐκλείψουσιν ἐν τῇ ῥομφαίᾳ καὶ ἐν τῷ λιμῷ, καὶ οὐκ ἔσται αὐτῶν
οὐθεὶς σωζόμενος ἀπὸ τῶν κακῶν ὧν ἐγὼ ἐπάγω ἐπ' αὐτούς. [18]ὅτι 18
οὕτως εἶπεν Κύριος Καθὼς ἔσταξεν ὁ θυμός μου ἐπὶ τοὺς κατοικοῦντας
Ἰερουσαλήμ, οὕτως στάξει ὁ θυμός μου ἐφ' ὑμᾶς, εἰσελθόντων ὑμῶν
εἰς Αἴγυπτον· καὶ ἔσεσθε εἰς ἄβατον καὶ ὑποχείριοι καὶ εἰς ἀρὰν καὶ
εἰς ὀνειδισμόν, καὶ οὐ μὴ ἴδητε οὐκέτι τὸν τόπον τοῦτον. [19]ἃ ἐλά- 19

ℵAQ 9 Κυριος]+θ' ※ θς̄ Ι̅η̅λ̅ προς ο̄| απεστειλατε με ριψαι ελεος υμων ενᾱ|τιον αυτου Qmg 10 οικοδομησω] pr και Q | om μη 1° ℵ* (superscr ℵc.a) | ανεπαυμε ℵ* (αναπεπαυμαι ℵ?) | επι τοις κακοις] απο των κακων ℵA | οις] ων ℵ | εποιησα] ειπα ποιησαι Q 11 βασιλεως] pr του Q | μη 2°] pr ου Q | υμων] ημων ℵ* | εγω] ειμι ℵ* (εγω ℵc.a mg) + ειμι AQ | εξαιρεισθαι] pr του ℵc.a(?) mg AQ | αυτων] αυτου ℵQ 12 ελεον ℵ* (ελεος ℵ?) | bis scr εις ℵ* (improb 1° ℵ?) 13 φωνης] pr της Q 14 γην] pr την ℵ | Αιγυπου ℵ | εισελευσομεθα] επελευσομεθα Q? | ακουσομεν A | om και εν αρτοις ου μη πεινασωμεν ℵ* (hab ℵc.a(?) mg) | οικησωμεν ℵ 15 λογον] λογους ℵQa | Κυριου] +α'θ' ※ οι καταλοιποι της Ιουδαιας Qmg | om ουτως ειπεν Κυριος ℵ* (hab ℵc.a(?) mg) 16 υμει B* (υμεις Bab) | εφοβεισθε ℵ* | γη Αιγυπτου] γη Αιγυπτω A Αιγυπτω Q | ο λιμος] om ο ℵ | εχετε] εχειτε A | καταλημψεται (-ληψ. Qa)] και καταλιψεται ℵ* και καταλημψ. ℵa 17 ανθρωποι] ανδρες Q | τη ρομφαια] της ρ. ℵ* om τη Q | τω λιμω] om τω Q + θ' ※ ϗ εν θανατω Qmg | ουθεις] ουδεις Q 18 Κυριος] + τω̄| δυναμεων θς̄ Ι̅η̅λ̅ Qmg | καθως] pr οτι A | μου 1°] + παντες ※ ϗ η οργη μου Qmg | αβατον] Αιγυπτον ℵ* (αβατον ℵc.a(?)) | om και 2° ℵ* (superscr ℵc.a(?)) | om εις 4° A | ιδητε] ειδητε ℵ 19 α] ουτως Qmg

λησεν Κύριος ἐφ' ὑμᾶς τοὺς καταλοίπους Ἰούδα Μὴ εἰσέλθητε B
20 εἰς Αἴγυπτον. καὶ νῦν γνόντες γνώσεσθε 20ὅτι ἐπονηρεύσασθε ἐν
ψυχαῖς ὑμῶν ἀποστείλαντές με λέγοντες Πρόσευξαι περὶ ἡμῶν πρὸς
21 Κύριον, καὶ Κατὰ πάντα ἃ ἐὰν λαλήσῃ σοι Κύριος ποιήσομεν. 21καὶ
22 οὐκ ἠκούσατε τῆς φωνῆς Κυρίου ἧς ἀπέστειλέν με πρὸς ὑμᾶς. 22καὶ
νῦν ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐκλείψετε ἐν τῷ τόπῳ οὗ ὑμεῖς βούλεσθε
L (XLIII) 1 εἰσελθεῖν κατοικεῖν ἐκεῖ. 1Καὶ ἐγενήθη ὡς ἐπαύσατο Ἰερεμίας
λέγων πρὸς τὸν λαὸν τοὺς πάντας λόγους Κυρίου οὓς ἀπέστειλεν
2 αὐτὸν Κύριος πρὸς αὐτούς, πάντας τοὺς λόγους τούτους, 2καὶ εἶπεν
Ἀζαρίας υἱὸς Μαασσαίου καὶ Ἰωανὰν υἱὸς Καρῆε καὶ πάντες οἱ ἄνδρες
οἱ εἴπαντες τῷ Ἰερεμίᾳ λέγοντες Ψεύδη, οὐκ ἀπέστειλέν σε Κύριος
3 πρὸς ἡμᾶς λέγων Μὴ εἰσέλθητε εἰς Αἴγυπτον οἰκεῖν ἐκεῖ, 3ἀλλ' ἢ
Βαροὺχ υἱὸς Νηρείου συμβάλλει σε πρὸς ἡμᾶς, ἵνα δῷς ἡμᾶς εἰς χεῖρας
τῶν Χαλδαίων τοῦ θανατῶσαι ἡμᾶς καὶ ἀποικισθῆναι ἡμᾶς εἰς Βαβυ-
4 λῶνα. 4καὶ οὐκ ἤκουσεν Ἰωανὰν καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνά-
μεως καὶ πᾶς ὁ λαὸς τῆς φωνῆς Κυρίου, κατοικῆσαι ἐν γῇ Ἰούδα.
5 5καὶ ἔλαβεν Ἰωανὰν καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως πάντας
τοὺς καταλοίπους Ἰούδα τοὺς ἀποστρέψαντας κατοικεῖν ἐν τῇ γῇ,
6 6τοὺς δυνατοὺς ἄνδρας καὶ τὰς γυναῖκας καὶ τὰ λοιπὰ καὶ τὰς θυγατέ-

19 Κυριος εφ υμας] superscr $\overline{κς}$ ε ℵ$^{c.a(?)}$ (φ υμας ℵ*) 20 οτι]+α' ※ ℵAQ διεμαρτυραμην υμιν σημερον οτι Q^{mg} | ψυχαις] pr ταις A | αποστειλαντες] pr παντες ※ υμεις Q^{mg} | προσευξαι]+δη ℵ | α] οσα ℵ | εαν] αν AQ | λαλησει (-σι ℵ*) ℵ | Κυριος]+ο $\overline{θς}$ ημων ουτως απαγγειλον ημιν ϗ Q^{mg} | ποιησωμεν Q 21 και] pr ϗ απηγγειλα υμιν σημερον Q^{mg} | ηκουσατε] εισηκουσατε AQ | Κυριου]+※ κατα παντα Q^{mg} | ης] ην Q^{mg} | με] μοι A om Q | προς] πρ sup ras B^{ab} 22 νυν]+σ' ※ ιστε γινωσκο̄|ντες οτι Q^{mg} | λιμω]+α'θ' ※ ϗ εν θανατω Q^{mg} | ου] ω ℵQ | βουλεσθε] βουλευεσθαι A | κατοικεις ℵ^{*vid} (-κειν ℵ$^{?}$) L 1 εγενηθη] εγενετο Q | λεγων] λαλων Q (λεγ. Q^{mg}) | τον λαον] pr α'σ' ※ παντα Q^{mg} | τους παντας λογους] παντας τους λ. AQ | Κυριου]+$\overline{θυ}$ αυτων A | om αυτον Q | Κυριος]+ο $\overline{θς}$ αυτων AQ^{mg} | αυτους] +ειπιν (superscr) ℵ$^{c.a}$ | παντας 2°] pr ※ συν Q^{mg} 2 Αζαχαριας ℵ* (Αζαρ. ℵ$^{?}$) | Μαασσαιου] Μνασσαιου B^{ab} Μασεου ℵ* Μαασεου ℵ$^{c.a}$ Μασαιου A Ωσαιου Q | Ιωαναν Q | οι ανδρες]+οι υπερηφανοι Q | ειπαντες] ειποντες ℵ$^{?}$AQ^{mg} ειπαν Q* | λεγων] ειπειν AQ^{a} ειπεν Q* | οικειν] κατοικειν A 3 αλλ η] αλλα Q* (αλλ η Q^{mg}) | Νηριου B^{b}ℵAQ | συμβαλει Q* (λ 2° superscr Q^{a}) | δως] δωσω ℵ* | χειρα Q$^{a\ vid}$ | Χαλδεων ℵ | αποικισθηναι] pr του A αποικισαι Q 4 om ουκ ηκουσεν Q | ηκουσαν A | Ιωναν ℵ* (Ιωαναν ℵ$^{?}$) Ιωαννα Q | λαος]+ουκ ηκουσαν Q | Κυριου] pr του ℵ 5 Ιωαννα Q+υιος Καρηε Q^{mg} | παντας] απαντας ℵAQ | καταλοιπους] λοιπους A | αποστρεψαντας] απεστρεψαν ℵ* (-ψαντας ℵ$^{?}$) αποστραφεντας Q+α'θ' ※ εκ π$\bar{α}$|των τ$\bar{ω}$| εθνων ου διεσκορπισθησ$\bar{α}$| εκει Q^{mg} | κατοικειν] εις μετοικεσιαν ℵ | γη]+Ιουδα A 6 τας γυναικας] pr ※ συν Q^{mg}+και τα νηπια A | τα λοιπα] νηπια λοιπα Q pr ※ συν τα Q^{mg}

B ρας τοῦ βασιλέως, καὶ τὰς ψυχὰς ἃς κατέλιπεν Ναβουζαρδὰν μετὰ
Γοδολίου υἱοῦ Ἀχεικάμ, καὶ Ἰερεμίαν τὸν προφήτην καὶ Βαροὺχ υἱὸν
Νηρίου, 7 καὶ εἰσῆλθον εἰς Αἴγυπτον, ὅτι οὐκ ἤκουσαν τῆς φωνῆς 7
Κυρίου, καὶ εἰσῆλθαν εἰς Ταφνάς.

8 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰερεμίαν ἐν Ταφνὰς λέγων 8

9 Λάβε σεαυτῷ λίθους μεγάλους καὶ κατάκρυψον αὐτοὺς ἐν προθύ- 9
ροις, ἐν πύλῃ τῆς οἰκίας Φαραὼ ἐν Ταφνάς, κατ᾽ ὀφθαλμοὺς ἀνδρῶν
Ἰούδα, 10 καὶ ἐρεῖς Οὕτως εἶπεν Κύριος Ἰδοὺ ἐγὼ ἀποστέλλω καὶ ἄξω 10
Ναβουχοδονοσὸρ βασιλέα Βαβυλῶνος, καὶ θήσει αὐτοῦ τὸν θρόνον
ἐπάνω τῶν λίθων τούτων ὧν κατέκρυψας, καὶ ἀρεῖ τὰ ὅπλα ἐπ᾽ αὐτούς,
11 καὶ εἰσελεύσεται καὶ πατάξει γῆν Αἰγύπτου, οὓς εἰς θάνατον εἰς 11
θάνατον, καὶ οὓς εἰς ἀποικισμὸν εἰς ἀποικισμόν, καὶ οὓς εἰς ῥομφαίαν
εἰς ῥομφαίαν· 12 καὶ καύσει πῦρ ἐν οἰκίαις τῶν θεῶν αὐτῶν, καὶ 12
ἐνπυριεῖ αὐτὰς καὶ ἀποικιεῖ αὐτούς, καὶ φθειριεῖ γῆν Αἰγύπτου ὥσπερ
φθειρίζει ποιμὴν τὸ ἱμάτιον αὐτοῦ. καὶ ἐξελεύσεται ἐν εἰρήνῃ, 13 καὶ 13
συντρίψει τοὺς στύλους Ἡλίου πόλεως τοὺς ἐν Ὢν, καὶ τὰς οἰκίας
αὐτῶν κατακαύσει ἐν πυρί.

1 Ὁ λόγος ὁ γενόμενος πρὸς Ἰερεμίαν ἅπασιν τοῖς Ἰουδαίοις τοῖς κατοι- 1 LI (XLIV)
κοῦσιν ἐν γῇ Αἰγύπτου καὶ τοῖς καθημένοις ἐν Μαγδώλῳ καὶ ἐν
Ταφνὰς καὶ ἐν γῇ Παθούρης λέγων

2 Οὕτως εἶπεν Κύριος ὁ θεὸς Ἰσραήλ Ὑμεῖς ἑωράκατε πάντα τὰ 2
κακὰ ἃ ἐπήγαγον ἐπὶ Ἰερουσαλὴμ καὶ ἐπὶ τὰς πόλεις Ἰούδα· καὶ ἰδού

ℵAQ 6 τας ψυχας] pr πασας A pr ※ συν Q^{mg} | κατελειπεν B*A (-λιπεν B$^{?c?}$ ℵQ) | Αχικαμ AQ | Βορουχ ℵ* 7 εισηλθον] εισηλθοσαν ℵ | εις 1°] εν A | εισηλθαν] εισηλθοσαν ℵ εισηλθον A 8 om προς Ιερεμιαν ℵ* (hab πρ. Ιηρεμιαν ℵ$^{c.a\,mg}$) 9 αυτους] + ※ εν τω κρυφιω εν τω πλινθιω Q^{mg} | εν 1°] επι ℵ | om Φαραω A 10 ερεις] + ※ προς αυτους Q^{mg} | Κυριος] + των δυναμεω̄| θ̄ς Ι̅η̅λ̅ Q^{mg} | Βαβυλωνος] + παντες ※ τον δουλον μου Q^{mg} | τον θρονον αυτου Q | om ων Q* (superscr Q^{a}) | κατεκρυψα ℵ* | οπλα] + αυτου AQ 11 παταξει] incep παυ Q^{*vid} | om εις θανατον 2° ℵ* (hab ℵ$^{c.a(?)\,mg}$) | om εις αποικισμον 2° ℵ* (hab ℵ$^{c.a(?)\,mg}$) | om εις ρομφαιαν 1° Q* (hab Q^{mg}) | om εις ρομφαιαν 2° ℵ* (hab ℵ$^{c.a(?)\,mg}$) 12 οικιαις] οικοις Q^{mg} | των θεων] om των ℵAQ | εμπυριει B^{b}Q | φθειριει] φθειριεις ℵ* (-ει ℵ$^{?}$) φθεριει A | γην] pr την ℵ et (sub ※) Q^{mg} | Αιγυπτου] αυτου A | ωσπερ] ως Q | φθειριζει] φθεριζει A | ποιμην] pr ο A 13 εν Ων] εν Ενων AQ* (εν Ων Q^{mg}) LI 1 γεναμενος A | Ιερεμιαν] + παρα κ̄υ Q^{mg} | απασιν τοις Ιουδαιοις τοις κατοικουσιν εν γη Αιγυπτου] απασιν τοις κατοικ. Ιουδα τοις εν Αιγυπτω ℵ απασι (πασι Q) τοις Ιουδαιοις τοις κατοικ. εν γη Αιγυπτω AQ α′σ′ επι παντας τους Ιουδαιους τους οικουντας.. θ′ πασι τοις Ιουδαιοις.. Q^{mg} | καθημενοις] κατοικουσιν ℵ | Μαγδωλω] + ϗ εν Μεμφι ℵ$^{c.a\,mg}$ | om εν 3° ℵ | om γη 2° A 2 Κυριος] + των δυναμεων Q^{mg} | α επηγαγον] αγαγον ℵ* α ηγαγον ℵ$^{?}$ | Ιερουσαλημ] Ι̅σ̅λ̅ ℵ* (Ι̅σ̅λ̅μ̅ ℵ$^{?}$) | τας πολεις (-λις ℵ*)] om τας ℵQ | om ιδου ℵ

3 εἰσιν ἔρημοι ἀπὸ ἐνοίκων [3]ἀπὸ προσώπου πονηρίας αὐτῶν ἧς ἐποίησαν B
παραπικρᾶναί με, πορευθέντες θυμιᾶν θεοῖς ἑτέροις οἷς οὐκ ἔγνωτε.
4 [4]καὶ ἀπέστειλα πρὸς ὑμᾶς τοὺς παῖδάς μου τοὺς προφήτας ὄρθρου,
καὶ ἀπέστειλα λέγων Μὴ ποιήσητε τὸ πρᾶγμα τῆς μολύνσεως ταύτης
5 ἧς ἐμίσησα. [5]καὶ οὐκ ἤκουσαν καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν ἀποστρέ-
6 ψαι ἀπὸ τῶν κακῶν αὐτῶν πρὸς τὸ μὴ θυμιᾶν θεοῖς ἑτέροις. [6]καὶ
ἔσταξεν ἡ ὀργή μου καὶ ὁ θυμός μου, καὶ ἐξεκαύθη ἐν πύλαις Ἰούδα
καὶ ἔξωθεν Ἰερουσαλήμ, καὶ ἐγενήθησαν εἰς ἐρήμωσιν καὶ εἰς ἄβατον
7 ὡς ἡ ἡμέρα αὕτη. [7]καὶ νῦν οὕτως εἶπεν Κύριος Παντοκράτωρ Ἵνα τί
ὑμεῖς ποιεῖτε κακὰ μεγάλα ἐπὶ ψυχαῖς ὑμῶν ἐκκόψαι ὑμῶν ἄνθρωπον
καὶ γυναῖκα, νήπιον καὶ θηλάζοντα ἐκ μέσου Ἰούδα, πρὸς τὸ μὴ
8 καταλειφθῆναι ὑμῶν μηδένα, [8]παραπικρᾶναί με ἐν τοῖς ἔργοις τῶν
χειρῶν ὑμῶν, θυμιᾶν θεοῖς ἑτέροις ἐν γῇ Αἰγύπτῳ εἰς ἣν ἤλθατε
κατοικεῖν ἐκεῖ, ἵνα ἐκκοπῆτε καὶ ἵνα γένησθε εἰς κατάραν καὶ εἰς
9 ὀνειδισμὸν ἐν πᾶσιν τοῖς ἔθνεσιν τῆς γῆς; [9]μὴ ἐπιλέλησθε ὑμεῖς τῶν
κακῶν τῶν πατέρων ὑμῶν καὶ τῶν κακῶν τῶν βασιλέων Ἰούδα καὶ
τῶν κακῶν τῶν ἀρχόντων ὑμῶν καὶ τῶν κακῶν τῶν γυναικῶν ὑμῶν,
10 ὧν ἐποίησαν ἐν γῇ Ἰούδα καὶ ἔξωθεν Ἰερουσαλήμ; [10]καὶ οὐκ ἐπαύ-
σαντο ἕως τῆς ἡμέρας ταύτης, καὶ οὐκ ἀντείχοντο τῶν προσταγμάτων
11 μου ὧν ἔδωκα κατὰ πρόσωπον τῶν πατέρων αὐτῶν. [11]διὰ τοῦτο οὕτως
12 εἶπεν Κύριος Ἰδοὺ ἐγὼ ἐφίστημι τὸ πρόσωπόν μου [12]τοῦ ἀπολέσαι
πάντας τοὺς καταλοίπους τοὺς ἐν Αἰγύπτῳ, καὶ πεσοῦνται ἐν ῥομφαίᾳ
καὶ ἐν λιμῷ, καὶ ἐκλείψουσιν ἀπὸ μικροῦ ἕως μεγάλου καὶ ἔσονται εἰς

2 ερημοι] + α′θ′ ※ τη ημερα ταυτη Qmg | ενοικων] ενοικουντων AQ* κατοικουντων Qmg ℵAQ
3 οις] ους ℵ | εγνωτε] + παντες ※ υμεις ϗ οι πατερες υμω̄| Qmg
4 τους παιδας] τ. δουλους A pr ※ συν παντας Qmg | ορθου ℵ* | απεστειλα 2°] + εγω προς υμας A | μη] pr ου ℵ | ης] ς A* (η superscr A1)
5 ηκουσαν] + μου AQ
6 ο θυμος μου και η οργη μου AQ | om και 3° Q* (superscr Qa) | εξεκαυθη (in ε 2° ad fin lin ras aliq B?)] pr ο θυμος μου ℵ + πυρ Qmg
7 ψυχας ℵ* (ψυχαις ℵ?) | εκκοψαι υμων] και εκκοψω αφ υμων A | ανθρωπον] ανδρα Q
8 εν γη Αιγυπτω] εις γη̄| Αιγυπτου ℵ εν γη Αιγυπτου Q* (-τω Qmg) | ηλθατε] εισελθατε ℵ* εισηλθατε ℵ?AQ* εισηλθετε Qa | κατοικειν] ενοικειν ℵ (-κιν ℵ*) A οικειν Q | ινα 1°] pr ϗ ℵc.a | om και 1° ℵ | om εν A | om πασιν Q | εθνεσι Q
9 κακων 1°] εργων A | και των κακων των αρχοντων υμων bis scr B* (uncis incl 2° Bab) | γη] πολεσιν A
10 ταυτης] + ※ ϗ ουκ εφοβηθησαν Qmg | των προσταγματων] pr των νομω̄| μου και Qmg | προσωπον] + υμων ϗ κατα προσωπον Qmg | αυτων] υμω̄| Qmg
11 ουτως sup ras Bab | Κυριος] + των δυναμεω̄| θ̄ς Ῑη̄λ Qmg | εφιστημι] επιστημει A | μου] + θ′ ※ εφ υμιν εις κακα του εξολεθρευσαι το̄| παντα Ιουδᾱ| ϗ λημψονται τους καταλοιπους Ιουδα τους θεντας το προσωπο̄| εισελθειν εις γη̄| Αιγυπτου παροικειν εκει Qmg
12 απολεσαι] πολεμησαι (-σε ℵ*) ℵ | τους εν Αιγ.] om τους ℵ | Εγυπτω ℵ* (Αιγ. ℵ?) | om και 3° ℵAQ | μικρου] + αυτων ℵ | εως μεγαλου] pr και A + α′θ′ ※ εν ρομφαια ϗ ε̄| λιμω αποθανουντ, Qmg

B ὀνειδισμὸν καὶ εἰς ἀπώλειαν καὶ εἰς κατάραν. 13 καὶ ἐπισκέψομαι ἐπὶ 13
τοὺς καθημένους ἐν γῇ Αἰγύπτῳ ὡς ἐπεσκεψάμην ἐπὶ Ἰερουσαλὴμ ἐν
ῥομφαίᾳ καὶ ἐν λιμῷ, 14 καὶ οὐκ ἔσται σεσωσμένος οὐθεὶς τῶν ἐπι- 14
λοίπων Ἰούδα τῶν παροικούντων ἐν γῇ Αἰγύπτῳ τοῦ ἐπιστρέψαι εἰς
γῆν Ἰούδα, ἐφ' ἣν αὐτοὶ ἐλπίζουσιν ταῖς ψυχαῖς αὐτῶν τοῦ ἐπιστρέ-
ψαι ἐκεῖ· οὐ μὴ ἐπιστρέψωσιν ἀλλ' ἢ οἱ ἀνασεσωμένοι. 15 καὶ 15
ἀπεκρίθησαν τῷ Ἰερεμίᾳ πάντες οἱ ἄνδρες οἱ γνόντες ὅτι θυμιῶσιν αἱ
γυναῖκες αὐτῶν καὶ πᾶσαι αἱ γυναῖκες, συναγωγὴ μεγάλη, καὶ πᾶς ὁ
λαὸς οἱ καθήμενοι ἐν γῇ Αἰγύπτῳ, ἐν Παθούρῃ, λέγοντες 16 Ὁ λόγος ὃν 16
ἐλάλησας πρὸς ἡμᾶς τῷ ὀνόματι Κυρίου, οὐκ ἀκούσομέν σου· 17 ὅτι 17
ποιοῦντες ποιήσομεν πάντα τὸν λόγον ὃς ἐξελεύσεται ἐκ τοῦ στόματος
ἡμῶν, θυμιᾶν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ καὶ σπένδειν αὐτῇ σπονδάς,
καθὰ ἐποιήσαμεν ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν καὶ οἱ βασιλεῖς ἡμῶν καὶ
οἱ ἄρχοντες ἡμῶν ἐν πόλεσιν Ἰούδα καὶ ἔξωθεν Ἰερουσαλήμ· καὶ
ἐπλήσθημεν ἄρτων καὶ ἐγενόμεθα χρηστοί, καὶ κακὰ οὐκ εἴδομεν.
18 καὶ ὡς διελίπομεν θυμιῶντες τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, ἠλαττώ- 18
θημεν πάντες, καὶ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐξελίπομεν. 19 καὶ ὅτι 19
ἡμεῖς θυμιῶμεν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ καὶ ἐσπείσαμεν αὐτῇ
σπονδάς, μὴ ἄνευ τῶν ἀνδρῶν ἡμῶν ἐποιήσαμεν αὐτῇ χαυῶνας καὶ
ἐσπείσαμεν σπονδὰς αὐτῇ; 20 καὶ εἶπεν Ἰερεμίας παντὶ τῷ λαῷ τοῖς 20
δυνατοῖς καὶ ταῖς γυναιξὶν καὶ παντὶ τῷ λαῷ τοῖς ἀποκριθεῖσιν αὐτῷ
λόγους, λέγων 21 Οὐχὶ τοῦ θυμιάματος οὗ ἐθυμιάσαμεν ἐν ταῖς πόλεσιν 21
Ἰούδα καὶ ἔξωθεν Ἰερουσαλήμ, ὑμεῖς καὶ οἱ πατέρες ὑμῶν καὶ οἱ
βασιλεῖς ὑμῶν καὶ οἱ ἄρχοντες ὑμῶν καὶ ὁ λαὸς τῆς γῆς, ἐμνήσθη

ℵAQ 12 απωλιαν ℵ 13 om γη A | Αιγυπτου (Εγ. ℵ*) ℵ | λιμω] + και εν θανατω AQ 14 ουκ εσται σεσωσμενος] ου σωθησεται Qmg | ουθεις] ουδεις AQ | Αιγυπτου Q* (-τω Qmg) | του επιστρεψαι (1°)] om του Q* (hab Qmg) | ελπιζουσι Qa | επιστρεψουσιν ℵA | αλλ η] ει μη Q | οι ανασεσωσμενοι Bab ℵ? (om οι ℵ*) AQ 15 παντες] απαντες AQ | γνοντας ℵ* (-τες ℵ?) | αυτων] + θεοις ετεροις AQ | πασαι] παντες ℵ* vid (πασαι ℵ?) | om γη A | Αιγυπτω (Εγ. ℵ*)] Αιγυπτου Q* (-τω Qmg) | Παθουρη (-θυρη ℵ*)] γη Παθουρης Q 16 ο λογος] τον λογον Q | ελαλησα ℵ* | τω ονοματι] εν ονομ. ℵ | ακουσομεν] ακουσομεθα AQ 17 ποιουντες] ποιουσαι Q | ημων 4°] Ιουδα ℵ* (ημων ℵc.a(?)) | επλησθημεν] ενεπλησθημεν Q | εγινομεσθα B* vid (-μεθα Bab) εγεναμεθα A | ιδομεν ℵ 18 διελειπομεν AQ | θυμιωντας ℵ* (-ντες ℵ?) | ουρανου] + α' θ' ※ κ̷ σπε̄|δειν αυτη σπονδας Qmg | ηλαττωθημεν] ηλαττονωθημεν A pr και Q | παντες] ημεις A + ημεις Q | εξελειπομεν A 19 ημεις εθυμιωμεν ℵ θυμιωμεν ημεις AQ | εσπεισαμεν 1°] pr ει A | χαυωνας] χαυβωνας ℵ* χαυανας Q* (χαυων. ℵ? Qmg) + σ' ※ κ̷ σοββα (al των γλυπτω̈| αυτης) Qmg | σπονδας αυτη] αυτη σπονδας ℵA 20 γυναιξι Qa 21 εθυμιασαμεν] εθυμιασαν Bab ℵ* εθυμιασατε ℵ? (-ται) Q εθυμιασατο A | om και οι αρχοντες υμων ℵ* (hab ℵc.a(?) mg sup) | incep εμνησε ℵ* vid (εμνησθη ℵ?)

22 Κύριος καὶ ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ; [22]καὶ οὐκ ἠδύνατο Κύριος ἔτι B
φέρειν ἀπὸ προσώπου πονηρίας πραγμάτων ὑμῶν καὶ ἀπὸ τῶν
βδελυγμάτων ὧν ἐποιήσατε· καὶ ἐγενήθη ἡ γῆ ὑμῶν εἰς ἐρήμωσιν καὶ
23 εἰς ἄβατον καὶ εἰς ἀρὰν ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ, [23]ἀπὸ προσώπου ὧν
ἐθυμιᾶτε καὶ ὧν ἡμάρτετε τῷ κυρίῳ· καὶ οὐκ ἠκούσατε τῆς φωνῆς
Κυρίου, καὶ ἐν τοῖς προστάγμασιν αὐτοῦ καὶ ἐν τῷ νόμῳ καὶ ἐν τοῖς
μαρτυρίοις αὐτοῦ οὐκ ἐπορεύθητε, καὶ ἐπελάβετο ὑμῶν τὰ κακὰ ταῦτα.
24 [24]καὶ εἶπεν Ἰερεμίας τῷ λαῷ καὶ ταῖς γυναιξίν Ἀκούσατε τὸν λόγον
25 Κυρίου. [25]οὕτως εἶπεν Κύριος ὁ θεὸς Ἰσραήλ Ὑμεῖς γυναῖκες τῷ
στόματι ὑμῶν ἐλαλήσατε, καὶ ταῖς χερσὶν ὑμῶν ἐπληρώσατε, λέγουσαι
Ποιοῦσαι ποιήσομεν τὰς ὁμολογίας ἡμῶν ἃς ὡμολογήκαμεν, θυμιᾶν τῇ
βασιλίσσῃ τοῦ οὐρανοῦ καὶ σπένδειν αὐτῇ σπονδάς· ἐνμείνασαι ἐνε-
26 μείνατε ταῖς ὁμολογίαις ὑμῶν, καὶ ποιοῦσαι ἐποιήσατε. [26]διὰ τοῦτο
ἀκούσατε λόγον Κυρίου, πᾶς Ἰουδὰ οἱ καθήμενοι ἐν γῇ Αἰγύπτῳ Ἰδοὺ
ὤμοσα τῷ ὀνόματί μου τῷ μεγάλῳ, εἶπεν Κύριος, ἐὰν γένηται ἔτι
ὄνομά μου ἐν τῷ στόματι παντὸς Ἰούδα εἰπεῖν Ζῇ Κύριος, ἐπὶ πάσῃ
27 γῇ Αἰγύπτῳ. [27]ὅτι ἐγὼ ἐγρήγορα ἐπ' αὐτοὺς τοῦ κακῶσαι αὐτοὺς
καὶ οὐκ ἀγαθῶσαι, καὶ ἐκλείψουσιν πᾶς Ἰουδὰ οἱ κατοικοῦντες ἐν
28 γῇ Αἰγύπτῳ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ, ἐὰν ἐκλίπωσιν. [28]καὶ οἱ
σεσωσμένοι ἀπὸ ῥομφαίας ἐπιστρέψουσιν εἰς γῆν Ἰούδα ὀλίγοι
ἀριθμῷ, καὶ γνώσονται οἱ κατάλοιποι Ἰούδα οἱ καταστάντες ἐν γῇ

21 την καρδιαν] om την ℵ$^{c.a}$Q   22 εδυνατο Q | om και 2° ℵA | εγενηθη] εγενετο A | αραν] + α'θ' ※ παρα το μη υπαρχειν ενοικοντα (corr -κουντα) Q^{mg} | εν τη ημερα ταυτη] εν τη ημεραυτη B* (εν τη ημ. ταυτη B^{ab}) η ημερα αυτη Q   23 εθυμιατε] εθυμιασατε ℵ | ημαρτητε A | νομω] + αυτου ℵAQ | επορευθηταν ℵ* (-ται ℵ$^{?}$) | ταυτα] + παντες ※ καθως η ημερα αυτη Q^{mg} 24 τω λαω] pr παντι Q^{mg} | τον λογον] om τον ℵA | Κυριου] + θ' ※ πασα η Ιουδαια οι εν γη Αιγυπτου Q^{mg} 25 Κυριος] + των δυναμεων Q^{mg} | γυναικες] pr αι ℵ και αι γυναικες υμων Q^{mg} | υμων 1°] incep υμι ℵ* | om ποιουσαι 1° ℵ* (hab ℵ$^{c.a\,mg}$) | ποιησωμεν ℵAQ | ομολογειας B^{ab}ℵA | ωμολογηκαμεν] ομολογησωμεν ℵ* -σαμεν ℵ^{1} ωμωλογησαμεν A ωμολογησαμεν Q | τη βασιλισση του ουρανου] τη Βααλ ℵ* (τη βασ. τ. ουνου ℵ$^{c.a\,mg\,inf}$) | ενμειnασαι (ενμιν. ℵ* ενμειν. ℵ$^{?}$)] εμμειν. B^{b}A εμμεν. Q* (εμμειν. Q^{a}) | ενεμειnατε] εμειnατε sup ras B$^{?vid}$ | ομολογιας B* (-γιαις B^{ab}) | ποιουσεποιησατε ℵ* ποιουσαι ποιησ. ℵ$^{c.a}$ | εποιησατε] + τας ευχας υμων Q^{mg} 26 ιδου] + ※ εγω Q^{mg} | τω μεγαλω] τω μ sup ras B$^{?vid}$ | ειπεν] λεγει A | Κυριος 1°] + ※ ο θ̄ς Q^{mg} | εαν γενηται] αν γε sup ras B$^{?vid}$ | εν 2°] pr παντες ※ καλουμενο̄ | Q^{mg} | τω στοματι] om τω Q | om Ιουδα ειπειν A* (hab A$^{a?(mg?)}$) | ζη] incep κ ℵ* | Κυριος 2°] pr κ̄ς ℵAQ | επι] εν Q | γη Αιγυπτω] τη γη Αιγυπτου ℵ* (om τη ℵ$^{?}$)   27 οτι] + ιδου AQ | αγαθωσαι] αγαθυναι A | Ιουδα] pr ※ ανηρ Q | Αιγυπτου ℵA | εαν] εως αν B^{ab}ℵAQ | εκλειπωσιν A εκλειπωσι Q^{a} 28 αριθμοι A | οι καταστανtες] οι παροικουντες ℵQ και οι καταβαινοντες A ℵAQ

B Αἰγύπτῳ κατοικῆσαι ἐκεῖ, λόγος τίνος ἐνμενεῖ. [29]καὶ τοῦτο ὑμῖν τὸ 29
σημεῖον ὅτι ἐπισκέψομαι ἐγὼ ἐφ' ὑμᾶς εἰς πονηρά· [30]οὕτως εἶπεν 30
Κύριος Ἰδοὺ ἐγὼ δίδωμι τὸν Οὐαφρὴ βασιλέα Αἰγύπτου εἰς χεῖρας
ἐχθροῦ αὐτοῦ καὶ εἰς χεῖρας ζητούντων τὴν ψυχὴν αὐτοῦ, καθὰ ἔδωκα
τὸν Σεδεκίαν βασιλέα Ἰούδα εἰς χεῖρας Ναβουχοδονοσὸρ βασιλέως
Βαβυλῶνος ἐχθροῦ αὐτοῦ καὶ ζητοῦντος τὴν ψυχὴν αὐτοῦ.

[31]Ὁ λόγος ὃν ἐλάλησεν Ἰερεμίας ὁ προφήτης πρὸς Βαροὺχ υἱὸν Νηρίου, 31 (1) (XLV)
ὅτε ἔγραφεν τοὺς λόγους τούτους ἐν τῷ βιβλίῳ ἀπὸ στόματος
Ἰερεμίου, ἐν τῷ ἐνιαυτῷ τῷ τετάρτῳ Ἰωακεὶμ υἱῷ Ἰωσία βασι-
λέως Ἰούδα.

[32]Οὕτως εἶπεν Κύριος ἐπὶ σοί, Βαρούχ, [33]ὅτι εἶπας Οἴμοι οἴμοι, 32 33 (2) (3)
ὅτι προσέθηκεν Κύριος κόπον ἐπὶ πόνον μοι, ἐκοιμήθην ἐν στενα-
γμοῖς, ἀνάπαυσιν οὐχ εὗρον· [34]εἰπὸν αὐτῷ Οὕτως εἶπεν Κύριος 34 (4)
Ἰδοὺ οὓς ἐγὼ ᾠκοδόμησα, ἐγὼ καθαιρῶ· καὶ οὓς ἐγὼ ἐφύτευσα,
ἐγὼ ἐκτίλλω. [35]καὶ σὺ ζητήσεις σεαυτῷ μεγάλα; μὴ ζητήσῃς, ὅτι 35 (5)
ἰδοὺ ἐγὼ ἐπάγω κακὰ ἐπὶ πᾶσαν σάρκα, λέγει Κύριος, καὶ δώσω
τὴν ψυχήν σου εἰς εὕρεμα ἐν παντὶ τόπῳ οὗ ἐὰν βαδίσῃς ἐκεῖ.

[1]Ὄντος εἰκοστοῦ καὶ ἑνὸς ἔτους Σεδεκίου ἐν τῷ βασιλεύειν αὐτόν, 1 LII
καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ· καὶ ὄνομα τῇ μητρὶ
αὐτοῦ Ἁμειταὰλ θυγάτηρ Ἰερεμίου ἐκ Λοβενά. [4]καὶ ἐγένετο τῷ ἔτει 4
τῷ ἐνάτῳ τῆς βασιλείας αὐτοῦ ἐν μηνὶ τῷ ἐνάτῳ δεκάτῃ τοῦ μηνὸς

ℵAQ 28 Αιγυπτου ℵA | κατοικησαι] παροικησαι (-σε ℵ*) ℵAQ | εμμενει B^{b}A (-νι) Q + θ' ※ ο εμος η ο αυτω̄| Q^{mg} 29 υμιν] ημιν A | σημειον] + φησι κ̅ς̅ Q^{mg} | υμας] + α'θ' ※ εν τω τοπω τουτω εις κακα οπως γνωτε οτι στασει στησονται οι λογοι μου εφ υμας Q^{mg} | πονηρα] κακα Q 30 Ουαφρη] Αφρη ℵ* (Ουαφρ. ℵ?) α'θ' Οφρην σ' εκδοτο̄| Q^{mg} | Αιγυπου ℵ* | ζητουντων] ζητουντος Q* (-των Q^{a}) | εδωκα] δεδωκα Q | ζητουντος] pr εις χειρας Q 31 προφητην ℵ* | υιον] υιων ℵ* | εγραφεν] εγραψεν AQ | τω βιβλιω] om τω ℵQ | Ιωακειμ] pr τω B^{ab}ℵAQ | Ιωσιου Q | Ιουδα] + ※ λεγω̄| Q^{mg} 33 προσεθηκεν] + μοι A | μοι] μου Q 34 ειπον] pr ουτως ℵ | om ουτως ειπεν Κυριος ιδου ℵ | ους] ου Q* (ους Q^{a}) | om εγω 3° ℵAQ | εκτιλλω] εκτιλω ℵ$^{c.a}$ εκτειλω Q + ※ κ̣ συνπασαν την γη̄| εκεινη̄| Q^{mg} 35 ζητησεις] ζητεις (-τις ℵ*) ℵ | ζητησεισεαυτω A | μη ζητησης] μη ζητη σεαυτω μεγαλα μη ζητι ℵ* (μη ζητησης ℵ?) om A | σαρκα] σαυρκαν ℵ* | om εις ℵ | εαν] αν ℵ LII 1 οντος...Σεδεκιου] σ' εικοσι κ̣ ενος ετους η̄| Σεδεκιας Q^{mg} | εικοστου και ενος] δευτερου και εικοστου A | om Σεδεκιου B* (hab B$^{ab\,mg}$) | ενδεκα] ια' ℵ | om εν Ιερουσαλημ ℵ | ααυτου B | Αμιτααλ ℵA Αμιταλ Q | Λοβενα] + ※ (2) κ̣ εποιησε το πονηρον εν οφθαλμοις κ̅υ̅ ον τροπον εποιησεν Ιωακειμ (3) οτι επι τον θυμο̄| κ̅υ̅ ην Ιλ̅η̅μ̅ και Ιουδα εως ανερριψεν αυτους εκ προσωπου αυτου κ̣ απεστη Σεδεκια του βασιλεως Βαβυλωνος Q^{mg} 4 τω ετει] pr εν AQ | μηνι] pr τω A | ενατω 2°] εβδομω A δεκατω Q

ἦλθεν Ναβουχοδονοσὸρ βασιλεὺς Βαβυλῶνος καὶ πᾶσα ἡ δύναμις B
αὐτοῦ ἐπὶ Ἰερουσαλήμ, καὶ περιεχαράκωσαν αὐτὴν καὶ περιῳκοδό-
5 μησαν αὐτὴν τετραπόδοις κύκλῳ. [5]καὶ ἦλθεν ἡ πόλις εἰς συνοχὴν
6 ἕως ἑνδεκάτου ἔτους τῷ βασιλεῖ Σεδεκίᾳ [6]ἐν τῇ ἐνάτῃ τοῦ μηνός, καὶ
ἐστερεώθη ὁ λιμὸς ἐν τῇ πόλει, καὶ οὐκ ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς.
7 [7]καὶ διεκόπη ἡ πόλις, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ ἐξῆλθον
νυκτὸς κατὰ τὴν ὁδὸν τῆς πύλης ἀνὰ μέσον τοῦ τείχους καὶ τοῦ
προτειχίσματος, ὃ ἦν κατὰ τὸν κῆπον τοῦ βασιλέως, καὶ οἱ Χαλδαῖοι
8 ἐπὶ τῆς πόλεως κύκλῳ. καὶ ἐπορεύθησαν ὁδὸν τὴν εἰς ἀραβά, [8]καὶ
κατεδίωξεν ἡ δύναμις τῶν Χαλδαίων ὀπίσω τοῦ βασιλέως, καὶ κατέλα-
βον αὐτὸν ἐν τῷ πέραν Ἰερειχώ, καὶ πάντες οἱ παῖδες αὐτοῦ διεσπά-
9 ρησαν ἀπ' αὐτοῦ. [9]καὶ συνέλαβον τὸν βασιλέα, καὶ ἤγαγον αὐτὸν
πρὸς τὸν βασιλέα Βαβυλῶνος εἰς Δεβλάθα· καὶ [§]ἐλάλησεν αὐτῷ μετὰ § L'
10 κρίσεως. [10]καὶ ἔσφαξεν βασιλεὺς Βαβυλῶνος τοὺς υἱοὺς Σεδεκίου
κατ' ὀφθαλμοὺς αὐτοῦ, καὶ πάντας τοὺς ἄρχοντας Ἰούδα ἔσφαξεν ἐν
11 Δεβλάθα. [11]καὶ τοὺς ὀφθαλμοὺς Σεδεκίου ἐξετύφλωσεν καὶ ἔδησεν
αὐτὸν ἐν πέδαις· καὶ ἤγαγεν αὐτὸν βασιλεὺς Βαβυλῶνος εἰς Βαβυλῶνα,
καὶ ἔδωκεν αὐτὸν εἰς οἰκίαν μύλωνος ἕως ἡμέρας ἧς ἀπέθανεν.
12 [12]Καὶ ἐν μηνὶ πέμπτῳ δεκάτῃ τοῦ μηνὸς ἦλθεν Ναβουζαρδὰν ὁ
ἀρχιμάγειρος ἑστηκὼς κατὰ πρόσωπον τοῦ βασιλέως Βαβυλῶνος εἰς
13 Ἰερουσαλήμ. [13]καὶ ἐνέπρησεν τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον τοῦ
βασιλέως, καὶ πάσας τὰς οἰκίας τῆς πόλεως καὶ πᾶσαν οἰκίαν μεγάλην
14 ἐνέπρησεν ἐν πυρί. [14]καὶ πᾶν τεῖχος Ἰερουσαλὴμ κύκλῳ καθεῖλεν ἡ
16 δύναμις τῶν Χαλδαίων ἡ μετὰ τοῦ ἀρχιμαγείρου. [16]καὶ τοὺς κατα-

4 ηλθε ℵ[1]Q[a] (postea rurs -θεν) | Ναβουδονοσορ Q* (superscr χο Q[a]) | ℵAQΓ
βασιλευς]+ ως ℵ* | περιεχαρακωσεν ℵA | περιωκοδομησεν A | τετραποδοις (-πεδοις B[a?b]ℵ)]+ λιθοις Q 6 εν τη ενατη] pr (sub ⁜) εν μηνι τω τεταρτω Q om εν τη AQ* (hab Q[mg]) 7 πυλης] πολεις ℵ[* vid] | του τειχους] της πυλης A | Χαλδεοι ℵ | κυκλω] εκυκλωσαν A | επορευθησαν] ωχοντο A | την εις αραβα (ραβα ℵ)] om την ℵQ 8 η δυναμις] om η ℵ | Χαλδεων ℵ | κατελαβεν A | αυτον] τον βασιλεα Σεδεκιαν Q[mg] | Ιεριχω B[b]ℵA 9 βασιλεαν (1°) ℵ* | τον βασιλεα (2°)] om τον Q | Δεβαθα ℵ* (Δεβλ. ℵ[?]) 10 βασιλευς] pr ο ℵ | εν Δεβλαθα] εις Δεβ..θα Γ 11 Σεδεκια ℵ* (-κιου ℵ[?]) | βασιλευς] pr ο Q | om ημερας A | om ης ℵ*A 12 μηνι] pr ⁜ τω Q[mg] | πεμπτω] pr τω AQΓ | δεκατη] και δεκα ℵ* (δεκατη ℵ[?]) | μηνος]+ αυτος (αυτος ℵ[d]) ενιαυτος εννεακαιδεκατος του Ναβουχοδονοσορ βασιλεως Βαβυλωνος (βασιλεος Βαβυλωνος ℵ[d]) ℵ[d mg inf] et (sub ⁜) Q[mg] | Ναυβουζαρδαν ℵ[?] | εστηκως] pr ο ℵAΓ ο εστως Q | του βασιλεως] om του A 13 in ενεπρησεν 2° vid improb aliq ℵ[?]Q[?] 14 Ιερουσαλημ] pr εν AΓ | Χαλδεων ℵ | η μετα] om η ℵ | αρχιμαγειρου]+ ⁜ (15) απο δε των πενητων του λαου ϗ το λειμμα του λαου ϗ τους καταλειφθεντας εν τη πολει ϗ τους εμπιπτοντας ϗ τους εμπεπτωκοτας προς βασιλεα Βαβυλωνος Q[mg] 16 καταλοιπους] λοιπους ℵ

B λοίπους τοῦ λαοῦ κατέλειπεν ὁ ἀρχιμάγειρος εἰς ἀμπελουργοὺς καὶ
εἰς γεωργούς. 17 καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν οἴκῳ 17
Κυρίου καὶ τὰς βάσεις καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν οἴκῳ
Κυρίου συνέτριψαν οἱ Χαλδαῖοι, καὶ ἔλαβον τὸν χαλκὸν αὐτῶν
καὶ ἀπήνεγκαν εἰς Βαβυλῶνα. 18 καὶ τὴν στεφάνην καὶ τὰς φιάλας 18
καὶ τὰς κρεάγρας καὶ πάντα τὰ σκεύη τὰ χαλκᾶ ἐν οἷς ἐλειτούργουν
ἐν αὐτοῖς, 19 καὶ τὰ σαφφὼθ καὶ τὰ μασμαρὼθ καὶ τοὺς ὑποχυτῆρας 19
καὶ τὰς λυχνίας καὶ τὰς θυίσκας καὶ τοὺς κυάθους, ἃ ἦν χρυσᾶ χρυσᾶ
καὶ ἃ ἦν ἀργυρᾶ ἀργυρᾶ, ἔλαβεν ὁ ἀρχιμάγειρος. 20 καὶ οἱ στῦλοι δύο, 20
καὶ ἡ θάλασσα μία, καὶ οἱ μόσχοι δώδεκα χαλκοῖ ὑποκάτω τῆς
θαλάσσης, ἃ ἐποίησεν ὁ βασιλεὺς Σαλωμὼν εἰς οἶκον Κυρίου· οὐκ ἦν
σταθμὸς τοῦ χαλκοῦ αὐτῶν. 21 καὶ οἱ στῦλοι τριάκοντα πέντε πηχῶν 21
ὕψος τοῦ στύλου τοῦ ἑνός, καὶ σπαρτίον δώδεκα πήχεων περιεκύκλου
αὐτόν, καὶ τὸ πάχος αὐτοῦ δακτύλων τεσσάρων κύκλῳ, 22 καὶ γεῖσος 22
ἐπ' αὐτοῖς χαλκοῦν, καὶ πέντε πήχεων τὸ μῆκος, ὑπεροχὴ τοῦ γείσους
¶ Γ τοῦ ἑνός, καὶ δίκτυον καὶ ῥόαι ἐπὶ τοῦ γείσους¶ κύκλῳ, τὰ πάντα
χαλκᾶ· καὶ κατὰ ταῦτα τῷ στύλῳ τῷ δευτέρῳ, ὀκτὼ ῥόαι τῷ πήχει
τοῖς δώδεκα πήχεσιν. 23 καὶ ἦσαν αἱ ῥόαι ἐνενήκοντα ἓξ ἓν μέρος, 23
καὶ ἦσαν αἱ πᾶσαι ῥόαι ἑκατὸν ἐπὶ τοῦ δικτύου κύκλῳ. 24 καὶ ἔλαβεν 24
ὁ ἀρχιμάγειρος τὸν ἱερέα τὸν πρῶτον καὶ τὸν ἱερέα τὸν δευτεροῦντα

ℵAQΓ 16 *κατελιπεν* B^{b}ℵQ^{a} | *ο αρχιμ.*] pr *Ναβουζαρδαν* + α'θ' ※ ϗ *απο των πενη-των| της γης κατελειπε Ναβουζαρδαν ο αρχιμαγιρος* Q^{mg} | *εις γεωργους και αμπελουργους* ℵ *εις αμπ. και γεωργους* Γ 17 om *και τας βασεις...οικω Κυριου* (2°) A | *βασις* ℵ* (*-σεις* $ℵ^{?}$) | *Χαλδεοι* ℵ | *τον χαλκον*] pr *παντα* Q^{mg} | *αυτων*] *αυτης* ℵ *αυτον* Γ | om *και απηνεγκαν* QΓ | *Βαβυλωνα*] + α'θ' ※ ϗ *τους ποδιστηρας* ϗ *τους αναλημπτηρας* ϗ *τα θυμιατηρια* ϗ *τα σπονδια* [adnot *εν τισι·* ϗ *τους ηλους*] Q^{mg} 18 *κρεαγρας*] *κρεαρας* ℵ* *κεαγρας* A adnot *αντι των κρεαγρω̄| θυισκας τινες ερμηνευσᾱ|* Q^{mg} | *τα χαλκα*] *ταχα* B* (superscr *λκα* B^{ab}) | *ελειτουργουν* (*-γων* A)] *λειτουργουσιν* Γ 19 *τα σαφφωθ*] *τας σαφφωθ* ℵ α' *υδριας* σ' *φιαλας οι λοιποι θυμιατηρια* Q^{mg} | *τα μασμαρωθ*] *τας μασμ.* ℵ* (*τα μ.* $ℵ^{?}$) AQ^{a} (*τας μασμαωθ* Q*) | om *και τους υποχ. και τας λυχνιας* ℵ | *υποχυτηρας*] *αποχυτηρας* α' *λεβητας* Q^{mg} | *και τας λυχνιας* sub ※Q | *και* 6° bis scr Γ 20 *ο βασιλευς*] om *ο* ℵ | *αυτων*] *αυτου* ℵΓ ※ *παντω̄| των σκευω̄| τουτω̄|* Q^{mg} 21 *τριακοντα πεντε*] λε' ℵ *τρ. και πεντε* Q | *πηχων*] *πηχεων* AΓ | *δωδεκα*] ιβ' ℵ | *δωδ. πηχεων*] *δωδεκαπηχυ* Q | *περιεκυκλου* B$ℵ^{?}Q^{a}$Γ] *περικυκλοι* ℵ* *περικυκλουν* A *περιεκυκλουν* Q* | *παχος*] *πλατος* ℵ | *τεσσαρων δακτυλων* AΓ | om *κυκλω* Γ 22 *γεισος*] *κεφαλιδες* Q^{mg} | *χαλκουν*] *χαλκου* Γ | *γεισους* 1°] *γισου* Q | *ενο* ℵ* (*ενος* $ℵ^{?}$) | *του γεισους* (2°)] om *του* A | *γεισους* 2°] *γισου* Q* (*γισους* Q^{a}) | om *και* 5° ℵQ | *ταυτα*] *αυτα* A | *δωδεκα*] ιβ' ℵ | *πηχεσι* B^{b} 23 *ενενηκοντα εξ*] Ϙϛ' ℵ | *εξ*] pr *και* Q | *εν*] pr *το* B^{ab}AQ | *πασαι αι ροαι* Q | *επι του δικτ. κυκλω εκατον* ℵQ 24 *ιερεα* bis] *ιερεαν* ℵ | *ιερεα* 1°] pr *Σαραιαν* Q | *πρωτον*] *δευτερον* ℵ* (superscr *πρ.* $ℵ^{c.a}$) | *τον ιερεα* (2°)] pr *τον Σοφονιαν* Q | *δευτερουντα* B^{ab} (*-ροντα* B*)] *δευτερευοντα* ℵQ

25 καὶ τοὺς τρεῖς τοὺς φυλάττοντας τὴν ὁδόν, [25]καὶ εὐνοῦχον ἕνα ὃς ἦν B
ἐπιστάτης ἀνδρῶν τῶν πολεμιστῶν, καὶ ἑπτὰ ἄνδρας ὀνομαστοὺς
τοὺς ἐν προσώπῳ τοῦ βασιλέως τοὺς εὑρεθέντας ἐν τῇ πόλει, καὶ τὸν
γραμματέα τῶν δυνάμεων τὸν γραμματεύοντα τῷ λαῷ τῆς γῆς, καὶ
ἑξήκοντα ἀνθρώπους ἐκ τοῦ λαοῦ τῆς γῆς τοὺς εὑρεθέντας ἐν μέσῳ
26 τῆς πόλεως. [26]καὶ ἔλαβεν αὐτοὺς Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος καὶ
27 ἤγαγεν αὐτοὺς πρὸς βασιλέα Βαβυλῶνος εἰς Δεβλάθα· [27]καὶ ἐπάταξεν
αὐτοὺς βασιλεὺς Βαβυλῶνος ἐν Δεβλάθα ἐν γῇ Αἱμάθ.
31 [31]Καὶ ἐγένετο ἐν τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει ἀποικισθέντος τοῦ
Ἰωακεὶμ βασιλέως Ἰούδα, ἐν τῷ δωδεκάτῳ μηνὶ ἐν τῇ τετράδι καὶ
εἰκάδι τοῦ μηνός, ἔλαβεν Οὐλαιμαδαχὰρ βασιλεὺς Βαβυλῶνος, ἐν τῷ
ἐνιαυτῷ ᾧ ἐβασίλευσεν, τὴν κεφαλὴν Ἰωακεὶμ βασιλέως Ἰούδα καὶ
32 ἔκειρεν αὐτόν, καὶ ἐξήγαγεν αὐτὸν ἐξ οἰκίας ἧς ἐφυλάσσετο, [32]καὶ
ἐλάλησεν αὐτῷ χρηστά, καὶ ἔδωκεν αὐτοῦ τὸν θρόνον ἐπάνω τῶν
33 βασιλέων τῶν μετ᾽ αὐτοῦ ἐν Βαβυλῶνι, [33]καὶ ἤλλαξαν τὴν στολὴν
τῆς φυλακῆς αὐτοῦ, καὶ ἤσθιεν ἄρτον διὰ παντὸς κατὰ πρόσωπον
34 αὐτοῦ πάσας τὰς ἡμέρας ἃς ἔζησεν. [34]καὶ ἡ σύνταξις αὐτῷ ἐδίδετο
διὰ παντὸς παρὰ τοῦ βασιλέως Βαβυλῶνος ἐξ ἡμέρας εἰς ἡμέραν ἕως
ἡμέρας ἧς ἀπέθανεν.

24 φυλασσοντας ℵAQ 25 και 1°] + εκ της πολεως ελαβεν AQ | ανδρων] pr των ℵAQ | τους εν] om τους ℵ | προσωπου ℵ*A | των δυναμεων] pr α′ ※ αρχο̅|τα Q[mg] 26 αυτους 2°] αυτον A | βασιλεα] pr τον A et (sub ※) Q[mg] | Βαβυλωνος] + παντες ※ ϗ εθανατωσεν αυτους Q[mg] 27 βασιλευς] pr ο ℵ | εν 1°] εις ℵ | Αιμαθ] Μααθ ℵ Αιμααθ A Ημαθ Q + ※ ϗ απωκισθη Ιουδας επανωθεν της γης αυτου (28) ϗ ουτος ο λαος ον απωκισε Ναβουχοδονοσορ εν τω ετει τω εβδομω Ιουδαιους τρισχιλιους ϗ εικοσι τρεις (29) εν τω ετει τω εκτω και δεκατω του Ναβουχοδονοσορ εξ Ιλ̅η̅μ̅ ψυχας οκτακοσιας τριακοντα δυο (30) εν τω ετει τω τριτω ϗ εικοστω του Ναβουχοδονοσορ απωκισε Ναβουζαρδα̅| ο αρχιμαγιρος Ιουδαιω̅ ψυχας επτακοσιας τεσσερακοντα πεντε πασαι αι ψυχαι τετρακισχιλιαι εξακοσιαι Q[mg] 31 τω τριακοστω και εβδομω ετει] τριακοντα και επτα ετεσιν ℵ τριακοστω κ. εβδ. ετει A | δωδεκατω] ιβ′ ℵ | incep εικαδα ℵ* (εικαδει postea -δι ℵ?) | Ουλαιμαδαχαρ] Ουλεδαμαχαρ ℵ Ουλαιμαραδαχ A Ουλαιμαδαραχ Q | βασιλευς] βασιλεως ℵ | την κεφαλην] pr και εκιρεν ℵ[c.a mg] | om και εκειρεν αυτον ℵAQ | εφυλασσετο (-λαττ. A)] incep εφυλαξεν ℵ* (εφυλασσ. ℵ[c.a(?)]) 32 τον θρονον αυτου A | επανω] + των θρονων AQ 33 ηλλαξεν AQ 34 η συνταξις] ισχυ̅| ταξεις A | εδιδοτο B[a]ℵ[c.a vid]Q | εξ ημερας εις ημεραν] εξ ημερων εις ημερας A | απεθανεν] + ※ πασας τας ημερας της ζωης αυτου Q[mg] ℵAQ

Subscr Ιερεμιας Bℵ Ιερεμιας προφητης ιδ′ A deest in Q

COLLATIO CAPITUM IEREMIAE.

Text. Hebr.	Text. Gr.	Huius Ed. Pagg.
I 1—XXV 13	I 1—XXV 13	223—277
XXV 15—38	XXXII 1—24	297—300
XXVI 1—24	XXXIII 1—24	300—302
XXVII 2—22	XXXIV 1—18	302—304
XXVIII 1—17	XXXV 1—17	304—306
XXIX 1—32	XXXVI 1—32	306—308
XXX 1—24	XXXVII 1—24	309—310
XXXI 1—40	XXXVIII 1—40	310—314
XXXII 1—44	XXXIX 1—44	314—319
XXXIII 1—13	XL 1—13	319—320
XXXIV 1—22	XLI 1—22	321—323
XXXV 1—19	XLII 1—19	323—325
XXXVI 1—32	XLIII 1—32	325—329
XXXVII 1—21	XLIV 1—21	329—331
XXXVIII 1—28	XLV 1—28	331—334
XXXIX 1—3	XLVI 1—3	334
„ 14—18	„ 14—18	334—335
XL 1—16	XLVII 1—16	335—337
XLI 1—18	XLVIII 1—18	337—339
XLII 1—22	XLIX 1—22	339—341
XLIII 1—13	L 1—13	341—342
XLIV 1—30	LI 1—30	342—346
XLV 1—5	LI 31—35	346
XLVI 2—28	XXVI 2—28	277—280
XLVII 1—7	XXIX 1—7	290
XLVIII 1—44	XXXI 1—44	294—297
XLIX 1—5	XXX 1—5	292—293
„ 7—22	XXIX 8—23	290—292
„ 23—27	XXX 12—16	293—294
„ 28—33	„ 6—11	293
„ 34—39	XXV 14—XXVI 1	277
L 1—46	XXVII 1—46	280—284
LI 1—64	XXVIII 1—64	284—289
LII 1—34	LII 1—34	346—349

ΒΑΡΟΥΧ

I 1 ΚΑΙ οὗτοι οἱ λόγοι τοῦ βιβλίου οὓς ἔγραψεν Βαροὺχ υἱὸς Νηρίου B
υἱοῦ Μαασαίου υἱοῦ Σεδεκίου υἱοῦ Ἀσαδίου υἱοῦ Χελκίου ἐν Βαβυλῶνι,
2 [2] ἐν τῷ ἔτει τῷ πέμπτῳ ἐν ἑβδόμῃ τοῦ μηνός, ἐν τῷ καιρῷ ᾧ ἔλαβον οἱ
3 Χαλδαῖοι τὴν Ἰερουσαλὴμ καὶ ἐνέπρησαν αὐτὴν ἐν πυρί. [3] καὶ ἀνέγνω
Βαροὺχ τοὺς λόγους τοῦ βιβλίου τούτου ἐν ὠσὶν Ἰεχονίου υἱοῦ Ἰωακεὶμ
βασιλέως Ἰούδα, καὶ ἐν ὠσὶ παντὸς τοῦ λαοῦ τῶν ἐρχομένων πρὸς
4 τὴν βίβλον, [4] καὶ ἐν ὠσὶν τῶν δυνατῶν καὶ υἱῶν τῶν βασιλέων, καὶ
ἐν ὠσὶ τῶν πρεσβυτέρων, καὶ ἐν ὠσὶ παντὸς τοῦ λαοῦ ἀπὸ μικροῦ
ἕως μεγάλου, πάντων τῶν κατοικούντων ἐν Βαβυλῶνι ἐπὶ ποταμοῦ
5 Σούδ. [5] καὶ ἔκλαιον καὶ ἐνήστευον καὶ ηὔχοντο ἐναντίον Κυρίου,
6 [6] καὶ συνήγαγον ἀργύριον καθὰ ἑκάστου ἠδύνατο ἡ χείρ. [7] καὶ ἀπέ-
7 στειλαν εἰς Ἰερουσαλὴμ πρὸς Ἰωακεὶμ υἱὸν Χελκίου υἱοῦ Σαλὼμ τὸν
ἱερέα, καὶ πρὸς τοὺς ἱερεῖς καὶ πρὸς πάντα τὸν λαὸν τοὺς εὑρε-
8 θέντας μετ᾽ αὐτοῦ ἐν Ἰερουσαλήμ, [8] ἐν τῷ λαβεῖν αὐτὸν τὰ σκεύη
οἴκου Κυρίου τὰ ἐξενεχθέντα ἐκ τοῦ ναοῦ ἀποστρέψαι εἰς γῆν Ἰούδα,
τῇ δεκάτῃ τοῦ Σειουάν, σκεύη ἀργυρᾶ ἃ ἐποίησεν Σεδεκίας υἱὸς Ἰωσεία
9 βασιλεὺς Ἰούδα, [9] μετὰ τὸ ἀποικίσαι Ναβουχοδονοσὸρ βασιλέα Βαβυ-
λῶνος τὸν Ἰεχονίαν καὶ τοὺς ἄρχοντας καὶ τοὺς δεσμώτας καὶ τοὺς
δυνατοὺς καὶ τὸν λαὸν τῆς γῆς ἀπὸ Ἰερουσαλήμ, καὶ ἤγαγεν αὐτὸν
10 εἰς Βαβυλῶνα. [10] Καὶ εἶπαν Ἰδοὺ ἀπεστείλαμεν πρὸς ὑμᾶς ἀργύ-
ριον, καὶ ἀγοράσατε τοῦ ἀργυρίου ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας
καὶ λίβανον, καὶ ποιήσατε μάννα καὶ ἀνοίσατε ἐπὶ τὸ θυσιαστήριον
11 Κυρίου θεοῦ ἡμῶν, [11] καὶ προσεύξασθε περὶ τῆς ζωῆς Ναβουχοδονοσὸρ

I 1 υιου 1°] υιος A | υιου 2°] υιος A | Ασαδιου] Σαδαιου A 2 om εν AQ 2° A 3 ωσιν AQ* 4 ωσιν] ωσι B^{b}Q^{a} | των βασιλεων] του βασιλεως A | ωσι 1°] ωσιν A | ωσι 2°] ωσιν AQ | μεγαλου]+αυτων AQ | ποταμου] pr του AQ 5 ηυχοντο]+ευχας AQ | εναντι AQ 7 εν] εις A 8 Σειουαν] Ιουαν A* Σιουαν B^{b}A$^{a?}$Q | Ιωσια B^{b}AQ 9 ηγαγεν] εισηγαγεν AQ | αυτον] αυτους AQ 10 θεου] pr του AQ | ημων] υμων A

B βασιλέως Βαβυλῶνος καὶ εἰς ζωὴν Βαλτασὰρ υἱοῦ αὐτοῦ, ἵνα ὦσιν αἱ
ἡμέραι αὐτῶν ὡς αἱ ἡμέραι τοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς. 12 καὶ δώσει 12
Κύριος ἰσχὺν ἡμῖν καὶ φωτίσει τοὺς ὀφθαλμοὺς ἡμῶν, καὶ ζησόμεθα
ὑπὸ τὴν σκιὰν Ναβουχοδονοσὸρ βασιλέως Βαβυλῶνος καὶ ὑπὸ τὴν
σκιὰν Βαλτασὰρ υἱοῦ αὐτοῦ, καὶ δουλεύσομεν αὐτοῖς ἡμέρας πολλὰς
καὶ εὑρήσομεν χάριν ἐναντίον αὐτῶν. 13 καὶ προσεύξασθε περὶ ἡμῶν 13
§ Γ πρὸς Κύριον τὸν θεὸν ἡμῶν, ὅτι §ἡμάρτομεν τῷ κυρίῳ θεῷ ἡμῶν, καὶ
οὐκ ἀπέστρεψεν ὁ θυμὸς Κυρίου καὶ ἡ ὀργὴ αὐτοῦ ἀφ' ἡμῶν ἕως τῆς
ἡμέρας ταύτης.

14 Καὶ ἀναγνώσεσθε τὸ βιβλίον τοῦτο ὃ ἀπεστείλαμεν πρὸς ὑμᾶς 14
ἐξαγορεῦσαι ἐν οἴκῳ Κυρίου ἐν ἡμέρᾳ ἑορτῆς καὶ ἐν ἡμέραις καιροῦ,
15 καὶ ἐρεῖτε Τῷ κυρίῳ θεῷ ἡμῶν ἡ δικαιοσύνη, ἡμῖν δὲ αἰσχύνη τῶν 15
προσώπων ὡς ἡ ἡμέρα αὕτη, ἀνθρώπῳ Ἰούδα καὶ τοῖς κατοικοῦσιν
Ἰερουσαλήμ, 16 καὶ τοῖς βασιλεῦσιν ἡμῶν καὶ τοῖς ἄρχουσιν ἡμῶν 16
καὶ τοῖς ἱερεῦσιν ἡμῶν καὶ τοῖς προφήταις ἡμῶν καὶ τοῖς πατράσιν
ἡμῶν, 17 ὧν ἡμάρτομεν ἔναντι Κυρίου 18 καὶ ἠπειθήσαμεν αὐτῷ, καὶ 17 18
οὐκ ἠκούσαμεν τῆς φωνῆς Κυρίου θεοῦ ἡμῶν πορεύεσθαι τοῖς προσ-
τάγμασιν Κυρίου οἷς ἔδωκεν κατὰ πρόσωπον ἡμῶν, 19 ἀπὸ τῆς ἡμέρας 19
ἧς ἐξήγαγεν Κύριος τοὺς πατέρας ἡμῶν ἐκ γῆς Αἰγύπτου καὶ ἕως
τῆς ἡμέρας ταύτης ἤμεθα ἀπειθοῦντες πρὸς Κύριον θεὸν ἡμῶν, καὶ
ἐσχεδιάζομεν πρὸς τὸ μὴ ἀκούειν τῆς φωνῆς αὐτοῦ. 20 καὶ ἐκολλήθη 20
εἰς ἡμᾶς τὰ κακὰ καὶ ἡ ἀρὰ ἣν συνέταξεν Κύριος τῷ Μωυσῇ παιδὶ
αὐτοῦ ἐν ἡμέρᾳ ᾗ ἐξήγαγεν τοὺς πατέρας ἡμῶν δοῦναι ἡμῖν γῆν
ῥέουσαν γάλα καὶ μέλι, ὡς ἡ ἡμέρα αὕτη. 21 καὶ οὐκ ἠκούσαμεν τῆς 21
φωνῆς Κυρίου τοῦ θεοῦ ἡμῶν κατὰ πάντας τοὺς λόγους τῶν προ-
φητῶν ὧν ἀπέστειλεν πρὸς ἡμᾶς, 22 καὶ ᾠχόμεθα ἕκαστος ἐν διανοίᾳ 22
καρδίας αὐτοῦ τῆς πονηρᾶς ἐργάζεσθαι θεοῖς ἑτέροις, ποιῆσαι τὰ κακὰ
κατ' ὀφθαλμοὺς Κυρίου θεοῦ ἡμῶν. 1 καὶ ἔστησεν Κύριος τὸν λόγον 1 II
αὐτοῦ ὃν ἐλάλησεν ἐφ' ἡμᾶς καὶ ἐπὶ τοὺς δικαστὰς ἡμῶν τοὺς δικά-
σαντας τὸν Ἰσραὴλ καὶ ἐπὶ τοὺς βασιλεῖς ἡμῶν καὶ ἐπὶ τοὺς ἄρχοντας

AQΓ 11 αυτων] αυτου A 12 φωτιση A 13 προς] incep περ Q* (προς Q¹ (vid)) | τον θεον] om τον A | ημων 2°] υμων A | τω κυριω] om τω A 14 υμας] ημας A | ημερα] ημεραις AQ 15 αισχυνη] pr η AQ 17 εναντιον AQ 18 θεου] pr του Q^mg Γ | τοις προσταγμασιν] pr εν A | Κυριου 2°] pr αυτου Q 19 εσχεδιασαμεν A 20 τω Μωυση] om τω A | παιδια B* (παιδι B?) | εξηγαγεν] + κ̅ς̅ Q | ημων] + εκ γης Αιγυπτου B^ab mg AQΓ | δουναι] pr του Γ | αυτη] ταυτη A 21 Κυριου του θεου] κ̅υ̅ θ̅υ̅ A του κ̅υ̅ θ̅υ̅ Q | κατα] και Γ | ων] ους A 22 ωχομεθα] ηυχομεθα Q* (ωχ. Q^a) | αυτου] ημω̅| A | θεου] pr του Q II 1 τον Ισραηλ] τ(ο)ν [οικον] Ι̅σ̅λ̅ Γ^fort

2 ἡμῶν καὶ ἐπὶ ἄνθρωπον Ἰσραὴλ καὶ Ἰούδα. [2]οὐκ ἐποιήθη ὑποκάτω B
παντὸς τοῦ οὐρανοῦ καθὰ ἐποίησεν ἐν Ἰερουσαλήμ, κατὰ τὰ γεγραμ-
3 μένα ἐν τῷ νόμῳ Μωυσῆ, [3]τοῦ φαγεῖν ἡμᾶς ἄνθρωπον σάρκας υἱοῦ
4 αὐτοῦ καὶ ἄνθρωπον σάρκας θυγατρὸς αὐτοῦ.¶ [4]καὶ ἔδωκεν αὐτοὺς ¶Γ
ὑποχειρίους πάσαις ταῖς βασιλείαις ταῖς κύκλῳ ἡμῶν, εἰς ὀνειδισμὸν
καὶ ἄβατον ἐν πᾶσι τοῖς λαοῖς τοῖς κύκλῳ οὗ διέσπειρεν αὐτοὺς
5 Κύριος ἐκεῖ. [5]καὶ ἐγενήθησαν ὑποκάτω καὶ οὐκ ἐπάνω, ὅτι ἡμάρτο-
6 μεν Κυρίῳ θεῷ ἡμῶν πρὸς τὸ μὴ ἀκούειν τῆς φωνῆς αὐτοῦ. [6]Τῷ
κυρίῳ θεῷ ἡμῶν ἡ δικαιοσύνη, ἡμῖν δὲ καὶ τοῖς πατράσιν ἡμῶν ἡ
7 αἰσχύνη τῶν προσώπων ὡς ἡ ἡμέρα αὕτη. [7]ἃ ἐλάλησεν Κύριος
8 ἐφ' ἡμᾶς, πάντα τὰ κακὰ ταῦτα ἃ ἦλθεν ἐφ' ἡμᾶς. [8]καὶ οὐκ ἐδε-
ήθημεν τοῦ προσώπου Κυρίου τοῦ ἀποστρέψαι ἕκαστον ἀπὸ τῶν
9 νοημάτων τῆς καρδίας αὐτῶν τῆς πονηρᾶς. [9]καὶ ἐγρηγόρησεν Κύριος
ἐπὶ τοῖς κακοῖς, καὶ ἐπήγαγε Κύριος ἐφ' ἡμᾶς, ὅτι δίκαιος ὁ κύριος
10 ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ ἃ ἐνετείλατο ἡμῖν. [10]καὶ οὐκ ἠκούσαμεν
τῆς φωνῆς αὐτοῦ, πορεύεσθαι τοῖς προστάγμασιν Κυρίου οἷς ἔδωκεν
κατὰ πρόσωπον ἡμῶν.

11 [11]Καὶ νῦν, Κύριε ὁ θεὸς Ἰσραήλ, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ
γῆς Αἰγύπτου ἐν χειρὶ κραταιᾷ, ἐν σημείοις καὶ ἐν τέρασιν καὶ ἐν
δυνάμει μεγάλῃ καὶ ἐν βραχίονι ὑψηλῷ, καὶ ἐποίησας σεαυτῷ ὄνομα
12 ὡς ἡ ἡμέρα αὕτη, [12]ἡμάρτομεν, ἠσεβήσαμεν, ἠδικήσαμεν, Κύριε ὁ
13 θεὸς ἡμῶν, ἐπὶ πᾶσιν τοῖς δικαιώμασίν σου. [13]ἀποστραφήτω ὁ θυ-
μός σου ἀφ' ἡμῶν, ὅτι κατελείφθημεν ὀλίγοι ἐν τοῖς ἔθνεσιν οὗ
14 διέσπειρας ἡμᾶς ἐκεῖ. [14]εἰσάκουσον, Κύριε, τῆς προσευχῆς ἡμῶν
καὶ τῆς δεήσεως ἡμῶν, καὶ ἐξελοῦ ἡμᾶς ἕνεκεν σοῦ καὶ δὸς ἡμῖν
15 χάριν κατὰ πρόσωπον τῶν ἀποικισάντων ἡμᾶς, [15]ἵνα γνῷ πᾶσα ἡ
γῆ ὅτι σὺ Κύριος ὁ θεὸς ἡμῶν, ὅτι τὸ ὄνομά σου ἐπεκλήθη ἐπὶ
16 Ἰσραὴλ καὶ ἐπὶ τὸ γένος αὐτοῦ. [16]Κύριε, κάτιδε ἐκ τοῦ οἴκου τοῦ
ἁγίου σου καὶ ἐννόησον εἰς ἡμᾶς· κλῖνον, Κύριε, τὸ οὖς σου καὶ
17 ἄκουσον. [17]ἄνοιξον ὀφθαλμούς σου καὶ ἴδε ὅτι οὐχ οἱ τεθνηκότες

1 Ιουδα] + του αγαγειν (αναγαγειν Q*) εφ ημας κακα μεγαλα AQ (sub ※ AQΓ θ' Q^{mg}) Γ   2 ουκ] pr α AQΓ | εποιηθη] (ε)ποιη(σε)ν $Γ^{vid}$ | εποιησεν] εποιηθη AQΓ | Μωυση] Μωσε(ω)ς Γ   3 υιου] υιων A | σαρκος (2°) Γ   4 αβατον (αναβ. Q*)] pr εις AQ | πασιν A | κυκλω 2°] + ημων AQ   5 Κυριω θεω] τω κ̅ω̅ θ̅ω̅ A κ̅ω̅ τω θ̅ω̅ Q   7 om α 2° Q   8 αυτων] αυτου A   9 και 2°] οις Q^{mg} | επηγαγεν AQ | ο κυριος] om ο A   11 om και νυν A | εν 2°] pr και AQ | τερασι Q^{a} 12 πασι Q^{a} | δικαιωμασι Q^{a} 13 αποστραφητω] + δη AQ   14 σου] pr του ονοματος AQ^{mg} 15 συ] + ει Q | επεκληθη] επικεκληται AQ   16 om εις A | Κυριε 2°] κ̅ς̅ B | ακουσον] εισακουσον A   17 ανοιξον] pr και A + κ̅ε̅ AQ | οφθαλμους] pr τους A | τεθνεωτες A

B ἐν τῷ ᾅδῃ, ὧν ἐλήμφθη τὸ πνεῦμα αὐτῶν ἀπὸ τῶν σπλάγχνων αὐ-
τῶν, δώσουσιν δόξαν καὶ δικαίωμα τῷ κυρίῳ· [18]ἀλλὰ ἡ ψυχὴ αὐτοῦ 18
ἡ λυπουμένη ἐπὶ τὸ μέγεθος, ὃ βαδίζει κύπτον καὶ ἀσθενοῦν, καὶ
οἱ ὀφθαλμοὶ οἱ ἐκλείποντες καὶ ἡ ψυχὴ ἡ πεινῶσα δώσουσίν σοι
δόξαν καὶ δικαιοσύνην, Κύριε. [19]ὅτι οὐκ ἐπὶ τὰ δικαιώματα τῶν 19
πατέρων ἡμῶν καὶ τῶν βασιλέων ἡμῶν ἡμεῖς καταβάλλομεν τὸν
ἔλεον κατὰ πρόσωπόν σου, Κύριε ὁ θεὸς ἡμῶν, [20]ὅτι ἐνῆκας τὸν 20
θυμόν σου καὶ τὴν ὀργήν σου εἰς ἡμᾶς, καθάπερ ἐλάλησας ἐν χειρὶ
τῶν παίδων σου τῶν προφητῶν [21]Οὕτως εἶπεν Κύριος Κλίνατε τὸν 21
ὦμον ὑμῶν καὶ ἐργάσασθε τῷ βασιλεῖ Βαβυλῶνος, καὶ καθίσατε ἐπὶ
τὴν γῆν ἣν δέδωκα τοῖς πατράσιν ὑμῶν· [22]καὶ ἐὰν μὴ ἀκούσητε 22
τῆς φωνῆς Κυρίου ἐργάσασθαι τῷ βασιλεῖ Βαβυλῶνος, [23]ἐκλείψειν 23
ποιήσω ἐκ πόλεων Ἰούδα καὶ ἔξωθεν Ἰερουσαλὴμ φωνὴν εὐφροσύνης
καὶ φωνὴν χαρμοσύνης, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης, καὶ ἔσται
πᾶσα ἡ γῆ εἰς ἄβατον ἀπὸ ἐνοικούντων. [24]καὶ οὐκ ἠκούσαμεν τῆς 24
φωνῆς σου ἐργάσασθαι τῷ βασιλεῖ Βαβυλῶνος, καὶ ἔστησας τοὺς
λόγους σου οὓς ἐλάλησας ἐν χερσὶν τῶν παίδων σου τῶν προφητῶν
τοῦ ἐξενεχθῆναι τὰ ὀστᾶ βασιλέων ἡμῶν καὶ τὰ ὀστᾶ τῶν πατέρων
ἡμῶν ἐκ τοῦ τόπου αὐτῶν. [25]καὶ ἰδού, ἔστιν ἐξερριμμένα τῷ καύματι 25
τῆς ἡμέρας καὶ τῷ παγετῷ τῆς νυκτός· καὶ ἀπεθάνοσαν ἐν πόνοις
πονηροῖς, ἐν λιμῷ καὶ ἐν ῥομφαίᾳ καὶ ἐν ἀποστολῇ. [26]καὶ ἔθηκας 26
τὸν οἶκον οὗ ἐπεκλήθη τὸ ὄνομά σου ἐπ' αὐτῷ ὡς ἡ ἡμέρα αὕτη,
διὰ πονηρίαν οἴκου Ἰσραὴλ καὶ οἴκου Ἰούδα. [27]Καὶ ἐποίησας 27
εἰς ἡμᾶς, Κύριε ὁ θεὸς ἡμῶν, κατὰ πᾶσαν ἐπιεικίαν σου καὶ κατὰ
πάντα οἰκτειρμόν σου τὸν μέγαν, [28]καθὰ ἐλάλησας ἐν χειρὶ παιδός 28
σου Μωυσῆ, ἐν ἡμέρᾳ ἐντειλαμένου σου αὐτῷ γράψαι τὸν νόμον σου
ἐναντίον υἱῶν Ἰσραὴλ λέγων [29]Ἐὰν μὴ ἀκούσητε τῆς φωνῆς μου, εἰ 29
μὴν ἡ βόμβησις ἡ μεγάλη ἡ πολλὴ αὕτη ἀποστρέψει εἰς μικρὰν ἐν
τοῖς ἔθνεσιν οὗ διασπερῶ αὐτοὺς ἐκεῖ. [30]ὅτι ἔγνων ὅτι οὐ μὴ ἀκού- 30

AQ 17 εληφθη Q^a | δωσουσιν (-σι Q^a: item 18)]+σοι A 18 αλλα] αλλ AQ | om αυτου B^{ab}AQ | εκλιποντες Q^* (εκλειπ. Q^a) | δοξαν σοι A 19 βασιλεων] ν sup ras $B^{?vid}$ | ελεον]+ημων AQ 20 εις] εφ A | προφητων]+λεγων AQ 21 εργασασθε] εργαζεσθαι A | την γην ην] της γης ης AQ | εδωκα A 22 εργασασθαι] εργαζεσθαι A: item 24 23 εκλειψι̅ B^* (-ψειν $B^{ab}Q^a$) εκλιψιν AQ^* (-ψειν) | πολεως AQ 24 χερσι Q^a | βασιλεων] pr των A | ημων 1°]+και τα οστα των αρχοντων ημω̅ A | αυτων] αυτου A 25 εστιν] εισιν AQ | εξερριμμενα B^b | om εν 2° Q^* (hab Q^{mg}) | ρομφαια] μ sup ras $B^?$ 26 οικον]+σου AQ | επεκληθη] επικεκληται Q 27 επιεικειαν $B^{ab(vid)}Q^a$ | οικτιρμον B^bAQ^a 28 Μωση A | εναντιον] ενωπιον A 29 ει μην] η μην Q^a | η πολλη] pr και A | μικραν] μακραν AQ 30 ακουσωσιν (-σι Q^a)] εισακουσωσιν A

σωσίν μου, ὅτι λαὸς σκληροτράχηλός ἐστιν· καὶ ἐπιστρέψουσιν ἐπὶ B
31 καρδίαν αὐτῶν ἐν γῇ ἀποικισμοῦ αὐτῶν, [31]καὶ γνώσονται ὅτι ἐγὼ
Κύριος ὁ θεὸς αὐτῶν. καὶ δώσω αὐτοῖς καρδίαν καὶ ὦτα ἀκούοντα,
32 [32]καὶ αἰνέσουσίν με ἐν γῇ ἀποικισμοῦ αὐτῶν, καὶ μνησθήσονται τοῦ
33 ὀνόματός μου· [33]καὶ ἀποστρέψουσιν ἀπὸ τοῦ νώτου αὐτῶν τοῦ σκλη-
ροῦ καὶ ἀπὸ πονηρῶν πραγμάτων αὐτῶν, ὅτι μνησθήσονται τῆς ὁδοῦ
34 πατέρων αὐτῶν τῶν ἁμαρτόντων ἔναντι Κυρίου. [34]καὶ ἀποστρέψω
αὐτοὺς εἰς τὴν γῆν ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, τῷ Ἀβραὰμ
καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακώβ, καὶ κυριεύσουσιν αὐτῆς· καὶ πλη-
35 θυνῶ αὐτούς, καὶ οὐ μὴ σμικρυνθῶσιν· [35]καὶ στήσω αὐτοῖς διαθήκην
αἰώνιον τοῦ εἶναί με αὐτοῖς εἰς θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς
λαόν· καὶ οὐ κινήσω ἔτι τὸν λαόν μου Ἰσραὴλ ἀπὸ τῆς γῆς ἧς
ἔδωκα αὐτοῖς.

III 1 [1]Κύριε Παντοκράτωρ, ὁ θεὸς Ἰσραήλ, ψυχὴ ἐν στενοῖς καὶ πνεῦμα
2 ἀκηδιῶν κέκραγεν πρὸς σέ. [2]ἄκουσον, Κύριε, καὶ ἐλέησον, ὅτι ἡμάρ-
3 τομεν ἐναντίον σου· [3]ὅτι σὺ καθήμενος τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολ-
4 λύμενοι τὸν αἰῶνα. [4]Κύριε Παντοκράτωρ, ὁ θεὸς Ἰσραήλ, ἄκουσον
δὴ τῆς προσευχῆς τῶν τεθνηκότων Ἰσραὴλ καὶ υἱῶν τῶν ἁμαρτα-
νόντων ἐναντίον σου, οἳ οὐκ ἤκουσαν τῆς φωνῆς σου θεοῦ αὐτῶν, καὶ
5 ἐκολλήθη ἡμῖν τὰ κακά. [5]μὴ μνησθῇς ἀδικιῶν πατέρων ἡμῶν, ἀλλὰ
6 μνήσθητι χειρός σου καὶ ὀνόματός σου ἐν τῷ καιρῷ τούτῳ· [6]ὅτι σὺ
7 Κύριος ὁ θεὸς ἡμῶν, καὶ αἰνέσομέν σε, Κύριε. [7]ὅτι διὰ τοῦτο
ἔδωκας τὸν φόβον σου ἐπὶ καρδίαν ἡμῶν καὶ ἐπικαλεῖσθαι τὸ ὄνομά
σου· καὶ αἰνέσομέν σε ἐν τῇ ἀποικίᾳ ἡμῶν, ὅτι ἀπεστρέψαμεν ἀπὸ
καρδίας ἡμῶν πᾶσαν ἀδικίαν πατέρων ἡμῶν τῶν ἡμαρτηκότων
8 ἐναντίον σου. [8]ἰδοὺ ἡμεῖς σήμερον ἐν τῇ ἀποικίᾳ ἡμῶν, οὗ διέσπειρας
ἡμᾶς ἐκεῖ εἰς ὀνειδισμὸν καὶ εἰς ἀρὰν καὶ εἰς ὄφλησιν κατὰ πάσας
τὰς ἀδικίας πατέρων ἡμῶν, οἳ ἀπέστησαν ἀπὸ Κυρίου θεοῦ ἡμῶν.

9 [9]Ἄκουε, Ἰσραήλ, ἐντολὰς ζωῆς, ἐνωτίσασθε γνῶναι φρόνησιν.

30 λαος] pr ο Q | εστι Q^a 32 αινεσουσι Q^a 33 αποστρεψουσιν] AQ επιστρεψουσιν A | του νωτου] om του A | πονηρων] pr των A | μνησθησομαι Q | πατερων] pr των Q | αμαρτανοντων A | εναντιον Q 34 σμικρυνθωσιν] μικρυνθ. B^{a vid} -σι Q^a III 1 κεκραγεν] εκεκραξε A 2 ελεησον] + οτι θ̅ς̅ ελεημων ει και ελεησον AQ^{mg} 3 om συ A* (hab A^{a?}) 4 αμαρτοντων Q^a | σου 2°] om A κ̅υ̅ Q | εκολληθη] προσεκολληθη A 7 om και 1° AQ | επικαλεισθαι] pr του AQ | απο καρδιας] επι καρδιαν B^{ab}AQ 8 τας αδικιας] om τας AQ | πατερων] pr των Q

B [10]τί ἐστιν Ἰσραήλ; τί ὅτι ἐν γῇ τῶν ἐχθρῶν εἶ; ἐπαλαιώθης ἐν γῇ 10
ἀλλοτρίᾳ, συνεμιάνθης τοῖς νεκροῖς, [11]προσελογίσθης μετὰ τῶν εἰς 11
¶ Γ ᾅδου, [12]ἐνκατέλιπες ¶τὴν πηγὴν τῆς σοφίας. [13]τῇ ὁδῷ τοῦ θεοῦ εἰ 12 13
ἐπορεύθης, κατῴκεις ἂν ἐν εἰρήνῃ τὸν αἰῶνα. [14]μάθε ποῦ ἐστιν 14
φρόνησις, ποῦ ἐστιν ἰσχύς, ποῦ ἐστιν σύνεσις, τοῦ γνῶναι ἅμα ποῦ
ἐστιν μακροβίωσις καὶ ζωή, ποῦ ἐστιν φῶς ὀφθαλμῶν καὶ εἰρήνη.
[15]τίς εὗρεν τὸν τόπον αὐτῆς, καὶ τίς εἰσῆλθεν εἰς τοὺς θησαυροὺς 15
αὐτῆς; [16]ποῦ εἰσιν οἱ ἄρχοντες τῶν ἐθνῶν καὶ οἱ κυριεύοντες τῶν 16
θηρίων τῶν ἐπὶ τῆς γῆς; [17]οἱ ἐν τοῖς ὀρνέοις τοῦ οὐρανοῦ ἐμπαίζοντες, 17
καὶ τὸ ἀργύριον θησαυρίζοντες καὶ τὸ χρυσίον ᾧ ἐπεποίθεισαν
ἄνθρωποι, καὶ οὐκ ἔστιν τέλος τῆς κτήσεως αὐτῶν. [18]ὅτι οἱ τὸ 18
ἀργύριον τεκταίνοντες καὶ μεριμνῶντες, καὶ οὐκ ἔστιν ἐξεύρεσις τῶν
ἔργων αὐτῶν. [19]ἠφανίσθησαν καὶ εἰς ᾅδου κατέβησαν, καὶ ἄλλοι 19
ἀντανέστησαν ἀντ᾽ αὐτῶν. [20]νεώτεροι ἴδον φῶς καὶ κατῴκησαν 20
ἐπὶ τῆς γῆς, ὁδὸν δὲ ἐπιστήμης οὐκ ἔγνωσαν [21]οὐδὲ συνῆκαν τρίβους 21
αὐτῆς οὐδὲ ἀντελάβοντο αὐτῆς· οἱ υἱοὶ αὐτῶν ἀπὸ τῆς ὁδοῦ αὐτῶν
πόρρω ἐγενήθησαν, [22]οὐδὲ ἠκούσθη ἐν Χανάαν οὐδὲ ὤφθη ἐν Θαιμάν. 22
[23]οἵ τε υἱοὶ Ἁγὰρ οἱ ἐκζητοῦντες τὴν σύνεσιν οἱ ἐπὶ γῆς, οἱ ἔμποροι 23
τῆς Μερρὰν καὶ Θαιμάν, καὶ οἱ μυθολόγοι καὶ οἱ ἐκζητηταὶ τῆς
συνέσεως, ὁδὸν δὲ σοφίας οὐκ ἔγνωσαν οὐδὲ ἐμνήσθησαν τὰς τρίβους
αὐτῆς. [24]Ὦ Ἰσραήλ, ὡς μέγας ὁ οἶκος τοῦ θεοῦ, καὶ ἐπιμήκης ὁ 24
τόπος τῆς κτήσεως αὐτοῦ· [25]μέγας καὶ οὐκ ἔχει τελευτήν, ὑψηλὸς καὶ 25
ἀμέτρητος. [26]ἐκεῖ ἐγεννήθησαν οἱ γίγαντες οἱ ὀνομαστοὶ ἀπ᾽ ἀρχῆς 26
γενόμενοι, εὐμεγέθεις, ἐπιστάμενοι πόλεμον. [27]οὐ τούτους ἐξελέξατο 27
ὁ θεός, οὐδὲ ὁδὸν ἐπιστήμης ἔδωκεν αὐτοῖς· [28]καὶ ἀπώλοντο παρὰ τὸ 28
μὴ ἔχειν φρόνησιν, ἀπώλοντο διὰ τὴν ἀβουλίαν αὐτῶν. [29]τίς ἀνέβη 29
εἰς τὸν οὐρανὸν καὶ ἔλαβεν αὐτήν, καὶ κατεβίβασεν αὐτὴν ἐκ τῶν
νεφελῶν; [30]τίς διέβη πέραν τῆς θαλάσσης καὶ εὗρεν αὐτήν, καὶ οἴσει 30
αὐτὴν χρυσίου ἐκλεκτοῦ; [31]οὐκ ἔστιν ὁ γινώσκων τὴν ὁδὸν αὐτῆς, 31
οὐδὲ ὁ ἐνθυμούμενος τὴν τρίβον αὐτῆς. [32]ἀλλὰ ὁ εἰδὼς τὰ πάντα 32
γινώσκει αὐτήν, ἐξεῦρεν αὐτὴν τῇ συνέσει αὐτοῦ· ὁ κατασκευάσας

AQΓ 10 om τι 2° AQ | γη 1°] pr τη A 12 εγκατελιπες B^{b}Q εγκατελειπες A 13 αιωνα] + χρονον AQΓ 14 εστιν 5°] εστι Q^{a} 15 ευρε Γ 19 ανtανεστη sup ras A^{a} (seq ras 1 lit) 20 ειδον B^{ab} | κατοικησαν QΓ | om δε Γ 21 αυτων 2°] αυτω A^{*} (-των $A^{a?}$) 23 οι τε] ουτε A ουτε οι Q | γης] pr της AQ | om δε A | σοφιας] pr της AΓ 25 εχε Q^{*} 26 εγενηθησαν AQ | απ αρχης] pr οι AQΓ 28 αβουλειαν Q^{*} 31 γινωσκον $Γ^{*}$ (-σκων $Γ^{1(vid)}$) 32 αλλα] αλλ AQ^{a} | ο ιδως B^{*} (ο ειδως B^{ab})

τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον ἐνέπλησεν αὐτὴν κτηνῶν τετραπόδων· B
33 33 ὁ ἀποστέλλων τὸ φῶς καὶ πορεύεται, ἐκάλεσεν αὐτό, καὶ ὑπήκουσεν
34 αὐτῷ τρόμῳ· 34 οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐτῶν καὶ
35 εὐφράνθησαν· 35 ἐκάλεσεν αὐτούς, καὶ εἶπον Πάρεσμεν· ἔλαμψαν
36 μετ᾽ εὐφροσύνης τῷ ποιήσαντι αὐτούς. 36 οὗτος ὁ θεὸς ἡμῶν, οὐ
37 λογισθήσεται ἕτερος πρὸς αὐτόν. 37 ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης,
καὶ ἔδωκεν αὐτὴν Ἰακωβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραηλ τῷ ἠγαπημένῳ
38 ὑπ᾽ αὐτοῦ. 38 μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη, καὶ ἐν τοῖς ἀνθρώποις
IV 1 συνανεστράφη. 1 Αὕτη ἡ βίβλος τῶν προσταγμάτων τοῦ θεοῦ,
καὶ ὁ νόμος ὁ ὑπάρχων εἰς τὸν αἰῶνα· πάντες οἱ κρατοῦντες αὐτήν,
2 εἰς ζωήν· οἱ δὲ καταλείποντες αὐτὴν ἀποθανοῦνται. 2 ἐπιστρέφου,
Ἰακωβ, καὶ ἐπιλαβοῦ αὐτῆς, διόδευσον πρὸς τὴν λάμψιν κατέναντι
3 τοῦ φωτὸς αὐτῆς. 3 μὴ δῷς ἑτέρῳ τὴν δόξαν σου, καὶ τὰ συμφέροντά
4 σοι ἔθνει ἀλλοτρίῳ. 4 μακάριοί ἐσμεν, Ἰσραηλ, ὅτι τὰ ἀρεστὰ τοῦ
θεοῦ ἡμῖν γνωστά ἐστιν.

5/6 5 Θαρσεῖτε, λαός μου, μνημόσυνον Ἰσραηλ. 6 ἐπράθητε τοῖς ἔθνεσιν
οὐκ εἰς ἀπώλειαν, διὰ δὲ τὸ παροργίσαι ὑμᾶς τὸν θεόν, παρεδόθητε
7 τοῖς ὑπεναντίοις. 7 παρωξύνατε γὰρ τὸν ποιήσαντα ὑμᾶς θύσαντες
8 δαιμονίοις καὶ οὐ θεῷ· 8 ἐπελάθεσθε ¶ τὸν τροφεύσαντα ὑμᾶς θεὸν ¶ Γ
9 αἰώνιον, ἐλυπήσατε δὴ καὶ τὴν ἐκθρέψασαν ὑμᾶς Ιερουσαλημ. 9 εἶδεν
γὰρ τὴν ἐπελθοῦσαν ὑμῖν ὀργὴν παρὰ τοῦ θεοῦ, καὶ εἶπεν Ἀκούσατε,
10 αἱ πάροικοι Σειων, ἐπήγαγέν μοι ὁ θεὸς πένθος μέγα. 10 ἴδον γὰρ
τὴν αἰχμαλωσίαν τῶν υἱῶν μου καὶ τῶν θυγατέρων, ἣν ἐπήγαγεν
11 αὐτοῖς ὁ αἰώνιος. 11 ἔθρεψα γὰρ αὐτοὺς μετ᾽ εὐφροσύνης, ἐξαπέστειλα
12 δὲ μετὰ κλαυθμοῦ καὶ πένθους. 12 μηδεὶς ἐπιχαιρέτω μοι τῇ χήρᾳ
καὶ καταλειφθείσῃ ὑπὸ πολλῶν· ἠρημώθην διὰ τὰς ἁμαρτίας τῶν
13 τέκνων μου, διότι ἐξέκλιναν ἐκ νόμου θεοῦ 13 καὶ δικαιώματα αὐτοῦ
οὐκ ἔγνωσαν, οὐδὲ ἐπορεύθησαν ὁδοῖς ἐντολῶν θεοῦ, οὐδὲ τρίβους

32 τον αιωνα] om τον Q 33 πορευσεται Q 34 ηυφρανθησαν AQ AQΓ
35 ειπαν Q | ελαμψαν] pr και ΑΓ 37 om υπ AQ* (hab Q^mg) 38 επι]
pr και Q | της γης] om της A | om εν Γ IV 1 αυτην 1°] αυτης A | κατα-
λιποντες Q* (καταλειπ. Q^a) 4 του θεου] τω θω AQ | ημιν] υμιν Γ | om
εστιν Γ 6 υμας] ημας A 7 παρωξυνατε AQ | δαιμονιοις] pr τοις Γ^vid |
om και ου θεω Γ^vid 8 επελαθεσθε] + δε AQ | υμας 1°] ημας A | δη] δε
B^b(vid) AQ 9 ειδεν B^ab | om γαρ A | Σιων B^b AQ: item 14, 24 | επη-
γαγεν] + γαρ A 10 ειδον B^ab | των υιων] pr του λαου A | των θυγατερων]
om των Q 11 δε] + αυτους Q 12 καταλειφθηση AQ* (-φθειση Q^a)
13 και δικαιωματα] δικ. δε AQ | εγνωσαν] εφυλαξαν A | τριβοις Q

B παιδίας ἐν δικαιοσύνῃ αὐτοῦ ἐπέβησαν. 14 ἐλθάτωσαν αἱ πάροικοι 14
Σειών, καὶ μνήσθητε τὴν αἰχμαλωσίαν τῶν υἱῶν μου καὶ θυγατέρων,
ἣν ἐπήγαγεν αὐτοῖς ὁ αἰώνιος. 15 ἐπήγαγεν γὰρ ἐπ' αὐτοὺς ἔθνος 15
μακρόθεν, ἔθνος ἀναιδὲς καὶ ἀλλόγλωσσον· ὅτι οὐκ ᾐσχύνθησαν
πρεσβύτην οὐδὲ παιδίον ἠλέησαν, 16 καὶ ἀπήγαγον τοὺς ἀγαπητοὺς 16
τῆς χήρας, καὶ ἀπὸ τῶν θυγατέρων τὴν μόνην ἠρήμωσαν. 17 ἐγὼ δὲ 17
τί δυνατὴ βοηθῆσαι ὑμῖν; 18 ὁ γὰρ ἐπαγαγὼν τὰ κακὰ ἐξελεῖται ὑμᾶς 18
ἐκ χειρὸς ἐχθρῶν ὑμῶν. 19 βαδίζετε, τέκνα, βαδίζετε, ἐγὼ γὰρ κατε- 19
λείφθην ἔρημος. 20 ἐξεδυσάμην τὴν στολὴν τῆς εἰρήνης, ἐνεδυσάμην 20
δὲ σάκκον τῆς δεήσεώς μου· κεκράξομαι πρὸς τὸν αἰώνιον ἐν ταῖς
ἡμέραις μου. 21 Θαρρεῖτε, τέκνα, βοήσατε πρὸς τὸν θεόν, καὶ 21
ἐξελεῖται ὑμᾶς ἐκ δυναστείας, ἐκ χειρὸς ἐχθρῶν. 22 ἐγὼ γὰρ ἤλπισα 22
ἐπὶ τῷ αἰωνίῳ τὴν σωτηρίαν ὑμῶν, καὶ ἦλθέν μοι χαρὰ παρὰ τοῦ
ἁγίου ἐπὶ τῇ ἐλεημοσύνῃ, ᾗ ἥξει ὑμῖν ἐν τάχει παρὰ τοῦ αἰωνίου
σωτῆρος ὑμῶν. 23 ἐξέπεμψα γὰρ ὑμᾶς μετὰ πένθους καὶ κλαυθμοῦ, 23
ἀποδώσει δέ μοι ὁ θεὸς ὑμᾶς μετὰ χαρμοσύνης καὶ εὐφροσύνης εἰς τὸν
αἰῶνα. 24 ὥσπερ γὰρ νῦν ἑωράκασιν αἱ πάροικοι Σειὼν τὴν ὑμετέραν 24
αἰχμαλωσίαν, οὕτως ὄψονται ἐν τάχει τὴν παρὰ τοῦ θεοῦ ὑμῶν
σωτηρίαν, ἣ ἐπελεύσεται ὑμῖν μετὰ δόξης μεγάλης καὶ λαμπρότητος
τοῦ αἰωνίου. 25 τέκνα, μακροθυμήσατε τὴν παρὰ τοῦ θεοῦ ἐπελ- 25
θοῦσαν ὑμῖν ὀργήν· κατεδίωξέν σε ὁ ἐχθρός, καὶ ὄψει αὐτοῦ τὴν
ἀπώλειαν ἐν τάχει, καὶ ἐπὶ τραχήλους αὐτῶν ἐπιβήσῃ. 26 οἱ τρυ- 26
φεροί μου ἐπορεύθησαν ὁδοὺς τραχείας, ἤρθησαν ὡς ποίμνιον ἡρπα-
σμένον ὑπὸ ἐχθρῶν. 27 Θαρρήσατε, τέκνα, καὶ βοήσατε πρὸς 27
τὸν θεόν, ἔσται γὰρ ὑμῶν ὑπὸ τοῦ ἐπάγοντος μνεία. 28 ὥσπερ γὰρ 28
ἐγένετο ἡ διάνοια ὑμῶν εἰς τὸ πλανηθῆναι ἀπὸ τοῦ θεοῦ, δεκα-
πλασιάσατε ἐπιστραφέντες ζητῆσαι αὐτόν. 29 ὁ γὰρ ἐπαγαγὼν ὑμῖν 29

AQ 13 παιδιας (-δειας B^{ab}Q)] + αληθειας Q* (improb αληθ. Q^{a}) 14 θυγατερων] pr των AQ 15 αυτους] + ο θ̅ς̅ A | οτι] οι A 16 απηγαγον] ηγαγον A | μονην] μονογενην A 17 δυνατη] δυναμαι A 18 επαγαγων] + υμιν Q | τα κακα] + υμιν A 20 ενεδυσαμην δε] και ενεδυσ. A om δε Q* (hab Q^{mg}) | αιωνιον] + υψιστον A 21 θαρσειτε AQ | βοησατε] pr και A | om εκ δυναστειας A | εχθρων] + υμων A 22 εγω γαρ] + ηδη Q | επι τω αιωνιω ηλπισα A | om επι τη ελεημοσυνη A | ηξει υμιν] ει υ sup ras B^{1} | του αιων.] το sup ras B^{1} | υμων 2°] ημων Q 23 χαρμοσυνης] νης sup ras B^{1} 24 υμων] ημων A | υμιν] ημιν A 25 κατεδιωξεν] + γαρ AQ | εχθρος] + σου AQ | οψη A | τραχηλους] pr τους A 26 επορευθησας B* (-σαν B^{a}) | υπο εχθρων] απο εχθρ. A υπο των εχθρ. Q* (υπο εχθρ. Q^{a}) 27 θαρσησατε AQ | θ̅ν̅ εσται sup ras $B^{a(salt)}$ | επαγαγοντος Q 28 πλανηθηναι] + υμας AQ | δεκαπλασιασατε] pr ουτω νυν A | επιστραφες B* (-φεντες B^{ab})

τὰ κακὰ ἐπάξει ὑμῖν τὴν αἰώνιον εὐφροσύνην μετὰ τῆς σωτηρίας B
ὑμῶν.
30 31 [30]Θάρσει, Ἰερουσαλήμ, παρακαλέσει σε ὁ ὀνομάσας σε. [31]δείλαιοι
32 οἱ σὲ κακώσαντες καὶ ἐπιχαρέντες τῇ σῇ πτώσει, [32]δείλαιαι αἱ πόλεις
αἷς ἐδούλευσαν τὰ τέκνα σου, δειλαία ἡ δεξαμένη τοὺς υἱούς σου.
33 [33]ὥσπερ γὰρ ἐχάρη ἐπὶ τῇ σῇ πτώσει καὶ εὐφράνθη ἐπὶ τῷ πτώματί
34 σου, οὕτως λυπηθήσεται ἐπὶ τῇ ἑαυτῆς ἐρημίᾳ. [34]καὶ περιελῶ αὐτῆς
τὸ ἀγαλλίαμα τῆς πολυοχλίας, καὶ τὸ ἀγαυρίαμα αὐτῆς εἰς πένθος.
35 [35]πῦρ γὰρ ἐπελεύσεται αὐτῇ παρὰ τοῦ αἰωνίου εἰς ἡμέρας μακράς,
36 καὶ κατοικηθήσεται ὑπὸ δαιμονίων τὸν πλείονα χρόνον. [36]περί-
βλεψαι πρὸς ἀνατολάς, Ἰερουσαλήμ, καὶ ἴδε τὴν εὐφροσύνην τὴν
37 παρὰ τοῦ θεοῦ σοι ἐρχομένην. [37]ἰδοὺ ἔρχονται οἱ υἱοί σου οὓς
ἐξαπέστειλας, ἔρχονται συνηγμένοι ἀπ᾽ ἀνατολῶν ἕως δυσμῶν τῷ
V 1 ῥήματι τοῦ ἁγίου, χαίροντες τῇ τοῦ θεοῦ δόξῃ. [1]Ἔκδυσαι,
Ἰερουσαλήμ, τὴν στολὴν τοῦ πένθους καὶ τῆς κακώσεώς σου, καὶ
ἔνδυσαι τὴν εὐπρέπειαν τῆς παρὰ τοῦ θεοῦ δόξης εἰς τὸν αἰῶνα.
2 [2]περιβαλοῦ τὴν διπλοίδα τῆς παρὰ τοῦ θεοῦ δικαιοσύνης, ἐπίθου τὴν
3 μίτραν ἐπὶ τὴν κεφαλήν σου τῆς δόξης τοῦ αἰωνίου. [3]ὁ γὰρ θεὸς
4 δείξει τῇ ὑπ᾽ οὐρανὸν πάσῃ τὴν σὴν λαμπρότητα. [4]κληθήσεται γάρ
σου τὸ ὄνομα παρὰ τοῦ θεοῦ εἰς τὸν αἰῶνα, εἰρήνη δικαιοσύνης καὶ
5 δόξα θεοσεβίας. [5]ἀνάστηθι, Ἰερουσαλήμ, καὶ στῆθι ἐπὶ τοῦ ὑψηλοῦ,
καὶ περίβλεψαι πρὸς ἀνατολὰς καὶ ἴδε σου συνηγμένα τὰ τέκνα
ἀπὸ ἡλίου δυσμῶν ἕως ἀνατολῶν τῷ ῥήματι τοῦ ἁγίου, χαίροντας τῇ
6 τοῦ θεοῦ μνείᾳ. [6]ἐξῆλθον γὰρ παρὰ σοῦ πεζοὶ ἀγόμενοι ὑπὸ ἐχθρῶν,
εἰσάγει δὲ αὐτοὺς ὁ θεὸς πρὸς σὲ αἰρομένους μετὰ δόξης ὡς θρόνον
7 βασιλείας. [7]συνέταξεν γὰρ ὁ θεὸς ταπεινοῦσθαι πᾶν ὄρος ὑψηλόν,
καὶ θῖνας ἀενάους καὶ φάραγγας πληροῦσθαι εἰς ὁμαλισμὸν τῆς γῆς·
8 ἵνα βαδίσῃ Ἰσραὴλ ἀσφαλῶς τῇ τοῦ θεοῦ δόξῃ. [8]ἐσκίασαν δὲ καὶ οἱ
δρυμοὶ καὶ πᾶν ξύλον εὐωδίας τῷ Ἰσραὴλ προστάγματι τοῦ θεοῦ.
9 [9]ἡγήσεται γὰρ ὁ θεὸς Ἰσραὴλ μετ᾽ εὐφροσύνης τῷ φωτὶ τῆς δόξης
αὐτοῦ σὺν ἐλεημοσύνῃ καὶ δικαιοσύνῃ τῇ παρ᾽ αὐτοῦ.

29 *τα κακα*] *τα κα* B* (*τ. κακα* B^b(vid)) **30** *παρακαλει* A **31** *επιχα-* AQ
ραντες B* (*-ρεντες* B^ab) A **33** *ευφρανθη*] *ευφραν* sup ras B^1?ab? *ηυφρανθη*
AQ | *τω πτωματι*] om *τω* A **34** *αυτης* 1°] *εαυτης* Q | *αγαλλιαμα*] *αγαλμα*
A | *πολυοχλειας* B* (*-χλιας* B^b) | *εις πενθος*] pr *εσται* AQ **36** *ερχομενην*]
επερχομενην A **37** *συνηγμενοι ερχονται* A | *απ*] *απο* AQ | *ανατολης* A
V 1 om *και* 1° A | *της κακωσεως*] om *της* A | *ευπρεπιαν* Q* (*-πειαν* Q^a) |
θεου]+*σοι* A **2** *αιωνιου*] *αγιου* A **3** *δειξη* AQ **4** *θεοσεβειας* B^ab AQ
5 *εως*] pr *και* A | *χαιροντες* AQ **6** om *ως* A | *θρονον*] *υιους* AQ | *βασιλιας*
Q* (*-λειας* Q^a) **9** *δικαιοσυνη τη παρ αυτου*] *τη παρα του θυ̅ δικ.* A
Subscr Βαρουχ BAQ

ΘΡΗΝΟΙ

B ΚΑΙ *ἐγένετο μετὰ τὸ αἰχμαλωτισθῆναι τὸν Ἰσραὴλ καὶ Ιερουσαλὴμ ἐρημωθῆναι ἐκάθισεν Ἰερεμίας κλαίων, καὶ ἐθρήνησεν τὸν θρῆνον τοῦτον ἐπὶ Ἰερουσαλὴμ καὶ εἶπεν*

Ἄλεφ.

[1]*Πῶς ἐκάθισεν μόνη ἡ πόλις ἡ πεπληθυμμένη λαῶν;* 1 I
ἐγενήθη ὡς χήρα πεπληθυμμένη ἐν ἔθνεσιν,
ἄρχουσα ἐν χώραις ἐγενήθη εἰς φόρον.

Βήθ.

[2]*Κλαίουσα ἔκλαυσεν ἐν νυκτί, καὶ τὰ δάκρυα αὐτῆς ἐπὶ τῶν σιαγόνων αὐτῆς,* 2
καὶ οὐχ ὑπάρχει ὁ παρακαλῶν αὐτὴν ἀπὸ πάντων τῶν ἀγαπώντων αὐτήν·
πάντες οἱ φιλοῦντες αὐτὴν ἠθέτησαν ἐν αὐτῇ,
ἐγένοντο αὐτῇ εἰς ἐχθρούς.

Γίμελ.

[3]*Μετῳκίσθη Ἰουδαία ἀπὸ ταπεινώσεως αὐτῆς καὶ ἀπὸ πλήθους δουλείας αὐτῆς·* 3
ἐκάθισεν ἐν ἔθνεσιν, οὐχ εὗρεν ἀνάπαυσιν·
πάντες οἱ καταδιώκοντες αὐτὴν κατέλαβον αὐτὴν ἀνὰ μέσον τῶν θλιβόντων.

ℵAQ Inscr *θρηνοι* B^{*}A *θρ.* Ιερεμιου B^{b}ℵQΓ (Ιερεμ..) I tit Ισραηλ] ras aliq in *σ* $B^{?}$ 1 *αλεφ*] *αλφ* ℵA *αλφα* Q adnot *ματαιωσις η τελειωσις* Q^{mg} | om *ως* $\aleph^{*}$ (hab $\aleph^{1(mg)}$) | *πεπληθυμμενη*] *σ´ πληθυνουσα* Q^{mg} 2 *βηθ*] adnot *οικουσα εν αυτη* Q^{mg} | *εκλαυσεν*] *εδακρυσεν* A | *και ουχ υπαρχει ο παρακαλων*] *και ουχ υπηρχεν ο παρακ.* Q *σ´ ϛ ουκ υπηρξεν αυτη παρηγορων* Q^{mg} | *αγαπω̄* B^{*} (*-ντων* B^{ab}) | *αυτην* 2°] *η* sup ras B^{ab} | *φιλουντες*] *φιλου* sup ras B^{ab} | *εν αυτη*] *αυτην* ℵ 3 *γιμελ*] *γιμλ* AQ adnot *πληρωσις ανωτερον* Q^{mg} | Ιουδαια] pr *η* AQ | *δουλιας* ℵ | *ουχ*] pr *και* ℵ | *καταδιωκοντες*] *διωκοντες* ℵ | *ανα μεσον*] *σ´ εντος* Q^{mg} | *θλιβοντων*] + *αυτη̄* AQ^{mg}

Δάλεθ. B

4 [4]Ὁδοὶ Σειὼν πενθοῦσιν παρὰ τὸ μὴ εἶναι ἐρχομένους ἐν ἑορτῇ·
πᾶσαι αἱ πύλαι αὐτῆς ἠφανισμέναι, οἱ ἱερεῖς αὐτῆς ἀναστενάζουσιν,
αἱ παρθένοι αὐτῆς ἀγόμεναι, καὶ αὐτὴ πικραινομένη ἐν ἑαυτῇ.

Ἤ.

5 [5]Ἐγένοντο οἱ θλίβοντες αὐτὴν εἰς κεφαλήν, καὶ οἱ ἐχθροὶ αὐτῆς εὐθηνοῦσαν,
ὅτι Κύριος ἐταπείνωσεν ἐπὶ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῆς·
τὰ νήπια αὐτῆς ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ κατὰ πρόσωπον θλίβοντος.

Οὐαύ.

6 [6]Καὶ ἐξῆρθη ἐκ θυγατρὸς Σειὼν πᾶσα ἡ εὐπρέπεια αὐτῆς·
ἐγένοντο οἱ ἄρχοντες αὐτῆς ὡς κριοὶ οὐχ εὑρίσκοντες νομήν,
καὶ ἐπορεύοντο ἐν οὐκ ἰσχύι κατὰ πρόσωπον διώκοντος.

Ζάιν.

7 [7]Ἐμνήσθη Ἰερουσαλὴμ ἡμερῶν ταπεινώσεως αὐτῆς καὶ ἀπωσμῶν αὐτῆς,
πάντα τὰ ἐπιθυμητὰ αὐτῆς ὅσα ἦν ἐξ ἡμερῶν ἀρχαίων,
ἐν τῷ πεσεῖν τὸν λαὸν αὐτῆς εἰς χεῖρας θλίβοντος, καὶ οὐκ ἦν ὁ βοηθῶν αὐτῇ·
ἰδόντες οἱ ἐχθροὶ αὐτῆς ἐγέλασαν ἐπὶ κατοικεσίᾳ αὐτῆς.

Ἤθ.

8 [8]Ἁμαρτίαν ἥμαρτεν Ἰερουσαλήμ, διὰ τοῦτο εἰς σάλον ἐγένετο·

4 δαλεθ] δελεθ ℵ δελτ A δελθ Q adnot δελτοι υψηλοτερος Q^mg | Σιων ℵAQ ℵAQ: item 6 | πενθουσιν (-σι Q^a)] πενθησουσιν ℵ | παραπικραινομενη Q | εαυτη] αυτη A 5 κεφαλην] αρχοντας Q^mg | ευθηνουσιν ℵQ^c | οτι Κυριος ...αυτης 2°] οτι κ̅ς̅ επηγαγεν δια το πληθος των ασυνθεσιων αυτης Q^mg | εταπεινωσεν]+αυτην ℵAQ | επι το πληθος sup ras B^ab | ασεβιων ℵ | κατα προσωπον] ενωπιον ℵ 6 ουαυ] adnot εν αυτω Q^mg | εξηρθη] εξηλθεν ℵ* (εξηρθ. ℵ^c.a) A | ευπρεπια ℵ | ως] incep ο ℵ* | ουχ] μη A | νομην]+εδωκαν τα επιθυμηματα αυτων εν βρωσι του αναπαυσε (-σαι ℵ^c.b) ψυχην ℵ* (uncis incl ℵ?) | ουκ] incep ι ℵ* | κατα προσωπον] ενωπιον A 7 ζαιν] ζαι ℵAQ* ζη Q^mg | απωσμων] ω 1° sup ras B? | επιθυμητα] επιθυμηματα B^abℵAQ | εγελασαν..αυτης 6°] σ' κατεγελασαν της καταργησεως αυτης Q^mg | κατοικεσια] μετοικεσια A* (-σιας A^1) Q 8 σαλον] σ' σιγχος αναστατον Q^mg

§Γ B

πάντες [9] οἱ δοξάζοντες αὐτὴν ἐταπείνωσαν αὐτήν· ἴδον γὰρ
τὴν ἀσχημοσύνην αὐτῆς,
καί γε αὐτὴ στενάζουσα καὶ ἀπεστράφη ὀπίσω.

Τήθ.

[9] Ἀκαθαρσία αὐτῆς πρὸς ποδῶν αὐτῆς, οὐκ ἐμνήσθη ἔσχατα 9
αὐτῆς
καὶ κατεβίβασεν ὑπέρογκα· οὐκ ἔστιν ὁ παρακαλῶν αὐτήν.
ἴδε, Κύριε, τὴν ταπείνωσίν μου, ὅτι ἐμεγαλύνθη ἐχθρός.

Ἰώθ.

[10] Χεῖρα αὐτοῦ ἐξεπέτασεν θλίβων ἐπὶ πάντα τὰ ἐπιθυμήματα αὐτῆς, 10
εἶδεν γὰρ ἔθνη εἰσελθόντα εἰς τὸ ἁγίασμα αὐτῆς,
ἃ ἐνετείλω μὴ εἰσελθεῖν αὐτὰ εἰς ἐκκλησίαν σου.

Χάφ.

[11] Πᾶς ὁ λαὸς αὐτῆς καταστενάζοντες, ζητοῦντες ἄρτον, 11
ἔδωκαν τὰ ἐπιθυμήματα αὐτῆς ἐν βρώσει τοῦ ἐπιστρέψαι
ψυχήν.
ἴδε, Κύριε, καὶ ἐπίβλεψον, ὅτι ἐγενήθη ἠτιμωμένη.

Λάμεδ.

[12] Οἱ πρὸς ὑμᾶς πάντες παραπορευόμενοι ὁδόν, 12
ἐπιστρέψατε καὶ ἴδετε εἰ ἔστιν ἄλγος κατὰ τὸ ἄλγος μου ὃ
ἐγενήθη·
φθεγξάμενος ἐν ἐμοὶ ἐταπείνωσέν με Κύριος ἐν ἡμέρᾳ ὀργῆς
θυμοῦ αὐτοῦ.

Μήμ.

[13] Ἐξ ὕψους αὐτοῦ ἀπέστειλεν πῦρ, ἐν τοῖς ὀστέοις μου κατήγα- 13
γεν αὐτό·

ℵAQΓ

8 om *αυτην* 1° Q^{*} (hab Q^{mg}) | *εταπεινωσαν*] *ητιμασαν* Q^{mg} | *ιδον*] *ειδον* ℵ *ιδοντες* A | *οπισω*] pr *εις τα* $AQΓ^{vid}$ 9 *τηθ*] adnot *καλον* Q^{mg} | *εσχατω̄* A | *εχθρος*] pr *ο* A 10 *ιωθ*] *ιωδ* ℵ adnot *αρχη* Q^{mg} | *θλιβων*] pr *ο* Q | *ειδεν*] *ιδον* A *ιδεν* Γ | *ενετειλω*] incep *εαν* $ℵ^{*}$ | om *αυτα* A | *σου*] + *κ̅ε̅* Γ 11 *χαφ*] adnot *ομως* Q^{mg} | om *αρτον* ℵ | *εδωκα* $B^{?vid}A^{*}$ (*εδωκαν* $B^{*}A^{1}QΓ$) | *αυτης εν βρωσει*] σ' *αυτων υπερ του φαγειν* Q^{mg} | *εν βρωσει*] *εις βρωσιν* ℵ | om *Κυριε* A | *εγενηθην* $ℵ^{*}A$ 12 *λαμεδ*] *λαβδ* $ℵAQ^{*}$ *λαμδ* adnot *μαθε* Q^{mg} | *οι*] *ου* Q^{mg} | *υμας*] *ημας* $ℵ^{c.a}Γ$ | *κατα*] *και* A | *το αλγος*] om *το* ℵ (superscr $ℵ^{c.a(?)}$) | *μου ο* sup ras $B^{a?vid}$ | *φθεγξαμενος...αυτου*] σ' *ως εφαυλισθην ανεκαλεσε κ̅ς̅ εν ημερα οργης θυμου αυτης* Q^{mg} | *θυμου οργης* ℵ 13 *μημ*] adnot *επ αυτου* Q^{mg} | *κατηγαγεν*] pr *και* Q | *αυτο*] *αυτον* ℵ *αυτους* Q

διεπέτασεν δίκτυον τοῖς ποσίν μου, ἀπέστρεψέν με εἰς τὰ ὀπίσω, B
ἔδωκέν με ἠφανισμένην, ὅλην τὴν ἡμέραν ὀδυνωμένην.

Νούν.

14 [14]Ἐγρηγορήθη ἐπὶ τὰ ἀσεβήματά μου,
ἐν χερσίν μου συνεπλάκησαν, ἀνέβησαν ἐπὶ τὸν τράχηλόν μου·
ἠσθένησεν ἡ ἰσχύς μου, ὅτι ἔδωκεν Κύριος ἐν χερσίν μου ὀδύνας, οὐ δυνήσομαι στῆναι.

Σάμχ.

15 [15]Ἐξῆρεν πάντας τοὺς ἰσχυρούς μου ὁ κύριος ἐκ μέσου μου,
ἐκάλεσεν ἐπ' ἐμὲ καιρὸν τοῦ συντρῖψαι ἐκλεκτούς μου·
ληνὸν ἐπάτησεν Κύριος παρθένῳ θυγατρὶ Ἰούδα, ἐπὶ τούτοις ἐγὼ κλαίω.

Αἰν.

16 [16]Ὁ ὀφθαλμός μου κατήγαγεν ὕδωρ,
ὅτι ἐμακρύνθη ἀπ' ἐμοῦ ὁ παρακαλῶν με, ὁ ἐπιστρέφων ψυχήν μου·
ἐγένοντο οἱ υἱοί μου ἠφανισμένοι, ὅτι ἐκραταιώθη ὁ ἐχθρός.

Φή.

17 [17]Διεπέτασεν Σειὼν χεῖρας αὐτῆς, οὐκ ἔστιν ὁ παρακαλῶν αὐτήν.
ἐνετείλατο Κύριος τῷ Ἰακώβ· κύκλῳ αὐτοῦ οἱ θλίβοντες αὐτόν,
ἐγενήθη Ἰερουσαλὴμ εἰς ἀποκαθημένην ἀνὰ μέσον αὐτῶν.¶ ¶ Γ

Τσαδή.

18 [18]Δίκαιός ἐστιν Κύριος, ὅτι στόμα αὐτοῦ παρεπίκρανα.

13 διεπετασε Q δια[πε]τασεν Γ^{vid} | με 2°] + κ̅ς̅ A | οδυνωμενην] οδυρωμενην ℵAQΓ A 14 νουν] νουμ ℵ adnot αιωνα Q^{mg} | εν χερσιν μου συνεπλακησαν (συνεπλακ. A συνεπλεκ. Q^{a})] σ' δια της χειρος αυτου κατετριβη̅| Q^{mg} | bis scr ανεβησαν ℵ* (improb 2° ℵ?) | οτι] [δι]οτι Γ^{vid} | οδυνας] ου Q$^{mg\ vid}$ | στηναι] σ' υποστηναι Q^{mg} 15 σαμχ] adnot βοηθεια Q^{mg} | τους ισχυρους...μεσου μου] σ' τους μεγιστανας μου κ̅ς̅ τους εν μεσω μου Q^{mg} | ο κυριος] om ο ℵ | εκλεκτον Q 16 αιν] adnot πηγη η ορασις η οφθαλμος Q^{mg} | ο οφθαλμος] om ο Γ | ο επιστρεφων] om ο Q | ο εχθρος] om ο Q* (superscr Q^{a}) 17 φη] adnot στομα Q^{mg} | Σιων B^{b}ℵAQΓ | χειρας] pr τας A | ο παρακαλων] om ο ℵ* (superscr ℵ?) | om αυτου A 18 τιαδη] σαδη B^{a}ℵAQ adnot δικαιοσυνη Q^{mg} | στομα] pr το ℵAQ | παρεπικραναν ℵ

B ἀκούσατε δή, πάντες οἱ λαοί, καὶ ἴδετε τὸ ἄλγος μου·
παρθένοι μου καὶ νεανίσκοι μου ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ.

Κώφ.

19 Ἐκάλεσα τοὺς ἐραστάς μου, αὐτοὶ δὲ παρελογίσαντό με· 19
οἱ ἱερεῖς μου καὶ οἱ πρεσβύτεροί μου ἐν τῇ πόλει ἐξέλειπον,
ὅτι ἐζήτησαν βρῶσιν αὐτοῖς ἵνα ἐπιστρέψωσιν ψυχὰς αὐτῶν,
καὶ οὐχ εὗρον.

Ῥήχς.

20 Ἰδέ, Κύριε, ὅτι θλίβομαι· ἡ κοιλία μου ἐταράχθη, 20
καὶ ἡ καρδία μου ἐστράφη ἐν ἐμοί·
ὅτι παραπικραίνουσα παρεπικράνθην,
ἔξωθεν ἠτέκνωσεν μάχαιρα ὥσπερ θάνατος ἐν οἴκῳ.

Χσέν.

21 Ἀκούσατε δὴ ὅτι στενάζω ἐγώ, οὐκ ἔστιν ὁ παρακαλῶν με· 21
πάντες οἱ ἐχθροί μου ἤκουσαν τὰ κακά μου καὶ ἐχάρησαν, ὅτι
σὺ ἐποίησας·
ἐπήγαγες ἡμέραν, ἐκάλεσας καιρόν, ἐγένοντο ὅμοιοι ἐμοί.

Θαύ.

22 Εἰσέλθοι πᾶσα ἡ κακία αὐτῶν κατὰ πρόσωπόν σου, 22
καὶ ἐπιφύλλισον αὐτοῖς ὃν τρόπον ἐποίησαν ἐπιφυλλίδα περὶ
πάντων τῶν ἁμαρτημάτων μου,
ὅτι πολλοὶ οἱ στεναγμοί μου, καὶ ἡ καρδία μου λυπεῖται.

Ἄλεφ.

1 Πῶς ἐγνόφωσεν ἐν ὀργῇ αὐτοῦ Κύριος τὴν θυγατέρα Σειών· 1 II

ℵAQ 18 οι λαοι] om οι ℵ | παρθενοι] pr αι ℵ | νεανισκοι] pr οι ℵ 19 κωφ] adnot κλησις αγιασμου Q^{mg} | παρελογισαντο] ο 2° sup ras A^{1} | ιερις ℵ* (-ρεις ℵ^{1}) | εν τη πολει] σ′ κατα πολιν Q^{mg} | εξελειπον] εξελιπον B^{b}ℵ* (-λειπ. ℵ$^{c.a}$) Q^{a} | επιστρεψουσιν ℵ | ψυχας] pr εις ℵ 20 ρηχς] ρης ℵAQ adnot ορατος αρχηγος η κεφαλη Q^{mg} | η κοιλια] pr και A | om και ℵ | καρδια] κοιλια Q* (καρδ. Q^{mg}) | παρεπικρανθην] παρεπικρανα ℵQ | ητεκνωσεν] + με ℵAQ 21 χσεν] σεν ℵQ σενω A | εκαλεσας] pr και Q^{mg} | εγενοντο] και εγενοντο ℵ και εγενετο AQ | ομοιοι εμοι] οιμμοι οιμμοι AQ (οιμοι bis Q^{a}) σ′ ομοιοι εμοι Q^{mg} 22 θαυ] adnot σημειον η κλησις Q^{mg} | επιφυλλισον] επιφαυλισον A | αυτοις] αυτους ℵ | εποιησαν επιφυλλιδα] επεφυλλισαν μοι Q | λυπειται] adnot εως ωδε αντεβληθησα̅| παλιν οι θρηνοι απο των εις θρηνους Q^{mg} II 1 αλεφ] αλφ ℵ$^{c.a}$AQ | improb εν B^{ab} | om Κυριος A | Σιων B^{b}ℵAQ

κατέρριψεν ἐξ οὐρανοῦ εἰς γῆν δόξασμα Ἰσραήλ, B
καὶ οὐκ ἐμνήσθη ὑποποδίου ποδῶν αὐτοῦ.

Βήθ.

2 [2]Ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ [(2)]κατεπόντισεν Κύριος, οὐ φεισάμενος·
πάντα τὰ ὡραῖα Ἰακὼβ καθεῖλεν ἐν θυμῷ αὐτοῦ,
τὰ ὀχυρώματα τῆς θυγατρὸς Ἰούδα ἐκόλλησεν εἰς τὴν γῆν,
ἐβεβήλωσεν βασιλέας αὐτῆς καὶ ἄρχοντας αὐτῆς.

Γίμελ.

3 [3]Συνεκάλεσεν ἐν ὀργῇ θυμοῦ αὐτοῦ πᾶν κέρας Ἰσραήλ,
ἀπέστρεψεν ὀπίσω δεξιὰν αὐτοῦ ἀπὸ προσώπου ἐχθροῦ,
καὶ ἀνῆψεν ἐν Ἰακὼβ ὡς πῦρ φλόγα, καὶ κατέφαγεν πάντα τὰ κύκλῳ.

Δάλεθ.

4 [4]Ἐνέτεινεν τόξον αὐτοῦ ὡς ἐχθρὸς ὑπεναντίος,
ἐστερέωσεν δεξιὰν αὐτοῦ ὡς ὑπεναντίος,
καὶ ἀπέκτεινεν πάντα τὰ ἐπιθυμήματα ὀφθαλμῶν μου ἐν σκηνῇ θυγατρὸς Σειών,
ἐξέχεεν ὡς πῦρ τὸν θυμὸν αὐτοῦ.

Ἤ.

5 [5]Ἐγενήθη Κύριος ὡς ἐχθρός, κατεπόντισεν Ἰσραήλ·
κατεπόντισεν τὰς βάρεις αὐτῆς, διέφθειρεν τὰ ὀχυρώματα αὐτοῦ
καὶ ἐπλήθυνεν τῇ θυγατρὶ §*Ἰούδα ταπεινουμένην καὶ τεταπεινωμένην.* § Γ

Οὐαύ.

6 [6]Καὶ διεπέτασεν ὡς ἄμπελον τὸ σκήνωμα αὐτοῦ, διέφθειρεν ἑορτὴν αὐτοῦ·

1 *κατεριψεν* ℵ | *αυτου* 2°] + *εν ημερα οργης θυμου αυτου* A 2 om *εν* ℵAQΓ *ημερα οργης αυτου* A | *οργης*] + *θυμου* Q | *παντα*] pr ※ σ' *συν* Q[mg] | *θυγατρος*] incep ι ℵ* | *εβεβηλωσεν* (*εβεβησεν* A* *εβεβηλ.* A[1])] + *εις την γην* A | *βασιλεα* ℵAQ | *αρχοντα* AQ 3 *γιμελ*] *ημελ* ℵ*[vid] *γιμλ* ℵ[?]A[vid]Q | *συνεκαλεσεν*] *συνεκλασεν* ℵAQ | *οπισω*] pr *εις τα* AQ | om *δεξιαν αυτου απο προσωπου εχθρου* ℵ* (hab ℵ[c.a(?) mg]) | om *εν* 2° A 4 *δαλεθ*] *δελθ* ℵ[c.a]A[vid]Q | *ενετεινεν*] *ενετειλεν* A | om *υπεναντιος* 1° ℵ | *τα επιθ.*] om *τα* ℵ | *οφθαλμων*] pr *των* AQ | om *εν* A | *σκηνη*] *σκηνωμασιν* Q 5 *τας βαρεις* (-*ρις* ℵ*)] pr *πασας* AQ | *αυτης*] *αυτου* ℵ[c.a(?)] | *αυτου*] *αυτης* A | *επληθυναν* ℵ* (-*νεν* ℵ[?]) | *ταπεινουμενην*] *ταπεινουμενον* ℵAΓ* (-*νην* Γ[a]) | *τεταπεινωμενην*] *ταπεινουμενην* QΓ 6 *αμπελος* ℵ* | *εορτην*] *εορτας* Γ

B ἐπελάθετο Κύριος ἃ ἐποίησεν ἐν Σειὼν ἑορτῆς καὶ σαββάτου,
καὶ παρώξυνεν ἐνβριμήματι ὀργῆς αὐτοῦ βασιλέα καὶ ἱερέα
καὶ ἄρχοντα.

Ζάιν.

[7]Ἀπώσατο Κύριος θυσιαστήριον αὐτοῦ, ἀπετίναξεν ἁγίασμα 7
αὐτοῦ,
συνέτριψεν ἐν χειρὶ αὐτοῦ τεῖχος βάρεων αὐτῆς·
φωνὴν ἔδωκαν ἐν οἴκῳ ὡς ἐν ἡμέρᾳ ἑορτῆς.

Ἤθ.

[8]Καὶ ἐπέστρεψεν διαφθεῖραι τεῖχος θυγατρὸς Σειών· 8
ἐξέτεινεν μέτρον, οὐκ ἐπέστρεψεν χεῖρα αὐτοῦ ἀπὸ κατα-
πατήματος,
καὶ ἐπένθησεν τὸ προτείχισμα, καὶ τεῖχος ὁμοθυμαδὸν ἠσθέ-
νησεν.

Τήθ.

[9]Ἐνεπάγησαν εἰς γῆν πύλαι αὐτῆς· ἀπώλεσεν καὶ συνέτριψεν 9
μοχλοὺς αὐτῆς,
βασιλέα αὐτῆς καὶ ἄρχοντας αὐτῆς ἐν τοῖς ἔθνεσιν·
οὐκ ἔστιν νόμος, καί γε προφῆται αὐτῆς οὐκ εἶδον ὅρασιν
παρὰ Κυρίου.

Ἰώδ.

[10]Ἐκάθισαν εἰς τὴν γῆν, ἐσιώπησαν πρεσβύτεροι θυγατρὸς Σειών, 10
ἀνεβίβασαν χοῦν ἐπὶ τὴν κεφαλὴν αὐτῶν, περιεζώσαντο
σάκκους,
κατήγαγον εἰς γῆν ἀρχηγοὺς παρθένους ἐν Ἰερουσαλήμ.

Χάφ.

[11]Ἐξέλειπον ἐν δάκρυσιν οἱ ὀφθαλμοί μου, ἐταράχθη ἡ καρδία 11
μου,

ℵAQΓ 6 α] ο ℵ (οο ℵ*) AQ | Σιων $B^{b\,vid}$ℵAQΓ | εμβριμηματι B^{b}QΓ | om αυτου 3° $Γ^{vid}$ 7 ζαιν] ζαι ℵAQ | θυσιαστηριον αυτου κ̅ς̅ A | αυτου 3°] δει εχθρους ℵ* (improb δει ℵ?) εχθρου $AQΓ^{vid}$ | εδωκεν A | οικω] + κ̅υ̅ AQΓ 8 ηθ] τηθ A | om και 1° Γ | επεστρεψεν 1°] απεστρψεν (sic) ℵ απεστρεψεν κ̅ς̅ A ελογισατο κ̅ς̅ QΓ | διαφθειραι] pr του ℵAQΓ | Σιων $B^{b\,vid}$ℵAQΓ | επεστρε-ψεν 2°] απεστρεψεν κ̅ς̅ A απεστρεψεν QΓ | τειχος 2°] pr το Γ | ησθενησαν A 9 τηθ] ηθ A | γην] pr την A | πυλαι] pr αι A | ιδον Q 10 ιωδ] ιωθ AQ | Σιων B^{b}AQ | χουν] γην Γ | επι] εις ℵ | γην 2°] pr την A | [παρ]θενους αρχ[η-γους] Γ | om εν ℵ* (superscr $ℵ^{c.a(?)}$) 11 εξελιπον ℵ* (-λειπ. $ℵ^{c.a}$) Q^{a}

ἐξεχύθη εἰς τὴν γῆν ἡ δόξα μου, ἐπὶ τὸ σύντριμμα τῆς θυ- B
γατρὸς λαοῦ μου,
ἐν τῷ ἐκλιπεῖν νήπιον καὶ θηλάζοντα ἐν πλατείαις πόλεως.

Λάβδ.

12 [12]Ταῖς μητράσιν αὐτῶν εἶπαν Ποῦ σῖτος καὶ οἶνος;
ἐν τῷ ἐκλύεσθαι αὐτοὺς ὡς τραυματίας ἐν πλατείαις πόλεως,
ἐν τῷ ἐκχεῖσθαι ψυχὰς αὐτῶν εἰς κόλπον μητέρων αὐτῶν.

Μήμ.

13 [13]Τί μαρτυρήσω σοι ἢ τί ὁμοιώσω σοι, θύγατερ Ἰερουσαλήμ;
τίς σώσει καὶ παρακαλέσει σε, παρθένος θύγατερ Σειών;
ὅτι ἐμεγαλύνθη ποτήριον συντριβῆς σου· τίς ἰάσεταί σε;

Νούν.

14 [14]Προφῆταί σου εἴδοσάν σοι μάταια καὶ ἀφροσύνην,¶ ¶ Γ
καὶ οὐκ ἀπεκάλυψαν ἐπὶ τὴν ἀδικίαν σου τοῦ ἐπιστρέψαι
αἰχμαλωσίαν σου,
καὶ εἴδοσάν σοι λήμματα μάταια καὶ ἐξώσματα.

Σάμχ.

15 [15]Ἐκρότησαν ἐπὶ σὲ χεῖρας πάντες οἱ παραπορευόμενοι ὁδόν,
ἐσύρισαν καὶ ἐκίνησαν τὴν κεφαλὴν αὐτῶν ἐπὶ τὴν θυγατέρα
Ἰερουσαλήμ·
αὕτη ἡ πόλις, ἐροῦσιν, στέφανος εὐφροσύνης πάσης τῆς γῆς.

Αἴν.

16 [16]Διήνοιξαν ἐπὶ σὲ στόμα αὐτῶν πάντες οἱ ἐχθροί σου,
ἐσύρισαν καὶ ἔβρυξαν ὀδόντας, καὶ εἶπαν Κατεπίομεν αὐτήν·
πλὴν αὕτη ἡ ἡμέρα ἣν προσεδοκῶμεν, εὕρομεν αὐτήν, εἴδομεν.

11 τηv γηv] om τηv ℵAQ | λαου] pr του ℵAQΓ | εκλειπειν B^{b}Q ελειπ.. ℵAQΓ Γ^{vid} | πλατιαις ℵA **12** λαβδ] λαβεδ B^{ab} λαμβδ Q^{mg} | ως bis scr ℵ* (improb 1° ℵ$^{?}$) | τραυματιες ℵ* (-τιαις ℵ$^{?}$) | πλατιαις ℵAQ* (-τειαις Q^{a}) | εκχεισθαι] χει sup ras B^{ab} | κολπους Q **13** ωμοιωσω ℵ | θυγατερ 1°] θυγατηρ ℵ | σωσει]+σε ℵAQ | παρακαλεσει] pr τις (superscr) B^{ab} | θυγατερ 2°] θυγατρος ℵ | Σιων ℵAQ | om σε 2° ℵ* (hab ℵ$^{?(mg)}$) **14** νουν] νουμ ℵ | ειδοσαν 1°] ιδον A | om σοι 1° A | επιστρεψαι] αποστρεψαι Q | αιχμαλωσιαν (-σαν B* -σιαν B^{ab})] pr την ℵ | ειδοσαν 2°] ιδοσαν AQ* (ειδοσαν Q^{a}) **15** σαμχ] σαχμ A | σε] σοι Q | παραπορευομενοι] διαπορ. Q^{mg} | θυγατεραν ℵ* | αυτη η πολις] αυτης η π. B* (αυτη η π. B^{ab}) η αυτη η π. η̅| A ει αυτη η π. Q | στεφανος]+δοξης B$^{ab\,mg}$ℵAQ | ευφροσυνη ℵ* (-νης ℵ$^{c.a?}$Q^{mg}) **16** om σου ℵ | om και 2° ℵQ | κατεπιομεν B*^{c}Q] καταπ. B^{a} καταπιωμεν ℵA | η ημερα] om η ℵ | προσ|εδοκ. B* προσε|δοκ. B$^{?}$ | ειδομεν ℵA ιδαμεν Q* (ιδομεν Q^{a})

B

Φή.

17 Ἐποίησεν Κύριος ἃ ἐνεθυμήθη, 17
συνετέλεσεν ῥήματα αὐτοῦ, ἃ ἐνετείλατο ἐξ ἡμερῶν ἀρχαίων·
καθεῖλεν καὶ οὐκ ἐφείσατο,
καὶ ηὔφρανεν ἐπὶ σὲ ἐχθρόν, ὕψωσεν κέρας θλίβοντός σε.

Τιαδή.

18 Ἐβόησεν καρδία αὐτῶν πρὸς Κύριον 18
Τείχη Σειών, καταγάγετε ὡς χειμάρρους δάκρυα ἡμέρας καὶ νυκτός·
μὴ δῷς ἔκνηψιν σεαυτῇ, μὴ σιωπήσαιτο, θυγάτηρ, ὁ ὀφθαλμός σου.

Κώφ.

19 Ἀνάστα ἀγαλλίασαι ἐν νυκτὶ εἰς ἀρχὰς φυλακῆς σου, 19
ἔκχεον ὡς ὕδωρ καρδίαν σου ἀπέναντι προσώπου Κυρίου,
ἆρον πρὸς αὐτὸν χεῖράς σου περὶ ψυχῆς νηπίων τῶν ἐκλυομένων λιμῷ ἐπ᾽ ἀρχῆς πασῶν ἐξόδων.

Ῥήχς.

20 Ἴδε, Κύριε, καὶ ἐπίβλεψον τίνι ἐπεφύλλισας οὕτως· 20
εἰ φάγονται γυναῖκες καρπὸν κοιλίας αὐτῶν;
ἐπιφυλλίδα ἐποίησεν μάγειρος· φονευθήσονται νήπια θηλάζοντα μαστούς;
¶ℵ ἀποκτενεῖς ἐν ἁγιάσματι Κυρίου ἱερέα καὶ προφήτην;¶

Χσέν.

21 Ἐκοιμήθησαν εἰς τὴν ἔξοδον παιδάριον καὶ πρεσβύτης· 21
παρθένοι μου καὶ νεανίσκοι μου ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ·
ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἀπέκτεινας, ἐν ἡμέρᾳ ὀργῆς σου ἐμαγείρευσας, οὐκ ἐφείσω.

ℵAQ 17 φη] αιν Q^mg | ενετειλατο] incep ενεθυ ℵ* ενεθυμηθη A | ευφρανεν B^ab ℵ | κερας] κεφαλας A 18 τιαδη] σαδη B^a ℵAQ | τειχη] τειχος Q^mg | Σειων (Σιων ℵAQ)] pr θυγατρος ℵ* Q^mg | καταγαγετω Q καταγαγετωσαν A | μη] μηδε Q | σιωπησετω ℵ* σιωπησατω ℵ^c.a Q | θυγατηρ (-τερ A) ο οφθαλμος] κορη οφθαλμου Q 19 αναστηθι Q | αγαλλιασαι] αδολεσχησαι Q* (-σον Q^mg) | om εν ℵ | προσωπου (-πους ℵ*)] pr του ℵ | αρον] + αρον A | ψυχων Q | νηπιων] + σου B^ab ℵAQ | των εκλυομενων (ων εκλυμενων ℵ*)] + σου ℵ 20 ρηχς] ρης ℵAQ | επεφυλλισας] επεφαυλισας A | μασθους A | αποκτενεις] pr ει Q 21 χσεν] σεν AQ | την εξοδον] γην εξοδων Q

Θαύ. B

22 [22]Ἐκάλεσεν ἡμέραν ἑορτῆς παροικίας μου κυκλόθεν,
καὶ οὐκ ἐγένοντο ἐν ἡμέρᾳ ὀργῆς Κυρίου ἀνασῳζόμενος καὶ καταλελειμμένος,
ὡς ἐπεκράτησα καὶ ἐπλήθυνα ἐχθρούς μου πάντας.

Ἀλεφ.

III 1 [1]Ἐγὼ ἀνὴρ ὁ βλέπων πτωχείαν, ἐν ῥάβδῳ θυμοῦ αὐτοῦ ἐπ' ἐμέ
2 [2]παρέλαβέν με καὶ ἀπήγαγεν εἰς σκότος καὶ οὐ φῶς.
3 [3]πλὴν ἐν ἐμοὶ ἐπέστρεψεν χεῖρα αὐτοῦ ὅλην τὴν ἡμέραν,
4 [4]ἐπαλαίωσεν σάρκα μου καὶ δέρμα μου, ὀστέα μου συνέτριψεν.

Βή.

5 [5]Ἀνῳκοδόμησεν κατ' ἐμοῦ, καὶ ἐκύκλωσεν κεφαλήν μου καὶ ἐμόχθησεν,
6 [6]ἐν σκοτινοῖς ἐκάθισέν με ὡς νεκροὺς αἰῶνος,
7 [7]ἀνῳκοδόμησεν κατ' ἐμοῦ καὶ οὐκ ἐξελεύσομαι, ἐβάρυνεν χαλκόν μου.

Γίμελ.

8 [8]Καί γε κεκράξομαι καὶ βοήσω, ἀπέφραξεν προσευχήν μου.

Δάλεθ.

9 [9]Ἀνῳκοδόμησεν ὁδούς μου, ἐνέφραξεν τρίβους μου,
10 ἐτάραξεν [10]ἄρκος ἐνεδρεύουσα, αὐτός μοι λέων ἐν κρυφαίοις·
11 [11]κατεδίωξεν ἀφεστηκότα καὶ κατέπαυσέν με, ἔθετό με ἠφανισμένην.

22 εκαλεσας Q | ημεραν] pr ως εις Q | παροικεσιας Q | εγενοντο] εγενετο AQ AQ | καταλελιμμενος AQ* (-λελειμμ. Q^a) | επεκρατησα] [επ]αλαιω[σα] Q^mg III **1** αλεφ] αλφ AQ | πτωχιαν A **2** pr αλφ Q^mg | απηγαγεν] + με A om ου Q* (hab Q^mg) **3** pr αλφ Q^mg | επεστρεψεν] + ※ ϗ εστρεψεν Q^mg **4** pr βηθ Q | σαρκα] τας σαρκας A σαρκας Q | οστα A **5** βη] βηθ AQ | κατ εμου] + ※ εν μαρμαρω Q^mg | εμοχθησᾱ| Q* (-σεν Q^a) **6** pr βηθ Q | σκοτεινοις B^ab Q | ως νεκρους] εν σκοτινοις A **7** pr γιμλ Q **8** γιμελ] γιμλ AQ | και γε] + οτι Q | και 2°] + γε A | προσ|ευχην B* προ|σ. B?: item 44 **9** δαλεθ] δελεθ A δελθ Q* γιμλ Q^mg | εταραξεν] pr δελθ Q **10** λεων] pr ως Q **11** pr δελεθ Q | om με 1° A | εθετο] εθηκε Q^mg

B

Ἰῶ.

12 Ἐνέτεινεν τόξον αὐτοῦ καὶ ἐστήλωσέν με ὡς σκοπὸν εἰς 12
βέλος,
13 εἰσήγαγεν τοῖς νεφροῖς μου ἰοὺς φαρέτρας αὐτοῦ· 13
14 ἐγενήθην γέλως παντὶ λαῷ μου, ψαλμὸς αὐτῶν ὅλην τὴν 14
ἡμέραν.

Οὐαύ.

15 Ἐχόρτασέν με πικρίας, ἐμέθυσέν με χολῆς, 15
16 καὶ ἐξέβαλεν ψήφῳ ὀδόντας μου, ἐψώμισέν με σποδόν· 16
17 καὶ ἀπώσατο ἐξ εἰρήνης ψυχήν μου, ἐπελαθόμην ἀγαθά, 17
18 καὶ ἀπώλετο νῖκός μου καὶ ἡ ἐλπίς μου ἀπὸ Κυρίου. 18

Ζάι.

19 Ἐμνήσθην ἀπὸ πτωχείας μου καὶ ἐκ διωγμοῦ, 19
20 πικρία καὶ χολή μου μνησθήσεται, καὶ καταδολεσχήσει 20
ἐπ' ἐμὲ ἡ ψυχή μου·
21 ταύτην τάξω εἰς τὴν καρδίαν μου, διὰ τοῦτο ὑπομενῶ. 21

Ἠθ.

25 Ἀγαθὸς Κύριος τοῖς ὑπομένουσιν αὐτόν, 25
ψυχῇ ἣ ζητήσει αὐτὸν ἀγαθόν·
26 καὶ ὑπομενεῖ καὶ ἡσυχάσει εἰς τὸ σωτήριον Κυρίου. 26

Τήθ.

27 Ἀγαθὸν ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν ἐν νεότητι αὐτοῦ, 27
28 καθήσεται κατὰ μόνας καὶ σιωπήσεται, ὅτι ἦρεν ἐφ' ἑαυτῷ. 28

AQ 12 η] δελθ Q^{mg} 13 pr η Q | τοις νεφροις] pr εν Q | φαρετραν Q* (-τρας Q^{a}) 14 pr η Q | λαω] pr τω AQ | om μου Q 15 pr η Q | πικριας] αμμω] Q^{mg} | χολης] πικριας Q^{mg} 16 pr ουαυ Q | om και AQ* (hab Q^{mg}) | οδοντας] pr τους A 17 pr ουαυ Q 18 pr ουαυ Q | απωλετο ([απωλ]ωλε Q^{mg})] pr ειπα Q | νικος] pr το Q 19 πτωχιας A* (-χειας A$^{?}$) | διωγμου] + μου AQ 20 pr ζαι Q | πικρια... μνησθησεται] πικριας μου και χολης μου μνησθησομαι Q | πικρια] + γαρ AQ^{mg} | μνηθησ.] pr μνεια Q^{mg} 21 pr ζαι Q | υπομενω] + (22) τα ελεη κ̅υ̅ οτι ουκ εξελειπεν με οτι ου συνετελεσθησα̅| οι οικτιρμοι (corr οικτειρμ.) αυτου· (23) εις τας πρωιας επληθυνεν η πιστις σου (24) μερις μου κ̅ς̅ ειπεν η ψυχη μου δια τουτο υπομενω αυτον Q^{mg} 25 ηθ] τηθ Q* (ηθ Q^{mg}) | κ̅ς̅ sup ras A^{a} 26 pr τηθ Q* pr ηθ Q^{mg} 27 τηθ] ηθ Q^{mg} 28 pr ιωθ Q$^{*\ et\ mg}$ | εαυτω] + (29) δωσει εν χωματι στομα αυτου ει αρα εστιν ελπις Q^{mg}

Ἰώδ. B

30 [30]Δώσει τῷ παίοντι αὐτὸν σιαγόνα, χορτασθήσεται ὀνειδισμῶν,
31 [31]ὅτι οὐκ εἰς τὸν αἰῶνα ἀπώσεται Κύριος.

Χάφ.

32 [32]Ὅτι ὁ ταπεινώσας οἰκτειρήσει καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ·
33 [33]οὐκ ἀπεκρίθη ἀπὸ καρδίας αὐτοῦ καὶ ἐταπείνωσεν υἱοὺς ἀνδρός.

Λάβδ.

34 [34]Τοῦ ταπεινῶσαι ὑπὸ τοὺς πόδας αὐτοῦ πάντας δεσμίους γῆς,
35 [35]τοῦ ἐκκλῖναι κρίσιν ἀνδρὸς κατέναντι προσώπου Ὑψίστου,
[36]καταδικάσαι ἄνθρωπον ἐν τῷ κρίνεσθαι αὐτόν, Κύριος οὐκ εἶπεν.
37 [37]τίς οὕτως εἶπεν, καὶ ἐγενήθη; Κύριος οὐκ ἐνετείλατο·
38 [38]ἐκ στόματος Ὑψίστου οὐκ ἐξελεύσεται τὰ κακὰ καὶ τὸ ἀγαθόν.

Μήμ.

39 [39]Τί γογγύσῃ ἄνθρωπος ζῶν ἀνὴρ περὶ τῆς ἁμαρτίας αὐτοῦ;

Νούν.

40 [40]Ἐξηρευνήθη ἡ ὁδὸς ἡμῶν καὶ ἠτάσθη, καὶ ἐπιστρέψωμεν ἕως Κυρίου·
41 [41]ἀναλάβωμεν καρδίας ἡμῶν ἐπὶ χειρῶν πρὸς Ὑψηλὸν ἐν οὐρανῷ·
42 [42]ἡμαρτήσαμεν, ἠσεβήσαμεν, καὶ οὐχ ἱλάσθης.

Σάμχ.

43 [43]Ἐπεσκέπασας ἐν θυμῷ καὶ ἀπεδίωξας ἡμᾶς, ἀπέκτεινας, οὐκ ἐφείσω.

30 ιωδ] ιωθ Q **31** ει|ς B* εις| B? **32** om και AQ **33** pr AQ χαφ Q | ουκ] pr οτι Q **34** λαβδ] λαμδ Q[mg] **35** pr λαμδ Q **36** pr λαμδ Q | Κυριος] pr μημ Q | ειπεν] ειδεν Q[mg] **37** τις] $\overline{κς}$ A **38** pr μημ Q | το αγαθον sup ras B[ab] **39** γογγυσει AQ **40** νουν] νουμ A | εξηραυνηθη Q* (εξηρευν. Q[a]) | ητασθη]+τα διαβηματα μου Q[mg] | Κυριου] του (sic) A **41** pr νουν Q | επι χειρων προς Υψηλον] προς υψ. επι χειρων A προς υψ. επι χειρων (χειρος Q[mg]) ημων Q **42** pr νουν Q | ημαρτησαμεν] pr ημεις Q[mg] | ησεβησαμεν]+και παρεπικραναμεν Q | και]+συ Q[mg] **43** απεκτεινας] pr σαμχ Q | ουκ] pr και AQ

B [44] ἐπεσκέπασας νεφέλην σεαυτῷ εἵνεκεν προσευχῆς, 44
[45] καμμύσαι με καὶ ἀπωσθῆναι. 45

Αιν.

[46] Ἔθηκας ἡμᾶς ἐν μέσῳ τῶν λαῶν, [46] διήνοιξαν ἐφ᾽ ἡμᾶς τὸ 46
στόμα αὐτῶν πάντες οἱ ἐχθροὶ ἡμῶν.
[47] φόβος καὶ θυμὸς ἐγενήθη ἡμῖν, ἔπαρσις καὶ συντριβή· 47
[48] ἀφέσεις ὑδάτων κατάξει ὁ ὀφθαλμός μου ἐπὶ τὸ σύντριμμα 48
τῆς θυγατρὸς τοῦ λαοῦ μου.

Φή.

[49] Ὁ ὀφθαλμός μου κατεπόθη, καὶ οὐ σιγήσομαι τοῦ μὴ εἶναι 49
ἔκνηψιν,
[50] ἕως οὗ διακύψῃ καὶ ἴδῃ κύριος ἐξ οὐρανοῦ. 50
[51] ὁ ὀφθαλμός μου ἐπιφυλλιεῖ ἐπὶ τὴν ψυχήν μου παρὰ 51
πάσας θυγατέρας πόλεως.

Τιαδή.

[52] Θηρεύοντες ἐθήρευσάν με ὡς στρουθίον πάντες οἱ ἐχθροί μου 52
δωρεάν,
[53] ἐθανάτωσαν ἐν λάκκῳ ζωήν μου καὶ ἐπέθηκαν λίθον 53
ἐπ᾽ ἐμοί,
[54] ὑπερεχύθη ὕδωρ ἐπὶ κεφαλήν μου· εἶπα Ἀπῶσμαι. 54

Κώφ.

[55] Ἐπεκαλεσάμην τὸ ὄνομά σου, κύριε, ἐκ λάκκου κατωτάτου, 55
[56] φωνήν μου ἤκουσας· μὴ κρύψῃς τὰ ὦτά σου εἰς τὴν 56
δέησίν μου·
[57] εἰς τὴν βοήθειάν μου ἤγγισας, 57
ἐν ᾗ σε ἡμέρᾳ ἐπεκαλεσάμην εἶπάς μοι Μὴ φοβοῦ.

AQ 44 ενεκεν Q 45 καμμυσαι AQ (καμβ. B)] pr σαμχ Q | απεωσθηναι A 46 pr φη Q | διηνοιξας B* (-ξαν B[ab]) | το στομα] om το AQ | ημων sup ras B[ab] 47 pr φη Q | θυμος] θαμβος Q 48 pr φη Q | αφεσις B*Q* (-σεις B[ab]AQ[a]) 49 φη] αιν Q[mg] | σιγησομαι] σιωπησωμαι A 50 pr αιν Q[mg] 51 pr αιν Q[mg] | πολεως] + μου Q[mg] 52 τιαδη] σαδη B[a]AQ | θηρευοντες] + εθηρευοντες B* (uncis incl B[ab]) | om παντες AQ 53 pr σαδη Q | εθανατωσαν] pr ϛ Q[mg] | εν sup ras B[ab] 54 pr σαδη Q | υπερεχυθη] υπερεκχυθη A (επερεκχ.) Q | κεφαλην] pr την AQ 55—57 om A 55 bis scr εκ λακκου κατωτατου Q* (improb 1° Q[a]) 56 pr κωφ Q | φωνης Q 57 pr κωφ Q | η σε ημερα επεκαλεσαμην] ημερα η επεκαλ. σε Q

Ῥήχς. B

58 ⁵⁸Ἐδίκασας, Κύριε, τὰς δίκας τῆς ψυχῆς μου, ἐλυτρώσω τὴν ζωήν μου.

59 ⁵⁹ἴδες, Κύριε, τὰς ταραχάς μου, ἔκρινας τὴν κρίσιν μου.

60 ⁶⁰εἶδες πᾶσαν τὴν ἐκδίκησιν αὐτῶν, εἰς πάντας διαλογισμοὺς αὐτῶν ἐν ἐμοί.

Χσέν.

61 ⁶¹Ἤκουσας τὸν ὀνειδισμὸν αὐτῶν, πάντας τοὺς διαλογισμοὺς αὐτῶν κατ' ἐμοῦ,

62 ⁶²χείλη ἐπανισταμένων μοι καὶ μελέτας αὐτῶν κατ' ἐμοῦ ὅλην τὴν ἡμέραν,

63 ⁶³καθέδραν αὐτῶν καὶ ἀνάστησιν αὐτῶν.
ἐπίβλεψον ἐπ' ὀφθαλμοὺς αὐτῶν,

64 ⁶⁴ἀποδώσεις αὐτοῖς ἀνταπόδομα, Κύριε, κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν.

Θαύ.

65 ⁶⁵Ἀποδώσεις αὐτοῖς ὑπερασπισμόν, καρδίας μόχθον.

66 ⁶⁶σὺ αὐτοὺς καταδιώξεις ἐν ὀργῇ καὶ ἐξαναλώσεις αὐτοὺς ὑποκάτω τοῦ οὐρανοῦ, Κύριε.

Ἀλέφ.

IV 1 ¹Πῶς ἀμαυρωθήσεται χρυσίον, ἀλλοιωθήσεται τὸ ἀργύριον τὸ ἀγαθόν;
ἐξεχύθησαν λίθοι ἅγιοι ἐπ' ἀρχῆς πασῶν ἐξόδων.

Βή.

2 ²υἱοὶ Σειὼν οἱ τίμιοι οἱ ἐπηρμένοι ἐν χρυσίῳ,
πῶς ἐλογίσθησαν εἰς ἄγγια ὀστράκινα, ἔργα χειρῶν κεραμέως;

58 ρηχς] κωφ A ρης Q | δικας] αδικιας A 59 pr ρης Q 60 pr ρης AQ Q | ιδες AQ | εις] και Q | διαλογισμους] pr τους Q | εν] επ Q 61 χσεν] σεν AQ | αυτων 1°]+ $\overline{κε}$ ϛ Q^mg 62 pr σεν Q | επανισταμενων] επανισταvομενων AQ 63 pr σεν Q | αναστησιν] αναστασιν AQ | επ οφθαλμους (|οφθ. B* ο|φθ. B?) αυτων] επι τους οφθ. αυτων AQ* εγω απο τω̅| ψαλμω̅| αυτω̅| Q^mg 64 pr θαυ Q | αποδωσεις] ανταποδοσις Q* ανταποδωσεις Q^a 65 υπερ|απισμον B* υπε|ρασπ. B? | καρδιας]+ μου Q | μοχθον]+ σου αυτοις Q^mg 66 pr θαυ Q | καταδιωξεις] καταξεις A | οργη]+ σου Q^mg | υποκατωθεν Q | ουρανου]+ σου Q^mg IV 1 αλεφ] αλφ AQ | χρυσιον] pr το AQ | εξεχυθησαν] χυδαιοι εγενοντο Q^b 2 βη] βηθ B^b(vid) AQ | Σιων AQ | οι επηρμενοι] om οι AQ | αγγεια B^ab Q^a

B Γίμελ.

3 Καί γε δράκοντες ἐξέδυσαν μαστούς, 3
ἐθήλασαν σκύμνοι αὐτῶν θυγατέρας λαοῦ μου εἰς ἀνίατον,
ὡς στρουθίον ἐν ἐρήμῳ.

Δάλεθ.

4 Ἐκολλήθη ἡ γλῶσσα θηλάζοντος πρὸς τὸν φάρυγγα αὐτοῦ ἐν 4
δίψει·
νήπια ᾔτησαν ἄρτον, ὁ διακλῶν οὐκ ἔστιν αὐτοῖς.

Ἡ.

5 Οἱ ἔσθοντες τὰς τροφὰς ἠφανίσθησαν ἐν ταῖς ἐξόδοις, 5
οἱ τιθηνούμενοι ἐπὶ κόκκῳ περιεβάλοντο κοπρίας.

Οὐαύ.

6 Καὶ ἐμεγαλύνθη ἀνομία θυγατρὸς λαοῦ μου ὑπὲρ ἀνομίας 6
Σοδόμων,
τῆς κατεστραμμένης ὥσπερ σπουδῇ, καὶ οὐκ ἐπόνεσαν ἐν
αὐτῇ χεῖρας.

Ζάιν.

7 Ἐκαθαριώθησαν Ναζιραῖοι αὐτῆς ὑπὲρ χιόνα, ἔλαμψαν ὑπὲρ 7
γάλα,
ἐπυρώθησαν ὑπὲρ λίθους, σαπφείρου τὸ ἀπόσπασμα αὐτῶν.

Ἡθ.

8 Ἐσκότασεν ὑπὲρ ἀσβόλην τὸ εἶδος αὐτῶν, οὐκ ἐπεγνώσθησαν 8
ἐν ταῖς ἐξόδοις·
ἐπάγη δέρμα αὐτῶν ἐπὶ τὰ ὀστέα αὐτῶν, ἐξηράνθησαν, ἐγενήθησαν ὥσπερ ξύλον.

Τήθ.

9 Καλοὶ ἦσαν οἱ τραυματίαι ῥομφαίας ἢ οἱ τραυματίαι λιμοῦ· 9
ἐπορεύθησαν ἐκκεκεντημένοι ἀπὸ γενημάτων ἀγρῶν.

AQ 3 γιμελ] γιμλ AQ | σκυμνους Q | θυγατερες AQ 4 δαλεθ] δελεθ A δελθ Q | ο διακλων] και ο κλων A 5 εσθιοντες A | τροφας] τρυφας Q | κοκκω] κολπων A κοκκων Q | περιεβαλοντο] περιελαβον A 6 ανομια] pr η A 7 ζαιν] ζαι AQ | distinx post ελαμψαν Q | επυρωθησαν] ετυρωθησαν AQ* (επυρ. Q^{mg}) distinx post ετυρ. Q 8 τα οστεα] τα οστα AQ των οστων Q^{mg}

Ἰώδ. B

10 [10]Χεῖρες γυναικῶν οἰκτειρμόνων ἥψησαν τὰ παιδία αὐτῶν,
ἐγενήθησαν εἰς βρῶσιν αὐταῖς ἐν τῷ συντρίμματι τῆς θυ-
γατρὸς λαοῦ μου.

Χάφ.

11 [11]Συνετέλεσεν Κύριος θυμὸν αὐτοῦ, ἐξέχεεν θυμὸν ὀργῆς αὐτοῦ,
καὶ ἀνῆψεν πῦρ ἐν Σειών, καὶ κατέφαγεν τὰ θεμέλια αὐτῆς.

Λάβδ.

12 [12]Οὐκ ἐπίστευσαν βασιλεῖς γῆς, πάντες οἱ κατοικοῦντες τὴν οἰ-
κουμένην,
ὅτι εἰσελεύσεται ἐχθρὸς καὶ ἐκθλίβων διὰ τῶν πυλῶν Ἰε-
ρουσαλήμ.

Μήμ.

13 [13]Ἐξ ἁμαρτιῶν προφητῶν αὐτῆς, ἀδικιῶν ἱερέων αὐτῆς,
τῶν ἐκχεόντων αἷμα δίκαιον ἐν μέσῳ αὐτῆς.

Νούν.

14 [14]Ἐσαλεύθησαν ἐγρήγοροι αὐτῆς ἐν ταῖς ἐξόδοις,
ἐμολύνθησαν ἐν αἵματι ἐν τῷ μὴ δύνασθαι αὐτούς,
ἥψαντο ἐνδυμάτων αὐτῶν.

Σάμεχ.

15 [15]Ἀπόστητε ἀκαθάρτων, καλέσατε αὐτούς Ἀπόστητε ἀπόστητε,
μὴ ἅπτεσθε,
ὅτι ἀνήφθησαν καί γε ἐσαλεύθησαν·
εἴπατε ἐν τοῖς ἔθνεσιν Οὐ μὴ προσθῶσιν τοῦ παροικεῖν.

Αἴν.

16 [16]Πρόσωπον Κυρίου μερὶς αὐτῶν, οὐ προσθήσει ἐπιβλέψαι αὐ-
τοῖς·
πρόσωπον ἱερέων οὐκ ἔλαβον, προφήτας οὐκ ἠλέησαν.

10 ιωδ] ιωθ Q | λαου] pr του AQ **11** om χαφ A | θυμον οργης] AQ οργην θυμου A pr ※ τον Q^{mg} | Σιων AQ **12** λαβδ] λαβεδ B^{ab} λαμδ Q **13** αυτης 1°] αυτων A | αδικειων B^{*} (-κιων B^{b}) **14** νουν] νουμ A | εγρηγοροι] pr οι Q | εν 1°] επι A | ηψατο A **15** σαμεχ] σαχχ A σαμχ Q | ακαθαρτων] pr απο A | αποστητε 3°] + ακαθαρτου Q^{mg} | προσθωσι Q^{a} **16** αιν] φη Q^{mg} | ουκ ελαβον] superscr ουκ ηλεησαν Q^{b} | προφητας] πρεσβυτας AQ

B

Φή.

17 Ἔτι ὄντων ἡμῶν ἐξέλιπον οἱ ὀφθαλμοὶ ἡμῶν, 17
εἰς τὴν βοήθειαν ἡμῶν μάταια ἀποσκοπευόντων ἡμῶν.

Τιαδή.

18 Ἀπεσκοπεύσαμεν εἰς ἔθνος οὐ σῷζον, 18
ἐθηρεύσαμεν μικροὺς ἡμῶν τοῦ μὴ πορεύεσθαι ἐν ταῖς πλα-
τείαις ἡμῶν.

Κώφ.

19 Ἤγγικεν ὁ καιρὸς ἡμῶν, ἐπληρώθησαν αἱ ἡμέραι ἡμῶν, πάρ- 19
εστιν ὁ καιρὸς ἡμῶν·
κοῦφοι ἐγένοντο οἱ διώκοντες ἡμᾶς ὑπὲρ ἀετοὺς οὐρανοῦ,
ἐπὶ τῶν ὀρέων ἐξέπτησαν, ἐν ἐρήμῳ ἐνήδρευσαν ἡμᾶς.

Ῥήχς.

20 Πνεῦμα προσώπου ἡμῶν χριστὸς Κύριος συνελήμφθη ἐν ταῖς 20
διαφθοραῖς αὐτῶν,
οὗ εἴπαμεν Ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσιν.

Χσέν.

21 Χαῖρε καὶ εὐφραίνου, θύγατερ Ἰδουμαίας ἡ κατοικοῦσα ἐπὶ γῆς, 21
καί γε ἐπὶ σὲ διελεύσεται τὸ ποτήριον Κυρίου, μεθυσθήσῃ
καὶ ἀποχεεῖς.

Θαύ.

22 Ἐξέλιπεν ἡ ἀνομία σου, θύγατερ Σειών, 22
οὐ προσθήσει ἀποικίσαι σε.
ἐπεσκέψατο ἀνομίας σου, θυγάτηρ Ἐδώμ,
ἀπεκάλυψεν ἐπὶ τὰ ἀσεβήματά σου.

1 Μνήσθητι, Κύριε, ὅ τι ἐγενήθη ἡμῖν, 1 V
ἐπίβλεψον καὶ ἴδε τὸν ὀνειδισμὸν ἡμῶν.

AQ 17 φη] αιν Q* (φη Q^{a}) | εξελειπον A | βοηθιαν A 18 τιαδη] σαδη B^{a}AQ | πορευεσθαι] παραπορευεσθαι A | πλατιαις A 19 ο καιρος (2°)] το περας Q | εξεπτησαν] εξηφθησαν AQ* [εξηφθη]μεν Q^{mg} | εν ερημω] επι των ορεων A 20 ρηχς] ρης AQ | αυτων] ημων Q | ου] οι A | εθνεσι Q^{a} 21 χσεν] σεν AQ | θυγατηρ Q | Ιουμαιας A* (Ιδ. A^{1}) | γης] pr της AQ | το ποτηριον] om το AQ* (hab Q^{mg}) | μεθυσθηση] pr και AQ 22 εξελειπεν A | θυγατερ] θυγατηρ Q | Σιων AQ | προσθησει] + ετι AQ | ανομιας] αδικιαν A | θυγατηρ] θυγατερ AQ | ασεβηματα] αμαρτηματα Q^{mg}

2 [2]κληρονομία ἡμῶν μετεστράφη ἀλλοτρίοις, B
οἱ οἶκοι ἡμῶν ξένοις.
3 [3]ὀρφανοὶ ἐγενήθημεν, οὐχ ὑπάρχει πατήρ,
μητέρες ἡμῶν ὡς αἱ χῆραι.
4 [4]ἐξ ἡμερῶν ἡμῶν ξύλα ἡμῶν ἐν ἀλλάγματι ἦλθεν·
5 [5]ἐπὶ τὸν τράχηλον ἡμῶν ἐδιώχθημεν·
ἐκοπιάσαμεν, οὐκ ἀνεπαύθημεν.
6 [6]Αἴγυπτος ἔδωκεν χεῖρα,
Ἀσσοὺρ εἰς πλησμονὴν αὐτῶν.
7 [7]οἱ πατέρες ἡμῶν ἥμαρτον, οὐχ ὑπάρχουσιν,
ἡμεῖς τὰ ἀνομήματα αὐτῶν ὑπέσχομεν.
8 [8]δοῦλοι ἐκυρίευσαν ἡμῶν,
λυτρούμενος οὐκ ἔστιν ἐκ τῆς χειρὸς αὐτῶν.
9 [9]ἐν ταῖς ψυχαῖς ἡμῶν εἰσοίσομεν ἄρτον ἡμῶν
ἀπὸ προσώπου ῥομφαίας τῆς ἐρήμου.
10 [10]τὸ δέρμα ἡμῶν ὡς κλίβανος ἐπελιώθη,
συνεσπάσθησαν ἀπὸ προσώπου καταιγίδων λιμοῦ.
11 [11]γυναῖκας ἐν Σειὼν ἐταπείνωσαν,
παρθένους ἐν πόλεσιν Ἰούδα.
12 [12]ἄρχοντες ἐν χερσὶν αὐτῶν ἐκρεμάσθησαν,
πρεσβύτεροι οὐκ ἐδοξάσθησαν.
13 [13]ἐκλεκτοὶ κλαυθμὸν ἀνέλαβον,
καὶ νεανίσκοι ἐν ξύλῳ ἠσθένησαν.
14 [14]καὶ πρεσβῦται ἀπὸ πύλης κατέπαυσαν,
ἐκλεκτοὶ ἐκ ψαλμῶν αὐτῶν κατέπαυσαν,
15 [15]κατέλυσεν χαρὰ καρδίας ἡμῶν,
ἐστράφη εἰς πένθος ὁ χορὸς ἡμῶν,
16 [16]ἔπεσεν ὁ στέφανος ἡμῶν τῆς κεφαλῆς.
οὐαὶ δὴ ἡμῖν, ὅτι ἡμάρτομεν.
17 [17]περὶ τούτου ἐγενήθη ὀδύνη ὀδυνηρὰ ἡ καρδία ἡμῶν,
περὶ τούτου ἐσκότασαν οἱ ὀφθαλμοὶ ἡμῶν.

V 3 αι χηραι] om αι AQ   4 om εξ ημερων ημων Q* (hab Q^mg) | AQ distinx post ημων 1° A | ξυλα] pr υδωρ ημων εν αργυριω επιομεν Q | ηλθαν AQ^a   6 Εγυπτος A | πλησμοσυνην Q* (improb συ Q^a)   7 ουχ] pr και Q   10 δερμα] δερημα A | κλιβανος] κριβανος Q^a | καταιγιδος Q^mg   11 Σιων B^bAQ: item 18 | εταπεινωσεν Q   13 εν ξυλω ησθενησαν] εν λογοις εσταυρωθη[σαν] Q^mg   14 πρεσ|βυται B* πρε|σβ. B^1   14—15 κατελυσεν χαρα καρδιας ημων· εκλεκτοι εκ ψαλμων αυτων κατεπαυσαν Q   16 της κεφαλης ημων AQ | δη] δε AQ   17 om οδυνη AQ | η καρδια] om η Q | εκοτασαν A* (εσκ. A^1)

B [18] ἐπ᾿ ὄρος Σειών, ὅτι ἠφανίσθη, 18
ἀλώπεκες διῆλθον ἐν αὐτῇ.
[19] σὺ δέ, Κύριε, εἰς τὸν αἰῶνα κατοικήσεις, 19
ὁ θρόνος σου εἰς γενεὰν καὶ γενεάν.
[20] ἵνα τί εἰς νῖκος ἐπιλήσῃ ἡμῶν; 20
καταλείψεις ἡμᾶς εἰς μακρότητα ἡμερῶν;
[21] ἐπίστρεψον ἡμᾶς, Κύριε, πρὸς σέ, καὶ ἐπιστραφησόμεθα· 21
καὶ ἀνακαίνισον ἡμέρας ἡμῶν καθὼς ἔμπροσθεν.
[22] ὅτι ἀπωθούμενος ἀπώσω ἡμᾶς, 22
ὠργίσθης ἐφ᾿ ἡμᾶς ἕως σφόδρα.

AQ 18 οτι] τι Q 22 ημας ωργισθης] μας οργι (sic) sup ras A[a]
Subscr θρηνοι Ιερεμιου BAQ

ΕΠΙΣΤΟΛΗ ΙΕΡΕΜΙΟΥ

ΑΝΤΙΓΡΑΦΟΝ ἐπιστολῆς ἧς ἀπέστειλεν Ἰερεμίας πρὸς τοὺς ἀχθησομένους αἰχμαλώτους εἰς Βαβυλῶνα ὑπὸ τοῦ βασιλέως τῶν Βαβυλωνίων, ἀναγγεῖλαι αὐτοῖς καθότι ἐπετάγη αὐτῷ ὑπὸ τοῦ θεοῦ. B

Bar. vi. (Lat.) 1 [1]Διὰ τὰς ἁμαρτίας ὑμῶν ἃς ἡμαρτήκατε ἐναντίον τοῦ θεοῦ ἀχθή-
σεσθε εἰς Βαβυλῶνα αἰχμάλωτοι ὑπὸ Ναβουχοδονοσορ βασιλέως τῶν
2 Βαβυλωνίων. [2]εἰσελθόντες οὖν εἰς Βαβυλῶνα ἔσεσθε ἐκεῖ ἔτη πλείονα
καὶ χρόνον μακρὸν ἕως γενεῶν ἑπτά· μετὰ τοῦτο δὲ ἐξάξω ὑμᾶς
3 ἐκεῖθεν μετ' εἰρήνης. [3]νυνὶ δὲ ὄψεσθε ἐν Βαβυλῶνι θεοὺς ἀργυροῦς
καὶ χρυσοῦς καὶ ξυλίνους ἐπ' ὤμοις αἰρομένους, δεικνύντας φόβον
4 τοῖς ἔθνεσιν. [4]εὐλαβήθητε οὖν μὴ καὶ ὑμεῖς ἀφομοιωθέντες τοῖς
5 ἀλλοφύλοις ἀφομοιωθῆτε, καὶ φόβος ὑμᾶς λάβῃ ἐπ' αὐτοῖς, [5]ἰδόντας
ὄχλον ἔμπροσθεν καὶ ὄπισθεν αὐτῶν προσκυνοῦντας αὐτά· εἴπατε
6 δὲ τῇ διανοίᾳ Σοὶ δεῖ προσκυνεῖν, Δέσποτα. [6]ὁ γὰρ ἄγγελός μου
μεθ' ὑμῶν ἐστιν, αὐτός τε ἐκζητῶν τὰς ψυχὰς ὑμῶν.
7 [7]Γλῶσσα γὰρ αὐτῶν ἐστιν κατεξυσμένη ὑπὸ τέκτονος, αὐτά τε
περίχρυσα καὶ [8]περιάργυρα, ψευδῆ δ' ἐστὶν καὶ οὐ δύνανται λαλεῖν. § Γ
8 9 [8]καὶ ὥσπερ παρθένῳ φιλοκόσμῳ λαμβάνοντες χρυσίον [9]κατασκευ-
άζουσιν στεφάνους ἐπὶ τὰς κεφαλὰς τῶν θεῶν αὐτῶν· ἔστι δὲ καὶ ὅτε
ὑφαιρούμενοι οἱ ἱερεῖς ἀπὸ τῶν θεῶν αὐτῶν χρυσίον καὶ ἀργύριον
10 εἰς ἑαυτοὺς καταναλοῦσιν, [10]δώσουσιν δὲ ἀπ' αὐτῶν καὶ ταῖς ἐπὶ τοῦ
στέγους πόρναις. κοσμοῦσί τε αὐτοὺς ὡς ἀνθρώπους τοῖς ἐνδύμασιν,

Inscr επιστολη Ιερεμιου BA επιστολη Q   tit επεταγη] υπεταγη A | αυτω] αυτοις A   1 om υμων B[ab]AQ | εναντιον] εναντι A | βασιλεως] pr του AQ   2 om εκει B[* fort] (κει ε B[? (mg)]) | μετα τουτο δε] μετα δε τουτο Q   3 δικνυοντας Q* (δεικν. Q[a])   4 αφομοιωθητε] φοβηθητε Q   5 ιδοντες AQ | om αυτων A | om ειπατε...δεσποτα A   7 om εστιν 1° A | δ] δε A | εστιν 2°] εστι Q[a]   8 φιλοκοσ|μω B* (φιλο|κ. B[a])   9 εστιν A | υφαιρομενοι A | ιερεις] + αυτ(ων) Γ[vid] | om αυτων 2° Γ[vid] | καταναλωσουσιν (-σι Q[a]) AQ   10 δωσουσι Q[a] | στεγους] τεγους AQ | κοσμουσιν A | τε] δε A AQΓ

B θεοὺς ἀργυροῦς καὶ θεοὺς χρυσοῦς καὶ ξυλίνους. [11]οὗτοι δὲ οὐ δια- 11
σῴζονται ἀπὸ ἰοῦ καὶ βρωμάτων, περιβεβλημένων αὐτῶν ἱματισμὸν
πορφυροῦν. [12]ἐκμάσσονται τὸ πρόσωπον αὐτῶν διὰ τὸν ἐκ τῆς 12
οἰκίας κονιορτόν, ὅς ἐστιν πλείω ἐπ' αὐτοῖς. [13]καὶ σκῆπτρον ἔχει 13
ὡς ἄνθρωπος κριτὴς χώρας, ὃς τὸν εἰς αὐτὸν ἁμαρτάνοντα οὐκ ἀνελεῖ.
[14]ἔχει δὲ ἐγχειρίδιον δεξιᾷ καὶ πέλεκυν, ἑαυτὸν δὲ ἐκ πολέμου καὶ 14
λῃστῶν οὐκ ἐξελεῖται. ὅθεν γνώριμοί εἰσιν οὐκ ὄντες θεοί· μὴ οὖν
φοβηθῆτε αὐτούς. [15]Ὥσπερ γὰρ σκεῦος ἀνθρώπου συντριβὲν 15
ἀχρεῖον γίνεται, [16]τοιοῦτοι ὑπάρχουσιν οἱ θεοὶ αὐτῶν, καθιδρυμένων 16
αὐτῶν ἐν τοῖς οἴκοις. οἱ ὀφθαλμοὶ αὐτῶν πλήρεις εἰσὶν κονιορτοῦ ἀπὸ
τῶν ποδῶν τῶν εἰσπορευομένων. [17]καὶ ὥσπερ τινὶ ἠδικηκότι βασι- 17
λέα περιπεφραγμέναι εἰσὶν αἱ αὐλαί, ὡς ἐπὶ θανάτῳ ἀπηγμένῳ, τοὺς
οἴκους αὐτῶν ὀχυροῦσιν οἱ ἱερεῖς θυρώμασίν τε καὶ κλείθροις καὶ
μοχλοῖς, ὅπως ὑπὸ τῶν λῃστῶν μὴ συληθῶσι. [18]λύχνους καίουσιν 18
καὶ πλείους ἢ ἑαυτοῖς, ὧν οὐδένα δύνανται ἰδεῖν. [19]ἔστιν μὲν ὥσπερ 19
δοκὸς τῶν ἐκ τῆς οἰκίας, τὰς δὲ καρδίας αὐτῶν φασὶν ἐκλείχεσθαι· τῶν
ἀπὸ τῆς γῆς ἑρπετῶν κατεσθόντων αὐτούς τε καὶ τὸν ἱματισμὸν
αὐτῶν οὐκ αἰσθάνονται. [20]μεμελανωμένοι τὸ πρόσωπον αὐτῶν ἀπὸ 20
τοῦ καπνοῦ τοῦ ἐκ τῆς οἰκίας. [21]ἐπὶ τὸ σῶμα αὐτῶν καὶ ἐπὶ τὴν 21
κεφαλὴν ἐφίπτανται νυκτερίδες, χελιδόνες καὶ τὰ ὄρνεα, ὡσαύτως δὲ
καὶ οἱ αἴλουροι. [22]ὅθεν γνώσεσθε ὅτι οὐκ εἰσὶν θεοί· μὴ οὖν φο- 22
βεῖσθε αὐτά. [23]Τὸ γὰρ χρυσίον ὃ περίκεινται εἰς κάλλος, ἐὰν 23
μή τις ἐκμάξῃ τὸν ἰόν, οὐ μὴ στίλψωσιν· οὐδὲ γὰρ ὅτε ἐχωνεύοντο
¶ Γ ᾐσθάνοντο. [24]ἐκ πάσης τιμῆς ἠγορασμένα ἐστίν,¶ ἐν οἷς οὐκ ἔστιν 24
πνεῦμα. [25]ἄνευ ποδῶν ἐπ' ὤμοις φέρονται ἐνδεικνύμενοι τὴν ἑαυτῶν 25
ἀτιμίαν τοῖς ἀνθρώποις, αἰσχύνονταί τε καὶ οἱ θεραπεύοντες αὐτά,

AQΓ 10 θεους αργυρους και θεους χρυσους] θ. χρυσ. κ. αργ. A θ. αργ. κ. χρυσους Q 12 εκμασσοντες Q | οικειας B^{*} (-κιας B^{ab}): item 19, 20 | εστι Q^{a} | πλειω BA πλειων Q hiat Γ | αυτοις] αυτους Q 13 ως] ωσει Q 14 εγχειριδιον B^{ab}A (εγχιρ.) Q | δεξια] pr εν τη A pr εν Q | πολεμων A 15 αχρειον] αχρηστον A 16 οικοις] κηποις A | πληρες A | εισι Q^{a} 17 ως] pr η A | ιερεις] + αυτων A | οπως] + μη A | των λῃστων] om των Q. om μη A | συληθωσιν AQΓ 18 καιουσι AQ | πλειους η εαυτοις] πλειονας αυτοις A [πλ]ε[ιους] η εαυτους Γ | ουδενα] ου AΓ | δυνανται] + ουδενα Γ 19 μεν] δε AQ^{mg} | om δε Γ | των 2°] τω Γ | φησιν Q^{*} ($φασιν$ $Q^{a\ et\ mg}$) | της γης] om της Q 20 μεμελανωται Q^{*} (-νωνται Q^{mg}) | τα προσωπα Q^{mg} | οικιας] γης καιομενου A 21 κεφαλην] + αυτων A | νυκτεριδες χελιδονες] χελιδονες και νυκτεριδες A χελ. sub ※ $Q^{?}$ 22 εισι Q^{fort} | φοβεισθε] φοβηθητε AQΓ 23 οτε] οτι Q | ησθανοντο] η αισθανοντο Q^{vid} 24 εστιν 1°] εισιν QΓ | εστιν 2°] εστι Q^{a} 25 εφ B^{*} (επ B^{ab}) | φερονται] αιρονται A | ενδιγνυμενοι A | τε] δε AQ

26 [26]διὰ τό, μή ποτε ἐπὶ τὴν γῆν πέσῃ, δι᾽ αὐτῶν ἀνίστασθαι· μήτε B
ἐάν τις αὐτὸ ὀρθὸν στήσῃ, δι᾽ ἑαυτοῦ κινηθήσεται, μήτε ἐὰν κλιθῇ,
27 οὐ μὴ ὀρθωθῇ, ἀλλ᾽ ὥσπερ νεκροῖς τὰ δῶρα αὐτοῖς παρατίθεται. [27]τὰς
δὲ θυσίας αὐτῶν ἀποδόμενοι οἱ ἱερεῖς αὐτῶν καταχρῶνται· ὡσαύτως
δὲ καὶ αἱ γυναῖκες ἀπ᾽ αὐτῶν ταριχεύουσαι οὔτε πτωχῷ οὔτε ἀδυνάτῳ
28 μὴ μεταδῶσιν· [28]τῶν θυσιῶν αὐτῶν ἀποκαθημένη καὶ λεχὼς ἅπτονται.
γνόντες οὖν ἀπὸ τούτων ὅτι οὔκ εἰσιν θεοί, μὴ φοβηθῆτε αὐτούς.
29 [29]Πόθεν γὰρ κληθείησαν θεοί; ὅτι γυναῖκες παρατιθέασιν θεοῖς
30 ἀργυροῖς καὶ χρυσοῖς καὶ ξυλίνοις· [30]καὶ ἐν τοῖς οἴκοις αὐτῶν οἱ ἱερεῖς
διφρεύουσιν, ἔχοντες τοὺς χιτῶνας διερρωγότας καὶ τὰς κεφαλὰς καὶ
31 τοὺς πώγωνας ἐξυρημένους, ὧν αἱ κεφαλαὶ ἀκάλυπτοί εἰσιν, [31]ὠρύον-
ται δὲ βοῶντες ἐναντίον τῶν θεῶν αὐτῶν ὥσπερ τινὲς ἐν περιδείπνῳ
32 νεκροῦ. [32]ἀπὸ τοῦ ἱματισμοῦ αὐτῶν ἀφελόμενοι οἱ ἱερεῖς ἐνδύσουσιν
33 τὰς γυναῖκας αὐτῶν καὶ τὰ παιδία· [33]οὔτε ἐὰν κακὸν πάθωσιν ὑπό
τινος οὔτε ἐὰν ἀγαθόν, δυνήσονται ἀνταποδοῦναι· οὔτε καταστῆσαι
34 βασιλέα δύνανται οὔτε ἀφελέσθαι. [34]ὡσαύτως οὔτε πλοῦτον οὔτε
χαλκὸν οὐ μὴ δύνωνται διδόναι· ἐάν τις αὐτοῖς εὐχὴν εὐξάμενος μὴ
35 ἀποδῷ, οὐ μὴ ἐπιζητήσωσιν· [35]ἐκ θανάτου ἄνθρωπον οὐ μὴ ῥύσωνται,
36 οὔτε ἥττονα ἀπὸ ἰσχυροῦ μὴ ἐξέλωνται· [36]ἄνθρωπον τυφλὸν εἰς
ὅρασιν οὐ μὴ περιστήσωσιν, ἐν ἀνάγκῃ ἄνθρωπον ὄντα οὐ μὴ ἐξέ-
37 λωνται· [37]χήραν οὐ μὴ ἐλεήσωσιν, οὔτε ὀρφανὸν εὖ ποιήσουσιν.
38 [38]τοῖς ἀπὸ τοῦ ὄρους λίθοις ὡμοιωμένοι εἰσὶν τὰ ξύλινα καὶ τὰ
περίχρυσα καὶ τὰ περιάργυρα, οἱ δὲ θεραπεύοντες αὐτὰ καται-
39 σχυνθήσονται. [39]πῶς οὖν νομιστέον ἢ κλητέον αὐτοὺς ὑπάρχειν
40 θεούς; [40]Ἔτι δὲ καὶ αὐτῶν τῶν Χαλδαίων ἀτιμαζόντων αὐτά,
οἳ ὅταν ἴδωσιν ἐνεὸν οὐ δυνάμενον λαλῆσαι, προσενεγκάμενοι τὸν
41 Βῆλον ἀξιοῦσιν φωνῆσαι, ὡς δυνατοῦ ὄντος αὐτοῦ αἰσθέσθαι, [41]καὶ

26 πεσῃ] + μη δυνασθαι Q | αυτων] εαυτων A | μητε 1°] μη ποτε AQ* (μητε Q[a]) | αυτο] αυτον A | μητε 2°] μη ποτε A | ου μη] incep ορθω B* (ου μη B[1(vid)]) | αλλ] αλλα A | παρατιθεται] παρατιθεασιν Q* (-σι Q[a]) 27 γυναικες] + αυτων A | ουτε 1°] ουδεν Q | ουτε 2°] ουδε Q | μη μεταδωσιν] μεταδιδοασιν (-σι Q[a]) AQ 28 λεχως B* λοχως B[b(vid)] λοχω A λεχω Q | γνοντες] γνωτε Q* (γνοντ. Q[mg]) | εισι Q[a] 29 bis scr γαρ κληθειησαν B* (uncis incl 2° B[ab]) | κληθειησαν] κληθησονται A | παρατιθεασι Q[a] 30 οι ιερεις διφρευουσιν] οι ιερ. διαφθειρουσιν A καθιζουσιν οι ιερ. Q | εξυρημενοι A | ακαλυπτοι] ακατακαλυπτοι Q[mg] 31 ορυονται A ωρυοντο Q | περιδειπνω (παιδιπνω sic A)] περιδειπνου Q* (-νω Q[a]) 32 ενδυσουσιν] ενδυουσιν Q* (-σι Q[a]) 33 δυνησονται] pr ου Q 34 επιζητησουσιν Q 35 μη 2°] pr ου AQ 36 περιστησωσιν] παραστησωσιν A 37 ποιησωσιν AQ 38 εισι Q[a] 39 νομισταιον η κληταιο] A 40 ου] μη Q | Βηλον] Βηλ A | αξιουσι AQ | φωνησαι] τοτε λαλησαι A

B οὐ δύνανται αὐτοὶ νοήσαντες καταλιπεῖν αὐτά, αἴσθησιν γὰρ οὐκ ἔχου-
σιν. 42 αἱ δὲ γυναῖκες περιθέμεναι σχοινία ἐν ταῖς ὁδοῖς ἐγκάθηνται, 42
θυμιῶσαι τὰ πίτυρα· 43 ὅταν δέ τις αὐτῶν ἐφελκυσθεῖσα ὑπό τινος 43
τῶν παραπορευομένων κοιμηθῇ, τὴν πλησίον ὀνειδίζει, ὅτι οὐκ ἠξίω-
ται ὥσπερ καὶ αὐτὴ οὔτε τὸ σχοινίον αὐτῆς διερράγη. 44 πάντα 44
τὰ γενόμενα αὐτοῖς ἐστὶν ψευδῆ. πῶς οὖν νομιστέον ἢ κλητέον ὡς
θεοὺς αὐτοὺς ὑπάρχειν; 45 Ὑπὸ τεκτόνων καὶ χρυσοχόων κατα- 45
σκευασμένα εἰσίν· οὐθὲν ἄλλο μὴ γένηται ἢ ὃ βούλονται οἱ τεχνῖται
αὐτὰ γενέσθαι. 46 αὐτοί τε οἱ κατασκευάζοντες αὐτὰ οὐ μὴ γένωνται 46
πολυχρόνιοι· 47 πῶς τε δὴ μέλλει τὰ ὑπ' αὐτῶν κατασκευασθέντα; 47
κατέλιπον γὰρ ψεύδη καὶ ὄνειδος τοῖς ἐπιγινομένοις. 48 ὅταν γὰρ 48
ἐπέλθῃ ἐπ' αὐτὰ πόλεμος καὶ κακά, βουλεύονται πρὸς ἑαυτοὺς οἱ
ἱερεῖς ποῦ συναποκρυβῶσι μετ' αὐτῶν. 49 πῶς οὖν οὐκ ἔστιν αἰ- 49
σθέσθαι ὅτι οὐκ εἰσὶν θεοί, οἳ οὔτε σῴζουσιν ἑαυτοὺς ἐκ πολέμου οὔτε
ἐκ κακῶν; 50 ὑπάρχοντα γὰρ ξύλινα καὶ περίχρυσα καὶ περιάργυρα 50
γνωσθήσεται μετὰ ταῦτα ὅτι ἐστὶν ψευδῆ· τοῖς ἔθνεσι πᾶσι τοῖς τε
βασιλεῦσι φανερὸν ἔσται ὅτι οὐκ εἰσὶ θεοὶ ἀλλὰ ἔργα χειρῶν ἀν-
θρώπων, καὶ οὐδὲν θεοῦ ἔργον ἐν αὐτοῖς ἐστίν.

51 Τίνι οὖν γνωστέον ἐστὶν ὅτι οὐκ εἰσὶν θεοί; 52 βασιλέα γὰρ 51 52
χώρας οὐ μὴ ἀναστήσωσιν, οὔτε ὑετὸν ἀνθρώποις οὐ μὴ δῶσιν,
53 κρίσιν τε οὐ μὴ διακρίνωσιν ἑαυτῶν, οὐδὲ μὴ ῥύσωνται ἀδίκημα, 53
ἀδύνατοι ὄντες· 54 ὥσπερ γὰρ κορῶναι ἀνὰ μέσον τοῦ οὐρανοῦ 54
καὶ τῆς γῆς. καὶ γὰρ ὅταν ἐμπέσῃ εἰς οἰκίαν θεῶν ξυλίνων ἢ
περιχρύσων ἢ περιαργύρων πῦρ, οἱ μὲν ἱερεῖς αὐτῶν φεύξονται καὶ
διασωθήσονται, αὐτοὶ δὲ ὥσπερ δοκοὶ μέσοι κατακαυθήσονται.

AQ 41 νοησαντες] pr τουτο A | κατελειπεν Q^{a} 42 περιτιθεμεναι A | εγκαθηνται B^{ab}AQ | θυμιωσαι] θυμιωντες A 43 εφελκυσθεισα (επελκ. Q^{*} εφελκ. Q^{a})] απελκυσθεις A | κοιμηθη]+μετ αυτης A | πλησιον]+αυτης A | οτι] ο sup ras A^{a} | ουκ| B^{*} ου|κ $B^{?}$ | ουτε] ουδε AQ 44 γινομενα A (γεν.) Q | αυτοις] pr παρ A pr εν Q | ως] ωστε AQ | αυτου A^{*} (-τους A^{a}) 45 κατασκευασμενα B^{*b}A (κατεσκ. B^{ab}Q) | εισιν] εστιν A | ουθεν (-δεν Q)]+γαρ A | μη] pr ου A | γενηται] γενωνται AQ | om οι τεχνιται αυτα γενεσθαι A 47 τε δη] ουν A γε Q | κατασκευασθεντα]+ειναι θεοι AQ | κατελειπον A 48 om επελθη A | αυτα] αυτους A | συναποκρυβωσιν AQ^{*} (-σι Q^{a}) 49 εισι Q | θεοι]+αλλ εργα χειρων ανων Q | om οι A | εαυτους] αυτους AQ | πολεμων A 50 om γαρ Q | εστιν 1°] εισιν A | εθνεσιν A | om τε A | φανερα Q | εσται] εστιν A | εισιν AQ^{*} (-σι Q^{a}) | θεου] ουν A 51 γνωστεον] γνωστον A pr ου Q | εστιν] ουκ εσται A | εισιν] εισι Q^{a} 52 αναστησουσιν Q | δωσιν] δωσουσιν Q^{*} (-σι Q^{a}) 53 διακρινωσιν] κρινωσιν Q | εαυτων] αυτων AQ | ουδε] ουτε Q | αδικημα] αδικουμενον A 54 γαρ 1°] αι AQ^{mg} | ανα μεσον] pr αι A | εμπεση] πεση Q | om πυρ A

55 56 [55]βασιλεῖ δὲ καὶ πολεμίοις οὐ μὴ ἀντιστῶσιν. [56]πῶς οὖν ἐκδεκτέον B
ἢ νομιστέον ὅτι εἰσὶν θεοί; Οὔτε ἀπὸ κλεπτῶν οὔτε ἀπὸ
λῃστῶν οὐ μὴ διαθῶσιν, θεοὶ ξύλινοι καὶ περιάργυροι καὶ περίχρυσοι·
57 [57]ὧν οἱ ἰσχύοντες περιελοῦνται τὸ χρυσίον καὶ τὸ ἀργύριον, καὶ τὸν
ἱματισμὸν τὸν περικείμενον αὐτοῖς ἀπελεύσονται ἔχοντες, οὔτε ἑαυτοῖς
58 οὐ μὴ βοηθήσωσιν. [58]ὥστε κρεῖσσον εἶναι βασιλέα ἐπιδεικνύμενον
τὴν ἑαυτοῦ ἀνδρείαν ἢ σκεῦος ἐν οἰκίᾳ χρήσιμον, ἐφ᾽ ᾧ κεχρήσεται ὁ
κεκτημένος, ἢ οἱ ψευδεῖς θεοί· ἢ καὶ θύρα ἐν οἰκίᾳ διασῴζουσα τὰ ἐν
αὐτῇ ὄντα ἢ οἱ ψευδεῖς θεοί, καὶ ξύλινος στύλος ἐν βασιλείοις ἢ οἱ
59 ψευδεῖς θεοί. [59]ἥλιος μὲν γὰρ καὶ σελήνη καὶ ἄστρα ὄντα λαμπρὰ
60 καὶ ἀποστελλόμενα ἐπὶ χρείας εὐήκοά εἰσιν. [60]ὡσαύτως καὶ ἀστραπὴ
ὅταν ἐπιφανῇ εὔοπτός ἐστιν· τὸ δ᾽ αὐτὸ καὶ πνεῦμα ἐν πάσῃ χώρᾳ
61 πνεῖ· [61]καὶ νεφέλαις ὅταν ἐπιταγῇ ὑπὸ τοῦ θεοῦ ἐπιπορεύεσθαι
62 ἐφ᾽ ὅλην τὴν οἰκουμένην, συντελοῦσι τὸ ταχθέν· [62]τό τε πῦρ
ἐξαποσταλὲν ἄνωθεν ἐξαναλῶσαι ὄρη καὶ δρυμοὺς ποιεῖ τὸ συνταχθέν.
ταῦτα δὲ οὔτε ταῖς ἰδέαις οὔτε ταῖς δυνάμεσιν αὐτῶν ἀφωμοιωμένα
63 ἐστίν. [63]ὅθεν οὔτε νομιστέον οὔτε κλητέον ὑπάρχειν αὐτοὺς θεούς,
οὐ δυνατῶν ὄντων αὐτῶν οὔτε κρίσιν κρῖναι οὔτε εὖ ποιεῖν ἀνθρώποις.
64 65 [64]γνόντες οὖν ὅτι οὐκ εἰσὶν θεοί, μὴ φοβηθῆτε αὐτούς. [65]Οὔτε
66 γὰρ βασιλεῦσιν οὐ μὴ καταράσωνται οὔτε μὴ εὐλογήσωσι. [66]σημεῖά
τε ἐν ἔθνεσιν ἐν οὐρανῷ οὐ μὴ δείξωσι, οὐδὲ ὡς ὁ ἥλιος λάμψου-
67 σιν, οὐδὲ φωτίσουσιν ὡς σελήνη. [67]τὰ θηρία ἐστὶν κρείττω αὐτῶν,
68 ἃ δύνανται ἐκφυγόντα εἰς σκέπην αὐτὰ ὠφελῆσαι. [68]κατ᾽ οὐδένα
οὖν τρόπον ἐστὶν ἡμῖν φανερὸν ὅτι εἰσὶν θεοί· διὸ μὴ φοβηθῆτε

55 δε] τε A | αντιστωσι Q **56** εκδεκτεον η νομιστεον] η νομισταιον AQ η δεκταιον A νομιστεον εκδεκτεον Q* (νομ. η εκδ. Q^{a}) | εισι Q^{a} | διαθωσιν] διασωσουσιν A διασωθωσιν Q* (-σι Q^{a}) | om και περιαργυροι Q* (hab Q^{mg}) **57** περιελουνται] περιελομενοι Q | απελευσονται] pr και A | ουτε] οι δε A **58** κρεισσων AQ | επιδειγνυμενον A | ανδριαν A | κεχρησεται] χρησεται A χρησηται Q | κεκτημενος] κτησαμενος A **59** om μεν Q* (hab Q^{mg}) | εισιν] εστι] AQ^{mg} **60** εστι Q^{a} | om και 2° AQ **61** νεφελαις] νεφελη A | επιπορευεσθαι] πορευεσθαι Q | συντελουσιν A | ταχθεν] επιταχθεν Q^{mg} **62** τε] δε AQ* (τε Q^{a}) | εξαναλωσαι] εξερημωσαι Q | ορη] + και βουνους Q | ουτε 1°] ουδε A | ιδεαις AQ^{a} | ουτε 2°] ουδε AQ | αυτων] ενι αυτων A ενι τουτων Q | αφομοιωμενα Q | εστιν] εισιν Q **63** κλητεον] εκλεκταιον A | αυτους υπαρχειν A | ποιειν] ποιησαι Q **64** εισι Q^{a} **65** καταρασονται A | ευλογησουσιν AQ **66** εν εθνεσιν εν ουρανω] εν ουνω και εν εθνεσιν A | δειξωσιν $B^{a?b}$AQ | ουδε] ουτε AQ | λαμψουσιν] ου μη εκλαμψουσιν A ου μη λαμψωσιν Q | ουδε] ουτε AQ + μη A | φωτιουσιν AQ | σεληνη] pr η AQ **67** εστιν κρειττω] κρισσων εστιν A εστιν κρεισσονα Q | αυτα] εαυτα Q **68** εισιν] pr ουκ (superscr) Q^{a} | φοβητε Q* (-βηθητε Q^{a})

B αὐτούς. [69]Ὥσπερ γὰρ ἐν σικυηράτῳ προβασκάνιον οὐδὲν φυ- 69
λάσσον, οὕτως οἱ θεοὶ αὐτῶν εἰσιν ξύλινοι καὶ περίχρυσοι καὶ περι-
άργυροι. [70]τὸν αὐτὸν τρόπον καὶ τῇ ἐν κήπῳ ῥάμνῳ, ἐφ᾽ ἧς πᾶν 70
ὄρνεον ἐπικάθηται, ὡσαύτως δὲ καὶ νεκρῷ ἐρριμμένῳ ἐν σκότει
ἀφωμοίωνται οἱ θεοὶ αὐτῶν ξύλινοι καὶ περίχρυσοι καὶ περιάργυροι.
[71]ἀπό τε τῆς πορφύρας καὶ τῆς μαρμάρου τῆς ἐπ᾽ αὐτοὺς σηπομένης 71
γνωσθήσεται ὅτι οὐκ εἰσὶν θεοί· αὐτά τε ἐξ ὑστέρου βρωθήσονται,
καὶ ἔσται ὄνειδος ἐν τῇ χώρᾳ. [72]κρείσσων οὖν ἄνθρωπος δίκαιος 72
οὐκ ἔχων εἴδωλα, ἔσται γὰρ μακρὰν ἀπὸ ὀνειδισμοῦ.

AQ 69 σικυηρατω Q] συκηρατω B συκηερατω A | φυλασσων A 70 την εν κ. ραμνω (sic) A | ης] η Q | om δε A | αφομοιωνται Q^* (αφωμ. Q^a) | θεοι] νεκροι Q^* (θεοι Q^a) 71 αυτους] αυτων A αυτοις Q | γνωσθησεται] γνωσεσθαι AQ^* (-σθε Q^a) | εισι Q^a | αυτα] αυτοι Q | βρωθησονται]+απ αυτων A+εξ αυτω̄| Q^{mg} | εσται] εσονται Q^* (εσται Q^{mg}) | τη χωρα] om τη A 72 ουν] εσται Q | γαρ]+αυτος A | ονειδισμου] ονειδισματων Q^* (-σμου Q^{mg})
Subscr επιστολη Ιερεμιου BQ Ιερεμιας προφητης Βαρουχ θρηνοι και επιστολη A

ΙΕΖΕΚΙΗΛ

I 1 ΚΑΙ ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει τετάρτῳ μηνὶ πέμπτῃ τοῦ B
μηνὸς καὶ ἐγὼ ἤμην ἐν μέσῳ τῆς αἰχμαλωσίας ἐπὶ τοῦ ποταμοῦ τοῦ
2 Χοβάρ, καὶ ἠνοίχθησαν οἱ οὐρανοί, καὶ εἶδον ὁράσεις θεοῦ. [2] πέμπτῃ
τοῦ μηνός, τοῦτο τὸ ἔτος τὸ πέμπτον τῆς αἰχμαλωσίας τοῦ βασιλέως
Ἰωακείμ, (3) καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰεζεκιὴλ υἱὸν Βουζεὶ τὸν
3 ἱερέα ἐν γῇ Χαλδαίων ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ. [3] καὶ ἐγένετο
4 ἐπ' ἐμὲ χεὶρ Κυρίου, [4] καὶ ἴδον, καὶ ἰδοὺ πνεῦμα ἐξαῖρον ἤρχετο ἀπὸ
βορρᾶ, καὶ νεφέλη μεγάλη ἐν αὐτῷ, καὶ φέγγος κύκλῳ αὐτοῦ καὶ πῦρ
ἐξαστράπτον, καὶ ἐν τῷ μέσῳ αὐτοῦ ὡς ὅρασις ἠλέκτρου ἐν μέσῳ
5 τοῦ πυρὸς καὶ φέγγος ἐν αὐτῷ. [5] καὶ ἐν τῷ μέσῳ ὡς ὁμοίωμα
τεσσάρων ζῴων· καὶ αὕτη ἡ ὅρασις αὐτῶν· ὁμοίωμα ἀνθρώπου
6 ἐπ' αὐτοῖς. [6] καὶ τέσσαρα πρόσωπα τῷ ἑνί, καὶ τέσσαρες πτέρυγες
7 τῷ ἑνί· [7] καὶ τὰ σκέλη αὐτῶν ὀρθά, καὶ πτερωτοὶ οἱ πόδες αὐτῶν, καὶ
σπινθῆρες ὡς ἐξαστράπτων χαλκός· καὶ ἐλαφραὶ αἱ πτέρυγες αὐτῶν,
8 [8] καὶ χεὶρ ἀνθρώπου ὑποκάτωθεν τῶν πτερύγων αὐτῶν ἐπὶ τὰ τέσ-
9 σαρα μέρη αὐτῶν· καὶ τὰ πρόσωπα αὐτῶν τῶν τεσσάρων [9] οὐκ ἐπε-
στρέφοντο ἐν τῷ βαδίζειν αὐτά, ἕκαστον ἀπέναντι τοῦ προσώπου
10 αὐτῶν ἐπορεύοντο. [10] καὶ ὁμοίωσις τῶν προσώπων αὐτῶν· πρόσωπον

Inscr Ιεζεκιηλ BAQ + *προφητης ιε'* A I 1 *τεταρτω*] pr *εν τω* AQ B^{ab}AQ | *του μηνος* sup ras B$^{ab\ vid}$ | Χοβαρ] adnot *βαρυσμος* Q^{mg} | *ειδον*] *ιδον* AQ 2 *το ετος* (*ετου* A* -*τος* A^{a})] om *το* Q | *το πεμπτον*] om *το* A | Ιωακειμ] adnot *Ιαω ετοιμασμος* Q^{mg} | Ιεζεκιηλ] adnot *κρατος θ̄υ* Q^{mg} | Βουζι Q adnot *πεφαυλισμενος* Q^{mg} | Χαλδαιων] adnot *ως μαστοι* et *ως αγροι* Q^{mg} 3 *εγενετο*] + *εκει* A et (sub ※) Q^{mg} 4 *και* 3°] seq ras 1 lit in A | *φεγγος* 1°] + *κ̄υ* Q | *ορασις*] *ομοιωμα* A 6 *τεσσερα* Q: item 8 | *τω ενι* (1°)] + *α'θ' αυτοις* Q^{mg} 7 *ορθα*] pr ※ *σκελη* Q^{mg} | *εξαστραπτων*] pr *ο* A 8 *πτερυγων* sup ras B^{ab} | *αυτων* 3°] + *και αι πτερυγες αυτων* A et (sub ※ *α'θ'* Q^{mg}) Q | *τεσσαρων*] + *εχομενα* (-*ναι* A^{1}) *ετερα της ετερας και τα προσωπα αυτων* A (om *και . . αυτων* A$^{*\ vid}$ *επι . . προσωπα* sup ras A$^{a?}$) *εχομεναι ετερα τ. ετερας κ. αι πτερυγες αυτων* (sub ※ *θ'*) Q 9 *αυτα*] *αυτας* Q* (-*τα* Q^{a}) | *εκαστον*] *ν* sup ras A$^{a?}$ | *απεναντι*] *κατεναντι* B$^{*\ fort}$ (*απ* sup ras B^{ab}) AQ 10 *ομοιωσις*] pr *η* A

B ἀνθρώπου καὶ πρόσωπον λέοντος ἐκ δεξιῶν τοῖς τέσσαρσιν, καὶ
πρόσωπον μόσχου ἐξ ἀριστερῶν τοῖς τέσσαρσιν, καὶ πρόσωπον
ἀετοῦ τοῖς τέσσαρσιν, [11]καὶ αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι ἄνωθεν 11
τοῖς τέσσαρσιν, ἑκατέρῳ δύο συνεζευγμέναι πρὸς ἀλλήλας, καὶ δύο
ἐπεκάλυπτον ἐπάνω τοῦ σώματος αὐτῶν. [12]καὶ ἑκάτερον κατὰ 12
πρόσωπον αὐτοῦ ἐπορεύετο· οὗ ἂν ἦν τὸ πνεῦμα πορευόμενον ἐπο-
ρεύοντο, καὶ οὐκ ἐπέστρεφον. [13]καὶ ἐν μέσῳ τῶν ζῴων ὅρασις ὡς 13
ἀνθράκων πυρὸς καιομένων, ὡς ὄψις λαμπάδων συστρεφομένων ἀνὰ
μέσον τῶν ζῴων καὶ φέγγος τοῦ πυρός, καὶ ἐκ τοῦ πυρὸς ἐξεπορεύετο
ἀστραπή. [15]καὶ ἴδον, καὶ ἰδοὺ τροχὸς εἷς ἐπὶ τῆς γῆς ἐχόμενος τῶν 15
ζῴων τοῖς τέσσαρσιν. [16]καὶ τὸ εἶδος τῶν τροχῶν ὡς εἶδος θαρσείς, 16
καὶ ὁμοίωμα ἓν τοῖς τέσσαρσιν· καὶ τὸ ἔργον αὐτῶν ἦν καθὼς ἂν
εἴη τροχὸς ἐν τροχῷ· [17]ἐπὶ τὰ τέσσερα μέρη αὐτῶν ἐπορεύοντο. 17
οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτά, [18]οὐδ᾽ οἱ νῶτοι αὐτῶν, καὶ 18
ὕψος ἦν αὐτοῖς· καὶ ἴδον αὐτά, καὶ οἱ νῶτοι αὐτῶν πλήρεις ὀφθαλμῶν
κυκλόθεν τοῖς τέσσαρσιν. [19]καὶ ἐν τῷ πορεύεσθαι τὰ ζῷα, ἐπο- 19
ρεύοντο οἱ τροχοὶ ἐχόμενοι αὐτῶν· καὶ ἐν τῷ ἐξαίρειν τὰ ζῷα ἀπὸ
τῆς γῆς, ἐξῄροντο οἱ τροχοί. [20]οὗ ἂν ἦν ἡ νεφέλη, ἐκεῖ τὸ πνεῦμα τοῦ 20
πορεύεσθαι· ἐπορεύοντο οἱ τροχοὶ καὶ ἐξῄροντο σὺν αὐτοῖς, διότι
πνεῦμα ζωῆς ἐν τοῖς τροχοῖς. [21]ἐν τῷ πορεύεσθαι αὐτὰ ἐπορεύοντο, 21
καὶ ἐν τῷ ἑστάναι αὐτὰ ἱστήκεισαν, καὶ ἐν τῷ ἐξαίρειν αὐτὰ ἀπὸ τῆς
γῆς ἐξῄροντο σὺν αὐτοῖς, ὅτι πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς. [22]καὶ 22
ὁμοίωμα ὑπὲρ κεφαλῆς αὐτοῖς τῶν ζῴων ὡσεὶ στερέωμα, ὡς ὅρασις
κρυστάλλου, ἐκτεταμένον ἐπὶ τῶν πτερύγων αὐτῶν ἐπάνωθεν· [23]καὶ 23
ὑποκάτω τοῦ στερεώματος αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι, πτε-

AQ **10** ανθρωπου] + αυτοις A | τεσσαρσιν 1°] τεσσαροις A | τεσσαρσι (2°, 3°) A: item 11 **11** και 1°] pr (sub ※) και τα προσωπα αυτων Q | om ανωθεν A* (ταμε|ναι ανωθεν in mg et sup ras Aᵃ) | εκατερω] εκαστω Q **12** εκατερον] εκαστον Q | ην] η AQ | επορευοντο] επορευετο A | επεστρεφον] επεστρεφεν A + θ′ ※ εν τω πορευεσθαι αυτα Q **13** om ως 1° A | αστραπη] pr ως AQ + και τα ζωα ετρεχον και ανεκαμπτον ως ειδος του βεζεκ A et (sup θ′ ※) Q (pro βεζεκ leg α′ απορροιας η αστραπης σ′ ακτινος αστραπης Q^mg) **16** τροχων] + α′θ′ ※ και αι ποιησεις αυτων Q | ως ειδος θαρσεις] α′ ως οφθαλμος χρυσολιθου σ′ ως ορασις υακινθου Q^mg | om και ομοιωμα εν τ. τεσσαρσιν A* (hab A^a? mg) | τεσσαρσιν] + θ′ ※ και η ορασις αυτων Q | εν 2°] επι A **17** αυτων] + θ′ ※ εν τω πορευεσθαι αυτους Q **20** ου] pr ϛ B^ab | ην η] ἦ B^b | επορευοντο] + τα ζωα και AQ | om και A | ζωης] + ην A **21** ειστηκεισαν B^ab Q^a | απο της γης sup ras A^a | om γης Q* (hab Q^mg) | εξηροντο] + α′θ′ ※ οι τροχοι Q | om ην B^a (vid) b | εν τοις τροχοις ην A **22** improb αυτοις B^ab | improb ωσει B^ab | κρυσταλλου] + φοβερου Q **23** υποκατωθεν B^? (mg)

ρυσσόμεναι ἑτέρα τῇ ἑτέρᾳ, ἑκάστῳ δύο ἐπικαλύπτουσαι τὰ σώματα B
24 αὐτῶν. [24]καὶ ἤκουον τὴν φωνὴν τῶν πτερύγων αὐτῶν ἐν τῷ
πορεύεσθαι αὐτὰ ὡς φωνὴν ὕδατος πολλοῦ· καὶ ἐν τῷ ἑστάναι
25 αὐτὰ κατέπαυον αἱ πτέρυγες αὐτῶν. [25]καὶ ἰδοὺ φωνὴ ὑπεράνωθεν
26 τοῦ στερεώματος τοῦ ὄντος ὑπὲρ κεφαλῆς αὐτῶν· [26]ὡς ὅρασις λίθου
σαπφείρου, ὁμοίωμα θρόνου ἐπ᾽ αὐτοῦ, καὶ ἐπὶ τοῦ ὁμοιώματος τοῦ
27 θρόνου ὁμοίωμα ὡς εἶδος ἀνθρώπου ἄνωθεν. [27]καὶ ἴδον ὡς ὄψιν
ἠλέκτρου ἀπὸ ὁράσεως ὀσφύος καὶ ἐπάνω, καὶ ἀπὸ ὁράσεως ὀσφύος
καὶ ἕως κάτω ἴδον ὡς ὅρασιν πυρός, καὶ τὸ φέγγος αὐτοῦ κύκλῳ.
28 [28]ὡς ὅρασις τόξου, ὅταν ᾖ ἐν τῇ νεφέλῃ ἐν ἡμέραις ὑετοῦ, οὕτως ἡ
στάσις τοῦ φέγγους κυκλόθεν.

II 1 [1]Αὕτη ἡ ὅρασις ὁμοιώματος δόξης Κυρίου· καὶ ἴδον, καὶ πίπτω
ἐπὶ πρόσωπόν μου, καὶ ἤκουσα φωνὴν λαλοῦντος, (1)καὶ εἶπεν πρὸς
μέ Υἱὲ ἀνθρώπου, στῆθι ἐπὶ τοὺς πόδας σου, καὶ λαλήσω πρὸς σέ·
2 [2]καὶ ἦλθεν ἐπ᾽ ἐμὲ πνεῦμα, καὶ ἀνέλαβέν με καὶ ἐξῆρέν με καὶ
ἔστησέν με ἐπὶ τοὺς πόδας μου, καὶ ἤκουον αὐτοῦ λαλοῦντος πρὸς μέ,
3 [3]καὶ εἶπεν πρὸς μέ Υἱὲ ἀνθρώπου, ἐξαποστέλλω ἐγὼ σὲ πρὸς τὸν
οἶκον τοῦ Ἰσραήλ, τοὺς παραπικραίνοντάς με, οἵτινες παρεπίκρανάν
4 με αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἕως τῆς σήμερον ἡμέρας, [4]καὶ ἐρεῖς
5 πρὸς αὐτούς Τάδε λέγει Κύριος, [5]ἐὰν ἄρα ἀκούσωσιν ἢ πτοηθῶσιν,
διότι οἶκος παραπικραίνων ἐστίν, καὶ γνώσονται ὅτι προφήτης εἶ σὺ
6 ἐν μέσῳ αὐτῶν. [6]καὶ σύ, υἱὲ ἀνθρώπου, μὴ φοβηθῇς αὐτούς, μηδὲ
ἐκστῇς ἀπὸ προσώπου αὐτῶν· διότι παροιστρήσουσι καὶ ἐπισυστή-
σονται ἐπὶ σὲ κύκλῳ, καὶ ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς· τοὺς
λόγους αὐτῶν μὴ φοβηθῇς, καὶ ἀπὸ προσώπου αὐτῶν μὴ ἐκστῇς,
7 διότι οἶκος παραπικραίνων ἐστίν. [7]καὶ λαλήσεις τοὺς λόγους μου

23 ετερα bis] εκατερα B^{a} | δυο]+συνεζευγμεναι A | τα σωματα αυτων] τω AQ σωματι τα προσωπα αυτων A **24** ηκουον] ηκουσα Q | πολλου]+ως φωνην ικανου εν τω πορευεσθαι αυτα φωνη του λογου ως φωνη παρεμβολης A et (sub θ′ ※) Q **25** υπερανωθεν] υπερανω A | αυτων]+εν τω εσταναι αυτα ανιεντο (-εντο Q) αι πτερυγες αυτων και υπερανω του στερεωματος του υπερ κεφαλης αυτων A et (sup θ′ ※) Q **26** ομοιωμα 1°] pr και Q | αυτου] αυτω A **27** ιδον 1°] ειδον B^{ab}A | ηλεκτρου]+ως ορασις πυρος εσωθεν αυτου κυκλω (αυτ. κυκλω sup ras A^{a}) A et (sub α′θ′ ※) Q **27—II 2** απο ορασεως (1°) ...εξηρεν με και sup ras A^{a} **27** ιδον 2°] ειδον A^{a} | om ως 2° Q* (hab sub α′θ′ ※ Q^{mg}) **28** ημεραις] ημερα Q **II 1** ομοιωματος] ομοιωμα της A^{a} | ειδον A^{a} **2** εξηρεν] εξηγειρεν A^{a} | τους ποδας] om τους Q **3** εξαποστελω A | αυτων]+ηθετησαν εν εμοι A et (sub θ′ ※) Q **4** και ερεις] pr και υιοι σκληροπροσωποι και στερεοκαρδιοι εγω αποστελλω σε προς αυτους A et (sub α′θ′ ※) Q | Κυριος] pr κς AQ **6** παροιστρησουσιν AQ | εκστης 2°] α′ πτηξης Q^{mg} | παραπικραινων] α′ αλλασσων σ′ προσεριστης Q^{mg}

B πρὸς αὐτούς, ἐὰν ἄρα ἀκούσωσιν ἢ πτοηθῶσιν, ὅτι οἶκος παρα-
πικραίνων ἐστίν. 8 καὶ σύ, υἱὲ ἀνθρώπου, ἄκουε τοῦ λαλοῦντος πρὸς 8
σέ, μὴ γίνου παραπικραίνων καθὼς ὁ οἶκος ὁ παραπικραίνων· χάνε
τὸ στόμα σου καὶ φάγε ὃ ἐγὼ δίδωμί σοι. 9 καὶ ἴδον, καὶ ἰδοὺ χεὶρ 9
ἐκτεταμένη πρὸς μέ, καὶ ἐν αὐτῇ κεφαλὶς βιβλίου· 10 καὶ ἀνείλησεν 10
αὐτὴν ἐνώπιον ἐμοῦ, καὶ ἐν αὐτῇ γεγραμμένα ἦν τὰ ἔμπροσθεν καὶ
τὰ ὀπίσω, καὶ ἐγέγραπτο θρῆνος καὶ μέλος καὶ οὐαί. 1 καὶ εἶπεν 1 III
πρὸς μέ Υἱὲ ἀνθρώπου, κατάφαγε τὴν κεφαλίδα ταύτην, καὶ πορεύ-
θητι καὶ λάλησον τοῖς υἱοῖς Ἰσραήλ. 2 καὶ διήνοιξεν τὸ στόμα μου, 2
καὶ ἐψώμισέν με τὴν κεφαλίδα. 3 καὶ εἶπεν πρὸς μέ Υἱὲ ἀνθρώπου, 3
τὸ στόμα σου φάγεται, καὶ ἡ κοιλία σου πλησθήσεται τῆς κεφαλίδος
ταύτης τῆς δεδομένης εἰς σέ. καὶ ἔφαγον αὐτήν, καὶ ἐγένετο ἐν τῷ
στόματί μου ὡς μέλι γλυκάζον.

4 Καὶ εἶπεν πρὸς μέ Υἱὲ ἀνθρώπου, βάδιζε καὶ εἴσελθε πρὸς τὸν 4
οἶκον τοῦ Ἰσραὴλ καὶ λάλησον τοὺς λόγους μου πρὸς αὐτούς, 5 διότι 5
οὐ πρὸς λαὸν βαθύγλωσσον σὺ ἐξαποστέλλῃ, πρὸς τὸν οἶκον τοῦ
Ἰσραήλ, 6 οὐδὲ πρὸς λαοὺς πολλοὺς ἀλλοφώνους ἢ ἀλλογλώσσους 6
οὐδὲ στιβαροὺς τῇ γλώσσῃ ὄντας, ὧν οὐκ ἀκούσῃ τοὺς λόγους· καὶ εἰ
πρὸς τοιούτους ἐξαπέστειλά σε, οὗτοι ἂν εἰσήκουσάν σου. 7 ὁ δὲ 7
οἶκος τοῦ Ἰσραὴλ οὐ μὴ θελήσουσιν εἰσακοῦσαί σου, διότι οὐ βού-
λονται εἰσακοῦσαί μου· ὅτι πᾶς ὁ οἶκος Ἰσραὴλ φιλόνεικοί εἰσιν καὶ
σκληροκάρδιοι. 8 καὶ ἰδοὺ δέδωκα τὸ πρόσωπόν σου δυνατὸν κατέ- 8
ναντι τῶν προσώπων αὐτῶν, καὶ τὸ νεῖκός σου κατισχύσω κατέναντι
τοῦ νείκους αὐτῶν, 9 καὶ ἔσται διὰ παντὸς κραταιότερον πέτρας. μὴ 9
φοβηθῇς ἀπ' αὐτῶν μηδὲ πτοηθῇς ἀπὸ προσώπου αὐτῶν, διότι οἶκος
παραπικραίνων ἐστίν. 10 καὶ εἶπεν πρὸς μέ Υἱὲ ἀνθρώπου, πάντας τοὺς 10
λόγους οὓς λελάληκα μετὰ σοῦ λάβε εἰς τὴν καρδίαν σου καὶ τοῖς ὠσίν
σου ἄκουε, 11 καὶ βάδιζε, εἴσελθε εἰς τὴν αἰχμαλωσίαν πρὸς τοὺς υἱοὺς 11

AQ 7 οτι] διοτι B^ab A 8 μη] pr και Q | παραπικραινων 1° (νων sup ras A^a)] + και συ (sup ras) A^a | ο παραπικρ.] ο sup ras A^a | ο εγω] α εγω B^* vid (ο sup ras B^ab) A 9 κεφαλις] σ' ειλητο|τευχος Q^mg 10 αυτη] α sup ras A^a | εμπροσθεν] οπισθεν A | οπισω] εμπροσθεν A οπισθεν Q | εγεγραπτο] + εις αυτην AQ III 1 ειπε Q^a: item 4 | ανθρωπου] + οι γ' ※ ο εαν ευρης φαγε Q^mg 2 κεφαλιδα] + ταυτην Q 4 om και 2° AQ 5 βαθυγλωσσον] βαθυχειλον (βαθ sup ras A^a) και βαρυγλωσσον AQ | εξαποστειλη B^a (vid) | του Ισραηλ] om του Q 6 λογους] + αυτων A 7 εισακουσαι 2°] εισακουει A | Ισραηλ 2°] pr του AQ | φιλονεικοι] α' ισχυροι μετωπω σ' αναιδεις μετωπω Q^mg 8 προσωπων] προσωπον A^* (-πων A^? vid) 9 πετρας] + δεδωκα το νεικος σου A + (sub θ' ※) δεδωκα το μετωπον σου Q | φο|φηθης B^* (φοβ. B^a? b?) | πτοηθης] σ' υπενδως Q^mg 10 ελαληκα A 11 εισελθε] seq ras 1 saltem lit in A

τοῦ λαοῦ σου καὶ λαλήσεις πρὸς αὐτούς, καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε B
12 λέγει Κύριος, ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα ἐνδῶσιν. [12]Καὶ ἀνέλα-
βέν με πνεῦμα, καὶ ἤκουσα κατόπισθέν μου, καὶ ἤκουσα φωνὴν σεισμοῦ
13 μεγάλου Εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου αὐτοῦ. [13]καὶ ἴδον
φωνὴν πτερύγων τῶν ζῴων πτερυσσομένων ἑτέρα πρὸς τὴν ἑτέραν,
14 καὶ φωνὴ τῶν τροχῶν ἐχομένη αὐτῶν, καὶ φωνὴ τοῦ σεισμοῦ. [14]καὶ
τὸ πνεῦμα ἐξῆρέν με καὶ ἀνέλαβέν με, καὶ ἐπορεύθην ἐν ὁρμῇ τοῦ
15 πνεύματός μου, καὶ χεὶρ Κυρίου ἐγένετο ἐπ' ἐμὲ κραταιά. [15]καὶ
εἰσῆλθον εἰς τὴν αἰχμαλωσίαν μετέωρος, καὶ περιῆλθον τοὺς κατοι-
κοῦντας ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβὰρ τοὺς ὄντας ἐκεῖ· καὶ ἐκάθισα
16 ἐκεῖ ἑπτὰ ἡμέρας ἀναστρεφόμενος ἐν μέσῳ αὐτῶν. [16]καὶ ἐγένετο
17 μετὰ τὰς ἑπτὰ ἡμέρας λόγος Κυρίου πρὸς μὲ λέγων [17]Υἱὲ ἀνθρώπου,
σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ, καὶ ἀκούσῃ ἐκ στόματός μου
18 λόγον, καὶ διαπειλήσῃ αὐτοῖς παρ' ἐμοῦ. [18]ἐν τῷ λέγειν με τῷ ἀνόμῳ
Θανάτῳ θανατωθήσῃ· καὶ οὐ διεστείλω αὐτῷ οὐδὲ ἐλάλησας τοῦ δια-
στείλασθαι τῷ ἀνόμῳ ἀποστρέψαι ἀπὸ τῶν ὁδῶν αὐτοῦ τοῦ ζῆσαι
αὐτόν, ὁ ἄνομος ἐκεῖνος τῇ ἀδικίᾳ αὐτοῦ ἀποθανεῖται, καὶ τὸ αἷμα
19 αὐτοῦ ἐκ χειρός σου ἐκζητήσω. [19]καὶ σὺ ἐὰν διαστείλῃ τῷ ἀνόμῳ,
καὶ μὴ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ καὶ τῆς ὁδοῦ, ὁ ἄνομος
ἐκεῖνος ἐν τῇ ἀδικίᾳ αὐτοῦ ἀποθανεῖται, καὶ σὺ τὴν ψυχήν σου ῥύσῃ.
20 [20]καὶ ἐν τῷ ἀποστρέφειν δίκαιον ἀπὸ τῶν δικαιοσυνῶν αὐτοῦ καὶ
ποιήσῃ παράπτωμα, καὶ δώσω τὴν βάσανον εἰς πρόσωπον αὐτοῦ,
αὐτὸς ἀποθανεῖται, ὅτι οὐ διεστείλω αὐτῷ, καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ
ἀποθανεῖται, διότι οὐ μὴ μνησθῶσιν αἱ δικαιοσύναι αὐτοῦ· καὶ τὸ αἷμα
21 αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω. [21]σὺ δὲ ἐὰν διαστείλῃ τῷ δικαίῳ
τοῦ μὴ ἁμαρτεῖν, καὶ αὐτὸς μὴ ἁμάρτῃ, ὁ δίκαιος ζωῇ ζήσεται, ὅτι
διεστείλω αὐτῷ· καὶ σὺ τὴν σεαυτοῦ ψυχὴν ῥύσῃ.
22 [22]Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου, καὶ εἶπεν πρὸς μέ Ἀνάστηθι

11 bis scr *και ερεις προς αυτους* Q* (improb 2° Q^{a}) | *Κυριος*] pr *κ̅ς̅* AQ AQ **12** om *και ηκουσα* 2° B^{ab}AQ | *μεγαλου*]+*λεγοντων* A **13** *και ιδον* (*ειδ.* A) *φωνην*] σ' *κ̅ συγκρουσι̅* Q^{mg} | *σεισμου*]+(sub α' θ' ※) *μεγαλου* Q **14** *το πνευμα*]+*κ̅υ̅* A | *επορευθην*]+*μετεωρος* AQ **15** *κατοικουντας*] *ουν* sup ras B^{ab} **16—17** *μετα τας...παρ εμου* sup ras A^{a} **16** *ημερας*]+(sub α' θ' σ' ※) *και εγενετο* Q **17** *διαπειλησῃ*] *απειλησῃ* Q σ' *προφυλαξεις* Q^{mg} **18** ante *θανατωθησῃ* ras 4 vel 5 litt B^{1vid} | *αποστρεψαι*] pr *του* Q | *του ζησαι αυτον*] *του ζητησαι αυτον* A α' *του σωσαι αυτο̅* Q^{mg} | *αδικεια* B* (-*κια* B^{b}) **19** *οδου*] pr *απο* Q+*αυτου* B^{ab}AQ | *ρυσῃ*] *ερυσω* A **20** *των δικαιοσυνων*] *της δικαιοσυνης* A | *βασανον*] *οι λοιποι σκανδαλον* Q^{mg} | *οτι ου διεστειλω αυτω*] σ' *επειδη μη προεφυλαξας αυτον* Q^{mg} | *αυτου* 4°]+*ας εποιησεν* AQ **21** *αμαρτειν*] *αμαρτανειν* A | *δεστειλω* Q* (*διεστ.* Q^{a}) | *σεαυτου ψυχην*] *ψ. σου* A

B καὶ ἔξελθε εἰς τὸ πεδίον, καὶ ἐκεῖ λαληθήσεται πρὸς σέ. [23]καὶ 23
ἀνέστην καὶ ἐξῆλθον εἰς τὸ πεδίον, καὶ ἰδοὺ ἐκεῖ δόξα Κυρίου εἱστήκει
καθὼς ἡ ὅρασις καὶ καθὼς ἡ δόξα ἣν ἴδον ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ,
καὶ πίπτω ἐπὶ πρόσωπόν μου. [24]καὶ ἦλθεν ἐπ' ἐμὲ πνεῦμα καὶ 24
ἔστησέν με ἐπὶ πόδας μου, καὶ ἐλάλησεν πρὸς μὲ καὶ εἶπέν μοι
Εἴσελθε καὶ ἐγκλείσθητι ἐν μέσῳ τοῦ οἴκου σου. [25]καὶ σύ, υἱὲ ἀν- 25
θρώπου, ἰδοὺ δέδονται ἐπὶ σὲ δεσμοί, καὶ δήσουσίν σε ἐν αὐτοῖς, καὶ
οὐ μὴ ἐξέλθῃς ἐκ μέσου αὐτῶν. [26]καὶ τὴν γλῶσσάν σου συνδήσω, 26
καὶ ἀποκωφωθήσῃ, καὶ οὐκ ἔσῃ αὐτοῖς εἰς ἄνδρα ἐλέγχοντα, διότι
οἶκος παραπικραίνων ἐστίν. [27]καὶ ἐν τῷ λαλεῖν με πρὸς σὲ ἀνοίξω 27
τὸ στόμα σου καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει Κύριος Ὁ ἀκούων
ἀκουέτω, καὶ ὁ ἀπειθῶν ἀπειθείτω, διότι οἶκος παραπικραίνων
ἐστίν· [1]Καὶ σύ, υἱὲ ἀνθρώπου, λάβε σεαυτῷ πλίνθον καὶ 1 IV
θήσεις αὐτὴν πρὸ προσώπου σου, καὶ διαγράψεις ἐπ' αὐτὴν πόλιν
τὴν Ἰερουσαλήμ, [2]καὶ δώσεις ἐπ' αὐτὴν περιοχήν, καὶ οἰκοδομήσεις 2
ἐπ' αὐτὴν προμαχῶνας, καὶ περιβαλεῖς ἐπ' αὐτὴν χάρακα, καὶ δώσεις
ἐπ' αὐτὴν παρεμβολάς, καὶ τάξεις τὰς βελοστάσεις κύκλῳ. [3]καὶ 3
σὺ λάβε σεαυτῷ τήγανον σιδηροῦν καὶ θήσεις αὐτὸ τοῖχον σιδηροῦν
ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς πόλεως, καὶ ἑτοιμάσεις τὸ πρόσ-
ωπόν σου ἐπ' αὐτήν, καὶ ἔσται ἐν συγκλεισμῷ, καὶ συγκλείσεις
αὐτήν· σημεῖόν ἐστιν τοῦτο τοῖς υἱοῖς Ἰσραήλ. [4]Καὶ σὺ 4
κοιμηθήσῃ ἐπὶ τὸ πλευρόν σου τὸ ἀριστερόν, καὶ θήσεις τὰς ἀδικίας
τοῦ οἴκου Ἰσραὴλ ἐπ' αὐτοῦ κατὰ ἀριθμὸν τῶν ἡμερῶν πεντήκοντα
καὶ ἑκατὸν ἃς κοιμηθήσῃ ἐπ' αὐτοῦ, καὶ λήμψῃ τὰς ἀδικίας αὐτῶν.
[5]καὶ ἐγὼ δέδωκά σοι τὰς δύο ἀδικίας αὐτῶν εἰς ἀριθμὸν ἡμερῶν, 5
ἐνενήκοντα καὶ ἑκατὸν ἡμέρας, καὶ λήμψῃ τὰς ἀδικίας τοῦ οἴκου
Ἰσραήλ. [6]καὶ συντελέσεις ταῦτα, καὶ κοιμηθήσῃ ἐπὶ τὸ πλευρόν σου 6
τὸ δεξιόν, καὶ λήμψῃ τὰς ἀδικίας τοῦ οἴκου Ἰούδα τεσσεράκοντα
ἡμέρας· ἡμέραν εἰς ἐνιαυτὸν τέθεικά σοι. [7]καὶ εἰς τὸν συγκλεισμὸν 7

AQ 23 εκει δοξα $\overline{κυ}$ ιστηκει sup ras A^{a} | ιστηκει AQ* 24 εστησεν] ανεστησε B^{ab} 25 δησουσι Q^{a} | και 3°] + συ A | εκ μεσου] εξ A 26 συνδησω] + (sub θ' ※) προς τον λαρυγγα σου Q | αποκωφωθηση] σ' αλλος εση Q^{mg} 27 Κυριος] pr $\overline{κς}$ AQ^{mg} pr αδωναι Q* | απιθετω A IV 2 προχωνας B* (προμαχ. B^{ab}) 3 συγκλεισμω B^{ab}AQ | συνκλισεις A συγκλεισης Q$^{mg\ vid}$ 4 πεντηκοντα] pr εν Q | πεντηκοντα και εκατον] adnot ου κειτ παρ Εβρ(αιοις) Q^{mg} | εκατον] + ημερας A | ληψη B?Q^{a}: item 5 5 δεδωκα] εδωκα Q | ενενηκοντα και εκατον] οι λοιποι τριακοσιας ϛ ενενηκ. Q^{mg} | αδικειας 2° B* (-κιας B^{b}: item 6) | om οικου Q 6 ταυτα] αυτα παντα A | δεξιον] + (sub α'θ' ※) δευτερον Q | ληψη Q^{a} 7 τον συγκλεισμον] συνκλισμον A

Ἰερουσαλὴμ ἑτοιμάσεις τὸ πρόσωπόν σου, καὶ τὸν βραχίονά σου B
8 στερεώσεις, καὶ προφητεύσεις ἐπ᾽ αὐτήν. [8]καὶ ἐγὼ ἰδοὺ δέδωκα ἐπὶ
σὲ δεσμούς, καὶ μὴ στραφῇς ἀπὸ τοῦ πλευροῦ σοῦ ἐπὶ τὸ πλευρόν
9 σου ἕως οὗ συντελεσθῶσιν ἡμέραι τοῦ συγκλεισμοῦ σου. [9]καὶ σὺ
λάβε σεαυτῷ πυροὺς καὶ κριθὰς καὶ κύαμον καὶ φακὸν καὶ κέγχρον
καὶ ὀλύραν, καὶ ἐμβαλεῖς αὐτὰ εἰς ἄγγος ἓν ὀστράκινον, καὶ ποιήσεις
αὐτὰ σαυτῷ εἰς ἄρτους, καὶ κατ᾽ ἀριθμὸν τῶν ἡμερῶν ἃς σὺ
καθεύδεις ἐπὶ τοῦ πλευροῦ σου, ἐνενήκοντα καὶ ἑκατὸν ἡμέρας,
10 φάγεσαι αὐτά. [10]καὶ τὸ βρῶμά σου φάγεσαι ἐν σταθμῷ, εἴκοσι
11 σίκλους τὴν ἡμέραν· ἀπὸ καιροῦ ἕως καιροῦ φάγεσαι αὐτά. [11]καὶ
ὕδωρ ἐν μέτρῳ πίεσαι, τὸ ἕκτον τοῦ εἶν ἀπὸ καιροῦ ἕως καιροῦ
12 πίεσαι. [12]καὶ ἐνκρυφίαν κρίθινον φάγεσαι αὐτά, ἐν βολβίτοις
13 κόπρου ἀνθρωπίνης ἐγκρύψεις αὐτὰ κατ᾽ ὀφθαλμοὺς αὐτῶν, [13]καὶ
ἐρεῖς Τάδε λέγει Κύριος ὁ θεὸς Ἰσραήλ Οὕτως φάγονται οἱ υἱοὶ τοῦ
14 Ἰσραὴλ ἀκάθαρτα ἐν τοῖς ἔθνεσιν. [14]καὶ εἶπα Μηδαμῶς, Κύριε θεὲ
τοῦ Ἰσραήλ· εἰ ἡ ψυχή μου οὐ μεμίανται ἐν ἀκαθαρσίᾳ, καὶ θηριά-
λωτον καὶ θνησιμαῖον οὐ βέβρωκα ἀπὸ γενέσεώς μου ἕως τοῦ νῦν,
15 οὐδὲ εἰσελήλυθεν εἰς τὸ στόμα μου πᾶν κρέας ἕωλον. [15]καὶ εἶπεν
πρὸς μέ Ἰδοὺ δέδωκά σοι βόλβιτα βοῶν ἀντὶ τῶν βολβίτων τῶν
16 ἀνθρωπίνων, καὶ ποιήσεις τοὺς ἄρτους σου ἐπ᾽ αὐτῶν. [16]καὶ εἶπεν
πρὸς μέ Υἱὲ ἀνθρώπου, ἰδοὺ ἐγὼ συντρίβω στήριγμα ἄρτου ἐν
Ἰερουσαλήμ, καὶ φάγονται ἄρτον ἐν σταθμῷ καὶ ἐν ἐνδείᾳ, καὶ ὕδωρ
17 ἐν μέτρῳ καὶ ἐν ἀφανισμῷ πίονται, [17]ὅπως ἐνδεεῖς γένωνται ἄρτου
καὶ ὕδατος· καὶ ἀφανισθήσεται ἄνθρωπος καὶ ἀδελφὸς αὐτοῦ, καὶ
V 1 τακήσονται ἐν ταῖς ἀδικίαις αὐτῶν. [1]Καὶ σύ, υἱὲ ἀνθρώπου,
λάβε σεαυτῷ ῥομφαίαν ὀξεῖαν ὑπὲρ ξυρὸν κουρέως, κτήσῃ αὐτὴν
σεαυτῷ, καὶ ἐπάξεις αὐτὴν ἐπὶ τὴν κεφαλήν σου καὶ ἐπὶ τὸν

7 στερεωσεις] + επ αυτην B^{ab} 8 εγω ιδου] improb ιδου B^{ab} ιδου εγω A | AQ μη] pr ου A | om σου 2° A$^{* vid}$ (hab A$^{?}$) | ημεραι] pr αι A | συνκλεισμου A 9 σαυτω (σ'αυτ. B)] σεαυτω AQ^{*silt} | κατ] κατα AQ 10 φαγεσαι 1°] pr ο AQ | σταθμιω A | ημεραν] + φαγεσαι A | εως] pr και A 11 ειν] ιν AQ 12 εγκρυφιαν B^{ab}AQ | εγκρυψεις] κατακρυψεις A 13 Ισραηλ 1°] pr του AQ | ουτω Q^{a} | του Ισραηλ] om του AQ + (sub οι γ' ※) τον αρτον αυτων Q | ακαθαρτον Q | εθνεσιν] + ου διασκορπιω αυτους εκει Q 14 ειπα] ειπον Q | Κυριε] pr κε A | θεε] ο θς Q^{mg} | θνησιμαιον και θηριαλωτον AQ | γενεσεως] pr της A | κρεα Q* (superscr ς Q^{a}) | εωλον] βεβηλον B^{*fort}A$^{a?}$Q 15 ειπεν] + κς A | βολβιτα (λβ sup ras A^{a} prius βλ)] pr α'θ' ※ τα Q^{mg} | βοων] pr ※ των Q^{mg} | ποιησεις] οιησεις A* (superscr π A^{1}) 16 ειπεν] + κς A | om εν 3° A* (hab A^{a}) 17 τακησονται] εντακ. B^{ab}Q | αδικειαις B* (-κιαις B^{b}) V 1 κτηση] κτησαι A

B *πώγωνά σου. καὶ λήμψῃ ζυγὸν σταθμίων καὶ διαστήσεις αὐτούς·*
2τὸ τέταρτον ἐν πυρὶ ἀνακαύσεις ἐν μέσῃ τῇ πόλει κατὰ τὴν πλή- 2
ρωσιν τῶν ἡμερῶν τοῦ συγκλεισμοῦ, καὶ λήμψῃ τὸ τέταρτον καὶ
κατακαύσεις αὐτὸ ἐν μέσῳ αὐτῆς, καὶ τὸ τέταρτον κατακόψεις ἐν
ῥομφαίᾳ κύκλῳ αὐτῆς, καὶ τὸ τέταρτον διασκορπίσεις τῷ πνεύματι,
καὶ μάχαιραν ἐκκενώσω ὀπίσω αὐτῶν. 3καὶ λήμψῃ ἐκεῖθεν ὀλίγους 3
ἐν ἀριθμῷ καὶ συμπεριλήμψει αὐτοὺς τῇ ἀναβολῇ σου. 4καὶ ἐκ 4
τούτων λήμψῃ ἔτι καὶ ῥίψεις αὐτοὺς εἰς μέσον τοῦ πυρός, καὶ κατα-
καύσεις αὐτοὺς ἐν πυρί· ἐξ αὐτῆς ἐξελεύσεται πῦρ. καὶ ἐρεῖς παντὶ
οἴκῳ Ἰσραήλ 5Τάδε λέγει Κύριος Αὕτη ἡ Ἰερουσαλήμ, ἐν μέσῳ τῶν 5
ἐθνῶν τέθεικα αὐτὴν καὶ τὰς κύκλῳ αὐτῆς χώρας. 6καὶ ἐρεῖς τὰ δικαι- 6
ώματά μου τῇ ἀνόμῳ ἐκ τῶν ἐθνῶν, καὶ τὰ νόμιμά μου τῶν χωρῶν τῶν
κύκλῳ αὐτῆς, διότι τὰ δικαιώματά μου ἀπώσαντο, καὶ ἐν τοῖς νομίμοις
μου οὐκ ἐπορεύθησαν ἐν αὐτοῖς. 7διὰ τοῦτο τάδε λέγει Κύριος 7
Ἀνθ' ὧν ἡ ἀφορμὴ ὑμῶν ἐκ τῶν ἐθνῶν τῶν κύκλῳ ὑμῶν, καὶ ἐν
τοῖς νομίμοις μου οὐκ ἐπορεύθητε, καὶ τὰ δικαιώματά μου οὐκ ἐποι-
ήσατε, ἀλλ' οὐδὲ κατὰ τὰ δικαιώματα τῶν ἐθνῶν τῶν κύκλῳ ὑμῶν οὐ
πεποιήκατε, 8διὰ τοῦτο τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ ἐπὶ σέ, καὶ ποιήσω 8
ἐν μέσῳ σου κρίμα ἐνώπιον τῶν ἐθνῶν, 9καὶ ποιήσω ἐν σοὶ ἃ οὐ 9
πεποίηκα καὶ ἃ οὐ ποιήσω ὅμοια αὐτοῖς ἔτι κατὰ πάντα τὰ βδελύγματά
σου. 10διὰ τοῦτο πατέρες φάγονται τέκνα ἐν μέσῳ σου, καὶ τέκνα 10
φάγονται πατέρας· καὶ ποιήσω ἐν σοὶ κρίματα, καὶ διασκορπιῶ
πάντας τοὺς καταλοίπους σου εἰς πάντα ἄνεμον. 11διὰ τοῦτο Ζῶ 11
ἐγώ, λέγει Κύριος, εἰ μὴν ἀνθ' ὧν τὰ ἅγιά μου ἐμίανας ἐν πᾶσιν
τοῖς βδελύγμασίν σου, κἀγὼ ἀπώσομαί σε, οὐ φείσεταί μου ὁ ὀφθαλ-
μός, κἀγὼ οὐκ ἐλεήσω. 12τὸ τέταρτόν σου ἐν θανάτῳ ἀναλωθήσεται, 12
καὶ τὸ τέταρτόν σου ἐν λιμῷ συντελεσθήσεται ἐν μέσῳ σου, καὶ τὸ

AQ 1 *λημψη* (*ληψ.* Q^{a}: item 2, 3, 4)] + *α'θ'* ※ *σεαυτω* Q^{mg} 2 *εν πυρι*] pr *το* A* (improb $A^{a?}$) | *διασκορπιεις* AQ | *εκκενωσω*] *σ' γυμνωσω* Q^{mg} 3 *συνπεριλημψη* A *συμπεριλημψη* Q* (*-ληψη* Q^{a}) | *τη αναβολη σου*] *σ' εν ακρω του ιματιου σου* Q^{mg} 5 *Κυριος*] pr *αδωναι* AQ | *αυτη η*] *τη* B^{ab}A om *η* Q 6 *των χωρων*] pr *εκ* A 7 *Κυριος*] pr *αδωναι* AQ | *ου πεποιηκατε*] *ουκ εποιησατε* A (sed *επ.* improb vid $A^{?mg}$) 8 *Κυριος*] pr *αδωναι* AQ | *μεσου* B* (*μεσω σου* B^{ab}) | *κριμα*] *κριματα* Q 9 *ου πεποιηκα*] *ουκ εποιησα* A | om *α* 2° AQ | *ου* 2°] + *μη* A 10 *πατερας*] *πρ̄ες* A 11 *Κυριος*] pr *αδωναι* AQ | *μην*] *μη* AQ | *εμιανας*] + *εν πασι* (*-σιν* Q*) *τοις προσοχθισμασιν* (*-σι* Q^{a}) *σου και* A et (sub *θ'* ※) Q | *πασι τ. βδελυγμασι* Q^{a} | *καγω* 1°] *και εγω* A | *ου*] pr *και* A | *καγω* 2°] *και εγω* AQ | *ελεησω*] + *σε* A 12 *σου* 3°] + (sub *α'* ※) *και το τεταρτον σου πεσουνται εν ρομφαια κυκλω σου* Q

τέταρτόν σου εἰς πάντα ἄνεμον σκορπιῶ αὐτούς, καὶ τὸ τέταρτόν σου B
ἐν ῥομφαίᾳ πεσοῦνται κύκλῳ σου, καὶ μάχαιραν ἐκκενώσω ὀπίσω
13 αὐτῶν. [13] καὶ συντελεσθήσεται ὁ θυμός μου καὶ ἡ ὀργή μου
ἐπ' αὐτούς, καὶ ἐπιγνώσῃ διότι ἐγὼ Κύριος λελάληκα ἐν ζήλῳ μου,
14 ἐν τῷ συντελέσαι με τὴν ὀργήν μου ἐπ' αὐτούς. [14] καὶ θήσομαί σε
εἰς ἔρημον καὶ τὰς θυγατέρας σου κύκλῳ σου ἐνώπιον παντὸς διο-
15 δεύοντος, [15] καὶ ἔσῃ στενακτὴ καὶ δηλαιστὴ ἐν τοῖς ἔθνεσιν τοῖς κύκλῳ
σου, ἐν τῷ ποιῆσαί με ἐν σοὶ κρίματα ἐν ἐκδικήσει θυμοῦ μου· ἐγὼ
16 Κύριος λελάληκα· [16] καὶ ἐν τῷ ἐξαποστεῖλαί με τὰς βολίδας μου τοῦ
λιμοῦ ἐπ' αὐτούς, καὶ ἔσονται εἰς ἔκλειψιν, καὶ συντρίψω στήριγμα
17 ἄρτου σου. [17] καὶ ἐξαποστελῶ ἐπὶ σὲ λιμὸν καὶ θηρία πονηρὰ καὶ
τιμωρήσομαί σε, καὶ θάνατος καὶ αἷμα διελεύσονται ἐπὶ σέ, καὶ
ῥομφαίαν ἐπάξω ἐπὶ σὲ κυκλόθεν· ἐγὼ Κύριος λελάληκα.

VI 1 2 [1] Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2] Υἱὲ ἀνθρώπου, στή-
ρισον τὸ πρόσωπόν σου ἐπὶ τὰ ὄρη Ἰσραὴλ καὶ προφήτευσον
3 ἐπ' αὐτά, [3] καὶ ἐρεῖς Τὰ ὄρη Ἰσραήλ, ἀκούσατε λόγον Κυρίου Τάδε § Γ
λέγει Κύριος τοῖς ὄρεσιν καὶ τοῖς βουνοῖς καὶ ταῖς φάραγξιν καὶ
ταῖς νάπαις Ἰδοὺ ἐπάγω ἐφ' ὑμᾶς ῥομφαίαν, καὶ ἐξολοθρευθήσεται
4 τὰ ὑψηλὰ ὑμῶν, [4] καὶ συντριβήσονται τὰ θυσιαστήρια ὑμῶν καὶ τὰ
τεμένη ὑμῶν, καὶ καταβαλῶ τραυματίας ὑμῶν ἐνώπιον τῶν εἰδώλων
5 ὑμῶν, [5] καὶ διασκορπιῶ τὰ ὀστᾶ ὑμῶν κύκλῳ τῶν θυσιαστηρίων
6 ὑμῶν. [6] ἐν πάσῃ τῇ κατοικίᾳ ὑμῶν αἱ πόλεις ἐξερημωθήσονται καὶ
τὰ ὑψηλὰ ἀφανισθήσεται, ὅπως ἐξολεθρευθῇ τὰ θυσιαστήρια ὑμῶν

12 τεταρτον 3°] τεταρον B* (τεταρτ. B^{ab}) | σκορπιω] διασπερω A | om και AQΓ
το τεταρτον σου εν ρομφ. πεσ. κυκλω σου Q **13** μου 2°] μοι B* vid om Q |
αυτους 1°] + (sub θ' ※) και παρακληθησομαι Q | ζηλω] pr τω A **14** ερημον]
+ (sub θ' ※) και εις ονειδος εν τοις εθνεσιν (-σι Q^{a}) τοις κυκλω σου Q | ενω-
πιον] pr ων A* vid (ras A?) **15** δηλαιστη] δηλαιαστη B$^{b? c? mg}$ δηλαια A
δειλαιστη Q* δειλαια Q^{a} + (sub θ' ※) πεδια (παιδεια Q^{a}) και αφανισμος Q |
εθνεσι Q^{a} | κριματα] + εν οργη και εν θυμω και A + (sub σ' ※) εν οργη και
θυμω Q | om μου Q | λελαληκα (λελα|λαληκα B* λελαληκ. B^{b})] ελαλησα Q
16 om και 1° AQ | λιμου] θυμου A + (sub ※) τας πονηρας Q | εκλειψιν] + (sub
θ' ※) αποστελω αυτα (-τας Q^{a}) διαφθειραι υμας και λιμον συναξω εφ υμας Q
17 λελαληκα] ελαλησα Q VI **3** Κυριου] pr αδωναι A^{a}QΓ | Κυριος] pr
αδωναι AQΓ | ορεσιν] ras aliq in ο et post ρ B? ορεσι AQ | ταις φαραγξιν και
ταις ναπαις] ταις ναπαις και ταις φαραγξιν (-ξι A^{a}) A^{a} (sup ras) Q | ιδου]
+ εγω AQΓ (ε[γω]) | εξολεθρευθησεται AQ **4** συντριβησονται τα θυσι-
αστηρια υμων και] αφανισθησεται τα θυσιαστηρια υμω̄| και συντριβησεται (sub
α'θ' ※) Q | κατα|ταβαλω Γ | τραυματιᾱ! Γ **5** και διασκορπιω] pr και
δωσω τα πτωματα των υιων Ι̅η̅λ κατα προσωπον των ειδωλων αυτων AΓ et
(sub θ' ※) Q **6** αφανισθησονται AQΓ | εξολεθρευθη (εξολοθρ. B^{b})]
εξολεθρευθηση Q (rescr ση Q^{a}) + (sub θ' ※) και πλημμελησουσιν Q

B καὶ συντριβήσονται τὰ εἴδωλα ὑμῶν καὶ ἐξαρθῇ τὰ τεμένη ὑμῶν,
[7]καὶ πεσοῦνται τραυματίαι ἐν μέσῳ ὑμῶν, καὶ ἐπιγνώσεσθε ὅτι ἐγὼ 7
Κύριος. [8]ἐν τῷ γενέσθαι ἐξ ὑμῶν ἀνασῳζομένους ἐκ ῥομφαίας ἐν 8
τοῖς ἔθνεσιν, καὶ ἐν τῷ διασκορπισμῷ ὑμῶν ἐν ταῖς χώραις, [9]καὶ 9
μνησθήσονταί μου οἱ ἀνασῳζόμενοι ἐξ ὑμῶν ἐν τοῖς ἔθνεσιν οὗ
ᾐχμαλωτεύθησαν ἐκεῖ· ὀμώμοκα τῇ καρδίᾳ αὐτῶν τῇ ἐκπορνευούσῃ
ἀπ' ἐμοῦ καὶ τοῖς ὀφθαλμοῖς αὐτῶν τοῖς πορνεύουσιν ὀπίσω τῶν
ἐπιτηδευμάτων αὐτῶν, καὶ κόψονται πρόσωπα αὐτῶν ἐν πᾶσι
τοῖς βδελύγμασιν αὐτῶν· [10]καὶ ἐπιγνώσονται διότι ἐγὼ Κύριος 10
λελάληκα. [11]Τάδε λέγει Κύριος Κρότησον τῇ χειρὶ καὶ ψό- 11
φησον τῷ ποδὶ καὶ εἰπόν Εὖγε εὖγε, ἐπὶ πᾶσιν τοῖς βδελύγμασιν
οἴκου Ἰσραήλ· ἐν ῥομφαίᾳ καὶ ἐν θανάτῳ καὶ ἐν λιμῷ πεσοῦνται.
[12]ὁ ἐγγὺς ἐν ῥομφαίᾳ πεσεῖται, ὁ δὲ μακρὰν ἐν θανάτῳ τελευτήσει, 12
καὶ ὁ περιεχόμενος ἐν λιμῷ συντελεσθήσεται, καὶ συντελέσω τὴν
ὀργήν μου ἐπ' αὐτούς. [13]καὶ γνώσεσθε διότι ἐγὼ Κύριος, ἐν τῷ 13
εἶναι τοὺς τραυματίας ὑμῶν ἐν μέσῳ τῶν εἰδώλων ὑμῶν κύκλῳ τῶν
θυσιαστηρίων ὑμῶν ἐπὶ πάντα βουνὸν ὑψηλὸν καὶ ὑποκάτω δένδρου
¶ Γ συσκίου,¶ οὗ ἔδωκαν ἐκεῖ ὀσμὴν εὐωδίας πᾶσι τοῖς εἰδώλοις αὐτῶν.
[14]καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπ' αὐτούς, καὶ θήσομαι τὴν γῆν εἰς 14
ἀφανισμὸν καὶ εἰς ὄλεθρον ἀπὸ τῆς ἐρήμου Δεβλάθα ἐκ πάσης τῆς
κατοικεσίας· καὶ ἐπιγνώσεσθε ὅτι ἐγὼ Κύριος.

[1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Καὶ σύ, υἱὲ ἀνθρώ- 1 2 VII
που, εἰπόν Τάδε λέγει Κύριος τῇ γῇ τοῦ Ἰσραήλ Πέρας ἥκει, τὸ

AQΓ 6 συντριβησονται] συντριβησεται Q* (-σονται Q^{a}) + (sub θ' ※) και καταπαυσουσιν Q | εξαρθη] εξαρθησεται A | υμων 4°] + και εξαλιφθωσιν (-λειφθ. Q de Γ non liq) τα εργα υμων AΓ et (sub θ' ※) Q 7 εν μεσω] εν μεσ sup ras B^{ab} 8 εν 1°] pr και υπολειψομαι A et (sub θ' ※) Q | εθνεσι Q^{a} | εν τω διασκ.] om εν τω Q* (hab Q^{mg}) 9 ομωμοκα (-μεχα A)] pr οτι QΓ | τη εκπορνευουση] + (sub θ' ※) τη αποσταση Q | απ εμου] + τη αποστασῃ απ εμου (απ εμου τη αποστα sup ras et in mg A^{a}) A | προσωπα] pr τα A | αυτων 4°] + περι των κακιων (κακων Γ) ων εποιησαν AQΓ | πασιν AQ* | αυτων 5°] + και εν πασιν τοις επιτηδευμασιν αυτων $AΓ^{vid}$ 10 διοτι] οτι A | Κυριος] + ουκ εις δωρεαν AΓ et (sub θ' ※) Q | λελαληκα] + του ποιησαι αυτοις απαντα τα κακα ταυτα AΓ et (sub θ' ※) Q 11 Κυριος] pr αδωναι AQ | ευγε ευγε] ευγε Q* αι αι Q^{mg} | πασι A | βδελυγμασιν (βελ. B* βδελ. $B^{a?b?}$ -σι Q^{a})] + (sub θ' ※) κακιων Q | εν λιμω κ. εν θανατω Q 12 ο εγγυς εν ρ. τελευτησει ο δε μακραν εν θ. τελ. A ο μακραν εν θ. τελ. ο δε εγγυς εν ρ. πεσειται QΓ | και 1°] pr και ο υπολειφθεις A (-λιφθ.) et (sub θ' ※) Q + υποληφθεισεται (sic) Γ 13 διοτι] οτι Γ | υψηλον] + και εν πασαις κορυφαις των ορεων AΓ et (sub θ' ※) Q | και υποκατω δενδρου συσκιου sub ※ θ' Q | συσκιου] σ' ευθαλες (sic) Q^{mg} + και υποκατω πασης δρυος δασιας (-σειας Q^{a}) A et (sub α'σ'θ' ※) Q | πασιν A 14 κατοικεσιας] κατοικιας A κατοικιας αυτων Q VII 2 Κυριος] pr αδωναι AQ | του Ισραηλ] om του Q

(6) 3 πέρας ἥκει ἐπὶ τὰς τέσσαρας πτέρυγας τῆς γῆς· [3]ἥκει τὸ πέρας B
(7) 4 [4]ἐπὶ σὲ τὸν κατοικοῦντα τὴν γῆν, ἥκει ὁ καιρός, ἤγγικεν ἡ ἡμέρα,
(8) 5 οὐ μετὰ θορύβων οὐδὲ μετὰ ὠδίνων. [5]νῦν ἐγγύθεν ἐκχεῶ τὴν ὀργήν
μου ἐπὶ σέ, καὶ συντελέσω τὸν θυμόν μου ἐν σοί, καὶ κρινῶ σε ἐν
(9) 6 ταῖς ὁδοῖς σου, καὶ δώσω ἐπὶ σὲ πάντα τὰ βδελύγματά σου· [6]οὐ
φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω· διότι τὰς ὁδούς σου ἐπὶ
σὲ δώσω, καὶ τὰ βδελύγματά σου ἐν μέσῳ σου ἔσονται, καὶ ἐπι-
(3) 7 γνώσῃ διότι ἐγώ εἰμι Κύριος ὁ τύπτων. [7]νῦν τὸ πέρας πρὸς σέ,
καὶ ἀποστελῶ ἐγὼ ἐπὶ σὲ καὶ ἐκδικήσω ἐν ταῖς ὁδοῖς σου, καὶ
(4) 8 δώσω ἐπὶ σὲ πάντα τὰ βδελύγματά σου· [8]οὐ φείσεται ὁ ὀφθαλ-
μός μου, οὐδὲ μὴ ἐλεήσω· διότι τὴν ὁδόν σου ἐπὶ σὲ δώσω, καὶ
τὰ βδελύγματά σου ἐν μέσῳ σου ἔσται, καὶ ἐπιγνώσῃ διότι ἐγὼ
(5) 9 10 Κύριος. [9]Διότι τάδε λέγει Κύριος [10]Ἰδοὺ τὸ πέρας ἥκει, ἰδοὺ
ἡ ἡμέρα Κυρίου· εἰ καὶ ἡ ῥάβδος ἤνθηκεν, ἡ ὕβρις ἐξανέστηκεν.
11 [11]καὶ συντρίψει στήριγμα ἀνόμου, καὶ οὐ μετὰ θορύβου οὐδὲ μετὰ
12 σπουδῆς. [12]ἥκει ὁ καιρός, ἰδοὺ ἡ ἡμέρα· ὁ κτώμενος μὴ χαιρέτω,
13 καὶ ὁ πωλῶν μὴ θρηνείτω· [13]διότι ὁ κτώμενος πρὸς τὸν πωλοῦντα
οὐκέτι μὴ ἐπιστρέψῃ, καὶ ἄνθρωπος ἐν ὀφθαλμῷ ζωῆς αὐτοῦ οὐ
14 κρατήσει. [14]Σαλπίσατε ἐν σάλπιγγι καὶ κρίνατε τὰ σύμπαντα.
15 [15]ὁ πόλεμος ἐν ῥομφαίᾳ ἔξωθεν, καὶ ὁ λιμὸς καὶ ὁ θάνατος ἔσωθεν·
ὁ ἐν τῷ πεδίῳ ἐν ῥομφαίᾳ τελευτήσει, τοὺς δ᾽ ἐν τῇ πόλει λιμὸς
16 καὶ θάνατος συντελέσει. [16]καὶ ἀνασωθήσονται οἱ ἀνασῳζόμενοι ἐξ
αὐτῶν καὶ ἔσονται ἐπὶ τῶν ὀρέων· πάντας ἀποκτενῶ, ἕκαστον ἐν

3—9 = 7, 8, 9, 3, 4, 5, 6 in AQ : **4—5** sup ras circ 250 litt A^{a} **4** *μετα* 2°] *μετ* A^{a}Q **6** *οδος* Q* (*οδους* Q^{a}) | *τυπτων*] + *ταδε λεγει αδωναι κς* Q^{mg} **7** *εκδικησω*] + *σε* AQ **8** *μου*] + *επι σε* AQ | *επιγνωση*] *γνωση* AQ | *διοτι* 2°] *οτι* AQ | *εγω* Κυριος sup ras pl litt A^{a} **9** Κυριος] pr *αδωναι* Q + (sub θ′ ※) *κακια μια κακια ιδου παρεστιν* (-*στι* Q^{a}) *το περας ηκει ηκει το περας εξηγερθη προς σε ιδου ηκει η πλοκη* (*οι* ο′ *το περας* Q^{mg}) Q **10** *ιδου* 1°...Κυριου] *ιδου ημερα* (*ερα* sup ras A^{1}) *κυ ιδου το περας ηκει εξηλθεν η πλοκη* A *ιδου η ημερα κυει· ιδου το περας ηκει* (θ′ ※) *εξηλθεν η πλοκη* Q | *ει και η ραβδος ηνθηκεν*] *και ηνθηκεν η ραβδος* A *κ. ηνθησεν η ρ.* Q | *εξανεστηκεν η υβρις* AQ **11** *θορυβων* A | *σπουδης*] + *και ουκ εξ αυτων εισιν* (+ *οτι* Q^{mg}) *ουδε* (*ουτε* Q) *ωραισμος εν αυτοις* A et (sub θ′ ※) Q **12** *η ημερα*] om *η* Q | *θρηνειτω*] + *οτι οργη εις παν το πληθος αυτης* A et (sub θ′ ※) Q **13** *μη*] pr *ου* AQ | *επιστρεψη*] + *και ετι* (*ουκετι* Q^{mg}) *εν ζωη* (*ζοη* A*) *το ζην αυτων οτι ορασις εις παν το πληθος αυτης ουκ ανακαμψει* A et (sub ※) Q | *ζωης* sup ras B^{ab} **14** om *εν* Q | om *και* A | *συμπαντα*] + *και ουκ εστιν* (-*στι* Q^{a}) *πορευομενος εις τον πολεμον οτι η οργη μου εις παν το πληθος αυτης* A et (sub θ′ ※) Q **15** *ο εν τω πεδιω*] *οι εν τω π.* A | *τελευτησουσι* A | *δ*] *δε* AQ **16** *ορεων*] + *ως περιστεραι μελετητι και* A et (sub θ′ ※) Q

B ταῖς ἀδικίαις αὐτοῦ. 17 πᾶσαι χεῖρες ἐκλυθήσονται, καὶ πάντες μη- 17
ροὶ μολυνθήσονται ὑγρασίας, 18 καὶ περιζώσονται σάκκους, καὶ κα- 18
λύψει αὐτοὺς θάμβος· καὶ ἐπὶ πᾶν πρόσωπον αἰσχύνη ἐπ᾽ αὐτούς,
καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα. 19 τὸ ἀργύριον αὐτῶν ῥιφή- 19
σεται ἐν ταῖς πλατείαις, καὶ τὸ χρυσίον αὐτῶν ὑπεροφθήσεται· αἱ
ψυχαὶ αὐτῶν οὐ μὴ ἐμπλησθῶσιν, καὶ αἱ κοιλίαι αὐτῶν οὐ μὴ πλη-
ρωθῶσιν· διότι βάσανος τῶν ἀδικιῶν .αὐτῶν ἐγένετο. 20 ἐκλεκτὰ 20
κόσμου εἰς ὑπερηφανίαν ἔθεντο αὐτά, καὶ εἰκόνας τῶν βδελυγμάτων
αὐτῶν ἐποίησαν ἐξ αὐτῶν· ἕνεκεν τούτου δέδωκα αὐτὰ αὐτοῖς εἰς
ἀκαθαρσίαν. 21 καὶ παραδώσω αὐτὰ εἰς χεῖρας ἀλλοτρίων τοῦ διαρ- 21
πάσαι αὐτά, καὶ τοῖς λοιμοῖς τῆς γῆς εἰς σκῦλα, καὶ βεβηλώσουσιν
αὐτά. 22 καὶ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ᾽ αὐτῶν, καὶ μιανοῦσιν 22
τὴν ἐπισκοπήν μου, καὶ εἰσελεύσονται εἰς αὐτὰ ἀφυλάκτως καὶ βεβη-
λώσουσιν αὐτά, 23 καὶ ποιήσουσι φυρμόν, διότι ἡ γῆ πλήρης λαῶν, 23
καὶ ἡ πόλις πλήρης ἀνομίας. 24 καὶ ἀποστρέψω τὸ φρύαγμα τῆς 24
ἰσχύος αὐτῶν, καὶ μιανθήσεται τὰ ἅγια αὐτῶν. 25 ἐξιλασμὸς ἥξει 25
καὶ ζητήσει εἰρήνην, καὶ οὐκ ἔσται. 26 οὐαὶ ἐπὶ οὐαὶ ἔσται, καὶ ἀγ- 26
γελία ἐπ᾽ ἀγγελίαν ἔσται, καὶ ζητηθήσεται ὅρασις ἐκ προφήτου, καὶ
νόμος ἀπολεῖται ἐξ ἱερέως καὶ βουλὴ ἐκ πρεσβυτέρων. 27 ἄρχων 27
ἐνδύσεται ἀφανισμόν, καὶ αἱ χεῖρες τοῦ λαοῦ τῆς γῆς παραλυθή-
σονται· κατὰ τὰς ὁδοὺς αὐτῶν ποιήσω αὐτοῖς, καὶ ἐν τοῖς κρίμασιν
αὐτῶν ἐκδικήσω αὐτούς, καὶ γνώσονται ὅτι ἐγὼ Κύριος.

1 Καὶ ἐγένετο ἐν τῷ ἕκτῳ ἔτει ἐν τῷ πέμπτῳ μηνὶ πέμπτῃ τοῦ 1 VIII
μηνὸς ἐγὼ ἐκαθήμην ἐν τῷ οἴκῳ, καὶ οἱ πρεσβύτεροι Ἰούδα ἐκά-
θηντο ἐνώπιόν μου. καὶ ἐγένετο ἐπ᾽ ἐμὲ χεὶρ Κυρίου, 2 καὶ ἰδού, 2

AQ **16** αδικειαις B^{*} (-κιαις B^{b}) **17** χαιρες B^{*} (χειρ. B^{ab}) | υγρασια AQ **19** εν ταις πλατειαις ριφησεται Q | πλατιαις A | υπεροφθησεται] + το αργυριον αυτων και το χρυσιον αυτων ου δυνηθησεται (δυνησεται Q) εξελεσθαι αυτους εν ημερα οργης κῡ A et (sub θ′ ※) Q | εμπλησθωσι Q^{a} | πληρωθωσι Q^{a} | αδικειων B^{*} (-κιων B^{b}) | εγενετο] εγενοντο Q^{a} **20** υπερηφανειαν Q^{*} (-νιαν Q^{a}) | αυτων 1°] + (sub θ′ ※) προσοχθισματα αυτων Q **21** διαρπασαι] διαφθειραι A | βεβηλωσουσιν] α′ λαικωσουσιν Q^{mg} **22** μιανουσι Q^{a} | αφυλακτως] απαρατηρητως Q^{c} **23** ποιησουσιν AQ^{*} | φυρμον] φυρ sup ras B^{ab} | λαων] κρισεως αιματω̄ Q **24** και 1°] pr και αξω πονηρους εθνων και κληρονομησουσιν (-σι Q^{a}) τους οικους αυτων A et (sub θ′ ※) Q | και αποστρεψω το φρυαγμα] α′ ϗ καταπαυσω υπερηφανειαν Q^{mg} | της ισχυος αυτων] σ′ ανεντροπω̄ Q^{mg} **25** ζητησεις Q | ειρηνην] pr εις A | εσται] εστιν Q **26** επ αγγελιαν (επι|γελ. B^{*} επ αγ|γ. B^{ab})] επι αγγ. AQ **27** αρχων] pr ο (superscr $Q^{?}$) βασιλευς πενθησει και ο A et (ο β. π. sub θ′ ※) Q | om εν AQ VIII **1** εκτω ετει] ετει τω εκτω Q | ετει . . μηνος] ετει ϛ′ μηνι ε′ ημερα ε′ Q^{mg} | om εγω A | μου] εμου A | εμε] + (sub ※) εκει Q | Κυριου] pr αδωναι AQ

καὶ ἰδοὺ ὁμοίωμα ἀνδρός· ἀπὸ τῆς ὀσφύος αὐτοῦ καὶ ἕως κάτω πῦρ, B
3 καὶ ἀπὸ τῆς ὀσφύος αὐτοῦ ὑπεράνω ὡς ὅρασις ἠλέκτρου. [3]καὶ ἐξέ-
τεινεν ὁμοίωμα χειρὸς καὶ ἀνέλαβέν με τῆς κορυφῆς μου, καὶ ἀνέ-
λαβέν με πνεῦμα ἀνὰ μέσον τῆς γῆς καὶ οὐρανοῦ καὶ ἤγαγέν με
εἰς Ἰερουσαλὴμ ἐν ὁράσει θεοῦ ἐπὶ τὰ πρόθυρα τῆς πύλης τῆς
4 βλεπούσης εἰς βορρᾶν, οὗ ἦν ἡ στήλη τοῦ κτωμένου. [4]καὶ ἰδοὺ
ἐκεῖ ἦν δόξα Κυρίου θεοῦ Ἰσραὴλ κατὰ τὴν ὅρασιν ἣν ἴδον ἐν
5 τῷ πεδίῳ. [5]καὶ εἶπεν πρὸς μέ Υἱὲ ἀνθρώπου, ἀνάβλεψον τοῖς
ὀφθαλμοῖς σου πρὸς βορρᾶν. καὶ ἀνέβλεψα τοῖς ὀφθαλμοῖς μου
πρὸς βορρᾶν, καὶ ἰδοὺ ἀπὸ βορρᾶ ἐπὶ τὴν πύλην τῆς πρὸς ἀνα-
6 τολάς. [6]καὶ εἶπεν πρὸς μέ Υἱὲ ἀνθρώπου, ἑώρακας τί οὗτοι ποι-
οῦσιν; ἀνομίας μεγάλας ποιοῦσιν ὧδε, τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἁγίων
7 μου· καὶ ἔτι ὄψῃ ἀνομίας μείζονας. [7]καὶ εἰσήγαγέν με ἐπὶ τὰ πρό-
8 θυρα τῆς αὐλῆς, [8]καὶ εἶπεν πρὸς μέ Υἱὲ ἀνθρώπου, ὄρυξον. καὶ
9 ὤρυξα, καὶ ἰδοὺ θύρα. [9]καὶ εἶπεν πρὸς μέ Εἴσελθε καὶ ἴδε τὰς
10 ἀνομίας ἃς οὗτοι ποιοῦσιν ὧδε. [10]καὶ εἰσῆλθον καὶ ἴδον, καὶ ἰδοὺ
μάταια βδελύγματα καὶ πάντα τὰ εἴδωλα οἴκου Ἰσραὴλ διαγεγραμ-
11 μένα ἐπ᾽ αὐτοῦ κύκλῳ. [11]καὶ ἑβδομήκοντα ἄνδρες ἐκ τῶν πρεσβυτέ-
ρων οἴκου Ἰσραήλ· Ἰεχονίας ὁ τοῦ Σαφὰν ἐν μέσῳ αὐτῶν ἱστήκει
πρὸ προσώπου αὐτῶν, καὶ ἕκαστος θυμιατήριον αὐτοῦ εἶχεν ἐν τῇ
12 χειρί, καὶ ἡ ἀτμὶς τοῦ θυμιάματος ἀνέβαινεν. [12]καὶ εἶπεν πρὸς μέ

2 ομοιωμα]+(sub σ′ ※) ως ειδος Q | υπερανω] pr τα (improb A$^{a?}$) A* AQ +αυτου B$^{ab\,mg}$ AQ | ορασις]+αυρας ως ιδος A αυρας (φεγγους Q^{mg}) ως ειδος του (sub θ′ ※) Q 3 με 1°]+(sub α′θ′ ※) του κρασπεδου Q +σ′ του μαλλου Q^{mg} | της κορυφης] της κεφαλης Q^{mg} | ανελαβε (2°) Q^{a} | ουρανου] pr αναμεσον του B^{ab} (sup ras et in mg) AQ | πυλης]+της εσωτερας AQ | βλεπουσην ut vid A* | εις 2°] προς AQ | στηλη]+(sub θ′ ※) της εικονος του ζηλους Q 4 δοξα] pr η Q adnot περι χερουβ Q^{mg} | ιδον] ειδον B$^{b?a?}$ 5 προς 2°] προ Q | της (την Q) προς ανατολας] του θυσιαστηριου η εικων του ζηλους τουτου εν τω εισπορευεσθαι σε (ras σε A$^{a?}$) αυτην την βλεπουσαν προς ανατολας A +(sub θ′ ※) του θυσιαστηριου ου η εικων του ζηλ. τ. εν τω εισπορ. αυτη Q 6 εορακας AQ | ποιουσιν 2°] pr ας ο οικος Ιηλ A et (sub α′σ′θ′ ※) Q | απεχεσθαι] αι sup ras B^{ab} | bis scr απο των B* (improb 1° B^{ab}) | οψει B^{b}AQ | ανομιας 2°] αμαρτιας A
7 αυλης] πυλης Q +και ιδον και ιδου οπη μια εν τω τοιχω A et (sub θ′ ※) Q
8 ορυξον]+δη εν τω τοιχω A et (sub α′ ※) Q | ωρυξα]+εν τω τοιχω Q | θυρα]+μια AQ 9 ανομιας]+τας πονηρας A et (sub οι γ′ ※) Q | ωδε] +σημερον A 10 ιδον] ειδον B$^{a?b?}$ | ιδου]+πασα ομοιωσις ερπετου και κτηνους A et (sub θ′ ※) Q | και 4°]+ειδον A | αυτου]+(sub θ′σ′ ※) του τοιχου Q | κυκλω]+κυκλω B$^{ab\,(mg)}$ 11 Ιεχονιας] Ιεζονιας AQ* (Ιεχ. Q^{a}) pr και A | Σαφαν]+(sub α′θ′ ※) ιστηκει (ειστ. Q^{a}) Q | ιστηκει (ειστ. B^{ab})] ιστηκεισαν Q* (improb Q?) | τη χειρι] χειρι αυτου A | ατμις]+(sub θ′ ※) της νεφελης Q

B Ἑόρακας, υἱὲ ἀνθρώπου, ἃ οἱ πρεσβύτεροι τοῦ οἴκου Ἰσραὴλ ποι-
οῦσιν, ἕκαστος αὐτῶν ἐν τῷ κοιτῶνι τῷ κρυπτῷ αὐτῶν; διότι εἶπαν
Οὐχ ὁρᾷ ὁ κύριος, ἐγκαταλέλοιπεν Κύριος τὴν γῆν. 13 καὶ εἶπεν 13
πρὸς μέ Ἔτι ὄψει ἀνομίας μείζονας ἃς οὗτοι ποιοῦσιν. 14 καὶ εἰσ- 14
ήγαγέν με ἐπὶ τὰ πρόθυρα τῆς πύλης οἴκου Κυρίου τῆς βλεπού-
σης πρὸς βορρᾶν, καὶ ἰδοὺ ἐκεῖ γυναῖκες καθήμεναι θρηνοῦσαι τὸν
Θαμμούζ. 15 καὶ εἶπεν πρὸς μέ Υἱὲ ἀνθρώπου, ἑόρακας; καὶ ἔτι ὄψει 15
ἐπιτηδεύματα μείζονα τούτων. 16 καὶ εἰσήγαγέν με εἰς τὴν αὐλὴν 16
οἴκου Κυρίου τὴν ἐσωτέραν, καὶ ἐπὶ τῶν προθύρων τοῦ ναοῦ Κυρίου
ἀνὰ μέσον τῶν αιλὰμ καὶ ἀνὰ μέσον τοῦ θυσιαστηρίου ὡς εἴκοσι
ἄνδρες, τὰ ὀπίσθια αὐτῶν πρὸς τὸν ναὸν τοῦ κυρίου καὶ τὰ πρόσ-
ωπα αὐτῶν ἀπέναντι, καὶ οὗτοι προσκυνοῦσιν τῷ ἡλίῳ. 17 καὶ εἶπεν 17
πρὸς μέ Ἑόρακας, υἱὲ ἀνθρώπου; μὴ μικρὰ τῷ οἴκῳ Ἰούδα τοῦ ποιεῖν
τὰς ἀνομίας ἃς πεποιήκασιν ὧδε; διότι ἔπλησαν τὴν γῆν ἀνομίας,
καὶ ἰδοὺ αὐτοὶ ὡς μυκτηρίζοντες. 18 καὶ ἐγὼ ποιήσω αὐτοῖς μετὰ 18
θυμοῦ· οὐ φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω. 1 Καὶ 1 IX
ἀνέκραγεν εἰς τὰ ὦτά μου φωνῇ μεγάλῃ λέγων Ἤγγικεν ἡ ἐκδί-
κησις τῆς πόλεως· καὶ ἕκαστος εἶχεν τὰ σκεύη τῆς ἐξολεθρεύσεως
ἐν χειρὶ αὐτοῦ. 2 καὶ ἰδοὺ ἓξ ἄνδρες ἤρχοντο ἀπὸ τῆς ὁδοῦ τῆς 2
πύλης τῆς ὑψηλῆς τῆς βλεπούσης πρὸς βορρᾶν, καὶ ἑκάστου πέλυξ
ἐν τῇ χειρὶ αὐτοῦ· καὶ εἷς ἀνὴρ ἐν μέσῳ αὐτῶν ἐνδεδυκὼς ποδήρη,
καὶ ζώνη σαπφείρου ἐπὶ τῆς ὀσφύος αὐτοῦ· καὶ εἰσήλθοσαν καὶ ἔστη-
σαν ἐχόμενοι τοῦ θυσιαστηρίου τοῦ χαλκοῦ. 3 καὶ δόξα θεοῦ τοῦ 3

AQ 12 εορακας (εωρ. B^{b}) υιε ανθρωπου] υιε ανου εωρακας A | του οικου] om του A | ποιουσιν] + ωδε A + (sub οι γ′ ※) εν τω σκοτει Q^{mg} | ουχ ορα ο κυριος εγκαταλελοιπεν Κυριος] εγκαταλελοιπεν κς ουκ εφορα ο κς A | κυριος 1°] + α′σ′ ※ ημας Q^{mg} 13 ετι] + α′θ′ ※ επιστρεψας Q^{mg} | οψη AQ: item 15 14 γυναικες εκει Q | τον Θαμμουζ] τον Αδωνι Q^{mg} 15 εορακας υιε ανου Q | εορακας (εωρ. B^{b}A: item 17)] + μη μικρα τω οικω Ιουδα του ποιειν τας ανομιας ας πεποιηκαν αυτοι ωδε A | ετι] + α′θ′ επιστρεψας Q^{mg} 16 και 2°] + ιδου A | του ναου] om του A | αιλαμ (ελ. Q)] σ′ προπυλου Q^{mg} | εικοσι] + και πεντε AQ | αυτων 1°] + δεδωκοτες A | του κυριου] om του A | προσκυνουσιν] προσεκυνουν A + κατ ανατολας A et (sub θ′ ※) Q 17 Ιουδα] Ιηλ A | επλανησαν B^{*} (επλησαν B^{ab}) | ανομιας 2°] + και επεστρεψαν (+ του Q) παροργισαι με A et (sub θ′ ※) Q | αυτοι] + εκτεινουσιν (εκτιν. A) το κλημα A et (sub ※) Q (pro ιδου...κλημα leg σ′ ϗ ως αφιεντες εισω ηχον ως ασμα Q^{mg}) | ως μυκτηριζοντες] α′ προς μυκτηρα αυτων θ′ εις τον μυκτηρα αυτω| σ′ δια των μυκτηρων αυτων Q^{mg} 18 ελεησω] + και καλεσουσιν εν τοις ωσιν μου (+ φωνη μεγαλη Q) και ου μη εισακουσω αυτων A et (sub θ′ ※) Q IX 1 εκαστος] αυτος A | εξολοθρευσεως B^{ab} 2 πυλης] πολεως Q^{*} (πυλ. Q^{a}) | ανηρ εις Q | ζωνην AQ | εχομενα A 3 του Ισραηλ] om του A

Ἰσραὴλ ἀνέβη ἀπὸ τῶν χερουβείν, ἡ οὖσα ἐπ᾽ αὐτῶν, εἰς τὸ αἴθριον B
τοῦ οἴκου. καὶ ἐκάλεσεν τὸν ἄνδρα τὸν ἐνδεδυκότα τὸν ποδήρη,
4 ὃς εἶχεν ἐπὶ τῆς ὀσφύος αὐτοῦ ζώνην, [4]καὶ εἶπεν πρὸς αὐτόν
Δίελθε μέσην Ἰερουσαλήμ, καὶ δὸς σημεῖον ἐπὶ τὰ μέτωπα τῶν
ἀνδρῶν τῶν καταστεναζόντων καὶ τῶν κατωδυνωμένων ἐπὶ πάσαις
5 ταῖς ἀνομίαις ταῖς γινομέναις ἐν μέσῳ αὐτῶν. [5]καὶ τούτοις εἶπεν
ἀκούοντός μου Πορεύεσθε ὀπίσω αὐτοῦ εἰς τὴν πόλιν, καὶ κόπτετε
6 καὶ μὴ φείδεσθε τοῖς ὀφθαλμοῖς ὑμῶν, καὶ μὴ ἐλεήσητε· [6]πρεσβύτε-
ρον καὶ νεανίσκον καὶ παρθένον καὶ νήπια καὶ γυναῖκας ἀποκτείνατε
εἰς ἐξάλειψιν, ἐπὶ δὲ πάντας ἐφ᾽ οὕς ἐστιν τὸ σημεῖον μὴ ἐγγίσητε·
ἀπὸ τῶν ἁγίων μου ἄρξασθε. καὶ ἤρξαντο ἀπὸ τῶν ἀνδρῶν τῶν
7 πρεσβυτέρων οἳ ἦσαν ἔσω ἐν τῷ οἴκῳ. [7]καὶ εἶπεν πρὸς αὐτούς
Μιάνατε τὸν οἶκον, καὶ πλήσατε τὰς ὁδοὺς νεκρῶν ἐκπορευόμενοι,
8 καὶ κόπτετε. [8]καὶ ἐγένετο ἐν τῷ κόπτειν αὐτοὺς καὶ πίπτω ἐπὶ
πρόσωπόν μου, καὶ ἀνεβόησα καὶ εἶπα Οἴμοι, Κύριε, ἐξαλείφεις σὺ
τοὺς καταλοίπους τοῦ Ἰσραὴλ ἐν τῷ ἐκχέαι σε τὸν θυμόν σου ἐπὶ
9 Ἰερουσαλήμ; [9]καὶ εἶπεν πρός μέ Ἀδικία τοῦ οἴκου Ἰσραὴλ καὶ
Ἰούδα μεμεγάλυνται σφόδρα σφόδρα, ὅτι ἐπλήσθη ἡ γῆ λαῶν πολ-
λῶν, καὶ ἡ πόλις ἐπλήσθη ἀδικίας καὶ ἀκαθαρσίας· ὅτι εἶπαν Ἐν-
10 καταλέλοιπεν Κύριος τὴν γῆν, οὐκ ἐφορᾷ ὁ κύριος. [10]καὶ οὐ φείσε-
ταί μου ὁ ὀφθαλμὸς οὐδὲ μὴ ἐλεήσω, τὰς ὁδοὺς αὐτῶν εἰς κεφαλὰς
11 αὐτῶν δέδωκα. [11]καὶ ἰδοὺ ὁ ἀνὴρ ὁ ἐνδεδυκὼς τὸν ποδήρη καὶ ἐζω-
σμένος τῇ ζώνῃ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀπεκρίνατο λέγων Πεποίηκα
καθὼς ἐνετείλω μοι.

X 1 [1]Καὶ ἴδον, καὶ ἰδοὺ ἐπάνω τοῦ στερεώματος τοῦ ὑπὲρ κεφαλῆς
2 τῶν χερουβεὶμ ὡς λίθος σαπφείρου ὁμοίωμα θρόνου ἐπ᾽ αὐτῶν. [2]καὶ

3 απο των χερουβειν] επι των χ. A απο του χερουβ Q* (α. των χερουβειν AQ Q^mg) | αυτων] αυτω Q | ζωνην] pr την B^ab AQ 4 ειπεν] + κ̅ς̅ AQ | μεσην] + (sub ※) την πολιν μεσην Q | Ιερουσαλημ] pr την A | σημειον] pr το AQ | μετωπα των] μετωπων Q* | κατοδυνωμενων Q | αυτων] αυτης A 5 εις την πολιν οπισω αυτου Q | φειδεσθε] φεισησθε A 6 εφ ους εστιν το σημειον] α΄ εφ ον επ αυτω το θαυ θ΄ εφ ον το θαυ Q^mg | απο 1°] pr και AQ | om των ανδρων A | των πρεσβυτερων sub ※ Q 7 πλησατε] πληρωσατε A | κοπτετε] + (sub ※) και παταξατε την πολιν Q + (post πολιν) ※ ϛ εξελθοντες ετυπτον τη̄| πολιν Q^mg 8 αυτους] + (sub ※) υπελειφθην εγω Q | Κυριε] pr αδωναι AQ | εν τω εκχεαι] εν τε εκχ. B* (εν τω εκχ. B^ab) | om σε A 9 εγκαταλελοιπεν B^b(vid) AQ | Κυριος 1°] pr ο A | om ουκ εφορα ο κυριος A 10 om και A | ου φεισεται] pr εγω ειτα εγω ειμι A | ο οφθαλμος μου AQ 11 εζωσμενος] περιεζωσμενος A | απεκρινατο] + λογον AQ | καθως] καθα A X 1 χερουβειν B^b Q | ομοιωμα θρονου επ αυτων (αυτω A)] ως ορασις ομοιωμα θρονου ωφθη επ αυτων Q

B εἶπεν πρὸς τὸν ἄνδρα τὸν ἐνδεδυκότα τὴν στολήν Εἴσελθε εἰς τὸ μέσον
τῶν τροχῶν τῶν ὑποκάτω τῶν χερουβείν, καὶ πλῆσον τὰς δράκας σου
ἀνθράκων πυρὸς ἐκ μέσου τῶν χερουβεὶν καὶ διασκόρπισον ἐπὶ τὴν
πόλιν. καὶ εἰσῆλθεν ἐνώπιόν μου. [3]καὶ τὰ χερουβεὶν ἱστήκει ἐκ δε- 3
ξιῶν τοῦ οἴκου ἐν τῷ εἰσπορεύεσθαι τὸν ἄνδρα, καὶ ἡ νεφέλη ἔπλη-
σεν τὴν αὐλὴν τὴν ἐσωτέραν. [4]καὶ ἀπῆρεν ἡ δόξα Κυρίου ἀπὸ τῶν 4
χερουβεὶν εἰς τὸ αἴθριον τοῦ οἴκου, καὶ ἐνέπλησεν τὸν οἶκον ἡ νεφέλη,
καὶ ἡ αὐλὴ ἐπλήσθη τοῦ φέγγους τῆς δόξης Κυρίου. [5]καὶ φωνὴ τῶν 5
πτερύγων τῶν χερουβεὶν ἠκούετο ἕως τῆς αὐλῆς τῆς ἐξωτέρας ὡς
φωνὴ θεοῦ Σαδδαὶ λαλοῦντος. [6]καὶ ἐγένετο ἐν τῷ ἐντέλλεσθαι αὐτὸν 6
τῷ ἀνδρὶ τῷ ἐνδεδυκότι τὴν στολὴν τὴν ἁγίαν λέγων Λάβε πῦρ ἐκ
μέσου τῶν τροχῶν ἐκ μέσου τῶν χερουβείν, καὶ εἰσῆλθεν καὶ ἔστη
ἐχόμενος τῶν τροχῶν. [7]καὶ ἐξέτεινεν τὴν χεῖρα αὐτοῦ εἰς μέσον 7
τοῦ πυρὸς τοῦ ὄντος ἐν μέσῳ τῶν χερουβείν, καὶ ἔλαβεν καὶ ἔδωκεν
εἰς τὰς χεῖρας τοῦ ἐνδεδυκότος τὴν στολὴν τὴν ἁγίαν, καὶ ἔλαβεν
καὶ ἐξῆλθεν. [8]καὶ ἴδον τὰ χερουβείν, ὁμοίωμα χειρῶν ἀνθρώπων 8
ὑποκάτωθεν τῶν πτερύγων αὐτῶν. [9]καὶ ἴδον, καὶ ἰδοὺ τροχοὶ τέσ- 9
σαρες ἱστήκεισαν ἐχόμενοι τῶν χερουβείν, τροχὸς εἷς ἐχόμενος χεροὺβ
ἑνός, καὶ ὄψις τῶν τροχῶν ὡς ὄψις λίθου ἄνθρακος. [10]καὶ ἡ ὄψις 10
αὐτῶν ὁμοίωμα ἓν τοῖς τέσσαρσιν, ὃν τρόπον ὅταν ᾖ τροχὸς ἐν μέσῳ
τροχοῦ· [11]ἐν τῷ πορεύεσθαι αὐτὰ εἰς τὰ τέσσερα μέρη αὐτῶν ἐπορεύ- 11
οντο, οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτά· ὅτι εἰς ὃν ἂν τόπον
ἐπέβλεψεν ἡ ἀρχὴ ἡ μία ἐπορεύοντο, καὶ οὐκ ἐπέστρεφον ἐν τῷ
πορεύεσθαι αὐτά. [12]καὶ οἱ νῶτοι αὐτῶν καὶ αἱ χεῖρες αὐτῶν καὶ αἱ 12
πτέρυγες αὐτῶν καὶ οἱ τροχοὶ πλήρεις ὀφθαλμῶν κυκλόθεν τοῖς
τέσσαρσιν τροχοῖς. [13]τοῖς δὲ τροχοῖς τούτοις ἐπεκλήθη Γελγὲλ ἀκού- 13

AQ **2** εισελθε] pr και ειπεν Q | των υποκατω] και υπ. $Q^{mg\,vid}$ | χερουβειμ (1°) AQ: item 6 | δρακας] χειρας A | χερουβειμ (2°) Q: item 3, 5, 7, 8, 9 | μου] εμου A **3** ιστηκει $B^{*a}AQ^{*}$ (ειστ. $B^{1,b}Q^{a}$) **4** των χερουβειν] του χερουβ Q | ενεπλησεν] επλησεν $B^{ab}AQ$ **6** om εκ μεσου των τροχων Q^{*} (hab $Q^{1(vid)mg}$) **7** εξετεινεν] + ο χερουβ AQ | αυτου] + (sub θ′ ※) εκ των αναμεσον των χερουβειμ Q **8** ιδον] ιδου A^{*} (ου improb vid $A^{?}$) | ανθρωπων] ανου (sic) Q^{mg} **9** τεσσαρες τροχοι Q | ειστηκεισαν $B^{ab}Q^{a}$: item 17 | χερουβ] pr του A | ενος] pr του A + και τροχος εις εχομενος του χερουβ A + (sub θ′ ※) και τρ. εις εχ. χερουβ ενος Q | και οψις] η οψ. A **11** εις ον αν τοπον επεβλεψεν η αρχη] [? α′] ου επιβλεψη η κεφαλη [θ′] ου αν εκλεινε̄ (corr εκλιν.) ο πρωτος [σ′] ου ετρεπετο ο αρχηγος Q^{mg} | επορευοντο 2°] pr (sub α′θ′σ′ ※) οπισω αυτου Q **12** και 1°] pr και πασαι αι σαρκες αυτων (sub θ′ ※) Q | om κυκλοθεν A | τροχοις] + αυτων AQ **13** τουτοις] τουτο A | Γελγελ] adnot κυλισματα Q^{mg} | om ακουοντος (-τες Q) μου A

15 οντός μου. [15]καὶ τὰ χερουβεὶν ἦσαν τοῦτο τὸ ζῷον ὃ ἴδον ἐπὶ B
16 τοῦ ποταμοῦ τοῦ Χοβάρ. [16]καὶ ἐν τῷ πορεύεσθαι τὰ χερουβεὶν
ἐπορεύοντο οἱ τροχοί, καὶ οὗτοι ἐχόμενοι αὐτῶν· καὶ ἐν τῷ ἐξαίρειν
τὰ χερουβεὶν τὰς πτέρυγας αὐτῶν τοῦ μετεωρίζεσθαι ἀπὸ τῆς γῆς,
17 οὐκ ἐπέστρεφον οἱ τροχοὶ αὐτῶν· [17]ἐν τῷ ἑστάναι αὐτὰ ἱστήκεισαν, ¶ Γ
καὶ ἐν τῷ μετεωρίζεσθαι αὐτὰ ἐμετεωρίζοντο μετ' αὐτῶν· διότι πνεῦ-
18 μα ζωῆς ἐν αὐτοῖς ἦν. [18]καὶ ἐξῆλθεν δόξα Κυρίου ἀπὸ τοῦ οἴκου
19 καὶ ἐπέβη ἐπὶ τὰ χερουβείν, [19]καὶ ἀνέλαβον τὰ χερουβεὶν τὰς πτέρυ-
γας αὐτῶν καὶ ἐμετεωρίσθησαν ἀπὸ τῆς γῆς ἐνώπιον ἐμοῦ· ἐν τῷ
ἐξελθεῖν αὐτὰ καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν· καὶ ἔστησαν ἐπὶ τὰ
πρόθυρα τῆς πύλης οἴκου Κυρίου τῆς ἀπέναντι, καὶ δόξα θεοῦ Ἰσραὴλ
20 ἦν ἐπ' αὐτῶν ὑπεράνω. [20]τοῦτο τὸ ζῷόν ἐστιν ὃ ἴδον ὑποκάτω θεοῦ
Ἰσραὴλ ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ, καὶ ἔγνων ὅτι χερουβείν ἐστιν·
21 [21]τέσσερα πρόσωπα τῷ ἑνί, καὶ ὀκτὼ πτέρυγες τῷ ἑνί, καὶ ὁμοίωμα
22 χειρῶν ἀνθρώπου ὑποκάτωθεν τῶν πτερύγων αὐτῶν. [22]καὶ ὁμοίωσις
τῶν προσώπων αὐτῶν, ταῦτα τὰ πρόσωπά ἐστιν ἃ ἴδον ὑποκάτω
τῆς δόξης θεοῦ Ἰσραὴλ ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ, καὶ αὐτὰ ἕκαστον
κατὰ πρόσωπον αὐτῶν ἐπορεύοντο.

XI 1 [1]Καὶ ἀνέλαβέν με πνεῦμα καὶ ἤγαγέν με ἐπὶ τὴν πύλην τοῦ οἴκου
Κυρίου τὴν κατέναντι τὴν βλέπουσαν κατὰ ἀνατολάς. καὶ ἐπὶ τῶν
προθύρων τῆς πύλης ὡς εἴκοσι καὶ πέντε ἄνδρες, καὶ ἴδον ἐν μέσῳ
αὐτῶν τὸν Ἰεχονίαν τὸν τοῦ Ἐζὲρ καὶ Φαλτίαν τὸν τοῦ Βαναιοὺ τοὺς
2 ἀφηγουμένους τοῦ λαοῦ. [2]καὶ εἶπεν Κύριος πρὸς μέ Υἱὲ ἀνθρώπου,
οὗτοι οἱ ἄνδρες οἱ λογιζόμενοι μάταια καὶ βουλευόμενοι βουλὴν
3 πονηρὰν ἐν τῇ πόλει ταύτῃ· [3]οἱ λέγοντες Οὐχὶ προσφάτως οἰκοδό-

15 και] pr (14) και τεσσερα προσωπα τω ενι το προσωπον του ενος προσ- AQΓ
ωπον (+του Q) χερουβ και το προσωπον του δευτερου προσωπον α̅ν̅ο̅υ̅ και το προσωπον του τριτου προσωπον (και το τριτον προσωπον Q) λεοντος και το τεταρτον προσωπον αετου A et (sub θ' ※) Q | τα χερουβειν ησαν] επηραν τα χερουβειν (χερουβ Q) AQ | ειδον A 16 χερουβειμ bis Q: item 18 | επορευοντο]+και A | ουκ επεστρεφον οι τροχοι αυτων] σ' ουκ απελειποντο οι τροχοι Q^{mg} | αυτων 3°]+και γε αυτοι απο των εχομενα αυτων A et (sub ※) Q +απ[ο των] εχ[ομε]|νω[ν] (εφ.. Cozz) αυ[των] Γ^{vid} 18 εξηλθον Q | δοξα] pr η Γ | απο]+του αιθριου AΓ et (sub ※) Q 19 χερουβειμ QΓ: item 20 | εξελθειν] εξαιρειν A | θεου] pr κ̅υ̅ A 20 ειδον B^{ab}A 21 τεσσερα] pr (sub α'θ' ※) τεσσερα Q | οκτω improb ut vid A[1] τεσσαρες Q | και 2°] εις Q^{vid} 22 ομοιωσεις] ομοιωμα AQ | ειδον AΓ | επι του ποταμου του Χοβαρ (θ' ποτ. Χοβ.)]+την ορασιν αυτων AΓ et (sub θ' ※) Q XI 1 κατα] κατ AQ | και 3°]+ιδου B^{ab}AQΓ | ειδον B^{ab}Γ | τον Ιεχονιαν] Ιεζονιαν Q | Εζερ] Ιαζερ A Αζουρ Q Αζερ Q^{mg} (adnot ωτα αυτης Q^{mg}) Ιεζερ Γ | Φαλτιαν] Φαντιαν B* adnot πτωσις αποκεκλικυια Q^{mg} | Βαναιου] adnot οικοδομη η οικος Ιαω Q^{mg} 2 ματαια] in τ ras aliq B[?] 3 ωκοδομηνται AΓ

B μηται αἱ οἰκίαι; αὕτη ἐστὶν ὁ λέβης, ἡμεῖς δὲ τὰ κρέα. 4 διὰ τοῦτο 4
προφήτευσον ἐπ' αὐτούς, προφήτευσον, υἱὲ ἀνθρώπου. 5 καὶ ἔπεσεν 5
ἐπ' ἐμὲ πνεῦμα καὶ εἶπεν πρὸς μέ Λέγε Τάδε λέγει Κύριος Οὕτως
εἴπατε, οἶκος Ἰσραήλ, καὶ τὰ διαβούλια τοῦ πνεύματος ὑμῶν ἐγὼ
ἐπίσταμαι· 6 ἐπληθύνατε νεκροὺς ὑμῶν ἐν τῇ πόλει ταύτῃ, καὶ ἐνε- 6
πλήσατε τὰς ὁδοὺς αὐτῶν τραυματιῶν. 7 διὰ τοῦτο τάδε λέγει Κύριος 7
Τοὺς νεκροὺς ὑμῶν οὓς ἐπατάξατε ἐν μέσῳ αὐτῆς, οὗτοί εἰσιν τὰ κρέα,
αὕτη δὲ ὁ λέβης ἐστίν, καὶ ὑμᾶς ἐξάξω ἐκ μέσου αὐτῆς. 8 ῥομφαίαν 8
φοβεῖσθε, καὶ ῥομφαίαν ἐπάξω ἐφ' ὑμᾶς, λέγει Κύριος. 9 καὶ ἐξάξω 9
ὑμᾶς ἐκ μέσου αὐτῆς, καὶ παραδώσω ὑμᾶς εἰς χεῖρας ἀλλοτρίων, καὶ
ποιήσω ἐν ὑμῖν κρίματα. 10 ἐν ῥομφαίᾳ πεσεῖσθε, ἐπὶ τῶν ὀρέων 10
τοῦ Ἰσραὴλ κρινῶ ὑμᾶς· καὶ ἐπιγνώσεσθε ὅτι ἐγὼ Κύριος. 13 καὶ 13
ἐγένετο ἐν τῷ προφητεύειν με καὶ Φαλτίας ὁ τοῦ Βαναιοῦ ἀπέθανεν,
καὶ πίπτω ἐπὶ πρόσωπόν μου, καὶ ἀνεβόησα φωνῇ μεγάλῃ καὶ εἶπα
Οἴμοι οἴμοι, Κύριε, εἰς συντέλειαν σὺ ποιεῖς τοὺς καταλοίπους τοῦ Ἰσ-
ραήλ; 14 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων 15 Υἱὲ ἀνθρώπου, 14 15
οἱ ἀδελφοί σου καὶ οἱ ἄνδρες τῆς αἰχμαλωσίας σου καὶ πᾶς ὁ οἶκος
τοῦ Ἰσραὴλ συντετέλεσται, οἷς εἶπαν αὐτοῖς οἱ κατοικοῦντες Ἰερου-
σαλήμ Μακρὰν ἀπέχετε ἀπὸ τοῦ κυρίου, ἡμῖν δέδοται ἡ γῆ εἰς
κληρονομίαν. 16 διὰ τοῦτο εἰπόν Τάδε λέγει Κύριος ὅτι Ἀπώσομαι 16
αὐτοὺς εἰς τὰ ἔθνη, καὶ διασκορπιῶ αὐτοὺς εἰς πᾶσαν γῆν, καὶ ἔσομαι
αὐτοῖς εἰς ἁγίασμα μικρὸν ἐν ταῖς χώραις οὗ ἂν εἰσέλθωσιν ἐκεῖ.
17 διὰ τοῦτο εἰπόν Τάδε λέγει Κύριος Καὶ εἰσδέξομαι αὐτοὺς ἐκ τῶν 17
ἐθνῶν, καὶ συνάξω αὐτοὺς ἐκ τῶν χωρῶν οὗ διέσπειρα αὐτοὺς ἐν
αὐταῖς, καὶ δώσω αὐτοῖς τὴν γῆν τοῦ Ἰσραήλ· 18 καὶ εἰσελεύσονται 18
ἐκεῖ, καὶ ἐξαροῦσιν πάντα τὰ βδελύγματα αὐτῆς καὶ πάσας τὰς
ἀνομίας αὐτῆς ἐξ αὐτῆς. 19 καὶ δώσω αὐτοῖς καρδίαν ἑτέραν, καὶ 19

ΑQΓ 3 οικειαι B* (-κιαι Bb) 4 υιε ανθρ sup ras B1 fort 5 επεσεν] επεπεσεν Qmg (de Q* non liq) Γ | πνευμα] + κυ ΑQΓ | Κυριος] pr αδωναι Γ | οικος] pr ο Α 6 αυτων] αυτης ΑQ 7 Κυριος] pr αδωναι ΑQΓ | επαταξατε] εφονευσατε Α (φ ex π fec ν sup ras Αa) 8 Κυριος] pr αδωναι ΑQΓ 10 επι] pr και Α | Κυριος] + αυτη υμιν ουκ εσται εις λεβητα και υμεις ου μη γενησθαι (-θε Q) εμμεσω (εν μ. Q) αυτης εις κρεα επι των ορεων (οριων Q) του Ιηλ κρινω υμας και επιγνωσεσθαι (-θε Q) διοτι (οτι Q) εγω κς ΑQΓvid + (post κς sub θ ※ usque εποιησατε 1°) οτι εν τοις δικαιωμασιν μου ουκ επορευθητε και τα κριματα μου ουκ εποιησατε και κατα τα κριματα των εθνων των περικυκλω υμων εποιησατε Q 13 Φαλτιας] adnot πτωσις αποκεκληκυια (corr αποκεκλικ.) Qmg | Βαναιου] adnot οικοδομημα η οικος Ιαω Qmg | Κυριε] pr αδωναι ΑQ 15 οι αδελφοι] pr και Γvid | σου 1°] + (sub οι γ' ※) αδελφοι σου Q | του κυριου] om του Q | ημιν] + αυτοις Q 16 Κυριος] pr αδωναι ΑQΓ | γην] pr την Α | αν] εαν Α 17 om ειπον Α | Κυριος] pr αδωναι ΑQ | και εισδεξομαι...Ισραηλ sup ras Αa

πνεῦμα καινὸν δώσω ἐν αὐτοῖς, καὶ ἐκσπάσω τὴν καρδίαν τὴν λιθίνην B
20 ἐκ τῆς σαρκὸς αὐτῶν καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην, [20]ὅπως ἐν
τοῖς προστάγμασίν μου πορεύωνται, καὶ τὰ δικαιώματά μου φυλάσ-
σωνται καὶ ποιῶσιν αὐτά, καὶ ἔσονταί μοι εἰς λαὸν καὶ ἐγὼ ἔσομαι
21 αὐτοῖς εἰς θεόν. [21]καὶ εἰς τὴν καρδίαν τῶν βδελυγμάτων αὐτῶν καὶ
τῶν ἀνομιῶν αὐτῶν, ὡς ἡ καρδία αὐτῶν ἐπορεύετο, τὰς ὁδοὺς αὐτῶν
22 εἰς τὰς κεφαλὰς αὐτῶν δέδωκα, λέγει Κύριος. [22]Καὶ ἐξῆραν τὰ
χερουβεὶν τὰς πτέρυγας αὐτῶν, καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν, καὶ
23 ἡ δόξα θεοῦ Ἰσραὴλ ἐπ' αὐτὰ ὑπεράνω αὐτῶν. [23]καὶ ἀνέβη ἡ δόξα
Κυρίου ἐκ μέσης τῆς πόλεως, καὶ ἔστη ἐπὶ τοῦ ὄρους ὃ ἦν ἀπέναντι τῆς
24 πόλεως. [24]καὶ πνεῦμα ἀνέλαβέν με καὶ ἤγαγέν με εἰς γῆν Χαλδαίων
εἰς τὴν αἰχμαλωσίαν ἐν ὁράσει ἐν πνεύματι θεοῦ. καὶ ἀνέβην ἀπὸ
25 τῆς ὁράσεως ἧς ἴδον, [25]καὶ ἐλάλησα πρὸς¶ τὴν αἰχμαλωσίαν πάντας ¶ Γ
τοὺς λόγους τοῦ κυρίου οὓς ἔδειξέν μοι.
XII 1 2 [1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Υἱὲ ἀνθρώπου, ἐν
μέσῳ τῶν ἀδικιῶν αὐτῶν σὺ κατοικεῖς, οἳ ἔχουσιν ὀφθαλμοὺς τοῦ
βλέπειν καὶ οὐ βλέπουσιν, καὶ ὦτα ἔχουσιν τοῦ ἀκούειν καὶ οὐκ ἀκού-
3 ουσιν· διότι οἶκος παραπικραίνων ἐστίν. [3]καὶ σύ, υἱὲ ἀνθρώπου,
ποίησον σεαυτῷ σκεύη αἰχμαλωσίας ἡμέρας ἐνώπιον αὐτῶν, καὶ
αἰχμαλωτευθήσει ἐκ τοῦ τόπου σου εἰς τόπον ἕτερον ἐνώπιον αὐτῶν,
4 ὅπως εἰδῶσιν διότι οἶκος παραπικραίνων ἐστίν. [4]καὶ ἐξοίσεις τὰ
σκεύη σου σκεύη αἰχμαλωσίας ἡμέρας κατ' ὀφθαλμοὺς αὐτῶν, καὶ
5 σὺ ἐξελεύσῃ ἑσπέρας ὡς ἐκπορεύεται αἰχμάλωτος [5]ἐνώπιον αὐτῶν·
6 διόρυξον σεαυτῷ εἰς τὸν τοῖχον, καὶ διεξελεύσῃ δι' αὐτοῦ. [6]ἐνώπιον
αὐτῶν ἐπ' ὤμων ἀναλημφθήσῃ καὶ κεκρυμμένος ἐξελεύσῃ, τὸ πρόσ-
ωπόν σου συγκαλύψεις καὶ οὐ μὴ ἴδῃς τὴν γῆν· διότι τέρας δέδωκά

19 om εν Γ | καρδιαν 2°] + αυτων A 20 ποιωσιν] ποιησουσιν A | AQΓ ποιησωσι(ν) Γ | θεον] + λεγει κ̅ς̅ AΓvid 21 εις την καρδιαν] κατα τας καρδιας AΓ | βδελυγματων] πο[νηριων] Γvid | om αυτων 1° Γ | improb ως Q? | αυτων 2°] + και των πονηρων ων εποιησα(ν) A + ων εποιησα[ν] Γ | επορευετο] pr ουκ Qmg | τας κεφαλας] om τας AQΓ | δεδωκα] εδωκα Q | λεγει Κυριος] λεγει αδωναι κ̅ς̅ AΓ αδωναι λ. κ̅ς̅ Q 22 χερουβειμ AQ χερουβιμ Γ | επ αυτα] ην επ αυτοις A 23 η δοξα] om η A | μεσης] μεσου AΓ | τους ορους Q* (του ορ. Qa) adnot το ορος των ελαιων Qmg 24 ανελαβεν με πνευμα AΓ | ειδον Bab 25 του κυριου] om του A | μοι] + κ̅ς̅ A
XII 2 των αδικιων αυτων συ] συ οικου παραπικραινο(ν)|τος Qmg | βλεπειν] οραν A 3 αιχμαλωσιας] + και αιχμαλωτισθητι AQ | και αιχμαλωτευθησει (-ση AQ) ...ενωπιον αυτων (2°)] pr θ' ※ Qmg | τοπου σου (τοποσου B* τοπου σ. Bab) | οικου σου A | ετερον τοπον A | ιδωσιν (-σι Qa) Ba?b AQ 4 εξελευση συ A | εσπερας] + ενωπιο(ν) | αυτων AQ 5 om ενωπιον αυτων A?Q | διεξελευση] εξελευση Q 6 αναληφθηση Qa | συνκαλυψεις A

B σε τῷ οἴκῳ Ἰσραήλ. 7 καὶ ἐποίησα οὕτως κατὰ πάντα ὅσα ἐνετείλατό 7
μοι, καὶ σκεύη ἐξήνεγκα αἰχμαλωσίας ἡμέρας, καὶ ἑσπέρας διώρυξα
ἐμαυτῷ τὸν τοῖχον καὶ κεκρυμμένος ἐξῆλθον· ἐπ' ὤμων ἀνελήμφθην
ἐνώπιον αὐτῶν. 8 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ τὸ πρωὶ 8
λέγων 9 Υἱὲ ἀνθρώπου, οὐκ εἶπαν πρὸς σὲ ὁ οἶκος τοῦ Ἰσραήλ, οἶκος 9
ὁ παραπικραίνων Τί σὺ ποιεῖς; 10 εἰπὸν πρὸς αὐτούς Τάδε λέγει 10
κύριος Κύριος Ὁ ἄρχων καὶ ὁ ἀφηγούμενος ἐν Ἰερουσαλὴμ καὶ παντὶ
οἴκῳ Ἰσραὴλ οἵ εἰσιν ἐν μέσῳ αὐτῶν, 11 εἰπὸν ὅτι ἐγὼ τέρατα ποιῶ, 11
ὃν τρόπον πεποίηκα οὕτως ἔσται αὐτῷ· ἐν μετοικεσίᾳ καὶ ἐν αἰχμα-
λωσίᾳ πορεύσονται, 12 καὶ ὁ ἄρχων ἐν μέσῳ αὐτῶν ἐπ' ὤμων ἀρθή- 12
σεται, καὶ κεκρυμμένος ἐξελεύσεται διὰ τοῦ τοίχου, καὶ διορύξει τοῦ
ἐξελθεῖν αὐτὸν δι' αὐτοῦ· τὸ πρόσωπον αὐτοῦ συνκαλύψει ὅπως μὴ
ὁραθῇ ὀφθαλμῷ, καὶ αὐτὸς τὴν γῆν οὐκ ὄψεται. 13 καὶ ἐκπετάσω τὸ 13
δίκτυόν μου ἐπ' αὐτόν, καὶ συλλημφθήσεται ἐν τῇ περιοχῇ μου, καὶ
ἄξω αὐτὸν εἰς Βαβυλῶνα εἰς γῆν Χαλδαίων, καὶ αὐτὴν οὐκ ὄψεται,
καὶ ἐκεῖ τελευτήσει. 14 καὶ πάντας τοὺς κύκλῳ αὐτοῦ τοὺς βοηθοὺς 14
αὐτοῦ καὶ πάντας τοὺς ἀντιλαμβανομένους αὐτοῦ διασπερῶ εἰς πάντα
ἄνεμον, καὶ ῥομφαίαν ἐκκενώσω ὀπίσω αὐτῶν. 15 καὶ γνώσονται διότι 15
ἐγὼ Κύριος, ἐν τῷ διασκορπίσαι με αὐτοὺς ἐν τοῖς ἔθνεσιν, καὶ
διασπερῶ αὐτοὺς ἐν ταῖς χώραις. 16 καὶ ὑπολείψομαι ἐξ αὐτῶν ἄνδρας 16
ἀριθμῷ ἐκ ῥομφαίας καὶ ἐκ λιμοῦ καὶ ἐκ θανάτου, ὅπως ἐκδιηγῶνται
πάσας τὰς ἀνομίας αὐτῶν ἐν τοῖς ἔθνεσιν οὗ εἰσήλθοσαν ἐκεῖ, καὶ
γνώσονται ὅτι ἐγὼ Κύριος. 17 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ 17
λέγων 18 Υἱὲ ἀνθρώπου, τὸν ἄρτον σου μετ' ὀδύνης φάγεσαι, καὶ τὸ 18
ὕδωρ μετὰ βασάνου καὶ θλίψεως πίεσαι. 19 καὶ ἐρεῖς πρὸς τὸν λαὸν 19
τῆς γῆς Τάδε λέγει Κύριος τοῖς κατοικοῦσιν Ἰερουσαλὴμ ἐπὶ τῆς γῆς
τοῦ Ἰσραήλ Τοὺς ἄρτους αὐτῶν μετ' ἐνδείας φάγονται, καὶ τὸ ὕδωρ
αὐτῶν μετὰ ἀφανισμοῦ πίονται, ὅπως ἀφανισθῇ ἡ γῆ σὺν πληρώματι

AQ 7 σκευη (sub ※ οι γ' Q$^{txt\ et\ mg}$) εξηνεγκα] εξηνεγκα ως σκευη A + ως σκευη Q | αιχμαλωσιας] incep αισχ A* (σ 1° improb A$^{a?}$) | διωρυξα] ωρυξα A | τοιχον] + τη χειρι AQ | κεκρυμμενως Q | ανεληφθην Q^{a} 9 ειπον Q | του Ισραηλ] om του A | οικος 2° sup ras B^{ab} om A | ο παραπικραινων] παραπ. εστιν Q 10 ο αρχων και ο αφηγουμενος] ειπον (improb A?) τω αρχοντι και τω αφηγουμενω A τω αρχοντι ϗ τω αφηγουμενω Q^{mg} | om εν 1° A 11 τερατα] incep ε Q* (improb Q?) | ποιω] + εμμεσω αυτης A | αυτω] αυτοις A 12 αρχων] + αυτων A | αυτων] αυτης A | διορυξει] ορυξει A | συγκαλυψει B^{ab}Q 13 συλληφθησεται Q^{a} 14 παντα] + τα| B* (non inst B^{b}) | εκκενωσω] εκχεω AQ σ' γυμνωσω Q^{mg} 15 διοτι] οτι Q 16 εκδιηγησωνται A | om πασας A | εισ|ηλθοσαν B* ει|σηλθ. B^{a} 18 οδυνης] ενδειας Q* (οδ. Q^{mg}) | υδωρ] + σου A | θλιψεως] εκθλιψεως A 19 Κυριος] pr αδωναι AQ | επι] pr και Q^{mg} | πληρωματι] pr τω AQ

20 αὐτῆς, ἐν ἀσεβείᾳ γὰρ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. [20]καὶ αἱ B
πόλεις αὐτῶν αἱ κατοικούμεναι ἐξερημωθήσονται, καὶ ἡ γῆ εἰς ἀφανι-
21 σμὸν ἔσται· καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος. [21]Καὶ ἐγένετο
22 λόγος Κυρίου πρὸς μὲ λέγων [22]Υἱὲ ἀνθρώπου, τίς ἡ παραβολὴ ὑμῖν
ἐπὶ τῆς γῆς τοῦ Ἰσραήλ, λέγοντες Μακραὶ αἱ ἡμέραι, ἀπόλωλεν
23 ὅρασις; [23]διὰ τοῦτο εἰπὸν πρὸς αὐτούς Τάδε λέγει Κύριος Καὶ
ἀποστρέψω τὴν παραβολὴν ταύτην, καὶ οὐκέτι μὴ εἴπωσιν τὴν παρα-
βολὴν ταύτην οἶκος τοῦ Ἰσραήλ· ὅτι λαλήσεις πρὸς αὐτούς Ἠγγίκασιν
24 αἱ ἡμέραι καὶ λόγος πάσης ὁράσεως. [24]ὅτι οὐκ ἔσται ἔτι πᾶσα ὅρασις
ψευδὴς καὶ μαντευόμενος τὰ πρὸς χάριν ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ.
25 [25]διότι ἐγὼ Κύριος λαλήσω τοὺς λόγους μου, λαλήσω καὶ ποιήσω,
καὶ οὐ μὴ μηκύνω ἔτι· ὅτι ἐν ταῖς ἡμέραις ὑμῶν, οἶκος ὁ παραπι-
26 κραίνων, λαλήσω λόγον καὶ ποιήσω, λέγει Κύριος. [26]Καὶ
27 ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [27]Υἱὲ ἀνθρώπου, ἰδοὺ οἶκος
Ἰσραὴλ ὁ παραπικραίνων λέγοντες λέγουσιν Ἡ ὅρασις ἣν οὗτος ὁρᾷ
28 εἰς ἡμέρας πολλάς, καὶ εἰς καιροὺς μακροὺς οὗτος προφητεύει. [28]διὰ
τοῦτο εἰπὸν πρὸς αὐτούς Τάδε λέγει Κύριος Οὐ μὴ μηκύνωσιν οὐκέτι
πάντες οἱ λόγοι μου οὓς ἂν λαλήσω· λαλήσω καὶ ποιήσω, λέγει
Κύριος.

XIII 1 2 [1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Υἱὲ ἀνθρώπου, προ-
φήτευσον ἐπὶ τοὺς προφήτας τοῦ Ἰσραήλ, καὶ προφητεύσεις καὶ
3 ἐρεῖς πρὸς αὐτούς Ἀκούσατε λόγον Κυρίου [3]Τάδε λέγει Κύριος Οὐαὶ
τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν, καὶ τὸ καθόλου μὴ βλέ-
4 πουσιν. [4]ὡς ἀλώπεκες ἐν ταῖς ἐρήμοις οἱ προφῆταί σου, Ἰσραήλ·
5 [5]οὐκ ἔστησαν ἐν στερεώματι καὶ συνήγαγον ποίμνια ἐπὶ τὸν οἶκον
6 τοῦ Ἰσραήλ, οὐκ ἀνέστησαν οἱ λέγοντες Ἐν ἡμέρᾳ Κυρίου· [6]βλέ-
ποντες ψευδῆ, μαντευόμενοι μάταια, οἱ λέγοντες Λέγει Κύριος, καὶ

20 γη] + αυτης A 22 η παραβολη υμιν] υμιν η παραβολη αυτη A AQ η παραβ. αυτη υμιν Q | μακραι] μακραν A | ορασις] pr πασα Q 23 Κυριος] pr αδωναι AQ | om και 1° A 24 οτι ουκ] και ουκετι A | om ετι A 25 λαλησω λαλησω τ. λογ. μ. κ. ποιησω Q | om μη Q | om οτι A | ο παραπικραινων] om ο A | Κυριος 2°] pr αδωναι AQ 27 οικος] pr ο AQ 28 Κυριος] pr αδωναι AQ | λαλησω 1°] + οτι A | λαλησω 2°] + λογον AQ | om λεγει Κυριος (2°) B^{*fort} (hab B$^{a(mg)}$) | Κυριος 2°] pr αδωναι A XIII 1 pr tit επι τους προφητας Q$^{mg\ sup}$ 2 Ισραηλ] + τους προφητευοντας και ερεις τοις προφηταις (-τες A* improb ε A$^{?}$) τοις προφητευουσιν απο καρδιας αυτων A et (sub α′θ′ ※) Q 3 Κυριος] pr αδωναι AQ | αυτων] + θ′ ※ τοις πορευομενοις οπισω του πνευματος αυτων Q 4 οι προφηται σου Ι̅η̅λ̅ ωσει αλωπηκες (sic) εν ταις ερημοις A 5 συνηγαγον] pr ου Q^{mg} | επι] pr και A | ανεστησαν] εστησαν Q^{a} 6 λεγει] pr ταδε A$^{?(mg)}$

B Κύριος οὐκ ἀπέσταλκεν αὐτούς, καὶ ἤρξαντο τοῦ ἀναστῆσαι λόγον.
[7]οὐχ ὅρασιν ψευδῆ ἑωράκατε, καὶ μαντείας ματαίας εἰρήκατε; [8]Διὰ 7 8
τοῦτο εἰπόν Τάδε λέγει Κύριος Ἀνθ' ὧν οἱ λόγοι ὑμῶν ψευδεῖς καὶ
αἱ μαντεῖαι ὑμῶν μάταιαι, διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐφ' ὑμᾶς, λέγει Κύριος,
[9]καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τοὺς προφήτας τοὺς ὁρῶντας ψευδῆ 9
καὶ τοὺς ἀποφθεγγομένους μάταια· ἐν παιδείᾳ τοῦ λαοῦ μου οὐκ ἔσον-
ται, οὐδὲ ἐν γραφῇ οἴκου Ἰσραὴλ οὐ γραφήσονται, καὶ εἰς τὴν γῆν
τοῦ Ἰσραὴλ οὐκ εἰσελεύσονται· καὶ γνώσονται διότι ἐγὼ Κύριος.
[10]ἀνθ' ὧν τὸν λαόν μου ἐπλάνησαν, λέγοντες Εἰρήνη, καὶ οὐκ ἦν 10
εἰρήνη· καὶ οὗτος οἰκοδομεῖ τοῖχον, καὶ αὐτοὶ ἀλείφουσιν αὐτόν, πε-
σεῖται. [11]εἰπὸν πρὸς τοὺς ἀλείφοντας Πεσεῖται, καὶ ἔσται ὑετὸς 11
κατακλύζων, καὶ δώσω λίθους πετροβόλους εἰς τοὺς ἐνδέσμους αὐ-
τῶν, καὶ πεσοῦνται, καὶ πνεῦμα ἐξαῖρον, καὶ ῥαγήσεται. [12]καὶ ἰδοὺ 12
πέπτωκεν ὁ τοῖχος, καὶ οὐκ ἐροῦσιν πρὸς ὑμᾶς Ποῦ ἐστιν ἡ ἀλοιφὴ
ὑμῶν ἣν ἠλείψατε; [13]διὰ τοῦτο τάδε λέγει Κύριος Καὶ ῥήξω πνοὴν 13
ἐξαίρουσαν μετὰ θυμοῦ, καὶ ὑετὸς κατακλύζων ἐν ὀργῇ μου ἔσται,
καὶ τοὺς λίθους τοὺς πετροβόλους ἐν θυμῷ ἐπάξω εἰς συντέλειαν,
[14]καὶ κατασκάψω τὸν τοῖχον ὃν ἠλείψατε, πεσεῖται· καὶ θήσω αὐτὸν 14
ἐπὶ τὴν γῆν καὶ ἀποκαλυφθήσεται τὰ θεμέλια αὐτοῦ, καὶ πεσεῖται
καὶ συντελεσθήσεσθε μετ' ἐλέγχων· καὶ ἐπιγνώσεσθε διότι ἐγὼ
Κύριος. [15]καὶ συντελέσω τὸν θυμόν μου ἐπὶ τὸν τοῖχον καὶ ἐπὶ 15
τοὺς ἀλείφοντας αὐτόν, πεσεῖται. καὶ εἶπα πρὸς ὑμᾶς Οὐκ ἔστιν ὁ
τοῖχος οὐδὲ οἱ ἀλείφοντες αὐτὸν [16]προφῆται τοῦ Ἰσραήλ, οἱ προ- 16
φητεύοντες ἐπὶ Ἰερουσαλὴμ καὶ οἱ ὁρῶντες αὐτῇ εἰρήνην, καὶ εἰρήνη
οὐκ ἔστιν, λέγει Κύριος. [17]Καὶ σύ, υἱὲ ἀνθρώπου, στήρισον 17
τὸ πρόσωπόν σου ἐπὶ τὰς θυγατέρας τοῦ λαοῦ σου τὰς προφητευ-
ούσας ἀπὸ καρδίας αὐτῶν, καὶ προφήτευσον ἐπ' αὐτὰς [18]καὶ ἐρεῖς 18

AQ 6 Κυριος 2°] pr ο A 7 ουχ] ουχι A | εορακατε Q | μαντιας A | ειρηκατε] + και λεγεται (ελεγετε Q) φησιν κ̅ς̅ και εγω ουκ ελαλησα (-ληκα A) AQ 8 Κυριος bis] pr αδωναι AQ | αι μαντειαι (-τιαι A)] om αι Q | δια του B* (δ. τουτο B^{ab}) 9 παιδια A | διοτι] οτι A | Κυριος] pr ειμι αδωναι A pr αδωναι Q 10 επλανησαν τον λαον μου AQ | ειρηνη 1°] + ειρηνη A | ην] εστιν AQ | τοιχον] pr τον A | αυτοι] αλλοι A | αυτον] improb ν $A^{a? vid}$ | πεσειται] om A αφροσυνη Q α' αναλον σ' αναρτυτω Q^{mg} 11 ειπον] σ' ειπε Q^{mg} | αλειφοντας] + αυτον AQ^{mg} | πεσειται] pr αφροσυνη Q ει πεσειται Q^{mg} 12 om ουκ A 13 Κυριος] pr αδωναι AQ | θυμου] + μου Q | επαξω εν θυμω A 14 πεσειται 1°] pr και A | συντελεσθησεσθε] συντελεσθησεται A 15 πεσειται] pr και A | ουδε] ουδ Q 16 οι ορωντες] om οι A | αυτη] αυτην $A^{a?}$ | ειρηνην] ειρηνη Q ουκ εστιν ειρηνη A | Κυριος] pr αδωναι AQ 18 ερεις] + προς αυτας A* (improb $A^{a?}$).

Τάδε λέγει Κύριος Οὐαὶ ταῖς συνραπτούσαις προσκεφάλαια ὑπὸ B
πάντα ἀγκῶνα χειρὸς καὶ ποιούσαις ἐπιβόλαια ἐπὶ πᾶσαν κεφαλὴν
πάσης ἡλικίας, τοῦ διαστρέφειν ψυχάς. αἱ ψυχαὶ διεστράφησαν τοῦ
19 *λαοῦ μου, καὶ ψυχὰς περιεποιοῦντο, [19]καὶ ἐβεβήλουν με πρὸς τὸν*
λαόν μου ἕνεκεν δρακὸς κριθῶν καὶ ἕνεκεν κλασμάτων ἄρτων, τοῦ
ἀποκτεῖναι ψυχὰς ἃς οὐκ ἔδει ἀποθανεῖν, καὶ τοῦ περιποιήσασθαι
ψυχὰς ἃς οὐκ ἔδει ζῆσαι, ἐν τῷ ἀποφθέγγεσθαι ὑμᾶς λαῷ εἰσα-
20 *κούοντι μάταια ἀποφθέγματα. [20]διὰ τοῦτο τάδε λέγει κύριος Κύριος*
Ἰδοὺ ἐγὼ ἐπὶ τὰ προσκεφάλαια ὑμῶν, ἐφ' ἃ ὑμεῖς συστρέφετε ἐκεῖ
ψυχάς, καὶ διαρρήξω αὐτὰ ἀπὸ τῶν βραχιόνων ὑμῶν, καὶ ἐξαπο-
στελῶ τὰς ψυχὰς ἃς ὑμεῖς ἐκστρέφετε τὰς ψυχὰς αὐτῶν εἰς διασκορ-
21 *πισμόν, [21]καὶ διαρρήξω τὰ ἐπιβόλαια ὑμῶν, καὶ ῥύσομαι τὸν λαόν*
μου ἐκ χειρὸς ὑμῶν, καὶ οὐκέτι ἔσονται ἐν χερσὶν ὑμῶν εἰς συστρο-
22 *φήν· καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος. [22]ἀνθ' ὧν διεστρέφετε*
καρδίαν δικαίου, καὶ ἐγὼ οὐ διέστρεφον αὐτόν, καὶ τοῦ κατισχῦσαι
χεῖρας ἀνόμου τὸ καθόλου μὴ ἀποστρέψαι ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς
23 *πονηρᾶς καὶ ζῆσαι αὐτόν, [23]διὰ τοῦτο ψευδῆ οὐ μὴ ἴδητε, καὶ μαν-*
τείας οὐ μὴ μαντεύσησθε ἔτι, καὶ ῥύσομαι τὸν λαόν μου ἐκ χειρὸς
ὑμῶν· καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος.
XIV 1 [1]*Καὶ ἦλθον πρός με ἐκ τῶν πρεσβυτέρων ἄνδρες τοῦ Ἰσραήλ,*
2 *καὶ ἐκάθισαν πρὸ προσώπου μου. [2]καὶ ἐγένετο λόγος Κυρίου πρὸς*
3 *μὲ λέγων [3]Υἱὲ ἀνθρώπου, οἱ ἄνδρες οὗτοι ἔθεντο τὰ διανοήματα*
αὐτῶν ἐπὶ τὰς καρδίας αὐτῶν, καὶ τὴν κόλασιν τῶν ἀδικιῶν αὐτῶν
ἔθηκαν πρὸ προσώπου αὐτῶν· εἰ ἀποκρινόμενος ἀποκριθῶ αὐτοῖς:
4 [4]*διὰ τοῦτο λάλησον αὐτοῖς, καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει Κύριος*
Ἄνθρωπος ἄνθρωπος ἐκ τοῦ οἴκου Ἰσραὴλ ὃς ἂν θῇ τὰ διανοήματα
αὐτοῦ ἐπὶ τὴν καρδίαν αὐτοῦ, καὶ τὴν κόλασιν τῆς ἀδικίας αὐτοῦ

18 Κυριος] pr *αδωναι* AQ | *συρραπτουσαις* B^b AQ | *υπο*] *επι* B* fort (*υπο* AQ sup ras B^ab (vid)) A | *αι ψυχαι*] pr *και* A **19** *ενεκεν* 2°] om A *ενεκα* Q | *κλασματων αρτων*] *κλασματος αρτου* A* (improb vid A^a?) | *του αποκτειναι*] om *του* A | om *ας* 1° Q* (superscr Q^a) | *του περιποιησασθαι*] *περιεποιουντο* A* (improb vid A^a?)] *ζησαι*] *ζη̅*| A | *αποφθεγγματα* B **20** *συστρεφετε*] *συστρεφεσθαι* Q* vid (-*φετε* Q?) | *εκστρεφετε*] *εκτρεφεται* A **21** *επιβολαια*] *περιβολαια* A | *διοτι*] *οτι* A **22** *διαστρεφετε* A | *δικαιου*] + *αδικως* AQ | *αποστρεψαι* (*οστρεψαι* sup ras A^a)] pr *του* A | *απο*] pr *τον* A | *πονηρας*] + *αποστρεψαι* A | *ζησαι*] *ζητησαι* A **23** *μαντιαν* A | *μαντευσεσθε* Q | om *ετι* A | *και*] *οτι* A | *γνωσεσθε*] *επιγνωσεσθαι* A | *οτι*] *διοτι* Q **XIV 1** *εκ των πρεσβυτερων ανδρες*] *ανδρες απο των πρεσβυτερων* A *ανδρες εκ τ. πρ.* Q | *του Ισραηλ*] om *του* A **3** *ουτοι* sup ras 7 circ litt A^a | *εθετο* Q* (*εθεντο* Q^a) **4** Κυριος 1°] pr *αδωναι* AQ | *διανοηματα*] *οι γ' ειδωλα* Q^mg

B τάξῃ πρὸ προσώπου αὐτοῦ, καὶ ἔλθῃ πρὸς τὸν προφήτην, ἐγὼ
Κύριος ἀποκριθήσομαι αὐτῷ ἐν οἷς ἐνέχεται ἡ διάνοια αὐτοῦ, [5]ὅπως 5
πλαγιάσῃ τὸν οἶκον τοῦ Ἰσραὴλ κατὰ τὰς καρδίας αὐτῶν τὰς ἀπηλ-
λοτριωμένας ἀπ' ἐμοῦ ἐν τοῖς ἐνθυμήμασιν αὐτῶν. [6]διὰ τοῦτο εἰπὸν 6
εἰς τὸν οἶκον τοῦ Ἰσραὴλ Τάδε λέγει κύριος Κύριος Ἐπιστράφητε
καὶ ἀποστρέψατε ἀπὸ τῶν ἐπιτηδευμάτων ὑμῶν καὶ ἀπὸ πασῶν
τῶν ἀσεβειῶν ὑμῶν, καὶ ἐπιστρέψατε τὰ πρόσωπα ὑμῶν. [7]διότι 7
ἄνθρωπος ἄνθρωπος ἐκ τοῦ οἴκου Ἰσραὴλ καὶ ἐκ τῶν προσηλύτων
τῶν προσηλυτευόντων ἐν τῷ Ἰσραὴλ ὃς ἂν ἀπαλλοτριωθῇ ἀπ' ἐμοῦ,
καὶ θῆται τὰ ἐνθυμήματα αὐτοῦ ἐπὶ τὴν καρδίαν αὐτοῦ, καὶ τὴν κό-
λασιν τῆς ἀδικίας αὐτοῦ τάξῃ πρὸ προσώπου αὐτοῦ, καὶ ἔλθῃ πρὸς
τὸν προφήτην τοῦ ἐπερωτῆσαι αὐτὸν ἐν ἐμοί, ἐγὼ Κύριος ἀποκρι-
θήσομαι αὐτῷ ἐν ᾧ ἐνέχεται ἐν αὐτῷ. [8]καὶ στηριῶ τὸ πρόσωπόν 8
μου ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνον, καὶ θήσομαι αὐτὸν εἰς ἔρημον καὶ
εἰς ἀφανισμόν, καὶ ἐξαρῶ αὐτὸν ἐκ μέσου τοῦ λαοῦ μου· καὶ ἐπι-
γνώσεσθε ὅτι ἐγὼ Κύριος. [9]καὶ ὁ προφήτης ἐὰν πλανήσῃ καὶ 9
λαλήσῃ, ἐγὼ Κύριος πεπλάνηκα τὸν προφήτην ἐκεῖνον, καὶ ἐκτενῶ
τὴν χεῖρά μου ἐπ' αὐτὸν καὶ ἀφανιῶ αὐτὸν ἐκ μέσου τοῦ λαοῦ μου
Ἰσραήλ. [10]καὶ λήμψονται τὴν ἀδικίαν αὐτῶν· κατὰ τὸ ἀδίκημα τοῦ 10
ἐπερωτῶντος, καὶ κατὰ τὸ ἀδίκημα ὁμοίως τῷ προφήτῃ ἔσται, [11]ὅπως 11
μὴ πλανᾶται ἔτι ὁ οἶκος τοῦ Ἰσραὴλ ἀπ' ἐμοῦ, καὶ ἵνα μὴ μιαίνωνται
ἔτι ἐν πᾶσιν τοῖς παραπτώμασιν αὐτῶν· καὶ ἔσονταί μοι εἰς λαὸν καὶ
ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν, λέγει Κύριος.

[12]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [13]Υἱὲ ἀνθρώπου, γῆ 12 13
ἣ ἂν ἁμάρτῃ μοι τοῦ παραπεσεῖν παράπτωμα, καὶ ἐκτενῶ τὴν χεῖρά
μου ἐπ' αὐτὴν καὶ συντρίψω αὐτῆς στήριγμα ἄρτου, καὶ ἐξαποστελῶ
ἐπ' αὐτὴν λιμὸν καὶ ἐξαρῶ ἐξ αὐτῆς ἄνθρωπον καὶ κτήνη. [14]καὶ 14
ἐὰν ὦσιν οἱ τρεῖς ἄνδρες οὗτοι ἐν μέσῳ αὐτῆς, Νῶε καὶ Δανιὴλ καὶ

AQ 4 αυτω] improb vid $A^{a?}$ | εν] + αυτοις Q 5 πλαγιαση] μη δια-στρεψωσιν A | εθυμημασιν Q^{*} (ενθ. Q^{a}) 6 εις] προς AQ | Κυριος] + ο θ̄ς A | επιστρεψατε τα προσωπα υμων] ε(πι)στραφητε προς με A 7 om εκ 2° A | προσηλυτων] προσ|ηλ. B^{*} προση|λ. B^{a} | εν τω Ισραηλ] προσκειμενων εν Ιηλ A | αν απαλλοτριωθη] εαν απηλλοτριωθη A | θηται] θη AQ 8 θησομαι] θησω A | επιγνωσεσθε] επιγνωσθησεσθε B^{ab} (επιγνωσεσθαι $B^{*\,vid}$) 9 bis scr εαν A^{*} (ras 2° $A^{?}$) | πλανηση] πλανηθη AQ | λαληση] + (sub οι γ') λογον Q | πεπλανηκα] επλανησα A 10 λημψονται (ληψ. Q^{a})] λημψομαι (ομαι sup ras) A^{a} | αυτων] αυτου A | κατα 1°] pr και Q^{mg} | om του επερωτωντος και κατα το αδικημα Q 11 του Ισραηλ] om του A | πασι Q^{a} | Κυριος] pr αδωναι $A^{a?}$Q 13 η αν] εαν A | παραπτωματι AQ^{mg} | αυτης 1°] pr απ A | εξ] απ A | κτηνη] κτηνος Q

15 Ἰώβ, αὐτοὶ ἐν τῇ δικαιοσύνῃ αὐτῶν σωθήσονται, λέγει Κύριος. 15 ἐὰν B
καὶ θηρία πονηρὰ ἐπάγω ἐπὶ τὴν γῆν καὶ τιμωρήσομαι αὐτήν, καὶ
ἔσται εἰς ἀφανισμόν, καὶ οὐκ ἔσται ὁ διοδεύων ἀπὸ προσώπου τῶν
16 θηρίων, 16 καὶ οἱ τρεῖς ἄνδρες οὗτοι ἐν μέσῳ αὐτῆς ὦσι, ζῶ ἐγώ,
λέγει Κύριος, εἰ υἱοὶ ἢ θυγατέρες σωθήσονται, ἀλλ' ἢ αὐτοὶ μόνοι
17 σωθήσονται, ἡ δὲ γῆ ἔσται εἰς ὄλεθρον. 17 ἢ καὶ ῥομφαίαν ἐὰν
ἐπάγω ἐπὶ τὴν γῆν ἐκείνην καὶ εἴπω Ῥομφαία διελθάτω διὰ τῆς
18 γῆς, καὶ ἐξάρω ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος, 18 καὶ οἱ τρεῖς οὗτοι
ἄνδρες ἐν μέσῳ αὐτῆς, ζῶ ἐγώ, λέγει Κύριος, οὐ μὴ ῥύσωνται υἱοὺς
19 οὐδὲ θυγατέρας, αὐτοὶ μόνοι σωθήσονται. 19 ἢ καὶ θάνατον ἐπα-
ποστείλω ἐπὶ τὴν γῆν ἐκείνην, καὶ ἐκχεῶ τὸν θυμόν μου ἐπ' αὐτὴν
20 ἐν αἵματι τοῦ ἐξολεθρεῦσαι ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος, 20 καὶ
Νῶε καὶ Δανιὴλ καὶ Ἰὼβ ἐν μέσῳ αὐτῆς, ζῶ ἐγώ, λέγει Κύριος, ἐὰν
υἱοὶ ἢ θυγατέρες ὑπολειφθῶσιν, αὐτοὶ ἐν τῇ δικαιοσύνῃ αὐτῶν ῥύ-
21 σονται τὰς ψυχὰς αὐτῶν. 21 τάδε λέγει Κύριος Ἐὰν δὲ καὶ τὰς
τέσσαρας ἐκδικήσεις μου τὰς πονηράς, ῥομφαίαν καὶ λιμὸν καὶ θηρία
πονηρὰ καὶ θάνατον, ἐξαποστείλω ἐπὶ Ἰερουσαλὴμ τοῦ ἐξολεθρεῦσαι
22 ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος, 22 καὶ ἰδοὺ ὑπολελιμμένοι ἐν αὐτῇ οἱ
ἀνασεσωσμένοι αὐτῆς, οἳ ἐξάγουσιν ἐξ αὐτῆς υἱοὺς καὶ θυγατέρας, ἰδοὺ
23 ἐκπορεύονται πρὸς ὑμᾶς, καὶ ὄψεσθε τὰς ὁδοὺς αὐτῶν 23 καὶ τὰ ἐνθυμή-
ματα αὐτῶν, καὶ ἐπιγνώσεσθε διότι οὐ μάτην πεποίηκα πάντα ὅσα
ἐποίησα ἐν αὐτῇ, λέγει Κύριος.

XV 1 2 1 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων 2 Καὶ σύ, υἱὲ ἀνθρώ-
που, τί ἂν γένοιτο τὸ ξύλον τῆς ἀμπέλου ἐκ πάντων τῶν ξύλων

14 αυτοι] ουτοι AQ | Κυριος] pr αδωναι A$^{a?}$Q 15 εαν] + δε A | AQ επαγω] επαγαγω A | ο διοδευων] om ο Q 16 ωσι (-σιν A)] om Q | Κυριος] αδωναι κ̅ς̅ A$^{a? vid}$Q | η 1°] και A | θυγατερες] + αυτων A 17 ρομφαιαν εαν επαγω] εαν ρ. επαγαγω A ρ. εαν επαξω Q | διελθετω Q | κτηνος] κτηνη A 18 ανδρες ουτοι A | αυτης] + ωσιν A | Κυριος] pr αδωναι A$^{a? vid}$Q | ουδε] η A | αυτοι] pr αλλ η A 19 η] ει Q^{a} | επαποστειλω] επαγω A επαποστελω Q | om γην B* (superscr B^{ab}) | εξολοθρευσαι B^{b}: item 21 20 Ιωβ εν με sup ras B^{ab} | αυτης] + ωσιν A | Κυριος] pr αδωναι A$^{a? vid}$ Q | υπολειφθωσιν] + αυτοις A 21 Κυριος] pr αδωναι AQ | εξαποστειλω] επαποστελω A εξαποστελω Q 22 υπολελειμμενοι B^{ab}Q^{a} | αυτης 1°] pr εξ AQ | οι εξαγουσιν εξ αυτης] ουτοι εξαξουσιν AQ | ιδου 2°] + αυτοι AQ | αυτων] + και τα ενθυμηματα αυτων και μεταμεληθησεσθε (-θαι AQ*) επι τα κακα α επηγαγον επι (εν Q) Ι̅λ̅η̅μ̅ παντα τα κακα (om τα B^{ab}) α επηγαγον επ αυτην (23) και παρακαλεσουσιν υμας διοτι οψεσθε (-θαι A) τας οδους αυτων B$^{ab\,mg\,inf}$AQ 23 διοτι] οτι Q | Κυριος] pr αδωναι A$^{a? vid}$Q XV 1 pr tit περι του ξυλου της αμπελου Q$^{mg\,sup}$ 2 om και συ A (hab sub obel Q) | το ξυλον] om το Q* (hab Q$^{i\,mg}$) | ξυλων] + των κληματων B$^{ab(mg)}$AQ

B τῶν ὄντων ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ; [3]εἰ λήμψονται ἐξ αὐτῆς 3
ξύλον τοῦ ποιῆσαι εἰς ἐργασίαν; εἰ λήμψονται ἐξ αὐτῆς πάσσαλον
τοῦ κρεμάσαι ἐπ᾽ αὐτὸν πᾶν σκεῦος; [4]παρὲξ πυρὶ δέδοται εἰς ἀνά- 4
λωσιν, τὴν κατ᾽ ἐνιαυτὸν κάθαρσιν ἀπ᾽ αὐτῆς ἀναλίσκει τὸ πῦρ, καὶ
ἐκλείπει εἰς τέλος· μὴ χρήσιμον ἔσται εἰς ἐργασίαν; [5]οὐδὲ ἔτι αὐτοῦ 5
ὄντος ὁλοκλήρου οὐκ ἔσται εἰς ἐργασίαν; μὴ ὅτι ἐὰν καὶ πῦρ αὐτὸ
ἀναλώσῃ εἰς τέλος, εἰ ἔσται ἔτι εἰς ἐργασίαν; [6]διὰ τοῦτο εἰπόν 6
Τάδε λέγει Κύριος Ὃν τρόπον τὸ ξύλον τῆς ἀμπέλου ἐν τοῖς ξύλοις
τοῦ δρυμοῦ ὃ δέδωκα αὐτὸ πυρὶ εἰς ἀνάλωσιν, οὕτως δέδωκα τοὺς
κατοικοῦντας Ἰερουσαλήμ. [7]καὶ δώσω τὸ πρόσωπόν μου ἐπ᾽ αὐ- 7
§ Γ τούς· ἐκ τοῦ πυρὸς §ἐξελεύσονται, καὶ πῦρ αὐτοὺς καταφάγεται, καὶ
ἐπιγνώσονται ὅτι ἐγὼ Κύριος ἐν τῷ στηρίσαι με τὸ πρόσωπόν μου
ἐπ᾽ αὐτούς. [8]καὶ δώσω τὴν γῆν εἰς ἀφανισμὸν ἀνθ᾽ ὧν παρέπεσον 8
παραπτώματι, λέγει Κύριος.

[1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Υἱὲ ἀνθρώπου, δια- 1 2 XVI
μάρτυραι τῇ Ἰερουσαλὴμ τὰς ἀνομίας αὐτῆς, [3]καὶ ἐρεῖς Τάδε λέγει 3
Κύριος τῇ Ἰερουσαλήμ Ἡ ῥίζα σου καὶ ἡ γένεσίς σου ἐκ γῆς
Χανάαν, ὁ πατήρ σου Ἀμορραῖος, καὶ ἡ μήτηρ σου Χετταία. [4]καὶ 4
ἡ γένεσίς σου· ἐν ᾗ ἡμέρᾳ ἐτέχθης οὐκ ἔδησας τοὺς μαστούς σου, καὶ
ἐν ὕδατι οὐκ ἐλούσθης οὐδὲ ἁλὶ ἡλίσθης, καὶ σπαργάνοις οὐκ ἐσπαρ-
γανώθης, [5]οὐδὲ ἐφείσατο ὀφθαλμός μου ἐπὶ σοὶ ἐκ πάντων τούτων, 5
τοῦ παθεῖν τι ἐπὶ σοί· καὶ ἀπερίφης ἐπὶ πρόσωπον τοῦ πεδίου τῇ
σκολιότητι τῆς ψυχῆς σου ἐν ᾗ ἡμέρᾳ ἐτέχθης. [6]καὶ διῆλθον ἐπὶ 6
σὲ καὶ ἴδον σε πεφυρμένην ἐν τῷ αἵματι, καὶ εἶπά σοι Ἐκ τοῦ
αἵματός σου ζωή· [7]πληθύνου, καθὼς ἡ ἀνατολὴ τοῦ ἀγροῦ δέδωκά 7
σε· καὶ ἐπληθύνθης καὶ ἐμεγαλύνθης, καὶ εἰσῆλθες εἰς πόλεις πό-
λεων. οἱ μαστοί σου ἀνορθώθησαν, καὶ ἡ θρίξ σου ἀνέτειλεν,

AQΓ 3 ληψονται bis $B^{b}Q^{a}$ | αυτον] αυτου A 4 παρεξ] + ο $A^{a?}$Q | απ] om A επ Q 5 μη οτι εαν και] διοτι εαν και μη A | ει] μη A | εσται ετι] ετι εσται Q 6 Κυριος] pr αδωναι AQ | πυρι] pr τω AQ | Ιερουσαλημ] pr εν A 7 δωσω] στηριω A | καταφ. αυτ. Q | επιγνωσονται (α sup ras $B^{?}$)] γνωσονται QΓ | om με $Γ^{vid}$ 8 Κυριος] pr αδωναι QΓ XVI 2 ανομιας] [α]μαρτιας Γ 3 Κυριος] pr αδωναι QΓ 4 ουκ εδησας (εδησαν AQΓ) τους μαστους (μασθ. Q) σου] ουκ ετμηθη ο ομφαλος σου Q^{mg} | ελουσθης (ελουθ. B^{b})] + του $\overline{χρυ}$ μου A + α'θ' ※ εις σωτηριαν Q | και σπαργανοις ουκ εσπαργ. sub ※ $Q^{?}$ 5 ουδε εφεισατο] ου φεισεται A + επι σε Q | οφθαλμος] pr ο AQ | μου] σου Q^{*} ($μου$ Q^{mg}) | σοι 1°] + του ποιησαι σοι (συ Γ) εν $B^{ab(mg)}$AQΓ | bis scr τουτων B^{*} (improb τουτων 2° $B^{?}$) | απερριφης $B^{b(vid)}$A | η ημερα] [ημ]ερα η Γ 6 ειδον B^{a}: item 8 | αιματι] + σου B^{ab}AQΓ | ζωη] η ζωη σου A 7 πληθυνου] pr και A | ανωρθωθησαν B^{b}Q

8 σὺ δὲ ἦσθα γυμνὴ καὶ ἀσχημονοῦσα. [8]καὶ διῆλθον διὰ σοῦ καὶ ἴδον B
σε, καὶ ἰδοὺ καιρός σου καὶ καιρὸς καταλυόντων, καὶ διεπέτασα τὰς
πτέρυγάς μου ἐπὶ σὲ καὶ ἐκάλυψα τὴν ἀσχημοσύνην σου, καὶ ὤμοσά
σοι καὶ εἰσῆλθον ἐν διαθήκῃ μετὰ σοῦ, λέγει Κύριος, καὶ ἐγένου
9 μοι. [9]καὶ ἔλουσά σε ἐν ὕδατι, καὶ ἀπέπλυνα τὸ αἷμά σου ἀπὸ
10 σοῦ, καὶ ἔχρισά σε ἐν ἐλαίῳ· [10]καὶ ἐνέδυσά σε ποικίλα καὶ ὑπέ-
δησά σε ὑάκινθον, καὶ ἔζωσά σε βύσσῳ καὶ περιέβαλόν σε τρι-
11 χάπτῳ· [11]καὶ ἐκόσμησά σε κόσμῳ, καὶ περιέθηκα ψέλια περὶ τὰς
12 χεῖράς σου καὶ κάθεμα περὶ τὸν τράχηλόν σου· [12]καὶ ἔδωκα ἐνώτιον
περὶ τὸν μυκτῆρά σου καὶ τροχίσκους ἐπὶ τὰ ὦτά σου καὶ στέφανον
13 καυχήσεως ἐπὶ τὴν κεφαλήν σου· [13]καὶ ἐκοσμήθης χρυσίῳ καὶ ἀρ-
γυρίῳ, καὶ τὰ περιβόλαιά σου βύσσινα καὶ τρίχαπτα καὶ ποικίλα·
σεμίδαλιν καὶ ἔλαιον καὶ μέλι ἔφαγες, καὶ ἐγένου καλὴ σφόδρα.
14 [14]καὶ ἐξῆλθέν σοι ὄνομα ἐν τοῖς ἔθνεσιν ἐν τῷ κάλλει σου, διότι
συντετελεσμένον ἦν ἐν εὐπρεπείᾳ ἐν τῇ ὡραιότητι ᾗ ἔταξα ἐπὶ σέ,
15 λέγει Κύριος. [15]Κατεπεποίθεις ἐν τῷ κάλλει σου καὶ ἐπόρνευ-
σας ἐπὶ τῷ ὀνόματί σου, καὶ ἐξέχεας τὴν πορνείαν σου ἐπὶ πάντα
16 πάροδον. [16]καὶ ἔλαβες ἐκ τῶν ἱματίων σου, καὶ ἐποίησας σεαυτῇ
εἴδωλα ῥαπτὰ καὶ ἐξεπόρνευσας ἐπ' αὐτά, καὶ οὐ μὴ εἰσέλθῃς οὐδὲ
17 μὴ γένηται. [17]καὶ ἔλαβες τὰ σκεύη τῆς καυχήσεώς σου ἐκ τοῦ χρυ-
σίου μου καὶ ἐκ τοῦ ἀργυρίου μου, ἐξ ὧν ἔδωκά σοι, καὶ ἐποίησας
18 σεαυτῇ εἰκόνας ἀρσενικὰς καὶ ἐξεπόρνευσας ἐν αὐταῖς, [18]καὶ ἔλαβες
τὸν ἱματισμὸν τὸν ποικίλον σου καὶ περιέβαλες αὐτάς, καὶ τὸ ἔλαιόν
19 μου καὶ τὸ θυμίαμά μου ἔθηκας πρὸ προσώπου αὐτῶν, [19]καὶ τοὺς
ἄρτους μου οὓς ἔδωκά σοι, σεμίδαλιν καὶ ἔλαιον. καὶ μέλι ἐψώμισά

7 συ δε] και A 8 διηλθον] ηλθον Q | και 4°] ως A | καιρος AQΓ καταλυοντων (-ωντων A^{*} -οντων A^{1})] α' καιρος συναλλαγης θ' καιρος μαστων σου σ' καιρος αγαπης Q^{mg} | ασχημοσυνην] incep αισχ Q^{*vid} | ωμοσα σοι] ωμολογησα σοι $B^{a\,mg}$ (non inst B^{b}) | Κυριος] pr αδωναι $A^{a?}$ (ει αδω|ναι in mg et sup ras $A^{a?}$) QΓ | μοι] μου B^{*} (μοι B^{ab}Q) hiat Γ 10 υπεδησα] υπ[ε]δυσα Γ 12 περι] επι A 13 χρυσιω και αργυριω] κοσμω χρυσω και αργυρω AΓ | μελι και ελαιον Q | φαγες Q^{*} (εφ. Q^{a}) | σφοδρα]+σφοδρα AQ+θ' ※ και κατηυθυνθης εις βασιλειαν Q 14 σοι] σου AQΓ | εν 2°] επι A | συντετελεσμενον] ον sup ras B^{ab} | om εν τη ωραιοτητι Q | Κυριος] pr αδωναι $A^{a?}$ (επι σε| λεγει αδωναι in mg et sup ras) QΓ 15 κατεπεποιθεις] pr και A και επεποιθεις Q | εν] επι AΓ | πορνιαν A | παροδον]+ο ουκ εσται A+(sub ※) αυτω εγινου Q 16—27 paene perier in Γ 16 ειδωλα ραπτα] α' υψηλα εμβεβολιμμενα Q^{mg} | ουδε] ουδ ου A 17 εκ του χρυσιου μου και εκ του αργυριου μου] pr και A εκ του αργ. μου και εκ του χρυσ. μου Q 18 αυτας] αυτα B^{ab} AQ | το ελαιον] τον ελ. Q^{*} (το ελ. Q^{a})

B σε, καὶ ἔθηκας αὐτὰ πρὸ προσώπου αὐτῶν εἰς ὀσμὴν εὐωδίας. καὶ
ἐγένετο, λέγει Κύριος, 20 καὶ ἔλαβες τοὺς υἱούς σου καὶ τὰς θυ- 20
γατέρας σου ἃς ἐγέννησας, καὶ ἔθυσας αὐτοῖς εἰς ἀνάλωσιν· ὡς
μικρὰ ἐξεπόρνευσας, 21 καὶ ἔσφαξας τὰ τέκνα σου καὶ ἔδωκας αὐτὰ 21
ἐν τῷ ἀποτροπιάζεσθαί σε αὐτὰ αὐτοῖς. 22 τοῦτο παρὰ πᾶσαν τὴν 22
πορνείαν σου, καὶ οὐκ ἐμνήσθης τῆς νηπιότητός σου, τῆς ἡμέρας
ὅτε ἦσθα γυμνὴ καὶ ἀσχημονοῦσα· πεφυρμένη ἐν τῷ αἵματί σου
ἔζησας. 23 καὶ ἐγένετο μετὰ πάσας τὰς κακίας σου, λέγει Κύριος, 23
24 καὶ οἰκοδόμησας σεαυτῇ οἴκημα πορνικόν, καὶ ἐποίησας σεαυτῇ 24
ἔκθεμα ἐν πάσῃ πλατείᾳ, 25 καὶ ἐπ' ἀρχῆς πάσης ὁδοῦ ᾠκοδόμησας 25
τὰ πορνεῖά σου καὶ ἐλυμήνω τὸ κάλλος σου, καὶ διήγαγες τὰ σκέλη
σου παντὶ παρόδῳ καὶ ἐπλήθυνας τὴν πορνείαν σου, 26 καὶ ἐξεπόρ- 26
νευσας ἐπὶ τοὺς υἱοὺς Αἰγύπτου τοὺς ὁμοροῦντάς σοι τοὺς μεγα-
λοσάρκους, καὶ πολλαχῶς ἐξεπόρνευσας, τοῦ παροργίσαι με. 27 ἐὰν 27
δὲ ἐκτείνω τὴν χεῖρά μου ἐπὶ σέ, καὶ ἐξαρῶ τὰ νόμιμά σου καὶ
παραδώσω εἰς ψυχὰς μισούντων σε, θυγατέρας ἀλλοφύλων τὰς ἐκ-
κλινούσας σε ἐκ τῆς ὁδοῦ σου. ἠσέβησας 28 καὶ ἐξεπόρνευσας 28
ἐπὶ τὰς θυγατέρας Ἀσσούρ, καὶ οὐδ' οὕτως ἐνεπλήσθης· καὶ ἐξε-
πόρνευσας καὶ οὐκ ἐνεπίπλω. 29 καὶ ἐπλήθυνας τὰς διαθήκας σου 29
πρὸς γῆν Χαλδαίων, καὶ οὐδὲ ἐν τούτοις ἐνεπλήσθης. 30 τί διαθῶ 30
τὴν θυγατέρα σου, λέγει Κύριος, ἐν τῷ ποιῆσαί σε πάντα ταῦτα
ἔργα γυναικὸς πόρνης; καὶ ἐξεπόρνευσας τρισσῶς ἐν ταῖς θυγα-
¶ Γ τράσιν σου· 31 τὸ πορνεῖον ᾠκοδόμησας ἐν πάσῃ ἀρχῇ ὁδοῦ, καὶ ¶ τὴν 31

AQΓ 19 ευωδειας B* (-διας B^{b}) | εγενετο] + μετα ταυτα A | Κυριος] pr αδωναι Q 20 om και 1° A | ας εγεννησας] om A + μοι Q^{mg} | εθυσας] + αυτα A 21 σου] μου Q* (σου Q^{mg}) | εδωκες A | αυτα αυτοις] εν αυτοις A 22 πορνιαν A | σου 1°] + και τα βδελυγματα σου AQ | εμνησθης (-θη A)] + τας ημερας AQ | om της ημερας AQ | πεφυρμενη] pr και A | εζησας] pr και Q^{mg} 23 σου] + ουαι ουαι σοι A et (sub οι γ' ※) Q | Κυριος] pr αδωναι Q 24 οικοδομησας B* Q* Γ] ωκοδομησας B^{ab} AQ^{a} 25 αρχης πασης οδου] αρχην πασων εξοδων A | διηγαγες] ηγαγες A* (διηγ. A?) | om σου 4° Q 26 ομοροουντας A 27 εαν δε] και ιδου Q^{mg} | om και 1° A | σου 1°] μου Q^{mg} | παραδωσω] + σε AQΓ | ησεβησας] εξεπορνευσας A 28 εξεπορνευσας] ησεβησας A | τας θυγατερας] τους υιους Q | Ασσουρ] Σουρ A | om και 3° A | ενεπιπλω] ενεμπιπλω A ενεπιμπλω QΓ 29 τας διαθηκας] την διαθηκην AΓ τας πορνειας Q | γην] + Χαναναιων και A + Χανααν QΓ^{vid} | Χαλδαιων] ϛ εις τους Χαλδαιους Q^{mg} | ουδε] ουδ A 30 τι διαθω] τινι καθαριω Q^{mg} | θυγατερα] καρδιαν Q | Κυριος] pr αδωναι Q | παντα ταυτα] om A ταυτα πā|τα Q | πορνης] + (sub θ' ※) παρρησιαζομενης Q | om και A | εν 2°] επι A 31 το πορνειον ωκοδομησας] και το πορνιον ωκοδ. A οποτε ωκοδ. το πορνειον σου Q και το πορνειον σου ωκοδ.. Γ | εν παση αρχη] επι πασης αρχης A εν αρχη πασης Q | και την βασιν σου] om και A ϛ το εκθεμα σου Q^{mg}

βάσιν σου ἐποίησας ἐν πάσῃ πλατείᾳ. καὶ ἐγένου ὡς πόρνη συνά- B
32 γουσα μισθώματα, [32]ἡ γυνὴ ἡ μοιχωμένη ὁμοία σοι, παρὰ τοῦ ἀνδρὸς
33 αὐτῆς λαμβάνουσα μισθώματα, [33]πᾶσι τοῖς ἐκπορνεύσασιν αὐτὴν
προσεδίδου μισθώματα· καὶ σὺ δέδωκας μισθώματα πᾶσι τοῖς ἐρα-
σταῖς σου, καὶ ἐφόρτιζες αὐτούς, τοῦ ἔρχεσθαι πρὸς σὲ κυκλόθεν ἐν
34 τῇ πορνίᾳ σου. [34]καὶ ἐγένετο ἐν σοὶ διεστραμμένον παρὰ τὰς
γυναῖκας ἐν τῇ πορνείᾳ σου, καὶ μετὰ σοῦ πεπορνεύκασιν ἐν τῷ
διδόναι σε μισθώματα, καὶ μισθώματα οὐκ ἐδόθη σοί, καὶ ἐγένετο
35 ἐν σοὶ διεστραμμένα. [35]Διὰ τοῦτο, πόρνη, ἄκουε λόγον Κυρίου
36 [36]Τάδε λέγει Κύριος Ἀνθ᾽ ὧν ἐξέχεας τὸν χαλκόν σου, καὶ ἀποκα-
λυφθήσεται ἡ αἰσχύνη σου ἐν τῇ πορνείᾳ σου πρὸς τοὺς ἐραστάς
σου καὶ εἰς πάντα τὰ ἐνθυμήματα τῶν ἀνομιῶν σου καὶ ἐν τοῖς
37 αἵμασιν τῶν τέκνων σου ὧν ἔδωκας αὐτοῖς. [37]διὰ τοῦτο ἰδοὺ ἐγὼ
ἐπισυνάγω πάντας τοὺς ἐραστάς σου ἐν οἷς ἐπεμίγης ἐν αὐτοῖς, καὶ
πάντας οὓς ἠγάπησας σὺν πᾶσιν οἷς ἐμίσεις· καὶ συνάξω αὐτοὺς
ἐπὶ σὲ κυκλόθεν καὶ ἀποκαλύψω τὰς κακίας σου πρὸς αὐτούς, καὶ
38 ὄψονται πᾶσαν τὴν αἰσχύνην σου· [38]καὶ ἐκδικήσω σε ἐκδικήσει μοι-
39 χαλίδος, καὶ θήσω σε ἐν αἵματι θυμοῦ καὶ ζήλου. [39]καὶ παραδώσω
σε εἰς χεῖρας αὐτῶν, καὶ κατασκάψουσιν τὸ πορνεῖόν σου καὶ καθε-
λοῦσιν τὴν βάσιν σου, καὶ ἐκδύσουσίν σε τὰ ἱμάτιά σου καὶ λήμ-
ψονται τὰ σκεύη τῆς καυχήσεώς σου, καὶ ἀφήσουσίν σε γυμνὴν
40 καὶ ἀσχημονοῦσαν. [40]καὶ ἄξουσιν ἐπὶ σὲ ὄχλους, καὶ λιθοβολή-
σουσίν σε ἐν λίθοις, καὶ κατασφάξουσίν σε ἐν τοῖς ξίφεσιν αὐ-
41 τῶν, [41]καὶ ἐνπρήσουσιν τοὺς οἴκους σου πυρί, καὶ ποιήσουσιν ἐν
σοὶ ἐκδικήσεις ἐνώπιον γυναικῶν πολλῶν· καὶ ἀποστρέψω σε ἐκ
42 πορνείας, καὶ μισθώματα οὐ μὴ δῷς οὐκέτι. [42]καὶ ἐπαφήσω τὸν
θυμόν μου ἐπὶ σέ, καὶ ἐξαρθήσεται ὁ ζῆλός μου ἐκ σοῦ· καὶ ἀνα-

31 εγενου] pr ουκ Q **32** η γυνη η μοιχ.] ως γυνη μοιχ. A | ομοια AQ σοι] δ. γρ. υπο τον ανδρα αυτης εις αλλοτριους ομοια σοι Q[mg] **33** πασιν AQ | εκπορνευσασιν] εκπορνευουσιν A | om και συ δεδωκας μισθωματα A | και εφορτιζες αυτους] α΄ ϛ εδωροδοτεις αυτους Q[mg] | πορνεια B[ab]AQ **34** εγενετο] το bis scr Q* | om εν 1° AQ | διεστραμμενον] εξεστραμμενον A | σου 2°] σε ου Q | διδοναι] προσδιδοναι B[ab mg]Q προδιδοναι A | μισθωματα ουκ εδοθη σοι] σοι μισθ. ουκ εδοθη A | διεστραμμενα] εξεστραμμενα A **36** Κυριος] pr αδωναι AQ | εις] επι A | ανομων Q* (-μιων Q[a]) | εδωκας] δεδωκας Q **37** επισυναγω] επι σε συναγω AQ | παντας 2°] απαντας Q | κακειας B* (-κιας B[b]): item 57 **38** μοιχαλιδος] μοιχαλιδων Q + και εχχεουσης (sic) αιμα A + και εκχεουσω͞ν αιμα Q | θησω] θησομαι A | αιματι] τω αιματι σου και δωσω σε εις αιμα A | ζηλους A **39** κατασκοψουσιν A | τα ιματια] τον ιματισμον A | ληψονται Q[a] **41** εμπρησουσιν B[b]AQ | πυρι] pr εν A | εκ πορνειας] απο της πορν. σου A

B παύσομαι, καὶ οὐ μὴ μεριμνήσω οὐκέτι. 43 ἀνθ' ὧν οὐκ ἐμνήσθης 43
τῆς νηπιότητός σου, καὶ ἐλύπεις με ἐν πᾶσι τούτοις, καὶ ἐγὼ ἰδοὺ
τὰς ὁδούς σου εἰς κεφαλήν σου δέδωκα, λέγει Κύριος· καὶ οὕτως
ἐποίησας τὴν ἀσέβειαν ἐπὶ πάσαις ταῖς ἀνομίαις σου. 44 ταῦτά ἐστιν 44
πάντα ὅσα εἶπαν κατὰ σοῦ ἐν παραβολῇ λέγοντες Καθὼς ἡ μήτηρ, 45 καὶ 45
ἡ θυγάτηρ· (45) θυγάτηρ τῆς μητρός σου σὺ εἶ ἡ ἀπωσαμένη τὸν ἄνδρα
αὐτῆς καὶ τὰ τέκνα αὐτῆς, καὶ ἀδελφαὶ τῶν ἀδελφῶν σου αἱ ἀπω-
σάμεναι τοὺς ἄνδρας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν· ἡ μήτηρ ὑμῶν
Χετταία, καὶ ὁ πατὴρ ὑμῶν Ἀμορραῖος. 46 ἡ ἀδελφὴ ὑμῶν ἡ πρεσ- 46
βυτέρα Σαμάρεια, αὐτὴ καὶ αἱ θυγατέρες αὐτῆς, ἡ κατοικοῦσα ἐξ
εὐωνύμων σου· καὶ ἡ ἀδελφή σου ἡ νεωτέρα σου ἡ κατοικοῦσα ἐκ
δεξιῶν σου, Σόδομα καὶ αἱ θυγατέρες αὐτῆς. 47 καὶ οὐδ' ὡς ἐν ταῖς 47
ὁδοῖς αὐτῶν ἐπορεύθης, οὐδὲ κατὰ τὰς ἀνομίας αὐτῶν ἐποίησας·
παρὰ μικρὸν καὶ ὑπέρκεισαι αὐτὰς ἐν πάσαις ταῖς ὁδοῖς σου. 48 ζῶ 48
ἐγώ, λέγει Κύριος, εἰ πεποίηκεν Σόδομα, αὐτὴ καὶ αἱ θυγατέρες αὐ-
τῆς, ὃν τρόπον ἐποίησας σὺ καὶ αἱ θυγατέρες σου. 49 πλὴν τοῦτο 49
τὸ ἀνόμημα Σοδόμων τῆς ἀδελφῆς σου, ὑπερηφανία· ἐν πλησμονῇ
ἄρτων καὶ ἐν εὐθηνίᾳ ἐσπατάλων αὐτὴ καὶ αἱ θυγατέρες αὐτῆς·
τοῦτο ὑπῆρχεν αὐτῇ καὶ ταῖς θυγατράσιν αὐτῆς· καὶ χεῖρα πτωχοῦ
καὶ πένητος οὐκ ἀντελαμβάνοντο, 50 καὶ ἐμεγαλαύχουν καὶ ἐποίησαν 50
ἀνομήματα ἐνώπιόν μου, καὶ ἐξῆρα αὐτὰς καθὼς εἶδον. 51 καὶ Σα- 51
μάρεια κατὰ τὰς ἡμίσεις τῶν ἁμαρτιῶν σου οὐχ ἥμαρτεν· καὶ ἐπλή-
θυνας τὰς ἀνομίας σου ὑπὲρ αὐτάς, καὶ ἐδικαίωσας τὰς ἀδελφάς
σου ἐν πάσαις ταῖς ἀνομίαις σου αἷς ἐποίησας. 52 καὶ σὺ κόμισαι 52
βάσανόν σου ἐν ᾗ ἔφθειρας τὰς ἀδελφάς σου ἐν ταῖς ἁμαρτίαις σου
αἷς ἠνόμησας ὑπὲρ αὐτάς, καὶ ἐδικαίωσας αὐτὰς ὑπὲρ σεαυτήν· καὶ
σὺ αἰσχύνθητι καὶ λάβε τὴν ἀτιμίαν σου ἐν τῷ δικαιῶσαί σε τὰς
ἀδελφάς σου. 53 καὶ ἀποστρέψω τὰς ἀποστροφὰς αὐτῶν τὴν ἀπο- 53
στροφὴν Σοδόμων καὶ τῶν θυγατέρων αὐτῆς, καὶ ἀποστρέψω τὴν

AQ 43 εμνησθης] + την ημεραν AQ | πασιν A | Κυριος] pr αδωναι Q | ασεβειαν] + σου A 45 om θυγατηρ 2° A | om σου 1° A | αδελφαι] pr αι AQ | σου των αδελφων A | om υμων Χετταια και ο πατηρ Q* (hab Q^{I(mg)}) 47 ουδ ως] ου δωσω σε B* | παρα] κατα Q* (παρα Q^{mg}) | μικρον] + (sub ※) οσον Q | και (bis scr και B* improb 1° B^b) υπερκεισαι αυτας] οι γ' ϗ διεφθειρας υπερ αυτας Q^{mg} | αυτας] + παρα πικρον A 48 Κυριος] pr αδωναι Q | πεποιηκεν] εποιησεν Q | Σοδομα] + η αδελφη σου AQ | εποιησας] πεποιηκας A 49 το ανομημα] ην (sub ※) ανομ. Q | Σοδομων] δ et μ sup ras A^a | υπερηφανεια Q* (-νια Q^a) | ευθηνια] + οινου A | αντελαμβανοντο] ᾱ|τελαβοντο A 50 ανομηματα] ανομα A | μου] εμου A | ειδον] om A ιδες Q 51 ανομιας] αμαρτιας A | αις] ας Q 52 εφθειρας] διεφθειρας A | σεαυτην] σαυτη̄| Q 53 θυγατερων 1°] αδελφω| Q

ἀποστροφὴν Σαμαρείας καὶ τῶν θυγατέρων αὐτῆς, καὶ ἀποστρέψω B
54 τὴν ἀποστροφήν σου ἐν μέσῳ αὐτῶν, [54]ὅπως κομίσῃ τὴν βάσανόν
σου καὶ ἀτιμωθήσῃ ἐκ πάντων ὧν ἐποίησας ἐν τῷ παροργίσαι με.
55 [55]καὶ ἡ ἀδελφή σου Σόδομα καὶ αἱ θυγατέρες αὐτῆς ἀποκατασταθή-
σονται καθὼς ἦσαν ἀπ' ἀρχῆς· καὶ σὺ καὶ αἱ θυγατέρες σου ἀπο-
56 κατασταθήσεσθε καθὼς ἀπ' ἀρχῆς ἦτε. [56]καὶ εἰ μὴ ἦν Σόδομα ἡ
ἀδελφή σου εἰς ἀκοὴν ἐν τῷ στόματί σου ἐν ταῖς ἡμέραις ὑπερ-
57 ηφανίας σου, [57]πρὸ τοῦ ἀποκαλυφθῆναι τὰς κακίας σου, ὃν τρόπον
νῦν ὄνειδος εἶ θυγατέρων Συρίας καὶ πάντων τῶν κύκλῳ αὐτῆς θυ-
58 γατέρων ἀλλοφύλων τῶν περιεχουσῶν σε κύκλῳ, [58]τὰς ἀσεβείας
59 σου καὶ τὰς ἀνομίας σου κεκόμισαι αὐτάς, λέγει Κύριος. [59]τάδε
λέγει Κύριος Καὶ ποιήσω ἐν σοὶ καθὼς ἐποίησας, ὡς ἠτίμωσας ταῦτα
60 τοῦ παραβῆναι τὴν διαθήκην μου. [60]καὶ μνησθήσομαι ἐγὼ τῆς δια-
θήκης μου τῆς μετὰ σοῦ ἐν ἡμέραις νηπιότητός σου, καὶ ἀναστήσω
61 σοι διαθήκην αἰώνιον. [61]καὶ μνησθήσῃ τὴν ὁδόν σου, καὶ ἐξατι-
μωθήσῃ ἐν τῷ ἀναλαβεῖν σε τὰς ἀδελφάς σου τὰς πρεσβυτέρας
σου σὺν ταῖς νεωτέραις σου, καὶ δώσω αὐτάς σοι εἰς οἰκοδομὴν
62 καὶ οὐκ ἐκ διαθήκης σου. [62]καὶ ἀναστήσω ἐγὼ τὴν διαθήκην μου
63 μετὰ σοῦ, καὶ ἐπιγνώσει ὅτι ἐγὼ Κύριος· [63]ὅπως μνησθῇς καὶ
αἰσχυνθῇς, καὶ μὴ ᾖ σοι ἔτι ἀνοῖξαι τὸ στόμα σου ἀπὸ προσώπου
τῆς ἀτιμίας σου, ἐν τῷ ἐξιλάσκεσθαί μέ σοι κατὰ πάντα ὅσα ἐποί-
ησας, λέγει Κύριος.
XVII 1 2 [1]Καὶ ἐγένετο λόγος Κυρίου πρός με λέγων [2]Υἱὲ ἀνθρώπου,
διήγησαι διήγημα καὶ εἰπὸν παραβολὴν πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ,
3 [3]καὶ ἐρεῖς Τάδε λέγει Κύριος Ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος, ὁ
μακρὸς τῇ ἐκτάσει, πλήρης ὀνύχων, ὃς ἔχει τὸ ἥγημα εἰσελθεῖν εἰς τὸν
4 Λίβανον, καὶ ἔλαβε τὰ ἐπίλεκτα τῆς κέδρου, [4]τὰ ἄκρα τῆς ἁπαλότητος
ἀπέκνισεν, καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν Χανάαν, εἰς πόλιν τετειχισμένην

54 οπως κομιση] οπ. κομισω Q* ινα [κομισ]η Q^{mg} | τω παροργισαι] τω AQ σε παρ. A 55 αρχης 1°] + και Σαμαρεια και αι θυγατερες αυτης αποκατασταθησονται καθως ησαν απ αρχης AQ | αποκαταστασθησεσθε B* (αποκατασταθ. B^{b}) 56 υπερηφανειας Q* (-νιας Q^{a}) 57 Συρειας B* (-ριας B^{b}) 58 τας ασεβειας...κεκομισαι] εν ταις ασεβιαις σου και ταις ανομιαις σου συ κεκοσμησαι A | κεκομισαι] pr συ B$^{ab(vid)}$Q | αυτας] αυτα Q 59 Κυριος] pr αδωναι AQ | om εν A | ητιμασας AQ 61 ατιμασθηση A | εις οικοδομην] εις δοκιμην Q* (εις οικοδ. Q^{mg}) | σου 5°] μου A om Q 62 om εγω 1° A | επιγνωση B^{ab}AQ 63 το στομα σου] το στομα A στομα Q | της ατιμιας] om της A | εν τω εξιλασκ.] pr και A | Κυριος] pr αδωναι Q XVII 1 pr tit περι του αετου του μεγαλου Q$^{mg\,sup}$ 3 Κυριος] pr αδωναι Q | αετος] pr ο AQ | εκτασει] εκστασει A | ελαβεν AQ | επιλεκτα] εκλεκτα A 4 απεκνειζεν B$^{*\,vid}$ | Χανααν] Χαλδαιων A

B ἔθετο αὐτά. [5]καὶ ἔλαβεν ἀπὸ τοῦ σπέρματος τῆς γῆς καὶ ἔδωκεν 5
αὐτὸ εἰς τὸ πεδίον φυτὸν ἐφ' ὕδατι πολλῷ, ἐπιβλεπόμενον ἔταξεν
αὐτό. [6]καὶ ἀνέτειλεν καὶ ἐγένετο εἰς ἄμπελον ἀσθενοῦσαν καὶ 6
μικράν, τοῦ ἐπιφαίνεσθαι αὐτὴν τὰ κλήματα αὐτῆς ἐπ' αὐτό, καὶ
ῥίζαι αὐτῆς ὑποκάτω αὐτῆς ἦσαν. καὶ ἐγένετο εἰς ἄμπελον καὶ
ἐποίησεν ἀπώρυγας καὶ ἐξέτεινεν τὴν ἀναδενδράδα αὐτῆς. [7]καὶ 7
ἐγένετο ἀετὸς ἕτερος μέγας μεγαλοπτέρυγος πολὺς ὄνυξιν, καὶ ἰδοὺ ἡ
ἄμπελος αὕτη περιπεπλεγμένη πρὸς αὐτόν, καὶ ῥίζαι αὐτῆς πρὸς
αὐτόν, καὶ τὰ κλήματα αὐτῆς ἐξαπέστειλεν αὐτῷ τοῦ ποτίσαι αὐτὴν
σὺν τῷ βώλῳ τῆς φυτείας αὐτῆς. [8]εἰς πεδίον καλὸν ἐφ' ὕδατι 8
πολλῷ αὕτη πιαίνεται, τοῦ ποιεῖν βλαστοὺς καὶ φέρειν καρπόν, τοῦ
εἶναι εἰς ἄμπελον μεγάλην. [9]διὰ τοῦτο εἰπόν Τάδε λέγει Κύριος Εἰ 9
κατευθυνεῖ, οὐχὶ αἱ ῥίζαι τῆς ἁπαλότητος αὐτῆς καὶ ὁ καρπὸς σαπή-
σεται, καὶ ξηρανθήσεται πάντα τὰ προανατέλλοντα αὐτῆς, καὶ οὐκ ἐν
βραχίονι μεγάλῳ οὐδ' ἐν λαῷ πολλῷ τοῦ ἐκσπάσαι αὐτὴν ἐκ ῥιζῶν
αὐτῆς; [10]καὶ ἰδοὺ πιαίνεται· μὴ κατευθυνεῖ; οὐχ ἅμα τῷ ἅψασθαι 10
αὐτῆς ἄνεμον τὸν καύσωνα ξηρανθήσεται; σὺν τῷ βώλῳ ἀνατολῆς
αὐτῆς ξηρανθήσεται. [11]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων 11
[12]Υἱὲ ἀνθρώπου, εἰπὸν δὴ πρὸς τὸν οἶκον τὸν παραπικραίνοντα 12
Οὐκ ἐπίστασθε τί ἦν ταῦτα; εἰπόν Ὅταν ἔλθῃ βασιλεὺς Βαβυλῶνος
ἐπὶ Ἰερουσαλήμ, καὶ λήμψεται τὸν βασιλέα αὐτῆς καὶ τοὺς ἄρχοντας
αὐτῆς καὶ ἄξει αὐτοὺς πρὸς ἑαυτὸν εἰς Βαβυλῶνα. [13]καὶ λήμψεται ἐκ 13
τοῦ σπέρματος τῆς βασιλείας, καὶ διαθήσεται πρὸς αὐτὸν διαθήκην
καὶ εἰσάξει αὐτὸν ἐν ἀρᾷ, καὶ τοὺς ἡγεμόνας τῆς γῆς λήμψεται, [14]τοῦ 14
γενέσθαι εἰς βασιλείαν ἀσθενῆ τὸ καθόλου μὴ ἐπαίρεσθαι, τοῦ
φυλάσσειν τὴν διαθήκην αὐτοῦ καὶ ἱστάνειν αὐτήν. [15]καὶ ἀποστή- 15

AQ 5 φυτον] + (sub θ' ※) ληπτον Q* (λ. improb Q?) 6 ασθενουσαν] ευθηνουσαν A | μικραν] + τω μεγεθει AQ | του επιφαινεσθαι] τω επιφ. A | αυτην] αυτη| A^{vid} | om επ αυτο και ριζαι αυτης Q* (hab Q^{mg}) | αυτο] αυτην A | ριζαι] pr αι A | bis scr υποκατω αυτης B* (uncis incl 2° B^{ab}) | αυτης 3°] αυτου Q^{a} | ησαν uncis incl B^{a} (ras uncos B^{b}) | αμπελον 2°] + μεγαλην A | αναδενδρα B* (-δραδα B^{ab}) 7 ριζαι] pr αι AQ | εξαπεστειλεν] pr και A | αυτω] αυτην A | ποτισαι] ποιησαι Q | συν τω βωλω] απο του πρεμνου Q^{mg} | φυτιας A 8 ποιειν] ποιησαι AQ | βλαστους] καρπον A | φερειν καρπον] ενεγκαι βλαστον A 9 Κυριος] pr αδωναι Q | κατευθυνει] κατευθυνθησεται A | απαλοτητος] απ sup ras B^{ab} | καρπος] + αυτης Q | om σαπησεται Q* (hab Q^{mg}) | αυτης 2°] + (sub ※) ξηρανθησεται Q | ουδ] ουδε A 10 ουχ] ουχι A | ξηρανθησεται 1°] + ξηρασια AQ | om ξηρανθησεται 2° A 12 οικον] + Ιηλ A | ην] εστι] A εστι Q^{mg} | ταυτα ειπον] ταυτα α ειπον A ταυτα α ειπον αυτοις Q^{mg} | οταν ελθη] ιδου ηξει Q^{mg} | επι] εις A | om και 1° A | ληψεται Q^{a}: item 13 bis | om και τους αρχοντας αυτης A | εαυτον] αυτον A 13 om εκ Q | ηγεμονας] ηγουμενους AQ 14 και ισταvειν] του ιστ. A

σεται ἀπ᾿ αὐτοῦ τοῦ ἐξαποστέλλειν ἀγγέλους ἑαυτοῦ εἰς Αἴγυπτον, B
τοῦ δοῦναι αὐτῷ ἵππους καὶ λαὸν πολύν. εἰ κατευθυνεῖ; εἰ δια-
σωθήσεται ὁ ποιῶν ἐναντία; καὶ παραβαίνων διαθήκην εἰ διασωθήσε-
16 ται; [16]ζῶ ἐγώ, λέγει Κύριος, ἐὰν μὴ ἐν τόπῳ ὁ βασιλεὺς ὁ βασιλεύσας
αὐτόν, ὃς ἠτίμωσεν τὴν ἀράν μου καὶ ὃς παρέβη τὴν διαθήκην μου,
17 μετ᾿ αὐτοῦ ἐν μέσῳ Βαβυλῶνος τελευτήσει. [17]καὶ οὐκ ἐν δυνάμει
μεγάλῃ οὐδ᾿ ἐν ὄχλῳ πολλῷ ποιήσει πρὸς αὐτὸν Φαραὼ πόλεμον, ἐν
18 χαρακοβολίᾳ καὶ ἐν οἰκοδομῇ βελοστάσεων τοῦ ἐξᾶραι ψυχάς. [18]καὶ
ἠτίμωσεν ὁρκωμοσίαν τοῦ παραβῆναι διαθήκην, καὶ ἰδοὺ δέδωκα τὴν
19 χεῖρα αὐτοῦ, καὶ πάντα ταῦτα ἐποίησεν αὐτῷ· μὴ σωθήσεται; [19]διὰ
τοῦτο εἰπόν Τάδε λέγει Κύριος Ζῶ ἐγὼ ἐὰν μὴ τὴν ὁρκωμοσίαν μου
ἣν ἠτίμωσεν, καὶ τὴν διαθήκην μου ἣν παρέβη, καὶ δώσω αὐτὴν εἰς
20 κεφαλὴν αὐτοῦ. [20]καὶ ἐκπετάσω ἐπ᾿ αὐτὸν τὸ δίκτυον, καὶ ἁλώσεται
21 ἐν τῇ περιοχῇ αὐτοῦ. [21]ἐν πάσῃ παρατάξει αὐτοῦ ἐν ῥομφαίᾳ πε-
σοῦνται, καὶ τοὺς καταλοίπους εἰς πάντα ἄνεμον διασπερῶ· καὶ ἐπι-
22 γνώσεσθε διότι ἐγὼ Κύριος λελάληκα. [22]Διότι τάδε λέγει Κύριος
Καὶ λήμψομαι ἐγὼ ἐκ τῶν ἐκλεκτῶν τῆς κέδρου ἐκ κορυφῆς, καρδίας
23 αὐτῶν ἀποκνιῶ καὶ καταφυτεύσω ἐγὼ ἐπ᾿ ὄρος ὑψηλόν, [23]καὶ κρε-
μάσω αὐτὸν ἐν ὄρει μετεώρῳ Ἰσραὴλ καὶ καταφυτεύσω, καὶ ἐξοίσει
βλαστὸν καὶ ποιήσει καρπὸν καὶ ἔσται εἰς κέδρον μεγάλην· καὶ
ἀναπαύσεται ὑποκάτω αὐτοῦ πᾶν ὄρνεον, καὶ πᾶν πετεινὸν ὑπὸ τὴν
σκιὰν αὐτοῦ ἀναπαύσεται· τὰ κλήματα αὐτοῦ ἀποκατασταθήσεται.
24 [24]καὶ γνώσονται πάντα τὰ ξύλα τοῦ πεδίου διότι ἐγὼ Κύριος ὁ
ταπεινῶν ξύλον ὑψηλὸν καὶ ὑψῶν ξύλον ταπεινόν, καὶ ξηραίνων
ξύλον χλωρὸν καὶ ἀναθάλλων ξύλον ξηρόν. ἐγὼ Κύριος λελάληκα
καὶ ποιήσω.

15 εξαποστελειν Q | om εαυτου Q | διασωθησεται 2°] σωθησεται AQ AQ
16 ζω] pr δια τουτο A | Κυριος] pr αδωναι Q | τοπω] τω τοπω ω A τω τοπω Q | ο βασιλευς ο βασιλευσας] του βασιλεως του βασιλευσαντος Q^{mg} **17** ουδ] ουδε AQ | βελοστασεως A | ψυχας] + πολλας Q **18** και ητιμωσεν] οτι ητιμασεν A | δεδωκα] δεδωκεν AQ^{mg} **19** Κυριος] pr αδωναι Q | την ορκωμοσιαν ...παρεβη] την διαθηκην μου ην παρεβη και την ορκ. μου ην ητιμωσεν A | αυτην] αυτα AQ **20** δικτυον] + μου AQ | αυτου] + (sub ※ Q) και αξω αυτον εις Βαβυλωνα και διακριθησομαι μετ αυτου εκει την αδικιαν αυτου ην ηδικησεν εν εμοι AQ **21** εν παση παραταξει αυτου] και πασας φυγαδειας (-δας Q^{*} -διας Q^{a}) αυτου εν παση τη π. αυτου AQ (sub ※ usque ad αυτου 1°) και παντες οι εκλεκτοι συν [παση τη π. α.] Q^{mg} | πεσουνται B^{*} (πεσουντ. B^{ab}) **22** διοτι] δια τουτο ειπον A | Κυριος] pr αδωναι Q | ληψομαι Q^{a} | εκλεκτων] επιλεκτων AQ | om εκ 2° A | κορυφης] + καρδιας αυτων A + (sub ϑ' ※) και δωσω απο κεφαλης παραφυαδων αυτης Q | αυτων] + και δωσω απο κεφαλης παραφυαδων αυτης καρδιας αυτων A **23** Ισραηλ] pr του A | ορνεον και παν πετεινον] θηριον και τα πετεινα A | τα κληματα] pr και A **24** πεδιου] αγρου A | υψων] pr ο AQ | ξυρον B^{*} (ξηρ. B^{ab})

B [1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Υἱὲ ἀνθρώπου, τί 1 2 XVIII
ὑμῖν ἡ παραβολὴ αὕτη ἐν τοῖς υἱοῖς Ἰσραήλ, λέγοντες Οἱ πατέρες
ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἐγομφίασαν; [3]ζῶ ἐγώ, 3
λέγει Κύριος, ἐὰν γένηται ἔτι λεγομένη ἡ παραβολὴ αὕτη ἐν τῷ
Ἰσραήλ. [4]ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσιν, ὃν τρόπον ἡ ψυχὴ τοῦ 4
πατρὸς οὕτως καὶ ἡ ψυχὴ τοῦ υἱοῦ, ἐμαί εἰσιν· ἡ ψυχὴ ἡ ἁμαρτάνουσα,
αὕτη ἀποθανεῖται. [5]ὁ δὲ ἄνθρωπος ὃς ἔσται δίκαιος, ὁ ποιῶν δικαιο- 5
σύνην, [6]ἐπὶ τῶν ὀρέων οὐ φάγεται, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐ μὴ 6
ἐπάρῃ πρὸς τὰ ἐνθυμήματα οἴκου Ἰσραήλ, καὶ τὴν γυναῖκα τοῦ
πλησίον αὐτοῦ οὐ μὴ μιάνῃ, καὶ πρὸς γυναῖκα ἐν ἀφέδρῳ οὖσαν οὐ
προσεγγιεῖ, [7]καὶ ἄνθρωπον οὐ μὴ καταδυναστεύσῃ, ἐνεχυρασμὸν 7
ὀφείλοντος ἀποδώσει καὶ ἅρπαγμα οὐχ ἁρπᾶται, τὸν ἄρτον αὐτοῦ τῷ
πεινῶντι δώσει καὶ γυμνὸν περιβαλεῖ, [8]καὶ τὸ ἀργύριον αὐτοῦ ἐπὶ 8
τόκῳ οὐ δώσει καὶ πλεονασμὸν οὐ λήμψεται, καὶ ἐξ ἀδικίας ἀπο-
στρέψει τὴν χεῖρα αὐτοῦ, κρίμα δίκαιον ποιήσει ἀνὰ μέσον ἀνδρὸς καὶ
ἀνὰ μέσον τοῦ πλησίον αὐτοῦ, [9]καὶ τοῖς προστάγμασίν μου πεπό- 9
ρευται, τὰ δικαιώματά μου πεφύλακται τοῦ ποιῆσαι αὐτά· δίκαιος
οὗτός ἐστιν, ζωῇ ζήσεται, λέγει Κύριος. [10]καὶ ἐὰν γεννήσῃ υἱὸν 10
λοιμόν, ἐκχέοντα αἷμα καὶ ποιοῦντα ἁμάρτημα, [11]ἐν τῇ ὁδῷ τοῦ 11
πατρὸς αὐτοῦ τοῦ δικαίου οὐκ ἐπορεύθη, ἀλλὰ καὶ ἐπὶ τῶν ὀρέων
ἔφαγεν καὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐμίανεν, [12]καὶ πτωχὸν 12
καὶ πένητα κατεδυνάστευσεν, καὶ ἅρπαγμα ἥρπασεν καὶ ἐνεχυρασμὸν
οὐκ ἀπέδωκεν καὶ εἰς τὰ εἴδωλα ἔθετο τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἀνομίαν
πεποίηκεν, [13]μετὰ τόκου ἔδωκε καὶ πλεονασμὸν ἔλαβεν· οὗτος ζωῇ 13
οὐ ζήσεται, πάσας τὰς ἀνομίας ταύτας ἐποίησεν, θανάτῳ θανατω-
θήσεται, τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἔσται. [14]ἐὰν δὲ γεννήσῃ υἱόν, καὶ 14
ἴδῃ πάσας τὰς ἁμαρτίας τοῦ πατρὸς αὐτοῦ ἃς ἐποίησεν, καὶ φοβηθῇ
καὶ μὴ ποιήσῃ κατὰ ταύτας, [15]ἐπὶ τῶν ὀρέων οὐ βέβρωκεν καὶ τοὺς 15
ὀφθαλμοὺς αὐτοῦ οὐκ ἔθετο εἰς τὰ ἐνθυμήματα οἴκου Ἰσραήλ, καὶ τὴν

AQ XVIII 2 αυτη] + επι της γης A | εγομφιασαν] εμωδιασαν Q^{mg} 3 Κυριος] pr αδωναι AQ 4 αι ψυχαι] om αι Q | om αυτη A | αποθανειται] + και του φαγοντος τον ομφακα αιμωδιασουσιν οι οδοντες αυτου A 5 om ος A | δικαιοσυνην] pr κριμα και AQ 6 προς 1°] επι A 7 αρτον] ᾱ|δρα A | τω πεινωντι] om τω Q | περιβαλει] + ιματιον AQ* + ιματιω Q^{mg} 8 ληψεται $B^b Q^a$: item 20 (2°) | om και 3° Q | αδικειας B* (-κιας B^b) 9 τα δικαιωματα] pr και A | om ουτος A | Κυριος] pr αδωναι AQ 10 και εαν γεννηση] εαν δε γεννησης A | αμαρτημα] αμαρτηματα AQ 13 εδωκεν AQ | θανατωθησεται] αποθανειται A | om το αιμα αυτου επ αυτον εσται Q* (hab $Q^{1(mg)}$) 14 γεννησης A | κατα ταυτας] κατ αυτας A 15 ου βεβρωκεν] ουκ εφαγε̄| A | ενθυμηματα] οι γ' ειδωλα Q^{mg}

16 γυναῖκα τοῦ πλησίον αὐτοῦ οὐκ ἐμίανεν, [16]καὶ ἄνθρωπον οὐ κατεδυ- B
νάστευσεν καὶ ἐνεχυρασμὸν οὐκ ἐνεχύρασεν καὶ ἅρπαγμα οὐχ ἥρ-
πασεν, τὸν ἄρτον αὐτοῦ τῷ πεινῶντι ἔδωκεν καὶ γυμνὸν περιέβαλεν,
17 [17]καὶ ἀπ᾽ ἀδικίας ἀπέστρεψε τὴν χεῖρα αὐτοῦ, τόκον οὐδὲ πλεονα-
σμὸν οὐκ ἔλαβεν, δικαιοσύνην ἐποίησεν καὶ ἐν τοῖς προστάγμασίν μου
18 ἐπορεύθη, οὐ τελευτήσει ἐν ἀδικίαις πατρὸς αὐτοῦ, ζωῇ ζήσεται. [18]ὁ
δὲ πατὴρ αὐτοῦ ἐὰν θλίψει θλίψῃ καὶ ἁρπάσῃ ἅρπαγμα, ἐναντία
ἐποίησεν ἐν μέσῳ τοῦ λαοῦ μου, καὶ ἀποθανεῖται ἐν τῇ ἀδικίᾳ αὐτοῦ.
19 [19]καὶ ἐρεῖτε Τί ὅτι οὐκ ἔλαβεν τὴν ἀδικίαν ὁ υἱὸς τοῦ πατρός; ὅτι ὁ
υἱὸς δικαιοσύνην καὶ ἔλεος πεποίηκεν, πάντα τὰ νόμιμά μου συνετή-
20 ρησεν καὶ ἐποίησεν αὐτά, ζωῇ ζήσεται. [20]ἡ δὲ ψυχὴ ἡ ἁμαρτάνουσα
ἀποθανεῖται· ὁ δὲ υἱὸς οὐ λήμψεται τὴν ἀδικίαν τοῦ πατρός, οὐδὲ ὁ
πατὴρ λήμψεται τὴν ἀδικίαν τοῦ υἱοῦ· δικαιοσύνη δικαίῳ ἐπ᾽ αὐτὸν
21 ἔσται, καὶ ἀνομία ἀνόμῳ ἐπ᾽ αὐτὸν ἔσται. [21]καὶ ὁ ἄνομος ἐὰν ἀπο-
στρέψῃ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ ὧν ἐποίησεν, καὶ φυλάξηται
πάσας τὰς ἐντολάς μου καὶ ποιήσῃ δικαιοσύνην καὶ ἔλεος, ζωῇ
22 ζήσεται, οὐ μὴ ἀποθάνῃ. [22]πάντα τὰ παραπτώματα αὐτοῦ ὅσα
ἐποίησεν οὐ μνησθήσεται· ἐν τῇ δικαιοσύνῃ αὐτοῦ ᾗ ἐποίησεν ζήσεται.
23 [23]μὴ θελήσει θελήσω τὸν θάνατον τοῦ ἀνόμου, λέγει Κύριος, ὡς τὸ
24 ἀποστρέψαι αὐτὸν ἐκ τῆς ὁδοῦ τῆς πονηρᾶς καὶ ζῆν αὐτόν; [24]ἐν δὲ
τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ καὶ ποιῆσαι ἀδικίαν
κατὰ πάσας τὰς ἀνομίας ἃς ἐποίησεν ὁ ἄνομος, πᾶσαι αἱ δικαιοσύναι
αὐτοῦ ἃς ἐποίησεν οὐ μὴ μνησθῶσιν· ἐν τῷ παραπτώματι αὐτοῦ ᾧ
παρέπεσεν καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ αἷς ἥμαρτεν, ἐν αὐταῖς
25 ἀποθανεῖται. [25]καὶ εἴπατε Οὐ κατευθύνει ἡ ὁδὸς Κυρίου. ἀκούσατε

16 *τω πεινωντι*] om *τω* Q | *περιεβαλεν*] + *ιματιον* Q 17 *απ*] *απο* A | AQ *απεστρεψεν* AQ | *ουδε*] *και* Q 18 *εαν θλιψει*] *εν θλιψη* A | *θλιψη*] *θλιβη* Q | *αρπαγμα*] + (sub *οι* γ′ ※) *αδελφου* Q 19 om *τι* A | bis scr *οτι* B* (improb 1° B^ab) | *την αδικιαν*] om *την* A | *ο υιος του πατρος*] *υιος πατρος αυτου* A | *πεποιηκεν*] *εποιησεν* A 20 *αποθανειται*] pr *αυτη* AQ | *ο δε υιος*] *υιους* A* (*υιος* A?) | *λημψεται* bis Q^a: 2°, B^b | *πατρος*] + *αυτου* AQ | *ο πατηρ*] om *ο* AQ | *αδικειαν* (2°) B* (-*κιαν* B^b) | *υιου*] + *αυτου* AQ | *δικαιω*] *δικαιου* AQ | bis scr *και ανομια...εσται* B* (uncis incl 2° B^ab) | *ανομω*] *ανομου* AQ 21 *και ο ανομος εαν αποστρεψη εκ*] *εαν δε αποστραφη ανομος απο* A | *φυλαξηται*] *φυλαξη* A | *δικαιοσυνην και ελεος*] *τα δικαιωματα μου* A | *ου*] pr *και* AQ 22 *παντα τα παραπτωματα αυτου οσα*] *πασαι αι αδικιαι ας* A | *ου*] + *μη* AQ | *μνησθησεται*] *μνησθωσιν* A + (sub *οι* γ′ ※) *αυτω* Q | *εν*] pr *αλλ* A | *ζησεται*] pr *εν αυτη* A 23 *μη θελησει θελησω*] *οτι ου βουλομαι* A | *Κυριος*] pr *κ̅ς̅* AQ | *οδου*] + *αυτου* A 24 *εκ*] *απο* A | *ποιησαι*] *ποιηση* AQ | *ανομος*] + (sub θ′ ※) *και ποιηση και* (+ *ου* Q^a) *ζησεται* Q 25 *κατευθυνει* 1°] *κατορθοι* A

B δή, οἶκος Ἰσραήλ· μὴ ἡ ὁδός μου οὐ κατευθύνει; οὐχὶ ἡ ὁδὸς ὑμῶν
οὐ κατευθύνει; 26 ἐν τῷ ἀποστρέψαι τὸν δίκαιον ἐκ τῆς δικαιοσύνης 26
αὐτοῦ καὶ ποιήσῃ παράπτωμα, καὶ ἀποθάνῃ ἐν τῷ παραπτώματι ᾧ
ἐποίησεν, ἐν αὐτῷ ἀποθανεῖται. 27 καὶ ἐν τῷ ἀποστρέψαι ἄνομον 27
ἀπὸ τῆς ἀνομίας αὐτοῦ ἧς ἐποίησεν καὶ ποιήσῃ κρίμα καὶ δικαιοσύνην,
οὗτος τὴν ψυχὴν αὐτοῦ ἐφύλαξεν. 28 καὶ ἀπέστρεψεν ἐκ πασῶν 28
ἀσεβειῶν αὐτοῦ ὧν ἐποίησεν, ζωῇ ζήσεται, οὐ μὴ ἀποθάνῃ. 29 καὶ 29
λέγουσιν ὁ οἶκος τοῦ Ἰσραὴλ Οὐ κατορθοῖ ἡ ὁδὸς Κυρίου. μὴ ἡ ὁδός
μου οὐ κατορθοῖ, οἶκος Ἰσραήλ; οὐχὶ ἡ ὁδὸς ὑμῶν οὐ κατορθοῖ;
30 ἕκαστον κατὰ τὴν ὁδὸν αὐτοῦ κρινῶ ὑμᾶς, οἶκος Ἰσραήλ, λέγει 30
Κύριος· ἐπιστράφητε καὶ ἀποστρέψατε ἐκ πασῶν τῶν ἀσεβειῶν
ὑμῶν, καὶ οὐκ ἔσονται ὑμῖν εἰς κόλασιν ἀδικίας. 31 ἀπορρίψατε ἀπὸ 31
ἑαυτῶν πάσας τὰς ἀσεβίας ὑμῶν ἃς ἠσεβήσατε εἰς ἐμέ, καὶ ποιήσατε
ἑαυτοῖς καρδίαν καινὴν καὶ πνεῦμα καινόν· καὶ ἵνα τί ἀποθνήσκετε,
οἶκος Ἰσραήλ; 32 διότι οὐ θέλω τὸν θάνατον τοῦ ἀποθνήσκοντος, λέγει 32
Κύριος.

1 Καὶ σὺ λάβε θρῆνον ἐπὶ τὸν ἄρχοντα τοῦ Ἰσραήλ, 2 καὶ ἐρεῖς Τί 1 2 XIX
ἡ μήτηρ σου; σκύμνος· ἐν μέσῳ λεόντων ἐγενήθη, ἐν μέσῳ λεόντων
ἐπλήθυνεν σκύμνους αὐτῆς. 3 καὶ ἀπεπήδησεν εἷς τῶν σκύμνων 3
αὐτῆς, λέων ἐγένετο, καὶ ἔμαθεν τοῦ ἁρπάζειν ἁρπάγματα, ἀνθρώπους
ἔφαγεν. 4 καὶ ἤκουσαν κατ᾽ αὐτοῦ ἔθνη, ἐν τῇ διαφθορᾷ αὐτῶν συν- 4
ελήμφθη, καὶ ἤγαγον αὐτὸν ἐν κημῷ εἰς γῆν Αἰγύπτου. 5 καὶ ἴδεν 5
ὅτι ἀπῶσται ἀπ᾽ αὐτῆς, ἀπώλετο ἡ ὑπόστασις αὐτῆς· καὶ ἔλαβεν
ἄλλον ἐκ τῶν σκύμνων αὐτῆς, λέοντα ἔταξεν αὐτόν. 6 καὶ ἀνεστρέ- 6
φετο ἐν μέσῳ λεόντων, λέων ἐγένετο, καὶ ἔμαθεν ἁρπάζειν ἁρπά-
γματα, ἀνθρώπους ἔφαγεν· 7 καὶ ἐνέμετο τῷ θράσει αὐτοῦ καὶ τὰς 7
πόλεις αὐτῶν ἐξηρήμωσεν, καὶ ἠφάνισεν γῆν καὶ τὸ πλήρωμα αὐτῆς

AQ 25 οικος] pr πας A | κατευθυνει 2°] κατορθοι Q^{mg} | υμων] ημων A 26 τον δικαιον] om τον A 28 και] pr και ιδεν A (sed ιδ. punctis adfec A?) et (sub ※) Q | ασεβειων] των ασεβιων A 29 του Ισραηλ] om του A | μοου B* (μου ου $B^{a?b}$) 30 εκαστον] pr δια τουτο A et (sub οι γ′ ※) Q | υμας] υμεις A | Κυριος] pr αδωναι AQ | ασεβιων A 31 ασεβειας B^{ab}Q | ησεβησατε εις εμε] εποιησαται A | καινον] + και ποιησαται πασας τας εντολας μου A | Ισραηλ] + λεγει κ̅ς̅ A 32 Κυριος] pr αδωναι AQ + και επιστρεψαται και ζησαται A + θ′ ※ και επιστρεψατε και ζησατε Q^{*vid} (-σετε Q^{a}) XIX 1 pr tit θρηνος επι τον αρχοντα Ι̅η̅λ̅ $Q^{mg\ sup}$ | συ] + υιε α̅ν̅ο̅υ̅ A 2 σκυμνος] λεαινα Q^{mg} | εγενηθη] ενεμηθη Q^{mg} | εν μεσω 2°] pr και A | επληθυνε A 3 απεπηδησεν] απεδημησεν A 4 κατ αυτου] περι αυτου Q^{mg} | αυτων] αυτου Q^{mg} | συνεληφθη $B^{b}Q^{a}$ 5 ειδεν B^{ab} | απωσται] αποσπαται A | απωλετο] pr και A 7 τω θρασει (in θ ras aliq B?)] pr εν A | πολις A | αυτων] αυτου Q^{mg} | εξερημωσεν A

8 ἀπὸ φωνῆς ὠρύματος αὐτοῦ. [8]καὶ ἔδωκαν ἐπ' αὐτὸν ἔθνη ἐκ χωρῶν B
κυκλόθεν, καὶ ἐξεπέτασαν ἐπ' αὐτὸν δίκτυα αὐτῶν, ἐν διαφθορᾷ
9 αὐτῶν συνελήμφθη· [9]καὶ ἔθεντο αὐτὸν ἐν κημῷ καὶ ἐν γαλεάγρᾳ,
ἦλθεν πρὸς βασιλέα Βαβυλῶνος, καὶ εἰσήγαγεν αὐτὸν εἰς φυλακήν,
10 ὅπως μὴ ἀκουσθῇ ἡ φωνὴ αὐτοῦ ἐπὶ τὰ ὄρη τοῦ Ἰσραήλ. [10]Ἡ
μήτηρ σου ὡς ἄμπελος καὶ ὡς ἄνθος ἐν ῥόᾳ ἐν ὕδατι πεφυτευμένη,
ὁ καρπὸς αὐτῆς καὶ ὁ βλαστὸς αὐτῆς ἐγένετο ἐξ ὕδατος πολλοῦ.
11 [11]καὶ ἐγένετο αὕτη ῥάβδος ἐπὶ φυλὴν ἡγουμένων, καὶ ὑψώθη τῷ
μεγέθει αὐτῆς ἐν μέσῳ στελεχῶν, καὶ ἴδεν τὸ μέγεθος αὐτῆς ἐν
12 πλήθει κλημάτων αὐτῆς. [12]καὶ κατεκλάσθη ἐν θυμῷ, ἐπὶ γῆν ἐρρίφη,
καὶ ἄνεμος ὁ καύσων ἐξήρανεν τὰ ἐκλεκτὰ αὐτῆς· ἐξεδικήθησαν, καὶ
13 ἐξηράνθη ἡ ῥάβδος ἰσχύος αὐτῆς, πῦρ ἀνήλωσεν αὐτήν. [13]καὶ νῦν
14 πεφύτευκαν αὐτὴν ἐν τῇ ἐρήμῳ, ἐν γῇ ἀνύδρῳ. [14]καὶ ἐξῆλθεν πῦρ
ἐκ ῥάβδου ἐκλεκτῶν αὐτῆς καὶ κατέφαγεν αὐτήν, καὶ οὐκ ἦν ἐν αὐτῇ
ῥάβδος ἰσχύος· φυλὴ εἰς παραβολὴν θρήνου ἐστίν, καὶ ἔσται εἰς
θρῆνον.

XX 1 [1]Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ ἑβδόμῳ τῇ πεντεκαιδεκάτῃ τοῦ μηνὸς
ἦλθον ἄνδρες ἐκ τῶν πρεσβυτέρων οἴκου Ἰσραὴλ ἐπερωτῆσαι τὸν
2 κύριον, καὶ ἐκάθισαν πρὸ προσώπου μου. [2]καὶ ἐγένετο λόγος
3 Κυρίου πρὸς μὲ λέγων [3]Υἱὲ ἀνθρώπου, λάλησον πρὸς τοὺς πρεσβυ-
τέρους τοῦ Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς Τάδε λέγει Κύριος Εἰ
ἐπερωτῆσαί με ὑμεῖς ἔρχεσθε; ζῶ ἐγὼ εἰ ἀποκριθήσομαι ὑμῖν, λέγει
4 Κύριος, [4]εἰ ἐκδικήσω αὐτοὺς ἐκδικήσει. υἱὲ ἀνθρώπου, τὰς ἀνομίας
5 τῶν πατέρων αὐτῶν διαμάρτυραι αὐτοῖς, [5]καὶ ἐρεῖς πρὸς αὐτούς
Τάδε λέγει Κύριος Ἀφ' ἧς ἡμέρας ᾑρέτισα τὸν οἶκον Ἰσραήλ, καὶ
ἐγνωρίσθην τῷ σπέρματι οἴκου Ἰακώβ, καὶ ἐγνώσθην αὐτοῖς ἐν γῇ

7 ωρυοματος B^{ab} 8 εδωκαν επ αυτον] εδωκεν επ αυτ. Q επεθετο AQ αυτω Q^{mg} | εκ χωρων κυκλοθεν] απο χ. κ. A κ. εκ χ. Q^{*} κ. εκ των χ. Q^{mg} | δικτυα] pr τα A | διαφθορα] pr τη Q^{mg} | συνελημφθη (-ληφθη Q^{a})] pr και A 9 και 2°] + ηνεγκαν αυτον A | ηλθεν] om A ϗ ηγαγον αυτον Q^{mg} | εισηγαγεν] εισηγαγον A | η φωνη αυτου] αυτου η φωνη αυτου B^{*} (η φωνη αυτου $B^{ab(vid)}$) 10 om και 1° AQ 11 εγενετο] εγενοντο A | ραβδος] ραβδοι Q^{mg} + ισχυος AQ | τω μεγεθει] pr εν A | στελεχεων A | ειδεν B^{ab} 12 εριφη A | ο καυσων] om ο A | εξηρανε A | εξεδικηθησαν] εξεδικηθη A | εξηρανθη η ραβδος] εξηρανθησαν αι ραβδοι Q^{mg} | ανηλωσαν B^{*} (-σεν B^{ab}) 13 πεφυτευκαν] εφυτευσαν A 14 ραβδου] των ραβδων των Q^{mg} | ισχυος] + αυτης A | θρηνου] θρηνους Q^{*} (-νου Q^{a}) XX 1 pr tit προς τους πρεσβυτερους του Ι̅η̅λ̅ ετει ζ' μηνι ε' ημερα ι' $Q^{mg\,sup}$ | τη πεντεκαιδεκατη] εν τω πεμπτω μηνι δεκατη AQ | οικου] pr του A 3 Ισραηλ] pr οικου A | Κυριος 1°] pr αδωναι Q | om ει 1° A | υμιν λεγει] λεγει υμιν Q | Κυριος 2°] pr αδωναι AQ 5 Κυριος 1°] κ̅ς̅ ο θ̅ς̅ AQ | οικου] pr του A

B Αἰγύπτου, καὶ ἀντελαβόμην τῇ χειρί μου αὐτῶν λέγων Ἐγὼ Κύριος ὁ
θεὸς ὑμῶν. [6]ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀντελαβόμην τῇ χειρί μου αὐτῶν 6
τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου εἰς τὴν γῆν ἣν ἡτοίμασα αὐτοῖς,
γῆν ῥέουσαν γάλα καὶ μέλι, κηρίον ἐστὶν παρὰ πᾶσαν τὴν γῆν. [7]καὶ 7
εἶπα πρὸς αὐτούς Ἕκαστος βδελύγματα τῶν ὀφθαλμῶν ἀπορριψάτω,
καὶ ἐν τοῖς ἐπιτηδεύμασιν Αἰγύπτου μὴ μιαίνεσθε· ἐγὼ Κύριος ὁ θεὸς
ὑμῶν. [8]καὶ ἀπέστησαν ἀπ' ἐμοῦ, καὶ οὐκ ἠθέλησαν εἰσακοῦσαί μου, 8
τὰ βδελύγματα τῶν ὀφθαλμῶν αὐτῶν οὐκ ἀπέρριψαν καὶ τὰ ἐπιτη-
δεύματα Αἰγύπτου οὐκ ἐγκατέλειπον. καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν
μου ἐπ' αὐτούς, τοῦ συντελέσαι ὀργήν μου ἐν αὐτοῖς ἐν μέσῳ γῆς
Αἰγύπτου. [9]καὶ ἐποίησα ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβη- 9
λωθῇ ἐνώπιον τῶν ἐθνῶν ὧν αὐτοί εἰσιν ἐν μέσῳ αὐτῶν, ἐν οἷς
ἐγνώσθην πρὸς αὐτοὺς ἐνώπιον αὐτῶν τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς
Αἰγύπτου. [10]καὶ ἤγαγον αὐτοὺς εἰς τὴν ἔρημον, [11]καὶ ἔδωκα αὐτοῖς 10 11
τὰ προστάγματά μου, καὶ τὰ δικαιώματά μου ἐγνώρισα αὐτοῖς, ὅσα
ποιήσει αὐτὰ ἄνθρωπος καὶ ζήσεται ἐν αὐτοῖς. [12]καὶ τὰ σάββατά 12
μου ἔδωκα αὐτοῖς τοῦ εἶναι εἰς σημεῖον ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον
αὐτῶν, τοῦ γνῶναι αὐτοὺς διότι ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς. [13]καὶ 13
εἶπα πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ Ἐν τοῖς προστάγμασίν
μου πορεύεσθε. καὶ οὐκ ἐπορεύθησαν, καὶ τὰ δικαιώματά μου ἀπώ-
σαντο, ἃ ποιήσει αὐτὰ ἄνθρωπος καὶ ζήσεται ἐν αὐτοῖς, καὶ τὰ
σάββατά μου ἐβεβήλωσαν σφόδρα. καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν
μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ τοῦ ἐξαναλῶσαι αὐτούς. [14]καὶ ἐποίησα 14
ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν
ὧν ἐξήγαγον αὐτοὺς κατ' ὀφθαλμοὺς αὐτῶν. [15]καὶ ἐγὼ ἐξῆρα τὴν 15
χεῖρά μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ τὸ παράπαν τοῦ μὴ εἰσαγαγεῖν
αὐτοὺς εἰς τὴν γῆν ἣν ἔδωκα αὐτοῖς, γῆν ῥέουσαν γάλα καὶ μέλι,

AQ 5 Αιγυπτω A | om μου Q | λεγων εγω] λεγει B* vid (λεγων ε. B ab) 6 τη ημερα εκεινη Q | εκ γης] εις γην A | ητοιμασα] ωμοσα A | κηριον] δυνατη (sic) B a mg 7 βδελυγματα] pr τα A α' αποκομματα θ' προσοχθισματα σ' τα σιχχη Q mg | οφθαλμων] + αυτου B ab AQ | απορριψατω B b | Αιγυπτου] ιγυπτου sup ras B ab 8 τα βδελ.] pr (sub ※) εκαστος Q | αυτων] αυτ sup ras B ab | απερριψαν] in απε ras aliq B ? vid | ενκατελειπον A εγκατελιπον B b Q a | ειπα] ειπον A | οργην] pr την A | Αιγυπτου] Αι sup ras B ab 9 εποιησα] pr ουκ B c vid 10 και] pr και εξηγαγον αυτους εκ γης Αιγυπτου AQ 13 πορευεσθε] + και τα δικαιωματα μου φυλασσετε του ποιειν αυτα α ποιησει αυτα ανο̅ς̅ και ζησεται εν αυτοις και παρεπικραναν με ο οικος Ι̅η̅λ̅ εν τη ερημω εν τοις προσταγμασιν μου A | om και 2° A | om αυτα Q* (hab Q mg) 14 εποιησα] pr ουκ A

16 κηρίον ἐστὶν παρὰ πᾶσαν τὴν γῆν· 16 ἀνθ' ὧν τὰ δικαιώματά μου B
ἀπώσαντο, καὶ ἐν τοῖς προστάγμασίν μου οὐκ ἐπορεύθησαν ἐν αὐτοῖς,
καὶ τὰ σάββατά μου ἐβεβήλουν, καὶ ὀπίσω τῶν ἐνθυμημάτων καρδίας
17 αὐτῶν ἐπορεύοντο. 17 καὶ ἐφείσατο ὁ ὀφθαλμός μου ἐπ' αὐτοὺς τοῦ
ἐξαλεῖψαι αὐτούς, καὶ οὐκ ἐποίησα αὐτοὺς εἰς συντέλειαν ἐν τῇ ἐρήμῳ.
18 18 καὶ εἶπα πρὸς τὰ τέκνα αὐτῶν ἐν τῇ ἐρήμῳ Ἐν τοῖς νομίμοις τῶν
πατέρων ὑμῶν μὴ πορεύεσθε, καὶ τὰ δικαιώματα αὐτῶν μὴ φυ-
λάσσεσθε, καὶ ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν μὴ συναναμίσγεσθε καὶ
19 μὴ μαίνεσθε. 19 ἐγὼ Κύριος ὁ θεὸς ὑμῶν, ἐν τοῖς προστάγμασίν μου
πορεύεσθε, καὶ τὰ δικαιώματά μου φυλάσσεσθε καὶ ποιεῖτε αὐτά,
20 20 καὶ τὰ σάββατά μου ἁγιάζετε, καὶ ἔστω εἰς σημεῖον ἀνὰ μέσον
21 ἐμοῦ καὶ ὑμῶν, τοῦ γινώσκειν διότι ἐγὼ Κύριος ὁ θεὸς ὑμῶν. 21 καὶ
παρεπίκρανάν με καὶ τὰ τέκνα αὐτῶν· ἐν τοῖς προστάγμασίν μου
οὐκ ἐπορεύθησαν, καὶ τὰ δικαιώματά μου οὐκ ἐφυλάξαντο τοῦ ποιεῖν
αὐτά, ἃ ποιήσει ἄνθρωπος καὶ ζήσεται ἐν αὐτοῖς, καὶ τὰ σάββατά μου
ἐβεβήλουν· καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ' αὐτοὺς ἐν τῇ
22 ἐρήμῳ τοῦ συντελέσαι τὴν ὀργήν μου ἐπ' αὐτούς. 22 καὶ ἐποίησα
ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν,
23 καὶ ἐξήγαγον αὐτοὺς κατ' ὀφθαλμοὺς αὐτῶν. 23 καὶ ἐξῆρα τὴν χεῖρά
μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ τοῦ διασκορπίσαι αὐτοὺς ἐν τοῖς ἔθνεσιν,
24 διασπεῖραι αὐτοὺς ἐν ταῖς χώραις, 24 ἀνθ' ὧν τὰ δικαιώματά μου
οὐκ ἐποίησαν, καὶ τὰ προστάγματά μου ἀπώσαντο, καὶ τὰ σάββατά
μου ἐβεβήλουν, καὶ ὀπίσω τῶν ἐνθυμημάτων τῶν πατέρων αὐτῶν
25 ἦσαν οἱ ὀφθαλμοὶ αὐτῶν. 25 καὶ ἐγὼ ἔδωκα αὐτοῖς προστάγματα οὐ
26 καλὰ καὶ δικαιώματα ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς. 26 καὶ μιανῶ
αὐτοὺς ἐν τοῖς δόμασιν αὐτῶν ἐν τῷ διαπορεύεσθαί με πᾶν διανοῖγον μή-
27 τραν ὅπως ἀφανίσω αὐτούς. 27 Διὰ τοῦτο λάλησον πρὸς τὸν οἶκον
τοῦ Ἰσραήλ, υἱὲ ἀνθρώπου, καὶ ἐρεῖς πρὸς αὐτοὺς Τάδε λέγει Κύριος

15 κηριον] pr και Q* (improb Q$^?$) 16 ενθυμηματων] ενθυματων A | AQ καρδιας] των καρδιων AQ 17 οφθαλμος] μος scr B$^{a?b?vid}$ 18 συναναμισγεσθε B$^{a?b}$ (-μιγγ. B*)] συναναμιγνυσθαι AQ* (-σθε Q^a) 19 φυλασσεσθε] φυλασσετε Q 20 εστω] εσται Q | υμων 1°] pr ανα μεσον A et (sub α' θ' ⁜) Q | γινωσκειν] + υμας A | διοτι] οτι A 21 εν 1°] pr και A | ποιησει] + αυτα AQ | εν τη ερημω...επ αυτους] om A του συντ. την οργην μου επ αυτ. εν τη ερημω Q 22 και 1°] pr οι γ' ⁜ και επεστρεψα την χειρα μου αυτοις Q | εποιησα] pr ουκ A | οπως] incep ουκ ut vid Q* | και 2°] ων A 23 διασπειραι] και του διασκορπισαι A και διασπ. Q 24 οπισω των B* (οπισω των B^{ab}) 26 δομασιν] incep δοσ Q^{*vid} | ras με Q$^?$ | αφανιω Q | αυτους 2°] + ινα (ειναι A) γνωσιν οτι εγω κ̄ς̄ A et (sub θ' σ' ⁜ Q^{mg}) Q 27 Κυριος] pr αδωναι A$^{a?}$Q

B [27]Ἕως τούτου παρώργισάν με οἱ πατέρες ὑμῶν ἐν τοῖς παραπτώμασιν
αὐτῶν ἐν οἷς παρέπεσον εἰς ἐμέ. [28]καὶ εἰσήγαγον αὐτοὺς εἰς τὴν γῆν 28
ἣν ἦρα τὴν χεῖρα τὴν χεῖρά μου δοῦναι αὐτοῖς, καὶ εἶδον πάντα
βουνὸν ὑψηλὸν καὶ πᾶν ξύλον κατάσκιον καὶ ἔθυσαν ἐκεῖ τοῖς θεοῖς
αὐτῶν, καὶ ἔταξαν ἐκεῖ ὀσμὴν εὐωδίας καὶ ἔσπεισαν ἐκεῖ σπονδὰς
αὐτῶν. [29]καὶ εἶπον πρὸς αὐτούς Τίς ἐστιν ἀβανὰ ὅτι ὑμεῖς εἰσπο- 29
ρεύεσθε ἐκεῖ; καὶ ἐπεκάλεσαν τὸ ὄνομα αὐτοῦ Ἁβανὰ ἕως τῆς σήμερον
ἡμέρας. [30]διὰ τοῦτο εἰπὸν πρὸς τὸν οἶκον Ἰσραήλ Τάδε λέγει Κύριος 30
Εἰ ἐν ταῖς ἀνομίαις τῶν πατέρων ὑμῶν ὑμεῖς μιαίνεσθε καὶ ὀπίσω τῶν
βδελυγμάτων αὐτῶν ὑμεῖς ἐκπορνεύετε; [31]καὶ ἐν ταῖς ἀπαρχαῖς τῶν 31
δομάτων ὑμῶν, ἐν τοῖς ἀφορισμοῖς οἷς ὑμεῖς μιαίνεσθε ἐν πᾶσιν
τοῖς ἐνθυμήμασιν ὑμῶν ἕως τῆς σήμερον ἡμέρας; καὶ ἐγὼ ἀποκριθῶ
ὑμῖν, οἶκος τοῦ Ἰσραήλ; ζῶ ἐγώ, λέγει Κύριος, εἰ ἀποκριθήσομαι
ὑμῖν, καὶ εἰ ἀναβήσεται ἐπὶ τὸ πνεῦμα ὑμῶν τοῦτο. [32]καὶ οὐκ ἔσται 32
ὃν τρόπον ὑμεῖς λέγετε Ἐσόμεθα ὡς τὰ ἔθνη καὶ ὡς αἱ φυλαὶ τῆς γῆς
τοῦ λατρεύειν ξύλοις καὶ λίθοις. [33]διὰ τοῦτο ζῶ ἐγώ, λέγει Κύριος, 33
ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ καὶ ἐν θυμῷ κεχυμένῳ
βασιλεύσω ἐφ᾽ ὑμᾶς, [34]καὶ ἐξάξω ὑμᾶς ἐκ τῶν λαῶν, καὶ εἰσδέξομαι 34
ὑμᾶς ἐκ τῶν χωρῶν οὗ διεσκορπίσθητε ἐν αὐταῖς ἐν χειρὶ κραταιᾷ καὶ
βραχίονι ὑψηλῷ καὶ ἐν θυμῷ κεχυμένῳ. [35]καὶ ἄξω ὑμᾶς εἰς τὴν 35
ἔρημον τῶν λαῶν, καὶ διακριθήσομαι πρὸς ὑμᾶς ἐκεῖ πρόσωπον κατὰ
πρόσωπον. [36]ὃν τρόπον διεκρίθην πρὸς τοὺς πατέρας ὑμῶν ἐν τῇ 36
ἐρήμῳ γῆς Αἰγύπτου, οὕτως κρινῶ ὑμᾶς, λέγει Κύριος. [37]καὶ διάξω 37
ὑμᾶς ὑπὸ τὴν ῥάβδον μου, καὶ εἰσάξω ὑμᾶς ἐν ἀριθμῷ, [38]καὶ ἐλέγξω 38
ἐξ ὑμῶν τοὺς ἀσεβεῖς καὶ τοὺς ἀφεστηκότας, διότι ἐκ τῆς παροικεσίας
αὐτῶν ἐξάξω αὐτούς, καὶ εἰς τὴν γῆν τοῦ Ἰσραὴλ οὐκ εἰσελεύσονται·

AQ 27 παρεπεσαν A 28 ην] pr εις A | om την χειρα 2° AQ | δουναι] pr του AQ + αυτην Q | ειδον] ειδαν A ιδοσαν Q | παντα B*Q[a]] παν B[a]AQ* | εθυσαν] εθυμιασαν Q | εκει 2°] + θ′ ※ θυμον δωρων αυτω| και εθεντο εκει Q | ευωδιας] + αυτων AQ | σπονδας] τασπονδας A 29 ειπον] ειπα AQ | τις] τι AQ | αβανα 1°] η αββανα A η βαμα Q | Αβανα 2°] Αββανα A Βαμα Q 30 Ισραηλ] pr του AQ | Κυριος] κ̅ς̅ κ̅ς̅ ο θεος A κ̅ς̅ κ̅ς̅ Q 31 εν 2°] pr και AQ[mg] | αφορισμοις] + υιων υμων εν πυρι + (sub θ′ ※) των υιων υμ. εν π. Q | om οις AQ | Κυριος] pr αδωναι Q | υμιν 2°] υμις vel υμεις B[*vid] (υμιν B[1]) 32 λεγετε] ελεγετε Q | εσομεθα] θα sup ras B[ab] | om ως 2° Q* (hab Q[a]) 33 δια τουτο sub ÷ Q[?] | ζω εγω λεγει κ̅ς̅ sup ras B[ab] | Κυριος] pr αδωναι AQ | εν 1°] pr εαν μη A pr η μην Q 34 βραχιονι] pr εν AQ 36 γης] pr οτε εξηγαγον αυτους εκ AQ[mg] | ουτως] καγω A | Κυριος] κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q 37 αριθμω] + (sub α′θ′ ※) της διαθηκης Q 38 ελεγξω] εκλεξω AQ | ασεβεις και τους αφεστηκοτας] αφεστηκοτας κ. τους ασεβεις (ευσεβεις Q[mg]) Q | εξαξω] εξαρω A

39 καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος Κύριος. [39]καὶ ὑμεῖς, οἶκος Ἰσραήλ, B
τάδε λέγει κύριος Κύριος Ἕκαστος τὰ ἐπιτηδεύματα αὐτοῦ ἐξάρατε,
καὶ μετὰ ταῦτα εἰ μὴ ὑμεῖς εἰσακούετέ μου, καὶ τὸ ὄνομά μου τὸ ἅγιον
οὐ βεβηλώσετε οὐκέτι ἐν τοῖς δώροις ὑμῶν καὶ ἐν τοῖς ἐπιτηδεύμασιν
40 ὑμῶν, [40]διότι ἐπὶ τοῦ ὄρους τοῦ ἁγίου μου, ἐπ᾽ ὄρους ὑψηλοῦ, λέγει
κύριος Κύριος, ἐκεῖ δουλεύσουσίν μοι πᾶς οἶκος Ἰσραὴλ εἰς τέλος.
καὶ ἐκεῖ προσδέξομαι καὶ ἐκεῖ ἐπισκέψομαι τὰς ἀπαρχὰς ὑμῶν καὶ
τὰς ἀπαρχὰς τῶν ἀφορισμῶν ὑμῶν ἐν πᾶσιν τοῖς ἁγιάσμασιν ὑμῶν.
41 [41]ἐν ὀσμῇ εὐωδίας προσδέξομαι ὑμᾶς, ἐν τῷ ἐξαγαγεῖν με ὑμᾶς ἐκ τῶν
λαῶν καὶ εἰσδέχεσθαι ὑμᾶς ἐκ τῶν χωρῶν ἐν αἷς διεσκορπίσθητε ἐν
42 αὐταῖς, καὶ ἁγιασθήσομαι ἐν ὑμῖν κατ᾽ ὀφθαλμοὺς τῶν λαῶν. [42]καὶ
ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος, ἐν τῷ εἰσαγαγεῖν με ὑμᾶς εἰς τὴν γῆν
τοῦ Ἰσραὴλ εἰς τὴν γῆν εἰς ἣν ἦρα τὴν χεῖρά μου τοῦ δοῦναι αὐτὴν
43 τοῖς πατράσιν ὑμῶν. [43]καὶ μνησθήσεσθε ἐκεῖ τὰς ὁδοὺς ὑμῶν καὶ
τὰ ἐπιτηδεύματα ὑμῶν ἐν οἷς ἐμιαίνεσθε ἐν αὐτοῖς, καὶ κόψεσθε τὰ
44 πρόσωπα ὑμῶν ἐν πάσαις ταῖς κακίαις ὑμῶν. [44]καὶ ἐπιγνώσεσθε
διότι ἐγὼ Κύριος, ἐν τῷ ποιῆσαί με οὕτως ὑμῖν ὅπως τὸ ὄνομά μου μὴ
βεβηλωθῇ κατὰ τὰς ὁδοὺς ὑμῶν τὰς κακὰς καὶ κατὰ τὰ ἐπιτηδεύματα
ὑμῶν τὰ διεφθαρμένα, λέγει Κύριος.

(XXI) (1) 45 (2) 46 [45]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [46]Υἱὲ ἀνθρώπου,
στήρισον τὸ πρόσωπόν σου ἐπὶ Θαιμὰν καὶ ἐπίβλεψον ἐπὶ Δαγὼν
(3) 47 καὶ προφήτευσον ἐπὶ δρυμὸν ἡγούμενον Νάγεβ, [47]καὶ ἐρεῖς τῷ δρυ-
μῷ Νάγεβ Ἄκουε λόγον Κυρίου Τάδε λέγει κύριος Κύριος Ἰδοὺ ἐγὼ
ἀνάπτω ἐν σοὶ πῦρ, καὶ καταφάγεται ἐν σοὶ ξύλον χλωρὸν καὶ
πᾶν ξύλον ξηρόν, οὐ σβεσθήσεται ἡ φλὸξ ἡ ἐξαφθεῖσα, καὶ κατα-
καυθήσεται ἐν αὐτῇ πᾶν πρόσωπον ἀπὸ ἀπηλιώτου ἕως βορρᾶ.
(4) 48 [48]καὶ ἐπιγνώσονται πᾶσα σὰρξ ὅτι ἐγὼ Κύριος ἐξέκαυσα αὐτό, οὐ

38 κυριος Κυριος] κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ Q 39 om μη B[1] (spat 2 litt) Q[a] | εισ- AQ
ακουετε] εισακουσητε Q | om μου 1° A | δωροις] ειδωλοις Q 40 υψηλου]+
Ι̅η̅λ̅ Q | om λεγει κυριος Κυριος A | Ισραηλ]+λεγει κ̅ς̅ κ̅ς̅ A | απαρχιας (1°) A |
πασι B[a]Q 41 εξαγαγειν] εξαγειν A | εισδεχεσθαι] εισδεξομαι A | εν αις]
ου A 42 διοτι] οτι A | τοις πατρασιν υμων] αυτοις A 43 μνησεσθαι Q*
(μνησθησεσθε Q[a]) | κοψεσθε BA*(Q[mg])] οψεσθαι A[1]Q* | υμων 4°]+(sub
α´θ´ ※) αις εποιησατε Q 44 μη βεβ. sub ÷ Q[1] | διεφθαρμενα]+(sub οι
γ´ ※) οικος Ι̅η̅λ̅ Q | Κυριος 2°] pr αδωναι AQ 45 pr tit επι Θαιμαν
Q[mg sup] 46 επι Θαιμαν] adnot επι συντελ[ει]ᾱ B[c vid] | Θαιμαν] adnot
συντελεια αυτων Q[mg] | επι Δαγων] adnot επι ηχθυν B[c vid] | Δαγων] Δαρωμ Q*
Δαρουμ al Δαγων Q[mg] 47 κυριος Κυριος] κ̅ς̅ ο θ̅ς̅ Ι̅η̅λ̅ A | om εν σοι 1° A |
ξυλον 1°] pr παν AQ 48 επιγνωσονται] επιγνωσεται A | ου] pr και A

B σβεσθήσεται. 49 καὶ εἶπα Μηδαμῶς, κύριε Κύριε· αὐτοὶ λέγουσιν 49 (5)
πρὸς μέ Οὐχὶ παραβολή ἐστιν λεγομένη αὕτη; 1 Καὶ ἐγένετο 1 (6) XXI
λόγος Κυρίου πρὸς μὲ λέγων 2 Διὰ τοῦτο προφήτευσον, υἱὲ ἀνθρώ- 2 (7)
που, στήρισον τὸ πρόσωπόν σου ἐπὶ Ἰερουσαλὴμ καὶ ἐπίβλεψον
ἐπὶ τὰ ἅγια αὐτῶν, καὶ προφητεύσεις ἐπὶ τὴν γῆν τοῦ Ἰσραήλ.
3 καὶ ἐρεῖς πρὸς τὴν γῆν τοῦ Ἰσραήλ Ἰδοὺ ἐγὼ πρὸς σέ, καὶ 3 (8)
ἐκσπάσω τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ, καὶ ἐξολεθρεύ-
σω ἐκ σοῦ ἄδικον καὶ ἄνομον. 4 ἀνθ' ὧν ἐξολεθρεύσω ἐκ σοῦ 4 (9)
ἄδικον καὶ ἄνομον, οὕτως ἐξελεύσεται τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ
κολεοῦ αὐτοῦ ἐπὶ πᾶσαν σάρκα ἀπὸ ἀπηλιώτου ἕως βορρᾶ, 5 καὶ 5 (10)
ἐπιγνώσεται πᾶσα σὰρξ διότι ἐγὼ Κύριος ἐξέσπασα τὸ ἐγχειρίδιόν
μου ἐκ τοῦ κολεοῦ αὐτοῦ, οὐκ ἀποστρέψει οὐκέτι. 6 καὶ σύ, υἱὲ 6 (11)
ἀνθρώπου, καταστέναξον ἐν συντριβῇ ὀσφύος σου, καὶ ἐν ὀδύναις
στενάξεις κατ' ὀφθαλμοὺς αὐτῶν. 7 καὶ ἔσται ἐὰν εἴπωσιν πρὸς σέ 7 (12)
Ἕνεκα τίνος σὺ στενάζεις; καὶ ἐρεῖς Ἐπὶ τῇ ἀγγελίᾳ διότι ἔρχεται,
καὶ θραυσθήσεται πᾶσα καρδία, καὶ πᾶσαι χεῖρες παραλυθήσονται,
καὶ ἐκψύξει πᾶσα σὰρξ καὶ πᾶν πνεῦμα, καὶ πάντες μηροὶ μο-
λυνθήσονται ὑγρασίᾳ· ἰδοὺ ἔρχεται, λέγει κύριος Κύριος. 8 Καὶ 8 (13)
ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων 9 Υἱὲ ἀνθρώπου, προφήτευσον 9 (14)
καὶ ἐρεῖς Τάδε λέγει Κύριος Εἰπόν Ῥομφαία ῥομφαία, ὀξύνου καὶ
θυμώθητι, 10 ὅπως σφάξῃς σφάγια, ὀξύνου ὅπως γένῃ εἰς στίλβω- 10 (15)
σιν, ἑτοίμη εἰς παράλυσιν· σφάζε, ἐξουδένει, ἀπωθοῦ πᾶν ξύλον.
11 καὶ ἔδωκεν αὐτὴν ἑτοίμην τοῦ κρατεῖν χεῖρα αὐτοῦ· ἐξηκονήθη ἡ 11 (16)
ῥομφαία, ἐστὶν ἑτοίμη τοῦ δοῦναι αὐτὴν εἰς χεῖρα ἀποκεντοῦντος.
12 ἀνάκραγε καὶ ὀλόλυξον, υἱὲ ἀνθρώπου, ὅτι αὕτη ἐγένετο ἐν τῷ 12 (17)
λαῷ μου, αὕτη ἐν πᾶσιν τοῖς ἀφηγουμένοις τοῦ Ἰσραήλ· παροική-
σουσιν, ἐπὶ ῥομφαίᾳ ἐγένετο ἐν τῷ λαῷ μου· διὰ τοῦτο κρότη-

AQ 48 σβεσθησεται] + ετι A XXI 1 pr tit επι Ιλ̅η̅μ̅ $Q^{mg\,sup}$ 2 δια τουτο...ανθρωπου] υιε α̅ν̅ο̅υ̅ δια τουτο προφητευσον A pr οι γ' ※ $Q^{?}$ | στηρισον] pr και A 3 ιδου] pr ταδε λεγει κ̅ς̅ κ̅ς̅ B^{ab} et (sub θ' ※) Q pr ταδε λ. κ̅ς̅ ο θ̅ς̅ A | το εγχειριδιον μου] α' ρομφαιαν μου σ'θ' την μαχαιραν μου Q^{mg} | εξολοθρευσω B^{b}: item 4 4 om ανθ ων εξολεθρευσω...ανομον A (hab Q sub ÷) | ενχειριδιον A 5 διοτι] οτι AQ | ενχειριδιον $Q^{*\,vid}$ | ουκ] pr και AQ | αποστρεψει] επιστρεψει Q 7 διοτι] οτι A | πασαι χειρες παραλυθησονται] παραλυθ. πασαι χειρες Q | πασα σαρξ και sub ÷ $Q^{?}$ | ερχεται 2°] + και εσται AQ | κυριος Κυριος] κ̅ς̅ 2° improb B^{ab} κ̅ς̅ ο θ̅ς̅ A 9 Κυριος] pr αδωναι $A^{a?}$Q 11 η ρομφαια] om η AQ | δουναι] δοθηναι A | χειρα 2°] χειρας A 12 εγενετο 1°] εγε sup ras $A^{a?}$ | om εν 1° Q | παροικησουσιν ...λαω μου] παρ. επει ρ. εγενετο τω λαω μου Q^{*} οι παροικου̅|τες μοι εις ρομφαιαν εγενο̅|το συν τω λαω μου Q^{mg} | επι 1°] επει B^{ab}

(18) 13 σον ἐπὶ τὴν χεῖρά σου. [13]ὅτι δεδικαίωται· καὶ φυλὴ ἀπωσθῇ; B
(19) 14 οὐκ ἔσται, λέγει κύριος Κύριος. [14]καὶ σύ, υἱὲ ἀνθρώπου, προφή-
τευσον καὶ κρότησον χεῖρα ἐπὶ χεῖρα καὶ διπλασίασον ῥομφαίαν·
ἡ τρίτη ῥομφαία τραυματιῶν ἐστιν, ῥομφαία τραυματιῶν ἡ μεγάλη.
(20) 15 καὶ ἐκστήσεις αὐτούς, [15]ὅπως μὴ θραυσθῇ ἡ καρδία, καὶ πληθυν-
θῶσιν οἱ ἀσθενοῦντες ἐπὶ πᾶσαν πύλην· παραδέδονται εἰς σφάγια
(21) 16 ῥομφαίας, εὖ γέγονεν εἰς σφαγήν, εὖ γέγονεν εἰς στίλβωσιν. [16]δια-
πορεύου, ὀξύνου ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, οὗ ἂν τὸ πρόσωπόν
(22) 17 σου ἐξεγείρηται. [17]καὶ ἐγὼ δὲ κροτήσω χεῖρά μου πρὸς χεῖρά μου
(23) 18 καὶ ἐναφήσω θυμόν μου· ἐγὼ Κύριος λελάληκα. [18]Καὶ ἐγένετο
(24) 19 λόγος Κυρίου πρὸς μὲ λέγων [19]Καὶ σύ, υἱὲ ἀνθρώπου, διάταξον
20 σεαυτῷ δύο ὁδοὺς [20]τοῦ εἰσελθεῖν ῥομφαίαν βασιλέως Βαβυλῶνος·
ἐκ χώρας μιᾶς ἐξελεύσονται αἱ δύο, καὶ χεὶρ ἐν ἀρχῇ ὁδοῦ πόλεως,
(25) ἐπ' ἀρχῆς [25]ὁδοῦ διατάξεις τοῦ εἰσελθεῖν ῥομφαίαν ἐπὶ Ῥαββὰθ
υἱῶν Ἀμμὼν καὶ ἐπὶ τὴν Ἰουδαίαν καὶ ἐπὶ Ἰερουσαλὴμ ἐν μέσῳ
(26) 21 αὐτῆς. [21]διότι στήσεται βασιλεὺς Βαβυλῶνος ἐπὶ τὴν ἀρχαίαν
ὁδόν, ἐπ' ἀρχῆς τῶν δύο ὁδῶν, τοῦ μαντεύσασθαι μαντείαν, τοῦ
ἀναβράσαι ῥάβδον καὶ ἐπερωτῆσαι ἐν τοῖς γλυπτοῖς καὶ ἡπατοσκο-
(27) 22 πήσασθαι ἐκ δεξιῶν αὐτοῦ. [22]ἐγένετο τὸ μαντεῖον ἐπὶ Ἰερουσαλὴμ
τοῦ βαλεῖν χάρακα, τοῦ διανοῖξαι στόμα ἐν βοῇ, ὑψῶσαι φωνὴν
μετὰ κραυγῆς, τοῦ βαλεῖν χάρακα ἐπὶ τὰς πύλας αὐτῆς καὶ βαλεῖν
(28) 23 χῶμα καὶ οἰκοδομῆσαι βελοστάσεις. [23]καὶ αὐτὸς αὐτοῖς ὡς μαντευό-
μενος μαντείαν ἐνώπιον αὐτῶν, καὶ αὐτὸς ἀναμιμνήσκων ἀδικίας
(29) 24 αὐτοῦ μνησθῆναι. [24]διὰ τοῦτο τάδε λέγει Κύριος Ἀνθ' ὧν ἀνεμνή-
σατε τὰς ἀδικίας ὑμῶν ἐν τῷ ἀποκαλυφθῆναι τὰς ἀσεβείας ὑμῶν,

13 οτι δεδικαιωται] α' οτι ηρευνησεν Q^{mg} | και] + ετι ει και A + τι ει AQ και Q | απωσθης A | Κυριος] πιπι Q^{mg} 14 χειρα 1°] τη χειρι A | εκστησει A 15 om μη AQ | θραυσθη] θραυσθησεται A | η καρδια] πασα κ. A | πυλην] + αυτων AQ | παραδεδονται] και παραδοθησονται A | ειστιλβωσιν A 16 om και Q 17 θυμον] pr τον A | μου 3°] + εν σοι A | λελαληκα] ελαλησα A 20 αι δυο] αρχαι δ. AQ | χειρ] χειρα $AQ^{b?}$ σ' χειρα κεντουσα̅| Q^{mg} + ετοιμασουσιν AQ^{mg} + (sub θ' ※) ετοιμασαι Q | εν αρχη] επ αρχης A | οδου] + εκαστης Q^{mg} | πολεως] + κεντουσαν Q^{mg} | διαταξεις] + ϗ ˙συ ετοιμασον ϗ διαταξον οδον Q^{mg} | Ραββαθ] adnot πλιθυμ(σ)ω $B^{c(mg)}$ | υιων] pr και επι A 21 ραβδον] ραβδια A ραβδους Q^{a} | εν τοις γλυπτοις] α' εν τοις θαραφει| σ' τα ειδωλα Q^{mg} 22 εγενετο] pr και Q | το μαντειον] om το Q | του διανοιξαι] pr και A | φωνην] νικη̅ Q^{mg} | μετα κραυγης (κραυης B^{*} κραυγης $B^{a\,fort}$)] μετα φωνης σαλπιγγος Q^{mg} 23 αυτων] + (sub θ' ※) εβδομαζοντες εβδομαδας αυτοις Q | αδικιας αυτου μνησθηναι] ανομιαν αυτων του συλληφθηναι Q^{mg} | αυτου] αυτων A 24 Κυριος] κ̅ς̅ κ̅ς̅ ο θ̅ς̅ A κς κ̅ς̅ Q | ασεβιας B^{b}

B τοῦ ὁραθῆναι ἁμαρτίας ὑμῶν ἐν πάσαις ταῖς ἀσεβείαις ὑμῶν καὶ
ἐν τοῖς ἐπιτηδεύμασιν ὑμῶν· ἀνθ' ὧν ἀνεμνήσατε, ἐν τούτοις ἁλώ-
σεσθε. [25]καὶ σύ, ἄνομε βέβηλε ἀφηγούμενε τοῦ Ἰσραήλ, οὗ ἥκει 25 (30)
ἡ ἡμέρα ἐν καιρῷ ἀδικίας πέρας, [26]τάδε λέγει Κύριος Ἀφείλου τὴν 26 (31)
κίδαριν καὶ ἐπέθου τὸν στέφανον· αὐτὴ οὐ τοιαύτη ἔσται· ἐταπεί-
νωσας τὸ ὑψηλόν, καὶ ὕψωσας τὸ ταπεινόν. [27]ἀδικίαν ἀδικίαν 27 (32)
ἀδικίαν θήσομαι αὐτήν, οὐαὶ αὐτῇ· τοιαύτη ἔσται ἕως οὗ ἔλθῃ ᾧ
καθήκει, καὶ παραδώσω αὐτῷ. [28]Καὶ σύ, υἱὲ ἀνθρώπου, προ- 28 (33)
φήτευσον καὶ ἐρεῖς Τάδε λέγει Κύριος πρὸς τοὺς υἱοὺς Ἀμμὼν καὶ
πρὸς τὸν ὀνειδισμὸν αὐτῶν, καὶ ἐρεῖς Ῥομφαία ῥομφαία ἐσπα-
σμένη εἰς σφάγια καὶ ἐσπασμένη εἰς συντέλειαν, ἐγείρου ὅπως
στίλβῃς. [29]ἐν τῇ ὁράσει σου τῇ ματαίᾳ, καὶ ἐν τῷ μαντεύεσθαί 29 (34)
σε ψευδῆ, τοῦ παραδοῦναί σε ἐπὶ τραχήλους τραυματιῶν ἀνόμων,
ἥκει ἡ ἡμέρα ἐν καιρῷ ἀδικίας πέρας. [30]ἀπόστρεφε, μὴ καταλύσῃς 30 (35)
ἐν τῷ τόπῳ τούτῳ ᾧ γεγέννησαι· ἐν τῇ γῇ τῇ ἰδίᾳ σου κρινῶ σε.
[31]καὶ ἐκχεῶ ἐπὶ σὲ ὀργήν μου, ἐν πυρὶ ὀργῆς μου ἐμφυσήσω ἐπὶ 31 (36)
σέ, καὶ παραδώσω σε εἰς χεῖρας ἀνδρῶν βαρβάρων τεκταινόντων
διαφθοράς. [32]ἐν πυρὶ ἔσῃ κατάβρωμα, τὸ αἷμά σου ἔσται ἐν μέσῳ 32 (37)
τῆς γῆς σου· οὐ μὴ γένηταί σου μνεία, διότι ἐγὼ Κύριος λελάληκα.

[1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Καὶ σύ, υἱὲ ἀνθρώ- 1 2 XXII
που, εἰ κρινεῖς τὴν πόλιν τῶν αἱμάτων; καὶ παράδειξον αὐτῇ πάσας
τὰς ἀνομίας αὐτῆς, [3]καὶ ἐρεῖς Τάδε λέγει κύριος Κύριος Ὦ πόλις 3
ἐκχέουσα αἵματα ἐν μέσῳ αὐτῆς τοῦ εἰσελθεῖν καιρὸν αὐτῆς, καὶ
ποιοῦσα ἐνθυμήματα καθ' αὐτῆς τοῦ μιαίνειν αὐτήν. [4]ἐν τοῖς αἵ- 4
μασιν αὐτῶν οἷς ἐξέχεας παραπέπτωκας, καὶ ἐν τοῖς ἐνθυμήμασίν
σου οἷς ἐποίεις ἐμιαίνου, καὶ ἤγγισας τὰς ἡμέρας σου, καὶ ἤγαγες
καιρὸν ἐτῶν σου. διὰ τοῦτο δέδωκά σε εἰς ὄνειδος τοῖς ἔθνεσιν καὶ
εἰς ἐμπαιγμὸν πάσαις ταῖς χώραις [5]ταῖς ἐγγιζούσαις πρὸς σὲ καὶ 5

AQ 24 αμαρτιας] pr τας Q* (improb Q^{a}) | ασεβιαις B^{b}A | τοις επιτηδευμασιν] pr πασιν Q | αλωσεσθε] αλωθησεσθαι A 25 βεβηλε ανομε AQ 26 Κυριος] κ̅ς̅ κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | τον στεφανον αυτη] αυτη το̅| στεφανον (αυτη το̅ sup ras et in mg $A^{a?}$ om αυτη $A^{*\,vid}$) A | το ταπεινον υψωσας A 27 αδικιαν 1° sub οι γ' ※ Q? | om αδικιαν 3° B^{b}A | ουαι] ου A ουδ Q | om αυτη A | τοιαυτην Q* (-τη Q^{a}) | αυτω] αυτην A 28 Κυριος] κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | εσπασμενη 1°] pr ετοιμαζου A | om εις 1° A 29 τη ματαια] om τη Q* (superscr Q^{a}) | ανομων] + ων AQ 30 γεγενησαι Q^{a} 31 σε 1°] σοι AQ | οργην μου] α' απειλην μου θ' εμβριμημα μου σ' εμβριμησιν μου Q^{mg} | διαφθοραν AQ 32 λελαληκα] ελαλησα Q XXII 2 ει κρινεις] ου κρ. A bis scr Q | αυτης] αυτων Q 3 Κυριος] + ο θ̅ς̅ A | εισελθειν] ελθειν B^{ab}AQ | ποιουσαι A | καθ αυτης] κατ αυτης A 4 δεδωκα] εδωκα Q

ταῖς μακρὰν ἀπεχούσαις ἀπὸ σοῦ, καὶ ἐμπαίξονται ἐν σοί, ἀκάθαρτος B
6 ἡ ὀνομαστὴ καὶ πολλὴ ἐν ταῖς ἀνομίαις. [6]Ἰδοὺ οἱ ἀφηγούμενοι οἴκου
Ἰσραήλ, ἕκαστος πρὸς τοὺς συγγενεῖς αὐτοῦ, συνεφύροντο ἐν σοὶ
7 ὅπως ἐκχέωσιν αἷμα· [7]πατέρα καὶ μητέρα ἐκακολόγουν ἐν σοί, καὶ
προσήλυτον ἀνεστρέφοντο ἐν ἀδικίαις ἐν σοί, ὀρφανὸν καὶ χήραν
8 κατεδυνάστευον, [8]καὶ τὰ ἅγιά μου ἐξουδένουν καὶ τὰ σάββατά
9 μου ἐβεβήλουν ἐν σοί. [9]ἄνδρες λῃσταὶ ἐν σοί, ὅπως ἐκχέωσιν ἐν
σοὶ αἷμα, καὶ ἐπὶ τῶν ὀρέων ἤσθοσαν ἐν σοί, ἀνόσια ἐποίουν ἐν
10 μέσῳ σου. [10]αἰσχύνην πατρὸς ἀπεκάλυψαν ἐν σοί, καὶ ἐν ἀκα-
11 θαρσίαις ἀποκαθημένην ἐταπείνουν ἐν σοί· [11]ἕκαστος τὴν γυναῖκα
τοῦ πλησίον αὐτοῦ ἠνομοῦσαν, καὶ ἕκαστος τὴν νύμφην αὐτοῦ ἐμί-
αινεν ἐν ἀσεβείᾳ, καὶ ἕκαστος τὴν ἀδελφὴν αὐτοῦ θυγατέρα τοῦ
12 πατρὸς αὐτοῦ ἐταπείνουν ἐν σοί. [12]δῶρα ἐλαμβάνοσαν ἐν σοί, ὅπως
ἐκχέωσιν αἷμα, τόκον καὶ πλεονασμὸν ἐλαμβάνοσαν ἐν σοί· καὶ
συνετελέσω συντέλειαν κακίας σου τὴν ἐν καταδυναστείᾳ, ἐμοῦ δὲ
13 ἐπελάθου, λέγει Κύριος. [13]ἐὰν δ' ἐπάξω χεῖρά μου ἐφ' οἷς συν-
τετέλεσαι οἷς ἐποίησας, καὶ ἐπὶ τοῖς αἵμασίν σου τοῖς γεγενημένοις
14 ἐν μέσῳ σου, [14]εἰ ὑποστήσεται ἡ καρδία σου; εἰ κρατήσουσιν αἱ
χεῖρές σου ἐν ταῖς ἡμέραις αἷς ἐγὼ ποιῶ ἐν σοί; ἐγὼ Κύριος λελά-
15 ληκα καὶ ποιήσω. [15]καὶ διασκορπιῶ σε ἐν τοῖς ἔθνεσιν, καὶ δια-
σπερῶ σε ἐν ταῖς χώραις, καὶ ἐκλείψει ἡ ἀκαθαρσία σου ἐκ σοῦ,
16 [16]καὶ κατακληρονομήσω ἐν σοὶ κατ' ὀφθαλμοὺς τῶν ἐθνῶν, καὶ γνώ-
17 σεσθε διότι ἐγὼ Κύριος. [17]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ
18 λέγων [18]Υἱὲ ἀνθρώπου, ἰδοὺ γεγόνασί μοι ὁ οἶκος Ἰσραὴλ ἀνα-
μεμιγμένοι πάντες χαλκῷ καὶ σιδήρῳ καὶ κασσιτέρῳ καὶ μολίβῳ, ἐν
19 μέσῳ ἀργυρίου ἀναμεμιγμένος ἐστίν. [19]διὰ τοῦτο εἰπόν Τάδε λέγει

5 απεχουσαις bis scr B* improb 2° B^{ab} | σοι] + ϗ βοησουσιν επι σοι Q^{mg} AQ 6 συνεφυροντο] ενεφυραντο B$^{a\,(non\,b)\,mg}$ συνανεφυροντο A 7 προσηλυτον] προς τον προσ. B$^{ab\,mg}$ AQ^{mg} προς τον ηλυτον Q* | αδικειαις B* (-κιαις B^{b}) | κατεδυναστευον] + εν σοι AQ 8 τα αγια μου] τα αγιασμο̅ B* (improb τα B^{ab}) | εξουθενουν A 9 λησται] + ησαν AQ | ησθοσαν] ησθιον B^{b}A 10 και| εν ακαθαρσιαις sup ras B^{ab} | αποκαθημενης A 11 νυμφην] αδελφην A | εμιαινον A 12 ελαμβανοσαν 1°] ελαμβανον A | καταδυναστεια] + σου A | εμου δε] οτι εμου A | απελαθου B | Κυριος] pr κ̅ς̅ AQ 13 δ επαξω] δε παταξω AQ | μου] + προς χειρα μου AQ | γεγεννημενοις A 14 ει bis] η Q* (ει Q^{a}) 15 διασπερω] περ sup ras (seq spat) B$^{?}$ (διασκορπιω B$^{*\,fort}$) | εν ταις χωραις] εις τας χωρας Q 16 εν σοι κατ οφθαλμους] σε ενωπιον A | γνωσεσθε] γνωση A | διοτι] οτι AQ 18 γεγονασι (-σιν Q)] γεγονεν A | om μοι A | αναμεμιγμενοι παντες] αναμεμιγμενος A | κασσιτερω και σιδηρω Q | μολιβδω A | μεσω] + (sub οι γ' ※) καμινου Q | αργυριου] αργυριον Q* αργυριω Q$^{?}$ | αναμεμιγμενος εστιν] αναμεμιγμενον εστιν Q* αναμεμιγμενοι εισιν Q^{mg}

B Κύριος Ἀνθ᾽ ὧν ἐγένεσθε εἰς σύνκρασιν μίαν, διὰ τοῦτο ἐγὼ εἰσ-
δέχομαι ὑμᾶς εἰς μέσον Ἰερουσαλήμ· [20] καθὼς εἰσδέχεται ἄργυρος καὶ 20
χαλκὸς καὶ σίδηρος καὶ κασσίτερος καὶ μόλιβος εἰς μέσον καμίνου,
τοῦ ἐκφυσῆσαι εἰς αὐτὸ πῦρ τοῦ χωνευθῆναι, οὕτως εἰσδέξομαι ἐν
ὀργῇ μου καὶ συνάξω καὶ χωνεύσω ὑμᾶς, [21] καὶ ἐκφυσήσω ἐφ᾽ ὑμᾶς 21
ἐν πυρὶ ὀργῆς μου, καὶ χωνευθήσεσθε ἐν μέσῳ αὐτῆς. [22] ὃν τρόπον 22
χωνεύεται ἀργύριον ἐν μέσῳ καμίνου, οὕτως χωνευθήσεσθε ἐν μέσῳ
αὐτῆς· καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος ἐξέχεα τὸν θυμόν μου
ἐφ᾽ ὑμᾶς. [23] Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [24] Υἱὲ 23 24
ἀνθρώπου, εἰπὸν αὐτῇ Σὺ εἶ γῆ ἡ οὐ βρεχομένη, οὐδὲ ὑετὸς ἐγένετο
ἐπὶ σὲ ἐν ἡμέρᾳ ὀργῆς. [25] ἧς οἱ ἀφηγούμενοι ἐν μέσῳ αὐτῆς ὡς 25
λέοντες ὠρυόμενοι ἁρπάζοντες ἁρπάγματα, ψυχὰς κατεσθίοντες ἐν
δυναστείᾳ καὶ τιμὰς λαμβάνοντες· καὶ αἱ χῆραί σου ἐπληθύνθησαν
ἐν μέσῳ σου. [26] καὶ οἱ ἱερεῖς αὐτῆς ἠθέτησαν νόμον μου καὶ ἐβεβή- 26
λουν τὰ ἅγιά μου· ἀνὰ μέσον ἁγίου καὶ βεβήλου οὐ διέστελλον, καὶ
ἀνὰ μέσον ἀκαθάρτου καὶ τοῦ καθαροῦ οὐ διέστελλον, καὶ ἀπὸ τῶν
σαββάτων μου παρεκάλυπτον τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἐβεβηλού-
μην ἐν μέσῳ αὐτῶν. [27] οἱ ἄρχοντες αὐτῆς ἐν μέσῳ αὐτῆς ὡς λύκοι 27
ἁρπάζοντες ἁρπάγματα τοῦ ἐκχέαι αἷμα, ὅπως πλεονεξίᾳ πλεον-
εκτῶσιν. [28] καὶ οἱ προφῆται αὐτῆς ἀλείφοντες αὐτοὺς πεσοῦνται, 28
ὁρῶντες μάταια, μαντευόμενοι ψευδῆ, λέγοντες Τάδε λέγει Κύριος,
καὶ Κύριος οὐ λελάληκεν· [29] λαὸν τῆς γῆς ἐκπιεζοῦντες ἀδικίᾳ καὶ 29
διαρπάζοντες ἁρπάγματα, πτωχὸν καὶ πένητα καταδυναστεύοντες,
καὶ πρὸς τὸν προσήλυτον οὐκ ἀναστρεφόμενοι μετὰ κρίματος. [30] καὶ 30

AQ 19 Κυριος] κ̅ς̅ κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | ανθ ων] αν B* (ανθ ων B^{ab}) | εγενεσθε] + παντες AQ | συγκρασιν B^{ab}AQ | εγω] pr ιδου A | εισδεξομαι Q 20 μολιβος και κασσιτερος Q | μολιβδος A | καμινου] + πυρος A | εκφυσησαι] εμφυσησαι A | αυτο] αυτα A αυτην Q^{mg} | χωνευθηναι] χωνευσαι A | εισδεξομαι] + υμας A | μου] + και εν τω θυμω μου A et (sub θ′ ※) Q | συναξω] συ|ταξω Q | χωνευσω sub ras A^{a} (επαφησω A^{*fort}) 21 εφ] εις A | υμας] + εκφυσημα A 22 ουτω Q | χωνευετε B^{ab} 24 om υιε ανθρωπου A* (hab A^{a}) | γη] pr η Q | η ου βρεχ.] om η A | εγενετο επι σε εν ημερα οργης] καταβησεται σοι A 25 om ης A | αφηγουμενοι] + αυτης A | ωρυομενοι] ερευγομενοι A | αρπαγμα Q | κατεσθοντες Q | εν δυναστια] pr εδυναστευσαν A | και τιμας λαμβανοντες] δωρα ελαμβανον ε̅| αδικια A | αι χηραι] om αι A 26 νομον] pr τον A | του καθαρου] om του Q | εβεβηλουμην] τα σαββατα μου εβεβηλουν 27 αιμα] + (sub θ′ ※) του απολεσαι ψυχας Q 28 αλειφοντες αυτους] οι αλ. αυτ. A + αναρτυτω (sub ※) Q$^{mg\,dext}$ ηλειφον αυτους πηλω ανευ αχυρων Q$^{mg\,sinistr}$ | ορωντες (ο sup ras A^{a})] pr οι A | μαντευομενοι] + (sub οι γ′ ※) αυτοις Q | Κυριος 1°] pr αδωναι Q | ου λελαληκεν] ουκ ελαλησεν A 29 λαον] pr τον A | εκπιεζοντες Q | αδικια] pr εν A αδικιαν Q* (-κια Q^{a})

ἐζήτουν ἐξ αὐτῶν ἄνδρα ἀναστρεφόμενον ὀρθῶ. καὶ ἑστῶτα πρὸ B
προσώπου μου ὁλοσχερῶς ἐν καιρῷ τῆς γῆς τοῦ μὴ εἰς τέλος ἐξα-
31 λεῖψαι αὐτήν, καὶ οὐχ εὗρον. 31 καὶ ἐξέχεα ἐπ' §αὐτὴν θυμόν μου ἐν §Γ
πυρὶ ὀργῆς μου τοῦ συντελέσαι· τὰς ὁδοὺς αὐτῶν εἰς κεφαλὰς αὐτῶν
δέδωκα, λέγει κύριος Κύριος.

XXIII 1 2 1 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων 2 Υἱὲ ἀνθρώπου, δύο
3 γυναῖκες ἦσαν θυγατέρες μητρὸς μιᾶς, 3 καὶ ἐξεπόρνευσαν ἐν Αἰγύπτῳ
ἐν τῇ νεότητι αὐτῶν, ἐκεῖ ἔπεσον οἱ μαστοὶ αὐτῶν, ἐκεῖ διεπαρθε-
4 νεύθησαν. 4 καὶ τὰ ὀνόματα αὐτῶν ἦν Ὀολλα ἡ πρεσβυτέρα, καὶ
Ὀόλιβα ἡ ἀδελφὴ αὐτῆς. καὶ ἐγένοντό μοι, καὶ ἔτεκον υἱοὺς καὶ
θυγατέρας· καὶ τὰ ὀνόματα αὐτῶν, Σαμάρεια ἦν Ὀολλα, καὶ Ἰερου-
5 σαλὴμ ἦν Ὀόλιβα. 5 καὶ ἐξεπόρνευσεν ἡ Ὀολα ἀπ' ἐμοῦ καὶ ἐπέ-
θετο ἐπὶ τοὺς ἐραστὰς αὐτῆς, ἐπὶ τοὺς Ἀσσυρίους τοὺς ἐγγίζοντας
6 αὐτῇ, 6 ἐνδεδυκότας ὑακίνθινα, ἡγουμένους καὶ στρατηγούς· νεανίσκοι
7 καὶ ἐπίλεκτοι, πάντες ἱππεῖς ἱππαζόμενοι ἐφ' ἵππων. 7 καὶ ἔδωκεν
τὴν πορνείαν αὐτῆς ἐπ' αὐτούς· ἐπίλεκτοι υἱοὶ Ἀσσυρίων πάντες,
καὶ ἐπὶ πάντας οὓς ἐπέθετο, ἐν πᾶσι τοῖς ἐνθυμήμασιν αὐτῆς
8 ἐμιαίνετο. 8 καὶ τὴν πορνείαν αὐτῆς ἐξ Αἰγύπτου οὐκ ἐνκατέλιπεν,
ὅτι μετ' αὐτῆς ἐκοιμῶντο ἐν νεότητι αὐτῆς, καὶ αὐτοὶ διεπαρθένευσαν
9 αὐτὴν καὶ¶ ἐξέχεαν τὴν πορνείαν αὐτῶν ἐπ' αὐτήν. 9 διὰ τοῦτο παρέ- ¶Γ
δωκα αὐτὴν εἰς χεῖρας τῶν ἐραστῶν αὐτῆς, εἰς χεῖρας υἱῶν Ἀσσυ-
10 ρίων ἐφ' οὓς ἐπετίθετο. 10 αὐτοὶ ἀπεκάλυψαν τὴν αἰσχύνην αὐτῆς,
υἱοὺς καὶ θυγατέρας αὐτῆς ἔλαβον, καὶ αὐτὴν ἐν ῥομφαίᾳ ἀπέκτει-
ναν· καὶ ἐγένετο λάλημα εἰς γυναῖκας, καὶ ἐκδικήσεις ἐποίησαν ἐν
11 αὐτῇ εἰς τὰς θυγατέρας. 11 καὶ ἴδεν ἡ ἀδελφὴ αὐτῆς Ὀόλιβα, καὶ
διέφθειρε τὴν ἐπίθεσιν αὐτῆς ὑπὲρ αὐτήν, καὶ τὴν πορνείαν αὐτῆς

30 εστωτα προ προσωπου μου ολοσχερως] εστω (τα superscr) ολοσχ. προ προσ. μου Q | ολοσχερως (ολεσχ. B^{*} ολοσχ. B^{b})] το ολοσχερες A εν διακοπη φρασμου Q^{mg} | γης] οργης μου A 31 θυμον] pr τον A | συντελεσαι] + αυτους AΓ AQΓ
XXIII 1 pr tit περι των δυο γυναικων $Q^{mg\ sup}$ 2 θυγατερες μητρος μιας ησαν Q 3 αυτων 1°] + επορνευσαν A et (sub οι γ' ⁜) Q | εκει 2°] pr και A | διεπαρθενευθησαν] + (sub ⁜) τιθοι (τιτθ. Q^{a}) παρθενειων αυτων Q 4 om ην 1° Q | Οολλα bis] Οολα B^{a}Q Ολλα A | Οολιβα bis] Ολιβα A | ην 2°] η $B^{a?b}$AQ | ην 3°] η AQ | Οολιβαν B 5 Οολα] Ολλα A | επεθετο] προσεθετο A 6 ενδεδυκοτας] ενδεδυμενους A | νεανισκους A | om και 2° AQ | επιλεκτους A | ιππεις] ιπποις A^{*vid} ιπποι $A^{?}$ 7 πορνιαν A | αυτης 1°] αυτων A | πασιν AQ | αυτης 2°] αυτοις Q^{*vid} (η sub ras $Q^{?}$) 8 πορνιαν οις A et 1° salt Γ | εγκατελιπεν $B^{ab}Q^{a}$ εγκατελειπεν AQ^{*}Γ | νεοτητι] pr τη A 10 αισχυνην] ασχημοσυνην A | θυγατερες (1°) B^{*} (-ρας B^{ab}) | γυναικας] pr τας A | εποιησαν εκδικησεις A | θυγατερας 2°] + αυτης AQ 11 ειδεν B^{ab}A | Οολιβα] η Ολιβα A | διεφθειρεν AQ | υπερ αυτην rescr $A^{a?}$ (επι αυτη A^{*vid}) | πορνιαν bis A: item 14, 27, 35 | om αυτης υπερ την πορνειαν Q^{*} (hab Q^{mg})

B Ἕως τούτου παρώργισάν με οἱ πατέρες ὑμῶν ἐν τοῖς παραπτώμασιν
αὐτῶν ἐν οἷς παρέπεσον εἰς ἐμέ. [28] καὶ εἰσήγαγον αὐτοὺς εἰς τὴν γῆν 28
ἣν ἦρα τὴν χεῖρα τὴν χεῖρά μου δοῦναι αὐτοῖς, καὶ εἶδον πάντα
βουνὸν ὑψηλὸν καὶ πᾶν ξύλον κατάσκιον καὶ ἔθυσαν ἐκεῖ τοῖς θεοῖς
αὐτῶν, καὶ ἔταξαν ἐκεῖ ὀσμὴν εὐωδίας καὶ ἔσπεισαν ἐκεῖ σπονδὰς
αὐτῶν. [29] καὶ εἶπον πρὸς αὐτούς Τίς ἐστιν ἀβανὰ ὅτι ὑμεῖς εἰσπο- 29
ρεύεσθε ἐκεῖ; καὶ ἐπεκάλεσαν τὸ ὄνομα αὐτοῦ Ἀβανὰ ἕως τῆς σήμερον
ἡμέρας. [30] διὰ τοῦτο εἰπὸν πρὸς τὸν οἶκον Ἰσραήλ Τάδε λέγει Κύριος 30
Εἰ ἐν ταῖς ἀνομίαις τῶν πατέρων ὑμῶν ὑμεῖς μιαίνεσθε καὶ ὀπίσω τῶν
βδελυγμάτων αὐτῶν ὑμεῖς ἐκπορνεύετε; [31] καὶ ἐν ταῖς ἀπαρχαῖς τῶν 31
δομάτων ὑμῶν, ἐν τοῖς ἀφορισμοῖς οἷς ὑμεῖς μιαίνεσθε ἐν πᾶσιν
τοῖς ἐνθυμήμασιν ὑμῶν ἕως τῆς σήμερον ἡμέρας; καὶ ἐγὼ ἀποκριθῶ
ὑμῖν, οἶκος τοῦ Ἰσραήλ; ζῶ ἐγώ, λέγει Κύριος, εἰ ἀποκριθήσομαι
ὑμῖν, καὶ εἰ ἀναβήσεται ἐπὶ τὸ πνεῦμα ὑμῶν τοῦτο. [32] καὶ οὐκ ἔσται 32
ὃν τρόπον ὑμεῖς λέγετε Ἐσόμεθα ὡς τὰ ἔθνη καὶ ὡς αἱ φυλαὶ τῆς γῆς
τοῦ λατρεύειν ξύλοις καὶ λίθοις. [33] διὰ τοῦτο ζῶ ἐγώ, λέγει Κύριος, 33
ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ καὶ ἐν θυμῷ κεχυμένῳ
βασιλεύσω ἐφ᾽ ὑμᾶς, [34] καὶ ἐξάξω ὑμᾶς ἐκ τῶν λαῶν, καὶ εἰσδέξομαι 34
ὑμᾶς ἐκ τῶν χωρῶν οὗ διεσκορπίσθητε ἐν αὐταῖς ἐν χειρὶ κραταιᾷ καὶ
βραχίονι ὑψηλῷ καὶ ἐν θυμῷ κεχυμένῳ. [35] καὶ ἄξω ὑμᾶς εἰς τὴν 35
ἔρημον τῶν λαῶν, καὶ διακριθήσομαι πρὸς ὑμᾶς ἐκεῖ πρόσωπον κατὰ
πρόσωπον. [36] ὃν τρόπον διεκρίθην πρὸς τοὺς πατέρας ὑμῶν ἐν τῇ 36
ἐρήμῳ γῆς Αἰγύπτου, οὕτως κρινῶ ὑμᾶς, λέγει Κύριος. [37] καὶ διάξω 37
ὑμᾶς ὑπὸ τὴν ῥάβδον μου, καὶ εἰσάξω ὑμᾶς ἐν ἀριθμῷ, [38] καὶ ἐλέγξω 38
ἐξ ὑμῶν τοὺς ἀσεβεῖς καὶ τοὺς ἀφεστηκότας, διότι ἐκ τῆς παροικεσίας
αὐτῶν ἐξάξω αὐτούς, καὶ εἰς τὴν γῆν τοῦ Ἰσραὴλ οὐκ εἰσελεύσονται·

AQ **27** παρεπεσαν A **28** ην] pr εις A | om την χειρα 2° AQ | δουναι] pr του AQ + αυτην Q | ειδον] ειδαν A ιδοσαν Q | παντα B^*Q^a] παν B^aAQ^* | εθυσαν] εθυμιασαν Q | εκει 2°] + θ′ ※ θυμον δωρων αυτω̅| και εθεντο εκει Q | ευωδιας] + αυτων AQ | σπονδας] τασπονδας A **29** ειπον] ειπα AQ | τις] τι AQ | αβανα 1°] η αββανα A η βαμα Q | Αβανα 2°] Αββανα A Βαμα Q **30** Ισραηλ] pr του AQ | Κυριος] κ̅ς̅ κ̅ς̅ ο θεος A κ̅ς̅ κ̅ς̅ Q **31** εν 2°] pr και AQ^{mg} | αφορισμοις] + υιων υμων εν πυρι + (sub θ′ ※) των υιων υμ. εν π. Q | om οις AQ | Κυριος] pr αδωναι Q | υμιν 2°] υμις vel υμεις B^{*vid} (υμιν B^1) **32** λεγετε] ελεγετε Q | εσομεθα] θα sup ras B^{ab} | om ως 2° Q^* (hab Q^a) **33** δια τουτο sub ÷ $Q^?$ | ζω εγω λεγει κ̅ς̅ sup ras B^{ab} | Κυριος] pr αδωναι AQ | εν 1°] pr εαν μη A pr η μην Q **34** βραχιονι] pr εν AQ **36** γης] pr οτε εξηγαγον αυτους εκ AQ^{mg} | ουτως] καγω A | Κυριος] κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q **37** αριθμω] + (sub α′θ′ ※) της διαθηκης Q **38** ελεγξω] εκλεξω AQ | ασεβεις και τους αφεστηκοτας] αφεστηκοτας κ. τους ασεβεις (ευσεβεις Q^{mg}) Q | εξαξω] εξαρω A

39 καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος Κύριος. [39]καὶ ὑμεῖς, οἶκος Ἰσραήλ, B
τάδε λέγει κύριος Κύριος Ἕκαστος τὰ ἐπιτηδεύματα αὐτοῦ ἐξάρατε,
καὶ μετὰ ταῦτα εἰ μὴ ὑμεῖς εἰσακούετέ μου, καὶ τὸ ὄνομά μου τὸ ἅγιον
οὐ βεβηλώσετε οὐκέτι ἐν τοῖς δώροις ὑμῶν καὶ ἐν τοῖς ἐπιτηδεύμασιν
40 ὑμῶν, [40]διότι ἐπὶ τοῦ ὄρους τοῦ ἁγίου μου, ἐπ' ὄρους ὑψηλοῦ, λέγει
κύριος Κύριος, ἐκεῖ δουλεύσουσίν μοι πᾶς οἶκος Ἰσραὴλ εἰς τέλος.
καὶ ἐκεῖ προσδέξομαι καὶ ἐκεῖ ἐπισκέψομαι τὰς ἀπαρχὰς ὑμῶν καὶ
τὰς ἀπαρχὰς τῶν ἀφορισμῶν ὑμῶν ἐν πᾶσιν τοῖς ἁγιάσμασιν ὑμῶν.
41 [41]ἐν ὀσμῇ εὐωδίας προσδέξομαι ὑμᾶς, ἐν τῷ ἐξαγαγεῖν με ὑμᾶς ἐκ τῶν
λαῶν καὶ εἰσδέχεσθαι ὑμᾶς ἐκ τῶν χωρῶν ἐν αἷς διεσκορπίσθητε ἐν
42 αὐταῖς, καὶ ἁγιασθήσομαι ἐν ὑμῖν κατ' ὀφθαλμοὺς τῶν λαῶν. [42]καὶ
ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος, ἐν τῷ εἰσαγαγεῖν με ὑμᾶς εἰς τὴν γῆν
τοῦ Ἰσραὴλ εἰς τὴν γῆν εἰς ἣν ἦρα τὴν χεῖρά μου τοῦ δοῦναι αὐτὴν
43 τοῖς πατράσιν ὑμῶν. [43]καὶ μνησθήσεσθε ἐκεῖ τὰς ὁδοὺς ὑμῶν καὶ
τὰ ἐπιτηδεύματα ὑμῶν ἐν οἷς ἐμιαίνεσθε ἐν αὐτοῖς, καὶ κόψεσθε τὰ
44 πρόσωπα ὑμῶν ἐν πάσαις ταῖς κακίαις ὑμῶν. [44]καὶ ἐπιγνώσεσθε
διότι ἐγὼ Κύριος, ἐν τῷ ποιῆσαί με οὕτως ὑμῖν ὅπως τὸ ὄνομά μου μὴ
βεβηλωθῇ κατὰ τὰς ὁδοὺς ὑμῶν τὰς κακὰς καὶ κατὰ τὰ ἐπιτηδεύματα
ὑμῶν τὰ διεφθαρμένα, λέγει Κύριος.

(XXI) (1) 45 (2) 46 [45]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [46]Υἱὲ ἀνθρώπου,
στήρισον τὸ πρόσωπόν σου ἐπὶ Θαιμὰν καὶ ἐπίβλεψον ἐπὶ Δαγὼν
(3) 47 καὶ προφήτευσον ἐπὶ δρυμὸν ἡγούμενον Νάγεβ, [47]καὶ ἐρεῖς τῷ δρυ-
μῷ Νάγεβ Ἄκουε λόγον Κυρίου Τάδε λέγει κύριος Κύριος Ἰδοὺ ἐγὼ
ἀνάπτω ἐν σοὶ πῦρ, καὶ καταφάγεται ἐν σοὶ ξύλον χλωρὸν καὶ
πᾶν ξύλον ξηρόν, οὐ σβεσθήσεται ἡ φλὸξ ἡ ἐξαφθεῖσα, καὶ κατα-
καυθήσεται ἐν αὐτῇ πᾶν πρόσωπον ἀπὸ ἀπηλιώτου ἕως βορρᾶ.
(4) 48 [48]καὶ ἐπιγνώσονται πᾶσα σὰρξ ὅτι ἐγὼ Κύριος ἐξέκαυσα αὐτό, οὐ

38 κυριος Κυριος] κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ Q   39 om μη B? (spat 2 litt) Qª | εισ- AQ
ακουετε] εισακουσητε Q | om μου 1° A | δωροις] ειδωλοις Q   40 υψηλου]+
Ι̅η̅λ̅ Q | om λεγει κυριος Κυριος A | Ισραηλ]+λεγει κ̅ς̅ κ̅ς̅ A | απαρχιας (1°) A |
πασι BªQ   41 εξαγαγειν] εξαγειν A | εισδεχεσθαι] εισδεξομαι A | εν αις]
ου A   42 διοτι] οτι A | τοις πατρασιν υμων] αυτοις A   43 μνησεσθαι Q*
(μνησθησεσθε Qª) | κοψεσθε BA* Q^mg] οψεσθαι A? Q* | υμων 4°]+(sub
α'θ' ※) αις εποιησατε Q   44 μη βεβ. sub ÷ Q? | διεφθαρμενα]+(sub οι
γ' ※) οικος Ι̅η̅λ̅ Q | Κυριος 2°] pr αδωναι AQ   45 pr tit επι Θαιμαν
Q^mg sup   46 επι Θαιμαν] adnot επι συντελι[ᾱ] B^c vid | Θαιμαν] adnot
συντελεια αυτων Q^mg | επι Δαγων] adnot επι ηχθυν B^c vid | Δαγων] Δαρωρ Q*
Δαρουμ al Δαγωγ Q^mg   47 κυριος Κυριος] κ̅ς̅ ο θ̅ς̅ Ι̅η̅λ̅ A | om εν σοι 1° A |
ξυλον 1°] pr παν AQ   48 επιγνωσονται] επιγνωσεται A | ου] pr και A

B σβεσθήσεται. 49 καὶ εἶπα Μηδαμῶς, κύριε Κύριε· αὐτοὶ λέγουσιν 49 (5)
πρὸς μέ Οὐχὶ παραβολή ἐστιν λεγομένη αὕτη; 1 Καὶ ἐγένετο 1 (6) XXI
λόγος Κυρίου πρὸς μὲ λέγων 2 Διὰ τοῦτο προφήτευσον, υἱὲ ἀνθρώ- 2 (7)
που, στήρισον τὸ πρόσωπόν σου ἐπὶ Ἰερουσαλὴμ καὶ ἐπίβλεψον
ἐπὶ τὰ ἅγια αὐτῶν, καὶ προφητεύσεις ἐπὶ τὴν γῆν τοῦ Ἰσραήλ.
3 καὶ ἐρεῖς πρὸς τὴν γῆν τοῦ Ἰσραήλ Ἰδοὺ ἐγὼ πρὸς σέ, καὶ 3 (8)
ἐκσπάσω τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ, καὶ ἐξολεθρεύ-
σω ἐκ σοῦ ἄδικον καὶ ἄνομον. 4 ἀνθ' ὧν ἐξολεθρεύσω ἐκ σοῦ 4 (9)
ἄδικον καὶ ἄνομον, οὕτως ἐξελεύσεται τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ
κολεοῦ αὐτοῦ ἐπὶ πᾶσαν σάρκα ἀπὸ ἀπηλιώτου ἕως βορρᾶ, 5 καὶ 5 (10)
ἐπιγνώσεται πᾶσα σὰρξ διότι ἐγὼ Κύριος ἐξέσπασα τὸ ἐγχειρίδιόν
μου ἐκ τοῦ κολεοῦ αὐτοῦ, οὐκ ἀποστρέψει οὐκέτι. 6 καὶ σύ, υἱὲ 6 (11)
ἀνθρώπου, καταστέναξον ἐν συντριβῇ ὀσφύος σου, καὶ ἐν ὀδύναις
στενάξεις κατ' ὀφθαλμοὺς αὐτῶν. 7 καὶ ἔσται ἐὰν εἴπωσιν πρὸς σέ 7 (12)
Ἕνεκα τίνος σὺ στενάζεις; καὶ ἐρεῖς Ἐπὶ τῇ ἀγγελίᾳ διότι ἔρχεται,
καὶ θραυσθήσεται πᾶσα καρδία, καὶ πᾶσαι χεῖρες παραλυθήσονται,
καὶ ἐκψύξει πᾶσα σὰρξ καὶ πᾶν πνεῦμα, καὶ πάντες μηροὶ μο-
λυνθήσονται ὑγρασίᾳ· ἰδοὺ ἔρχεται, λέγει κύριος Κύριος. 8 Καὶ 8 (13)
ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων 9 Υἱὲ ἀνθρώπου, προφήτευσον 9 (14)
καὶ ἐρεῖς Τάδε λέγει Κύριος Εἰπόν Ῥομφαία ῥομφαία, ὀξύνου καὶ
θυμώθητι, 10 ὅπως σφάξῃς σφάγια, ὀξύνου ὅπως γένῃ εἰς στίλβω- 10 (15)
σιν, ἑτοίμη εἰς παράλυσιν· σφάζε, ἐξουδένει, ἀπωθοῦ πᾶν ξύλον.
11 καὶ ἔδωκεν αὐτὴν ἑτοίμην τοῦ κρατεῖν χεῖρα αὐτοῦ· ἐξηκονήθη ἡ 11 (16)
ῥομφαία, ἐστὶν ἑτοίμη τοῦ δοῦναι αὐτὴν εἰς χεῖρα ἀποκεντοῦντος.
12 ἀνάκραγε καὶ ὀλόλυξον, υἱὲ ἀνθρώπου, ὅτι αὕτη ἐγένετο ἐν τῷ 12 (17)
λαῷ μου, αὕτη ἐν πᾶσιν τοῖς ἀφηγουμένοις τοῦ Ἰσραήλ· παροική-
σουσιν, ἐπὶ ῥομφαίᾳ ἐγένετο ἐν τῷ λαῷ μου· διὰ τοῦτο κρότη-

AQ 48 σβεσθησεται] + ετι A XXI 1 pr tit επι Ιλ$\overline{ημ}$ Q$^{mg\ sup}$ 2 δια τουτο...ανθρωπου] υιε α$\overline{νου}$ δια τουτο προφητευσον A pr οι γ' ※ Q$^{?}$ | στηρισον] pr και A 3 ιδου] pr ταδε λεγει $\overline{κς}$ $\overline{κς}$ B^{ab} et (sub θ' ※) Q pr ταδε λ. $\overline{κς}$ ο $\overline{θς}$ A | το εγχειριδιον μου] α' ρομφαιαν μου σ'θ' την μαχαιραν μου Q^{mg} | εξολοθρευσω B^{b}: item 4 4 om ανθ ων εξολεθρευσω...ανομον A (hab Q sub ÷) | ενχειριδιον A 5 διοτι] οτι AQ | ενχειριδιον Q^{*vid} | ουκ] pr και AQ | αποστρεψει] επιστρεψει Q 7 διοτι] οτι A | πασαι χειρες παραλυθησονται] παραλυθ. πασαι χειρες Q | πασα σαρξ και sub ÷ Q$^{?}$ | ερχεται 2°] + και εσται AQ | κυριος Κυριος] $\overline{κς}$ 2° improb B^{ab} $\overline{κς}$ ο $\overline{θς}$ A 9 Κυριος] pr αδωναι A$^{a?}$Q 11 η ρομφαια] om η AQ | δουναι] δοθηναι A | χειρα 2°] χειρας A 12 εγενετο 1°] εγε sup ras A$^{a?}$ | om εν 1° Q | παροικησουσιν ...λαω μου] παρ. επει ρ. εγενετο τω λαω μου Q* οι παροικου̅|τες μοι εις ρομφαιαν εγενο̅|το συν τω λαω μου Q^{mg} | επι 1°] επει B^{ab}

(18) 13 σον ἐπὶ τὴν χεῖρά σου. 13 ὅτι δεδικαίωται· καὶ φυλὴ ἀπωσθῇ; B
(19) 14 οὐκ ἔσται, λέγει κύριος Κύριος. 14 καὶ σύ, υἱὲ ἀνθρώπου, προφή-
τευσον καὶ κρότησον χεῖρα ἐπὶ χεῖρα καὶ διπλασίασον ῥομφαίαν·
ἡ τρίτη ῥομφαία τραυματιῶν ἐστιν, ῥομφαία τραυματιῶν ἡ μεγάλη.
(20) 15 καὶ ἐκστήσεις αὐτούς, 15 ὅπως μὴ θραυσθῇ ἡ καρδία, καὶ πληθυν-
θῶσιν οἱ ἀσθενοῦντες ἐπὶ πᾶσαν πύλην· παραδέδονται εἰς σφάγια
(21) 16 ῥομφαίας, εὖ γέγονεν εἰς σφαγήν, εὖ γέγονεν εἰς στίλβωσιν. 16 δια-
πορεύου, ὀξύνου ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, οὗ ἂν τὸ πρόσωπόν
(22) 17 σου ἐξεγείρηται. 17 καὶ ἐγὼ δὲ κροτήσω χεῖρά μου πρὸς χεῖρά μου
(23) 18 καὶ ἐναφήσω θυμόν μου· ἐγὼ Κύριος λελάληκα. 18 Καὶ ἐγένετο
(24) 19 λόγος Κυρίου πρὸς μὲ λέγων 19 Καὶ σύ, υἱὲ ἀνθρώπου, διάταξον
20 σεαυτῷ δύο ὁδοὺς 20 τοῦ εἰσελθεῖν ῥομφαίαν βασιλέως Βαβυλῶνος·
ἐκ χώρας μιᾶς ἐξελεύσονται αἱ δύο, καὶ χεὶρ ἐν ἀρχῇ ὁδοῦ πόλεως,
(25) ἐπ' ἀρχῆς 25 ὁδοῦ διατάξεις τοῦ εἰσελθεῖν ῥομφαίαν ἐπὶ Ῥαββὰθ
υἱῶν Ἀμμὼν καὶ ἐπὶ τὴν Ἰουδαίαν καὶ ἐπὶ Ἰερουσαλὴμ ἐν μέσῳ
(26) 21 αὐτῆς. 21 διότι στήσεται βασιλεὺς Βαβυλῶνος ἐπὶ τὴν ἀρχαίαν
ὁδόν, ἐπ' ἀρχῆς τῶν δύο ὁδῶν, τοῦ μαντεύσασθαι μαντείαν, τοῦ
ἀναβράσαι ῥάβδον καὶ ἐπερωτῆσαι ἐν τοῖς γλυπτοῖς καὶ ἡπατοσκο-
(27) 22 πήσασθαι ἐκ δεξιῶν αὐτοῦ. 22 ἐγένετο τὸ μαντεῖον ἐπὶ Ἰερουσαλὴμ
τοῦ βαλεῖν χάρακα, τοῦ διανοῖξαι στόμα ἐν βοῇ, ὑψῶσαι φωνὴν
μετὰ κραυγῆς, τοῦ βαλεῖν χάρακα ἐπὶ τὰς πύλας αὐτῆς καὶ βαλεῖν
(28) 23 χῶμα καὶ οἰκοδομῆσαι βελοστάσεις. 23 καὶ αὐτὸς αὐτοῖς ὡς μαντευό-
μενος μαντείαν ἐνώπιον αὐτῶν, καὶ αὐτὸς ἀναμιμνήσκων ἀδικίας
(29) 24 αὐτοῦ μνησθῆναι. 24 διὰ τοῦτο τάδε λέγει Κύριος Ἀνθ' ὧν ἀνεμνή-
σατε τὰς ἀδικίας ὑμῶν ἐν τῷ ἀποκαλυφθῆναι τὰς ἀσεβείας ὑμῶν,

13 οτι δεδικαιωται] α' οτι ηρευνησεν Q^{mg} | και] + ετι ει και A + τι ει AQ και Q | απωσθης A | Κυριος] πιπι Q^{mg} 14 χειρα 1°] τη χειρι A | εκστησει A 15 om μη AQ | θραυσθη] θραυσθησεται A | η καρδια] πασα κ. A | πυλην] + αυτων AQ | παραδεδονται] και παραδοθησονται A | εισστιλβωσιν A 16 om και Q 17 θυμον] pr τον A | μου 3°] + εν σοι A | λελαληκα] ελαλησα A 20 αι δυο] αρχαι δ. AQ | χειρ] χειρα AQ$^{b?}$ σ' χειρα κεντουσᾱ| Q^{mg} + ετοιμασουσιν AQ^{mg} + (sub θ' ※) ετοιμασαι Q | εν αρχη] επ αρχης A | οδου] + εκαστης Q^{mg} | πολεως] + κεντουσαν Q^{mg} | διαταξεις] + ϗ ˙συ ετοιμασον ϗ διαταξον οδον Q^{mg} | Ραββαθ] adnot πλιθυμ(σ)ω B$^{c(mg)}$ | υιων] pr και επι A 21 ραβδον] ραβδια A ραβδους Q^{a} | εν τοις γλυπτοις] α' εν τοις θαραφει| σ' τα ειδωλα Q^{mg} 22 εγενετο] pr και Q | το μαντειον] om το Q | του διανοιξαι] pr και A | φωνην] νικη̄ Q^{mg} | μετα κραυγης (κραυης B* κραυγης B$^{a\,fort}$)] μετα φωνης σαλπιγγος Q^{mg} 23 αυτων] + (sub θ' ※) εβδομαζοντες εβδομαδας αυτοις Q | αδικιας αυτου μνησθηναι] ανομιαν αυτων του συλληφθηναι Q^{mg} | αυτου] αυτων A 24 Κυριος] κ̄ς̄ κ̄ς̄ ο θ̄ς̄ A κς κ̄ς̄ Q | ασεβιας B^{b}

B τοῦ ὁραθῆναι ἁμαρτίας ὑμῶν ἐν πάσαις ταῖς ἀσεβείαις ὑμῶν καὶ
ἐν τοῖς ἐπιτηδεύμασιν ὑμῶν· ἀνθ' ὧν ἀνεμνήσατε, ἐν τούτοις ἁλώ-
σεσθε. [25]καὶ σύ, ἄνομε βέβηλε ἀφηγούμενε τοῦ Ἰσραήλ, οὗ ἥκει 25 (30)
ἡ ἡμέρα ἐν καιρῷ ἀδικίας πέρας, [26]τάδε λέγει Κύριος Ἀφείλου τὴν 26 (31)
κίδαριν καὶ ἐπέθου τὸν στέφανον· αὐτὴ οὐ τοιαύτη ἔσται· ἐταπεί-
νωσας τὸ ὑψηλόν, καὶ ὕψωσας τὸ ταπεινόν. [27]ἀδικίαν ἀδικίαν 27 (32)
ἀδικίαν θήσομαι αὐτήν, οὐαὶ αὐτῇ· τοιαύτη ἔσται ἕως οὗ ἔλθῃ ᾧ
καθήκει, καὶ παραδώσω αὐτῷ. [28]Καὶ σύ, υἱὲ ἀνθρώπου, προ- 28 (33)
φήτευσον καὶ ἐρεῖς Τάδε λέγει Κύριος πρὸς τοὺς υἱοὺς Ἀμμὼν καὶ
πρὸς τὸν ὀνειδισμὸν αὐτῶν, καὶ ἐρεῖς Ῥομφαία ῥομφαία ἐσπα-
σμένη εἰς σφάγια καὶ ἐσπασμένη εἰς συντέλειαν, ἐγείρου ὅπως
στίλβῃς. [29]ἐν τῇ ὁράσει σου τῇ ματαίᾳ, καὶ ἐν τῷ μαντεύεσθαί 29 (34)
σε ψευδῆ, τοῦ παραδοῦναί σε ἐπὶ τραχήλους τραυματιῶν ἀνόμων,
ἥκει ἡ ἡμέρα ἐν καιρῷ ἀδικίας πέρας. [30]ἀπόστρεφε, μὴ καταλύσῃς 30 (35)
ἐν τῷ τόπῳ τούτῳ ᾧ γεγέννησαι· ἐν τῇ γῇ τῇ ἰδίᾳ σου κρινῶ σε.
[31]καὶ ἐκχεῶ ἐπὶ σὲ ὀργήν μου, ἐν πυρὶ ὀργῆς μου ἐμφυσήσω ἐπὶ 31 (36)
σέ, καὶ παραδώσω σε εἰς χεῖρας ἀνδρῶν βαρβάρων τεκταινόντων
διαφθοράς. [32]ἐν πυρὶ ἔσῃ κατάβρωμα, τὸ αἷμά σου ἔσται ἐν μέσῳ 32 (37)
τῆς γῆς σου· οὐ μὴ γένηταί σου μνεία, διότι ἐγὼ Κύριος λελάληκα.
[1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Καὶ σύ, υἱὲ ἀνθρώ- 1 2 XXII
που, εἰ κρινεῖς τὴν πόλιν τῶν αἱμάτων; καὶ παράδειξον αὐτῇ πάσας
τὰς ἀνομίας αὐτῆς, [3]καὶ ἐρεῖς Τάδε λέγει κύριος Κύριος Ὦ πόλις 3
ἐκχέουσα αἵματα ἐν μέσῳ αὐτῆς τοῦ εἰσελθεῖν καιρὸν αὐτῆς, καὶ
ποιοῦσα ἐνθυμήματα καθ' αὐτῆς τοῦ μιαίνειν αὐτήν. [4]ἐν τοῖς αἵ- 4
μασιν αὐτῶν οἷς ἐξέχεας παραπέπτωκας, καὶ ἐν τοῖς ἐνθυμήμασίν
σου οἷς ἐποίεις ἐμιαίνου, καὶ ἤγγισας τὰς ἡμέρας σου, καὶ ἤγαγες
καιρὸν ἐτῶν σου. διὰ τοῦτο δέδωκά σε εἰς ὄνειδος τοῖς ἔθνεσιν καὶ
εἰς ἐμπαιγμὸν πάσαις ταῖς χώραις [5]ταῖς ἐγγιζούσαις πρὸς σὲ καὶ 5

AQ **24** αμαρτιας] pr τας Q* (improb Q^a) | ασεβιαις B^bA | τοις επιτηδευμασιν] pr πασιν Q | αλωσεσθε] αλωθησεσθαι A **25** βεβηλε ανομε AQ **26** Κυριος] κ̅ς̅ κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | τον στεφανον αυτη] αιτη το̅| στεφανον (αυτη το̅ sup ras et in mg A^a? om αυτη A* vid) A | το ταπεινον υψωσας A **27** αδικιαν 1° sub οι γ' ※ Q? | om αδικιαν 3° B^bA | ουαι] ου A ουδ Q | om αυτη A | τοιαυτην Q* (-τη Q^a) | αυτω] αυτην A **28** Κυριος] κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | εσπασμενη 1°] pr ετοιμαζου A | om εις 1° A **29** τη ματαια] om τη Q* (superscr Q^a) | ανομων]+ων AQ **30** γεγενησαι Q^a **31** σε 1°] σοι AQ | οργην μου] α' απειλην μου θ' εμβριμημα μου σ' εμβριμησιν μου Q^mg | διαφθοραν AQ **32** λελαληκα] ελαλησα Q XXII **2** ει κρινεις] ου κρ. A bis scr Q | αυτης] αυτων Q **3** Κυριος]+ο θ̅ς̅ A | εισελθειν] ελθειν B^abAQ | ποιουσαι A | καθ αυτης] κατ αυτης A **4** δεδωκα] εδωκα Q

ταῖς μακρὰν ἀπεχούσαις ἀπὸ σοῦ, καὶ ἐμπαίξονται ἐν σοί, ἀκάθαρτος B
6 ἡ ὀνομαστὴ καὶ πολλὴ ἐν ταῖς ἀνομίαις. [6]ἰδοὺ οἱ ἀφηγούμενοι οἴκου
Ἰσραήλ, ἕκαστος πρὸς τοὺς συγγενεῖς αὐτοῦ, συνεφύροντο ἐν σοὶ
7 ὅπως ἐκχέωσιν αἷμα· [7]πατέρα καὶ μητέρα ἐκακολόγουν ἐν σοί, καὶ
προσήλυτον ἀνεστρέφοντο ἐν ἀδικίαις ἐν σοί, ὀρφανὸν καὶ χήραν
8 κατεδυνάστευον, [8]καὶ τὰ ἅγιά μου ἐξουδένουν καὶ τὰ σάββατά
9 μου ἐβεβήλουν ἐν σοί. [9]ἄνδρες λῃσταὶ ἐν σοί, ὅπως ἐκχέωσιν ἐν
σοὶ αἷμα, καὶ ἐπὶ τῶν ὀρέων ἤσθοσαν ἐν σοί, ἀνόσια ἐποίουν ἐν
10 μέσῳ σου. [10]αἰσχύνην πατρὸς ἀπεκάλυψαν ἐν σοί, καὶ ἐν ἀκα-
11 θαρσίαις ἀποκαθημένην ἐταπείνουν ἐν σοί· [11]ἕκαστος τὴν γυναῖκα
τοῦ πλησίον αὐτοῦ ἠνομοῦσαν, καὶ ἕκαστος τὴν νύμφην αὐτοῦ ἐμί-
αινεν ἐν ἀσεβείᾳ, καὶ ἕκαστος τὴν ἀδελφὴν αὐτοῦ θυγατέρα τοῦ
12 πατρὸς αὐτοῦ ἐταπείνουν ἐν σοί. [12]δῶρα ἐλαμβάνοσαν ἐν σοί, ὅπως
ἐκχέωσιν αἷμα, τόκον καὶ πλεονασμὸν ἐλαμβάνοσαν ἐν σοί· καὶ
συνετελέσω συντέλειαν κακίας σου τὴν ἐν καταδυναστείᾳ, ἐμοῦ δὲ
13 ἐπελάθου, λέγει Κύριος. [13]ἐὰν δ' ἐπάξω χεῖρά μου ἐφ' οἷς συν-
τετέλεσαι οἷς ἐποίησας, καὶ ἐπὶ τοῖς αἵμασίν σου τοῖς γεγενημένοις
14 ἐν μέσῳ σου, [14]εἰ ὑποστήσεται ἡ καρδία σου; εἰ κρατήσουσιν αἱ
χεῖρές σου ἐν ταῖς ἡμέραις αἷς ἐγὼ ποιῶ ἐν σοί; ἐγὼ Κύριος λελά-
15 ληκα καὶ ποιήσω. [15]καὶ διασκορπιῶ σε ἐν τοῖς ἔθνεσιν, καὶ δια-
σπερῶ σε ἐν ταῖς χώραις, καὶ ἐκλείψει ἡ ἀκαθαρσία σου ἐκ σοῦ,
16 [16]καὶ κατακληρονομήσω ἐν σοὶ κατ' ὀφθαλμοὺς τῶν ἐθνῶν, καὶ γνώ-
17 σεσθε διότι ἐγὼ Κύριος. [17]Καὶ ἐγένετο λόγος Κυρίου πρός με
18 λέγων [18]Υἱὲ ἀνθρώπου, ἰδοὺ γεγόνασί μοι ὁ οἶκος Ἰσραὴλ ἀνα-
μεμιγμένοι πάντες χαλκῷ καὶ σιδήρῳ καὶ κασσιτέρῳ καὶ μολίβῳ, ἐν
19 μέσῳ ἀργυρίου ἀναμεμιγμένος ἐστίν. [19]διὰ τοῦτο εἰπόν Τάδε λέγει

5 απεχουσαις bis scr B* improb 2° B^{ab} | σοι] + κ̅ βοησουσιν επι σοι Q^{mg} AQ
6 συνεφυροντο] ενεφυραντο $B^{a\,(non\,b)\,mg}$ συνανεφυροντο A 7 προσηλυτον] προς τον προσ. $B^{ab\,mg}$ AQ^{mg} προς τον ηλυτον Q* | αδικειαις B* (-κιαις B^{b}) | κατεδυναστευον] + εν σοι AQ 8 τα αγια μου] τα αγιασμ̄ο| B* (improb τα B^{ab}) | εξουθενουν A 9 λησται] + ησαν AQ | ησθοσαν] ησθιον B^{b}A
10 και| εν ακαθαρσιαις sup ras B^{ab} | αποκαθημενης A 11 νυμφην] αδελφην A | εμιαινον A 12 ελαμβανοσαν 1°] ελαμβανον A | καταδυναστεια] + σου A | εμου δε] οτι εμου A | απελαθου B | Κυριος] pr κ̅ς̅ AQ 13 δ επαξω] δε παταξω AQ | μου] + προς χειρα μου AQ | γεγεννημενοις A 14 ει bis] η Q* (ει Q^{a}) 15 διασπερω] περ sup ras (seq spat) $B^{?}$ (διασκορπιω $B^{*\,fort}$) | εν ταις χωραις] εις τας χωρας Q 16 εν σοι κατ οφθαλμους] σε ενωπιον A | γνωσεσθε] γνωση A | διοτι] οτι AQ 18 γεγονασι (-σιν Q)] γεγονεν A | om μοι A | αναμεμιγμενοι παντες] αναμεμιγμενος A | κασσιτερω και σιδηρω Q | μολιβδω A | μεσω] + (sub οι γ' ※) καμινου Q | αργυριου] αργυριον Q* αργυριω $Q^{?}$ | αναμεμιγμενος εστιν] αναμεμιγμενον εστιν Q* αναμεμιγμενοι εισιν Q^{mg}

B Κύριος Ἀνθ' ὧν ἐγένεσθε εἰς σύνκρασιν μίαν, διὰ τοῦτο ἐγὼ εἰσ-
δέχομαι ὑμᾶς εἰς μέσον Ἰερουσαλήμ· 20 καθὼς εἰσδέχεται ἄργυρος καὶ 20
χαλκὸς καὶ σίδηρος καὶ κασσίτερος καὶ μόλιβος εἰς μέσον καμίνου,
τοῦ ἐκφυσῆσαι εἰς αὐτὸ πῦρ τοῦ χωνευθῆναι, οὕτως εἰσδέξομαι ἐν
ὀργῇ μου καὶ συνάξω καὶ χωνεύσω ὑμᾶς, 21 καὶ ἐκφυσήσω ἐφ' ὑμᾶς 21
ἐν πυρὶ ὀργῆς μου, καὶ χωνευθήσεσθε ἐν μέσῳ αὐτῆς. 22 ὃν τρόπον 22
χωνεύεται ἀργύριον ἐν μέσῳ καμίνου, οὕτως χωνευθήσεσθε ἐν μέσῳ
αὐτῆς· καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος ἐξέχεα τὸν θυμόν μου
ἐφ' ὑμᾶς. 23 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων 24 Υἱὲ 23 24
ἀνθρώπου, εἰπὸν αὐτῇ Σὺ εἶ γῆ ἡ οὐ βρεχομένη, οὐδὲ ὑετὸς ἐγένετο
ἐπὶ σὲ ἐν ἡμέρᾳ ὀργῆς. 25 ἧς οἱ ἀφηγούμενοι ἐν μέσῳ αὐτῆς ὡς 25
λέοντες ὠρυόμενοι ἁρπάζοντες ἁρπάγματα, ψυχὰς κατεσθίοντες ἐν
δυναστείᾳ καὶ τιμὰς λαμβάνοντες· καὶ αἱ χῆραί σου ἐπληθύνθησαν
ἐν μέσῳ σου. 26 καὶ οἱ ἱερεῖς αὐτῆς ἠθέτησαν νόμον μου καὶ ἐβεβή- 26
λουν τὰ ἅγιά μου· ἀνὰ μέσον ἁγίου καὶ βεβήλου οὐ διέστελλον, καὶ
ἀνὰ μέσον ἀκαθάρτου καὶ τοῦ καθαροῦ οὐ διέστελλον, καὶ ἀπὸ τῶν
σαββάτων μου παρεκάλυπτον τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἐβεβηλού-
μην ἐν μέσῳ αὐτῶν. 27 οἱ ἄρχοντες αὐτῆς ἐν μέσῳ αὐτῆς ὡς λύκοι 27
ἁρπάζοντες ἁρπάγματα τοῦ ἐκχέαι αἷμα, ὅπως πλεονεξίᾳ πλεον-
εκτῶσιν. 28 καὶ οἱ προφῆται αὐτῆς ἀλείφοντες αὐτοὺς πεσοῦνται, 28
ὁρῶντες μάταια, μαντευόμενοι ψευδῆ, λέγοντες Τάδε λέγει Κύριος,
καὶ Κύριος οὐ λελάληκεν· 29 λαὸν τῆς γῆς ἐκπιεζοῦντες ἀδικίᾳ καὶ 29
διαρπάζοντες ἁρπάγματα, πτωχὸν καὶ πένητα καταδυναστεύοντες,
καὶ πρὸς τὸν προσήλυτον οὐκ ἀναστρεφόμενοι μετὰ κρίματος. 30 καὶ 30

AQ 19 Κυριος] κ̅ς̅ κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κς Q | ανθ ων] αν B* (ανθ ων B^{ab}) | εγενε-σθε] + παντες AQ | συγκρασιν B^{ab}AQ | εγω] pr ιδου A | εισδεξομαι Q 20 μολιβος και κασσιτερος Q | μολιβδος A | καμινου] + πυρος A | εκφυσησαι] εμφυσησαι A | αυτο] αυτα A· αυτην Q^{mg} | χωνευθηναι] χωνευσαι A | εισδε-ξομαι] + υμας A | μου] + και εν τω θυμω μου A et (sub θ' ※) Q | συναξω] συ|ταξω Q | χωνευσω sub ras A^{a} (επαφησω A^{*fort}) 21 εφ] εις A | υμας] + εκφυσημα A 22 ουτω Q | χωνευετε B^{ab} 24 om υιε ανθρωπου A* (hab A^{a}) | γη] pr η Q | η ου βρεχ.] om η A | εγενετο επι σε εν ημερα οργης] καταβησεται σοι A 25 om ης A | αφηγουμενοι] + αυτης A | ωρυομενοι] ερευγομενοι A | αρπαγμα Q | κατεσθοντες Q | εν δυναστια] pr εδυναστευσαν A | και τιμας λαμβανοντες] δωρα ελαμβανον ε̅| αδικια A | αι χηραι] om αι A 26 νομον] pr τον A | του καθαρου] om του Q | εβεβηλουμην] τα σαββατα μου εβεβηλουν 27 αιμα] + (sub θ' ※) του απολεσαι ψυχας Q 28 αλει-φοντες αυτους] οι αλ. αυτ. A + αναρτυτω (sub ※) $Q^{mg\,dext}$ ηλειφον αυτους πηλω ανευ αχυρων $Q^{mg\,sinistr}$ | ορωντες (ο sup ras A^{a})] pr οι A | μαντευομενοι] + (sub οι γ' ※) αυτοις Q | Κυριος 1°] pr αδωναι Q | ου λελαληκεν] ουκ ελαλησεν A 29 λαον] pr τον A | εκπιεζοντες Q | αδικια] pr εν A αδικιαν Q* (-κια Q^{a})

ἐζήτουν ἐξ αὐτῶν ἄνδρα ἀναστρεφόμενον ὀρθῶ. καὶ ἑστῶτα πρὸ B
προσώπου μου ὁλοσχερῶς ἐν καιρῷ τῆς γῆς τοῦ μὴ εἰς τέλος ἐξα-
31 λεῖψαι αὐτήν, καὶ οὐχ εὕρον. [31]καὶ ἐξέχεα ἐπ' §αὐτὴν θυμόν μου ἐν § Γ
πυρὶ ὀργῆς μου τοῦ συντελέσαι· τὰς ὁδοὺς αὐτῶν εἰς κεφαλὰς αὐτῶν
δέδωκα, λέγει κύριος Κύριος.
XXIII 1, 2 [1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Υἱὲ ἀνθρώπου, δύο
3 γυναῖκες ἦσαν θυγατέρες μητρὸς μιᾶς, [3]καὶ ἐξεπόρνευσαν ἐν Αἰγύπτῳ
ἐν τῇ νεότητι αὐτῶν, ἐκεῖ ἔπεσον οἱ μαστοὶ αὐτῶν, ἐκεῖ διεπαρθε-
4 νεύθησαν. [4]καὶ τὰ ὀνόματα αὐτῶν ἦν Ὀολλα ἡ πρεσβυτέρα, καὶ
Ὀόλιβα ἡ ἀδελφὴ αὐτῆς. καὶ ἐγένοντό μοι, καὶ ἔτεκον υἱοὺς καὶ
θυγατέρας· καὶ τὰ ὀνόματα αὐτῶν, Σαμάρεια ἦν Ὀολλα, καὶ Ἰερου-
5 σαλὴμ ἦν Ὀόλιβα. [5]καὶ ἐξεπόρνευσεν ἡ Ὀολα ἀπ' ἐμοῦ καὶ ἐπέ-
θετο ἐπὶ τοὺς ἐραστὰς αὐτῆς, ἐπὶ τοὺς Ἀσσυρίους τοὺς ἐγγίζοντας
6 αὐτῇ, [6]ἐνδεδυκότας ὑακίνθινα, ἡγουμένους καὶ στρατηγούς· νεανίσκοι
7 καὶ ἐπίλεκτοι, πάντες ἱππεῖς ἱππαζόμενοι ἐφ' ἵππων. [7]καὶ ἔδωκεν
τὴν πορνείαν αὐτῆς ἐπ' αὐτούς· ἐπίλεκτοι υἱοὶ Ἀσσυρίων πάντες,
καὶ ἐπὶ πάντας οὓς ἐπέθετο, ἐν πᾶσι τοῖς ἐνθυμήμασιν αὐτῆς
8 ἐμιαίνετο. [8]καὶ τὴν πορνείαν αὐτῆς ἐξ Αἰγύπτου οὐκ ἐνκατέλιπεν,
ὅτι μετ' αὐτῆς ἐκοιμῶντο ἐν νεότητι αὐτῆς, καὶ αὐτοὶ διεπαρθένευσαν
9 αὐτὴν καὶ¶ ἐξέχεαν τὴν πορνείαν αὐτῶν ἐπ' αὐτήν. [9]διὰ τοῦτο παρέ- ¶ Γ
δωκα αὐτὴν εἰς χεῖρας τῶν ἐραστῶν αὐτῆς, εἰς χεῖρας υἱῶν Ἀσσυ-
10 ρίων ἐφ' οὓς ἐπετίθετο. [10]αὐτοὶ ἀπεκάλυψαν τὴν αἰσχύνην αὐτῆς,
υἱοὺς καὶ θυγατέρας αὐτῆς ἔλαβον, καὶ αὐτὴν ἐν ῥομφαίᾳ ἀπέκτει-
ναν· καὶ ἐγένετο λάλημα εἰς γυναῖκας, καὶ ἐκδικήσεις ἐποίησαν ἐν
11 αὐτῇ εἰς τὰς θυγατέρας. [11]καὶ ἴδεν ἡ ἀδελφὴ αὐτῆς Ὀόλιβα, καὶ
διέφθειρε τὴν ἐπίθεσιν αὐτῆς ὑπὲρ αὐτήν, καὶ τὴν πορνείαν αὐτῆς

30 εστωτα προ προσωπου μου ολοσχερως] εστω (τα superscr) ολοσχ. προ προσ. AQΓ μου Q | ολοσχερως (ολεσχ. B* ολοσχ. Bᵇ)] το ολοσχερες A εν διακοπη φρασμου Qᵐᵍ | γης] οργης μου A 31 θυμον] pr τον A | συντελεσαι] + αυτους AΓ XXIII 1 pr tit περι των δυο γυναικων Qᵐᵍ ˢᵘᵖ 2 θυγατερες μητρος μιας ησαν Q 3 αυτων 1°] + εποργευσαν A et (sub οι γ' ※) Q | εκε 2°] pr και A | διεπαρθενευθησαν] + (sub ※) τιθοι (τιτθ. Qᵃ) παρθενειων αυτων Q 4 om ην 1° Q | Οολλα bis] Οολα BᵃQ Ολλα A | Οολιβα bis] Ολιβα A | ην 2°] η Bᵃ?ᵇAQ | ην 3°] η AQ | Οολιβαν B 5 Οολα] Ολλα A | επεθετο] προσεθετο A 6 ενδεδυκοτας] ενδεδυμενους A | νεανισκους A | om και 2° AQ | επιλεκτους A | ιππεις] ιπποις A* ᵛⁱᵈ ιπποι A? 7 πορνιαν A | αυτης 1°] αυτων A | πασιν AQ | αυτης 2°] αυτοις Q* ᵛⁱᵈ (η sub ras Q?) 8 πορνιαν ois A et 1° salt Γ | εγκατελιπεν BᵃᵇQᵃ εγκατελειπεν AQ*Γ | νεοτητι] pr τη A 10 αισχυνην] ασχημοσυνην A | θυγατερες (1°) B* (-ρας Bᵃᵇ) | γυναικας] pr τας A | εποιησαν εκδικησεις A | θυγατερας 2°] + αυτης AQ 11 ειδεν BᵃᵇA | Οολιβα] η Ολιβα A | διεφθειρεν AQ | υπερ αυτην rescr Aᵃ? (επι αυτη A* ᵛⁱᵈ) | πορνιαν bis A: item 14, 27, 35 | om αυτης υπερ την πορνειαν Q* (hab Qᵐᵍ)

B ὑπὲρ τὴν πορνείαν τῆς ἀδελφῆς αὐτῆς· [12]ἐπὶ τοὺς υἱοὺς τῶν Ἀσσυ- 12
ρίων ἐπέθετο ἡγουμένους καὶ στρατηγοὺς τοὺς ἐγγὺς αὐτῆς, ἐνδεδυ-
κότας εὐπάρυφα, ἱππεῖς ἱππαζομένους ἐφ' ἵππων· νεανίσκοι ἐπί-
λεκτοι πάντες. [13]καὶ ἴδον ὅτι μεμίανται ὁδὸς μία τῶν δύο. [14]καὶ 13 14
προσέθετο πρὸς τὴν πορνείαν αὐτῆς, καὶ ἴδεν ἄνδρας ἐζωγραφη-
μένους ἐπὶ τοῦ τοίχου, εἰκόνας Χαλδαίων, ἐζωγραφημένους ἐν γρα-
φίδι, [15]ἐζωσμένους ποικίλματα ἐπὶ τὰς ὀσφύας αὐτῶν παραβαπτὰ 15
καὶ ἐπὶ τῶν κεφαλῶν αὐτῶν, ὄψις τρισσὴ πάντων, ὁμοίωμα υἱῶν
Χαλδαίων, γῆς πατρίδος αὐτοῦ. [16]καὶ ἐπέθετο ἐπ' αὐτοὺς τῇ ὁράσει 16
ὀφθαλμῶν αὐτῆς, καὶ ἐξαπέστειλεν ἀγγέλους πρὸς αὐτοὺς εἰς γῆν
Χαλδαίων. [17]καὶ ἤλθοσαν πρὸς αὐτὴν υἱοὶ Βαβυλῶνος, εἰς κοίτην 17
καταλυόντων, καὶ ἐμίαινον αὐτὴν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ ἐμιάνθη
ἐν αὐτοῖς, καὶ ἀπέστη ἡ ψυχὴ αὐτῆς ἀπ' αὐτῶν. [18]καὶ ἀπεκάλυψεν 18
τὴν πορνείαν αὐτῆς, καὶ ἀπεκάλυψεν αἰσχύνην αὐτῆς· καὶ ἀπέστη
ἡ ψυχή μου ἀπ' αὐτῆς, ὃν τρόπον ἀπέστη ἡ ψυχή μου ἀπὸ τῆς
ἀδελφῆς αὐτῆς. [19]καὶ ἐπλήθυνας τὴν πορνείαν σου τοῦ ἀναμνῆσαι 19
ἡμέραν νεότητός σου ἐν αἷς ἐπόρνευσας ἐν Αἰγύπτῳ, [20]καὶ ἐπέθου 20
ἐπὶ τοὺς Χαλδαίους, ὧν ὡς ὄνων αἱ σάρκες αὐτῶν, καὶ αἰδοῖα ἵπ-
πων τὰ αἰδοῖα αὐτῶν, [21]καὶ ἐπεσκέψω τὴν ἀνομίαν νεότητός σου, ἃ 21
ἐποίεις ἐν Αἰγύπτῳ ἐν τῷ καταλύματί σου, οὗ οἱ μαστοὶ νεότητός
σου. [22]Διὰ τοῦτο, Ὀολιβα, τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ ἐξε- 22
γείρω τοὺς ἐραστάς σου ἐπὶ σέ, ἀφ' ὧν ἀπέστη ἡ ψυχή σου ἀπ' αὐ-
τῶν, καὶ ἐπάξω αὐτοὺς ἐπὶ σὲ κυκλόθεν, [23]υἱοὺς Βαβυλῶνος καὶ 23
πάντα τοὺς Χαλδαίους, Φακοὺκ καὶ Σοὺε καὶ Ὑχοῦε, καὶ πάντας
υἱοὺς Ἀσσυρίων μετ' αὐτῶν, νεανίσκους ἐπιλέκτους, ἡγεμόνας καὶ
στρατηγούς, πάντας τρισσοὺς καὶ ὀνομαστούς, ἱππεύοντας ἐφ' ἵπ-
πων. [24]καὶ πάντες ἥξουσιν ἐπὶ σὲ ἀπὸ βορρᾶ, ἅρματα καὶ τροχοὶ 24

AQ 12 ενδεδυκοτας ευπαρυφα] ενδεδυμενους ευπορφυρα A ενδεδυκοτες ευπαραφυα Q (-υφα Q?vid) θ' ενδεδυμενους παντοια σ' ημφιεσμενους ευκατασκευα Qmg | ιππαζομενοι A 13 ειδον BabAQa 14 ειδεν BabA | εζωγραφημενους 2°] εζωγραφημενας A 15 εζωσμενους] διεζωσμενους A | παραβαπτα και] και τιαραι βαπται A και τιαρα βαπτα Q | οψις τρισση παντων] α' ορασις σκυλευτων παντες σ' ειδεα τριστατων παντω̅| Qmg | υιων] + (sub οι γ' ※) Βαβυλωνος Q | αυτου] αυτων AQmg 16 τη ορασει] εν ορ. A | οφθαλμων] pr των Q | αυτους 2°] ου sup ras Bab 17 ηλθοσαν] ηλθον A | Βαβυλωνος B | καταλυοντων] α' συζυγιας Qmg | πορνια A: item 29 | αυτων] ων sup ras Bab 18 απεκαλυψεν 2°] επεκαλ. Q | αισχυνην] την ασχημοσυνην A 19 ημερας AQ 20 ων] + ησαν AQmg 21 μαστοι] + επεσαν A 22 Ολιβα AQ | Κυριος] κ̅ς̅ κ̅ς̅ (θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | ιδου] pr επι σε Ολιβα A | του ερ. Q* (τους ερ. Qa) 23 Φακουκ] και Φουδ A Φακουδ Q | Σουε] Σουδ A | Υχουε] Λουδ A Κουε Q | υιους 2°] pr τους A | τρισσους] τριστατας Qmg 24 om και 1° AQ | τροχοι] + ιπποι A

μετ' ὄχλου λαῶν, θυρεοὶ καὶ πέλται, καὶ βαλεῖ φυλακὴν ἐπὶ σὲ B
25 κύκλῳ. [25]καὶ δώσω πρὸ προσώπου αὐτῶν κρίμα, καὶ ἐκδικήσουσίν
σε ἐν τοῖς κρίμασιν αὐτῶν· καὶ δώσω τὸν ζῆλόν μου ἐν σοί, καὶ
ποιήσουσιν μετὰ σοῦ ἐν ὀργῇ θυμοῦ· μυκτῆράς σου καὶ ὦτά σου
ἀφελοῦσιν, καὶ τοὺς καταλοίπους σου ἐν ῥομφαίᾳ καταβαλοῦσιν. αὐ-
τοὶ υἱούς σου καὶ θυγατέρας σου λήμψονται, καὶ τοὺς καταλοίπους
26 σου πῦρ καταφάγεται· [26]καὶ ἐκδύσουσίν σε τὸν ἱματισμόν σου, καὶ
27 λήμψονται τὰ σκεύη τῆς καυχήσεώς σου. [27]καὶ ἀποστρέψω τὰς
ἀσεβείας σου ἐκ σοῦ καὶ τὴν πορνείαν σου ἐκ γῆς Αἰγύπτου, καὶ
οὐ μὴ ἄρῃς τοὺς ὀφθαλμούς σου ἐπ' αὐτούς, καὶ Αἰγύπτου οὐ μὴ
28 μνησθῇς οὐκέτι. [28]διότι τάδε λέγει κύριος Κύριος Ἰδοὺ ἐγὼ παρα-
δίδωμί σε εἰς χεῖρας ὧν μισεῖς, ἀφ' ὧν ἀπέστη ἡ ψυχή σου ἀπ' αὐ-
29 τῶν· [29]καὶ ποιήσουσιν ἐν σοὶ ἐν μίσει, καὶ λήμψονται πάντας τοὺς
πόνους σου καὶ τοὺς μόχθους σου, καὶ ἔσῃ γυμνὴ καὶ αἰσχύνουσα,
καὶ ἀποκαλυφθήσεται αἰσχύνη πορνείας σου καὶ ἀσέβειά σου. καὶ
30 ἡ πορνεία σου [30]ἐποίησεν ταῦτά σοι, ἐν τῷ ἐκπορνεῦσαί σε ὀπίσω
31 ἐθνῶν, καὶ ἐμιαίνου ἐν τοῖς ἐνθυμήμασιν αὐτῶν. [31]ἐν τῇ ὁδῷ τῆς
ἀδελφῆς σου ἐπορεύθης, καὶ δώσω τὸ ποτήριον αὐτῆς εἰς χεῖράς
32 σου. [32]τάδε λέγει Κύριος Τὸ ποτήριον τῆς ἀδελφῆς σου πίεσαι, τὸ
33 βαθὺ καὶ τὸ πλατὺ καὶ τὸ πλεονάζον τοῦ συντελέσαι μέθην, [33]καὶ
ἐκλύσεως πλησθήσῃ· καὶ τὸ ποτήριον ἀφανισμοῦ ποτήριον ἀδελ-
34 φῆς σου, [34]καὶ πίεσαι αὐτό, καὶ τὰς ἑορτὰς καὶ τὰς νεομηνίας αὐτῆς
35 ἀποστρέψω· διότι ἐγὼ λελάληκα, λέγει Κύριος. [35]διὰ τοῦτο τάδε
λέγει Κύριος Ἀνθ' ὧν ἐπελάθου μου καὶ ἀπέρριψάς με ὀπίσω
τοῦ σώματός σου, καὶ σὺ λάβε τὴν ἀσέβειάν σου καὶ τὴν πορνείαν
36 σου. [36]Καὶ εἶπεν Κύριος πρὸς μέ Υἱὲ ἀνθρώπου, οὐ κρινεῖς

24 μετ] μετα A | θυρεοι...βαλει] ϗ θωρακας ϗ ασπιδας ϗ περικεφαλαιας AQ ενδυσονται επι σε ϗ βαλουσιν Q^mg | πελται] + ϗ περικεφαλαιαι A | φυλακην επι σε] επι σε προφυλακην A 25 κριμα] ιμα sup ras B?vid | θυμου] + μου A | μυκτηρα A | ωτα] pr τα Q | om σου 4° Q | υιους] pr τους A | θυγατερας] pr τας A | ληψονται B^bQ^a: item 26, 29 | πυρ καταφαγεται] ενπρησουσιν εν πυρι A 28 Κυριος] + ο θ̅ς̅ A 29 αισχυνουσα] ασχημονουσα AQ | αισχυνη] η αισχ. σου A | πορνειας] πορνεια A | ασεβειας B^ab 30 ενθυμημασιν] επιθυμημασιν A 31 χειρας] pr τας A 32 Κυριος] αδωναι κ̅ς̅ κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | πλατυ] + και (Q tantum) εσται εις γελωτα και εις μυκτηρισμον A et (sub θ' ※) Q | om και 2° AQ 33 εκλυσεως] εκχεω οπως A | και το ποτηριον...αδελφης σου] και το ποτηριον της αδελφης σου Σαμαρειας ποτηριον αφανισμου A ποτηριον + (sub θ' ※) αφανιας (-νειας Q^a) και ποτ. αδ. σου Σαμαρειας Q | σου] + Σαμαρειας B^abQ 34 om και 1° B^abA | αυτο] + και εκστραγγιεις A et (sub οι γ' ※) Q | νουμηνιας AQ | λελαληκα] ελαλησα A | Κυριος] κ̅ς̅ κ̅ς̅ ο θ̅ς̅ A pr αδωναι Q 35 Κυριος] pr αδωναι AQ 36 ου] ει Q

B τὴν Ὀολαν καὶ τὴν Ὀλιβαν; καὶ ἀναγγελεῖς αὐταῖς τὰς ἀνομίας αὐ-
τῶν, 37 ὅτι ἐμοιχῶντο, καὶ αἷμα ἐν χερσὶν αὐτῶν· τὰ ἐνθυμήματα 37
αὐτῶν ἐμοιχῶντο, καὶ τὰ τέκνα αὐτῶν ἃ ἐγέννησάν μοι διήγαγον
αὐτοῖς δι' ἐμπύρων. 38 ἕως καὶ ταῦτα ἐποίησάν μοι, τὰ ἅγιά μου 38
ἐμίαινον καὶ τὰ σάββατά μου ἐβεβήλουν, 39 καὶ ἐν τῷ σφάζειν αὐ- 39
τοὺς τὰ τέκνα αὐτῶν τοῖς εἰδώλοις αὐτῶν, καὶ εἰσεπορεύοντο εἰς τὰ
ἅγιά μου τοῦ βεβηλοῦν αὐτά. καὶ ὅτι οὕτως ἐποίουν ἐν μέσῳ τοῦ
οἴκου μου, 40 καὶ ὅτι τοῖς ἀνδράσιν τοῖς ἐρχομένοις μακρόθεν, οἷς 40
ἀγγέλους ἐξαπέστελλον πρὸς αὐτούς, καὶ ἅμα τῷ ἔρχεσθαι αὐτοὺς
εὐθὺς ἐλούου καὶ ἐστιβίζου τοὺς ὀφθαλμούς σου καὶ ἐκόσμου κόσμῳ,
41 καὶ ἐκάθου ἐπὶ κλίνης ἐστρωμένης, καὶ τράπεζα κεκοσμημένη πρὸ 41
προσώπου αὐτῆς. καὶ τὸ θυμίαμα καὶ τὸ ἔλαιόν μου εὐφραίνοντο
ἐν αὐτοῖς, 42 καὶ φωνὴν ἁρμονίας ἀνεκρούοντο, καὶ πρὸς ἄνδρας ἐκ 42
πλήθους ἀνθρώπων ἥκοντας ἐκ τῆς ἐρήμου· καὶ ἐδίδοσαν ψέλια ἐπὶ
τὰς χεῖρας αὐτῶν καὶ στέφανον καυχήσεως ἐπὶ τὰς κεφαλὰς αὐτῶν.
43 καὶ εἶπα Οὐκ ἐν τούτοις μοιχεύουσιν; καὶ ἔργα πόρνης καὶ αὐτὴ 43
ἐξεπόρνευσεν· 44 καὶ εἰσεπορεύοντο πρὸς αὐτήν, ὃν τρόπον εἰσπο- 44
ρεύονται πρὸς γυναῖκα πόρνην, οὕτως εἰσεπορεύοντο πρὸς Ὀολαν
καὶ πρὸς Ὀόλιβαν τοῦ ποιῆσαι ἀνομίαν. 45 καὶ ἄνδρες δίκαιοι αὐτοὶ 45
καὶ ἐκδικήσουσιν αὐτὰς ἐκδικήσει μοιχαλίδος καὶ ἐκδικήσει αἵματος,
ὅτι μοιχαλίδες εἰσίν, καὶ αἷμα ἐν χερσὶν αὐτῶν. 46 τάδε λέγει κύριος 46
Κύριος Ἀνάγαγε ἐπ' αὐτὰς ὄχλον, καὶ δὸς ἐν αὐταῖς ταραχὴν καὶ
διαρπαγήν, 47 καὶ λιθοβόλησον ἐπ' αὐτὰς λίθοις ὄχλων, καὶ κατα- 47
κέντει αὐτὰς ἐν τοῖς ξίφεσιν αὐτῶν· υἱοὺς αὐτῶν καὶ θυγατέρας
αὐτῶν ἀποκτενοῦσι, καὶ τοὺς οἴκους αὐτῶν ἐνπρήσουσιν. 48 καὶ 48
ἀποστρέψω ἀσέβειαν ἐκ τῆς γῆς, καὶ παιδευθήσονται πᾶσαι αἱ γυ-

AQ 36 Οολαν] Ολλαν A Οολα Q | Ολιβαν] Οολιβαν Q | αναγγελεις αυταις] απαγγελεις αυτοις A απαγγ. αυτας Q* (-ταις Q^{a}) 37 χερσιν] pr ταις Q | τα ενθ.] pr και AQ | om α Q$^{* vid}$ (hab Q^{1}) | διηγαγον αυτοις] διηγον αυτα A δ. αυτοι Q 38 μοι] + και α εμειαουν εποιησαν A | τα αγια μου εμιαινον] εμιαινον τα αγια μου (et sub οι γ' ※) εν τη ημερα εκεινη Q 39 μου 1°] + αφυλακτως εν τη ημερα εκεινη A + (sub οι γ' ※) εν τη ημερα εκεινη Q | οτι] ετι Q^{mg} 40 om οτι A | εξαπεστελλοσαν AQ 41 θυμιαμα] + μου AQ | ευφραινοντο] εξευφραινοντο A 42 ηκοντας] + οινωμενους A et (sub θ' ※) Q | αυτων και] σου συ δε A 43 ειπας A | μοιχευουσιν] μοιχωνται A | om και 2° A | εργα] + γυναικος A | και αυτη εξεπορνευσεν] εποιεις A 44 εισεπορευοντο 1°] εισπορευοντο A | εισπορευονται] εισεπορευοντο A | Οολαν] Ολλαν A Οολλᾱ Q | Οολιβαν] Ολιβαν A 45 μοιχαλιδος] μοιχαλιδων Q | και αιμα (καιμα B* κ. αιμα B^{ab})] και αιματα A 46 κυριος] αδωναι A | εν αυταις] επ αυτας A 47 om επ A | κατακεντει] κατακεντησον A | αποκτενουσιν AQ | ενπρησουσιν (εμπρ. B^{b})] ενπυριουσιν A εν πυρι εμπρησουσιν Q 48 εκ] απο A

49 ναῖκες καὶ οὐ μὴ ποιήσουσιν κατὰ τὰς ἀσεβείας αὐτῶν. [49]καὶ δο- B
θήσεται ἡ ἀσέβεια ὑμῶν ἐφ' ὑμᾶς, καὶ τὰς ἁμαρτίας τῶν ἐνθυμημάτων
ὑμῶν λήμψεσθε· καὶ γνώσεσθε διότι ἐγὼ Κύριος.

XXIV 1 [1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ ἐν τῷ ἔτει τῷ ἐνάτῳ ἐν τῷ
2 μηνὶ τῷ δεκάτῳ, δεκάτῃ τοῦ μηνός, λέγων [2]Υἱὲ ἀνθρώπου, γράψον
σεαυτῷ εἰς ἡμέραν ἀπὸ τῆς ἡμέρας ταύτης ἀφ' ἧς ἀπηρείσατο βασι-
3 λεὺς Βαβυλῶνος ἐπὶ Ἰερουσαλήμ, ἀπὸ τῆς ἡμέρας τῆς σήμερον· [3]καὶ
εἰπὸν ἐπὶ τὸν οἶκον τὸν παραπικραίνοντα παραβολήν, καὶ ἐρεῖς
πρὸς αὐτούς Τάδε λέγει Κύριος Ἐπίστησον τὸν λέβητα καὶ ἔγχεον
4 εἰς αὐτὸν ὕδωρ, [4]καὶ ἔμβαλε εἰς αὐτὸν τὰ διχοτομήματα, πᾶν δι-
5 χοτόμημα καλόν, σκέλος καὶ ὦμον ἐκσεσαρκισμένα ἀπὸ τῶν ὀστῶν [5]ἐξ
ἐπιλέκτων κτηνῶν εἰλημμένων, καὶ ὑπόκαιε τὰ ὀστᾶ ὑποκάτω αὐτῶν.
6 ἔζεσεν, ἔζεσεν, καὶ ἥψηται τὰ ὀστᾶ αὐτῆς ἐν μέσῳ αὐτῆς. [6]Διὰ
τοῦτο τάδε λέγει Κύριος Ὦ πόλις αἱμάτων λέβης, ἐν ᾧ ἐστιν ἰὸς ἐν
αὐτῷ καὶ ὁ ἰὸς οὐκ ἐξῆλθεν ἐξ αὐτῆς, κατὰ μέλος αὐτῆς, ἐξήνεγκεν,
7 οὐκ ἐπέπεσεν ἐπ' αὐτὴν κλῆρος. [7]ὅτι αἵματα αὐτῆς ἐν μέσῳ αὐτῆς
ἐστιν, ἐπὶ λεωπετρίαν τέταχα αὐτό· οὐκ ἐκκέχυκα αὐτὸ ἐπὶ γῆν τοῦ
8 καλύψαι ἐπ' αὐτὸ γῆν, [8]τοῦ ἀναβῆναι θυμὸν εἰς ἐκδίκησιν ἐκδικη-
θῆναι· δέδωκα τὸ αἷμα αὐτῆς ἐπὶ λεωπετρίαν τοῦ μὴ καλύψαι αὐτό.
9 10 [9]διὰ τοῦτο τάδε λέγει Κύριος Κἀγὼ μεγαλυνῶ τὸν λαόν, [10]καὶ πλη-
θυνῶ τὰ ξύλα καὶ ἀνακαύσω τὸ πῦρ, ὅπως τακῇ τὰ κρέα καὶ ἐλατ-
11 τωθῇ ὁ ζωμὸς [11]καὶ στῇ ἐπὶ τοὺς ἄνθρακας, ὅπως προσκαυθῇ καὶ
θερμανθῇ ὁ χαλκὸς αὐτῆς καὶ τακῇ ἐν μέσῳ ἀκαθαρσίας αὐτῆς, καὶ
12 ἐκλίπῃ ὁ ἰὸς αὐτῆς, [12]καὶ οὐ μὴ ἐξέλθῃ ἐξ αὐτῆς πολὺς ὁ ἰὸς

49 ληψεσθε B^{b}Q^{a} XXIV 1 pr ετει θ' μηνι ι' ημερα ι' Q$^{mg\ sup}$ | AQ
εvατω εν τω μηνι rescr A^{a} (om εvατω A^{*vid}) 2 απο 1°] επι Q$^{?}$
3 Κυριος] pr αδωναι A pr κ̅ς̅ Q | λεβητα (βη sup ras A^{a})] + επιστησον Q |
εγχεον] εκχεον A εκχεε Q 4 σκελος] pr και A | ωμον] αμμον Q^{*vid} (ωμ.
Q^{a}) | απο των οστων] εκ των οστεων αυτων A 5 ειλημμενα A | υποκαιε]
υποκεαι A υποκαε Q* (-καιε Q^{a}) | εζεσεν 2°] και εξεζεσεν A | ηψηται]
ηψηθη A 6 Κυριος] pr αδωναι AQ | ιος 2°] + εν αυτω A | επεπεσεν]
επεσεν AQ 7 αιματα] αιμα B^{ab}AQ | λεωπετριαν] λεοπετριαν A α' λιαν πετραν
Q^{mg} | γην 1°] pr την AQ | om επ A | αυτο 3° rescr A^{a} (αυτω επι την A^{*fort})
8 αναβηναι] αν sup ras 3 litt A^{a} (καταβ. A^{*vid}) | λεωπετριαν] + τεταχα αυτο
Q^{mg} | om μη Q* (superscr Q^{a}) 9 Κυριος] pr αδωναι AQ + ουαι πολις των
αιματων A et (sub α'θ' ※) Q | καγω] και γε Q^{mg} | λαον] δαλον AQ 10 ανα-
καυσω] εκκαυσω A | τακη...ζωμος] ελαττωθη ο ζωμος και εκτακη τα κρεα και
τα οστα συνφρυγησονται A + (sub θ' ※) και τα οστα συμφρυγησονται Q
11 ανθρακας] + αυτης εξηφθη A + (sub θ'σ' ※) αυτης (+ κενη Q^{mg}) εξηψηθη
Q | προσκαυθη] εκκαυθη A | και θερμανθη] οπως συμφρυγη AQ | μεσω] + αυτης
A et (sub θ' ※) Q | ακαθαρσιας] η ακαθαρσια AQ^{a} | εκλειπη AQ | αυτης 3°]
om A αυταις Q$^{a\,vid}$ 12 και] pr (sub α'θ' ※) ταπεινωθησεται ο ιος Q

B αὐτῆς· καταισχυνθήσεται ὁ ἰὸς αὐτῆς, [13]ἀνθ' ὧν ἐμιαίνου σύ. καὶ 13
τί ἐὰν μὴ καθαρισθῇς ἔτι ἕως οὗ ἐμπλήσω τὸν θυμόν μου; [14]ἐγὼ 14
Κύριος λελάληκα, καὶ ἥξει καὶ ποιήσω, οὐ διαστελῶ οὐδὲ μὴ ἐλεήσω·
κατὰ τὰς ὁδούς σου καὶ κατὰ τὰ ἐνθυμήματά σου κρινῶ σε, λέγει
Κύριος. διὰ τοῦτο ἐγὼ κρινῶ σε κατὰ τὰ αἵματά σου, καὶ κατὰ τὰ
ἐνθυμήματά σου κρινῶ σε, ἀκάθαρτος ἡ ὀνομαστὴ καὶ πολλὴ τοῦ
παραπικραίνειν. [15]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων 15
[16]Υἱὲ ἀνθρώπου, ἰδοὺ ἐγὼ λαμβάνω ἐκ σοῦ τὰ ἐπιθυμήματα τῶν 16
ὀφθαλμῶν σου ἐν παρατάξει, οὐ μὴ κοπῇς οὐδὲ μὴ κλαυθῇς. [17]στε- 17
ναγμὸς αἵματος, ὀσφύος, πένθους ἔσει· οὐκ ἔσται τὸ τρίχωμά σου
συνπεπλεγμένον ἐπὶ σὲ καὶ τὰ ὑποδήματά σου ἐν τοῖς ποσίν σου,
οὐ μὴ παρακληθῇς ἐν χείλεσιν αὐτῶν, καὶ ἄρτον ἀνδρῶν οὐ μὴ
φάγῃς. [18]καὶ ἐλάλησα πρὸς τὸν λαὸν τὸ πρωὶ ὃν τρόπον ἐνετεί- 18
λατό μοι ἑσπέρας, καὶ ἐποίησα τὸ πρωὶ ὃν τρόπον ἐπετάγη μοι.
[19]καὶ εἶπεν πρὸς μὲ ὁ λαός Οὐκ ἀναγγέλλεις ἡμῖν τί ἐστιν ταῦτα ἃ 19
σὺ ποιεῖς; [20]καὶ εἶπα πρὸς αὐτούς Λόγος Κυρίου πρὸς μὲ ἐγένετο 20
λέγων [21]Εἰπὸν πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ Τάδε λέγει Κύριος 21
Ἰδοὺ ἐγὼ βεβηλῶ τὰ ἅγιά μου, φρύαγμα ἰσχύος ὑμῶν, ἐπιθυμήματα
ὀφθαλμῶν ὑμῶν, καὶ ὑπὲρ ὧν φείδονται αἱ ψυχαὶ ὑμῶν. καὶ οἱ υἱοὶ
ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν οὓς ἐγκατελίπετε ἐν ῥομφαίᾳ πεσοῦν-
ται, [22]καὶ ποιήσετε ὃν τρόπον πεποίηκα· ἀπὸ στόματος αὐτῶν οὐ 22
παρακληθήσεσθε, καὶ ἄρτον ἀνδρῶν οὐ φάγεσθε, [23]καὶ αἱ κόμαι 23
ὑμῶν ἐπὶ τῆς κεφαλῆς ὑμῶν, καὶ τὰ ὑποδήματα ὑμῶν ἐν τοῖς ποσὶν

AQ 12 καταισχυνθησεται] pr και A 13 ανθ] pr εν τη ακαθαρσια σου ζεμμα A et (sub θ' ※) Q (pro σου leg αυτης Q^{mg}: pro ζεμμα, ζεμα Q^{a} α'σ' συνταγη ζεμα εξεζεσε̄| Q^{mg}) | εμιαινου] εμιανης A^{*} (-ανθης A^{1}) | συ] + και ουκ εκαθαρισθης (εκαθερ. Q) απο ακαθαρσιας σου A et (sub α'θ' ※) Q | και τι εαν μη] και ετι εσται εαν μη A και ου μη Q^{mg} | om ετι A | ενπλησω A | μου] + εν σοι AQ 14 ελεησω] + (sub θ' ※) ουδ ου μη παρακληθω Q | Κυριος 2°] pr αδωναι AQ | εγω 2°] pr ιδου Q | κατα τα αιματα] ras 2 litt post κα et rescr τα α A^{a} | ενθυμηματα 2°] εν sup ras B^{ab} | δια τουτο...παραπ. sub ÷ $Q^{?}$ | ακαθαρτος] pr η AQ 16 των οφθαλμων] om των AQ | ου μη] incep ουδ A^{*} (ras ουδ A^{1}) | κοπης] κοψη Q^{mg} | ουδε μη κλαυθης] ουδε μη κλαυσθης B^{ab} ουδ ου μη κλαυσθης AQ^{*} ουδ ου μη κλαυσης Q^{a} + (sub θ' ※) ουδ ου μη ελθη δακρυα σου Q 17 στεναγμος] pr στεναζε σιγων Q^{mg} | εσει (-ση B^{ab})] εσται αυτη A εστιν Q | improb ουκ Q^{a} | συμπεπλεγμενον $B^{b}AQ$ 18 μοι 1°] + κ̅ς̅ Q | εσπερας] pr και απεθανεν η γυνη μου AQ | ον τροπον 2°] καθως A 19 ουκ αναγγελλεις] ου μη απαγγειλης A ουκ αναγγελεις Q 20 λογος...εγενετο] ταδε λεγει αδωναι κ̅ς̅ (sup ras) A^{1} λογος εγενετο προς με Q 21 του Ισραηλ] om του Q^{*} (hab Q^{mg}) | Κυριος] κ̅ς̅ κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | εγκατελειπετε AQ 22 ποιησετε] ποιησω A | πεποιηκα] εποιησα A | ου bis] + μη A | φαγησθαι A

ὑμῶν· [23]οὔτε μὴ κόψησθε οὔτε μὴ κλαύσητε, καὶ ἐντακήσεσθε ἐν ταῖς B ‡Γ
24 ἀδικίαις ὑμῶν, καὶ παρακαλέσετε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ. [24]καὶ
ἔσται Ἰεζεκιὴλ ὑμῖν εἰς τέρας, κατὰ πάντα ὅσα ἐποιήσατε ποιήσετε
25 ὅταν ἔλθῃ ταῦτα· καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος. [25]Καὶ
σύ, υἱὲ ἀνθρώπου, οὐχὶ ἐν τῇ ἡμέρᾳ ὅταν λαμβάνω τὴν ἰσχὺν
παρ' αὐτῶν, τὴν ἔπαρσιν τῆς καυχήσεως αὐτῶν, τὰ ἐπιθυμήματα
ὀφθαλμῶν αὐτῶν καὶ τὴν ἔπαρσιν ψυχῆς αὐτῶν, υἱοὺς αὐτῶν καὶ
26 θυγατέρας αὐτῶν, [26]ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἥξει ὁ ἀνασῳζόμενος πρὸς
27 σὲ τοῦ ἀναγγεῖλαί σοι εἰς τὰ ὦτα; [27]ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διανοιχθή-
σεται τὸ στόμα σου πρὸς τὸν ἀνασῳζόμενον· λαλήσεις, καὶ οὐ μὴ
ἀποκωφωθῇς οὐκέτι, καὶ ἔσῃ αὐτοῖς εἰς τέρας· καὶ ἐπιγνώσονται
διότι ἐγὼ Κύριος.

XXV 1 2 [1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Υἱὲ ἀνθρώπου, στή-
ρισον τὸ πρόσωπόν σου ἐπὶ τοὺς υἱοὺς Ἀμμὼν καὶ προφήτευσον
3 ἐπ' αὐτούς, [3]καὶ ἐρεῖς τοῖς υἱοῖς Ἀμμὼν Ἀκούσατε λόγον Κυρίου Τάδε
λέγει Κύριος Ἀνθ' ὧν ἐπεχάρητε ἐπὶ τὰ ἅγιά μου ὅτι ἐβεβηλώθη,
καὶ ἐπὶ τὴν γῆν τοῦ Ἰσραὴλ ὅτι ἠφανίσθη, καὶ ἐπὶ τὸν οἶκον τοῦ
4 Ἰούδα ὅτι ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ, [4]διὰ τοῦτο ἰδοὺ ἐγὼ παρα-
δίδωμι ὑμᾶς τοῖς υἱοῖς Κέδεμ εἰς κληρονομίαν, καὶ κατασκηνώσουσιν¶ ¶ Γ
ἐν τῇ ἀπαρτείᾳ αὐτῶν ἐν σοί, καὶ δώσουσιν ἐν σοὶ τὰ σκηνώματα
αὐτῶν· αὐτοὶ φάγονται τοὺς καρπούς σου, καὶ αὐτοὶ πίονται τὴν
5 πιότητά σου. [5]καὶ δώσω τὴν πόλιν τοῦ Ἀμμὼν εἰς νομὰς καμήλων,
καὶ τοὺς υἱοὺς Ἀμμὼν εἰς νομὴν προβάτων· καὶ ἐπιγνώσεσθε διότι
6 ἐγὼ Κύριος. [6]διότι τάδε λέγει Κύριος Ἀνθ' ὧν ἐκρότησας τὴν ‡χεῖρά ‡Γ
σου καὶ ἐπεψόφησας τῷ ποδί σου, καὶ ἐπέχαρας ἐκ ψυχῆς σου ἐπὶ
7 τὴν γῆν τοῦ Ἰσραήλ, [7]διὰ τοῦτο ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ σὲ καὶ
δώσω σε εἰς διαρπαγὴν ἐν τοῖς ἔθνεσιν, καὶ ἐξολεθρεύσω σε ἐκ τῶν

23 ουτε 1°] ου A | κλαυσητε] κλαυσθητε A 24 εποιησατε] εποιησε AQΓ B^{ab}Q (-σεν) εποιησα A | Κυριος] pr αδωναι $QΓ^{vid}$ 25 ισχυν] + αυτω̄| A | ψυχης] pr της A 26 εν εκεινη τη ημερα] τη ημερα εκ. Q | αναγγειλαι] απαγγειλαι Q | ωτα] + σου A 27 εν τη ημερα εκεινη AQΓ | λαλησεις] και ερεις A pr και QΓ | om και 1° A | αποκωφωθηση Γ XXV 1 pr tit τοις υιοις Αμμων $Q^{mg\ sup}$ 3 Κυριου] pr αδωναι QΓ | Κυριος] pr αδωναι AQΓ | εβεβηλωθησαν A | του Ιουδα] om του A 4 Κεδεμ] in μ ras aliq $Q^{?vid}$ Κ[εδ]η[μ] $Γ^{vid}$ | κληρονομιαν] κατακληρονομιαν Q | εν 1°] συν A | απαρτια B^{b}AQ 5 νομην] προνομην A 6 Κυριος] + ο θ̄ς̄ A pr κ̄ς̄ Q | την χειρα] τας χειρας A τη χειρι Q^{mg} | επεψοφησας] εψοφησας Q | Ισραηλ] I sup ras $B^{?vid}$ 7 εκτενω] pr ιδου εγω AΓ et (sub ※) Q (adnot εν τισιν ηστεριστο εν τισιν ου et ras asteriscum $Q^{?mg}$) | εξολοθρευσω B^{b}: item 13, 16

B λαῶν, καὶ ἀπολῶ σε ἐκ τῶν χωρῶν ἀπωλείᾳ· καὶ ἐπιγνώσει διότι
¶ Γ ἐγὼ Κύριος. [8]Τάδε λέγει Κύριος Ἀνθ' ὧν εἶπεν Μωὰβ Ἰδοὺ¶ 8
οὐχ ὃν τρόπον πάντα τὰ ἔθνη οἶκος Ἰσραὴλ καὶ Ἰούδα; [9]διὰ τοῦτο 9
ἰδοὺ ἐγὼ παραλύω τὸν ὦμον Μωὰβ ἀπὸ πόλεων ἀκρωτηρίων αὐτοῦ,
ἐκλεκτὴν γῆν, οἶκον Θασιμούθ, ἐπαναγωγῆς πόλεως παραθαλασσίας,
[10]τοὺς υἱοὺς Κέδεμ ἐπὶ τοὺς υἱοὺς Ἀμμών· δέδωκα αὐτῷ εἰς κληρο- 10
νομίαν, ὅπως μὴ μνεία γένηται τῶν υἱῶν Ἀμμών. [11]καὶ εἰς Μωὰβ 11
ποιήσω ἐκδίκησιν, καὶ ἐπιγνώσονται διότι ἐγὼ Κύριος. [12]Τάδε 12
λέγει Κύριος Ἀνθ' ὧν ἐποίησεν ἡ Ἰδουμαία ἐν τῷ ἐκδικῆσαι αὐτοὺς
ἐκδίκησιν εἰς τὸν οἶκον Ἰούδα, καὶ ἐμνησικάκησαν καὶ ἐξεδίκησαν
δίκην, [13]διὰ τοῦτο τάδε λέγει Κύριος Καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ 13
τὴν Ἰδουμαίαν, καὶ ἐξολεθρεύσω ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος, καὶ
θήσομαι αὐτὴν ἔρημον, καὶ ἐκ Θαιμὰν διωκόμενοι ἐν ῥομφαίᾳ πεσοῦν-
ται· [14]καὶ δώσω ἐκδίκησίν μου ἐπὶ τὴν Ἰδουμαίαν ἐν χειρὶ λαοῦ μου 14
Ἰσραήλ, καὶ ποιήσουσιν ἐν τῇ Ἰδουμαίᾳ κατὰ τὴν ὀργήν μου καὶ
κατὰ τὸν θυμόν μου· καὶ ἐπιγνώσονται τὴν ἐκδίκησίν μου, λέγει
Κύριος. [15]Διὰ τοῦτο τάδε λέγει Κύριος Ἀνθ' ὧν ἐποίησαν οἱ 15
ἀλλόφυλοι ἐν ἐκδικήσει καὶ ἐξανέστησαν ἐκδίκησιν, ἐπιχαίροντες
ἐκ ψυχῆς τοῦ ἐξαλεῖψαι ἕως ἑνός, [16]διὰ τοῦτο τάδε λέγει Κύριος Ἰδοὺ 16
ἐγὼ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τοὺς ἀλλοφύλους, καὶ ἐξολεθρεύσω
Κρῆτας, καὶ ἀπολῶ τοὺς καταλοίπους τοὺς κατοικοῦντας τὴν παραλίαν·
[17]καὶ ποιήσω ἐν αὐτοῖς ἐκδικήσεις μεγάλας, καὶ ἐπιγνώσονται διότι 17
ἐγὼ Κύριος, ἐν τῷ δοῦναι τὴν ἐκδίκησίν μου ἐπ' αὐτούς.
[1]Καὶ ἐγενήθη ἐν τῷ ἑνδεκάτῳ ἔτει μιᾷ τοῦ μηνὸς ἐγένετο 1 XXVI

AQΓ 7 απολω] απολεσω Q | χωρων] χειρων Γ | επιγνωση B^{ab}AQ 8, 12 pr tit τη Μωαβ τη Ιδουμαια Q$^{mg\ sup}$ | Κυριος] pr αδωναι AQ | Μωαβ] + και Σηειρ ΑΓ et (sub α'θ'σ' ※) Q | om ουχ AQ | οικος] pr ο A | Ισρ sub ÷ Q 9 Μωαβ] + απο των πολεων AQ | om απο πολεων Q | αυτου] αυτων Q | Θασιμουθ] Βεθασιμουθ B$^{b(vid)}$A Βαιθασιμουθ Q* Βαιθ' Ιασιμουθ Q^{a} | επαναγωγης] επανω πηγης B^{ab}AQ 10 γενηται μνεια A | Αμμων 2°] + εν τοις εθνεσιν A et (sub α'θ' ※) Q 11 εις] εν A 12 Κυριος] pr αδωναι AQ | Ιουμαια Q* (Ιδ. Q^{a}) | εν τω εκδικησαι] του εκδ. A 13 Κυριος] pr αδωναι AQ 14 εκδικησιν 1°] pr την A | οργην] + του θυμου A | om και κατα τον θυμον μου A | Κυριος] κ̅ς̅ ras A$^{?}$ pr αδωναι Q 15 pr tit τοις αλλοφυλοις Q$^{mg\ sup}$ | Κυριος] pr αδωναι AQ | εκ ψυχης του εξαλειψαι εως ενος] του διαφθειραι εκ ψυχης κατ εχθραν αιωνιον Q^{mg} | ενος] αιωνος AQ 16 Κυριος] pr αδωναι AQ | εκτεινω Q | εξελεθρευσω Q^{*vid} εξολεθρ. Q^{a} | Κρητας] κριτας Σιδωνος A ※ τους Κρητας Q* (κριτ. Q^{mg}) | την παραλιαν] την παραθαλασσιαν AQ^{mg} της παραλιας Q* 17 αυτοις] αυται B* αυταις B^{ab} | μεγαλας] + (sub θ' ※) εν ελεγμοις θυμου Q | Κυριος] pr αδωναι Q | δουναι] + με A XXVI 1 pr tit τη Σορ Q$^{mg\ sup}$ | εγενηθη] εγενετο A | ενδεκατω] δωδεκατω A | μηνος] + του πρωτου A

2 λόγος Κυρίου πρὸς μὲ λέγων [2]Υἱὲ ἀνθρώπου, ἀνθ' οὗ εἶπεν B
Σὸρ ἐπὶ Ἰερουσαλὴμ Εὖγε συνετρίβη, ἀπόλωλεν τὰ ἔθνη, ἐπε-
3 στράφη πρὸς μέ, ἡ πλήρης ἠρήμωται· [3]διὰ τοῦτο τάδε λέγει Κύριος
Ἰδοὺ ἐγὼ ἐπὶ σέ, Σόρ, καὶ ἀνάξω ἐπὶ σὲ ἔθνη πολλὰ ὡς ἀναβαίνει
4 ἡ θάλασσα τοῖς κύμασιν αὐτῆς. [4]καὶ καταβαλοῦσιν τὰ τείχη Σόρ,
καὶ καταβαλοῦσι τοὺς πύργους σου, καὶ λικμήσω τὸν χοῦν αὐτῆς
5 ἀπ' αὐτῆς, καὶ δώσω αὐτὴν εἰς λεωπετρίαν· [5]ψυγμὸς σαγηνῶν
ἔσται ἐν μέσῳ θαλάσσης, ὅτι ἐγὼ λελάληκα, λέγει Κύριος. καὶ
6 ἔσται εἰς προνομὴν τοῖς ἔθνεσιν, [6]καὶ αἱ θυγατέρες αὐτῆς ἐν πεδίῳ
7 μαχαίρᾳ ἀναιρεθήσονται· καὶ γνώσονται ὅτι ἐγὼ Κύριος. [7]ὅτι τάδε
λέγει Κύριος Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σέ, Σόρ, τὸν Ναβουχοδονοσὸρ
βασιλέα Βαβυλῶνος ἀπὸ τοῦ βορρᾶ· βασιλεὺς βασιλέων ἐστίν,
μεθ' ἵππων καὶ ἁρμάτων καὶ ἱππέων καὶ συναγωγῆς ἐθνῶν πολλῶν
8 σφόδρα. [8]οὗτος τὰς θυγατέρας σου τὰς ἐν τῷ πεδίῳ μαχαίρᾳ ἀνελεῖ,
καὶ δώσει ἐπὶ σὲ προφυλακὴν καὶ περιοικοδομήσει, καὶ ποιήσει ἐπὶ
σὲ κύκλῳ χάρακα καὶ περίστασιν ὅπλων, καὶ τὰς λόγχας αὐτοῦ
9 ἀπέναντί σου δώσει· [9]τὰ τείχη σου καὶ τοὺς πύργους σου καταβαλεῖ
10 ἐν ταῖς μαχαίραις αὐτοῦ. [10]ἀπὸ τοῦ πλήθους τῶν ἵππων αὐτοῦ
κατακαλύψει σε ὁ κονιορτὸς αὐτῶν, καὶ ἀπὸ τῆς φωνῆς τῶν ἱππέων
αὐτοῦ καὶ τῶν τροχῶν τῶν ἁρμάτων αὐτοῦ σεισθήσεται τὰ τείχη σου,
εἰσπορευομένου αὐτοῦ τὰς πύλας σου ὡς εἰσπορευόμενος εἰς πόλιν
11 ἐκ πεδίου. [11]ἐν ταῖς ὁπλαῖς τῶν ἵππων αὐτοῦ καταπατήσουσίν σου
πάσας τὰς πλατείας· τὸν λαόν σου μαχαίρᾳ ἀνελεῖ, καὶ τὴν ὑπόστα-
12 σίν σου τῆς ἰσχύος ἐπὶ τὴν γῆν κατάξει. [12]καὶ προνομεύσει τὴν
δύναμίν σου, καὶ σκυλεύσει τὰ ὑπάρχοντά σου, καὶ καταβαλεῖ σου

2 ου] ων AQ | Σορ] οι λοιποι Τυρος Q^{mg} 3 Κυριος] pr αδωναι AQ | AQ ιδου εγω επι σε Σορ] adscr θ' ※ Q^{a} | τοις κυμασιν] pr εν A 4 καταβαλουσιν] καταβαλουσι B^{b}Q | καταβαλουσι] καθελουσιν AQ^{mg} (-σι) | λικμησω] λικμησουσιν A | αυτην] σε A 5 εν μεσω θαλασσης] εμμ. της θ. A εν τη θαλασση Q^{mg} | λελαληκα] ελαλησα AQ | Κυριος] pr κ̅ς̅ AQ | τοις εθνεσιν (-σι B^{b})] om τοις A 6 εν πεδιω] αι εν τω παιδιω A ※ αι εν πεδιω Q | αναιρεθησονται] πεσουνται A | οτι] διοτι Q | εγω]+ειμι A 7 οτι] δια τουτο A | Κυριος] pr αδωναι AQ | om επαγω B^{*} (hab $B^{ab\,mg}$) | om σε Q | βασιλεα]+βασιλεα A | μεθ] μετα A | om και ιππεων A | εθνων πολλων] πολλης εθνων A | σφοδρα sub ÷ Q^{a} 8 θυρας B^{*} (θυγατερας B^{ab}) | και περιοικοδ. sub ÷ Q^{a} | ποιησει] περιποιησει A | κυκλω]+σου A | περιστασιν] βελοστασεις AQ^{mg} | τας λογχας] τους κριους Q^{mg} | απεναντι σου] επι σε A 9 ταις μαχαιραις] τοις οπλοις Q^{mg} 10 κατακαλυψει] καλυψει A | om και 1° A | της φωνης] om της A | ιππων Q | om εισπορευομενου αυτου τας πυλας σου ως Q^{*} (hab Q^{mg}) | εισπορευομενος] pr ο A 11 πασας τας πλατειας σου AQ | της ισχυος σου A 12 τα υπαρχοντα] τον πλουτον A

B τὰ τείχη καὶ τοὺς οἴκους τοὺς ἐπιθυμητούς σου καθελεῖ, καὶ τοὺς
λίθους σου καὶ τὰ ξύλα σου καὶ τὸν χοῦν σου εἰς μέσον τῆς θαλάσσης
σου ἐμβαλεῖ. [13]καὶ καταλύσει τὸ πλῆθος τῶν μουσικῶν σου, καὶ ἡ 13
φωνὴ τῶν ψαλτηρίων σου οὐ μὴ ἀκουσθῇ ἔτι. [14]καὶ δώσω σε 14
λεωπετρίαν, ψυγμὸς σαγηνῶν ἔσῃ· οὐ μὴ οἰκοδομηθῇς ἔτι, ὅτι ἐγὼ
Κύριος ἐλάλησα, λέγει Κύριος. [15]διότι τάδε λέγει κύριος Κύριος τῇ 15
Σόρ Οὐκ ἀπὸ φωνῆς τῆς πτώσεώς σου ἐν τῷ στενάξαι τραυματίας,
ἐν τῷ σπάσαι μάχαιραν ἐν μέσῳ σου, σεισθήσονται αἱ νῆσοι; [16]καὶ 16
καταβήσονται ἀπὸ τῶν θρόνων αὐτῶν πάντες οἱ ἄρχοντες ἐκ τῶν
ἐθνῶν τῆς θαλάσσης, καὶ ἀφελοῦνται τὰς μίτρας ἀπὸ τῶν κεφαλῶν
αὐτῶν, καὶ τὸν ἱματισμὸν τὸν ποικίλον αὐτῶν ἐκδύσονται· ἐκστάσει
ἐκστήσονται, ἐπὶ γῆν καθεδοῦνται καὶ φοβηθήσονται τὴν ἀπωλίαν
αὐτῶν, καὶ στενάξουσιν ἐπὶ σέ· [17]καὶ λήμψονται ἐπὶ σὲ θρῆνον καὶ 17
ἐροῦσίν σοι Πῶς κατελύθης ἐκ θαλάσσης, ἡ πόλις ἡ ἐπαινετή, ἡ
δοῦσα τὸν φόβον αὐτῆς πᾶσι τοῖς κατοικοῦσιν αὐτήν; [18]καὶ φοβη- 18
θήσονται αἱ νῆσοι ἀφ' ἡμέρας πτώσεώς σου. [19]ὅτι τάδε λέγει κύριος 19
Κύριος Ὅταν δῶ σε πόλιν ἠρημωμένην ὡς τὰς πόλεις τὰς μὴ κατοι-
κηθησομένας, ἐν τῷ ἀναγαγεῖν με ἐπὶ σὲ τὴν ἄβυσσον, καὶ κατακα-
λύψῃ σε ὕδωρ πολύ, [20]καὶ καταβιβάσω σε πρὸς τοὺς καταβαίνοντας 20
εἰς βόθρον πρὸς λαὸν αἰῶνος, καὶ κατοικιῶ σε εἰς βάθη τῆς γῆς ὡς
ἔρημον αἰώνιον μετὰ καταβαινόντων εἰς βόθρον, ὅπως μὴ κατοικηθῇς
μηδὲ ἀναστῇς ἐπὶ γῆς ζωῆς. [21]ἀπώλειάν σε δώσω, καὶ οὐχ ὑπάρξεις 21
ἔτι εἰς τὸν αἰῶνα, λέγει κύριος Κύριος.

[1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Υἱὲ ἀνθρώπου, καὶ σὺ 1 2 XXVII
λάβε ἐπὶ Σὸρ θρῆνον, [3]καὶ ἐρεῖς τῇ Σὸρ τῇ κατοικούσῃ ἐπὶ τῆς εἰσόδου 3

AQ 12 τα τειχη σου A | καθελει τους οικους σου τους επιθυμητους A | om σου 6° Q | om σου 8° AQ 13 ακουσθη] + εν σοι A | ετι] ουκετι A 14 λεωπετριαν] pr εις AQ | ψυγμος] pr και A | om Κυριος 1° AQ | Κυριος 2°] pr αδωναι Q 15 κυριος] pr αδωναι A | τη Σορ] επι σε Σορ A | ουκ] improb vid $B^{b?c?}$ ουχι A | τραυματιας] + σου AQ 16 εκ των εθνων sub ÷ $Q^{?}$ | αφελουνται] καθελουσιν A^{*} ras καθ $A^{?}$ | απο τ. κεφ. αυτων sub ÷ $Q^{?}$ | εκστασει] pr και A | γην] pr την A | καθεδουνται] καθελουνται (λου sup ras) A^{a} | απωλειαν B^{ab}AQ 17 ληψονται $B^{b}Q^{a}$ | πως] + απωλου και A et (sub θ' ※) Q | κατελυθης] τ sup ras A^{a} | η επαινετη (-νεστη B^{*} -νετη B^{b})] om η Q^{*} (superscr Q^{a}) + ητις εγενηθη ισχυρα εν θαλασση αυτη και οι κατοικουντες αυτην A et (sub θ' ※) Q 18 και] + νυν A | αφ] απο A | σου] + και ταραχθησονται (+ αι Q) νησοι εν τη θαλασση απο της εξοδιας σου A et (sub θ' ※) Q 19 ερημωμενην Q^{*} (ηρ. Q^{a}) | κατακαλυψη] κατακαλυψει AQ^{a} καλυψει Q^{*} 20 καταβιβω A | βαθη] pr τα A | αναστης] ανασταθης AQ 21 ετι] + και ζητηθηση A + (sub θ' ※) και ζητηθηση και ουχ ευρεθηση Q | Κυριος] + ο θς A XXVII 1 pr tit θρηνος επι Σορ $Q^{mg\,sup}$ 2 και συ υιε ανου A et (sub οι γ' ※) Q | θρηνον επι Σορ A 3 εισοδου] οδου A

τῆς θαλάσσης, τῷ ἐμπορίῳ τῶν λαῶν ἀπὸ νήσων πολλῶν Τάδε λέγει B
4 Κύριος τῇ Σόρ Σὺ εἶπας Ἐγὼ περιέθηκα ἐμαυτῇ κάλλος μου, [4]ἐν
καρδίᾳ θαλάσσης τῷ Βεελειμ υἱοί σου περιέθηκάν σοι κάλλος.
5 [5]κέδρος ἐκ Σενειρ ᾠκοδομήθη σοι, ταινίαι σανίδων κυπαρίσσου ἐκ τοῦ
6 Λιβάνου ἐλήμφθησαν τοῦ ποιῆσαί σοι ἱστοὺς ἐλατίνους· [6]ἐκ τῆς
Βασανίτιδος ἐποίησαν τὰς κώπας σου, τὰ ἱερά σου ἐποίησαν ἐξ
7 ἐλέφαντος, οἴκους ἀλσώδεις ἀπὸ νήσων τῶν Χεττειν. [7]βύσσος μετὰ
ποικιλίας ἐξ Αἰγύπτου ἐγένετό σοι στρωμνή, τοῦ περιθεῖναί σοι
δόξαν καὶ περιβαλεῖν σε ὑάκινθον καὶ πορφύραν ἐκ τῶν νήσων
8 Ἐλεισαι, καὶ ἐγένετο περιβόλαιά σου. [8]καὶ οἱ ἄρχοντές σου οἱ
κατοικοῦντες Σειδῶνα καὶ Ἀράδιοι ἐγένοντο κωπηλάται σου· οἱ σοφοί
9 σου, Σόρ, οἳ ἦσαν ἐν σοί, οὗτοι κυβερνῆταί σου· [9]οἱ πρεσβύτεροι
Βυβλίων καὶ οἱ σοφοὶ αὐτῶν ἦσαν ἐν σοί, οὗτοι ἐνίσχυον τὴν βουλήν
σου· καὶ πάντα τὰ πλοῖα τῆς θαλάσσης καὶ οἱ κωπηλάται αὐτῶν
10 ἐγένοντό σοι ἐπὶ δυσμὰς δυσμῶν. [10]Πέρσαι καὶ Λυδοὶ καὶ Λίβυες
ἦσαν ἐν τῇ δυνάμει σου, ἄνδρες πολεμισταί σου πέλτας καὶ περι-
11 κεφαλαίας ἐκρέμασαν ἐν σοί, οὗτοι ἔδωκαν τὴν δόξαν σου. [11]υἱοὶ
Ἀραδίων καὶ ἡ δύναμίς σου ἐπὶ τῶν τειχέων σου· φύλακες ἐν τοῖς
πύργοις σου ἦσαν, τὰς φαρέτρας αὐτῶν ἐκρέμασαν ἐπὶ τῶν ὅρμων
12 σου κύκλῳ· οὗτοι ἐτελείωσάν σου τὸ κάλλος. [12]Καρχηδόνιοι ἔμποροί
σου ἀπὸ πλήθους πάσης ἰσχύος σου, ἀργύριον καὶ χρυσίον καὶ
13 σίδηρον καὶ κασσίτερον καὶ μόλυβον ἔδωκαν τὴν ἀγοράν σου. [13]ἡ
Ἑλλάς, καὶ ἡ σύμπασα, καὶ τὰ παρατείνοντα, οὗτοι ἐνεπορεύοντό σοι
ἐν ψυχαῖς ἀνθρώπων, καὶ σκεύη\χαλκᾶ ἔδωκαν τὴν ἐμπορίαν σου·
14 15 [14]ἐξ οἴκου Θαιγραμα ἵπποι καὶ ἱππεῖς ἔδωκαν ἀγοράν σου. [15]υἱοὶ

3 Κυριος] αδωναι κ̅ς̅ κ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | τη Σορ 2°] επι Σορ A adnot πυρσος AQ η συνοχη Q^{mg} **4** τω Βεελειμ...καλλος] σ´ οι ομοροι σοι οι οικοδομουντες [σ]ε (?) συνετελεσαν το καλλος σου Q^{mg} | υιοι] pr και A pr οι Q **5** Σενειρ] Σανειρ AQ adnot οδος λυχνου Q^{mg} | κυπαρισσου] κυπαριστινων A | Λιβανου] adnot λευκασμος Q^{mg} | εληφθησαν Q^{a} **6** Βασανειτιδος $B^{ab}A^{*}$ adnot Βασα̅ν̅| αισχυνη Q^{mg} | Χεττειν] Χεττιειμ AQ adnot πεπληγυια Q^{mg} **7** εξ Αιγ.] adnot εκθλιβουσα Q^{mg} | περιβαλει Q^{*} (-λειν Q^{a}) | σε sub ÷ $Q^{?}$ | Ελισαι Q adnot θυμου επικλησις Q^{mg} | om και 3° Q | περιβολαια εγενετο σοι A **8** και οι αρχ. σου sub ÷ $Q^{?}$ | Σιδωνα $B^{b}Q$ (adnot θηρευουσα Q^{mg}) Σιδονα A | Αραδιοι] adnot καταβιβασται Q^{mg} **9** Βυβλιων] Βιβλιων $B^{?vid}$ AQ^{a} Γαιβαλ Βυβλιω̅| Q^{mg} | ησαν] pr οι Q^{a} | κωπελαται A | αυτων 2°] αυτης A | εγενοντο ...δυσμων] αμειβομενοι εν τη επιμιξια σου Q^{mg} **10** Περσαι] adnot πειραζομενοι Q^{mg} | Λυδοι] adnot γεννωμενοι Q^{mg} | Λιβυες] Φουδ η στομα Q^{mg} **11** σου 2°] + κυκλω A et (sub ※) Q (αλλα και Μηδοι Q^{mg}) **12** Χαρκηδονιοι A | χρυσιον] + και χαλκον A | μολυβον] μολιβδον A μολιβον Q **13** η συμπασα] τα σ(υμ)παντα A | ουτοι] αυτοι AQ | ενεπορευοντο] ενεμπορευονται A | εμπορειαν Q^{a}: item 15, 24 **14** Θαιγραμα] Θεργαμα A Θοργαμα Q (adnot παροικια τις Q^{mg}) | ιπποι] ιππους AQ | ιππεις] + και ημιονους AQ

B Ῥοδίων ἔμποροι, ἀπὸ νήσων ἐπλήθυναν τὴν ἐμπορίαν σου ὀδόντας
ἐλεφαντίνους, καὶ τοῖς εἰσαγομένοις ἀντεδίδους τοὺς μισθούς σου·
[16]ἀνθρώπους ἐμπορίαν σου ἀπὸ πλήθους τοῦ συμμίκτου σου, στακτὴν 16
καὶ ποικίλματα ἐκ Θαρσεὶς· καὶ Δαμὲθ καὶ Χορχὸρ ἔδωκαν τὴν
ἀγοράν σου. [17]Ἰούδας καὶ οἱ υἱοὶ τοῦ Ἰσραήλ, οὗτοι ἔμποροί σου ἐν 17
σίτου πράσει καὶ μύρων καὶ κασίᾳ, καὶ πρῶτον μέλι καὶ ἔλαιον καὶ
ῥητίνην ἔδωκαν εἰς τὸν σύμμικτόν σου. [18]Δαμασκὸς ἔμπορός σου ἐκ 18
πλήθους πάσης δυνάμεώς σου· οἶνος ἐκ Χελβὼν καὶ ἔρια ἐκ Μειλήτου,
(19)καὶ οἶνον εἰς τὴν ἀγοράν σου ἔδωκαν. [19]ἐξ Ἀσὴλ σίδηρος εἰργα- 19
σμένος, καὶ τροχίας ἐν τῷ συμμίκτῳ σού ἐστιν. [20]Δαιδὰν ἔμποροί 20
σου μετὰ κτηνῶν ἐκλεκτῶν εἰς ἅρματα. [21]ἡ Ἀραβία καὶ πάντες οἱ 21
ἄρχοντες Κηδάρ, οὗτοι ἔμποροί σου διὰ χειρός σου, καμήλους καὶ
κριοὺς καὶ ἀμνοὺς ἐν οἷς ἐμπορεύονταί σε. [22]ἔμποροι Σαβὰ καὶ 22
Ῥαμά, οὗτοι ἔμποροί σου μετὰ πρώτων ἡδυσμάτων καὶ λίθων χρη-
στῶν, καὶ χρυσίον ἔδωκαν τὴν ἀγοράν σου. [23]Χαρρὰ καὶ Χανάα, 23
οὗτοι ἔμποροί σου. Ἀσσοὺρ καὶ Χαρμὰν ἔμποροί σου, [24]φέροντες 24
ἐμπορίαν ὑάκινθον καὶ θησαυροὺς ἐκλεκτοὺς δεδεμένους σχοινίοις καὶ
κυπαρίσσινα. [25]πλοῖα ἔμποροί σου ἐν τῷ πλήθει ἐν τῷ συμμίκτῳ 25
σου, καὶ ἐνεπλήσθης καὶ ἐβαρύνθης σφόδρα ἐν καρδίᾳ θαλάσσης.

AQ 15 Ροδιων] Αραδιων A adnot Ροδιοι ορασις κρισεως Q^{mg} | εμποροι]+σου AQ 16 εμποριαν] εμπορειας Q^{a} | σου 2°]+(sub ※) εν Αφεχ Q (α' συναλλαγη σου σ' πολυμιτα Q^{mg}) | Θαρσεις...Χορχορ] Θαρρεις και Ραμμωθ και Κορχορυς A 17 Ιουδα A | του Ισραηλ] om του A | κασιας A κασσιας Q 18 εμπορος] εμποροι A εμπορεια Q^{mg} | σου 1°]+(sub ※) εν πληθει εργων σου Q | om πασης Q | οινος] οινον A+λιπαρος Q^{mg} | Χελβων] Χεβρων A Χελβω Q γαλακτινος Q^{mg} | εκ Μειλητου (Μιλ. B^{b}Q)] στιλβοντα Q^{mg} | κ. οινον sub ÷ $Q^{?}$ | οινον]+και Δαν (pro κ. Δαν leg Δαιδαν Q^{a}) και Ιαυηλ Μεωζηλ Q | εδωκαν] pr ※ $Q^{?}$ 19 εξ Ασηλ] εξ (ras vid $A^{?}$) Ασαηλ A pr ※ $Q^{?}$ | σιδηρον ειργασμενον A | τροχιας B^{b} (-χειας B^{*}A)] τροχος Q adnot τουτεστι δραμος (sic) προς θεωριαν της πανταχοθεν ευθηνιας Q^{mg}+εδωκαν A 20 Δαιδαν] και Δαν Q^{a} 21 η Αραβια (-βεια A)] adnot εσπερα Q^{mg} | Κηδαρ] adnot σκοτος Q^{mg} | om σου 1° Q | αμνους (καμν. Q^{*} αμν. Q^{a})] μοσχους A | εμπορευονται] ενεπορευοντο A | σε] σοι AQ^{a} 22 Σαβα] adnot επιστρεφων Q^{mg} | Ραμα] Ραγμα AQ | χρηστων] εκλεκτων A τιμιων Q^{mg} | χρυσιον] χρυσον Q | σου] σοι B^{*vid} 23 Χαρρα και Χαναα] Χαρραν κ. Χανααν κ. Δαιδαν A Χαρρα (-ρραν Q^{a} adnot τρωγλαι Q^{mg}) κ. Χανααν (et sub ※) κ. Δαιδαν Q | ουτοι] αυτοι A 24 υακινθον]+και πορφυραν A+(sub ※ οι γ') και ποικιλιαν Q | om και 1° Q | θησαυρους] α'θ' εν γαζαις Q^{mg} | εκλεκτους]+εν μαγουζοις συγκειμενοις Q^{mg} | σχοινιοις δεδεμενους Q | και κυπαρισσινα] εν κυπαρισσινοις A+πλοια Q^{c} εν κυπαρισσινοις πλοιοις Q^{mg}+(sub θ' ※) εν αυτοις η εμπορια (-ρεια Q^{a}) σου Q 25 πλοια...πληθει] πλοιοις εν αυτοις (paene evan εν αυτ.) Καρχηδονιοι εμποροι σου Θαρσος εμποροι σου εν τω πληθει A πλοια εν τω πληθει (+εν αυτοις Καρχηδονιοι Q^{mg}) εμποροι σου Q | om σου 2° Q

26 [26]ἐν ὕδατι πολλῷ ἦγόν σε οἱ κωπηλάται σου. τὸ πνεῦμα τοῦ νότου B
27 συνέτριψέν σε ἐν καρδίᾳ θαλάσσης· [27]ἦσαν δυνάμεις σου, καὶ ὁ μισθός
σου καὶ τῶν συμμίκτων σου, καὶ οἱ κωπηλάται σου καὶ οἱ κυβερνῆταί
σου καὶ οἱ σύμβουλοί σου, καὶ οἱ σύμμικτοί σου ἐκ τῶν συμμίκτων
σου, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταί σου οἱ ἐν σοί· καὶ πᾶσα
συναγωγή σου ἐν μέσῳ σου πεσοῦνται ἐν καρδίᾳ θαλάσσης ἐν τῇ
28 ἡμέρᾳ τῆς πτώσεώς σου. [28]πρὸς τὴν κραυγὴν τῆς φωνῆς σου οἱ
29 κυβερνῆταί σου φόβῳ φοβηθήσονται, [29]καὶ καταβήσονται ἀπὸ τῶν
πλοίων πάντες οἱ κωπηλάται καὶ οἱ ἐπιβάται, καὶ οἱ πρωρεῖς τῆς
30 θαλάσσης ἐπὶ τὴν γῆν στήσονται, [30]καὶ ἀλαλάξουσιν ἐπὶ σὲ τῇ φωνῇ
αὐτῶν καὶ κεκράξονται πικρόν, καὶ ἐπιθήσουσιν ἐπὶ τὴν κεφαλὴν
32 αὐτῶν γῆν καὶ σποδὸν στρώσονται. [32]καὶ λήμψονται ἐπὶ σὲ οἱ υἱοὶ
33 αὐτῶν θρῆνον, θρήνημα Σόρ. [33]πόσον τινὰ εὗρες μισθὸν ἀπὸ τῆς
θαλάσσης; ἐνέπλησας ἔθνη ἀπὸ τοῦ πλήθους σου, καὶ ἀπὸ τοῦ
34 συμμίκτου σου ἐπλούτισας πάντας βασιλεῖς τῆς γῆς. [34]νῦν συνε-
τρίβης ἐν θαλάσσῃ, ἐν βάθει ὕδατος ὁ σύμμικτός σου, καὶ πᾶσα ἡ
συναγωγή σου ἐν μέσῳ σου· ἔπεσον πάντες οἱ κωπηλάται σου.
35 [35]πάντες οἱ κατοικοῦντες τὰς νήσους ἐστύγνασαν ἐπὶ σέ, καὶ οἱ βασι-
λεῖς αὐτῶν ἐκστάσει ἐξέστησαν, καὶ ἐδάκρυσεν τὸ πρόσωπον αὐτῶν.
36 [36]ἔμποροι ἀπὸ ἐθνῶν ἐσύρισάν σε· ἀπώλεια ἐγένου, καὶ οὐκέτι ἔσῃ
εἰς τὸν αἰῶνα.

XXVIII 1 2 [1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Καὶ σύ, υἱὲ ἀνθρώπου,

26 εν καρδια] εμμεσω A 27 om και 2°, 3° A | των συμμικτων 1°] εν τω AQ συμμικτω A | οι συμβουλοι] οι ισχυροποιουντες Q^mg | οι εν σοι] om οι εν σοι A om οι Q | συναγωγη] pr η AQ 28 om προς Q | κραυγην της φωνης] φωνη̅| της κραυγης A φωνην προ της κραυγης Q | om φοβω A 29 om και 1° A | πλοιων] + αυτων AQ | κωπηλαται] + σου A | την γην] της γης A 30 αλαλαξουσιν] αλλαξονται A | τη φωνη] την κραυγην A την φωνην Q | πικρον] πικρως A | επιθησουσι γην επι τ. κεφ. αυτων Q | στρωσονται] υποστρωσονται AQ^mg + (31) και φαλακρωσουσιν επι σε φαλακρωματα και περιζωνται σακκον και κλαυσονται περι σου εν πικρασμω ψυχης και κοπετον πικρον εκστησονται A + (31) και φαλακρωσουσιν (και ξυρησονται Q^mg) επι σε φαλακρωμα και περιζωσονται σακκον και κλαυσονται π. σ. εν πικρ. ψ. και κοπ. πικρον λημψονται (ληψ. Q^a) επι σε (sub θ' ※) Q 32 λημψονται] αναληψονται Q^a | (οι) υιοι αυτων sub ÷ Q? | οι υιοι αυτω̅ επι σε A | οι υιοι] om οι Q | θρηνημα] pr και A | Σορ] σοι AQ + τις ωσπερ Τυρος κατασιγηθεισα εμμεσω (εν μ. Q) θαλασσης A et (sub ※) Q 33 τινα] pr και A | ενεπλησας] ενεποιησας A | παντας sub ÷ Q? | βασιλεις] pr τους A 34 post επεσον distinx A επεσαν Q 34—35 παντες οι κωπηλαται...νησους] παντες οι κατοικουντες τας νησους και οι κωπηλαται σου A | παντες οι κωπ. σου sub ÷ Q? 35 εδακρυσεν το προσωπον] εδακρυσα̅| τω προσωπω A | αυτων 2°] + επι σοι A 36 αιωνα] + λεγει κ̅ς̅ ο θ̅ς̅ A XXVIII 1 pr tit τω αρχοντι Τυρου Q^mg sup 2 om και συ A

B εἰπὸν τῷ ἄρχοντι Τύρου Τάδε λέγει Κύριος Ἀνθʼ οὗ ὑψώθη σου ἡ
καρδία, καὶ εἶπας Θεός εἰμι ἐγώ, κατοικίαν θεοῦ κατοίκηκα ἐν καρδίᾳ
θαλάσσης, σὺ δὲ εἶ ἄνθρωπος καὶ οὐ θεός, καὶ ἔδωκας τὴν καρδίαν
σου ὡς καρδίαν θεοῦ, [3]μὴ σοφώτερος εἶ σὺ τοῦ Δανιήλ; σοφοὶ 3
οὐκ ἐπαίδευσάν σε τῇ ἐπιστήμῃ αὐτῶν; [4]μὴ ἐν τῇ ἐπιστήμῃ σου ἢ τῇ 4
φρονήσει σου ἐποίησας σεαυτῷ δύναμιν καὶ χρυσίον καὶ ἀργύριον ἐν
τοῖς θησαυροῖς σου; [5]ἐν τῇ πολλῇ ἐπιστήμῃ σου καὶ ἐμπορίᾳ ἐπλή- 5
θυνας δύναμίν σου, ὑψώθη ἡ καρδία σου ἐν τῇ δυνάμει σου. [6]διὰ τοῦτο 6
τάδε λέγει Κύριος Ἐπειδὴ δέδωκας τὴν καρδίαν σου ὡς καρδίαν θεοῦ,
[7]ἀντὶ τούτου ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ ἀλλοτρίους λοιμοὺς ἀπὸ ἐθνῶν, 7
καὶ ἐκκενώσουσιν τὰς μαχαίρας αὐτῶν ἐπὶ σὲ καὶ ἐπὶ τὸ κάλλος τῆς
ἐπιστήμης σου, καὶ στρώσουσιν τὸ κάλλος σου εἰς ἀπώλειαν, [8]καὶ 8
καταβιβάσουσίν σε, καὶ ἀποθανῇ θανάτῳ τραυματιῶν ἐν καρδίᾳ
θαλάσσης. [9]μὴ λέγων ἐρεῖς Θεός εἰμι ἐγώ, ἐνώπιον τῶν ἀναιρούντων 9
σε; σὺ δὲ εἶ ἄνθρωπος καὶ οὐ θεός. [10]ἐν πλήθει ἀπεριτμήτων ἀπολῇ 10
ἐν χερσὶν ἀλλοτρίων, ὅτι ἐγὼ ἐλάλησα, λέγει Κύριος. [11]Καὶ 11
ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [12]Υἱὲ ἀνθρώπου, λάβε θρῆνον 12
ἐπὶ τὸν ἄρχοντα Τύρου καὶ εἰπὸν αὐτῷ Τάδε λέγει κύριος Κύριος Σὺ
ἀποσφράγισμα ὁμοιώσεως καὶ στέφανος κάλλους [13]ἐν τῇ τρυφῇ τοῦ 13
παραδείσου τοῦ θεοῦ ἐγενήθης. πᾶν λίθον χρηστὸν ἐνδέδεσαι, σάρ-
διον καὶ τοπάζιον, καὶ σμάραγδον καὶ ἄνθρακα, καὶ σάπφειρον καὶ
ἴασπιν, καὶ ἀργύριον καὶ χρυσίον, καὶ λιγύριον καὶ ἀχάτην, καὶ
ἀμέθυστον καὶ χρυσόλιθον, καὶ βηρύλλιον καὶ ὀνύχιον, καὶ χρυσίου
ἐνέπλησας τοὺς θησαυρούς σου καὶ τὰς ἀποθήκας σου ἐν σοί.
[14]ἀφʼ ἧς ἡμέρας ἐκτίσθης σὺ μετὰ τοῦ χερούβ, ἔθηκά σε ἐν ὄρει 14
ἁγίῳ θεοῦ, ἐγενήθης ἐν μέσῳ λίθων πυρίνων, [15]ἐγενήθης ἄμωμος σὺ 15
ἐν ταῖς ἡμέραις σου, ἀφʼ ἧς ἡμέρας σὺ ἐκτίσθης ἕως εὑρέθη τὰ

AQ 2 Κυριος] κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | ανθ ου] ανθ ων AQ | η καρδια σου Q | κατωκηκα B^{ab}Q κατωκησα A 3 σοφοι] pr η A | τη επιστημη] pr εν A 4 τη φρονησει] pr εν AQ | χρυσιον] pr εποιησας A et (sub ·※·) Q 5 εν 1°] pr η AQ | εμπορια (-ρεια AQ^{a})] + σου AQ | δυναμιν] δυναμεις A 6 Κυριος] κ̅ς̅ κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | επειδη] ανθ ων A | δεδωκας] εδωκας AQ | improb σου $Q^{a\,vid}$ 7 καλλος 1°] + σου Q^{*} 10 απεριτμητων] τραυματιζοντω̅ σε θανατοις απεριτμητοις A pr θ′ ※ τραυματιζοντων σε θανατοις Q | απολη] αποθανη Q | Κυριος] ras $A^{?}$ pr αδωναι Q 11 pr tit θρηνος επι τον αρχοντα Τυρου $Q^{mg\,sup}$ 12 om κυριος A | συ] + ει A | ομοιωσεως] + (sub οι γ′ ※) πληρης σοφιας Q 13 παν] παντα $AQ^{?}$ | om και 1° A | ανθρακα̅ A | κ. αργ. κ. χρυσιον] pr ÷ $Q^{?mg}$ | εν 2° non inst $B^{b\,vid}$ 14 om συ Q | μετα του χερουβ] pr (sub θ′ ※) ητοιμασαν Q + (sub θ′ ※) κεχρισμενου (-νους Q^{a}) του κατασκηνουντος και Q | εθηκα] εδωκα Q | om εγενηθης A 15 εως] + ημερας A

16 ἀδικήματα ἐν σοί. [16]ἀπὸ πλήθους τῆς ἐμπορίας σου ἔπλησας τὰ B
ταμεῖά σου ἀνομίας, καὶ ἥμαρτες καὶ ἐτραυματίσθης ἀπὸ ὄρους τοῦ
17 θεοῦ, καὶ ἤγαγέν σε τὸ χεροὺβ ἐκ μέσου λίθων πυρίνων. [17]ὑψώθη
ἡ καρδία σου ἐπὶ τῷ κάλλει σου, διεφθάρη ἡ ἐπιστήμη σου μετὰ τοῦ
κάλλους σου· διὰ πλῆθος ἁμαρτιῶν σου ἐπὶ τὴν γῆν ἔρριψά σε,
18 ἐναντίον βασιλέων ἔδωκά σε παραδειγματισθῆναι. [18]διὰ τὸ πλῆθος
τῶν ἁμαρτιῶν σου καὶ τῶν ἀδικιῶν τῆς ἐμπορίας σου ἐβεβήλωσα τὰ
ἱερά σου, καὶ ἐξάξω πῦρ ἐκ μέσου σου, τοῦτο καταφάγεταί σε· καὶ
δώσω σε σποδὸν ἐπὶ τῆς γῆς σου ἐναντίον πάντων τῶν ὁρώντων σε.
19 [19]καὶ πάντες οἱ ἐπιστάμενοί σε ἐν τοῖς ἔθνεσιν στενάξουσιν ἐπὶ σέ·
ἀπωλία ἐγένου, καὶ οὐχ ὑπάρξεις ἔτι εἰς τὸν αἰῶνα.
20
21 [20]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [21]Υἱὲ ἀνθρώπου, στή-
22 ρισον τὸ πρόσωπόν σου ἐπὶ Σειδῶνα καὶ προφήτευσον ἐπ᾽ αὐτὴν [22]καὶ
εἰπόν Τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ ἐπὶ σέ, Σειδών, καὶ ἐνδοξασθήσομαι
ἐν σοί, καὶ γνώσῃ ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ ποιῆσαί με ἐν σοὶ κρίματα,
23 καὶ ἁγιασθήσομαι ἐν σοί. [23]αἷμα καὶ θάνατος ἐν ταῖς πλατείαις σου,
καὶ πεσοῦνται τετραυματισμένοι μαχαίραις ἐν σοὶ περικύκλῳ σου· καὶ
24 γνώσονται διότι ἐγώ εἰμι Κύριος. [24]καὶ οὐκ ἔσονται οὐκέτι ἐν τῷ
οἴκῳ τοῦ Ἰσραὴλ σκόλοψ πικρίας καὶ ἄκανθα ὀδύνης ἀπὸ τῶν περι-
κύκλῳ αὐτῶν τῶν ἀτιμασάντων αὐτούς, καὶ γνώσονται ὅτι ἐγώ εἰμι
25 Κύριος. [25]τάδε λέγει κύριος Κύριος Καὶ συνάξω τὸν Ἰσραὴλ ἐκ τῶν
ἐθνῶν οὗ ⁻διεσκορπίσθησαν ἐκεῖ, καὶ ἁγιασθήσομαι ἐν αὐτοῖς καὶ
26 ἐνώπιον τῶν λαῶν καὶ τῶν ἐθνῶν. [26]καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς

15 αδικηματα] + σου A 16 εμποριας (-ρειας Q^{a})] περιδρομης Q^{mg} | επλη- AQ
σας (εμπλ. Q^{*} επλ. Q^{a})] επληθυνας A | ταμια Q^{*} (-μιεια Q^{a}) | και ηγαγεν
σε . το χερουβ] + (sub θ′ ※) το συσκιαζο̄| Q κατηγαγεν σε χερουβ Q^{mg} | εκ
μεσου] εν μεσω A (εμμ.) Q^{a} 17 του καλλους σου] το καλλος σ. B^{*} (καλλους
σ. $B^{b(vid)}$) καλλουσου A | δια πληθος...σου sub ÷ $Q^{?}$ | πληθος] pr το A | αμαρ-
τιων] pr των AQ | εριψα A 18 το bis scr B^{*}: 2° non inst B^{b} | των
αδικιων] om των A | εμπορειας AQ^{a} | εβεβηλωσας AQ^{a} | τα ιερα] τον αγιασμο̄|
Q^{mg} | εκ μεσου] εκ μεσω B^{*} (εκ μεσου B^{ab}) AQ^{*} εν μεσω Q^{a} | σποδον] pr εις
AQ 19 εθνεσι B^{b} | στεναξουσιν] στυγνασουσιν AQ | απωλεια $B^{ab}AQ$
20 pr tit επι Σιδωνα $A^{*}Q^{mg\,sup}$ 21 Σιδωνα $B^{b}AQ$ 22 Κυριος 1°]
ras $A^{?}$ pr αδωναι Q | Σιδων $B^{b}AQ$ adnot θηρευουσα Q^{mg} 23 αιμα (αιμα
B^{*} αιμ. B^{ab})] pr και εξαποστελω επι σεαυτην θανατο̄| και AQ | om και θανατος
Q | πλατιαις A | σου 1°] + εσται AQ^{mg} | τετραυματισμενοι] + (sub α′θ′σ′ ※)
εν μεσω αυτης Q | μαχαιραις] pr εν AQ | γνωσονται] γνωση A | διοτι] οτι AQ
24 ουκ εσονται ουκετι] ουκετι εσονται A | om εν A | του Ισραηλ] om του AQ |
των περικυκλω] των κυκλω A παντων τ. περικ. Q | Κυριος] + ο θς̄ αυτων A pr
αδωναι Q 25 κυριος Κυριος] + ο θς̄ A αδωναι κς̄ Q | Ισραηλ] pr (sub οι
γ′ ※) οικον Q | εθνων 1°] χωρων A | om και 3° AQ | των λ. και sub ÷ $Q^{?}$ |
om και 4° $AQ^{?}$

B αὐτῶν, ἣν δέδωκα τῷ δούλῳ μου Ἰακώβ, (26) καὶ κατοικήσουσιν ἐπ' αὐτῆς
ἐν ἐλπίδι, καὶ οἰκοδομήσουσιν οἰκίας καὶ φυτεύσουσιν ἀμπελῶνας,
καὶ κατοικήσουσιν ἐν ἐλπίδι, ὅταν ποιήσω κρίμα ἐν πᾶσιν τοῖς
ἀτιμάσασιν αὐτοὺς ἐν τοῖς κύκλῳ αὐτῶν· καὶ γνώσονται ὅτι ἐγώ εἰμι
Κύριος ὁ θεὸς αὐτῶν καὶ ὁ θεὸς τῶν πατέρων αὐτῶν.

[1] Ἐν τῷ ἔτει τῷ δωδεκάτῳ ἐν δεκάτῳ μηνὶ μιᾷ τοῦ μηνὸς ἐγένετο 1 XXIX
λόγος Κυρίου πρὸς μὲ λέγων [2] Υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν 2
σου ἐπὶ Φαραὼ βασιλέα Αἰγύπτου, καὶ προφήτευσον ἐπ' αὐτὸν καὶ
ἐπ' Αἴγυπτον ὅλην [3] καὶ εἰπόν Τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ ἐπὶ 3
Φαραώ, τὸν δράκοντα τὸν μέγαν τὸν ἐγκαθήμενον ἐν μέσῳ ποταμῶν
αὐτοῦ, τὸν λέγοντα Ἐμοί εἰσιν οἱ ποταμοί, καὶ ἐγὼ ἐποίησα αὐτούς.
[4] καὶ ἐγὼ δώσω παγίδας εἰς τὰς σιαγόνας σου, καὶ προσκολλήσω τοὺς 4
ἰχθῦς τοῦ ποταμοῦ σου πρὸς τὰς πτέρυγάς σου, καὶ ἀνάξω σε
ἐκ μέσου τοῦ ποταμοῦ σου, [5] καὶ καταβαλῶ σε ἐν τάχει καὶ πάντας 5
τοὺς ἰχθύας τοῦ ποταμοῦ σου· ἐπὶ πρόσωπον τοῦ πεδίου πεσῇ, καὶ
οὐ μὴ συναχθῇς καὶ οὐ μὴ περισταλῇς, τοῖς θηρίοις τῆς γῆς καὶ τοῖς
πετεινοῖς τοῦ οὐρανοῦ δέδωκά σε εἰς κατάβρωμα· [6] καὶ γνώσονται 6
πάντες οἱ κατοικοῦντες Αἴγυπτον ὅτι ἐγώ εἰμι Κύριος, ἀνθ' ὧν
ἐγενήθης ῥάβδος καλαμίνη τῷ οἴκῳ Ἰσραήλ. [7] ὅτι ἐπελάβετό σου τῇ 7
χειρὶ αὐτῶν, ἐθλάσθης· καὶ ὅτε ἐκρότησεν ἐπ' αὐτοὺς πᾶσα χείρ, καὶ
ὅτε ἐπανεπαύσαντο ἐπὶ σέ, συνετρίβης, καὶ συνέκλασας αὐτῶν πᾶσαν
ὀσφύν. [8] διὰ τοῦτο τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ 8
ῥομφαίαν, καὶ ἀπολῶ ἀνθρώπους ἀπὸ σοῦ καὶ κτήνη, [9] καὶ ἔσται ἡ 9
γῆ Αἰγύπτου ἀπώλεια καὶ ἔρημος· καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος,
ἀντὶ τοῦ λέγειν σε Οἱ ποταμοὶ ἐμοί εἰσιν, καὶ ἐγὼ ἐποίησα αὐτούς.

AQ 26 ην] ης A | δεδωκα] εδωκα AQ | εν 1°] επ Q | φυτευσωσιν AQ* (-σουσιν Q^a) | πασι B^bQ | και ο θεος...αυτων sub ÷ Q? XXIX 1 pr tit Φαραω βασιλ. Αιγ. A?mg επι Φαραω ετει ι' μηνι ι' ημερα α' Q | δωδεκατω] δεκατω AQ | δεκατω] τω ενδεκατω A τω δεκ. Q 3 και 1°] + λαλησον και A pr (sub οι γ' ⁜) λαλησον Q | Κυριος] + ο θ̅ς̅ A pr κ̅ς̅ Q | Φαραω] pr σε AQ + βασιλευ Αιγυπτου A + (sub α'θ'σ' ⁜) βασιλευ (-λεα Q^mg) Αιγ. Q | τον δρακοντα] adnot το εβραικο̅| το κητος εχει ινα εμφανη τον κροκοδιλον (corr -δειλον) Q^mg 4 om εγω AQ?vid | παγιδας] pr τας A χαλινο̅| Q^mg | ιχθυας AQ* (ιχθυς Q^a vid) | του ποταμου σου (2°)] om σου A + και παντας τους ιχθυας του ποταμου σου A + και π. τ. ιχθ. τ. ποτ. σου (et sub σ' ⁜) ταις λεπισιν σου προσκολληθησονται (προσκ. sub ÷) Q 5 καταβαω A* (-βαλω A^1 fort) | και 2°] pr και σε Q | πεδιου] + σου Q | om και ου μη συναχθης Q* (hab Q^mg) | και 4°] ουδ A | της γης] του αγρου A | τοις πετεινοις] om τοις Q* (hab Q^mg) | καταβρωμα] βρωσιν A 7 οτι] οτε Q^vid | επελαβοντο A | εκροτησεν] επεκροτησεν B^ab Q^a επεκρατησεν AQ* 8 Κυριος] + ο θ̅ς̅ A pr κ̅ς̅ Q | ανθρωπους ...κτηνη] απο σου αν̅ο̅ν̅ και κτηνος A 9 η γη] pr πασα A | οι ποταμοι] pr οτι A

10 [10]διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐπὶ σὲ καὶ ἐπὶ πάντας τοὺς ποταμούς σου, καὶ B
δώσω γῆν Αἰγύπτου εἰς ἔρημον ῥομφαίαν καὶ ἀπωλίαν, ἀπὸ Μα-
11 γδώλου καὶ Συήνης καὶ ἕως ὁρίων Αἰθιόπων. [11]οὐ μὴ διέλθῃ ἐν αὐτῇ
ποὺς ἀνθρώπου, καὶ πούς κτήνους οὐ μὴ διέλθῃ αὐτήν, καὶ οὐ κατοι-
12 κηθήσεται τεσσεράκοντα ἔτη. [12]καὶ δώσω τὴν γῆν αὐτῆς ἀπώλειαν
ἐν μέσῳ γῆς ἠρημωμένης, καὶ αἱ πόλεις αὐτῆς ἐν μέσῳ πόλεων ἠρη-
μωμένων ἔσονται τεσσεράκοντα ἔτη. καὶ διασπερῶ Αἴγυπτον ἐν
13 τοῖς ἔθνεσιν, καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας. [13]τάδε λέγει Κύριος
Μετὰ τεσσεράκοντα ἔτη συνάξω Αἰγυπτίους ἀπὸ τῶν ἐθνῶν οὗ διε-
14 σκορπίσθησαν ἐκεῖ, [14]καὶ ἀποστρέψω τὴν αἰχμαλωσίαν τῶν Αἰγυπ-
τίων, καὶ κατοικίσω αὐτοὺς ἐν γῇ Φαθωρῆς, ἐν τῇ γῇ ὅθεν ἐλήμ-
15 φθησαν· καὶ ἔσται ἀρχὴ ταπεινὴ [15]παρὰ πάσας τὰς ἀρχάς, οὐ μὴ
ὑψωθῇ ἔτι ἐπὶ τὰ ἔθνη· καὶ ὀλιγοστοὺς αὐτοὺς ποιήσω τοῦ μὴ εἶναι
16 αὐτοὺς πλείονας ἐν τοῖς ἔθνεσιν. [16]καὶ οὐκ ἔσονται ἔτι τῷ οἴκῳ
Ἰσραὴλ εἰς ἐλπίδα ἀναμιμνήσκουσαν ἀνομίαν, ἐν τῷ αὐτοὺς ἀκολου-
17 θῆσαι ὀπίσω αὐτῶν· καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος. [17]Καὶ
ἐγένετο ἐν τῷ ἑβδόμῳ καὶ εἰκοστῷ ἔτει μιᾷ τοῦ μηνὸς τοῦ πρώτου
18 ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [18]Υἱὲ ἀνθρώπου, Ναβουχο-
δονοσὸρ βασιλεὺς Βαβυλῶνος κατεδουλώσατο αὐτοῦ τὴν δύναμιν
δουλείᾳ μεγάλῃ ἐπὶ Τύρου· πᾶσα κεφαλὴ φαλακρά, καὶ πᾶς ὦμος
μαδῶν· καὶ μισθὸς οὐκ ἐγενήθη αὐτῷ καὶ τῇ δυνάμει αὐτοῦ ἐπὶ
19 Τύρον, καὶ τῆς δουλείας ἧς ἐδούλευσαν ἐπ' αὐτήν. [19]τάδε λέγει κύριος
Κύριος Ἰδοὺ ἐγὼ δίδωμι τῷ Ναβουχοδονοσὸρ βασιλεῖ Βαβυλῶνος γῆν

10 *γην*] pr *την* A | om *ρομφαιαν* A | *απωλειαν* B^{ab}AQ | Μαγδωλου] AQ Μαγδουλου Q adnot *μεγαλυσμος* Q^{mg} | *Συηνης*] Σοηνης A adnot *κυκλος αυτης* Q^{mg} | *Αιθιοπων*] Αιθιοπιας A **11** *πους ανθρωπου...διελθη αυτην*] *ανος και κτηνος* A | *και ου*] *ουδε* A | *τεσσερακοντα ετη και* sup ras et in mgg A^{a} | *τεσσαρακοντα* B^{b}: item 13 **12** *απωλειαν*] pr *εις* A | *γης ηρημωμενης*] *της ερημου* A | *αυτης*] *αυτων* A | *εσονται*] + (sub *θ'σ'* ※) *αφανισμος* Q | *τεσσερακοντα ετη*] *αφανισμος εσται* A | *Αιγυπτον*] pr (sub ※) *την* Q | *εθνεσι* B^{b} | *λιμησω* Q^{*} (*λικμ.* Q^{a}) **13** *ταδε*] pr *οτι* A | *Κυριος*] pr *κ̅ς̅* AQ | *Αιγυπτιους*] pr *τους* A **14** *των Αιγυπτιων*] *Αιγυπτου* A | *κατοικιω* AQ (*-κειω* Q^{*} *-κιω* Q^{a}) | *Φαθώρης*] Παθουρης A adnot *ψωμου πατημα* Q^{mg} | *εληφθησαν* $B^{b}Q^{a}$ | *εσται*] + (sub ※) *εκει* Q **15** *αρχας*] + *α'θ'* ※ *εσται ταπεινη* Q | om *μη* 2° Q^{*} (hab Q^{mg}) **16** *ετι εσονται* A | *αναμιμνησκουσα* A | *ανομιαν*] *αμαρτιαν* A | *ακολουθησαι αυτους* Q | *οπισω*] + *των καρδιων* A | *Κυριος*] + *ο θ̅ς̅* A pr *αδωναι* Q **17** pr tit *τω Ναβουχοδονοσορ. ετει κζ' μηνι α' ημερα α'* $Q^{mg\,sup}$ **18** *την δυναμιν αυτου* AQ | *δουλεια*] *δολεια* A^{*} (*δουλ.* A^{1}) | *Τυρον* (*ν* sup ras) A^{a} | *φαλακρα*] *φαλακρωμα* A | *δουλειας*] *δουλιας* A | *εδουλευσαν επ αυτην*] *εδουλωσεν αυτην* A **19** *ταδε*] pr *δια τουτο* A et (sub ※) Q | *κυριος*] *αδωναι* A | om *εγω* AQ

B Αἰγύπτου, καὶ προνομεύσει τὴν προνομὴν αὐτῆς καὶ σκυλεύσει τὰ
σκῦλα αὐτῆς, καὶ ἔσται μισθὸς τῇ δυνάμει αὐτοῦ. 20 ἀντὶ τῆς λειτουρ- 20
γίας αὐτοῦ ἧς ἐδούλευσεν ἐπὶ Τύρον δέδωκα αὐτῷ γῆν Αἰγύπτου.
τάδε λέγει κύριος Κύριος 21 Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνατελεῖ κέρας παντὶ 21
τῷ οἴκῳ Ἰσραήλ, καὶ σοὶ δώσω στόμα ἀνεῳγμένον ἐν μέσῳ αὐτῶν,
καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος.

1 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων 2 Υἱὲ ἀνθρώπου, προ- 1 2 XXX
φήτευσον καὶ εἰπόν Τάδε λέγει Κύριος Ὦ ὢ ἡμέρα, 3 ὅτι ἐγγὺς ἡμέρα, 3
τοῦ κυρίου ἡμέρα, πέρας ἐθνῶν ἔσται. 4 καὶ ἥξει μάχαιρα ἐπ' Αἰγυ- 4
πτίους, καὶ ἔσται ταραχὴ ἐν γῇ Αἰθιοπίᾳ, καὶ συμπεσοῦνται τετραυμα-
τισμένοι ἐν Αἰγύπτῳ καὶ συμπεσεῖται αὐτῆς τὰ θεμέλια. 5 Πέρσαι 5
καὶ Κρῆτες καὶ Λυδοὶ καὶ Λίβυες καὶ πάντες οἱ ἐπίμικτοι καὶ τῶν υἱῶν
τῆς διαθήκης μου μαχαίρᾳ πεσοῦνται ἐν αὐτῇ. 6 καὶ πεσοῦνται τὰ 6
ἀντιστηρίγματα Αἰγύπτου, καὶ καταβήσεται ἡ ὕβρις τῆς ἰσχύος αὐτῆς
ἀπὸ Μαγδώλου ἕως Συήνης· μαχαίρᾳ πεσοῦνται ἐν αὐτῇ, λέγει Κύριος.
7 καὶ ἐρημωθήσεται ἐν μέσῳ χωρῶν ἠρημωμένων, καὶ αἱ πόλεις αὐτῶν 7
ἐν μέσῳ πόλεων ἠρημωμένων ἔσονται· 8 καὶ γνώσονται ὅτι ἐγώ εἰμι 8
Κύριος, ὅταν δῶ πῦρ ἐπ' Αἴγυπτον καὶ συντριβῶσι πάντες οἱ
βοηθοῦντες αὐτῇ. 9 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσονται ἄγγελοι σπεύ- 9
δοντες ἀφανίσαι τὴν Αἰθιοπίαν, καὶ ἔσται ταραχὴ ἐν αὐτοῖς ἐν τῇ
ἡμέρᾳ Αἰγύπτου, ὅτι ἰδοὺ ἥκει. 10 Τάδε λέγει κύριος Κύριος Καὶ 10
ἀπολῶ πλῆθος Αἰγυπτίων διὰ χειρὸς Ναβουχοδονοσὸρ βασιλέως
Βαβυλῶνος, 11 αὐτοῦ καὶ τοῦ λαοῦ αὐτοῦ· λοιμοὶ ἀπὸ ἐθνῶν ἀπεσταλ- 11

AQ 19 Αιγυπτου] + και λημψεται (ληψ. Q^{a}) το πληθος αυτης A et (sub ※) Q | και προνομευσει...σκυλα αυτης] και σκυλευσει τα σκυλα αυτης και προνομευσει την προνομη̄| αυτης Q 20 λειτουργιας (-γειας $B^{*}Q^{*}$ -γιας $B^{b}Q^{a}$)] δουλειας A | om αυτου A | Αιγυπτου] + οσα εποιησαν μοι A + (sub ※) οσα εποιησεν μοι Q | κυριος] αδωναι A 21 δωσω σοι A XXX 2 Κυριος] pr αδωναι Q | ημερα] pr η AQ 3 ημερα 1°] pr η AQ | του κυριου ημερα περας] του κ̅υ̅ ημερα νεφελης καιρος περας A και εγγυς η ημερα κ̅υ̅ (+ sub οι γ' ※ ημεραν νεφελης) και περας (καιρος Q^{mg}) και καιρος Q 4 μαχαιρα] pr η A | Αιγυπτιους] Αιγυπτο̄| A | γη Αιθ.] τη Αιθ. AQ | συμπεσουνται] πεσουνται AQ | Αιγυπτω] + και λημψονται (ληψ. Q^{a}) το πληθος αυτης A et (sub ※) Q | συνπεσειται B^{b} | τα θεμελια αυτης AQ 5 επιμικτοι] + εν αυτην A | των υιων] pr απο A | μαχαιρα...αυτη] εν αυτη μαχαιρα πεσουνται AQ 6 και 1°] pr (sub ※) ταδε λεγει αδωναι κ̅ς̅ Q | Σουηνης A | Κυριος] pr αδωναι Q 7 ηρημωμενων 1°] ηφανισμενων AQ | και αι πολεις...πολεων] adscr θ' ※ $Q^{?}$ 8 γνωσονται] + παντες A | συντριβωσι] συντριβησονται A 9 αγγελοι] + (sub θ' ※) εκ προσωπου μου εσσιμ Q (pro εσσιμ σ' εν επειξει $Q^{mg\,vid}$) | Αιθιοπιαν] + την ελπιδα Q | αυτοις] Αιγυπτω A 10 κυριος] αδωναι A | Ναβουχοδονοσορ] adnot εγκαθισμος ϛ γνωσις συνοχης Q^{mg} 11 αυτου 2°] + α'θ' ※ μετ αυτου Q^{mg}

μένοι ἀπολέσαι γῆν· καὶ ἐκκενώσουσιν πάντες τὰς μαχαίρας αὐτῶν B
12 *ἐπ' Αἴγυπτον, καὶ πλησθήσεται ἡ γῆ τραυματιῶν.* [12]*καὶ δώσω τοὺς*
ποταμοὺς αὐτῶν ἐρήμους καὶ ἀπολῶ τὴν γῆν καὶ τὸ πλήρωμα αὐτῆς
13 *ἐν χερσὶν ἀλλοτρίων, ἐγὼ Κύριος λελάληκα.* [13]*Ὅτι τάδε λέγει*
κύριος Κύριος Καὶ ἀπολῶ μεγιστᾶνας ἀπὸ Μέμφεως καὶ ἄρχοντας
14 *Μέμφεως ἐκ γῆς Αἰγύπτου, καὶ οὐκ ἔσονται ἔτι.* [14]*καὶ ἀπολῶ γῆν*
Φαθωρῆς, καὶ δώσω πῦρ ἐπὶ Τάνιν, καὶ ποιήσω ἐκδίκησιν ἐν Διοσ-
15 *πόλει.* [15]*καὶ ἐκχεῶ τὸν θυμόν μου ἐπὶ Σάιν τὴν ἰσχὺν Αἰγύπτου, καὶ*
16 *ἀπολῶ τὸ πλῆθος Μέμφεως.* [16]*καὶ δώσω πῦρ ἐπ' Αἴγυπτον, καὶ*
ταραχὴν ταραχθήσεται Συήνη, καὶ ἐν Διοσπόλει ἔσται ἔκρημα καὶ
17 *διαχυθήσεται ὕδατα.* [17]*νεανίσκοι Ἡλίου πόλεως καὶ Βουβάστου ἐν*
18 *μαχαίρᾳ πεσοῦνται, καὶ αἱ γυναῖκες ἐν αἰχμαλωσίᾳ πορεύσονται.* [18]*καὶ*
ἐν Τάφναις συσκοτάσει ἡ ἡμέρα, ἐν τῷ συντρίψαι με ἐκεῖ τὰ σκῆπτρα
Αἰγύπτου, καὶ ἀπολεῖται ἐκεῖ ἡ ὕβρις §*ἰσχύος αὐτῆς, καὶ ταύτην νεφέλη* § Γ
19 *καλύψει, καὶ αἱ θυγατέρες αὐτῆς αἰχμάλωτοι ἀχθήσονται.* [19]*καὶ ποιήσω*
20 *κρίμα ἐν Αἰγύπτῳ, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος.* [20]*Καὶ*
ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει ἐν τῷ πρώτῳ μηνὶ ἑβδόμῃ τοῦ μηνὸς
21 *ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων* [21]*Υἱὲ ἀνθρώπου, τοὺς βραχίονας*
Φαραὼ βασιλέως Αἰγύπτου συνέτριψα, καὶ ἰδοὺ οὐ κατεδεήθη τοῦ
δοθῆναι ἴασιν, τοῦ δοθῆναι ἐπ' αὐτὸν μάλαγμα, τοῦ δοθῆναι ἰσχὺν
22 *ἐπιλαβέσθαι μαχαίρας.* [22]*διὰ τοῦτο τάδε λέγει κύριος Κύριος Ἰδοὺ*
ἐγὼ ἐπὶ Φαραὼ βασιλέα Αἰγύπτου, καὶ συντρίψω τοὺς βραχίονας
αὐτοῦ τοὺς ἰσχυροὺς καὶ τοὺς τεταμένους, καὶ καταβαλῶ τὴν μάχαιραν

11 *απολεσαι γην*] *αφανισαι αυτην* A | *εκκενωσουσι* Q | *παντες*] pr τ Q? | *η γη τραυματιων* (*τραυματων* Q* -*τιων* Qa)] *τραυματιων η γη* A **12** *ερημους*] + *και αποδωσομαι την γην εν χειρι πονηρων* A et (sub α' θ' ※) Q | *την γην* (*την* om B* superscr Bab)] + *αυτων* A | *και το πληρωμα*] *συν τω πληρωματι* A | *λελαληκα*] *ελαλησα* A **13** *κυριος*] *αδωναι* A | *απολω*] + *βδελυγματα και καταπαυσω* A et (sub θ' ※) Q | *Μεμφεως* 2°] *Τανεως* A om Q | *ετι*] *ουκετι* A + *και δωσω φοβον εν γη Αιγυπτω* A + (sub θ' ※) *και δ. φ. εν τη γη Αιγυπτου* Q **14** *απολω*] *αφανιω* A | *Φαθωρης*] *Παθουρης* A *Φαθουρης* Q **15** *Σαιν*] *Τανιν* A adnot *πειρασμος* Qmg | *το πληθος*] om *το* A **16** *ταραχην ταραχθησεται*] *απολειται* A *ταραχη ταραχθ.* Q | *Συηνη*] *Σαις* Q | *εκρημα*] *εκρηγμα* A[1]Q | *υδατα* (*υδα* B* -*τα* Bab)] + ϛ *εν Μεμφι πολεμιοι αυθημερινοι* Qmg **17** *Ηλιου πολεως*] adnot *πονος* Qmg | *Βουβαστου*] adnot *στομα εμπειρα* (sic) Q | om *εν* 1° A | *αι γυναικες*] om *αι* Q* (hab Qa) *Αιγυπτος* Qmg vid | *γυναικες...πορευσονται*] *πολεις αιχμαλωτισθησονται* A **18** *Ταφνας* AQ adnot *εξισταμενον οφει* Qmg | *τα σκηπτρα* (*σκηπρα* A)] om *τα* Q | *ισχυος*] pr *της* AQΓ | *ταυτην*] *αυτην* AΓ **20** pr tit *επι Φαραω. ετει ια' μηνι α' ημερα ζ'* Qmg sup **21** *κατεδεηθη* (*κατεδεθη* QΓvid)] + *μου* A | *επ αυτον*] *του δοθηναι* A | *δοθηναι* 2°] *δεθηναι* Γ **22** *τους τεταμενους*] *τους τεταγμενους* Q om *τους* Γ + *και τους συντριβομενους* AΓ et (sub ※) Q AQΓ

B αὐτοῦ ἐκ τῆς χειρὸς αὐτοῦ· [23]καὶ διασπερῶ Αἴγυπτον εἰς τὰ ἔθνη καὶ 23
λικμήσω αὐτοὺς εἰς τὰς χώρας, [24]καὶ κατισχύσω τοὺς βραχίονας 24
βασιλέως Βαβυλῶνος καὶ δώσω τὴν ῥομφαίαν μου εἰς τὴν χεῖρα αὐτοῦ,
καὶ ἐπάξει αὐτὴν ἐπ' Αἴγυπτον καὶ προνομεύσει τὴν προνομὴν αὐτῆς
καὶ σκυλεύσει τὰ σκῦλα αὐτῆς. [25]καὶ ἐνισχύσω τοὺς βραχίονας 25
βασιλέως Βαβυλῶνος, οἱ βραχίονες Φαραὼ πεσοῦνται· καὶ γνώσονται
ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ δοῦναι τὴν ῥομφαίαν μου εἰς χεῖρας βασι-
λέως Βαβυλῶνος, καὶ ἐκτενεῖ αὐτὴν ἐπὶ γῆν Αἰγύπτου. [26]καὶ δια- 26
σπερῶ Αἴγυπτον εἰς τὰ ἔθνη, καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας· καὶ
γνώσονται πάντες ὅτι ἐγώ εἰμι Κύριος.

[1]Καὶ ἐγένετο ἐν τῷ ἐνδεκάτῳ ἔτει ἐν τῷ τρίτῳ μηνὶ μιᾷ τοῦ μηνὸς 1 XXXI
ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Υἱὲ ἀνθρώπου, εἰπὸν πρὸς 2
Φαραὼ βασιλέα Αἰγύπτου καὶ τῷ πλήθει αὐτοῦ Τίνι ὡμοίωσας σεαυτὸν
ἐν τῷ ὕψει σου; [3]ἰδοὺ Ἀσσοὺρ κυπάρισσος ἐν τῷ Λιβάνῳ καὶ καλὸς 3
ταῖς παραφυάσιν καὶ ὑψηλὸς τῷ μεγέθει, εἰς μέσον νεφελῶν ἐγένετο ἡ
ἀρχὴ αὐτοῦ· [4]ὕδωρ ἐξέθρεψεν αὐτόν, ἡ ἄβυσσος ὕψωσεν αὐτόν, τοὺς 4
ποταμοὺς αὐτῆς ἤγαγεν κύκλῳ τῶν φυτῶν αὐτοῦ, καὶ τὰ συστέματα
¶ Γ αὐτῆς ἐξαπέστειλεν¶ εἰς πάντα τὰ ξύλα τοῦ πεδίου. [5]ἕνεκεν τούτου 5
ὑψώθη τὸ μέγεθος αὐτοῦ παρὰ πάντα τὰ ξύλα τοῦ πεδίου, καὶ ἐπλα-
τύνθησαν οἱ κλάδοι αὐτοῦ ἀφ' ὕδατος πολλοῦ. [6]ἐν ταῖς παραφυάσιν 6
αὐτοῦ ἐνόσσευσαν πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὑποκάτω τῶν
κλάδων αὐτοῦ ἐγεννῶσαν πάντα τὰ θηρία τοῦ πεδίου, ἐν τῇ σκιᾷ
αὐτοῦ κατῴκησε πᾶν πλῆθος ἐθνῶν. [7]καὶ ἐγένετο καλὸς ἐν τῷ 7
ὕψει αὐτοῦ διὰ τὸ πλῆθος τῶν κλάδων αὐτοῦ, ὅτι ἐγενήθησαν αἱ ῥίζαι
αὐτοῦ εἰς ὕδωρ πολύ. [8]καὶ κυπάρισσοι τοιαῦται ἐν τῷ παραδείσῳ 8
τοῦ θεοῦ, καὶ αἱ πίτυες οὐχ ὅμοιαι ταῖς παραφυάσιν αὐτοῦ, καὶ ἐλάται

AQΓ 23 Αιγυπτον] pr την (sub ※) Q 24 om και 1° A | δωσω] θησω A | την χειρα] τας χειρας A 25 οι βραχιονες] οι δε βραχ. $B^{ab}AQΓ^{vid}$ | δουναι] + με A 26 Αιγυπτον] pr (sub ※) την Q | γνωσονται] επιγνωσονται A | παντες] + οι Αιγυπτιοι A XXXI 1 pr tit ετει ια' μηνι γ' ημερα α' $Q^{mg\,sup}$ | ενδεκατω] δεκατω Q^* (superscr εν Q^b) | om εν τω τριτω μηνι $Γ^{vid}$ | του μηνος] + [του τριτ]ου $Γ^{vid}$ 2 βασιλεαιγ. B^* (βασιλεα Αιγ. B^{ab}) 3 παραφυασιν (παρα φυσιν Q^*)] + και πυκνος εν τη σκεπη A et (sub θ' ※) Q | εις] pr και AQ | νεφελων] pr των A α'θ' δασεω̄| Q^{mg} 4 συστεματα $B^{*b}AQ^*$] συστηματα $B^{ab}Q^a$ συστ. de Γ non liq | αυτης 2°] + ηγαγεν κυκλω των φυτω̄| αυτου και A 5 αυτου 2°] + και υψωθησαν αι παραφυαδες αυτου A et (sub θ' ※) Q | αφ] εφ A | πολλου] + εν τω εκτειναι (κτειναι Q^*) αυτον Q 6 υποκατων B^* (-τω B^{ab}) | εγεννωσαν] ωσαν sup ras A^a | εν τη σκια] υπο την σκιαν A | κατωκησεν Q 7 εγενηθησαν] εγεννησαν A 8 om και 1° A | τοιαυται] + ουκ εγενηθησαν A | αι πιτυες] om αι AQ | παραφυασιν] παρα φυσιν Q^* (παραφυασιν Q^a)

οὐκ ἐγένοντο ὅμοιαι τοῖς κλάδοις αὐτοῦ· πᾶν ξύλον ἐν τῷ παραδείσῳ B
9 τοῦ θεοῦ οὐχ ὁμοιώθη αὐτῷ ἐν τῷ κάλλει αὐτοῦ [9]διὰ τὸ πλῆθος τῶν
κλάδων αὐτοῦ, καὶ ἐζήλωσεν αὐτὸν τὰ ξύλα τοῦ παραδείσου τῆς
10 τρυφῆς τοῦ θεοῦ. [10]Διὰ τοῦτο τάδε λέγει Κύριος Ἀνθ᾽ ὧν
ἐγένου μέγας τῷ μεγέθει καὶ ἔδωκας τὴν ἀρχήν σου εἰς μέσον
11 νεφελῶν, καὶ εἶδον ἐν τῷ ὑψωθῆναι αὐτόν· [11]καὶ παρέδωκα αὐτὸν εἰς
12 χεῖρας ἄρχοντος ἐθνῶν, καὶ ἐποίησεν τὴν ἀπώλειαν αὐτοῦ, [12]καὶ
ἐξωλέθρευσαν αὐτὸν ἀλλότριοι λοιμοὶ ἀπὸ ἐθνῶν καὶ κατέβαλον αὐτὸν
ἐπὶ τῶν ὀρέων· ἐν πάσαις ταῖς φάραγξιν ἔπεσαν οἱ κλάδοι αὐτοῦ, καὶ
συνετρίβη τὰ στελέχη αὐτοῦ ἐν παντὶ πεδίῳ τῆς γῆς, καὶ κατέβησαν
ἀπὸ τῆς σκέπης αὐτῶν πάντες οἱ λαοὶ τῶν ἐθνῶν καὶ ἠδάφισαν αὐτόν.
13 [13]ἐπὶ τὴν πτῶσιν αὐτοῦ ἀνεπαύσαντο πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ,
καὶ ἐπὶ τὰ στελέχη αὐτοῦ ἐγίνοντο πάντα τὰ θηρία τοῦ ἀγροῦ,
14 [14]ὅπως μὴ ὑψωθῶσιν ἐν τῷ μεγέθει αὐτῶν καὶ πάντα τὰ ξύλα τὰ
ἐν τῷ ὕδατι· καὶ ἔδωκαν τὴν ἀρχὴν αὐτῶν εἰς μέσον νεφελῶν, καὶ
οὐκ ἔστησαν ἐν τῷ ὕψει αὐτῶν πρὸς αὐτά· πάντες οἱ πίνοντες ὕδωρ,
πάντες ἐδόθησαν εἰς θάνατον, εἰς γῆς βάθος, ἐν μέσῳ υἱῶν ἀνθρώ-
15 πων, πρὸς καταβαίνοντας εἰς βόθρον. [15]Τάδε λέγει κύριος
Κύριος Ἐν ᾗ ἡμέρᾳ κατέβη εἰς ᾅδου, ἐπένθησεν αὐτὸν ἡ ἄβυσσος, καὶ
ἐπέστησα τοὺς ποταμοὺς αὐτῆς καὶ ἐκώλυσα πλῆθος ὕδατος, καὶ
ἐσκότασεν ἐπ᾽ αὐτὸν ὁ Λίβανος, πάντα τὰ ξύλα τοῦ πεδίου ἐπ᾽ αὐτῷ
16 ἐξελύθησαν. [16]ἀπὸ τῆς φωνῆς τῆς πτώσεως αὐτοῦ ἐσείσθησαν τὰ
ἔθνη, ὅτε κατεβίβαζον αὐτὸν εἰς ᾅδου μετὰ τῶν καταβαινόντων εἰς
λάκκον, καὶ παρεκάλουν αὐτὸν ἐν γῇ πάντα τὰ ξύλα τῆς τρυφῆς καὶ
17 τὰ ἐκλεκτὰ τοῦ Λιβάνου, πάντα τὰ πίνοντα ὕδωρ. [17]καὶ γὰρ αὐτοὶ

8 εγενοντο] εγενετο Q* (-νοντο Qᵃ) | ομοιαι 2°] ομοιοι A | ομοιωθη] ωμοιωθη AQ Q 9 εξηλωσαν A | τα ξυλα] pr παντα Q | της τρυφης του παραδεισου Q 10 Κυριος] pr αδωναι A pr κ̅ς̅ Q | νεφελων] pr των AQ | ιδον Q 11 αυτου]+(sub θ' ※) εξεβαλον αυτον Q 12 εξωλοθρευσαν Bᵇ | om και 2° Q | επεσον AQ | αυτων] αυτου Q | εδαφισαν A 13 εγινοντο] εγενοντο A | θηρια του sup ras Aᵃ 14 om και 1° BᵃᵇAQ | εδωκαν] pr ουκ AQ | την αρχην αυτων] α' το ακρον αυτω̅| θ' τον καυλον αυτω̅| σ' τας καρδιας αυτω̅| Qᵐᵍ | αυτα] αυτον AQᵃ| παντες 2°] pr αλλα A | γης βαθος] γην βαθους A 15 κυριος] αδωναι A | η ημερα] ημερα Q* ημ. μια Qᵐᵍ | επενθησεν...Λιβανος] επεστησα επ αυτον την αβυσσον και εκωλυσα τους ποταμους (εστησα... τους πο sup ras Aᵃ) αυτης και εκωλυσεν πληθος υδατος και (και Aᵃ⁽ᵐᵍ⁾) επενθησεν αυτον ο Λιβανος και εξεστησαν επ αυτω A | επενθησεν]+αυτον η αβυσσος εκαλεσεν και επεστησε τους ποταμους αυτης ϗ εκυκλωσεν Qᵐᵍ | αυτον η αβυσσος και επεστησα] επεστησα επ αυτον την αβυσσον και εκωλυσα Q | εκωλυσα] εκυκλωσα Bᵃᵇ ᵐᵍ | επ αυτω sup ras pl litt Aᵃ 16 απο της φωνης ...εθνη] και εσεισθησαν εθνη απο της φωνης της πτωσεως αυτου A | γη]+κατω AQ | εκλεκτα]+(sub ※) και τα καλλιστα Q

B κατέβησαν μετ᾽ αὐτοῦ εἰς ᾄδου ἐν τοῖς τραυματίαις ἀπὸ μαχαίρας, καὶ
τὸ σπέρμα αὐτοῦ, οἱ κατοικοῦντες ὑπὸ τὴν σκέπην αὐτοῦ, ἐν μέσῳ
τῆς ζωῆς αὐτῶν ἀπώλοντο. [18]Τίνι ὡμοιώθης; κατάβηθι καὶ 18
καταβιβάσθητι μετὰ τῶν ξύλων τῆς τρυφῆς εἰς γῆς βάθος· ἐν μέσῳ
ἀπεριτμήτων κοιμηθήσῃ μετὰ τραυματιῶν μαχαίρας. οὕτως Φαραὼ
καὶ τὸ πλῆθος τῆς ἰσχύος αὐτοῦ, λέγει κύριος Κύριος.

[1]Καὶ ἐγένετο ἐν τῷ δωδεκάτῳ ἔτει ἐν τῷ δεκάτῳ μηνὶ μιᾷ τοῦ 1 XXXII
μηνὸς ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Υἱὲ ἀνθρώπου, λάβε 2
θρῆνον ἐπὶ Φαραὼ βασιλέα Αἰγύπτου καὶ ἐρεῖς αὐτῷ Λέοντι ἐθνῶν
ὡμοιώθης σὺ καὶ ὡς δράκων ὁ ἐν τῇ θαλάσσῃ, καὶ ἐκεράτιζες τοῖς
ποταμοῖς σου, καὶ ἐτάρασσες ὕδωρ τοῖς ποσίν σου καὶ κατεπάτεις
τοὺς ποταμούς σου. [3]τάδε λέγει Κύριος Καὶ περιβαλῶ ἐπὶ σὲ δίκτυα 3
λαῶν πολλῶν, καὶ ἀνάξω σε ἐν τῷ ἀγκίστρῳ μου, [4]καὶ ἐκτενῶ σε ἐπὶ 4
τὴν γῆν· πεδία πλησθήσεταί σου, καὶ ἐπικαθιῶ ἐπὶ σὲ πάντα τὰ
πετεινά, καὶ ἐνπλήσω πάντα τὰ θηρία πάσης τῆς γῆς· [5]καὶ δώσω τὰς 5
σάρκας σου ἐπὶ τὰ ὄρη, καὶ ἐνπλήσω ἀπὸ τοῦ αἵματός σου· [6]καὶ 6
ποτισθήσεται ἡ γῆ ἀπὸ τῶν προχωρημάτων σου, ἀπὸ τοῦ πλήθους
σου ἐπὶ τῶν ὀρέων· φάραγγας ἐνπλήσω ἀπὸ σοῦ. [7]καὶ κατακαλύψω 7
ἐν τῷ σβεσθῆναί σε οὐρανὸν καὶ συσκοτάσω τὰ ἄστρα αὐτοῦ, ἥλιον ἐν
νεφέλῃ καλύψω, καὶ σελήνη οὐ μὴ φάνῃ τὸ φῶς αὐτῆς. [8]πάντα τὰ 8
φαίνοντα φῶς ἐν τῷ οὐρανῷ συσκοτάσουσιν ἐπὶ σέ, καὶ δώσω σκότος
ἐπὶ τὴν γῆν, λέγει κύριος Κύριος. [9]καὶ παροργιῶ καρδίαν λαῶν 9
πολλῶν, ἡνίκα ἂν ἄγω αἰχμαλωσίαν σου εἰς τὰ ἔθνη, εἰς γῆν ἣν
οὐκ ἔγνως. [10]καὶ στυγνάσουσιν ἐπὶ σὲ ἔθνη πολλά, καὶ οἱ βασιλεῖς 10

AQ 17 εν τοις τραυματιαις] μετα τραυματιων A | om απο A | οι κατοικουντες] pr παντες A | της ζωης αυτων] ζωης αυτου Q 18 ωμοιωθης (ομ. A)] + (sub ※) ω ισχυι εν δοξη εν μεγαλοτητι (corr μεγαλειοτητι) ω ξυλοις τρυφης και Q | γης βαθος] γην βαθους A | το πληθος] pr παν AQ XXXII 1 pr tit θρηνος επι Φαραω. ετει ιβ΄. μηνι ι΄ ημερα α΄ Q$^{\text{mg sup}}$ | δωδεκατω] ενδεκατω A* | δεκατω] δωδεκατω A$^{\text{* vid}}$ (ras δω A?) 2 δρακων] pr ο A | ο εν] om ο Q | τοις ποταμοις] τους ποταμους A | υδωρ] pr το A | ποσι B$^{\text{b}}$ 3 Κυριος] pr αδωναι A pr κ̅ς̅ Q | δικτυα] δικτυον A + μου και εν εκκλησια A + (sub α΄θ΄ ※) μου εν εκκλησια Q | μου] μ sup ras A$^{\text{a}}$ 4 πετεινα] + του ουρανου AQ | ενπλησω (εμπλ. B$^{\text{b}}$AQ: item 5, 6)] + εκ σου AQ | πασης sub ※ Q? 5 ενπλησω] + (sub οι γ΄ ※) τας φαραγγας Q | σου 2°] + πασαν γην A + (sub οι γ΄ ※) τας φαραγγας Q 6 προχωρηματων σου] adnot σαφεστερον ο εβραιος απο των ιχωρων σου εχει Q$^{\text{? mg}}$ | προχωρηματων] χωρηματων A | απο 2°] pr και A 7 τα αστρα αυτου] τους αστερας του ουνο̅υ̅ A | σεληνη] pr η A | μη φανη] δωσει A | φως] φαος A 8 παντα] pr και A | γην] + σου B$^{\text{ab}}$AQ | Κυριος] + ο θ̅ς̅ A 9 αν] εαν B$^{\text{ab}}$ | αγω] om A$^{\text{* vid}}$ αγαγω A$^{\text{rec}}$ (sup ras) Q (rescr αιχμα A$^{\text{rec(mg?)}}$) | γην] pr την A 10 σε] σοι Q | om πολλα A

αὐτῶν ἐκστάσει ἐκστήσονται, ἐν τῷ πέτασθαι τὴν ῥομφαίαν μου ἐπὶ B
πρόσωπα αὐτῶν, προσδεχόμενοι τὴν πτῶσιν αὐτῶν ἀφ' ἡμέρας
11 πτώσεώς σου. [11]ὅτι τάδε λέγει Κύριος Ῥομφαία βασιλέως Βαβυ-
12 λῶνος ἥξει σοι [12]ἐν μαχαίραις γιγάντων, καὶ καταβαλῶ τὴν ἰσχύν
σου· λοιμοὶ ἀπὸ ἐθνῶν πάντες, καὶ ἀπολοῦσι τὴν ὕβριν Αἰγύπτου,
13 καὶ συντριβήσεται πᾶσα ἡ ἰσχὺς αὐτῆς. [13]καὶ ἀπολῶ πάντα κτήνη
αὐτῆς ἀφ' ὕδατος πολλοῦ, καὶ οὐ μὴ ταράξῃ αὐτὸ ποὺς ἀνθρώπου ἔτι,
14 καὶ ἴχνος κτηνῶν οὐ μὴ καταπατήσῃ αὐτό. [14]οὕτως τότε ἡσυχάσει τὰ
ὕδατα αὐτῶν, καὶ οἱ ποταμοὶ αὐτῶν ὡς ἔλαιον πορεύσονται, λέγει
15 Κύριος. [15]ὅταν δῶ Αἴγυπτον εἰς ἀπώλειαν καὶ ἐρημωθῇ ἡ γῆ σὺν τῇ
πληρώσει αὐτῆς, ὅταν διασπείρω πάντας τοὺς κατοικοῦντας ἐν αὐτῇ,
16 καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος. [16]θρῆνός ἐστιν καὶ θρηνήσεις
αὐτόν, καὶ αἱ θυγατέρες τῶν ἐθνῶν θρηνήσουσιν αὐτόν· ἐπ' Αἴγυπτον
καὶ ἐπὶ πᾶσαν τὴν ἰσχὺν αὐτῆς θρηνήσουσιν αὐτήν, λέγει κύριος
17 Κύριος. [17]Καὶ ἐγενήθη ἐν τῷ δωδεκάτῳ ἔτει τοῦ πρώτου μηνὸς
πεντεκαιδεκάτῃ τοῦ μηνὸς ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων
18 [18]Υἱὲ ἀνθρώπου, θρήνησον ἐπὶ τὴν ἰσχὺν Αἰγύπτου, καὶ καταβιβά-
σουσιν αὐτῆς τὰς θυγατέρας τὰ ἔθνη νεκρὰς εἰς τὸ βάθος τῆς γῆς, πρὸς
20 τοὺς καταβαίνοντας εἰς βόθρον· [20]ἐν μέσῳ μαχαίρας τραυματιῶν
21 πεσοῦνται μετ' αὐτοῦ, καὶ κοιμηθήσεται πᾶσα ἡ ἰσχὺς αὐτοῦ. [21]καὶ
ἐροῦσίν σοι οἱ γίγαντες Ἐν βάθει θορύβου γίνου, τίνος κρείττων εἶ;
καὶ κατάβηθι καὶ κοιμήθητι μετὰ ἀπεριτμήτων ἐν μέσῳ τραυματιῶν

10 πετασθαι] πετασθηναι A | την ρομφαιαν] om την A | προσωπον A | αφ] AQ απο A 11 Κυριος] + $\overline{κς}$ B^{ab}Q pr αδωναι A | ρομφαιαν B^{*} (-φαια B^{ab}) 12 λοιμοι] μ sup ras A^{a} | απολουσιν A 13 κτηνη] pr τα AQ | πους ανθρωπου ετι] ετι πους $\overline{ανου}$ A om ετι Q | κτηνων] κτηνους A 14 ουτως] pr ÷ $Q^{?}$ | Κυριος] pr αδωναι AQ 15 τη πλ.] incep τω A^{*} (ras ω $A^{?}$) 16 θρηνησεις] θρηνησουσιν A θρηνησει Q | αι θυγατερες] om αι Q | αυτην] $αυτ\overline{ο}$| Q 17 pr tit ετει ιβ' μηνι ιβ' ημερα ιε' $Q^{mg\ sup}$ | και εγενηθη...μηνος 2°] adnot εν τη των ο' εκδοσει ουτω φερεται ϗ εγενετο εν τω ιβ' ετει εν τω α' μηνι πεντεκαιδεκατη του μηνος το δε εν τω α' μηνι ωβελισθεν περιειλεν Ωριγενης ταυτα δε κατα λεξιν ειπεν $\overline{ε}$| τω ιθ' τομω των εις τον Ιεζεκιηλ $εξηγητικ\overline{ω}$| Εοικεν η προφητεια αυτη εξης τη προ αυτης τεταγμενη ϗ αυτη τω ιβ' λελεχθαι ετει ομοιως μεν εκεινη κατα το εν τω ιβ' μηνι προπεφητευσθαι ουκετι δε ομοιως κατα την ημεραν η μεν γαρ μια του μηνος λελεκτο αυτη δε ιε' του μηνος διοπερ το του α' μηνος ωβελισθεν ετολμησαμεν περιελειν ως παντη αλογως προσκειμενον Q^{mg} | εγενηθη] εγενετο A | του πρωτου μηνος] εν τω πρωτω μηνι AQ^{mg} om Q^{*} 18 ισχυν] γην A | νεκρα Q^{*} (νεκρας Q^{a}) 20 εν μεσω] pr (19) εξ υδατων ευπρεπους καταβηθι και κοιμηθητι μετα απεριτμητων A pr (sub ※) εξ υδατος ευπρεπους καταβηθι και κοιμηθηση μ. απεριτμ. Q | μαχαιρας τραυματιων] τραυματιων μαχαιρα AQ 21 θορυβου] βοθρου A θοβρου Q | om και 2° AQ | κοιμηθητι] θ sup ras $B^{?vid}$

B μαχαίρας. [22]ἐκεῖ Ἀσσοὺρ καὶ πᾶσα ἡ συναγωγὴ αὐτοῦ, πάντες τραυ- 22
ματίαι ἐκεῖ ἐδόθησαν, καὶ ἡ ταφὴ αὐτῶν ἐν βάθει βόθρου, καὶ ἐγενήθη
ἡ συναγωγὴ αὐτοῦ περικύκλῳ τοῦ μνήματος αὐτοῦ, πάντες οἱ τραυ-
ματίαι οἱ πεπτωκότες μαχαίρᾳ, [23]οἱ δόντες τὸν φόβον αὐτῶν ἐπὶ γῆς 23
ζωῆς. [24]ἐκεῖ Αιλὰμ καὶ πᾶσα ἡ δύναμις αὐτοῦ περικύκλῳ τοῦ μνήμα- 24
τος αὐτοῦ, πάντες οἱ τραυματίαι οἱ πεπτωκότες μαχαίρᾳ καὶ οἱ κατα-
βαίνοντες ἀπερίτμητοι εἰς γῆς βάθος, οἱ δεδωκότες αὐτῶν φόβον ἐπὶ
τῆς ζωῆς· καὶ ἐλάβοσαν τὴν βάσανον αὐτῶν μετὰ τῶν καταβαινόντων
εἰς βόθρον [25]ἐν μέσῳ τραυματιῶν. [26]ἐκεῖ ἐδόθησαν Μόσοχ καὶ Θοβὲλ 25 26
καὶ πᾶσα ἡ ἰσχὺς αὐτῶν περικύκλῳ τοῦ μνήματος αὐτοῦ, πάντες
τραυματίαι αὐτοῦ, πάντες ἀπερίτμητοι τραυματίαι ἀπὸ μαχαίρας, οἱ
δεδωκότες τὸν φόβον αὐτῶν ἐπὶ τῆς ζωῆς· [27]καὶ ἐκοιμήθησαν μετὰ 27
τῶν γιγάντων τῶν πεπτωκότων ἀπὸ αἰῶνος, οἳ κατέβησαν εἰς ᾅδου ἐν
ὅπλοις πολεμικοῖς καὶ ἔθηκαν τὰς μαχαίρας αὐτῶν ὑπὸ τὰς κεφαλὰς
αὐτῶν· καὶ ἐγενήθησαν αἱ ἀνομίαι αὐτῶν ἐπὶ τῶν ὀστῶν αὐτῶν, ὅτι
ἐξεφόβησαν πάντας ἐν τῇ ζωῇ αὐτῶν. [28]καὶ σὺ ἐν μέσῳ ἀπεριτμή- 28
των κοιμηθήσῃ μετὰ τετραυματισμένων μαχαίρᾳ. [29]ἐκεῖ ἐδόθησαν 29
οἱ ἄρχοντες Ἀσσοὺρ οἱ δόντες τὴν ἰσχὺν αὐτοῦ εἰς τραῦμα μαχαίρας·
οὗτοι μετὰ τραυματιῶν ἐκοιμήθησαν, μετὰ καταβαινόντων εἰς βόθρον.
[30]ἐκεῖ οἱ ἄρχοντες τοῦ βορρᾶ πάντες στρατηγοὶ Ἀσσούρ, οἱ κατα- 30
βαίνοντες τραυματίαι, σὺν τῷ φόβῳ αὐτῶν καὶ τῇ ἰσχύι αὐτῶν
ἐκοιμήθησαν ἀπερίτμητοι μετὰ τραυματιῶν μαχαίρας, καὶ ἀπήνεγκαν
τὴν βάσανον αὐτῶν μετὰ τῶν καταβαινόντων εἰς βόθρον. [31]ἐκείνους 31

AQ **22** παντες τραυματιαι...συναγωγη αυτου 2° sub ÷ Q^{1} | om και 2° A | αυτου 2°] αυτων A | οι τραυματιαι] om οι A **23** οι δοντες] pr οι εδωκαν τας ταφας αυτης εν μηροις λακκου (adnot ο εβραιος εν μηκει λακκου εχει Q^{1mg}) και εγενηθη εκκλησια υπερκυκλω (περικυκλω Q) της ταφης αυτου παντες αυτοι τραυματιαι πιπτοντες μαχαιρα A et (sub θ′ ※) Q | γης ζ.] της ζ. A **24** Αιλαμ] Ελαμ Q (adnot εκστασις Q^{mg}) | μαχαιραις A | γης βαθος] γην βαθους A | αυτων φοβον] τον φ. αυτων A φ. αυτων Q | της ζωης] γης ζ. AQ **26** Μοσοχ κ. Θοβελ] adnot Μ. συμπασα Θ. η επιτροφη Q^{mg} | om τραυματιαι αυτου παντες Q^{a} | om τραυματιαι απο A | της ζ.] γης ζ. Q **27** εκοιμηθησαν] pr (sub ※) ουκ Q^{*} (om Q^{a}) | των πεπτωκοτων] πεπτωκοτες A | απο] απ AQ | πολεμικοις] + αυτων A et (sub θ′ ※) Q | και 2°] οι A | παντας] γιγαντας A^{*}Q **28** κοιμηθηση] pr συντριβηση και A et (sub ※) Q **29** εδοθησαν οι αρχοντες Ασσουρ] Εδωμ και οι βασιλεις αυτης και παντες οι αρχ. Ασσυριοι A Εδωμ (pr ut vid εδοθησᾱ Q^{mg}) θ′ ※ και οι βασιλ. αυτης κ. παντες οι αρχοντες αυτης (Ασσουρ Q^{mg}) Q | αυτου] αυτης A αυτων Q | ουτοι... εκοιμηθησαν] αυτοι εκοιμηθησαν μετα τραυματιων μαχαιρας· εκοιμηθησαν A **30** οι αρχοντες] pr παντες A om οι Q | βορρα] + παντες αυτοι A | παντες] + ουτοι παντες (π. 2° sub θ′ ※) Q | εκοιμηθησαν] pr και A pr (sub α′θ′ ※) αισχυνομενοι Q | τραυματιων] τετραυματισμενων A | απηνεγκαν] ελαβον A

ὄψεται βασιλεὺς Φαραώ, καὶ παρακληθήσεται ἐπὶ πᾶσαν τὴν ἰσχὺν B
32 αὐτῶν, λέγει κύριος Κύριος. 32 ὅτι δέδωκα τὸν φόβον αὐτοῦ ἐπὶ τῆς
ζωῆς, καὶ κοιμηθήσεται ἐν μέσῳ ἀπεριτμήτων μετὰ τραυματιῶν μα-
χαίρας Φαραώ, καὶ πᾶν τὸ πλῆθος αὐτοῦ μετ᾽ αὐτοῦ, λέγει κύριος
Κύριος.

XXXIII 1 2 1 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων 2 Υἱὲ ἀνθρώπου, λά-
λησον τοῖς υἱοῖς τοῦ λαοῦ σου καὶ ἐρεῖς πρὸς αὐτούς Γῆ ἐφ᾽ ἣν ἂν
ἐπάγω ῥομφαίαν, καὶ λάβῃ ὁ λαὸς τῆς γῆς ἄνθρωπον ἕνα ἐξ αὐτῶν
3 καὶ δῶσιν αὐτὸν ἑαυτοῖς εἰς σκοπόν, 3 καὶ ἴδῃ τὴν ῥομφαίαν ἐρχο-
μένην ἐπὶ τὴν γῆν καὶ σαλπίσῃ τῇ σάλπιγγι καὶ σημάνῃ τῷ λαῷ,
4 4 καὶ ἀκούσῃ ἀκούσας τὴν φωνὴν τῆς σάλπιγγος καὶ μὴ φυλάξηται,
καὶ ἐπέλθῃ ἡ ῥομφαία καὶ καταλάβῃ αὐτόν· τὸ αἷμα αὐτοῦ ἐπὶ τῆς
5 κεφαλῆς αὐτοῦ ἔσται. 5 ὅτι τὴν φωνὴν τῆς σάλπιγγος ἀκούσας
οὐκ ἐφυλάξατο, τὸ αἷμα αὐτοῦ ἐπ᾽ αὐτοῦ ἔσται· καὶ οὗτος ὅτι
6 ἐφυλάξατο, τὴν ψυχὴν αὐτοῦ ἐξείλατο. 6 καὶ ὁ σκοπὸς ἐὰν ἴδῃ τὴν
ῥομφαίαν ἐρχομένην καὶ μὴ σημάνῃ τῇ σάλπιγγι, καὶ ὁ λαὸς μὴ
φυλάξηται, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ἐξ αὐτῶν ψυχήν· αὕτη διὰ
τὴν αὐτῆς ἀνομίαν ἐλήμφθη, καὶ τὸ αἷμα ἐκ χειρὸς τοῦ σκοποῦ
7 ἐκζητήσω. 7 καὶ σύ, υἱὲ ἀνθρώπου, σκοπὸν δέδωκά σε τῷ οἴκῳ
8 Ἰσραήλ, καὶ ἀκούσῃ ἐκ στόματός μου λόγον. 8 ἐν τῷ εἶπαί με τῷ
ἁμαρτωλῷ Θανάτῳ θανατωθήσῃ, καὶ μὴ λαλήσῃς τοῦ φυλάξασθαι τὸν
ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, αὐτὸς ὁ ἄνομος τῇ ἀνομίᾳ αὐτοῦ ἀπο-
9 θανεῖται, τὸ δὲ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω. 9 σὺ δὲ ἐὰν
προαπαγγείλῃς τῷ ἀσεβεῖ τὴν ὁδὸν αὐτοῦ ἀποστρέψαι ἀπ᾽ αὐτῆς,
καὶ μὴ ἀποστρέψῃ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, οὗτος τῇ ἀσεβείᾳ αὐτοῦ

31 om *βασιλευς* Q | *πασαν την ισχυν*] *παση τη ισχυι* A | *αυτων*] + *τραυματιαι* AQ *μαχαιρα* (-*ρας* nisi *ρα* o Q) *Φαραω και πασα η δυναμις αυτου* A et (sub ϑ' ※·) Q | Κυριος] *ο θ̅ς̅* A   32 *δεδωκα*] *εδωκα* Q | *αυτου* 1°] *αυτων* A | *της ζωης*] *γης ζ.* Q | *τραυματιων*] *τραυματιας* A | om *μετ αυτου* AQ | Κυριος] + *ο θ̅ς̅* A   XXXIII 1 Κυριου] *πιπι* Q[mg]   2 *επαγω*] *επαγαγω* A | *ρομφαιαν*] *κριμα αιματος* A | *αυτων*] *αυτης* Q | *δωσιν*] *δωσουσιν* B[ab] *δωσωσιν* Q | om *εις* A   3 *σαλπισει* AQ   4 *ακουσας*] pr *ο* AQ | *επελθη*] *ελθουσα* A | om *και* 4° A | *καταλαβη*] *καταβαλη* A | *την κεφαλην* A   5 *εφυλαξατο* 1°] + *την ψυχην αυτου* A | *αυτου* (2°) *εσται και ουτος ο* sup ras ut vid B[?] | *αυτου* 2°] *αυτον* AQ | *εξειλετο* Q[a]   6 *σημανη*] + *τω λαω* A | *εληφθη* Q[a] | *αιμα*] + *αυτης* A | *χειρος*] pr *της* AQ   7 *λογον*] + (sub ϑ' ※·) *και διαφυλαξεις αυτους παρ εμου* Q   8 *ειπαι*] *ειπειν* B[ab]AQ | *αμαρτωλω*] *ανομω* A + (sub ※·) *αμαρτωλε* Q | *θανατωθηση*] *ηση* in fin lin evan in A | *και*] + *εαν* A | *λαληση*s] + *τους λογους* A | *φυλαξασθαι*] *αποστηναι* A | *ασεβη*] *ανομον* A | *το δε*] *και το* A   9 *αποστρεψαι*] pr *του* AQ + *αυτον* A | *ασεβεια*] *ανομια* A

B ἀποθανεῖται, καὶ σὺ τὴν ψυχὴν σαυτοῦ ἐξήρησαι. [10]Καὶ σύ, υἱὲ 10
ἀνθρώπου, εἰπὸν τῷ οἴκῳ Ἰσραήλ Οὕτως ἐλαλήσατε λέγοντες Αἱ
πλάναι ἡμῶν καὶ αἱ ἀνομίαι ἡμῶν ἐφ' ἡμῖν εἰσιν, καὶ ἐν αὐταῖς ἡμεῖς
τηκόμεθα· καὶ πῶς ζησόμεθα; [11]εἰπὸν αὐτοῖς Ζῶ ἐγώ, τάδε λέγει 11
Κύριος, οὐ βούλομαι τὸν θάνατον τοῦ ἀσεβοῦς, ὡς ἀποστρέψαι τὸν
ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ καὶ ζῆν αὐτόν. ἀποστροφῇ ἀποστρέψατε
ἀπὸ τῆς ὁδοῦ ὑμῶν· καὶ ἵνα τί ἀποθνήσκετε, οἶκος Ἰσραήλ; [12]εἰπὸν 12
πρὸς τοὺς υἱοὺς τοῦ λαοῦ σου Δικαιοσύνη δικαίου οὐ μὴ ἐξέληται
αὐτὸν ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ, καὶ ἀνομία ἀσεβοῦς οὐ μὴ κακώσῃ
αὐτὸν ἐν ᾗ ἂν ἡμέρᾳ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ· καὶ δίκαιος
οὐ μὴ δύνηται σωθῆναι. [13]ἐν τῷ εἶπαί με τῷ δικαίῳ Οὗτος πέποιθεν 13
ἐπὶ τῇ δικαιοσύνῃ αὐτοῦ, καὶ ποιήσῃ ἀνομίαν, πᾶσαι αἱ δικαιοσύναι
αὐτοῦ οὐ μὴ ἀναμνησθῶσιν, ἐν τῇ ἀδικίᾳ αὐτοῦ ᾗ ἐποίησεν, ἐν αὐτῇ
ἀποθανεῖται. [14]καὶ ἐν τῷ εἶπαί με τῷ ἀσεβεῖ Θανάτῳ θανατωθήσῃ, 14
καὶ ἀποστρέψῃ ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ποιήσῃ κρίμα καὶ
δικαιοσύνην, [15]καὶ ἐνεχύρασμα ἀποδοῖ καὶ ἁρπάγματα ἀποτίσῃ, ἐν 15
προστάγμασιν ζωῆς διαπορεύηται τοῦ μὴ ποιῆσαι ἄδικον, ζωῇ ζήσεται
καὶ οὐ μὴ ἀποθάνῃ· [16]πᾶσαι αἱ ἁμαρτίαι αὐτοῦ ἃς ἥμαρτεν οὐ μὴ 16
ἀναμνησθῶσιν· ὅτι κρίμα καὶ δικαιοσύνην ἐποίησεν, ἐν αὐταῖς ζήσε-
ται. [17]καὶ ἐροῦσιν οἱ υἱοὶ τοῦ λαοῦ σου Οὐκ εὐθεῖα ἡ ὁδὸς τοῦ κυρίου· 17
καὶ αὕτη ἡ ὁδὸς αὐτῶν οὐκ εὐθεῖα. [18]ἐν τῷ ἀποστρέψαι δίκαιον ἀπὸ 18
τῆς δικαιοσύνης αὐτοῦ καὶ ποιήσῃ ἀνομίας, καὶ ἀποθανεῖται ἐν αὐταῖς.
[19]καὶ ἐν τῷ ἀποστρέψαι τὸν ἁμαρτωλὸν ἀπὸ τῆς ἀνομίας αὐτοῦ καὶ 19
ποιήσῃ κρίμα καὶ δικαιοσύνην, ἐν αὐτοῖς αὐτὸς ζήσεται. [20]καὶ τοῦτό 20
ἐστιν ὃ εἴπατε Οὐκ εὐθεῖα ἡ ὁδὸς Κυρίου· ἕκαστον ἐν ταῖς ὁδοῖς αὐτοῦ
κρινῶ ὑμᾶς, οἶκος Ἰσραήλ.

AQ 9 σαυτου] σου A σεαυτου Q | εξηρησαι] ερρυσω A 10 ημιν] ημας A 11 ταδε λεγει] λεγει αδωναι A^{a} (sup ras: om A^{*}) αδωναι Q | ασεβους] αμαρτωλου A | αποστρεψαι] pr το A | αυτου]+της πονηρας A | της οδου υμων] των οδων υμων των πονηρων A της οδου υμ. ※ της πονηρας Q | αποθανησκετε Q^{*} (αποθν. $Q^{?}$) 12 ειπον] pr και συ υιε ανου A et (sub α' θ' ※) Q | ασεβους] ανομου A | και δικαιος ου sup ras A^{a} | δυνηται] δυνησεται A | σωθηναι]+εν ημερα αμαρτιας (μαρτι sup ras A^{a}) αυτου A et (sub α' θ' ※) Q 13 ειπαι] ειπειν B^{ab}AQ | δικαιω]+ζωη ζηση και A | επι] εν Q | ποιηση] pr εαν A | ανομιαν] αδικιαν A | αυτου 2°]+ας εποιησεν A | αναμνησθωσιν] μνησθωσιν AQ | αδικεια B^{*} (-κια B^{b}) 14 ειπαι] ειπειν B^{ab}AQ | αμαρτιας] ασεβειας A 15 ενεχυρασμα...αποτιση] ενεχυρον και αρπαγμα αποτισει A ενεχυρασμα αποδω και αρπαγμα αποτισει Q | προσταγματι A | αποθανειται A 16 ημαρτεν] εποιησεν A | αναμνησθωσιν] μνησθωσιν ετι A + (sub θ' σ' ※) αυτω Q^{mg} | αυταις] αυτοις AQ^{a} 17 του κυριου] om του Q 18 αυτου] εαυτου Q | ανομιαν A | αυταις] αυτη A 20 εκαστος Q^{*} (-τον Q^{a}) | εν ταις οδοις αυτου] κατα τας οδους υμων A | Ισραηλ]+λεγει κ̅ς̅ A

21. [21]Καὶ ἐγενήθη ἐν τῷ δωδεκάτῳ ἔτει, ἐν τῷ δωδεκάτῳ μηνί, πέμπτῃ B
τοῦ μηνός, τῆς αἰχμαλωσίας ἡμῶν, ἦλθεν ὁ ἀνασωθεὶς πρὸς μὲ ἀπὸ
22 Ἰερουσαλὴμ λέγων Ἑάλω ἡ πόλις. [22]καὶ ἐγενήθη ἐπ' ἐμὲ χεὶρ
Κυρίου ἑσπέρας πρὶν ἐλθεῖν αὐτόν, καὶ ἤνοιξέν μου τὸ στόμα ἕως
ἦλθεν πρὸς μὲ τὸ πρωί· καὶ ἀνοιχθέν μου τὸ στόμα οὐ συνεσχέθη
23 24 ἔτι. [23]καὶ ἐγενήθη λόγος Κυρίου πρὸς μὲ λέγων [24]Υἱὲ ἀνθρώπου, οἱ
κατοικοῦντες τὰς ἠρημωμένας ἐπὶ τῆς γῆς τοῦ Ἰσραὴλ λέγουσιν Εἷς ἦν
Ἀβραὰμ καὶ κατέσχεν τὴν γῆν, καὶ ἡμεῖς πλείους ἐσμέν, ἡμῖν δέδοται
25 27 ἡ γῆ εἰς κατάσχεσιν. [25]διὰ τοῦτο εἰπὸν αὐτοῖς [27]Τάδε λέγει κύριος
Κύριος Ζῶ ἐγώ, εἰ μὴν οἱ ἐν ταῖς ἠρημωμέναις μαχαίραις πεσοῦνται,
καὶ οἱ ἐπὶ προσώπου τοῦ πεδίου τοῖς θηρίοις τοῦ ἀγροῦ δοθήσονται
εἰς κατάβρωμα, καὶ τοὺς ἐν ταῖς τετειχισμέναις καὶ τοὺς ἐν τοῖς
28 σπηλαίοις θανάτῳ ἀποκτενῶ. [28]καὶ δώσω τὴν γῆν ἔρημον, καὶ
ἀπολεῖται ἡ ὕβρις τῆς ἰσχύος αὐτῆς, καὶ ἐρημωθήσεται τὰ ὄρη τοῦ
29 Ἰσραὴλ διὰ τὸ μὴ εἶναι διαπορευόμενον. [29]καὶ γνώσονται ὅτι ἐγώ
εἰμι Κύριος· καὶ ποιήσω τὴν γῆν αὐτῶν ἔρημον, καὶ ἐρημωθήσεται διὰ
30 πάντα τὰ βδελύγματα αὐτῶν ἃ ἐποίησαν. [30]καὶ σύ, υἱὲ ἀνθρώπου,
οἱ υἱοὶ τοῦ λαοῦ σου οἱ λαλοῦντες περὶ σοῦ παρὰ τὰ τείχη καὶ ἐν τοῖς
πυλῶσι τῶν οἰκιῶν, καὶ λαλοῦσιν ἄνθρωπος τῷ ἀδελφῷ αὐτοῦ
λέγοντες Συνέλθωμεν καὶ ἀκούσωμεν τὰ ἐκπορευόμενα παρὰ Κυρίου.
31 [31]ἔρχονται πρὸς σὲ ὡς συμπορεύεται λαός, καὶ κάθηνται ἐναντίον σου
καὶ ἀκούουσιν τὰ ῥήματά σου, καὶ αὐτὰ οὐ μὴ ποιήσουσιν, ὅτι ψεῦδος

21 pr tit *εαλω η πολις ετει ιβ' μηνι ι' ημερα ε'* Q[mg sup] | *εγενηθη*] *εγενετο* A | AQ
δωδεκατω 2°] *δεκατω* Q* (*δωδ.* Q[mg]) | *ο ανασωθεις*] non inst *ο* B[b vid] |
om *απο Ιερουσαλημ* A* (*ε απο Ιλη̄μ λεγω* sup ras A[a]) **22** *και εγενηθη…
Κυριου*] *και χειρ κ̄υ εγενηθη επ εμε* Q | *εγενηθη*] *εγενετο* A | *αυτον*]+*προς
με* A | *μου το στομα* (1°)] *το στομα μου* A | *εως*] *ως* B[ab]Q | *μου το στομα* (2°)]
το στομα μου Q | *συνεσχεθη*] *συνεκλεισθη* A **23** *εγενηθη*] *εγενετο* A
24 *τας ηρημωμενας* (*τας ηρημωμεν* sup ras A[a])]+(sub θ' ※) *ταυτας* Q[mg] | om
εσμεν Q[a] **25** *ειπον αυτοις*] *ειπε προς αυτους* A **27** *ταδε λεγει*] pr (**25**)
*ουτως ειπεν αδωναι κ̄ς επι τω αιματι φαγεσθαι και οφθαλμους υμων λημψεσθαι
προς ιδωλα υμων και αιμα εκχειται και την γην κληρονομησεται* (**26**) *εστητε
επι τη ρομφαια υμω̄| εποιησατε βδελυγμα και ανηρ τον πλησιον αυτου εμι-
ανατε και την γην κληρονομησεται ουτως* A pr sub θ' ※ (**25**) *επι* (*επει* Q[a])
*του αιματος εσθετε και τους οφθαλμους υμων αιρετε προς τα ειδωλα υμων και
αιμα εκχεετε και την γην κληρονομησετε* (**26**) *εστητε επι της μαχαιρας υμων
εποιησατε βδελυγμα και εκαστος την γυναικα του πλησιον αυτου εμιανατε
και την γην κληρονομησετε ουτως ερεις προς αυτους ταδε λεγει αδωναι κ̄ς* Q |
ει] *η* Q[a] | *μαχαιρα* A **28** *ερημωθησονται* A | *του Ισραηλ*] om *του* A
29 *ερημωθησονται* Q **30** *εν*] pr *οι* Q | *πυλωσιν* A | *λαλουσιν*] *ελαλουν*
AQ | *ανθρωπος*] pr α'θ' *εις συν ενι* Q[mg] | *ακουσομεν* A **31** *ερχονται*] pr
και AQ | *σου* 1°]+*ο λαος μου* A et (sub θ'σ' ※) Q | *ακουωσιν* A | *ποιησωσιν*
A (*-σειν*) Q

B ἐν τῷ στόματι αὐτῶν καὶ ὀπίσω τῶν μιασμάτων ἡ καρδία αὐτῶν.
[32]καὶ γίνῃ αὐτοῖς ὡς φωνὴ ψαλτηρίου ἡδυφώνου εὐαρμόστου, καὶ 32
ἀκούσονταί σου τὰ ῥήματα καὶ οὐ μὴ ποιήσουσιν αὐτά. [33]καὶ ἡνίκα 33
ἂν ἔλθῃ, ἐροῦσιν Ἰδοὺ ἥκει· καὶ γνώσονται ὅτι προφήτης ἦν ἐν μέσῳ
αὐτῶν.

[1]Καὶ ἐγένετο λόγος Κυρίου πρός μὲ λέγων [2]Υἱὲ ἀνθρώπου, προ- 1 2 XXXIV
φήτευσον ἐπὶ τοὺς ποιμένας τοῦ Ἰσραήλ, προφήτευσον καὶ εἰπὸν τοῖς
ποιμέσι Τάδε λέγει κύριος Κύριος Ὦ ποιμένες Ἰσραήλ, μὴ βόσκουσιν
ποιμένες ἑαυτούς; οὐ τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες; [3]ἰδοὺ τὸ 3
γάλα κατέσθετε καὶ τὰ ἔρια περιβάλλεσθε καὶ τὸ παχὺ σφάζετε, καὶ
τὰ πρόβατά μου οὐ βόσκετε. [4]τὸ ἠσθενηκὸς οὐκ ἐνισχύσατε, καὶ τὸ 4
κακῶς ἔχον οὐκ ἐσωματοποιήσατε, καὶ τὸ συντετριμμένον οὐ κατε-
δήσατε, καὶ τὸ πλανώμενον οὐκ ἀπεστρέψατε, καὶ τὸ ἀπολωλὸς
οὐκ ἐζητήσατε, καὶ τὸ ἰσχυρὸν κατειργάσασθε μόχθῳ. [5]καὶ διε- 5
σπάρη τὰ πρόβατά μου διὰ τὸ μὴ εἶναι ποιμένας, καὶ ἐγενήθη εἰς
κατάβρωμα πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ. [6]καὶ διεσπάρη μου τὰ 6
πρόβατα ἐν παντὶ ὄρει καὶ ἐπὶ πᾶν βουνὸν ὑψηλόν, καὶ ἐπὶ
προσώπου τῆς γῆς διεσπάρη καὶ οὐκ ἦν ὁ ἐκζητῶν οὐδὲ ὁ ἀπο-
στρέφων. [7]διὰ τοῦτο, ποιμένες, ἀκούσατε λόγον Κυρίου [8]Ζῶ ἐγώ, 7 8
λέγει κύριος Κύριος, εἰ μὴν ἀντὶ τοῦ γενέσθαι τὰ πρόβατά μου εἰς
προνομήν, καὶ γενέσθαι τὰ πρόβατά μου εἰς κατάβρωμα πᾶσι τοῖς
θηρίοις τοῦ πεδίου παρὰ τὸ μὴ εἶναι ποιμένας, καὶ οὐκ ἐξεζήτησαν
οἱ ποιμένες τὰ πρόβατά μου, καὶ ἐβόσκησαν οἱ ποιμένες ἑαυτοὺς
τὰ δὲ πρόβατά μου οὐκ ἐβόσκησαν· [9]ἀντὶ τούτου, ποιμένες, [10]τάδε 9 10
λέγει κύριος Κύριος Ἰδοὺ ἐγὼ ἐπὶ τοὺς ποιμένας, καὶ ἐκζητήσω τὰ

AQ 31 η καρδια αυτων] αυτων η καρδια εστιν A | αυτων 2°] + (sub α′θ′ ※) πορευεται Q 32 ακουσονται] ακουοντες A | τα ρηματα σου A | om και 3° A 33 και 1°] + εσται A | αν] εαν A XXXIV 1 pr tit επι τους ποιμενας του Ι̅η̅λ̅ $Q^{mg\,sup}$ 2 τοις ποιμεσι (-σιν Q)] αυτοις A οι γ′ προς αυτους Q^{mg} | ποιμενες 1°] pr οι Q | βοσκουσιν ποιμενες] οι ποιμαινες βοσκ. A | ου] ουχι A | ποιμενες 2°] pr οι Q 3 κατεσθιετε AQ | σφαζετε] εσφαζεται A | ου βοσκετε] ουκ εβοσκεται A 4 ησθενηκως A | και το κακως εχον (εχων A) ουκ εσωματοπ.] θ′ ※ και το αρρωστον ουκ ιασασθε Q | απεστρεψατε] επεστρεψατε A (-ται) Q | απωλωλος $B^{*\,vid}$ (απολ. B^{ab}) 5 διεσπαρησαν A | εγενηθησαν A | αγρου] + και τοις πετεινοις του ου̅ν̅ο̅υ̅ A 6 διεσπαρη 1°] διεσπαρησαν A + (sub θ′ ※) και ηγνοησαν Q | μου τα προβατα] τα προβατα μου AQ | παν] παντα AQ^{a} | προσωπου] παντι προσωπω A | της γης] pr πασης AQ | διεσπαρη 2°] + τα προβατα μου A et (sub θ′ ※) Q | εκζητων] ζητων A 8 κυριος] αδωναι Q | μην] μη Q | πασιν A | πεδιου] αγρου A | οι ποιμενες τα προβατα μου] τα πρ. μου οι ποιμαινες A 9 ποιμενες] + ακουσατε λογον κ̅υ̅ A et (sub α′θ′σ′ ※) Q 10 κυριος] αδωναι A

πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν, καὶ ἀποστρέψω αὐτοὺς τοῦ B
μὴ ποιμαίνειν τὰ πρόβατά μου, καὶ οὐ βοσκήσουσιν ἔτι οἱ ποιμένες
αὐτά· καὶ ἐξελοῦμαι τὰ πρόβατά μου ἐκ τοῦ στόματος αὐτῶν, καὶ
11 οὐκ ἔσονται αὐτοῖς ἔτι εἰς κατάβρωμα. [11] διότι τάδε λέγει Κύριος
12 Ἰδοὺ ἐγὼ ἐκζητήσω τὰ πρόβατά μου καὶ ἐπισκέψομαι αὐτά. [12] ὥσπερ
ζητεῖ ὁ ποιμὴν τὸ ποίμνιον αὐτοῦ ἐν ἡμέρᾳ ὅταν ᾖ γνόφος καὶ νεφέλη
ἐν μέσῳ προβάτων διακεχωρισμένων, οὕτως ἐκζητήσω τὰ πρόβατά
μου καὶ ἀπελάσω αὐτὰ ἀπὸ παντὸς τόπου οὗ διεσπάρησαν ἐκεῖ ἐν
13 ἡμέρᾳ νεφέλης καὶ γνόφου. [13] καὶ ἐξάξω αὐτοὺς ἐκ τῶν ἐθνῶν καὶ
συνάξω αὐτοὺς ἀπὸ τῶν χωρῶν, καὶ εἰσάξω αὐτοὺς εἰς τὴν γῆν
αὐτῶν, καὶ βοσκήσω αὐτοὺς ἐπὶ τὰ ὄρη Ἰσραὴλ καὶ ἐν ταῖς φάραγξιν
14 καὶ ἐν πάσῃ κατοικίᾳ τῆς γῆς· [14] ἐν νομῇ ἀγαθῇ βοσκήσω αὐτούς,
ἐν τῷ ὄρει τῷ ὑψηλῷ Ἰσραήλ. καὶ ἔσονται αἱ μάνδραι αὐτῶν ἐκεῖ
καὶ κοιμηθήσονται, καὶ ἐκεῖ ἀναπαύσονται ἐν τρυφῇ ἀγαθῇ, καὶ ἐν
15 νομῇ πίονι βοσκηθήσονται ἐπὶ τῶν ὀρέων Ἰσραήλ. [15] ἐγὼ βοσκήσω
τὰ πρόβατά μου καὶ ἐγὼ ἀναπαύσω αὐτά, καὶ γνώσονται ὅτι ἐγώ εἰμι
16 Κύριος. τάδε λέγει κύριος Κύριος [16] Τὸ ἀπολωλὸς ζητήσω, καὶ τὸ
πλανώμενον ἐπιστρέψω, καὶ τὸ συντετριμμένον καταδήσω, καὶ τὸ
ἐκλιπὸν ἐνισχύσω, καὶ τὸ ἰσχυρὸν φυλάξω, καὶ βοσκήσω αὐτὰ μετὰ
17 κρίματος. [17] καὶ ὑμεῖς, πρόβατα, τάδε λέγει κύριος Κύριος Ἰδοὺ ἐγὼ
διακρινῶ ἀνὰ μέσον προβάτου καὶ προβάτου, κριῶν καὶ τράγων.
18 [18] καὶ οὐχ ἱκανὸν ὑμῖν ὅτι τὴν καλὴν νομὴν ἐνέμεσθε, καὶ τὰ κατά-
λοιπα τῆς νομῆς ὑμῶν κατεπατεῖτε τοῖς ποσὶν ὑμῶν; καὶ τὸ καθε-
στηκὸς ὕδωρ ἐπίνετε, καὶ τὸ λοιπὸν τοῖς ποσὶν ὑμῶν ἐταράσσετε;
19 [19] καὶ τὰ πρόβατά μου τὰ πατήματα τῶν ποδῶν ὑμῶν ἐνέμοντο,
20 καὶ τὸ τεταραγμένον ὕδωρ ὑπὸ τῶν ποδῶν ὑμῶν ἔπινον; [20] Διὰ
τοῦτο τάδε λέγει κύριος Κύριος Ἰδοὺ ἐγὼ διακρινῶ ἀνὰ μέσον προ-

10 ου] + μη A | ουκ εσονται αυτοις ετι] ουκετι εσ. αυτ. A ουκ εσ. αυτ. Q AQ
11 Κυριος] $\overline{κς}$ $\overline{κς}$ B^{ab}Q $\overline{κς}$ $\overline{κς}$ ο $\overline{θς}$ A | εγω] + σ′ ※ αυτος Q^{mg} 12 ωσπερ
ζητει] ως επισκεπτετε A | om οταν η A | γνοφος κ. νεφελη] γνοφου κ.
νεφελης A pr ÷ Q$^{?}$ | προβατων] + (sub ※) αυτου AQ | απελασω] συναξω A
13 απο] εκ A | φαραγξι B^{b} 14 om εν 1° A | υψηλω] + εν τω ορει A
14—15 και εν νομη...εγω ειμι $\overline{κς}$ sup ras A^{a} 14 Ισραηλ 2°] pr του A^{a}
15 και γνωσονται οτι εγω ειμι Κυριος] pr ÷ Q$^{?}$ | γνωσονται] επιγνωσονται A^{a} |
οτι] διοτι A^{a} 16 ζητησω] εκζητησω A | πλανωμενον] πεπλανημενον
A | επιστρεψω] αποστρεψω B^{ab} | εκλιπον] εκλειπον B^{ab}AQ | ενισχυσω] + (sub
θ′ ※) και το πιον Q | και το ισχ. φυλαξω sub θ′ ※ Q^{r} 17 προβατα] pr
τα A + μου Q | διακρινω] ανακρινω Q | κριων και τραγων] κρειου και τραγου A
18 om υμων 1° A | κατεπατειτε τοις ποσιν υμων] τοις ποσιν υμων κατεπα-
τειται A | εταρασσετο B$^{?vid}$ 19 υπο] απο Q 20 Κυριος] + ο
$\overline{θς}$ A + προς αυτους Q | διακρινω] ανακρινω Q

B βάτου ἰσχυροῦ καὶ ἀνὰ μέσον προβάτου ἀσθενοῦς. [21] ἐπὶ ταῖς 21
πλευραῖς καὶ τοῖς ὤμοις ὑμῶν διωθεῖσθε, καὶ τοῖς κέρασιν ὑμῶν
ἐκερατίζετε, καὶ πᾶν τὸ ἐκλεῖπον ἐξεθλίβετε. [22] καὶ σώσω τὰ πρόβατά 22
μου, καὶ οὐ μὴ ὦσιν ἔτι εἰς προνομήν, καὶ κρινῶ ἀνὰ μέσον κριοῦ
πρὸς κριόν. [23] καὶ ἀναστήσω ἐπ᾽ αὐτοὺς ποιμένα ἕνα καὶ ποιμαίνει 23
αὐτούς, τὸν δοῦλόν μου Δαυείδ, καὶ ἔσται αὐτῶν ποιμήν· [24] καὶ ἐγὼ 24
Κύριος ἔσομαι αὐτοῖς εἰς θεόν, καὶ Δαυεὶδ ἐν μέσῳ αὐτῶν ἄρχων·
ἐγὼ Κύριος ἐλάλησα. [25] καὶ διαθήσομαι τῷ Δαυεὶδ διαθήκην εἰρήνης, 25
καὶ ἀφανιῶ θηρία πονηρὰ ἀπὸ τῆς γῆς, καὶ κατοικήσουσιν ἐν τῇ
ἐρήμῳ καὶ ὑπνώσουσιν ἐν τοῖς δρυμοῖς. [26] καὶ δώσω αὐτοὺς περι- 26
κύκλῳ τοῦ ὄρους μου· καὶ δώσω τὸν ὑετὸν ὑμῖν, ὑετὸν εὐλογίας.
[27] καὶ τὰ ξύλα τὰ ἐν τῷ πεδίῳ δώσει τὸν καρπὸν αὐτῶν, καὶ ἡ γῆ 27
δώσει τὴν ἰσχὺν αὐτῆς, καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν ἐν
ἐλπίδι εἰρήνης, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ συντρίψαι
με τὸν ζυγὸν αὐτῶν· καὶ ἐξελοῦμαι αὐτοὺς ἐκ χειρὸς τῶν καταδου-
λωσαμένων αὐτούς, [28] καὶ οὐκ ἔσονται ἔτι ἐν προνομῇ τοῖς ἔθνεσιν, 28
καὶ τὰ θηρία τῆς γῆς οὐκέτι μὴ φάγωσιν αὐτούς· καὶ κατοικήσουσιν
ἐν ἐλπίδι, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς. [29] καὶ ἀναστήσω αὐτοῖς 29
φυτὸν εἰρήνης, καὶ οὐκέτι ἔσονται ἀπολλύμενοι λιμῷ ἐπὶ τῆς γῆς, καὶ
οὐ μὴ ἐνέγκωσιν ἔτι ὀνειδισμὸν ἐθνῶν. [30] καὶ γνώσονται ὅτι ἐγώ 30
εἰμι Κύριος ὁ θεὸς αὐτῶν, καὶ αὐτοὶ λαός μου. οἶκος Ἰσραήλ, λέγει
Κύριος, [31] πρόβατά μου καὶ πρόβατα ποιμνίου μού ἐστε, καὶ ἐγὼ 31
Κύριος ὁ θεὸς ὑμῶν, λέγει κύριος Κύριος.

[1] Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2] Υἱὲ ἀνθρώπου, ἐπί- 1 2 XXXV

AQ 20 ισχυρου] ισχυ sup ras B^{ab} 21 ωμοις] μοις sup ras A^{a} | om
και 3° Q | εξεθλιβετε] ※ εως ου εξεθλ. αυτα εξω Q 22 ου μη ωσιν]
ουκετι εσονται A 23 επ αυτους] αυτοις A | ενα] ετερον A | ποι-
μαινει] ποιμανει AQ | αυτους 2°] αυτος B^{b} | Δαυειδ] + (sub α′θ′ ※) αυτος
ποιμανει αυτους Q 24 και εγω] καγω Q | εν μεσω αυτων αρχων] αρχων
εμμεσω αυτων A 25 αφανιω] απολω A | πονηρα] α sup ras B^{ab} | ερημω]
+ (sub α′θ′ ※) πεποιθοτες Q 26 δωσω αυτοις περικυκλω] εσονται κυκλω
A | μου] + α′θ′ ※ ευλογια͞ | Q^{mg} | και δωσω (2°)...ευλογιας] και αποστελω υετον
ευλογιας αυτοις A | ευλογιας] + (sub ※) εσονται Q^{mg} 27 τα εν τω πεδιω
δωσει] του παιδιου αποδωσει A | αυτων 1°] αυτοις A | την ισχυν] τον καρπον
A | ζυγον] + του κλοιου AQ | om και 5° A 28 ουκ εσονται ετι] ουκ εσ.
ουκετι B^{ab}Q ουκετι εσονται A | εθνεσι B^{b} | om μη Q | φαγωσιν] πτοησει A
29 ου μη...εθνων] ονιδισμον εθνων ου μη ενεγκωσιν ετι A 30 αυτων]
+ (sub α′σ′ ※) μετ αυτων Q^{mg} | Ισραηλ] pr του A | Κυριος 2°] + κ̅ς̅ B^{ab}Q
31 προβατα 1°] pr και υμεις AQ | ποιμνιου] pr του B^{ab}AQ | εστε] pr α̅ν̅ο̅ι̅ Q |
Κυριος 1°] pr κ̅ς̅ B^{ab} XXXV 1 pr tit επι ορος Σηειρ και Ιδουμαιαν Q$^{mg\ sup}$

στρέψον τὸ πρόσωπόν σου ἐπ' ὄρος Σηεὶρ καὶ προφήτευσον εἰς B
3 αὐτό, [3]καὶ εἰπόν Τάδε λέγει κύριος Κύριος Ἰδοὺ ἐγὼ ἐπὶ σέ, ὄρος
Σηείρ, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ σὲ καὶ δώσω σε εἰς ἔρημον, καὶ
4 ἐρημωθήσῃ, [4]καὶ ταῖς πόλεσίν σου ἐρημίαν ποιήσω, καὶ σὺ ἔρημος
5 ἔσῃ, καὶ γνώσῃ ὅτι ἐγώ εἰμι Κύριος. [5]ἀντὶ τοῦ γενέσθαι σε ἐχθρὰν
αἰωνίαν, καὶ ἐνεκάθισας τῷ οἴκῳ Ἰσραὴλ δόλῳ ἐν χειρὶ ἐχθρῶν
6 μαχαίρᾳ ἐν καιρῷ ἀδικίας ἐπ' ἐσχάτῳ· [6]διὰ τοῦτο, ζῶ ἐγώ, λέγει
7 κύριος Κύριος, εἰ μὴν εἰς αἷμα ἥμαρτες, καὶ αἷμά σε διώξεται. [7]καὶ
δώσω ὄρος Σηεὶρ εἰς ἔρημον καὶ ἠρημωμένον, καὶ ἀπολῶ ἀπ' αὐτοῦ
8 ἀνθρώπους καὶ κτήνη, [8]καὶ ἐνπλήσω τῶν τραυματιῶν βουνοὺς καὶ
τὰς φάραγγάς σου, καὶ ἐν πᾶσι τοῖς πεδίοις σου τετραυματισμένοι
9 μαχαίρᾳ πεσοῦνται ἐν σοί. [9]ἐρημίαν αἰώνιον θήσομαί σε, καὶ αἱ πόλεις
10 σου οὐ μὴ κατοικηθῶσιν ἔτι, καὶ γνώσῃ ὅτι ἐγώ εἰμι Κύριος. [10]διὰ
τὸ εἰπεῖν σε Τὰ δύο ἔθνη καὶ αἱ δύο χῶραι ἐμαὶ ἔσονται, καὶ
11 κληρονομήσω αὐτάς, καὶ Κύριος ἐκεῖ ἐστιν. [11]διὰ τοῦτο, ζῶ ἐγώ,
λέγει Κύριος, καὶ ποιήσω σοι κατὰ τὴν ἔχθραν σου, καὶ γνωσθή-
12 σομαί σοι ἡνίκα ἂν κρίνω σε, [12]καὶ γνώσῃ ὅτι ἐγώ εἰμι Κύριος.
ἤκουσα τῆς φωνῆς τῶν βλασφημιῶν σου, ὅτι εἶπας Τὰ ὄρη Ἰσραὴλ
13 ἔρημα· ἡμῖν δέδοται εἰς κατάβρωμα, [13]καὶ ἐμεγαλορημόνησας ἐπ' ἐμὲ
14 τῷ στόματί σου· ἐγὼ ἤκουσα. [14]τάδε λέγει Κύριος Ἐν τῇ εὐφροσύνῃ
15 πάσης τῆς γῆς ἔρημον ποιήσω σε· [15]ἔρημον ἔσῃ, ὄρος Σηείρ, καὶ πᾶσα
ἡ Ἰδουμαία καὶ ἐξαναλωθήσεται· γνώσῃ ὅτι ἐγώ εἰμι Κύριος ὁ θεὸς
αὐτῶν.

2 επ] επι το A επι Q | Σηειρ] adnot τριχωτον Q^{mg} | εις] επ AQ AQ
3 ειπον] + αυτω $B^{ab}AQ$ | om Κυριος A | om εις $B^{ab}AQ$ 4 ταις πολεσιν
(-σι B^{b})] pr εν AQ | ερημος] ερημον Q 5 σε] εν σοι $Q^{b?mg}$ | εχραν
Q^{*} (εχθρ. Q^{a}) | αιωνιον AQ | δολω] pr ÷ $Q^{?}$ | εν χειρι εχθρων (÷ $Q^{?}$) μαχαιρα]
εν καιρω εχθρω̄| εν χειρι μαχαιρας A + (sub θ' ※) εν καιρω θλιψεως αυτων Q |
εσχατων A 6 ει] η Q | σε διωξεται] διωξ. σε (θ' ※) η μην αιμα εμισησας
και αιμα διωξεται σε Q 7 ορος] pr το A | bis scr εις B^{*} (improb 2° B^{b}) |
ερημωμενον AQ 8 εμπλησω $B^{b}AQ$ + (sub ※) τα ορη αυτου Q | τραυ-
ματιων] + σου $B^{a}AQ$ | βουνους] pr τους AQ + σου A | τας φαραγγας] pr πα-
σας A | πασιν $AQ^{*\,sil}$ 9 ερημιαν] pr και A | αιωνιαν B^{a} 10 δια το ει-
πειν σε] διοτι ειπας A | εσονται] εισιν A | Κυριος] pr ο A 11 Κυριος] pr
$\overline{\kappa\varsigma}$ AQ | σοι 1°] pr εν A | σου] + και κατα τον ζηλον σου ον εποιησας εκ του
μεμισηκεναι σε εν αυτοις A et (sub θ' ※) Q | αν] εαν A 12 Ισραηλ]
+ (sub ※) λεγων Q | καταβρωμα] κατασχεσῑ A 13 σου] + (sub θ' ※)
και εβοησατε επ εμε λογους υμων Q | εγω] pr και A | ηκουσα] + φησιν $\overline{\kappa\varsigma}$ A
14 Κυριος] pr $\overline{\kappa\varsigma}$ Q | om ερημον ποιησω σε A 15 ερημον] pr (sub ※)
καθως ηυφρανθης εις κληρονομιαν οικου $\overline{\text{Ιηλ}}$ οτι ηφανισθη. ουτως ποιησω σοι
Q | και εξαναλωθησεται] εξολεθρευθησεται A pr ÷ Q | γνωση] pr και $B^{?}$
(superscr) A και γνωσονται Q | ο θεος αυτων] pr ÷ $Q^{?}$

B [1]Καὶ σύ, υἱὲ ἀνθρώπου, προφήτευσον ἐπὶ τὰ ὄρη Ἰσραήλ, καὶ 1 XXXVI
εἰπὸν τοῖς ὄρεσιν τοῦ Ἰσραὴλ Ἀκούσατε λόγον Κυρίου [2]Τάδε λέγει 2
κύριος Κύριος Ἀνθ᾽ οὗ εἶπεν ὁ ἐχθρὸς ἐφ᾽ ὑμᾶς Εὖγε, ἔρημα αἰώνια
εἰς κατάσχεσιν ἡμῖν ἐγενήθη· [3]διὰ τοῦτο προφήτευσον καὶ εἰπόν 3
Τάδε λέγει κύριος Κύριος Ἀντὶ τοῦ ἀτιμασθῆναι ὑμᾶς καὶ μισηθῆναι
ὑμᾶς ὑπὸ τῶν κύκλῳ ὑμῶν τοῦ εἶναι ὑμᾶς εἰς κατάσχεσιν τοῖς
καταλοίποις ἔθνεσιν, καὶ ἀνέβητε λάλημα γλώσσῃ καὶ εἰς ὀνείδισμα
ἔθνεσιν· [4]διὰ τοῦτο, ὄρη Ἰσραήλ, ἀκούσατε λόγον Κυρίου Τάδε λέγει 4
Κύριος τοῖς ὄρεσιν καὶ τοῖς βουνοῖς καὶ ταῖς φάραγξιν καὶ τοῖς
χειμάρροις καὶ τοῖς ἐξηρημωμένοις καὶ ἠφανισμένοις καὶ ταῖς πόλεσιν
ταῖς ἐνκαταλελιμμέναις, καὶ ἐγένοντο εἰς προνομὴν καὶ εἰς κατα-
πάτημα τοῖς καταλειφθεῖσιν ἔθνεσιν περικύκλῳ· [5]διὰ τοῦτο τάδε 5
λέγει κύριος Κύριος Εἰ μὴν ἐν πυρὶ θυμοῦ μου ἐλάλησα ἐπὶ τὰ λοιπὰ
ἔθνη καὶ ἐπὶ τὴν Ἰδουμαίαν πᾶσαν, ὅτι ἔδωκαν τὴν γῆν μου ἑαυτοῖς
εἰς κατάσχεσιν μετ᾽ εὐφροσύνης, ἀτιμάσαντες ψυχὰς τοῦ ἀφανίσαι
ἐν προνομῇ. [6]διὰ τοῦτο προφήτευσον ἐπὶ τὴν γῆν τοῦ Ἰσραήλ, καὶ 6
εἰπὸν τοῖς ὄρεσιν καὶ τοῖς βουνοῖς καὶ ταῖς φάραγξιν καὶ ταῖς νάπαις
Τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ ἐν τῷ ζήλῳ μου καὶ ἐν τῷ θυμῷ μου
ἐλάλησα, ἀντὶ τοῦ ὀνειδισμοὺς ἐθνῶν ἐνέγκαι ὑμᾶς. [7]διὰ τοῦτο ἐγὼ 7
ἀρῶ τὴν χεῖρά μου ἐπὶ τὰ ἔθνη τὰ περικύκλῳ ὑμῶν, οὗτοι τὴν ἀτιμίαν
αὐτῶν λήμψονται· [8]ὑμῶν δέ, ὄρη Ἰσραήλ, τὴν σταφυλὴν καὶ τὸν 8
καρπὸν ὑμῶν καταφάγεται ὁ λαός μου, ὅτι ἐλπίζουσιν τοῦ ἐλθεῖν.
[9]ὅτι ἰδοὺ ἐγὼ ἐφ᾽ ὑμᾶς, καὶ ἐπιβλέψω ἐφ᾽ ὑμᾶς, καὶ κατεργασθήσεσθε 9
καὶ σπαρήσεσθε, [10]καὶ πληθυνῶ ἐφ᾽ ὑμᾶς ἀνθρώπους, πᾶν οἶκον 10

AQ XXXVI 1 *ορεσι* B^{b}: item 4, 6 | *του Ισραηλ*] om *του* A | *λογον*] pr *τον* Q
2 *ου*] *ων* A | *ευγε*] + *ευγε* A 3 *Κυριος*] + *ο θ̅ς̅* A | *αντι του*] pr (sub σ′ ※)
αντι του και Q* (improb *αντι του* Q$^{?}$) | om *και μισηθηναι υμας* Q | *υπο*] *απο*
των εθνων A | *υμας* 3°] *ημας* A | *εθνεσι* (1°) B^{b}: item 4 | *ανεβητε*] *εγενεσθαι* A |
γλωσσης A 4 *Κυριου*] pr *αδωναι* Q | *Κυριος*] pr *κ̅ς̅* Q | *και ταις φαραγξιν*
(-*γξι* B^{b}: item 6) *και τοις χειμαρροις*] *τοις χειμ. και ταις φαρ.* A *και τοις χειμ.*
και ταις φαρ. Q | *τοις εξηρημωμενοις και ηφανισμενοις*] *ταις ναπαις ταις ερημω-*
μεναις και ηφανισμεναις A | *ενκαταλελιμμεναις* (*εγκ.* B$^{a?b}$Q -*λελειμμ.* B^{ab})]
καταλελιμμεναις A | *και* 7°] *αι* A | om *εις* 2° A | *εθνεσιν*] pr *εν* Q | *περι-*
κυκλω] pr *τοις* A 5 om *Κυριος* A | *ει*] *η* Q^{a} | non inst *μου* 1°
B$^{b\,vid}$ | *εαυτοις την γην μου* A 6 *και ταις ναπαις και ταις φαραγξι*] Q |
Κυριος] pr *αδωναι* A pr *κ̅ς̅* Q | *ονειδισμου* Q* (-*μους* Q^{a}) 7 *εγω*] pr
ιδου A pr (sub ※) *ταδε λεγει αδωναι κ̅ς̅* Q | *αρω*] *αιρω* A | *ληψονται* B^{b}Q^{a}
8 *σταφυλην*] + (sub ※) *δωσετε* Q | *υμων καταφαγεται*] *φαγεται* A | *ο λ.*
μου] + (sub ※) *Ι̅η̅λ̅* Q 9 om *οτι* A | om *εφ υμας και* 1° A | om *και*
επιβλεψω εφ υμας Q* (hab Q^{mg}) | om *και σπαρησεσθε* A 10 *παν*]
παντα Q^{mg}

Ἰσραὴλ εἰς τέλος· καὶ κατοικηθήσονται αἱ πόλεις, καὶ ἡ ἠρημωμένη B
11 οἰκοδομηθήσεται. [11]καὶ πληθυνῶ ἐφ' ὑμᾶς ἀνθρώπους καὶ κτήνη,
καὶ κατοικιῶ ὑμᾶς ὡς τὸ ἐν ἀρχῇ ὑμῶν, καὶ εὖ ποιήσω ὑμᾶς ὥσπερ τὰ
12 ἔμπροσθεν ὑμῶν· καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος. [12]καὶ γεννήσω
ἐφ' ὑμᾶς ἀνθρώπους τὸν λαόν μου Ἰσραήλ, καὶ κληρονομήσουσιν
ὑμᾶς, καὶ ἔσεσθε αὐτοῖς εἰς κατάσχεσιν· καὶ οὐ μὴ προστεθῆτε ἔτι
13 ἀτεκνωθῆναι ἀπ' αὐτῶν. [13]τάδε λέγει κύριος Κύριος Ἀνθ' ὧν εἰπάν
σοι Κατέσθουσα ἀνθρώπους εἶ, καὶ ἠτεκνωμένη ὑπὸ τοῦ ἔθνους σου
14 ἐγένου· [14]διὰ τοῦτο ἀνθρώπους οὐκέτι φάγεσαι, καὶ τὸ ἔθνος σου
15 οὐκ ἀτεκνώσεις ἔτι, λέγει κύριος Κύριος. [15]καὶ οὐκ ἀκουσθήσεται οὐκέτι
ἐφ' ὑμᾶς ἀτιμία ἐθνῶν, καὶ ὀνειδισμοὺς λαῶν οὐ μὴ ἀνενέγκητε, λέγει
16 κύριος Κύριος. [16]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων
17 [17]Υἱὲ ἀνθρώπου, οἶκος Ἰσραὴλ κατῴκησεν ἐπὶ τῆς γῆς αὐτῶν, καὶ
ἐμίαναν αὐτὴν ἐν τῇ ὁδῷ αὐτῶν καὶ ἐν τοῖς εἰδώλοις αὐτῶν καὶ ταῖς
ἀκαθαρσίαις αὐτῶν, καὶ κατὰ τὴν ἀκαθαρσίαν τῆς ἀποκαθημένης
18 ἐγενήθη ἡ ὁδὸς αὐτῶν πρὸ προσώπου μου. [18]καὶ ἐξέχεα τὸν θυμόν
19 μου ἐπ' αὐτούς, [19]καὶ διέσπειρα αὐτοὺς εἰς τὰ ἔθνη, καὶ ἐλίκμησα
αὐτοὺς εἰς τὰς χώρας· κατὰ τὴν ὁδὸν αὐτῶν καὶ κατὰ τὴν ἁμαρτίαν
20 αὐτῶν ἔκρινα αὐτούς. [20]καὶ εἰσῆλθον εἰς τὰ ἔθνη οὗ εἰσῆλθον ἐκεῖ,
καὶ ἐβεβήλωσαν τὸ ὄνομά μου τὸ ἅγιον ἐν τῷ λέγεσθαι αὐτούς Λαὸς
21 Κυρίου οὗτοι, καὶ ἐκ τῆς γῆς αὐτοῦ ἐξεληλύθασιν. [21]καὶ ἐφεισάμην
αὐτῶν διὰ τὸ ὄνομά μου τὸ ἅγιον, ὃ ἐβεβήλωσαν οἶκος Ἰσραὴλ ἐν τοῖς
22 ἔθνεσιν οὗ εἰσήλθοσαν ἐκεῖ. [22]διὰ τοῦτο εἰπὸν τῷ οἴκῳ Ἰσραὴλ Τάδε
λέγει Κύριος Οὐχ ὑμῖν ἐγὼ ποιῶ, οἶκος Ἰσραήλ, ἀλλ' ἢ διὰ τὸ ὄνομά

10 πολεις] + υμων A | η ηρημωμενη οικοδομηθησεται] αιρημωμεναι (sic) AQ οικοδομηθησονται A   11 κτηνη] + (sub α'θ' ※) και αυξηθησονται και πληθυνθησονται Q | τα εμπροσθεν] το εμπρ. A   12 γεννησω] δωσω A | προστεθητε] προστεθησεσθαι A   13 κυριος] αδωναι A | κατεσθιουσα Q[* vid] (-θουσα Q[a]) | ει] + συ Q | ητεκνωμενη] ε 1ª sup ras B[?]   14 ατεκνωσεις ετι] ατεκνωσει σε ουκετι A | κυριος] αδωναι A   15 ουκετι εφ υμας] εφ υμας ουκετι Q[*] (improb ουκ Q[a]) | ονειδισμους λαων] ονειδισμο̄| εθνων A | ου μη ανενεγκητε] ου μη ενεγκηται ετι A ου λημψη (ληψ. Q[a]) ετι Q + (sub ※) και το εθνος σου ουκ ατεκνωθησεται ετι Q | Κυριος] ο θ̅ς̅ A   17 κατωκησαν A | και 1°] + εν ταις ακαθαρσιαις αυτων A | ταις ακαθαρσιαις] pr εν AQ | om και 4° AQ | αποκαθημενης] αφεδρου A   18 αυτους] + περι του αιματος ου εξεχεαν εν τη γη (επι την γην Q) και εν τοις ειδωλοις (ιδ. A) αυτων εμιαναν αυτην A et (sub α'θ' ※) Q   19 την οδον] τας οδους A | την αμαρτιαν] τας ανομιας A   20 εισηλθον bis] εισηλθοσαν A | μου το αγιον] το αγιον μου Q | λεγεσθαι] λεγειν Q[* vid] (-γεσθαι Q[1]) | αυτου] αυτων A | εξεληλυθασιν] εξηλθοσᾱ| A   21 μου το αγιον] το αγιον μου Q
22 Κυριος] pr αδωναι A pr κ̅ς̅ Q | αλλ η] αλλα Q

B μου τὸ ἅγιον, ὃ ἐβεβηλώσατε ἐν τοῖς ἔθνεσιν οὗ εἰσήλθετε ἐκεῖ.
23 καὶ ἁγιάσω τὸ ὄνομά μου τὸ μέγα τὸ βεβηλωθὲν ἐν τοῖς ἔθνεσιν, 23
ὃ ἐβεβηλώσατε ἐν μέσῳ αὐτῶν, καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι
Κύριος ἐν τῷ ἁγιασθῆναί με ἐν ὑμῖν κατ' ὀφθαλμοὺς αὐτῶν. 24 καὶ 24
λήμψομαι ὑμᾶς ἐκ τῶν ἐθνῶν καὶ ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν γαιῶν,
καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν. 25 καὶ ῥανῶ ἐφ' ὑμᾶς ὕδωρ 25
καθαρόν, καὶ καθαρισθήσεσθε ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν καὶ
ἀπὸ πάντων τῶν εἰδώλων ὑμῶν, καὶ καθαριῶ ὑμᾶς, 26 καὶ δώσω ὑμῖν 26
καρδίαν καινήν, καὶ πνεῦμα καινὸν δώσω ἐν ὑμῖν, καὶ ἀφελῶ τὴν
καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν καὶ δώσω ὑμῖν καρδίαν
σαρκίνην. 27 καὶ τὸ πνεῦμά μου δώσω ἐν ὑμῖν, καὶ ποιήσω ἵνα ἐν 27
τοῖς δικαιώμασίν μου πορεύησθε, καὶ τὰ κρίματά μου φυλάξησθε καὶ
ποιήσητε. 28 καὶ κατοικήσετε ἐπὶ τῆς γῆς ἧς ἔδωκα τοῖς πατράσιν 28
ὑμῶν, καὶ ἔσεσθέ μοι εἰς λαόν, κἀγὼ ἔσομαι ὑμῖν εἰς θεόν. 29 καὶ 29
σώσω ὑμᾶς ἐκ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν, καὶ καλέσω τὸν σῖτον
30 καὶ πληθυνῶ αὐτόν, καὶ οὐ δώσω ἐφ' ὑμᾶς λιμόν· καὶ πληθυνῶ 30
τὸν καρπὸν τοῦ ξύλου καὶ τὰ γενήματα τοῦ ἀγροῦ, ὅπως μὴ λάβητε
ὀνειδισμὸν λιμοῦ ἐν τοῖς ἔθνεσιν. 31 καὶ μνησθήσεσθε τὰς ὁδοὺς 31
ὑμῶν τὰς πονηρὰς καὶ τὰ ἐπιτηδεύματα ὑμῶν τὰ μὴ ἀγαθά, καὶ
προσοχθιεῖτε κατὰ πρόσωπον αὐτῶν ἐν ταῖς ἀνομίαις ὑμῶν καὶ ἐπὶ
τοῖς βδελύγμασιν αὐτῶν. 32 οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, λέγει κύριος 32
Κύριος, γνωστόν ἐστιν ὑμῖν. αἰσχύνθητε καὶ ἐντράπητε ἐκ τῶν
ὁδῶν ὑμῶν, οἶκος Ἰσραήλ. 33 τάδε λέγει ἀδωναὶ Κύριος Ἐν ἡμέρᾳ 33
ᾗ καθαριῶ ὑμᾶς ἐκ πασῶν ἀνομιῶν ὑμῶν, καὶ κατοικιῶ τὰς πόλεις,
καὶ οἰκοδομηθήσονται ἔρημοι· 34 καὶ ἡ γῆ ἠφανισμένη ἐργασθήσεται, 34
ἀνθ' ὧν ὅτι ἠφανισμένη ἐγενήθη κατ' ὀφθαλμοὺς παντὸς παροδεύοντος.
35 καὶ ἐροῦσιν Ἡ γῆ ἐκείνη ἠφανισμένη ἐγενήθη ὡς κῆπος τρυφῆς, 35
καὶ αἱ πόλεις αἱ ἔρημοι καὶ ἠφανισμέναι καὶ κατεσκαμμέναι ὀχυραὶ ἐκά-
θισαν· 36 καὶ γνώσονται τὰ ἔθνη, ὅσα ἂν καταλειφθῶσιν κύκλῳ ὑμῶν, 36
ὅτι ἐγὼ Κύριος ᾠκοδόμησα τὰς καθῃρημένας καὶ κατεφύτευσα τὰς ἠφα-

AQ 22 μου το αγιον] το αγιον μου Q | εισηλθαται A 23 μεγα] αγιον A | Κυριος] + λεγει αδωναι κ̅ς̅ A et (sub ※) Q πιπι pro κ̅ς̅ Q^{mg} 24 ληψομαι $B^{b}Q^{a}$ | γαιων] αγιων Q^{*} (γαιων Q^{a}) 27 δικαιωμασι B^{b} | φυλαξεσθαι A | ποιησητε] ποιησεται A + (sub ※) αυτα Q 28 καγω] και εγω AQ 30 om ου Q^{*} (hab Q^{1mg}) | λοιμον B^{*vid} (λιμον B^{b}AQ) | οπως] + αν B^{ab}Q | λαβητε] + ετι AQ | λιμου] λαου A | εθνεσι B^{b} 31 κατα προσωπον] και το πρ. B^{ab} | επι] εν AQ | αυτων 2°] υμω̅ A 32 κυριος] αδωναι $B^{ab mg}$ | Κυριος] ο θ̅ς̅ A | εστιν] εσται AQ | Ισραηλ] + λεγει κ̅ς̅ A 33 αδωναι Κυριος] κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | ημερα] τη ημ. εκεινη A | ανομιων] pr των A | ερημοι] pr αι AQ 34 ηφανισμενη 1°] pr η B^{ab}AQ | παροδευοντος] διοδευοντος A 35 ηφανισμενη] pr η AQ 36 εγω 1°] + ειμι A

37 νισμένας· ἐγὼ Κύριος ἐλάλησα καὶ ποιήσω. [37]Τάδε λέγει B
ἀδωναὶ Κύριος Ἔτι τοῦτο ζητηθήσομαι τῷ οἴκῳ Ἰσραὴλ τοῦ ποιῆσαι
38 αὐτούς· πληθυνῶ αὐτοὺς ὡς πρόβατα ἀνθρώπους, [38]ὡς πρόβατα
ἅγια, ὡς πρόβατα Ἰερουσαλὴμ ἐν ταῖς ἑορταῖς αὐτῆς· οὕτως ἔσονται
αἱ πόλεις αἱ ἔρημοι πλήρεις προβάτων ἀνθρώπων, καὶ γνώσονται ὅτι
ἐγὼ Κύριος.

XXXVII 1 [1]Καὶ ἐγένετο ἐπ᾽ ἐμὲ χεὶρ Κυρίου, καὶ ἐξήγαγέν με ἐν πνεύματι
Κύριος καὶ ἔθηκέν με ἐν μέσῳ τοῦ πεδίου, καὶ τοῦτο ἦν μεστὸν
2 ὀστέων ἀνθρωπίνων· [2]καὶ περιήγαγέν με ἐπ᾽ αὐτὰ κυκλόθεν κύκλῳ,
καὶ ἰδοὺ πολλὰ σφόδρα ἐπὶ προσώπου τοῦ πεδίου, ξηρὰ σφόδρα.
3 [3]καὶ εἶπεν πρὸς μέ Υἱὲ ἀνθρώπου, εἰ ζήσεται τὰ ὀστᾶ ταῦτα; καὶ
4 εἶπα Κύριε, σὺ ἐπίστῃ ταῦτα. [4]καὶ εἶπεν πρὸς μέ Προφήτευσον ἐπὶ
τὰ ὀστᾶ ταῦτα καὶ ἐρεῖς αὐτοῖς Τὰ ὀστᾶ τὰ ξηρά, ἀκούσατε λόγον
5 Κυρίου [5]Τάδε λέγει Κύριος τοῖς ὀστέοις τούτοις Ἰδοὺ ἐγὼ φέρω εἰς
6 ὑμᾶς πνεῦμα ζωῆς, [6]καὶ δώσω ἐφ᾽ ὑμᾶς νεῦρα, καὶ ἀνάξω ἐφ᾽ ὑμᾶς
σάρκας, καὶ ἐκτενῶ ἐφ᾽ ὑμᾶς δέρμα, καὶ δώσω πνεῦμά μου εἰς ὑμᾶς
7 καὶ ζήσεσθε· καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος. [7]καὶ ἐπροφήτευσα
καθὼς ἐνετείλατό μοι. καὶ ἐγένετο ἐν τῷ ἐμὲ προφητεῦσαι, καὶ ἰδοὺ
σεισμός, καὶ προσήγαγε τὰ ὀστᾶ ἑκάτερον πρὸς τὴν ἁρμονίαν αὐτοῦ.
8 [8]καὶ ἴδον, καὶ ἰδοὺ ἐπ᾽ αὐτὰ νεῦρα καὶ σάρκες ἐφύοντο, καὶ ἀνέβαινεν
9 ἐπ᾽ αὐτὰ δέρματα ἐπάνω, καὶ πνεῦμα οὐκ ἦν ἐν αὐτοῖς. [9]καὶ εἶπεν
πρὸς μέ Προφήτευσον ἐπὶ τὸ πνεῦμα, προφήτευσον, υἱὲ ἀνθρώπου,
καὶ εἰπὸν τῷ πνεύματι Τάδε λέγει Κύριος Ἐκ τῶν τεσσάρων πνευ-
μάτων ἐλθὲ καὶ ἐμφύσησον εἰς τοὺς νεκροὺς τούτους, καὶ ζησάτωσαν.
10 [10]καὶ ἐπροφήτευσα καθότι ἐνετείλατό μοι· καὶ εἰσῆλθεν εἰς αὐτοὺς

36 εγω 2°] pr οτι A | Κυριος 2°] pr κ̅ς̅ A | ποιησω] εποιησα Q 37 αδω- AQ
ναι Κυριος] κ̅ς̅ κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | ζητηθησομαι] ζητημα θησομαι A | αυτους
1°] αυτοις AQ 38 εγω] + ειμι A XXXVII 1 pr tit νεκρων αναβιωσις
Q | πνευματι] adnot τω αγιω Q^mg | Κυριος] κ̅υ̅ Q | πεδιου] πεδινου Q* vid
(-διου Q^a) | οστων Q | ανθρωπινων] pr ÷ Q? 2 ξηρα] pr και ιδου AQ
3 Κυριε] pr κ̅ε̅ AQ | επιστη] επιστασαι Q | ταυτα 2°] αυτα A pr ÷ Q?
4 με] + (sub ÷) υιε αν̅ο̅υ̅ Q 5 Κυριος] pr κ̅ς̅ AQ | οστοις Q 6 πνευμα
μου εις υμας] π̅ν̅α̅ μου εφ υμ. A εις υμ. π̅ν̅α̅ μου Q | οτι] διοτι A 7 μοι]
+ κ̅ς̅ A | εγενετο] + φωνη A et (sub ※) Q | προφητευσαι] προφητευειν A |
προσηγαγεν AQ* | οστα] + οστεο̅ν̅ Q^mg 8 ειδον B^ab | εφυοντο] ανεφυ-
οντο A | δερματα] δερμα AQ 9 επι το πνευμα...ανθρωπου] υιε αν̅ο̅υ̅
προφητευσον επι το πνευμα A | Κυριος] pr κ̅ς̅ AQ | εκ των τεσσαρων πνευμα-
των (πν. sup ras B^ab) ελθε] ελθε εκ των τεσσ. ανεμων του ου̅ν̅ο̅υ̅ ελθε το πνευμα
A εκ των τεσσ. πνευματων ελθε (οι γ′ ※) το πνευμα Q 10 καθοτι]
καθως A

B τὸ πνεῦμα καὶ ἔζησαν, καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐτῶν, συναγωγὴ
πολλὴ σφόδρα. 11 καὶ ἐλάλησεν Κύριος πρὸς μὲ λέγων Υἱὲ ἀνθρώ- 11
που, τὰ ὀστᾶ ταῦτα πᾶς οἶκος Ἰσραήλ ἐστιν, καὶ αὐτοὶ λέγουσιν
Ξηρὰ γέγονεν τὰ ὀστᾶ ἡμῶν, ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνή-
καμεν. 12 διὰ τοῦτο προφήτευσον καὶ εἰπόν Τάδε λέγει Κύριος Ἰδοὺ 12
ἐγὼ ἀνοίγω ὑμῶν τὰ μνήματα, καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν,
καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τοῦ Ἰσραήλ, 13 καὶ γνώσεσθε ὅτι ἐγώ 13
εἰμι Κύριος, ἐν τῷ ἀνοῖξαί με τοὺς τάφους ὑμῶν τοῦ ἀναγαγεῖν με
ἐκ τῶν τάφων τὸν λαόν μου. 14 καὶ δώσω τὸ πνεῦμά μου εἰς ὑμᾶς 14
καὶ ζήσεσθε, καὶ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν, καὶ γνώσεσθε ὅτι
ἐγὼ Κύριος· λελάληκα καὶ ποιήσω, λέγει Κύριος.

15 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων 16 Υἱὲ ἀνθρώπου, λάβε 15 16
σεαυτῷ ῥάβδον καὶ γράψον ἐπ' αὐτὴν τὸν Ἰούδαν καὶ τοὺς υἱοὺς
Ἰσραὴλ τοὺς προσκειμένους ἐπ' αὐτόν· καὶ ῥάβδον δευτέραν λήμψῃ
σεαυτῷ καὶ γράψεις αὐτήν Τῷ Ἰωσήφ, ῥάβδον Ἐφράιμ καὶ πάντας
τοὺς υἱοὺς Ἰσραὴλ τοὺς προστεθέντας πρὸς αὐτόν. 17 καὶ συνάψεις 17
αὐτὰς πρὸς ἀλλήλας σαυτῷ εἰς ῥάβδον μίαν τοῦ δῆσαι αὐτάς, καὶ
ἔσονται ἐν τῇ χειρί σου. 18 καὶ ἔσται ὅταν λέγωσιν πρὸς σὲ οἱ υἱοὶ 18
τοῦ λαοῦ σου Οὐκ ἀναγγέλλεις ἡμῖν τί ἐστιν ταῦτά σοι; 19 καὶ ἐρεῖς 19
πρὸς αὐτούς Τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ λήμψομαι τὴν φυλὴν
Ἰωσὴφ τὴν διὰ χειρὸς Ἐφράιμ καὶ τὰς φυλὰς Ἰσραὴλ τὰς προσ-
κειμένας πρὸς αὐτόν, καὶ δώσω αὐτοὺς ἐπὶ τὴν φυλὴν Ἰούδα, καὶ
ἔσονται εἰς ῥάβδον μίαν τῇ χειρὶ Ἰούδα. 20 καὶ ἔσονται αἱ ῥάβδοι 20
ἐφ' ἃς σὺ ἔγραψας ἐπ' αὐταῖς ἐν τῇ χειρί σου ἐνώπιον αὐτῶν, 21 καὶ 21
ἐρεῖς αὐτοῖς Τάδε λέγει κύριος Κύριος Ἰδοὺ ἐγὼ λαμβάνω πάντα οἶκον
Ἰσραὴλ ἐκ μέσου τῶν ἐθνῶν οὗ εἰσήλθοσαν ἐκεῖ, καὶ συνάξω αὐτοὺς
ἀπὸ πάντων τῶν περικύκλῳ αὐτῶν καὶ εἰσάξω αὐτοὺς εἰς τὴν γῆν

AQ 10 το πνευμα] πν. ζωης A | πολλη] μεγαλη A | σφοδρα] + (sub οι γ' ※) σφοδρα Q 11 οικος] pr ο Q 12 ειπον] + προς αυτους A et (sub οι γ' ※) Q | Κυριος] pr αδωναι A pr κ̅ς̅ Q | υμων (υμω B* υμων B^{ab}) τα μνηματα] τα μν. υμων Q | υμων 2°] + (sub οι γ' ※) λαος μου Q 13 με 2°] + υμας A et (sub ※) Q | ταφων] + υμων AQ 14 το πνευμα] om το B^{ab}AQ | λελαληκα] ελαλησα (post ελ. distinx) Q | Κυριος 2°] pr κ̅ς̅ AQ 16 υιε] pr (sub ※) και συ Q | Ισραηλ 1°] αυτης A | επ 2°] προς AQ^{mg} | ληψη B^{b}Q^{a} | προστεθεντας] προσκειμενους A 17 συναψεις] συναξεις Q | προσαλληλα Q* (-λας Q^{a}) | σαυτω] σεαυτω A | του δησαι αυτας] pr ÷ Q? 18 σου] + λεγοντες A et (sub ※) Q | αναγγελλεις] απαγγελεις AQ 19 Κυριος] pr αδωναι A pr κ̅ς̅ Q | ληψομαι B^{b}Q^{a} | την δια] om την A | Ισραηλ] pr του A | προκειμενας Q* fort | Ιουδα 1°] pr του A | μιαν] + (sub ※) και εσονται μια Q | τη χειρι] pr εν AQ 20 αι ραβδοι (δ sup ras B^{ab})] om αι Q* (superscr Q^{a}) | ας] αις AQ 21 κυριος Κυριος] αδωναι κ̅ς̅ ο θ̅ς̅ A

22 τοῦ Ἰσραήλ, [22]καὶ δώσω αὐτοὺς εἰς ἔθνος ἐν τῇ γῇ μου καὶ ἐν τοῖς B
ὄρεσιν Ἰσραήλ· καὶ ἄρχων εἷς ἔσται αὐτῶν, καὶ οὐκ ἔσονται ἔτι εἰς
23 δύο ἔθνη, οὐδὲ μὴ διαιρεθῶσιν οὐκέτι εἰς δύο βασιλείας, [23]ἵνα μὴ
μαίνωνται ἔτι ἐν τοῖς εἰδώλοις αὐτῶν. καὶ ῥύσομαι αὐτοὺς ἀπὸ
πασῶν τῶν ἀνομιῶν αὐτῶν ὧν ἡμάρτοσαν ἐν αὐταῖς, καὶ καθαριῶ
αὐτούς, καὶ ἔσονταί μοι εἰς λαόν, καὶ ἐγὼ Κύριος ἔσομαι αὐτοῖς εἰς
24 θεόν· [24]καὶ ὁ δοῦλός μου Δαυεὶδ ἄρχων ἐν μέσῳ αὐτῶν· ἔσται
ποιμὴν εἷς πάντων· ὅτι ἐν τοῖς προστάγμασίν μου πορεύσονται, καὶ
25 τὰ κρίματά μου φυλάξονται καὶ ποιήσουσιν αὐτά. [25]καὶ κατοι-
κήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν ἣν ἐγὼ δέδωκα τῷ δούλῳ μου Ἰακώβ,
οὗ κατῴκησαν ἐκεῖ οἱ πατέρες αὐτῶν, καὶ κατοικήσουσιν ἐπ' αὐτῆς
26 αὐτοί. καὶ Δαυεὶδ ὁ δοῦλός μου ἄρχων εἰς τὸν αἰῶνα. [26]καὶ δια-
θήσομαι αὐτοῖς διαθήκην εἰρήνης, διαθήκη αἰωνία ἔσται μετ' αὐτῶν·
27 καὶ θήσω τὰ ἅγιά μου ἐν μέσῳ αὐτῶν εἰς τὸν αἰῶνα, [27]καὶ ἔσται ἡ
κατασκήνωσίς μου ἐν αὐτοῖς, καὶ ἔσομαι αὐτοῖς θεός, καὶ αὐτοί μου
28 ἔσονται λαός. [28]καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι Κύριος ὁ
ἁγιάζων αὐτούς, ἐν τῷ εἶναι τὰ ἅγιά μου ἐν μέσῳ αὐτῶν εἰς τὸν
αἰῶνα.

XXXVIII 1 2 [1]Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων [2]Υἱὲ ἀνθρώπου, στή-
ρισον τὸ πρόσωπόν σου ἐπὶ Γὼγ καὶ τὴν γῆν τοῦ Μαγώγ, ἄρχοντα
3 Ῥώς, Μέσοχ, καὶ Θοβέλ, καὶ προφήτευσον ἐπ' αὐτὸν [3]καὶ εἰπὸν
αὐτῷ Τάδε λέγει κύριος Κύριος Ἰδοὺ ἐγὼ ἐπὶ ἄρχοντα Ῥώς, Μέσοχ,
4 καὶ Θοβέλ, [4]καὶ συνάξω σε καὶ πᾶσαν τὴν δύναμίν σου, ἵππους καὶ
ἱππεῖς ἐνδεδυμένους θώρακας πάντας συναγωγὴ πολλῇ, πέλται καὶ

22 Ισραηλ] pr του A | αυτων] pr παντων A et (sub ※) Q + (sub ※) εις AQ
βασιλεα Q | ετι] ουκετι A | βασιλειας] βασιλεις Q 23 αυτων 1°] + εν οις
ημαρτοσαν εν αυτοις και εν τοις προσοχθεισμασιν αυτων και εν πασαις ταις βασι-
λειαις (sic) αυτων A + (sub θ' ※) και εν τοις προσοχθισμασιν αυτων και εν πασαις
ταις ασεβειαις αυτων Q | ημαρτοσαν] ν sup ras B? | om Κυριος Q 24 εσται
ποιμην εις] και ποιμην εις εσται AQ | παντων] + (sub ※) αυτων Q | μου 2°] μοι
B* (μου B^{a?b}) | πορευσωνται A | φυλαξωνται A 25 εγω δεδωκα] εδωκα εγω
Q | αυτοι] + και οι υιοι αυτων και οι υιοι των υιων αυτων εως αιωνος A et
(sub α'θ' ※) Q | και 3°] + ιδου A | αρχων] + αυτων εσται AQ* (εσται sub ÷
Q?) 26 διαθηκη] pr και A | αυτων 1°] + (sub α'θ' ※) και δωσω αυτους
και πληθυνω αυτους Q 27 θεος] εις θν̅ A | μου εσονται] εσονται μοι A
εσ. μου Q 28 om τα εθνη A | αιωνα] + λεγει κ̅ς̅ A XXXVIII 1 pr
tit περι Γωγ και Μαγωγ Q^{mg sup} 2 Γωγ] adnot δωματα Q^{mg} | Μαγωγ]
τηγμος (sic ut vid) η απο δωματων Q^{mg} | Ρως] adnot κεφαλης Q^{mg} | Μεσοχ]
Μοσοχ A adnot εκστασις Q^{mg} | Θοβελ] adnot συμπασα Q^{mg} 3 κυριος 1°]
αδωναι A | επι] + σε B^{ab} + σε Γωγ AQ | αρχοντα] pr και A | Μεσοχ] Μοσοκ A
4 και 1°] pr (sub θ' ※) και περιστρεψω σε και δωσω χαλινον εις τας σιαγονας
σου Q

B περικεφαλαῖαι καὶ μάχαιραι· 5Πέρσαι καὶ Αἰθίοπες καὶ Λίβυες, 5
πάντες περικεφαλαίαις καὶ πέλταις, 6Γόμερ καὶ πάντες οἱ περὶ αὐτόν, 6
οἶκος τοῦ Θεργαμὰ ἀπ᾽ ἐσχάτου βορρᾶ καὶ πάντες οἱ περὶ αὐτόν, καὶ
ἔθνη πολλὰ μετὰ σοῦ. 7ἑτοιμάσθητι, ἑτοίμασον σεαυτὸν σὺ καὶ 7
πᾶσα ἡ συναγωγή σου, οἱ συνηγμένοι μετὰ σοῦ, καὶ ἔσῃ μοι εἰς
προφυλακήν. 8ἀφ᾽ ἡμερῶν πλειόνων ἑτοιμασθήσεται, καὶ ἐπ᾽ ἐσχά- 8
του ἐτῶν ἐλεύσεται καὶ ἥξει εἰς τὴν γῆν τὴν ἀπεστραμμένην ἀπὸ
μαχαίρας, συνηγμένων ἀπὸ ἐθνῶν πολλῶν, ἐπὶ γῆν Ἰσραὴλ ἣ ἐγε-
νήθη ἔρημος δι᾽ ὅλου· καὶ οὗτος ἐξ ἐθνῶν ἐξελήλυθεν, καὶ κατοική-
σουσιν ἐπ᾽ εἰρήνης ἅπαντες. 9καὶ ἀναβήσῃ ὡς ὑετός, καὶ ἥξει ὡς 9
νεφέλη κατακαλύψαι γῆν, καὶ ἔσει σὺ καὶ πάντες οἱ περὶ σὲ καὶ ἔθνη
πολλὰ μετὰ σοῦ. 10τάδε λέγει κύριος Κύριος Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ 10
ἐκείνῃ ἀναβήσεται ῥήματα ἐπὶ τὴν καρδίαν σου, καὶ λογιῇ λογισμοὺς
πονηροὺς 11καὶ ἐρεῖς Ἀναβήσομαι ἐπὶ γῆν ἀπερριμμένην, ἥξω ἐπὶ 11
ἡσυχάζοντας ἐν ἡσυχίᾳ καὶ οἰκοῦντας ἐπ᾽ εἰρήνης, πάντας κατοικοῦν-
τας γῆν ἐν ᾗ οὐχ ὑπάρχει τεῖχος οὐδὲ μοχλοί, καὶ θύραι οὐκ εἰσὶν
αὐτοῖς· 12προνομεῦσαι προνομὴν καὶ σκυλεῦσαι σκῦλα αὐτῶν, τοῦ 12
ἐπιστρέψαι χεῖρά μου εἰς τὴν ἠρημωμένην ἣ κατοικίσθη, καὶ ἐπ᾽ ἔθνος
συνηγμένον ἀπὸ ἐθνῶν πολλῶν, πεποιηκότας κτήσεις, κατοικοῦντας
ἐπὶ τὸν ὀμφαλὸν τῆς γῆς. 13Σαβὰ καὶ Δαιδὰν καὶ ἔμποροι Καρχη- 13
δόνιοι καὶ πᾶσαι αἱ κῶμαι αὐτῶν ἐροῦσίν σοι Εἰς προνομὴν τοῦ
προνομεῦσαι σὺ ἔρχῃ καὶ σκυλεῦσαι σκῦλα; συνήγαγες συναγωγήν σου
λαβεῖν ἀργύριον καὶ χρυσίον, ἀπενέγκασθαι κτῆσιν τοῦ σκυλεῦσαι
σκῦλα; 14Διὰ τοῦτο προφήτευσον, υἱὲ ἀνθρώπου, καὶ εἰπὸν τῷ 14

AQ 4 μαχαιραι] + (sub θ′ ※) παντες αυτοι Q 5 Περσαι] adnot πειραζομενοι Q^{mg} | Αιθιοπες] adnot ταπεινωσις Q^{mg} | Λιβυες] + και Λυδοι A + (sub ※) μετ αυτων adnot στομα αποκλινοντος Q^{mg} | περικεφαλαιαις] pr εν A 6 Γομερ] adnot πικρασθησεται Q^{mg} | Θεργαμα] adnot παροικια τις Q^{mg} 7 ετοιμασον] pr και A | σεαυτον] σαυτον Q 8 πλειονων] + ετων A | εσχατων A | επι γην Ισραηλ] εις την γην του Ι̅η̅λ A | ουτος εξ εθνων εξεληλυθεν] αυτος εξελ. εκ των εθν. A 9 ηξεις AQ | νεφελη] καταιγις Q^{mg} | εσει (-σῃ B^{ab})] πεσῃ AQ 10 Κυριος] + ο θ̅ς̅ A 11 απεριμμενην AQ | επι 2°] εφ Q | οικουντας] κατοικου|ντας A | γην εν η] πολεις εν αις A | αυτοις] αυταις A 12 om αυτων A | χειρα] pr την A | την ηρημ.] γην ηρημ. Q | επ] επι AQ | κτησεις] + (sub σ′ ※) και υπαρξι[ς] Q | κατοικουντας] pr και Q 13 Σαβα] Σαβαν Q adnot κυκλος Q^{mg} | Δαιδαν] Δαδαν Q adnot κατασκοπη χαρας Q$^{mg\,vid}$ | εμποροι] pr οι A | Καρχηδονιοι (Κ sup ras B^{ab})] Χαλκηδονος A adnot μονοτης Καρχ. Θαρσεις Q$^{mg\,vid}$ | κωμαι αυτων] χωραι αυτης A | του προνομευσαι εις προνομην A | απειενεγκασθαι Q* (απεν. Q^{a}) | κτησιν] κτησεις A | σκυλα 2°] + (sub θ′ ※) μεγαλα Q 14 ειπον] ειπε Q* (om και ειπ. Q$^{?}$)

Γώγ Τάδε λέγει Κύριος Οὐκ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν τῷ κατοικισθῆναι B
15 τὸν λαόν μου Ἰσραὴλ ἐπ' εἰρήνης, ἐγερθήσῃ; [15]καὶ ἥξεις ἐκ τοῦ
τόπου σου ἀπ' ἐσχάτου βορρᾶ, καὶ ἔθνη πολλὰ μετὰ σοῦ, ἀναβάται
16 ἵππων πάντες, συναγωγὴ μεγάλη καὶ δύναμις πολλή, [16]καὶ ἀναβήσῃ
ἐπὶ τὸν λαόν μου Ἰσραὴλ ὡς νεφέλη καλύψαι γῆν· ἐπ' ἐσχάτων
τῶν ἡμερῶν ἔσται, καὶ ἀνάξω σε ἐπὶ τὴν γῆν μου, ἵνα γνῶσιν πάντα
17 τὰ ἔθνη ἐμέ, ἐν τῷ ἁγιασθῆναί με ἐν σοὶ ἐνώπιον αὐτῶν. [17]τάδε
λέγει κύριος Κύριος τῷ Γὼγ Σὺ εἶ περὶ οὗ ἐλάλησα πρὸ ἡμερῶν τῶν
ἔμπροσθεν διὰ χειρὸς τῶν δούλων μου προφητῶν τοῦ Ἰσραήλ, ἐν
18 ταῖς ἡμέραις ἐκείναις καὶ ἔτεσιν, τοῦ ἀγαγεῖν σε ἐπ' αὐτούς. [18]καὶ
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν ἡμέρᾳ ᾗ ἂν ἔλθῃ Γὼγ ἐπὶ τὴν γῆν
19 Ἰσραήλ, λέγει κύριος Κύριος, ἀναβήσεται ὁ θυμός μου [19]καὶ ὁ ζῆλός
μου. ἐν πυρὶ τῆς ὀργῆς μου ἐλάλησα Εἰ μὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται
20 σεισμὸς μέγας ἐπὶ γῆς Ἰσραήλ, [20]καὶ σεισθήσονται ἀπὸ προσώπου
Κυρίου οἱ ἰχθύες τῆς θαλάσσης καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ
θηρία τοῦ πεδίου καὶ πάντα τὰ ἑρπετὰ τὰ ἕρποντα ἐπὶ τῆς γῆς καὶ
πάντες οἱ ἄνθρωποι οἱ ἐπὶ προσώπου τῆς γῆς, καὶ ῥαγήσεται τὰ ὄρη
καὶ πεσοῦνται αἱ φάραγγες, καὶ πᾶν τεῖχος ἐπὶ τὴν γῆν πεσεῖται.
21 [21]καὶ καλέσω ἐπ' αὐτὸ καὶ πᾶν φόβον, λέγει Κύριος· μάχαιρα ἀν-
22 θρώπου ἐπὶ τὸν ἀδελφὸν αὐτοῦ ἔσται. [22]καὶ κρινῶ αὐτὸν θανάτῳ
καὶ αἵματι καὶ ὑετῷ κατακλύζοντι καὶ λίθοις χαλάζης, καὶ πῦρ καὶ
θεῖον βρέξω ἐπ' αὐτὸν καὶ ἐπὶ πάντας τοὺς μετ' αὐτοῦ καὶ ἐπ' ἔθνη
23 πολλὰ μετ' αὐτοῦ. [23]καὶ μεγαλυνθήσομαι καὶ ἁγιασθήσομαι. καὶ
ἐνδοξασθήσομαι καὶ γνωσθήσομαι ἐναντίον ἐθνῶν πολλῶν, καὶ γνώ-
XXXIX 1 σονται ὅτι ἐγώ εἰμι Κύριος. [1]Καὶ σύ, υἱὲ ἀνθρώπου, προ-
φήτευσον ἐπὶ Γὼγ καὶ εἰπόν Τάδε λέγει Κύριος Ἰδοὺ ἐγὼ ἐπὶ σὲ
2 Γώγ, ἄρχοντα Ῥώς, Μέσοχ, καὶ Θοβέλ· [2]καὶ συνάξω σε καὶ καθο-
δηγήσω σε καὶ ἀναβιβῶ σε ἐπ' ἐσχάτου τοῦ βορρᾶ, καὶ ἀνάξω σε ἐπὶ

14 Κυριος] κ̅ς̅ κ̅ς̅ ο θ̅ς̅ A κ̅ς̅ κ̅ς̅ Q | ουκ] ουχι A | κατωκισθηναι Q* (κατοικ. AQ Q^a) | εγερθηση] εξεγερθηση A 16 αυτων] + Γωγ (fort sub ※) Q 17 κυριος Κυριος] αδωναι κ̅ς̅ ο θ̅ς̅ A | τω Γωγ] pr ÷ Q? | προ] αφ A | προφητων] pr των AQ | Ισραηλ] + (sub θ'σ' ※) των προφητευσαντω̅| Q | ετεσι B^b | αγαγειν] αναγαγειν A 18 Ισραηλ] pr του AQ | Κυριος] + ο θ̅ς̅ A | μου] + (sub θ' ※) εν οργη μου Q 19 om ει μην Q | γης] pr της AQ | Ισραηλ] pr του A 20 σεισθησονται] ον sup ras B^ab | Κυριου] pr του A | ραγησονται A 21 αυτο] αυτον Q | om και 2° AQ | παν] παντα Q | φοβον] + μαχαιρας AQ | Κυριος] pr κ̅ς̅ AQ 22 επ 2°] επι A 23 και ενδοξασθησομαι] pr ÷ Q? XXXIX 1 Κυριος] pr κ̅ς̅ AQ | Μεσοχ] Μοσοχ AQ | Θοβελ] Θοβερ A 2 αναβιβασω AQ | επ] απ AQ | αναξω] συναξω A

§ Γ B τὰ ὄρη τοῦ Ἰσραήλ. [3]καὶ ἀπολῶ τὸ τόξον σου ἀπὸ τῆς χειρός σου 3
τῆς ἀριστερᾶς καὶ τὰ τοξεύματά σου ἀπὸ τῆς χειρός σου τῆς δεξιᾶς,
[(4)]καὶ καταβαλῶ σε [4]ἐπὶ τὰ ὄρη τὰ Ἰσραήλ, καὶ πεσῇ σὺ καὶ πάντες οἱ 4
περὶ σέ, καὶ τὰ ἔθνη τὰ μετὰ σοῦ δοθήσονται εἰς πλήθη ὀρνέων·
παντὶ πετεινῷ καὶ πᾶσι τοῖς θηρίοις τοῦ πεδίου δέδωκά σε κατα-
βρωθῆναι. [5]ἐπὶ προσώπου τοῦ πεδίου πεσῇ, ὅτι ἐγὼ ἐλάλησα, 5
λέγει Κύριος. [6]καὶ ἀποστελῶ πῦρ ἐπὶ Γώγ, καὶ κατοικηθήσονται αἱ 6
νῆσοι ἐπ' εἰρήνης· καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος. [7]καὶ τὸ 7
ὄνομά μου τὸ ἅγιον γνωσθήσεται ἐν μέσῳ λαοῦ μου Ἰσραήλ, καὶ οὐ
βεβηλωθήσεται τὸ ὄνομά μου τὸ ἅγιον οὐκέτι· καὶ γνώσονται τὰ ἔθνη
ὅτι ἐγώ εἰμι Κύριος, ἅγιος ἐν Ἰσραήλ. [8]Ἰδοὺ ἥκει, καὶ γνώσῃ ὅτι 8
ἔσται, λέγει κύριος Κύριος· αὕτη ἐστὶν ἡ ἡμέρα ἐν ᾗ ἐλάλησα. [9]καὶ 9
ἐξελεύσονται οἱ κατοικοῦντες τὰς πόλεις Ἰσραὴλ καὶ καύσουσιν ἐν
τοῖς ὅπλοις, πέλταις καὶ κοντοῖς καὶ τόξοις καὶ τοξεύμασι καὶ ῥάβδοις
¶ Γ χειρῶν καὶ λόγχαις, καὶ καύσουσιν ἐν αὐτοῖς¶ πῦρ ἑπτὰ ἔτη· [10]καὶ 10
οὐ μὴ λάβωσιν ξύλα ἐκ τοῦ πεδίου οὐδὲ μὴ κόψουσιν ἐκ τῶν δρυμῶν,
ἀλλ' ἢ τὰ ὅπλα κατακαύσουσιν πυρί· καὶ προνομεύσουσιν τοὺς
προνομεύσαντας αὐτούς, καὶ σκυλεύσουσιν τοὺς σκυλεύσαντας αὐ-
τούς, λέγει Κύριος. [11]Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ δώσω τῷ 11
Γὼγ τόπον ὀνομαστόν, μνημεῖον ἐν Ἰσραήλ, τὸ πολυάνδριον τῶν
ἐπελθόντων πρὸς τῇ θαλάσσῃ, καὶ περιοικοδομήσουσιν τὸ περι-
στόμιον τῆς φάραγγος· [12]καὶ κατορύξουσιν ἐκεῖ τὸν Γὼγ καὶ πᾶν τὸ 12
πλῆθος αὐτοῦ, καὶ κληθήσεται Τὸ τέ, τὸ πολυάνδριον τοῦ Γώγ. [13]καὶ 13 (12)
κατορύξουσιν αὐτοὺς οἶκος Ἰσραὴλ ἵνα καθαρισθῇ ἡ γῆ ἐν ἑπταμήνῳ,
[(13)]καὶ κατορύξουσιν αὐτοὺς πᾶς ὁ λαὸς τῆς γῆς, καὶ ἔσται αὐτοῖς (13)
ὀνομαστὸν ᾗ ἡμέρᾳ ἐδοξάσθην, λέγει Κύριος. [14]καὶ ἄνδρας διὰ 14
παντὸς διαστελοῦσιν ἐπιπορευομένους τὴν γῆν θάψαι τοὺς κατα-
λελιμμένους ἐπὶ προσώπου τῆς γῆς, καθαρίσαι αὐτὴν μετὰ τὴν

AQΓ 3 το τοξον] om το Q | απο 1°] εκ A 4 τα Ισραηλ] του $\overline{Iηλ}$ A om τα QΓ | τα μετα] om τα A^{*} (hab $A^{a?}$) | παντι] pr και Γ 5 προσωπον Q | Κυριος] pr $\overline{κς}$ AQΓ 6 Γωγ] σε A Μαγωγ Γ | κατοικισθησονται A 7 γνωσθησεται] γνωσθησονται Q^{*vid} (spat 1 lit inter ε et τ) | μου το αγιον (2°)] το αγιον μου Q | τα εθνη] pr παντα AΓ | Κυριος] pr $\overline{κς}$ A | αγιος] pr ο AΓ | om εν 2° A (?Γ) 8 εσται] [εσ]τι[ν] $Γ^{vid}$ | Κυριος] + ο $\overline{θς}$ A 9 Ισραηλ] + (sub θ' ※) και εκκαυσουσιν Q | καυσουσιν] εκκαυσουσιν Γ | πελ-ταις] pr ÷ $Q^{?}$ | τοξευμασιν AQΓ 10 κοψωσιν AQ | Κυριος] pr $\overline{κς}$ Q 11 om εν Ισραηλ A^{*} (hab $A^{a?}$) | την θαλασσαν A 12 κατορυξωσιν A | το τε] το γαι A το γε Q 13 κατορυξουσιν 1°] κατορυξωσιν A | Ισραηλ] pr του A | ονομαστον] pr εις AQ | ημερα] + η A | Κυριος] pr $\overline{κς}$ Q 14 δια-στελουσιν] αποστελουσιν Q^{mg} | την γην] pr πασαν AQ^{mg} | θαψαι] + (sub ※) και τους παραπορευομενους A | καταλελειμμενους $B^{ab}Q^{*}$

15 ἑπτάμηνον, καὶ ἐκζητήσουσιν. [15]καὶ πᾶς ὁ διαπορευόμενος τὴν γῆν B
καὶ ἰδὼν ὀστοῦν ἀνθρώπου οἰκοδομήσει παρ' αὐτὸ σημεῖον, ἕως ὅτου
θάψωσιν αὐτὸ οἱ θάπτοντες εἰς τὸ γαὶ τὸ πολυάνδριον τοῦ Γώγ·
16 [16]καὶ γὰρ τὸ ὄνομα τῆς πόλεως Πολυάνδριον· καὶ καθαρισθήσεται
17 ἡ γῆ. [17]καὶ σύ, υἱὲ ἀνθρώπου, εἰπόν Τάδε λέγει Κύριος Εἰπὸν
παντὶ ὀρνέῳ πετεινῷ καὶ πρὸς πάντα τὰ θηρία τοῦ πεδίου Συνάχθητε
καὶ ἔρχεσθε, συνάχθητε ἀπὸ πάντων τῶν περικύκλῳ ἐπὶ τὴν θυ-
σίαν μου, ἣν τέθυκα ὑμῖν θυσίαν μεγάλην ἐπὶ τὰ ὄρη Ἰσραήλ, καὶ
18 φάγεσθε κρέα καὶ πίεσθε αἷμα. [18]κρέα γιγάντων φάγεσθε, καὶ αἷμα
ἀρχόντων τῆς γῆς πίεσθε, κριοὺς καὶ μόσχους καὶ τράγους, καὶ οἱ
19 μόσχοι ἐστεατωμένοι πάντες. [19]καὶ φάγεσθε στέαρ εἰς πλησμονήν,
20 καὶ πίεσθε αἷμα εἰς μέθην ἀπὸ τῆς θυσίας μου ἧς ἔθυσα ὑμῖν. [20]καὶ
ἐμπλησθήσεσθε ἐπὶ τῆς τραπέζης μου ἵππον καὶ ἀναβάτην καὶ γί-
21 γαντα καὶ πάντα ἄνδρα πολεμιστήν, λέγει Κύριος. [21]καὶ δώσω τὴν
δόξαν μου ἐν ὑμῖν, καὶ ὄψονται πάντα τὰ ἔθνη τὴν κρίσιν μου ἣν
22 ἐποίησα καὶ τὴν χεῖρά μου ἣν ἐπήγαγον ἐπ' αὐτούς. [22]καὶ γνώσονται
οἶκος Ἰσραὴλ ὅτι ἐγώ εἰμι Κύριος ὁ θεὸς αὐτῶν ἀπὸ τῆς ἡμέρας
23 ταύτης καὶ ἐπέκεινα. [23]καὶ γνώσονται πάντα τὰ ἔθνη ὅτι διὰ τὰς
ἁμαρτίας αὐτῶν ᾐχμαλωτεύθησαν οἶκος Ἰσραήλ, ἀνθ' ὧν ἠθέτησαν
§εἰς ἐμέ, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτῶν καὶ παρέδωκα § Γ
αὐτοὺς εἰς χεῖρας τῶν ἐχθρῶν αὐτῶν, καὶ ἔπεσαν πάντες μαχαίρᾳ.
24 [24]κατὰ τὰς ἀκαθαρσίας αὐτῶν καὶ κατὰ τὰ ἀνομήματα αὐτῶν ἐποίησα
25 αὐτοῖς, καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτῶν. [25]Διὰ τοῦτο
τάδε λέγει κύριος Κύριος Νῦν ἀποστρέψω αἰχμαλωσιαν ἐν Ἰακώβ,
καὶ ἐλεήσω τὸν οἶκον Ἰσραήλ, καὶ ζηλώσω διὰ τὸ ὄνομα τὸ ἅγιόν μου.
26 [26]καὶ λήμψονται τὴν ἀτιμίαν ἑαυτῶν καὶ τὴν ἀδικίαν ἣν ἠδίκησαν, ἐν
τῷ κατοικισθῆναι αὐτοὺς ἐπὶ τὴν γῆν αὐτῶν ἐπ' εἰρήνης, καὶ οὐκ ἔσται
27 ὁ ἐκφοβῶν, [27]ἐν τῷ ἀποστρέψαι με αὐτοὺς ἐκ τῶν ἐθνῶν καὶ συνα-
γαγεῖν με αὐτοὺς ἐκ τῶν χωρῶν τῶν ἐθνῶν, καὶ ἁγιασθήσομαι ἐν
28 αὐτοῖς ἐνώπιον τῶν ἐθνῶν· [28]καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος

14 εκζητησουσιν] ζητησουσιν Q* (εκζ. Q[mg]) + ακριβως A **15** και 1°] AQΓ
+ εσται A om Q | την γην] pr πασαν A | ιδων] pr ο Q[mg] | αυτο 1°] αυτω Q |
θαψουσιν Q | γαι] γε BQ | το πολυανδρ.] τε π. B[* vid] (το π. B[?]) **17** om
ειπον 1° Q | Κυριος] pr κ̅ς̅ Q | πεδιου] αγρου A | ην] + εγω Q **20** om και 3°
A | Κυριος] pr κ̅ς̅ AQ **23** επεσον AQ[vid] **25** Κυριος] + ο θ̅ς̅ A | απο-
στρεψω] αναστρεψω AQ | αιχμαλωσιαν εν Ιακωβ] την αιχμ. Ιακωβ A αιχμ.
Ιακωβ Q **26** λημψονται (ληψ. B[b]Q[a])] λημψομαι A | εαυτων] αυτων AΓ |
την γην] [της] γης Γ | εκφοβων] + [α]υ[τ]ους Γ **27** om των χωρων...ενωπιον
Γ | των εθνων 3°] εθνων πολλων A

B ὁ θεὸς αὐτῶν, ἐν τῷ ἐπιφανῆναί με αὐτοῖς ἐν τοῖς ἔθνεσιν. [29]καὶ 29
οὐκ ἀποστρέψω οὐκέτι τὸ πρόσωπόν μου ἀπ᾽ αὐτῶν, ἀνθ᾽ οὗ ἐξέχεα
τὸν θυμόν μου ἐπὶ τὸν οἶκον Ἰσραήλ, λέγει κύριος Κύριος.

[1]Καὶ ἐγένετο ἐν τῷ πέμπτῳ καὶ εἰκοστῷ ἔτει τῆς αἰχμαλωσίας 1 XL
ἡμῶν, ἐν τῷ πρώτῳ μηνὶ δεκάτῃ τοῦ μηνός, ἐν τῷ τεσσαρεσκαι-
δεκάτῳ ἔτει μετὰ τὸ ἁλῶναι τὴν πόλιν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐγένετο
ἐπ᾽ ἐμὲ χεὶρ Κυρίου καὶ ἤγαγέν με [2]ἐν ὁράσει θεοῦ εἰς τὴν γῆν 2
Ἰσραήλ, καὶ ἔθηκέν με ἐπ᾽ ὄρος ὑψηλὸν σφόδρα, καὶ ἐπ᾽ αὐτῷ ὡσεὶ
οἰκοδομὴ πόλεως ἀπέναντι. [3]καὶ εἰσήγαγέν με ἐκεῖ, καὶ ἰδοὺ ἀνήρ, καὶ 3
ἡ ὅρασις αὐτοῦ ἦν ὡσεὶ ὅρασις χαλκοῦ στίλβοντος, καὶ ἐν τῇ χειρὶ
αὐτοῦ ἦν σπαρτίον οἰκοδόμων καὶ κάλαμος μέτρον· καὶ αὐτὸς ἱστήκει
ἐπὶ τῆς πύλης. [4]καὶ εἶπεν πρὸς μὲ ὁ ἀνήρ Ἑόρακας, υἱὲ ἀνθρώ- 4
που; ἐν τοῖς ὀφθαλμοῖς σου ἴδε, καὶ ἐν τοῖς ὠσίν σου ἄκουε, καὶ
τάξον εἰς τὴν καρδίαν σου πάντα ὅσα ἐγὼ δεικνύω σοι, διότι ἕνεκα
τοῦ δεῖξαί σοι εἰσελήλυθας ὧδε, καὶ δείξεις πάντα ὅσα σὺ ὁρᾷς τῷ
οἴκῳ τοῦ Ἰσραήλ. [5]Καὶ ἰδοὺ περίβολος ἔξωθεν τοῦ οἴκου κύκλῳ, 5
καὶ ἐν τῇ χειρὶ τοῦ ἀνδρὸς κάλαμος τὸ μέτρον πηχῶν ἓξ ἐν πήχει
καὶ παλαιστῆς· καὶ διεμέτρησεν τὸ προτείχισμα, πλάτος ἴσον τῷ
καλάμῳ, καὶ τὸ ὕψος αὐτοῦ ἴσον τῷ καλάμῳ. [6]καὶ εἰσῆλθεν εἰς 6
τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολὰς ἐν ἑπτὰ ἀναβαθμοῖς,
¶ Γ καὶ διεμέτρησεν¶ τὸ αἰλὰμ τῆς πύλης ἴσον τῷ καλάμῳ, [7]καὶ τὸ 7
θεὲ ἴσον τῷ καλάμῳ τὸ μῆκος καὶ ἴσον τῷ καλάμῳ τὸ πλάτος,
καὶ τὸ αἰλὰμ ἀνὰ μέσον τοῦ θαιηλαθὰ πηχῶν ἕξ· καὶ τὸ θεὲ τὸ
δεύτερον ἴσον τῷ καλάμῳ πλάτος καὶ ἴσον τῷ καλάμῳ μῆκος,

AQΓ 28 εθνεσιν (-σι B^{b})] + (sub ※) και συναξω αυτους επι την γην αυτων και ου καταλειψω ουκετι απ αυτων εκει Q 29 ου] ων AΓ XL 1 pr tit ετει κε´ μηνι α´ ημερα ι´ $Q^{mg\ sup}$ | εικοστω και πεμπτω Q | τεσσαρισκαιδεκατω B^{ab} [τεσ]σερεσκαιδ. Γ | αλωναι] αλωθηναι A | χειρ κ̅υ̅ επ εμε A | με] + (sub ※) εκει Q 2 Ισραηλ] sup ras B^{ab} pr του AΓ | ορους υψηλου AQΓ | αυτω] αυτου AQΓ | ωσει] ως Γ 3 ωσει] ως Γ | στιλβοντος] pr ÷ $Q^{?}$ | εν τη χειρι...οικοδομων] ην σπαρτιον οικοδομων εν τη χειρι αυτου Q | μετρον] + εν τη χειρι αυτου A et (sub α´θ´ ※) Q | ειστηκει $B^{ab}Q^{a}$ 4 εορακας (εωρ. B^{ab}A)] pr ον B^{ab} pr ÷ $Q^{?}$ + συ A | εν τοις οφθ. σου ιδε] ιδε εν τοις οφθ. σου AΓ ιδε τοις οφθ. σου Q | δεικνυω] δ(ι)κνυσ[ω] $Γ^{vid}$ | παντας (2°) A | του Ισραηλ] om του AQΓ 5 pr tit διαγραφη του ναου $Q^{mg\ sup}$ | πηχων] πηχεων AQ | πηχει] + ανδρος Q | πλατος] pr το A 6 και 2°] α sup ras A^{a} | διεμετρησεν] + το θεε εξ ενθεν και εξ ενθεν και A + το θεε (θε Q^{*vid} α´θ´ Ωρ. προθυρο̅| σ´ ουδον Q^{mg}) εξ και εξ Q + το θεε εξ εξ Γ ¶ και ισον] καισον B^{*} (και ισ. B^{ab}) | αιλαμ 1°] ελαμ A σ´ Ωρ. προπυλον Q^{mg} | θαιηλαθα] θεε A θεηλαθα Q | εξ] πεντε Q | πλατος 2°] pr το A | om και ισον τω καλαμω μηκος A

8 καὶ τὸ αιλαμ πήχεων πέντε· [8]καὶ τὸ θεε τὸ τρίτον ἴσον τῷ καλάμῳ B
9 πλάτος, καὶ ἴσον τῷ καλάμῳ μῆκος, [9]καὶ τὸ αιλαμ τοῦ πυλῶνος
πλησίον τοῦ αιλαμ τῆς πύλης πηχῶν ὀκτώ, καὶ τὰ αιλευ πηχῶν δύο·
10 καὶ τὰ αιλαμ τῆς πύλης ἔσωθεν, [10]καὶ τὰ θεε τῆς πύλης θεε κατέναντι,
τρεῖς ἔνθεν καὶ τρεῖς ἔνθεν, καὶ μέτρον ἐν τοῖς τρισίν, μέτρον ἐν τοῖς
11 αιλαμ ἔνθεν καὶ ἔνθεν. [11]καὶ διεμέτρησεν τὸ πλάτος τῆς θύρας τοῦ
πυλῶνος πηχῶν δέκα, καὶ τὸ εὖρος τοῦ πυλῶνος πηχῶν δέκα τριῶν.
12 [12]καὶ πῆχυς ἐπισυναγόμενος ἐπὶ πρόσωπον τῶν θεειμ ἔνθεν καὶ
13 ἔνθεν, καὶ τὸ θεε πηχῶν ἓξ ἔνθεν καὶ πηχῶν ἓξ ἔνθεν. [13]καὶ
διεμέτρησεν τὴν πύλην ἀπὸ τοῦ τοίχου τοῦ θεε ἐπὶ τὸν τοῖχον τοῦ
14 θεε, πλάτος πήχεις εἴκοσι πέντε· αὕτη πύλη ἐπὶ πύλην. [14]καὶ τὸ
αἴθριον τοῦ αιλαμ τῆς πύλης ἔξωθεν, πήχεις εἴκοσι, θεειμ τῆς πύλης
15 κύκλῳ. [15]καὶ τὸ αἴθριον τῆς πύλης ἔξωθεν εἰς τὸ αἴθριον αιλαμ τῆς
16 πύλης ἔσωθεν, πηχῶν πεντήκοντα. [16]καὶ θυρίδες κρυπταὶ ἐπὶ τὸ
θεειμ καὶ ἐπὶ τὰ αιλαμ ἔσωθεν τῆς πύλης τῆς αὐλῆς κυκλόθεν· καὶ
ὡσαύτως τοῖς αιλαμ θυρίδας κύκλῳ ἔσωθεν, καὶ ἐπὶ τὸ αιλαμ φοί-
17 νικες ἔνθεν καὶ ἔνθεν. [17]Καὶ εἰσήγαγέν με εἰς τὴν αὐλὴν τὴν
ἐσωτέραν, καὶ ἰδοὺ παστοφόρια καὶ περίστυλα τῆς αὐλῆς κύκλῳ,
18 τριάκοντα παστοφόρια ἐν τοῖς περιστύλοις, [18]καὶ αἱ στοαὶ κατὰ νώτου
τῶν πυλῶν, κατὰ τὸ μῆκος τῶν πυλῶν τὸ περίστυλον τὸ ὑποκάτω.

7 το (superscr aliq postea ras B?) αιλαμ (2°)] το ελαμ B το ελ Q | πηχεων] AQ πηχων Q 8 πλατος (πλατο sup ras B^ab)] το μηκος A | om πλατος και ισον τω καλαμω Q | μηκος] το πλατος A 9 αιλαμ 1°] αιλ Q adnot προπυλον του πυλωνος Q^mg | πυλης 1°] + εσωθε̄| ισον τω καλαμω και διεμετρησεν το ελαμ της πυλης A ⸢ οκτω πηχων Q ⸢ τα αιλευ] το αιλευ A adnot το περι αυτο της πυλης στηριγμα Q^mg | πηχων δυο] π. δεκα A δυο πηχων Q | τα αιλαμ] το αιλαμ A 10 τα θεε] το θεε A | om θεε 2° Q | μετρον 2°] pr και A | τοις αιλαμ] τω ελαμ A 11 πηχων bis] πηχεων A | δεκα πηχων Q 12 επι] κατα A | των θεειμ] τω θεε A | θεειμ] α′ στηριγματων σ′ παρασταδων Q^mg + (sub θ′ ※) πηχεος ενος και πηχεος ενος οριον AQ | το θεε] Ωρ. αι παρασταδες Q^mg | πηχεων bis A 13 τοιχου] τειχους AQ | θεε 1°] θε Q*vid | πηχεις εικοσι πεντε] om πηχεις A εικοσι πεντε πηχ. Q 14 improb και B^ab | εξωθεν...θεειμ] εξωθεν πηχεις εικοσι πεντε και το θεεμ A εξηκοντα πηχεις και θεειμ Q | πυλης 2°] αυλης Q 15 πυλης 1°] αυλης Q | αιθριον 2°] + της πυλης A | αιλαμ] pr του A προπυλου Q^mg | πηχων πεντηκοντα] πηχεων οκτω A πεντηκοντα πηχων Q 16 το θεειμ] τα θεε A τα θεειμ Q σ′ παραστadas α′ στηριγμα Q^mg | om και επι τα αιλαμ A | τοις αιλαμ] τοις αιλαμμωθ Q σ′ ταις περιστασεσιν Q^mg | θυριδας κυκλω] θυριδες κυκλω A και θυριδες κυκλω (※) κυκλω Q | το αιλαμ] σ′ ταις περιστασεσι adnot τουτεστι ταις περιστηκυιαις περι την αυλην ϗ λεγομεναις υπο Ακυλου στηριγμασιν. Ωρ. Q^mg 17 παστοφορια 1°] γαζοφυλακια A | περιστυλα] + (sub θ′σ′ ※) πεποιημενα Q | της αυλης κυκλω] κυκλω της αυλης A της αυλ. κυκλω (α′θ′ ※) κυκλω Q 18 αι στοαι] om αι A | νωτου] νοτου Q | το υποκατω] τω υπ. A

B [19]καὶ διεμέτρησεν τὸ πλάτος τῆς αὐλῆς ἀπὸ τοῦ αἰθρίου τῆς πύλης 19
τῆς ἐξωτέρας ἔσωθεν ἐπὶ τὸ αἴθριον τῆς πύλης τῆς βλεπούσης ἔξω,
πήχεις ἑκατόν, τῆς βλεπούσης κατ᾽ ἀνατολάς. καὶ ἤγαγέν με ἐπὶ
βορρᾶν, [20]καὶ ἰδοὺ πύλη βλέπουσα πρὸς βορρᾶν τῇ αὐλῇ τῇ ἐξωτέρᾳ, 20
καὶ διεμέτρησεν αὐτήν, τό τε μῆκος αὐτῆς καὶ τὸ πλάτος, [21]καὶ τὸ 21
θεὲ τρεῖς ἔνθεν καὶ τρεῖς ἔνθεν, καὶ τὰ αιλεὺ καὶ τὰ αιλαμμὼν καὶ
τοὺς φοίνικας αὐτῆς. καὶ ἐγένετο κατὰ τὰ μέτρα τῆς πύλης τῆς
βλεπούσης κατὰ ἀνατολὰς πηχῶν πεντήκοντα τὸ μῆκος αὐτῆς, καὶ
πηχῶν εἴκοσι πέντε τὸ εὖρος αὐτῆς. [22]καὶ αἱ θυρίδες αὐτῆς καὶ τὰ 22
αιλαμμὼν καὶ οἱ φοίνικες αὐτῆς καθὼς ἡ πύλη ἡ βλέπουσα κατὰ
ἀνατολάς· καὶ ἐν ἑπτὰ κλιμακτῆρσιν ἀνέβαινον ἐπ᾽ αὐτόν, καὶ τὰ
αιλὰμ ἔσωθεν. [23]καὶ πύλη τῇ αὐλῇ τῇ ἐσωτέρᾳ βλέπουσα ἐπὶ πύλην 23
τοῦ βορρᾶ, ὃν τρόπον τῆς πύλης τῆς βλεπούσης κατὰ ἀνατολάς· καὶ
διεμέτρησεν τὴν αὐλὴν ἀπὸ πύλης ἐπὶ πύλην, πήχεις ἑκατόν. [24]καὶ 24
ἤγαγέν με κατὰ νότον, καὶ ἰδοὺ πύλη βλέπουσα πρὸς νότον, καὶ
διεμέτρησεν αὐτὴν καὶ τὰ θεὲ καὶ τὰ αιλεὺ καὶ τὰ αιλαμμὼν κατὰ τὰ
μέτρα ταῦτα. [25]καὶ αἱ θυρίδες αὐτῆς καὶ τὰ αιλαμμὼν κυκλόθεν 25
καθὼς αἱ θυρίδες τοῦ αιλάμ· πηχῶν πεντήκοντα τὸ μῆκος αὐτῆς, καὶ
πηχῶν εἴκοσι πέντε τὸ εὖρος αὐτῆς. [26]καὶ ἑπτὰ κλιμακτῆρες αὐτῇ 26
καὶ αιλαμμὼν ἔσωθεν, καὶ φοίνικες αὐτῇ, εἷς ἔνθεν καὶ εἷς ἔνθεν ἐπὶ
τὰ αιλεύ. [27]καὶ πύλη κατέναντι πύλης τῆς αὐλῆς τῆς ἐσωτέρας πρὸς 27
νότον· καὶ διεμέτρησεν τὴν αὐλὴν ἀπὸ πύλης ἐπὶ πύλην, πήχεις
ἑκατὸν τὸ εὖρος πρὸς νότον. [28]Καὶ εἰσήγαγέν με εἰς τὴν αὐλὴν 28

AQ 19 της αυλης] pr ÷ Q? | εξωτερας] εσωτερας Q | ηγαγεν] εισηγαγεν AQ | βορρα B$^{b\,vid}$ 20 αυτην] pr ÷ Q? | om τε Q | πλατος]+αυτης Q 21 θεε] παραστασας Q^{mg}+(sub ※) αυτης Q | αιλευ] ελεου A αιλαυ Q οι γ′ τα υπερθυρα Ωρ. Q^{mg} | τα αιλαμμων] το ελαμμων A τα αιλαμμωθ Q σ′ υποχωρησις Q^{mg} | και τους φοινικας] pr ÷ Q? | κατα 2°] κατ A* (κατα A$^{?vid}$) | πηχεων bis A | πεντηκοντα πηχων Q | και το ευρος αυτης πηχων εικοσι πεντε Q 22 αιλαμμων] αιλαμμωθ Q | κατα] κατ AQ | κλιμακτηρσιν (Ωρ. βαθμοις Q^{mg}) επτα Q | αυτον] αυτην AQ | αιλαμ] αιλαμμων B^{ab}A αιλαμμωθ Q* προπυλον Ωρ. Q^{mg} 23 πυλη τη αυλη τη εσωτερα] τη πυλη τη αυτη (αυλη τη A$^{a?}$) εσωτερα A | ον τροπον της πυλης της βλεπουσης] pr ÷ Q? | κατα] κατ AQ | εκατον πηχεις Q 24 ηγαγεν] εισηγαγεν A | διεμετρησεν] εμετρησεν Q | αιλευ] ελευ B Ωρ. α′ στηριγματα αυτης σ′ τα περι αυτην Q^{mg} | αιλαμμων] αιλαμμωθ A ελλαμμωθ Q | ταυτα] τα αυτα A 25 αιλαμμων] αιλαμμωθ AQ | αιλαμ] seq ras 1 lit in B | πηχεων bis A | πεντηκοντα πηχω̄ Q | το ευρος αυτης πηχων εικοσι πεντε Q 26 αυτη 1°] αυτης Q | αιλαμμων] ελαμμωθ A αιλλαμμωθ Q | αυτη 2°] αυτης A 27 κατεναντι πυλης] pr ÷ Q? | πυλης 1°] pr της A | προς νοτον πηχεις εκατον το ευρος Q | το ευρος] pr και A | νοτον 2°]+πηχεις εικοσι πεντε A

τὴν ἐσωτέραν τῆς πύλης τῆς πρὸς νότον, καὶ διεμέτρησεν τὴν πύλην B
29 κατὰ τὰ μέτρα ταῦτα, 29 καὶ τὰ θεὲ καὶ τὰ αἰλεὺ καὶ τὰ αἰλαμμὼν κατὰ
τὰ μέτρα ταῦτα, καὶ θυρίδες αὐτῇ καὶ τῷ αἰλαμμὼν κύκλῳ· πήχεις
31 πεντήκοντα τὸ μῆκος αὐτῆς, καὶ τὸ εὖρος πήχεις εἴκοσι πέντε 31 τοῦ
αἰλὰμ εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, καὶ φοίνικες τῷ αἰλεύ, καὶ ὀκτὼ
32 κλιμακτῆρες. 32 καὶ εἰσήγαγέν με εἰς τὴν πύλην τὴν βλέπουσαν κατὰ
33 ἀνατολάς, καὶ διεμέτρησεν αὐτὴν κατὰ τὰ μέτρα ταῦτα, 33 καὶ τὰ θεὲ
καὶ τὰ αἰλεὺ καὶ τὰ αἰλαμμὼν κατὰ τὰ μέτρα ταῦτα, καὶ θυρίδες
αὐτῇ καὶ αἰλαμμὼν κύκλῳ, πήχεις πεντήκοντα μῆκος αὐτῆς, καὶ
34 εὖρος πήχεις εἴκοσι πέντε. 34 καὶ αἰλαμμὼν εἰς τὴν αὐλὴν τὴν
ἐσωτέραν, καὶ φοίνικες ἐπὶ τοῦ αἰλεὺ ἔνθεν καὶ ἔνθεν, καὶ ὀκτὼ
35 κλιμακτῆρες αὐτῇ. 35 καὶ εἰσήγαγέν με εἰς τὴν πύλην τὴν πρὸς
36 βορρᾶν, καὶ διεμέτρησεν κατὰ τὰ μέτρα ταῦτα, 36 καὶ τὰ θεὲ καὶ τὰ
αἰλεὺ καὶ τὰ αἰλαμμών, καὶ θυρίδες αὐτῇ κύκλῳ, καὶ τῷ αἰλαμμὼν αὐτῆς·
πήχεις πεντήκοντα μῆκος αὐτῆς, καὶ εὖρος πήχεις εἴκοσι πέντε·
37 37 καὶ τὰ αἰλαμμὼν εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, καὶ φοίνικες τῷ αἰλεὺ
38 ἔνθεν καὶ ἔνθεν, καὶ ὀκτὼ κλιμακτῆρες αὐτῇ. 38 Τὰ παστοφόρια
αὐτῆς καὶ τὰ θυρώματα αὐτῆς καὶ τὰ αἰλαμμὼν αὐτῆς ἐπὶ τῆς πύλης τῆς
39 δευτέρας ἔκρυσις, 39 ὅπως σφάζωσιν ἐν αὐτῇ τὰ ὑπὲρ ἁμαρτίας καὶ

28 πυλην] + (sub θ' ※) την προς νοτō| Q | τα μετρα] om τα Q* (hab Q^{mg}) AQ 29 αιλευ] ελευ B | αιλαμμων 1°] αιλαμμωθ AQ | ταυτα] τα αυτα A | αυτη] αυτης Q | τω αιλαμμων] τα αιλαμμωθ A των αιλαμμωθ Q | κυκλω] + (sub α'θ' ※) κυκλω Q | πεντηκοντα πηχεις Q | ευρος] + αυτης A | πεντε] + (30) και αιλαμμωθ (αιλαμωθ Q) κυκλω (pr θ' ※ κυκλω Q) μηκος πεντε και εικοσι πηχεων και πλατος πεντε πηχεων AQ 31 του αιλαμ] και αιλαμμων A θ' ※ και αιλαμμωθ Q | κλιμακτηρες] + (sub θ' ※) αναβασις αυτου Q 32 βλεπουσαν] + (sub ※) οδον Q | κατα 1°] κατ AQ 33 αιλευ] αιλαυ Q | αιλαμμων 1°] αιλαμμωθ Q | ταυτα] τα αυτα A | θυριδες αυτη] αι θυριδες αυτης A | αιλαμμων 2°] τα αιλαμμωθ A αιλαμμωθ Q | κυκλω] + (sub ※) κυκλω Q | ευρος] το ευρ. αυτης A 34 αιλαμμων] αιλαμμωθ A αιλαμωθ Q 35 εις] προς Q | ταυτα] τα αυτα Q 36 τα αιλευ] ταιλευ A* vid (τα αιλ. A^{a?}) | αιλαμμων (1°)] αιλαμμω B^{b} αιλαμμωθ AQ | θυριδες αυτη] αι θ. αυτης A θ. αυτης Q | τω αιλαμμων] τω αιλαμμω B* τω αιλαμμων B^{ab} τα αιλαμμωθ A τω αιλαμμωθ Q | αυτης 1°] + κυκλω A pr ÷ Q^{?} | πηχεις πεντ. μηκος αυτης] πηχεις πεντ. το μ. αυτ. A μ. αυτ. πεντ. πηχεις Q | ευρος] + αυτης A | πηχεις εικοσι πεντε] πεντε και εικοσι πηχεις Q 37 τα αιλαμμων] τα αιλαμμω B* (-μων B^{ab}) αιλαμμωθ AQ | αιλευ] ελευ A 38 τα παστοφορια] pr και Q | αιλαμμων] αιλαμμωθ AQ | πυλης] + (sub ※) εκει πλυνουσιν την ολοκαυτωσιν εν δε τω αιλαμ της πυλης Q | της δ. εκρ. sub ÷ Q^{?} | εκρυσις] εκρυσεις Q + εκει πλυνουσιν τη̄| ολοκαυτωσιν A 39 οπως] pr εν δε τω αιλαμ της πυλης ζυο (sic) τραπεζαι ενθε̄| και δυο τραπεζαι ενθεν εκ χρυσιου A pr δυο τραπεζαι ενθεν και δυο τραπεζαι ενθεν Q (ενθεν...ενθεν sub ÷ Q^{?}) | εν αυτη] τη̄| ολοκαυτωσιν και A αυτη (θ' ※) την ολοκαυτωσιν και Q | τα υπ. αμ. sub θ' ※ Q^{?}

B ὑπὲρ ἀγνοίας. 40 καὶ κατὰ νώτου τοῦ ῥόακος τῶν ὁλοκαυτωμάτων τῆς 40
βλεπούσης πρὸς βορρᾶν, δύο τράπεζαι πρὸς ἀνατολὰς κατὰ νώτου
τῆς δευτέρας, καὶ τοῦ αἰλὰμ τῆς πύλης δύο τράπεζαι κατὰ ἀνατολάς.
41 τέσσαρες ἔνθεν καὶ τέσσαρες ἔνθεν κατὰ νώτου τῆς πύλης, ἐπ᾽ αὐτὰ 41
σφάξουσι τὰ θύματα, κατέναντι τῶν ὀκτὼ τραπεζῶν τῶν θυμάτων.
42 καὶ τέσσαρες τράπεζαι τῶν ὁλοκαυτωμάτων λίθιναι λελαξευμέναι 42
πήχεος καὶ ἡμίσους τὸ πλάτος, καὶ πήχεων δύο ἡμίσους τὸ μῆκος,
καὶ ἐπὶ πῆχυν τὸ ὕψος· ἐπ᾽ αὐτὰ ἐπιθήσουσιν τὰ σκεύη, ἐν οἷς
σφάζουσιν ἐκεῖ τὰ ὁλοκαυτώματα καὶ τὰ θύματα. 43 καὶ παλαιστὴν 43
ἕξουσιν γεῖσος λελαξευμένον ἔσωθεν κύκλῳ, καὶ ἐπὶ τὰς τραπέζας
ἐπάνωθεν στέγας τοῦ καλύπτεσθαι ἀπὸ τοῦ ὑετοῦ καὶ ἀπὸ τῆς
ξηρασίας. 44 καὶ εἰσήγαγέν με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ ἰδοὺ 44
δύο ἐξέδραι ἐν τῇ αὐλῇ τῇ ἐσωτέρᾳ, μία κατὰ νώτου τῆς πύλης τῆς
βλεπούσης πρὸς βορρᾶν φέρουσα πρὸς νότον, καὶ μία κατὰ νώτου
τῆς πύλης τῆς πρὸς νότον βλεπούσης δὲ πρὸς βορρᾶν. 45 καὶ εἶπεν 45
πρὸς μέ Ἡ ἐξέδρα αὕτη ἡ βλέπουσα πρὸς νότον, τοῖς ἱερεῦσι τοῖς
φυλάσσουσι τὴν φυλακὴν τοῦ οἴκου· 46 καὶ ἡ ἐξέδρα ἡ βλέπουσα πρὸς 46
βορρᾶν, τοῖς ἱερεῦσι τοῖς φυλάσσουσι τὴν φυλακὴν τοῦ θυσιαστηρίου·
ἐκεῖνοί εἰσιν οἱ υἱοὶ Σαδδοὺκ οἱ ἐγγίζοντες ἐκ τοῦ Λευεὶ
πρὸς Κύριον λειτουργεῖν αὐτῷ. 47 καὶ διεμέτρησεν τὴν αὐλὴν μῆκος 47
πήχεων ἑκατὸν καὶ εὖρος πήχεις ἑκατὸν ἐπὶ τὰ τέσσερα μέρη αὐτῆς,
καὶ τὸ θυσιαστήριον ἀπέναντι τοῦ οἴκου. 48 Καὶ εἰσήγαγέν με 48
εἰς τὸ αἰλὰμ τοῦ οἴκου. καὶ διεμέτρησεν τὸ αἲλ τοῦ αἰλὰμ πηχῶν
πέντε τὸ πλάτος ἔνθεν καὶ πηχῶν πέντε ἔνθεν, καὶ τὸ εὖρος τοῦ
θυρώματος πηχῶν δέκα τεσσάρων, καὶ ἐπωμίδες τῆς θύρας τοῦ αἰλὰμ

AQ 39 υπερ 2°] pr τα A 40 κατα] seq ras 3 vel 4 litt in B | των] incep ο Q* | ολοκαυτωματων] + (sub α′ ※) εις θυρᾱ| πυλης Q | προς ανατολας] pr ÷ Q^{mg} | κατα ανατολας] και η (sic) τραπεζαι κατ ανατολας A κατ ανατ. Q (sub ÷ Q^{mg}) 41 τεσσαρες 1°] + τραπεζαι Q | τεσσαρες 2°] + τραπεζαι Q | νωτου] pr τα Q |⌜πυλης] + των οκτω τραπεζω̄| των θυμιαματων Q* (τ. θυμ. sub ÷ Q^{mg}) | σφαξουσι (-σιν A)] σφαζουσιν Q | των οκτω τραπεζων των θυματων] πηχων δεκα τεσσαρων (sub ÷ Q^{mg}) Q | θυματων] θυμιαματων A 42 πηχεος και...το μηκος] το μηκος πηχεος ενος και ημισους και το πλατος πηχεος (+ ενος Q^{a}) και ημισους Q | ημισους 2°] pr και A | αυτα] αυτας A | om τα σκευη A 43 γεισος παλαιστην εξουσιν Q | εσωθεν] εξωθεν A | κυκλω] + (sub ※) κυκλω Q 44 εξεδραι δυο Q | αυλη] πυλη Q 45 ιερευσιν A: item 46 | φυλασσουσιν A: item 46 46 βορρα Q | Σαδδουχ A | Λευι AQ 47 πηχεις] πηχεων A | τεσσαρα B^{b} 48 το αιλ του αιλαμ πηχων] το αιλαμ πηχεων A το δια του αιλαμ πηχεων Q | το πλατος] pr ÷ Q^{mg} | πηχων 2°] πηχεων AQ | το ευρος] om το Q | πηχων 3°, 4°, 5°] πηχεων A | και επωμιδες της θυρας του αιλαμ] pr ÷ Q^{mg}

49 πηχῶν τριῶν ἔνθεν καὶ πηχῶν τριῶν ἔνθεν. 49καὶ τὸ μῆκος τοῦ B
αἰλὰμ πηχῶν εἴκοσι, καὶ τὸ εὖρος πηχῶν δώδεκα· καὶ ἐπὶ δέκα
ἀναβαθμῶν ἀνέβαινον ἐπ' αὐτό, καὶ στύλοι ἦσαν ἐπὶ τὸ αἰλάμ, εἷς
XLI 1 ἔνθεν καὶ εἷς ἐντεῦθεν. 1Καὶ εἰσήγαγέν με εἰς τὸν ναόν, ᾧ
2 διεμέτρησεν τὸ αἰλὰμ πηχῶν ἓξ τὸ πλάτος ἔνθεν, 2καὶ πηχῶν ἓξ τὸ
εὖρος τοῦ αἰλὰμ ἔνθεν, καὶ τὰ εὖρος τοῦ πυλῶνος πηχῶν δέκα, καὶ
ἐπωμίδες τοῦ πυλῶνος πηχῶν πέντε ἔνθεν καὶ πηχῶν πέντε ἔνθεν.
καὶ διεμέτρησεν τὸ μῆκος αὐτοῦ πηχῶν τεσσεράκοντα καὶ τὸ εὖρος
3 πηχῶν εἴκοσι. 3καὶ εἰσῆλθεν εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ
διεμέτρησεν τὸ αἰλ τοῦ θυρώματος πηχῶν δύο, καὶ τὸ θύρωμα πηχῶν
ἕξ, καὶ τὰς ἐπωμίδας τοῦ θυρώματος πηχῶν ἑπτὰ ἔνθεν καὶ πηχῶν
4 ἑπτὰ ἔνθεν. 4καὶ διεμέτρησεν τὸ μῆκος τῶν θυρῶν πηχῶν τεσσερά-
κοντα καὶ εὖρος πηχῶν εἴκοσι κατὰ πρόσωπον τοῦ ναοῦ. καὶ εἶπεν
5 Τοῦτο τὸ ἅγιον τῶν ἁγίων. 5καὶ διεμέτρησεν τὸν τοῖχον τοῦ οἴκου
πηχῶν ἓξ καὶ τὸ εὖρος τῆς πλευρᾶς πηχῶν τεσσάρων κυκλόθεν,
6 6καὶ πλευρὰ πλευρὸν ἐπὶ πλευρὸν τριάκοντα τρὶς δίς· καὶ διάστημα
ἐν τῷ τοίχῳ τοῦ οἴκου ἐν τοῖς πλευροῖς κύκλῳ τοῦ εἶναι τοῖς ἐπι-
λαμβανομένοις ὁρᾶν, ὅπως τὸ παρὰ πᾶν μὴ ἅπτωνται τῶν τοίχων
7 τοῦ οἴκου. 7καὶ τὸ εὖρος τῆς ἀνωτέρας τῶν πλευρῶν κατὰ τὸ
πρόσθεμα ἐκ τοῦ τοίχου, πρὸς τὴν ἀνωτέραν κύκλῳ τοῦ οἴκου, ὅπως
διαπλατύνηται ἄνωθεν, καὶ ἐκ τῶν κάτωθεν ἀναβαίνωσιν ἐπὶ τὰ
8 ὑπερῷα καὶ ἐκ τῶν γεισῶν ἐπὶ τὰ τριώροφα, 8καὶ τὸ θραὲλ τοῦ οἴκου
ὕψος κύκλῳ διάστημα τῶν πλευρῶν ἴσον τῷ καλάμῳ πήχεων ἕξ.
9 διαστήματα 9καὶ εὖρος τοῦ τοίχου τῆς πλευρᾶς ἔξωθεν πηχῶν πέντε,

48 om και πηχων τριων ενθεν Q* (hab Q^{mg}) 49 πηχων bis] πηχεις A | AQ
δωδεκα] δεκα Q | αναβαθμων δεκα Q | το αιλαμ] τα αιλαμ A | εις bis] pr ÷ $Q^{?}$ |
εντευθεν] ενθεν AQ XLI 1 ω] και A | πηχων] πηχεις A 2 πηχων 1°,
4°, 5°, 6°] πηχεις A | πηχων 2°, 3°] πηχεων A | om του αιλαμ Q | ενθεν
1°] + (sub α' ※) πλατος της σκηνης Q | επωμιδες] α' ωμοι θ' ωμια σ' ωμιαι
Q^{mg} | πεντε πηχων bis Q | αυτου] αυτης A | τεσσαρακοντα B^{b}: item 4 | το
ευρος 2°] om το AQ 3 αιλ] αιλαμ AQ α' στηριγμα της θυρας σ' το περι
την θυρᾱ| Q^{mg} | πηχων quater] πηχεις A | δυο πηχων Q | και το θυρωμα
πηχων εξ] α'σ' ※ και την θυραν εξ πηχεις Q | ενθεν και πηχων επτα ενθεν]
pr ÷ $Q^{?}$ 4 μηκος των θυρων] ευρος τω̄| θυρωματων A | πηχων bis] πη-
χεις A | ειπεν] + προς με A et (sub ※) Q 5 πηχων bis] πηχεις A |
τεσσαρων] τεσσαρες A | κυκλοθεν] + τω οικω κυκλω Q 6 πλευρα] pr τα AQ |
τρις (τρεις Q)] pr και AQ | διαστεμα A | πλευροις] + του οικου A 7 των
πλευρων...προσθεμα] κατα το προσθεμα των πλευρω| Q | τοιχου] οικου A |
κυκλω] + (sub ※) κυκλω Q | διαπλατυνηται] + ο οικος (sub ※) Q | αναβαινου-
σιν Q | γεισων] μεσων AQ 7—8 om επι τα τριωροφα και το θραελ Q^{a}
8 το θραελ] του θρ. A | om εξ A | διαστημα AQ 9 πηχεων A

B καὶ τὰ ἀπόλοιπα τὰ ἀνὰ μέσον τῶν πλευρῶν τοῦ οἴκου [10] καὶ ἀνὰ 10
μέσον τῶν ἐξεδρῶν εὖρος πηχῶν εἴκοσι, τὸ περιφερὲς τῷ οἴκῳ
κύκλῳ. [11] καὶ αἱ θύραι τῶν ἐξεδρῶν ἐπὶ τὸ ἀπόλοιπον τῆς θύρας 11
τῆς μιᾶς τῆς πρὸς βορρᾶν· καὶ ἡ θύρα ἡ μία πρὸς νότον, καὶ τὸ
εὖρος τοῦ φωτὸς τοῦ ἀπολοίπου, πηχῶν πέντε πλάτος κυκλόθεν.
[12] καὶ τὸ αἰθρίζον κατὰ πρόσωπον τοῦ ἀπολοίπου ὡς πρὸς θάλασσαν 12
πηχῶν ἑβδομήκοντα, πλάτος τοῦ τοίχου τοῦ διορίζοντος πήχεων
πέντε, εὖρος κυκλόθεν καὶ μῆκος αὐτοῦ πήχεων ἐνενήκοντα. [13] καὶ 13
διεμέτρησεν κατέναντι τοῦ οἴκου μῆκος πηχῶν ἑκατόν, καὶ τὰ ἀπό-
λοιπα καὶ τὰ διορίζοντα καὶ οἱ τοῖχοι αὐτῶν μῆκος πηχῶν ἑκατόν,
[14] καὶ τὸ εὖρος κατὰ πρόσωπον τοῦ οἴκου καὶ τὰ ἀπόλοιπα κατέναντι 14
πηχῶν ἑκατόν. [15] Καὶ διεμέτρησεν μῆκος τοῦ διορίζοντος κατὰ 15
πρόσωπον τοῦ ἀπολοίπου τῶν κατόπισθεν τοῦ οἴκου ἐκείνου, καὶ
τὰ ἀπόλοιπα ἔνθεν καὶ ἔνθεν πήχεων ἑκατὸν τὸ μῆκος. καὶ ὁ ναὸς
καὶ αἱ γωνίαι καὶ τὸ αἰλὰμ τὸ ἐξώτερον πεφατνωμένα. [16] καὶ θυρίδες 16
δικτυωταί, ὑποφαύσεις κύκλῳ τοῖς τρισὶν ὥστε διακύπτειν· καὶ ὁ
οἶκος καὶ τὰ πλησίον ἐξυλωμένα κύκλῳ, καὶ τὸ ἔδαφος καὶ ἐκ τοῦ
ἐδάφους ἕως τῶν θυρίδων, καὶ αἱ θυρίδες ἀναπτυσσόμεναι τρισσῶς
εἰς τὸ διακύπτειν. [17] καὶ ἕως πλησίον τῆς ἐσωτέρας καὶ ἕως τῆς 17
ἐξωτέρας, καὶ ἐφ' ὅλον τὸν τοῖχον κύκλῳ, ἐν τῷ ἔσωθεν καὶ ἐν τῷ
ἔξωθεν, [18] γεγλυμμένα χερουβείν· καὶ φοίνικες ἀνὰ μέσον χεροὺβ 18
καὶ ἀνὰ μέσον χερούβ. δύο πρόσωπα τῷ χερούβ, [19] πρόσωπον ἀν- 19
θρώπου πρὸς τὸν φοίνικα ἔνθεν καὶ ἔνθεν, καὶ πρόσωπον λέοντος
πρὸς τὸν φοίνικα ἔνθεν καὶ ἔνθεν· διαγεγλυμμένος ὁ οἶκος κυκλόθεν·
[20] ἐκ τοῦ ἐδάφους ἕως τοῦ φατνώματος, τὰ χερουβεὶν καὶ οἱ φοίνικες 20
διαγεγλυμμένοι. [21] καὶ τὸ ἅγιον καὶ ὁ ναὸς ἀναπτυσσόμενος τετρά- 21

AQ **9** *τα ανα*] om *τα* AQ **10** *ευρος*] pr *και* A | *πηχεων* A | *του οικου* A | *κυκλω*] + (sub ※) *κυκλω* Q **11** *θυραι*] *θυριδες* A | *του φωτος*] *το φως* Q | *πλατος*] pr ÷ Q' **12** *αιθριζον*] *διοριζον* AQ | *απολοιπου*] + (sub ※) *οδον* Q | *θαλασσαν*] + (sub σ' ※) *πλατους* Q | *πηχων*] *πηχεων* A | *πλατος*] pr *και* Q | *πηχεων* 1°] *πηχων* Q | *πηχεων ενενηκοντα*] *ενεν. πηχεων* Q **13** *κατεναντι*] pr ÷ Q' | *πηχων* 1°] *πηχεων* A **15** *μηκος* 1°] *τον τοιχον* A | *πηχων* AQ | *το μηκος*] pr ÷ Q' | *πεφατνωμενα*] *νω* sup ras B^{b} (*φατμω*| B^{*}) **16** *θυριδες* 1°] pr *αι* B^{ab}AQ | *κυκλω* 2°] + (sub ※) *κυκλω* Q | *και εκ του εδαφους*] pr ÷ Q' | *τρισσως*] pr ÷ Q' **17** *εως* 1°] + *του οικου* Q | *τοιχον*] *οικον* AQ | *κυκλω*] *κυκλοθεν* A | *εξωθεν*] + *μετρα* A et (sub ※) Q **18** *γεγλυμμενα*] pr *και* A et (sub ※) Q | *χερουβιν* B^{b}: item 20 | *φοινικες*] + *και φοινιξ* A et (sub θ' ※) Q | om *μεσον* 1° B^{*} (hab $B^{ab\,mg}$) | *χερουβ και ανα μεσον χερουβ*] *γερουβειμ· χερουβ·* A *χερουβειμ και χερουβ* Q | *τω χερουβ*] *τε χ.* B^{*} (*τω χ.* B^{ab}) *των χ.* A **19** *ο οικος*] pr *ολος* AQ **20** *χερουβειμ* Q **21** *αναπτυσσομενος*] *αναπτυσσομενα* A *αναπτυσσομενοι* Q

22 γωνα· κατὰ πρόσωπον τῶν ἁγίων ὅρασις ὡς ὄψις [22]θυσιαστηρίου B
ξυλίνου, πηχῶν τριῶν τὸ ὕψος αὐτοῦ, καὶ τὸ μῆκος πηχῶν δύο, καὶ
τὸ εὖρος πηχῶν δύο· καὶ κέρατα εἶχεν, καὶ ἡ βάσις αὐτοῦ καὶ οἱ
τοῖχοι αὐτοῦ ξύλινοι. καὶ εἶπεν πρὸς μέ Αὕτη ἡ τράπεζα ἡ πρὸ
23 προσώπου. καὶ δύο θυρώματα τῷ ναῷ, [23]καὶ δύο θυρώματα τῷ
24 ἁγίῳ· [24]τοῖς δυσὶ θυρώμασι τοῖς στροφωτοῖς· δύο θυρώματα τῷ ἑνί,
25 καὶ δύο θυρώματα τῇ θύρᾳ τῇ δευτέρᾳ. [25]καὶ γλυφὴ ἐπ᾽ αὐτῶν, καὶ
ἐπὶ τὰ θυρώματα τοῦ ναοῦ χερουβείν, καὶ φοίνικες κατὰ τὴν γλυφὴν
τῶν ἁγίων, καὶ σπουδαῖα ξύλα κατὰ πρόσωπον τοῦ αιλαμ ἔξωθεν,
26 [26]καὶ θυρίδες κρυπταί. καὶ διεμέτρησεν ἔνθεν καὶ ἔνθεν, εἰς τὰ
XLII 1 ὀροφώματα τοῦ αιλαμ, καὶ τὰ πλευρὰ τοῦ οἴκου ἐζυγωμένα. [1]Καὶ
εἰσήγαγέν με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν κατὰ ἀνατολὰς κατέναντι
τῆς πύλης τῆς πρὸς βορρᾶν· καὶ εἰσήγαγέν με, καὶ ἰδοὺ ἐξέδραι πέντε
ἐχόμεναι τοῦ ἀπολοίπου καὶ ἐχόμεναι τοῦ διορίζοντος πρὸς βορρᾶν,
2 [2]ἐπὶ πήχεις ἑκατὸν μῆκος πρὸς βορρᾶν, καὶ τὸ πλάτος πεντήκοντα,
3 [3]διαγεγραμμέναι ὃν τρόπον αἱ πύλαι τῆς αὐλῆς τῆς ἐσωτέρας, καὶ ὃν
τρόπον τὰ περίστυλα τῆς αὐλῆς τῆς ἐξωτέρας, ἐστιχισμέναι ἀντι-
4 πρόσωποι στοαὶ τρισσαί. [4]καὶ κατέναντι τῶν ἐξεδρῶν περίπατος
πηχῶν δέκα τὸ πλάτος, ἐπὶ πήχεις ἑκατὸν τὸ μῆκος· καὶ τὰ θυρώματα
5 αὐτῶν πρὸς βορρᾶν, [5]καὶ οἱ περίπατοι οἱ ὑπερῷοι ὡσαύτως. ὅτι
ἐξείχετο τὸ περίστυλον ἐξ αὐτοῦ, ἐκ τοῦ ὑποκάτωθεν περιστύλου,
καὶ τὸ διάστημα· οὕτως περίστυλον καὶ διάστημα, καὶ οὕτως στοαὶ
6 δύο. [6]διότι τριπλαῖ ἦσαν, καὶ στύλους οὐκ εἶχον καθὼς οἱ στῦλοι
τῶν ἐξωτέρων· διὰ τοῦτο ἐξείχοντο τῶν ὑποκάτωθεν καὶ τῶν μέσων
7 ἀπὸ τῆς γῆς. [7]καὶ φῶς ἔξωθεν, ὃν τρόπον αἱ ἐξέδραι τῆς αὐλῆς τῆς
ἐξωτέρας αἱ βλέπουσαι ἀπέναντι τῶν ἐξεδρῶν τῶν πρὸς βορρᾶν,
8 μῆκος πήχεων πεντήκοντα. [8]ὅτι τὸ μῆκος τῶν ἐξεδρῶν τῶν βλε-
πουσῶν εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν πηχῶν πεντήκοντα, καὶ αὗταί

22 πηχων 1°] πηχεων A | πηχων 2°] πηχεων AQ[a] | πηχων 3°] πηχεων AQ | AQ
η προ προσωπου] κατα προσωπον A + $\overline{κυ}$ B[ab]AQ | θυρωμα B* (-ματα B[ab])
23 τω αγιω δυο θυρωματα B[a]AQ **24** τη θυρα τη δευτερα] τη δευτ. θυρα A
25 χερουβειμ Q **26** εζυγωμενα] εξυλωμενα A XLII **1** εισηγαγεν
1°] εξηγαγεν Q | εσωτεραν] εξωτεραν AQ | κατα ανατολας] κατ ανατολας Q
pr ÷ Q' | πεντε] δεκα πεντε A pr ÷ Q' **2** επι] pr κατα προσωπον A et
(sub ※) Q | πεντηκοντα] + πηχεων AQ **4** επι πηχεις εκ. το μηκος] pr
÷ Q' + (sub θ' ※) εις το εσωτερον οδον πηχεος ενος Q **5** το περιστυλον]
om το A | διαστημα bis] διαστεμα A | περιστυλον και διαστημα] pr ÷ Q' | και
ουτως (-τω Q) στοαι δυο] om δυο AQ pr ÷ Q' **6** συλοι A* (στ. A[1]) |
εξωτερων] εξεδρων A | γης] + (sub οι γ' ※) πεντηκοντα Q **7** τροπον]
+ και A | των προς βορραν] pr ÷ Q | πηχων Q **8** πηχων 1° (-χεων A)]
pr ην B[ab]AQ

B εἰσιν αἱ ἀντιπρόσωποι ταύταις· τὸ πᾶν πηχῶν ἑκατόν. 9 καὶ αἱ θύραι 9
τῶν ἐξεδρῶν τούτων τῆς εἰσόδου τῆς πρὸς ἀνατολὰς τοῦ εἰσπορεύεσθαι
δι' αὐτῶν ἐκ τῆς αὐλῆς τῆς ἐξωτέρας 10 κατὰ τὸ φῶς τοῦ ἐν ἀρχῇ 10
περιπάτου· καὶ τὰ πρὸς νότον κατὰ πρόσωπον τοῦ νότου, κατὰ
πρόσωπον τοῦ ἀπολοίπου καὶ κατὰ πρόσωπον τοῦ διορίζοντος·
καὶ αἱ ἐξέδραι 11 καὶ ὁ περίπατος κατὰ πρόσωπον αὐτῶν, κατὰ τὰ 11
μέτρα ἐξεδρῶν τῶν πρὸς βορρᾶν καὶ κατὰ τὸ μῆκος αὐτῶν καὶ κατὰ
τὸ εὖρος αὐτῶν καὶ κατὰ πάσας τὰς ἐξόδους αὐτῶν καὶ κατὰ πάσας
τὰς ἐπιστροφὰς αὐτῶν καὶ κατὰ τὰ φῶτα αὐτῶν καὶ κατὰ τὰ θυρώ-
ματα αὐτῶν, 12 τῶν ἐξεδρῶν τῶν πρὸς νότον, καὶ κατὰ τὰ θυρώματα 12
ἀπ' ἀρχῆς τοῦ περιπάτου ὡς ἐπὶ φῶς διαστήματος καλάμου, καὶ
κατ' ἀνατολὰς τοῦ εἰσπορεύεσθαι δι' αὐτῶν. 13 καὶ εἶπεν πρός μέ 13
Αἱ ἐξέδραι αἱ πρὸς βορρᾶν καὶ αἱ ἐξέδραι αἱ πρὸς νότον, οὖσαι κατὰ
πρόσωπον τῶν διαστημάτων, αὗταί εἰσιν αἱ ἐξέδραι τοῦ ἁγίου, ἐν
αἷς φάγονται ἐκεῖ οἱ ἱερεῖς υἱοὶ Σαδδοὺκ οἱ ἐγγίζοντες πρὸς Κύριον
τὰ ἅγια τῶν ἁγίων· καὶ ἐκεῖ θήσουσιν τὰ ἅγια τῶν ἁγίων καὶ τὴν
θυσίαν καὶ τὰ περὶ ἁμαρτίας καὶ τὰ περὶ ἀγνοίας, διότι ὁ τόπος ἅγιος.
14 οὐκ εἰσελεύσονται ἐκεῖ παρὲξ τῶν ἱερέων, οὐκ ἐξελεύσονται ἐκ τοῦ 14
ἁγίου εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, ὅπως διὰ παντὸς ἅγιοι ὦσιν οἱ
προσάγοντες· καὶ μὴ ἅπτωνται τοῦ στολισμοῦ αὐτῶν ἐν οἷς λειτουρ-
γοῦσιν ἐν αὐτοῖς, διότι ἅγιά ἐστιν· καὶ ἐνδύσονται ἱμάτια ἕτερα ὅταν
ἅπτωνται τοῦ λαοῦ. 15 Καὶ συνετελέσθη ἡ διαμέτρησις τοῦ οἴκου 15
ἔσωθεν. καὶ ἐξήγαγέν με καθ' ὁδὸν τῆς πύλης τῆς βλεπούσης πρὸς
ἀνατολάς, καὶ διεμέτρησεν τὸ ὑπόδειγμα τοῦ οἴκου κυκλόθεν ἐν
διατάξει. 16 καὶ ἔστη κατὰ νώτου τῆς πύλης τῆς βλεπούσης κατὰ 16
ἀνατολάς, καὶ διεμέτρησεν πεντακοσίους ἐν τῷ καλάμῳ τοῦ μέτρου.
17 καὶ ἐπέστρεψεν πρὸς βορρᾶν καὶ διεμέτρησεν τὸ κατὰ πρόσωπον 17
τοῦ βορρᾶ, πήχεις πεντακοσίους ἐν τῷ καλάμῳ τοῦ μέτρου. 18 καὶ 18
ἐπέστρεψεν πρὸς θάλασσαν καὶ διεμέτρησεν τὸ κατὰ πρόσωπον

AQ 8 αι αντιπροσ.] om αι A | πηχων 2°] πηχεων A 10 περιπατου] pr του AQ | και κατα προσ. του διοριζοντος] pr ÷ Q | αι εξεδραι] om αι Q 11 εξεδρων] pr των A + (sub ※) την οδον Q | om και 2° A 12 κατ] κατα Q 13 αι προς νοτον] om αι Q | ουσαι] pr αι AQ | διαστεματω̄| A | υιοι Σαδδουκ] pr οι AQ (pr ÷ Q?) | om και εκει θησουσιν τα αγια των αγιων A | θυσιν Q* (-σιαν Q^{a}) | περι 2°] υπερ Q | αγιος] + εστιν A 14 εισελευσονται] εισελευσεται A | ουκ 2°] pr και A | οπως...οι προσαγοντες] pr ÷ Q? | ε|ν οις B* εν| οις B? | ενδυσονται ιματια ετερα] ιματια ενδυσονται τα ετερα Q 15 pr tit συνετελεσθη η διαμετρησις του ναου Q$^{mg\ sup}$ | προς] κατα B$^{ab\ mg}$ κατ A 16 κατα 2°] κατ AQ 17 μετρου (-του B* -τρου B^{ab})] + (sub ※) κυκλω Q

19 θαλάσσης, πεντακοσίους ἐν τῷ καλάμῳ τοῦ μέτρου. [19]καὶ ἐπέ- B
στρεψεν πρὸς νότον καὶ διεμέτρησεν κατέναντι τοῦ νότου, πεντα-
20 κοσίους ἐν τῷ καλάμῳ τοῦ μέτρου, [20]τὰ τέσσερα μέρη τοῦ αὐτοῦ
καλάμου· καὶ διέταξεν αὐτὸν καὶ περίβολον αὐτῶν κύκλῳ, πεντα-
κοσίων πρὸς ἀνατολὰς καὶ πεντακοσίων πηχῶν εὖρος, τοῦ διαστέλλειν
ἀνὰ μέσον τῶν ἁγίων καὶ ἀνὰ μέσον τοῦ προτειχίσματος τοῦ ἐν
διατάξει τοῦ οἴκου.
XLIII 1 [1]Καὶ ἤγαγέν με ἐπὶ τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολάς,
2 καὶ ἐξήγαγέν με· [2]καὶ ἰδοὺ δόξα θεοῦ Ἰσραὴλ ἤρχετο κατὰ τὴν ὁδὸν
τὴν πρὸς ἀνατολάς, καὶ φωνὴ τῆς παρεμβολῆς ὡς φωνὴ διπλασια-
ζόντων πολλῶν· καὶ ἡ γῆ ἐξέλαμπεν ὡς φέγγος ἀπὸ τῆς δόξης
3 κυκλόθεν. [3]καὶ ἡ ὅρασις ἣν ἴδον κατὰ τὴν ὅρασιν ἣν ἴδον ὅτε
εἰσεπορευόμην τοῦ χρῖσαι τὴν πόλιν, καὶ ἡ ὅρασις τοῦ ἅρματος οὗ
ἴδον κατὰ τὴν ὅρασιν ἣν ἴδον ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ· καὶ
4 πίπτω ἐπὶ πρόσωπόν μου. [4]καὶ δόξα Κυρίου εἰσῆλθεν εἰς τὸν οἶκον
5 κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς βλεπούσης κατὰ ἀνατολάς. [5]καὶ
ἀνέλαβέν με πνεῦμα καὶ εἰσήγαγέν με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν,
6 καὶ ἰδοὺ πλήρης δόξης Κυρίου ὁ οἶκος. [6]καὶ ἔστην, καὶ ἰδοὺ φωνὴ
ἐκ τοῦ οἴκου λαλοῦντος πρὸς μέ, καὶ ὁ ἀνὴρ ἱστήκει ἐχόμενός μου,
7 [7]καὶ εἶπεν πρὸς μέ Ἑόρακας, υἱὲ ἀνθρώπου, τὸν τόπον τοῦ θρόνου
μου καὶ τὸν τόπον τοῦ ἴχνους τῶν ποδῶν μου, ἐν οἷς κατασκηνώσει
τὸ ὄνομά μου ἐν μέσῳ οἴκου Ἰσραὴλ τὸν αἰῶνα· καὶ οὐ βεβηλώσουσιν
οὐκέτι οἶκος Ἰσραὴλ τὸ ὄνομα τὸ ἅγιόν μου, αὐτοὶ καὶ οἱ ἡγούμενοι
αὐτῶν, ἐν τῇ πορνείᾳ αὐτῶν καὶ ἐν τοῖς φόνοις τῶν ἡγουμένων ἐν
8 μέσῳ αὐτῶν, [8]ἐν τῷ τιθέναι αὐτοὺς τὸ πρόθυρόν μου ἐν τοῖς προ-
θύροις αὐτῶν καὶ τὰς φλιάς μου ἐχομένας τῶν φλιῶν αὐτῶν· καὶ
ἔδωκαν τὸν τοῖχόν μου ὡς συνεχόμενον ἐμοῦ καὶ αὐτῶν, καὶ ἐβε-

18 θαλασσης] pr της A | μετρου]+(sub ※) κυκλω Q 19 κατεναντι] AQ κατα προσωπον A | νοτου] ναου $B^{a\,mg}$ (νοτ. non inst B^{b}) 20 τα τεσσερα] τα τεσσαρα B^{b} εις τα τεσσαρα A | μερη]+εμετρησεν Q^{mg} | του αυτου καλαμου] του αυτου μετρου A τω αυτω καλαμω Q^{a} | αυτων] αυτον A | πεντακοσιων 1°] πεντακοσιοι Q | πετακοσιων (2°) Q^{*} (ν superscr Q^{a}) | πηχεων A XLIII 1 κατα] κατ AQ | και εξηγαγεν με] pr ÷ $Q^{?}$ 2 την προς] της πυλης της βλεπουσης προς A | διπασιαζοντων B^{*} (διπλ. B^{b}) | δοξης]+κ̅υ̅ A 3 του αρμ. ου ιδον] pr ÷ $Q^{?}$ | ιδον 3°, 4°] ειδον A | ην 3°] ου A | του Χοβαρ] om του Q 4 κατα 2°] κατ AQ 5 πληρη B^{*} (πληρης B^{ab}) 6 και εστην (εστη B^{*} εστην B^{ab})] pr ÷ $Q^{?}$ | ο ανηρ] om ο A | ειστηκει $B^{ab}Q^{a}$ 7 εωρακας B^{b}A | om τον τοπον του θρ. μου Q^{*} (hab Q^{mg}) | τον τοπον 1°] om τον B^{*} (hab B^{ab}) | om και 2° Q | οικου] pr του A | τον αιωνα] pr εις A | ου]+μη A | οικος] pr ο A | μου το αγιον A

B βήλωσαν τὸ ὄνομα τὸ ἅγιόν μου ἐν ταῖς ἀνομίαις αὐτῶν αἷς ἐποίουν·
καὶ ἐξέτριψα αὐτοὺς ἐν θυμῷ μου καὶ ἐν φόνῳ. [9]καὶ νῦν ἀπωσά- 9
σθωσαν τὴν πορνείαν αὐτῶν καὶ τοὺς φόνους τῶν ἡγουμένων αὐτῶν
ἀπ' ἐμοῦ, καὶ κατασκηνώσω ἐν μέσῳ αὐτῶν τὸν αἰῶνα. [10]καὶ σύ, 10
υἱὲ ἀνθρώπου, δεῖξον τῷ οἴκῳ Ἰσραὴλ τὸν οἶκον, καὶ κοπάσουσιν
ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν· καὶ τὴν ὅρασιν αὐτοῦ καὶ τὴν διάταξιν
αὐτοῦ, [11]καὶ αὐτοὶ λήμψονται τὴν κόλασιν αὐτῶν περὶ πάντων ὧν 11
ἐποίησαν. καὶ διαγράψεις τὸν οἶκον καὶ τὰς ἐξόδους αὐτοῦ καὶ τὴν
ὑπόστασιν αὐτοῦ, καὶ πάντα τὰ προστάγματα αὐτοῦ καὶ πάντα τὰ
νόμιμα αὐτοῦ γνωριεῖς αὐτοῖς καὶ διαγράψεις ἐναντίον αὐτῶν, καὶ
φυλάξονται πάντα τὰ δικαιώματά μου καὶ πάντα τὰ προστάγματά
μου καὶ ποιήσουσιν αὐτά. [12]καὶ τὴν διαγραφὴν τοῦ οἴκου ἐπὶ 12
τῆς κορυφῆς τοῦ ὄρους, πάντα τὰ ὅρια αὐτοῦ κυκλόθεν ἅγια
ἁγίων. [13]Καὶ ταῦτα τὰ μέτρα τοῦ θυσιαστηρίου ἐν πήχει τοῦ 13
πήχεος καὶ παλαιστῆς· κόλπωμα βάθους ἐπὶ πῆχυν, καὶ πῆχυς τὸ
εὖρος, καὶ γεῖσος ἐπὶ τὸ χεῖλος αὐτοῦ κυκλόθεν σπιθαμῆς. καὶ
τοῦτο τὸ ὕψος τοῦ θυσιαστηρίου· [14]ἐκ βάθους τῆς ἀρχῆς τοῦ κοιλώματος 14
αὐτοῦ πρὸς τὸ ἱλαστήριον τὸ μέγα τοῦτο ὑποκάτωθεν πηχῶν δύο,
καὶ τὸ εὖρος πήχεος. καὶ ἀπὸ τοῦ ἱλαστηρίου τοῦ μικροῦ ἐπὶ τὸ
ἱλαστήριον τὸ μέγα πήχεις τέσσαρες, καὶ εὖρος πῆχυς. [15]καὶ τὸ 15
ἀριὴλ πηχῶν τεσσάρων, καὶ ἀπὸ τοῦ ἀριὴλ καὶ ὑπεράνω τῶν κεράτων
πῆχυς. [16]καὶ τὸ ἀριὴλ πηχῶν δώδεκα μήκους, ἐπὶ πήχεις δώδεκα· 16
τετράγωνον ἐπὶ τὰ τέσσερα μέρη αὐτοῦ. [17]καὶ τὸ ἱλαστήριον 17
πηχῶν δέκα τεσσάρων τὸ μῆκος, ἐπὶ πήχεις δέκα τέσσαρες·
τὸ εὖρος ἐπὶ τέσσερα μέρη αὐτοῦ, καὶ τὸ γεῖσος αὐτῷ κυκλό-

AQ 8, 9 και εν φονω και] pr ÷ Q[1] 9 πορνιαν A | τον αιωνα] pr εις A 11 και 1°] pr ει πως εντραπωσι Q[mg] | ληψονται B[b]Q[a] | οικον]+και την ετοιμασιαν αυτου A et (sub θ' ※) Q | αυτου 1°]+και τας εισοδους αυτου A et (sub οι γ' ※) Q | αυτου 4°]+(sub ※) και παντας τους νομους αυτου Q | διαγραψεις 2°] διαγραφεις A | φυλαξωνται Q 12 αγιων]+εισιν. ουτος ο νομος του οικου A+εισιν. (θ' ※) ουτος ο ν. τ. οικου Q 13 pr tit μετρα θυσιαστηριου και των εντος Q[mg sup] | εν πηχει του πηχεος] εν π. τ. πηχεως A εν π. πηχεος Q+(sub α'θ' ※) και πηχεως Q α' πηχεος τō| πηχυν πηχεας το κολπωμα 𝔭 σ' πηχισμō| πεπηχισμενον Q[mg] | κολπωμα βαθους] το κολπωμα βαθος A κολπ. βαθος Q | επι πηχυν] pr πηχυς A | γεισος] α'θ' οριον σ' περιορισμον Q[mg] | το χειλος] του χειλους A | σπιθαμης]+μιας Q 14 μεγα 1°] μετα Q* (μεγα Q[mg]) | τουτο] το A | πηχος B* (πηχεος B[ab]) | πηχυς] υς sup ras B[ab vid] πηχεως A 15 αριηλ 1°] adnot φως μου θ̅ς̅· ητοι ορος θ̅υ̅ δεις το θυσιαστηριō| ουτως εκαλεσε̄| Q[mg] 16 δωδεκα 1°] δεκα δυο Q | δωδεκα 2°] δεκα δυο Q+πλαγιοις A+πλατος Q | τεσσαρα B[b] 17 τεσσαρες] τεσσαρας B[b] | ευρος]+τετραγωνον A | τεσσερα (τεσσαρα B[b])] pr τα A | αυτω] αυτων A

θεν κυκλούμενον αὐτῷ ἥμισυ πήχεος, καὶ τὸ κύκλωμα αὐτοῦ B
πῆχυς κυκλόθεν· καὶ οἱ κλιμακτῆρες αὐτοῦ βλέποντες κατ' ἀνα-
18 τολάς. [18]Καὶ εἶπεν πρὸς μέ Υἱὲ ἀνθρώπου, τάδε λέγει Κύριος
ὁ θεὸς Ἰσραήλ Ταῦτα τὰ προστάγματα τοῦ θυσιαστηρίου ἐν ἡμέρᾳ
ποιήσεως αὐτοῦ, τοῦ ἀναφέρειν ἐπ' αὐτοῦ ὁλοκαυτώματα καὶ προσ-
19 χέειν πρὸς αὐτὸ αἷμα. [19]καὶ δώσεις τοῖς ἱερεῦσι τοῖς Λευείταις
τοῖς ἐκ τοῦ σπέρματος Σαδδοὺκ τοῖς ἐγγίζουσι πρὸς μέ, λέγει
Κύριος ὁ θεός, τοῦ λειτουργεῖν μοι, μόσχον ἐκ βοῶν περὶ ἁμαρτίας.
20 [20]καὶ λήμψονται ἐκ τοῦ αἵματος αὐτοῦ, καὶ ἐπιθήσουσιν ἐπὶ τὰ
τέσσερα κέρατα τοῦ θυσιαστηρίου καὶ ἐπὶ τὰς τέσσαρας γωνίας τοῦ
21 ἱλαστηρίου καὶ ἐπὶ τὴν βάσιν κύκλῳ, καὶ ἐξιλάσονται αὐτό. [21]καὶ
λήμψονται τὸν μόσχον τὸν περὶ ἁμαρτίας, καὶ κατακαυθήσεται ἐν
22 τῷ ἀποκεχωρισμένῳ τοῦ οἴκου ἔξωθεν τῶν ἁγίων. [22]καὶ τῇ ἡμέρᾳ
τῇ δευτέρᾳ λήμψονται ἐρίφους δύο αἰγῶν ἀμώμους ὑπὲρ ἁμαρτίας,
καὶ ἐξιλάσονται τὸ θυσιαστήριον καθότι ἐξιλάσαντο ἐν τῷ μόσχῳ.
23 [23]καὶ μετὰ τὸ συντελέσαι σε τὸν ἐξιλασμὸν προσοίσουσι μόσχον
24 ἐκ βοῶν ἄμωμον καὶ κριὸν ἐκ προβάτων ἄμωμον, [24]καὶ προσοίσετε
ἐναντίον Κυρίου· καὶ ἐπιρίψουσιν οἱ ἱερεῖς ἐπ' αὐτὰ ἅλα, καὶ
25 ἀνοίσουσιν αὐτὰ ὁλοκαυτώματα τῷ κυρίῳ. [25]ἑπτὰ ἡμέρας ποιήσεις
ἔριφον ὑπὲρ ἁμαρτίας καθ' ἡμέραν καὶ μόσχον ἐκ βοῶν καὶ κριὸν
26 ἐκ προβάτων, ἄμωμα ποιήσουσιν [26]ἑπτὰ ἡμέρας· καὶ ἐξιλάσονται τὸ
θυσιαστήριον καὶ καθαριοῦσιν αὐτό, καὶ πλήσουσιν χεῖρας αὐτῶν.
27 [27]καὶ ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα ποιήσουσιν οἱ
ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν καὶ τὰ τοῦ σωτηρίου
ὑμῶν· καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος.

XLIV 1 [1]Καὶ ἐπέστρεψέν με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς
ἐξωτέρας τῆς βλεπούσης κατ' ἀνατολάς, καὶ αὕτη ἦν κεκλεισμένη.
2 [2]καὶ εἶπεν πρὸς μὲ Κύριος Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ
ἀνοιχθήσεται, καὶ οὐδεὶς μὴ διέλθῃ δι' αὐτῆς· ὅτι Κύριος ὁ θεὸς τοῦ

17 πηχεος] πηχεως A   18 ο θεος Ισραηλ] κ̅ς̅ Q | ολοκαυτωματα] AQ pr τα A | αυτο] το A   19 ιερευσιν AQ | Λευιταις AQ | τοις εκ] om τοις A | τοις εγγιζουσι (-σιν A)] pr και A | ο θεος] κ̅ς̅ Q | του λειτουργειν] του Λευι λειτ. A | μοσχων A   20 λημψονται Q[a]: item 21, 22 | επιθησουσι B* (-σιν B[ab]) | κυκλω] + και περιραντιεις αυτο A et (sub ※) Q | αυτο] αυτον A   21 περι] υπερ AQ   22 αιγων] pr απο A | καθοτι] καθως A | μοχου A (μοσχ. A[a?])   23 προσοισουσιν AQ | προβατων] pr των AQ   24 επιρριψουσιν B[b] | αλας A   25 προβατων] pr των AQ   26 καθαρισουσιν A | πλησουσι Q | χειρας αυτων] τας χειρας αυτης A   27 και 1°] pr (sub ※) και συντελεσουσιν τας ημερας Q | Κυριος] pr κ̅ς̅ Q XLIV 2 προς με Κυριος] κ̅ς̅ προς με A | om ουκ ανοιχθησεται A

B Ἰσραὴλ εἰσελεύσεται δι᾽ αὐτῆς, καὶ ἔσται κεκλεισμένη. [3]διότι ὁ 3
ἡγούμενος, οὗτος καθήσεται ἐν αὐτῇ τοῦ φαγεῖν ἄρτον ἐναντίον
Κυρίου· κατὰ τὴν ὁδὸν αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν
ὁδὸν αὐτοῦ ἐξελεύσεται. [4]καὶ εἰσήγαγέν με κατὰ τὴν ὁδὸν τῆς πύλης 4
τῆς πρὸς βορρᾶν κατέναντι τοῦ οἴκου· καὶ ἴδον, καὶ ἰδοὺ πλήρης
δόξης ὁ οἶκος τοῦ κυρίου, καὶ πίπτω ἐπὶ πρόσωπόν μου. [5]καὶ εἶπεν 5
Κύριος πρὸς μέ Υἱὲ ἀνθρώπου, τάξον εἰς τὴν καρδίαν σου, καὶ ἴδε
τοῖς ὀφθαλμοῖς σου, καὶ τοῖς ὠσὶν ἄκουε πάντα ὅσα ἐγὼ λαλῶ μετὰ
σοῦ, κατὰ πάντα τὰ προστάγματα οἴκου Κυρίου καὶ κατὰ πάντα τὰ
νόμιμα αὐτοῦ· καὶ τάξεις τὴν καρδίαν σου εἰς τὴν εἴσοδον τοῦ οἴκου
κατὰ πάσας τὰς ἐξόδους αὐτοῦ ἐν πᾶσι τοῖς ἁγίοις. [6]καὶ ἐρεῖς πρὸς 6
τὸν οἶκον τὸν παραπικραίνοντα, πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ Τάδε
λέγει Κύριος ὁ θεός Ἱκανούσθω ὑμῖν ἀπὸ πασῶν τῶν ἀνομιῶν ὑμῶν,
οἶκος Ἰσραήλ, [7]τοῦ εἰσαγαγεῖν ὑμᾶς υἱοὺς ἀλλογενεῖς ἀπεριτμήτους 7
καρδίᾳ καὶ ἀπεριτμήτους σαρκί, τοῦ γίνεσθαι ἐν τοῖς ἁγίοις μου· καὶ
ἐβεβήλουν αὐτὰ ἐν τῷ προσφέρειν ὑμᾶς ἄρτους σάρκας καὶ αἷμα, καὶ
παρεβαίνετε τὴν διαθήκην μου ἐν πάσαις ταῖς ἀνομίαις ὑμῶν, [8]καὶ 8
διετάξατε τοῦ φυλάσσειν φυλακὰς ἐν τοῖς ἁγίοις μου. [9]Διὰ 9
τοῦτο τάδε λέγει Κύριος ὁ θεός Πᾶς υἱὸς ἀλλογενὴς ἀπερίτμητος
καρδίᾳ καὶ ἀπερίτμητος σαρκὶ οὐκ εἰσελεύσεται εἰς τὰ ἅγιά μου ἐν
πᾶσιν υἱοῖς ἀλλογενῶν τῶν ὄντων ἐν μέσῳ οἴκου Ἰσραήλ, [10]ἀλλ᾽ ἢ 10
οἱ Λευεῖται οἵτινες ἀφήλαντο ἀπ᾽ ἐμοῦ ἐν τῷ πλανᾶσθαι τὸν Ἰσραὴλ
ἀπ᾽ ἐμοῦ κατόπισθεν τῶν ἐνθυμημάτων αὐτῶν· καὶ λήμψονται ἀδικίαν
αὐτῶν, [11]καὶ ἔσονται ἐν τοῖς ἁγίοις μου λειτουργοῦντες θυρωροὶ ἐπὶ 11
τῶν πυλῶν τοῦ οἴκου καὶ λειτουργοῦντες τῷ οἴκῳ· οὗτοι σφάξουσιν
τὰ ὁλοκαυτώματα καὶ τὰς θυσίας τῷ λαῷ, καὶ οὗτοι στήσονται
ἐναντίον τοῦ λαοῦ τοῦ λειτουργεῖν αὐτοῖς. [12]ἀνθ᾽ ὧν ἐλειτούργουν 12
αὐτοῖς πρὸ προσώπου τῶν εἰδώλων αὐτῶν, καὶ ἐγένετο τῷ οἴκῳ

AQ 3 ηγουμενος] + (sub οι γ′ ·※·) αρχων Q | ουτος] αυτης A 4 της προς] om της Q* (hab Q^{mg}) | ειδον B^{ab} | δοξης] + (sub οι γ′ ·※·) κ̅υ̅ Q | του κυριου] om του AQ 5 ωσιν] + σου AQ | om κατα 2° Q | εισοδον] οδον Q | πασιν AQ 6 ο θεος] κ̅ς̅ Q | Ισραηλ 2°] pr του A 7 γινεσθαι] γενεσθαι A | βεβηλουν A | αρτους] + μου A et (sub ·※·) Q | σαρκας] pr και A στεαρ Q 8 και] pr και ουκ εφυλαξατε (εφυλαξασθε Q) την φυλακην των αγιων μου A et (sub θ′ ·※·) Q | om εν Q 10 Λευιται AQ | αφηλαντο] αφειλαντο A | Ισραηλ] + οι επλανηθησαν A et (sub α′θ′ ·※·) Q | ληψονται B^bQ^a: item 13, 22 bis | αδικιαν] pr την A 11 εσονται] ησαν Q^{mg} | οικω] + κ̅υ̅ A | ουτοι σφαξουσιν...αυτοις] adnot αντι του οι αλλοι οι τιμιωτεροι ιερεις τας θυσιας εποιουν ϗ τας ολοκαυτωσεις και ουτοι υπηρετουν αυτοις Q^{mg} | του λειτουργειν] om του A 12 om οικω A

Ἰσραὴλ εἰς κόλασιν ἀδικίας· ἕνεκα τούτου ἦρα τὴν χεῖρά μου ἐπ' αὐ- B
13 τούς, λέγει Κύριος ὁ θεός, [13]καὶ οὐκ ἐγγιοῦσι πρὸς μὲ τοῦ ἱερατεύειν
μοι, οὐδὲ τοῦ προσάγειν πρὸς τὰ ἅγια υἱῶν τοῦ Ἰσραὴλ οὐδὲ πρὸς
τὰ ἅγια τῶν ἁγίων μου· καὶ λήμψονται ἀτιμίαν αὐτῶν ἐν τῇ πλανήσει
14 ᾗ ἐπλανήθησαν. [14]καὶ κατάξουσιν αὐτοὺς φυλάσσειν φυλακὰς τοῦ
15 οἴκου εἰς πάντα τὰ ἔργα αὐτοῦ, καὶ εἰς πάντα ὅσα ἂν ποιήσωσιν. [15]οἱ
ἱερεῖς οἱ Λευεῖται οἱ υἱοὶ τοῦ Σαδδοὺκ οἵτινες ἐφυλάξαντο τὰς φυλακὰς
τῶν ἁγίων μου ἐν τῷ πλανᾶσθαι οἶκον Ἰσραὴλ ἀπ' ἐμοῦ, οὗτοι
προσάξουσιν πρὸς μὲ τοῦ λειτουργεῖν μοι, καὶ στήσονται πρὸ προσ-
ώπου μου τοῦ προσφέρειν μοι θυσίαν, στέαρ καὶ αἷμα, λέγει Κύριος
16 ὁ θεός. [16]οὗτοι εἰσελεύσονται εἰς τὰ ἅγιά μου, καὶ οὗτοι προσελεύ-
σονται πρὸς τὴν τράπεζάν μου τοῦ λειτουργεῖν μοι, καὶ φυλάξουσιν
17 τὰς φυλακάς μου. [17]καὶ ἔσται ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς τὰς
πύλας τῆς αὐλῆς τῆς ἐσωτέρας, στολὰς λινᾶς ἐνδύσονται· καὶ οὐκ
ἐνδύσονται ἐρεᾶ ἐν τῷ λειτουργεῖν αὐτοὺς ἀπὸ τῆς πύλης τῆς ἐσω-
18 τέρας αὐλῆς. [18]καὶ κιδάρεις λινᾶς ἕξουσιν ἐπὶ ταῖς κεφαλαῖς αὐτῶν,
καὶ περισκελῆ λινᾶ ἕξουσιν ἐπὶ τὰς ὀσφύας αὐτῶν, καὶ οὐ περι-
19 ζώσονται βίᾳ. [19]καὶ ἐν τῷ ἐκπορεύεσθαι αὐτοὺς εἰς τὴν αὐλὴν τὴν
ἐξωτέραν πρὸς τὸν λαὸν ἐκδύσονται τὰς στολὰς αὐτῶν, ἐν αἷς αὐτοὶ
λειτουργοῦσιν ἐν αὐταῖς, καὶ θήσουσιν αὐτὰς ἐν ταῖς ἐξέδραις τῶν
ἁγίων, καὶ ἐνδύσονται στολὰς ἑτέρας, καὶ οὐ μὴ ἁγιάσωσιν τὸν λαὸν
20 ἐν ταῖς στολαῖς αὐτῶν. ¶ [20]καὶ τὰς κεφαλὰς αὐτῶν οὐ ξυρήσονται, ¶ Γ
καὶ τὰς κόμας αὐτῶν οὐ ψιλώσουσιν· καλύπτοντες καλύψουσιν τὰς
21 κεφαλὰς αὐτῶν. [21]καὶ οἶνον οὐ μὴ πίωσιν πᾶς ἱερεὺς ἐν τῷ

12 εις] ει B* (εις B^{ab}) | ενεκα] ενεκεν A | θεος] + και λημψονται την ατιμιαν AQΓ αυτων A + (sub θ' ※) και λημψ. (ληψ. Q^{a} item 13) τ. ανομιαν αυτ. Q 13 εγγιουσιν AQ | προσαγειν] προσαγαγειν A | τα αγια] pr παντα Q adnot αγια υιων Ιηλ καλει πασαν τω͞| Λευιτω͞| την λειτουργια͞| Q^{mg} | του Ισραηλ] om του AQ | τα αγια των αγιων] adnot αγια αγιων καλει τας θυσιας τας τοις αρχιερευσι προσηκουσας Q^{mg} | ατιμιαν] pr την A 14 και καταξουσιν] δεδωκα γαρ Q^{mg} | καταξουσιν...οικου] adnot αντι του ουτως ημαρτανο͞| καιτοι αφωρισμενοι παρ εμου ινα κ̣ καταξουσιν αυτους φυλασσει͞| φυλακας του ιερου· η οτι επιτρεπει παλιν αυτους μετα τη͞| ανακλησι͞| λειτουργειν απαξ δεδωκοτας δικη͞|· προς τω και αργησαι του λειτουργειν της αιχμαλωσιας το͞| χρονον Q^{mg} | καταξουσιν αυτους] και ταξουσιν αυτου A | ποιησωσιν] + (sub οι γ' ※) εν αυτω Q 15 Λευιται Q | οι υιοι του Σαδδουκ] υιοι Σ. Q | εφυλαξαντο] εφυλαξα͞| Q | οικον] pr τον AQ | om μοι 2° A | θυσιαν] pr ÷ Q$^{?}$ 17 om και 2° AQ | ερεα] ερια B^{ab} | της εσωτερας αυλης] της αυλης της εσωτερας Q + και εσω A et (sub α'θ' ※) Q 18 om και 1° Q | κιδαρις A | ταις κεφαλαις] τας κεφαλας Q | τας οσφυας] ταις (τας Q*) οσφυσιν A (-σειν) Q 19 αυτου B* (αυτους B^{ab}) 20 ου 1°] + μη A om Γ | ου 2°] + μη A | καλυψωσιν B*A (-ψουσι B^{b})

B εἰσπορεύεσθαι αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν. [22]καὶ χήραν καὶ 22
ἐκβεβλημένην οὐ λήμψονται ἑαυτοῖς εἰς γυναῖκα, ἀλλ' ἢ παρθένον
ἐκ τοῦ σπέρματος Ἰσραήλ· καὶ χήρα ἐὰν γένηται ἐξ ἱερέως, λήμψονται.
[23]καὶ τὸν λαόν μου διδάξουσιν ἀνὰ μέσον ἁγίου καὶ βεβήλου, καὶ 23
ἀνὰ μέσον καθαροῦ καὶ ἀκαθάρτου γνωριοῦσιν αὐτοῖς· [24]καὶ ἐπὶ 24
κρίσιν αἵματος οὗτοι ἐπιστήσονται τοῦ διακρίνειν· τὰ δικαιώματά μου
δικαιώσουσιν, καὶ τὰ κρίματά μου κρινοῦσιν, καὶ τὰ νόμιμά μου καὶ
τὰ προστάγματά μου ἐν πάσαις ταῖς ἑορταῖς μου φυλάξονται, καὶ τὰ
σάββατά μου ἁγιάσουσιν. [25]καὶ ἐπὶ ψυχὴν ἀνθρώπου οὐκ εἰσ- 25
ελεύσονται τοῦ μιανθῆναι· ἀλλ' ἢ ἐπὶ πατρὶ καὶ μητρὶ καὶ ἐπὶ υἱῷ
καὶ ἐπὶ θυγατρὶ καὶ ἐπὶ ἀδελφῷ καὶ ἐπὶ ἀδελφῇ αὐτοῦ, ἣ οὐ γέγονεν
¶ Γ ἀνδρί, μιανθήσεται. [26]καὶ μετὰ¶ τὸ καθαρισθῆναι αὐτὸν ἑπτὰ ἡμέρας 26
ἐξαριθμήσει αὐτῷ· [27]καὶ ᾗ ἂν ἡμέρᾳ εἰσπορεύωνται εἰς τὴν αὐλὴν 27
τὴν ἐσωτέραν τοῦ λειτουργεῖν ἐν τῷ ἁγίῳ, προσοίσουσιν ἱλασμόν,
λέγει Κύριος ὁ θεός. [28]καὶ ἔσται αὐτοῖς εἰς κληρονομίαν· ἐγὼ κλη- 28
ρονομία αὐτοῖς, καὶ κατάσχεσις αὐτοῖς οὐ δοθήσεται ἐν τοῖς υἱοῖς
Ἰσραήλ, ὅτι ἐγὼ κατάσχεσις αὐτῶν. [29]καὶ τὰς θυσίας καὶ τὰ ὑπὲρ 29
ἁμαρτίας καὶ τὰ ὑπὲρ ἀγνοίας οὗτοι φάγονται, καὶ πᾶν ἀφόρισμα
ἐν τῷ Ἰσραὴλ αὐτοῖς ἔσται· [30]ἀπαρχαὶ πάντων καὶ τὰ πρωτότοκα 30
πάντων καὶ τὰ ἀφαιρέματα πάντα ἐκ πάντων τῶν ἀπαρχῶν ὑμῶν
τοῖς ἱερεῦσιν ἔσται. καὶ τὰ πρωτογενήματα ὑμῶν δώσετε τῷ ἱερεῖ,
τοῦ θεῖναι εὐλογίας ὑμῶν ἐπὶ τοὺς οἴκους ὑμῶν. [31]καὶ πᾶν θνησιμαῖον 31
καὶ θηριάλωτον ἐκ τῶν πετεινῶν καὶ ἐκ τῶν κτηνῶν οὐ φάγονται
οἱ ἱερεῖς.

[1]Καὶ ἐν τῷ καταμετρεῖσθαι ὑμᾶς τὴν γῆν ἐν κληρονομίᾳ ἀφοριεῖτε 1 XLV
ἀπαρχὴν τῷ κυρίῳ ἅγιον ἀπὸ τῆς γῆς, πέντε καὶ εἴκοσι χιλιάδας
μῆκος καὶ εὖρος εἴκοσι χιλιάδας· ἅγιον ἔσται ἐν πᾶσι τοῖς ὁρίοις
αὐτοῦ κυκλόθεν. [2]καὶ ἔσται ἐκ τούτου ἁγιάσματα πεντακόσιοι ἐπὶ 2
πεντακοσίους τετράγωνον κυκλόθεν, καὶ πήχεις πεντήκοντα διάστημα

AQΓ **22** ου]+μη A | om εις Γ | Ισραηλ] pr οικου QΓ | γενηται] + (sub ※) χηρα Q | εξ ιερεως λημψονται] λημψ. εξ ιερεως Q **23** διδαξωσιν Q | καθαρου και ακαθαρτου] καθαρου και αναμεσον ακαθαρτου A ακαθαρτου και καθαρου QΓ | γνωρισουσιν Q **24** επι] περι QΓ | τα δικαιωματα] pr και Γ | δικαιωσουσιν] pr ÷ Q^{mg} | αγιασωσιν Q* (-σουσιν Q^{a}) **25** ψυχη Q | om και 2° Q | μητρι] pr επι B^{ab}A | επι 5°] επ Γ | αδελφω] +αυτου A | επι 6°] επ Γ^{fort} **27** εισπορευωνται] εισπορευηται Q + (sub ※) εις το αγιον Q | προσοισουσιν] προσοισει Q **28** οτι] pr ÷ Q^{mg} | αυτων] αυτοις A **29** αυτοι Q* (αυτοις Q^{a}) **30** απαρχαι] pr και A | παντα]+υμων A | δωσεται B*A (δωσετε B^{ab}Q) XLV **1** εικοσι 2°] δεκα Q | πασιν AQ **2** αγιασματα] εις αγιασμα AQ

3 αὐτῷ κυκλόθεν. [3]καὶ ἐκ ταύτης τῆς διαμετρήσεως διαμετρήσεις B
μῆκος πέντε καὶ εἴκοσι χιλιάδας καὶ εὖρος εἴκοσι χιλιάδας, καὶ ἐν
4 αὐτῇ ἔσται ἅγια τῶν ἁγίων. [4]ἀπὸ τῆς γῆς ἔσται τοῖς ἱερεῦσιν τοῖς
λειτουργοῦσιν ἐν τῷ ἁγίῳ, καὶ ἔσται τοῖς ἐγγίζουσι λειτουργεῖν τῷ
κυρίῳ· καὶ ἔσται αὐτοῖς τόπος εἰς οἴκους ἀφωρισμένους τῷ ἁγιασμῷ
5 αὐτῶν, [5]εἴκοσι καὶ πέντε χιλιάδας μῆκος, καὶ εὖρος εἴκοσι χιλιάδες·
καὶ τοῖς Λευείταις τοῖς λειτουργοῦσιν τῷ οἴκῳ αὐτοῖς εἰς κατάσχεσιν
6 πόλεις τοῦ κατοικεῖν. [6]καὶ τὴν κατάσχεσιν τῆς πόλεως δώσεις πέντε
χιλιάδας εὖρος, καὶ μῆκος πέντε καὶ εἴκοσι χιλιάδας, ὃν τρόπον ἡ
7 ἀπαρχὴ τῶν ἁγίων παντὶ οἴκῳ Ἰσραὴλ ἔσονται. [7]καὶ τῷ ἡγουμένῳ
ἐκ τούτου καὶ ἀπὸ τούτου εἰς τὰς ἀπαρχὰς τῶν ἁγίων, εἰς κατάσχεσιν
τῆς πόλεως, κατὰ πρόσωπον τῶν ἀπαρχῶν τῶν ἁγίων καὶ κατὰ
πρόσωπον τῆς κατασχέσεως τῆς πόλεως, τὰ πρὸς θάλασσαν καὶ ἀπὸ
τῶν πρὸς θάλασσαν πρὸς ἀνατολάς· καὶ τὸ μῆκος ὡς μία τῶν μερίδων
ἀπὸ τῶν ὁρίων τῶν πρὸς θάλασσαν, καὶ τὸ μῆκος ἐπὶ τὰ ὅρια τὰ πρὸς
8 ἀνατολὰς τῆς γῆς. [8]καὶ ἔσται αὐτῷ εἰς κατάσχεσιν ἐν τῷ Ἰσραήλ,
καὶ οὐ καταδυναστεύσουσιν οὐκέτι οἱ ἀφηγούμενοι τοῦ Ἰσραὴλ τὸν
λαόν μου· καὶ τὴν γῆν κατακληρονομήσουσιν οἶκος Ἰσραὴλ κατὰ
9 φυλὰς αὐτῶν. [9]Τάδε λέγει Κύριος θεός Ἱκανούσθω ὑμῖν, οἱ
ἀφηγούμενοι τοῦ Ἰσραήλ· ἀδικίαν καὶ ταλαιπωρίαν ἀφέλεσθε, κρίμα
καὶ δικαιοσύνην ποιήσατε· ἐξάρατε καταδυναστείαν ἀπὸ τοῦ λαοῦ μου,
10 λέγει Κύριος θεός. [10]ζυγὸς δίκαιος καὶ μέτρον δίκαιον καὶ χοῖνιξ
11 δικαία ἔστω ὑμῖν τοῦ μέτρου, [11]καὶ ἡ χοῖνιξ ὁμοίως μία ἔσται τοῦ
λαμβάνειν· τὸ δέκατον τοῦ γόμορ χοῖνιξ, καὶ τὸ δέκατον τοῦ γόμορ,
12 πρὸς τὸ γόμορ ἔσται τὸ ἴσον. [12]καὶ τὰ στάθμια εἴκοσι ὀβολοί, πέντε
σίκλοι, πέντε καὶ σίκλοι, δέκα καὶ πεντήκοντα σίκλοι ἡ μνᾶ ἔσται

2 αυτω] αυτων A 3 διαμετρησεις] διαμετρησις A | πεντε και εικοσι] AQ ε και εικ sup ras B^{ab} | εικοσι 2°] δεκα Q | αγια] το αγιασμα A pr το αγιασμα Q 4 απο] pr αγιον A et (sub οι γ′ ※) Q | εγγιζουσιν AQ + εν αυτοις A 5 χιλιαδας] χιλιαδες AQ | ευρος εικοσι χιλιαδες] εικοσι χιλ. ευρ. εσται A ευρ. δεκα χιλ. Q | om και 3° A | Λευιταις AQ 6 τροπον] + και A 7 προς ανατολας (1°)] pr τα A ※ κατ ανατ. Q 9 Κυριος θεος (1°)] $\overline{κς}$ ο $\overline{θς}$ A $\overline{κς}$ κς Q | Ισραηλ] + τον λαων μου· και την γην κατακληρονομησουσι] οικος του $\overline{Ιηλ}$ A | κριμα] pr και AQ | εξαρατε] pr και A | θεος 2°] pr ο AQ 10 ζυγον δικαιον AQ | εστω] εσται A 11 χοινιξ 2°] pr η A | το δεκατον του γομορ] το μετρον A | του γομορ 2°] + (sub ※) του οιφι Q | το ισον] om το A 12 τα σταθμια] om τα Q | πεντε σικλοι...πεντηκοντα σικλοι] εικοσι σικλοι πε̄|τε και εικοσι σικλοι (adnot πεντε και δεκα εις τους γ′ εγεγραπτο ϗ διωρθωσα πεντε ϗ εικοσι Q^{mg}) δεκα και πεντε σικλοι Q οι ε′ σικλοι ε′ ϗ οι ι′ σικλοι ι′ ϗ ν′ σικλοι Q$^{mg\ vid}$ | πεντε 1°] pr οι A | σικλοι 2°] pr οι δεκα A

B ὑμῖν. [13]καὶ αὕτη ἡ ἀπαρχὴ ἣν ἀφοριεῖτε, ἕκτον μέτρον ἀπὸ τοῦ γόμορ 13
τοῦ πυροῦ, καὶ τὸ ἕκτον αὐτοῦ τοῦ οἰφὶ ἀπὸ τοῦ κόρου τῶν κριθῶν.
[14]καὶ τὸ πρόσταγμα τοῦ ἐλαίου κοτύλην ἐλαίου ἀπὸ δέκα κοτυλῶν, 14
ὅτι αἱ δέκα κοτύλαι εἰσὶν γόμορ. [15]καὶ πρόβατον ἀπὸ τῶν προβάτων 15
ἀπὸ δέκα, ἀφαίρεμα ἐκ πασῶν τῶν πατριῶν τοῦ Ἰσραήλ, εἰς θυσίας
καὶ εἰς ὁλοκαυτώματα καὶ εἰς σωτηρίου, τοῦ ἐξιλάσκεσθαι περὶ ὑμῶν,
λέγει Κύριος θεός. [16]καὶ πᾶς ὁ λαὸς δώσει τὴν ἀπαρχὴν ταύτην τῷ 16
ἀφηγουμένῳ τοῦ Ἰσραήλ. [17]καὶ διὰ τοῦ ἀφηγουμένου ἔσται τὰ 17
ὁλοκαυτώματα καὶ αἱ θυσίαι καὶ αἱ σπονδαὶ ἐν ταῖς ἑορταῖς καὶ ἐν ταῖς
νουμηνίαις καὶ ἐν τοῖς σαββάτοις καὶ ἐν πάσαις ταῖς ἑορταῖς οἴκου
Ἰσραήλ· αὐτὸς ποιήσει τὰ ὑπὲρ ἁμαρτίας καὶ τὴν θυσίαν καὶ τὰ
ὁλοκαυτώματα καὶ τὰ τοῦ σωτηρίου, τοῦ ἐξιλάσκεσθαι ὑπὲρ τοῦ οἴκου
Ἰσραήλ. [18]Τάδε λέγει Κύριος θεός Ἐν τῷ πρώτῳ μηνὶ μιᾷ τοῦ 18
μηνὸς λήμψεσθε μόσχον ἐκ βοῶν ἄμωμον τοῦ ἐξιλάσασθαι τὸ ἅγιον.
[19]καὶ λήμψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ ἐξιλασμοῦ, καὶ δώσει 19
ἐπὶ τὰς φλιὰς τοῦ οἴκου καὶ ἐπὶ τὰς τέσσαρας γωνίας τοῦ ἱεροῦ καὶ
ἐπὶ τὸ θυσιαστήριον καὶ ἐπὶ τὰς φλιὰς τῆς πύλης τῆς αὐλῆς τῆς
ἐσωτέρας. [20]καὶ οὕτως ποιήσεις ἐν τῷ ἑβδόμῳ μηνὶ μιᾷ τοῦ μηνὸς 20
παρ' ἑκάστου ἀπόμοιραν, καὶ ἐξιλάσεσθε τὸν οἶκον. [21]καὶ ἐν τῷ πρώτῳ 21
τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς ἔσται ὑμῖν τὸ πάσχα ἑορτή· ἑπτὰ ἡμέρας
ἄζυμα ἔδεσθε. [22]καὶ ποιήσει ὁ ἀφηγούμενος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ 22
ὑπὲρ αὐτοῦ καὶ τοῦ οἴκου καὶ ὑπὲρ παντὸς τοῦ λαοῦ τῆς γῆς μόσχον
ὑπὲρ ἁμαρτίας. [23]καὶ τὰς ἑπτὰ ἡμέρας τῆς ἑορτῆς ποιήσει ὁλοκαυ- 23

AQ **13** αφορειτε Q* (-ριειτε Qa) | εκτον] εκατον A | μετρον] του μετρου AQ | γομορ] οιφι κορου Qmg dext (adnot τινα των ἀ|τιγραφων ουτως εχει αντι των εσω Qmg sinistr) | om αυτου AQ | οιφι] ο sup ras (prius ω ut vid) B? | του κορου] του γομορ· κορου A **14** το προσταγμα] τα προσταγματα A [το] δικαιωμα Qmg | κοτυλην] θ' μετρητης (sic ut vid) Qmg | ελαιου 2°] + (sub ※) δεκατον Q pro δεκ. α' ο βατος ο μετρητης απο του κορου θ' ο βατος απο του κορου Qmg | δεκα 1°] pr των A | κοτυλων] + (sub ※) αι δεκα κοτυλαι γομορ Q | οτι...γομορ] α' οτι οι ι' μετρηται κορος θ' οι ι' βατοι κορος Qmg **15** προβατον] + εν AQ (sub ÷ Q? vid) | προβατων απο δεκα] δεκα προβατων AQ | των πατριων] om των Q* pr απο Qmg pro πατρ. σ' ποτιστηριων Qmg | σωτηριον A | εξιλασκεσθαι] εξιλασασθαι A | θεος] pr ο AQ **17** σπονδαι] + εσονται AQ* (sub ÷ Q?) | αυτος] pr ο Q **18** θεος] pr ο AQ | ληψεσθε BbA (-θαι) Qa | εξιλασασθαι] εξιλασκεσθαι Q **19** ληψεται BbQa | αιματος] + του μοσχου A **20** τω εβδομω μηνι μια] τω μηνι τω εβδομω μια A τη εβδομη Q | παρ εκαστου] pr λημψη AQ* (ληψ. Qa) (sub ÷ Q?) | απομοιραν] αγνοουντος και απο νηπιου· A et (sub θ'σ' ※) Q | εξιλασασθαι Q* (-θε Qa) **21** πρωτω] + μηνι AQ (sub ÷ Q?) | τεσσαρεσκαιδεκατη (-ρισκαιδεκ. Bb)] + ημερα Q (sub ※ Q?) | εδεσθα B* (sic) (-θε B1 fort) **22** αυτου] εαυτου Q | του οικου] pr υπερ AQ (κ. υ. τ. οικ. sub ÷ Q?) **23** ποιησεις A

τώματα τῷ κυρίῳ, ἑπτὰ μόσχους καὶ ἑπτὰ κριοὺς ἀμώμους καθ' ἡμέ- B
ραν τὰς ἑπτὰ ἡμέρας, καὶ ὑπὲρ ἁμαρτίας ἔριφον αἰγῶν καθ' ἡμέραν,
24 καὶ θυσίαν. 24 καὶ πέμμα τῷ μόσχῳ καὶ πέμμα τῷ κριῷ ποιήσεις,
25 καὶ ἐλαίου τὸ εἲν τῷ πέμματι. 25 καὶ ἐν τῷ ἑβδόμῳ πεντεκαιδεκάτῃ
τοῦ μηνὸς ἐν τῇ ἑορτῇ ποιήσεις κατὰ τὰ αὐτὰ ἑπτὰ ἡμέρας, καθὼς
τὰ ὑπὲρ τῆς ἁμαρτίας καὶ καθὼς τὰ ὁλοκαυτώματα καὶ καθὼς τὸ
μαναὰ καὶ καθὼς τὸ ἔλαιον.

XLVI 1 1 Τάδε λέγει Κύριος θεός Πύλη ἡ ἐν τῇ αὐλῇ τῇ ἐσωτέρᾳ ἡ
βλέπουσα πρὸς ἀνατολὰς ἔσται κεκλεισμένη ἓξ ἡμέρας τὰς ἐνεργούς·
ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων ἀνοιχθῇ, καὶ ἐν τῇ ἡμέρᾳ τῆς νουμηνίας
2 ἀνοιχθήσεται. 2 καὶ εἰσελεύσεται ὁ ἀφηγούμενος κατὰ τὴν ὁδὸν τοῦ
αἰλὰμ τῆς πύλης τῆς ἔσωθεν καὶ στήσεται ἐπὶ τὰ πρόθυρα τῆς πύλης,
καὶ ποιήσουσιν οἱ ἱερεῖς τὰ ὁλοκαυτώματα αὐτοῦ καὶ τὰ τοῦ σωτηρίου
3 αὐτοῦ. 3 καὶ προσκυνήσει ἐπὶ τοῦ προθύρου τῆς πύλης καὶ ἐξελεύ-
σεται, καὶ ἡ πύλη οὐ μὴ κλεισθῇ ἕως ἑσπέρας· καὶ προσκυνήσει ὁ
λαὸς τῆς γῆς κατὰ τὰ πρόθυρα τῆς πύλης ἐκείνης καὶ ἐν τοῖς
4 σαββάτοις καὶ ἐν ταῖς νουμηνίαις ἐναντίον Κυρίου. 4 καὶ τὰ ὁλο-
καυτώματα προσοίσει ὁ ἀφηγούμενος τῷ κυρίῳ ἐν τῇ ἡμέρᾳ τῶν
5 σαββάτων, ἓξ ἀμνοὺς ἀμώμους καὶ κριὸν ἄμωμον 5 καὶ μαναά, πέμμα
τῷ κριῷ, καὶ τοῖς ἀμνοῖς θυσίαν δόμα χειρὸς αὐτοῦ, καὶ ἐλαίου τὸ εἲν
6 τῷ πέμματι. 6 καὶ ἐν τῇ ἡμέρᾳ τῆς νουμηνίας μόσχον ἄμωμον καὶ ἓξ
7 ἀμνούς, καὶ κριὸς ἄμωμος ἔσται, 7 καὶ πέμμα τῷ κριῷ καὶ πέμμα τῷ
μόσχῳ ἔσται μαναά, καὶ τοῖς ἀμνοῖς καθὼς ἐὰν ἐκποιῇ ἡ χεὶρ αὐτοῦ,
8 καὶ ἐλαίου τὸ εἲν τῷ πέμματι. 8 καὶ ἐν τῷ εἰσπορεύεσθαι τὸν
ἀφηγούμενον, κατὰ τὴν ὁδὸν τοῦ αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ
9 κατὰ τὴν ὁδὸν τῆς πύλης ἐξελεύσεται. 9 καὶ ὅταν εἰσπορεύηται ὁ
λαὸς τῆς γῆς ἐναντίον Κυρίου ἐν ταῖς ἑορταῖς, ὁ εἰσπορευόμενος κατὰ
τὴν ὁδὸν τῆς πύλης τῆς βλεπούσης πρὸς βορρᾶν προσκυνεῖν ἐξε-
λεύσεται κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς νότον, καὶ ὁ εἰσπορευό-

24 εἰν] ειμ Q 25 εβδομω]+μηνι Q (sub ÷ $Q^{?}$) | πεντεκαιδεκατη]+ημερα AQ A et (sub οι γ' ※) Q | τα αυτα] ταυτα Q* (τα αυτ. Q^{a}) | το μαναα] το μαννα A τα μαναα Q XLVI 1 θεος] pr ο AQ | κεκλειμενη B* (κεκλεισμ. B^{ab}) | εν 2°]+δε AQ | ανοιχθη] ανοιχθησεται AQ 2 εσωθεν] εξωθεν AQ | τα προθυρα] om τα Q* (superscr Q^{a}) 3 τα προθυρα] om τα Q* (superscr Q^{a}) | om και 5° Q | Κυριου] pr του A 4 τα ολοκαυτωματα] το ολοκαυτωμα A 5 μαναα] μαννα A: item 7, 11, 14 bis, 15, 20 | χειρος] pr της A 6 μοσχον]+υιον βουκολιου A et (sub θ' ※) Q | κριος αμωμος] κριον αμωμα Q 7 πεμμα τω μοσχω και πεμμα τω κριω Q | εαν] αν AQ | εκποιη] ευ ποιη A 8 και 1°]+εσται A 9 om της γης A | om βλεπουσης AQ

B *μενος κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς νότον ἐξελεύσεται κατὰ τὴν
ὁδὸν τῆς πύλης τῆς πρὸς βορρᾶν· οὐκ ἀναστρέψει κατὰ τὴν πύλην
εἰς ἣν εἰσελήλυθεν, ἀλλ᾽ ἢ κατ᾽ εὐθὺ αὐτῆς ἐξελεύσεται. [10]καὶ ὁ* 10
*ἀφηγούμενος ἐν μέσῳ αὐτῶν ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς εἰσελεύ-
σεται μετ᾽ αὐτῶν, καὶ ἐν τῷ ἐκπορεύεσθαι αὐτοὺς ἐξελεύσεται. [11]καὶ* 11
*ἐν ταῖς ἑορταῖς καὶ ἐν ταῖς πανηγύρεσιν ἔσται τὸ μαναὰ πέμμα τῷ
μόσχῳ καὶ πέμμα τῷ κριῷ, καὶ τοῖς ἀμνοῖς καθὼς ἂν ἐκποιῇ ἡ χεὶρ
αὐτοῦ, καὶ ἐλαίου τὸ εἲν τῷ πέμματι. [12]ἐὰν δὲ ποιήσῃ ὁ ἀφηγού-* 12
*μενος ὁμολογίαν ὁλοκαύτωμα σωτηρίου τῷ κυρίῳ, καὶ ἀνοίξει ἑαυτῷ
τὴν πύλην τὴν βλέπουσαν κατ᾽ ἀνατολάς, καὶ ποιήσει τὸ ὁλοκαύ-
τωμα αὐτοῦ καὶ τὰ τοῦ σωτηρίου αὐτοῦ ὃν τρόπον ποιεῖ ἐν τῇ ἡμέρᾳ
τῶν σαββάτων· καὶ ἐξελεύσεται, καὶ κλείσει τὰς θύρας μετὰ τὸ
ἐξελθεῖν αὐτόν. [13]καὶ ἀμνὸν ἐνιαύσιον ἄμωμον ποιήσει εἰς ὁλο-* 13
καύτωμα καθ᾽ ἡμέραν τῷ κυρίῳ, πρωὶ ποιήσει αὐτόν. [14]καὶ μαναὰ 14
*ποιήσει ἐπ᾽ αὐτῷ τὸ πρωὶ ἕκτον τοῦ μέτρου, καὶ ἐλαίου τρίτον τοῦ
εἲν τοῦ ἀναμίξαι τὴν σεμίδαλιν, μαναὰ τῷ κυρίῳ, πρόσταγμα διὰ
παντός. [15]ποιήσετε τὸν ἀμνόν, καὶ τὸ μαναὰ καὶ τὸ ἔλαιον ποιήσετε* 15
τὸ πρωί, ὁλοκαύτωμα διὰ παντός. [16]Τάδε λέγει Κύριος θεός 16
*Ἐὰν δῷ ὁ ἀφηγούμενος δόμα ἑνὶ ἐκ τῶν υἱῶν αὐτοῦ ἐκ τῆς κλη-
ρονομίας αὐτοῦ, τοῦτο τοῖς υἱοῖς αὐτοῦ ἔσται κατάσχεσις ἐν κλη-
ρονομίᾳ. [17]ἐὰν δὲ δῷ δόμα ἑνὶ τῶν παίδων αὐτοῦ, καὶ ἔσται αὐτῷ* 17
*ἕως τοῦ ἔτους τῆς ἀφέσεως, καὶ ἀποδώσει τῷ ἀφηγουμένῳ· πλὴν
τῆς κληρονομίας τῶν υἱῶν αὐτοῦ, αὐτοῖς ἔσται. [18]καὶ οὐ μὴ λάβῃ* 18
*ὁ ἀφηγούμενος ἐκ τῆς κληρονομίας τοῦ λαοῦ καταδυναστεῦσαι αὐ-
τούς· ἐκ τῆς κατασχέσεως αὐτοῦ κατακληρονομήσει τοῖς υἱοῖς αὐτοῦ,
ὅπως μὴ διασκορπίζηται ὁ λαός μου, ἕκαστος ἐκ τῆς κατασχέσεως
αὐτοῦ. [19]Καὶ εἰσήγαγέν με εἰς τὴν εἴσοδον τῆς κατὰ νώτου τῆς* 19

AQ 9 *της προς νοτον* (2°)] om *της* Q | *εξευσεται* B* (*εξελ.* B[a (txt et mg) b]) | *της προς βορραν*] om *της* Q | *πυλην*] *οδον της πυλης* Q | om *εις* AQ 10 *μετ αυτων*] pr ⸓ Q[?] 10—11 *εξελευσεται...πανηγυρεσιν*] distinx post *πανηγ.* A 10 *εξελευσεται*] + *μετ αυτω̄*| A 11 om *και* 1° Q | *εστε* Q[a] | *το μαναα*] incep σ Q* | *και τοις αμνοις*] *τοις δε αμν.* A 12 *σωτηριου* 1°] pr *η* Q + (sub *οι γ'* ⁜) *εκουσιον* Q 13 om *εις* A | *πρωι*] + *πρωι* Q 14 *το πρωι*] bis scr Q | improb *το* 2° Q[a] | *τριτον*] pr *το* AQ | *του ειν*] *τω ιν* A | *προσταγμα*] + *αιωνιον* A et (sub *α'θ'* ⁜) Q 15 *το πρωι*] om *το* A 16 *Κυριος θεος*] *αδωναι* $\overline{κς}$ A $\overline{κς}$ *ο* $\overline{θς}$ Q | *δομα*] pr *το* Q | *αυτου* 1°] + *του* A | *εσται· κατασχεσις* (*-σεις* A) AQ + *αυτων αυτη* A et (sub *θ'* ⁜) Q 17 *δομα*] + *εκ της κληρονομιας αυτου* AQ | *αποδωσει*] *αποδοθησεται* Q 18 *λαου*] + *αυτου* AQ | *καταδυναστευσαι*] pr *του* B[ab] | *αυτου* 1°] + *απο της κληρονομιας αυτου* AQ | *εκ* 3°] *απο* AQ 19 *νωτου*] *νοτου* Q

πύλης, εἰς τὴν ἐξέδραν τῶν ἁγίων τῶν ἱερέων τὴν βλέπουσαν πρὸς B
20 βορρᾶν, καὶ ἰδοὺ τόπος ἐκεῖ κεχωρισμένος. [20]καὶ εἶπεν πρός με
Οὗτος ὁ τόπος ἐστὶν οὗ ἑψήσουσι ἐκεῖ οἱ ἱερεῖς τὰ ὑπὲρ ἀγνοίας
καὶ τὰ ὑπὲρ ἁμαρτίας, καὶ ἐκεῖ πέψουσι τὸ μαναὰ τὸ παρὰ πᾶν,
τοῦ μὴ ἐκφέρειν εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν τοῦ ἁγιάζειν τὸν λαόν.
21 [21]καὶ ἐξήγαγέν με εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, καὶ περιήγαγέν με
ἐπὶ τὰ τέσσερα μέρη τῆς αὐλῆς, καὶ ἰδοὺ αὐλὴ κατὰ τὰ κλίτη τῆς
22 αὐλῆς· [22]κατὰ τὸ κλίτος αὐλή, ([22])αὐλὴ ἐπὶ τὰ τέσσαρα, καὶ τῆς αὐλῆς
αὐλὴ μικρὰ μήκους πηχῶν τεσσεράκοντα, καὶ εὖρος πηχῶν τριά-
23 κοντα, μέτρον ἐν ταῖς τέσσαρσιν. [23]καὶ ἐξέδραι κύκλῳ ἐν αὐταῖς,
κύκλῳ ταῖς τέσσαρσιν· καὶ μαγειρεῖα γεγονότα ὑποκάτω τῶν ἐξ-
24 εδρῶν κύκλῳ. [24]καὶ εἶπεν πρός με Οὗτοι οἱ οἶκοι τῶν μαγείρων,
οὗ ἑψήσουσιν ἐκεῖ οἱ λειτουργοῦντες τῷ οἴκῳ τὰ θύματα τοῦ λαοῦ.
XLVII 1 [1]Καὶ εἰσήγαγέν με ἐπὶ τὰ πρόθυρα τοῦ οἴκου, καὶ ἰδοὺ ὕδωρ
ἐξεπορεύετο ὑποκάτωθεν τοῦ αἰθρίου κατ' ἀνατολάς, ὅτι τὸ πρόσ-
ωπον τοῦ οἴκου ἔβλεπεν κατ' ἀνατολάς· καὶ τὸ ὕδωρ κατέβαινεν
2 ἀπὸ τοῦ κλίτους τοῦ δεξιοῦ ἀπὸ νότου ἐπὶ τὸ θυσιαστήριον. [2]καὶ
ἐξήγαγέν με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βορρᾶν, καὶ περι-
ήγαγέν με τὴν ὁδὸν ἔξωθεν πρὸς τὴν πύλην τῆς αὐλῆς τῆς βλε-
πούσης κατ' ἀνατολάς, καὶ ἰδοὺ τὸ ὕδωρ κατεφέρετο ἀπὸ τοῦ κλί-
3 τους τοῦ δεξιοῦ, [3]καθὼς ἔξοδος ἀνδρὸς ἐξ ἐναντίας. καὶ μέτρον ἐν
τῇ χειρὶ αὐτοῦ· καὶ διεμέτρησεν χιλίους ἐν τῷ μέτρῳ, καὶ διῆλθεν
4 ἐν τῷ ὕδατι ὕδωρ ἀφέσεως· [4]καὶ διεμέτρησεν χιλίους, καὶ διῆλθεν
ἐν τῷ ὕδατι ὕδωρ ἕως τῶν μηρῶν· καὶ διεμέτρησεν χιλίους, καὶ
5 διῆλθεν ὕδωρ ἕως ὀσφύος. [5]καὶ διεμέτρησεν χιλίους, καὶ οὐκ ἠδύ-

19 βορρα B* (-ρραν B^{ab}) | εκει τοπος AQ 20 αγνοιας] pr της AQ | AQ αμαρτιας] pr της AQ | πεψουσιν A εψησουσιν Q^{a} 21 αυλην] αυτην B* (αυλ. B^{b}) | τεσσαρα B^{b} | τα κλιτη] om τα AQ 22 κατα το κλιτος αυλη αυλη] pr ÷ Q$^{?}$ αυλη κατα το κλιτος A | τεσσερα AQ+κλιτη AQ | om και 1° AQ | μηκους] μηκος Q | πηχων bis] πηχεων A | τεσσαρακοντα B^{b} | τεσσαρσι B^{b}: item 23 24 οι οικοι] om οι Q | μαγειρων] μαγιρειων A XLVII 1 υποκατω A | αιθριου]+του οικου AQ | εβλεπεν] επεβλεπεν AQ | απο 1°] επι Q* (απο Q^{a}) | κλιτου Q* (-τους Q^{a})]+του οικου Q 2 οδον 2°] +της πυλης Q 3 μετρον] adnot φασι το μετρō | τον χρονον δηλουν ως εις πολλα διηρημενον· διο και μετ ολιγα φησιν εις τους μηνας αυτου πρωτογενησει· οθē| κ̧ πιθανως επεβαλον τινες τω μετρω μετρεισθαι μηνας δ' ως εν πηχεσι δηλουμενους ποιοῦ|τας ετη τλγ' κ̧ μηνας δ' εις α συναγεται ο απο της γεννησεως του $\overline{\chi\upsilon}$ χρονος εως της Κω̄|σταντινου βασιλειας εφ ης ηρξατο πλατυνεσθ, τα χριστιανω̄|. Q^{mg} | μετρω] +πηχεις Q^{mg} | αφεσεως] εως αστραγαλω̄| Q^{mg} 4 διεμετρησεν 1°]+εν τω μετρω A | μηρων] γονατων Q^{mg} | χιλιους 2°]+χειμαρρους A 5 χιλιους]+(sub α'θ' ※) χειμαρρους Q ante χειμ. ins και ιδου Q^{mg}

B νατο διελθεῖν, ὅτι ἐξύβριζεν, χειμάρρου ὃν οὐ διαβήσονται. [6]καὶ 6
εἶπεν πρὸς μέ Ἑόρακας, υἱὲ ἀνθρώπου; καὶ ἤγαγέν με ἐπὶ τὸ
χεῖλος τοῦ ποταμοῦ [7]ἐν τῇ ἐπιστροφῇ μου· καὶ ἰδοὺ ἐπὶ τοῦ χεί- 7
λους τοῦ ποταμοῦ δένδρα πολλὰ σφόδρα ἔνθεν καὶ ἔνθεν. [8]καὶ 8
εἶπεν πρὸς μέ Τὸ ὕδωρ τοῦτο τὸ ἐκπορευόμενον εἰς τὴν Γαλειλαίαν
τὴν πρὸς ἀνατολάς, καὶ κατέβαινεν ἐπὶ τὴν Ἀραβίαν, καὶ ἤρχετο
ἕως ἐπὶ τὴν θάλασσαν ἐπὶ τὸ ὕδωρ τῆς διεκβολῆς, καὶ ὑγιάσει τὰ
ὕδατα, [9]καὶ ἔσται πᾶσα ψυχὴ τῶν ζῴων τῶν ἐκζεόντων, ἐπὶ πάντα 9
ἐφ' ἃ ἂν ἐπέλθῃ ἐκεῖ ὁ ποταμός, ζήσεται· καὶ ἔσται ἐκεῖ ἰχθὺς
πολὺς σφόδρα, ὅτι ἥκει ἐκεῖ τὸ ὕδωρ τοῦτο, καὶ ὑγιάσει καὶ ζή-
σεται· πᾶν ἐφ' ὃ ἂν ἔλθῃ ὁ ποταμὸς ἐκεῖ, ζήσεται. [10]καὶ στήσονται 10
ἐκεῖ ἁλεεῖς ἀπὸ Ἰνγαδεὶν ἕως Ἐναγαλείμ· ψυγμὸς σαγηνῶν ἔσται,
καθ' αὑτὴν ἔσται· καὶ οἱ ἰχθύες αὐτῆς ὡς οἱ ἰχθύες τῆς θαλάσσης
τῆς μεγάλης, πλῆθος πολὺ σφόδρα. [11]καὶ ἐν τῇ διεκβολῇ αὐτοῦ 11
καὶ ἐν τῇ ἐπιστροφῇ αὐτοῦ καὶ ἐν τῇ ὑπεράρσει αὐτοῦ οὐ μὴ
ὑγιάσωσιν· εἰς ἅλας δέδονται. [12]καὶ ἐπὶ τοῦ ποταμοῦ ἀναβήσεται, 12
ἐπὶ τοῦ χείλους αὐτοῦ ἔνθεν καὶ ἔνθεν· πᾶν ξύλον βρώσιμον οὐ

AQ 5 εξυβριζεν] εξυβριζον Q εκβραζον Q^{mg} | χειμαρρου] pr ως B^{ab} pr το υδωρ· υδωρ εως ροιζος A pr το υδωρ. υδωρ ως ο ροιζος Q | ον] ο AQ 6 εορακας (εωρ. B^{b}A)] pr ει A | ηγαγεν με] απηγαγεν με A + και επεστρεψεν A + (sub ϑ' ※) και εστρεψεν με Q 7 om σφοδρα A 8 το υδωρ τουτο...Γαλειλαιαν] adnot σαφεστερο̄| παρα τω εβραιω κειται η ρησις· φησι γαρ τουτο το υδωρ πρωτον εκπορευεται εις την Γαλιλαιαν εντευθεν γαρ και ηρξατο του κηρυγματος ο χ̅ς̅ ως δεικνυσι ϗ το εν Κανα πρωτο̄| σημειον της του υδατος εις οινον μεταβολης Q^{mg} | Γαλιλαιαν B^{b}AQ | Αραβιαν (-βειαν Q*)] adnot αοικητο̄| ο δε εβραιος επι δυσμας φησιν· η δε ασαφεια απο του το αραβα ϗ δυσμας δηλουν ϗ αοικητον εοικεν δε το αυτο πως ϗ ο ελληνικος σημαινειν προσθεις το ηρχετο εως επι την θαλασσαν η γαρ γραφη πολλαχου την θαλασσαν επι του της δυσεως μερους λαμβανει· σκοπητεον δε μη το καταιβαινεν επι την Αραβιαν την αρχην επι την αραβα εξεδοθη την εβραιαν. θεντων φωνην των ερμηνευκοτων Q^{mg} | της διεκβολης] της εκβολης A adnot ο εβραιος αντι της διεκβολης της αλμυρας θαλασσης εχει δηλον δε οτι τροπικως ουτως εκαλεσε την ανθρωποτητα δια το της αμαρτιας αλμυρον μαλιστα γαρ ουτος χρηται τουτοις ο προφητης Q^{mg} 9 ελθη] επελθη AQ | εκει ο ποταμος Q | ζησεται] pr και Q 10 στησονται] α[ι]τησονται Q* vid (στησ. Q^{a}) | εκει] επ αυτου Q | αλιεις B^{ab}Q + πολλοι Q^{mg} | Ινγαδειν] Ενγαδδειν A Αινγαδαιμ Q | Εναγαλειμ] Αιναγαδειμ Q | ψυγμος...εσται] adnot αντι του αργησουσι̅| οι των αλλων δογματων διδασκαλοι Q^{mg} | αυτην] εαυτην Q | εσται 2°] εστιν A | οι ιχθυες (1°)...μεγαλης] οι ιχθυες της θαλασσης της μεγαλης οι ιχθυες αυτης A 11 εν τη 1°] εστη A | διεβολη B* (διεκβ. B^{ab}) | και εν τη επιστροφη αυτου] pr ÷ Q^{s} adnot αντι του τα τελη αυτου η τα εξωτερα της θαλασσης ουκ ιαθησετ, ουτω γαρ ϗ ο εβραιος εχει σαφως διδασκων το βαρβαρων τινας τους πορρω την του χ̅υ̅ πιστιν μη παραδεξασθ, Q^{mg} | υγιασωσιν] αγιασωσιν AQ* (υγ. Q^{a})

μὴ παλαιωθῇ ἐπ᾽ αὐτοῦ, οὐδὲ μὴ ἐκλίπῃ ὁ καρπὸς αὐτοῦ· τῆς και- B
νότητος αὐτοῦ πρωτοβολήσει, ὅτι τὰ ὕδατα αὐτῶν ἐκ τῶν ἁγίων ταῦτα
ἐκπορεύεται· καὶ ἔσται ὁ καρπὸς αὐτῶν εἰς βρῶσιν, καὶ ἀνάβασις
13 αὐτῶν εἰς ὑγίειαν. — [13]Τάδε λέγει Κύριος θεός Ταῦτα ὅρια
κατακληρονομήσετε τῆς γῆς· ταῖς δώδεκα φυλαῖς τῶν υἱῶν Ἰσραὴλ
14 πρόσθεσις σχοινίσματος. [14]καὶ κατακληρονομήσετε αὐτὴν ἕκαστος
καθὼς ὁ ἀδελφὸς αὐτοῦ, εἰς ἣν ἦρα τὴν χεῖρά μου τοῦ δοῦναι τοῖς
15 πατράσιν αὐτῶν, καὶ πεσεῖται ἡ γῆ αὕτη ὑμῖν ἐν κληρονομίᾳ. [15]καὶ
ταῦτα τὰ ὅρια τῆς γῆς τῆς πρὸς βορρᾶν· ἀπὸ θαλάσσης τῆς μεγάλης
τῆς καταβαινούσης καὶ περισχιζούσης, τῆς εἰσόδου Ἡμά, Σελδαμμά,
16 [16]Ἀβθηρά, Σεβράμ, Ἡλιάμ, ἀνὰ μέσον ὁρίων Δαμασκοῦ καὶ ἀνὰ μέ-
σον ὁρίων Ἡμαθεί, αὐλὴ τοῦ Σαυνάν, αἵ εἰσιν ἐπάνω τῶν ὁρίων
17 Αὐρανείτιδος. [17]ταῦτα τὰ ὅρια ἀπὸ τῆς θαλάσσης· ἀπὸ τῆς αὐλῆς
18 τοῦ Αἰνάν, ὅρια Δαμασκοῦ, καὶ τὰ πρὸς βορρᾶν. [18]καὶ τὰ πρὸς
ἀνατολὰς ἀνὰ μέσον τῆς Αὐρανείτιδος καὶ ἀνὰ μέσον Δαμασκοῦ καὶ
ἀνὰ μέσον τῆς Γαλααδείτιδος καὶ ἀνὰ μέσον τῆς γῆς τοῦ Ἰσραήλ, ὁ
Ἰορδάνης διορίζει ἐπὶ τὴν θάλασσαν τὴν πρὸς ἀνατολὰς Φοινικῶνος·
19 ταῦτα τὰ πρὸς ἀνατολάς. [19]καὶ τὰ πρὸς νότον καὶ λίβα ἀπὸ
Θαιμὰν καὶ Φοινικῶνος, ἕως ὕδατος Μαριμὼθ Καδήμ, παρεκτεῖνον
20 ἐπὶ τὴν θάλασσαν τὴν μεγάλην· [20]τοῦτο τὸ μέρος νότος καὶ λίψ.
[(20)]τοῦτο τὸ μέρος τῆς θαλάσσης τῆς μεγάλης ὁρίζει, ἕως κατέναντι τῆς
εἰσόδου Ἡμάθ, ἕως εἰσόδου αὐτοῦ· ταῦτά ἐστιν τὰ πρὸς θάλασσαν
21 Ἡμάθ. [21]καὶ διαμερίσετε τὴν γῆν ταύτην αὐτοῖς, ταῖς φυλαῖς τοῦ

12 επ] εξ A | εκλειπη AQ | αυτου 3° sub α′θ′ ※ in Q | της καινοτητος AQ αυτου πρωτοβολησει] adnot εν αλ[λοι]ς εις τους μηνας αυτου πρωτογεννησει· ινα ειπη εις τον καιρον εαυτου επιδωσει το ευαγγελιον Q^{mg} | om αυτου 4° A | οτι] διοτι AQ | αναβασις] η αναβασεις A | αυτων 3°] αυτου Q | υγια̅ A **13** θεος] pr ο AQ | ορια] pr τα AQ + α Q **14** δουναι] + αυτην A | πατρασιν] παρρασι̅ (sic) A **15** της προς] om της A | θαλασσης] pr της AQ | **15—16** η|μασελδαμμα αβθηρασ|εβραμηλιαμ B ημαθ′| ελδαμ′ μαωσθηρασεφραμ′| ηλειαμ′ A η|μασαιλααμ′ μααβ′ θηρασεφραιμ| ηλιαμ Q αδαλα αιμαθ′ βηρωθ ασα| βαρειμ Q^{mg} | ανα μεσον (1°) . . Σαυναν] ανα μ. των οριω̅| Ημαθ′ και ανα μ. των οριω̅| Δαμασκου Ευναν και του Ευναν A | Ημαθει] Ημαθ Q | αυλη του Σαυναν] om αυλη Q* αυλαι του Θιχων Q^{mg} | Αυρανιτιδος AQ **17** Αινα (in fin lin) Q | βορραν] + κατα βορραν και το οριον Αιμαθ (+ και Q) το οριον βορρα (-ραν Q) A et (sub θ′ ※) Q **18** και τα προς ανατολας] κατα προσωπον ανατολων Q | Αωρανειτιδος] Ωρανιτιδος A Αυρανιτιδος Q | Γαλααδιτιδος AQ | Φοινεικωνος B^{*} (Φοινικ. B^{b}) | τα προς ανατολας] om τα Q **19** και Φοινικωνος] pr ÷ $Q^{?}$ | Καδημ] Καδης AQ **20** μερος 1°] μηκος Q | θαλασσης] + (sub οι γ′ ※) θαλασσης Q | οριζει] διοριζει AQ | εως εισοδου αυτου] εως της εισ. αυτ. (pr ÷ $Q^{?}$) Q **21** διαμερισετε] διεμετρησεν A διαμεριειτε Q | ταις φυλαις] pr και A

B Ἰσραήλ. [22]βαλεῖτε αὐτὴν ἐν κλήρῳ ὑμῖν καὶ τοῖς προσηλύτοις τοῖς 22
παροικοῦσιν ἐν μέσῳ ὑμῶν, οἵτινες ἐγέννησαν υἱοὺς ἐν μέσῳ ὑμῶν,
καὶ ἔσονται ὑμῶν ὡς αὐτόχθονες ἐν τοῖς υἱοῖς τοῦ Ἰσραήλ· μεθ' ὑμῶν
φάγονται ἐν κληρονομίᾳ ἐν μέσῳ τῶν φυλῶν τοῦ Ἰσραήλ, [23]καὶ ἔσονται 23
ἐν φυλῇ προσηλύτων ἐν τοῖς προσηλύτοις τοῖς μετ' αὐτῶν· ἐκεῖ δώσετε
κληρονομίαν αὐτοῖς, λέγει Κύριος θεός.

[1]Καὶ ταῦτα τὰ ὀνόματα τῶν φυλῶν ἀπὸ τῆς ἀρχῆς τῆς πρὸς 1 XLVIII
βορρᾶν, κατὰ τὸ μέρος τῆς καταβάσεως τοῦ περισχίζοντος ἐπὶ τὴν
εἴσοδον τῆς Ἡμὰθ αὐλῆς τοῦ Αἰλάμ, ὅριον Δαμασκοῦ πρὸς βορρᾶν
κατὰ μέρος Ἡμὰθ αὐλῆς· καὶ ἔσται αὐτοῖς τὰ πρὸς ἀνατολὰς ἕως
πρὸς θάλασσαν Δάν, μία. [2]καὶ ἀπὸ τῶν ὁρίων τοῦ Δὰν τὰ πρὸς 2
ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Ἀσήρ, μία. [3]καὶ ἀπὸ τῶν ὁρίων 3
Ἀσήρ, ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Νεφθαλείμ,
μία. [4]καὶ ἀπὸ τῶν ὁρίων Νεφθαλεί, ἀπ' ἀνατολῶν ἕως τῶν πρὸς 4
θάλασσαν Μανασσή, μία. [5]καὶ ἀπὸ τῶν ὁρίων Μανασσή, ἀπὸ τῶν 5
πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Ἐφράιμ, μία. [6]καὶ ἀπὸ 6
τῶν ὁρίων Ἐφράιμ, ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν
Ῥουβήν, μία. [7]καὶ ἀπὸ τῶν ὁρίων Ῥουβήν, ἀπὸ τῶν πρὸς ἀνατολὰς 7
ἕως τῶν πρὸς θάλασσαν Ἰούδα, μία. [8]Καὶ ἀπὸ τῶν ὁρίων Ἰούδα 8
ἀπὸ τῶν πρὸς ἀνατολὰς μενεῖ, ἔσται ἡ ἀπαρχὴ τοῦ ἀφορισμοῦ πέντε
καὶ εἴκοσι χιλιάδες εὖρος, καὶ μῆκος καθὼς μία τῶν μερίδων ἀπὸ
τῶν πρὸς ἀνατολὰς καὶ ἕως τῶν πρὸς θάλασσαν, καὶ ἔσται τὸ ἅγιον
ἐν μέσῳ αὐτῶν· [9]ἀπαρχὴν ἣν ἀφοριοῦσι τῷ κυρίῳ, μῆκος πέντε 9
καὶ εἴκοσι χιλιάδες, καὶ εὖρος εἴκοσι καὶ πέντε χιλιάδες. [10]τούτων 10
ἔσται ἡ ἀπαρχὴ τῶν ἁγίων τοῖς ἱερεῦσιν, πρὸς βορρᾶν πέντε καὶ
εἴκοσι χιλιάδες, καὶ πρὸς θάλασσαν δέκα χιλιάδες, καὶ πρὸς νότον
εἴκοσι καὶ πέντε χιλιάδες· καὶ τὸ ὄρος τῶν ἁγίων ἔσται ἐν μέσῳ
αὐτοῦ· [11]τοῖς ἱερεῦσι τοῖς ἡγιασμένοις υἱοῖς Σαδδούκ, τοῖς φυλάσ- 11
σουσι τὰς φυλακὰς τοῦ οἴκου, οἵτινες οὐκ ἐπλανήθησαν ἐν τῇ

AQ **22** τοις (τοι B* τοις B^ab) παροικουσιν] τ. προσοικουσιν A | υμων 3°] υμιν AQ | φαγονται] εσονται Q | των φυλων του Ισραηλ] των υιων Ιηλ A **23** θεος] pr ο AQ **XLVIII 1** βορραν 1°] βορρα Q | μερος 1°] μετρον A | Ημαθ 1°] Εμαθ Q | Αιλαμ] Αιναν A Αιναμ Q | μερος 2°] pr το A **2** του Δαν] om του A | τα προς] om τα A | των προς] om των A **4** Νεφθαλι A Νεφθαλειμ Q | απ] απο AQ | ανατολων] των προς ανατολας A | Μαννασση A **8** μενει εσται] εως των προς θαλασσαν AQ + εσται Q **9** απαρχη AQ | αφοριουσιν AQ | om μηκος A | om και 3° Q **10** ιερευσι B^b | θαλασσαν] + πλατος AQ | χιλιαδες 2°] + και ανατολας πλατος δεκα χιλιαδες Q | νοτον] + μηκος AQ | om και 4° Q | και εσται το ορος των αγιων Q | αυτου] αυτων Q **11** ιερευσιν AQ | φυλασσουσιν AQ

12 πλανήσει υἱῶν Ἰσραὴλ ὃν τρόπον ἐπλανήθησαν οἱ Λευεῖται. [12]καὶ B
ἔσται αὐτοῖς ἡ ἀπαρχὴ δεδομένη ἐκ τῶν ἀπαρχῶν τῆς γῆς, ἅγιον
13 ἁγίων ἀπὸ τῶν ὁρίων τῶν Λευειτῶν. [13]τοῖς δὲ Λευείταις τὰ ἐχό-
μενα τῶν ὁρίων τῶν ἱερέων, μῆκος πέντε καὶ εἴκοσι χιλιάδες, καὶ
εὖρος δέκα χιλιάδες· πᾶν τὸ μῆκος πέντε καὶ εἴκοσι χιλιάδες, καὶ
14 εὖρος εἴκοσι χιλιάδες. [14]οὐ πραθήσεται ἐξ αὐτοῦ οὐδὲ καταμετρη-
θήσεται, οὐδὲ ἀφαιρεθήσεται τὰ πρωτογενήματα τῆς γῆς, ὅτι ἅγιόν
15 ἐστιν τῷ κυρίῳ. [15]τὰς δὲ πέντε χιλιάδας τὰς περισσὰς ἐπὶ τῷ
πλάτει ἐπὶ ταῖς πέντε καὶ εἴκοσι χιλιάσιν, προτείχισμα ἔσται τῇ
πόλει εἰς τὴν κατοικίαν καὶ εἰς διάστημα αὐτοῦ· καὶ ἔσται ἡ πόλις
16 ἐν μέσῳ αὐτοῦ. [16]καὶ ταῦτα τὰ μέτρα αὐτῆς· ἀπὸ τῶν πρὸς βορρᾶν
πεντακόσιοι καὶ τετρακισχίλιοι, καὶ ἀπὸ τῶν πρὸς νότον πεντα-
κόσιοι καὶ τέσσαρες χιλιάδες, καὶ ἀπὸ τῶν πρὸς ἀνατολὰς πεντα-
κόσιοι καὶ τέσσαρες χιλιάδες, καὶ ἀπὸ τῶν πρὸς θάλασσαν τετρα-
17 κισχιλίους πεντακοσίους. [17]καὶ ἔσται διάστημα τῇ πόλει πρὸς βορρᾶν
διακόσιοι πεντήκοντα, καὶ πρὸς νότον διακόσιοι καὶ πεντήκοντα, καὶ
πρὸς ἀνατολὰς διακόσιοι πεντήκοντα, καὶ πρὸς θάλασσαν διακόσιοι
18 πεντήκοντα. [18]καὶ τὸ περισσὸν τοῦ μήκους τὸ ἐχόμενον τῶν ἀπαρ-
χῶν τῶν ἁγίων δέκα χιλιάδες πρὸς ἀνατολάς, καὶ δέκα χιλιάδες
πρὸς θάλασσαν· καὶ ἔσονται αἱ ἀπαρχαὶ τοῦ ἁγίου, καὶ ἔσται τὰ
19 γενήματα αὐτῆς εἰς ἄρτους τοῖς ἐργαζομένοις τὴν πόλιν. [19]οἱ δὲ
ἐργαζόμενοι τὴν πόλιν ἐργῶνται αὐτὴν ἐκ πασῶν τῶν φυλῶν τοῦ
20 Ἰσραήλ. [20]πᾶσα ἡ ἀπαρχὴ πέντε καὶ εἴκοσι χιλιάδες ἐπὶ πέντε
καὶ εἴκοσι χιλιάδας· τετράγωνον ἀφοριεῖτε αὐτοῦ τὴν ἀρχὴν τοῦ
21 ἁγίου, ἀπὸ τῆς κατασχέσεως τῆς πόλεως. [21]τὸ δὲ περισσὸν τῷ
ἀφηγουμένῳ ἐκ τούτου, καὶ ἐκ τούτου ἀπὸ τῶν ἀπαρχῶν τοῦ ἁγίου,
καὶ εἰς τὴν κατάσχεσιν τῆς πόλεως ἐπὶ πέντε καὶ εἴκοσι χιλιάδας
μῆκος, ἕως τῶν ὁρίων τῶν πρὸς ἀνατολὰς καὶ πρὸς θάλασσαν, ἐπὶ

11 *υιων*] pr *των* A | *Λευιται* AQ **12** *της γης*] *των αγιων* A | *οριων*] AQ *απαρχων* A | *Λευιτων* AQ **13** *Λευιταις* AQ | *τα εχομενα*] om *τα* A | *μηκος πεντε και εικοσι χιλιαδες* (1°)] *πεντε και εικ. χιλ. μηκος* Q | *εικοσι* 3°] *δεκα* Q **14** *αυτου*] *αυτω̄*| A | *εστιν*] *ετι* B[b] **15** *χιλιασιν*] *χιλιας* B[b] | *την κατοικιαν*] om *την* Q **16** *των προς* (1°)] *του πρ.* Q | *πεντακοσιοι* 3°] *πεντακοσι* (sic) A | *τετρακισχιλιους πεντακοσιους*] *τετρακισχ. και πεντ.* A *πεντ. και τετρακισχ.* Q **17** om *διακοσιοι* 1° A | om *και προς νοτον...πεντηκοντα* 4° A | om *και* 3° Q **19** *των φυλων*] om *των* Q **20** *επι πεντε και εικοσι χιλιαδας*] pr ÷ Q[?] | *αρχην*] *απαρχην* AQ **21** *του αφηγουμενου* A | om *και εκ τουτου* A | *του αγιου*] *των αγιων* A | *πολεως*] + *κατα προσωπον* A et (sub *θ'* ※) Q | *επι πεντε και εικοσι* (1°)] *επι εικ. κ. πεντε* A | *θαλασσαν* 1°] + *επι προσωπον* A | *επι* 2°] + (sub *οι γ'* ※) *προσωπον* Q

B πέντε καὶ εἴκοσι χιλιάδας ἕως τῶν ὁρίων τῶν πρὸς θάλασσαν, ἐχό-
μενα τῶν μερίδων τοῦ ἀφηγουμένου· καὶ ἔσται ἡ ἀπαρχὴ τῶν ἁγίων
καὶ τὸ ἁγίασμα τοῦ οἴκου ἐν μέσῳ αὐτῆς. 22 καὶ παρὰ τῶν Λευειτῶν 22
ἀπὸ τῆς κατασχέσεως τῆς πόλεως ἐν μέσῳ τῶν ἀφηγουμένων ἔσται
ἀνὰ μέσον τῶν ὁρίων Ἰούδα καὶ ἀνὰ μέσον τῶν ὁρίων Βενιαμείν·
τῶν ἀφηγουμένων ἔσται. 23 Καὶ τὸ περισσὸν τῶν φυλῶν, ἀπὸ 23
τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Βενιαμείν, μία. 24 καὶ 24
ἀπὸ τῶν ὁρίων τῶν Βενιαμείν, ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν
πρὸς θάλασσαν Συμεών, μία. 25 καὶ ἀπὸ τῶν ὁρίων τῶν Συμεών, 25
ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Ἰσσαχάρ, μία.
26 καὶ ἀπὸ τῶν ὁρίων τῶν Ἰσσαχάρ, ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως 26
τῶν πρὸς θάλασσαν Ζαβουλών, μία. 27 καὶ ἀπὸ τῶν ὁρίων τῶν 27
Ζαβουλών, ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Γάδ,
μία. 28 καὶ ἀπὸ τῶν ὁρίων τῶν Γὰδ ἕως τῶν πρὸς λίβα, καὶ ἔσται 28
§ Γ τὰ ὅρια αὐτοῦ [1] ἀπὸ Θαιμὰν καὶ ὕδατος Βαριμὼθ Καδής, κληρονομίας,
ἕως τῆς θαλάσσης τῆς μεγάλης. 29 αὕτη ἡ γῆ ἣν βαλεῖτε ἐν κλήρῳ 29
ταῖς φυλαῖς Ἰσραήλ, καὶ οὗτοι οἱ διαμερισμοὶ αὐτῶν, λέγει Κύριος
θεός. 30 καὶ αὗται αἱ διεκβολαὶ τῆς πόλεως αἱ πρὸς βορρᾶν, τετρα- 30
κισχίλιοι καὶ πεντακόσιοι μέτρῳ. 31 καὶ αἱ πύλαι τῆς πόλεως ἐπ' ὀνό- 31
μασιν φυλῶν τοῦ Ἰσραήλ· πύλαι τρεῖς πρὸς βορρᾶν, πύλη Ῥουβὴν
μία, καὶ πύλη Ἰούδα μία, καὶ πύλη Λευεὶ μία. 32 καὶ τὰ πρὸς ἀνα- 32
τολὰς τετρακισχίλιοι καὶ πεντακόσιοι· καὶ πύλαι τρεῖς, πύλη Ἰωσὴφ
μία, καὶ πύλη Βενιαμεὶν μία, καὶ πύλη Δὰν μία. 33 καὶ τὰ πρὸς 33
νότον τετρακισχίλιοι καὶ πεντακόσιοι μέτρῳ· καὶ πύλαι τρεῖς, πύλη
Συμεὼν μία, καὶ πύλη Ἰσσαχὰρ μία, καὶ πύλη Ζαβουλὼν μία. 34 καὶ 34
τὰ πρὸς θάλασσαν τετρακισχίλιοι καὶ πεντακόσιοι μέτρῳ· καὶ πύλαι

AQΓ 21 θαλασσαν 2°] ανατολας A | εχομενα] pr και A 22 om και 1° A | παρα των Λευειτων] απο της κατασχεσεως των Λευιτων AQ | απο] pr και AQ | τω αφηγουμενω (2°) Q 23 φυλων] incep a Q* 24 των Βεν.] om των Q 25 των Συμ.] om των Q | Ισαχαρ B* (Ισσ. B^{ab}) 26 των Ισσ.] om των AQ 27 των Ζαβ.] om των AQ 28 των Γαδ] om των AQ | εως των] και εως A | τα ορια] om τα A | Βαριμωθ] Μαριμωθ QΓ | κληρονομια AQ | της θαλ.] om της A 29 η γη] om η Q | Ισραηλ] pr του Γ | θεος] pr ο AQΓ 30 βορρα Q$^{txt\ et\ mg}$ adnot Ρουβην Ιουδας Λευι Q^{mg} | τετρακισχιλιοι και πεντακοσιοι] πεντακοσιοι τετρακισχ. Q 31 επ] επι Q | ονομασι B^{b}Γ | φυλων] pr των AQ | προς βορραν] pr αι A | Λευι AQΓ 32 ανατολας] adnot ανατολη Ιωσηφ Βενιαμειν Δαν Q^{mg} | om και 4° Q 33 νοτον] adnot Συμεω̅| Ισσαχαρ Ζαβουλω̅| Q^{mg} | om και 4°, 5° QΓ | Ισ|σαχαρ B* I|σαχαρ B^{b} 34 θαλασσαν] adnot Γαδ Ασηρ Νεφθαλειμ Q^{mg} | om και 3° QΓ

τρεῖς, πύλη Γὰδ μία, καὶ πύλη Ἀσὴρ μία, καὶ πύλη Νεφθαλεὶμ B
35 μία. 35 κύκλωμα, δέκα καὶ ὀκτὼ χιλιάδες. καὶ τὸ ὄνομα τῆς πό-
λεως, ἀφ᾽ ἧς ἂν ἡμέρας γένηται, ἔσται τὸ ὄνομα αὐτῆς.¶ ¶ Γ

34 om και 4°, 5° Q | Νεφθαλι[μ] Γ^{vid} 35 εσται] pr κ̅ς̅ εκει AQ AQΓ
Subscr Ιεζεκιηλ BQ Ιεζ. προφητης A deest in Γ: adnot διωρθωται Q†

ΔΑΝΙΗΛ

ΚΑΤΑ ΤΟΥϹ Ο'

87 EIII βασιλέως Ἰωακεὶμ τῆς Ἰουδαίας ἔτους τρίτου παραγενό- 1 I
μενος Ναβουχοδονοσὸρ βασιλεὺς Βαβυλῶνος εἰς Ἰερουσαλὴμ ἐπο-
λιόρκει αὐτήν. ²καὶ παρέδωκεν αὐτὴν Κύριος εἰς χεῖρας αὐτοῦ καὶ 2
Ἰωακεὶμ τὸν βασιλέα τῆς Ἰουδαίας καὶ μέρος τι τῶν ἱερῶν σκευῶν
τοῦ κυρίου, καὶ ἀπήνεγκεν αὐτὰ εἰς Βαβυλῶνα εἰς γῆν Σεναὰρ εἰς
οἶκον τοῦ θεοῦ αὐτοῦ, καὶ τὰ σκεύη· καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ
εἰδωλείῳ αὐτοῦ. ³καὶ εἶπεν ὁ βασιλεὺς Ἀβιεσδρὶ τῷ ἑαυτοῦ ἀρχι- 3
ευνούχῳ ἀγαγεῖν αὐτῷ ἐκ τῶν υἱῶν τῶν μεγιστάνων τοῦ Ἰσραὴλ καὶ
ἐκ τοῦ βασιλικοῦ γένους καὶ ἐκ τῶν ἐπιλέκτων, ⁴νεανίσκους ἀμώ- 4
μους καὶ εὐειδεῖς καὶ ἐπιστήμονας ἐν πάσῃ σοφίᾳ καὶ γραμματικοὺς
καὶ συνετοὺς καὶ σοφούς, καὶ ἰσχύοντας ὥστε εἶναι ἐν τῷ οἴκῳ τοῦ
βασιλέως, καὶ διδάξαι αὐτοὺς γράμματα καὶ διάλεκτον Χαλδαικήν·
⁵καὶ δίδοσθαι αὐτοῖς ἔκθεσιν ἐκ τοῦ οἴκου τοῦ βασιλέως καθ' ἑκά- 5
στην ἡμέραν καὶ ἀπὸ τῆς βασιλικῆς τραπέζης καὶ ἀπὸ τοῦ οἴνου
οὗ πίνει ὁ βασιλεύς, καὶ ἐκπαιδεῦσαι αὐτοὺς ἔτη τρία, καὶ ἐκ τού-
των στῆσαι ἔμπροσθεν τοῦ βασιλέως. ⁶καὶ ἦσαν ἐκ τοῦ γένους 6
τῶν υἱῶν Ἰσραὴλ τῶν ἀπὸ τῆς Ἰουδαίας Δανιήλ, Ἁνανίας, Μισαήλ,
Ἀζαρίας. ⁷καὶ ἐπέθηκεν αὐτοῖς ὁ ἀρχιευνοῦχος ὀνόματα, τῷ μὲν 7
Δανιὴλ Βαλτασάρ, τῷ δὲ Ἁνανίᾳ Σεδράχ, καὶ τῷ Μισαὴλ Μισάχ,

Syr Inscr Δανιηλ κατα τους ο'. 87 προφητεια Δ. κατα την εκδοσιν των ο' Syr
I 1 pr tit εκλεγονται οι περι τον Δανιηλ και παραδιδονται τω αρχιευνουχω και σιτουνται σπερματα· και παραστάντες τω βασιλει παντων απεδειχθεισαν σοφωτεροι 87 Syr 2 om εις γην Σεναар Syr | ※ εις οικον του θεου αυτου και τα σκευη 87 (deest ※ ins ↙ post αυτου et post σκευη) Syr (om εις 4°) 3 αρχιευνουχω] διδασκαλω ευνουχων Syr^{mg} 4 οικω] α'σ' ναω Syr^{mg} | γραμματα] α' βιβλιον Syr^{mg} 5 ΕΚΘΕϹΙΝ Syr^{mg} | του βασιλεως] pr παρα (? απο) Syr

ΔΑΝΙΗΛ

ΚΑΤΑ ΘΕΟΔΟΤΙΩΝΑ

I 1 ΕΝ ἔτει τρίτῳ τῆς βασιλείας Ἰωακεὶμ βασιλέως Ἰούδα ἦλθεν B
Ναβουχοδονοσὸρ βασιλεὺς Βαβυλῶνος εἰς Ἰερουσαλὴμ καὶ ἐπολιόρ-
2 κει αὐτήν. [2] καὶ ἔδωκεν Κύριος ἐν χειρὶ αὐτοῦ τὸν Ἰωακεὶμ βασι-
λέα Ἰούδα καὶ ἀπὸ μέρους τῶν σκευῶν οἴκου τοῦ θεοῦ, καὶ ἤνεγκεν
αὐτὰ εἰς γῆν Σενναὰρ οἴκου τοῦ θεοῦ αὐτοῦ, καὶ τὰ σκεύη εἰσή-
3 νεγκεν εἰς τὸν οἶκον θησαυροῦ θεοῦ αὐτοῦ. [3] καὶ εἶπεν ὁ βασι-
λεὺς Ἀσφανὲζ τῷ ἀρχιευνούχῳ αὐτοῦ εἰσαγαγεῖν ἀπὸ τῶν υἱῶν τῆς
αἰχμαλωσίας Ἰσραὴλ καὶ ἀπὸ τοῦ σπέρματος τῆς βασιλείας καὶ ἀπὸ
4 τῶν φορθομμείν, [4] νεανίσκους οἷς οὐκ ἔστιν αὐτοῖς μῶμος καὶ καλοὺς
τῇ ὄψει, καὶ συνιέντας ἐν πάσῃ σοφίᾳ καὶ γιγνώσκοντας γνῶσιν
καὶ διανοουμένους φρόνησιν, καὶ οἷς ἐστιν ἰσχὺς ἐν αὐτοῖς ἑστάναι
ἐν τῷ οἴκῳ τοῦ βασιλέως, καὶ διδάξαι αὐτοὺς γράμματα καὶ γλῶσ-
5 σαν Χαλδαίων. [5] καὶ διέταξεν αὐτοῖς ὁ βασιλεὺς τὸ τῆς ἡμέρας
καθ' ἡμέραν ἀπὸ τῆς τραπέζης τοῦ βασιλέως καὶ ἀπὸ τοῦ οἴνου
τοῦ πότου αὐτοῦ, καὶ θρέψαι αὐτοὺς ἔτη τρία, καὶ μετὰ ταῦτα
6 στῆναι ἐνώπιον τοῦ βασιλέως. [6] καὶ ἐγένετο ἐν αὐτοῖς ἐκ τῶν υἱῶν
7 Ἰούδα Δανιὴλ καὶ Ἁνανίας καὶ Μεισαὴλ καὶ Ἀζαρίας. [7] καὶ ἐπέ-
θηκεν αὐτοῖς ὁ ἀρχιευνοῦχος ὀνόματα, τῷ Δανιὴλ Βαλτασάρ, καὶ τῷ
Ἁνανίᾳ Σεδράχ, καὶ τῷ Μεισαὴλ Μεισάχ, καὶ τῷ Ἀζαρίᾳ Ἀβδε-

Inscr Δανιηλ BA Δαν. κατα Θεοδοτιωνος Q seq in BAQ (? Γ) historia AQΓ Susannae (cui subscr A *ορασις α'*) Susannae autem sine intervallo succedit Daniel I 1 superscr *ορασις β'* AQ | *ηλθε* $B^{b}A^{a}$ 2 *οικου* 2°] *οικον* AQ^{a} | om *θησαυρου* AQ^{*} (hab Q^{mg}) | *θεου* 3°] pr *του* $B^{ab(vid)(mg)}AQΓ$ 3 *Ασφανεζ*] pr *τω* A | *βασιλειας*] *ει* sup ras $A^{a?}$ | *φορθομμειν* (-*μι*[*ν*] Γ)] *πορθομμειν* A 4 *αυτοις* 1°] pr *εν* $B^{ab\,vid}AQΓ$ | *μωμος*] pr *πας* Γ | *καλους*] *καλοι* A^{*} (improb $A^{a?}$) | *γινωσκοντας* AQ (? Γ) | om *εν τω οικω* A | *του βασιλεως*] pr *ενωπιον* $B^{ab}AQ^{mg}Γ$ 5 *καθ*] *εις* Γ 6 om *εν* A | *Μισαηλ* $B^{b}AQΓ$: item 7, 11 et (sed hiat Γ) 19 | *και Αζ. και Μ.* $Γ^{vid}$ 7 *Βαλτασαρ*] *Βαρτασαρ* $A^{a?(mg)}$ (om A^{*}) | *Μισαχ* $B^{b}Q$ *Μισακ* A *Μισα..* Γ

87 καὶ τῷ Ἀζαρίᾳ Ἀβδεναγώ. [8]καὶ ἐνεθυμήθη Δανιὴλ ἐν τῇ καρδίᾳ 8
ὅπως μὴ ἀλισγηθῇ ἐν τῷ δείπνῳ τοῦ βασιλέως καὶ ἐν ᾧ πίνει
οἴνῳ, καὶ ἠξίωσεν τὸν ἀρχιευνοῦχον ἵνα μὴ συμμολυνθῇ. [9]καὶ 9
ἔδωκε Κύριος τῷ Δανιὴλ τιμὴν καὶ χάριν ἐναντίον τοῦ ἀρχιευ-
νούχου. [10]καὶ εἶπεν ὁ ἀρχιευνοῦχος τῷ Δανιὴλ Ἀγωνιῶ τὸν κύριόν 10
μου τὸν βασιλέα τὸν ἐκτάξαντα τὴν βρῶσιν ὑμῶν καὶ τὴν πόσιν
ὑμῶν, ἵνα μὴ ἴδῃ τὰ πρόσωπα ὑμῶν διατετραμμένα καὶ ἀσθενῆ
παρὰ τοὺς συντρεφομένους ὑμῖν νεανίας τῶν ἀλλογενῶν, καὶ κινδυ-
νεύσω τῷ ἰδίῳ τραχήλῳ. [11]καὶ εἶπεν Δανιὴλ Ἀβιεσδρὶ τῷ ἀνα- 11
δειχθέντι ἀρχιευνούχῳ ἐπὶ τὸν Δανιήλ, Ἁνανίαν, Μισαήλ, Ἀζαρίαν
[12]Πείρασον δὴ τοὺς παῖδάς σου ἐφ' ἡμέρας δέκα, καὶ δοθήτω ἡμῖν 12
ἀπὸ τῶν ὀσπρίων τῆς γῆς, ὥστε κάπτειν καὶ ὑδροποτεῖν· [13]καὶ 13
ἐὰν φανῇ ἡ ὄψις ἡμῶν διατετραμμένη παρὰ τοὺς ἄλλους νεανίσκους
τοὺς ἐσθίοντας ἀπὸ τοῦ βασιλικοῦ δείπνου, καθὼς ἐὰν θέλῃς οὕτω
χρῆσαι τοῖς παισί σου. [14]καὶ ἐχρήσατο αὐτοῖς τὸν τρόπον τοῦτον, 14
καὶ ἐπείρασεν αὐτοὺς ἡμέρας δέκα. [15]μετὰ δὲ τὰς δέκα ἡμέρας 15
ἐφάνη ἡ ὄψις αὐτῶν καλὴ καὶ ἡ ἕξις τοῦ σώματος κρείσσων τῶν
ἄλλων νεανίσκων τῶν ἐσθιόντων τὸ βασιλικὸν δεῖπνον. [16]καὶ ἦν 16
Ἀβιεσδρὶ ἀναιρούμενος τὸ δεῖπνον αὐτῶν καὶ τὸν οἶνον αὐτῶν, καὶ
ἀντεδίδου αὐτοῖς ἀπὸ τῶν ὀσπρίων. [17]καὶ τοῖς νεανίσκοις ἔδωκεν 17
ὁ κύριος ἐπιστήμην καὶ σύνεσιν καὶ φρόνησιν ἐν πάσῃ γραμματικῇ
τέχνῃ, καὶ τῷ Δανιὴλ ἔδωκε σύνεσιν ἐν παντὶ ῥήματι καὶ ὁράματι
καὶ ἐνυπνίοις καὶ ἐν πάσῃ σοφίᾳ. [18]μετὰ δὲ τὰς ἡμέρας ταύτας 18
ἐπέταξεν ὁ βασιλεὺς εἰσαγαγεῖν αὐτούς, καὶ εἰσήχθησαν ἀπὸ τοῦ
ἀρχιευνούχου πρὸς τὸν βασιλέα Ναβουχοδονοσόρ. [19]καὶ ὡμίλησεν 19
αὐτοῖς ὁ βασιλεύς, καὶ οὐχ εὑρέθη ἐν τοῖς σοφοῖς ὅμοιος τῷ Δανιὴλ
καὶ Ἁνανίᾳ καὶ Μισαὴλ καὶ Ἀζαρίᾳ· καὶ ἦσαν παρὰ τῷ βασιλεῖ,
[20]καὶ ἐν παντὶ λόγῳ καὶ συνέσει καὶ παιδείᾳ, ὅσα ἐζήτησε παρ' αὐ- 20
τῶν ὁ βασιλεύς, κατέλαβεν αὐτοὺς σοφωτέρους δεκαπλασίως ὑπὲρ
τοὺς σοφιστὰς καὶ τοὺς φιλοσόφους τοὺς ἐν πάσῃ τῇ βασιλείᾳ αὐ-
τοῦ· καὶ ἐδόξασεν αὐτοὺς ὁ βασιλεὺς καὶ κατέστησεν αὐτοὺς ἄρχοντας,
καὶ ἀνέδειξεν αὐτοὺς σοφοὺς παρὰ πάντας τοὺς αὐτοῦ ἐν πράγμασιν

Syr 8 οπως μη αλισγηθη εν τω δειπνω τ. βασ.] σ' ινα μη μιανθη δια της τροφης τ. βασ. Syr^{mg} 10 διατετραμμενα] α' κατεστραμμενα Syr^{mg} | om των αλλογενων Syr 17 εν παση γραμματικη τεχνη] α' εν παντι βιβλιω Syr^{mg} | + και εν παση σοφια 87 (deest +) Syr 18 ΚΑΙ ΕΙΣΗΧΘΗΣΑΝ Syr^{mg} 20 + σοφωτερους 87 Syr | + και εδοξασεν αυτους...βασιλεια αυτου 87 (ins + ante εν παση τη γη) Syr

8 ναγώ. [8]καὶ ἔθετο Δανιὴλ ἐπὶ τὴν καρδίαν αὐτοῦ ὡς οὐ μὴ ἀλισγηθῇ B
ἐν τῇ τραπέζῃ τοῦ βασιλέως καὶ ἐν τῷ οἴνῳ τοῦ πότου αὐτοῦ, καὶ
9 ἠξίωσε τὸν ἀρχιευνοῦχον ὡς οὐ μὴ ἀλισγηθῇ. [9]καὶ ἔδωκεν ὁ θεὸς
10 τὸν Δανιὴλ εἰς ἔλεον καὶ οἰκτειρμὸν ἐνώπιον τοῦ ἀρχιευνούχου. [10]καὶ
εἶπεν ὁ ἀρχιευνοῦχος τῷ Δανιήλ Φοβοῦμαι ἐγὼ τὸν κύριόν μου τὸν
βασιλέα τὸν ἐκτάξαντα τὴν βρῶσιν ὑμῶν καὶ τὴν πόσιν ὑμῶν, μή
ποτε ἴδῃ τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ παρὰ τὰ παιδάρια τὰ συνή-
11 λικα ὑμῶν, καὶ καταδικάσητε τὴν κεφαλήν μου τῷ βασιλεῖ. [11]καὶ
εἶπεν¶ Δανιὴλ πρὸς Ἀμελσάδ, ὃν κατέστησεν ὁ ἀρχιευνοῦχος ἐπὶ ¶Γ
12 Δανιήλ, Ἀνανίαν, Μεισαήλ, Ἀζαρίαν [12]Πείρασον δὴ τοὺς παῖδάς
σου ἡμέρας δέκα, καὶ δότωσαν ἡμῖν ἀπὸ τῶν σπερμάτων καὶ φα-
13 γόμεθα, καὶ ὕδωρ πιόμεθα· [13]καὶ ὀφθήτωσαν ἐνώπιόν σου αἱ εἰδέαι
ἡμῶν καὶ αἱ εἰδέαι τῶν παιδαρίων τῶν ἐσθόντων τὴν τράπεζαν τοῦ
14 βασιλέως, καὶ καθὼς ἂν ἴδῃς ποίησον μετὰ τῶν παίδων σου. [14]καὶ
15 εἰσήκουσεν αὐτῶν, καὶ ἐπείρασεν αὐτοὺς ἡμέρας δέκα. [15]καὶ μετὰ
τὸ τέλος τῶν δέκα ἡμερῶν ὡράθησαν αἱ εἰδέαι αὐτῶν ἀγαθαὶ καὶ
ἰσχυροὶ ταῖς σαρξὶν ὑπὲρ τὰ παιδάρια τὰ ἔσθοντα τὴν τράπεζαν
16 τοῦ βασιλέως. [16]καὶ ἐγένετο Ἀμελσὰδ ἀναιρούμενος τὸ δεῖπνον
αὐτῶν καὶ τὸν οἶνον τοῦ πόματος αὐτῶν, καὶ ἐδίδου αὐτοῖς σπέρ-
17 ματα. [17]καὶ τὰ παιδάρια ταῦτα, οἱ τέσσαρες αὐτοί, ἔδωκεν αὐτοῖς
ὁ θεὸς σύνεσιν καὶ φρόνησιν ἐν πάσῃ γραμματικῇ καὶ σοφίᾳ· καὶ
18 Δανιὴλ συνῆκεν ἐν πάσῃ ὁράσει καὶ ἐνυπνίοις. [18]καὶ μετὰ τὸ τέλος
τῶν ἡμερῶν ὧν εἶπεν ὁ βασιλεὺς εἰσαγαγεῖν αὐτούς, καὶ εἰσήγαγεν
19 αὐτοὺς ὁ ἀρχιευνοῦχος ἐναντίον Ναβουχοδονοσόρ. [19]καὶ ἐλάλησεν
μετ' αὐτῶν ὁ βασιλεύς, καὶ οὐχ εὑρέθησαν ἐκ πάντων αὐτῶν ὅμοιοι
Δανιὴλ καὶ Ἀνανίᾳ καὶ Μεισαὴλ καὶ Ἀζαρίᾳ· καὶ ἔστησαν ἐνώπιον
20 τοῦ βασιλέως. [20]καὶ ἐν παντὶ ῥήματι σοφίας καὶ ἐπιστήμης ὧν
ἐζήτησεν παρ' αὐτῶν ὁ βασιλεύς, εὗρεν αὐτοὺς δεκαπλασίονας παρὰ
πάντας τοὺς ἐπαοιδοὺς καὶ τοὺς μάγους τοὺς ὄντας ἐν πάσῃ τῇ

8 ηξιωσεν AQΓ 9 οικτειρμον (-κτιρμ. $B^{b}AQ^{a}$)] pr εις AQ | αρχευνουχ. AQΓ B^{*} (αρχιευνουχ. $B^{ab}AQΓ^{vid}$): item 11, 18 10 om τον βασιλεα Q^{*} (hab Q^{mg}) | συνηλικα] συν ηλικεια A 11 Αμελσαδ] Αμερσαρ A Αμεσαδ Q^{*} (Αμελσ. Q^{a}) | Ανανιαν] pr και AQ | Μεισαηλ] pr και AQ | Αζαριαν] pr και AQ 12 σπερματων] + της γης AQ 13 εσθιοντων AQ | αν] εαν A | παιδων] παιδαριων A παιδιων Q^{*} (-δων Q^{a}) 15 ωρθησαν Q^{*} (ωραθ. Q^{a}) | ισχυραι $B^{ab}Q$ | εσθιοντα AQ 16 Αμελσαδ] Αμερσαρ A 17 και τα παιδαρια ταυτα οι τεσσαρες αυτοι] τοις τεσσαρσιν παιδαριοις· και A και τα παιδαρια ταυτα τα τεσσαρα Q | om και 3° Q^{*} (superscr ς Q^{a}) 18 om και 2° $B^{*}Q$ | om εισηγαγεν αυτους B^{*} (hab $B^{ab\,mg}$) | om αυτους 2° Q 19 ομοιο A^{*} (superscr ι $A^{a?}$) 20 om παση AQ

87 ἐν πάσῃ τῇ γῇ αὐτοῦ καὶ ἐν τῇ βασιλείᾳ αὐτοῦ. [21]καὶ ἦν Δανιὴλ ἕως 21
τοῦ πρώτου ἔτους τῆς βασιλείας Κύρου βασιλέως Περσῶν.
[1]Καὶ ἐν τῷ ἔτει τῷ δευτέρῳ τῆς βασιλείας Ναβουχοδονοσὸρ 1 II
συνέβη εἰς ὁράματα καὶ ἐνύπνια ἐμπεσεῖν τὸν βασιλέα καὶ ταρα-
χθῆναι ἐν τῷ ἐνυπνίῳ αὐτοῦ, καὶ ὁ ὕπνος αὐτοῦ ἐγένετο ἀπ' αὐ-
τοῦ. [2]καὶ ἐπέταξεν ὁ βασιλεὺς εἰσενεχθῆναι τοὺς ἐπαοιδοὺς καὶ 2
τοὺς μάγους καὶ τοὺς φαρμακοὺς τῶν Χαλδαίων ἀναγγεῖλαι τῷ βα-
σιλεῖ τὰ ἐνύπνια αὐτοῦ· καὶ παραγενόμενοι ἔστησαν παρὰ τῷ
βασιλεῖ. [3]καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς Ἐνύπνιον ἑώρακα καὶ ἐκι- 3
νήθη μου τὸ πνεῦμα· ἐπιγνῶναι οὖν θέλω τὸ ἐνύπνιον. [4]καὶ ἐλά- 4
λησαν οἱ Χαλδαῖοι πρὸς τὸν βασιλέα Συριστί Κύριε βασιλεῦ, τὸν
αἰῶνα ζῆθι· ἀνάγγειλον τὸ ἐνύπνιόν σου τοῖς παισί σου, καὶ ἡμεῖς
σοι φράσομεν τὴν σύγκρισιν αὐτοῦ. [5]ἀποκριθεὶς δὲ ὁ βασιλεὺς 5
εἶπε τοῖς Χαλδαίοις Ὁ λόγος ἀπ' ἐμοῦ ἀπέστη· διότι ἐὰν μὴ ἀπαγ-
γείλητέ μοι ἐπ' ἀληθείας τὸ ἐνύπνιον καὶ τὴν τούτου σύγκρισιν δη-
λώσητέ μοι, παραδειγματισθήσεσθε, καὶ ἀναληφθήσεται ὑμῶν τὰ
ὑπάρχοντα εἰς τὸ βασιλικόν. [6]ἐὰν δὲ τὸ ἐνύπνιον διασαφήσητέ 6
μοι καὶ τὴν τούτου σύγκρισιν ἀναγγείλητε, λήψεσθε δόματα παν-
τοῖα καὶ δοξασθήσεσθε ὑπ' ἐμοῦ· δηλώσατέ μοι τὸ ἐνύπνιον καὶ
κρίνατε. [7]ἀπεκρίθησαν δὲ ἐκ δευτέρου λέγοντες Βασιλεῦ, τὸ ὅραμα 7
εἰπόν, καὶ οἱ παῖδές σου κρινοῦσι πρὸς ταῦτα. [8]καὶ εἶπεν αὐτοῖς 8
ὁ βασιλεύς Ἐπ' ἀληθείας οἶδα ὅτι καιρὸν ὑμεῖς ἐξαγοράζετε, καθάπερ
ἑωράκατε ὅτι ἀπέστη ἀπ' ἐμοῦ τὸ πρᾶγμα· καθάπερ οὖν προστέ-
ταχα, οὕτως ἔσται. [9]ἐὰν μὴ τὸ ἐνύπνιον ἀπαγγείλητέ μοι ἐπ' ἀλη- 9
θείας καὶ τὴν τούτου σύγκρισιν δηλώσητε, θανάτῳ περιπεσεῖσθε·
συνείπασθε γὰρ λόγους ψευδεῖς ποιήσασθαι ἐπ' ἐμοῦ, ἕως ἂν ὁ
καιρὸς ἀλλοιωθῇ. νῦν οὖν ἐὰν τὸ ῥῆμα εἴπητέ μοι ὃ τὴν νύκτα
ἑώρακα, γνώσομαι ὅτι καὶ τὴν τούτου κρίσιν δηλώσητε. [10]καὶ ἀπε- 10
κρίθησαν οἱ Χαλδαῖοι ἐπὶ τοῦ βασιλέως ὅτι Οὐδεὶς τῶν ἐπὶ τῆς γῆς

Syr 21 ΚΥΡΟϹ (sic) Syr^{mg} II 1 pr tit ορα το ενυπνιον Ναβουχοδονοσορ και τους μαγους απορησαντας (ΑΠΟΡΗϹΑΝΤΑϹ Syr^{mg}) γνωρισαι και επιλυσαι αυτο κελευει σφαγηναι κινδυνευοντας δε και τους περι Δανιηλ εσωσεν ο θεος αποκαλυψας αυτω τω Δανιηλ την ειδησιν του ενυπνιου 87 Syr | και ταραχθηναι...απ αυτου] σ' και διηπορει το πνευμα αυτου και υπνος απεστη απ αυτου α'...επ αυτον Syr 3 εκινηθη...ενυπνιον] σ' διαπορω εν τη ψυχη μου του γνωναι το εν. Syr^{mg} 5 ※ ο λογος απ εμου (※ 87) απεστη 87 Syr 6 μοι 2°] + ουν Syr 7 εκ ΔΕΥΤΕΡΟΥ Syr^{mg} 8 ÷ καθαπερ ουν (+ 87) προστεταχα ουτως εσται 87 Syr 9 + και την τουτου συγκρισιν δηλωσητε 87 Syr | ÷ ο την νυκτα εωρακα 87 Syr | γνωσομαι] pr τοτε Syr

21 βασιλείᾳ αὐτοῦ. [21]καὶ ἐγένετο Δανιὴλ ἕως ἔτους ἑνὸς Κύρου τοῦ B
βασιλέως.

II 1 [1]Ἐν τῷ ἔτει τῷ δευτέρῳ τῆς βασιλείας ἠνυπνιάσθη Ναβουχοδο-
νοσὸρ ἐνύπνιον, καὶ ἐξέστη τὸ πνεῦμα αὐτοῦ, καὶ ὁ ὕπνος αὐτοῦ
2 ἐγένετο ἀπ' αὐτοῦ. [2]καὶ εἶπεν ὁ βασιλεὺς καλέσαι τοὺς ἐπαοιδοὺς
καὶ τοὺς μάγους καὶ τοὺς φαρμακοὺς καὶ τοὺς Χαλδαίους τοῦ ἀναγ-
γεῖλαι τῷ βασιλεῖ τὰ ἐνύπνια αὐτοῦ· καὶ ἦλθαν καὶ ἔστησαν ἐνώ-
3 πιον τοῦ βασιλέως. [3]καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς Ἠνυπνιάσθην,
4 καὶ ἐξέστη τὸ πνεῦμά μου τοῦ γνῶναι τὸ ἐνύπνιον. [4]καὶ ἐλάλησαν
οἱ Χαλδαῖοι τῷ βασιλεῖ Συριστί Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι· σὺ
εἰπὸν τὸ ἐνύπνιον τοῖς παισίν σου, καὶ τὴν σύγκρισιν ἀναγγελοῦ-
5 μεν. [5]ἀπεκρίθη ὁ βασιλεὺς τοῖς Χαλδαίοις Ὁ λόγος ἀπ' ἐμοῦ
ἀπέστη· ἐὰν μὴ γνωρίσητέ μοι τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν, εἰς
6 ἀπωλίαν ἔσεσθε, καὶ οἱ οἶκοι ὑμῶν διαρπαγήσονται. [6]ἐὰν δὲ τὸ
ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ γνωρίσητέ μοι, δόματα καὶ δω-
ρεὰς καὶ τιμὴν πολλὴν λήμψεσθε παρ' ἐμοῦ· πλὴν τὸ ἐνύπνιον καὶ
7 τὴν σύγκρισιν αὐτοῦ ἀπαγγείλατέ μοι. [7]ἀπεκρίθησαν δεύτερον καὶ
εἶπαν Ὁ βασιλεὺς εἰπάτω τὸ ἐνύπνιον τοῖς παισὶν αὐτοῦ, καὶ τὴν
8 σύγκρισιν αὐτοῦ ἀναγγελοῦμεν. [8]καὶ ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπεν
Ἐπ' ἀληθείας οἶδα ἐγὼ ὅτι καιρὸν ὑμεῖς ἐξαγοράζετε, καθότι εἴδετε
9 ὅτι ἀπέστη ἀπ' ἐμοῦ τὸ ῥῆμα. [9]ἐὰν οὖν τὸ ἐνύπνιον μὴ ἀναγγεί-
λητέ μοι, οἶδα ὅτι ῥῆμα ψευδὲς καὶ διεφθαρμένον συνέθεσθε εἰπεῖν
ἐνώπιόν μου, ἕως οὗ ὁ καιρὸς παρέλθῃ· τὸ ἐνύπνιόν μου εἴπατέ
10 μοι, καὶ γνώσομαι ὅτι τὴν σύγκρισιν αὐτοῦ ἀναγγελεῖτέ μοι. [10]ἀπε-
κρίθησαν οἱ Χαλδαῖοι ἐνώπιον τοῦ βασιλέως καὶ λέγουσιν Οὐκ ἔστιν
ἄνθρωπος ἐπὶ τῆς ξηρᾶς ὅστις τὸ ῥῆμα τοῦ βασιλέως δυνήσεται

21 subscr *ορασις β'* A II 1 superscr *ορασις γ'* AQ | *βασιλειας*] AQ +*Ναβουχοδονοσορ* A | *ενυπνιασθη* AQ | *εξεστη* rescr A[a?] 2 *καλεσαι*] *καλεσατε* Q* (postea improb ut vid) | om *τους μαγους και* Q* (hab Q(mg)) | *τα ενυπνια*] *το ενυπνιον* Q | *ηλθαν*] *ηλθον* AQ[a] 3 *ηνυπνιασθην* (*ενυπν.* AQ)] +*ενυπνιον* Q 4 *ελαλησαν*] *ειπον* A *ειπαν* Q | *παισι* B[b] | *συγκρισιν*] *ν* not adpinxit A[a?] +*αυτου* Q 5 *απεκριθη*] +*δε* Q | *βασιλευς*] +*και ειπε̄* A | *εαν*] +*ουν* AQ | *συγκρισιν*] +*αυτου* A +*απαγγειλητε μοι* Q | *απωλειαν* B[ab]AQ | *διαρπαγησονται*] *εις διαρπαγην* Q 6 om *αυτου* 1° Q*vid (hab Q(mg)) | *δοματα και δωρεας*] *δομ. κ. δωρεαν* A *δωρα και δοματα* Q | *ληψεσθε* B[b]Q[a] | *απαγγειλατε*] *αναγγειλατε* Q* (*απαγγ.* Q[a]) 7 *απεκριθησαν*] +*οι Χαλδαιοι* A | *δευτερον και ειπαν*] +*αυτω* B[ab mg] *και ειπαν εκ δευτερου* A 8 om *και* 1° A | *αληθιας* B* (*-θειας* B[b]) | *ειδετε*] *οιδατε* AQ 9 *αναγγειλητε*] *απαγγειληται* A | *μου* 1°] *εμου* AQ | *οτι* 2°] +*και* Q | om *αυτου* Q 10 *απεκριθησαν*] +*παλιν* A | *λεγουσιν*] *ειπαν* Q | *το ρημα του βασιλεως δυνησεται γνωρισαι*] *δυν. το ρ. του β. γν.* A *το ρ. του β. γν. δυναται* Q

87 δυνήσεται εἰπεῖν τῷ βασιλεῖ ὃ ἑώρακε, καθάπερ σὺ ἐρωτᾷς, καὶ
πᾶς βασιλεὺς καὶ πᾶς δυνάστης τοιοῦτο πρᾶγμα οὐκ ἐπερωτᾷ πάντα
σοφὸν καὶ μάγον καὶ Χαλδαῖον· [11]καὶ ὁ λόγος ὃν ζητεῖς, βασιλεῦ, 11
βαρύς ἐστι καὶ ἐπίδοξος, καὶ οὐδείς ἐστιν ὃς δηλώσει ταῦτα τῷ
βασιλεῖ, εἰ μή τι ἄγγελος, οὗ οὐκ ἔστι κατοικητήριον μετὰ πάσης
σαρκός· ὅθεν οὐκ ἐνδέχεται γενέσθαι καθάπερ οἴει. [12]τότε ὁ βασι- 12
λεὺς στυγνὸς γενόμενος καὶ περίλυπος προσέταξεν ἐξαγαγεῖν πάντας
τοὺς σοφοὺς τῆς Βαβυλωνίας. [13]καὶ ἐδογματίσθη πάντας ἀποκτεῖναι· 13
ἐζητήθη δὲ ὁ Δανιὴλ καὶ πάντες οἱ μετ' αὐτοῦ χάριν τοῦ συναπο-
λέσθαι. [14]τότε Δανιὴλ εἶπε βουλὴν καὶ γνώμην ἣν εἶχεν Ἀριώχῃ 14
τῷ ἀρχιμαγείρῳ τοῦ βασιλέως, ᾧ προσέταξεν ἐξαγαγεῖν τοὺς σο-
φιστὰς τῆς Βαβυλωνίας, [15]καὶ ἐπυνθάνετο αὐτοῦ λέγων Ἄρχων τοῦ 15
βασιλέως, περὶ τίνος δογματίζεται πικρῶς παρὰ τοῦ βασιλέως; τότε
τὸ πρόσταγμα ἐσήμανεν ὁ Ἀριώχης τῷ Δανιήλ. [16]ὁ δὲ Δανιὴλ εἰσ- 16
ῆλθε ταχέως πρὸς τὸν βασιλέα, καὶ ἠξίωσεν ἵνα δοθῇ αὐτῷ χρόνος
παρὰ τοῦ βασιλέως, καὶ δηλώσῃ πάντα ἐπὶ τοῦ βασιλέως. [17]Τότε 17
ἀπελθὼν Δανιὴλ εἰς τὸν οἶκον αὐτοῦ τῷ Ἀνανίᾳ καὶ Μισαὴλ καὶ
Ἀζαρίᾳ τοῖς συνεταίροις ὑπέδειξε πάντα, [18]καὶ παρήγγειλε νη- 18
στείαν καὶ δέησιν καὶ τιμωρίαν ζητῆσαι παρὰ τοῦ κυρίου τοῦ ὑψί-
στου περὶ τοῦ μυστηρίου τούτου, ὅπως μὴ ἐκδοθῶσι Δανιὴλ καὶ οἱ
μετ' αὐτοῦ εἰς ἀπώλειαν ἅμα τοῖς σοφισταῖς Βαβυλῶνος. [19]τότε τῷ 19
Δανιὴλ ἐν ὁράματι ἐν αὐτῇ τῇ νυκτὶ τὸ μυστήριον τοῦ βασιλέως
ἐξεφάνθη εὐσήμως. τότε Δανιὴλ εὐλόγησε τὸν κύριον τὸν ὕψιστον,
καὶ ἐκφωνήσας εἶπεν [20]Ἔσται τὸ ὄνομα τοῦ κυρίου τοῦ μεγάλου 20
εὐλογημένον εἰς τὸν αἰῶνα, ὅτι ἡ σοφία καὶ ἡ μεγαλωσύνη αὐτοῦ
ἐστι· [21]καὶ αὐτὸς ἀλλοιοῖ καιροὺς καὶ χρόνους, μεθιστῶν βασιλεῖς 21
καὶ καθιστῶν, διδοὺς σοφοῖς σοφίαν καὶ σύνεσιν τοῖς ἐν ἐπιστήμῃ
οὖσιν· [22]ἀνακαλύπτων τὰ βαθέα καὶ σκοτεινὰ καὶ γινώσκων τὰ ἐν 22
τῷ σκότει καὶ τὰ ἐν τῷ φωτί, καὶ παρ' αὐτῷ κατάλυσις. [23]σοί, 23
κύριε τῶν πατέρων μου, ἐξομολογοῦμαι καὶ αἰνῶ, ὅτι σοφίαν καὶ
φρόνησιν ἔδωκάς μοι, καὶ νῦν ἐσήμανάς μοι ὅσα ἠξίωσα, τοῦ δη-

Syr 10 και πας βασιλευς...ουκ επερωτα] σ' αλλ ουδε τις βασιλευς η μεγας η εξουσιαστης ρημα τοιουτον ερωτα Syr^{mg} 11 + και επιδοξος 87 Syr 13 ΕΔΟΓΜΑΤΙϹΘΗ Syr^{mg} 14 τω αρχιμαγειρω] α' διδασκαλω σφακτων Syr^{mg} 15 και επυνθανετο...του βασιλεως] σ' ειπε δε τω Αριωχ ω επετραπη η εξουσια παρα του βασ. Syr^{mg} | ⁜ αρχων του βασιλεως 87 Syr 16 δηλωσει Syr 18 και παρηγγειλε...ζητησαι] σ' υπερ του ερωτησαι οικτιρμους Syr^{mg} | ÷ και τιμωριαν (superscr ÷ 87) ζητησαι 87 Syr 19 και εκφωνησας ειπεν] σ' και λαλων Δανιηλ ειπεν Syr^{mg} 21 διδους] pr και Syr 22 ΚΑΤΑΛΥϹΙϹ Syr^{mg}

γνωρίσαι, καθότι πᾶς βασιλεὺς μέγας καὶ ἄρχων ῥῆμα τοιοῦτο B
11 οὐκ ἐπερωτᾷ ἐπαοιδόν, μάγον καὶ Χαλδαῖον· [11]ὅτι ὁ λόγος ὃν ὁ
βασιλεὺς ἐπερωτᾷ βαρύς, καὶ ἕτερος οὐκ ἔστιν ὃς ἀναγγελεῖ αὐτὸν
ἐνώπιον τοῦ βασιλέως ἀλλ' ἢ θεοί, ὧν οὐκ ἔστιν ἡ κατοικία μετὰ
12 πάσης σαρκός. [12]τότε ὁ βασιλεὺς ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀπο-
13 λέσαι πάντας τοὺς σοφοὺς Βαβυλῶνος. [13]καὶ τὸ δόγμα ἐξῆλθεν,
καὶ οἱ σοφοὶ ἀπεκτέννοντο· καὶ ἐζήτησαν Δανιὴλ καὶ τοὺς φίλους
14 αὐτοῦ ἀνελεῖν. [14]τότε Δανιὴλ ἀπεκρίθη βουλὴν καὶ γνώμην τῷ
Ἀριὼχ τῷ ἀρχιμαγείρῳ τοῦ βασιλέως, ὃς ἐξῆλθεν ἀναιρεῖν τοὺς
15 σοφοὺς Βαβυλῶνος [15]Ἄρχων τοῦ βασιλέως, περὶ τίνος ἐξῆλθεν ἡ
γνώμη ἡ ἀναιδὴς ἐκ προσώπου τοῦ βασιλέως; ἐγνώρισεν δὲ τὸ
16 ῥῆμα Ἀριὼχ τῷ Δανιήλ. [16]καὶ Δανιὴλ ἠξίωσεν τὸν βασιλέα ὅπως
χρόνον δῷ αὐτῷ, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγείλῃ τῷ βασι-
17 λεῖ. [17]Καὶ εἰσῆλθεν Δανιὴλ εἰς τὸν οἶκον αὐτοῦ, καὶ τῷ
Ἀνανίᾳ καὶ τῷ Μεισαὴλ καὶ τῷ Ἀζαρίᾳ τοῖς φίλοις αὐτοῦ ἐγνώ-
18 ρισεν τὸ ῥῆμα. [18]καὶ οἰκτειρμοὺς ἐζήτουν παρὰ τοῦ θεοῦ τοῦ οὐ-
ρανοῦ ὑπὲρ τοῦ μυστηρίου τούτου, ὅπως ἂν μὴ ἀπόλωνται Δανιὴλ
19 καὶ οἱ φίλοι αὐτοῦ μετὰ τῶν ἐπιλοίπων σοφῶν Βαβυλῶνος. [19]τότε
τῷ Δανιὴλ ἐν ὁράματι τῆς νυκτὸς τὸ μυστήριον ἀπεκαλύφθη. καὶ
20 εὐλόγησεν τὸν θεὸν τοῦ οὐρανοῦ Δανιὴλ [20]καὶ εἶπεν Εἴη τὸ ὄνομα
τοῦ θεοῦ εὐλογημένον ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, ὅτι ἡ
21 σοφία καὶ ἡ σύνεσις αὐτοῦ ἐστιν· [21]καὶ αὐτὸς ἀλλοιοῖ καιροὺς καὶ
χρόνους, καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ, διδοὺς σοφίαν τοῖς σοφοῖς
22 καὶ φρόνησιν τοῖς εἰδόσιν σύνεσιν· [22]αὐτὸς ἀποκαλύπτει βαθέα καὶ
ἀπόκρυφα, γινώσκων τὰ ἐν τῷ σκότει, καὶ τὸ φῶς μετ' αὐτοῦ
23 ἐστιν. [23]σοί, ὁ θεὸς τῶν πατέρων μου, ἐξομολογοῦμαι καὶ αἰνῶ, ὅτι
σοφίαν καὶ δύναμιν δέδωκάς μοι, καὶ ἐγνώρισάς μοι ἃ ἠξιώσαμεν

10 om *και* 3° AQ **12** *οργη*] + *πολλη* B^{ab}Q **14** *τω Αριωχ*] om *τω* AQ Q | *αναιρειν*] *ανελειν* A (*αναιλ.*) Q | *τους σοφους*] pr *παντας* Q **15** *αρχων*] pr *και επυνθανετο* (+ *παρ* Q) *αυτου λεγων* AQ | *περι τινος* bis scr (usque *τιν*) B* | *γνωμη*] *ανομια* Q | *αναιδης*] + *αυτη* AQ | *Δανιηλ*] *βασιλει* A **16** *Δανιηλ ηξιωσεν τον βασιλεα*] *εισηλθεν Δ. και ηξ. απο του βασιλεως* A | om *αυτου* Q* (hab Q^{mg}) | *τω βασιλει αναγγειλη* Q | *αναγγειλη*] *απαγγ.* A **17** *Μισαηλ* B^{b}AQ | *το ρημα εγνωρισεν* A **18** *οικτιρμους* $B^{b}Q^{a}$ | *υπερ*] *περι* Q | om *αν* AQ **19** *τοτε τω Δ.*] *τω δε Δ.* A (improb. vid $A^{a?}$) | *ηυλογησεν* AQ | *Δανιηλ τον θν̄ του ουρανου* Q **20** *του θεου*] *κῡ* Q | *συνεσις*] *δυναμις* Q | *αυτου*] pr *και η ισχυς* A **21** *ειδοσι* B^{b}AQ **23** *δεδωκας*] *εδωκας* AQ | *και* 3°] + *νυν* A

87 λῶσαι τῷ βασιλεῖ πρὸς ταῦτα. [24]εἰσελθὼν δὲ Δανιὴλ πρὸς τὸν 24
Ἀριὼχ τὸν κατασταθέντα ὑπὸ τοῦ βασιλέως ἀποκτεῖναι πάντας τοὺς
σοφιστὰς τῆς Βαβυλωνίας εἶπεν αὐτῷ Τοὺς μὲν σοφιστὰς τῆς Βαβυ-
λωνίας μὴ ἀπολέσῃς, εἰσάγαγε δέ με πρὸς τὸν βασιλέα, καὶ ἕκαστα
τῷ βασιλεῖ δηλώσω. [25]Τότε Ἀριὼχ κατὰ σπουδὴν εἰσήγαγεν 25
τὸν Δανιὴλ πρὸς τὸν βασιλέα καὶ εἶπεν αὐτῷ ὅτι Εὕρηκα ἄνθρωπον
σοφὸν ἐκ τῆς αἰχμαλωσίας τῶν υἱῶν τῆς Ἰουδαίας, ὃς τῷ βασιλεῖ
δηλώσει ἕκαστα. [26]ἀποκριθεὶς δὲ ὁ βασιλεὺς εἶπε τῷ Δανιήλ, ἐπι- 26
καλουμένῳ δὲ Χαλδαϊστὶ Βαλτασάρ Δυνήσῃ δηλῶσαί μοι τὸ ὅραμα
ὃ εἶδον καὶ τὴν τούτου σύγκρισιν; [27]ἐκφωνήσας δὲ ὁ Δανιὴλ ἐπὶ τοῦ 27
βασιλέως εἶπεν Τὸ μυστήριον ὃ ἑώρακεν ὁ βασιλεύς, οὐκ ἔστι σοφῶν
καὶ φαρμακῶν καὶ ἐπαοιδῶν καὶ γαζαρηνῶν ἡ δήλωσις· [28]ἀλλ' ἔστι 28
θεὸς ἐν οὐρανῷ ἀνακαλύπτων μυστήρια, ὃς ἐδήλωσε τῷ βασιλεῖ
Ναβουχοδονοσὸρ ἃ δεῖ γενέσθαι ἐπ' ἐσχάτων τῶν ἡμερῶν· [29]καὶ 29
ἀνακαλύπτων μυστήρια ἐδήλωσέ σοι ἃ δεῖ γενέσθαι. [30]κἀμοὶ δὲ 30
οὐ παρὰ τὴν σοφίαν τὴν οὖσαν ἐν ἐμοὶ ὑπὲρ πάντας τοὺς ἀνθρώ-
πους τὸ μυστήριον τοῦτο ἐξεφάνθη, ἀλλ' ἕνεκεν τοῦ δηλωθῆναι τῷ
βασιλεῖ ἐσημάνθη μοι ἃ ὑπέλαβες τῇ καρδίᾳ σου ἐν γνώσει. [31]καὶ 31
σύ, βασιλεῦ, ἑώρακας, καὶ ἰδοὺ εἰκὼν μία, καὶ ἦν ἡ εἰκὼν ἐκείνη
μεγάλη σφόδρα, καὶ ἡ πρόσοψις αὐτῆς ὑπερφερὴς ἑστήκει ἐναντίον
σου· καὶ ἡ πρόσοψις τῆς εἰκόνος φοβερά. [32]καὶ ἦν ἡ κεφαλὴ αὐτῆς 32
ἀπὸ χρυσίου χρηστοῦ, τὸ στῆθος καὶ οἱ βραχίονες ἀργυροῖ, ἡ κοιλία
καὶ οἱ μηροὶ χαλκοῖ· [33]τὰ δὲ σκέλη σιδηρᾶ, οἱ πόδες μέρος μέν τι 33
σιδήρου, μέρος δέ τι ὀστράκινον. [34]ἑώρακας ἕως ὅτου ἐτμήθη λίθος 34
ἐξ ὄρους ἄνευ χειρῶν, καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς
σιδηροῦς καὶ ὀστρακίνους καὶ κατήλεσεν αὐτά. [35]τότε λεπτὰ ἐγέ- 35
νετο ἅμα ὁ σίδηρος καὶ τὸ ὄστρακον καὶ ὁ χαλκὸς καὶ ὁ ἄργυρος

Syr 23 προς] κατα Syr^{vid} 24 εισελθων δε Δανιηλ] σ' εκ τουτου Δανιηλ εισηλθε Syr^{mg} 25 post ευρηκα ras aliq 87^{2} | τω βασιλει δηλωσει εκαστα] σ' την επιλυσιν σου βασιλευ δηλωσει Syr^{mg} 27 ΓΑΖΑΡΗΝΩΝ σ' ουδε θυτων Syr^{mg} 28 μυστηρια] α sup ras 87^{2} | ημερων]+βασιλευ εις τον αιωνα ζηθι· το ενυπνιον και το οραμα της κεφαλης σου επι της κοιτης σου τουτο εστι· (29) συ βασιλευ κατακλιθεις επι της κοιτης σου εωρακας (ΕΟΡΑΚΑΣ Syr^{mg}) παντα οσα δει γενεσθαι επ εσχατων των ημερων· Syr (pro κατακλιθεις ...σου σ' εν μεριμνη εγενου επι της κοιτης σου Syr^{mg}) 30 α υπελαβες...εν γνωσει] α' και η βουλη (? εννοια) της καρδιας σου ινα γνως Syr^{mg} 31 και ιδου εικων...σφοδρα] σ' και ην ως ανδριας εις μεγας ο ανδριας Syr^{mg}

24 παρὰ σοῦ, καὶ τὸ ὅραμα τοῦ βασιλέως ἐγνώρισάς μοι. [24]καὶ ἦλθεν B
Δανιηλ πρὸς Ἀριωχ, ὃν κατέστησεν ὁ βασιλεὺς ἀπολέσαι τοὺς σο-
φοὺς Βαβυλῶνος, καὶ εἶπεν αὐτῷ Τοὺς σοφοὺς Βαβυλῶνος μὴ ἀπο-
λέσῃς, εἰσάγαγε δέ με ἐνώπιον τοῦ βασιλέως, καὶ τὴν σύγκρισιν τῷ
25 βασιλεῖ ἀναγγελῶ. [25]Τότε Ἀριωχ ἐν σπουδῇ εἰσήγαγεν τὸν
Δανιηλ ἐνώπιον τοῦ βασιλέως καὶ εἶπεν αὐτῷ Εὕρηκα ἄνδρα ἐκ τῶν
υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, ὅστις τὸ σύγκριμα τῷ βασιλεῖ
26 ἀναγγελεῖ. [26]καὶ ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπεν τῷ Δανιηλ, οὗ τὸ
ὄνομα Βαλτασαρ Εἰ δύνασαί μοι ἀναγγεῖλαι τὸ ἐνύπνιον ὃ ἴδον καὶ
27 τὴν σύγκρισιν αὐτοῦ; [27]καὶ ἀπεκρίθη Δανιηλ ἐνώπιον τοῦ βασι-
λέως καὶ λέγει Τὸ μυστήριον ὃ ὁ βασιλεὺς ἐρωτᾷ οὐκ ἔστιν σοφῶν,
28 μάγων, ἐπαοιδῶν, γαζαρηνῶν ἀναγγεῖλαι τῷ βασιλεῖ· [28]ἀλλ᾽ ἢ ἔστιν
θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων μυστήρια, καὶ ἐγνώρισεν τῷ βασιλεῖ
Ναβουχοδονοσορ ἃ δεῖ γενέσθαι ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν. τὸ ἐνύ-
πνιόν σου καὶ αἱ ὁράσεις τῆς κεφαλῆς σου ἐπὶ τῆς κοίτης σου
29 τοῦτό ἐστιν. [29]βασιλεῦ, οἱ διαλογισμοί σου ἐπὶ τῆς κοίτης σου ἀνέ-
βησαν τί δεῖ γενέσθαι μετὰ ταῦτα, καὶ ὁ ἀποκαλύπτων μυστήρια
30 ἐγνώρισέν σοι ἃ δεῖ γενέσθαι. [30]καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ
ἐν ἐμοὶ παρὰ πάντας τοὺς ζῶντας τὸ μυστήριον τοῦτο ἀπεκαλύφθη,
ἀλλ᾽ ἕνεκεν τοῦ τὴν σύγκρισιν γνωρίσαι τῷ βασιλεῖ, ἵνα τοὺς δια-
31 λογισμοὺς τῆς καρδίας σου γνῷς. [31]σύ, βασιλεῦ, ἐθεώρεις, καὶ ἰδοὺ
εἰκὼν μία, μεγάλη ἡ εἰκὼν ἐκείνη, καὶ ἡ πρόσοψις αὐτῆς ὑπερ-
φερής, ἑστῶσα πρὸ προσώπου σου· καὶ ἡ ὅρασις αὐτῆς φοβερά.
32 [32]εἰκὼν ἧς ἡ κεφαλὴ χρυσίου χρηστοῦ, αἱ χεῖρες καὶ τὸ στῆθος
33 καὶ οἱ βραχίονες αὐτῆς ἀργυροῖ, ἡ κοιλία καὶ οἱ μηροὶ χαλκοῖ, [33]αἱ
κνῆμαι σιδηραῖ, οἱ πόδες μέρος τι σιδηροῦν καὶ μέρος ὀστράκινον.
34 [34]ἐθεώρεις ἕως ἀπεσχίσθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν, καὶ ἐπά-
ταξεν τὴν εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους,
35 καὶ ἐλέπτυνεν εἰς τέλος. [35]τότε ἐλεπτύνθησαν εἰς ἅπαξ τὸ ὄστρα-

24 τω βασιλει] του βασιλεως B^{ab} 25 τω βασιλει αναγγελει] ερει τω AQ βασ. Q 26 Βαλτασαρ] Βαρτασαρ A | om ο ιδον A | ειδον B^{ab} 27 Δανιηλ] + και ειπεν Q | και λεγει] και ειπεν $B^{ab}AQ^{mg}$ om Q^{*} | ερωτα] επερωτα AQ | εστι Q^{a} 28 om η A | θεος] pr ο A 29 βασιλευ] συ βασιλευ εθεωρεις A | ανεβησαν επι της κοιτης σου Q 30 om δε A | om τουτο A | τω βασ. γνωρισαι AQ | διαλογισμου (sic) A 31 om η εικων εκεινη Q^{*} (hab Q^{mg}) | προσοψις] οψεις A | αυτης 1°] της εικονος εκεινης Q^{*} (αυτης Q^{mg}) 32 εικων] pr η A | χρηστου] καθαρου B^{amg} (non inst b) AQ 33 αι κνημαι] pr και Q^{*} (improb $Q^{?}$) | μερος 1°] + μεν AQ | και μερος] μερος δε τι A και μερος τι Q (τι Q^{mg}) 34 εως] + ου A ⌈ απεσχισθη] ετμηθη AQ | εξ] απο Q | ελεπτυνεν] + αυτους $B^{ab}AQ^{mg}$

87 καὶ τὸ χρυσίον, καὶ ἐγένετο ὡσεὶ λεπτότερον ἀχύρου ἐν ἅλωνι, καὶ
ἐρρίπισεν αὐτὰ ὁ ἄνεμος ὥστε μηδὲν καταλειφθῆναι ἐξ αὐτῶν, καὶ
ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα ἐγένετο ὄρος μέγα, καὶ ἐπάταξε πᾶ-
σαν τὴν γῆν. [36]τοῦτο τὸ ὅραμα· καὶ τὴν κρίσιν δὲ ἐροῦμεν ἐπὶ τοῦ 36
βασιλέως. [37]σύ, βασιλεῦ, βασιλεὺς βασιλέων, καὶ σοὶ ὁ κύριος τοῦ 37
οὐρανοῦ τὴν ἀρχὴν καὶ τὴν βασιλείαν καὶ τὴν ἰσχὺν καὶ τὴν τιμὴν
καὶ τὴν δόξαν ἔδωκεν· [38]ἐν πάσῃ τῇ οἰκουμένῃ ἀπὸ ἀνθρώπων καὶ 38
θηρίων ἀγρίων καὶ πετεινῶν οὐρανοῦ καὶ τῶν ἰχθύων τῆς θαλάσσης
παρέδωκεν ὑπὸ τὰς χεῖράς σου, κυριεύειν πάντων· σὺ εἶ ἡ κεφαλὴ
ἡ χρυσῆ. [39]καὶ μετὰ σὲ ἀναστήσεται βασιλεία ἐλάττων σου, καὶ 39
τρίτη βασιλεία ἄλλη χαλκῆ ἣ κυριεύσει πάσης τῆς γῆς· [40]καὶ βασι- 40
λεία τετάρτη ἰσχυρὰ ὡς ὁ σίδηρος, ὥσπερ ὁ σίδηρος ὁ δαμάζων
πάντα, καὶ ὡς ὁ σίδηρος πᾶν δένδρον ἐκκόπτων· καὶ σεισθήσεται
πᾶσα ἡ γῆ. [41]καὶ ὡς ἑώρακας τοὺς πόδας αὐτῆς καὶ τοὺς δακτύλους 41
μέρος μέν τι ὀστράκου κεραμικοῦ, μέρος δέ τι σιδήρου, βασιλεία
ἄλλη διμερὴς ἔσται ἐν αὐτῇ, καθάπερ εἶδες τὸν σίδηρον ἀναμεμι-
γμένον ἅμα τῷ πηλίνῳ ὀστράκῳ. [42]καὶ οἱ δάκτυλοι τῶν ποδῶν 42
μέρος μέν τι σιδηροῦν, μέρος δέ τι ὀστράκινον· μέρος δέ τι τῆς
βασιλείας ἔσται ἰσχυρόν, καὶ μέρος τι ἔσται συντετριμμένον. [43]καὶ 43
ὡς εἶδες τὸν σίδηρον ἀναμεμιγμένον ἅμα τῷ πηλίνῳ ὀστράκῳ, καὶ
συμμιγεῖς ἔσονται εἰς γένεσιν ἀνθρώπων· οὐκ ἔσονται δὲ ὁμονο-
οῦντες οὔτε εὐνοοῦντες ἀλλήλοις, ὥσπερ οὐδὲ ὁ σίδηρος δύναται
συγκραθῆναι τῷ ὀστράκῳ. [44]καὶ ἐν τοῖς χρόνοις τῶν βασιλέων 44
τούτων στήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἄλλην, ἥτις ἔσται εἰς
τοὺς αἰῶνας καὶ οὐ φθαρήσεται· καὶ αὕτη ἡ βασιλεία ἄλλο ἔθνος οὐ
μὴ ἐάσῃ, πατάξει δὲ καὶ ἀφανίσει τὰς βασιλείας ταύτας, καὶ αὐτὴ
στήσεται εἰς τὸν αἰῶνα· [45]καθάπερ ἑώρακας ἐξ ὄρους τμηθῆναι λίθον 45
ἄνευ χειρῶν, καὶ συνηλόησε τὸ ὄστρακον τὸν σίδηρον καὶ τὸν χαλκὸν
καὶ τὸν ἄργυρον καὶ τὸν χρυσόν. ὁ θεὸς ὁ μέγας ἐσήμανε τῷ βα-
σιλεῖ τὰ ἐσόμενα ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν· καὶ ἀκριβὲς τὸ ὅραμα,

Syr **35** ωσει λεπτοτερον αχυρου...ο ανεμος] αʹ ως αχνη απο αλωνος θερινης και ηρεν αυτα το πνευμα Syr^{mg} | και επαταξε] και επληρωσε Syr^{mg} **38** + και των (+87) ιχθυων της θαλασσης 87 Syr | κυριευειν παντων] αʹ και εκυριευσε παντων Syr^{mg} **40** ※ ως ο σιδηρος (1°) 87 Syr | και ※ ως ο σιδηρος (2°) 87 (deest ↙) ※ και ο σιδηρος Syr **41** ※ και τους δακτυλους 87 (deest ↙) Syr | κεραμεικου 87 | εν αυτη] pr απο της ριζης της σιδηρας εσται Syr αʹσʹ και εκ του φυτου του σιδηρου Syr^{mg} **42** om δε 2° Syr **43** om και 2° Syr | εις γενεσιν] εν σπερματι Syr^{mg} **44** τους αιωνας] τον αιωνα Syr **45** συνηλοησε] CYNΗΛΟΛΗCEN (sic) + ωσει αλοησις η εν αλωνι Syr^{mg}

κον, ὁ σίδηρος, ὁ χαλκός, ὁ ἄργυρος, ὁ χρυσός, καὶ ἐγένετο ὡσεὶ B
κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς· καὶ ἐξῆρεν τὸ πλῆθος τοῦ πνεύ-
ματος, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς· καὶ ὁ λίθος ὁ πατάξας τὴν
36 εἰκόνα ἐγενήθη ὄρος μέγα, καὶ ἐπλήρωσεν πᾶσαν τὴν γῆν. [36]τοῦτό
ἐστιν τὸ ἐνύπνιον· καὶ τὴν σύγκρισιν αὐτοῦ ἐροῦμεν ἐνώπιον τοῦ
37 βασιλέως. [37]σύ, βασιλεῦ, βασιλεὺς βασιλέων, ᾧ ὁ θεὸς τοῦ οὐ-
38 ρανοῦ βασιλείαν ἰσχυρὰν καὶ κραταιὰν καὶ ἔντιμον ἔδωκεν [38]ἐν
παντὶ τόπῳ ὅπου κατοικοῦσιν οἱ υἱοὶ τῶν ἀνθρώπων· θηρία τε
ἀγροῦ καὶ πετεινὰ οὐρανοῦ ἔδωκεν ἐν τῇ χειρί σου, καὶ κατέστησεν
39 κύριον πάντων· σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ. [39]καὶ ὀπίσω σου ἀνα-
στήσεται ἑτέρα βασιλεία ἥττων σου, καὶ βασιλεία τρίτη ἥτις ἐστὶν
40 ὁ χαλκός, ἣ κυριεύσει πάσης τῆς γῆς· [40]καὶ βασιλεία τετάρτη ἔσται
ἰσχυρὰ ὡς ὁ σίδηρος· ὃν τρόπον ὁ σίδηρος λεπτύνει καὶ δαμάζει
41 πάντα, οὕτως πάντα λεπτυνεῖ καὶ δαμάσει. [41]καὶ ὅτι ἴδες τοὺς
πόδας καὶ τοὺς δακτύλους μέρος μέν τι ὀστράκινον, μέρος δέ τι
σιδηροῦν, βασιλεία διῃρημένη ἔσται, καὶ ἀπὸ τῆς ῥίζης τῆς σιδηρᾶς
ἔσται ἐν αὐτῇ, ὃν τρόπον ἴδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ
42 ὀστράκῳ. [42]καὶ οἱ δάκτυλοι τῶν ποδῶν μέρος μέν τι σιδηροῦν,
μέρος δέ τι ὀστράκινον, μέρος τι τῆς βασιλείας ἔσται ἰσχυρόν, καὶ
43 ἀπ᾽ αὐτῆς ἔσται συντριβόμενον. [43]ὅτι ἴδες τὸν σίδηρον ἀναμε-
μιγμένον τῷ ὀστράκῳ, συμμιγεῖς ἔσονται ἐν σπέρματι ἀνθρώπων·
καὶ οὐκ ἔσονται προσκολλώμενοι οὗτος μετὰ τούτου, καθὼς ὁ σί-
44 δηρος οὐκ ἀναμίγνυται μετὰ τοῦ ὀστράκου. [44]καὶ ἐν ταῖς ἡμέραις
τῶν βασιλέων ἐκείνων ἀναστήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν, ἥτις
εἰς τοὺς αἰῶνας οὐ διαφθαρήσεται, καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ
οὐχ ὑπολειφθήσεται· λεπτυνεῖ καὶ λικμήσει πάσας τὰς βασιλείας,
45 καὶ αὐτὴ ἀναστήσεται εἰς τοὺς αἰῶνας· [45]ὃν τρόπον ἴδες ὅτι ἀπὸ
ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ ἐλέπτυνεν τὸ ὄστρακον τὸν
σίδηρον, τὸν χαλκόν, τὸν ἄργυρον, τὸν χρυσόν. ὁ θεὸς ὁ μέγας
ἐγνώρισεν τῷ βασιλεῖ ἃ δεῖ γενέσθαι μετὰ ταῦτα· καὶ ἀληθινὸν τὸ

35 ο σιδηρος το οστρακο͞] A | εγενετο] εγενοντο AQ | εξηρεν] + αυτα AQ | AQ εγενηθη] + εις Q **36** εστι Q^{a} **38** ουρανου] pr του A + και ιχθυας της θαλασσης AQ^{mg} | κατεστησεν] + σε AQ | κυριον plene scr $B^{?}$ (κ͞ν ut vid B^{*}) **39** βασιλεια ετερα AQ | σου 2°] + ητις (η Q) εστιν ο αργυρος AQ | ητις] η AQ **40** παντα 1°] + επι της γης Q^{*} + τα ε. τ. γ. Q^{a} | δαμασει] δαμαζει A **41** ειδες bis B^{ab} (item 43, 45) A (item 43) | οστρακινον] + κεραμεου $A^{a?(mg)}$ σιδηρουν Q | σιδηρουν] οστρακινον Q **42** μερος 3°] + δε Q^{*} (improb $Q^{?}$) | απ] επ A **43** συμμιγεις $B^{b}Q$ | προσκολλωμενος A | μετα του οστρακου] τω οστρακω A **44** τους αιωνας 1°] τον αιωνα A | λεπτυνει] + δε $A^{1\,fort}Q$

87 καὶ πιστὴ ἡ τούτου κρίσις. 46 Τότε Ναβουχοδονοσὸρ ὁ βασιλεὺς 46
πεσὼν ἐπὶ πρόσωπον χαμαὶ προσεκύνησεν τῷ Δανιήλ, καὶ ἐπέ-
ταξε θυσίας καὶ σπονδὰς ποιῆσαι αὐτῷ. 47 καὶ ἐκφωνήσας ὁ βασι- 47
λεὺς πρὸς τὸν Δανιὴλ εἶπεν Ἐπ' ἀληθείας ἐστὶν ὁ θεὸς ὑμῶν θεὸς
τῶν θεῶν καὶ κύριος τῶν βασιλέων, ὁ ἐκφαίνων μυστήρια κρυπτὰ
μόνος· ὅτι ἐδυνάσθης δηλῶσαι τὸ μυστήριον τοῦτο. 48 τότε ὁ βασι- 48
λεὺς Ναβουχοδονοσὸρ Δανιὴλ μεγαλύνας καὶ δοὺς δωρεὰς μεγάλας
καὶ πολλὰς κατέστησεν ἐπὶ τῶν πραγμάτων τῆς Βαβυλωνίας, καὶ
ἀπέδειξεν αὐτὸν ἄρχοντα καὶ ἡγούμενον πάντων τῶν σοφιστῶν Βαβυ-
λωνίας. 49 καὶ Δανιὴλ ἠξίωσε τὸν βασιλέα ἵνα κατασταθῶσιν ἐπὶ 49
τῶν πραγμάτων τῆς Βαβυλωνίας Σεδράχ, Μισάχ, Ἀβδεναγώ· καὶ
Δανιὴλ ἦν ἐν τῇ βασιλικῇ αὐλῇ.

1 Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονοσὸρ βασιλεὺς διοικῶν πόλεις 1 III
καὶ χώρας καὶ πάντας τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς ἀπὸ Ἰνδικῆς ἕως
Αἰθιοπίας ἐποίησεν εἰκόνα χρυσῆν, τὸ ὕψος αὐτῆς πηχῶν ἑξήκοντα,
καὶ τὸ πλάτος αὐτῆς πηχῶν ἕξ· καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ τοῦ περι-
βόλου χώρας Βαβυλωνίας. 2 καὶ Ναβουχοδονοσὸρ βασιλεὺς βασιλέων 2
καὶ κυριεύων τῆς οἰκουμένης ὅλης ἀπέστειλεν ἐπισυναγαγεῖν πάντα τὰ
ἔθνη καὶ φυλὰς καὶ γλώσσας, σατράπας, στρατηγούς, τοπάρχας καὶ
ὑπάτους, διοικητὰς καὶ τοὺς ἐπ' ἐξουσιῶν κατὰ χώραν, καὶ πάντας
τοὺς κατὰ τὴν οἰκουμένην, ἐλθεῖν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος τῆς
χρυσῆς ἣν ἔστησεν Ναβουχοδονοσὸρ ὁ βασιλεύς. 3 τότε συνήχθησαν 3
ὕπατοι, στρατηγοί, τοπάρχαι, ἡγούμενοι, τύραννοι μεγάλοι ἐπ' ἐξου-
σιῶν, καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν, τοῦ ἐλθεῖν εἰς τὸν ἐγκαι-
νισμὸν τῆς εἰκόνος ἧς ἔστησε Ναβουχοδονοσὸρ ὁ βασιλεύς. καὶ
ἔστησαν οἱ προσγεγραμμένοι κατέναντι τῆς εἰκόνος ἧς ἔστησε Ναβου-
χοδονοσόρ. 4 καὶ ὁ κήρυξ ἐκήρυξε τοῖς ὄχλοις Ὑμῖν παραγγέλλεται, 4

Syr 46 om επι προσωπον Syr | θυσιας...αυτω] σ' και δωρα και θρησκειας (α' και δωρα ευωδιας) συντελεσαι αυτω Syr^mg 47 επ·αληθει| 87 | κυριος] βασιλευς Syr^mg | μυστηρια] ΘΡΗϹΚΙΑϹ Syr^mg 48 + Ναβουχοδονοσορ 87 Syr | αρχοντα...Βαβυλωνιας (2°)] σ' υπαρχον των στρατηγων των επι των σοφων Βαβυλωνος Syr^mg III 1 ÷ ετους οκτωκαιδ. 87 Syr | ÷ διοικων πολεις (÷ 87) και χωρας και παντας τους κατοικ. (superscr ÷ 87)...Αιθιοπιας 87 Syr | περιβολου] ΠΕΡΙΒΟΛΟΝ (sic) Syr^mg 2 ÷ βασιλεων (-λευων Syr) και κυριευων της οικ. (÷ 87) ολης 87 Syr | ÷ παντα τα εθνη και φυλας (φυ ÷ λας 87) και γλωσσας 87 Syr | τοπαρχας...την οικουμενην] σ' και τους αρχοντας τους επι της γνωσεως τους γαβδαρηνους τους θαβδαρηνους τους θαβθαιους και παντας τους εξουσιαζοντας των πολεων Syr^mg | επι εξουσιων 87* (επεξ. sic 87^1 (vid)) 3 ※ τοτε συνηχθησαν...του ελθειν (om τ. ελθ. Syr)...ο βασιλευς 87 Syr | επεξ. sic 87 | ÷ και εστησαν οι προγεγρ. 87 (deest ↙) ÷ οι προγεγρ. (seq ↙) και εστησαν Syr | ※ ης εστησε Ναβ. (2°) 87 Syr

46 ἐνύπνιον, καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ. [46]Τότε ὁ βασιλεὺς Ναβου- B
χοδονοσὸρ ἔπεσεν ἐπὶ πρόσωπον καὶ τῷ Δανιὴλ προσεκύνησεν καὶ
47 μαννὰ καὶ εὐωδίας εἶπεν σπεῖσαι αὐτῷ. [47]καὶ ἀποκριθεὶς ὁ βασι-
λεὺς εἶπεν τῷ Δανιὴλ Ἐπ' ἀληθείας ὁ θεὸς ὑμῶν αὐτός ἐστιν θεὸς
θεῶν καὶ κύριος τῶν βασιλέων καὶ ἀποκαλύπτων μυστήρια· ὅτι
48 ἠδυνήθης ἀποκαλύψαι τὸ μυστήριον τοῦτο. [48]καὶ ἐμεγάλυνεν ὁ βα-
σιλεὺς τὸν Δανιήλ, καὶ δόματα μεγάλα καὶ πολλὰ ἔδωκεν αὐτῷ, καὶ
κατέστησεν αὐτὸν ἐπὶ πάσης χώρας Βαβυλῶνος καὶ ἄρχοντα σατρα-
49 πῶν ἐπὶ πάντας τοὺς σοφοὺς Βαβυλῶνος. [49]καὶ Δανιὴλ ᾐτήσατο
παρὰ τοῦ βασιλέως, καὶ κατέστησεν ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυ-
λῶνος τὸν Σεδράχ, Μεισάχ, Ἀβδεναγώ· καὶ Δανιὴλ ἦν ἐν τῇ αὐλῇ
τοῦ βασιλέως.

III 1 §[1]Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονοσὸρ ὁ βασιλεὺς ἐποίησεν § Γ
εἰκόνα χρυσῆν, ὕψος αὐτῆς πήχεων ἑξήκοντα, εὖρος αὐτῆς πήχεων
2 ἕξ· καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεειρὰ ἐν χώρᾳ Βαβυλῶνος. [2]καὶ
ἀπέστειλεν συναγαγεῖν τοὺς ὑπάτους καὶ τοὺς στρατηγοὺς καὶ τοὺς
τοπάρχας, ἡγουμένους καὶ τυράννους καὶ τοὺς ἐπ' ἐξουσιῶν καὶ
πάντας τοὺς ἄρχοντας τῶν χωρῶν, ἐλθεῖν εἰς τὰ ἐνκαίνια τῆς εἰ-
3 κόνος ἧς ἔστησεν. [3]καὶ συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι, στρα-
τηγοί, ἡγούμενοι, τύραννοι μεγάλοι οἱ ἐπ' ἐξουσιῶν, καὶ πάντες οἱ
ἄρχοντες τῶν χωρῶν, εἰς τὸν ἐνκαινισμὸν τῆς εἰκόνος ἧς ἔστησεν
Ναβουχοδονοσὸρ ὁ βασιλεύς. καὶ ἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος.
4 [4]καὶ ὁ κήρυξ ἐβόα ἐν ἰσχύι Ὑμῖν λέγεται λαοῖς, φυλαί, γλῶσσαι,

46 Ναβουχοδοσορ Q* (νο superscr Q[a]) | om και 2° B* vid (hab ⳨ B[a?b?(mg)]) | AQΓ
μαννα] μαναα Q | ευωδιας ειπεν σπεισαι] ευωδιαν εσπεισεν Q 47 κυριος]
+των κυριων και βασιλευς AQ | om και 3° B[ab]A | αποκαλυπτων] ο αποκ.
B[ab] | εδυνηθης A 48 πολλα και μεγαλα AQ | επι 2°] pr και AQ*
(improb Q?) 49 om χωρας Q* (hab Q[mg]) | Μισαχ B[b]Q Μισακ A |
subscr ορασις γ' A III 1 superscr ορασις δ' AQ ⳨ ορασις.. Γ | om ο
βασιλευς A | εξηκοντα (εξηκον sic A)] + και Q 2 om τους 2°, 3° Γ |
τα ενκαινια (εγκ. B[b]QΓ)] τον αγκαινισμον A* (α 1° improb A[a?]) | εικονος]
+ της χρυσης Γ | εστησεν (-σε Q[a])] + Ναβουχοδονοσορ ο βασιλευς AQΓ
3 τοπαρχαι] σατραπαι Q* (τοπ. Q[mg]) | οι επ εξ.] om οι QΓ | εγκαινισμον
B[b]AQ[a] (εγκεν. Q*) | και ιστ.] pr και συνηχθησαν οι τοπαρχαι A | ειστη-
κεισαν B[ab]Q | εικονος 2°] + ης εστησεν Ναβουχοδονοσορ AΓ[vid] 4 λαοις]
εθνη λαοι AΓ λαοι Q* εθνη Q[mg]

87 ἔθνη καὶ χῶραι, λαοὶ καὶ γλῶσσαι, [5]ὅταν ἀκούσητε τῆς φωνῆς τῆς 5
σάλπιγγος, σύριγγος, καὶ κιθάρας, σαμβύκης καὶ ψαλτηρίου, συμφω-
νίας καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσατε τῇ εἰκόνι
τῇ χρυσῇ ἣν ἔστησε Ναβουχοδονοσὸρ βασιλεύς· [6]καὶ πᾶς ὃς ἂν μὴ 6
πεσὼν προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβαλοῦσιν αὐτὸν εἰς τὴν κάμινον
τοῦ πυρὸς τὴν καιομένην. [7]καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτε ἤκουσαν 7
πάντα τὰ ἔθνη τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας,
σαμβύκης τε καὶ ψαλτηρίου καὶ παντὸς ἤχου μουσικῶν, πίπτοντα
πάντα τὰ ἔθνη, φυλαί, καὶ γλῶσσαι προσεκύνησαν τῇ εἰκόνι τῇ χρυσῇ
ἣν ἔστησε Ναβουχοδονοσὸρ ὁ βασιλεύς, κατέναντι τούτου. [8]ἐν ἐκείνῳ 8
τῷ καιρῷ προσελθόντες ἄνδρες Χαλδαῖοι διέβαλον τοὺς Ἰουδαίους· [9]καὶ 9
ὑπολαβόντες εἶπον Ναβουχοδονοσὸρ τῷ βασιλεῖ Κύριε βασιλεῦ, εἰς
τὸν αἰῶνα ζῆθι. [10]σύ, βασιλεῦ, προσέταξας καὶ ἔκρινας, ἵνα πᾶς 10
ἄνθρωπος ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ
σαμβύκης, κιθάρας καὶ ψαλτηρίου καὶ παντὸς ἤχου μουσικῶν, πεσὼν
προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, [11]καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, 11
ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. [12]εἰσὶ δέ 12
τινες ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τῆς χώρας τῆς Βαβυλωνίας,
Σεδράχ, Μισάχ, Ἀβδεναγώ· οἱ ἄνθρωποι ἐκεῖνοι οὐκ ἐφοβήθησάν σου
τὴν ἐντολὴν καὶ τῷ εἰδώλῳ σου οὐκ ἐλάτρευσαν καὶ τῇ εἰκόνι σου τῇ
χρυσῇ ᾗ ἔστησας οὐ προσεκύνησαν. [13]τότε Ναβουχοδονοσὸρ θυμω- 13
θεὶς ὀργῇ προσέταξεν ἀγαγεῖν τὸν Σεδράχ, Μισάχ, Ἀβδεναγώ· τότε οἱ
ἄνθρωποι ἤχθησαν πρὸς τὸν βασιλέα. [14]οὓς καὶ συνιδὼν Ναβουχο- 14
δονοσὸρ ὁ βασιλεὺς εἶπεν αὐτοῖς Διὰ τί, Σεδράχ, Μισάχ, Ἀβδεναγώ,
τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστησα οὐ
προσκυνεῖτε; [15]καὶ νῦν εἰ μὲν ἔχετε ἑτοίμως ἅμα τῷ ἀκοῦσαι τῆς 15
σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ
συμφωνίας καὶ παντὸς ἤχου μουσικῶν, πεσόντες προσκυνῆσαι τῇ
εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησα· εἰ δὲ μή γε, γινώσκετε ὅτι μὴ προσκυνη-

Syr 5 CΑΜΒΥΚΗC Syr[mg] 6 ※ αυτη τη ωρα 87 (deest ↙) Syr
7 ※ συριγγος τε (om τε Syr) και κιθαρας σαμβυκης (※ 87) τε και ψαλτηριου
87 Syr | ※ ο βασιλευς 87 (deest ↙) Syr 9 ※ Ναβ. τω βασιλει 87
(deest ↙) Syr 10 ※ συριγγος τε και σαμβυκης (※ 87) κιθαρας και
ψαλτηριου 87 Syr 11 εις την καμινον] α' εις μεσον της καμινου Syr[mg]
12 επι της χωρας] α' επι το εργον τ. χ. σ' επι την διοικησιν τ. πολεως
Syr[mg] | ουκ εφοβηθησαν σου την εντολην] α' ουκ εθεντο επι σε βασιλευ
γνωμην Syr[mg] 14 και τη εικονι] σ' ουδε τω ανδριαντι Syr[mg]
15 ※ συριγγος τε και...συμφωνιας 87 Syr | +(om 87) τη χρυση 87[vid] Syr |
om γε Syr

5 [5]ᾗ ἂν ὥρᾳ ἀκούσητε φωνῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, B
σαμβύκης καὶ ψαλτηρίου καὶ παντὸς γένους μουσικῶν, πίπτοντες
προσκυνεῖτε τῇ εἰκόνι¶ τῇ χρυσῇ ᾗ ἔστησεν Ναβουχοδονοσὸρ ὁ βα- ¶ Γ
6 σιλεύς· [6]καὶ ὃς ἂν μὴ προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς
7 τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. [7]καὶ ἐγένετο ὅταν ἤκουον
οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμ-
βύκης καὶ ψαλτηρίου καὶ παντὸς γένους μουσικῶν, πίπτοντες πάντες
οἱ λαοί, φυλαί, γλῶσσαι, προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστη-
8 σεν Ναβουχοδονοσὸρ ὁ βασιλεύς. [8]τότε προσήλθοσαν ἄνδρες Χαλ-
9 δαῖοι καὶ διέβαλλον τοὺς Ἰουδαίους [9]τῷ βασιλεῖ Ναβουχοδονοσόρ
10 Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. [10]σύ, βασιλεῦ, ἔθηκας δόγμα, πάντα
ἄνθρωπον ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ
κιθάρας, σαμβύκης καὶ ψαλτηρίου καὶ παντὸς γένους μουσικῶν,
11 [11]καὶ μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς
12 τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. [12]εἰσὶν ἄνδρες Ἰουδαῖοι,
οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδράχ, Μεισάχ,
Ἀβδεναγώ, οἳ οὐχ ὑπήκουσαν, βασιλεῦ, τῷ δόγματί σου, τοῖς θεοῖς
σου οὐ λατρεύουσιν καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσ-
13 κυνοῦσιν. [13]τότε Ναβουχοδονοσὸρ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγα-
γεῖν τὸν Σεδράχ, Μισάχ, καὶ Ἀβδεναγώ· καὶ ἤχθησαν ἐνώπιον τοῦ
14 βασιλέως. [14]καὶ ἀπεκρίθη Ναβουχοδονοσὸρ καὶ εἶπεν αὐτοῖς Εἰ
ἀληθῶς, Σεδράχ, Μισάχ, Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε
15 καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησα οὐ προσκυνεῖτε; [15]νῦν οὖν εἰ
ἔχετε ἑτοίμως ἵνα ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύ-
ριγγός τε καὶ κιθάρας, σαμβύκης καὶ ψαλτηρίου καὶ συμφωνίας
καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσητε τῇ εἰκόνι ᾗ
ἐποίησα· ἐὰν δὲ μὴ προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς

5 φωνης σαλπιγγος] της φ. της σ. AQΓ | και 2°] pr τε AQΓ | ψαλτηριου] AQΓ +και συμφωνιας AΓ | om τη χρυση A* (hab A$^{a?(mg)}$) | ο βασιλευς] om ο Q* (superscr Q^{a}) 6 αν] εαν Q 7 οταν] οτε Q | ηκουον] ηκουσαν AQ | om συριγγος Q* (hab Q^{mg}) | και 3°] pr τε AQ | ψαλτηριου] + και συμφωνιας AQ | om φυλαι γλωσσαι A | om τη χρυση Q* (hab Q^{mg}) | ην] η AQ | εστησεν] εποιησεν Q* (εστ. Q^{mg}) 8 προσηλθαν A προσελθον Q | διεβαλον B^{ab} 9 τω βασιλει Ν.] και υποβαλοντες ειπον Ν. τω βασ. A τω βασ. Ν. (Ναβουχοδοσορ Q*) και ειπαν Q 10 και 2°] pr τε A | ψαλτηριου] + και συμφωνιας A 11 εμβληθησετα Q* (superscr ι Q$^{?}$) 12 Σεδρακ A: item 13, 14, 16, 19, 20, 23 | Μισαχ B^{b}Q Μισακ A: item 13, 14, 16, 19, 20, 23 | οι] οι ανδρες εκεινοι A | τοις θεοις] pr και A | προσκυνουσι Q^{a} 13 om και 2° Q | Αβδεναγω] pr τον A 14 Αβδεναγω] pr και A 15 ακουητε B$^{?vid}$ | και 2°] pr τε A | om και παντος γενους μουσικων A | προσκυνησητε 1°] προσκυνειτε A προσκυνησετε Q | εικονι] + τη χρυση A

87 σάντων ὑμῶν αὐθωρὶ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν
καιομένην· καὶ ποῖος θεὸς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; 16 ἀπο- 16
κριθέντες δὲ Σεδράχ, Μισάχ, Ἀβδεναγώ, εἶπαν τῷ βασιλεῖ Ναβου-
χοδονοσόρ Βασιλεῦ, οὐ χρείαν ἔχομεν ἡμεῖς ἐπὶ τῇ ἐπιταγῇ ταύτῃ
ἀποκριθῆναί σοι. 17 ἔστι γὰρ θεὸς ἐν οὐρανοῖς εἷς κύριος ἡμῶν, ὃν 17
φοβούμεθα, ὅς ἐστι δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς
τῆς καιομένης· καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ἐξελεῖται ἡμᾶς. 18 καὶ 18
τότε φανερόν σοι ἔσται, βασιλεῦ, ὅτι οὔτε τῷ εἰδώλῳ σου λατρεύομεν
οὔτε τῇ εἰκόνι σου τῇ χρυσῇ, ἣν ἔστησας, οὐ προσκυνοῦμεν. 19 τότε 19
Ναβουχοδονοσὸρ ἐπλήσθη θυμοῦ, καὶ ἡ μορφὴ τοῦ προσώπου αὐτοῦ
ἠλλοιώθη ἐπὶ Σεδράχ, Μισάχ, καὶ Ἀβδεναγώ, καὶ ἐπέταξε καῆναι
τὴν κάμινον ἑπταπλασίως παρ' ὃ ἔδει αὐτὴν καῆναι, 20 καὶ ἄνδρας 20
ἰσχυροτάτους τῶν ἐν τῇ δυνάμει ἐπέταξε συμποδίσαντας τὸν Σεδράχ,
Μισάχ, Ἀβδεναγώ, ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιο-
μένην. 21 τότε οἱ ἄνδρες ἐκεῖνοι συνεποδίσθησαν, ἔχοντες τὰ ὑποδή- 21
ματα αὐτῶν καὶ τὰς τιάρας αὐτῶν ἐπὶ τῶν κεφαλῶν αὐτῶν, σὺν τῷ
ἱματισμῷ αὐτῶν, καὶ ἐβλήθησαν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιο-
μένην. 22 ἐπειδὴ τὸ πρόσταγμα τοῦ βασιλέως ἤπειγεν καὶ ἡ κάμινος 22
ἐξεκαύθη ὑπὲρ τὸ πρότερον ἑπταπλασίως, καὶ οἱ ἄνδρες οἱ προχειρι-
σθέντες συμποδίσαντες αὐτοὺς καὶ προσαγαγόντες τῇ καμίνῳ ἐνεβά-
λοσαν εἰς αὐτήν. 23 τοὺς μὲν οὖν ἄνδρας τοὺς συμποδίσαντας τοὺς 23
περὶ τὸν Ἀζαρίαν ἐξελθοῦσα ἡ φλὸξ ἐκ τῆς καμίνου ἐνεπύρισε καὶ
ἀπέκτεινεν, αὐτοὶ δὲ συνετηρήθησαν.

24 Οὕτως οὖν προσηύξατο Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαήλ, καὶ 24
ὕμνησαν τῷ κυρίῳ, ὅτε αὐτοὺς ὁ βασιλεὺς προσέταξεν ἐμβληθῆναι εἰς
τὴν κάμινον. 25 στὰς δὲ Ἀζαρίας προσηύξατο οὕτως, καὶ ἀνοίξας τὸ 25
στόμα αὐτοῦ ἐξωμολογεῖτο τῷ κυρίῳ ἅμα τοῖς συνεταίροις αὐτοῦ ἐν
μέσῳ τῷ πυρί, ὑποκαιομένης τῆς καμίνου ὑπὸ τῶν Χαλδαίων σφόδρα.
καὶ εἶπαν 26 Εὐλογητὸς εἶ, Κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν 26
καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, 27 ὅτι δίκαιος εἶ ἐπὶ 27
πᾶσιν οἷς ἐποίησας ἡμῖν, καὶ πάντα τὰ ἔργα σου ἀληθινὰ καὶ αἱ ὁδοί

Syr 15 εμβηθησεσθε 87 16 ΕΠΙΤΑΓΗ Syr^mg 17 + εν ουρανοις εις κυριος 87 Syr | ※ της καιομενης 87 Syr 18 ※ βασιλευ 87 Syr | om ου Syr 19 ※ Σεδρ. Μισ. και Αβδ. Syr 20 ※ τον Σεδρ. Μισ. (+ και Syr) Αβδ. 87 Syr 21 εχοντες τα υποδηματα αυτων] σ' εν τοις υποδημασιν (? ταις αναξυρισιν cf Hieron) αυτων Syr^mg | ※ του πυρος την καιομενην 87^vid (deest ↙) του πυρ. ※ την καιομ. Syr 22 επειδη...ηπειγεν] σ' δια το ρημα του βασ. απαρακλητον ειναι Syr^mg 23 om μεν Syr | εξελθουσα] λ sup ras 87 24 προσηυξαντο Syr | εμβληθηναι] εμβαλειν Syr^vid 26 αινετος Syr

τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην· καὶ τίς ἐστιν θεὸς ὃς ἐξε- B
16 λεῖται ὑμᾶς ἐκ χειρός μου; [16]καὶ ἀπεκρίθησαν Σεδράχ, Μεισάχ,
Ἀβδεναγώ, λέγοντες τῷ βασιλεῖ Ναβουχοδονοσόρ Οὐ χρείαν ἔχομεν
17 ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι. [17]ἔστιν γὰρ θεός,
ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ
πυρὸς τῆς καιομένης· καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς.
18 [18]καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ
19 λατρεύομεν καὶ τῇ εἰκόνι ᾗ ἔστησας οὐ προσκυνοῦμεν. [19]τότε Να-
βουχοδονοσὸρ ἐπλήσθη θυμοῦ, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ
ἠλλοιώθη ἐπὶ Σεδράχ, Μεισάχ, καὶ Ἀβδεναγώ, καὶ εἶπεν ἐκκαῦσαι
20 τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ. [20]καὶ ἄνδρας
ἰσχυροὺς ἰσχύι εἶπεν πεδήσαντας τὸν Σεδράχ, Μεισάχ, καὶ Ἀβδε-
21 ναγώ, ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. [21]τότε
οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν καὶ τιά-
ραις καὶ περικνημῖσι, καὶ ἐβλήθησαν εἰς τὸ μέσον τῆς καμίνου
22 τοῦ πυρὸς τῆς καιομένης, [22]ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυεν·
23 καὶ ἡ κάμινος ἐξεκαύθη ἐκ περισσοῦ. [23]καὶ οἱ τρεῖς οὗτοι, Σεδράχ,
Μεισάχ, καὶ Ἀβδεναγώ, ἔπεσον εἰς μέσον τῆς καμίνου τῆς καιομένης
πεπεδημένοι.

24 [24]Καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς ὑμνοῦντες τὸν θεὸν καὶ
25 εὐλογοῦντες τὸν κύριον. [25]καὶ συνστὰς Ἀζαρίας προσηύξατο οὕτως
26 καὶ ἀνοίξας τὸ στόμα ἑαυτοῦ ἐν μέσῳ τοῦ πυρὸς εἶπεν [26]Εὐλογητὸς
εἶ, Κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετός, καὶ δεδοξασμένον τὸ
27 ὄνομά σου εἰς τοὺς αἰῶνας. [27]ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας,
καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ

15 θεος] pr ο AQ | ος] ο Q* (ς superscr Q[a]) | χειρος] των χειρων A AQ
17 θεος] + ημων εν ουρανοις B[ab mg] ο θς ημων εν ουνοις A | λατρευομεν ημεις Q | εκ της καμινου...ρυσεται ημας] εκ της χειρος σου· και εκ της καμινου του πυρος της καιομενης ρυσεται ημας Q | των χειρων] της χειρος A 18 εστω] εσται Q | εικονι] + τη χρυση AQ 19 Ναβουχοδονοσορ] + ο βασιλευς A | οψις] ορασις Q | om και 2° AQ | om ου A | εκκαη] εκκαυθη Q 20 om και 2° Q 21 τοτε] οτε A | περικνημισι (-μεσι BQ* -μισι B[?])] + και ενδυμασιν αυτων A | εμβληθησαν (sic) A | το μεσον] om το AQ 22 υπερισχυσεν AQ | καμινος] + του πυρος Q | περισσου] + και τους ανδρας εκεινους τους βαλλοντας Σεδρακ Μισακ Αβδεναγω απεκτεινεν η φλοξ του πυρος A 23 om και 2° AQ | καμινου] + του πυρος AQ 25 συστας B[?]AQ | εαυτου] αυτου B[ab] AQ 26 αινετον A | δεδοξασμενον το ονομα σου] δεδοξασμενος Q 27 εποιησας] + ημιν AQ

87 σου εὐθεῖαι καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθιναί. [28]καὶ κρίματα ἀληθείας 28
ἐποίησας κατὰ πάντα ἃ ἐπήγαγες ἡμῖν καὶ ἐπὶ τὴν πόλιν σου τὴν
ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἰερουσαλήμ· διότι ἐν ἀληθείᾳ καὶ
κρίσει ἐποίησας πάντα ταῦτα διὰ τὰς ἁμαρτίας ἡμῶν. [29]ὅτι ἡμάρτομεν 29
ἐν πᾶσι καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ καὶ ἐξημάρτομεν ἐν
πᾶσι· [30]καὶ τῶν ἐντολῶν τοῦ νόμου σου οὐχ ὑπηκούσαμεν οὐδὲ 30
συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν ἵνα εὖ ἡμῖν γέ-
νηται. [31]καὶ νῦν πάντα ὅσα ἡμῖν ἐπήγαγες καὶ πάντα ὅσα ἐποίησας 31
ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας, [32]καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας 32
ἐχθρῶν ἡμῶν ἀνόμων καὶ ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ
πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. [33]καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι 33
τὸ στόμα· αἰσχύνη καὶ ὄνειδος ἐγενήθη τῶν δούλων σου καὶ τῶν σεβο-
μένων σε. [34]μὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου, καὶ μὴ 34
διασκεδάσῃς σου τὴν διαθήκην. [35]καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου 35
ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ καὶ διὰ Ἰσαὰκ τὸν
δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἅγιόν σου· [36]ὡς ἐλάλησας πρὸς αὐτοὺς 36
λέγων πολυπληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ
πλήθει καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. [37]ὅτι, 37
δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καί ἐσμεν ταπεινοὶ
ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν· [38]καὶ οὐκ ἔστιν ἐν 38
τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης οὐδὲ ἡγούμενος, οὐδὲ ὁλοκαύ-
τωσις οὐδὲ θυσία οὐδὲ προσφορὰ οὐδὲ θυμίαμα, οὐδὲ τόπος τοῦ
καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος. [39]ἀλλ' ἐν ψυχῇ συντετριμ- 39
μένῃ καὶ πνεύματι τεταπεινωμένῳ προσδεχθείημεν· [40]ὡς ἐν ὁλοκαυ- 40
τώμασι κριῶν καὶ ταύρων καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτω
γενέσθω ἡμῶν ἡ θυσία ἐνώπιόν σου σήμερον καὶ ἐξιλάσαι ὄπισθέν
σου, ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί, καὶ τελειῶσαι
ὄπισθέν σου. [41]καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ ἡμῶν καὶ 41
φοβούμεθά σε καὶ ζητοῦμεν τὸ πρόσωπόν σου. [42]μὴ καταισχύνῃς 42
ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν ἔλεος κατὰ τὴν ἐπιείκειάν σου καὶ
κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, [43]καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά 43

Syr **27** αληθιναι] αληθεια Syr^{txt} (-θιναι Syr^{mg}) **31** post και 2° ras aliq 87? **32** και 4°] κ sup ras 87? **33** τοις δουλοις σου κ. τοις σεβομενοις σε Syr **35** υπο] απο 87* (corr υπο) | om δια 2° Syr^{txt} (hab Syr^{mg}) | αγιον] λαον Syr^{txt} (αγιον Syr^{mg}) **36** πολυπληθυναι] πολὺ πλ. 87 θʹ ※ πολυ ↙ πλ. Syr | θʹ ※ τω πληθει Syr **39** τεταπεινωμενω] τ 2° sup ras 87 θʹ ταπεινωσεως Syr^{mg} **40** και εξιλασαι] θʹ και εκτελεσαι Syr^{mg} | + (÷ 87) και τελειωσαι οπισθεν σου 87 Syr **41** θʹ ※ ημων Syr **42** ※ (om 87) ελεος 87 et (sub θʹ) Syr

28 κρίσεις σου ἀλήθεια. 28 καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα ἃ B
ἐπήγαγες ἡμῖν καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν
Ἰερουσαλήμ· ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες πάντα ταῦτα διὰ
29 τὰς ἁμαρτίας ἡμῶν. 29 ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ
30 σοῦ, καὶ ἐξημάρτομεν ἐν πᾶσιν· 30 καὶ τῶν ἐντολῶν σου οὐκ ἠκού-
σαμεν οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν
31 ἵνα εὖ ἡμῖν γένηται. 31 καὶ πάντα ὅσα ἡμῖν ἐπήγαγες καὶ πάντα
32 ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας. 32 καὶ παρέδωκας
ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων καὶ ἐχθίστων ἀποστατῶν, καὶ
33 βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. 33 καὶ νῦν
οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα ἡμῶν· αἰσχύνη καὶ ὄνειδος ἐγε-
34 νήθη τοῖς δούλοις σου καὶ τοῖς σεβομένοις σε. 34 μὴ δὴ παραδοῖς
ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην
35 σου, 35 καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, δι' Ἀβραὰμ τὸν
ἠγαπημένον ὑπὸ σοῦ καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ
36 τὸν ἅγιόν σου, 36 οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ
ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θα-
37 λάσσης. 37 ὅτι, δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καί
§ἐσμεν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν. § Γ
38 38 καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγού-
μενος, οὐδὲ ὁλοκαύτωσις οὐδὲ θυσία οὐδὲ προσφορὰ οὐδὲ θυμίαμα,
39 οὐ τόπος τοῦ καρπῶσαι ἐναντίον σου καὶ εὑρεῖν ἔλεος. 39 ἀλλ' ἐν
ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν·
40 40 ὡς ἐν ὁλοκαυτώσει κριῶν καὶ ταύρων καὶ ἐν μυριάσιν ἀρνῶν πιό-
νων, οὕτως γενέσθω θυσία ἡμῶν ἐνώπιόν σου σήμερον καὶ ἐκτε-
λέσαι ὄπισθέν σου, ὅτι οὐκ ἔσται αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί.
41 41 καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε καὶ
42 ζητοῦμεν τὸ πρόσωπόν σου. 42 μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποί-
ησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου καὶ κατὰ τὸ πλῆθος τοῦ
43 ἐλέους σου. 43 καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς

27 κρισις B* (κρεισ.) A | αληθεια (-θια B* -θεια B^ab)] αληθιναι Q **28** α-γιαν] + σου A | επηγαγες 2°] επηγαγας Q | ταυτα παντα AQ **29** απο-στηναι] αποσταντες AQ **30** ημιν 1°] υμιν A **31** om και παντα οσα ημιν επηγαγες AQ* (hab Q^mg) **32** χειρας] χειρα B^b? | om και 2° AQ **33** om ημων A¹Q **34** παραδως AQ **35** δι] δια AQ | om δια Q **36** ελαλησας] + προς αυτους A **38** και 2°] ουδε Q | και 3°] ουδε Q | ουδε quater] ουτε Q | ολοκαυτωμα Q* (-τωσις Q^mg) | om ουδε προσφορα ουδε θυμιαμα A* (hab ουδε προσφορ' (sic) ουδε θ. A^a?(mg)) | ου] ουδε B^ab | εναντιον] ενωπιον A **40** ολοκαυτωσει] ολοκαυτωμασιν AQ | και 2°] + ως AΓ | ουτω Q^a | θυσια] pr η QΓ | οπισθεν] οπισω Q | εσται] εστιν AQ **42** επιεικιαν AQ* (-κειαν Q^a) AQΓ

87 *σου καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε· [44]καὶ ἐντραπείησαν πάντες* 44
οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακά, καὶ καταισχυνθείησαν ἀπὸ
πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη· [45]γνώτωσαν ὅτι σὺ 45
εἶ μόνος Κύριος ὁ θεὸς καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.

[46]*Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως* 46
καίοντες τὴν κάμινον. καὶ ἡνίκα ἐνεβάλοσαν τοὺς τρεῖς εἰς ἅπαξ εἰς
τὴν κάμινον, καὶ ἡ κάμινος ἦν διάπυρος κατὰ τὴν θερμασίαν αὐτῆς
ἑπταπλασίως· καὶ ὅτε αὐτοὺς ἐνεβάλοσαν, οἱ μὲν ἐμβάλλοντες αὐτοὺς
ἦσαν ὑπεράνω αὐτῶν, οἱ δὲ ὑπέκαιον ὑποκάτωθεν αὐτῶν νάφθαν καὶ
στιππύον καὶ πίσσαν καὶ κληματίδα. [47]καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς 47
καμίνου ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα, [48]καὶ διεξώδευσε καὶ ἐνεπύρι- 48
σεν οὓς εὗρεν περὶ τὴν κάμινον τῶν Χαλδαίων. [49]ἄγγελος δὲ Κυρίου 49
συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον καὶ ἐξετίναξε τὴν
φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου, [50]καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου 50
ὡσεὶ πνεῦμα δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν καθόλου τὸ
πῦρ, καὶ οὐκ ἐλύπησε καὶ οὐ παρηνώχλησεν αὐτούς. [51]Ἀναλα- 51
βόντες δὲ οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ ἐδόξαζον καὶ
εὐλόγουν καὶ ἐξύψουν τὸν θεὸν ἐν τῇ καμίνῳ λέγοντες

[52]*Εὐλογητὸς εἶ, Κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν,* 52
καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας·
καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον,
καὶ ὑπεραινετὸν καὶ ὑπερυψωμένον εἰς πάντας τοὺς αἰῶνας.
[53]*εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου,* 53
καὶ ὑπερυμνητὸς καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας.
[54]*εὐλογητὸς εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου,* 54
καὶ ὑμνητὸς καὶ ὑπερυψωμένος εἰς τοὺς αἰῶνας.
[55]*εὐλογητὸς εἶ ὁ βλέπων ἀβύσσους, καθήμενος ἐπὶ χερουβίμ,* 55
καὶ αἰνετὸς καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.
[56]*εὐλογητὸς εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ,* 56
καὶ ὑμνητὸς καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.
[57]*εὐλογεῖτε, πάντα τὰ ἔργα τοῦ κυρίου, τὸν κύριον·* 57
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Syr **44** *τοις δουλοις*] pr *εν* Syr **46** om *και ου διελιπον…καιοντες την καμινον* Syr^{txt} (hab Syr^{mg} (c *εμβαλοντες*)) | *ενεβαλοσαν* 1°] *ενεβαλλον* Syr | *εμβαλοντες* (2°) Syr | *στιπυον* 87 **47** *δεηχειτο* 87^{ed} *διηχ.* in notis (*διεχ.* Syr) **50** ΔΙΑϹΥΡΙΖΟΝ Syr^{mg} **51** *αναλ. δε*] *θ' τοτε* Syr^{mg} | + *και εξυψουν* 87 Syr **52** *αινετος κ. υψουμενος* Syr^{vid} **54** *θ'* ※ *δοξης* Syr | *και υμνητος*] *θ' κ. υπερυμνητος* Syr^{mg} **55** *ευλογητος ει*] *θ' ευλογημενος ει* Syr^{mg} | *ο βλεπων*] *θ' ο επιβλεπων* Syr^{mg} | *δεδοξασμενος*] *θ' υπερυψουμενος* Syr^{mg} **56** ※ *του ουρανου* 87 (deest ✓) Syr

44 δόξαν τῷ ὀνόματί σου, Κύριε. [44]καὶ ἐντραπείησαν πάντες οἱ ἐνδει- B
κνύμενοι τοῖς δούλοις σου κακά, καὶ καταισχυνθείησαν ἀπὸ πάσης
45 τῆς δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη, [45]γνώτωσαν ὅτι σὺ
εἶ Κύριος θεὸς μόνος καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.

46 [46]Καὶ οὐ διέλειπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως
καίοντες τὴν κάμινον νάφθαν καὶ πίσσαν καὶ στιππύον καὶ κλημα-
47 τίδα. [47]καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσε-
48 ράκοντα ἐννέα, [48]καὶ διώδευσεν καὶ ἐνεπύρισεν οὓς εὗρεν περὶ τὴν
49 κάμινον τῶν Χαλδαίων. [49]ὁ δὲ ἄγγελος Κυρίου συνκατέβη ἅμα
τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξεν τὴν φλόγα
50 τοῦ πυρὸς ἐκ τῆς καμίνου, [50]καὶ ἐποίησεν τὸ μέσον τῆς καμίνου ὡς
πνεῦμα δρόσου διασυρίζον· καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ
51 πῦρ, καὶ οὐκ ἐλύπησεν οὐδὲ παρηνώχλησεν αὐτοῖς. [51]Τότε οἱ
τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ ἐδόξαζον καὶ εὐλόγουν τὸν
θεὸν ἐν τῇ καμίνῳ λέγοντες

52 [52]Εὐλογητὸς εἶ, Κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν,
καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας·
καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον,
καὶ ὑπεραινετὸν καὶ ὑπερυψούμενον¶ εἰς πάντας τοὺς αἰῶνας. ¶Γ
53 [53]εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου,
καὶ ὑπερυμνητὸς καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας.
54 [54]εὐλογημένος εἶ ὁ ἐπιβλέπων ἀβύσσους, καθήμενος ἐπὶ χερου-
βείν,
καὶ αἰνετὸς καὶ ὑπερυψωμένος εἰς τοὺς αἰῶνας.
55 [55]εὐλογημένος εἶ ἐπὶ θρόνου τῆς βασιλείας σου,
καὶ ὑπερυμνητὸς καὶ ὑπερυψωμένος εἰς τοὺς αἰῶνας.
56 [56]εὐλογητὸς εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ,
καὶ ὑμνητὸς καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.
57 [57]εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου¶ τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

44 της δυναστειας] δυναμεως και δυναστειας A om της Q 45 γνωτωσαν] AQΓ pr και QΓ | κ̅ς̅ ο θ̅ς̅ AQ ο [κ̅ς̅ θ̅ς̅] Γ[vid] 46 διελιπον B[b] | εμβαλοντες Q | στυππειον Q[a] σ[τιπ]πιον Γ[vid] | κληματιδα] pr [τη]ν Γ[vid] κληματιδας AQ 47 διηχειτο A | τεσσαρακοντα B[b] 49 συγκατεβη Q | om εκ της καμινου Q* (hab Q[mg]) 50 αυτοις] αυτους Γ 51 ηυλογουν A 52 υπερυψωμενος B[ab] | υπεραινετον] αινετον Q* (υπεραιν. Q[mg]) | υπερυψωμενον B[ab] | om παντας AQ 53 δοξης] pr της Q* (improb Q?) | υμνητος Q* (υπερυμνητος Q[mg]) 54 επιβλεπων] βλεπων AQ | χερουβειν (-βειμ AQ)] pr των A | αινετος] υπεραινετος A | υπερυψουμενος B[ab]AQ: item 55 56 ευλογητος] ευλογημενος A | υμνητος] υπερυμνητος A

87 58 εὐλογεῖτε, ἄγγελοι Κυρίου, τὸν κύριον· 58
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
59 εὐλογεῖτε, οὐρανοί, τὸν κύριον· 59
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
60 εὐλογεῖτε, ὕδατα καὶ πάντα τὰ ἐπάνω τοῦ οὐρανοῦ, τὸν κύριον· 60
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
61 εὐλογεῖτε, πᾶσαι αἱ δυνάμεις Κυρίου, τὸν κύριον· 61
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
62 εὐλογεῖτε, ἥλιος καὶ σελήνη, τὸν κύριον· 62
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
63 εὐλογεῖτε, ἄστρα τοῦ οὐρανοῦ, τὸν κύριον· 63
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
64 εὐλογεῖτε, πᾶς ὄμβρος καὶ δρόσος, τὸν κύριον· 64
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
65 εὐλογεῖτε, πάντα τὰ πνεύματα, τὸν κύριον· 65
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
66 εὐλογεῖτε, πῦρ καὶ καῦμα, τὸν κύριον· 66
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
67 εὐλογεῖτε, ῥῖγος καὶ ψῦχος, τὸν κύριον· 67
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
68 εὐλογεῖτε, δρόσοι καὶ νιφετοί, τὸν κύριον· 68
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
69 εὐλογεῖτε, πάγοι καὶ ψῦχος, τὸν κύριον· 69
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
70 εὐλογεῖτε, πάχναι καὶ χιόνες, τὸν κύριον· 70
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
71 εὐλογεῖτε, νύκτες καὶ ἡμέραι, τὸν κύριον· 71
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
72 εὐλογεῖτε, φῶς καὶ σκότος, τὸν κύριον· 72
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
73 εὐλογεῖτε, ἀστραπαὶ καὶ νεφέλαι, τὸν κύριον· 73
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
74 εὐλογείτω ἡ γῆ τὸν κύριον· 74
ὑμνείτω καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.
75 εὐλογεῖτε, ὄρη καὶ βουνοί, τὸν κύριον· 75
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Syr **58** om Κυριου Syr **60** om και 1° 87* (superscr corr) hab sub θ' ※ Syr **62** ※ ευλογειτε...εις τους αιωνας Syr **67** ριγος και ψυχος] θ' ψυχος κ. καυμα Syr^mg **70** παχνη Syr (mg ΠΑΧΝΗ)

59 [59]εὐλογεῖτε, οὐρανοί, τὸν κύριον· B
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
58 [58]εὐλογεῖτε, ἄγγελοι Κυρίου, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
60 [60]εὐλογεῖτε, ὕδατα καὶ πάντα τὰ ἐπάνω τοῦ οὐρανοῦ, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
61 [61]εὐλογείτω πᾶσα ἡ δύναμις τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
62 [62]εὐλογεῖτε, ἥλιος καὶ σελήνη, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
63 [63]εὐλογεῖτε, ἄστρα τοῦ οὐρανοῦ, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
64 [64]εὐλογείτω πᾶς ὄμβρος καὶ δρόσος τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
65 [65]εὐλογεῖτε, πάντα τὰ πνεύματα, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
66 [66]εὐλογεῖτε, πῦρ καὶ καῦμα, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
71 [71]εὐλογεῖτε, νύκτες καὶ ἡμέραι, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
72 [72]εὐλογεῖτε, φῶς καὶ σκότος, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
69 [69]εὐλογεῖτε, ψῦχος καὶ καῦμα, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
70 [70]εὐλογεῖτε, πάχνη καὶ χιόνες, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
73 [73]εὐλογεῖτε, ἀστραπαὶ καὶ νεφέλαι, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
74 [74]εὐλογείτω ἡ γῆ τὸν κύριον·
ὑμνείτω καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.
75 [75]εὐλογεῖτε, ὄρη καὶ βουνοί, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

60 om και 1° AQ **61** ευλογειτε AQ | πασαι αι δυναμεις $\overline{κυ}$ AQ AQ
64 ευλογειτε AQ **66** αιωνας] + (67) ευλογειτε ψυχος και καυσων τον $\overline{κν}$· υμνειτε και υπερυψουται αυτον εις τους αιωνας. (68) ευλογειτε δροσοι και νιφετοι τον $\overline{κν}$· υμνειτε και υπερυψουται αυτον εις τους αιωνας A **69** ευλογει Q* (-γειτε Q[a]) | ψυχος κ. καυμα] παγος και ψυχος A **70** παχναι AQ | χιονες] χ sup ras ut vid B[ab] **73, 74** ordinem transpos A

87 [76]εὐλογεῖτε, πάντα τὰ φυόμενα ἐπὶ τῆς γῆς, τὸν κύριον· 76
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[77]εὐλογεῖτε, ὄμβροι καὶ αἱ πηγαί, τὸν κύριον, 77
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[78]εὐλογεῖτε, θάλασσαι καὶ ποταμοί, τὸν κύριον· 78
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[79]εὐλογεῖτε, κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι, τὸν κύριον· 79
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[80]εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὸν κύριον· 80
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[81]εὐλογεῖτε, τετράποδα καὶ θηρία τῆς γῆς, τὸν κύριον· 81
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[82]εὐλογεῖτε, οἱ υἱοὶ τῶν ἀνθρώπων, τὸν κύριον· 82
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[83]εὐλογεῖτε, Ἰσραήλ, τὸν κύριον· 83
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[84]εὐλογεῖτε, ἱερεῖς, τὸν κύριον· 84
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[85]εὐλογεῖτε, δοῦλοι, τὸν κύριον· 85
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[86]εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ δικαίων, τὸν κύριον· 86
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[87]εὐλογεῖτε, ὅσιοι καὶ ταπεινοὶ καρδίᾳ, τὸν κύριον· 87
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[88]εὐλογεῖτε, Ἀνανία, Ἀζαρία, Μισαήλ, τὸν κύριον· 88
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας·
ὅτι ἐξείλετο ἡμᾶς ἐξ ᾅδου, καὶ ἔσωσεν ἡμᾶς ἐκ χειρὸς θανάτου,
καὶ ἐρρύσατο ἡμᾶς ἐκ μέσου καιομένης φλογός,
καὶ ἐκ τοῦ πυρὸς ἐλυτρώσατο ἡμᾶς.
[89]ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός, 89
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
[90]εὐλογεῖτε, πάντες οἱ σεβόμενοι τὸν κύριον, τὸν θεὸν τῶν θεῶν· 90
ὑμνεῖτε καὶ ἐξομολογεῖσθε·
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ εἰς τὸν αἰῶνα τῶν αἰώνων.

Syr 76 *επι της γης*] θ' *εν τη γη* Syr^{mg} 77 θ' ※ *ομβροι και* Syr 80 om *παντα* Syr^{txt} (hab sub θ' Syr^{mg}) 81 *τετραποδα*] pr (sub θ') *παντα τα θηρια και τα κτηνη* 87^{mg} Syr^{mg} 83 *ευλογει* Syr 84 *ιερεις*] + *δουλοι Κυριου* 87^{mg} Syr^{mg} 88 *τους αιωνας*] *τον αιωνα* Syr | *και εκ του πυρος*] (θ') *και εκ μεσου πυρος* Syr^{mg} 90 θ' ※ *τον κυριον* Syr | *οτι εις τον αιωνα*] θ' *οτι εις παντας τους αιωνας* Syr^{mg} | + *και εις τον αιωνα* (superscr ÷ 87) *των αιωνων* 87 Syr

76 [76]εὐλογεῖτε, πάντα τὰ φυόμενα ἐν τῇ γῇ, τὸν κύριον· B
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
78 [78]εὐλογεῖτε, θάλασσαι καὶ ποταμοί, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
77 [77]εὐλογεῖτε, αἱ πηγαί, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
79 [79]εὐλογεῖτε, κήτη καὶ πάντα τὰ κινούμενα ἐν ὕδασιν, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
80 [80]εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
81 [81]εὐλογεῖτε, πάντα τὰ θηρία καὶ τὰ κτήνη, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
82 [82]εὐλογεῖτε, οἱ υἱοὶ τῶν ἀνθρώπων, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
83 [83]εὐλογεῖτε, Ἰσραήλ, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
84 [84]εὐλογεῖτε, ἱερεῖς, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
85 [85]εὐλογεῖτε, δοῦλοι, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
86 [86]εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ δικαίων, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
87 [87]εὐλογεῖτε, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
88 [88]εὐλογεῖτε, Ἀνανία, Ἀζαρία, Μεισαήλ, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας·
ὅτι ἐξείλατο ἡμᾶς ἐξ ᾅδου, καὶ ἐκ χειρὸς θανάτου ἔσωσεν ἡμᾶς,
καὶ ἐρύσατο ἡμᾶς ἐκ μέσου καμίνου καιομένης φλογός,
καὶ ἐκ μέσου πυρὸς ἐρύσατο ἡμᾶς.
89 [89]ἐξομολογεῖσθε τῷ κυρίῳ,
ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
90 [90]εὐλογεῖτε, πάντες οἱ σεβόμενοι τὸν κύριον, τὸν θεὸν τῶν θεῶν·
ὑμνεῖτε καὶ ἐξομολογεῖσθε·
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

79 *κεινουμε* sup ras B[1fort] | *υδασιν* (-*σι* B[b]Q)] pr *τοις* AQ **81** om *παντα* AQ A | *τα κτηνη*] pr *παντα* A **82** *οι υιοι*] om *οι* AQ **83** *ευλογειτω* AQ | *υμνειτω και υπερυψουτω* Q **84** *ιερεις*] + $\overline{\kappa\upsilon}$ AQ **85** *δουλοι*] + $\overline{\kappa\upsilon}$ AQ **87** *τη καρδια*] om *τη* AQ **88** *Μισαηλ* B[b]AQ | *εξειλετο* Q[a] | *ερρυσατο* bis B[ab]: 1°, A | *μεσου καμινου*] *καμεινου μεσης* A om *καμιν.* Q | *πυρος*] pr *του* Q | *ερυσατο* 2°] *εσωσεν* Q **90** *τον κυριον*] om *τον* Q

87 [91]Καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαι τὸν βασιλέα ὑμνούντων αὐ- 91 (24)
τῶν καὶ ἑστὼς ἐθεώρει αὐτοὺς ζῶντας· τότε Ναβουχοδονοσὸρ
ὁ βασιλεὺς ἐθαύμασε, καὶ ἀνέστη σπεύσας καὶ εἶπεν τοῖς φί-
λοις αὐτοῦ Οὐχὶ ἄνδρας τρεῖς ἐβάλομεν εἰς μέσον τοῦ πυρὸς
πεπεδημένους; καὶ εἶπον τῷ βασιλεῖ Ἀληθῶς, βασιλεῦ. [92]καὶ 92 (25)
εἶπεν ὁ βασιλεύς Ἰδοὺ ἐγὼ ὁρῶ ἄνδρας τέσσαρας λελυμένους
περιπατοῦντας ἐν τῷ πυρί, καὶ φθορὰ οὐδεμία ἐγενήθη ἐν αὐ-
τοῖς, καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοίωμα ἀγγέλου θεοῦ. [93]καὶ 93 (26)
προσελθὼν ὁ βασιλεὺς πρὸς τὴν θύραν τῆς καμίνου καιομένης
τῷ πυρὶ ἐκάλεσεν αὐτοὺς ἐξ ὀνόματος Σεδράχ, Μισάχ, Ἀβδε-
ναγώ, οἱ παῖδες τοῦ θεοῦ τῶν θεῶν τοῦ ὑψίστου, ἐξέλθετε ἐκ
τοῦ πυρός. οὕτως οὖν ἐξῆλθον οἱ ἄνδρες ἐκ μέσου τοῦ πυρός.
[94]καὶ συνήχθησαν οἱ ὕπατοι, τοπάρχαι, καὶ ἀρχιπατριῶται, καὶ 94 (27)
οἱ φίλοι τοῦ βασιλέως, καὶ ἐθεώρουν τοὺς ἀνθρώπους ἐκείνους,
ὅτι οὐχ ἥψατο τὸ πῦρ τοῦ σώματος αὐτῶν, καὶ αἱ τρίχες αὐτῶν
οὐ κατεκάησαν καὶ τὰ σαράβαρα αὐτῶν οὐκ ἠλλοιώθησαν, οὐδὲ
ὀσμὴ τοῦ πυρὸς ἦν ἐν αὐτοῖς. [95]ὑπολαβὼν δὲ Ναβουχοδονοσὸρ 95 (28)
ὁ βασιλεὺς εἶπεν Εὐλογητὸς Κύριος τοῦ Σεδράχ, Μισάχ, Ἀβδε-
ναγώ, ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ καὶ ἔσωσε τοὺς παῖδας
αὐτοῦ τοὺς ἐλπίσαντας ἐπ' αὐτόν· τὴν γὰρ προσταγὴν τοῦ βα-
σιλέως ἠθέτησαν καὶ παρέδωκαν τὰ σώματα αὐτῶν εἰς ἐμπυ-
ρισμόν, ἵνα μὴ λατρεύσωσι μηδὲ προσκυνήσωσι θεῷ ἑτέρῳ
ἀλλ' ἢ τῷ θεῷ αὐτῶν. [96]καὶ νῦν ἐγὼ κρίνω ἵνα πᾶν ἔθνος καὶ 96 (29)
πᾶσαι φυλαὶ καὶ πᾶσαι γλῶσσαι, ὃς ἂν βλασφημήσῃ εἰς τὸν
κύριον τὸν θεὸν Σεδράχ, Μισάχ, Ἀβδεναγώ, διαμελισθήσεται
καὶ ἡ οἰκία αὐτοῦ δημευθήσεται· διότι οὐκ ἔστιν θεὸς ἕτερος ὃς
δυνήσεται ἐξελέσθαι οὕτως. [97]οὕτως οὖν ὁ βασιλεὺς τῷ Σεδράχ, 97 (30)
Μισάχ, Ἀβδεναγώ, ἐξουσίαν δοὺς ἐφ' ὅλης τῆς χώρας κατέστησεν
αὐτοὺς ἄρχοντας.

Syr **91** ÷ και εγενετο (εγε| ÷ |νετο 87) εν τω ακουσαι τον βασιλεα (÷ 87) υμνουντων αυτων (÷ 87) και εστως εθεωρει αυτους ζωντας 87 Syr | τοις φιλοις] θ' τω οδηγω (sic) Syr[mg] **91—92** ※ (pr •/• 87) ουχι ανδρας...και ειπεν ο βασιλευς 87 Syr **92** περιπατουντας] pr και Syr | αγγελου] υιου Syr[mg] **93** εξ ονοματος] εξ ονοματων αυτων Syr | του θεου] bis scr Syr* (improb 2°) | ουτως] τοτε Syr[vid] **94** και τα σαραβαρα αυτων ουκ] σ'θ' ουδε τα υποδηματα (? τας αναξυριδας) αυτων Syr[mg] **95** Κυριος] + ο θεος Syr | Αβδεναγω] pr και Syr : item 96 | τους ελπισαντας...ηθετησαν] σ' οτι πεποιθοτες επ αυτον το ρημα το βασιλικον ηθετ. Syr[mg] | τα σωματα] το σωμα Syr | ÷ εις εμπυρισμον 87 (εμ|πυ ÷ ρισμ.) Syr **96—97** ουτως | × | ουτως 87 **97** ουτως ουν...κατεστησεν αυτ. αρχοντας] σ' ουτως εκ τουτου ο β. εν προαγωγη εποιησε Σ. Μ. Α....Syr[mg]

(24) 91 [91]Καὶ Ναβουχοδονοσὸρ ἤκουσεν ὑμνούντων αὐτῶν καὶ ἐθαύ- B
μασεν, καὶ ἐξανέστη ἐν σπουδῇ καὶ εἶπεν τοῖς μεγιστᾶσιν αὐτοῦ
Οὐχὶ ἄνδρας τρεῖς ἐβάλομεν εἰς μέσον τοῦ πυρὸς πεπεδημένους;
(25) 92 καὶ εἶπαν τῷ βασιλεῖ Ἀληθῶς, βασιλεῦ. [92]Ὧδε ἐγὼ ὁρῶ ἄνδρας
τέσσαρες λελυμένους καὶ περιπατοῦντας ἐν μέσῳ τοῦ πυρός, καὶ
διαφθορὰ οὐκ ἔστιν ἐν αὐτοῖς, καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία
(26) 93 υἱῷ θεοῦ. [93]τότε προσῆλθεν Ναβουχοδονοσὸρ πρὸς τὴν θύραν τῆς
καμίνου τοῦ πυρὸς τῆς καιομένης καὶ εἶπεν Σεδράχ, Μεισάχ,
Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ δεῦτε.
καὶ ἐξῆλθον Σεδράχ, Μεισάχ, Ἀβδεναγώ, ἐκ μέσου τοῦ πυρός.
(27) 94 [94]καὶ συνάγονται οἱ σατράπαι καὶ οἱ στρατηγοὶ καὶ οἱ τοπάρχαι
καὶ οἱ δυνάσται τοῦ βασιλέως, καὶ ἐθεώρουν τοὺς ἄνδρας ὅτι οὐκ
ἐκυρίευσεν τὸ πῦρ τοῦ σώματος αὐτῶν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς
αὐτῶν οὐκ ἐφλογίσθη, καὶ τὰ σαράβαρα αὐτῶν οὐκ ἠλλοιώθη, καὶ
(28) 95 ὀσμὴ πυρὸς οὐκ ἦν ἐν αὐτοῖς. [95]καὶ ἀπεκρίθη Ναβουχοδονοσὸρ
καὶ εἶπεν Εὐλογητὸς ὁ θεὸς τοῦ Σεδρὰχ καὶ Μεισὰχ καὶ Ἀβδεναγώ,
ὃς ἀπέστειλεν τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλατο τοὺς παῖδας αὐτοῦ,
ὅτι ἐπεποίθεισαν ἐπ᾽ αὐτῷ· καὶ τὸ ῥῆμα τοῦ βασιλέως ἠλλοίωσαν
καὶ παρέδωκαν τὰ σώματα αὐτῶν εἰς πῦρ, ὅπως μὴ λατρεύσωσιν
(29) 96 μηδὲ προσκυνήσωσιν παντὶ θεῷ ἀλλ᾽ ἢ τῷ θεῷ αὐτῶν. [96]καὶ
ἐγὼ ἐκτίθεμαι τὸ δόγμα Πᾶς λαός, φυλή, γλῶσσα, ἐὰν εἴπῃ
βλασφημίαν κατὰ τοῦ θεοῦ Σεδράχ, Μεισάχ, Ἀβδεναγώ, εἰς
ἀπώλειαν ἔσονται καὶ οἱ οἶκοι αὐτῶν εἰς διαρπαγήν· καθότι
(30) 97 οὐκ ἔστιν θεὸς ἕτερος ὅστις δυνήσεται ῥύσασθαι οὕτως. [97]τότε
ὁ βασιλεὺς κατεύθυνεν τὸν Σεδράχ, Μεισάχ, Ἀβδεναγώ, ἐν τῇ
χώρᾳ Βαβυλῶνος, καὶ ἠξίωσεν αὐτοὺς ἡγεῖσθαι πάντων τῶν
Ἰουδαίων τῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ.

91 τρεις ανδρας Q | εβαλομεν] ενεβαλομεν A   92 οδε] ιδου A ωδε Q pr AQ και ειπεν ο βασιλευς B^{ab}AQ | τεσσαρας B$^{?}$AQ | om εν 2° A   93 Σεδρακ A bis: item 95, 96, 97 | Μισαχ B^{b}Q Μισακ A bis: item 95, 96, 97 | om του υψιστου A | εξελθατε AQ* (-λθετε Q^{a}) | δευτε] + εξω A | εξηλθαν Q* (-λθον Q^{a})   94 αυτοις] + και προσεκυνησεν ο βασιλευς ενωπιον αυτων τω $\overline{κω}$ B$^{ab\ mg\ inf}$AQ   95 om και 3°, 4° AQ | εξειλετο Q$^{*\ salt}$ | λατρευσωσι Q^{a} | om μηδε προσκυνησωσιν (-σι Q^{a}) A   96 εκτιθημι Q | το δογμα] om το AQ | πας] pr οπως Q | εαν] η αν A ος εαν Q* η εαν Q^{mg} | εις διαρπαγην] διαρπαγησονται A | οστις] ος Q   97 ο βασιλευς κατευθυνεν] κατηυθυνεν ο β. A ο β. κατηυθυνεν Q | εν τη χωρα] επι τα εργα της χωρας A | ηξιωσεν] ηυξησεν αυτους και ηξιωσεν B^{b} + και ηξιωσεν αυτους και ηξιωσεν αυτους (sic) A ηυξ. αυτους ϗ ηξιωσεν αυτους Q^{mg} (ηξιωσαν αυτους Q^{txt}) | των 2°] + οντων AQ | βασιλια B* (-λεια B^{ab}) subscr ορασις δ′ A

87 [98]Ναβουχοδονοσὸρ ὁ βασιλεὺς πᾶσι τοῖς λαοῖς, φυλαῖς, καὶ 98 (1) (IV)
γλώσσαις τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ· εἰρήνη ὑμῖν πληθυν-
θείη. [99]τὰ σημεῖα καὶ τὰ τέρατα ἃ ἐποίησεν μετ' ἐμοῦ ὁ θεὸς ὁ 99 (2)
ὕψιστος ἤρεσεν ἐναντίον μου ἀναγγεῖλαι ὑμῖν. [100]ὡς μεγάλα καὶ 100 (3)
ἰσχυρά· ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, ἡ ἐξουσία αὐτοῦ εἰς
γενεὰν καὶ γενεάν. [1]Ἔτους ὀκτωκαιδεκάτου τῆς βασιλείας 1 (4) IV
Ναβουχοδονοσὸρ εἶπεν Εἰρηνεύων ἤμην ἐν τῷ οἴκῳ μου, καὶ εὐ-
θηνῶν ἐπὶ τοῦ θρόνου μου. [2]ἐνύπνιον εἶδον καὶ εὐλαβήθην, καὶ 2 (5)
φόβος μοι ἐπέπεσεν.

[7]ἐπὶ τῆς κοίτης μου ἐκάθευδον, καὶ ἰδοὺ δένδρον ὑψηλὸν 7 (10)
φυόμενον ἐπὶ τῆς γῆς, καὶ ἡ ὅρασις αὐτοῦ μεγάλη, καὶ οὐκ
ἦν ἄλλο ὅμοιον αὐτῷ. [9]οἱ κλάδοι αὐτοῦ τῷ μήκει ὡς σταδίων 9 (12)
τριάκοντα, καὶ ὑποκάτω αὐτοῦ ἐσκίαζον πάντα τὰ θηρία τῆς
γῆς, καὶ ἐν αὐτῷ τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐνόσσευον· ὁ καρ-
πὸς αὐτοῦ πολὺς καὶ ἀγαθός, καὶ ἐχορήγει πᾶσι τοῖς ζῴοις.
[8]καὶ ἡ ὅρασις αὐτοῦ μεγάλη, ἡ κορυφὴ αὐτοῦ ἤγγιζεν ἕως 8 (11)
τοῦ οὐρανοῦ καὶ τὸ κύτος αὐτοῦ ἕως τῶν νεφελῶν, πληροῦν
τὰ ὑποκάτω τοῦ οὐρανοῦ· ὁ ἥλιος καὶ ἡ σελήνη ἦν, ἐν αὐτῷ
ᾤκουν καὶ ἐφώτιζον πᾶσαν τὴν γῆν. [10]ἐθεώρουν ἐν τῷ ὕπνῳ 10 (13)
μου, καὶ ἰδοὺ ἄγγελος ἀπεστάλη ἐν ἰσχύι ἐκ τοῦ οὐρανοῦ,
[11]καὶ ἐφώνησεν καὶ εἶπεν αὐτῷ Ἐκκόψατε αὐτὸ καὶ καταφθεί- 11 (14)
ρατε αὐτό· προστέτακται γὰρ ἀπὸ τοῦ ὑψίστου ἐκριζῶσαι καὶ

Syr **98** Ναβουχοδονοσορ] pr *αρχη της επιστολης* 87^{mg} **98—100** ※ Να-
βουχοδονοσορ...εις γενεαν και γενεαν 87 Syr **100** *ως μεγαλη και ισχυρα·
ως μεγαλα και ισχυρα·* 87 | bis scr *η βασιλεια αυτου* 87 | *εις γενεαν κ. γενεαν*]
α' συν γενεα κ. γενεα σ' εν παση γενεα Syr^{mg} **IV 1** pr *αρχη ενυπνιου
περι του δενδρου* 87^{mg} | ÷ *ετους οκτωκαιδ. της βασ.* 87 (deest ÷) Syr | *ειρη-
νευων*] *σ' εν ησυχια* pr *θ' εγω* Syr^{mg} **7** *θ'* ※ *επι της κοιτης μου*
Syr | om *και* 2° Syr | *ορασις*] *κομη* $Syr^{txt\ vid}$ θρΑCIC Syr^{mg} **8** + *και
η ορασις...ουρανου* 87 (deest ⋖) + *και η ορασις...η σεληνη ην* Syr | om *εν
αυτω ωκουν...την γην* Syr **11** *εκ κριζωσαι* (sic) 87

(IV) (1) 98 [98]Ναβουχοδονοσὸρ ὁ βασιλεὺς πᾶσι τοῖς λαοῖς, φυλαῖς, καὶ B
γλώσσαις τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ Εἰρήνη ὑμῖν πληθυνθείη.
(2) 99 [99]τὰ σημεῖα καὶ τὰ τέρατα ἃ ἐποίησεν μετ' ἐμοῦ ὁ θεὸς ὁ ὕψι-
(3) 100 στος ἤρεσεν ἐναντίον ἐμοῦ ἀναγγεῖλαι ὑμῖν. [100]ὡς μεγάλα καὶ
ἰσχυρά· ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, ἡ ἐξουσία αὐτοῦ εἰς
IV (4) 1 γενεὰν καὶ γενεάν. [1]Ἐγὼ Ναβουχοδονοσὸρ εὐθηνῶν ἤμην
(5) 2 ἐν τῷ οἴκῳ μου καὶ εὐθαλῶν. [2]ἐνύπνιον ἴδον καὶ ἐφοβέρισέν με,
καὶ ἐταράχθην ἐπὶ τῆς κοίτης μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς
(6) 3 μου συνετάραξάν με. [3]καὶ δι' ἐμοῦ ἐτέθη δόγμα τοῦ εἰσαγαγεῖν
ἐνώπιόν μου πάντας τοὺς σοφοὺς Βαβυλῶνος ὅπως τὴν σύγ-
(7) 4 κρισιν τοῦ ἐνυπνίου γνωρίσωσίν μοι. [4]καὶ εἰσεπορεύοντο οἱ
ἐπαοιδοί, μάγοι, γαζαρηνοί, Χαλδαῖοι, καὶ τὸ ἐνύπνιον εἶπα ἐγὼ
ἐνώπιον αὐτῶν· καὶ τὴν σύγκρισιν αὐτοῦ οὐκ ἐγνώρισάν μοι,
(8) 5 [5]ἕως ἦλθεν Δανιήλ, οὗ τὸ ὄνομα Βαλτασὰρ κατὰ τὸ ὄνομα τοῦ
(9) 6 θεοῦ μου, ὃς πνεῦμα θεοῦ ἅγιον ἐν ἑαυτῷ ἔχει. ᾧ εἶπα [6]Βαλ-
τασὰρ ὁ ἄρχων τῶν ἐπαοιδῶν, ὃν ἐγὼ ἔγνων ὅτι πνεῦμα θεοῦ
ἅγιον ἐν σοί, καὶ πᾶν μυστήριον οὐκ ἀδυνατεῖ σε, ἄκουσον τὴν
ὅρασιν τοῦ ἐνυπνίου οὗ εἶδον, καὶ τὴν σύγκρισιν αὐτοῦ εἰπόν
(10) 7 μοι. [7]ἐπὶ τῆς κοίτης μου ἐθεώρουν, καὶ ἰδοὺ δένδρον ἐν μέσῳ
(11) 8 τῆς γῆς, καὶ τὸ ὕψος αὐτοῦ πολύ. [8]ἐμεγαλύνθη τὸ δένδρον καὶ
ἴσχυσεν, καὶ τὸ ὕψος αὐτοῦ ἔφθασεν ἕως τοῦ οὐρανοῦ, καὶ τὸ
(12) 9 κύτος αὐτοῦ εἰς τὸ πέρας ἁπάσης τῆς γῆς· [9]τὰ φύλλα αὐτοῦ
ὡραῖα, καὶ ὁ καρπὸς αὐτοῦ πολύς, καὶ τροφὴ πάντων ἐν αὐτῷ·
καὶ ὑποκάτω αὐτοῦ κατεσκήνουν τὰ θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς
κλάδοις αὐτοῦ κατῴκουν τὰ ὄρνεα τοῦ οὐρανοῦ, καὶ ἐξ αὐτοῦ
(13) 10 ἐτρέφετο πᾶσα σάρξ. [10]ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς ἐπὶ
τῆς κοίτης μου, καὶ ἰδοὺ εἶρ καὶ ἅγιος ἀπ' οὐρανοῦ κατέβη
(14) 11 [11]καὶ ἐφώνησεν ἐν ἰσχύι, καὶ οὕτως εἶπεν Ἐκκόψατε τὸ δέν-
δρον, καὶ ἐκτίλατε τοὺς κλάδους αὐτοῦ καὶ ἐκτινάξατε τὰ φύλλα

98 superscr *ορασις ε'* AQ | *ο βασιλευς*] om *ο* Q | om *και* AQ 100 *η* AQ *εξουσια*] pr *και* AQ | *γενεαν και γενεαν*] *γενεας γενεῶ* | A IV 1 *ευθαλων*] *ευ θαλλων* Q + *επι του θρονου μου* A 2 *ειδον* B^{ab} | *εφοβερισενσεν* B^{*} *εφοβερισε* B^{b} | *συνεταρασσον* Q 3 *μου*] *εμου* Q | om *παντας* Q^{*} (hab Q^{mg}) | *γνωρισωσι* $B^{b}Q^{a}$ 4 *Χαλδαιοι*] pr *και οι* A | *ειπα*] *ειπον* Q | *εγνωρισαν*] *ανηγγειλαν* Q 5 *εως*] + *ου* A | *Βαρτασαρ* A: item 6, 16 bis | *εχει*] + *και το ενυπνιον ενωπιον αυτου* A 6 om *θεου* Q^{*} (superscr Q^{a}) | *σοι*] *εαυτω εχει* A | *αδυνατει*] *αδυνατησει* A | *σε*] *σοι* Q | om *ου ειδον* A | *ιδον* Q | *μοι*] + *και αι ορασεις της κεφαλης μου* Q^{1} (subt lineas) 8 *δενδρον*] + *εκεινο* A | *το περας απασης*] *τα περατα πασης* A *τα περατα* Q 9 *υποκατωθεν* Q | *κατωκει* Q^{*} (*-κουν* Q^{mg}) | *τα θηρια*] pr *παντα* Q | om *και* 5° Q 10 *μου*] + *εγρηγορος* A 11 *κλαδους*] *καρπους* A

87 ἀχρειῶσαι αὐτό. [12]καὶ οὕτως εἶπεν Ῥίζαν μίαν ἄφετε αὐτοῦ 12 (15)
ἐν τῇ γῇ, ὅπως μετὰ τῶν θηρίων τῆς γῆς ἐν τοῖς ὄρεσι χόρτον
ὡς βοῦς νέμηται, [13]καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα 13 (16)
αὐτοῦ ἀλλοιωθῇ, καὶ ἑπτὰ ἔτη βοσκηθῇ σὺν αὐτοῖς, [14]ἕως ἂν 14 (17)
γνῷ τὸν κύριον τοῦ οὐρανοῦ ἐξουσίαν ἔχειν πάντων τῶν ἐν τῷ
οὐρανῷ καὶ τῶν ἐπὶ τῆς γῆς, καὶ ὅσα ἂν θέλῃ ποιεῖν ποιεῖ ἐν
αὐτοῖς. [14a]ἐνώπιόν μου ἐξεκόπη ἐν ἡμέρᾳ μιᾷ, καὶ ἡ καταφθορὰ 14 a
αὐτοῦ ἐν ὥρᾳ μιᾷ τῆς ἡμέρας, καὶ οἱ κλάδοι αὐτοῦ ἐδόθησαν εἰς
πάντα ἄνεμον, καὶ εἱλκύσθη καὶ ἐρρίφη· καὶ τὸν χόρτον τῆς
γῆς ἤσθιε, καὶ εἰς φυλακὴν παρεδόθη, καὶ ἐν πέδαις καὶ ἐν
χειροπέδαις χαλκαῖς ἐδέθη ὑπ' αὐτῶν. σφόδρα ἐθαύμασα ἐπὶ
τούτοις, καὶ ὁ ὕπνος μου ἀπέστη ἀπὸ τῶν ὀφθαλμῶν μου. [15]καὶ 15 (18)
ἀναστὰς τὸ πρωὶ ἐκ τῆς κοίτης μου ἐκάλεσα τὸν Δανιὴλ τὸν
ἄρχοντα τῶν σοφιστῶν καὶ τὸν ἡγούμενον τῶν κρινόντων τὰ
ἐνύπνια, καὶ διηγησάμην αὐτῷ τὸ ἐνύπνιον, καὶ ὑπέδειξέ μοι
πᾶσαν τὴν σύγκρισιν αὐτοῦ. [16]Μεγάλως δὲ ἐθαύμασεν ὁ 16 (19)
Δανιὴλ καὶ ὑπόνοια κατέσπευδεν αὐτόν· καὶ φοβηθεὶς τρόμου
λαβόντος αὐτὸν καὶ ἀλλοιωθείσης τῆς ὁράσεως αὐτοῦ, κινήσας
τὴν κεφαλήν, ὥραν μίαν ἀποθαυμάσας ἀπεκρίθη μοι φωνῇ πραείᾳ
Βασιλεῦ, τὸ ἐνύπνιον τοῦτο τοῖς μισοῦσί σε καὶ ἡ σύγκρισις
αὐτοῦ τοῖς ἐχθροῖς σου ἐπέλθοι. [17]τὸ δένδρον τὸ ἐν τῇ γῇ 17 (20)
πεφυτευμένον, οὗ ἡ ὅρασις μεγάλη, σὺ εἶ, βασιλεῦ. [18]καὶ πάντα 18 (21)
τὰ πετεινὰ τοῦ οὐρανοῦ τὰ νοσσεύοντα ἐν αὐτῷ· ἡ ἰσχὺς τῆς
γῆς καὶ τῶν ἐθνῶν καὶ τῶν γλωσσῶν πασῶν ἕως τῶν περά-
των τῆς γῆς καὶ πᾶσαι αἱ χῶραι σοὶ δουλεύουσι. [19]τὸ δὲ ἀνυ- 19 (22)
ψωθῆναι τὸ δένδρον ἐκεῖνο καὶ ἐγγίσαι τῷ οὐρανῷ καὶ τὸ κύτος
αὐτοῦ ἅψασθαι τῶν νεφελῶν· σύ, βασιλεῦ, ὑψώθης ὑπὲρ πάν-
τας τοὺς ἀνθρώπους τοὺς ὄντας ἐπὶ προσώπου πάσης τῆς γῆς,
ὑψώθη σου ἡ καρδία ὑπερηφανίᾳ καὶ ἰσχύι τὰ πρὸς τὸν ἅγιον
καὶ τοὺς ἀγγέλους αὐτοῦ· τὰ ἔργα σου ὤφθη, καθότι ἐξερήμωσας
τὸν οἶκον τοῦ θεοῦ τοῦ ζῶντος ἐπὶ ταῖς ἁμαρτίαις τοῦ λαοῦ τοῦ
ἡγιασμένου. [20]καὶ ἡ ὅρασις ἣν εἶδες, ὅτι ἄγγελος ἐν ἰσχύι 20 (23)
ἀπεστάλη παρὰ τοῦ κυρίου, καὶ ὅτι εἶπεν ἐξᾶραι τὸ δένδρον

Syr 11 αχριωσαι 87[* vid] 12 ως] ω sup ras 87[1] 13 ΒΟCΚΗΘΗ Syr[mg] 14 om ποιειν Syr 14a οι κλαδοι] om οι 87* (hab 87[1(mg)]) | γης] + μετα των θηριων της γης Syr | τουτοις] pr πασι Syr 16 κινησας] pr και Syr | ωραν] pr και Syr 18 η ισχυς] om η 87* (hab 87[1]) | δουλευσουσι Syr 19 post εκεινο ras aliq 87[1] | ΗΓΙΑCΜΕΝΟΥ Syr[mg]

αὐτοῦ καὶ διασκορπίσατε τὸν καρπὸν αὐτοῦ· σαλευθήτωσαν τὰ B
θηρία ὑποκάτωθεν αὐτοῦ καὶ τὰ ὄρνεα ἀπὸ τῶν κλάδων αὐτοῦ.
(15) 12 [12]πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε, καὶ ἐν
δεσμῷ σιδηρῷ καὶ χαλκῷ καὶ ἐν τῇ χλόῃ τῇ ἔξω καὶ ἐν τῇ
δρόσῳ τοῦ οὐρανοῦ κοιτασθήσεται, καὶ μετὰ τῶν θηρίων ἡ μερὶς
(16) 13 αὐτοῦ ἐν τῷ χόρτῳ τῆς γῆς. [13]ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀν-
θρώπων ἀλλοιωθήσεται, καὶ καρδία θηρίου δοθήσεται αὐτῷ, καὶ
(17) 14 ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπ' αὐτόν. [14]διὰ συνκρίματος εἶρ ὁ
λόγος, καὶ ῥῆμα ἁγίων τὸ ἐπερώτημα, ἵνα γνῶσιν οἱ ζῶντες ὅτι
κύριός ἐστιν ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ
ἐὰν δόξῃ δώσει αὐτὴν καὶ ἐξουδένημα ἀνθρώπων ἀναστήσει
(18) 15 ἐπ' αὐτήν. [15]τοῦτο τὸ ἐνύπνιον ὃ ἴδον ἐγὼ Ναβουχοδονοσὸρ ὁ
βασιλεύς, καὶ σύ, Βαλτασάρ, τὸ σύγκριμα εἰπόν, ὅτι πάντες οἱ
σοφοὶ τῆς βασιλείας μου οὐ δύνανται τὸ σύγκριμα αὐτοῦ δη-
λῶσαί μοι· σὺ δέ, Δανιήλ, δύνασαι, ὅτι θεοῦ πνεῦμα ἅγιον ἐν
(19) 16 σοί. [16]Τότε Δανιήλ, οὗ τὸ ὄνομα Βαλτασάρ, ἀπενεώθη
ὡσεὶ ὥραν μίαν, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐ-
τόν. καὶ ἀπεκρίθη Βαλτασὰρ καὶ εἶπεν Κύριε, τὸ ἐνύπνιον
ἔστω τοῖς μισοῦσίν σε, καὶ ἡ σύγκρισις αὐτοῦ τοῖς ἐχθροῖς σου.
(20) 17 [17]τὸ δένδρον ὃ ἴδες μεγαλυνθὲν καὶ τὸ ἰσχυκός, οὗ τὸ ὕψος
ἔφθανεν εἰς τὸν οὐρανὸν καὶ τὸ κύτος αὐτοῦ εἰς πᾶσαν τὴν
(21) 18 γῆν, [18]καὶ τὰ φύλλα αὐτοῦ εὐθαλῆ, καὶ ὁ καρπὸς αὐτοῦ πολύς,
καὶ τροφὴ πᾶσιν ἐν αὐτῷ· ὑποκάτω αὐτοῦ κατῴκουν τὰ θηρία
τὰ ἄγρια, καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατεσκήνουν τὰ ὄρνεα τοῦ
(22) 19 οὐρανοῦ· [19]σὺ εἶ, βασιλεῦ· ὅτι ἐμεγαλύνθης καὶ ἴσχυσας, καὶ ἡ
μεγαλωσύνη σου ἐμεγαλύνθη καὶ ἔφθασεν εἰς τὸν οὐρανόν, καὶ
(23) 20 ἡ κυρία σου εἰς τὰ πέρατα τῆς γῆς. [20]καὶ ὅτι ἴδεν ὁ βασιλεὺς
εἶρ καὶ ἅγιον καταβαίνοντα ἀπὸ τοῦ οὐρανοῦ· καὶ εἶπεν Ἐκτί-

11 τον καρπον] τους καρπους A | σαλευθητω Q 12 κοιτασθησεται] AQ superscr σν' (sic) $Q^?$ θ' αυλισθησεται Q^{mg} | των θηριων] θηριων αγριων Q | της γης] του αγρου Q 13 απο των ανων η καρδια αυτων Q | om και 2° Q 14 συγκριματος B^{ab}AQ | ρημα] λογος A | αγιων] ων non inst B^b | περωτημα B^* (ε superscr B^{ab}) | om εστιν Q | ο υψιστος] + κυριευει Q | εαν] αν Q | εξουδενημα] εξουθενωμα A εξουθενημα Q | αναστησεται A | αυτην 2°] αυτης Q^* (-την Q^a) 15 ειδον B^{ab} | om αυτου Q | θυ πνα θυ B^* (non inst θυ 2° B^b) πνα θυ AQ | εν σοι αγιον A 16 απηνεωθη B^{ab}AQ | αυτον] + και απεκριθη ο βασιλευς και ειπεν Βαλτασαρ (Βαρτ. A) το ενυπνιον και η συγκρισις (+ αυτου Q) μη κατασπευσατω σε AQ | om κυριε Q | εστω το ενυπνιον A το εν. βασιλευ Q | μισουσι Q^a 17 ειδες B^{ab} | μεγαλυνθεν] pr το AQ | εφθανεν] εφθασεν AQ 18 om και 1° A | πολυ Q^* (superscr ς Q^a) | κατεσκηνουν] κατωκουν A 19 κυρεια B^{ab} κυριεια A 20 ειδεν B^{ab} | απο του ουρ.] εκ του ουρ. A απ ουρ. Q

87 καὶ ἐκκόψαι· ἡ κρίσις τοῦ θεοῦ τοῦ μεγάλου ἥξει ἐπὶ σέ, [21]καὶ 21 (24)
ὁ ὕψιστος καὶ οἱ ἄγγελοι αὐτοῦ ἐπὶ σὲ κατατρέχουσιν· [22]εἰς 22 (25)
φυλακὴν ἀπάξουσί σε, καὶ εἰς τόπον ἔρημον ἀποστελοῦσί σε.
[23]καὶ ἡ ῥίζα τοῦ δένδρου ἡ ἀφεθεῖσα, ἐπεὶ οὐκ ἐξεριζώθη· ὁ 23 (26)
τόπος τοῦ θρόνου σού σοι συντηρηθήσεται εἰς καιρὸν καὶ ὥραν.
ἰδοὺ ἐπὶ σὲ ἑτοιμάζονται, καὶ μαστιγώσουσί σε καὶ ἐπάξουσι
τὰ κεκριμένα ἐπὶ σέ. Κύριος ζῇ ἐν οὐρανῷ καὶ ἡ ἐξουσία αὐτοῦ
ἐπὶ πάσῃ τῇ γῇ. [24]αὐτοῦ δεήθητι περὶ τῶν ἁμαρτιῶν σου καὶ 24 (27)
πάσας τὰς ἀδικίας σου ἐλεημοσύναις λύτρωσαι, ἵνα ἐπιείκεια
δοθῇ σοι καὶ πολυήμερος γένῃ ἐπὶ τοῦ θρόνου τῆς βασιλείας
σου, καὶ μὴ καταφθείρῃ σε. τούτους τοὺς λόγους ἀγάπησον·
ἀκριβὴς γάρ μου ὁ λόγος, καὶ πλήρης ὁ χρόνος σου. [25]Καὶ 25 (28)
ἐπὶ συντελείᾳ τῶν λόγων Ναβουχοδονοσὸρ ὡς ἤκουσε τὴν κρίσιν
τοῦ ὁράματος, τοὺς λόγους ἐν τῇ καρδίᾳ συνετήρησε. [26]Καὶ 26 (29)
μετὰ μῆνας δώδεκα ὁ βασιλεὺς ἐπὶ τῶν τειχῶν τῆς πόλεως μετὰ
πάσης τῆς δόξης αὐτοῦ περιεπάτει καὶ ἐπὶ τῶν πύργων αὐτῆς
διεπορεύετο, [27]καὶ ἀποκριθεὶς εἶπεν Αὕτη ἐστὶ Βαβυλὼν ἡ με- 27 (30)
γάλη, ἣν ἐγὼ ᾠκοδόμησα, καὶ οἶκος βασιλείας μου ἐν ἰσχύι κρά-
τους μου κληθήσεται εἰς τιμὴν τῆς δόξης μου. [28]ἔτι τοῦ λόγου 28 (31)
ἐν τῷ στόματι τοῦ βασιλέως ὄντος, καὶ ἐπὶ συντελείας τοῦ λόγου
αὐτοῦ φωνὴν ἐκ τοῦ οὐρανοῦ ἤκουσε Σοὶ λέγεται, Ναβουχοδο-
νοσὸρ βασιλεῦ, ἡ βασιλεία Βαβυλῶνος ἀφῄρηταί σου καὶ ἑτέρῳ
δίδοται, ἐξουθενημένῳ ἀνθρώπῳ ἐν τῷ οἴκῳ σου. ἰδοὺ ἐγὼ καθί-
στημι αὐτὸν ἐπὶ τῆς βασιλείας σου, καὶ τὴν ἐξουσίαν σου καὶ
τὴν δόξαν σου καὶ τὴν τρυφήν σου παραλήψεται, ὅπως ἐπι-
γνῷς ὅτι ἐξουσίαν ἔχει ὁ θεὸς τοῦ οὐρανοῦ ἐν τῇ βασιλείᾳ τῶν
ἀνθρώπων, καὶ ᾧ ἐὰν βούληται δώσει αὐτήν· ἕως δὲ ἡλίου ἀνα-
τολῆς βασιλεὺς ἕτερος εὐφρανθήσεται ἐν τῷ οἴκῳ σου, καὶ κρα-
τήσει τῆς δόξης σου καὶ τῆς ἰσχύος σου καὶ τῆς ἐξουσίας σου.
[29]καὶ οἱ ἄγγελοι διώξονταί σε ἐπὶ ἔτη ἑπτά, καὶ οὐ μὴ ὀφθῇς 29 (32)
οὐδ' οὐ μὴ λαλήσῃς μετὰ παντὸς ἀνθρώπου· χόρτον ὡς βοῦν
σε ψωμίσουσι καὶ ἀπὸ τῆς χλόης τῆς γῆς ἔσται ἡ νομή σου·
ἰδοὺ ἀντὶ τῆς δόξης σου δήσουσί σε, καὶ τὸν οἶκον τῆς τρυφῆς

Syr **20** ηξει] ηκει Syr **21** κατατρεχουσιν] καταδραμουσιν Syr^{vid} **23** κε-κριμμενα (sic) Syr^{mg} **24** ελεημοσυναις] λ sup ras $87^{?}$ | καταφθειρη] τα sup ras 87^{a} | om σε Syr **25** και επι συντελεια...συνετηρησε] θ' ταυτα παντα εφθασεν επι Ναβουχοδονοσορ τον βασιλεα Syr^{mg} **28** om ετι του λογου...οντος Syr^{txt} (hab sub θ' Syr^{mg}) | οντος] οντως 87^{*} (-τος 87^{a}) | καθιστημι] inter ι 1° et σ ras aliq $87^{?}$ (ι fort ex ε fec) **29** om επι Syr

λατε τὸ δένδρον καὶ διαφθείρατε αὐτό, πλὴν τὴν φυὴν τῶν B
ῥιζῶν αὐτοῦ ἐάσατε ἐν τῇ γῇ, καὶ ἐν δεσμῷ σιδηρῷ καὶ ἐν
χαλκῷ καὶ ἐν τῇ χλόῃ τῇ ἔξω καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ
αὐλισθήσεται, καὶ μετὰ θηρίων ἀγρίων ἡ μερὶς αὐτοῦ ἕως οὗ
(24) 21 *ἑπτὰ καιροὶ ἀλλοιωθῶσιν ἐπ' αὐτόν·* [21]*τοῦτο ἡ σύγκρισις αὐτοῦ,*
βασιλεῦ, καὶ σύγκριμα Ὑψίστου ἐστὶν ὃ ἔφθασεν ἐπὶ τὸν κύ-
(25) 22 *ριόν μου τὸν βασιλέα,* [22]*καὶ σὲ ἐκδιώξουσιν ἀπὸ τῶν ἀνθρώ-*
πων, καὶ μετὰ θηρίων ἀγρίων ἔσται ἡ κατοικία σου, καὶ χόρτον
ὡς βοῦν ψωμιοῦσίν σε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ αὐλι-
σθήσῃ, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σέ· ἕως οὗ γνῷς ὅτι
κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν
(26) 23 *δόξῃ δώσει αὐτήν.* [23]*καὶ ὅτι εἶπαν Ἐάσατε τὴν φυὴν τῶν ῥιζῶν*
τοῦ δένδρου, ἡ βασιλεία σού σοι μενεῖ ἀφ' ἧς ἂν γνῷς τὴν
(27) 24 *ἐξουσίαν τὴν οὐράνιον.* [24]*διὰ τοῦτο, βασιλεῦ, ἡ βουλή μου*
ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι
καὶ τὰς ἀδικίας ἐν οἰκτιρμοῖς πενήτων· ἴσως ἔσται μακρόθυμος
(28) 25 *τοῖς παραπτώμασίν σου ὁ θεός.* [25]*Ταῦτα πάντα ἔφθασεν*
(29) 26 *ἐπὶ Ναβουχοδονοσὸρ τὸν βασιλέα.* [26]*μετὰ δωδεκάμηνον, ἐπὶ τῷ*
(30) 27 *ναῷ τῆς βασιλείας αὐτοῦ ἐν Βαβυλῶνι περιπατῶν,* [27]*ἀπεκρίθη ὁ*
βασιλεὺς καὶ εἶπεν Οὐχ αὕτη ἐστὶν Βαβυλὼν ἡ μεγάλη ἣν ἐγὼ
ᾠκοδόμησα εἰς οἶκον βασιλείας, ἐν τῷ κράτει τῆς ἰσχύος μου,
(31) 28 *εἰς τιμὴν τῆς δόξης μου;* [28]*ἔτι τοῦ λόγου ἐν στόματι τοῦ βασι-*
λέως ὄντος φωνὴ ἀπ' οὐρανοῦ ἐγένετο Σοὶ λέγουσιν, Ναβου-
(32) 29 *χοδονοσὸρ βασιλεῦ, ἡ βασιλεία παρῆλθεν ἀπὸ σοῦ,* [29]*καὶ ἀπὸ*
τῶν ἀνθρώπων σε ἐκδιώκουσιν, καὶ μετὰ θηρίων ἀγρίων ἡ κατ-
οικία σου, καὶ χόρτον ὡς βοῦν ψωμιοῦσίν σε, καὶ ἑπτὰ καιροὶ
ἀλλαγήσονται ἐπὶ σέ, ἕως γνῷς ὅτι κυριεύει ὁ ὕψιστος τῆς βα-

20 om *εν* 3° AQ | *τη χλοη*] om *τη* Q | *εω*|*ς* Q* *εως*| Qᵃ **22** *εκδι-* AQ *ωξουσιν*] *εκδιξουσεν* Q*? (*εκδιωξ.* Qᵃ) | *κατοικεια* A: item 29, 32 | *ψω-μιουσιν* (*-σι* Qᵃ)] *ψωμισουσιν* A | *γνως*] *γνω* B^b vid | *αν*] *εαν* AQ **23** *ειπαν*] *ειπεν* AQ | om *των ριζων* A | *ουρανιον*] *επουρανιον* AQ **24** *αδικιας*] + *σου* AQ | *οικτειρμοις* Q* (*-τιρμ.* Qᵃ) | *παραπτωμασι* Qᵃ **26** *επι*] *εν* Q | *βασιλιας* B* (*-λειας* Bᵇ) | om *αυτου* Q* (hab Q^mg) **27** om *ο βασι-λευς* A **28** *στοματι*] pr *τω* Q | *απ ουρανου*] *εκ του ουρ.* A *απο του ουρ.* Q | *βασιλεια*] + *σου* AQ **29** *εκδιωξουσιν* (*-σι* Qᵃ) AQ | *η κατοικια*] pr *εσται* A | om *και* 3° Q | *ψωμισουσιν* A | *εως*] + *ου* AQ

87 *σου καὶ τῆς βασιλείας σου ἕτερος ἕξει.* 30 *ἕως δὲ πρωὶ πάντα* 30 (33)
τελεσθήσεται ἐπὶ σέ, Ναβουχοδονοσὸρ βασιλεῦ Βαβυλῶνος, καὶ
οὐχ ὑστερήσει ἀπὸ πάντων τούτων οὐθέν. 30a *Ἐγὼ Ναβου-* 30 a
χοδονοσόρ, βασιλεὺς Βαβυλῶνος, ἑπτὰ ἔτη ἐπεδήθην· χόρτον
ὡς βοῦν ἐψώμισάν με καὶ ἀπὸ τῆς χλόης τῆς γῆς ἤσθιον. καὶ
μετὰ ἔτη ἑπτὰ ἔδωκα τὴν ψυχήν μου εἰς δέησιν, καὶ ἠξίωσα
περὶ τῶν ἁμαρτιῶν μου κατὰ πρόσωπον Κυρίου τοῦ θεοῦ τοῦ
οὐρανοῦ, καὶ περὶ τῶν ἀγνοιῶν μου τοῦ θεοῦ τῶν θεῶν τοῦ
μεγάλου ἐδεήθην. 30b *καὶ αἱ τρίχες μου ἐγένοντο ὡς πτέρυγες* 30 b
ἀετοῦ, οἱ ὄνυχές μου ὡσεὶ λέοντος· ἠλλοιώθη ἡ σάρξ μου καὶ
ἡ καρδία μου, γυμνὸς περιεπάτουν μετὰ τῶν θηρίων τῆς γῆς.
ἐνύπνιον εἶδον καὶ ὑπόνοιαί με εἰλήφασιν, καὶ διὰ χρόνου ὕπνος
με ἔλαβε πολὺς καὶ νυσταγμὸς ἐπέπεσέ μοι. 30c *καὶ ἐπὶ συν-* 30 c
τελείᾳ τῶν ἑπτὰ ἐτῶν ὁ χρόνος μου τῆς ἀπολυτρώσεως ἦλθεν,
καὶ αἱ ἁμαρτίαι μου καὶ αἱ ἄγνοιαί μου ἐπληρώθησαν ἐναντίον
τοῦ θεοῦ τοῦ οὐρανοῦ· καὶ ἐδεήθην περὶ τῶν ἀγνοιῶν μου τοῦ
θεοῦ τῶν θεῶν τοῦ μεγάλου, καὶ ἰδοὺ ἄγγελος εἷς ἐκάλεσέν με
ἐκ τοῦ οὐρανοῦ λέγων Ναβουχοδονοσόρ, δούλευσον τῷ θεῷ τοῦ
οὐρανοῦ τῷ ἁγίῳ καὶ δὸς δόξαν τῷ ὑψίστῳ· τὸ βασίλειον τοῦ
ἔθνους σού σοι ἀποδίδοται. 33 *ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκατεστάθη* 33 (36)
ἡ βασιλεία μου ἐμοὶ καὶ ἡ δόξα μου ἀπεδόθη μοι. 34 *τῷ ὑψίστῳ* 34 (37)
ἀνθομολογοῦμαι καὶ αἰνῶ, τῷ κτίσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν
καὶ τὰς θαλάσσας καὶ τοὺς ποταμοὺς καὶ πάντα τὰ ἐν αὐτοῖς
ἐξομολογοῦμαι καὶ αἰνῶ· ὅτι αὐτός ἐστι θεὸς τῶν θεῶν καὶ
κύριος τῶν κυρίων καὶ βασιλεὺς τῶν βασιλέων, ὅτι αὐτὸς ποιεῖ
σημεῖα καὶ τέρατα καὶ ἀλλοιοῖ καιροὺς καὶ χρόνους, ἀφαιρῶν
βασιλείαν βασιλέων καὶ καθιστῶν ἑτέρους ἀντ' αὐτῶν. 34a *ἀπὸ* 34 a
τοῦ νῦν αὐτῷ λατρεύσω, καὶ ἀπὸ τοῦ φόβου αὐτοῦ τρόμος εἴ-
ληφέ με, καὶ πάντας τοὺς ἁγίους αἰνῶ· οἱ γὰρ θεοὶ τῶν ἐθνῶν
οὐκ ἔχουσιν ἐν ἑαυτοῖς ἰσχὺν ἀποστρέψαι βασιλείαν βασιλέως
εἰς ἕτερον βασιλέα, καὶ ἀποκτεῖναι καὶ ζῆν ποιῆσαι, καὶ ποι-
ῆσαι σημεῖα καὶ θαυμάσια μεγάλα καὶ φοβερὰ καὶ ἀλλοιῶσαι
ὑπερμεγέθη πράγματα, καθὼς ἐποίησεν ἐν ἐμοὶ ὁ θεὸς τοῦ οὐ-
ρανοῦ καὶ ἠλλοίωσεν ἐπ' ἐμοὶ μεγάλα πράγματα. ἐγὼ πάσας
τὰς ἡμέρας τῆς βασιλείας μου περὶ τῆς ψυχῆς μου τῷ ὑψίστῳ

Syr **29** *την βασιλειαν* Syr **30 c** *αι αμαρτιαι*] in *αι* 1° ras aliq inferius 87$^{?}$ | *ε|επληρωθησαν* (sic) 87 **33** *η βασ.* + *μου* (*μου* ÷ Syr)...*απεδοθη μοι* 87 Syr **34** *βασιλειαν βασιλεων*] *βασιλειας βασιλεων* Syr **34 a** *αγιους*] + *αυτου* Syr | *αινω*] *αινεσω* Syr

(33) 30 σιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ δώσει αὐτήν. [30]αὐτῇ B
τῇ ὥρᾳ ὁ λόγος συνετελέσθη ἐπὶ Ναβουχοδονοσόρ, καὶ ἀπὸ
τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ χόρτον ὡς βοῦς ἤσθιεν, καὶ
ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως αἱ
τρίχες αὐτοῦ ὡς λεόντων ἐμεγαλύνθησαν καὶ οἱ ὄνυχες αὐτοῦ
(34) 31 ὡς ὀρνέων. [31]Καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ἐγὼ Ναβου-
χοδονοσὸρ τοὺς ὀφθαλμούς μου εἰς τὸν οὐρανὸν ἀνέλαβον, καὶ
αἱ φρένες μου ἐπ᾿ ἐμὲ ἐπεστράφησαν, καὶ τῷ ὑψίστῳ εὐλό-
γησα, καὶ τῷ ζῶντι εἰς τὸν αἰῶνα ᾔνεσα καὶ ἐδόξασα, ὅτι ἡ
ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν
(35) 32 καὶ γενεάν· [32]καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν ὡς οὐδὲν ἐλο-
γίσθησαν· καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν τῇ δυνάμει τοῦ
οὐρανοῦ καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς, καὶ οὐκ ἔστιν ὃς ἀντι-
(36) 33 ποιήσεται τῇ χειρὶ αὐτοῦ καὶ ἐρεῖ αὐτῷ Τί ἐποίησας; [33]αὐτῷ
τῷ καιρῷ αἱ φρένες μου ἐπεστράφησαν ἐπ᾿ ἐμέ, καὶ εἰς τὴν
τιμὴν τῆς βασιλείας μου ἦλθον· καὶ ἡ μορφή μου ἐπέστρεψεν
ἐπ᾿ ἐμέ, καὶ οἱ τύραννοί μου καὶ οἱ μεγιστᾶνές μου ἐζήτουν με,
καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην, καὶ μεγαλωσύνη περισ-
(37) 34 σοτέρα προσετέθη μοι. [34]νῦν οὖν ἐγὼ Ναβουχοδονοσὸρ αἰνῶ
καὶ ὑπερυψῶ καὶ δοξάζω τὸν βασιλέα τοῦ οὐρανοῦ, ὅτι πάντα
τὰ ἔργα αὐτοῦ ἀληθινὰ καὶ αἱ τρίβοι αὐτοῦ κρίσεις, καὶ πάντας
τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι.

29 εαν] αν Q **30** συνετελεσθη ο λογος Q | Ναβουχοδονοσορ] + τον AQ βασιλεα A | βους] βου A* (superscr ς A$^{a?}$) βουν Q (βους Q^{a}) | εως] + ου AQ | ως 3°] ωσει Q **31** επεστραφησαν επ εμε Q | ηυλογησα AQ | τον αιωνα] τους αιωνας AQ **32** ουδεν] ουδε A (in fin lin) ουθεν Q | αντιποιησεται] αντιστησεται Q **33** μεγαλωσυνη (-λοσ. B* -λωσ. B^{b})] μεγαλωσυνην A | προσετεθη μοι] μοι εδοθη Q **34** υπερυψω] υψω Q | κρισις AQ | υπερηφανεια Q* (-νια Q^{a}) | subscr ορασις ε′ A

87 θυσίας προσοίσω εἰς ὀσμὴν εὐωδίας τῷ κυρίῳ, καὶ τὸ ἀρεστὸν ἐνώ-
πιον αὐτοῦ ποιήσω ἐγὼ καὶ ὁ λαός μου, τὸ ἔθνος καὶ αἱ χῶραί
μου αἱ ἐν τῇ ἐξουσίᾳ μου. καὶ ὅσοι ἐλάλησαν εἰς τὸν θεὸν τοῦ
οὐρανοῦ καὶ ὅσοι ἂν καταληφθῶσι λαλοῦντές τι, τούτους κατα-
κρινῶ θανάτῳ. 34b Ἔγραψε δὲ ὁ βασιλεὺς Ναβουχοδονο- 34 b
σὸρ ἐπιστολὴν ἐγκύκλιον πᾶσι τοῖς κατὰ τόπον ἔθνεσι καὶ χώ-
ραις καὶ γλώσσαις πάσαις ταῖς οἰκούσαις ἐν πάσαις ταῖς χώραις,
γενεαῖς καὶ γενεαῖς. Κυρίῳ τῷ θεῷ τοῦ οὐρανοῦ αἰνεῖτε, καὶ
θυσίαν καὶ προσφορὰν προσφέρετε αὐτῷ ἐνδόξως. ἐγὼ βασι-
λεὺς βασιλέων ἀνθομολογοῦμαι αὐτῷ ἐνδόξως, ὅτι οὕτως ἐποίησε
μετ' ἐμοῦ· ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐκάθισέ με ἐπὶ τοῦ θρόνου μου καὶ
τῆς ἐξουσίας μου καὶ τῆς βασιλείας μου· ἐν τῷ λαῷ μου ἐκράτησα
καὶ ἡ μεγαλωσύνη μου ἀποκατεστάθη μοι. 34c Ναβουχοδονοσὸρ βασι- 34 c
λεὺς πᾶσι τοῖς ἔθνεσι καὶ πάσαις ταῖς χώραις καὶ πᾶσι τοῖς οἰ-
κοῦσιν αὐταῖς· εἰρήνη ὑμῖν πληθυνθείη ἐν παντὶ καιρῷ. καὶ νῦν
ὑποδείξω ὑμῖν τὰς πράξεις ἃς ἐποίησεν μετ' ἐμοῦ ὁ θεὸς ὁ μέγας·
ἔδοξε δέ μοι ἀποδεῖξαι ὑμῖν καὶ τοῖς σοφισταῖς ὑμῶν ὅτι ἔστι
θεός, καὶ τὰ θαυμάσια αὐτοῦ μεγάλα· τὸ βασίλειον αὐτοῦ βασίλειον
εἰς τὸν αἰῶνα, ἡ ἐξουσία αὐτοῦ ἀπὸ γενεῶν εἰς γενεάς. καὶ ἀπέ-
στειλεν ἐπιστολὰς περὶ πάντων τῶν γενηθέντων αὐτῷ ἐν τῇ βασι-
λείᾳ αὐτοῦ πᾶσι τοῖς ἔθνεσι τοῖς οὖσιν ὑπὸ τὴν βασιλείαν αὐτοῦ.

Βαλτασὰρ ὁ βασιλεὺς ἐποίησεν δοχὴν μεγάλην ἐν ἡμέρᾳ ἐγκαινισμοῦ V
τῶν βασιλείων αὐτοῦ· ἐκάλεσεν ἄνδρας δισχιλίους. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Βαλτασὰρ ἐνυψούμενος ἀπὸ τοῦ οἴνου καὶ καυχώμενος ἐπῄνεσεν πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τοὺς χωνευτοὺς καὶ γλυπτοὺς ἐν τῷ τόπῳ αὐτοῦ, καὶ τῷ θεῷ τῷ ὑψίστῳ οὐκ ἔδωκεν αἴνεσιν. ἐν αὐτῇ τῇ νυκτὶ ἐξῆλθον δάκτυλοι ὡσεὶ ἀνθρώπου καὶ ἐπέγραψαν ἐπὶ τοῦ τοίχου οἴκου αὐτοῦ ἐπὶ τοῦ κονιάματος κατέναντι τοῦ λύχνους Μανή, φαρές, θεκέλ. ἔστι δὲ ἡ ἑρμηνεία αὐτῶν· μανή, ἠρίθμηται· φαρές, ἐξῆρται· θεκέλ, ἕσταται.

1 Βαλτασὰρ ὁ βασιλεὺς ἐποίησεν ἑστιατορίαν μεγάλην τοῖς ἑταί- 1
ροις αὐτοῦ. 2 καὶ ἔπινεν οἶνον, καὶ ἀνυψώθη ἡ καρδία αὐτοῦ, καὶ 2
εἶπεν ἐνέγκαι τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ τοῦ οἴκου τοῦ
θεοῦ, ἃ ἤνεγκε Ναβουχοδονοσὸρ ὁ πατὴρ αὐτοῦ ἀπὸ Ἰερουσαλήμ,
καὶ οἰνοχοῆσαι ἐν αὐτοῖς τοῖς ἑταίροις αὐτοῦ. 3 καὶ ἠνέχθη, καὶ 3
ἔπινον ἐν αὐτοῖς· 4 καὶ ηὐλόγουν τὰ εἴδωλα τὰ χειροποίητα αὐτῶν, 4
καὶ τὸν θεὸν τοῦ αἰῶνος οὐκ εὐλόγησαν τὸν ἔχοντα τὴν ἐξουσίαν
τοῦ πνεύματος αὐτῶν. 5 ἐν αὐτῇ τῇ ὥρᾳ ἐκείνῃ ἐξῆλθον δάκτυλοι 5

Syr 34 b pr περι της εγκυκλιου επιστολης 87^mg | γενεαις κ. γενεαις] pr εν Syr 34 c αυταις] pr εν Syr^vid | γενεας] γεας 87 V tit βασιλειῶν 87 | εκαλεσεν] pr και απο των μεγιστανων αυτου Syr | ανυψουμενος Syr^vid 2 ἐνέγκαι prius ἔνεγκαι 87 | om και 5° Syr 4 και 1° sup ras 87?

V 1 1Βαλτασὰρ ὁ βασιλεὺς ἐποίησεν δεῖπνον μέγα τοῖς μεγιστᾶσιν B
2 αὐτοῦ χιλίοις, καὶ κατέναντι τῶν χιλίων ὁ οἶνος. 2καὶ πίνων Βαλ-
τασὰρ εἶπεν ἐν τῇ γεύσει τοῦ οἴνου αὐτοῦ ἐνεγκεῖν τὰ σκεύη τὰ
χρυσᾶ καὶ τὰ ἀργυρᾶ ἃ ἐξήνεγκεν Ναβουχοδονοσὸρ ὁ πατὴρ αὐτοῦ
ἐκ τοῦ ναοῦ τοῦ ἐν Ἰερουσαλήμ, καὶ πιέτωσαν ἐν αὐτοῖς ὁ βασι-
λεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ αἱ παλλακαὶ αὐτοῦ καὶ αἱ παρά-
3 κοιτοι αὐτοῦ. 3καὶ ἠνέχθησαν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ ἃ
ἐξήνεγκεν ἐκ τοῦ ναοῦ τοῦ θεοῦ τοῦ ἐν Ἰερουσαλήμ, καὶ ἔπινον ἐν
αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ αἱ παλλακαὶ αὐτοῦ
4 καὶ αἱ παράκοιτοι αὐτοῦ· 4ἔπινον οἶνον, καὶ ᾔνεσαν τοὺς θεοὺς τοὺς
χρυσοῦς καὶ ἀργυροῦς καὶ χαλκοῦς καὶ σιδηροῦς καὶ ξυλίνους καὶ
5 λιθίνους. 5ἐν αὐτῇ τῇ ὥρᾳ ἐξῆλθον δάκτυλοι χειρὸς ἀνθρώπου καὶ
ἔγραφον κατέναντι τῆς λαμπάδος ἐπὶ τὸ κονίαμα τοῦ τοίχου καὶ
οἴκου τοῦ βασιλέως, καὶ ὁ βασιλεὺς ἐθεώρει τοὺς ἀστραγάλους τῆς

V 1 superscr *ορασις* ς′ AQ | Βαρτασαρ A | *εποιησε* A^{fort} | om *μεγα* AQ AQ* (hab Q^{mg}) | χιλιοις] pr *ανδρασιν* (-*σι* Q) AQ 2 om *και* 1° Q | *ειπεν εν τη γευσει του οινου αυτου*] *ειπεν εν τη γ. τ. οινου* A *εν τη γ. τ. οινου ειπεν* Q | *ενεγκειν*] *του εν.* A *του εξενεγκειν* Q 3 om Q* (hab Q^{mg} exc *αυτου* 3°) | *ηνεχθησαν*] *ηχθησαν* A | om *του θεου* AQ^{mg} | *αι παρακοιτοι αυτου και αι παλλακαι αυτου* A | om *αυτου* 3° Q^{mg} 4 *τους θεους*] *ο* 1° sup ras A$^{a?}$ | λιθινους] + *και τον θν του αιωνος ουκ ευλογησαν* (*ηυλ.* A) *τον εχοντα την* (om A) *εξουσιαν του πνς αυτων* (*αυτου* A) B$^{ab\,mg\,inf}$ A 5 om *και* 2° B^{ab}AQ | *οικου*] pr *του* AQ

87 ὡσεὶ χειρὸς ἀνθρώπου καὶ ἔγραψαν ἐπὶ τοῦ τοίχου τοῦ οἴκου αὐ-
τοῦ ἐπὶ τοῦ κονιάματος κατέναντι τοῦ φωτὸς ἔναντι τοῦ βασι-
λέως Βαλτασάρ, καὶ εἶδε χεῖρα γράφουσαν. [6]καὶ ἡ ὅρασις αὐτοῦ 6
ἠλλοιώθη, καὶ φόβοι καὶ ὑπόνοιαι αὐτὸν κατέσπευδον. ἔσπευσεν
οὖν ὁ βασιλεὺς καὶ ἐξανέστη, καὶ ἑώρα τὴν γραφὴν ἐκείνην, καὶ
οἱ συνεταῖροι κύκλῳ αὐτοῦ ἐκαυχῶντο. [7]καὶ ὁ βασιλεὺς ἐφώνησε 7
φωνῇ μεγάλῃ καλέσαι τοὺς ἐπαοιδοὺς καὶ φαρμακοὺς καὶ Χαλ-
δαίους καὶ γαζαρηνούς, ἀπαγγεῖλαι τὸ σύγκριμα τῆς γραφῆς. καὶ
εἰσεπορεύοντο ἐπὶ θεωρίαν ἰδεῖν τὴν γραφήν, καὶ τὸ σύγκριμα
τῆς γραφῆς οὐκ ἐδύναντο συγκρῖναι τῷ βασιλεῖ. τότε ὁ βασι-
λεὺς ἐξέθηκε πρόσταγμα λέγων Πᾶς ἀνὴρ ὃς ἂν ὑποδείξῃ τὸ
σύγκριμα τῆς γραφῆς, στολιεῖ αὐτὸν πορφύραν, καὶ μανιάκην χρυ-
σοῦν περιθήσει αὐτῷ, καὶ δοθήσεται αὐτῷ ἐξουσία τοῦ τρίτου μέρους
τῆς βασιλείας. [8]καὶ εἰσεπορεύοντο οἱ ἐπαοιδοὶ καὶ φαρμακοὶ καὶ 8
γαζαρηνοί, καὶ οὐκ ἠδύνατο οὐδεὶς τὸ σύγκριμα τῆς γραφῆς ἀπαγ-
γεῖλαι. [9]τότε ὁ βασιλεὺς ἐκάλεσε τὴν βασίλισσαν περὶ τοῦ ση- 9
μείου, καὶ ὑπέδειξεν αὐτῇ ὡς μέγα ἐστί, καὶ ὅτι πᾶς ἄνθρωπος οὐ
δύναται ἀπαγγεῖλαι τῷ βασιλεῖ τὸ σύγκριμα τῆς γραφῆς. [10]τότε 10
ἡ βασίλισσα ἐμνήσθη πρὸς αὐτὸν περὶ τοῦ Δανιήλ, ὃς ἦν ἐκ τῆς
αἰχμαλωσίας τῆς Ἰουδαίας, [11]καὶ εἶπεν τῷ βασιλεῖ Ὁ ἄνθρωπος 11
ἐπιστήμων ἦν καὶ σοφὸς καὶ ὑπερέχων πάντας τοὺς σοφοὺς Βαβυ-
λῶνος, [12]καὶ πνεῦμα ἅγιον ἐν αὐτῷ ἐστι, καὶ ἐν ταῖς ἡμέραις τοῦ 12
πατρός σου τοῦ βασιλέως συγκρίματα ὑπέρογκα ὑπέδειξε Ναβου-
χοδονοσὸρ τῷ πατρί σου. [13]Τότε Δανιὴλ εἰσήχθη πρὸς τὸν 13

Syr 6 και η ορασις αυτου] θ' τοτε του βασιλεως μορφη (η μ. Syr$^{\text{vid}}$) 87$^{\text{mg}}$ Syr$^{\text{mg}}$
7 απαγγειλαι] απαγγεῖ[87 9 του σημ.] του bis scr 87 11 υπερεχων]
υπερεσχε Syr$^{\text{vid}}$

6 χειρὸς τῆς γραφούσης. [6]τότε τοῦ βασιλέως ἡ μορφὴ ἠλλοιώθη, καὶ B
οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτόν, καὶ οἱ σύνδεσμοι τῆς
7 ὀσφύος αὐτοῦ διελύοντο, καὶ τὰ γόνατα αὐτοῦ συνεκροτοῦντο. [7]καὶ
ἐβόησεν ὁ βασιλεὺς ἐν ἰσχύι τοῦ εἰσαγαγεῖν μάγους, Χαλδαίους, γαζα-
ρηνούς, καὶ εἶπεν τοῖς σοφοῖς Βαβυλῶνος Ὃς ἂν ἀναγνῷ τὴν γρα-
φὴν ταύτην καὶ τὴν σύγκρισιν γνωρίσῃ μοι, πορφύραν ἐνδύσεται,
καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ τρίτος ἐν
8 τῇ βασιλείᾳ μου ἄρξει. [8]καὶ εἰσεπορεύοντο πάντες οἱ σοφοὶ τοῦ
βασιλέως, καὶ οὐκ ἠδύναντο τὴν γραφὴν ἀναγνῶναι οὐδὲ τὴν σύγ-
9 κρισιν γνωρίσαι τῷ βασιλεῖ. [9]καὶ ὁ βασιλεὺς Βαλτασὰρ ἐταράχθη,
καὶ ἡ μορφὴ αὐτοῦ ἠλλοιώθη ἐν αὐτῷ, καὶ οἱ μεγιστᾶνες αὐτοῦ
10 συνεταράσσοντο. [10]καὶ εἰσῆλθεν ἡ βασίλισσα εἰς τὸν οἶκον τοῦ
πότου καὶ εἶπεν Βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι· μὴ ταρασσέτωσάν σε
11 οἱ διαλογισμοί σου, καὶ ἡ μορφή σου μὴ ἀλλοιούσθω. [11]ἔστιν ἀνὴρ
ἐν τῇ βασιλείᾳ σου ἐν ᾧ πνεῦμα θεοῦ, καὶ ἐν ταῖς ἡμέραις τοῦ
πατρός σου γρηγόρησις καὶ σύνεσις εὑρέθη ἐν αὐτῷ, καὶ ὁ βασι-
λεὺς Ναβουχοδονοσὸρ ὁ πατήρ σου ἄρχοντα ἐπαοιδῶν, μάγων, Χαλ-
12 δαίων, γαζαρηνῶν, κατέστησεν αὐτόν, [12]ὅτι πνεῦμα περισσὸν ἐν
αὐτῷ καὶ φρόνησις καὶ σύνεσις· συνκρίνων ἐνύπνια καὶ ἀναγγέλ-
λων κρατούμενα καὶ λύων συνδέσμους Δανιήλ, καὶ ὁ βασιλεὺς ἐπέ-
θηκεν αὐτῷ ὄνομα Βαλτασάρ· νῦν οὖν κληθήτω, καὶ τὴν σύγκρισιν
13 αὐτοῦ ἀναγγελεῖ σοι. [13]Τότε Δανιὴλ εἰσήχθη ἐνώπιον τοῦ
βασιλέως, καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιὴλ Σὺ εἶ Δανιὴλ ὁ ἀπὸ
τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας ἧς ἤγαγεν ὁ βασιλεὺς ὁ
14 πατήρ μου; [14]ἤκουσα περὶ σοῦ ὅτι πνεῦμα θεοῦ ἐν σοί, καὶ γρη-
15 γόρησις καὶ σοφία περισσὴ εὑρέθη ἐν σοί. [15]καὶ νῦν εἰσῆλθον
ἐνώπιόν μου οἱ σοφοί, μάγοι, γαζαρηνοί, ἵνα τὴν γραφὴν ταύτην
ἀναγνῶσιν καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσωσίν μοι, καὶ οὐκ ἠδυνή-

6 συνεκροτουντο] συνεκρουοντο Q 7 εν ισχυι ο βασιλευς Q | Βαβυ- AQ
λωνοις B* (-νος B^{b}) | αν] εαν AQ | συγκρισιν] + αυτης A | επι] εσται περι A
8 επορευοντο Q* (εισεπ. Q^{mg}) | om παντες A | αναγνωναι την γραφην Q | τω
βασιλει γνωρισαι Q 9 Βαλτασαρ ο βασιλευς Q | εταραχθη] pr πολυ A | εν
αυτω] επ αυτω A om Q | συνεταρασσοντο (-σσαντο B* -σσοντο B^{ab})] συνετα-
ρασσον αυτον A 10 και 2°] + απεκριθη η βασιλεισσα και A | τον αιωνα]
τους αιωνας AQ 11 θεου] + αγιον AQ (superscr οι λο[ιποι] $Q^{?}$) | ηυρεθη Q*
(ευρ. Q^{a}) | εν 4°] ε|ν B* εν| $B^{?}$ | πατηρ] incep βα B* (πατ. B^{ab}) | αυτον] + ο
π̅η̅ρ̅ σου ο βασιλευς A 12 περισσον π̅ν̅α̅ Q | συνεσις] + εν αυτω B^{ab}A |
συγκρινων B^{ab}AQ | om αυτου Q 13 εισηχθη] εισηνεχθη Q | μου] + και
ειπεν ναι βασιλευ· και ειπεν Q 14 θεου] + αγιον Q | και 2°] + συνεσις
και B^{ab}AQ 15 μου] εμου AQ | μαγοι] + Χαλδαιοι Q | om ταυτην A |
γνωρισωσιν] αναγγειλωσιν (-σι Q^{a}) Q

87 *βασιλέα, καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπεν αὐτῷ* [16]*Ὦ Δανιήλ, δύνῃ* 16
μοι ὑποδεῖξαι τὸ σύγκριμα τῆς γραφῆς; καὶ στολιῶ σε πορφύραν
καὶ μανιάκην χρυσοῦν περιθήσω σοι, καὶ ἕξεις ἐξουσίαν τοῦ τρίτου
μέρους τῆς βασιλείας μου. [17]*τότε Δανιὴλ ἔστη κατέναντι τῆς γρα-* 17
φῆς καὶ ἀνέγνω, καὶ οὕτως ἀπεκρίθη τῷ βασιλεῖ Αὕτη ἡ γραφή
Ἠρίθμηται, κατελογίσθη, ἐξῆρται· καὶ ἔστη ἡ γράψασα χείρ, καὶ
αὕτη ἡ σύγκρισις αὐτῶν.

[23]*Βασιλεῦ, σὺ ἐποιήσω ἑστιατορίαν τοῖς φίλοις σου καὶ ἔπινες* 23
οἶνον, καὶ τὰ σκεύη τοῦ οἴκου τοῦ θεοῦ τοῦ ζῶντος ἠνέχθη σοι
καὶ ἐπίνετε ἐν αὐτοῖς, σὺ καὶ οἱ μεγιστᾶνές σου, καὶ ᾐνέσατε
πάντα τὰ εἴδωλα τὰ χειροποίητα τῶν ἀνθρώπων, καὶ τῷ θεῷ τῷ
ζῶντι οὐκ εὐλογήσατε, καὶ τὸ πνεῦμά σου ἐν τῇ χειρὶ αὐτοῦ, καὶ
τὸ βασίλειόν σου αὐτὸς ἔδωκέ σοι, καὶ οὐκ εὐλόγησας αὐτὸν

Syr 16 *Δανιηλ* 87[ed] | ras aliq in *σε* 87[?] 17 ΗΡΙΘΜΗΤΑΙ ΚΑΤΕΛΟΓΙϹΘΗ Syr[mg] 23 *ηνεσατε*] *ηνειτε* Syr | ⊥ *σοι και ουκ...ηνεσας αυτω* 87[vid] (sed deest ✓)

16 θησαν ἀναγγεῖλαί μοι. [16]καὶ ἐγὼ ἤκουσα περὶ σοῦ ὅτι δύνασαι B
κρίματα συνκρῖναι· νῦν οὖν ἐὰν δυνηθῇς τὴν γραφὴν ἀναγνῶναι
καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσῃς μοι, πορφύραν ἐνδύσῃ, καὶ ὁ
μανιάκης ὁ χρυσοῦς ἔσται ἐπὶ τῷ τραχήλῳ σου, καὶ τρίτος ἐν τῇ
17 βασιλείᾳ μου ἄρξεις. [17]καὶ εἶπεν Δανιὴλ ἐνώπιον τοῦ βασιλέως Τὰ
δόματά σου σοὶ ἔστω, καὶ τὴν δωρεὰν τῆς οἰκίας σου ἑτέρῳ δός·
ἐγὼ δὲ τὴν γραφὴν ἀναγνώσομαι καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσω
18 σοι. [18]βασιλεῦ, ὁ θεὸς ὁ ὕψιστος τὴν βασιλείαν καὶ τὴν μεγαλω-
σύνην καὶ τὴν τιμὴν καὶ τὴν δόξαν ἔδωκεν Ναβουχοδονοσορ τῷ
19 πατρί σου, [19]καὶ ἀπὸ τῆς μεγαλωσύνης ἧς ἔδωκεν αὐτῷ πάντες οἱ
λαοί, φυλαί, γλῶσσαι, ἦσαν τρέμοντες καὶ φοβούμενοι ἀπὸ προσ-
ώπου αὐτοῦ· οὓς ἠβούλετο αὐτὸς ἀνῄρει, καὶ οὓς ἠβούλετο αὐτὸς
ἔτυπτεν, καὶ οὓς ἠβούλετο αὐτὸς ὕψου, καὶ οὓς ἠβούλετο αὐτὸς ἐτα-
20 πείνου. [20]καὶ ὅτε ὑψώθη ἡ καρδία αὐτοῦ καὶ τὸ πνεῦμα αὐτοῦ
ἐκραταιώθη τοῦ ὑπερηφανεύσασθαι, κατηνέχθη ἀπὸ τοῦ θρόνου τῆς
21 βασιλείας καὶ ἡ τιμὴ ἀφῃρέθη ἀπ' αὐτοῦ, [21]καὶ ἀπὸ τῶν ἀνθρώπων
ἐξεδιώχθη, καὶ ἡ καρδία αὐτοῦ¶ μετὰ τῶν θηρίων ἐδόθη, καὶ μετὰ ¶ Q
ὀνάγρων ἡ κατοικία αὐτοῦ, καὶ χόρτον ὡς βοῦν ἐψώμιζον αὐτόν,
καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ ἔγνω
ὅτι κυριεύει ὁ θεὸς ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ
22 ᾧ ἂν δόξῃ δώσει αὐτήν. [22]καὶ σὺ οὖν ὁ υἱὸς αὐτοῦ Βαλτασαρ
οὐκ ἐταπείνωσας τὴν καρδίαν σου κατενώπιον τοῦ θεοῦ· οὐ πάντα
23 ταῦτα ἔγνως· [23]καὶ ἐπὶ τὸν κύριον θεὸν τοῦ οὐρανοῦ ὑψώθης, καὶ
τὰ σκεύη τοῦ οἴκου αὐτοῦ ἤνεγκας ἐνώπιόν σου, καὶ σὺ καὶ οἱ
μεγιστᾶνές σου καὶ αἱ παλλακαί σου καὶ αἱ παράκοιτοί σου οἶνον
ἐπίνετε ἐν αὐτοῖς· καὶ τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ ἀργυροῦς καὶ
χαλκοῦς καὶ σιδηροῦς καὶ ξυλίνους καὶ λιθίνους, οἳ οὐ βλέπουσιν
καὶ οἳ οὐκ ἀκούουσιν καὶ οὐ γινώσκουσιν, ᾔνεσας, καὶ τὸν θεὸν οὗ
ἡ πνοή σου ἐν χειρὶ αὐτοῦ καὶ πᾶσαι αἱ ὁδοί σου, αὐτὸν οὐκ ἐδό-

16 *οτι*] + *συ* A | om *κριματα* Q* (hab *συγκριματα* Q$^{(mg)}$) | *συνκριναι* (*συγκρ.* AQ) AQ] *συγκρινειν* A | *εαν δυνηθης*] *ει δυνασαι* Q* (*δυνηθης* Q^{mg}) | *γραφην*] + *ταυτην* A | *γνωρισης*] *γνωρισαι* A *αναγγειλαι* Q | *επι τω τραχηλω*] *περι τον τραχηλον* A *επι τον τραχηλον* Q 17 *και ειπεν*] *τοτε απεκριθη* AQ | *Δανιηλ*] + *και ειπεν* Q | *σοι*] pr *συν* A | *της οικιας*] *του οικου* Q | *αναγνωσομαι*] + *τω βασιλει* A 19 *μεγαλοσυνης* B* (-*λωσ.* B$^{b\,mk}$) | om *ης* B* (superscr B^{ab}) | *ηβουλετο* quater] *εβουλετο* AQ (in *ηβ.* 1° *η* non inst B^{b}) | *τυπτεν* Q* (*ετ.* Q^{a}) | *υψου* B^{b}Q 20 *υπερηφανευεσθαι* AQ | *απο του θρονου της βασιλειας*] *απο της β. αυτου και απο του θρ. αυτου* Q | *βασιλειας*] + *αυτου* A 21 *εξεδιωχθη απο των ανων* Q | *κατοικεια* A | *εγνω* A | om *ο θεος* A | *αν*] *εαν* A 22 om *ουν* A | *κατενωπιον*] *ενωπιον* A 23 *ηνεγκας*] *ηνεγκαν* B$^{?}$ (-*γκας* B$^{*\,fort}$A) | *αι παρακοιτοι*] om *αι* A | om *και οι ουκ ακουουσιν* A | *χειρι*] pr *τη* A

87 οὐδὲ ᾔνεσας αὐτῷ. [26]τοῦτο τὸ σύγκριμα τῆς γραφῆς Ἠρίθμηται 26
ὁ χρόνος σου τῆς βασιλείας, ἀπολήγει ἡ βασιλεία σου· [27]συντέ- 27
τμηται καὶ συντετέλεσται· [28]ἡ βασιλεία σου τοῖς Μήδοις καὶ τοῖς 28
Πέρσαις δίδοται. [29]τότε Βαλτασὰρ ὁ βασιλεὺς ἐνέδυσε τὸν Δανιὴλ 29
πορφύραν, καὶ μανιάκην χρυσοῦν περιέθηκεν αὐτῷ, καὶ ἔδωκεν
ἐξουσίαν αὐτῷ τοῦ τρίτου μέρους τῆς βασιλείας αὐτοῦ. [30]καὶ τὸ 30
σύγκριμα ἐπῆλθε Βαλτασὰρ τῷ βασιλεῖ, καὶ τὸ βασίλειον ἐξῆρται
ἀπὸ τῶν Χαλδαίων καὶ ἐδόθη τοῖς Μήδοις καὶ τοῖς Πέρσαις.
[31]καὶ Ἀρταξέρξης ὁ τῶν Μήδων παρέλαβε τὴν βασιλείαν. 31 (VI) (1)
[1]Καὶ Δαρεῖος πλήρης τῶν ἡμερῶν καὶ ἔνδοξος ἐν γήρει· [(2)]καὶ 1 VI (2)
κατέστησε σατράπας ἑκατὸν εἴκοσι ἑπτὰ ἐπὶ πάσης τῆς βασιλείας
αὐτοῦ, [2]καὶ ἐπ᾽ αὐτῶν ἄνδρας τρεῖς ἡγουμένους αὐτῶν. καὶ 2 (3)
Δανιὴλ εἷς ἦν τῶν τριῶν ἀνδρῶν, [3]ὑπὲρ πάντας ἔχων ἐξουσίαν ἐν 3 (4)
τῇ βασιλείᾳ. καὶ Δανιὴλ ἦν ἐνδεδυμένος πορφύραν καὶ μέγας
καὶ ἔνδοξος ἔναντι Δαρείου τοῦ βασιλέως, καθότι ἦν ἔνδοξος καὶ
ἐπιστήμων καὶ συνετός, καὶ πνεῦμα ἅγιον ἐν αὐτῷ, καὶ εὐοδού-
μενος ἐν ταῖς πραγματείαις τοῦ βασιλέως αἷς ἔπρασσε. τότε ὁ
βασιλεὺς ἐβουλεύσατο καταστῆσαι τὸν Δανιὴλ ἐπὶ πάσης τῆς
βασιλείας αὐτοῦ καὶ τοὺς δύο ἄνδρας, οὓς κατέστησε μετ᾽ αὐτοῦ,
καὶ σατράπας ἑκατὸν εἴκοσι ἑπτά. [4]ὅτε δὲ ἐβουλεύσατο ὁ βασι- 4 (5)
λεὺς καταστῆσαι τὸν Δανιὴλ ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ, τότε
βουλὴν καὶ γνώμην ἐβουλεύσαντο ἐν ἑαυτοῖς οἱ δύο νεανίσκοι
πρὸς ἀλλήλους λέγοντες, ἐπεὶ οὐδεμίαν ἁμαρτίαν οὐδὲ ἄγνοιαν
ηὕρισκον κατὰ τοῦ Δανιὴλ περὶ ἧς κατηγορήσουσιν αὐτοῦ πρὸς
τὸν βασιλέα, [5]καὶ εἶπαν Δεῦτε στήσωμεν ὁρισμὸν καθ᾽ ἑαυτῶν, 5 (6)
ὅτι πᾶς ἄνθρωπος οὐκ ἀξιώσει ἀξίωμα καὶ οὐ μὴ εὔξηται εὐχὴν
ἀπὸ παντὸς θεοῦ ἕως ἡμερῶν τριάκοντα, ἀλλ᾽ ἢ παρὰ Δαρείου
τοῦ βασιλέως· εἰ δὲ μή, ἀποθανεῖται· ἵνα ἡττήσωσι τὸν Δανιὴλ
ἐναντίον τοῦ βασιλέως, καὶ ῥιφῇ εἰς τὸν λάκκον τῶν λεόντων.
ᾔδεισαν γὰρ ὅτι Δανιὴλ προσεύχεται καὶ δεῖται Κυρίου τοῦ θεοῦ
αὐτοῦ τρὶς τῆς ἡμέρας. [6]τότε προσῆλθοσαν οἱ ἄνθρωποι ἐκεῖνοι 6 (7)
καὶ εἶπαν ἐναντίον τοῦ βασιλέως [7]Ὁρισμὸν καὶ στάσιν ἐστήσαμεν, 7 (8)
ὅτι πᾶς ἄνθρωπος ὃς ἂν εὔξηται εὐχὴν ἢ ἀξιώσῃ ἀξίωμά τι παρὰ

Syr **26—28** η βασιλεια σου·| συντετμηται· και| συντετελεσται· η| βασιλεια σου· sic distinx 87 **29** ο βασιλευς] σι sup ras 87[?] **30** και το συγκριμα επηλθε Β. τω βασιλει] [θ′] εν ταυτη τη νυκτι ανηρεθη Β. ο βασιλευς ο Χαλδαιος Syr[mg] **31** ο των Μηδων] ο βασιλευς των Περσων Syr[mg] VI **3** παντας] τ sup litur 87[?] | βασιλεως 1°] ε sup ras 87[a] | ÷και ευοδουμενος (superscr ÷) εν ταις πραγματειαις ÷ του βασιλεως αις επρασσε 87 (deest ⋖) και ευοδ. ην (ut vid) + εν τ. πρ. τ. βασ. αις επρ. Syr **4** ουδε μιαν 87

24 ξασας. 24 διὰ τοῦτο ἐκ προσώπου αὐτοῦ ἀπεστάλη ἀστράγαλος B
25 χειρὸς καὶ τὴν γραφὴν ταύτην ἐνέταξεν. 25 καὶ αὕτη ἡ γραφὴ ἡ
26 ἐντεταγμένη Μανή, θεκέλ, φαρές. 26 τοῦτο τὸ σύγκριμα τοῦ ῥή-
ματος· μανή, ἐμέτρησεν ὁ θεὸς τὴν βασιλείαν σου καὶ ἐπλήρωσεν
27 28 αὐτήν· 27 θεκέλ, ἐστάθη ἐν ζυγῷ καὶ εὑρέθη ὑστεροῦσα· 28 φαρές,
29 διῄρηται ἡ βασιλεία σου καὶ ἐδόθη Μήδοις καὶ Πέρσαις. 29 καὶ εἶ-
πεν Βαλτασάρ, καὶ ἐνέδυσαν τὸν Δανιὴλ πορφύραν, καὶ τὸν μα-
νιάκην τὸν χρυσοῦν περιέθηκαν περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἐκή-
30 ρυξεν περὶ αὐτοῦ εἶναι αὐτὸν ἄρχοντα τρίτον ἐν τῇ βασιλείᾳ. 30 ἐν
(VI) (1) 31 αὐτῇ τῇ νυκτὶ ἀναιρέθη Βαλτασὰρ ὁ βασιλεὺς ὁ Χαλδαίων, 31 καὶ
Δαρεῖος ὁ Μῆδος παρέλαβεν τὴν βασιλείαν, ὢν ἐτῶν ἑξήκοντα δύο.
(2) (VI) 1 1 Καὶ ἤρεσεν ἐνώπιον Δαρείου, καὶ κατέστησεν ἐπὶ τῆς βασι-
λείας σατράπας ἑκατὸν εἴκοσι τοῦ εἶναι αὐτοὺς ἐν ὅλῃ τῇ βασιλείᾳ
(3) 2 αὐτοῦ, 2 καὶ ἐπάνω αὐτῶν τακτικοὺς τρεῖς, ὃς ἦν Δανιὴλ εἷς ἐξ
αὐτῶν, τοῦ ἀποδιδόναι αὐτοῖς τοὺς σατράπας λόγον, ὅπως ὁ
(4) 3 βασιλεὺς μὴ ἐνοχλῆται. 3 καὶ ἦν Δανιὴλ ὑπὲρ αὐτούς, ὅτι πνεῦμα
περισσὸν ἐν αὐτῷ, καὶ ὁ βασιλεὺς κατέστησεν αὐτὸν ἐφ᾽ ὅλης
(5) 4 τῆς βασιλείας αὐτοῦ. 4 καὶ οἱ τακτικοὶ καὶ οἱ σατράπαι ἐζήτουν
πρόφασιν εὑρεῖν κατὰ Δανιήλ· καὶ πᾶσαν πρόφασιν καὶ παρά-
(6) 5 πτωμα καὶ ἀμβλάκημα οὐχ εὗρον κατ᾽ αὐτοῦ, ὅτι πιστὸς ἦν. 5 καὶ
εἶπον οἱ τακτικοί Οὐχ εὑρήσομεν κατὰ Δανιὴλ πρόφασιν εἰ μὴ
(7) 6 ἐν νομίμοις θεοῦ αὐτοῦ. 6 τότε οἱ τακτικοὶ καὶ οἱ σατράπαι
παρέστησαν τῷ βασιλεῖ καὶ εἶπαν αὐτῷ Δαρεῖε βασιλεῦ, εἰς τὸν
(8) 7 αἰῶνα ζῆθι. 7 συνεβουλεύσαντο πάντες οἱ ἐπὶ τῆς βασιλείας
σου στρατηγοὶ καὶ σατράπαι, ὕπατοι καὶ τοπάρχαι, στῆσαι στάσει
βασιλικῇ καὶ ἐνισχῦσαι ὁρισμόν, ὅπως ὃς ἂν αἰτήσῃ αἴτημα

26 του ρημ sup ras B$^{?}$ 29 πρφυραν B* (πορφ. B^{ab}) | ειναι] A pr του A | βασιλεια] + αυτου A | subscr ορασις ς′ A 30 superscr ορασις ζ′ A | ανερεθη B* ανηρεθη B^{ab}A | om ο βασιλευς ο Χαλδαιων A | Χαλδαιος B^{ab} 31 Δαριος B* (Δαρειος B^{ab}) VI 1 Δαριου B* (Δαρειου B^{ab}): item 28 | ολη] παση A 2 ος] ων A 3 εν] ην ετ A 4 αμπλακημα B^{ab} 5 νομιμοις] νομοις A 6 Δαριε B* (Δαρειε B^{ab}) | τον αιωνα] τους αιωνας B^{ab}A 7 τοπαρχαι] τοπαρχ sup ras B^{ab} | στησαι στασει βασιλικη] του στησαι στασιν βασιλεικην A | αιτηση] αιτησηται A

87 παντὸς θεοῦ ἕως ἡμερῶν τριάκοντα ἀλλ' ἢ παρὰ Δαρείου τοῦ
βασιλέως, ῥιφήσεται εἰς τὸν λάκκον τῶν λεόντων. 9 καὶ οὕτως ὁ 9 (10)
βασιλεὺς Δαρεῖος ἔστησε καὶ ἐκύρωσεν. 10 ἐπιγνοὺς δὲ Δανιὴλ 10 (11)
τὸν ὁρισμὸν ὃν ἔστησε κατ' αὐτοῦ, θυρίδας ἤνοιξεν ἐν τῷ ὑπερῴῳ
αὐτοῦ κατέναντι Ἰερουσαλήμ, καὶ ἔπιπτεν ἐπὶ πρόσωπον αὐτοῦ
τρὶς τῆς ἡμέρας, καθὼς ἐποίει ἔμπροσθεν, καὶ ἐδεῖτο. 11 καὶ αὐτοὶ 11 (12)
ἐτήρησαν τὸν Δανιήλ, καὶ κατελάβοσαν αὐτὸν εὐχόμενον τρὶς τῆς
ἡμέρας καθ' ἑκάστην ἡμέραν. 12 τότε οὗτοι οἱ ἄνθρωποι ἐνέτυχον 12 (13)
τῷ βασιλεῖ καὶ εἶπαν Δαρεῖε βασιλεῦ, οὐχ ὁρισμὸν ὡρίσω ἵνα
πᾶς ἄνθρωπος μὴ εὔξηται εὐχὴν μηδὲ ἀξιώσῃ ἀξίωμα παρὰ
παντὸς θεοῦ ἕως ἡμερῶν τριάκοντα ἀλλὰ παρὰ σοῦ, βασιλεῦ· εἰ
δὲ μή, ῥιφήσεται εἰς τὸν λάκκον τῶν λεόντων; ἀποκριθεὶς δὲ ὁ
βασιλεὺς εἶπεν αὐτοῖς Ἀκριβὴς ὁ λόγος, καὶ μενεῖ ὁ ὁρισμός.
12a καὶ εἶπον αὐτῷ Ὁρκίζομέν σε τοῖς Μήδων καὶ Περσῶν δόγ- 12a (13a)
μασιν, ἵνα μὴ ἀλλοιώσῃς τὸ πρόσταγμα μηδὲ θαυμάσῃς πρόσω-
πον, καὶ ἵνα μὴ ἐλαττώσῃς τι τῶν εἰρημένων, καὶ κολάσῃς τὸν
ἄνθρωπον ὃς οὐκ ἐνέμεινε τῷ ὁρισμῷ τούτῳ. καὶ εἶπεν Οὕτως
ποιήσω καθὼς λέγετε, καὶ ἕστηκέ μοι τοῦτο. 13 καὶ εἶπον Ἰδοὺ 13 (14)
εὕρομεν Δανιὴλ τὸν φίλον σου εὐχόμενον καὶ δεόμενον τοῦ
προσώπου τοῦ θεοῦ αὐτοῦ τρὶς τῆς ἡμέρας. 14 καὶ λυπούμενος ὁ 14 (15)
βασιλεὺς εἶπεν ῥιφῆναι τὸν Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων,
κατὰ τὸν ὁρισμὸν ὃν ἔστησε κατ' αὐτοῦ. τότε ὁ βασιλεὺς σφόδρα
ἐλυπήθη ἐπὶ τῷ Δανιήλ, καὶ ἐβοήθει τοῦ ἐξελέσθαι αὐτὸν ἕως
δυσμῶν ἡλίου ἀπὸ τῶν χειρῶν τῶν σατραπῶν, 15 καὶ οὐκ ἠδύνατο 15 (16)
ἐξελέσθαι αὐτὸν ἀπ' αὐτῶν. 16 ἀναβοήσας δὲ Δαρεῖος ὁ βασιλεὺς 16 (17)
εἶπε τῷ Δανιὴλ Ὁ θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς τρὶς τῆς
ἡμέρας, αὐτὸς ἐξελεῖταί σε ἐκ χειρὸς τῶν λεόντων· ἕως πρωὶ
θάρρει. 17 τότε Δανιὴλ ἐρρίφη εἰς τὸν λάκκον τῶν λεόντων, καὶ 17 (18)
ἠνέχθη λίθος καὶ ἐτέθη εἰς τὸ στόμα τοῦ λάκκου, καὶ ἐσφραγίσατο
ὁ βασιλεὺς ἐν τῷ δακτυλίῳ ἑαυτοῦ καὶ ἐν τοῖς δακτυλίοις τῶν
μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀπ' αὐτῶν ἀρθῇ ὁ Δανιὴλ ἢ ὁ
βασιλεὺς αὐτὸν ἀνασπάσῃ ἐκ τοῦ λάκκου. 18 τότε ὑπέστρεψεν 18 (19)
ὁ βασιλεὺς εἰς τὰ βασίλεια αὐτοῦ καὶ ηὐλίσθη νῆστις, καὶ ἦν

Syr 7 λεοντων] + και ηξιωσαν τον βασιλεα ινα στηση τον ορισμον και μη αλλοιωση αυτον διοτι ηδεισαν οτι Δανιηλ προσευχεται και δειται τρις της ημερας ινα ηττηθη δια του βασιλεως και ριφη εις τον λακκον των λεοντων Syr 10 εμπροσθεν] pr και Syr[vid] 12 Δαρει]| 87 | ορισμον] inter ο et ρ ras aliq 87[?] | ει δε μη bis scr 87[*] (improb 2° 87[?]) 12a om τι Syr | και 4°] αλλα (superscr) 87[?] | λεγετε] ε 3° sup ras (fort prius αι) 87[?] 14 εστησαν Syr | εβοηθει] ει sup ras (fort prius η) 87[?] 17 + η ο βασιλευς... λακκου 87 Syr 18 και ηυλισθη νηστις] (θ') κ. εκοιμηθη αδειπνος Syr[mg]

παρὰ παντὸς θεοῦ καὶ ἀνθρώπου ἕως ἡμερῶν τριάκοντα ἀλλ᾽ ἢ B
παρὰ σοῦ, βασιλεῦ, ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λεόντων.
(9) 8 [8]νῦν οὖν, βασιλεῦ, στῆσον τὸν ὁρισμὸν καὶ ἔκθες γραφήν, ὅπως
(10) 9 μὴ ἀλλοιωθῇ τὸ δόγμα Περσῶν καὶ Μήδων. [9]τότε ὁ βασιλεὺς
(11) 10 Δαρεῖος ἐπέταξεν γραφῆναι τὸ δόγμα. [10]καὶ Δανιήλ, ἡνίκα ἔγνω
ὅτι ἐνετάγη τὸ δόγμα, εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ· καὶ αἱ
θυρίδες ἀνεῳγμέναι αὐτῷ ἐν τοῖς ὑπερῴοις αὐτοῦ κατέναντι
Ἰερουσαλήμ, καὶ καιροὺς τρεῖς τῆς ἡμέρας ἦν κάμπτων ἐπὶ τὰ
γόνατα αὐτοῦ, καὶ προσευχόμενος καὶ ἐξομολογούμενος ἐναντίον
(12) 11 τοῦ θεοῦ αὐτοῦ, καθὼς ἦν ποιῶν ἔμπροσθεν. [11]τότε οἱ ἄνδρες
ἐκεῖνοι παρετήρησαν, καὶ εὗρον τὸν Δανιὴλ ἀξιοῦντα καὶ δεό-
(13) 12 μενον τοῦ θεοῦ αὐτοῦ. [12]καὶ προσελθόντες λέγουσιν τῷ βασιλεῖ
Βασιλεῦ, οὐχ ὁρισμὸν ἔταξας ὅπως πᾶς ἄνθρωπος ὃς ἂν αἰτήσῃ
παρὰ παντὸς θεοῦ καὶ ἀνθρώπου αἴτημα ἕως ἡμερῶν τριάκοντα
ἀλλ᾽ ἢ παρὰ σοῦ, βασιλεῦ, ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν
λεόντων; καὶ εἶπεν ὁ βασιλεύς Ἀληθινὸς ὁ λόγος, καὶ τὸ δόγμα
(14) 13 Μήδων καὶ Περσῶν οὐ παρελεύσεται. [13]τότε ἀπεκρίθησαν καὶ
λέγουσιν ἐνώπιον τοῦ βασιλέως Δανιὴλ ἀπὸ τῶν υἱῶν τῆς
αἰχμαλωσίας τῆς Ἰουδαίας οὐχ ὑπετάγη τῷ δόγματί σου, καὶ
καιροὺς τρεῖς τῆς ἡμέρας αἰτεῖ παρὰ τοῦ θεοῦ αὐτοῦ τὰ αἰτήματα
(15) 14 αὐτοῦ. [14]τότε ὁ βασιλεύς, ὡς τὸ ῥῆμα ἤκουσεν, πολὺ ἐλυπήθη
ἐπ᾽ αὐτῷ, καὶ περὶ τοῦ Δανιὴλ ἠγωνίσατο τοῦ ἐξελέσθαι αὐτόν.
(16) 15 [15]τότε οἱ ἄνδρες ἐκεῖνοι λέγουσιν τῷ βασιλεῖ Γνῶθι, βασιλεῦ,
ὅτι τὸ δόγμα Μήδοις καὶ Πέρσαις, τοῦ πᾶν ὁρισμὸν καὶ στάσιν
(17) 16 ἣν ἂν ὁ βασιλεὺς στήσῃ, οὐ δεῖ παραλλάξαι. [16]τότε ὁ βασιλεὺς
εἶπεν, καὶ ἤγαγον τὸν Δανιὴλ καὶ ἐνέβαλον εἰς τὸν λάκκον τῶν
λεόντων· καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ Ὁ θεός σου, ᾧ σὺ
(18) 17 λατρεύεις ἐνδελεχῶς, αὐτὸς ἐξελεῖταί σε. [17]καὶ ἤνεγκαν λίθον
καὶ ἐπέθηκαν ἐπὶ τὸ στόμα τοῦ λάκκου, καὶ ἐσφραγίσατο ὁ
βασιλεὺς ἐν τῷ δακτυλίῳ αὐτοῦ καὶ ἐν τῷ δακτυλίῳ τῶν μεγι-
(19) 18 στάνων αὐτοῦ, ὅπως μὴ ἀλλοιωθῇ πρᾶγμα ἐν τῷ Δανιήλ. [18]καὶ
ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὸν οἶκον αὐτοῦ καὶ ἐκοιμήθη ἄδειπνος,

7 ανθρωπων A 8 τον ορισμον] om τον A | εχθες B^{*}A (εκθες B^{b}) | A Μηδων και Περσων A 9 Δαριος B^{*} (Δαρειος B^{ab}) A : item 25 10 αυτου 1°] εαυτου A | ηνεωγμεναι A 12 ουχ] ουχι A | αιτηση] αιτησηται A 13 απο] pr ο A | σου] + περι του ορισμου ου εταξας A | αιτει] αιτειτε A 14 αυτον] + και εως εσπερας ην αγωνιζομενος του (om A) εξελεσθαι αυτον $B^{ab\,mg\,inf}$ A 15 om αν A | στησει A 16 ενεβαλον] + αυτον B^{ab}A | om συ A 17 ηνεγκεν A | επεθηκεν A | om ο βασιλευς A

87 λυπούμενος περὶ τοῦ Δανιήλ. τότε ὁ θεὸς τοῦ Δανιὴλ πρόνοιαν
ποιούμενος αὐτοῦ ἀπέκλεισε τὰ στόματα τῶν λεόντων, καὶ οὐ
παρηνώχλησαν τῷ Δανιήλ. [19]καὶ ὁ βασιλεὺς Δαρεῖος ὤρθρισε 19 (20)
πρωὶ καὶ παρέλαβε μεθ᾽ ἑαυτοῦ τοὺς σατράπας, καὶ πορευθεὶς
ἔστη ἐπὶ τοῦ στόματος τοῦ λάκκου τῶν λεόντων. [20]τότε ὁ 20 (21)
βασιλεὺς ἐκάλεσε τὸν Δανιὴλ φωνῇ μεγάλῃ μετὰ κλαυθμοῦ λέγων
Ὦ Δανιήλ, εἰ ἄρα ζῇς, καὶ ὁ θεός σου, ᾧ λατρεύεις ἐνδελεχῶς,
σέσωκέ σε ἀπὸ τῶν λεόντων, καὶ οὐκ ἠχρείωκάν σε; [21]τότε 21 (22)
Δανιὴλ ἐπήκουσε φωνῇ μεγάλῃ καὶ εἶπεν [22]Βασιλεῦ, ἔτι εἰμὶ ζῶν, 22 (23)
καὶ σέσωκέ με ὁ θεὸς ἀπὸ τῶν λεόντων, καθότι δικαιοσύνη ἐν
ἐμοὶ εὑρέθη ἐναντίον αὐτοῦ· καὶ ἐναντίον δὲ σοῦ, βασιλεῦ, οὔτε
ἄγνοια οὔτε ἁμαρτία εὑρέθη ἐν ἐμοί· σὺ δὲ ἤκουσας ἀνθρώπων
πλανώντων βασιλεῖς καὶ ἔρριψάς με εἰς τὸν λάκκον τῶν λεόντων
εἰς ἀπώλειαν. [23]τότε συνήχθησαν πᾶσαι αἱ δυνάμεις καὶ εἶδον 23 (24)
τὸν Δανιήλ, ὡς οὐ παρηνώχλησαν αὐτῷ οἱ λέοντες. [24]τότε οἱ 24 (25)
δύο ἄνθρωποι ἐκεῖνοι οἱ καταμαρτυρήσαντες τοῦ Δανιήλ, αὐτοὶ
καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν, ἐρρίφησαν τοῖς
λέουσι, καὶ οἱ λέοντες ἀπέκτειναν αὐτοὺς καὶ ἔθλασαν τὰ ὀστᾶ
αὐτῶν. [25]Τότε Δαρεῖος ἔγραψε πᾶσι τοῖς ἔθνεσι καὶ γλώσσαις 25 (26)
καὶ χώραις τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ αὐτοῦ λέγων [26]Πάντες 26 (27)
οἱ ἄνθρωποι οἱ ὄντες ἐν τῇ βασιλείᾳ μου ἔστωσαν προσκυνοῦντες
καὶ λατρεύοντες τῷ θεῷ τοῦ Δανιήλ· αὐτὸς γάρ ἐστι θεὸς μένων
καὶ ζῶν εἰς γενεὰς γενεῶν ἕως τοῦ αἰῶνος. [27]ἐγὼ Δαρεῖος ἔσομαι 27 (28)
αὐτῷ προσκυνῶν καὶ δουλεύων πάσας τὰς ἡμέρας μου· τὰ γὰρ
εἴδωλα τὰ χειροποίητα οὐ δύνανται σῶσαι, ὡς ἐλυτρώσατο ὁ
θεὸς τοῦ Δανιὴλ τὸν Δανιήλ. [28]καὶ ὁ βασιλεὺς Δαρεῖος προσετέθη 28 (29)
πρὸς τὸ γένος αὐτοῦ, καὶ Δανιὴλ κατεστάθη ἐπὶ τῆς βασιλείας
Δαρείου· καὶ Κῦρος ὁ Πέρσης παρέλαβε τὴν βασιλείαν αὐτοῦ.

[1]Ἔτους πρώτου βασιλεύοντος Βαλτασὰρ χώρας Βαβυλωνίας 1 VII
Δανιὴλ ὅραμα εἶδε παρὰ κεφαλὴν ἐπὶ τῆς κοίτης αὐτοῦ. τότε
Δανιὴλ τὸ ὅραμα, ὃ εἶδεν, ἔγραψεν εἰς κεφάλαια λόγων. [2]Ἐπὶ τῆς 2
κοίτης μου ἐθεώρουν καθ᾽ ὕπνους νυκτός, καὶ ἰδοὺ τέσσαρες ἄνεμοι

Syr **20** απο|πο 87 **22** om και 3° Syr **24** τα| τα οστα 87
25 χωραις κ. γλωσσαις Syr **26** προσκυνῶν|τες 87[cd] **28** προς το γενος]
adnot (ut vid) προς τους πατερας Syr[mg] | + και Δανιηλ (÷ 87)...Δαρειου 87 Syr

καὶ ἐδέσματα οὐκ εἰσήνεγκαν αὐτῷ, καὶ ὁ ὕπνος ἀπέστη ἀπ' αὐτοῦ. B
καὶ ἔκλεισεν ὁ θεὸς τὰ στόματα τῶν λεόντων, καὶ οὐ παρηνώ-
(20) 19 χλησαν τῷ Δανιήλ. [19]τότε ὁ βασιλεὺς ἀνέστη τὸ πρωὶ ἐν τῷ
(21) 20 φωτί, καὶ ἐν σπουδῇ ἦλθεν ἐπὶ τὸν λάκκον τῶν λεόντων. [20]καὶ
ἐν τῷ ἐγγίζειν αὐτὸν τῷ λάκκῳ ἐβόησεν φωνῇ ἰσχυρᾷ Δανιὴλ
ὁ δοῦλος τοῦ θεοῦ τοῦ ζῶντος, ὁ θεός σου, ᾧ σὺ λατρεύεις
ἐνδελεχῶς, εἰ ἠδυνήθη ἐξελέσθαι σε ἐκ στόματος τῶν λεόντων;
(22) 21 [21]καὶ εἶπεν Δανιὴλ τῷ βασιλεῖ Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι.
(23) 22 [22]ὁ θεός μου ἀπέστειλεν τὸν ἄγγελον αὐτοῦ καὶ ἐνέφραξεν τὰ
στόματα τῶν λεόντων, καὶ οὐκ ἐλυμήναντό με, ὅτι κατέναντι
αὐτοῦ εὐθύτης ηὑρέθη μοι· καὶ ἐνώπιον δὲ σοῦ, βασιλεῦ, παρά-
(24) 23 πτωμα οὐκ ἐποίησα. [23]τότε ὁ βασιλεὺς πολὺ ἠγαθύνθη ἐπ' αὐτῷ,
καὶ τὸν Δανιὴλ εἶπεν ἀνενέγκαι ἐκ τοῦ λάκκου. καὶ ἀνηνέχθη
Δανιὴλ ἐκ τοῦ λάκκου, καὶ πᾶσα διαφθορὰ οὐχ εὑρέθη ἐν αὐτῷ,
(25) 24 ὅτι ἐπίστευσεν ἐν τῷ θεῷ αὐτοῦ. [24]καὶ εἶπεν ὁ βασιλεύς, καὶ
ἠγάγοσαν τοὺς ἄνδρας τοὺς διαβαλόντας τὸν Δανιήλ, καὶ εἰς τὸν
λάκκον τῶν λεόντων ἐνεβλήθησαν, αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ
γυναῖκες αὐτῶν· καὶ οὐκ ἔφθασαν εἰς τὸ ἔδαφος τοῦ λάκκου ἕως
οὗ ἐκυρίευσαν αὐτῶν οἱ λέοντες, καὶ πάντα τὰ ὀστᾶ αὐτῶν
(26) 25 ἐλέπτυναν. [25]Τότε Δαρεῖος ὁ βασιλεὺς ἔγραψεν πᾶσι τοῖς
λαοῖς φυλαῖς γλώσσαις τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ Εἰρήνη
(27) 26 ὑμῖν πληθυνθείη. [26]ἐκ προσώπου μου ἐτέθη δόγμα τοῦτο, ἐν
πάσῃ ἀρχῇ τῆς βασιλείας μου εἶναι τρέμοντας καὶ φοβουμένους
ἀπὸ προσώπου τοῦ θεοῦ Δανιήλ, ὅτι αὐτός ἐστιν θεὸς ζῶν καὶ
μένων εἰς τοὺς αἰῶνας, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται,
(28) 27 καὶ ἡ κυρία αὐτοῦ ἕως τέλους· [27]ἀντιλαμβάνεται καὶ ῥύεται, καὶ
ποιεῖ σημεῖα καὶ τέρατα ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, ὅστις ἐξείλατο
(29) 28 τὸν Δανιὴλ ἐκ χειρὸς τῶν λεόντων. [28]καὶ Δανιὴλ κατεύθυνεν ἐν
τῇ βασιλείᾳ Δαρείου καὶ ἐν τῇ βασιλείᾳ Κύρου τοῦ Πέρσου.

VII 1 [1]§ [1]Ἐν ἔτει τρίτῳ Βαλτασὰρ βασιλέως Χαλδαίων Δανιὴλ ἐνύπνιον § Γ
ἴδεν, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τῆς κοίτης αὐτοῦ, καὶ
2 τὸ ἐνύπνιον αὐτοῦ ἔγραψεν. [2]Ἐγὼ Δανιὴλ ἐθεώρουν, καὶ ἰδοὺ οἱ

18 εισηνεγκαν] εισηνεχθη A | ο υπνος]+αυτου A | απεστη] εγενετο A AΓ 20 λακκω]+τω Δανιηλ A | ισχυρα] μεγαλη A | om συ A | ηδυνηθη] εδυνασθη A 22 κατεναντι] κατεναντιον A | ηυρεθη μοι] ευρεθη εν εμοι A 23 om εν 2° A 24 ηγαγο| A | ενεβληθησαν] εβληθησαν A | αυτων 1°] ων sup ras B^{ab} 25 Δαριος B*A | ο βασιλευς Δαριος A | πασιν A 26 τουτο] του A | om εστιν A | κυρεια B^a κυριεια A 28 κατηυθυνεν A | Δαριου BA | subscr ορασις ϛ' A VII 1 superscr ορασις η' A superscr ⁜ ορασις . . ⁜ Γ | τριτω] πρωτω B^{ab}A | ειδεν B^{ab} ειδε[ν?] Γ | ορασις A | om αυτου 3° AΓ 2 Δανιηλ] +εν ορα[ματι] της νυ[κτος] $Γ^{vid}$ | εθεωρουν] +εν οραματι της νυκτος A ιδον Γ

87 τοῦ οὐρανοῦ ἐνέπεσον εἰς τὴν θάλασσαν τὴν μεγάλην. ³καὶ τέσσαρα 3
θηρία ἀνέβαινον ἐκ τῆς θαλάσσης, διαφέροντα ἓν παρὰ τὸ ἕν. ⁴τὸ 4
πρῶτον ὡσεὶ λέαινα ἔχουσα πτερὰ ὡσεὶ ἀετοῦ· ἐθεώρουν ἕως ὅτου
ἐτίλη τὰ πτερὰ αὐτῆς, καὶ ἤρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν ἀνθρω-
πίνων ἐστάθη καὶ ἀνθρωπίνη καρδία ἐδόθη αὐτῇ. ⁵καὶ ἰδοὺ μετ' αὐ- 5
τὴν ἄλλο θηρίον ὁμοίωσιν ἔχον ἄρκου, καὶ ἐπὶ τοῦ ἑνὸς πλευροῦ
ἐστάθη, καὶ τρία πλευρὰ ἦν ἐν τῷ στόματι αὐτῆς ἐν μέσῳ ὀδόντων
αὐτῆς, καὶ οὕτως εἶπεν Ἀνάστα, κατάφαγε σάρκας πολλάς. ⁶καὶ 6
μετὰ ταῦτα ἐθεώρουν θηρίον ἄλλο ὡσεὶ πάρδαλιν· καὶ πτερὰ τέσσαρα
ἐπέτεινον ἐπάνω αὐτοῦ, καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ. ⁷μετὰ δὲ 7
ταῦτα ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς θηρίον τέταρτον φοβερόν, καὶ
ὁ φόβος αὐτοῦ ὑπερφέρων ἰσχύι, ἔχον ὀδόντας σιδηροῦς μεγάλους,
ἐσθίον καὶ κοπανίζον, κύκλῳ τοῖς ποσὶ καταπατοῦν, διαφόρως χρώ-
μενον παρὰ πάντα τὰ πρὸ αὐτοῦ θηρία· εἶχε δὲ κέρατα δέκα, ⁸καὶ 8
βουλαὶ πολλαὶ ἐν τοῖς κέρασιν αὐτοῦ. καὶ ἰδοὺ ἄλλο ἓν κέρας
ἀνεφύη ἀνὰ μέσον αὐτῶν μικρὸν ἐν τοῖς κέρασιν αὐτοῦ, καὶ τρία τῶν
κεράτων τῶν πρώτων ἐξηράνθησαν δι' αὐτοῦ· καὶ ἰδοὺ ὀφθαλμοὶ
ὥσπερ ὀφθαλμοὶ ἀνθρώπινοι ἐν τῷ κέρατι τούτῳ καὶ στόμα λαλοῦν
μεγάλα, καὶ ἐποίει πόλεμον πρὸς τοὺς ἁγίους. ⁹ἐθεώρουν ἕως ὅτε 9
θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο ἔχων περιβολὴν ὡσεὶ
χιόνα, καὶ τὸ τρίχωμα τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον λευκὸν καθαρόν·
ὁ θρόνος ὡσεὶ φλὸξ πυρός, τροχοὶ αὐτοῦ πῦρ καιόμενον. ¹⁰ποταμὸς 10
πυρὸς εἷλκεν, καὶ ἐξεπορεύετο κατὰ πρόσωπον αὐτοῦ ποταμὸς
πυρός· χίλιαι χιλιάδες ἐθεράπευον αὐτὸν καὶ μύριαι μυριάδες παρ-
ειστήκεισαν αὐτῷ· καὶ κριτήριον ἐκάθισε καὶ βίβλοι ἠνεῴχθησαν.
¹¹ἐθεώρουν τότε τὴν φωνὴν τῶν λόγων τῶν μεγάλων ὧν τὸ κέρας 11
ἐλάλει· θεωρῶν ἤμην, καὶ ἀπετυμπανίσθη τὸ θηρίον, καὶ ἀπώλετο

Syr 4 adnot η βασιλεια των Βαβυλωνιων 87$^{mg\ inf}$ 5 adnot Περσαι και Μηδοι 87^{mg} | εχων 87 | ※ εν μεσω οδοντων αυτης 87 εν μ. οδ. αυτης Syr 6 adnot οι απο Αλεξανδρου κρατησαντες Ελληνες 87^{mg} | ταυτα] ras aliq sup ταυ 87^{1} (fort prius τ' αυτα) | τω θηριω (in ω bis ras aliq 87^{a})] + και γλωσσα εδοθη αυτω Syr 7 adnot οι νυν κρατουντες Ρωμαιοι 87^{mg} | κοπανιζων 87* (-ζον 87^{1}) | κερατα δεκα] adnot αι ι' βασιλειαι 87^{mg} 8 ΚΑΙ ΒΟΥΛΑΙ Syr^{mg} | πολλαι] μεγαλαι Syr | και ιδου] adnot τελευταιον του αντιχριστου 87^{mg} | τρια των κερατων] adnot σημαινει οτι τρεις βασιλεις αινιττονται Αιγυπτου Λιβυων Αιθιοπων 87^{mg} | εξηρανθησαν δι αυτου (ΔΙ ΑΥΤΟΥ Syr^{mg})] εξερριζωθη απο προσωπου αυτου Syr^{mg} | ÷ και εποιει πολεμον προς τους (÷ 87) αγιους 87 Syr 9 χιων 87* (χιονα 87^{1}) 9—10 ※ τροχοι αυτου πυρ καιομενον (※ 87)...ελκων 87 (deest ↙) Syr 9 τροχοι] αρμα Syr$^{mg\ vid}$ 10 ΚΡΙΤΗΡΙΟΝ Syr^{mg} 11 ※ θεωρων ημην Syr

τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ προσέβαλλον εἰς τὴν θάλασσαν τὴν B
3 μεγάλην. [3]καὶ τέσσερα θηρία μεγάλα ἀνέβαινεν ἐκ τῆς θαλάσσης,
4 διαφέροντα ἀλλήλων. [4]τὸ πρῶτον ὡσεὶ λέαινα, καὶ πτερὰ αὐτῇ
ὡσεὶ ἀετοῦ· ἐθεώρουν ἕως οὗ ἐξετίλη τὰ πτερὰ αὐτῆς, καὶ ἐξήρθη ἀπὸ
τῆς γῆς καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη, καὶ καρδία ἀνθρώπου
5 ἐδόθη αὐτῇ. [5]καὶ ἰδοὺ θηρίον δεύτερον ὅμοιον ἄρκῳ, καὶ εἰς μέρος
ἓν ἐστάθη, καὶ τρεῖς πλευραὶ ἐν τῷ στόματι αὐτῆς ἀνὰ μέσον τῶν
ὀδόντων αὐτῆς· καὶ οὕτως ἔλεγον αὐτῇ Ἀνάστηθι, φάγε σάρκας πολ-
6 λάς. [6]ὀπίσω τούτου ἐθεώρουν, καὶ ἰδοὺ ἕτερον θηρίον ὡσεὶ πάρ-
δαλις· καὶ αὐτῇ πτερὰ τέσσερα πετεινοῦ ὑπεράνω αὐτῆς, καὶ τέσ-
7 σαρες κεφαλαὶ τῷ θηρίῳ, καὶ ἐξουσία ἐδόθη αὐτῇ. [7]ὀπίσω τούτου
ἐθεώρουν, καὶ ἰδοὺ θηρίον τέταρτον φοβερὸν καὶ ἔκθαμβον καὶ ἰσχυ-
ρὸν περισσῶς, καὶ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, ἐσθίον καὶ λεπτῦνον,
καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει, καὶ αὐτὸ διάφορον
περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ· καὶ κέρατα
8 δέκα αὐτῷ. [8]προσενόουν τοῖς κέρασιν αὐτοῦ, καὶ ἰδοὺ κέρας ἕτερον
μικρὸν ἀνέβη ἐν μέσῳ αὐτῶν, καὶ τρία κέρατα τῶν ἔμπροσθεν αὐ-
τοῦ ἐξεριζώθη ἀπὸ προσώπου αὐτοῦ· καὶ ἰδοὺ ὀφθαλμοὶ ὡσεὶ ὀφθαλ-
μοὶ ἀνθρώπου ἐν τῷ κέρατι τούτῳ καὶ στόμα λαλοῦν μεγάλα.
9 [9]ἐθεώρουν ἕως ὅτου θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο,
καὶ τὸ ἔνδυμα αὐτοῦ ὡσεὶ χιὼν λευκόν, §καὶ ἡ θρὶξ τῆς κεφαλῆς § Q
αὐτοῦ ὡσεὶ ἔριον καθαρόν· ὁ θρόνος αὐτοῦ φλὸξ πυρός, οἱ τροχοὶ
10 αὐτοῦ πῦρ φλέγον. [10]ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· χί-
λιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παριστήκεισαν
11 αὐτῷ· κριτήριον ἐκάθισεν, καὶ βίβλοι ἠνεῴχθησαν. [11]ἐθεώρουν τότε
ἀπὸ φωνῆς τῶν λόγων τῶν μεγάλων ὧν τὸ κέρας ἐκεῖνο ἐλάλει,
ἕως ἀνῃρέθη τὸ θηρίον καὶ ἀπώλετο, καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς

3 τεσσαρα B^{b}: item 6, 17 | ανεβαινον ΑΓ   4 λεαινα] + εχουσα πτερα AQΓ B^{ab}A | αυτη] αυτης A | ωσει 2°] ως A | εξηρθη] εξηγερθη A   5 τρεις πλευραι] τρια πλευρα A   6 θηριον ετερον A | om και 2° $B^{b\,vid}$ | αυτη 2°] αυτω A   7 περισσως 1°] + παρα παντα τα θηρια τα εμπροσθεν αυτου και κερατα δεκα αυτω (και κερατα sup ras $A^{a?}$) A | om και 4° A | σιδηροι] + μεγαλοι ΑΓ | κερατα δεκα] δεκα κερατα A   8 κερατα] pr των B^{*} (non inst B^{b}) | εξερριζωθη B^{ab} 10 πυρος] + εκπορευομενος A | ειλκεν] + εκπορευομενος Γ | ελιτουρ (sic) B^{*} (ελειτουργουν B^{ab}) ελειτουρ (sic) Q^{*} (+ γουν Q^{1mg}) | παρειστηκεισαν $B^{ab}Q^{a}$ | αυτω 2°] [εμπρο]σθε[ν αυ]του Γ   11 των μεγαλων] ων ελαλει A | ανηρεθη το θηριον] το θηριο̄| εκεινο ανηρ. A

87 τὸ σῶμα αὐτοῦ καὶ ἐδόθη εἰς καῦσιν πυρός. [12]καὶ τοὺς κύκλῳ αὐτοῦ 12
ἀπέστησε τῆς ἐξουσίας αὐτῶν, καὶ χρόνος ζωῆς ἐδόθη αὐτοῖς ἕως
χρόνου καὶ καιροῦ. [13]ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ ἐπὶ 13
τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἤρχετο, καὶ ὡς παλαιὸς
ἡμερῶν παρῆν· καὶ οἱ παρεστηκότες παρῆσαν αὐτῷ. [14]καὶ ἐδόθη 14
αὐτῷ ἐξουσία καὶ τιμὴ βασιλική, καὶ πάντα τὰ ἔθνη τῆς γῆς κατὰ
γένη καὶ πᾶσα δόξα αὐτῷ λατρεύουσα· καὶ ἡ ἐξουσία αὐτοῦ ἐξου-
σία αἰώνιος ἥτις οὐ μὴ ἀρθῇ, καὶ ἡ βασιλεία αὐτοῦ, ἥτις οὐ μὴ
φθαρῇ. [15]Καὶ ἀκηδιάσας ἐγὼ Δανιὴλ ἐν τούτοις ἐν τῷ ὁράματι 15
τῆς νυκτός, ἐτάρασσόν με οἱ διαλογισμοί μου. [16]προσῆλθον πρὸς 16
ἕνα τῶν ἑστώτων καὶ τὴν ἀκρίβειαν ἐζήτουν παρ᾽ αὐτοῦ ὑπὲρ πάντων
τούτων. ἀποκριθεὶς δὲ λέγει μοι καὶ τὴν κρίσιν τῶν λόγων ἐδή-
λωσέ μοι [17]Ταῦτα τὰ θηρία τὰ μεγάλα εἰσὶ τέσσαρες βασιλεῖαι, αἳ 17
ἀπολοῦνται ἀπὸ τῆς γῆς· ⸔ [18]καὶ παραλήψονται τὴν βασιλείαν ἅγιοι 18
Ὑψίστου, καὶ καθέξουσι τὴν βασιλείαν ἕως τοῦ αἰῶνος τῶν αἰώνων.
[19]τότε ἤθελον ἐξακριβάσασθαι περὶ τοῦ θηρίου τοῦ τετάρτου τοῦ 19
διαφθείροντος πάντα καὶ ὑπερφόβου· καὶ ἰδοὺ οἱ ὀδόντες αὐτοῦ
σιδηροῖ καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ, κατεσθίοντες πάντας κυκλόθεν
καὶ περιπατοῦντες τοῖς ποσί· [20]καὶ περὶ τῶν δέκα κεράτων αὐτοῦ 20
τῶν ἐπὶ τῆς κεφαλῆς, καὶ τοῦ ἑνὸς τοῦ ἄλλου τοῦ προσφυέντος, καὶ
ἐξέπεσαν δι᾽ αὐτοῦ τρία, καὶ τὸ κέρας ἐκεῖνο εἶχεν ὀφθαλμοὺς καὶ
στόμα λαλοῦν μεγάλα, καὶ ἡ πρόσοψις αὐτοῦ ὑπερέφερε τὰ ἄλλα.
[21]καὶ κατενόουν τὸ κέρας ἐκεῖνο πόλεμον συνιστάμενον πρὸς τοὺς 21
ἁγίους καὶ τροπούμενον αὐτούς, [22]ἕως τοῦ ἐλθεῖν τὸν παλαιὸν ἡμε- 22
ρῶν, καὶ τὴν κρίσιν ἔδωκε τοῖς ἁγίοις τοῦ ὑψίστου, καὶ ὁ καιρὸς
ἐδόθη καὶ τὸ βασίλειον κατέσχον οἱ ἅγιοι. [23]καὶ ἐρρέθη μοι περὶ 23
τοῦ θηρίου τοῦ τετάρτου, ὅτι βασιλεία τετάρτη ἔσται ἐπὶ τῆς γῆς,
ἥτις διοίσει παρὰ πᾶσαν τὴν γῆν, καὶ καταφάγεται πᾶσαν τὴν γῆν
καὶ ἀναστατώσει αὐτὴν καὶ καταλεανεῖ αὐτήν. [24]καὶ τὰ δέκα κέρατα 24

Syr **13** παρησαν ⸔ (sic ut vid) 87 ηγγιζον Syr[mg vid] **14** ※ και (※ 87) τιμη βασιλικη 87 Syr | λατρευουσα] + ην Syr **15** ακιδιασας 87 | ※ ετα※ρασσον με οι διαλογισμοι μου 87 (deest ⸔) ※ εταρασσον με Syr | om οι διαλ. μου Syr **16** λεγει] ειπε Syr **18** εως του αιωνος] + και εως του αιωνος Syr **19** κυκλωθεν 87* (κυκλοθεν 87?) **20** του ενος] pr περι Syr **23** παρα πασαν την γην] παρα πασας τας βασιλειας Syr[mg] | ※ και καταφαγεται πασαν την γην 87 Syr | ΚΑΙ ΑΝΑCΤΑΤΩCΕΙ Syr[mg] | ΚΑΤΑΛΕΑΝΕΙ Syr[mg]

12 καῦσιν πυρός. [12]καὶ τῶν λοιπῶν θηρίων ἡ ἀρχὴ μετεστάθη, καὶ B
13 μακρότης ζωῆς ἐδόθη αὐτοῖς ἕως καιροῦ καὶ καιροῦ. [13]ἐθεώρουν ἐν
ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς
υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθα-
14 σεν· καὶ προσήχθη αὐτῷ. [14]καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ
καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοί, φυλαί, καὶ γλῶσσαι δουλεύ-
ουσιν αὐτῷ· ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος ἥτις οὐ παρελεύ-
15 σεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται. [15]Ἔφριξεν τὸ
πνεῦμά μου ἐν τῇ ἕξει μου, ἐγὼ Δανιήλ, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς
16 μου ἐτάρασσόν με. [16]καὶ προσῆλθον ἑνὶ τῶν ἑστηκότων, καὶ τὴν
ἀκρίβειαν ἐζήτουν παρ᾽ αὐτοῦ περὶ πάντων τούτων· καὶ εἶπέν μοι τὴν
17 ἀκρίβειαν, καὶ τὴν σύνκρισιν τῶν λόγων ἐγνώρισέν μοι [17]Ταῦτα
τὰ θηρία τὰ τέσσερα, τέσσαρες βασιλεῖαι ἀναστήσονται ἐπὶ τῆς γῆς,
18 αἳ ἀρθήσονται· [18]καὶ παραλήμψονται τὴν βασιλείαν ἅγιοι Ὑψίστου
19 καὶ καθέξουσιν αὐτὴν ἕως αἰῶνος τῶν αἰώνων. [19]καὶ ἐζήτουν ἀκρι-
βῶς περὶ τοῦ θηρίου τοῦ τετάρτου, ὅτι ἦν διαφέρον παρὰ πᾶν θη-
ρίον, φοβερὸν περισσῶς, οἱ ὀδόντες αὐτοῦ σιδηροῖ καὶ οἱ ὄνυχες
αὐτοῦ χαλκοῖ, ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν
20 αὐτοῦ συνεπάτει· [20]καὶ περὶ τῶν κεράτων αὐτοῦ τῶν δέκα τῶν ἐν
τῇ κεφαλῇ αὐτοῦ, καὶ τοῦ ἑτέρου τοῦ ἀναβάντος καὶ ἐκτινάξαντος
τῶν πρώτων, ᾧ οἱ ὀφθαλμοὶ καὶ στόμα λαλοῦν μεγάλα, καὶ ἡ ὅρασις
21 αὐτοῦ μείζων τῶν λοιπῶν. [21]ἐθεώρουν, καὶ τὸ κέρας ἐκεῖνο ἐποίει
22 πόλεμον μετὰ τῶν ἁγίων, καὶ ἴσχυσεν πρὸς αὐτούς, [22]ἕως οὗ ἦλθεν
ὁ παλαιὸς ἡμερῶν καὶ τὸ κρίμα ἔδωκεν ἁγίοις Ὑψίστου, καὶ ὁ και-
23 ρὸς ἔφθασεν καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι. [23]καὶ εἶπεν Τὸ
θηρίον τὸ τέταρτον βασιλεία τετάρτη ἔσται ἐν τῇ γῇ, ἥτις ὑπερέξει
πάσας τὰς βασιλείας, καὶ καταφάγεται πᾶσαν τὴν γῆν, καὶ συνπα-
24 τήσει αὐτὴν καὶ κατακόψει. [24]καὶ τὰ δέκα κέρατα αὐτοῦ, δέκα βα-

12 καιρου 1°] χρονου Q 13 μετα] επι Q | ερχομενος]+ην A | και προσηχθη αυτω] ενωπιον αυτου προσηγαγον αυτον A και προσηχθη (Q* προσηνεχθη Q^a) αυτω Q [ε]νωπιον αυτο[υ προση]χθη Γ^{vid} 14 om και 5° AQΓ | δουλευουσιν αυτω] αυτω δουλευουσιν A δουλευσουσιν (-λευουσ. Q^a) αυτω Q αυτ. δουλευσουσιν και [υπ]ακουσοντ[αι] Γ 15 [ε]|γω Δα[νιηλ εν τη]| εξει μου Γ | εταρασσον] σ[υ]νεταρασσον Γ 16 ακριβιαν B*A (-βειαν B^{ab}QΓ) bis | om παρ αυτου Γ | αυτου]+μαθειν B^{ab}A | συγκρισιν B^{ab}QΓ | εγνωρισε Γ 17 θηρια]+τα μεγαλα AΓ | τεσσερες Γ | improb vid αι Q$^?$ 18 παραληψονται B^{b}Q^{a}Γ | κατε[ξουσι]ν Γ | εως]+αιωνος και εως Q 19 διαφορον A | θηριον]+και Q | χαλκοι]+οι B 20 κεφαλην A* (-λη A$^{a?}$) | πρωτων] προτερων AQΓ^{vid}+τρια· κερας εκεινο AΓ^{fort}+τρια Q | ω] ου Q | στομα] pr το Q | μειζω AQ 21 ισχυεν A 22 om ου A | ημερων] pr των AQΓ 23 συμπατησει B^{b}QΓ

87 τῆς βασιλείας δέκα βασιλεῖς στήσονται· καὶ ὁ ἄλλος βασιλεὺς μετὰ
τούτους στήσεται, καὶ αὐτὸς διοίσει κακοῖς ὑπὲρ τοὺς πρώτους καὶ
τρεῖς βασιλεῖς ταπεινώσει, [25]καὶ ῥήματα εἰς τὸν ὕψιστον λαλήσει 25
καὶ τοὺς ἁγίους τοῦ ὑψίστου κατατρίψει, καὶ προσδέξεται ἀλλοιῶσαι
καιροὺς καὶ νόμον, καὶ παραδοθήσεται πάντα εἰς τὰς χεῖρας αὐτοῦ
ἕως καιροῦ καὶ καιρῶν καὶ ἕως ἡμίσους καιροῦ. [26]καὶ ἡ κρίσις 26
καθίσεται, καὶ τὴν ἐξουσίαν ἀπολοῦσι, καὶ βουλεύσονται μιᾶναι
καὶ ἀπολέσαι ἕως τέλους. [27]καὶ τὴν βασιλείαν καὶ τὴν ἐξουσίαν καὶ 27
τὴν μεγαλειότητα αὐτῶν καὶ τὴν ἀρχὴν πασῶν τῶν ὑπὸ τὸν οὐρανὸν
βασιλειῶν ἔδωκε λαῷ ἁγίῳ ὑψίστῳ βασιλεῦσαι βασιλείαν αἰώνιον,
καὶ πᾶσαι ἐξουσίαι αὐτῷ ὑποταγήσονται καὶ πειθαρχήσουσιν αὐτῷ
ἕως καταστροφῆς τοῦ λόγου. [28]ἐγὼ Δανιὴλ σφόδρα ἐκστάσει περιει- 28
χόμην, καὶ ἡ ἕξις μου διήνεγκεν ἐμοί, καὶ τὸ ῥῆμα ἐν καρδίᾳ μου
ἐστήριξα.

[1]Ἔτους τρίτου βασιλεύοντος Βαλτασὰρ ὅρασις ἣν εἶδον ἐγὼ 1 VIII
Δανιὴλ μετὰ τὸ ἰδεῖν με τὴν πρώτην. [2]καὶ εἶδον ἐν τῷ ὁράματι τοῦ 2
ἐνυπνίου μου, ἐμοῦ ὄντος ἐν Σούσοις τῇ πόλει, ἥτις ἐστὶν ἐν Ἐλυ-
μαΐδι χώρᾳ, καὶ εἶδον ἐν ὁράματι ἔτι ὄντος μου πρὸς τῇ πύλῃ Αἰλάμ·
[3]ἀναβλέψας εἶδον κριὸν ἕνα μέγαν ἑστῶτα ἀπέναντι τῆς πύλης, καὶ 3
εἶχε κέρατα, καὶ τὰ κέρατα ὑψηλά· καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου,
καὶ τὸ ὑψηλότερον ἀνέβαινε. [4]μετὰ δὲ ταῦτα εἶδον τὸν κριὸν 4
κερατίζοντα πρὸς ἀνατολὰς καὶ πρὸς βορρᾶν καὶ πρὸς δυσμὰς καὶ
μεσημβρίαν· καὶ πάντα τὰ θηρία οὐκ ἔστησαν ὀπίσω αὐτοῦ, καὶ οὐκ
ἦν ὁ ῥυόμενος ἐκ τῶν χειρῶν αὐτοῦ, καὶ ἐποίει ὡς ἤθελε καὶ ὑψώθη.
[5]καὶ ἐγὼ διενοούμην, καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ δυσμῶν ἐπὶ 5
προσώπου τῆς γῆς, καὶ ἦν τοῦ τράγου κέρας ἓν θεωρητὸν ἀνὰ μέσον
τῶν ὀφθαλμῶν αὐτοῦ. [6]καὶ ἦλθεν ἐπὶ τὸν κριὸν τὸν τὰ κέρατα 6
ἔχοντα, ὃν εἶδον ἑστῶτα πρὸς τῇ πύλῃ, καὶ ἔδραμε πρὸς αὐτὸν ἐν

Syr **24** *της βασιλειας*] pr *εκ* Syr | *διοισει*] *σ* sup ras 87^{a} **26** *η κρισις* (Η ΚΡΙCΙC Syr^{mg})] *το κριτηριον* Syr^{mg} . **27** *βασιλιαν* 87 | *τον ουνω̅ν* 87^{a} (*των ουνω̅ν* $87^{?}$) | *υψιστου* Syr | *εως καταστροφης του λογου*] *εως ωδε το περας του λογου* 87^{mg} Syr^{mg} **28** *και η εξις* (ЄΞΙC Syr^{mg}) *μου*] *και η μορφη μου* Syr^{mg} VIII **2** *Ελυμαιδι*] *Αλαμαιδι* $87^{a\,vid}$ | ⁜ *και ειδον εν οραματι* 87 Syr | *Αιλαμ*] *Ουλαμ* Syr **3** ⁜ *και τα κερατα* (⁜ 87) *υψηλα* 87 (deest ✓) Syr | *ε|ετερου* 87 **4** *ανατολας*] *ανα|λας* 87 | *και* 3°] *και|και* 87 | *ουκ εστησαν οπισω αυτου*] *ου στησονται* (?*στησεται*) *ενωπιον αυτου* Syr^{mg} **5** *γης*] + *και ουχ ηπτετο της γης* Syr | ⁜ *θεωρητον* 87 Syr ΘЄѠΡΗΤΟΝ Syr^{mg} | *αυτου*] *αυτων* (seq ✓) 87

σιλεῖς ἀναστήσονται· καὶ ὀπίσω αὐτῶν ἀναστήσεται ὃς ὑπεροίσει B
25 κακοῖς πάντας τοὺς ἔμπροσθεν, καὶ τρεῖς βασιλεῖς ταπεινώσει, [25]καὶ
λόγους πρὸς τὸν ὕψιστον λαλήσει, καὶ τοὺς ἁγίους Ὑψίστου πα-
λαιώσει, καὶ ὑπονοήσει τοῦ ἀλλοιῶσαι καιροὺς καὶ νόμον, καὶ δοθή-
σεται ἐν χειρὶ αὐτοῦ ἕως καιροῦ καὶ καιρῶν καί γε ἥμισυ καιροῦ.
26 [26]καὶ τὸ κριτήριον ἐκάθισεν, καὶ τὴν ἀρχὴν μεταστήσουσιν τοῦ
27 ἀφανίσαι καὶ τοῦ ἀπολέσαι ἕως τέλους, [27]καὶ ἡ βασιλεία καὶ ἡ
ἐξουσία καὶ ἡ μεγαλωσύνη τῶν βασιλέων τῶν ὑποκάτω παντὸς τοῦ
οὐρανοῦ ἐδόθη ἁγίοις Ὑψίστου· καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία αἰ-
ώνιος, καὶ πᾶσαι αἱ ἀρχαὶ αὐτῷ δουλεύσουσιν καὶ ὑπακούσονται·
28 ἕως ὧδε τὸ πέρας τοῦ λόγου. [28]ἐγὼ Δανιήλ, οἱ διαλογισμοί μου
ἐπὶ πολὺ συνετάρασσόν με, καὶ ἡ μορφή μου ἠλλοιώθη, καὶ τὸ
ῥῆμα ἐν τῇ καρδίᾳ μου διετήρησα.
VIII 1 '| [1]Ἐν ἔτει τρίτῳ τῆς βασιλείας Βαλτασὰρ τοῦ βασιλέως ὅρασις
ὤφθη πρὸς μέ, ἐγὼ Δανιήλ, μετὰ τὴν ὀφθεῖσάν μοι τὴν ἀρχήν.
2 [2]καὶ ἤμην ἐν Σούσοις τῇ βάρει ἥ ἐστιν ἐν χώρᾳ Αἰλάμ, καὶ ἤμην
3 ἐπὶ τοῦ Οὐβάλ. [3]καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ ἴδον, καὶ ἰδοὺ
κριὸς εἷς ἑστηκὼς πρὸ τοῦ Οὐβάλ, καὶ αὐτῷ κέρατα ὑψηλά· καὶ τὸ
ἓν ὑψηλότερον τοῦ ἑτέρου, καὶ τὸ ὑψηλὸν ἀνέβαινεν ἐπ' ἐσχάτῳ.
4 [4]ἴδον τὸν κριὸν κερατίζοντα κατὰ θάλασσαν καὶ βορρᾶ καὶ νότον·
καὶ πάντα τὰ θηρία οὐ στήσονται ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐξ-
αιρούμενος ἐκ χειρὸς αὐτοῦ, καὶ ἐποίησεν κατὰ τὸ θέλημα αὐτοῦ καὶ
5 ἐμεγαλύνθη. [5]καὶ ἐγὼ ἤμην συνίων, καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο
ἀπὸ λιβὸς ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ οὐκ ἦν ἁπτόμενος
6 τῆς γῆς, καὶ τῷ τράγῳ κέρας μέσον τῶν ὀφθαλμῶν αὐτοῦ. [6]καὶ
ἦλθεν ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος, οὗ ἴδον ἑστῶτος ἐνώπιον
τοῦ Οὐβάλ, καὶ ἔδραμεν πρὸς αὐτὸν ἐν ὁρμῇ τῆς ἰσχύος αὐτοῦ.

24 αυτων] αυτου A | αναστησεται] + ετερος B^{ab}AQΓ 25 εν χειρι AQΓ αυτου] αυτω $Γ^{vid}$ | καιρου 1°] + και καιρου A | om γε AQ 26 εκαθισεν] καθειση A^{vid} | του απολεσαι] om του Q* (superscr Q^a) 27 εδοθη] pr και A | αρχαι] + και αι εξουσιαι Q* (postea improb) ο' εξουσιαι Q^{mg} | δουλευσουσι Q^a 28 επι πολυ οι διαλογισμοι μου AΓ | ηλλοιωθη] + επ εμοι A + εν ε|μ[οι] Γ | διετηρησα] συνετηρησα A ετηρησα Q | subscr ορασις η' A VIII 1 superscr ορασις θ' AQ (paene evanuit superscriptio in Γ) | Βαρτασαρ A | προς με] μοι Q | εγω Δανιηλ bis scr A 2 τη βαρει] της|· βαρε[ως] Γ | Αιλαμ] + και ιδον εν οραματι AΓ 3 ειδον $B^{a?b}$: item 4 | om εις Q* (superscr Q^a) | προ] επι Q | κερατα] + και τα κερατα AΓ | υψηλον] υψηλοτερον AΓ | αναβαινε̅| (sic) A | εσχατων A 4 ιδον] pr και AΓ | βορραν AQ$Γ^{vid}$ | νοτον] + και λιβα $AΓ^{vid}$ | στησονται] στ[η]σε[ται] Γ 5 τραγος] τραχος A | απτομενος] pr ο A | κερας] + θεωρητον AΓ | μεσον] pr ανα AQΓ 6 ειδον B^{ab}Γ | εστως ενωπιον] εστωτος ανα μεσον A εστωτος ενωπιον Q | εδραμε Γ

87 θυμῷ ὀργῆς. [7]καὶ εἶδον αὐτὸν προσάγοντα πρὸς τὸν κριόν, καὶ 7
ἐθυμώθη ἐπ' αὐτόν· καὶ ἐπάταξε τὸν κριὸν καὶ συνέτριψε τὰ δύο
κέρατα αὐτοῦ, καὶ οὐκέτι ἦν ἰσχὺς ἐν τῷ κριῷ στῆναι κατέναντι τοῦ
τράγου· καὶ ἐσπάραξεν αὐτὸν ἐπὶ τὴν γῆν καὶ συνέτριψεν αὐτόν,
καὶ οὐκ ἦν ὁ ῥυόμενος τὸν κριὸν ἀπὸ τοῦ τράγου. [8]καὶ ὁ τράγος 8
τῶν αἰγῶν κατίσχυσε σφόδρα· καὶ ὅτε κατίσχυσε συνετρίβη αὐτοῦ
τὸ κέρας τὸ μέγα, καὶ ἀνέβη ἕτερα τέσσαρα κέρατα κατόπισθεν αὐτοῦ
εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ. [9]καὶ ἐξ ἑνὸς αὐτῶν ἀνεφύη 9
κέρας ἰσχυρὸν ἕν, καὶ κατίσχυσε καὶ ἐπάταξεν ἐπὶ μεσημβρίαν
καὶ ἐπ' ἀνατολὰς καὶ ἐπὶ βορρᾶν· [10]καὶ ὑψώθη ἕως τῶν ἀστέρων 10
τοῦ οὐρανοῦ· καὶ ἐρράχθη ἐπὶ τὴν γῆν ἀπὸ τῶν ἀστέρων καὶ ἀπὸ
αὐτῶν κατεπατήθη, [11]ἕως ὁ ἀρχιστράτηγος ῥύσεται τὴν αἰχμαλωσίαν· 11
καὶ δι' αὐτὸν τὰ ὄρη τὰ ἀπ' αἰῶνος ἐρράχθη, καὶ ἐξήρθη ὁ τόπος αὐτῶν
καὶ θυσία, καὶ ἔθηκεν αὐτὴν ἕως χαμαὶ ἐπὶ τὴν γῆν, καὶ εὐωδώθησαν
καὶ ἐγενήθη· καὶ τὸ ἅγιον ἐρημωθήσεται. [12]καὶ ἐγενήθησαν ἐπὶ τῇ 12
θυσίᾳ αἱ ἁμαρτίαι, καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη· καὶ ἐποίησε καὶ
εὐωδώθη. [13]καὶ ἤκουον ἑτέρου ἁγίου λαλοῦντος· καὶ εἶπεν ὁ ἕτερος 13
ἅγιος τῷ φελμουνὶ τῷ λαλοῦντι Ἕως τίνος τὸ ὅραμα στήσεται
καὶ ἡ θυσία ἡ ἀρθεῖσα καὶ ἡ ἁμαρτία ἐρημώσεως ἡ δοθεῖσα, καὶ
τὰ ⌐ ἅγια ἐρημωθήσεται εἰς καταπάτημα; [14]καὶ εἶπεν αὐτῷ Ἕως 14
ἑσπέρας καὶ πρωί, ἡμέραι δισχίλιαι τριακόσιαι· καὶ καθαρισθήσεται
τὸ ἅγιον. [15]Καὶ ἐγένετο ἐν τῷ θεωρεῖν με, ἐγὼ Δανιὴλ τὸ 15
ὅραμα ἐζήτουν διανοηθῆναι· καὶ ἰδοὺ ἔστη κατεναντίον μου ὡς ὅρα-
σις ἀνθρώπου. [16]καὶ ἤκουσα φωνὴν ἀνθρώπου ἀνὰ μέσον τοῦ 16
Οὐλαί, καὶ ἐκάλεσε καὶ εἶπεν Γαβριήλ, συνέτισον ἐκεῖνον τὴν
ὅρασιν. καὶ ἀναβοήσας εἶπεν ὁ ἄνθρωπος Ἐπὶ τὸ πρόσταγμα
ἐκεῖνο ἡ ὅρασις. [17]καὶ ἦλθε καὶ ἔστη ἐχόμενός μου τῆς στάσεως· 17
καὶ ἐν τῷ ἔρχεσθαι αὐτὸν ἐθορυβήθην καὶ ἔπεσα ἐπὶ πρόσωπόν
μου· καὶ εἶπέν μοι Διανοήθητι, υἱὲ ἀνθρώπου· ἔτι γὰρ εἰς ὥραν
καιροῦ τοῦτο τὸ ὅραμα. [18]καὶ λαλοῦντος αὐτοῦ μετ' ἐμοῦ ἐκοιμήθην 18
ἐπὶ πρόσωπον χαμαί, καὶ ἁψάμενός μου ἤγειρέ με ἐπὶ τοῦ τόπου,

Syr

7 ΠΡΟϹΑΓΟΝΤΑ Syr^{mg} | ※ τον κριον (2°) 87 (deest ↙) Syr 8 κατισχυε 1° Syr | τεσσασα (sic) 87 9 adnot Αντιοχος ο επιφανης κατα γενος προσηκων τω Αλεξανδρω ος την Ιερουσαλημ κρατησας ηχρειωσε τον ναον και τα αγια 87$^{mg\ sup}$ | επ ανατολας] superscr επι νοτον 87^{1} 10 ΚΑΙ ЄΡΡΑΧΘΗ Syr^{mg} 11 αιχμαλωσιαν] μα fort sup ras 87$^{?}$ | ευωδωθη Syr 13 ηκουσα Syr | ※ αγιος 87 (deest ※) Syr | ΦЄΛΜΟΥΝΙ Syr^{mg} | ЄΡΗΜѠϹЄѠϹ Syr^{mg} 14 τριακοσιαι] pr και Syr 16 Ουλαι] superscr Ωλαι 87^{a} | ÷ και αναβοησας ειπεν ο ανθρωπος (÷ 87)...η ορασις 87 Syr 18 ras aliq ante αυτου 87$^{?}$

7 [7] καὶ ἴδον αὐτὸν φθάνοντα ἕως τοῦ κριοῦ, καὶ ἐξηγριάνθη πρὸς B
αὐτόν· καὶ ἔπαισεν τὸν κριὸν καὶ συνέτριψεν ἀμφότερα τὰ κέρατα
αὐτοῦ, καὶ οὐκ ἦν ἰσχὺς τῷ κριῷ τοῦ στῆναι ἐνώπιον αὐτοῦ· καὶ
ἔριψεν αὐτὸν ἐπὶ τὴν γῆν καὶ συνεπάτησεν αὐτόν, καὶ οὐκ ἦν ὁ
8 ἐξαιρούμενος τὸν κριὸν ἐκ χειρὸς αὐτοῦ. [8] καὶ ὁ τράγος τῶν αἰγῶν
ἐμεγαλύνθη ἕως σφόδρα· καὶ ἐν τῷ ἰσχῦσαι αὐτὸν συνετρίβη τὸ
κέρας αὐτοῦ τὸ μέγα, καὶ ἀνέβη κέρατα τέσσερα ὑποκάτω αὐτοῦ εἰς
9 τοὺς τέσσαρες ἀνέμους τοῦ οὐρανοῦ. [9] καὶ ἐκ τοῦ ἑνὸς αὐτῶν ἐξ-
ῆλθεν κέρας ἓν ἰσχυρόν, καὶ ἐμεγαλύνθη περισσῶς πρὸς τὸν νότον
10 καὶ πρὸς τὴν δύναμιν· [10] ἐμεγαλύνθη ἕως τῆς δυνάμεως τοῦ οὐρανοῦ·
καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τῆς δυνάμεως τοῦ οὐρανοῦ καὶ ἀπὸ
11 τῶν ἄστρων, καὶ συνεπάτησαν αὐτά, [11] καὶ ἕως ὁ ἀρχιστράτηγος
ῥύσηται τὴν αἰχμαλωσίαν, καὶ δι' αὐτὸν θυσία ἐράχθη, καὶ κατευο-
12 δώθη αὐτῷ· καὶ τὸ ἅγιον ἐρημωθήσεται. [12] καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν
ἁμαρτία, καὶ ἐρίφη χαμαὶ ἡ δικαιοσύνη· καὶ ἐποίησεν καὶ εὐοδώθη.
13 [13] καὶ ἤκουσα ἑνὸς ἁγίου λαλοῦντος· καὶ εἶπεν εἷς ἅγιος τῷ φελμουνεὶ
τῷ λαλοῦντι Ἕως πότε ἡ ὅρασις στήσεται, ἡ θυσία ἡ ἀρθεῖσα καὶ
ἡ ἁμαρτία ἐρημώσεως ἡ δοθεῖσα, καὶ τὸ ἅγιον καὶ ἡ δύναμις συν-
14 πατηθήσεται; [14] καὶ εἶπεν αὐτῷ Ἕως ἑσπέρας καὶ πρωί, ἡμέραι δισχί-
15 λιαι καὶ τριακόσιαι· καὶ καθαρισθήσεται τὸ ἅγιον. [15] Καὶ
ἐγένετο ἐν τῷ ἰδεῖν με, ἐγὼ Δανιήλ, τὴν ὅρασιν, καὶ ἐζήτουν σύν-
16 εσιν· καὶ ἰδοὺ ἔστη ἐνώπιον ἐμοῦ ὡς ὅρασις ἀνδρός. [16] καὶ ἤκουσα
φωνὴν ἀνδρὸς ἀνὰ μέσον τοῦ Οὐβάλ, καὶ ἐκάλεσεν καὶ εἶπεν Γα-
17 βριήλ, συνέτισον ἐκεῖνον τὴν ὅρασιν. [17] καὶ ἦλθεν καὶ ἔστη ἐχό-
μενος τῆς στάσεώς μου· καὶ ἐν τῷ ἐλθεῖν αὐτὸν ἐθαμβήθην, καὶ
πίπτω ἐπὶ πρόσωπόν μου· καὶ εἶπεν πρὸς μέ Υἱὲ ἀνθρώπου, ἔτι
18 γὰρ εἰς καιροῦ πέρας ἡ ὅρασις. [18] καὶ ἐν τῷ λαλεῖν αὐτὸν μετ' ἐμοῦ
πίπτω ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν γῆν, καὶ ἥψατό μου καὶ ἔστη-

7 ειδον B^{a} Q* | om αυτον 1° A | φθαννοντα BA hiat Γ | εξηγριωθη AQ | ερριψεν B$^{a?b}$ 8 αιγων] ετων B^{*vid} (αιγ. B^{ab}) | ανεβη] + ετερα AQ | τεσσερα] τεσσαρα B^{b}: item 22 | τεσσαρες] τεσσαρας B$^{b(vid)}$AQΓ 9 εμεγαλυνθη] non inst λ B^{bvid} | τον νοτον sup ras A$^{a?}$ om τον Γ^{vid} + και προς ανατολην AQΓ | δυναμιν] δυσιν Q 10 εμεγαλυνθη] pr και Q | om του ουρανου (2°) Q* (hab Q^{mg}) | om απο 2° A | συνεπατησαν αυτα] συνεπατηθη A συνεπατησεν αυτα Q 11 εως] + ου AQΓ | εραχθη] εταραχθη (ηρθη Q^{mg}) και εγενηθη AQΓ | κατευωδωθη B^{ab} 12 ερριφη B^{b} | ευοδωθη (ευωδ. B^{ab})] κατευοδωθη A 13 om αγιου A | φελμωνι A φερμουνι Q* φελμουνι Q^{a} | συμπατηθησεται B^{b}Q^{a} 15 εμου] μου Q 17 εχομενος] ανα μεσο̄| A | υιε ανθρωπου] pr συνες B$^{ab\,mg}$AQ 18 πιπτω] pr εθαμβηθην και A | om μου 2° Q* (hab Q^{mg}) AQΓ

87 19 καὶ εἶπέ μοι Ἰδοὺ ἐγὼ ἀπαγγέλλω σοι ἃ ἔσται ἐπ᾽ ἐσχάτου τῆς 19
ὀργῆς τοῖς υἱοῖς τοῦ λαοῦ σου· ἔτι γὰρ εἰς ὥρας καιροῦ συντελείας
μενεῖ. 20 τὸν κριὸν ὃν εἶδες τὸν ἔχοντα τὰ κέρατα, βασιλεὺς Μήδων 20
καὶ Περσῶν ἐστι. 21 καὶ ὁ τράγος τῶν αἰγῶν βασιλεὺς τῶν Ἑλλήνων 21
ἐστί· καὶ τὸ κέρας τὸ μέγα τὸ ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ,
αὐτὸς ὁ βασιλεὺς ὁ πρῶτος. 22 καὶ τὰ συντριβέντα καὶ ἀναβάντα 22
ὀπίσω αὐτοῦ τέσσαρα κέρατα, τέσσαρες βασιλεῖς τοῦ ἔθνους αὐτοῦ
ἀναστήσονται, οὐ κατὰ τὴν ἰσχὺν αὐτῶν. 23 καὶ ἐπ᾽ ἐσχάτου τῆς 23
βασιλείας αὐτῶν, πληρουμένων τῶν ἁμαρτιῶν αὐτῶν, ἀναστήσεται
βασιλεὺς ἀναιδὴς προσώπῳ, διανοούμενος αἰνίγματα. 24 καὶ στερεωθή- 24
σεται ἡ ἰσχὺς αὐτοῦ, καὶ οὐκ ἐν τῇ ἰσχύι αὐτοῦ, καὶ θαυμαστῶς
φθερεῖ, καὶ εὐοδωθήσεται καὶ ποιήσει, καὶ φθερεῖ δυνάστας καὶ
δῆμον ἁγίων. 25 καὶ ἐπὶ τοὺς ἁγίους τὸ διανόημα αὐτοῦ, καὶ εὐοδωθή- 25
σεται τὸ ψεῦδος ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ ἡ καρδία αὐτοῦ ὑψωθή-
σεται, καὶ δόλῳ ἀφανιεῖ πολλούς, καὶ ἐπὶ ἀπωλείας ἀνδρῶν στήσεται
καὶ ποιήσει συναγωγὴν χειρὸς καὶ ἀποδώσεται. 26 τὸ ὅραμα τὸ 26
ἑσπέρας καὶ πρωὶ ηὑρέθη ἐπ᾽ ἀληθείας· καὶ νῦν πεφραγμένον τὸ
ὅραμα, ἔτι γὰρ εἰς ἡμέρας πολλάς. 27 ἐγὼ Δανιὴλ ἀσθενήσας ἡμέρας 27
πολλάς· καὶ ἀναστὰς ἐπραγματευόμην πάλιν βασιλικά, καὶ ἐξελυόμην
ἐπὶ τῷ ὁράματι, καὶ οὐδεὶς ἦν ὁ διανοούμενος.

1 Ἔτους πρώτου ἐπὶ Δαρείου τοῦ Ξέρξου ἀπὸ τῆς γενεᾶς τῆς 1 IX
Μηδικῆς, οἳ ἐβασίλευσαν ἐπὶ τὴν βασιλείαν τῶν Χαλδαίων· 2 τῷ 2
πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἐγὼ Δανιὴλ διενοήθην ἐν ταῖς
βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὅτε ἐγένετο πρόσταγμα τῇ γῇ ἐπὶ
Ἰερεμίαν τὸν προφήτην ἐγεῖραι εἰς ἀναπλήρωσιν ὀνειδισμοῦ Ἰε-
ρουσαλήμ, ἑβδομήκοντα ἔτη. 3 καὶ ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ 3
Κύριον τὸν θεὸν εὑρεῖν προσευχὴν καὶ ἔλεος ἐν νηστείαις καὶ σάκκῳ
καὶ σποδῷ. 4 καὶ προσηυξάμην πρὸς Κύριον τὸν θεόν· ἐξωμολογη- 4
σάμην καὶ εἶπα Ἰδού, κύριε, σὺ εἶ ὁ θεὸς ὁ μέγας καὶ ὁ ἰσχυρὸς
καὶ ὁ φοβερός, τηρῶν τὴν διαθήκην καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσί σε

Syr 22 και τα συντριβεντα...οπισω αυτου] και οτι συνετριβη και εστη οπ. αυτ. Syr[mg] | τεσσαρες] ρες sup ras 87[?] 23 adnot αντιχριστος 87[mg inf] 26 pr και Syr | ÷ το οραμα 87 (deest ⩤) 27 α|αναστας 87 | παλιν παλιν 87[*] (improb 2° 87[a]) | το οραματι 87 IX 1 του Ξ.] υιου Ξ. Syr[mg] 2 των αριθμων 87 | τον| τον προφ. 87 | εγερθηναι Syr[vid] 4 προσηυξαμην] ras aliq sup ο et υ 87[a] | εξωμολογησαμην] pr και Syr

19 σέν με ἐπὶ πόδας, 19 καὶ εἶπεν Ἰδοὺ ἐγὼ γνωρίζω¶ σοι τὰ ἐσόμενα B ¶ Γ
20 ἐπ' ἐσχάτῳ τῆς ὀργῆς· ἔτι γὰρ εἰς καιροῦ πέρας ἡ ὅρασις. 20 ὁ
κριὸς ὃν εἶδες, ὁ ἔχων τὰ κέρατα, βασιλεὺς Περσῶν καὶ Μήδων.
21 21 καὶ ὁ τράγος τῶν αἰγῶν βασιλεὺς Ἑλλήνων· καὶ τὸ κέρας τὸ μέγα
ὃ ἦν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ, αὐτός ἐστιν ὁ βασιλεὺς ὁ
22 πρῶτος. 22 καὶ τοῦ συντριβέντος οὗ ἔστησαν τέσσερα ὑποκάτω κέ-
ρατα, τέσσαρες βασιλεῖς ἐκ τοῦ ἔθνους αὐτοῦ ἀναστήσονται, καὶ
23 οὐκ ἐν τῇ ἰσχύι αὐτῶν. 23 καὶ ἐπ' ἐσχάτων τῆς βασιλείας αὐτῶν,
πληρουμένων τῶν ἁμαρτιῶν αὐτῶν, ἀναστήσεται βασιλεὺς ἀναιδὴς
24 προσώπῳ καὶ συνίων προβλήματα. 24 καὶ κραταιὰ ἡ ἰσχὺς αὐτοῦ,
καὶ θαυμαστὰ διαφθερεῖ, καὶ κατευθυνεῖ καὶ ποιήσει, καὶ διαφθερεῖ
25 ἰσχυροὺς καὶ λαὸν ἅγιον. 25 καὶ ὁ ζυγὸς τοῦ κλοιοῦ αὐτοῦ κατευ-
θυνεῖ· δόλος ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐν καρδίᾳ αὐτοῦ μεγαλυνθή-
σεται, καὶ δόλῳ διαφθερεῖ πολλούς, καὶ ἐπὶ ἀπωλείας πολλῶν στή-
26 σεται, καὶ ὡς ᾠὰ χειρὶ συντρίψει. 26 καὶ ἡ ὅρασις τῆς ἑσπέρας καὶ
τῆς πρωίας τῆς ῥηθείσης ἀληθῶς ἐστιν· καὶ σὺ σφράγισον τὴν ὅρασιν,
27 ὅτι εἰς ἡμέρας πολλάς. 27 καὶ ἐγὼ Δανιὴλ ἐκοιμήθην καὶ ἐμαλακίσθην·
καὶ ἀνέστην καὶ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως, καὶ ἐθαύμαζον τὴν
ὅρασιν, καὶ οὐκ ἦν ὁ συνίων.

IX 1 1 Ἐν τῷ πρώτῳ ἔτει Δαρείου τοῦ υἱοῦ Ἀσουήρου, ἀπὸ τοῦ σπέρ-
2 ματος τῶν Μήδων, ὃς ἐβασίλευσεν ἐπὶ βασιλείαν Χαλδαίων· 2 ἐγὼ
Δανιὴλ συνῆκα ἐν ταῖς βύβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὃς ἐγενήθη
λόγος Κυρίου πρὸς Ἰερεμίαν τὸν προφήτην εἰς συνπλήρωσιν ἐρη-
3 μώσεως Ἰερουσαλήμ, ἑβδομήκοντα ἔτη. 3 καὶ ἔδωκα τὸ πρόσωπόν
μου πρὸς Κύριον τὸν θεὸν τοῦ ἐκζητῆσαι προσευχὴν καὶ δεήσεις ἐν
4 νηστείαις καὶ σάκκῳ. 4 καὶ προσηυξάμην πρὸς Κύριον τὸν θεόν
μου, καὶ ἐξωμολογησάμην καὶ εἶπα Κύριε ὁ θεὸς ὁ μέγας καὶ θαυ-
μαστός, ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσίν

18 ποδας] + μου AQ^mg 19 ειπεν] + μοι A | γνωριω A* (ζ superscr A^a?) | AQ εσχατου A | οργης] εορτης A*vid (οργ. A^a) | om η ορασις Q 20 ιδες A | Μηδω| και Περσων Q 22 εστησα A | τεσσερα υποκατω κερατα] υποκατω τεσσ. κερ. A τεσσ. κερ. υποκατω Q | τεσσαρες] τεσσερα B* (τεσσαρες B^ab) | αυτων] αυτου AQ^a 23 εσχατω AQ 24 αυτου] + και ουκ εν τη ισχυι αυτου AQ 25 τη χειρι] om τη Q | απωλειας] απωλεια AQ^a (-λια Q*) 26 πρωιας] πρωινης A | αληθως] αληθης AQ 27 εμαλακισθην] + ημερας A | subscr ορασις θ' A IX 1 superscr ορασις ι' AQ | Δαρειου] om B* (hab B^1 (fort) (-ριου B^1AQ*) -ρειου B^aQ^a) pr επει (sic) A | Ασσουηρου A* salt Q | των Μηδων] om των AQ | βασιλευσεν Q* (superscr ε Q^a) | βασιλειαν] pr την Q 2 εγω] pr εν ετει ενι της βασιλειας αυτου AQ | βυβλοις] βιβλοις AQ | ετων] ημερων A | συμπληρωσιν B^bQ 3 θεον] + του ουνου A | δεησιν AQ | νηστιαις AQ* | σακκω] + και σποδω AQ 4 τον θεον μου] του ουνου A | εξομολογησαμην AQ | ελεος] + σου A | αγαπωσι Q^a

87 καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά σου· [5]ἡμάρτομεν, ἠδικήσαμεν, 5
ἠσεβήσαμεν, καὶ ἀπέστημεν καὶ παρέβημεν τὰς ἐντολάς σου καὶ τὰ
κρίματά σου· [6]καὶ οὐκ ἠκούσαμεν τῶν παίδων σου τῶν προφητῶν, ἃ 6
ἐλάλησαν ἐπὶ τῷ ὀνόματί σου ἐπὶ τοὺς βασιλεῖς ἡμῶν καὶ δυνάστας
ἡμῶν καὶ πατέρας ἡμῶν, καὶ παντὶ ἔθνει ἐπὶ τῆς γῆς. [7]σοί, κύριε, ἡ 7
δικαιοσύνη, καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου, κατὰ τὴν ἡμέραν
ταύτην, ἀνθρώποις Ἰούδα καὶ καθημένοις ἐν Ἰερουσαλὴμ καὶ παντὶ
τῷ λαῷ Ἰσραήλ, τῷ ἔγγιστα καὶ τῷ ἀπωτέρω ἐν πάσαις ταῖς χώραις
εἰς ἃς διεσκόρπισας αὐτοὺς ἐκεῖ ἐν τῇ πλημμελείᾳ ᾗ ἐπλημμέλησαν
ἐναντίον σου. [8]δέσποτα, ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου καὶ τοῖς 8
βασιλεῦσιν ἡμῶν καὶ δυνάσταις καὶ τοῖς πατράσιν ἡμῶν, ὅτι ἡμάρ-
τομέν σοι. [9]τῷ κυρίῳ ἡ δικαιοσύνη καὶ τὸ ἔλεος, ὅτι ἀπέστημεν ἀπὸ 9
σοῦ, [10]καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς Κυρίου τοῦ θεοῦ ἡμῶν κατα- 10
κολουθῆσαι τῷ νόμῳ σου ᾧ ἔδωκας ἐνώπιον Μωσῆ καὶ ἡμῶν διὰ
τῶν παίδων σου τῶν προφητῶν. [11]καὶ πᾶς Ἰσραὴλ ἐγκατέλιπε 11
τὸν νόμον σου καὶ ἀπέστησαν τοῦ μὴ ἀκοῦσαι τῆς φωνῆς σου· καὶ
ἐπῆλθεν ἐφ᾽ ἡμᾶς ἡ κατάρα καὶ ὁ ὅρκος ὁ γεγραμμένος ἐν τῷ νόμῳ
Μωσῆ παιδὸς τοῦ θεοῦ· ὅτι ἡμάρτομεν αὐτῷ. [12]καὶ ἔστησεν ἡμῖν τὰ 12
προστάγματα αὐτοῦ, ὅσα ἐλάλησεν ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τοὺς κριτὰς
ἡμῶν, ὅσα ἔκρινας ἡμῖν ἐπαγαγεῖν ἐφ᾽ ἡμᾶς, κακὰ μεγάλα, οἷα
οὐκ ἐγενήθη ὑπὸ τὸν οὐρανὸν καθότι ἐγενήθη ἐν Ἰερουσαλήμ.
[13]κατὰ τὰ γεγραμμένα ἐν διαθήκῃ Μωσῆ, πάντα τὰ κακὰ ἐπῆλθεν 13
ἡμῖν· καὶ οὐκ ἐξεζητήσαμεν τὸ πρόσωπον Κυρίου θεοῦ ἡμῶν, ἀπο-
στῆναι ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν καὶ διανοηθῆναι τὴν δικαιοσύνην
σου, Κύριε. [14]καὶ ἠγρύπνησε Κύριος ὁ θεὸς ἐπὶ τὰ κακὰ καὶ 14
ἐπήγαγεν ἐφ᾽ ἡμᾶς, ὅτι δίκαιος Κύριος ὁ θεὸς ἡμῶν ἐπὶ πάντα
ὅσα ἂν ποιήσῃ, καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς αὐτοῦ. [15]καὶ νῦν, 15
δέσποτα κύριε ὁ θεὸς ἡμῶν, ὁ ἐξαγαγὼν τὸν λαόν σου ἐξ Αἰγύπτου
τῷ βραχίονί σου τῷ ὑψηλῷ, καὶ ἐποίησας σεαυτῷ ὄνομα κατὰ τὴν

Syr 8 και 3°] κ sup ras 87[a] 11 ἡ] κατάρα 87

5 σε καὶ τοῖς φυλάσσουσιν τὰς ἐντολάς σου· 5 ἡμάρτομεν, ἠδικήσαμεν, B
ἠνομήσαμεν, καὶ ἀπέστημεν καὶ ἐξεκλίναμεν ἀπὸ τῶν ἐντολῶν σου
6 καὶ ἀπὸ τῶν κριμάτων σου· 6 καὶ οὐκ εἰσηκούσαμεν τῶν δούλων σου
τῶν προφητῶν, οἳ ἐλάλουν ἐν τῷ ὀνόματί σου πρὸς τοὺς βασιλεῖς
ἡμῶν καὶ ἄρχοντας ἡμῶν καὶ πατέρας ἡμῶν, καὶ πρὸς πάντα τὸν
7 λαὸν τῆς γῆς. 7 σοί, κύριε, ἡ δικαιοσύνη, καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ
προσώπου, ὡς ἡ ἡμέρα αὕτη, ἀνδρὶ Ἰούδα καὶ τοῖς ἐνοικοῦσιν ἐν
Ἰερουσαλὴμ καὶ παντὶ Ἰσραήλ, τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν ἐν πάσῃ
8 τῇ γῇ οὗ διέσπειρας αὐτοὺς ἐκεῖ ἐν ἀθεσίᾳ αὐτῶν ᾗ ἠθέτησαν. 8 ἐν
σοί, κύριε, ἔστιν ἡμῶν ἡ δικαιοσύνη, καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ προσ-
ώπου καὶ τοῖς βασιλεῦσιν ἡμῶν καὶ τοῖς ἄρχουσιν ἡμῶν καὶ τοῖς
9 πατράσιν ἡμῶν, οἵτινες ἡμάρτομέν σοι. 9 τῷ κυρίῳ θεῷ ἡμῶν οἱ
10 οἰκτειρμοὶ καὶ οἱ ἱλασμοί, ὅτι ἀπέστημεν, 10 καὶ οὐκ εἰσηκούσαμεν τῆς
φωνῆς τοῦ κυρίου θεοῦ ἡμῶν πορεύεσθαι ἐν τοῖς νόμοις αὐτοῦ οἷς
ἔδωκεν κατὰ πρόσωπον ἡμῶν ἐν χερσὶν τῶν δούλων αὐτοῦ τῶν
11 προφητῶν. 11 καὶ πᾶς Ἰσραὴλ παρέβησαν τὸν νόμον σου καὶ ἐξ-
έκλιναν τοῦ μὴ ἀκοῦσαι τῆς φωνῆς σου· καὶ ἐπῆλθεν ἐφ' ἡμᾶς ἡ
κατάρα καὶ ὁ ὅρκος ὁ γεγραμμένος ἐν νόμῳ Μωυσέως δούλου τοῦ
12 θεοῦ· ὅτι ἡμάρτομεν αὐτῷ. 12 καὶ ἔστησεν τοὺς λόγους αὐτοῦ οὓς
ἐλάλησεν ἐφ' ἡμᾶς καὶ ἐπὶ τοὺς κριτὰς ἡμῶν οἳ ἔκρινον ἡμᾶς,
ἐπαγαγεῖν ἐφ' ἡμᾶς κακὰ μεγάλα, οἷα οὐ γέγονεν ὑποκάτω παντὸς
13 τοῦ οὐρανοῦ κατὰ τὰ γενόμενα ἐν Ἰερουσαλήμ. 13 καθὼς γέγραπται
ἐν τῷ νόμῳ Μωυσῆ, πάντα τὰ κακὰ ταῦτα ἦλθεν ἐφ' ἡμᾶς· καὶ
οὐκ ἐδεήθημεν τοῦ προσώπου Κυρίου τοῦ θεοῦ ἡμῶν, ἀποστρέψαι
ἀπὸ τῶν ἀδικιῶν ἡμῶν καὶ τοῦ συνιέναι ἐν πάσῃ ἀληθείᾳ σου.
14 14 καὶ ἐγρηγόρησεν Κύριος καὶ ἐπήγαγεν αὐτὰ ἐφ' ἡμᾶς, ὅτι δίκαιος
Κύριος ὁ θεὸς ἡμῶν ἐπὶ πᾶσαν τὴν ποίησιν αὐτοῦ ἣν ἐποίησεν,
15 καὶ οὐκ εἰσηκούσαμεν τῆς φωνῆς αὐτοῦ. 15 καὶ νῦν, Κύριε ὁ θεὸς
ἡμῶν, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς Αἰγύπτου ἐν χειρὶ κραταιᾷ

4 φυλασσουσι Q^a 5 ηδικησαμεν ηνομησαμεν] ηνομησαμε̄| ησεβησαμεν AQ ηδικησαμεν A ηδικ. ησεβησαμεν Q 7 ενοικουσιν εν] κατοικουσιν A | αθεσια] αθετησει A | ηθετησαν] + σε κ̅ε̅ 8 εν ras $A^{?vid}$ | εστιν ημων η δικαιοσυνη και] ημων η δικαι sup ras et in mg B^{ab} om εστιν ημων AQ om ημων η δικαιοσυνη και Q 9 οικτιρμοι Q^a | απεστημεν] + απο κ̅υ̅ AQ 10 του κυριου θεου] κ̅υ̅ του θ̅υ̅ AQ | om εν 1° A | χερσι Q^a 11 ακουσαι] εισακουσαι A | επηλθεν] επληθυνθη Q^* (επηλθ. Q^{mg}) | καταρα] κακια Q^* (κατ. Q^{mg}) | Μωυσεως] Μωσει A Μωυση Q | δουλω A 12 εκριναν Q | οια] α A | γενομενα] γεγραμμενα AQ^* (γεν. Q^{mg}) 13 τω νομω] om τω AQ | Μωυση] Μωση A Μωυσης $Q^{a\,vid}$ | om σου Q 14 Κυριος 1°] + ο θ̅ς̅ ημων επι την κακιαν AQ | om Κυριος 2° A 15 ημω B^* (-μων B^{ab})

87 ἡμέραν ταύτην· ἡμάρτομεν, ἠγνοήκαμεν. [16]δέσποτα, κατὰ τὴν δι- 16
καιοσύνην σου ἀποστραφήτω ὁ θυμός σου καὶ ἡ ὀργή σου ἀπὸ τῆς
πόλεώς σου Ἰερουσαλήμ, ὄρους τοῦ ἁγίου σου· ὅτι ἐν ταῖς ἁμαρ-
τίαις ἡμῶν καὶ ἐν ταῖς ἀγνοίαις τῶν πατέρων ἡμῶν Ἰερουσαλὴμ
καὶ ὁ δῆμός σου, κύριε, εἰς ὀνειδισμὸν ἐν πᾶσι τοῖς περικύκλῳ
ἡμῶν. [17]καὶ νῦν ἐπάκουσον, δέσποτα, τῆς προσευχῆς τοῦ παιδός 17
σου καὶ ἐπὶ τὰς δεήσεις μου, καὶ ἐπιβλεψάτω τὸ πρόσωπόν σου
ἐπὶ τὸ ὄρος τὸ ἅγιόν σου τὸ ἔρημον ἕνεκεν τῶν δούλων σου, δέ-
σποτα. [18]πρόσχες, κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου, ἄνοιξον 18
τοὺς ὀφθαλμούς σου καὶ ἴδε τὴν ἐρήμωσιν ἡμῶν καὶ τῆς πόλεώς
σου, ἐφ' ἧς ἐπεκλήθη τὸ ὄνομά σου ἐπ' αὐτῆς· οὐ γὰρ ἐπὶ ταῖς
δικαιοσύναις ἡμῶν ἡμεῖς δεόμεθα ἐν ταῖς προσευχαῖς ἡμῶν ἐνώπιόν
σου, ἀλλὰ διὰ τὸ σὸν ἔλεος, κύριε, σὺ ἱλάτευσον. [19]κύριε, ἐπά- 19
κουσον καὶ ποίησον, καὶ μὴ χρονίσῃς ἕνεκα σεαυτοῦ, δέσποτα· ὅτι
τὸ ὄνομά σου ἐπεκλήθη ἐπὶ τὴν πόλιν σου Σιὼν καὶ ἐπὶ τὸν λαόν
σου Ἰσραήλ. [20]Καὶ ἐγὼ ἐλάλουν προσευχόμενος καὶ ἐξομολο- 20
γούμενος τὰς ἁμαρτίας μου καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Ἰσραήλ,
καὶ δεόμενος ἐν ταῖς προσευχαῖς ἐναντίον Κυρίου θεοῦ μου καὶ
ὑπὲρ τοῦ ὄρους τοῦ ἁγίου τοῦ θεοῦ ἡμῶν· [21]καὶ ἔτι λαλοῦντός μου 21
ἐν τῇ προσευχῇ μου, καὶ ἰδοὺ ὁ ἀνὴρ ὃν εἶδον ἐν τῷ ὕπνῳ μου
τὴν ἀρχήν, Γαβριήλ, τάχει φερόμενος προσήγγισέ μοι ἐν ὥρᾳ
θυσίας ἑσπερινῆς. [22]καὶ προσῆλθε καὶ ἐλάλησέ μετ' ἐμοῦ καὶ 22
εἶπεν Δανιήλ, ἄρτι ἐξῆλθον ὑποδεῖξαί σοι διάνοιαν. [23]ἐν ἀρχῇ 23
τῆς δεήσεώς σου ἐξῆλθε πρόσταγμα παρὰ Κυρίου, καὶ ἐγὼ ἦλ-
θον ὑποδεῖξαί σοι, ὅτι ἐλεεινὸς εἶ· καὶ διανοήθητι τὸ πρόσταγμα.
[24]ἑβδομήκοντα ἑβδομάδες ἐκρίθησαν ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν 24
πόλιν Σιὼν συντελεσθῆναι τὴν ἁμαρτίαν καὶ τὰς ἀδικίας σπανίσαι

Syr 16 εις ονειδ.] + εγενετο Syr 17 επι τας δεησεις] των δεησεων Syr$^{\mathrm{vid}}$ | μου] αυτου Syr 18 om επ αυτης Syr$^{\mathrm{vid}}$ | τη δικαιοσυνη Syr | συ ιλατευσον] συ ελεησον Syr$^{\mathrm{mg}}$ + ημιν Syr 19 χρονησης 87 | Σιων] ω sup ras 87' 20 του λαου μου] του γενους μου Syr$^{\mathrm{mg}}$ 23 οτι ελεεινος ει] σ′ οτι ανηρ επιθυμητος ει Syr$^{\mathrm{mg}}$ | προσταγμα] + και διενοηθην το προσταγμα Syr 24 τας αδικιας (1°)] την αδικιαν Syr

καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡ ἡμέρα αὕτη· ἡμάρτομεν, [§]ἠνομήσα- B § Γ
16 μεν. [16]κύριε, ἐν πάσῃ ἐλεημοσύνῃ σου ἀποστραφήτω δὴ ὁ θυμός
σου καὶ ἡ ὀργή σου ἀπὸ τῆς πόλεώς σου Ἰερουσαλήμ, ὄρους ἁγίου
σου· ὅτι ἡμάρτομεν, καὶ ἐν ταῖς ἀδικίαις ἡμῶν καὶ τῶν πατέρων
ἡμῶν Ἰερουσαλὴμ καὶ ὁ λαός σου εἰς ὀνειδισμὸν ἐγένετο ἐν πᾶσιν
17 τοῖς περικύκλῳ ἡμῶν. [17]καὶ νῦν εἰσάκουσον, κύριε ὁ θεὸς ἡμῶν,
τῆς προσευχῆς τοῦ δούλου σου καὶ τῶν δεήσεων αὐτοῦ, καὶ ἐπί-
φανον τὸ πρόσωπόν σου ἐπὶ τὸ ἁγίασμά σου τὸ ἔρημον ἕνεκέν
18 σου, κύριε. [18]κλῖνον, ὁ θεός μου, τὸ οὖς σου καὶ ἄκουσον· ἄνοιξον
τοὺς ὀφθαλμούς σου καὶ ἴδε τὸν ἀφανισμὸν ἡμῶν καὶ τῆς πόλεώς
σου, ἐφ' ἧς ἐπικέκληται τὸ ὄνομά σου ἐπ' αὐτῆς· ὅτι οὐκ ἐπὶ ταῖς
δικαιοσύναις ἡμῶν ῥιπτοῦμεν τὸν οἰκτειρμὸν ἡμῶν ἐνώπιόν σου,
19 ἀλλ' ἐπὶ τοὺς οἰκτειρμούς σου τοὺς πολλούς, κύριε. [19]εἰσάκουσον,
κύριε· ἱλάσθητι, κύριε· πρόσχες, κύριε· μὴ χρονίσῃς ἕνεκέν σου, ὁ
θεός μου, ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ τὴν πόλιν σου καὶ ἐπὶ
20 τὸν λαόν σου. [20]Καὶ ἔτι ἐμοῦ λαλοῦντος καὶ προσευχομένου,
καὶ ἐξαγορεύοντος τὰς ἁμαρτίας μου καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου
Ἰσραήλ, καὶ ῥιπτοῦντος τὸν ἔλεόν μου ἐναντίον τοῦ κυρίου θεοῦ
21 μου περὶ τοῦ ὄρους τοῦ ἁγίου· [21]καὶ ἔτι ἐμοῦ λαλοῦντος ἐν τῇ
προσευχῇ, καὶ ἰδοὺ ἀνὴρ Γαβριὴλ ὃν ἴδον ἐν τῇ ὁράσει ἐν τῇ
22 ἀρχῇ πετόμενος, καὶ ἥψατό μου ὡσεὶ ὥραν θυσίας ἑσπερινῆς. [22]καὶ
συνέτισέν με, καὶ ἐλάλησεν μετ' ἐμοῦ καὶ εἶπεν Δανιήλ, νῦν ἐξῆλ-
23 θον συμβιβάσαι σε σύνεσιν. [23]ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν
λόγος, καὶ ἐγὼ ἦλθον τοῦ ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν σὺ εἶ·
24 καὶ ἐννοήθητι ἐν τῷ ῥήματι καὶ σύνες ἐν τῇ ὀπτασίᾳ. [24]ἑβδομή-
κοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν πόλιν

15 ηνομησαμεν] ηδικησαμεν Γ   16 Ιερουσαλημ 1°] Ιηλ A | om και 2° AQΓ AQ | πασι Q   17 κε ο θς ημων εισακουσο̄] A | om ημων Q* (hab Q^{mg}) | δουλου σου] ου σου sup ras et in mg A^{a} | αυτου] αυτων Γ* (του ut vid superscr) | ερημον (ε sup ras A^{a})] ερημωθεν Γ | ενεκεν] ειυεκεν A εκενεν Γ^{cd} 18 ανοιξον] pr και A | σου 3°] + Ιηλμ A + Ιλημ Γ | ριπτουμεν] pr ημεις AQΓ^{fort} | οικτιρμ. bis B^{b}Q^{a} 1° salt Γ   19 εισακουσον...προσχες κυριε] κε ακουσον· κε ιλασθητι· κε προσχες A | μη χρονισης] pr κε ποιησον και A pr ποιησον και QΓ | ο θεος] κε ο θς A   20 εμου] μου AQΓ | εξαγορευοντος] + μου A | ριπτοντ(ος) Γ | του κυριου θεου] om κυριου A κυ του θυ Q om του Γ | ορου B* (ορους B$^{a\ vel\ potius\ b}$) | αγιου] + του θυ μου AΓ + κυ του θυ μου Q   21 εμου] μου AQ | λαλουντος] + και προσευχομενου A | om και 2° A | ανηρ] pr ο Q | ειδον B^{ab}Q* (ιδ. Q$^{a\ vid}$) | ορασει] + (μου) Γ^{fort} 22 ειπεν] + μοι Γ   23 om σου A | λογος] pr ο Q | αναγγειλαι σοι] om σοι A* (λαι σοι rescr A^{1}) | επιθυμιων] π rescr A^{1} | ει συ QΓ^{vid} 24 σου] + Ιηλ A

87 καὶ ἀπαλεῖψαι τὰς ἀδικίας, καὶ διανοηθῆναι τὸ ὅραμα καὶ δοθῆναι
δικαιοσύνην αἰώνιον καὶ συντελεσθῆναι τὰ ὁράματα καὶ προφήτην,
καὶ εὐφρᾶναι ἅγιον ἁγίων. 25 καὶ γνώσῃ καὶ διανοηθήσῃ καὶ εὐ- 25
φρανθήσῃ καὶ εὑρήσεις προστάγματα ἀποκριθῆναι, καὶ οἰκοδομή-
σεις Ἰερουσαλὴμ πόλιν Κυρίῳ. 26 καὶ μετὰ ἑπτὰ καὶ ἑβδομήκοντα 26
καὶ ἑξήκοντα δύο ἀποσταθήσεται χρίσμα καὶ οὐκ ἔσται, καὶ βασι-
λεία ἐθνῶν φθερεῖ τὴν πόλιν καὶ τὸ ἅγιον μετὰ τοῦ χριστοῦ, καὶ
ἥξει ἡ συντέλεια αὐτοῦ μετ᾽ ὀργῆς καὶ καιροῦ συντελείας· ἀπὸ πο-
λέμου πολεμηθήσεται. 27 καὶ δυναστεύσει ἡ διαθήκη εἰς πολλούς· 27
καὶ πάλιν ἐπιστρέψει, καὶ ἀνοικοδομηθήσεται εἰς πλάτος καὶ μῆκος
καὶ κατὰ συντέλειαν καιρῶν, καὶ μετὰ ἑπτὰ καὶ ἑβδομήκοντα και-
ροὺς καὶ ξβ′ ἐτῶν ἕως καιροῦ συντελείας πολέμου, καὶ ἀφαιρεθή-
σεται ἡ ἐρήμωσις ἐν τῷ κατισχῦσαι τὴν διαθήκην ἐπὶ πολλὰς ἑβδο-
μάδας· καὶ ἐν τῷ τέλει τῆς ἑβδομάδος ἀρθήσεται ἡ θυσία καὶ ἡ
σπονδή, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων ἔσται ἕως συν-
τελείας, καὶ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.

1 Ἐν τῷ ἐνιαυτῷ τῷ πρώτῳ Κύρου τοῦ βασιλέως Περσῶν πρόσ- 1 X
ταγμα ἐδείχθη τῷ Δανιήλ, ὃς ἐπεκλήθη τὸ ὄνομα Βαλτασάρ· καὶ
ἀληθὲς τὸ ὅραμα καὶ τὸ πρόσταγμα, καὶ τὸ πλῆθος τὸ ἰσχυρὸν
διανοηθήσεται τὸ πρόσταγμα· καὶ διενοήθην αὐτὸ ἐν ὁράματι. 2 ἐν 2
ταῖς ἡμέραις ἐκείναις ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας·
3 ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν 3
εἰς τὸ στόμα μου, ἔλαιον οὐκ ἠλειψάμην, ἕως τοῦ συντελέσαι με
τὰς τρεῖς ἑβδομάδας τῶν ἡμερῶν. 4 καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ τετάρτῃ 4

Syr 24 ÷ και δοθηναι δικ. αιωνιον Syr α′ κ. του αγαγειν δικ. αιωνιον Syr^{mg} | τα οραματα] το οραμα Syr | ⁜ και ⁜ προφ. 87 (deest ✓) ⁜ και προφ. και ευφραναι Syr | και προφητην] κ. προφητας Syr^{txt} κ. προφητειαν Syr^{mg} | και ευφραναι] και του χρισαι Syr^{mg} 25 αποκριθηναι] + και του διανοηθηναι Syr^{mg} 26 δυο] + εβδομαδας Syr^{mg} | μετα του χριστου και ηξει] λαος ηγουμενου ερχομενου 87^{mg} et (sub α′) Syr^{mg} | ÷ του χριστου Syr | και ηξει η συντελεια...συντελειας] σ′ και η προθεσμια αυτου εν επικλυσμω και εως της προθεσμιας Syr^{mg} | καιρου] pr εως Syr 26—27 πολεμου...ερημωσιν] α′σ′ πολεμος τετμηται ερημωσεων και δυναμωσει συνθηκην πολλοις εβδομας μια ημισυ δε της εβδομαδος παυσεται θυσια και δωρον και επι της αρχης των βδελυγματων ερημωθησεται και εως συντελειας και τομης και σταξει επι το ηρημωμενον 87^{mg} et (sub σ′) Syr^{mg} 27 ετων] ετη Syr | ΕΡΗΜΩϹΙϹ Syr^{mg} | + βδελυγμα...επι την ερημωσιν Syr ÷ επι την ερ. 87 (deest ✓) X 1 προσταγμα εδειχθη] α′ ρημα απεκαλυφθη Syr^{mg} | και το πληθος...οραματι] α′ και στρατεια μεγαλη συνησει το ρημα και συνεσις αυτω εν τη ορασει 87^{mg} α′ κ. στρ. μεγ. συνησει συν το ρ. και συνησει αυτο εν τ. ορ. Syr^{mg} | ÷ αυτο εν οραματι 87 Syr 3 επιθυμιων] σ′ επιθυμητον Syr^{mg} | οινον 87

τὴν ἁγίαν τοῦ συντελεσθῆναι ἁμαρτίαν, καὶ τοῦ σφραγίσαι ἁμαρ- B
τίας καὶ ἀπαλεῖψαι τὰς ἀδικίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας καὶ
τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ
25 προφήτην, καὶ τοῦ χρίσαι ἅγιον ἁγίων. [25]καὶ γνώσῃ καὶ συνή-
σεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἰερου-
σαλὴμ ἕως χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξή-
κοντα δύο· καὶ ἐπιστρέψει καὶ οἰκοδομηθήσεται πλατεία καὶ τεῖχος,
26 καὶ ἐκκενωθήσονται οἱ καιροί. [26]καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑξή-
κοντα δύο ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα¶ οὐκ ἔστιν ἐν αὐτῷ· ¶ Γ
καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχο-
μένῳ, ἐκκοπήσονται ἐν κατακλυσμῷ· καὶ ἕως τέλους πολέμου συν-
27 τετμημένου τάξει ἀφανισμοί. [27]καὶ δυναμώσει διαθήκην πολλοῖς
ἑβδομὰς μία· καὶ ἐν τῷ ἥμισυ τῆς ἑβδομάδος ἀρθήσεταί μου θυσία
καὶ σπονδή, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων, καὶ ἕως
τῆς συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.

X 1 [1]Ἐν ἔτει τρίτῳ Κύρου βασιλέως Περσῶν λόγος ἀπεκαλύφθη τῷ
Δανιήλ, οὗ τὸ ὄνομα ἐπεκλήθη Βαλτασάρ· καὶ ἀληθινὸς ὁ λόγος, καὶ
2 δύναμις μεγάλη καὶ σύνεσις ἐδόθη αὐτῷ ἐν τῇ ὀπτασίᾳ. [2]ἐν ταῖς
ἡμέραις ἐκείναις ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας ἡμερῶν·
3 [3]ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς
τὸ στόμα μου, καὶ ἄλιμμα οὐκ ἠλειψάμην, ἕως πληρώσεως τριῶν
4 ἑβδομάδων ἡμερῶν. [4]ἐν ἡμέρᾳ εἰκοστῇ καὶ τετάρτῃ τοῦ μηνὸς τοῦ

24 αγιαν] + σου A | συντελεσθηναι] συντελεσαι A | σφραγισαι 1°] + ορασιν A | αδικιας 1°] ανομιας AQ | του χρισαι] το χρ. Q* (superscr υ Qᵃ) 25 χριστου] $\overline{\chi\rho\upsilon}$ B* $\overline{\chi\upsilon}$ Bᵇ | δυο] + ε (seq spat ad fin lin) A | τειχος] περιτειχος A 26 εξολεθρευθ. AQΓ | και την πολιν] την δε π. Q | εκκοπησονται] pr και AQ | συ|τετετμημενου (sic) A | αφανισμοις Bᵃᵇ AQ 27 ημισει Q | εβδομαδος] + καταπαυσει θυσιαστηρια (-ριον A) και θυσιας (-σιαν A) και εως (om εως Q) πτερυγιου απο αφανισμου και εως συντελειας (-λιας Q*) και σπουδης ταξει επι αφανισμω (-σμου A) και δυναμωσει διαθηκην πολλοις εβδομας μια· και εν τω ημισει (-σι Bᵃ -συ A) της εβδομαδος Bᵃᵇ ᵐᵍ AQ* (improb Q?) | om μου Q | το ιερον] τον ιερ. A | ερημωσεων] + εσται A | της συντελειας (-λιας Q*)] om της AQ | συντελεια] συντελια Q* (-λεια Qᵃ) | subscr ορασις ι' A X 1 superscr ορασις ια' AQ 2 εβδομας B* (-μαδας Bᵃ ⁽ᶠᵒʳᵗ⁾ ᵇ) 3 τομα Q* (στομα Qᵃ) | αλειμμα Bᵃᵇ AQΓ

87 καὶ εἰκάδι τοῦ μηνὸς τοῦ πρώτου, καὶ ἐγὼ ἤμην ἐπὶ τοῦ χείλους
τοῦ ποταμοῦ τοῦ μεγάλου, ὅς ἐστι Τίγρης. [5]καὶ ἦρα τοὺς ὀφθαλ- 5
μούς μου καὶ εἶδον, καὶ ἰδοὺ ἄνθρωπος εἷς ἐνδεδυμένος βύσσινα καὶ
τὴν ὀσφὺν περιεζωσμένος βυσσίνῳ, καὶ ἐκ μέσου αὐτοῦ φῶς· [6]καὶ τὸ 6
στόμα αὐτοῦ ὡσεὶ θαλάσσης, καὶ τὸ πρόσωπον αὐτοῦ ὡσεὶ ὅρασις
ἀστραπῆς, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες πυρός, καὶ οἱ βρα-
χίονες αὐτοῦ καὶ οἱ πόδες ὡσεὶ χαλκὸς ἐξαστράπτων, καὶ φωνὴ
λαλιᾶς αὐτοῦ ὡσεὶ φωνὴ θορύβου. [7]καὶ εἶδον ἐγὼ Δανιὴλ τὴν 7
ὅρασιν τὴν μεγάλην ταύτην, καὶ οἱ ἄνθρωποι οἱ ὄντες μετ' ἐμοῦ
οὐκ εἴδοσαν τὴν ὅρασιν ταύτην, καὶ φόβος ἰσχυρὸς ἐπέπεσεν
ἐπ' αὐτούς, καὶ ἀπέδρασαν ἐν σπουδῇ. [8]καὶ ἐγὼ κατελείφθην μό- 8
νος καὶ εἶδον τὴν ὅρασιν τὴν μεγάλην ταύτην, οὐκ ἐνκατελείφθη
ἐν ἐμοὶ ἰσχύς, καὶ ἰδοὺ πνεῦμα ἐπεστράφη ἐπ' ἐμὲ εἰς φθοράν,
καὶ οὐ κατίσχυσα. [9]καὶ οὐκ ἤκουσα τὴν φωνὴν λαλιᾶς αὐτοῦ· ἐγὼ 9
ἤμην πεπτωκὼς ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν γῆν. [10]καὶ ἰδοὺ χεῖρα 10
προσήγαγέ μοι, καὶ ἤγειρέ με ἐπὶ τῶν γονάτων ἐπὶ τὰ ἴχνη τῶν
ποδῶν μου. [11]καὶ εἶπέ μοι Δανιήλ, ἄνθρωπος ἐλεεινὸς εἶ· δια- 11
νοήθητι τοῖς προστάγμασιν οἷς ἐγὼ λαλῶ ἐπὶ σέ, καὶ στῆθι ἐπὶ
τοῦ τόπου σου, ἄρτι γὰρ ἀπεστάλην ἐπὶ σέ. καὶ ἐν τῷ λαλῆσαι
αὐτὸν μετ' ἐμοῦ τὸ πρόσταγμα τοῦτο ἔστην τρέμων. [12]καὶ εἶπεν 12
πρὸς μέ Μὴ φοβοῦ, Δανιήλ· ὅτι ἀπὸ τῆς ἡμέρας τῆς πρώτης ἧς
ἔδωκας τὸ πρόσωπόν σου διανοηθῆναι καὶ ταπεινωθῆναι ἐναντίον
κυρίου τοῦ θεοῦ σου, εἰσηκούσθη τὸ ῥῆμά σου, καὶ ἐγὼ εἰσῆλθον
τῷ ῥήματί σου. [13]καὶ ὁ στρατηγὸς βασιλέως Περσῶν ἀνθειστήκει 13
ἐναντίον μου εἴκοσι καὶ μίαν ἡμέραν· καὶ ἰδοὺ Μιχαὴλ εἷς τῶν ἀρ-
χόντων τῶν πρώτων ἐπῆλθε βοηθῆσαί μοι, καὶ αὐτὸν ἐκεῖ κατέ-
λιπον μετὰ τοῦ στρατηγοῦ τοῦ βασιλέως Περσῶν. [14]καὶ εἶπέν μοι 14
Ἦλθον ὑποδεῖξαί σοι τί ὑπαντήσεται τῷ λαῷ σου ἐπ' ἐσχάτου
τῶν ἡμερῶν, ἔτι γὰρ ὥρα εἰς ἡμέρας. [15]καὶ ἐν τῷ αὐτὸν λαλῆσαι 15

Syr 5 βυσσινα] αʹ εξαιρετα σʹ λινα Syr^mg | περιεζωσμενος] + ην Syr 6 ωσει ορασις αστραπης] αʹ ως χρυσολιθος [τουτεστι μαργαριτης ομοιος χρυσω] Syr^mg 7 εν σπουδη] αʹ κρυφη Syr^mg 8 ουκ ενκ.] pr και Syr | ε|κατελειφθη 87 | επεστραφη πνευμα Syr^mg 9 πεπτωκως] σʹ κεκαρωμενος Syr^mg vid (cf Field) 10 ηγειρε] αʹ εκινησε Syr^mg | τα ιχνη των ποδων μου] τους ταρσους των χειρων μου Syr^mg 11 ανθρωπος ελεεινος] ανηρ επιθυμιων Syr^mg | επι του τοπου σου] σʹ επι της βασεως σου Syr^mg 12 εισηκουσθη] pr και Syr | εισηλθον] ηλθον Syr^mg 13 βασιλεως] βασιλειας Syr^mg | και αυτον...Περσων] αʹ καγω περιεσσευθην εκει πλησιον βασιλεως Π. 87^mg Syr^mg | κατελιπον] post λ ras aliq 87¹ (fort prius -λειπ.) 14 και ειπεν 87¹ de 87* non liq | ωρα] ορασις Syr^mg

πρώτου, καὶ ἐγὼ ἤμην ἐχόμενα τοῦ ποταμοῦ τοῦ μεγάλου, αὐτός B
5 ἐστιν Τίγρις Ἐδδέκελ. 5 καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ ἴδον, καὶ
ἰδοὺ ἀνὴρ εἷς ἐνδεδυμένος βαδδείν, καὶ ἡ ὀσφὺς αὐτοῦ περιεζωσμένη
6 ἐν χρυσίῳ Ὠφάζ, 6 καὶ τὸ σῶμα αὐτοῦ ὡσεὶ θαρσείς, καὶ τὸ πρόσ-
ωπον αὐτοῦ ὡσεὶ ὅρασις ἀστραπῆς, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμ-
πάδες πυρός, καὶ οἱ βραχίονες αὐτοῦ καὶ τὰ σκέλη ὡς ὅρασις χαλ-
7 κοῦ στίλβοντος, καὶ ἡ φωνὴ τῶν λόγων αὐτοῦ ὡς φωνὴ ὄχλου. 7 καὶ
ἴδον ἐγὼ Δανιὴλ μόνος τὴν ὀπτασίαν, καὶ οἱ ἄνδρες οἱ μετ' ἐμοῦ
οὐκ ἴδον τὴν ὀπτασίαν, ἀλλ' ἢ ἔκστασις μεγάλη ἐπέπεσεν ἐπ' αὐ-
8 τούς, καὶ ἔφυγον ἐν φόβῳ. 8 καὶ ἐγὼ μόνος ὑπελείφθην καὶ ἴδον
τὴν ὀπτασίαν τὴν μεγάλην ταύτην, καὶ οὐχ ὑπελείφθη ἐν ἐμοὶ ἰσχύς,
καὶ ἡ δόξα μου μετεστράφη εἰς διαφθοράν, καὶ οὐκ ἐκράτησα ἰσχύος.
9 9 καὶ ἤκουσα τὴν φωνὴν τῶν λόγων αὐτοῦ, καὶ ἐν τῷ ἀκοῦσαί με
αὐτοῦ ἤμην κατανενυγμένος, καὶ τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν.
10 10 καὶ ἰδοὺ χεὶρ ἁπτομένη μου, καὶ ἤγειρέν με ἐπὶ τὰ γόνατά μου.
11 11 καὶ εἶπεν πρὸς μέ Δανιήλ, ἀνὴρ ἐπιθυμιῶν, σύνες ἐν τοῖς λόγοις
οἷς ἐγὼ λαλῶ πρὸς σέ, καὶ στῆθι ἐπὶ τῇ στάσει σου, ὅτι νῦν ἀπε-
στάλην πρὸς σέ. καὶ ἐν τῷ λαλῆσαι αὐτὸν πρὸς μὲ τὸν λόγον
12 τοῦτον ἀνέστην ἔντρομος. 12 καὶ εἶπεν πρὸς μέ Μὴ φοβοῦ, Δανιήλ·
ὅτι ἀπὸ τῆς πρώτης ἡμέρας ἧς ἔδωκας τὴν καρδίαν σου τοῦ συν-
εῖναι καὶ κακωθῆναι ἐναντίον τοῦ θεοῦ σου, ἠκούσθησαν οἱ λόγοι
13 σου, καὶ ἐγὼ ἦλθον ἐν τοῖς λόγοις σου. 13 καὶ ὁ ἄρχων βασιλείας
Περσῶν ἱστήκει ἐξ ἐναντίας μου εἴκοσι καὶ μίαν ἡμέραν· καὶ ἰδοὺ
Μειχαὴλ εἷς τῶν ἀρχόντων ἦλθεν βοηθῆσαί μοι, καὶ αὐτὸν κατέ-
14 λειπον ἐκεῖ μετὰ τοῦ ἄρχοντος βασιλείας Περσῶν. 14 καὶ ἦλθον συνε-
τίσαι σε ὅσα ἀπαντήσεται τῷ λαῷ σου ἐπ' ἐσχάτων τῶν ἡμερῶν,
15 ὅτι ἔτι ἡ ὅρασις εἰς ἡμέρας. 15 καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ

4 om εγω Q* (hab Q^{mg}) | εχομενος Q | om Τιγρις Q* (hab sub θ' Q^{mg}) | AQ Εδδεκελ] Ενδεκελ A superscr συ' 5 ειδον B^{ab}: item 7 bis (adstipulante Q), 8 | βαδδιν A | om εν Q 6 ωσει 2°, 3°] ως AQ 7 εν φοβω] εν τρομω Q* φοβω Q^{mg} 8 και εγω] καγω A | μονος υπελ. μονος B* (non inst μονος 2° B^{b}) υπελ. μονος AQ | δοξα] εξεις A | εστραφη Q* (μετεστραφη Q^{mg}) 9 με]+φωνην ρηματων AQ 10 μου 2°]+και ταρσους χειρων μου AQ* (superscr α'σ' Q?)+(sub θ') και επι τα ιχνη των χειρων μου+(sub ο')...ποδων μου Q^{mg} 11 om νυν Q* (hab Q^{1mg}) 12 om οτι απο της πρωτης ημερας A | πρωτης ημερας] ημ. της πρ. Q | συνειναι] συνιεναι Q | κακωθηναι] pr του A | του θεου] pr $\overline{κυ}$ AQ 13 ειστηκει B^{ab}Q | εικοσι] pr και A | Μιχαηλ B^{b}AQ: item 21 | αρχοντων]+των πρωτων AQ | κατελιπον B^{b}Q^{a} | βασιλειας 2°] βασιλεως Q θ' βασιλειας Q^{mg} 14 απαντησει Q | εσχατω Q | om ετι A | η ορασις] om η A

87 μετ' ἐμοῦ τὰ προστάγματα ταῦτα ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ τὴν
γῆν καὶ ἐσιώπησα. 16 καὶ ἰδοὺ ὡς ὁμοίωσις χειρὸς ἀνθρώπου ἥψατό 16
μου τῶν χειλέων· καὶ ἤνοιξα τὸ στόμα μου καὶ ἐλάλησα, καὶ εἶπα
τῷ ἑστηκότι ἀπέναντί μου Κύριε· καὶ ὡς ὅρασις ἀπεστράφη ἐπὶ τὸ
πλευρόν μου ἐπ' ἐμέ, καὶ οὐκ ἦν ἐπ' ἐμοὶ ἰσχύς· 17 καὶ πῶς δυνή- 17
σεται ὁ παῖς λαλῆσαι μετὰ τοῦ κυρίου αὐτοῦ; καὶ ἐγὼ ἠσθένησα,
καὶ οὐκ ἔστιν ἐν ἐμοὶ ἰσχὺς καὶ πνεῦμα οὐ κατελείφθη ἐν ἐμοί.
18 καὶ προσέθηκε καὶ ἥψατό μου ὡς ὅρασις ἀνθρώπου, καὶ κατί- 18
σχυσέ με, 19 καὶ εἶπέν μοι Ἄνθρωπος ἐλεεινὸς εἶ, μὴ φοβοῦ, ὑγί- 19
αινε· ἀνδρίζου καὶ ἴσχυσαι. καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ
ἴσχυσα καὶ εἶπα Λαλησάτω ὁ κύριός μου, ὅτι ἐνίσχυσέν με. 20 καὶ 20
εἶπεν πρὸς μέ Γινώσκεις τί ἦλθον πρὸς σέ; καὶ νῦν ἐπιστρέψω
διαμάχεσθαι μετὰ τοῦ στρατηγοῦ βασιλέως τῶν Περσῶν· καὶ ἐγὼ
ἐξεπορευόμην, καὶ ἰδοὺ στρατηγὸς Ἑλλήνων εἰσεπορεύετο. 21 καὶ 21
μάλα ὑποδείξω σοι τὰ πρῶτα ἐν ἀπογραφῇ ἀληθείας· καὶ οὐθεὶς ἦν
ὁ βοηθῶν μετ' ἐμοῦ ὑπὲρ τούτων ἀλλ' ἢ Μιχαὴλ ὁ ἄγγελος.

1 Καὶ ἐν τῷ ἐνιαυτῷ τῷ πρώτῳ Κύρου τοῦ βασιλέως εἶπέν μοι 1 XI
ἐνισχῦσαι καὶ ἀνδρίζεσθαι 2 Καὶ νῦν ἦλθον τὴν ἀλήθειαν ὑπο- 2
δεῖξαί σοι· ἰδοὺ τρεῖς βασιλεῖς ἀνθεστήκασιν ἐν τῇ Περσίδι, καὶ ὁ
τέταρτος πλουτήσει πλοῦτον μέγαν παρὰ πάντας· καὶ ἐν τῷ κατι-
σχῦσαι αὐτὸν ἐν τῷ πλούτῳ αὐτοῦ ἐπαναστήσεται παντὶ βασιλεῖ
Ἑλλήνων. 3 καὶ στήσεται βασιλεὺς δυνατός, καὶ κυριεύσει κυρείας 3
πολλῆς, καὶ ποιήσει καθὼς ἂν βούληται. 4 καὶ ἐν τῷ ἀναστῆναι 4
αὐτὸν συντριβήσεται ἡ βασιλεία αὐτοῦ καὶ μερισθήσεται εἰς τοὺς
τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ, οὐ κατὰ τὴν ἀλκὴν αὐτοῦ οὐδὲ κατὰ
τὴν κυρείαν αὐτοῦ ἣν ἐδυνάστευσε· ὅτι ἀποσταθήσεται ἡ βασιλεία
αὐτοῦ, καὶ ἑτέρους διδάξει ταῦτα. 5 καὶ ἐνισχύσει βασιλείαν Αἰ- 5
γύπτου, καὶ εἷς ἐκ τῶν δυναστῶν κατισχύσει αὐτὸν καὶ δυναστεύ-

Syr 16 ΗΝΟΙΞΑ Syr^{mg} | ως ορασις απεστραφη...επ εμε]...εστραφη τα εντος μου εν εμοι σ' εν τη ορασει εστρεβλωθη τα μελη μου εν εμοι Syr^{mg} | επ εμοι] εν εμοι Syr 19 ελεεινος] επιθυμιων Syr^{mg} | υγιαινε (post αι ras aliq 87$^{?}$)] ειρηνη σοι Syr^{mg} 21 ο αγγελος] ο αρχων υμων Syr^{mg} XI 1 Κυρου του βασιλεως] α'σ' Δαρειου του Μηδου Syr^{mg} 2 και εν τω κατισχυσαι... Ελληνων] α' και κατα την ισχυν αυτου εν τω πλουτω αυτου διεγερει παντας συν τους βασιλεις (fort τοις βασιλευσι) των Ελλ. σ' και εν τω ενισχυσαι αυτον εν τω πλουτω αυτου διεγερει παντας προς την βασιλειαν της γης των Ελλ. Syr^{mg} | Ελληνων] adnot τουτεστιν Ελλαδος (ΕΛΛΑΔΟϹ) Syr^{mg} 3 κυρειας] κυριας 87^{*vid} 4 κυρειαν] κυριαν 87^{*vid} 5 και ενισχυσει...κατισχυσει αυτον] σ' και επικρατησει του βασιλεως του νοτου και των αρχοντων αυτου και κατισχυσει επ αυτον Syr^{mg}

κατὰ τοὺς λόγους τούτους ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν. B
16 [16]καὶ ἰδοὺ ὡς ὁμοίωσις υἱοῦ ἀνθρώπου ἥψατο τῶν χειλέων μου· καὶ
ἤνοιξα τὸ στόμα μου καὶ ἐλάλησα, καὶ εἶπα πρὸς τὸν ἑστῶτα ἐναν-
τίον ἐμοῦ Κύριε, ἐν τῇ ὀπτασίᾳ σου ἐστράφη τὰ ἐντός μου ἐν ἐμοί,
17 καὶ οὐκ ἔσχον ἰσχύν. [17]καὶ πῶς δυνήσεται ὁ παῖς σου, κύριε,
λαλῆσαι μετὰ τοῦ κυρίου μου τούτου; καὶ ἐγὼ ἀπὸ τοῦ νῦν οὐ
18 στήσεται ἐν ἐμοὶ ἰσχύς, καὶ πνεῦμα οὐχ ὑπελείφθη ἐν ἐμοί. [18]καὶ
προσέθετο καὶ ἥψατό μου ὡς ὅρασις ἀνθρώπου, καὶ ἐνίσχυσέν με·
19 [19]καὶ εἶπέν μοι Μὴ φοβοῦ, ἀνὴρ ἐπιθυμιῶν, εἰρήνη σοι· ἀνδρίζου
καὶ ἴσχυε. καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ᾽ ἐμοῦ ἴσχυσα, καὶ εἶπα
20 Λαλείτω ὁ κύριός μου, ὅτι ἐνίσχυσάς με. [20]καὶ εἶπεν Εἰ οἶδας ἵνα
τί ἦλθον πρὸς σέ; καὶ νῦν ἐπιστρέψω τοῦ πολεμῆσαι μετὰ τοῦ
ἄρχοντος Περσῶν· καὶ ἐγὼ εἰσεπορευόμην, καὶ ἄρχων τῶν Ἑλ-
21 λήνων ἤρχετο. [21]ἀλλ᾽ ἢ ἀναγγελῶ σοι τὸ ἐντεταγμένον ἐν γραφῇ
ἀληθείας, καὶ οὐκ ἔστιν εἷς ἀντεχόμενος μετ᾽ ἐμοῦ περὶ τούτων
XI 1 ἀλλ᾽ ἢ Μειχαὴλ ὁ ἄρχων ὑμῶν. [1]καὶ ἐγὼ ἐν ἔτει πρώτῳ Κύρου
2 ἔστην εἰς κράτος καὶ ἰσχύν. [2]Καὶ νῦν ἀλήθειαν ἀναγγελῶ σοι·
ἰδοὺ ἔτι τρεῖς βασιλεῖς ἀναστήσονται ἐν τῇ Περσίδι, καὶ ὁ τέταρτος
πλουτήσει πλοῦτον μέγαν παρὰ πάντας· καὶ μετὰ τὸ κρατῆσαι αὐ-
τὸν τοῦ πλούτου αὐτοῦ ἐπαναστήσεται πάσαις βασιλείαις Ἑλλήνων.
3 [3]καὶ ἀναστήσεται βασιλεὺς δυνατός, καὶ κυριεύσει κυρίας πολλῆς,
4 καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ. [4]καὶ ὡς ἂν στῇ ἡ βασιλεία
αὐτοῦ, συντριβήσεται καὶ διαιρεθήσεται εἰς τοὺς τέσσαρες ἀνέμους
τοῦ οὐρανοῦ, καὶ οὐκ εἰς τὰ ἔσχατα αὐτοῦ οὐδὲ κατὰ τὴν κυρείαν
αὐτοῦ ἣν ἐκυρίευσεν· ὅτι ἐκτιλήσεται ἡ βασιλεία αὐτοῦ, καὶ ἑτέροις
5 ἐκτὸς τούτων. [5]καὶ ἐνισχύσει ὁ βασιλεὺς τοῦ νότου· καὶ εἷς τῶν
ἀρχόντων αὐτῶν ἐνισχύσει ἐπ᾽ αὐτῶν καὶ κυριεύσει κυρίαν πολ-

16 και 1°] + κατενυγην και B[ab(mg)]AQ | om και ηνοιξα το στομα μου A | AQ ειπα] ειπον Q | εμου] μου AQ 17 πνευμα] πνοη AQ 20 ειπεν] + μοι A | επιστρεφω A | του αρχοντος] αρχοντω̄ A αρχοντος Q | εισεπορευομην] εξεπορευομην AQ | αρχων] pr ο B[ab]AQ 21 εντεταγμενον] ενγεγραμμενον Q* (εγγ. Q[a]) | αληθιας Q* (-θειας Q[a]) | περι] υπερ A | η 2°] ημων A XI 1 ετει] pr τω B* (improb B[a?]) | ισχυν κ. κρατος Q 2 πλουτον] ον sup ras 3 vel 4 litt Q[vid] | βασιλιαις Q* (-λειαις Q[a]) 4 αν στη] αναστη Q* | τεσσαρας B[ab]AQ | κυρειαν] κυριαν AQ | τουτων] + δοθησεται A 5 εις των αρχοντων αυτων ενισχυσει επ αυτων] ενισχ. επ αυτων εις των αρχ. αυτου A | κυριαν (-ρειαν B[ab]) πολλην] κυριειας πολλης επ εξουσιας αυτου A κυριαν πολλην επ εξουσιας αυτου Q

87 σει δυναστείᾳ μεγάλῃ ἡ δυναστεία αὐτοῦ. [6]καὶ εἰς συντέλειαν 6
ἐνιαυτῶν ἄξει αὐτούς, καὶ εἰσελεύσεται βασιλεὺς Αἰγύπτου εἰς τὴν
βασιλείαν τὴν βορρᾶ ποιήσασθαι συνθήκας· καὶ οὐ μὴ κατισχύσῃ,
ὅτι ὁ βραχίων αὐτοῦ οὐ στήσει ἰσχύν, καὶ ὁ βραχίων αὐτοῦ ναρ-
κήσει καὶ τῶν συμπορευομένων μετ' αὐτοῦ, καὶ μενεῖ εἰς ὥρας.
[7]καὶ ἀναστήσεται φυτὸν ἐκ τῆς ῥίζης αὐτοῦ καθ' ἑαυτόν, καὶ ἥξει 7
ἐπὶ τὴν δύναμιν αὐτοῦ ἐν ἰσχύι αὐτοῦ βασιλεὺς βορρᾶ, καὶ ποιήσει
ταραχὴν καὶ κατισχύσει. [8]καὶ τοὺς θεοὺς αὐτῶν καταστρέψει μετὰ 8
τῶν χωνευτῶν αὐτῶν, καὶ τοὺς ὄχλους αὐτῶν μετὰ τῶν σκευῶν
τῶν ἐπιθυμημάτων αὐτῶν, τὸ ἀργύριον καὶ τὸ χρυσίον, ἐν αἰχμα-
λωσίᾳ ἀποίσουσιν εἰς Αἴγυπτον· καὶ ἔσται ἔτος βασιλεῖ βορρᾶ.
[9]καὶ εἰσελεύσεται εἰς βασιλείαν βασιλεὺς Αἰγύπτου ἡμέρας, καὶ 9
ἐπιστρέψει ἐπὶ τὴν γῆν αὐτοῦ, [10]καὶ ὁ υἱὸς αὐτοῦ· καὶ ἐρεθισθή- 10
σεται, καὶ συνάξει συναγωγὴν ὄχλου πολλοῦ, καὶ εἰσελεύσεται
κατ' αὐτὴν κατασύρων. παρελεύσεται καὶ ἐπιστρέψει· καὶ παρ-
οξυνθήσεται ἐπὶ πολύ. [11]καὶ ὀργισθήσεται βασιλεὺς Αἰγύπτου, καὶ 11
ἐξελεύσεται καὶ πολεμήσει μετὰ βασιλέως βορρᾶ, καὶ στήσει ὄχλον
πολύν, καὶ παραδοθήσεται ἡ συναγωγὴ εἰς τὰς χεῖρας αὐτοῦ· [12]καὶ 12
λήψεται τὴν συναγωγήν, καὶ ὑψωθήσεται ἡ καρδία αὐτοῦ, καὶ
ταράξει πολλοὺς καὶ οὐ μὴ φοβηθῇ. [13]καὶ ἐπιστρέψει βασιλεὺς 13
βορρᾶ καὶ συνάξει πόλεως συναγωγὴν μείζονα παρὰ τὴν πρώτην
κατὰ συντέλειαν καιροῦ ἐνιαυτοῦ, καὶ εἰσελεύσεται εἰς αὐτὴν ἐπ' αὐ-
τὸν ἐν ὄχλῳ πολλῷ καὶ ἐν χρήμασι πολλοῖς. [14]καὶ ἐν τοῖς καιροῖς 14
ἐκείνοις διάνοιαι ἀναστήσονται ἐπὶ τὸν βασιλέα Αἰγύπτου, καὶ ἀνοι-
κοδομήσει τὰ πεπτωκότα τοῦ ἔθνους σου, καὶ ἀναστήσεται εἰς τὸ
ἀναστῆσαι τὴν προφητείαν, καὶ προσκόψουσι. [15]καὶ ἐπελεύσεται 15
βασιλεὺς βορρᾶ, καὶ ἐπιστρέψει τὰ δόρατα αὐτοῦ καὶ λήψεται τὴν
πόλιν τὴν ὀχυράν, καὶ οἱ βραχίονες βασιλέως Αἰγύπτου στήσονται

Syr **6** και εισελευσεται...μενει εις ωρας] και θυγατηρ βασιλεως του νοτου εισελευσεται προς βασιλεα του βορρα του ποιησαι συνθηκας μετ αυτου και ου κρατησει ισχυος βραχιονος και ου στησεται το σπερμα αυτου (fort αυτης) και παραδοθησεται αυτη και οι προσαγοντες αυτην και η νεανις και ο κατισχυων αυτην εν τω καιρω: σ'...του ποιησαι ομονοιαν και ου στησεται προς την ισχυν του βραχιονος και ουχ υποστησεται (?υπομενει) ουδε προς το σπερμα αυτου Syr^mg **8** αυτων 4°] αυτου 87* vid **9** ※ βασιλευς Syr | Αιγυπου 87 **10** και εισελευσεται...κατασυρων (κατὰ σύρων 87)] σ' και ελευσεται ερχομενη και κατακλυζουσα Syr^mg | επι πολυ] α' εως κραταιωματος αυτης Syr^mg **11** Αιγυπτου] του νοτου Syr^mg (item 15) | ※ και εξελευσεται 87 Syr | ※ και στησει οχλον πολυν (λυ sup ras: fort prius πολλ..) 87 ※ οχλον π. Syr **12** ου] αυ 87^cd **13** κατα συντελειαν...επ αυτον] και εις το τελος των καιρων ενιαυτων ελευσεται ερχομενος Syr^mg | αυτην] αυτο 87* vid

6 λήν. [6]καὶ μετὰ τὰ ἔτη αὐτοῦ συμμιγήσονται, καὶ θυγάτηρ βασιλέως B
τοῦ νότου εἰσελεύσεται πρὸς βασιλέα τοῦ βορρᾶ τοῦ ποιῆσαι συν-
θήκας μετ᾽ αὐτοῦ· καὶ οὐ κρατήσει ἰσχύος βραχίονος, καὶ οὐ στή-
σεται τὸ σπέρμα αὐτοῦ, καὶ παραδοθήσεται αὕτη καὶ οἱ φέροντες
7 αὐτήν, καὶ ἡ νεᾶνις καὶ ὁ κατισχύων αὐτὴν ἐν τοῖς καιροῖς. [7]καὶ
στήσεται ἐκ τοῦ ἄνθους τῆς ῥίζης αὐτῆς τῆς ἑτοιμασίας αὐτοῦ, καὶ
ἥξει πρὸς τὴν δύναμιν, καὶ εἰσελεύσεται εἰς τὰ ὑποστηρίγματα τοῦ
8 βασιλέως τοῦ βορρᾶ, καὶ ποιήσει ἐν αὐτοῖς καὶ κατισχύσει. [8]καί
γε τοὺς θεοὺς αὐτῶν μετὰ τῶν χωνευτῶν αὐτῶν, πᾶν σκεῦος ἐπι-
θυμητὸν αὐτῶν, ἀργυρίου καὶ χρυσίου, μετὰ αἰχμαλωσίας οἴσει εἰς
9 Αἴγυπτον· καὶ αὐτὸς στήσεται ὑπὲρ βασιλέα τοῦ βορρᾶ. [9]καὶ εἰσ-
ελεύσεται εἰς τὴν βασιλείαν τοῦ βασιλέως τοῦ νότου, καὶ ἀναστρέψει
10 εἰς τὴν γῆν αὐτοῦ. [10]καὶ οἱ υἱοὶ αὐτοῦ συνάξουσιν ὄχλον ἀνὰ μέσον
πολλῶν, καὶ ἐλεύσεται ἐρχόμενος καὶ κατακλύζων, καὶ παρελεύσεται
11 καὶ καθίεται καὶ συνπροσπλακήσεται ἕως τῆς ἰσχύος αὐτοῦ. [11]καὶ
ἀγριανθήσεται βασιλεὺς τοῦ νότου, καὶ ἐξελεύσεται καὶ πολεμήσει
μετὰ τοῦ βασιλέως τοῦ βορρᾶ, καὶ στήσει ὄχλον πολύν, καὶ παρα-
12 δοθήσεται ὄχλος ἐν χειρὶ αὐτοῦ· [12]καὶ λήμψεται τὸν ὄχλον, καὶ
ὑψωθήσεται ἡ καρδία αὐτοῦ, καὶ καταβαλεῖ μυριάδας, καὶ οὐ κατι-
13 σχύσει. [13]καὶ ἐπιστρέψει βασιλεὺς τοῦ βορρᾶ καὶ ἄξει ὄχλον
πολὺν ὑπὲρ τὸν πρότερον, καὶ εἰς τὸ τέλος τῶν καιρῶν ἐνιαυτῶν
14 ἐπελεύσεται εἰσόδια ἐν δυνάμει μεγάλῃ καὶ ἐν ὑπάρξει πολλῇ. [14]καὶ
ἐν τοῖς καιροῖς ἐκείνοις πολλοὶ ἐπαναστήσονται ἐπὶ βασιλέα τοῦ νότου,
καὶ οἱ υἱοὶ τῶν λοιπῶν τοῦ λαοῦ σου ἐπαρθήσονται τοῦ στῆσαι
15 ὅρασιν, καὶ ἀσθενήσουσιν. [15]καὶ εἰσελεύσεται βασιλεὺς τοῦ βορρᾶ,
καὶ ἐκχεεῖ πρόσχωμα καὶ συνλήμψεται πόλεις ὀχυράς, καὶ οἱ βρα-
χίονες τοῖ βασιλέως τοῦ νότου στήσονται, καὶ ἀναστήσονται καὶ οἱ

6 συμμιγησονται] αποσυμμιγησονται A συμμιγησεται Q* (-σονται Q^{a}) | θυγατηρ] pr η AQ | βασιλεως] βασιλευς A 7 στησεται] αναστησεται B^{b}AQ | εκ] επι Q | αυτης] αυτου Q | της ετοιμασιας] επι της ετ. A επι την ετοιμασιαν Q* (της ετοιμασιας Q^{a}) | om εν A 8 αυτων 1°] + καταστρεψει B^{ab}A | και 2°] η Q* (ϗ Q^{mg}) 10 ανα μεσον] δυναμεω̅ A δυναμεως Q | ελευσεται] εισελευσεται AQ | ερχομενος] αρχ. A | καθιειται AQ | συνπροσπλακησεται (συμπρ. B^{b})] προσυμπλακησονται A προσσυμπλακησεται Q 11 βασιλευς του νοτου και] και ο βασ. του νοτου A | του βασιλεως] om του AQ | οχλος] pr ο AQ 12 ληψεται B^{b} | υψωθησεται] υπερυψωθησεται A 13 βασιλευς] pr ο AQ | αξει] εξει A | το τελος] om το Q | om ενιαυτων Q 14 των λοιπων] των λοιμων A παραβασεων Q* (superscr συ′) θ′: ο′ των λοιμων Q^{mg} | ασθενησουσι Q^{a} 15 βασιλευς] pr ο A | συλληψεται B^{b}Q^{a} συλλημψ. AQ* | πολις Q* (-λεις Q^{a}) | στησονται] pr ου AQ | om και 6° AQ AQ

87 μετὰ τῶν δυναστῶν αὐτοῦ, καὶ οὐκ ἔσται αὐτῷ ἰσχὺς εἰς τὸ ἀντι-
στῆναι αὐτῷ. [16]καὶ ποιήσει ὁ εἰσπορευόμενος ἐπ' αὐτὸν κατὰ τὸ 16
θέλημα αὐτοῦ, καὶ οὐκ ἔσται ὁ ἀνθεστηκὼς ἐναντίον αὐτοῦ· καὶ στή-
σεται ἐν τῇ χώρᾳ, καὶ ἐπιτελεσθήσεται πάντα τὰ ἐν ταῖς χερσὶν
αὐτοῦ. [17]καὶ δώσει τὸ πρόσωπον αὐτοῦ ἐπελθεῖν βίᾳ τὸ ἔργον 17
αὐτοῦ, καὶ συνθήκας μετ' αὐτοῦ ποιήσεται· καὶ θυγατέρα ἀνθρώπου
δώσει αὐτῷ εἰς τὸ φθεῖραι αὐτήν, καὶ οὐ πείσεται καὶ οὐκ ἔσται.
[18]καὶ δώσει τὸ πρόσωπον αὐτοῦ ἐπὶ τὴν θάλασσαν καὶ λήψεται 18
πολλούς, καὶ ἐπιστρέψει ὀργὴν ὀνειδισμοῦ αὐτῶν ἐν ὅρκῳ κατὰ τὸν
ὀνειδισμὸν αὐτοῦ. [19]ἐπιστρέψει τὸ πρόσωπον αὐτοῦ εἰς τὸ κατι- 19
σχῦσαι τὴν χώραν αὐτοῦ, καὶ προσκόψει καὶ πεσεῖται, καὶ οὐχ εὑ-
ρεθήσεται. [20]καὶ ἀναστήσεται ἐκ τῆς ῥίζης αὐτοῦ φυτὸν βασιλείας 20
εἰς ἀνάστασιν, ἀνὴρ τύπτων δόξαν βασιλέως· καὶ ἐν ἡμέραις ἐσχά-
ταις συντριβήσεται, καὶ οὐκ ἐν ὀργῇ οὐδὲ ἐν πολέμῳ· [21]καὶ ἀνα- 21
στήσεται ἐπὶ τὸν τόπον αὐτοῦ εὐκαταφρόνητος, καὶ οὐ δοθήσεται
ἐπ' αὐτὸν δόξα βασιλέως· καὶ ἥξει ἐξάπινα, κατισχύσει βασιλεὺς
ἐν κληροδοσίᾳ αὐτοῦ. [22]καὶ τοὺς βραχίονας τοὺς συντριβέντας συν- 22
τρίψει ἀπὸ προσώπου αὐτοῦ. [23]καὶ μετὰ τῆς διαθήκης καὶ δήμου 23
συνταγέντος μετ' αὐτοῦ ποιήσει ψεῦδος, καὶ ἐπὶ ἔθνος ἰσχυρὸν
ἐν ὀλιγοστῷ ἔθνει [24]ἐξάπινα ἐρημώσει πόλιν, καὶ ποιήσει ὅσα 24
οὐκ ἐποίησαν οἱ πατέρες αὐτοῦ οὐδὲ οἱ πατέρες τῶν πατέρων αὐ-
τοῦ· προνομὴν καὶ σκῦλα καὶ χρήματα αὐτοῖς δώσει, καὶ ἐπὶ τὴν
πόλιν τὴν ἰσχυρὰν διανοηθήσεται, καὶ οἱ λογισμοὶ αὐτοῦ εἰς μά-
την. [25]καὶ ἐγερθήσεται ἡ ἰσχὺς αὐτοῦ καὶ ἡ καρδία αὐτοῦ ἐπὶ τὸν 25
βασιλέα Αἰγύπτου ἐν ὄχλῳ πολλῷ, καὶ ὁ βασιλεὺς Αἰγύπτου ἐρε-
θισθήσεται εἰς πόλεμον ἐν ὄχλῳ ἰσχυρῷ σφόδρα λίαν· καὶ οὐ στή-
σεται, ὅτι διανοηθήσεται ἐπ' αὐτὸν διάνοια. [26]καὶ καταναλώσουσιν 26
αὐτὸν μέριμναι αὐτοῦ καὶ ἀποστρέψουσιν αὐτόν, καὶ παρελεύσον-
ται, καὶ κατασυριεῖ, καὶ πεσοῦνται τραυματίαι πολλοί. [27]καὶ δύο 27
βασιλεῖς μόνοι δειπνήσουσιν ἐπὶ τὸ αὐτὸ καὶ ἐπὶ μιᾶς τραπέζης
φάγονται, καὶ ψευδολογήσουσι καὶ οὐκ εὐοδωθήσονται· ἔτι γὰρ

Syr 16 εν τη χωρα]+της θελησεως Syr (cf Hier) εν γη ενδοξω Syr[mg] | και επιτελεσθησεται...αυτου] σ' και αναλωθησονται δια των χειρων αυτου Syr[mg] | om τα Syr 17 το εργον] pr παν Syr 18 πολλους] incep πολο 87* (πολλ. 87[1]) 22 βαρχιονας 87[cd] 23 εν ολιγοστω εθνει] σ' ως εν ολιγω εθνει ησυχη Syr[mg] 24 και επι τ. πολιν τ. ισχυραν] α' και επι τα οχυρωματα Syr[mg] 25 διανοίᾳ Syr 26 παρελευσεται Syr

16 ἐκλεκτοὶ αὐτοῦ, καὶ οὐκ ἔσται ἰσχὺς τοῦ στῆναι. [16]καὶ ποιήσει ὁ B
εἰσπορευόμενος πρὸς αὐτὸν κατὰ τὸ θέλημα αὐτοῦ, καὶ οὐκ ἔστιν
ἑστὼς κατὰ πρόσωπον αὐτοῦ· καὶ στήσεται ἐν τῇ γῇ τοῦ σαβείρ,
17 καὶ τελεσθήσεται ἐν τῇ χειρὶ αὐτοῦ. [17]καὶ τάξει τὸ πρόσωπον αὐ-
τοῦ εἰσελθεῖν ἐν ἰσχύι πάσης τῆς βασιλείας αὐτοῦ, καὶ εὐθεῖα πάντα
μετ᾽ αὐτοῦ ποιήσει· καὶ θυγατέρα τῶν γυναικῶν δώσει αὐτῷ τοῦ
18 διαφθεῖραι αὐτήν, καὶ οὐ μὴ παραμείνῃ, καὶ οὐκ αὐτῷ ἔσται. [18]καὶ
ἐπιστρέψει τὸ πρόσωπον αὐτοῦ εἰς τὰς νήσους καὶ συλλήμψεται
πολλάς, καὶ καταπαύσει ἄρχοντας ὀνειδισμοῦ αὐτῶν· πλὴν ὀνει-
19 δισμὸς αὐτοῦ ἐπιστρέψει αὐτῷ. [19]καὶ ἐπιστρέψει τὸ πρόσωπον
αὐτοῦ εἰς τὴν ἰσχὺν τῆς γῆς αὐτοῦ, καὶ ἀσθενήσει καὶ πεσεῖται, καὶ
20 οὐχ εὑρεθήσεται. [20]καὶ ἀναστήσεται ἐκ τῆς ῥίζης αὐτοῦ φυτὸν τῆς
βασιλείας ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ παραβιβάζων, πράσσων δόξαν
βασιλείας· καὶ ἐν ταῖς ἡμέραις ἐκείναις συντριβήσεται, καὶ οὐκ ἐν
21 προσώποις οὐδὲ ἐν πολέμῳ. [21]στήσεται ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ·
ἐξουδενώθη, καὶ οὐκ ἔδωκαν ἐπ᾽ αὐτὸν δόξαν βασιλείας· καὶ ἥξει
22 ἐν εὐθηνίᾳ, καὶ κατισχύσει βασιλείας ἐν ὀλισθρήμασιν. [22]καὶ βρα-
χίονες τοῦ κατακλύζοντος κατακλυσθήσονται ἀπὸ προσώπου αὐτοῦ
23 καὶ συντριβήσονται, καὶ ἡγούμενος διαθήκης· [23]καὶ ἀπὸ τῶν συνανα-
μίξεων πρὸς αὐτὸν ποιήσει δόλον, καὶ ἀναβήσεται καὶ ὑπερισχύσει
24 αὐτοὺς ἐν ὀλίγῳ ἔθνει. [24]καὶ ἐν εὐθηνίᾳ καὶ ἐν πίοσι χώραις ἥξει,
καὶ ποιήσει ἃ οὐκ ἐποίησαν οἱ πατέρες αὐτοῦ καὶ οἱ πατέρες τῶν
πατέρων αὐτοῦ· προνομὴν καὶ σκῦλα καὶ ὕπαρξιν αὐτοῖς διασκορπιεῖ,
25 καὶ ἐπ᾽ Αἴγυπτον λογιεῖται λογισμοὺς καὶ ἕως καιροῦ. [25]καὶ ἐξε-
γερθήσεται ἡ ἰσχὺς αὐτοῦ καὶ ἡ καρδία αὐτοῦ ἐπὶ βασιλέα τοῦ νότου
ἐν δυνάμει μεγάλῃ, καὶ ὁ βασιλεὺς τοῦ νότου συνάψει πόλεμον ἐν
δυνάμει μεγάλῃ καὶ ἰσχυρᾷ σφόδρα· καὶ οὐ στήσονται, ὅτι λογι-
26 οῦνται ἐπ᾽ αὐτὸν λογισμούς. [26]καὶ φάγονται τὰ δέοντα αὐτοῦ καὶ
συντρίψουσιν αὐτόν, καὶ δυνάμεις κατακλύσει, καὶ πεσοῦνται τραυ-
27 ματίαι πολλοί. [27]καὶ ἀμφότεροι οἱ βασιλεῖς, αἱ καρδίαι αὐτῶν εἰς
πονηρίαν, καὶ ἐπὶ τραπέζῃ μιᾷ ψευδῆ λαλήσουσιν, καὶ οὐ κατευ-

16 *στησεται*] *στησονται* A | *τη γη*] om *τη* A | *σαββειρ* A | *τελεσθησεται*] AQ *συντελεσθ.* AQ | *χειρι*] *γη* Q* (*χειρι* Q^{mg}) **17** *βασιλιας* Q* (-*λειας* Q^{a}): item 20 bis, 21 bis **18** *συλληψεται* B^{b}Q^{a} | *ονειδισμος*] pr *ο* AQ **19** *ισχυν*] *αρχην* A **20** *της βασιλειας* (-*λιας* hic et A)] om *της* AQ | *ταις ημεραις εκειναις* sup ras B$^{b?}$ **21** *ολιθρημασιν* B* *ολισθρ.* B^{ab} *ολοθρη.* B$^{b?c}$ *ολισθημασιν* AQ* (-*σι* Q^{a}) **22** *κατακλυσθησονται*] pr *και* A **23** *αυτους*] *αυτου* AQ **24** *πιοσι*] *πλιοσιν* AQ* (*πλειοσι* Q^{a}) | om *αυτοις* A | *διασκορπισει* A | *λογισμους*] *διαλογισμους* A + *αυτου* AQ **25** *επι*] *και* A | *εν* 2°] pr *και* A **26** *αυτον*] *αυτου* A **27** *λαλησουσι* Q^{a}

87 συντέλεια εἰς καιρόν. [28]καὶ ἐπιστρέψει ἐπὶ τὴν χώραν αὐτοῦ ἐν 28
χρήμασι πολλοῖς, καὶ ἡ καρδία αὐτοῦ ἐπὶ τὴν διαθήκην τοῦ ἁγίου
ποιήσει καὶ ἐπιστρέψει ἐπὶ τὴν χώραν αὐτοῦ. [29]εἰς καιρὸν ἐπι- 29
στρέψει καὶ εἰσελεύσεται εἰς Αἴγυπτον, καὶ οὐκ ἔσται ὡς ἡ πρώτη
καὶ ἡ ἐσχάτη. [30]καὶ ἥξουσι Ῥωμαῖοι καὶ ἐξώσουσιν αὐτὸν καὶ 30
ἐμβριμήσονται αὐτῷ, καὶ ἐπιστρέψει, καὶ ὀργισθήσονται ἐπὶ τὴν
διαθήκην τοῦ ἁγίου· καὶ ποιήσει καὶ ἐπιστρέψει, καὶ διανοηθήσεται
ἐπ' αὐτοὺς ἀνθ' ὧν ἐγκατέλιπον τὴν διαθήκην τοῦ ἁγίου. [31]καὶ 31
βραχίονες παρ' αὐτοῦ στήσονται καὶ μιανοῦσι τὸ ἅγιον τοῦ φόβου,
καὶ ἀποστήσουσι τὴν θυσίαν, καὶ δώσουσι βδέλυγμα ἐρημώσεως.
[32]καὶ ἐν ἁμαρτίαις διαθήκης μιανοῦσιν ἐν σκληρῷ λαῷ· καὶ ὁ δῆμος 32
ὁ γινώσκων ταῦτα κατισχύσουσι καὶ ποιήσουσι, [33]καὶ ἐννοού- 33
μενοι τοῦ ἔθνους συνήσουσιν εἰς πολλούς, καὶ προσκόψουσι ῥομ-
φαίᾳ καὶ παλαιωθήσονται ἐν αὐτῇ, καὶ ἐν αἰχμαλωσίᾳ καὶ ἐν προ-
• νομῇ ἡμερῶν κηλιδωθήσονται. [34]καὶ ὅταν συντρίβωνται, συνάξουσιν 34
ἰσχὺν βραχεῖαν, καὶ ἐπισυναχθήσονται ἐπ' αὐτοὺς πολλοὶ ἐπὶ πό-
λεως καὶ πολλοὶ ὡς ἐν κληροδοσίᾳ. [35]καὶ ἐκ τῶν συνιέντων δια- 35
νοηθήσονται εἰς τὸ καθαρίσαι ἑαυτοὺς καὶ εἰς τὸ ἐκλεγῆναι καὶ εἰς
τὸ καθαρισθῆναι ἕως καιροῦ συντελείας· ἔτι γὰρ καιρὸς εἰς ὥρας.
[36]καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ ὁ βασιλεύς, καὶ παροργισθή- 36
σεται καὶ ὑψωθήσεται ἐπὶ πάντα θεόν, καὶ ἐπὶ τὸν θεὸν τῶν θεῶν
ἔξαλλα λαλήσει, καὶ εὐοδωθήσεται ἕως ἂν συντελεσθῇ ἡ ὀργή· εἰς
αὐτὸν γὰρ συντέλεια γίνεται. [37]καὶ ἐπὶ τοὺς θεοὺς τῶν πατέρων 37
αὐτοῦ οὐ μὴ προνοηθῇ, καὶ ἐν ἐπιθυμίᾳ γυναικὸς οὐ μὴ προνοηθῇ·
ὅτι ἐν παντὶ ὑψωθήσεται, καὶ ὑποταγήσεται αὐτῷ ἔθνη ἰσχυρά.
[38]ἐπὶ τὸν τόπον αὐτοῦ κινήσει, καὶ θεὸν ὃν οὐκ ἔγνωσαν οἱ 38
πατέρες αὐτοῦ τιμήσει ἐν χρυσίῳ καὶ ἀργυρίῳ καὶ λίθῳ πολυτελεῖ.
καὶ ἐν ἐπιθυμήμασι [39]ποιήσει πόλεων καὶ εἰς ὀχύρωμα ἰσχυρὸν ἥξει 39

Syr 29 ※ επιστρεψει 87 Syr 30 ÷ και επιστρεψει (superscr ÷) και οργισθησονται 87 + και επιστρ. κ. οργισθησεται Syr 31 ΒΔΕΛΥΓΜΑ ΕΡΗΜΩϹΕΩϹ Syr[mg] 37 τους θεους] τον θεον Syr 38 κινησει] κινηθησεται Syr[fort]

28 θυνεῖ· ὅτι ἔτι πέρας εἰς καιρόν. 28 καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐ- B
τοῦ ἐν ὑπάρξει πολλῇ, καὶ ἡ καρδία αὐτοῦ ἐπὶ διαθήκην ἁγίαν, καὶ
29 ποιήσει καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. 29 εἰς τὸν καιρὸν ἐπι-
στρέψει καὶ ἥξει ἐν τῷ νότῳ, καὶ οὐκ ἔσται ὡς ἡ πρώτη καὶ ἡ
30 ἐσχάτη. 30 καὶ εἰσελεύσονται ἐν αὐτῷ οἱ ἐκπορευόμενοι Κίτιοι, καὶ
ταπεινωθήσεται, καὶ ἐπιστρέψει καὶ θυμωθήσεται ἐπὶ διαθήκην
ἁγίαν· καὶ ποιήσει καὶ ἐπιστρέψει, καὶ συνήσει ἐπὶ τοὺς καταλι-
31 πόντας διαθήκην ἁγίαν. 31 καὶ σπέρματα ἐξ αὐτοῦ ἀναστήσονται
καὶ βεβηλώσουσιν τὸ ἁγίασμα τῆς δυναστείας, καὶ μεταστήσουσιν
32 τὸν ἐνδελεχισμόν, καὶ δώσουσιν βδέλυγμα ἠφανισμένον. 32 καὶ οἱ
ἀνομοῦντες διαθήκην ἐπάξουσιν ἐν ὀλισθρήμασιν· καὶ λαὸς γινώσκον-
33 τες θεὸν αὐτοῦ κατισχύσουσιν καὶ ποιήσουσιν, 33 καὶ οἱ συνετοὶ τοῦ
λαοῦ συνήσουσιν εἰς πολλά, καὶ ἀσθενήσουσιν ἐν ῥομφαίᾳ καὶ ἐν
34 φλογὶ καὶ ἐν αἰχμαλωσίᾳ καὶ ἐν διαρπαγῇ ἡμερῶν. 34 καὶ ἐν τῷ
ἀσθενῆσαι αὐτοὺς βοηθηθήσονται βοήθειαν μικράν, καὶ προστεθή-
35 σονται πρὸς αὐτοὺς πολλοὶ ἐν ὀλισθρήμασιν. 35 καὶ ἀπὸ τῶν συνι-
έντων ἀσθενήσουσιν τοῦ πυρῶσαι αὐτοὺς καὶ τοῦ ἐκλέξασθαι καὶ
36 τοῦ ἀποκαλυφθῆναι ἕως καιροῦ πέρας· ὅτι ἔτι εἰς καιρόν. 36 καὶ
ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ· καὶ ὑψωθήσεται ὁ βασιλεὺς καὶ
μεγαλυνθήσεται ἐπὶ πάντα θεόν, καὶ λαλήσει ὑπέρογκα, καὶ κατευ-
θυνεῖ μέχρις οὗ συντελεσθῇ ἡ ὀργή· εἰς γὰρ συντέλειαν γίνεται.
37 37 καὶ ἐπὶ παντὸς θεοῦ τῶν πατέρων αὐτοῦ οὐ συνήσει, καὶ ἐπιθυ-
μίᾳ γυναικῶν, καὶ ἐπὶ πᾶν θεὸν οὐ συνήσει· ὅτι ἐπὶ πάντας μεγα-
38 λυνθήσεται. 38 καὶ θεὸν μαωζεὶν ἐπὶ τόπου αὐτοῦ δοξάσει, καὶ θεὸν
ὃν οὐκ ἔγνωσαν οἱ πατέρες αὐτοῦ δοξάσει ἐν χρυσῷ καὶ ἀργύρῳ
39 καὶ λίθῳ τιμίῳ καὶ ἐν ἐπιθυμήμασιν. 39 καὶ ποιήσει τοῖς ὀχυρώμασιν

29 και η εσχατη] και ως η εσχ. AQ^{mg} om Q* **30** εν] pr οι AQ | οι AQ εκπορ.] pr και AQ | Κιτιοι] pr Χεττιειμ Q* (improb $Q^{?}$) | καταλειποντας AQ^{a} **31** και 1°] pr και βραχιονες AQ | αναστησοται B* (-σονται B^{ab}) | βεβηλωσουσι Q^{a} | δυναστειας (-τιας Q*)] δυναμεως A | μεταστησουσι Q^{a} | ενδελεχισμον] ενδελεχιστον A | δωσουσι Q^{a} **32** οι] λαοι A | επαξουσιν] εξαξουσιν A | ολισθρημασιν] ολισθημασιν AQ* (-σι Q^{a}): item 34 | γινωσκων A | κατισχυσουσι, ποιησουσι Q^{a} **33** του λαου] λαου μου A λαου Q | om εν 1° Q* (superscr Q^{a}) | φλογι] πυρι Q* (φλογει Q^{mg} corr -γι) **34** βοηθησονται Q* (βοηθηθησ. Q^{a}) | βοηθιαν Q* | προς] επ AQ **35** ασθενησουσι Q^{a} | om και 2° A **36** υψωθησεται ο βασιλευς κ. μεγαλυνθησεται] υψ. και μεγ. ο βασ. A ο βασ. υψ. κ. μεγ. Q | θεον] + και επι τον θν̄ των θεων AQ | μεχρις του B* (μ. ου B^{b}) | συντελιαν Q* **37** παντος θεου] παντας θεους B^{ab}AQ | om ου 1° A | επιθυμια] επιθυμιαν A επι επιθυμιαν Q | παν] παντα AQ **38** μαωζει A | δοξασει 1°] pr ου A | εγνωσαν] ηδεισαν Q | χρυσιω AQ | αργυριω Q | επιθυμημασι Q^{a} **39** οχυρωμασι BQ

87 μετὰ θεοῦ ἀλλοτρίου οὗ ἐὰν ἐπιγνῷ, πληθυνεῖ δόξαν καὶ κατακυ-
ριεύσει αὐτοῦ ἐπὶ πολύ, καὶ χώραν ἀπομεριεῖ εἰς δωρεάν. 40 καὶ 40
καθ' ὥραν συντελείας συγκερατισθήσεται αὐτῷ ὁ βασιλεὺς Αἰ-
γύπτου, καὶ ἐποργισθήσεται αὐτῷ βασιλεὺς βορρᾶ ἐν ἅρμασι καὶ
ἐν ἵπποις πολλοῖς καὶ ἐν πλοίοις πολλοῖς, καὶ εἰσελεύσεται εἰς
χώραν Αἰγύπτου. 41 καὶ ἐπελεύσεται εἰς τὴν χώραν μου, καὶ πολλαὶ 41
σκανδαλισθήσονται· καὶ αὗται σωθήσονται ἀπὸ χειρὸς αὐτοῦ, Ἐδὼμ
καὶ Μωὰβ καὶ κεφάλαιον υἱῶν Ἀμμών. 42 καὶ ἀποστελεῖ χεῖρα αὐ- 42
τοῦ ἐν ταῖς γαίαις, καὶ ἐν χώρᾳ Αἰγύπτου οὐκ ἔσται ἐν αὐτῇ δια-
σῳζόμενος. 43 καὶ κρατήσει τοῦ τόπου τοῦ χρυσίου καὶ τοῦ τόπου 43
τοῦ ἀργυρίου καὶ πάσης τῆς ἐπιθυμίας Αἰγύπτου, καὶ Λίβυες καὶ
Αἰθίοπες ἔσονται ἐν τῷ ὄχλῳ αὐτοῦ. 44 καὶ ἀκοὴ ταράξει αὐτὸν 44
ἀπὸ ἀνατολῶν καὶ βορρᾶ, καὶ ἐξελεύσεται ἐν θυμῷ ἰσχυρῷ καὶ
ῥομφαίᾳ ἀφανίσαι καὶ ἀποκτεῖναι πολλούς· 45 καὶ στήσει αὐτοῦ τὴν 45
σκηνὴν τότε ἀνὰ μέσον τῶν θαλασσῶν καὶ τοῦ ὄρους τῆς θελή-
σεως τοῦ ἁγίου· καὶ ἥξει ὥρα τῆς συντελείας αὐτοῦ, καὶ οὐκ ἔσται
βοηθῶν αὐτῷ. 1 Καὶ κατὰ τὴν χώραν ἐκείνην παρελεύσεται 1 XII
Μιχαὴλ ὁ ἄγγελος ὁ μέγας, ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου·
ἐκείνη ἡ ἡμέρα θλίψεως, οἵα οὐκ ἐγενήθη ἀφ' οὗ ἐγενήθησαν ἕως
τῆς ἡμέρας ἐκείνης· καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὑψωθήσεται πᾶς ὁ λαὸς
ὃς ἂν εὑρεθῇ ἐγγεγραμμένος ἐν τῷ βιβλίῳ. 2 καὶ πολλοὶ τῶν καθευ- 2
δόντων ἐν τῷ πλάτει τῆς γῆς ἀναστήσονται, οἱ μὲν εἰς ζωὴν αἰώνιον,
οἱ δὲ εἰς ὀνειδισμόν, οἱ δὲ εἰς διασπορὰν καὶ αἰσχύνην αἰώνιον· 3 καὶ 3
οἱ συνιέντες φανοῦσιν ὡς φωστῆρες τοῦ οὐρανοῦ, καὶ οἱ κατισχύ-
οντες τοὺς λόγους μου ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ εἰς τὸν αἰῶνα
τοῦ αἰῶνος. 4 καὶ σύ, Δανιήλ, κάλυψον τὰ προστάγματα καὶ σφρά- 4
γισαι τὸ βιβλίον ἕως καιροῦ συντελείας, ἕως ἂν ἀπομανῶσιν οἱ
πολλοὶ καὶ πλησθῇ ἡ γῆ ἀδικίας.

Syr 40 CYNKEPATICΘHCETAI Syr^{mg} 41—42 ※ και πολλαι (※ 87)...χειρος (χειρων Syr) αυτου (※ 87)...εν γαις (sic 87 et ut vid Syr) γαιαις 87 Syr 41 Μωαμ 87 XII 1 παρελευσε| 87 3 συνιε|εντες 87

τῶν καταφυγῶν μετὰ θεοῦ ἀλλοτρίου, καὶ πληθυνεῖ δόξαν, καὶ ὑπο- B
40 τάξει αὐτοῖς πολλούς, καὶ γῆν διελεῖ ἐν δώροις. [40]καὶ ἐν καιροῦ
πέρατι συνκερατισθήσεται μετὰ τοῦ βασιλέως τοῦ νότου, καὶ συν-
αχθήσεται ἐπ' αὐτὸν ὁ βασιλεὺς ὁ τοῦ βορρᾶ ἐν ἅρμασιν καὶ ἱπ-
πεῦσιν καὶ ἐν ναυσὶν πολλαῖς, καὶ εἰσελεύσονται εἰς τὴν γῆν καὶ
41 συντρίψει καὶ παρελεύσεται. [41]καὶ εἰσελεύσεται εἰς τὴν γῆν τοῦ
σαβαείν, καὶ πολλοὶ ἀσθενήσουσιν· καὶ οὗτοι διασωθήσονται ἐκ χει-
42 ρὸς αὐτοῦ, Ἐδὼμ καὶ Μωὰβ καὶ ἀρχὴ υἱῶν Ἀμμών. [42]καὶ ἐκτενεῖ
τὴν χεῖρα ἐπὶ τὴν γῆν, καὶ γῆ Αἰγύπτου οὐκ ἔσται εἰς σωτηρίαν.
43 [43]καὶ κυριεύσει ἐν τοῖς ἀποκρύφοις τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου,
καὶ ἐν πᾶσιν ἐπιθυμητοῖς Αἰγύπτου καὶ Λιβύων καὶ Αἰθιόπων, ἐν
44 τοῖς ὀχυρώμασιν αὐτῶν. [44]καὶ ἀκοαὶ καὶ σπουδαὶ ταράξουσιν αὐτὸν
ἐξ ἀνατολῶν καὶ ἀπὸ βορρᾶ, καὶ ἥξει ἐν θυμῷ πολλῷ τοῦ ἀφανίσαι
45 πολλούς· [45]καὶ πήξει τὴν σκηνὴν αὐτοῦ Ἐφαδανὼ ἀνὰ μέσον τῶν
θαλασσῶν εἰς ὄρος σαβαεὶν ἅγιον· καὶ ἥξει ἕως μέρους αὐτοῦ, καὶ
XII 1 οὐκ ἔστιν ὁ ῥυόμενος αὐτόν. [1]Καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνα-
στήσεται Μιχαὴλ ὁ ἄρχων ὁ μέγας, ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ
λαοῦ σου· καὶ ἔσται καιρὸς θλίψεως, θλίψις οἵα οὐ γέγονεν ἀφ' ἧς
γεγένηται ἔθνος ἐν τῇ γῇ ἕως τοῦ καιροῦ ἐκείνου· ἐν τῷ καιρῷ
ἐκείνῳ σωθήσεται ὁ λαός σου πᾶς ὁ γεγραμμένος ἐν τῇ βίβλῳ.
2 [2]καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται, οὗτοι
εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ εἰς αἰσχύνην αἰώνιον·
3 [3]καὶ οἱ συνιέντες λάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος, καὶ
ἀπὸ τῶν δικαίων τῶν πολλῶν ὡς οἱ ἀστέρες εἰς τοὺς αἰῶνας καὶ
4 ἔτι. [4]καὶ σύ, Δανιήλ, ἔμφραξον τοὺς λοιποὺς καὶ σφράγισον τὸ
βιβλίον [§]ἕως καιροῦ συντελείας, ἕως διδαχθῶσιν πολλοὶ καὶ πλη- § Γ
θυνθῇ ἡ γνῶσις.

39 αλλοτριου] + ους αν επιγνω Q 40 καιρου] τω καιρω A | συγκερα- AQ
τισθ. B^{ab} | με B* (μετα B^{ab}) | επ αυτον] μετ αυτου A | ο βασιλευς ο] βασιλευς AQ | αρμασι, ιππευσι, ναυσι B^{b}Q^{a} | ιππευσιν] pr εν AQ | εισελευσεται AQ 41 σαβαειν] σαβειρ Q^{mg} | ασθενησουσι Q^{a} 42 χειρα] + αυτου AQ 43 του χρυσου και του αργυρου] του χρυσιου κ. του αργυριου (υ 1° in αργ. sup ras A$^{a?}$) A του χρυσιου κ. αργυριου Q | om εν 2° A 44 αφανισαι] + και του αναθεματισαι AQ 45 Εφαδανω] Ενφᾱ|δανω (nisi potius εν Φ.) A | εις] επ Q | σαβαειν] σαβειν A υψηλον Q* (σαβαειν Q^{mg}) | μερους] + ορους A XII 1 om θλιψις Q* (hab Q^{mg}) | om γεγονεν αφ ης B* (hab B$^{ab mg}$A) γεγονεν αφ ου Q | γεγενηται] γεγεννηται Q | εν τη γη] επι της γης AQ | εν 3°] pr και AQ | πας] + ο ευρεθεις AQ | ο γεγραμμενος] om ο Q^{a} 2 εξεγερθησονται] εγερθησονται A | om εις 3° Q 3 λαμψουσιν] εκλαμψουσιν AQ 4 τους λοιπους και σφραγισον το βιβλιον] το βιβλ. κ. σφρ. τους λογους A τους λογους κ. σφρ. το βιβλιον Q* (βιβλον Q$^{a\,vid}$) | εως 2°] + αν Q | διδαχθωσι Q^{a}

87 [5]Καὶ εἶδον ἐγὼ Δανιήλ, καὶ ἰδοὺ δύο ἕτεροι εἱστήκεισαν, εἷς 5
ἔνθεν τοῦ ποταμοῦ καὶ εἷς ἔνθεν. [6]καὶ εἶπα τῷ ἑνὶ τῷ περιβεβλη- 6
μένῳ τὰ βύσσινα τῷ ἐπάνω Πότε οὖν συντέλεια ὧν εἴρηκάς μοι τῶν
θαυμαστῶν καὶ ὁ καθαρισμὸς τούτων; [7]καὶ ἤκουσα τοῦ περιβεβλη- 7
μένου τὰ βύσσινα, ὃς ἦν ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ Ἕως καιροῦ
συντελείας· καὶ ὕψωσε τὴν δεξιὰν καὶ τὴν ἀριστερὰν εἰς τὸν
οὐρανόν, καὶ ὤμοσε τὸν ζῶντα εἰς τὸν αἰῶνα θεὸν ὅτι εἰς καιρὸν
καὶ καιροὺς καὶ ἥμισυ καιροῦ ἡ συντέλεια χειρῶν ἀφέσεως λαοῦ
ἁγίου, καὶ συντελεσθήσεται πάντα ταῦτα. [8]καὶ ἐγὼ ἤκουσα καὶ οὐ 8
διενοήθην παρ' αὐτὸν τὸν καιρόν, καὶ εἶπα Κύριε, τίς ἡ λύσις τοῦ
λόγου τούτου, καὶ τίνος αἱ παραβολαὶ αὗται; [9]καὶ εἶπέν μοι Ἀπό- 9
τρεχε, Δανιήλ, ὅτι κατακεκαλυμμένα καὶ ἐσφραγισμένα τὰ προσ-
τάγματα, ἕως ἂν πειρασθῶσι καὶ ἁγιασθῶσι πολλοί, [10]καὶ ἁμάρ- 10
τωσιν οἱ ἁμαρτωλοὶ καὶ οὐ μὴ διανοηθῶσι πάντες οἱ ἁμαρτωλοί,
καὶ οἱ διανοούμενοι προσέξουσιν. [11]ἀφ' οὗ ἂν ἀποσταθῇ ἡ θυσία 11
διὰ παντὸς καὶ ἑτοιμασθῇ δοθῆναι τὸ βδέλυγμα τῆς ἐρημώσεως,
ἡμέρας χιλίας διακοσίας ἐνενήκοντα. [12]μακάριος ὁ ἐμμένων, καὶ 12
συνάξει εἰς ἡμέρας χιλίας τριακοσίας τριάκοντα πέντε. [13]καὶ σὺ 13
βάδισον, ἀναπαύου· ἔτι γάρ εἰσιν ἡμέραι καὶ ὧραι εἰς ἀναπλήρωσιν
συντελείας, καὶ ἀναπαύσῃ καὶ ἀναστήσῃ ἐπὶ τὴν δόξαν σου εἰς
συντέλειαν ἡμερῶν.

Syr 5 δυο ετεροι] adnot ο νομος και οι προφηται 87^{mg} 6 ÷ και ο καθαρισμος (÷87) τουτων 87 Syr 7 του περιβεβλημενου...ος ην] adnot ο χριστος 87^{mg} 8 τινος] τινες (?τι) Syr 10 και οι διανοουμενοι προσεξουσιν] σ′ και οι επιστημονες συνησουσι 87^{mg} Syr^{mg} 11 ΤΗ (sic) ΕΡΗΜΩCΕΩC Syr^{mg} | ημεραι χιλιαι και διακοσιαι και ενεν. Syr^{txt} [ημ.] δισχιλιαι και διακ. και ενεν. Syr^{mg} 13 + ετι γαρ...συντελειας 87 Syr

Subscr in litt maiusc Δανιηλ κατα τους ο′·|εγραφη εξ αντιγραφου.|εχοντος την υποσημει|ωσιν ταυτην· Εγρα|φη εκ των τετραπλων.|εξ ων και παρετεθη:— 87 (similiter Syr)

5 [5]Καὶ ἴδον ἐγὼ Δανιήλ, καὶ ἰδοὺ δύο ἕτεροι ἱστήκεισαν, εἷς ἐν- B
τεῦθεν τοῦ χείλους τοῦ ποταμοῦ καὶ εἷς ἐντεῦθεν τοῦ χείλους τοῦ
6 ποταμοῦ. [6]καὶ εἶπεν τῷ ἀνδρὶ τῷ ἐνδεδυμένῳ τὰ βαδδείν, ὃς ἦν
ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ Ἕως πότε τὸ πέρας ὧν εἴρηκας
7 τῶν θαυμασίων; [7]καὶ ἤκουσα τοῦ ἀνδρὸς τοῦ ἐνδεδυμένου τὰ βαδ-
δείν, ὃς ἦν ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ, καὶ ὕψωσεν τὴν δεξιὰν
αὐτοῦ καὶ τὴν ἀριστερὰν αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ ὤμοσεν ἐν τῷ
ζῶντι τὸν αἰῶνα ὅτι εἰς καιρὸν καιρῶν καὶ ἥμισυ καιροῦ· ἐν τῷ
8 συντελεσθῆναι διασκορπισμόν, γνώσονται πάντα ταῦτα. [8]καὶ ἐγὼ
9 ἤκουσα καὶ οὐ συνῆκα, καὶ εἶπα Κύριε, τί τὰ ἔσχατα τούτων; [9]καὶ
εἶπεν Δεῦρο Δανιήλ, ὅτι ἐμπεφραγμένοι καὶ ἐσφραγισμένοι οἱ λόγοι,
10 ἕως καιροῦ πέρας [10]ἐκλεγῶσιν καὶ ἐκλευκανθῶσιν καὶ πυρωθῶσιν
πολλοί, καὶ ἀνομήσωσιν ἄνομοι· καὶ οὐ συνήσουσιν ἄνομοι, καὶ οἱ
11 νοήμονες συνήσουσιν. [11]καὶ ἀπὸ καιροῦ παραλλάξεως τοῦ ἐνδελε-
χισμοῦ καὶ δοθήσεται βδέλυγμα ἐρημώσεως, ἡμέραι χίλιαι διακόσιαι
12 ἐνενήκοντα. [12]μακάριος ὁ ὑπομένων καὶ φθάσας εἰς ἡμέρας χιλίας
13 τριακοσίας τριάκοντα πέντε. [13]καὶ σὺ δεῦρο καὶ ἀναπαύου· ἔτι γὰρ
ἡμέραι εἰς ἀναπλήρωσιν συντελείας, καὶ ἀναστήσῃ εἰς τὸν κλῆρόν
σου εἰς συντέλειαν ἡμερῶν.¶ ¶ Γ

5 ειδον B^{ab} | ειστηκεισαν $B^{ab}Q$ 6 ειπεν] ειπον AQ | βαδδι (in fin lin) A^{vid} AQΓ
7 βαδδιν A | τον αιωνα] pr εις A | καιρων] και καιρους AQΓ | ημισυ] pr εις A | συντελεσθηναι] συντελεσαι A | διασκορπισμον] + λαου ηγιασμενου και A + χειρος λαου ηγιασμ. Q + χειρος λαου αγιου Γ | ταυτ[α παντα] I^{vid} 8 και εγω] καγω A | om ου $B^{ab}Q$ | τα εσχατα] om τα A 9 εμπεφραγμ. $B^{ab}Q$ 10 om και εκλευκανθωσιν AQ^* (hab και εως εκλ. $Q^{mg\,vid}$) | πυρωθωσιν (-σι Q^a)] + και αγιασθωσιν $B^{ab}A$ | ανομησωσιν (-σουσιν $Q\Gamma^{vid}$)] ανοησουσιν A | συνησουσιν 1° (-σι bis Q^a)] νοησουσιν A | ανομοι 2°] pr παντες $B^{ab\,mg}AQ\Gamma$ 11 και δοθησεται] αφ ου αναστη η θυσια δια παντος και ετοιμασθη δοθηναι A του δοθηναι QΓ | βδελυγμα] pr το AQΓ | ερημωσεως] pr της A | ημεραις χιλιαις διακοσιαις A | χιλιαι] δισχιλιαι Q^* (χιλ. Q^a) | ενενηκοντα] τεσσερακοντα $B^{a\,mg}$(corr -σαρ.) non inst B^b 12 υπομενων] υπομεινας AQ (-μιν. Q^*) | χιλιας] δισχιλιας Q^* (χιλ. Q^a) 13 δευρυ A^{vid} | ημεραι] + και ωραι $B^{ab}\Gamma$ + εισιν A | συντελειας (-λιας Q^*)] + και αναπαυση AQΓ | συντελειαν] συντελιαν Q^* | subscr ορασις ια' A

ΣΟΥΣΑΝΝΑ

ΚΑΤΑ ΤΟΥΣ Ο'

87 ΚΑΙ ἦν ἀνὴρ οἰκῶν ἐν Βαβυλῶνι, καὶ ὄνομα αὐτῷ Ἰωακείμ. 1
[2]καὶ ἔλαβε γυναῖκα ᾗ ὄνομα Σουσάννα, θυγάτηρ Χελκίου, καλὴ 2
σφόδρα καὶ φοβουμένη τὸν κύριον· [3]καὶ οἱ γονεῖς αὐτῆς δίκαιοι, 3
καὶ ἐδίδαξαν τὴν θυγατέρα αὐτῶν κατὰ τὸν νόμον Μωυσῆ. [4]καὶ ἦν 4
Ἰωακεὶμ πλούσιος σφόδρα, καὶ ἦν αὐτῷ παράδεισος γειτνιῶν τῷ οἴκῳ
αὐτοῦ· καὶ πρὸς αὐτὸν προσήγοντο οἱ Ἰουδαῖοι διὰ τὸ εἶναι αὐτὸν
ἐνδοξότερον πάντων. [5]Καὶ ἀπεδείχθησαν δύο πρεσβύτεροι ἐκ 5
τοῦ λαοῦ κριταὶ ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, περὶ ὧν ἐλάλησεν ὁ δεσπό-
της ὅτι ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν οἳ
ἐδόκουν κυβερνᾶν τὸν λαόν. [6]καὶ ἤρχοντο κρίσεις ἐξ ἄλλων πόλεων 6
πρὸς αὐτούς. [7]οὗτοι ἰδόντες γυναῖκα ἀστείαν τῷ εἴδει, γυναῖκα 7
ἀδελφοῦ αὐτῶν ἐκ τῶν υἱῶν Ἰσραήλ, ὄνομα Σουσάνναν, θυγατέρα
Χελκίου, γυναῖκα Ἰωακείμ, περιπατοῦσαν ἐν τῷ παραδείσῳ τοῦ
ἀνδρὸς αὐτῆς τὸ δειλινὸν [8]καὶ ἐπιθυμήσαντες αὐτῆς, [9]διέστρεψαν 8 9
τὸν νοῦν αὐτῶν καὶ ἐξέκλιναν τοὺς ὀφθαλμοὺς αὐτῶν τοῦ μὴ βλέπειν
εἰς τὸν οὐρανὸν μηδὲ μνημονεύειν κριμάτων δικαίων. [10]καὶ ἀμφό- 10
τεροι ἦσαν κατανενυγμένοι περὶ αὐτῆς, καὶ ἕτερος τῷ ἑτέρῳ οὐ
προσεποιεῖτο τὸ κακὸν τὸ ἔχον αὐτοὺς περὶ αὐτῆς, οὐδὲ ἡ γυνὴ ἔγνω
τὸ πρᾶγμα τοῦτο. [12]καὶ ὡς ἐγίνετο ὄρθρος, ἐρχόμενοι ἔκλεπτον 12
ἀλλήλους σπεύδοντες, τίς φανήσεται αὐτῇ πρότερος καὶ λαλήσει
πρὸς αὐτήν. [13]καὶ ἰδοὺ αὕτη κατὰ τὸ εἰωθὸς περιεπάτει, καὶ ὁ εἷς 13

Syr Inscr *Σουσαννα* 87 (sub α'σ'θ') Syr **1—5** *και ην ανηρ...ενιαυτω εκεινω*] sub lemniscis omnia in 87 et (cum σ'θ') Syr **4** *και προς αυτον*] adnot *ουτοι προσεκαρτερουν εν τη οικια Ιωακειμ και ηρχοντο προς αυτους παντες* 87^{mg} | *οι Ιουδ.*] incep. Ιο 87^{*} (*οι Ιουδ.* 87^{1}) | ras aliq ante *ειναι* $87^{?}$ **5** *και απεδειχθ.*] pr ÷ 87 | Ο ΔΕϹΠΟΤΗϹ Syr^{mg} **7** ΑϹΤΕΙΑΝ Syr^{mg} | *ονομα* bis scr 87^{*} (improb 1° $87^{?}$) **8—9** *επιθυμησαντες αυτης διεστρεψαν*] *επεθυμησαν αυτης διαστρεψαντες* Syr **10** *προσεποιουντο* Syr

ΣΟΥΣΑΝΝΑ

ΚΑΤΑ ΘΕΟΔΟΤΙΩΝΑ

1 ΚΑΙ ἦν ἀνὴρ οἰκῶν ἐν Βαβυλῶνι, καὶ ὄνομα αὐτῷ Ἰωακείμ. B
2 [2] καὶ ἔλαβεν γυναῖκα ᾗ ὄνομα Σουσάννα, θυγάτηρ Χελκείου, καλὴ
3 σφόδρα καὶ φοβουμένη τὸν κύριον. [3] καὶ οἱ γονεῖς αὐτῆς δίκαιοι,
4 καὶ ἐδίδαξαν τὴν θυγατέρα αὐτῶν κατὰ τὸν νόμον Μωυσῆ. [4] καὶ ἦν
Ἰωακεὶμ πλούσιος σφόδρα, καὶ ἦν αὐτῷ παράδεισος γειτνιῶν τῷ
οἴκῳ αὐτοῦ· καὶ πρὸς αὐτὸν προσήγοντο οἱ Ἰουδαῖοι, διὰ τὸ εἶναι
5 αὐτὸν ἐνδοξότερον πάντων. [5] Καὶ ἀπεδείχθησαν δύο πρεσβύ-
τεροι ἐκ τοῦ λαοῦ κριταὶ ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, περὶ ὧν ἐλάλησεν
ὁ δεσπότης ὅτι ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρεσβυτέρων
6 κριτῶν οἳ ἐδόκουν κυβερνᾶν τὸν λαόν. [6] οὗτοι προσεκαρτέρουν ἐν
τῇ οἰκίᾳ Ἰωακείμ, καὶ ἤρχοντο πρὸς αὐτοὺς πάντες οἱ κρινόμενοι.
7 [7] καὶ ἐγένετο ἡνίκα ἀπέτρεχεν ὁ λαὸς μέσον ἡμέρας, εἰσεπορεύετο
8 Σουσάννα καὶ περιεπάτει ἐν τῷ παραδείσῳ τοῦ ἀνδρὸς αὐτῆς. [8] καὶ
ἐθεώρουν αὐτὴν οἱ δύο πρεσβύτεροι καθ᾽ ἡμέραν εἰσπορευομένην
9 καὶ περιπατοῦσαν, καὶ ἐγένοντο ἐν ἐπιθυμίᾳ αὐτῆς. [9] καὶ διέ-
στρεψαν τὸν ἑαυτῶν νοῦν, καὶ ἐξέκλιναν τοὺς ὀφθαλμοὺς αὐτῶν
τοῦ μὴ βλέπειν εἰς τὸν οὐρανὸν μηδὲ μνημονεύειν κριμάτων δι-
10 καίων. [10] καὶ ἦσαν ἀμφότεροι κατανενυγμένοι περὶ αὐτῆς, καὶ
11 οὐκ ἀνήγγειλαν ἀλλήλοις τὴν ὀδύνην ἑαυτῶν· [11] ὅτι ᾐσχύνοντο ἀναγ-
12 γεῖλαι τὴν ἐπιθυμίαν αὐτῶν ὅτι ἤθελον συγγενέσθαι αὐτῇ. [12] καὶ
13 παρετηροῦσαν φιλοτίμως καθ᾽ ἡμέραν ὁρᾶν αὐτήν. [13] καὶ εἶπαν

1 Cf quae ad init Danielis adnotavimus | Σωσαννα Brescr: item 7 AQ
2 Χελκιου B^bAQ 3 Μωση A 4 προσηγοντο] συνηγοντο Q
6 προσεκατερουν Q* (ρ superscr) 10 ανηγγειλαν] απηγγελλον AQ |
εαυτων] αυτων AQ 11 αναγγειλαι] απαγγειλαι AQ 13 ειπαν] ειπεν AQ

87 τῶν πρεσβυτέρων ἐληλύθει, καὶ ἰδοὺ ὁ ἕτερος παρεγένετο, καὶ εἷς
τὸν ἕτερον ἀνέκρινε λέγων Τί σὺ οὕτως ὄρθρου ἐξῆλθες οὐ παραλα-
βών με; [14]καὶ ἐξωμολογήσαντο πρὸς ἀλλήλους ἑκάτερος τὴν ὀδύνην 14
αὐτοῦ.

[19]καὶ εἶπεν εἷς τῷ ἑτέρῳ Πορευθῶμεν πρὸς αὐτήν· καὶ συνθέμενοι 19
προσήλθοσαν αὐτῇ καὶ ἐξεβιάζοντο αὐτήν.

[22]καὶ εἶπεν αὐτοῖς ἡ Ἰουδαία Οἶδα ὅτι ἐὰν πράξω τοῦτο θάνατός μοί 22
ἐστι, καὶ ἐὰν μὴ πράξω οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν· [23]κάλλιον 23
δέ με μὴ πράξασαν ἐμπεσεῖν εἰς τὰς χεῖρας ὑμῶν ἢ ἁμαρτεῖν ἐνώ-
πιον Κυρίου.

13 ελυληθει 87[cd]

ἕτερος τῷ ἑτέρῳ Πορευθῶμεν δὴ εἰς οἶκον, ὅτι ἀρίστου ὥρα ἐστίν· B
14 καὶ ἐξελθόντες διεχωρίσθησαν ἀπ᾽ ἀλλήλων. [14]καὶ ἀνακάμψαντες
ἦλθον ἐπὶ τὸ αὐτό, καὶ ἀνετάζοντες ἀλλήλους τὴν αἰτίαν ὡμολό-
γησαν τὴν ἐπιθυμίαν αὐτῶν· καὶ τότε κοινῇ συνετάξαντο καιρὸν ὅτε
15 αὐτὴν δυνήσονται εὑρεῖν μόνην. [15]καὶ ἐγένετο ἐν τῷ παρατηρεῖν
αὐτοὺς ἡμέραν εὔθετον εἰσῆλθέν ποτε καθὼς ἐχθὲς καὶ τρίτης ἡμέρας
μετὰ δύο μόνων κορασίων, καὶ ἐπεθύμησε λούσασθαι ἐν τῷ παρα-
16 δείσῳ, ὅτι καῦμα ἦν. [16]καὶ οὐκ ἦν ἐκεῖ οὐδεὶς πλὴν οἱ δύο πρε-
17 σβύτεροι κεκρυμμένοι καὶ παρατηροῦντες αὐτήν. [17]καὶ εἶπεν τοῖς
κορασίοις Ἐνέγκατε δή μοι ἔλαιον καὶ σμήγματα, καὶ τὰς θύρας τοῦ
18 παραδείσου κλείσατε, ὅπως λούσωμαι. [18]καὶ ἐποίησαν καθὼς εἶπεν,
καὶ ἀπέκλεισαν τὰς θύρας τοῦ παραδείσου, καὶ ἐξῆλθαν κατὰ τὰς
πλαγίας θύρας ἐνέγκαι τὰ προστεταγμένα αὐταῖς, καὶ οὐκ εἴδοσαν
19 τοὺς πρεσβυτέρους, ὅτι ἦσαν κεκρυμμένοι. [19]καὶ ἐγένετο ὡς ἐξήλ-
θοσαν τὰ κοράσια, καὶ ἀνέστησαν οἱ δύο πρεσβῦται καὶ ἐπέδραμον
20 αὐτῇ, [20]καὶ εἶπον Ἰδοὺ αἱ θύραι τοῦ παραδείσου κέκλεινται, καὶ
οὐδεὶς θεωρεῖ ἡμᾶς, καὶ ἐν ἐπιθυμίᾳ σού ἐσμεν· διὸ συγκατάθου
21 ἡμῖν, καὶ γενοῦ μεθ᾽ ἡμῶν. [21]εἰ δὲ μή, καταμαρτυρήσομέν σου ὅτι
ἦν μετὰ σοῦ νεανίσκος, καὶ διὰ τοῦτο ἐξαπέστειλας τὰ κοράσια ἀπὸ
22 σοῦ. [22]καὶ ἀνεστέναξεν Σουσάννα καὶ εἶπεν Στενά μοι πάντοθεν·
ἐάν τε γὰρ τοῦτο πράξω, θάνατός μοί ἐστιν· ἐάν τε μὴ πράξω,
23 οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν. [23]αἱρετόν μοί ἐστιν μὴ πράξασαν
24 ἐμπεσεῖν εἰς τὰς χεῖρας ὑμῶν ἢ ἁμαρτεῖν ἐνώπιον Κυρίου. [24]καὶ
ἀνεβόησεν φωνῇ μεγάλῃ Σουσάννα· ἐβόησαν δὲ καὶ οἱ δύο πρεσβῦται
25 κατέναντι αὐτῆς. [25]καὶ δραμὼν ὁ εἷς ἤνοιξεν τὰς θύρας τοῦ παρα-
26 δείσου. [26]ὡς δὲ ἤκουσαν τὴν κραυγὴν ἐν τῷ παραδείσῳ οἱ ἐκ τῆς
οἰκίας, εἰσεπήδησαν διὰ τῆς πλαγίας θύρας ἰδεῖν τὸ συμβεβηκὸς
27 αὐτῇ. [27]ἡνίκα δὲ εἶπαν οἱ πρεσβῦται τοὺς λόγους αὐτῶν, κατῃ-
σχύνθησαν οἱ δοῦλοι σφόδρα, ὅτι πώποτε οὐκ ἐρρέθη λόγος τοι-

13 ωρα αριστου A 14 δυνησονται αυτην Q 15 εχθες] χθες B^{b} | AQ τρειτην ημεραν Q | κορασιων μονων Q | επεθυμησεν AQ 16 ουδεις εκει AQ 17 κορασιοις] + αυτης AQ | σμηγμα AQ 18 om καθως ειπεν A | παραδεισου] + καθως ειπεν A | εξηλθον AQ | πλαγιους A | ειδοσαν] ειδαν A ιδον Q* ειδον Q^{a} 19 εξηλθον AQ | om και 2° A | πρεσβυται] πρεσβυτεροι AQ 20 θυρες A^{vid} | συγκαταθου B^{b}Q 21 μη] + γε Q | εξαπεστειλα A* (superscr ς A^{1}) 22 εκφευξομαι] ξομαι sup ras B^{rescr} εκφευσομαι A 23 αιρετον] αιρετωτερον B (rescr) | εμπεσειν B^{b}AQ | αμαρτειν] + με AQ 24 εβοησαν] ανεβοησαν Q | πρεσβυται] πρεσβυτεροι AQ 26 εκ] απο A | ιδειν] + τι A 27 πρεσβυται] πρεσβυτεροι AQ | ερρηθη B^{ab}

87 [28]οἱ δὲ παράνομοι ἄνδρες ἀπέστρεψαν ἀπειλοῦντες ἐν ἑαυτοῖς καὶ 28
ἐνεδρεύοντες ἵνα θανατώσουσιν αὐτήν· καὶ ἐλθόντες ἐπὶ τὴν συνα-
γωγὴν τῆς πόλεως οὗ παρῴκουσαν, καὶ συνήδρευσαν οἱ ὄντες ἐκεῖ
πάντες οἱ υἱοὶ Ἰσραήλ· [29]καὶ ἀναστάντες οἱ δύο πρεσβύτεροι καὶ 29
κριταὶ εἶπαν Ἀποστείλατε ἐπὶ Σουσάνναν, θυγατέρα Χελκίου, ἥτις
ἐστὶ γυνὴ Ἰωακείμ. οἱ δὲ εὐθέως ἐκάλεσαν αὐτήν. [30]ὡς δὲ παρε- 30
γενήθη ἡ γυνὴ σὺν τῷ πατρὶ ἑαυτῆς καὶ τῇ μητρί, καὶ οἱ παῖδες καὶ
αἱ παιδίσκαι αὐτῆς ὄντες τὸν ἀριθμὸν πεντακόσιοι παρεγένοντο,
καὶ τὰ παιδία Σουσάννας τέσσαρα. [31]ἦν δὲ ἡ γυνὴ τρυφερὰ σφόδρα. 31
[32]καὶ προσέταξαν οἱ παράνομοι ἀποκαλύψαι αὐτήν, ἵνα ἐμπλησθῶσιν 32
κάλλους ἐπιθυμίας αὐτῆς. [33]καὶ ἐκλαίοσαν οἱ παρ' αὐτῆς πάντες 33
καὶ ὅσοι αὐτὴν ᾔδεισαν πάντες. [34]ἀναστάντες δὲ οἱ πρεσβύτεροι 34
καὶ κριταὶ ἐπέθηκαν τὰς χεῖρας αὐτῶν ἐπὶ τῆς κεφαλῆς αὐτῆς· [35]ἡ 35
δὲ καρδία αὐτῆς ἐπεποίθει ἐπὶ Κυρίῳ τῷ θεῷ αὐτῆς, καὶ ἀνακύψασα
ἔκλαυσεν ἐν αὑτῇ λέγουσα [35a]Κύριε ὁ θεὸς ὁ αἰώνιος, ὁ εἰδὼς τὰ πάντα 35a
πρὶν γενέσεως αὐτῶν, σὺ οἶδας ὅτι οὐκ ἐποίησα ἃ πονηρεύονται οἱ
ἄνομοι οὗτοι ἐπ' ἐμοί. καὶ εἰσήκουσε Κύριος τῆς δεήσεως αὐτῆς.
[36]οἱ δὲ δύο πρεσβύτεροι εἶπαν Ἡμεῖς περιεπατοῦμεν ἐν τῷ παρα- 36
δείσῳ τοῦ ἀνδρὸς αὐτῆς, [37]καὶ κυκλοῦντες τὸ στάδιον εἴδομεν ταύτην 37
ἀναπαυομένην μετὰ ἀνδρός, καὶ στάντες ἐθεωροῦμεν αὐτοὺς ὁμι-
λοῦντας ἀλλήλοις, [38]καὶ αὐτοὶ οὐκ ᾔδεισαν ὅτι εἱστήκειμεν. τότε 38
συνειπάμεθα ἀλλήλοις λέγοντες Μάθωμεν τίνες εἰσὶν οὗτοι. [39]καὶ 39
προσελθόντες ἐπέγνωμεν αὐτήν· ὁ δὲ νεανίσκος ἔφυγε συγκεκα-
λυμμένος. [40]ταύτης δὲ ἐπιλαβόμενοι ἐπηρωτῶμεν αὐτήν Τίς ὁ ἄν- 40
θρωπος; [41]καὶ οὐκ ἀπήγγειλεν ἡμῖν τίς ἦν. ταῦτα μαρτυροῦμεν. 41
καὶ ἐπίστευσεν αὐτοῖς ἡ συναγωγὴ πᾶσα, ὡς πρεσβυτέρων ὄντων
καὶ κριτῶν τοῦ λαοῦ.

[44–45]Καὶ ἰδοὺ ἄγγελος Κυρίου, ἐκείνης ἐξαγομένης ἀπολέσθαι· 44–45
καὶ ἔδωκεν ὁ ἄγγελος, καθὼς προσετάγη, πνεῦμα συνέσεως νεω-

Syr 28 ελθοντες] ηλθον Syr | παρωκουν 87[a] (ουν superscr) 29 θυγατερα] incep τ 87[*] | εκαλεσαν αυτην] απεστειλαν επ αυτην Syr[mg] 32 επιθυμιας καλλους Syr 35 αυτη] εαυτη Syr 37 αυτους] ους sup ras 87[1] 40 τις] + ην Syr | ο ανθρωπος] ο νεανισκος Syr[mg]

28 οὗτος περὶ Σουσάννης. 28καὶ ἐγένετο τῇ ἐπαύριον ὡς συνῆλθεν ὁ B
λαὸς πρὸς τὸν ἄνδρα αὐτῆς Ἰωακείμ, ἦλθον οἱ δύο πρεσβῦται πλή-
ρεις τῆς ἀνόμου ἐννοίας κατὰ Σουσάννης τοῦ θανατῶσαι αὐτήν, καὶ
29 εἶπαν ἔμπροσθεν τοῦ λαοῦ 29Ἀποστείλατε ἐπὶ Σουσάνναν θυγατέρα
30 Χελκίου ἥ ἐστιν γυνὴ Ἰωακείμ. οἱ δὲ ἀπέστειλαν. 30καὶ ἦλθεν
αὐτὴ καὶ οἱ γονεῖς αὐτῆς καὶ τὰ τέκνα αὐτῆς καὶ πάντες οἱ συγγε-
31 νεῖς αὐτῆς. 31ἡ δὲ Σουσάννα ἦν τρυφερὰ σφόδρα καὶ καλὴ τῷ
32 εἴδει. 32οἱ δὲ παράνομοι ἐκέλευσαν ἀποκαλυφθῆναι αὐτήν, ἦν γὰρ
33 κατακεκαλυμμένη, ὅπως ἐμπλησθῶσιν τοῦ κάλλους αὐτῆς. 33ἔκλαιον
34 δὲ οἱ παρ' αὐτῆς καὶ πάντες οἱ ἰδόντες αὐτήν. 34ἀναστάντες δὲ οἱ
δύο πρεσβῦται ἐν μέσῳ τῷ λαῷ ἔθηκαν τὰς χεῖρας ἐπὶ τὴν κεφα-
35 λὴν αὐτῆς· 35ἡ δὲ κλαίουσα ἀνέβλεψεν εἰς τὸν οὐρανόν, ὅτι ἦν ἡ
36 καρδία αὐτῆς πεποιθυῖα ἐπὶ Κυρίῳ. 36εἶπαν δὲ οἱ πρεσβῦται Περι-
πατούντων ἡμῶν ἐν τῷ παραδείσῳ μόνων εἰσῆλθεν αὕτη μετὰ δύο
παιδισκῶν, καὶ ἀπέκλεισεν τὰς θύρας τοῦ παραδείσου καὶ ἀπέλυσεν
37 τὰς παιδίσκας. 37καὶ ἦλθεν πρὸς αὐτὴν νεανίσκος, ὃς ἦν κεκρυμ-
38 μένος, καὶ ἀνέπεσε μετ' αὐτῆς. 38ἡμεῖς δὲ ὄντες ἐν τῇ γωνίᾳ τοῦ
39 παραδείσου ἰδόντες τὴν ἀνομίαν ἐδράμομεν ἐπ' αὐτούς· 39καὶ ἰδόντες
συγγινομένους αὐτούς, ἐκείνου μὲν οὐκ ἠδυνήθημεν ἐγκρατεῖς γε-
νέσθαι διὰ τὸ ἰσχύειν αὐτὸν ὑπὲρ ἡμᾶς καὶ ἀνοίξαντα τὰς θύρας
40 ἐκπεπηδηκέναι, 40ταύτης δὲ ἐπιλαβόμενοι ἐπηρωτῶμεν τίς ἦν ὁ
41 νεανίσκος· 41καὶ οὐκ ἠθέλησεν ἀναγγεῖλαι ἡμῖν. ταῦτα μαρτυροῦ-
μεν. καὶ ἐπίστευσεν αὐτοῖς ἡ συναγωγὴ ὡς πρεσβυτέροις τοῦ λαοῦ
42 καὶ κριταῖς, καὶ κατέκριναν αὐτὴν ἀποθανεῖν. 42ἀνεβόησεν δὲ φωνῇ
μεγάλῃ Σουσάννα καὶ εἶπεν Ὁ θεὸς ὁ αἰώνιος ὁ τῶν κρυπτῶν γνώ-
43 στης, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, 43σὺ ἐπίστασαι ὅτι
ψευδῆ μου κατεμαρτύρησαν· καὶ ἰδοὺ ἀποθνήσκω, μὴ ποιήσασα μηδὲν
44 ὧν οὗτοι ἐπονηρεύσαντο κατ' ἐμοῦ. 44Καὶ εἰσήκουσεν Κύριος
45 τῆς φωνῆς αὐτῆς. 45καὶ ἀπαγομένης αὐτῆς ἀπολέσθαι, ἐξήγειρεν

27 Σουσαννας AQ 28 πρεσβυται] πρεσβυτεροι AQ | Σουσαννας B^ab AQ AQ 29 Σωσανναν B^txt 31 Σωσαννα B^txt 32 κατακεκαλυμμενη] περικεκαλ. Q 33 ιδοντες] ειδοτες Q 34 πρεσβυται] πρεσβυτεροι AQ | του λαου AQ | χειρας] + αυτων Q | της κεφαλης A 35 Κυριω] pr τω AQ 36 πρεσβυται] πρεσβυτεροι AQ | και απεκλεισεν ... παιδισκας] και απελυσεν τας παιδισκας και απεκλεισεν τας θυρας του παραδεισου A 37 ανεπεσεν A (αναιπ.) Q 38 εδραμομεν] επεδραμομεν Q 39 om και ιδοντες συγγ. αυτους Q* (hab Q^mg) | εγκρατεις] περικρατεις A 41 αναγγειλαι] απαγγειλαι AQ 42 ανεβοησεν δε] και ανεβ. A 43 κατεμαρτυρησαν] ε sup ras B^ab | επονηρευσαντο] superscr συ' Q? θ' κατεμαρτυρησαν Q^mg 44 εισηκουσεν] επηκουσεν A | Κυριος] ο θς A

87 τέρῳ ὄντι Δανιήλ. [48]διαστείλας δὲ Δανιὴλ τὸν ὄχλον καὶ στὰς 48
ἐν μέσῳ αὐτῶν εἶπεν Οὕτως μωροί, υἱοὶ Ἰσραήλ; οὐκ ἀνακρίναντες
οὐδὲ τὸ σαφὲς ἐπιγνόντες ἀπεκτείνατε θυγατέρα Ἰσραήλ; [51]καὶ 51
νῦν διαχωρίσατέ μοι αὐτοὺς ἀπ' ἀλλήλων μακράν, ἵνα ἐτάσω αὐτούς.
[51a]ὡς δὲ διεχωρίσθησαν, εἶπεν Δανιὴλ τῇ συναγωγῇ Νῦν μὴ 51a
βλέψητε ὅτι οὗτοί εἰσι πρεσβύτεροι, λέγοντες Οὐ μὴ ψεύσωνται·
ἀλλὰ ἀνακρινῶ αὐτοὺς κατὰ τὰ ὑποπίπτοντά μοι. [52]καὶ ἐκάλεσε 52
τὸν ἕνα αὐτῶν, καὶ προσήγαγον τὸν πρεσβύτερον τῷ νεωτέρῳ·
καὶ εἶπεν αὐτῷ Δανιὴλ Ἄκουε ἄκουε, πεπαλαιωμένε ἡμερῶν κα-
κῶν· νῦν ἥκασί σου αἱ ἁμαρτίαι ἃς ἐποίεις τὸ πρότερον, [53]πιστευ- 53
θεὶς ἀκούειν καὶ κρίνειν κρίσεις θάνατον ἐπιφερούσας, καὶ τὸν μὲν
ἀθῷον κατέκρινας, τοὺς δὲ ἐνόχους ἠφίεις, τοῦ κυρίου λέγοντος
Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς. [54]νῦν οὖν ὑπὸ τί δένδρον καὶ 54
ποταπῷ τοῦ παραδείσου τόπῳ ἑώρακας αὐτοὺς ὄντας σὺν ἑαυτοῖς;
καὶ εἶπεν ὁ ἀσεβὴς Ὑπὸ σχῖνον. [55]εἶπεν δὲ ὁ νεώτερος Ὀρθῶς 55
ἔψευσαι εἰς τὴν σεαυτοῦ ψυχήν· ὁ γὰρ ἄγγελος Κυρίου σχίσει σου
τὴν ψυχὴν σήμερον. [56]καὶ τοῦτον μεταστήσας εἶπεν προσαγαγεῖν 56
αὐτῷ τὸν ἕτερον· καὶ τούτῳ δὲ εἶπεν Διὰ τί διεστραμμένον τὸ σπέρμα
σου, ὡς Σιδῶνος καὶ οὐχ ὡς Ἰούδα; τὸ κάλλος σε ἠπάτησεν, ἡ μικρὰ
ἐπιθυμία. [57]καὶ οὕτως ἐποιεῖτε θυγατράσιν Ἰσραήλ, καὶ ἐκεῖναι 57
φοβούμεναι ὡμιλοῦσαν ὑμῖν· ἀλλ' οὐ θυγάτηρ Ἰούδα ὑπέμεινε τὴν
νόσον ὑμῶν ἐν ἀνομίᾳ ὑπενεγκεῖν. [58]νῦν οὖν λέγε μοι Ὑπὸ τί 58
δένδρον καὶ ἐν ποίῳ τοῦ κήπου τόπῳ κατέλαβες αὐτοὺς ὁμιλοῦντας
ἀλλήλοις; ὁ δὲ εἶπεν Ὑπὸ πρῖνον. [59]καὶ εἶπεν Δανιὴλ Ἁμαρτωλέ, 59
νῦν ὁ ἄγγελος Κυρίου τὴν ῥομφαίαν ἕστηκεν ἔχων, ἕως ὁ λαὸς
ἐξολεθρεύσει ὑμᾶς, ἵνα καταπρίσῃ σε.

[60–62]Καὶ πᾶσα ἡ συναγωγὴ ἀνεβόησεν ἐπὶ τῷ νεωτέρῳ, ὡς ἐκ τοῦ 60–62
ἰδίου στόματος ὁμολόγους αὐτοὺς κατέστησεν ἀμφοτέρους ψευδο-

Syr 53 *κατεκρινες* Syr 54 CΧΙΝΟΝ Syr^mg 56 *διεστραμμενον*] in *στραμ* aliq emend $87^{?}$ | *ως Σιδωνος και ουχ ως Ιουδα*] [θ΄] *σπερμα Χαναан και ουκ Ιουδα* Syr^mg 58 ΠΡΙΝΟΝ Syr^mg

ὁ θεὸς τὸ πνεῦμα τὸ ἅγιον παιδαρίου νεωτέρου ᾧ ὄνομα Δανιήλ. B
46 [46]καὶ ἐβόησεν φωνῇ μεγάλῃ Ἀθῷος ἐγὼ ἀπὸ τοῦ αἵματος ταύτης.
47 [47]ἐπέστρεψεν δὲ πᾶς ὁ λαὸς πρὸς αὐτὸν καὶ εἶπαν Τίς ὁ λόγος
48 οὗτος ὃν σὺ λελάληκας; [48]ὁ δὲ στὰς ἐν μέσῳ αὐτῶν εἶπεν Οὕτως
μωροί, οἱ υἱοὶ Ἰσραήλ; οὐκ ἀνακρίναντες οὐδὲ τὸ σαφὲς ἐπιγνόντες
49 κατεκρίνατε θυγατέρα Ἰσραήλ; [49]ἀναστρέψατε εἰς τὸ κριτήριον·
50 ψευδῆ γὰρ οὗτοι κατεμαρτύρησαν αὐτῆς. [50]καὶ ἀνέστρεψεν πᾶς ὁ λαὸς
μετὰ σπουδῆς. καὶ εἶπαν αὐτῷ οἱ πρεσβύτεροι Δεῦρο κάθισον ἐν
μέσῳ ἡμῶν καὶ ἀνάγγειλον ἡμῖν, §ὅτι σοὶ δέδωκεν ὁ θεὸς τὸ πρεσ- § Γ
51 βεῖον. [51]καὶ εἶπεν πρὸς αὐτοὺς Δανιήλ Διαχωρίσατε αὐτοὺς ἀπ' ἀλ-
52 λήλων μακράν, καὶ ἀνακρινῶ αὐτούς. [52]ὡς δὲ διεχωρίσθησαν εἷς
ἀπὸ τοῦ ἑνός, ἐκάλεσεν τὸν ἕνα αὐτῶν καὶ εἶπεν πρὸς αὐτόν Πεπα-
λαιωμένε ἡμερῶν κακῶν, νῦν ἥκασιν αἱ ἁμαρτίαι σου ἃς ἐποίεις τὸ
53 πρότερον, [53]κρίνων κρίσεις ἀδίκους, καὶ τοὺς μὲν ἀθῴους κατακρί-
νων, ἀπολύων δὲ τοὺς αἰτίους, λέγοντος τοῦ κυρίου Ἀθῷον καὶ δί-
54 καιον οὐκ ἀποκτενεῖς. [54]νῦν οὖν ταύτην εἴπερ ἴδες, εἰπόν Ὑπὸ τί
δένδρον ἴδες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; ὁ δὲ εἶπεν Ὑπὸ σχῖνον.
55 [55]εἶπεν δὲ Δανιήλ Ὀρθῶς ἔψευσαι εἰς τὴν σεαυτοῦ κεφαλήν· ἤδη γὰρ
ἄγγελος τοῦ θεοῦ λαβὼν φάσιν παρὰ τοῦ θεοῦ σχίσει σε μέσον.
56 [56]καὶ μεταστήσας αὐτὸν ἐκέλευσεν προσαγαγεῖν τὸν ἕτερον· καὶ
εἶπεν αὐτῷ Σπέρμα Χανάαν καὶ οὐκ Ἰούδα, τὸ κάλλος ἐξηπάτησέν
57 σε, καὶ ἐπιθυμία διέστρεψεν τὴν καρδίαν σου. [57]οὕτως ἐποιεῖτε
θυγατράσιν Ἰσραήλ, καὶ ἐκεῖναι φοβούμεναι ὡμίλουν ὑμῖν· ἀλλ' οὐ
58 θυγάτηρ Ἰούδα ὑπέμεινεν τὴν ἀνομίαν ὑμῶν. [58]νῦν οὖν λέγε μοι
Ὑπὸ τί δένδρον κατέλαβες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; ὁ δὲ εἶπεν
59 Ὑπὸ πρῖνον. [59]εἶπεν δὲ αὐτῷ Δανιήλ Ὀρθῶς ἔψευσαι καὶ σὺ εἰς
τὴν σεαυτοῦ κεφαλήν· μένει γὰρ ὁ ἄγγελος τοῦ θεοῦ τὴν ῥομφαίαν
60 ἔχων πρίσαι σε μέσον, ὅπως ἐξολεθρεύσῃ ὑμᾶς. [60]Καὶ ἀνεβόησεν
πᾶσα ἡ συναγωγὴ φωνῇ μεγάλῃ, καὶ εὐλόγησαν τῷ θεῷ τῷ σώ-

45—46 το π̅ν̅α̅ το αγιον...απο του αιματος rescr $B^{man\ ant}$ 46 μεγαλη] AQΓ + και ειπεν Q* (sed improb vid Q?) | αθωος] καθαρος AQ 48 το σαφες] om το Q* (hab Q^{mg}) 49 αναστρεψατε] + δη Q 50 om πας B^{ab}Q | δευρο] + και Q | εν μεσω] ανα μεσω (sic) A | αναγγειλον] απαγγειλον AQ | δεδωκεν] εδωκεν AQ | πρεσβειον] πρεσβυτεριον AQ* (-ρειον Q^{a}) Γ 52 om νυν Q* (hab Q^{mg}) 53 κρισις A 54 ιδες 1°] ειδες B^{ab}AΓ | ιδες 2°] ειδες B^{ab} κατελαβες A 55 εψευσω QΓ | ηδη] μενει Q ηδε(ως?) $Γ^{vid}$ | αγγελος] pr ο Q | σχισαι Q 56 επιθυμια] pr η AQ 57 ουτως] + γαρ Q | και εκειναι] κακειναι AQ 58 om αλληλοις Q* (hab Q^{mg}) | ο δε] ο sup ras B? 59 εψευσω QΓ | εξολοθρευση B^{b} εξολεθρευσει AΓ 60 ανεβοησαν A | ευλογησαν] εβοησα̅ A | τω θεω τω σωζοντι] τον θ̅υ̅ τον σωζοντα Q

87 *μάρτυρας· καὶ ὡς ὁ νόμος διαγορεύει ἐποίησαν αὐτοῖς, καθὼς ἐπονη-*
ρεύσαντο κατὰ τῆς ἀδελφῆς. καὶ ἐφίμωσαν αὐτοὺς καὶ ἐξαγαγόντες
ἔρριψαν εἰς φάραγγα· τότε ὁ ἄγγελος Κυρίου ἔρριψε πῦρ διὰ μέσου
αὐτῶν. καὶ ἐσώθη αἷμα ἀναίτιον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

62a *Διὰ τοῦτο οἱ νεώτεροι ἀγαπητοὶ Ἰακὼβ ἐν τῇ ἁπλότητι αὐτῶν.* 62a
62b *καὶ ἡμεῖς φυλασσώμεθα εἰς υἱοὺς δυνατοὺς νεωτέρους· εὐσεβήσουσι* 62b
γὰρ νεώτεροι, καὶ ἔσται ἐν αὐτοῖς πνεῦμα ἐπιστήμης καὶ συνέσεως
εἰς αἰῶνα αἰῶνος.

Syr 60—62 *εποιησεν* Syr 62 a. *οι νεωτεροι Ιακωβ αγαπητοι* Syr

61 ζοντι τοὺς ἐλπίζοντας ἐπ᾽ αὐτόν. [61]καὶ ἀνέστησαν ἐπὶ τοὺς δύο B
πρεσβύτας, ὅτι συνέστησεν αὐτοὺς Δανιὴλ ἐκ τοῦ στόματος αὐτῶν
ψευδομάρτυρας ὄντας, καὶ ἐποίησαν αὐτοῖς ὃν τρόπον ἐπονηρεύσαντο
62 τῷ πλησίον, [62]ποιῆσαι κατὰ τὸν νόμον Μωυσῆ, καὶ ἀπέκτειναν αὐ-
63 τούς· καὶ ἐσώθη αἷμα ἀναίτιον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. [63]Χελκίας δὲ
καὶ ἡ γυνὴ αὐτοῦ ᾔνεσαν περὶ τῆς θυγατρὸς αὐτῶν μετὰ Ἰωακεὶμ
τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν συγγενῶν πάντων, ὅτι οὐχ εὑρέθη ἐν
αὐτῇ ἄσχημον πρᾶγμα.
64 [64]Καὶ Δανιὴλ ἐγένετο μέγας ἐνώπιον τοῦ λαοῦ ἀπὸ τῆς ἡμέρας
ἐκείνης καὶ ἐπέκεινα.¶ ¶ Γ

61 πρεσβυτας] πρεσβυτερους AQΓ | ψευδομαρτυρας οντας] ψευδομαρτυρη- AQΓ
σαντας B^{a}AQΓ | επονηρευσαντο] + ποιησαι Q **62** om ποιησαι Q | Μωση A
63 ηνεσαν] + τον θν̄ AQΓ | περι] + Σουσαννας Q | αυτων] + Σουσαννας AΓ |
συγγενων B^{ab}AQΓ **64** subscr ορασις α′ A

ΒΗΛ ΚΑΙ ΔΡΑΚΩΝ

ΚΑΤΑ ΤΟΥϹ Ο'

87 Ἐκ προφητείας Ἀμβακοὺμ υἱοῦ Ἰησοῦ, ἐκ τῆς φυλῆς Λευί.

[2]Ἄνθρωπός τις ἦν ἱερεύς, ᾧ ὄνομα Δανιήλ, υἱὸς Ἀβάλ, συμβιωτὴς 2
τοῦ βασιλέως Βαβυλῶνος. [3]καὶ ἦν εἴδωλον, Βήλ, ὃ ἐσέβοντο οἱ 3
Βαβυλώνιοι· ἀνηλίσκετο δὲ αὐτῷ καθ' ἑκάστην ἡμέραν σεμιδάλεως
ἀρτάβαι δέκα δύο καὶ πρόβατα τέσσαρα καὶ ἐλαίου μετρηταὶ ἕξ. [4]καὶ 4
ὁ βασιλεὺς ἐσέβετο αὐτόν, καὶ ἐπορεύετο ὁ βασιλεὺς καθ' ἑκάστην
ἡμέραν καὶ προσεκύνει αὐτῷ, Δανιὴλ δὲ προσηύχετο πρὸς Κύριον·
καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ Διὰ τί οὐ προσκυνεῖς τῷ Βήλ; [5]καὶ 5
εἶπε Δανιὴλ πρὸς τὸν βασιλέα Οὐδένα σέβομαι ἐγὼ εἰ μὴ Κύριον
τὸν θεὸν τὸν κτίσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ ἔχοντα πάσης
σαρκὸς κυρείαν. [6]εἶπεν δὲ ὁ βασιλεὺς αὐτῷ Οὗτος οὖν οὐκ ἔστι 6
θεός; οὐχ ὁρᾷς ὅσα εἰς αὐτὸν δαπανᾶται καθ' ἑκάστην ἡμέραν;
[7]καὶ εἶπεν αὐτῷ Δανιήλ Μηδαμῶς, μηδείς σε παραλογιζέσθω· οὗτος 7
γὰρ ἔσωθεν μὲν πήλινός ἐστιν, ἔξωθεν δὲ χαλκοῦς· ὀμνύω δέ σοι
Κύριον τὸν θεὸν τῶν θεῶν, ὅτι οὐθὲν βέβρωκε πώποτε οὗτος. [8]καὶ 8
θυμωθεὶς ὁ βασιλεὺς ἐκάλεσε τοὺς προεστηκότας τοῦ ἱεροῦ καὶ εἶπεν
αὐτοῖς Παραδείξατε τὸν ἐσθίοντα τὰ παρασκευαζόμενα τῷ Βήλ· εἰ
δὲ μή γε, ἀποθανεῖσθε, [9]ἢ Δανιὴλ ὁ φάσκων μὴ ἐσθίεσθαι αὐτὰ 9
ὑπ' αὐτοῦ. οἱ δὲ εἶπαν Αὐτὸς ὁ Βήλ ἐστιν ὁ κατεσθίων αὐτά·
εἶπε δὲ Δανιὴλ πρὸς τὸν βασιλέα Γινέσθω οὕτως· ἐὰν μὴ παρα-
δείξω ὅτι οὐκ ἔστιν ὁ Βὴλ ὁ κατεσθίων ταῦτα, ἀποθανοῦμαι καὶ
πάντες οἱ παρ' ἐμοῦ. [10]ἦσαν δὲ τῷ Βὴλ ἱερεῖς ἑβδομήκοντα χωρὶς 10

Syr Inscr Βηλ Syr (deest in 87) Tit Αμβακουμ] Ἀβακουκ Syr: item 33 sqq
3 ΑΝΗΛΙϹΚΕΤΟ Syr^{mg} | τεσσαρα] τεσσαρακοντα Syr^{mg} | και ελαιου] και οινου Syr^{mg} | μετρητας 87 6 ουτος] ουτως 87* (-τος 87^{a}) 7 ÷ ομνυω..των θεων Syr 8 παραδειξειτε 87^{ed} 9 εμου] εμοι 87^{a} (superscr οι)

ΒΗΛ ΚΑΙ ΔΡΑΚΩΝ

ΚΑΤΑ ΘΕΟΔΟΤΙΩΝΑ

1 ΚΑΙ ὁ βασιλεὺς Ἀστυάγης προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ. B
2 [1]καὶ παρέλαβεν Κῦρος ὁ Πέρσης τὴν βασιλείαν αὐτοῦ. [2]καὶ ἦν § Γ
Δανιὴλ συνβιωτὴς τοῦ βασιλέως καὶ ἔνδοξος ὑπὲρ πάντας τοὺς φί-
3 λους αὐτοῦ. [3]καὶ ἦν εἴδωλον τοῖς Βαβυλωνίοις ᾧ ὄνομα Βήλ, καὶ
ἐδαπανῶντο εἰς αὐτὸν ἑκάστης ἡμέρας σεμιδάλεως ἀρτάβαι δώδεκα
4 καὶ πρόβατα τεσσεράκοντα καὶ οἴνου μετρηταὶ ἕξ. [4]καὶ ὁ βασιλεὺς
ἐσέβετο αὐτόν, καὶ ἐπορεύετο καθ' ἑκάστην ἡμέραν προσκυνεῖν αὐτῷ,
Δανιὴλ δὲ προσεκύνει τῷ θεῷ αὐτοῦ·¶ καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς ¶ Γ
5 Διὰ τί οὐ προσκυνεῖς τῷ Βήλ; [5]ὁ δὲ εἶπεν Ὅτι οὐ σέβομαι εἴδωλα
χειροποίητα, ἀλλὰ τὸν ζῶντα θεόν, τὸν κτίσαντα τὸν οὐρανὸν καὶ
6 τὴν γῆν καὶ ἔχοντα πάσης σαρκὸς κυρίαν. [6]καὶ εἶπεν αὐτῷ ὁ βα-
σιλεύς Οὐ δοκεῖ σοι Βὴλ εἶναι ζῶν θεός; ἢ οὐχ ὁρᾷς ὅσα ἐσθίει καὶ
7 πίνει καθ' ἑκάστην ἡμέραν; [7]καὶ εἶπεν Δανιὴλ γελάσας Μὴ πλανῶ,
βασιλεῦ· οὗτος γὰρ ἔσωθέν ἐστι πηλός, ἔξωθεν δὲ χαλκός, καὶ οὐ
8 βέβρωκεν οὐδέποτε. [8]καὶ θυμωθεὶς ὁ βασιλεὺς ἐκάλεσεν τοὺς ἱερεῖς
αὐτοῦ καὶ εἶπεν αὐτοῖς Ἐὰν μὴ εἴπητέ μοι τίς ὁ κατέσθων τὴν
9 δαπάνην ταύτην, ἀποθανεῖσθε· [9]ἐὰν δὲ δείξητε ὅτι Βὴλ κατεσθίει
αὐτά, ἀποθανεῖται Δανιήλ, ὅτι ἐβλασφήμησεν εἰς τὸν Βήλ. καὶ
10 εἶπεν Δανιὴλ τῷ βασιλεῖ Γινέσθω κατὰ τὸ ῥῆμά σου. [10]καὶ ἦσαν
ἱερεῖς τοῦ Βὴλ ἑβδομήκοντα ἐκτὸς γυναικῶν καὶ τέκνων· καὶ ἦλθεν

1 in B Danielem sequitur Bel sine intervallo | superscr *ορασις ιβ'* AQ AQΓ
2 *συμβιωτης* B$^{a?b}$Q | *πας* B* (*παντας* B^{ab}) 3 *αυτον*] *αυτο* Q | *δωδεκα*] *δεκα δυο* A | *τεσσαρακοντα* B^{b} 4 om *εκαστην* A | *προσκυνειν*] *κυνειν* sup ras B^{ab} 5 *κυρειαν* B^{ab} 6 Βηλ] pr ο Q 7 *ουτος*] *αυτος* A | *εσωθεν*]+*με*| AQ | *εστιν* AQ* | *ουδεποτε*] *ουδε πεπωκεν πωποτε* AQ
8 *κατεσθιων* AQ 9 *δειξητε*] *αποδιξητε* AQ* (-*δειξ.* Q^{a}) | Βηλ 1°] pr ο AQ | om *τω βασιλει* Q* (hab Q^{mg}) 10 *ιερεις*] pr *οι* AQ | *εκτος*] *χωρεις* A | *τεκνων*] *παιδιων* A

87 γυναικῶν καὶ τέκνων. ἤγαγον δὲ τὸν βασιλέα εἰς τὸ εἰδώλιον· [11]καὶ 11
παρετέθη τὰ βρώματα ἐνώπιον τοῦ βασιλέως καὶ τοῦ Δανιήλ, καὶ
οἶνος κερασθεὶς εἰσηνέχθη καὶ παρετέθη τῷ Βήλ. καὶ εἶπεν
Δανιήλ Σὺ αὐτὸς ὁρᾷς ὅτι κεῖται ταῦτα, βασιλεῦ· σὺ οὖν ἐπισφρά-
γισαι τὰς κλεῖδας τοῦ ναοῦ, ἐὰν κλεισθῇ. ἤρεσεν δὲ ὁ λόγος τῷ
βασιλεῖ. [14]ὁ δὲ Δανιὴλ ἐκέλευσε τοὺς παρ' αὐτοῦ ἐκβαλόντας 14
πάντας ἐκ τοῦ ναοῦ καταστῆσαι ὅλον τὸν ναὸν σποδῷ, οὐθενὸς τῶν
ἐκτὸς αὐτοῦ εἰδότος. καὶ τότε σφραγισάμενος τὸν ναὸν ἐκέλευσε
σφραγίσαι τῷ τοῦ βασιλέως δακτυλίῳ καὶ τοῖς δακτυλίοις τινῶν
ἐνδόξων ἱερέων· καὶ ἐγένετο οὕτως. [15–17]καὶ ἐγένετο τῇ ἐπαύριον 15–17
παρεγένοντο ἐπὶ τὸν τόπον· οἱ δὲ ἱερεῖς τοῦ Βὴλ διὰ ψευδοθυρίδων
εἰσελθόντες κατεφάγοσαν πάντα τὰ παρακείμενα τῷ Βὴλ καὶ ἐξέπιον
τὸν οἶνον. καὶ εἶπεν Δανιήλ Ἐπίδετε τὰς σφραγῖδας ὑμῶν εἰ μέ-
νουσιν, ἄνδρες ἱερεῖς· καὶ σὺ δέ, βασιλεῦ, σκέψαι μή τί σοι ἀσύμ-
φωνον γεγένηται. καὶ εὗρον ὡς ἦν ἡ σφραγίς, καὶ ἀπέβαλον τὴν
σφραγῖδα. [18]καὶ ἀνοίξαντες τὰς θύρας εἴδοσαν δεδαπανημένα πάντα 18
τὰ παρατεθέντα, καὶ τὰς τραπέζας κενάς· καὶ ἐχάρη ὁ βασιλεύς, καὶ
εἶπεν πρὸς τὸν Δανιήλ Μέγας ἐστὶν ὁ Βήλ, καὶ οὐκ ἔστι παρ' αὐτῷ
δόλος. [19]καὶ ἐγέλασε Δανιὴλ σφόδρα καὶ εἶπεν τῷ βασιλεῖ Δεῦρο 19
ἴδε τὸν δόλον τῶν ἱερέων. καὶ εἶπεν Δανιήλ Βασιλεῦ, ταῦτα τὰ
ἴχνη τίνος ἐστί; [20]καὶ εἶπεν ὁ βασιλεύς Ἀνδρῶν καὶ γυναικῶν καὶ 20
παιδίων. [21]καὶ ἐπῆλθεν ἐπὶ τὸν οἶκον ἐν ᾧ ἦσαν οἱ ἱερεῖς καταγινό- 21
μενοι, καὶ εὗρε τὰ βρώματα τοῦ Βὴλ καὶ τὸν οἶνον· καὶ ἐπέδειξε
Δανιὴλ τῷ βασιλεῖ τὰ ψευδοθύρια, δι' ὧν εἰσπορευόμενοι οἱ ἱερεῖς
ἐδαπάνων τὰ παρατιθέμενα τῷ Βήλ. [22]καὶ ἐξήγαγεν αὐτοὺς ὁ βασι- 22
λεὺς ἐκ τοῦ Βηλίου, καὶ παρέδωκεν αὐτοὺς τῷ Δανιήλ· καὶ τὴν
δαπάνην τὴν εἰς αὐτὸν ἔδωκε τῷ Δανιήλ, τὸν δὲ Βὴλ κατέστρεψε.

[23]Καὶ ἦν δράκων ἐν τῷ αὐτῷ τόπῳ, καὶ ἐσέβοντο οἱ Βαβυλώνιοι. 23

Syr 10 ειδωλειον 87[a] 14 ο δε Δανιηλ...σποδω] και επεταξε Δ. τοις παιδαριοις αυτου και κατεστησαν ολον τον ναον ενωπιον του βασιλεως Syr[mg] | σφραγισαμενους Syr 15—17 ψευδοθυριδων] ω sup ras 87[1] | ην] εμενεν Syr[vid] 21 ευρον Syr 23 pr tit Δρακων Syr | εσεβοντο]+αυτον Syr

11 ὁ βασιλεὺς μετὰ Δανιηλ εἰς τὸν οἶκον τοῦ Βηλ. [11]καὶ εἶπαν οἱ ἱε- B
ρεῖς τοῦ Βηλ Ἰδοὺ ἡμεῖς ἀποτρέχομεν ἔξω, σὺ δέ, βασιλεῦ, παράθες
τὰ βρώματα καὶ τὸν οἶνον κεράσας θές, καὶ ἀπόκλεισον τὴν θύραν
12 καὶ σφράγισον τῷ δακτυλίῳ σου. [12]καὶ ἐλθὼν πρωὶ ἐὰν μὴ εὕρῃς
πάντα βεβρωμένα ὑπὸ τοῦ Βηλ, ἀποθανούμεθα, ἢ Δανιηλ ὁ ψευδό-
13 μενος καθ' ἡμῶν. [13]αὐτοὶ δὲ κατεφρόνουν, ὅτι πεποιήκεισαν ὑπὸ
τὴν τράπεζαν κεκρυμμένην εἴσοδον, καὶ δι' αὐτῆς εἰσεπορεύοντο
14 διόλου καὶ ἀνήλουν αὐτά. [14]καὶ ἐγένετο ὡς ἐξήλθοσαν ἐκεῖνοι, καὶ
ὁ βασιλεὺς παρέθηκεν τὰ βρώματα τῷ Βηλ· καὶ ἐπέταξεν Δανιηλ
τοῖς παιδαρίοις αὐτοῦ καὶ ἤνεγκαν τέφραν, καὶ κατέσησαν ὅλον τὸν
ναὸν ἐνώπιον τοῦ βασιλέως μόνου· καὶ ἐξελθόντες ἔκλεισαν τὴν θύ-
ραν καὶ ἐσφραγίσαντο ἐν τῷ δακτυλίῳ τοῦ βασιλέως, καὶ ἀπῆλθον.
15 [15]οἱ δὲ ἱερεῖς ἦλθον τὴν νύκτα κατὰ τὸ ἔθος αὐτῶν καὶ αἱ γυναῖκες
16 καὶ τὰ τέκνα αὐτῶν, καὶ κατέφαγον πάντα καὶ ἐξέπιον. [16]καὶ ὤρ-
17 θρισεν ὁ βασιλεὺς πρωί, καὶ Δανιηλ μετ' αὐτοῦ. [17]καὶ εἶπεν Σῷοι
18 αἱ σφραγῖδες, Δανιηλ; ὁ δὲ εἶπεν Σῷοι, βασιλεῦ. [18]καὶ ἐγένετο
ἅμα τῷ ἀνοῖξαι τὰς θύρας, ἐπιβλέψας ὁ βασιλεὺς ἐπὶ τὴν τράπεζαν
ἐβόησεν φωνῇ μεγάλῃ Μέγας εἶ, Βηλ, καὶ οὐκ ἔστιν παρὰ σοὶ δόλος
19 οὐδὲ εἷς. [19]καὶ ἐγέλασεν Δανιηλ, καὶ ἐκράτησεν τὸν βασιλέα τοῦ
μὴ εἰσελθεῖν αὐτὸν ἔσω, καὶ εἶπεν Ἰδὲ δὴ τὸ ἔδαφος καὶ γνῶθι
20 τίνος τὰ ἴχνη ταῦτα. [20]καὶ εἶπεν ὁ βασιλεύς Ὁρῶ τὰ ἴχνη ἀν-
21 δρῶν καὶ γυναικῶν καὶ παιδίων. [21]καὶ ὀργισθεὶς ὁ βασιλεὺς τότε § Δ
συνέλαβεν τοὺς ἱερεῖς καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα αὐτῶν, καὶ
ἔδειξαν αὐτῷ τὰς κρυπτὰς θύρας δι' ὧν εἰσεπορεύοντο καὶ ἐδαπά-
22 νων τὰ ἐπὶ τῇ τραπέζῃ. [22]καὶ ἀπέκτεινεν αὐτοὺς ὁ βασιλεύς, καὶ
ἔδωκεν τὸν Βηλ ἔκδοτον τῷ Δανιηλ· καὶ κατέστρεψεν αὐτὸν καὶ τὸ
ἱερὸν αὐτοῦ.

23 [23]Καὶ ἦν δράκων μέγας, καὶ ἐσέβοντο αὐτὸν οἱ Βαβυλώνιοι.

10 εις τον οικον] εν οικ. Q* (εις τ. οικ. Qmg) 11 ειπαν] ειπον A | AQΔ
βασιλευς B* (-λευ Bab) | τω δακτυλιω] τω δακτυλω A εν τω δακτυλιω Q
12 ψευδομενος] ψευσαμενος AQ 13 om δε A | κατεφρονουν] κατεφθονουν
A | ανηλουν] ανηλεισκον Q* (-λισκ. Qa ανηλουν Qmg) 14 εξηλθοσαν]
εξηλθον A | κατεσησαν] κατεσεισαν A | om μονου Q | εσφραγισαν A | εν τω
δακτ.] om εν A 15 ηλθον] + εις Q* εισηλθον εις Qmg vid | εξεπιον] επιον Q
16 πρωι] pr το AQ 17 ειπεν 1°] + ο βασιλευς AQ | σωοι 1°] σωαι A
19 εγελασεν Δανιηλ και] γελασας Δαν. A | om και ειπεν A | om τινος Q* (hab
Qmg) 21 ο βασιλευς τοτε] τοτε ο βασιλευς Δ | συνελαβετο AQ
22 ο βασιλευς αυτους Δ | εκδοτον] εγδομα Δ | το ιερον] τον ναον Q 23 με-
γας] + εν τω τοπω AQ* + εν αυτω τω τοπω Qmg

87 [24]καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιὴλ Μὴ καὶ τοῦτον ἐρεῖς ὅτι χαλκοῦς 24
ἐστιν; ἰδοὺ ζῇ καὶ ἐσθίει καὶ πίνει, προσκύνησον αὐτῷ. [26]καὶ εἶπεν 26
Δανιὴλ Βασιλεῦ, δός μοι τὴν ἐξουσίαν, καὶ ἀνελῶ τὸν δράκοντα ἄνευ
σιδήρου καὶ ῥάβδου. καὶ συνεχώρησεν αὐτῷ ὁ βασιλεὺς καὶ εἶπεν
αὐτῷ Δέδοταί σοι. [27]καὶ λαβὼν ὁ Δανιὴλ πίσσης μνᾶς τριάκοντα 27
καὶ στέαρ καὶ τρίχας ἥψησεν ἐπὶ τὸ αὐτὸ καὶ ἐποίησεν μάζαν, καὶ
ἐνέβαλεν εἰς τὸ στόμα τοῦ δράκοντος· καὶ φαγὼν διερράγη. καὶ
ἔδειξεν αὐτὸν τῷ βασιλεῖ λέγων Οὐ ταῦτα σέβεσθε, βασιλεῦ; [28]καὶ 28
συνήχθησαν οἱ ἀπὸ τῆς χώρας πάντες ἐπὶ τὸν Δανιὴλ καὶ εἶπαν
Ἰουδαῖος γέγονεν ὁ βασιλεύς· τὸν Βὴλ κατέστρεψε καὶ τὸν δρά-
κοντα ἀπέκτεινε. [30]καὶ ἰδὼν ὁ βασιλεὺς ὅτι ἐπισυνήχθη ὁ ὄχλος 30
τῆς χώρας ἐπ' αὐτόν, ἐκάλεσε τοὺς συμβιωτὰς αὐτοῦ καὶ εἶπεν Δί-
δωμι τὸν Δανιὴλ εἰς ἀπώλειαν. [31–32]ἦν δὲ λάκκος ἐν ᾧ ἐτρέφοντο 31–32
λέοντες ἑπτά, οἷς παρεδίδοντο οἱ ἐπίβουλοι τοῦ βασιλέως, καὶ ἐχο-
ρηγεῖτο αὐτοῖς καθ' ἑκάστην ἡμέραν τῶν ἐπιθανατίων σώματα δύο.
καὶ ἐνεβάλοσαν τὸν Δανιὴλ οἱ ὄχλοι εἰς ἐκεῖνον τὸν λάκκον, ἵνα
καταβρωθῇ καὶ μηδὲ ταφῆς τύχῃ. καὶ ἦν ἐν τῷ λάκκῳ Δανιὴλ
ἡμέρας ἕξ. [33]καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ ἕκτῃ καὶ ἦν Ἀμβακοὺμ ἔχων 33
ἄρτους ἐντεθρυμμένους ἐν σκάφῃ ἐν ἑψήματι καὶ στάμνον οἴνου
κεκερασμένου, καὶ ἐπορεύετο εἰς τὸ πεδίον πρὸς τοὺς θεριστάς.
[34]καὶ ἐλάλησεν ἄγγελος Κυρίου πρὸς Ἀμβακοὺμ λέγων Τάδε λέγει 34
σοι Κύριος ὁ θεός Τὸ ἄριστον ὃ ἔχεις ἀπένεγκε Δανιὴλ εἰς τὸν λάκκον
τῶν λεόντων ἐν Βαβυλῶνι. [35]καὶ εἶπεν Ἀμβακούμ Κύριε ὁ θεός, 35
οὐχ ἑόρακα τὴν Βαβυλῶνα, καὶ τὸν λάκκον οὐ γινώσκω ποῦ ἐστι.
[36]καὶ ἐπιλαβόμενος αὐτοῦ ὁ ἄγγελος Κυρίου τοῦ Ἀμβακοὺμ τῆς κόμης 36
αὐτοῦ τῆς κεφαλῆς ἔθηκεν αὐτὸν ἐπάνω τοῦ λάκκου τοῦ ἐν Βαβυλῶνι.

Syr 27 ΜΝΑϹ Syr[mg] | μαζας Syr 28 ειπαν Ιουδαιος γεγ. ο βασ.] tit adpinx ut vid περι του βασιλεως λεγουσι ως γεγονεν Ιουδαιος Syr[mz] 31—32 + ην (1°) Syr | οι επιβουλοι] in οι (1°) ο sup ras 87[?] | om τον Δανιηλ 87* (hab 87[mg] Syr) 34 εις Βαβυλωνα Syr 35 γινώσκῳ (sic) 87

24 [24]καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ Οὐ δύνασαι εἰπεῖν ὅτι οὐκ ἔστιν B
25 οὗτος θεὸς ζῶν· καὶ προσκύνησον αὐτῷ. [25]καὶ εἶπεν Δανιὴλ Κυρίῳ
26 τῷ θεῷ μου προσκυνήσω, ὅτι οὗτός ἐστιν θεὸς ζῶν· [26]σὺ δέ, βασιλεῦ,
δός μοι ἐξουσίαν, καὶ ἀποκτενῶ τὸν δράκοντα ἄνευ μαχαίρας καὶ
27 ῥάβδου. καὶ εἶπεν ὁ βασιλεύς Δίδωμί σοι. [27]καὶ ἔλαβεν Δανιὴλ
πίσσαν καὶ στῆρ καὶ τρίχας, καὶ ἥψησεν ἐπὶ τὸ αὐτὸ καὶ ἐποίησεν
μάζας, καὶ ἔδωκεν εἰς τὸ στόμα τοῦ δράκοντος· καὶ φαγὼν διερράγη
28 ὁ δράκων. καὶ εἶπεν Ἴδετε τὰ σεβάσματα ὑμῶν. [28]καὶ ἐγένετο ὡς
ἤκουσαν οἱ Βαβυλώνιοι, ἠγανάκτησαν καὶ συνεστράφησαν ἐπὶ τὸν
βασιλέα καὶ εἶπαν Ἰουδαῖος γέγονεν ὁ βασιλεύς· τὸν Βὴλ κατέσπασεν
29 καὶ τὸν δράκοντα ἀπέκτεινεν, καὶ τοὺς ἱερεῖς κατέσφαξεν. [29]καὶ
εἶπαν ἐλθόντες πρὸς τὸν βασιλέα Παράδος ἡμῖν τὸν Δανιήλ· εἰ δὲ
30 μή, ἀποκτενοῦμέν σε καὶ τὸν οἶκόν σου. [30]καὶ ἴδεν ὁ βασιλεὺς ὅτι
ἐπείγουσιν αὐτὸν σφόδρα, καὶ ἀναγκασθεὶς παρέδωκεν αὐτοῖς τὸν
31 Δανιήλ. [31]οἱ δὲ ἔβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων, καὶ ἦν
32 ἐκεῖ ἡμέρας ἕξ. [32]ἦσαν δὲ ἐν τῷ λάκκῳ ἑπτὰ λέοντες, καὶ ἐδί-
δετο αὐτοῖς τὴν ἡμέραν δύο σώματα καὶ δύο πρόβατα· τότε δὲ
33 οὐκ ἐδόθη αὐτοῖς, ἵνα καταφάγωσιν τὸν Δανιήλ. [33]καὶ ἦν Ἀμβα-
κοὺμ ὁ προφήτης ἐν τῇ Ἰουδαίᾳ, καὶ αὐτὸς ἥψησεν ἕψεμα καὶ ἐνέ-
θρυψεν ἄρτους εἰς σκάφην, καὶ ἐπορεύετο εἰς τὸ πεδίον ἀπενέγκαι
34 τοῖς θερισταῖς. [34]καὶ εἶπεν ἄγγελος Κυρίου τῷ Ἀμβακούμ Ἀπέ-
νεγκε τὸ ἄριστον ὃ ἔχεις εἰς Βαβυλῶνα τῷ Δανιὴλ εἰς τὸν λάκκον
35 τῶν λεόντων. [35]καὶ εἶπεν Ἀμβακούμ Κύριε, Βαβυλῶνα οὐχ ἑώρακα,
36 καὶ τὸν λάκκον οὐ γινώσκω. [36]καὶ ἐπελάβετο ὁ ἄγγελος Κυρίου
τῆς κορυφῆς αὐτοῦ, καὶ βαστάσας τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ
ἔθηκεν αὐτὸν εἰς Βαβυλῶνα ἐπάνω τοῦ λάκκου, ἐν τῷ ῥοίζῳ τοῦ

24 ο βασιλευς ειπεν Δ | Δανιηλ]+μη και τουτον ερεις οτι χαλκους εστιν· ιδου ζη και εσθιει και πινει (πειν. B[a] πιν. B[b]) B[ab mg]AQ+μη εις (sic ut vid) ...|χαλκ. εστιν ιδου...|και πεινει Δ AQΔ 25 ουτος] αυτος Δ[vid] | εστι Q[a] 26 μαχαιρης A 27 στηρ] στεαρ Q | om φαγων Q[vid]Δ | διεραγη Δ | ιδετε] ιδου δη A 28 ηγανακτησαν]+λιαν (λειᾱ| B[a] λιᾱ| B[b]) B[mg]A (-λειαν) QΔ | ειπον AQ | κατεσπασεν] κατεστρεψεν A | κατεσφαξεν] σφαξεν sup ras A[a?] (κατετρεψ. A[* vid]) 30 ειδεν Q 31 εβαλον] ενεβαλο̄| A | om των λεοντων Δ[fort] 32 εδιδοτο B[ab]Δ[vid] | om δυο σωματα και Δ[fort] | καταφαγωσι Q[a] 33 Αμβακουμ ο προφητης ην Q ην Αμβακουκ προφητης Δ | αυτος] ουτος A | ηψησεν] ηψεν Δ | επορευετο] επορευθη A | απενεγκαι] απενεγκειν Q[rescr] απενιγκε (sic) Δ 34 τω Αμβ.] προς Αμβ. AQ 35 Αμβακουμ] Δανιηλ A* (Αμβ. A[man rec mg]) | εορακα Q | λακκον]+των λεοντων Q | γινωσκω]+που εστιν A . 36 om Κυριου A | κορυφης] χειρος A | βαστασας] στα sup ras B[?]

87 [37] καὶ εἶπεν Ἀμβακοὺμ πρὸς Δανιήλ Ἀναστὰς φάγε τὸ ἄριστον ὃ 37
ἀπέστειλέ σοι Κύριος ὁ θεός. [38] καὶ εἶπεν Δανιήλ Ἐμνήσθη γάρ 38
μου Κύριος ὁ θεὸς ὁ μὴ ἐγκαταλείπων τοὺς ἀγαπῶντας αὐτόν. [39] καὶ 39
ἔφαγε Δανιήλ· ὁ δὲ ἄγγελος Κυρίου κατέστησε τὸν Ἀμβακοὺμ
ὅθεν αὐτὸν ἔλαβε τῇ αὐτῇ ἡμέρᾳ. ὁ δὲ κύριος ὁ θεὸς ἐμνήσθη τοῦ
Δανιήλ. [40] ἐξῆλθε δὲ ὁ βασιλεὺς μετὰ ταῦτα πενθῶν τὸν Δανιήλ, 40
καὶ ἐγκύψας εἰς τὸν λάκκον ὁρᾷ αὐτὸν καθήμενον. [41] καὶ ἀναβοήσας 41
εἶπεν ὁ βασιλεύς Μέγας ἐστὶ Κύριος ὁ θεός, καὶ οὐκ ἔστι πλὴν
αὐτοῦ ἄλλος. [42] καὶ ἐξήγαγεν ὁ βασιλεὺς τὸν Δανιὴλ ἐκ τοῦ λάκκου, 42
καὶ τοὺς αἰτίους τῆς ἀπωλείας αὐτοῦ ἐνέβαλεν εἰς τὸν λάκκον ἐνώπιον
τοῦ Δανιήλ, καὶ κατεβρώθησαν.

Syr **38** *εγκαταλιπων* Syr

Subscr in litt maiusc *Δανιηλ κατα τους ο'* 87 Syr (in Syr acced nonnulla de interpretatione LXXvirali item de versione Syro-Hexaplari)

37 πνεύματος αὐτοῦ. [37]καὶ ἐβόησεν Ἀμβακοὺμ λέγων Δανιὴλ Δανιήλ, B
38 λάβε τὸ ἄριστον ὃ ἀπέστειλέν σοι ὁ θεός. [38]καὶ εἶπεν Δανιήλ
Ἐμνήσθης γάρ μου, ὁ θεός, καὶ οὐκ ἐγκατέλειπες τοὺς ἀγαπῶντάς
39 σε. [39]καὶ ἀναστὰς Δανιὴλ ἔφαγεν· ὁ δὲ ἄγγελος τοῦ θεοῦ ἀπε-
40 κατέστησεν τὸν Ἀμβακοὺμ παραχρῆμα εἰς τὸν τόπον αὐτοῦ. [40]ὁ δὲ
βασιλεὺς ἦλθεν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ πενθῆσαι τὸν Δανιήλ, καὶ
ἦλθεν ἐπὶ τὸν λάκκον καὶ ἐνέβλεψεν, καὶ ἰδοὺ Δανιὴλ καθήμενος.
41 [41]καὶ ἀναβοήσας φωνῇ μεγάλῃ εἶπεν Μέγας εἶ, Κύριε ὁ θεὸς τοῦ
42 Δανιήλ,¶ καὶ οὐκ ἔστιν πλὴν σοῦ ἄλλος. [42]καὶ ἀνέσπασεν αὐτόν, ¶ Δ
τοὺς δὲ αἰτίους τῆς ἀπωλείας αὐτοῦ ἐνέβαλεν εἰς τὸν λάκκον, καὶ
κατεβρώθησαν παραχρῆμα ἐνώπιον αὐτοῦ.

37 Αμβακουμ] om A Αμβακουκ Δ **38** εγκατελιπες B[b] εγκαταλειπεις AQΔ Q[a vid] ενκατελιπες Δ | σε] σοι Q **39** του θεου] κ̅υ̅ Δ | εις] επι AQ
41 αναβοησας] + ο βασιλευς Q | om και ουκ εστιν πλην σου αλλος Q
Subscr Δανιηλ BQ τελος Δαν. προφητου A

ΜΑΚΚΑΒΑΙΩΝ Α

A ΚΑΙ ἐγένετο μετὰ τὸ πατάξαι Ἀλέξανδρον τὸν Φιλίππου τὸν 1 I
Μακεδόνα, ὃς ἐξῆλθεν ἐκ τῆς γῆς Χεττιείμ, καὶ ἐπάταξεν τὸν Δαρεῖον
βασιλέα Περσῶν καὶ Μήδων, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ πρότερον
ἐπὶ τὴν Ἑλλάδα. 2 καὶ συνεστήσατο πολέμους πολλούς, καὶ ἐκράτησεν 2
ὀχυρωμάτων, καὶ ἔσφαξεν βασιλεῖς, 3 καὶ διῆλθεν ἕως ἄκρων τῆς γῆς, 3
καὶ ἔλαβεν σκῦλα πλήθους ἐθνῶν· καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ,
καὶ ὑψώθη, καὶ ἐπήρθη ἡ καρδία αὐτοῦ· 4 καὶ συνῆξεν δυνάμιν 4
ἰσχυρὰν σφόδρα, καὶ ἦρξεν χωρῶν καὶ ἐθνῶν καὶ τυραννιῶν, καὶ
ἐγένοντο αὐτῷ εἰς φόρον. 5 καὶ μετὰ ταῦτα ἔπεσεν ἐπὶ τὴν κοίτην, 5
καὶ ἔγνω ὅτι ἀποθνήσκει. 6 καὶ ἐκάλεσεν τοὺς παῖδας αὐτοῦ τοὺς 6
ἐνδόξους τοὺς συνεκτρόφους αὐτοῦ ἀπὸ νεότητος, καὶ διεῖλεν αὐτοῖς
τὴν βασιλείαν αὐτοῦ ἔτι ζῶντος αὐτοῦ. 7 καὶ ἐβασίλευσεν Ἀλέξαν- 7
δρος ἔτη δώδεκα, καὶ ἀπέθανεν. 8 καὶ ἐπεκράτησαν οἱ παῖδες αὐτοῦ, 8
ἕκαστος ἐν τῷ τόπῳ αὐτοῦ· 9 καὶ ἐπέθεντο πάντες διαδήματα μετὰ τὸ 9
ἀποθανεῖν αὐτόν, καὶ οἱ υἱοὶ αὐτῶν ὀπίσω αὐτῶν ἔτη πολλά· καὶ
ἐπλήθυναν κακὰ ἐν τῇ γῇ.

10 Καὶ ἐξῆλθεν ἐξ αὐτῶν ῥίζα ἁμαρτωλὸς Ἀντίοχος Ἐπιφανής, 10
υἱὸς Ἀντιόχου τοῦ βασιλέως, ὃς ἦν ὅμηρα ἐν τῇ Ῥώμῃ. καὶ ἐβασί-
λευσεν ἔτει ἑκατοστῷ καὶ ἑβδόμῳ καὶ τριακοστῷ βασιλείας Ἑλ-
λήνων. 11 Ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθεν ἐξ Ἰσραὴλ υἱοὶ 11

ℵV Inscr Μακκαβαιων α' ℵAV I 1 τον Μακεδονα] om τον ℵ | εκ της γης] εις γην ℵ* εκ γης ℵc.a V | Δαριον ℵ*AV* | βασιλεα] pr τον V | προτερος V 2 βασιλεις] + της γης ℵV 3 πληθος ℵ | om και υψωθη και επηρθη η καρδια αυτου ℵ | om και 4° V 4 om και 3° ℵV | τυραννιων (-νων ℵ)] + και υψωθη και επηρθη η καρδια αυτου ℵV | εγενοντο] εγενετο ℵ | φορον] φοβερον ℵ 5 κοιτην] + αυτου V 6 απο] εκ ℵ + εκ (sic) V | αυτοις] αυτου ℵ* (-τοις ℵc.a) | ετι αυτου ζωντος ℵ 7 δωδεκα] ιβ' ℵ 9 om οι ℵ 10 εξ] απ V | ριζα] ανηρ V | Επιφανης (-νεις A)] pr ο V | τη Ρωμη (τω Ρημ. V)] om τη ℵ | ετει] pr εν ℵ | τριακ. κ. εβδ. ℵV 11 εξηλθον ℵc.a (-θεν ℵ*) A | om εξ ℵ* (hab ℵc.a) | υιοι παρανομοι ℵ

παράνομος, καὶ ἀνέπεισαν πολλοὺς λέγοντες Πορευθῶμεν καὶ δια- A
θώμεθα διαθήκην μετὰ τῶν ἐθνῶν τῶν κύκλῳ ἡμῶν· ὅτι ἀφ' ἧς
12 ἐχωρίσθημεν ὑπ' αὐτῶν, εὗρεν ἡμᾶς κακὰ πολλά. [12]καὶ ἠγαθύνθη
13 ὁ λόγος ἐν ὀφθαλμοῖς αὐτῶν· [13]καὶ προεθυμήθησάν τινες ἀπὸ τοῦ
λαοῦ, καὶ ἐπορεύθησαν πρὸς τὸν βασιλέα· καὶ ἔδωκαν αὐτοῖς ἐξ-
14 ουσίαν ποιῆσαι τὰ δικαιώματα τῶν ἐθνῶν. [14]καὶ ᾠκοδόμησαν
15 γυμνάσιον ἐν Ἱεροσολύμοις κατὰ τὰ νόμιμα τῶν ἐθνῶν. [15]καὶ
ἐποίησαν ἑαυτοῖς ἀκροβυστίαν, καὶ ἀπέστησαν ἀπὸ διαθήκης ἁγίας·
καὶ ἐζευγίσθησαν τοῖς ἔθνεσιν, καὶ ἐπράθησαν ποιῆσαι πονη-
16 ρόν. [16]Καὶ ἡτοιμάσθη ἡ βασιλεία ἐνώπιον Ἀντιόχου· καὶ
ὑπέλαβεν βασιλεῦσαι γῆς Αἰγύπτου, ὅπως βασιλεύσῃ ἐπὶ τὰς δύο
17 βασιλείας. [17]καὶ εἰσῆλθεν εἰς Αἴγυπτον ὄχλῳ βαρεῖ, ἐν ἅρμασιν
18 καὶ ἐλέφασιν καὶ ἐν ἱππεῦσιν καὶ ἐν στόλῳ μεγάλῳ. [18]καὶ
συνεστήσατο πόλεμον πρὸς Πτολεμαῖον τὸν βασιλέα Αἰγύπτου· καὶ
ἐνετράπη Πτολεμαῖος ἀπὸ προσώπου αὐτοῦ καὶ ἔφυγεν, καὶ ἔπεσαν
19 τραυματίαι πολλοί. [19]καὶ κατελάβοντο τὰς πόλεις τὰς ὀχυρὰς ἐν
20 γῇ Αἰγύπτῳ· καὶ ἔλαβεν τὰ σκῦλα γῆς Αἰγύπτου. [20]Καὶ
ἐπέστρεψεν Ἀντίοχος μετὰ τὸ πατάξαι Αἴγυπτον ἐν τῷ ἑκατοστῷ
καὶ τεσσερακοστῷ καὶ τρίτῳ ἔτει· καὶ ἀνέβη ἐπὶ Ἰσραὴλ καὶ
21 Ἱεροσόλυμα ἐν ὄχλῳ βαρεῖ. [21]καὶ εἰσῆλθεν εἰς τὸ ἁγίασμα ἐν ὑπερη-
φανίᾳ, καὶ ἔλαβεν τὸ θυσιαστήριον τὸ χρυσοῦν, καὶ τὴν λυχνίαν
22 τοῦ φωτὸς καὶ πάντα τὰ σκεύη αὐτῆς, [22]καὶ τὴν τράπεζαν τῆς προ-
θέσεως, καὶ τὰ σπόνδια καὶ τὰς φιάλας καὶ τὰς θυίσκας τὰς χρυσᾶς
καὶ τὸ καταπέτασμα καὶ τοὺς στεφάνους καὶ τὸν κόσμον τὸν χρυσοῦν
23 τὸν κατὰ πρόσωπον τοῦ ναοῦ, καὶ ἐλέπισεν πάντα· [23]καὶ ἔλαβεν τὸ
ἀργύριον καὶ τὸ χρυσίον, καὶ τὰ σκεύη τὰ ἐπιθυμητά· καὶ ἔλαβεν
24 τοὺς θησαυροὺς τοὺς ἀποκρύφους οὓς εὗρεν. [24]καὶ λαβὼν πάντα

11 λεγοντας V | διελθωμε̄| ℵ* (διαθωμε̄|θα ℵ[1]) διαθωμενα (sic) A | εξω- ℵV
ρισθημε̄| ℵ* (εχωρ. ℵ[c.b]) | υπ] απ ℵV 13 προεθυμωθησαν ℵ* (-μηθ. ℵ[c.a]) |
om απο ℵ | εδωκεν ℵV 14 τα νομιμα] om τα ℵ* (hab ℵ[c.a]) 15 ακρο-
βυστιας ℵV | εξευγισθησαν] εξευχθησαν ℵ[c.c]V + εν ℵ | επραθησαν] επαραθησαν
ℵ[c.a?] (επραθ. ℵ[* c.a? c.b?]) | ποιησαι] pr του ℵV | πονηρον] pr το ℵ 16 ητοι-
μασθη] μ sup ras A[a] | η βασιλεια] om η ℵ* (hab ℵ[c.a]) | ενωπιον] εναντιον V |
βασιλευσαι V 17 οχλω] pr εν ℵ | ελεφαντοις V ελεφασιν ℵ* εν ελεφασιν
ℵ[c.a] | om εν 3° ℵ* (hab ℵ[c.a]) V 18 Πτολεμαιον τον βασιλεα] om τον ℵ om
τον βασ. A[* fort] (Πτ. τον| βασ. sup ras A[a]) | ενετραπη] απεστραφη ℵ* (ενετρ.
ℵ[c.a]) | Πτολεμεος A | επεσαν] εφυγον ℵ* (επεσον ℵ[c.a]V) 19 γη] τη ℵ | γης]
της ℵ om V 20 εκατοστω...τριτω] ρʹ και μʹ και γʹ ℵ | τεσσαρακ. V (ita
identidem) | τριτω ετει sup ras A[a] (seq spat 2 vel 3 litt) | om ετει ℵ* (hab ετι
ℵ[c.a]) | Ιεροσολυμα] επι Ιηλμ ℵ Ιλη̅μ̅ V 21 om και την λυχν. τ. φωτ. V
22 χρυσον A | ελεπισεν] ε 2° sup ras A[a] 23 χρυσιον κ. το αργυριον ℵ

A ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ. καὶ ἐποίησεν φονοκτονίαν, καὶ ἐλάλησεν
ὑπερηφανίαν μεγάλην. [25]καὶ ἐγένετο πένθος μέγα ἐπὶ Ἰσραηλ ἐν 25
παντὶ τόπῳ αὐτῶν· [26]καὶ ἐστέναξαν ἄρχοντες καὶ πρεσβύτεροι, παρ- 26
θένοι καὶ νεανίσκοι ἠσθένησαν, καὶ τὸ κάλλος τῶν γυναικῶν ἠλ-
λοιώθη. [27]πᾶς νυμφίος ἀνέλαβεν θρῆνον· καθημένη ἐν παστῷ ἐγένετο 27
ἐν πένθει. [28]καὶ ἐσείσθη ἡ γῆ ἐπὶ τοὺς κατοικοῦντας αὐτήν· καὶ πᾶς 28
ὁ οἶκος Ἰακωβ ἐνεδύσατο αἰσχύνην. [29]Μετὰ δύο ἔτη ἡμερῶν 29
ἀπέστειλεν ὁ βασιλεὺς ἄρχοντα φορολογίας εἰς τὰς πόλεις Ιουδα· καὶ
ἦλθεν εἰς Ιερουσαλημ ἐν ὄχλῳ βαρεῖ. [30]καὶ ἐλάλησεν αὐτοῖς λόγους 30
εἰρηνικοὺς ἐν δόλῳ, καὶ ἐπίστευσαν αὐτῷ, καὶ ἐπέπεσεν ἐπὶ τὴν
πόλιν ἐξάπινα, καὶ ἐπάταξεν αὐτὴν πληγὴν μεγάλην, καὶ ἀπώλεσεν
λαὸν πολὺν ἐξ Ἰσραηλ. [31]καὶ ἔλαβεν τὰ σκῦλα τῆς πόλεως καὶ 31
ἐνεπύρισεν αὐτὴν πυρί, καὶ καθεῖλεν τοὺς οἴκους αὐτῆς καὶ τὰ τείχη
αὐτῆς κύκλῳ, [32]καὶ ᾐχμαλώτευσεν τὰς γυναῖκας καὶ τὰ τέκνα· καὶ τὰ 32
κτήνη ἐκληρονόμησαν. [33]καὶ ᾠκοδόμησαν τὴν πόλιν Δαυιδ τείχει 33
μεγάλῳ καὶ ὀχυρῷ, πύργοις ὀχυροῖς, καὶ ἐγένετο αὐτοῖς εἰς ἄκραν.
[34]καὶ ἔθηκαν ἐκεῖ ἔθνος ἁμαρτωλόν, ἄνδρας παρανόμους· καὶ ἐνίσχυσαν 34
ἐν αὐτῇ. [35]καὶ παρέθεντο ὅπλα καὶ τροφήν, καὶ συναγαγόντες τὰ 35
σκῦλα Ιερουσαλημ ἀπέθεντο ἐκεῖ· καὶ ἐγένετο εἰς μεγάλην παγίδα,
[36]καὶ ἐγένετο εἰς ἔνεδρον τῷ ἁγιάσματι, καὶ εἰς διάβολον πονηρὸν τῷ 36
Ισραηλ διὰ παντός. [37]καὶ ἐξέχεαν αἷμα ἀθῷον κύκλῳ τοῦ ἁγιάσματος, 37
καὶ ἐμόλυναν τὸ ἁγίασμα. [38]καὶ ἔφυγον οἱ κάτοικοι Ιερουσαλημ 38
δι' αὐτούς, καὶ ἐγένετο κατοικία ἀλλοτρίων· καὶ ἐγένετο ἀλλοτρία τοῖς
γενήμασιν αὐτῆς, καὶ τὰ τέκνα αὐτῆς ἐγκατέλειπον αὐτήν. [39]τὸ 39
ἁγίασμα αὐτῆς ἠρημώθη ὡς ἔρημος· αἱ ἑορταὶ αὐτῆς ἐστράφησαν εἰς
πένθος, τὰ σάββατα αὐτῆς εἰς ὀνειδισμόν, τιμὴ αὐτῆς εἰς ἐξουδένωσιν,
[40]κατὰ τὴν δόξαν αὐτῆς ἐπληθύνθη ἀτιμασμὸς αὐτῆς, καὶ τὸ ὕψος 40
αὐτῆς ἐστράφη εἰς πένθος. [41]Καὶ ἔγραψεν ὁ βασιλεὺς πάσῃ 41

ℵV 24 απηλθεν] εισηνεγκεν V | εποιησεν ℵV | ελαλησεν ℵV 26 των] ω sup ras A[a] 27 πας] pr ϗ ℵ[c.a] | ανελαβεν] pr και V | καθημενην ℵ* ϗ καθημενη ℵ[c.a] | παστω] τοτω V | εγενετο εν πενθει] επενθει ℵ 28 οικουντας V | ο οικος] om ο ℵ 29 μετα] pr ϗ ℵ[c.a] + δε V | αρχοντας ℵ* (-ντα ℵ[c.a]) 30 ενεπιστευσαν ℵV 31 ενεπυρισεν] ενεπρησεν ℵ | om αυτης 2° ℵ 32 ηχμαλωτισα̅] ℵV (αιχμ.) | om εκληρονομησαν ℵ* hab ϗ εκληρονομησαν (α fec ex ε) εαυτοις ℵ[c.a] 33 ωκοδομησεν V* (-σε V[a]) | οχυρω] ισχυρω V 34 παρανομους] παρανους ℵ 35 εγενοντο V: item 36, 38 (1°) 37 αγιασματος] + κ̅υ̅ V | εμολυνον V[1] | αγιασμα sup ras A[a] 38 ενκατελιπον ℵ 39 εστραφη ℵ* (-φησαν ℵ[c.a]) | τα σαββ.] pr και V | om εις ονειδ. τιμη αυτης ℵ* (hab εις ονειδ. η τιμη αυτ. ℵ[c.a]) | τιμη] pr η V | εξουδενωσιν ℵ 40 την δοξαν αυτης επληθυνθη ατιμασμος] τα τεκνα αυτης επλησθη η γη ατιμια ℵ* την δοξ. αυτ. επληθ. η ατιμια ℵ[c.a, c.b] | ατιμασμος] ατιμια V

42 τῇ βασιλείᾳ αὐτοῦ εἶναι πάντας εἰς λαὸν ἕνα, 42καὶ ἐγκαταλείπειν A
ἕκαστον τὰ νόμιμα αὐτοῦ· καὶ ἐπεδέξαντο πάντα τὰ ἔθνη κατὰ τὸν
43 λόγον τοῦ βασιλέως. 43καὶ πολλοὶ ἀπὸ Ἰσραὴλ ηὐδόκησαν τῇ λατρίᾳ
αὐτοῦ, καὶ ἔθυσαν τοῖς εἰδώλοις, καὶ ἐβεβήλωσαν τὸ σάββατον.
44 44καὶ ἀπέστειλεν ὁ βασιλεὺς βιβλία ἐν χειρὶ ἀγγέλων εἰς Ἰερουσαλὴμ
καὶ τὰς πόλεις Ἰούδα, πορευθῆναι ὀπίσω νομίμων ἀλλοτρίων τῆς γῆς,
45 45καὶ κωλῦσαι ὁλοκαυτώματα καὶ θυσίας καὶ σπονδὴν ἐκ τοῦ ἁγιάσμα-
46 τος, καὶ βεβηλῶσαι σάββατα καὶ ἑορτάς, 46καὶ μιᾶναι ἁγίασμα καὶ
47 ἁγίους· 47οἰκοδομῆσαι βωμοὺς καὶ τεμένη καὶ εἴδωλα, καὶ θύειν ὕεια
48 καὶ κτήνη κοινά, 48καὶ ἀφιέναι τοὺς υἱοὺς αὐτῶν ἀπεριτμήτους,
βδελύξαι τὰς ψυχὰς αὐτῶν ἐν παντὶ ἀκαθάρτῳ καὶ βεβηλώσει,
49 49ὥστε ἐπιλαθέσθαι τοῦ νόμου, καὶ ἀλλάξαι πάντα τὰ δικαιώματα.
50 50καὶ ὃς ἂν μὴ ποιήσῃ κατὰ τὸ ῥῆμα τοῦ βασιλέως ἀποθανεῖται.
51 51κατὰ πάντας τοὺς λόγους τούτους ἔγραψεν τῇ βασιλείᾳ αὐτοῦ, καὶ
ἐποίησεν ἐπισκόπους ἐπὶ πάντα τὸν λαόν· καὶ ἐνετείλατο ταῖς
52 πόλεσιν Ἰούδα θυσιάζειν κατὰ πόλιν καὶ πόλιν. 52καὶ συνηθροί-
σθησαν ἀπὸ τοῦ λαοῦ πρὸς αὐτοὺς πολλοί, πᾶς ὁ ἐγκαταλείπων τὸν
53 νόμον· καὶ ἐποίησαν κακὰ ἐν τῇ γῇ, 53καὶ ἔθεντο τὸν Ἰσραὴλ ἐν
54 κρυφίοις ἐν παντὶ φυγαδευτηρίῳ αὐτῶν. 54Καὶ πεντεκαιδεκάτῃ
ἡμέρᾳ Χασελευ τῷ πέμπτῳ καὶ τεσσαρακοστῷ ἔτει ᾠκοδόμησαν
βδέλυγμα ἐρημώσεως ἐπὶ τὸ θυσιαστήριον· καὶ ἐν πόλεσιν Ἰούδα
55 κύκλῳ ᾠκοδόμησαν βωμούς, 55καὶ ἐπὶ τῶν θυρίδων τῶν οἰκιῶν καὶ
56 ἐν ταῖς πλατείαις ἐθυμίων. 56καὶ τὰ βιβλία τοῦ νόμου ἃ εὗρον,
57 ἐνεπύρισαν πυρὶ κατασχίσαντες. 57καὶ ὅπου εὑρίσκετο παρά τινι
βιβλίον διαθήκης, καὶ εἴ τις συνευδόκει τῷ νόμῳ, τὸ σύγκριμα τοῦ
58 βασιλέως ἐθανάτου αὐτόν. 58ἐν ἰσχύι αὐτῶν ἐποίουν οὕτω τῷ
Ἰσραήλ, τοῖς εὑρισκομένοις ἐν παντὶ μηνὶ καὶ μηνὶ ἐν ταῖς πόλεσιν.
59 59καὶ πέμπτῃ καὶ εἰκάδι τοῦ μηνὸς θυσιάζοντες ἐπὶ τὸν βωμὸν ὃς ἦν

41 om εις ℵ　42 ενκαταλιπειν ℵ εγκαταλιπ. Vᵃ | επεδεξατο ℵ απεδεξατο V　ℵV
43 ευδοκησαν ℵV | σαββατον ℵA* vid] αγιασμα sup ras Aᵃ　44 τας πολεις (-λις A)] pr εις V　45 κωλυσαι] κυκλωσαι ℵ | θυσιαν ℵV | σαββατα] pr τα V　47 ειδωλα] ειδωλια ℵV* (-λα Vᵃ) | κοινα] πολλα ℵ* (κοινα ℵc.a)　48 αφειναι ℵV | παντι] π̅ν̅ι̅ ℵ* (παντι ℵc.a) | βεβηλωσει ℵ* (-σαι ℵc.a) V　49 αλλαξασθαι ℵ　50 ποιησει V* | το ρημα] τον λογον ℵV　51 τη βασιλεια] pr παση ℵ | επι] κατα ℵ | ενετειλαντο ℵ (-τιλ.) V　52 πολλοι προς αυτους ℵ | πας ο ενκαταλειπων] και ενκαταλιπων ℵ* πας ο ενκαταλιπων ℵc.a και πας ο εγκαταλειπ. V* (-λιπ. Vᵃ)　53 κρυφοις ℵ* (κρυφιοις ℵc.a)　54 πεντεκαιδεκατη] pr τη ℵV | Χασαλευ ℵ* (Χασελευ ℵc.a) | πεμπτω και τεσσερακοστω] ε′ και μ′ και ρ′ ℵ π. κ. τ. και εκατοστω V | ωκοδομησαν 1°] ωκοδομησεν ℵ* (-σαν ℵc.a)　55 θυριδων] θυρων ℵV　56 ενεπυρισαν πυρι κατασχισαντες] κατασχ. ενεπ. εν (om εν V) πυρι ℵV　57 ηυρισκετο V | συνκριμα ℵV* | εθανατουν ℵ　58 om ουτω ℵ* (hab ουτως ℵc.a) | ουτως επ. V | πολεσιν] + αυτων V　59 πεμπτη] pr τη ℵc.a

A ἐπὶ τοῦ θυσιαστηρίου. [60]καὶ τὰς γυναῖκας τὰς περιτετμηκυίας τὰ 60
τέκνα αὐτῶν ἐθανάτωσαν κατὰ τὸ πρόσταγμα, [61]καὶ ἐκρέμασαν τὰ 61
βρέφη ἐκ τῶν τραχήλων αὐτῶν, καὶ τοὺς οἰκείους αὐτῶν, καὶ τοὺς
περιτετμηκότας αὐτούς· [62]καὶ πολλοὶ ἐν Ἰσραὴλ ἐκρεμάσθησαν. 62
καὶ ὀχυρώθησαν ἐν αὐτοῖς τοῦ μὴ φαγεῖν κοινά· [63]καὶ ἐπεδέξαντο 63
ἀποθανεῖν, ἵνα μὴ μιανθῶσιν τοῖς βρώμασιν, καὶ μὴ βεβηλώσουσιν
διαθήκην ἁγίαν· καὶ ἀπέθανον. [64]καὶ ἐγένετο ὀργὴ μεγάλη ἐπὶ 64
Ἰσραὴλ σφόδρα.

[1]Ἐν ταῖς ἡμέραις ἐκείναις ἀνέστη Ματταθίας Ἰωάννου τοῦ Συμεών, 1 II
ἱερεὺς τῶν υἱῶν Ἰωαρείμ, ἀπὸ Ἰερουσαλήμ, καὶ ἐκάθισεν ἐν Μωδεείν.
[2]καὶ αὐτῷ υἱοὶ πέντε· Ἰωάννης ὁ ἐπικαλούμενος Γαδδίς, [3]Σίμων ὁ 2 3
καλούμενος Θασσίς, [4]Ἰούδας ὁ καλούμενος Μακκαβαῖος, [5]Ἐλεαζὰρ 4 5
ὁ καλούμενος Αὐαράν, Ἰωνάθας ὁ καλούμενος Σαφφούς. [6]Καὶ 6
ἴδεν τὰς βλασφημίας τὰς γινομένας ἐν Ἰούδᾳ καὶ ἐν Ἰερουσαλήμ· [7]καὶ 7
εἶπεν Οἴμοι, ἵνα τί τοῦτο ἐγενήθην ἰδεῖν τὰ συντρίμματα τοῦ λαοῦ
μου καὶ τὸ σύντριμμα τῆς πόλεως τῆς ἁγίας, καὶ καθίσαι ἐκεῖ ἐν τῷ
δοθῆναι αὐτὴν ἐν χειρὶ ἐχθρῶν, τὸ ἁγίασμα ἐν χειρὶ ἀλλοτρίων;
[8]ἐγένετο ὁ ναὸς αὐτῆς ὡς ἀνὴρ ἄδοξος· [9]τὰ σκεύη τῆς δόξης 8 9
αἰχμάλωτα ἀπήχθη· ἀπεκτάνθη τὰ νήπια αὐτῆς ἐν ταῖς πλατείαις
αὐτῆς, οἱ νεανίσκοι αὐτῆς ἐν ῥομφαίᾳ ἐχθροῦ. [10]ποῖον ἔθνος 10
οὐκ ἐκληρονόμησεν βασίλεια καὶ οὐκ ἐκράτησεν τῶν σκύλων αὐτῆς;
[11]πᾶς ὁ κόσμος αὐτῆς ἀφῃρέθη· ἀντὶ ἐλευθέρας ἐγενήθη εἰς δούλην. 11
[12]καὶ ἰδοὺ τὰ ἅγια ἡμῶν καὶ ἡ καλλονὴ ἡμῶν καὶ ἡ δόξα ἡμῶν ἠρη- 12
μώθη, καὶ ἐβεβήλωσαν αὐτὰ ἔθνη· [13]ἵνα τί ἡμῖν ἔτι ζῆν; [14]καὶ 13 14
διέρρηξεν Ματταθίας καὶ οἱ υἱοὶ αὐτοῦ τὰ ἱμάτια αὐτῶν, καὶ περιε-
βάλοντο σάκκους, καὶ ἐπένθησαν σφόδρα. [15]Καὶ ἦλθον οἱ 15
παρὰ τοῦ βασιλέως οἱ καταναγκάζοντες τὴν ἀποστασίαν εἰς Μωδεεὶν

ℵV 61 οικους ℵV | αυτων 2°]+προενομευσαν ℵ^c.a | αυτους]+εθανατωσαν ℵ^c.a 62 εκρεμασθησαν] εκραταιωθησαν ℵV | ωχυρ. V | εαυτοις V 63 βεβη-λωσωσιν ℵV* 64 Ισρ.] pr τον V II 1 Ιωαννου] pr υιος ℵV | Ιωαριμ ℵ Ιωαρειβ V | Μωδειν ℵ* -δαειν ℵ^c.a -διω V 2 ο επικαλ.] om ο ℵ* (hab ℵ^c.a) | Γαδδει ℵ 3 ο καλ.] om ο ℵ ο επικ. V | Θασσει ℵV (-σσι) 4 om Μακκαβαιος ℵ* (hab -βεος ℵ^c.a) 5 Ελεαζαρ] Ιελεαζαρος ℵ* Ελεαζαρος ℵ^1, c.a | ο καλουμενος (1°)] om ο ℵ* (hab ℵ^c.a) | Ιωναθης ℵ* (-θας ℵ^c.a) -θαν V | Σαπφους ℵV 6 βλασφ.]+αυτων V | γενομενας ℵ 7 εγεννηθην ℵV | τα συντριμματα] το συντριμμα ℵV | om και 2° ℵ* (hab ℵ^c.a) | της αγιας πολεως ℵ | εκαθισαν ℵV (-θησαν) 9 δοξης]+αυτης ℵV | αιχμ.] pr ως V | απηχθη] pr α ℵ* (improb ℵ^c.a) 10 βασιλεια] pr εν ℵ pr η V 11 αφερ. V* (αφαιρ. V^a) | εγενετο ℵV εγεννηθη A 12 εθνη] pr τα ℵV 13 ζην] ζωη ℵ 14 τα ιμ.] ι bis scr ℵ* | εαυτων V | περιεβαλλ. V | επενθησεν ℵ* (-σαν ℵ^c.a) 15 ηλλοιωθη ℵ* (ηλθ. οι ℵ^c.a) | αποστασιν ℵ | Μωδειν ℵ* (-δεειν ℵ^c.a) -διμ V

16 τὴν πόλιν, ἵνα θυσιάσωσιν. [16]καὶ πολλοὶ ἀπὸ Ἰσραὴλ πρὸς αὐτοὺς A
17 προσῆλθαν· καὶ Ματταθίας καὶ οἱ υἱοὶ αὐτοῦ συνήχθησαν. [17]καὶ
ἀπεκρίθησαν οἱ παρὰ τοῦ βασιλέως καὶ εἶπαν τῷ Ματταθίᾳ λέγοντες
Ἄρχων καὶ ἔνδοξος καὶ μέγας εἶ ἐν τῇ πόλει ταύτῃ, καὶ ἐστηριγμένος
18 ἐν υἱοῖς καὶ ἀδελφοῖς. [18]νῦν πρόσελθε πρῶτος, καὶ ποίησον τὸ
πρόσταγμα τοῦ βασιλέως, ὡς ἐποίησαν πάντα τὰ ἔθνη, καὶ οἱ
ἄρχοντες Ἰούδα, καὶ οἱ καταλειφθέντες ἐν Ἰερουσαλήμ· καὶ ἔσῃ σὺ
καὶ ὁ οἶκός σου τῶν φίλων τοῦ βασιλέως· καὶ σὺ καὶ οἱ υἱοί σου
19 δοξασθήσεσθε ἀργυρίῳ καὶ χρυσίῳ καὶ ἀποστολαῖς πολλαῖς. [19]καὶ
ἀπεκρίθη Ματταθίας καὶ εἶπεν φωνῇ μεγάλῃ Εἰ πάντα τὰ ἔθνη τὰ ἐν
οἴκῳ τῆς βασιλείας τοῦ βασιλέως ἀκούουσιν αὐτοῦ, ἀποστῆναι ἕκαστος
ἀπὸ λατρείας πατέρων αὐτοῦ, καὶ ᾑρετίσαντο ἐν ταῖς ἐντολαῖς αὐτοῦ·
20 [20]κἀγὼ καὶ οἱ υἱοί μου καὶ οἱ ἀδελφοί μου πορευσόμεθα ἐν διαθήκῃ
21 22 πατέρων ἡμῶν. [21]ἵλεως ἡμῖν καταλείπειν νόμον καὶ δικαιώματα. [22]τὸν
νόμον τοῦ βασιλέως οὐκ ἀκουσόμεθα, παρελθεῖν τὴν λατρείαν ἡμῶν
23 δεξιὰν ἢ ἀριστεράν. [23]Καὶ ὡς ἐπαύσατο λαλῶν τοὺς λόγους
τούτους, προσῆλθεν ἀνὴρ Ἰουδαῖος ἐν ὀφθαλμοῖς πάντων, θυμιᾶσαι
24 ἐπὶ τοῦ βωμοῦ ἐν Μωδεεὶμ κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως. [24]καὶ
ἴδεν Ματταθίας καὶ ἐζήλωσεν, καὶ ἐτρόμησαν οἱ νεφροὶ αὐτοῦ, καὶ
ἀνήνεγκεν θυμὸν κατὰ τὸ κρίμα, καὶ δραμὼν ἔσφαξεν αὐτὸν ἐπὶ τὸν
25 βωμόν. [25]καὶ τὸν ἄνδρα τοῦ βασιλέως τὸν ἀναγκάζοντα θύειν
26 ἀπέκτεινεν ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ τὸν βωμὸν καθεῖλεν, [26]καὶ
ἐζήλωσεν τῷ νόμῳ, καθὼς ἐποίησεν Φινεες τῷ Ζαμβρι υἱῷ Σαλωμ.
27 [27]καὶ ἀνέκραξεν Ματταθίας ἐν τῇ πόλει φωνῇ μεγάλῃ, λέγων Πᾶς
28 ὁ ζηλῶν τῷ νόμῳ καὶ ἱστῶν διαθήκην, ἐξελθέτω ὀπίσω μου. [28]καὶ
ἔφυγον αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ εἰς τὰ ὄρη, καὶ ἐνκατέλειπον ὅσα εἶχον
29 ἐν τῇ πόλει. [29]Τότε κατέβησαν πολλοὶ ζητοῦντες δικαιοσύνην
30 καὶ κρίμα εἰς τὴν ἔρημον καθίσαι ἐκεῖ, [30]αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ

16 προσηλθον ℵV 17 ειπον ℵV | εστηρισμενος ℵ | om εν 2° ℵV | και 6°] ℵV pr τε V 18 νυν] pr κ̅ɩ̅ V | ως] pr και ℵ* (improb ℵ^c.a) | εποιησεν ℵ | αρχοντες] ανδρες ℵV | συ 1°] σοι A + και οι υιοι σου V | om και ο οικος...και συ και ℵ* hab και οι υιοι σου των φιλων του βασιλεως κ̅ σ̅υ̅ κ̅ ℵ^c.a | δοξασθηση ℵ* (-θησεσθαι ℵ^c.a) | χρυσ. κ. αργ. V 19 ει] pr και V | του βασ.] incep τη ℵ* (του ℵ^1) | εκαστον V 20 πορευσομεθα ℵV 21 καταλιπειν ℵ 22 νομον] λογον ℵV 23 om τους λογους τουτους ℵ* (hab ℵ^c.b) | θυμιασαι] θυσιασαι ℵV | εν 2°] pr του ℵ^c.a | Μωδεειμ] Βωδειν ℵ* (M pro B ℵ^c.a? c.b?) Μωδεειν ℵ^c.a -διμ V 24 ειδεν ℵV | ετρομασαν ℵ^c.a V 25 καθειλο̅| ℵ* (-λεν ℵ^c.a) 26 εζηλωσεν] εδωκαν ℵ* (εζηλωσεν ℵ^c.a) εζηλωσαν V | Φινεες ℵV | Ζαμβρει ℵ -βρι V 27 και 2°] η ℵ* (και fort vult ℵ^c.a) om A | τη διαθηκη V 28 ενκατελιπον ℵ

A γυναῖκες αὐτῶν καὶ τὰ κτήνη αὐτῶν· ὅτι ἐσκληρύνθη ἐπ' αὐτοὺς τὰ
κακά. 31 καὶ ἀνηγγέλη τοῖς ἀνδράσιν τοῦ βασιλέως καὶ ταῖς δυνά- 31
μεσιν αἳ ἦσαν ἐν Ἰερουσαλὴμ πόλει Δαυείδ, ὅτι κατέβησαν ἄνδρες,
οἵτινες διεσκέδασαν τὴν ἐντολὴν τοῦ βασιλέως, εἰς τοὺς κρυφοὺς ἐν
τῇ ἐρήμῳ. 32 καὶ ἔδραμον ὀπίσω αὐτῶν πολλοί, καὶ καταλαβόντες 32
αὐτοὺς παρενέβαλον ἐπ' αὐτούς, καὶ συνεστείλαντο πρὸς αὐτοὺς
πόλεμον ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων· 33 καὶ εἶπαν πρὸς αὐτούς Ἕως 33
τοῦ νῦν· ἐξελθόντες ποιήσατε κατὰ τὸν λόγον τοῦ βασιλέως, καὶ
ζήσεσθε. 34 καὶ εἶπαν Οὐκ ἐξελευσόμεθα, οὐδὲ ποιήσομεν τὸν λόγον 34
τοῦ βασιλέως, βεβηλῶσαι τὴν ἡμέραν τῶν σαββάτων. 35 καὶ ἐτάχυναν 35
ἐπ' αὐτοὺς πόλεμον. 36 καὶ οὐκ ἀπεκρίθησαν αὐτοῖς, οὐδὲ λίθον ἐνε- 36
τίναξαν αὐτοῖς, οὐδὲ ἐνέφραξαν τοὺς κρυφούς, 37 λέγοντες Ἀπο- 37
θάνωμεν οἱ πάντες ἐν τῇ ἁπλότητι ἡμῶν· μαρτυρεῖ ἐφ' ἡμᾶς ὁ
οὐρανὸς καὶ ἡ γῆ ὅτι ἀκρίτως ἀπόλλυτε ἡμᾶς. 38 καὶ ἀνέστησαν 38
ἐπ' αὐτοὺς ἐν τῷ πολέμῳ τοῖς σάββασιν· καὶ ἀπέθανον αὐτοὶ καὶ αἱ
γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ τὰ κτήνη αὐτῶν, ἕως χιλίων
ψυχῶν ἀνθρώπων. 39 Καὶ ἔγνω Ματταθίας καὶ οἱ φίλοι αὐτοῦ, 39
καὶ ἐπένθησαν ἐπ' αὐτοὺς ἕως σφόδρα. 40 καὶ εἶπεν ἀνὴρ πρὸς τὸν 40
πλησίον αὐτοῦ Ἐὰν πάντες ποιήσωμεν ὡς οἱ ἀδελφοὶ ἡμῶν ἐποίησαν,
καὶ μὴ πολεμήσωμεν εἰς τὰ ἔθνη ὑπὲρ τῆς ψυχῆς ἡμῶν καὶ τῶν
δικαιωμάτων ἡμῶν, νῦν τάχιον ἡμᾶς ὀλεθρεύσουσιν ἀπὸ τῆς γῆς.
41 καὶ ἐβουλεύσαντο τῇ ἡμέρᾳ ἐκείνῃ, λέγοντες Πᾶς ἄνθρωπος ὃς ἐὰν 41
ἔλθῃ πρὸς ἡμᾶς εἰς πόλεμον τῇ ἡμέρᾳ τῶν σαββάτων, πολεμήσωμεν
κατέναντι αὐτοῦ, καὶ οὐ μὴ ἀποθάνωμεν πάντες καθὼς ἀπέθανον οἱ
ἀδελφοὶ ἡμῶν ἐν τοῖς κρυφοῖς. 42 τότε συνήχθησαν πρὸς αὐτοὺς 42
συναγωγὴ Ἀσιδαίων, ἰσχυρᾷ δυνάμει ἀπὸ Ἰσραήλ, πᾶς ὁ ἑκουσια-
ζόμενος τῷ νόμῳ. 43 καὶ πάντες οἱ φυγαδεύοντες ἀπὸ τῶν κακῶν 43

ℵV 30 εσκληρυνθη] επληθυνθη V | αυτους] + επληθυνθη ℵ* + ϛ επληθ. ℵ$^{c.a}$
31 ανηγγελη] incep ανα ℵ* (ανηγγ. ℵ^{1}) | ταις δυναμεσιν] αι δυναμεις ℵ | πολις V | ανδρες] pr οι ℵ | εντολην] βουλην ℵ | κρυφιους ℵV 32 καταλαβοντες αυτους] κατελαβοντο αυτους και ℵV | παρενεβαλοντο ℵ* παρενεβαλλον ℵ$^{c.b}$ pr και ℵ | επ] προς ℵ* (επ ℵ$^{c.a}$) | συνεστειλαντο] συνεστησαντο ℵV 33 ειπον ℵV | ποιησατε] ποιησωμεν ℵ* (-σαται ℵ$^{c.a}$) 34 ποιησωμεν A 35 εταχυνεν ℵ 36 ουδε 1°] ου ℵ | κυφρους ℵ* (κρυφους ℵ$^{c.a}$) κρυφιους V 37 οι παντες] om οι ℵV | om εφ ημας ℵ* (hab ℵ$^{c.a}$) 38 επ] προς ℵ | τω πολεμω] om τω ℵ | τοις σαββασιν] om τοις ℵ* (hab ℵ$^{c.a}$) | om χιλιων ℵ* (hab ℵ$^{c.a}$)
39 εγνων V* | om επ ℵ | om εως ℵ 40 προς τον πλησιον] τω πλ. ℵV | ποιησομεν V* | εις] προς ℵV | διωματων ℵ* (δικαιωματων ℵ$^{c.a}$) | ολοθρευσουσιν ημας ℵV 41 την ημεραν εκεινην ℵ | προς] εφ ℵV | πολεμησομεν V | καθως] ως ℵ | om απεθανον V | κρυφιοις ℵV 42 συναγωγη Ασιδαιων (-δεων A) ισχυρα] πασα συναγωγη Ιουδαιων ισχυροι ℵ συν. πασα Ιουδ. οχυροι V

44 προσετέθησαν αὐτοῖς, καὶ ἐγένοντο αὐτοῖς εἰς στήριγμα. [44]καὶ A
συνεστήσαντο δύναμιν, καὶ ἐπάταξαν ἁμαρτωλοὺς ἐν ὀργῇ αὐτῶν, καὶ
ἄνδρας ἀνόμους ἐν θυμῷ αὐτῶν· καὶ οἱ λοιποὶ ἔφυγον εἰς τὰ ἔθνη
45 σωθῆναι. [45]καὶ ἐκύκλωσεν Ματταθίας καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ καθεῖλον
46 τοὺς βωμοὺς αὐτῶν, [46]καὶ περιέτεμον τὰ παιδάρια τὰ ἀπερίτμητα ὅσα
47 εὗρεν ἐν ὁρίοις Ἰσραὴλ ἐν ἰσχύι. [47]καὶ ἐδίωξαν τοὺς υἱοὺς τῆς ὑπερηφα-
48 νίας, καὶ κατευοδώθη τὸ ἔργον ἐν χειρὶ αὐτῶν. [48]καὶ ἀντελάβοντο τοῦ
νόμου ἐκ χειρὸς τῶν ἐθνῶν καὶ ἐκ χειρὸς τῶν βασιλέων, καὶ οὐκ ἔδωκαν
49 κέρας τῷ ἁμαρτωλῷ. [49]Καὶ ἤγγισαν αἱ ἡμέραι τοῦ Ματταθίου
ἀποθανεῖν, καὶ εἶπεν τοῖς υἱοῖς αὐτοῦ Νῦν ἐστηρίχθη ὑπερηφανία καὶ
50 ἐλεγμὸς καὶ καιρὸς καταστροφῆς καὶ ὀργὴ θυμοῦ. [50]καὶ νῦν, τέκνα,
ζηλώσατε τῷ νόμῳ, καὶ δότε τὰς ψυχὰς ὑμῶν ὑπὲρ διαθήκης πατέρων
51 ἡμῶν. [51]μνήσθητε τῶν πατέρων ἡμῶν τὰ ἔργα ἃ ἐποίησαν ταῖς
γενεαῖς αὐτῶν, καὶ δέξασθε δόξαν μεγάλην καὶ δόξαν αἰώνιον.
52 [52]Ἀβραὰμ οὐκ ἐν πειρασμῷ εὑρέθη πιστός, καὶ ἐλογίσθη αὐτῷ
53 δικαιοσύνη; [53]Ἰωσὴφ ἐν καιρῷ στενοχωρίας αὐτοῦ ἐφύλαξεν ἐντολήν,
54 καὶ ἐγένετο κύριος Αἰγύπτου. [54]Φινεὲς ὁ πατὴρ ἡμῶν ἐν τῷ ζηλῶσαι
55 ζῆλον ἔλαβεν διαθήκην ἱερωσύνης ἁγίας. [55]Ἰησοῦς ἐν τῷ πληρῶσαι
56 λόγον ἐγένετο κριτὴς ἐν Ἰσραήλ. [56]Χαλὲβ ἐν τῷ ἐπιμαρτύρασθαι
57 τῇ ἐκκλησίᾳ ἔλαβεν γῆν κληρονομίαν. [57]Δαυεὶδ ἐν τῷ ἐλέει αὐτοῦ
58 ἐκληρονόμησεν θρόνον βασιλείας αἰωνίας. [58]Ἠλίας ἐν τῷ ζηλῶσαι
59 ζῆλον νόμου ἀνελήμφθη ὡς εἰς τὸν οὐρανόν. [59]Ἀνανίας, Ἀζαρίας,
60 Μισαήλ, πιστεύσαντες ἐσώθησαν ἐκ φλογός. [60]Δανιὴλ ἐν τῇ ἁπλό-
61 τητι αὐτοῦ ἐρύσθη ἐκ στόματος λεόντων. [61]καὶ οὕτως ἐννοήθητε κατὰ
62 γενεάν, ὅτι πάντες οἱ ἐλπίζοντες ἐπ᾽ αὐτὸν οὐκ ἀσθενήσουσιν. [62]καὶ
ἀπὸ λόγων ἀνδρὸς ἁμαρτωλοῦ μὴ φοβηθῆτε, ὅτι ἡ δόξα αὐτοῦ εἰς
63 κόπρια καὶ εἰς σκώληκας. [63]σήμερον ἐπαρθήσεται, καὶ οὐ μὴ εὑρεθῇ,
ὅτι ἐπέστρεψεν εἰς τὸν χοῦν αὐτοῦ, καὶ ὁ διαλογισμὸς αὐτοῦ ἀπώλετο.

44 *επαταξαντο* ℵ* (-*ξαν* ℵ^c.b^) + *ανδρας* V | om *και* 3° A **45** *εκυκλωσεν*] ℵV *εκελευσεν* ℵ | *υιοι*] *φιλοι* ℵV | om *αυτων* ℵ **46** *ευρον* ℵ | *οριοις*] *υιοις* ℵ **47** *κατευωδ.* V^a | *αυτων*] *αυτου* ℵ* (-*των* ℵ^c.a^) **48** om *εκ χειρος* (2°) ℵ* (hab *εκ χιρης* ℵ^c.a^) V | *βασιλεων*] + *αυτων* ℵ^c.a^ **49** *του Ματταθιου*] om *του* ℵ | *εστηρισθη* ℵ **50** om *και* 1° ℵV | *ημων*] *υμων* ℵV **51** *μνησθητε*] pr *και* ℵV | *των πατερων ημων τα εργα*] *τα εργα των πατ.* ℵV | *εποιησεν* ℵ* (-*σαν* ℵ^c.a^) | *ταις γενεαις*] pr *εν* ℵV | *δεξασθε*] *δεδοξασθαι* V* (-*σθε* V^a^) | *δοξαν* 2°] *ονομα* ℵV **52** *ουκ*] *ουχι* ℵV | *εις δικαιοσυνην* ℵV **54** *διαθηκην ιεροσυνης αγιας*] *κληρον διαθηκης αιωνιας ιερωσυνης* ℵ *διαθηκην ιερ. αιωνιας* V **56** *μαρτυρασθαι* ℵ | *τη εκκλησια*] pr *εν* ℵV *τη εκκλησιας* V | *γην κληρονομιαν*] *την κλ.* ℵ *γης κλ.* V **57** *αιωνιας*] *εις αιωνας* ℵV **58** *ζηλον νομου*] *νομον ζηλους* ℵ | *ανεληφθη* V | om *ως* ℵ *εως* V **60** *ερρυσθη* ℵ | *λεοντος* ℵ **61** *γενεαν*] + *και γενεαν* ℵV **62** *κοπριαν* V **63** *και* 1°] + *αυριον* ℵV | *οτι*] *και* ℵ | *απωλετο*] *απολειται* ℵ (-*λιτ.*) V

A [64]καὶ ὑμεῖς, τέκνα, ἰσχύετε καὶ ἀνδρίζεσθε ἐν τῷ νόμῳ ὑμῶν, ὅτι ἐν 64
αὐτῷ δοξασθήσεσθε. [65]καὶ ἰδοὺ Συμεὼν ὁ ἀδελφὸς ὑμῶν, οἶδα ὅτι 65
ἀνὴρ βουλῆς ἐστιν· αὐτοῦ ἀκούετε πάσας τὰς ἡμέρας, αὐτὸς ὑμῖν ἔσται
εἰς πατέρα. [66]καὶ Ἰούδας ὁ Μακκαβαῖος αὐτός, ἰσχυρὸς ἐν δυνάμει 66
αὐτὸς ἐκ νεότητος αὐτοῦ, οὗτος ὑμῖν ἔσται εἰς ἄρχοντα στρατιᾶς· καὶ
πολεμήσετε πόλεμον λαῶν. [67]καὶ ὑμεῖς προσάξετε πρὸς ὑμᾶς πάντας 67
τοὺς ποιητὰς τοῦ νόμου, καὶ ἐκδικήσατε ἐκδίκησιν τοῦ λαοῦ ὑμῶν.
[68]ἀνταποδίδοτε ἀνταπόδομα τοῖς ἔθνεσιν, καὶ προσέχετε εἰς προστά- 68
γματα τοῦ νόμου. [69]Καὶ ηὐλόγησεν αὐτούς· καὶ προσετέθη πρὸς 69
τοὺς πατέρας αὐτοῦ. [70]καὶ ἀπέθανεν ἐν τῷ ἕκτῳ καὶ τεσσερακοστῷ 70
καὶ ἑκατοστῷ ἔτει· καὶ ἔθαψαν αὐτὸν οἱ υἱοὶ αὐτοῦ ἐν τάφοις πατέρων
αὐτοῦ ἐν Μωδεείν, καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν.

[1]Καὶ ἀνέστη Ἰούδας ὁ καλούμενος Μακκαβαῖος υἱὸς αὐτοῦ ἀντ' αὐ- 1 III
τοῦ. [2]καὶ ἐβοήθουν αὐτῷ πάντες οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πάντες 2
ὅσοι ἐκολλήθησαν τῷ πατρὶ αὐτοῦ, καὶ ἐπολέμουν τὸν πόλεμον
Ἰσραὴλ μετ' εὐφροσύνης. [3]καὶ ἐπλάτυνεν δόξαν τῷ λαῷ αὐτοῦ· 3
καὶ ἐνεδύσατο θώρακα ὡς γίγας, καὶ συνεζώσατο τὰ σκεύη τὰ
πολεμικὰ αὐτοῦ· πολέμους συνεστήσατο, σκεπάζων παρεμβολὴν
ἐν ῥομφαίᾳ. [4]καὶ ὡμοιώθη λέοντι ἐν τοῖς ἔργοις αὐτοῦ, καὶ ὡς 4
σκύμνος ἐρευγόμενος εἰς θήραν. [5]καὶ ἐδίωξεν ἀνόμους ἐξερευνῶν, 5
καὶ τοὺς ταράσσοντας τὸν λαὸν αὐτοῦ ἐφλόγισεν· [6]καὶ συνεστάλησαν 6
οἱ ἄνομοι ἀπὸ τοῦ φόβου αὐτοῦ, καὶ πάντες οἱ ἐργάται τῆς ἀνομίας
συνεταράχθησαν, καὶ εὐοδώθη σωτηρία ἐν χειρὶ αὐτοῦ. [7]καὶ ἐπί- 7
κρανεν βασιλεῖς πολλούς, καὶ ηὔφρανεν τὸν Ἰακὼβ ἐν τοῖς ἔργοις
αὐτοῦ, καὶ ἕως τοῦ αἰῶνος τὸ μνημόσυνον αὐτοῦ εἰς εὐλογίαν. [8]καὶ 8
διῆλθεν ἐν πόλεσιν Ἰούδα, καὶ ἐξωλέθρευσεν ἀσεβεῖς ἐπ' αὐτῆς, καὶ

ℵV 64 om *και υμεις* ℵ* (hab ℵ^c.a) | *ανδριζεσθε και ισχυσατε* ℵV | om *υμων* ℵV 65 *υμιν εσται εις πατερα*] *εσται υμιν πατηρ* ℵ *ε. υμων π.* V 66 *ο Μακκαβαιος*] om *ο* ℵ | om *αυτος* bis ℵ: 2°, V | *εν δυναμει*] *δυναμιν* ℵ* *-μι* ℵ^c.a *-μει* V | om *αυτου* ℵ | *ουτος υμιν εσται εις αρχοντα*] *αυτος εσται υμιν αρχων* ℵ *αυτος ε. αρχων* V | *πολεμησετε*] *πολεμησει* ℵV 68 *ανταποδοται* ℵ | *προσταγμα* ℵ *τα προσταγματα* V 69 *ευλογησεν* ℵV | *αυτου*] *αυτων* ℵ* (*-του* ℵ^c.a) 70 om *εν* 1° V | *εκτω...εκατοστω*] *γ' και μ' και ερ'* (sic) ℵ* (pro *γ'* leg *ϛ'* et ras *ε* ante *ρ'* ℵ^c.a) | *εθαψαν αυτον οι υιοι αυτου*] *εταφη* ℵ | om *οι* V | *Μωδειν* ℵ* (*Μωδεειν* ℵ^c.a) *-δειμ* V* (*-διμ* V^a) III 1 *αυτου* 2°] *αρτου* ℵ* (*αυτ.* ℵ^c.a) 2 *αυτω*] *αυτον* V | *οσοι*] *οι* ℵ | *επολεμουντο πολεμον* ℵ* (*επολεμουν τον π.* ℵ^c.a) 3 *λαω*] *λογω* V | *πολεμους συνεστησατο*] *και συνεστ. πολ.* ℵV | *παρεμβ. εν ρομφαια*] *ρομφ. εν πολεμω* V 4 om *αυτου* ℵ | *ορευγομενος* ℵ 5 *τον λαον αυτ.*] om *λαον* A (hab ℵV) 6 *οι ανομοι*] om *οι* ℵV | *ευωδ.* V | *σωτ.*] pr *η* V 7 *επικραναν* A | *ευφρανεν* ℵ | *εις*] pr *και* ℵ* (improb ℵ?) 8 *πολεσιν*] *πολι* ℵ | *εξωλοθρ.* V | *επ*] *εξ* ℵV

9 ἀπέστρεψεν ὀργὴν ἀπὸ Ἰσραήλ· [9]καὶ ὠνομάσθη ἕως ἐσχάτου τῆς A
10 γῆς, καὶ συνήγαγεν ἀπολλυμένους. [10]Καὶ συνήγαγεν Ἀπολ-
λώνιος ἔθνη, καὶ ἀπὸ Σαμαρίας δύναμιν μεγάλην τοῦ πολεμῆσαι
11 πρὸς Ἰσραήλ. [11]καὶ ἔγνω Ἰούδας, καὶ ἐξῆλθεν εἰς συνάντησιν
αὐτῷ καὶ ἐπάταξεν αὐτὸν καὶ ἀπέκτεινεν· καὶ ἔπεσον τραυματίαι πολ-
12 λοί, καὶ οἱ ἐπίλοιποι ἔφυγον. [12]καὶ ἔλαβον τὰ σκεύη αὐτῶν, καὶ τὴν
μάχαιραν Ἀπολλωνίου ἔλαβεν Ἰούδας, καὶ ἦν πολεμῶν ἐν αὐτῇ πάσας
13 τὰς ἡμέρας. [13]Καὶ ἤκουσεν Σήρων, ὁ ἄρχων τῆς δυνάμεως Συ-
ρίας, ὅτι ἤθροισεν Ἰούδας ἄθροισμα καὶ ἐκκλησίαν πιστῶν μεθ' αὐτοῦ
14 καὶ ἐκπορευομένων εἰς πόλεμον. [14]καὶ εἶπεν Ποιήσω ἐμαυτῷ ὄνομα,
καὶ δοξασθήσομαι ἐν τῇ βασιλείᾳ, καὶ πολεμήσω τὸν Ἰούδαν καὶ
τοὺς σὺν αὐτῷ καὶ τοὺς ἐξουδενοῦντας τὸν λόγον τοῦ βασιλέως.
15 [15]καὶ προσέθετο καὶ ἀνέβη μετ' αὐτοῦ παρεμβολὴ ἀσεβῶν ἰσχυρὰ
16 βοηθῆσαι αὐτῷ, ποιῆσαι τὴν ἐκδίκησιν ἐν υἱοῖς Ἰσραήλ. [16]καὶ ἤγ-
γισεν ἕως ἀναβάσεως Μεθωρών· καὶ ἐξῆλθεν Ἰούδας εἰς συνάντησιν
17 αὐτῷ ὀλιγοστός. [17]ὡς δὲ ἴδαν τὴν παρεμβολὴν ἐρχομένην εἰς συν-
άντησιν αὐτῷ, εἶπαν τῷ Ἰούδᾳ Τί δυνησόμεθα ὀλιγοστοὶ ὄντες πο-
λεμῆσαι πρὸς πλῆθος τοσοῦτο; καὶ ἡμεῖς ἐκλελύμεθα ἀσιτοῦντες
18 σήμερον. [18]καὶ εἶπεν Ἰούδας Εὔκοπόν ἐστιν συγκλεισθῆναι πολ-
λοὺς ἐν χερσὶν ὀλίγων· καὶ οὐκ ἔστιν διαφορὰ ἐναντίον τοῦ οὐρανοῦ
19 σῴζειν ἐν πολλοῖς ἢ ἐν ὀλίγοις. [19]ὅτι οὐκ ἐν πλήθει δυνάμεως
20 νίκη πολέμου ἐστίν, ἀλλ' ἢ ἐκ τοῦ οὐρανοῦ ἰσχύς. [20]αὐτοὶ ἔρχον-
ται πρὸς ἡμᾶς πλήθει ὕβρεως καὶ ἀνομίας, τοῦ ἐξᾶραι ἡμᾶς καὶ τὰς
21 γυναῖκας ἡμῶν καὶ τὰ τέκνα ἡμῶν, τοῦ σκυλεῦσαι ἡμᾶς. [21]ἡμεῖς
δὲ πολεμοῦμεν περὶ τῶν ψυχῶν ἡμῶν καὶ τῶν νομίμων ἡμῶν.
22 [22]καὶ αὐτὸς συντρίψει αὐτοὺς πρὸ προσώπου ἡμῶν· ὑμεῖς δὲ μὴ
23 φοβηθῆτε ἀπ' αὐτῶν. [23]ὡς δὲ ἐπαύσατο λαλῶν, ἐνήλατο ἐπ' αὐ-
τοὺς ἄφνω, καὶ συνετρίβη Σήρων καὶ ἡ παρεμβολὴ αὐτοῦ ἐνώπιον
24 αὐτοῦ. [24]καὶ ἐδίωκον αὐτοὺς ἐν τῇ καταβάσει Βαιθωρὼν ἕως τοῦ
πεδίου· καὶ ἔπεσον ἀπ' αὐτῶν εἰς ἄνδρας ὀκτακοσίους· οἱ δὲ λοιποὶ

9 ονομ. V | της γης] om της ℵ | απολλυμενους] Απολλωνιος V^a 10 om ℵV και συν. Απ. V^a | Ισραηλ] pr τον ℵ 11 αυτω] αυτων V 12 σκευη] σκυλα ℵV 13 μεθ] μετ ℵV 14 ενδοξασθ. ℵ | Ιουδαν] pr υιον ℵ* (improb ℵ^{c.a}) | om και 5° ℵV | τους εξουδ.] εξουθ. V 15 ισχυρα] + μετ αυτου V | ποιησαι] pr και V 16 ηγγισαν V | Μεθωρων] Βαιθωρων ℵV | αυτων V 17 ιδεν ℵ* ειδον ℵ^{c.a} V | ερχομενην] pr την ℵ^{c.a} | αυτω] αυτων ℵV^a | ειπον ℵV^1 (ειπον… δυν. sup ras V^1) | τοσουτο] + ισχυρον ℵV 18 συγκλ. V | εναντιον] + του θεου ℵV | σωζειν] + η ℵ 19 om η ℵV | ισχυς] pr η ℵV 20 προς] εφ ℵ | πληθει] pr εν ℵV 21 om ημων 2° ℵ* (hab ℵ^{c.a}) 22 αυτους] αυτου ℵ* (superscr ς ℵ^1) | υμεις] ημεις A | φοβηθητε] φοβεισθε (-βισθε ℵ*) ℵV 23 ενειλατο V* | επ] εις ℵ | συνετριβησαν V 24 αυτους] αυτον ℵ | Βεθωρων A

A ἔφυγον εἰς γῆν Φυλιστιείμ. [25]καὶ ἤρξατο ὁ φόβος Ἰούδα καὶ τῶν 25
ἀδελφῶν αὐτοῦ, καὶ ἡ πτόη ἔπιπτεν ἐπὶ τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν.
[26]καὶ ἤγγισεν ἕως τοῦ βασιλέως τὸ ὄνομα αὐτοῦ, καὶ ὑπὲρ τῶν 26
παρατάξεων Ἰούδα ἐξηγεῖτο πᾶν ἔθνος. [27]Ὡς δὲ ἤκουσεν 27
Ἀντίοχος ὁ βασιλεὺς τοὺς λόγους τούτους, ὠργίσθη θυμῷ· καὶ ἀπέ-
στειλεν καὶ συνήγαγεν τὰς δυνάμεις πάσας τῆς βασιλείας αὐτοῦ, παρ-
εμβολὴν ἰσχυρὰν σφόδρα· [28]καὶ ἤνοιξεν τὸ γαζοφυλάκιον αὐτοῦ, καὶ 28
ἔδωκεν ὀψώνια ταῖς δυνάμεσιν αὐτοῦ εἰς τὸν ἐνιαυτόν· καὶ ἐνετεί-
λατο αὐτοῖς εἰς ἐνιαυτὸν εἶναι ἑτοίμους εἰς πᾶσαν χρείαν. [29]καὶ 29
ἴδεν ὅτι ἐξέλειπεν τὸ ἀργύριον ἀπὸ τῶν θησαυρῶν· καὶ οἱ φόροι τῆς
χώρας ὀλίγοι χάριν τῆς διχοστασίας καὶ πληγῆς ἧς κατεσκεύασεν
ἐν τῇ γῇ, τοῦ ἆραι τὰ νόμιμα ἃ ἦσαν ἀφ' ἡμερῶν τῶν πρώτων.
[30]καὶ εὐλαβήθη μὴ οὐκ ἔχει ὡς ἅπαξ καὶ δὶς εἰς τὰς δαπάνας καὶ 30
τὰ δόματα ἃ ἐδίδου ἔμπροσθεν δαψιλῇ χειρί, [31]καὶ ἠπορεῖτο τῇ 31
ψυχῇ αὐτοῦ σφόδρα· καὶ ἐβουλεύσατο τοῦ πορευθῆναι εἰς τὴν Περ-
σίδα, καὶ λαβεῖν τοὺς φόρους τῶν χωρῶν, καὶ συναγαγεῖν ἀργύριον
πολύ. [32]καὶ κατέλειπεν Λυσίαν ἄνθρωπον ἔνδοξον καὶ ἀπὸ γένους 32
τῆς βασιλείας ἐπὶ τῶν πραγμάτων τοῦ βασιλέως, ἀπὸ τοῦ ποταμοῦ
Εὐφράτου ἕως τῶν ὁρίων Αἰγύπτου, [33]καὶ τρέφειν Ἀντίοχον τὸν 33
υἱὸν αὐτοῦ ἕως τοῦ ἐπιστρέψαι αὐτόν. [34]καὶ παρέδωκεν αὐτῷ τὰς 34
ἡμίσεις τῶν δυνάμεων καὶ τοὺς ἐλέφαντας, καὶ ἐνετείλατο αὐτῷ περὶ
πάντων ὧν ἐβούλετο, καὶ περὶ πάντων τῶν κατοικούντων τὴν Ἰου-
δαίαν καὶ Ἰερουσαλήμ, [35]ἀποστεῖλαι ἐπ' αὐτοὺς δύναμιν, τοῦ ἐκ- 35
ρίψαι καὶ ἐξᾶραι τὴν ἰσχὺν Ἰσραὴλ καὶ τὸ κατάλιμμα Ἰερουσαλήμ,
καὶ ἆραι τὸ μνημόσυνον αὐτοῦ ἀπὸ τοῦ τόπου, [36]καὶ κατοικῆσαι 36
υἱοὺς ἀλλοτρίους ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν, καὶ κατακληρονομῆσαι
τὴν γῆν αὐτῶν. [37]καὶ ὁ βασιλεὺς παρέλαβεν τὰς ἡμίσεις τῶν δυ- 37
νάμεων τὰς καταλειφθείσας· καὶ ἀπῆρεν ἀπὸ Ἀντιοχίας, ἀπὸ πό-

ℵV 24 γην] την V 25 Ιουδας ℵ* (-δα ℵc.a) | επιπτεν] επεπιπτεν ℵ 26 παν εθνος] τα εθνη ℵ 27 ο βασιλευς Αντιοχος ℵ | τας βασ. V* (της β. V1) 27—28 om παρεμβολην...γαζοφ. αυτου ℵ* (hab ℵc.a) 28 τοις δυν. (sic) A | om αυτου 2° ℵ* (hab ℵc.a) V | τον ενιαυτον] om τον ℵV | om εις ενιαυτον ℵV 29 ειδεν ℵV | εξελιπεν ℵ | απο] εκ ℵV 30 εχη ℵ | δοματα] δικαιωματα V | εντπροσθεν A | δαψιλει Va | χειρι] + και επερισσευσεν υπερ τους βασιλεις τους εμπροσθεν (+ δαψιλη [-λει Va] χειρι V) ℵV 31 εβουλευσαντο A | πολιν A 32 κατελειπεν] απελυσεν ℵ* κατελιπεν ℵc.a V* | εως] pr και ℵV | των οριων] om των ℵV 33 επιστρεψε A (seq ras 1 lit) 34 ηβουλετο ℵ εβουλευσατο V | om παντων 2° ℵV 35 του εκριψαι] και του εκτριψαι ℵ om του V | αυτου] αυτων ℵV 36 υιους αλλοτριους] απ αυτων αλλογενεις ℵ* υιους αλλογενων ℵc.a, c.b υιους αλλογενης V* (-νεις Va) | πασιν ℵV* | κατακληροδοτησαι ℵV | 37 Αντιοχειας V

λεως βασιλείας αὐτοῦ, ἔτους ἑβδόμου καὶ τεσσερακοστοῦ καὶ ἑκα- A
τοστοῦ· καὶ διεπέρασεν τὸν Εὐφράτην ποταμόν, καὶ διεπορεύετο τὰς
38 ἐπάνω χώρας. [38]Καὶ ἐπέλεξεν Λυσίας Πτολεμαῖον τὸν Δορυ-
μένους, Νικάνορα καὶ Γοργίαν, ἄνδρας δυνατοὺς τῶν φίλων τοῦ
39 βασιλέως. [39]καὶ ἀπέστειλεν μετ' αὐτῶν τεσσεράκοντα χιλιάδας ἀν-
δρῶν καὶ ἑπτακισχίλιον ἵππον, τοῦ ἐλθεῖν εἰς γῆν Ἰούδα καὶ κατα-
40 φθεῖραι αὐτὴν κατὰ τὸν λόγον τοῦ βασιλέως. [40]καὶ ἀπῆραν σὺν
πάσῃ τῇ δυνάμει αὐτῶν καὶ ἦλθον· καὶ παρέβαλον πλησίον Ἀμ-
41 μαοὺν ἐν τῇ γῇ τῇ πεδινῇ. [41]καὶ ἤκουσαν οἱ ἔμποροι τῆς χώρας
τὸ ὄνομα αὐτῶν, καὶ ἔλαβον ἀργύριον καὶ χρυσίον πολὺ σφόδρα
καὶ παῖδας· καὶ ἦλθον εἰς τὴν παρεμβολὴν τοῦ λαβεῖν τοὺς υἱοὺς
Ἰσραὴλ εἰς παῖδας· καὶ προσεγενήθησαν πρὸς αὐτοὺς δυνάμεις Συρίας
42 καὶ γῆς ἀλλοφύλων. [42]Καὶ ἴδεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ
ὅτι ἐπληθύνθη τὰ κακά, καὶ αἱ δυνάμεις παρεμβαλοῦσιν ἐν τοῖς
ὁρίοις αὐτῶν· καὶ ἐπέγνωσαν τοὺς λόγους τῆς βασιλείας οὓς ἐνετεί-
43 λατο ποιῆσαι τῷ λαῷ εἰς ἀπώλειαν καὶ συντέλειαν. [43]καὶ εἶπαν
ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ Ἀναστήσωμεν τὴν καθαίρεσιν τοῦ
44 λαοῦ ἡμῶν καὶ τῶν ἁγίων. [44]καὶ ἠθροίσθησαν ἡ συναγωγὴ τοῦ
εἶναι ἑτοίμους εἰς πόλεμον, καὶ τοῦ προσεύξασθαι καὶ αἰτῆσαι ἔλεον
45 καὶ οἰκτειρμούς. [45]καὶ Ἰερουσαλὴμ ἦν ἀοίκητος ὡς ἔρημος· οὐκ ἦν
ὁ εἰσπορευόμενος καὶ ἐκπορευόμενος ἐκ τῶν γενημάτων αὐτῆς· καὶ
τὸ ἁγίασμα καταπατούμενον, καὶ υἱοὶ ἀλλογενῶν ἐν τῇ ἄκρᾳ, κατά-
λυμα ἐν τοῖς ἔθνεσιν· καὶ ἐξήρθη τέρψις ἐξ Ἰακώβ, καὶ ἐξέλειπεν
46 αὐλὸς καὶ κινύρα. [46]καὶ συνήχθησαν καὶ ἤλθοσαν εἰς Μασσηφὰ
κατέναντι Ἰερουσαλήμ, ὅτι τόπος προσευχῆς εἰς Μασσηφὰ τὸ πρό-
47 τερον τῷ Ἰσραήλ. [47]καὶ ἐνήστευσαν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ περιε-
βάλλοντο σάκκους καὶ σποδὸν ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ διέρρηξαν

37 εβδομου κ. τεσσερακ. κ. εκατ.] ζ' και μ' και ρ' ℵ | διεπορευετο] διεπερασεν ℵ* vid (διεπορευετο ℵ^{1}) **38** Πτολεμεον A om V | Νικανορα] pr και ℵV | Γοργειαν A **39** τεσσερ.] πεντηκοντα V | επτακισχιλιαν ℵV | om εις ℵ* (hab ℵ$^{c.a}$) | om αυτην ℵ* (hab ℵ$^{c.a}$) **40** απηρεν ℵ | παρενεβαλον ℵ | Αμμαου ℵ Αμμαυ V **41** πολυν A | ηλθεν ℵ* (-θον ℵ$^{c.a}$) | προσεγενηθησαν] προσετεθησαν ℵV^{a} (προστεθ. V*) | δυναμεις (-μις ℵV)] pr και ℵ **42** ειδαν ℵV | δυναμις ℵA | παρεμβαλλουσιν ℵV | λογους] incep λα ℵ* (λογ. ℵ^{1}) | της βασιλειας] του βασιλεως ℵV | απωλιαν ℵV* (-πολ.) **43** αναστησον ℵ* (-στησομεν ℵ$^{c.a}$V) | των αγιων] πολεμησομεν περι (sed περι ℵ$^{1(mg)}$) του λαου ημων και των λαων (pro λαων corr αγιων ℵ$^{1(vid)}$) ℵ* **44** ηθροισθη ℵV | η συναγ.] pr πασα V | ελεος ℵV | οικτιρμους ℵV^{a} **45** ανοικητος ℵ* (αοικ. ℵ$^{c.a}$) | om και εκπορευομενος ℵ* (hab ℵ$^{c.a}$) V | om εν 2° ℵ | εξελιπεν ℵ **46** ηλθον V | εις 2°] ην εν ℵV **47** περιεβαλοντο ℵ | την κεφαλην ℵV ℵV

A τὰ ἱμάτια αὐτῶν. 48 καὶ ἐξεπέτασαν τὸ βιβλίον τοῦ νόμου, περὶ ὧν 48
ἐξηρεύνων τὰ ἔθνη τὰ ὁμοιώματα τῶν εἰδώλων αὐτῶν. 49 καὶ ἤνεγκαν 49
τὰ ἱμάτια τῆς ἱερωσύνης καὶ τὰ πρωτογενήματα καὶ τὰς δεκάτας·
καὶ ἤγειραν τοὺς Ναζιραίους, οἳ ἐπλήρωσαν τὰς ἡμέρας· 50 καὶ ἐβό- 50
ησαν φωνῇ εἰς τὸν οὐρανὸν λέγοντες Τί ποιήσωμεν τούτοις, καὶ ποῦ
αὐτοὺς ἀπαγάγωμεν; 51 καὶ τὰ ἅγιά σου καταπεπάτηται καὶ βεβή- 51
λωται, καὶ οἱ ἱερεῖς σου ἐν πένθει καὶ ταπεινώσει. 52 καὶ ἰδοὺ τὰ 52
ἔθνη συνῆκται ἐφ᾽ ἡμᾶς τοῦ ἐξᾶραι ἡμᾶς· σὺ οἶδας ἃ λογίζονται
ἐφ᾽ ἡμᾶς. 53 πῶς δυνησόμεθα ὑποστῆναι κατὰ πρόσωπον αὐτῶν, ἐὰν 53
μὴ σὺ βοηθήσῃς ἡμῖν; 54 καὶ ἐσάλπισαν ταῖς σάλπιγξιν, καὶ ἐβόησαν 54
φωνῇ μεγάλῃ. 55 Καὶ μετὰ τοῦτο κατέστησεν Ἰούδας ἡγου- 55
μένους τοῦ λαοῦ, χιλιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους
καὶ δεκαδάρχους. 56 καὶ εἶπεν τοῖς οἰκοδομοῦσιν οἰκίαν καὶ μνη- 56
στευομένοις γυναῖκας καὶ φυτεύουσιν ἀμπελῶνας καὶ δειλοῖς, ἀπο-
στρέφειν ἕκαστον εἰς τὸν οἶκον αὐτοῦ κατὰ τὸν νόμον. 57 καὶ 57
ἀπῆρεν ἡ παρεμβολή, καὶ παρενεβάλοσαν κατὰ νότου Ἀμμαούμ.
58 καὶ εἶπεν Ἰούδας Περιζώσασθε, καὶ γενέσθε εἰς υἱοὺς δυνατούς· 58
καὶ γίνεσθε ἕτοιμοι εἰς τὸ πρωὶ τοῦ πολεμῆσαι ἐν τοῖς ἔθνεσιν τού-
τοις τοῖς ἐπισυνηγμένοις ἐφ᾽ ἡμᾶς ἐξᾶραι ἡμᾶς καὶ τὰ ἅγια ἡμῶν.
59 ὅτι κρεῖσσον ἡμᾶς ἀποθανεῖν ἐν πολέμῳ, ἢ ἐφιδεῖν ἐπὶ τὰ κακὰ 59
τοῦ ἔθνους ἡμῶν καὶ τῶν ἁγίων. 60 ὡς δ᾽ ἂν ᾖ θέλημα ἐν οὐρανῷ, 60
οὕτως ποιήσει. 1 Καὶ παρέλαβεν Γοργίας πεντακισχιλίους ἄν- 1 IV
δρας καὶ χιλίαν ἵππον ἐκλεκτήν, καὶ ἀπῆρεν ἡ παρεμβολὴ νυκτός,
2 ὥστε ἐπιβαλεῖν ἐπὶ τὴν παρεμβολὴν τῶν Ἰουδαίων καὶ πατάξαι 2
αὐτοὺς ἄφνω· καὶ οἱ υἱοὶ τῆς ἄκρας ἦσαν αὐτῷ ὁδηγοί. 3 καὶ ἤκου- 3
σεν Ἰούδας, καὶ ἀπῆρεν αὐτὸς καὶ οἱ δυνατοὶ πατάξαι τὴν δύναμιν
τοῦ βασιλέως τὴν ἐν Ἐμμαούμ, 4 ἕως ἔτι αἱ δυνάμεις ἐσκορπισμέναι 4
ἦσαν ἀπὸ τῆς παρεμβολῆς. 5 καὶ ἦλθεν Γοργίας εἰς τὴν παρεμβολὴν 5
Ἰούδα νυκτός, καὶ οὐδένα εὗρεν· καὶ ἐζήτει αὐτοὺς ἐν τοῖς ὄρεσιν, ὅτι
εἶπεν Φεύγουσιν οὗτοι ἀφ᾽ ἡμῶν. 6 καὶ ἅμα ἡμέρᾳ ὤφθη Ἰούδας 6

ℵV 48 εξεπετασεν ℵ 49 om και 2° ℵ | Ναζειραιους ℵ Ναζαραιους V
51 καταπεπατηνται ℵV | βεβηλωνται ℵ εβεβηλωται V* | om και 3° V | ιερις ℵ
53 συ μη V 55 om και πεντηκονταρχους ℵ* (hab ℵc.a) | δεκαταρχους ℵ*
(δεκαδ. ℵc.a) δεκαρχ. V 56 οικιας ℵV 57 παρενεβαλον ℵV | νοτον ℵ |
Αμμαους ℵ Εμμαους V 58 om και 2° ℵ | γενεσθε] γεινεσθε ℵV* (-θαι) |
δυνατους] δυναμεως ℵ | τω πρωι] om το ℵ* (hab ℵc.b (vid)) V 59 πολεμω]
pr τω ℵV IV 2 ωστ ℵ* (ωστε ℵ1 (fort) c.b) | οι υιοι] om οι ℵV 3 Εμ-
μαουμ] Ναμμαουν ℵ* (Εμμ. ℵc.a, c.b) Αμμ. V 4 εως] ως ℵ | εσκορπισ-
μεναι ησαν αι δυναμεις ℵ (-μις ℵ*A -μεις ℵc.b) V 5 Γοργιας] Κοργιας A

ἐν τῷ πεδίῳ ἐν τρισχιλίοις ἀνδράσιν· πλὴν καλύμματα καὶ μά- A
7 χαιραν οὐκ εἶχον καθὼς ἠβούλοντο. [7]καὶ ἴδον παρεμβολὴν ἐθνῶν
ἰσχυρὰν τεθωρακισμένην, καὶ ἵππον κυκλοῦσαν αὐτήν, καὶ οὗτοι
8 διδακτοὶ πολέμου. [8]καὶ εἶπεν Ἰούδας τοῖς ἀνδράσιν τοῖς μετʼ αὐ-
τοῦ Μὴ φοβεῖσθε τὸ πλῆθος αὐτῶν, καὶ τὸ ὅρμημα αὐτῶν μὴ
9 δειλωθῆτε. [9]μνήσθητε ὡς ἐσώθησαν οἱ πατέρες ἡμῶν ἐν θαλάσσῃ
10 ἐρυθρᾷ, ὅτε ἐδίωξεν αὐτοὺς Φαραω ἐν δυνάμει. [10]καὶ νῦν βοήσω-
μεν εἰς οὐρανόν, εἰ θελήσει ἡμᾶς, καὶ μνησθήσεται διαθήκης πατέ-
ρων, καὶ συντρίψει τὴν παρεμβολὴν ταύτην κατὰ πρόσωπον ἡμῶν
11 σήμερον. [11]καὶ γνώσονται πάντα τὰ ἔθνη, ὅτι ἔστιν ὁ λυτρούμενος
12 καὶ σῴζων τὸν Ἰσραήλ. [12]καὶ ἦραν οἱ ἀλλόφυλοι τοὺς ὀφθαλμοὺς
13 αὐτῶν, καὶ ἴδαν αὐτοὺς ἐχομένους ἐξ ἐναντίας, [13]καὶ ἐξῆλθαν ἐκ τῆς
14 παρεμβολῆς εἰς πόλεμον, καὶ ἐσάλπισαν οἱ παρὰ Ἰούδου. [14]καὶ
15 συνῆψαν, καὶ συνετρίβησαν τὰ ἔθνη καὶ ἔφυγον εἰς τὸ πεδίον. [15]οἱ
δὲ ἔσχατοι πάντες ἔπεσαν ἐν ῥομφαίᾳ, καὶ ἐδίωξαν αὐτοὺς ἕως
Γασηρων καὶ ἕως τῶν πεδίων τῆς Ἰουδαίας καὶ Ἀζώτου καὶ Ἰαμ-
16 νείας, καὶ ἔπεσαν ἐξ αὐτῶν εἰς ἄνδρας τρισχιλίους. [16]Καὶ
ἐπέστρεψεν Ἰούδας καὶ ἡ δύναμις ἀπὸ τοῦ διώκειν ὄπισθεν αὐτῶν,
17 [17]καὶ εἶπεν πρὸς τὸν λαόν Μὴ ἐπιθυμήσητε τῶν σκύλων, ὅτι πό-
18 λεμος ἐξ ἐναντίας ἡμῶν, [18]καὶ Γοργίας καὶ ἡ δύναμις ἐν τῷ ὄρει
ἐγγὺς ἡμῶν· ἀλλὰ στῆτε νῦν ἐναντίον τῶν ἐχθρῶν ἡμῶν καὶ πο-
λεμήσατε αὐτούς, καὶ μετὰ ταῦτα λάβετε σκῦλα καὶ μετὰ παρρη-
19 σίας. [19]ἔτι πληροῦντος Ἰούδου ταῦτα, ὤφθη μέρος τι ἐκκύπτον ἐκ
20 τοῦ ὄρους. [20]καὶ ἴδεν ὅτι τετρόπωται, καὶ ἐνπυρίζουσιν τὴν παρεμ-
21 βολήν· ὁ γὰρ καπνὸς ὁ θεωρούμενος ἐνεφάνιζε τὸ γεγονός. [21]οἱ δὲ
ταῦτα συνειδότες ἐδειλώθησαν σφόδρα· συνιδόντες δὲ καὶ τὴν Ἰούδα
22 παρεμβολὴν ἐν τῷ πεδίῳ ἑτοίμην εἰς παράταξιν, [22]ἔφυγον πάντες
23 εἰς γῆν ἀλλοφύλων. [23]καὶ Ἰούδας ἀνέστρεψεν ἐπὶ τὴν σκυλίαν

6 τρισχιλιους V* | μαχαιρας ℵV | καθως] ως ℵV **7** ειδον ℵV | τεθωρα- ℵV
κισμενην (-κειμ. ℵ* -κεισμ. ℵ^c)] pr και ℵ | διδακτοι] διακτοι A **8** φοβησθε
V^a | δειλωθητε (διωθηται A)] εδεσθητε ℵ **9** εδιωξεν] εδιωκεν ℵ εδιωξαν A
10 βοησομεν ℵ **11** om και σωζων ℵ* (hab ℵ^{c.a}) **12** ιδαν] ειδον ℵV |
εχομενους] ερχομενους ℵ **13** εξηλθον ℵV | Ιουδου (-λου A)] Ιουδαν ℵ (incep
τ ℵ* improb τ et ν ℵ?) Ιουδα V **15** επεσον (1°) V | Γαζηρων ℵV | Ιουδαιας]
Ιδουμαιας ℵ | Ιαννειας] Ιαμινειας ℵ* Ιαμνειας ℵ^1 Ιαμνιας V | εξ αυτων sup ras
A^a (om εξ A* vid) **16** απεστρεψεν ℵV **18** αυτους] incep ε ℵ* (improb ℵ^1) |
σκυλα] pr τα ℵ | om και 5° ℵV **19** Ιουδου (-λου A)] Ιουδα ℵV | ωφθη…
εκκυπτον] μερος τι ωφθη εκκυπτω| ℵ* (-πτο| ℵ^{c.b vid} V) V **20** ειδεν ℵ ειδον
V | τετροπωνται ℵV | εμπυριζουσι V | ενεφανιζεν ℵV* **21** συνειδοτες]
συνειδοντες ℵV* vid | om και ℵ **23** επι] εις V | σκυλειαν V^a

A τῆς παρεμβολῆς· καὶ ἔλαβεν χρυσίον καὶ ἀργύριον πολὺ καὶ ὑά-
κινθον καὶ πορφύραν καὶ θαλασσίαν καὶ πλοῦτον μέγαν. 24 καὶ 24
ἐπιστρέψαντες ὕμνουν καὶ ηὐλόγουν εἰς οὐρανὸν Ὅτι καλὸν εἰς τὸν
αἰῶνα τὸ ἔλεος αὐτοῦ. 25 καὶ ἐγενήθη σωτηρία μεγάλη τῷ Ἰσραὴλ 25
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. 26 Ὅσοι δὲ τῶν ἀλλοφύλων διεσώθησαν, 26
παραγενηθέντες ἀπήγγειλαν τῷ Λυσίᾳ πάντα τὰ συμβεβηκότα. 27 ὁ 27
δὲ ἀκούσας πάντα συνεχύθη καὶ ἠθύμει, ὅτι οὐχ οἷα ἤθελεν τοιαῦτα
γέγονεν τῷ Ἰσραήλ, καὶ οὐχ οἷα ἐνετείλατο αὐτῷ ὁ βασιλεὺς
ἐξέβη. 28 Καὶ ἐν τῷ ἐρχομένῳ ἐνιαυτῷ συνελόχησεν ἀνδρῶν 28
ἐπιλέκτων ἑξήκοντα χιλιάδας καὶ πεντακισχιλίαν ἵππον, ὥστε ἐκπο-
λεμῆσαι αὐτούς. 29 καὶ ἦλθον εἰς τὴν Ἰδουμαίαν, καὶ παρενέβαλον ἐν 29
Βεθσούροις, καὶ συνήντησεν αὐτοῖς Ἰούδας ἐν δέκα χιλιάσιν ἀνδρῶν.
30 καὶ ἴδεν τὴν παρεμβολὴν ἰσχυράν, καὶ προσηύξατο καὶ εἶπεν 30
Εὐλογητὸς εἶ ὁ σωτὴρ Ἰσραήλ, ὁ συντρίψας τὸ ὅρμημα τοῦ δυνατοῦ
ἐν χειρὶ τοῦ δούλου σου Δαυείδ, καὶ παρέδωκας τὴν παρεμβολὴν
τῶν ἀλλοφύλων εἰς χεῖρας Ἰωνάθου υἱοῦ Σαοὺλ καὶ τοῦ αἴροντος τὰ
σκεύη αὐτοῦ. 31 σύγκλεισον τὴν παρεμβολὴν ταύτην εἰς χεῖρας λαοῦ 31
σου Ἰσραήλ, καὶ αἰσχυνθήτωσαν ἐπὶ τῇ δυνάμει καὶ τῇ ἵππῳ αὐ-
τῶν. 32 δὸς αὐτοῖς δειλίαν, καὶ τῆξον θράσος ἰσχύος αὐτῶν, καὶ 32
σαλευθήτωσαν τῇ συντριβῇ αὐτῶν. 33 κατάβαλε αὐτοὺς ῥομφαίᾳ 33
ἀγαπώντων σε, καὶ αἰνεσάτωσάν σε πάντες οἱ ἰδόντες τὸ ὄνομά
σου ἐν ὕμνοις. 34 καὶ συνέβαλλον ἀλλήλοις, καὶ ἔπεσον ἐκ τῆς 34
παρεμβολῆς Λυσίου εἰς πεντακισχιλίους ἄνδρας, καὶ ἔπεσαν ἐξ ἐναν-
τίας αὐτῶν. 35 ἰδὼν δὲ Λυσίας τὴν γενομένην τροπὴν τῆς αὐτοῦ 35
συντάξεως, τῆς δὲ Ἰούδα τὸ γεγενημένον θάρσος, καὶ ὡς ἕτοιμοί
εἰσιν ἢ ζῆν ἢ τεθνηκέναι γενναίως, ἀπῆρεν εἰς Ἀντιοχίαν· καὶ
ἐξενολόγει, καὶ πλεοναστὸν πάλιν γενηθέντα παραγενέσθαι εἰς τὴν
Ἰουδαίαν. 36 Εἶπεν δὲ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰδοὺ 36

ℵV 23 ελαβον ℵV | χρυσιον] + πολυ ℵV | πολυν A om ℵV | ακινθον V* (υακ. V¹) | και πορφυραν και θαλ.] πορφ. θαλ. ℵ* και πορφ. θαλ. ℵ^c.a V 24 επιστραφεντες ℵV | ευλογουν ℵV | εις 2°] pr οτι ℵV 25 τω Ισραηλ] pr εν ℵ 26 συμβεβηβοτα (sic) A 27 om παντα ℵV | om και ηθ. V | γεγονεν] εγεγονει ℵ (-νι ℵ*) V | om ουχ 2° ℵ | αυτω ενετειλατο ℵ (-τιλ.) V | εξεβη] pr ουκ ℵ 28 συνελοχησεν] συνευδοκησεν ℵ* (συνελοχ. ℵ^c.a) | χιλιαδᾱ A* (-δᾱς sic A^a?) | πολεμησαι ℵ 29 ηλθεν ℵ | Ιδουμαιαν] Ιουδαιαν ℵ | παρενεβαλλον ℵ* (-βαλον ℵ^c.a, c.b (vid)) | εν δεκα χιλιασιν] δεκα χειλιαδας εχων ℵ 30 ειδον ℵV* ειδε V^a | προσηυξαντο και ειπον ℵ | ει] + κ̅ε̅ V | του δουλου] om του V* | Ιωναθαν V^a 31 συγκλ. V^a | εις χειρας] εν χειρι ℵ (χιρ.) V 32 om σε 2° V | ειδοτες ℵV 34 συνεβαλον V | επεσαν] επεσον ℵV 35 συνταξεως] παρατ. V | η 1°] ει ℵ | τεθναναι V | Αντιοχειαν V | γεννηθεντα A | παραγεινεσθαι ℵ παραγιν. V

συνετρίβησαν οἱ ἐχθροὶ ἡμῶν· ἀναβῶμεν καθαρίσαι τὰ ἅγια καὶ ἐν- A
37 καινίσαι. 37 καὶ συνήχθη ἡ παρεμβολὴ πᾶσα, καὶ ἀνέβησαν εἰς
38 ὄρος Σιών. 38 καὶ ἴδον τὸ ἁγίασμα ἡμῶν ἠρημωμένον, καὶ τὸ θυ-
σιαστήριον βεβηλωμένον, καὶ τὰς πύλας κατακεκαυμένας, καὶ ἐν ταῖς
αὐλαῖς φυτὰ πεφυκότα ὡς ἐν δρυμῷ ἢ ὡς ἐν ἑνὶ τῶν ὀρέων, καὶ
39 τὰ παστοφόρια καθῃρημένα. 39 καὶ διέρρηξαν τὰ ἱμάτια αὐτῶν, καὶ
ἐκόψαντο κοπετὸν μέγαν, καὶ ἐπέθεντο σποδὸν ἐπὶ τὴν κεφαλὴν
40 αὐτῶν. 40 καὶ ἔπεσον ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ ἐσάλπισαν
41 ταῖς σάλπιγξιν τῶν σημασιῶν, καὶ ἐβόησαν εἰς οὐρανόν. 41 τότε
ἐπέταξεν Ἰούδας ἀνδράσιν πολεμεῖν τοὺς ἐν τῇ ἄκρᾳ, ἕως καθαρίσῃ
42 43 τὰ ἅγια. 42 Καὶ ἐπέλεξεν ἱερεῖς ἀμώμους θελητὰς νόμου· 43 καὶ
ἐκαθάρισαν τὰ ἅγια, καὶ ἦραν τοὺς λίθους τοῦ μιασμοῦ εἰς τόπον
44 ἀκάθαρτον. 44 καὶ ἐβουλεύσαντο περὶ τοῦ θυσιαστηρίου τῆς ὁλοκαυτώ-
45 σεως τοῦ βεβηλωμένου, τί αὐτῷ ποιήσωσιν. 45 καὶ ἔπεσεν αὐτοῖς
βουλὴ ἀγαθή, καθελεῖν αὐτό, μή ποτε γένηται αὐτοῖς εἰς ὄνειδος, ὅτι
46 ἐμίαναν τὰ ἔθνη αὐτό· καὶ καθεῖλον τὸ θυσιαστήριον. 46 καὶ ἀπέ-
θεντο τοὺς λίθους ἐν τῷ ὄρει τοῦ οἴκου ἐν τόπῳ ἐπιτηδείῳ, μέχρι
47 τοῦ παραγενηθῆναι προφήτην τοῦ ἀποκριθῆναι περὶ αὐτῶν. 47 καὶ
ἔλαβον λίθους ὁλοκλήρους κατὰ τὸν νόμον, καὶ ᾠκοδόμησαν θυσια-
48 στήριον καινὸν κατὰ τὸ πρότερον. 48 καὶ ᾠκοδόμησαν τὰ ἅγια καὶ
49 τὰ ἐντὸς τοῦ οἴκου, καὶ τὰς αὐλὰς ἡγίασεν. 49 καὶ ἐποίησαν τὰ
σκεύη τὰ ἅγια καινά, καὶ εἰσήνεγκαν τὴν λυχνίαν καὶ τὸ θυσια-
στήριον τῶν ὁλοκαυτωμάτων καὶ θυμιαμάτων καὶ τὴν τράπεζαν εἰς
50 τὸν ναόν. 50 καὶ ἐθυμίασαν ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐξῆψαν τοὺς
51 λύχνους τοὺς ἐπὶ τῆς λυχνίας· καὶ ἐφαίνοσαν ἐν τῷ ναῷ. 51 καὶ
ἐπέθηκαν ἐπὶ τὴν τράπεζαν ἄρτους, καὶ ἐξεπέτασαν τὰ καταπε-
52 τάσματα· καὶ ἐτέλεσαν πάντα τὰ ἔργα ἃ ἐποίησαν. 52 Καὶ
ὤρθρισαν τὸ πρωὶ τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἐνάτου· οὗτος
ὁ μὴν Χασελεὺ τοῦ ὀγδόου καὶ τεσσερακοστοῦ καὶ ἑκατοστοῦ ἔτους.
53 53 καὶ ἀνήνεγκαν θυσίαν κατὰ τὸν νόμον ἐπὶ τὸ θυσιαστήριον τῶν

36 αναβωμεν καθαρισαι] αναβαται καθαρισαται ℵ* αναβωμεν ϗ καθαρισωμεν ℵV ℵc.a | ενκαινισαι (εγκ. V)] ενκαινισωμον ℵc.a 38 ειδον ℵVa | om ημων ℵV | πυλας] θυρας ℵ | om εν 3° ℵV 39 διερρηξαν] ερρηξαν ℵ | om επι την κεφαλην αυτων ℵ 40 επεσαν ℵV | σημασιων] σημιων ℵ | ουρανον] pr τον V 41 καθαρισει Va 42 επελεξεν] επελεξατο ℵV | ιερις ℵ 44 αυτω] αυτο ℵ | ποιησουσιν V 45 αυτοις 1°] αυτος ℵ* (-τοις ℵc) | ονειδισμον V 46 επεθεντο V 47 ελαβον ℵ] ελαβεν AV | ωκοδομησαν ℵc.a] ωκοδομησεν ℵ*AV 48 ηγιασαν ℵ 49 τα σκευη τα αγια] σκευη αγ. ℵV 50 εφαινον ℵV 52 τω πρωι V* vid | om του ενατου ℵ | εννατου Va | Χασαλευ ℵ* (-σελευ ℵ?) Χασ· ελεου A | του 3°] ετους ℵ? | ογδοου...εκατοστου] η′ και μ′ και ρ′ ℵ | om ετους ℵ

A ὁλοκαυτωμάτων τὸ καινὸν ὃ ἐποίησαν· [54]κατὰ τὸν καιρὸν κατὰ τὴν 54
ἡμέραν ἐν ᾗ ἐβεβήλωσαν αὐτὸ τὰ ἔθνη, ἐν ἐκείνῃ ἐνεκαινίσθη ἐν
ᾠδαῖς καὶ κιθάραις καὶ κινύραις καὶ ἐν κυμβάλοις. [55]καὶ ἔπεσον 55
πᾶς ὁ λαὸς ἐπὶ πρόσωπον, καὶ προσεκύνησαν καὶ ηὐλόγησαν εἰς
οὐρανὸν τὸν εὐοδώσαντα αὐτούς. [56]καὶ ἐποίησαν τὸν ἐγκαινιασμὸν 56
τοῦ θυσιαστηρίου ἡμέρας ὀκτώ, καὶ προσήνεγκαν ὁλοκαυτώματα
μετ' εὐφροσύνης, καὶ ἔθυσαν θυσίαν σωτηρίου καὶ αἰνέσεως. [57]καὶ 57
κατεκόσμησαν τὸ κατὰ πρόσωπον τοῦ ναοῦ στεφάνοις χρυσοῖς καὶ
ἀσπιδίσκαις, καὶ ἐνεκαίνισεν τὰς πύλας καὶ τὰ παστοφόρια, καὶ
ἐθύρωσαν αὐτά. [58]καὶ ἐγενήθη εὐφροσύνη μεγάλη ἐν τῷ λαῷ σφό- 58
δρα, καὶ ἀπεστράφη ὄνειδος ἐθνῶν. [59]καὶ ἔστησεν Ἰούδας καὶ οἱ 59
ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἐκκλησία Ἰσραήλ, ἵνα ἄγωνται αἱ ἡμέραι
ἐγκαινισμοῦ τοῦ θυσιαστηρίου ἐν τοῖς καιροῖς αὐτῶν ἐνιαυτὸν
κατ' ἐνιαυτὸν ἡμέρας ὀκτώ, ἀπὸ τῆς πέμπτης καὶ εἰκάδος τοῦ μη-
νὸς Χασελευ, μετ' εὐφροσύνης καὶ χαρᾶς. [60]καὶ ᾠκοδόμησαν ἐν τῷ 60
καιρῷ ἐκείνῳ τὸ ὄρος Σιων, κυκλόθεν τείχη ὑψηλὰ καὶ πύργους
ἰσχυρούς, μή ποτε παραγενηθέντα τὰ ἔθνη καταπατήσωσιν αὐτά,
ὡς ἐποίησαν τὸ πρότερον. [61]καὶ ἀπέταξεν ἐκεῖ δύναμιν τηρεῖν 61
αὐτό, καὶ ὠχύρωσαν αὐτὸ τηρεῖν τὴν Βαιθσουρα, τοῦ ἔχειν τὸν λαὸν
ὀχύρωμα κατὰ πρόσωπον τῆς Ἰδουμαίας.

[1]Καὶ ἐγένετο ὅτε ἤκουσαν τὰ ἔθνη κυκλόθεν ὅτι ᾠκοδομήθη τὸ 1 V
θυσιαστήριον καὶ ἐνεκαινίσθη τὸ ἁγίασμα ὡς τὸ πρότερον, καὶ
ὠργίσθη σφόδρα. [2]καὶ ἐβουλεύσαντο τοῦ ἆραι τὸ γένος Ιακωβ 2
τοὺς ὄντας ἐν μέσῳ αὐτῶν, καὶ ἤρξαντο τοῦ θανατοῦν ἐν τῷ
λαῷ καὶ ἐξαίρειν. [3]καὶ ἐπολέμει Ἰούδας πρὸς τοὺς υἱοὺς Ησαυ 3
ἐν τῇ Ἰουδαίᾳ τὴν Ἀκραβαττήνην, ὅτι περιεκάθηντο τὸν Ἰσραήλ·

ℵV 54 κατα 2°] pr και ℵV | εκεινη] + τη ημερα ℵV | om εν 4° ℵV 55 επεσεν ℵV | ευλογησαν ℵV | αυτους] αυτοις ℵ 56 ενκαινισμον ℵV | ημερας οκτω…σωτηριου bis scr A | μετ] μετα ℵ 57 om χρυσοις ℵ* (hab ℵ$^{c.a}$) | ασπιδισκας A | ενεκαινισαν ℵV | παστοφορια] παστορια A | εθυρωσαν] εθυσαν ℵ* (εθυρ. ℵ$^{c.a}$) 58 μεγαλη ευφροσυνη ℵV | ονειδος] ονειδισμος ℵ (ονιδ.) V 59 εκκλησια] pr η ℵV | ημεραι εγκαινισμου] αι ημ. του ε̄|καινισμου ℵ ημ. του εγκ. V | ενιαυτον 1°] ενιαυτου ℵ* (-τον ℵ$^{c.a}$) 60 ισχυρους] υψηλους ℵ* οχυρους ℵ$^{c.a}$V | μη] pr και ℵ | καταπατησουσιν ℵV | αυτα] αυτο ℵ$^{c.a}$ 61 απεταξεν ℵV | αυτο 1°] αυτα ℵ* (-το ℵ$^{c.a}$)V | ωχυρωσεν ℵV^{a} οχ. V* | αυτο 2°] αυτου ℵ* (-το ℵ$^{c.a, c.b}$) | Βαθσουρα ℵ Βαιθσ. V V 1 και εγενετο οτε] το οτε ℵ* (ϗ εγεν. οτε ℵ$^{c.a}$) | οικοδομητο ℵ* οικοδομηθη ℵ$^{c.a}$V* ωκ. V^{a} | το θυσιαστηριον] om το ℵ* (hab ℵ$^{c.a}$) | ωργισθησαν ℵV 2 εβουλευσαντο] ωργισθησαν ℵ* (εβουλ. ℵ$^{c.a}$) εβουλευοντο V | εν μεσω αυτων] αυτω εν μεσω ℵ* αυτων εν μ. ℵ$^{c.a}$ 3 Ιουδαια] Ιδουμαια ℵV | Ακραβατταvην ℵ$^{c.a}$V | Ισραηλ] Αμαληκ ℵ* $\overline{\text{Ισλ}}$ ℵ^{1} (Αμ. uncis incl ℵ^{1} improb ℵ$^{c.a, c.b}$)

καὶ ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην, καὶ συνέστειλεν αὐτούς, καὶ A
4 ἔλαβεν τὰ σκῦλα αὐτῶν. [4]καὶ ἐμνήσθη τῆς κακίας υἱῶν Βαιάν, οἳ
ἦσαν τῷ λαῷ εἰς παγίδα καὶ εἰς σκάνδαλον ἐν τῷ ἐνεδρεύειν αὐτοὺς
5 ἐν ταῖς ὁδοῖς. [5]καὶ διεκλείσθησαν ὑπ᾽ αὐτοῦ εἰς τοὺς πύργους, καὶ
παρέβαλεν ἐπ᾽ αὐτούς, καὶ ἀνεθεμάτισεν αὐτούς, καὶ ἐνεπύρισεν τοὺς
6 πύργους αὐτῆς ἐν πυρὶ σὺν πᾶσιν τοῖς ἐνοῦσιν. [6]καὶ διεπέρασεν
ἐπὶ τοὺς υἱοὺς Ἀμμών, καὶ εὗρεν χεῖρα κραταιὰν καὶ λαὸν πολύν,
7 καὶ Τιμόθεον ἡγούμενον αὐτῶν. [7]καὶ συνῆψεν πρὸς αὐτοὺς πο-
λέμους πολλούς, καὶ συνετρίβησαν πρὸ προσώπου αὐτοῦ, καὶ ἐπά-
8 ταξεν αὐτούς. [8]καὶ προκατέλαβε τὴν Ἰάζην καὶ τὰς θυγατέρας
9 αὐτῆς, καὶ ἀνέστρεψεν εἰς τὴν Ἰουδαίαν. [9]Καὶ ἐπισυνήχθησαν
τὰ ἔθνη τὰ ἐν τῇ Γαλααδίτιδι ἐπὶ τὸν Ἰσραὴλ τοὺς ὄντας ἐπὶ τοῖς
ὁρίοις αὐτῶν τοῦ ἐξᾶραι αὐτούς· καὶ ἔφυγον εἰς Δάθεμα τὸ ὀχύ-
10 ρωμα. [10]καὶ ἀπέστειλαν γράμματα πρὸς Ἰούδαν καὶ τοὺς ἀδελφοὺς
αὐτοῦ, λέγοντες Ἐπισυνηγμένα ἐστὶν ἐφ᾽ ἡμᾶς τὰ ἔθνη τὰ κύκλῳ
11 ἡμῶν τοῦ ἐξᾶραι ἡμᾶς, [11]καὶ ἑτοιμάζοντες ἐλθεῖν καὶ προκαταλα-
βέσθαι τὸ ὀχύρωμα εἰς ὃ κατεφύγομεν· καὶ Τιμόθεος ἡγεῖται τῆς
12 παρεμβολῆς αὐτῶν. [12]νῦν οὖν ἐλθὼν ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς αὐτῶν,
13 ὅτι πέπτωκεν ἐξ ἡμῶν πλῆθος. [13]καὶ πάντες οἱ ἀδελφοὶ ἡμῶν οἱ
ὄντες ἐν τοῖς Τουβίου τεθανάτωνται, καὶ αἰχμαλωτίκασι τὰς γυναῖκας
αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ τὴν ἀποσκευήν, καὶ ἀπώλεσαν ἐκεῖ
14 ὡς μίαν χιλιάδα ἀνδρῶν. [14]Ἔτι αἱ ἐπιστολαὶ ἀνεγινώ-
σκοντο, καὶ ἰδοὺ ἄγγελοι ἕτεροι παρεγένοντο ἐκ τῆς Γαλιλαίας διερρη-
15 χότες τὰ ἱμάτια, ἀπαγγέλλοντες κατὰ τὰ ῥήματα ταῦτα, [15]λέγοντες
Ἐπισυνήχθη ἐπ᾽ αὐτοὺς ἐκ Πτολεμαΐδος καὶ Τύρου καὶ Σιδῶνος καὶ
16 πᾶσα Γαλιλαία ἀλλοφύλων, τοῦ ἐξαναλῶσαι ἡμᾶς. [16]Ὡς
δὲ ἤκουσεν Ἰούδας καὶ ὁ λαὸς τοὺς λόγους τούτους, ἐπισυνήχθη
ἐκκλησία μεγάλη βουλεύεσθαι τί ποιήσωσιν τοῖς ἀδελφοῖς αὐτῶν

3 επαταξαν ℵ | σκυλα ℵV] αγκυλα A 4 υιων] υμων V* (υι. V[1]) | om εις ℵV 2° ℵV 5 διεκλεισθησαν] συνεκλεισθησαν ℵ (-κλισθ.) V | αυτου] αυτους AV | παρεβαλεν] παρενεβαλεν ℵV | ενεπυρισε ℵV[a] | om εν πυρι V | ενουσιν] ενοικουσιν ℵ[c.a] 6 πολυν] + και χειρα ισχυρᾱ ℵV 8 προκατελαβετο ℵV | Ιαζην] Ιαζηρ ℵV | ανεστρεψαν ℵ | Ιουδαιαν] Ιδουμαιαν V 9 τα εθνη] pr εις ℵ | Γαλααδιτι A Γαλααδ ℵV | επι 2°] εν V | Δαθαιμα ℵ Δαμεθα V 10 εστιν] εισιν V | om εφ ημας ℵ | τα κυκλω] om τα ℵV 11 ετοιμαζονται ℵA? (-τε) | κατεφυγον ℵ* (κατεφυγομεν ℵ[c.a]) | ηγειτο V | παρεμβολης] δυναμεως ℵV 12 εξελθων V 13 om οντες ℵ* (hab ℵ[c.a]) | ηχμαλωτικασιν ℵ*V -τευκασιν ℵ[c.a] (superscr ευ postea ras ℵ?) | om αυτων bis ℵ: 2°, V | ως] ωσει ℵ (-σι ℵ* -σει ℵ[c.a]) | χιλιαδα (-αδαν (sic) sup ras A[a])] χιλιαρχιαν ℵV 14 αι επιστολαι] om αι ℵ | ανεγιγνωσκοντο ℵ | διερρηχοντες (sic) V 15 επισυνηχθαι ℵV | Σειδωνος ℵ | πασαν Γαλιλαιαν AV 16 om βουλευεσθαι ℵ* (hab ℵ[c.b (vid)]) βουλευσασθαι V | ποιησουσιν V | τοις αδ.] τοι αδ. A* (ς superscr A[1])

A τοῖς οὖσιν ἐν θλίψει καὶ πολεμουμένοις ὑπ᾽ αὐτοῦ. [17]καὶ εἶπεν 17
Ἰούδας Σίμωνι τῷ ἀδελφῷ αὐτοῦ Ἐπίλεξον σεαυτῷ ἄνδρας, καὶ
πορεύου καὶ ῥῦσαι τοὺς ἀδελφούς σου ἐν τῇ Γαλιλαίᾳ· ἐγὼ δὲ καὶ
Ἰωναθὰν ὁ ἀδελφός μου πορευσόμεθα εἰς τὴν Γαλααδῖτιν. [18]καὶ κατέ- 18
λειπεν Ἰώσηφον τὸν τοῦ Ζαχαρίου καὶ Ἀζαρίαν ἡγούμενον τοῦ λαοῦ
μετὰ τῶν ἐπιλοίπων τῆς δυνάμεως ἐν τῇ Ἰουδαίᾳ εἰς τήρησιν· [19]καὶ 19
ἐνετείλατο αὐτοῖς λέγων Πρόστητε τοῦ λαοῦ τούτου, καὶ μὴ συνάψητε
πόλεμον πρὸς τὰ ἔθνη ἕως τοῦ ἐπιστρέψαι ἡμᾶς. [20]καὶ ἐμερίσθη- 20
σαν Σίμωνι ἄνδρες τρισχίλιοι τοῦ πορευθῆναι εἰς τὴν Γαλιλαίαν,
Ἰούδᾳ δὲ ἄνδρες ὀκτακισχίλιοι εἰς τὴν Γαλααδῖτιν. [21]Καὶ 21
ἐπορεύθη Σίμων εἰς τὴν Γαλιλαίαν, καὶ συνῆψεν πολέμους πολλοὺς
πρὸς τὰ ἔθνη· καὶ συνετρίβη τὰ ἔθνη ἀπὸ προσώπου αὐτοῦ. [22]καὶ 22
ἐδίωξεν αὐτοὺς ἕως τῶν πόλεων Πτολεμαΐδος· καὶ ἔπεσον ἐκ τῶν
ἐθνῶν εἰς τρισχιλίους ἄνδρας, καὶ ἔλαβεν τὰ σκῦλα αὐτῶν. [23]καὶ 23
παρέλαβεν αὐτοὺς ἐκ τῆς Γαλιλαίας καὶ ἐν Ἀρβάκτοις σὺν ταῖς
γυναιξὶν καὶ τοῖς τέκνοις, καὶ πάντα ὅσα ἦν αὐτοῖς, καὶ ἤγαγον
εἰς τὴν Ἰουδαίαν μετ᾽ εὐφροσύνης μεγάλης. [24]Καὶ Ἰούδας ὁ 24
Μακκαβαῖος καὶ Ἰωναθὰν ὁ ἀδελφὸς αὐτοῦ διέβησαν τὸν Ἰορδάνην,
καὶ ἐπορεύθησαν ὁδὸν τριῶν ἡμερῶν ἐν τῇ ἐρήμῳ. [25]καὶ συνήν- 25
τησαν τοῖς Ναβαταίοις, καὶ ἀπήντησαν αὐτοῖς εἰρηνικῶς, καὶ διη-
γήσαντο αὐτοῖς ἅπαντα τὰ συμβεβηκότα τοῖς ἀδελφοῖς αὐτῶν ἐν τῇ
Γαλααδίτιδι· [26]καὶ ὅτι πολλοὶ ἐξ αὐτῶν συνειλημμένοι εἰσὶν εἰς 26
Βοσσορὰ καὶ Βοσσόρ, ἐν Ἀλάμοις, Κασφώρ, Μακέβ, καὶ Καρνέιν·
πᾶσαι αἱ πόλεις αὗται ὀχυραὶ καὶ μεγάλαι. [27]καὶ ἐν ταῖς λοιπαῖς 27
πόλεσιν τῆς Γαλααδίτιδος εἰσὶν συνειλημμένοι· εἰς αὔριον τάσσονται
παρεμβαλεῖν ἐπὶ τὰ ὀχυρώματα, καὶ καταλαβέσθαι καὶ ἐξᾶραι πάντας
αὐτοὺς ἐν ἡμέρᾳ μιᾷ. [28]καὶ ἀπέστρεψεν Ἰούδας καὶ ἡ παρεμβολὴ 28

ℵV **16** πολεμουμενους V | αυτου] αυτων ℵV **17** επιλεξαι V | om σου ℵ | εν τη Γ.] pr τους ℵV | εγω] λεγω ℵ* (improb postea ras ℵ?) | Ιωναθας ℵ | μου] αυτου ℵ* (μου ℵ$^{c.a}$) | Γαλααδειτιν ℵ **18** κατελιπεν ℵ | Ιωσηπον ℵ -σιππ. V* -σηππ. V^{a} **19** αυτοις] τω λαω V **20** Σιμων ℵ | οκτακισχιλιοι] Η̅ ϛ Η̅ ⊤ ℵ* ,η′ ℵ$^{c.a, c.b}$ | Γαλααδειτιν ℵ Γαλαδιτιν V* -δητιν V^{a} **21** om πολλους V | προς] εις V **22** των πολεων] της πυλης ℵV | ελαβον ℵV **23** παρελαβον ℵV | αυτους] τους ℵV | Αρβανοις ℵ* (Αρβακτοις ℵ$^{c.a}$) Αρβατνοις V* -βαταν. V^{a} | ηγαγεν ℵ **24** ο αδελφος] om ο ℵ* (superscr ℵ^{1}) **25** Ναβαταιοις] αναβαταις οι ℵ Αναβατταιοις V | ιρηνικοις ℵ* (-ικως ℵ$^{c.a}$) | απαντα] παντα ℵ | συνβαντα ℵ | Γαλααδειτι ℵ -διτι V **26** om οτι V | συνιλημμ. ℵ* συνιλημμ. ℵ$^{c.a}$ | Βοσορα ℵ Βοσορρα V | Βοσσορ] Βοσορ ℵV* -σωρ V^{a} | Αλεμοις ℵ* Αλειμοις ℵ$^{c.a, c.b\ (vid)}$ Αλιμ. V | Κασφω ℵ* (Κασφωρ ℵ$^{c.a}$) και Σκαφω V | Μακεδ ℵ*V και Μακεδ ℵ$^{c.a}$ | Καρναιδ᾽ ℵV | πασαι αι πολεις αυται] αυται αι πολεις ℵ*V πασαι αυται αι πολ. ℵ$^{c.a}$ | πολις A **27** λοιπαις] αλλαις ℵ | Γαλααδειτ. ℵ | συνειλημμ. ℵ$^{c.a}$ | παρεμβαλλειν ℵ | αυτους] τουτους ℵV

αὐτοῦ ὁδὸν εἰς τὴν ἔρημον εἰς Βοσὸρ ἄφνω· καὶ κατελάβετο τὴν A
πόλιν, καὶ ἀπέκτεινεν πᾶν ἀρσενικὸν ἐν στόματι ῥομφαίας, καὶ
29 ἔλαβεν πάντα τὰ σκῦλα αὐτῶν, καὶ ἐνέπρησεν αὐτὴν πυρί. [29]καὶ
30 ἀπῆρεν ἐκεῖθεν νυκτός, καὶ ἐπορεύετο ἕως ἐπὶ τὸ ὀχύρωμα. [30]καὶ
ἐγένετο ἑωθινή, καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ ἰδοὺ λαὸς
πολὺς οὗ οὐκ ἦν ἀριθμός, αἴροντες κλίμακας καὶ μηχανὰς καταλα-
31 βέσθαι τὸ ὀχύρωμα· καὶ ἐπολέμουν αὐτούς. [31]καὶ ἴδεν Ἰούδας ὅτι
ἦρκται ὁ πόλεμος, καὶ ἡ κραυγὴ τῆς πόλεως ἀνέβη ἕως οὐρανοῦ
32 σάλπιγξιν καὶ κραυγῇ μεγάλῃ· [32]καὶ εἶπεν τοῖς ἀνδράσιν τῆς
33 δυνάμεως Πολεμήσατε σήμερον ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν. [33]καὶ
ἐξῆλθεν ἐν τρισὶν ἀρχαῖς ἐξόπισθεν αὐτῶν· καὶ ἐσάλπισεν ταῖς
34 σάλπιγξιν, καὶ ἐβόησαν ἐν προσευχῇ. [34]καὶ ἐπέγνω ἡ παρεμβολὴ
Τιμοθέου ὅτι ὁ Μακκαβαῖός ἐστιν, καὶ ἔφυγον ἀπὸ προσώπου αὐ-
τοῦ, καὶ ἐπάταξεν αὐτοὺς πληγῇ μεγάλῃ· καὶ ἔπεσον ἐξ αὐτῶν ἐν
35 ἐκείνῃ τῇ ἡμέρᾳ εἰς ὀκτακισχιλίους ἄνδρας. [35]καὶ ἀπέκλινεν εἰς
Μααφὰ καὶ ἐπολέμησεν αὐτήν, καὶ κατελάβετο αὐτὴν καὶ ἀπέκτεινεν
πᾶν ἀρσενικὸν αὐτῆς, καὶ ἔλαβεν τὰ σκῦλα αὐτῆς, καὶ ἐνέπρησεν
36 αὐτὴν ἐν πυρί. [36]ἐκεῖθεν ἀπῆρεν καὶ προκατελάβετο τὴν Χασφὼθ,
37 Μακέδ, Βοσόρ, καὶ τὰς λοιπὰς πόλεις τῆς Γαλααδίτιδος. [37]Μετὰ
δὲ τὰ ῥήματα ταῦτα συνήγαγεν Τιμόθεος παρεμβολὴν ἄλλην, καὶ
παρενέβαλεν κατὰ πρόσωπον Ῥαφὼν ἐκ πέραν τοῦ χειμάρρου.
38 [38]καὶ ἀπέστειλεν Ἰούδας κατασκοπῆσαι τὴν παρεμβολήν· καὶ ἀπήγ-
γειλαν αὐτῷ λέγοντες Ἐπισυνηγμένοι εἰσὶν πρὸς αὐτοὺς πάντα τὰ
39 ἔθνη τὰ κύκλῳ ὑμῶν, δύναμις πολλὴ σφόδρα. [39]καὶ Ἄραβες με-
μίσθωνται εἰς βοήθειαν αὐτοῖς, καὶ παρεμβάλλουσιν πέραν τοῦ χει-
μάρρου, ἕτοιμοι τοῦ ἐλθεῖν ἐπὶ σὲ εἰς πόλεμον. καὶ ἐπορεύθη Ἰούδας
40 εἰς συνάντησιν αὐτῶν. [40]καὶ εἶπεν Τιμόθεος τοῖς ἄρχουσιν τῆς δυ-
νάμεως αὐτοῦ ἐν τῷ ἐγγίζειν Ἰούδαν καὶ τὴν παρεμβολὴν αὐτοῦ

28 *εις Βοσορ αφνω*] Βοσορα *αφ ων* ℵ* Βοσορα' *αφνω* ℵ^{c.b} Βοσορ' *ρααφων* V* ℵV Βοσωρ' *ρ*. V^a | *απεκτινε* ℵ *-κτεινε* V^a | *ενεπρησαν* ℵ **29** *επορευοντο* ℵ | *εως*] *ως* V **30** *εωθινη*] pr *τη* ℵ^{c.a} | om *και* 2° ℵ | om *ου ουκ ην αριθμος* ℵ* (hab ℵ^{c.b}) | *ου*] *ος* A **31** *ειδεν* ℵV^a | *εως ουρανου*] *ε* in mg, *ου* 2° sup ras, *τ* post *εως* superscr A^a | *σαλπιγξιν*] *η σαλπιγξ* ℵ* *και σαλπιγξ* ℵ^{c.a} **32** *ημων*] *υμων* ℵ* (*ημ*. ℵ^{c.b}) **33** *εσαλπισαν* ℵV | *ταις σαλπ*.] pr *εν* V | *και εβοησαν*] pr *και εβοησαν ταις σαλπιγξιν* ℵ* (improb ℵ^{c.a}) **34** *ο Μακκαβαιος*] om *ο* ℵV | *πληγην μεγαλην* ℵV | *οκτακισχιλιους*] *τρισχιλιους δεκα* ℵ* (*οκτακισχ*. ℵ^{c.b}) **35** Μαφα ℵ **36** *κατελαβετο* V | Χασφων ℵ Κασφων V | Βοσορ (*-σωρ* V^a)] pr *και* ℵV | *πολις* A | Γαλααδειτιδος ℵ **37** *ρημα* V* (*-ματα* V¹) | Ραφελ V^{fort} | *περαν*] *προσωπου* ℵ **38** *κατασκοπευσαι* ℵV | *επισυνηγμενα* ℵV | *αυτους*] *αυτον* ℵ | *υμων*] *ημων* ℵV | *δυναμιν πολλην* V* (*-λλην* V^a) **39** Αραβας ℵV | *παρενβαλουσιν* ℵ* (*παρενβαλλ*. ℵ^{c.a}) *παρεμβαλουσι* V^a

A ἐπὶ τὸν χειμάρρουν τοῦ ὕδατος Ἐὰν διαβῇ πρὸς ἡμᾶς πρότερος, οὐ
δυνησόμεθα ὑποστῆναι αὐτόν, ὅτι δυνάμενος δυνήσεται πρὸς ἡμᾶς.
[41] ἐὰν δὲ δειλωθῇ καὶ παρεμβάλῃ πέραν τοῦ ποταμοῦ, διαπεράσομεν 41
πρὸς αὐτόν. [42] ὡς δὲ ἤγγισεν Ἰούδας ἐπὶ τὸν χειμάρρουν τοῦ ὕδα- 42
τος, ἔστησεν τοὺς γραμματεῖς τοῦ λαοῦ ἐπὶ τοῦ χειμάρρου, καὶ ἐνε-
τείλατο αὐτοῖς, λέγων Μὴ ἀφῆτε ἄνθρωπον παρεμβαλεῖν, ἀλλὰ ἐρ-
χέσθωσαν πάντες εἰς τὸν πόλεμον. [43] καὶ διεπέρασεν πρὸς αὐτοὺς 43
πρότερον, καὶ πᾶς ὁ λαὸς αὐτοῦ ἔμπροσθεν αὐτοῦ· καὶ συνετρί-
βησαν πρὸ προσώπου αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἔριψαν πάντα
τὰ ὅπλα αὐτῶν, καὶ ἔφυγον εἰς τὸ τέμενος ἐν Καρνάιν. [44] καὶ 44
προκατελάβοντο τὴν πόλιν, καὶ τὸ τέμενος ἐνεπύρισαν ἐν πυρὶ σὺν
πᾶσιν τοῖς οὖσιν ἐν αὐτῷ· καὶ ἐτροπώθη ἡ Καρνάιν, καὶ οὐκ ἐδύ-
νατο ἔτι ὑποστῆναι κατὰ πρόσωπον Ἰούδα. [45] Καὶ συνήγαγεν 45
Ἰούδας πάντα Ἰσραὴλ τοὺς ἐν τῇ Γαλααδίτιδι ἀπὸ μικροῦ ἕως μεγά-
λου, καὶ τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ τὴν ἀποσκευήν,
παρεμβολὴν μεγάλην σφόδρα, ἐλθεῖν εἰς γῆν Ἰούδα. [46] καὶ ἦλθον 46
ἕως Ἐφρών, καὶ αὕτη ἡ πόλις μεγάλη ἡ τῆς εἰσόδου, ἰσχυρὰ σφόδρα·
οὐκ ἦν ἐκκλῖναι ἀπ' αὐτῆς δεξιὰν ἢ ἀριστεράν, ἀλλ' ἢ διὰ μέσου
αὐτῆς πορεύεσθαι. [47] καὶ ἀπέκλεισαν αὐτοὺς οἱ ἐκ τῆς πόλεως, καὶ 47
ἐνέφραξαν τὰς πύλας λίθοις. [48] καὶ ἀπέστειλεν πρὸς αὐτοὺς Ἰούδας 48
λόγοις εἰρηνικοῖς λέγων Διελεύσομαι εἰς τὴν γῆν σου, τοῦ ἀπελ-
θεῖν εἰς τὴν γῆν ἡμῶν· καὶ οὐδεὶς κακοποιήσει ὑμᾶς, πλὴν τοῖς
ποσὶν παρελευσόμεθα. καὶ οὐκ ἠβούλοντο ἀνοῖξαι αὐτῷ. [49] καὶ 49
ἐπέταξεν Ἰούδας κηρῦξαι ἐν τῇ παρεμβολῇ τοῦ παρεμβαλεῖν ἕκαστον
ἐν ᾧ ἐστιν τόπῳ. [50] καὶ παρενέβαλον οἱ ἄνδρες τῆς πόλεως, καὶ 50
ἐπολέμησαν τὴν πόλιν ὅλην τὴν ἡμέραν ἐκείνην καὶ ὅλην τὴν
νύκτα, καὶ παρεδόθη ἡ πόλις ἐν χερσὶν αὐτοῦ. [51] καὶ ἀπώλεσεν 51
πᾶν ἀρσενικὸν ἐν στόματι ῥομφαίας, καὶ ἐξερίζωσεν αὐτήν, καὶ ἔλα-
βεν τὰ σκῦλα τῆς πόλεως, καὶ διῆλθεν διὰ τῆς πόλεως ἐπάνω τῶν

ℵV 41 δειλανθη ℵ | παρενβαλη ℵ | διαπε|ρασōμεν (sic) A | αυτον] + και δυνησομεθα προς αυτō| ℵ + κ. δ. αυτον V 42 του υδ.] pr ϗ ενετειλα V* (improb V$^{a(vid)}$) | ανθρωπον] pr παντα ℵ | παρεμβαλλειν ℵ 43 προς] επ ℵ | προτερος ℵ | om αυτου 1° ℵV | εμπροσθεν] οπισθεν ℵV | αυτου 3°] αυτων ℵ | om παντα 1° ℵ | ερριψαν ℵV | om παντα 2° ℵV | om εν V 44 om εν 1° V | om ουσιν ℵV | om η ℵV | ηδυναντο ℵV 45 τω Γαλααδειτιδι ℵ* (τη Γ. ℵ$^{c.a}$) 46 αυτπολις V* αυτη π. V^{1} | η της εισοδου] επι της οδου ℵV | ισχυρα] οχυρας (οχυρα ℵ$^{c.a}$V) ℵ | δεξια V | αριστερα V^{a} 48 απεστειλε V^{a}| λογους ειρηνικους V | διελευσομεθα ℵV | εις την γην (1°)] δια της γης ℵV | om του ℵ | υμων ℵ* (ημ. ℵ$^{c.a}$) | αυτω] αυτοις incep ℵ* (-τω ℵ^{1}) 49 επαταξεν ℵ* (επετ. ℵ$^{1.c.b}$) | κηρυξαι] pr του ℵ | παρεμβαλειν] πα sup ras A^{a} | εκαστος V | τροπω ℵ* (τοπ. ℵ$^{c.b}$) 50 πολεως] δυναμεως ℵV | επολεμησεν ℵ | χερσιν] χιρι ℵ | αυτων V 51 κυλα V* (σκ. V^{1}) | της πολεως (1°)] αυτης ℵV

52 ἀπεκταμμένων. [52]καὶ διέβησαν τὸν Ἰορδάνην εἰς τὸ πεδίον τὸ A
53 μέγα κατὰ πρόσωπον Βαιθσάν. [53]καὶ ἦν Ἰούδας ἐπισυνάγων τοὺς
ἐσχατίζοντας καὶ παρακαλῶν τὸν λαὸν κατὰ πᾶσαν τὴν ὁδόν, ἕως
54 ἦλθεν εἰς γῆν Ἰούδα. [54]καὶ ἀνέβησαν εἰς τὸ ὄρος Σιὼν ἐν εὐφρο-
σύνῃ καὶ χαρᾷ· καὶ προσήγαγον ὁλοκαυτώματα, ὅτι οὐκ ἔπεσεν ἐξ
αὐτῶν οὐθεὶς ἕως τοῦ ἐπιστρέψαι ἐν εἰρήνῃ.
55 [55]Καὶ ἐν ταῖς ἡμέραις αἷς ἦν Ἰούδας καὶ Ἰωναθὰν ἐν τῇ Γαλαάδ,
καὶ Σίμων ὁ ἀδελφὸς αὐτοῦ ἐν τῇ Γαλιλαίᾳ κατὰ πρόσωπον Πτολε-
56 μαίδος, [56]ἤκουσεν Ἰωσὴφ ὁ τοῦ Ζαχαρία καὶ Ζαχαρίας ἄρχοντες τῶν
57 δυνάμεων τῶν ἀνδραγαθίσεων καὶ τοῦ πολέμου οἷα ἐποίησαν· [57]καὶ
εἶπαν Ποιήσομεν καὶ αὐτοὶ ἑαυτοῖς ὄνομα, καὶ πορευθῶμεν πολεμῆσαι
58 πρὸς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν. [58]καὶ παρήγγειλαν τοῖς ἀπὸ τῆς
59 δυνάμεως τῆς μετ' αὐτῶν, καὶ ἐπορεύθησαν ἐπὶ Ἰαμνίαν. [59]καὶ
ἐξῆλθεν Γοργίας ἐκ τῆς πόλεως, καὶ οἱ ἄνδρες αὐτοῦ εἰς συνάντησιν
60 αὐτοῖς εἰς πόλεμον. [60]καὶ ἐτροπώθη Ἰώσηφος καὶ Ἀζαρίας, καὶ
ἐδιώχθησαν ἕως τῶν ὁρίων τῆς Ἰουδαίας· καὶ ἔπεσον ἐν τῇ ἡμέρᾳ
61 ἐκείνῃ ἐκ τοῦ λαοῦ τοῦ Ἰσραὴλ εἰς δισχιλίους ἄνδρας· [61]καὶ ἐγενήθη
τροπὴ μεγάλη ἐν τῷ λαῷ, ὅτι οὐκ ἤκουσαν Ἰούδου καὶ τῶν ἀδελφῶν
62 αὐτοῦ, οἰόμενοι ἀνδραγαθῆσαι αὐτόν. [62]αὐτοὶ δὲ οὐκ ἦσαν ἐκ τοῦ
σπέρματος τῶν ἀνδρῶν ἐκείνων, οἷς ἐδόθη σωτηρία Ἰσραὴλ διὰ χειρὸς
63 αὐτῶν. [63]καὶ ὁ ἀνὴρ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐδοξάσθησαν
σφόδρα ἐναντίον παντὸς Ἰσραὴλ καὶ τῶν ἐθνῶν πάντων, οὗ ἠκού-
64 ετο τὸ ὄνομα αὐτῶν· [64]καὶ ἐπισυνήγοντο πρὸς αὐτοὺς εὐφη-
65 μοῦντες. [65]Καὶ ἐξῆλθεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ
ἐπολέμουν τοὺς υἱοὺς Ἡσαὺ ἐν τῇ γῇ τῇ πρὸς νότον, καὶ ἐπάταξεν
τὴν Χεβρὼν καὶ τὰς θυγατέρας αὐτῆς· καὶ καθεῖλεν τὸ ὀχύρωμα αὐτῆς,
66 καὶ τοὺς πύργους αὐτῆς ἐνεπύρισεν κυκλόθεν. [66]καὶ ἀπῆρεν τοῦ
πορευθῆναι εἰς γῆν ἀλλοφύλων, καὶ διεπορεύετο τὴν Σαμαρίαν.
67 [67]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔπεσαν ἱερεῖς πολέμῳ βουλομένου αὐτοῦ ἀν-
68 δραγαθῆσαι, ἐν τῷ αὐτὸν ἐξελθεῖν εἰς τὸν πόλεμον ἀβουλεύτως. [68]καὶ

51 απεκτανμενων ℵ -κταμ. V* (-κταμμ. Va) **54** το ορος] om το ℵ* (hab ℵV ℵc.a) V **55** αις] pr εν ℵ | τη 1°] γη ℵV **56** Ζαχαριου ℵV | Ζαχαριας] Αζαριας V | της δυναμεως ℵ της δυναμεως μετ αυτων V | ανδραγαθιων ℵV1(vid) **57** ειπον ℵV | ποιησωμεν ℵV | εαυτους A* (ι sup ras Aa) | om και 3° ℵ | om πολεμησαι V **58** παρηγγειλεν ℵ (-γιλ.) V | Αμνειαν ℵ* Ιαμνειαν ℵc.a **59** αυτου] pr οι μετ V | εις συναντ. αυτ. εις πολ.] και ιστησιν αυτω πολ. V **60** ετροπωθης (sic) A | Ιωσηφος] Ιωσηφ ως ℵ* vid Ιωσηπος ℵc.a | om του λαου V | του 2°] om ℵ σου A **61** λαω] Ιηλ ℵc.a | Ιουδα ℵV | οιομενοις Va | om αυτον ℵV **62** αυτοι] ουτοι V | αυτοι δε ουκ ησαν| εκ sup ras et in mg Aa **63** εναντι ℵ | om αυτων ℵ* (hab ℵc.a) **65** om αυτου ℵ* (hab ℵc.b(vid)) | τη προς] om τη ℵ* (hab ℵc.a) V | τα οχυρωματα ℵV **66** Σαμαρειαν V **67** επεσον ℵV | πολεμω] pr εν ℵ | βουλομενοι ℵ* (-νου ℵc.a) | αυτου] του V | τον πολεμον] om τον ℵ

A ἐξέκλινεν Ἰούδας εἰς Ἄζωτον γῆν ἀλλοφύλων, καὶ καθεῖλεν τοὺς
βωμοὺς αὐτῶν, καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατέκαυσεν, καὶ
ἐσκύλευσεν τὰ σκῦλα τῶν πόλεων, καὶ ἐπέστρεψεν εἰς τὴν Ἰουδαίαν.

[1]Καὶ ὁ βασιλεὺς Ἀντίοχος διεπορεύετο τὰς ἐπάνω χώρας, καὶ 1 VI
ἤκουσεν ὅτι ἐστὶν ἐν Ἐλύμαις ἐν τῇ Περσίδι πόλις ἔνδοξος πλούτῳ,
ἀργυρίῳ, καὶ χρυσίῳ· [2]καὶ τὸ ἱερὸν τὸ ἐν αὐτῇ πλούσιον σφόδρα, 2
καὶ ἐκεῖ καλύμματα χρυσᾶ, καὶ θώρακες καὶ ὅπλα, ἃ κατέλειπεν
ἐκεῖ Ἀλέξανδρος ὁ τοῦ Φιλίππου ὁ βασιλεὺς ὁ Μακεδών, ὃς
ἐβασίλευσεν τοῖς Ἕλλησι πρῶτος. [3]καὶ ἦλθεν καὶ ἐζήτει κατα- 3
λαβεῖν τὴν πόλιν καὶ προνομεῦσαι αὐτήν, καὶ οὐκ ἠδυνάσθη, ὅτι
ἐγνώσθη ὁ λόγος τοῖς ἐκ τῆς πόλεως. [4]καὶ ἀνέστησαν αὐτῷ εἰς 4
πόλεμον, καὶ ἔφυγεν καὶ ἀπῆλθεν ἐκεῖθεν μετὰ λύπης μεγάλης
ἀποστρέψαι εἰς Βαβυλῶνα. [5]καὶ ἦλθεν ἀπαγγέλλων τις αὐτῷ εἰς τὴν 5
Περσίδα, ὅτι τετρόπωνται αἱ παρεμβολαὶ αἱ πορευθεῖσαι εἰς γῆν
Ἰούδα· [6]καὶ ἐπορεύθη Λυσίας δυνάμει ἰσχυρᾷ ἐν πρώτοις καὶ ἀνε- 6
τράπη ἀπὸ προσώπου αὐτῶν, καὶ ἐπίσχυσαν ὅπλοις οἷς ἔλαβον ἀπὸ
τῶν παρεμβολῶν ὧν ἐξέκοψαν· [7]καὶ καθεῖλαν τὸ βδέλυγμα ὃ 7
ᾠκοδόμησεν ἐπὶ τὸ θυσιαστήριον τὸ ἐν Ἰερουσαλήμ, καὶ τὸ ἁγίασμα
καθὼς τὸ πρότερον ἐκύκλωσαν τείχεσιν ὑψηλοῖς, καὶ τὴν Βεθσουρὰ
πόλιν αὐτοῦ. [8]καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς τοὺς λόγους 8
τούτους, ἐθαμβήθη καὶ ἐσαλεύθη σφόδρα· καὶ ἔπεσεν ἐπὶ τὴν κοίτην,
καὶ ἐνέπεσεν εἰς ἀρρωστίαν ἀπὸ τῆς λύπης, ὅτι οὐκ ἐγένετο αὐτῷ
καθὼς ἐνεθυμεῖτο. [9]καὶ ἦν ἐκεῖ ἡμέρας πλείους, ὅτι ἀνεκαινίσθη 9
ἐπ᾽ αὐτὸν λύπη μεγάλη, καὶ ἐλογίσατο ὅτι ἀποθνήσκει. [10]καὶ ἐκά- 10
λεσεν πάντας τοὺς φίλους αὐτοῦ, καὶ εἶπεν πρὸς αὐτούς Ἀφίσταται
ἀπὸ τῶν ὀφθαλμῶν μου ὁ ὕπνος, καὶ συμπέπτωκα τῇ καρδίᾳ ἀπὸ τῆς
μερίμνης. [11]καὶ εἶπα τῇ καρδίᾳ Ἕως τίνος θλίψεως ἦλθον καὶ 11
κλύδωνος μεγάλου, ἐν ᾧ νῦν εἰμι; ὅτι χρηστὸς καὶ ἀγαπώμενος ἤμην

ℵV 68 om και 2° ℵ* (hab ℵ[c.a]) | κατεκαυσεν] και κατεκ. πυρι ℵ | την Ιουδαιαν] γην Ιουδα ℵV VI 1 Ελυμαις (-μες A)] Λυμαις ℵV 2 εκει 1°] εχει ℵ | κατελιπεν ℵ | Μακεδων ος] Μακαιδονων ℵ* (-νων ος ℵ[1]) Μακαιδωνος A Μακεδονων ος V | βασιλευσεν ℵ* (εβ. ℵ[1]) | τοις Ελλησι πρωτος] πρωτος εν αυτοις ℵ πρ. εν τοις Ελλ. V 3 καταλαβεσθαι ℵV | ηδυνηθη V | εγνωσθη] pr ουκ ℵ* (improb ℵ[c.a]) 4 ανεστησαν] αντεστησαν ℵ | απηλθεν] απηρεν ℵV 5 τις απαγγελλων ℵ τις απαγγελων V | om αυτω ℵ | γην] την ℵ 6 δυναμει] pr εν V | ενετραπη ℵV | ενισχυσαν ℵ | οπλοις] + και δυναμει και σκυλοις πολλοις ℵV | οις] οι ℵ | ων] ϛ ℵ 7 καθειλον ℵV | ο] και ℵ | ωκοδομησεν] ωκοδομουν ℵ ωκοδομησαν V | καθως] και ℵ* (καθως ℵ[c.a]) | Βεθσουρα] Βαιθσουραν ℵV | om πολιν αυτου ℵ* (hab ℵ[c.a]) 8 κοιτην] + αυτου V | ενεπεσεν] επεσεν ℵ 10 ο υπνος απο των οφθαλμων μου ℵV | απο της μεριμνης τη καρδια ℵ om τη καρδ. V 11 ηλθα ℵ

12 ἐν τῇ ἐξουσίᾳ μου. [12]νῦν δὲ μνήσκομαι τῶν κακῶν ὧν ἐποίησα ἐν A
Ἰερουσαλήμ· καὶ ἔλαβον πάντα τὰ σκεύη τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ
τὰ ἐν αὐτῇ, καὶ ἐξαπέστειλα τοῦ ἐξᾶραι τοὺς κατοικοῦντας Ἰούδα
13 διὰ κενῆς. [13]ἔγνων ὅτι χάριν τούτων εὗρόν με τὰ κακὰ ταῦτα· καὶ
14 ἰδοὺ ἀπόλλυμαι λύπῃ μεγάλῃ ἐν γῇ ἀλλοτρίᾳ. [14]καὶ ἐκάλεσεν
Φίλιππον ἕνα τῶν φίλων αὐτοῦ, καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης τῆς
15 βασιλείας αὐτοῦ. [15]καὶ ἔδωκεν αὐτῷ τὸ διάδημα καὶ τὴν στολὴν
αὐτοῦ καὶ τὸν δακτύλιον, τοῦ ἀγαγεῖν Ἀντίοχον τὸν υἱὸν αὐτοῦ καὶ
16 ἐκθρέψαι αὐτὸν τοῦ βασιλεύειν. [16]καὶ ἀπέθανεν ἐκεῖ Ἀντίοχος
17 ὁ βασιλεύς, ἔτους ἐνάτου καὶ τεσσερακοστοῦ καὶ ἑκατοστοῦ. [17]καὶ
ἐπέγνω Λυσίας ὅτι τέθνηκεν ὁ βασιλεύς, καὶ κατέστησεν βασιλεύειν
Ἀντίοχον τὸν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ ὃν ἐξέθρεψεν νεώτερον, καὶ
18 ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ, Εὐπάτωρ. [18]Καὶ οἱ ἐκ τῆς ἄκρας
ἦσαν συγκλείοντες τὸν Ἰσραὴλ κύκλῳ τῶν ἁγίων, καὶ ζητοῦντες κακὰ
19 δι' ὅλου καὶ στήρισμα τοῖς ἔθνεσιν. [19]καὶ ἐλογίσατο Ἰούδας ἐξᾶραι
αὐτούς· καὶ ἐξεκκλησίασεν πάντα τὸν λαὸν τοῦ περικαθίσαι ἐπ' αὐ-
20 τοὺς [20]ἔτους πεντηκοστοῦ καὶ ἑκατοστοῦ· καὶ ἐποίησεν ἐπ' αὐτοὺς
21 βελοστασίας καὶ μηχανάς. [21]καὶ ἐξῆλθον ἐξ αὐτοῦ ἐκ τοῦ συν-
κλεισμοῦ, καὶ ἐκολλήθησαν αὐτοῖς τινὲς τῶν ἀσεβῶν ἐξ Ἰσραήλ.
22 [22]καὶ ἐπορεύθησαν πρὸς τὸν βασιλέα καὶ εἶπαν Ἕως πότε οὐ ποιήσεις
23 κρίσιν, καὶ ἐκδικήσεις τοὺς ἀδελφοὺς ἡμῶν; [23]ἡμεῖς εὐδοκοῦμεν
δουλεύειν τῷ πατρί σου, καὶ πορεύεσθαι τοῖς ὑπ' αὐτοῦ λεγομένοις,
24 καὶ κατακολουθεῖν τοῖς προστάγμασιν αὐτοῦ· [24]ὅτι οἱ τοῦ λαοῦ ἡμῶν
χάριν τούτου ἠλλοτριοῦντο ἀφ' ἡμῶν· πλὴν ὅσοι εὑρίσκοντο ἀφ' ἡμῶν
25 ἐθανατοῦντο, καὶ αἱ κληρονομίαι ἡμῶν διηρπάζοντο. [25]καὶ οὐκ ἐφ' ἡμᾶς
26 μόνον ἐξέτειναν χεῖρα, ἀλλὰ καὶ ἐπὶ πάντα τὰ ὅρια αὐτῶν. [26]καὶ
ἰδοὺ παρεμβεβλήκασι σήμερον ἐπὶ τὴν ἄκραν ἐν Ἰερουσαλήμ, τοῦ
καταλαβέσθαι αὐτὴν καὶ τὸ ἁγίασμα, καὶ τὴν Βεθσούραν ὀχύρωσαν.

12 *μιμνησκομαι* V | *ων εποιησα κακων* ℵ | om *τα* 1° V | om *του* ℵV ℵV
13 *εγνων*] + *οιν* ℵ^c.a | *ευρεν* ℵV **14** *φιλων*] *δουλων* V **15** *βασιλευειν*] pr *μη* A **16** *ενατου...εκατοστου*] *θ' και μ' και ρ'* ℵ **17** om *και* 1° ℵ* (hab ℵ^c.a) | om *αντ αυτου* ℵ **18** *συνκλιοντες* ℵ | *στηριγμα* ℵV **19** *εξεκκλησιασε* ℵ | *του περικαθισαι*] om *του* V **20** *ετους*] pr *και συνηχθησᾱ| αμα και περιεκαθισαν επ αυτην* (*αυτους* V) ℵ^c.a V | *πεντηκοστου*] *ν'* ℵ | *εποιησαν* V | om *επ αυτους* ℵ* (hab ℵ^c.a) V | *βελοστασεις* ℵV | om *και* 3° ℵ* (hab ℵ^c.a) **21** *αυτου*] *αυτων* ℵV | *Ισραηλ*] $\overline{\text{Ιηλμ}}$ ℵ **22** *ειπον* V | *ποιηση* ℵ* (*-σεις* ℵ^c.a, c.b) **23** *τοις προστ.*] pr *εν* V **24** *οτι οι* (*ου* A)] *και περιεκαθη|το επ αυτον* (*αυτην* ℵ^c.b V) *οι υιοι* ℵV | *ηλλοτριουντο* (*-τριωνται* ℵ^c.a)] pr *και* ℵV | *πλην οσοι ευρισκοντο αφ ημων*] *και* ℵ* (*πλην οσοι ηυρ. αφ ημ.* ℵ^c.a) | om *διηρπαζοντο* ℵ* (hab ℵ^c.a) **26** *παρεμβεβληκασιν* V | *ακρασιᾱ|* ℵ* (*ακραν* ℵ^c.a) | om *και το αγιασμα* V | *Βαιθσουρα* ℵ *Βαιθσουραν* V | *ωχυρασαν* ℵ *ωχυρωσαν* V

A [27]καὶ ἐὰν μὴ προκαταλάβῃ αὐτοὺς διὰ τάχους, μείζονα τούτων ποιή- 27
σουσιν, καὶ οὐ δυνήσει τοῦ κατασχεῖν αὐτῶν. [28]Καὶ ὠργίσθη ὁ 28
βασιλεύς, ὅτε ἤκουσεν· καὶ συνήγαγεν πάντας τοὺς φίλους αὐτοῦ,
ἄρχοντας δυνάμεως αὐτοῦ, καὶ τοὺς ἐπὶ τῶν ἡνιῶν· [29]καὶ ἀπὸ 29
βασιλέων ἑτέρων καὶ ἀπὸ νήσων θαλασσῶν ἦλθον πρὸς αὐτὸν δυνά-
μεις μισθωταί. [30]καὶ ἦν ὁ ἀριθμὸς τῶν δυνάμεων αὐτοῦ ἑκατὸν 30
χιλιάδες πεζῶν, καὶ εἴκοσι χιλιάδες τῶν ἵππων, καὶ ἐλέφαντες δύο καὶ
τριάκοντα εἰδότες πόλεμον. [31]καὶ ἤλθοσαν διὰ τῆς Ἰδουμαίας, καὶ 31
παρενεβάλοσαν ἐπὶ Βεθσουρά, καὶ ἐπολέμησαν ἐπὶ ἡμέρας πολλάς,
καὶ ἐποίησαν μηχανάς· καὶ ἐξῆλθον καὶ ἐνεπύρισαν αὐτοὺς ἐν πυρί,
καὶ ἐπολέμησαν ἀνδρωδῶς. [32]καὶ ἀπῆρεν Ἰούδας ἀπὸ τῆς ἄκρας, 32
καὶ παρενέβαλεν εἰς Βεθζαχαριά, ἀπέναντι τῆς παρεμβολῆς τοῦ
βασιλέως. [33]καὶ ὤρθρισεν ὁ βασιλεὺς τὸ πρωί, καὶ ἀπῆρεν τὴν 33
παρεμβολὴν ἐν ὁρμήματι αὐτῆς κατὰ τὴν ὁδὸν Βεθζαχαριά, καὶ
διεσκευάσθησαν αἱ δυνάμεις εἰς τὸν πόλεμον, καὶ ἐσάλπισαν ταῖς
σάλπιγξιν. [34]καὶ τοῖς ἐλέφασιν ἔδειξαν αἷμα σταφυλῆς καὶ μόρων, 34
τοῦ παραστῆσαι αὐτοὺς εἰς τὸν πόλεμον. [35]καὶ διεῖλον τὰ θηρία εἰς 35
τὰς φάραγγας, καὶ παρέστησαν ἐφ᾽ ἑκάστῳ ἐλέφαντι χιλίους ἄνδρας
τεθωρακισμένους ἐν ἁλυσιδωτοῖς, καὶ περικεφαλαῖαι χαλκαῖ ἐπὶ τῶν
κεφαλῶν αὐτῶν, καὶ πεντακοσία ἵππος διατεταγμένη ἑκάστῳ θηρίῳ
ἐκλελεγμένη. [36]οὗτοι πρὸ καιροῦ, οὗ ἂν ᾖ τὸ θηρίον, ἦσαν· καὶ οὗ 36
ἂν ἐπορεύετο, ἐπορεύοντο ἅμα, οὐκ ἀφίσταντο ἀπ᾽ αὐτοῦ. [37]καὶ 37
πύργοι ξύλινοι ἐπ᾽ αὐτοὺς ὀχυροὶ σκεπαζόμενοι, ἐφ᾽ ἑκάστου θηρίου,
ἐζωσμένοι ἐπ᾽ αὐτοὺς μηχαναῖς· καὶ ἐφ᾽ ἑκάστου ἄνδρες δύο καὶ
τριάκοντα οἱ πολεμοῦντες ἐπ᾽ αὐτούς, καὶ ὁ Ἰνδὸς αὐτοῦ. [38]καὶ τὴν 38
ἐπίλοιπον ἵππον ἔνθεν καὶ ἔνθεν ἔστησεν ἐπὶ τὰ δύο μέρη τῆς

ℵV 27 αν ℵ | προκαταλαβητε ℵV (προκαλ.) | αυτη] ℵ* (αυτους ℵc.a) | δυνηση ℵ 28 οτι ℵV | om αυτου 1° V | αρχοντας] pr και V | αυτου 2°] αυτους A* (ras ς A?) | ηνιων] μηνιων A 29 βασιλεω] ℵ | δυναμι ℵ* -μις ℵc.a 30 των ιππων] ιππεων ℵV 31 ηλθον ℵV | παρενεβαλον ℵV | Βαιθσουρα V | επολεμησεν ℵ | om επι ℵ | εποιησεν ℵ | αυτας ℵV | om εν ℵV | επολεμησαν 2°] επολεμησεν ℵ 32 Βαιθζαχαρια ℵV: item 33 33 οδον] + αυτης ℵ | δυναμις ℵ* (-μεις ℵc.b) | εσαλπισεν ℵV 34 ελεφασιν ℵV | εδειξεν ℵ 35 φαλαγγας ℵV | παρεστησεν ℵ | om εφ ℵV | τεθωρακισμενοις A | πεντακοσιαι ℵc.a (ι 2° postea ras vid) | διατεταμενην V 36 αν 2°] εαν ℵV | αλα ℵ* (αμα ℵc.a) | ουκ] pr και V | επ] απ V 36—37 επ αυτου και πυργοι] αλγοι (sic) ℵ* απ αυτ. ϗ πυργοι ℵc.a 37 αυτους οχυροι] αυτους κοροι ℵ* αυτου οχυροι ℵc.a (αυτους οχ. ℵc.b) αυτοις οχ. V | εφ εκαστου (1°)] incep εκεφαι ℵ* (εφ εκαστ. ℵc.a, c.b) | επ αυτους (2°)] υπ αυτου ℵ | δυο] δυναμεως ℵ pr δυν. V | om και 3° ℵ | αυτους 3°] αυτοις ℵ 38 εστησεν (-σαν V* -σεν V¹)] pr και ℵ

παρεμβολῆς, κατασείοντες καὶ καταφρασσόμενοι ἐν ταῖς φάλαγξιν. A
39 [39]ὡς δὲ ἔστιλβεν ὁ ἥλιος ἐπὶ τὰς χρυσᾶς ἀσπίδας, ἔστιλβεν τὰ ὄρη
40 ἀπ' αὐτῶν, καὶ κατηύγαζεν ὡς λαμπάδες πυρός. [40]καὶ ἐξετάθη μέρος
τι τῆς παρεμβολῆς τοῦ βασιλέως ἐπὶ τὰ ὑψηλὰ ὄρη, καί τινες ἐπὶ τὰ
41 ταπεινά· καὶ ἤρχοντο ἀσφαλῶς καὶ τεταγμένως. [41]καὶ ἐσαλεύοντο
πάντες οἱ ἀκούοντες φωνῆς πλήθους αὐτῶν καὶ ὁδοιπορίας τοῦ
πλήθους καὶ συνκρουσμοὺς τῶν ὅπλων· ἦν γὰρ ἡ παρεμβολὴ μεγάλη
42 σφόδρα καὶ ἰσχυρά. [42]καὶ ἤγγισεν Ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ εἰς
παράταξιν, καὶ ἔπεσαν ἀπὸ τῆς παρεμβολῆς τοῦ βασιλέως ἑξακόσιοι
43 ἄνδρες. [43]καὶ εἶδεν Ἐλεαζὰρ ὁ Σαυαρὰν ἓν τῶν θηρίων τεθωρακισμένον θώραξιν βασιλικοῖς, καὶ ἦν ὑπεράγον πάντα τὰ θηρία, καὶ
44 ὤφθη ὅτι ἐν αὐτῷ ἐστιν ὁ βασιλεύς. [44]καὶ ἔδωκεν ἑαυτὸν τοῦ σῶσαι
45 τὸν λαὸν αὐτοῦ, καὶ περιποιῆσαι αὐτῷ ὄνομα αἰώνιον. [45]καὶ ἐπέδραμεν αὐτῷ θράσει εἰς μέσον τῆς φάλαγγος, καὶ ἐθανάτου δεξιὰ καὶ
46 εὐώνυμα, καὶ ἐσχίζοντο ἀπ' αὐτοῦ ἔνθα καὶ ἔνθα. [46]καὶ εἰσέδυ ὑπὸ
τὸν ἐλέφαντα, καὶ ὑπέθηκεν αὐτῷ καὶ ἀνεῖλεν αὐτόν· καὶ ἔπεσεν ἐπὶ
47 τὴν γῆν ἐπάνω αὐτοῦ, καὶ ἀπέθανεν ἐκεῖ. [47]καὶ εἶδον τὴν ἰσχὺν τῆς
βασιλείας καὶ τὰ ὁρμήματα τῶν δυνάμεων, καὶ ἐξέκλιναν ἀπ' αὐ-
48 τῶν. [48]Καὶ ἐκ τῆς παρεμβολῆς τοῦ βασιλέως ἀνέβεννον εἰς
συνάντησιν αὐτῶν εἰς Ἰερουσαλήμ, καὶ παρενέβαλεν ὁ βασιλεὺς εἰς
49 τὴν Ἰουδαίαν καὶ εἰς τὸ ὄρος Σιών. [49]καὶ ἐποίησεν μετὰ τῶν ἐκ Βεθσούρων· καὶ ἐξῆλθεν ἐκ τῆς πόλεως, ὅτι οὐκ ἦν αὐτοῖς ἐκεῖ διατροφὴ
50 τοῦ συνκεκλεῖσθαι ἐν αὐτῇ, ὅτι σάββατον ἦν τῇ γῇ. [50]καὶ κατελάβετο
ὁ βασιλεὺς τὴν Βεθσούραν, καὶ ἐπέταξεν ἐκεῖ φρουρὰν τηρεῖν αὐτήν.
51 [51]καὶ παρενέβαλεν ἐπὶ τὸ ἁγίασμα ἡμέρας πολλάς, καὶ ἔστησεν ἐκεῖ
βελοστάσεις καὶ μηχανὰς καὶ πυροβόλα καὶ λιθοβόλα καὶ σκορπίδια
52 εἰς τὸ βάλλεσθαι βέλη καὶ σφενδόνας. [52]καὶ ἐποίησαν καὶ αὐτοὶ
μηχανὰς πρὸς τὰς μηχανὰς αὐτῶν, καὶ ἐπολέμησαν ἡμέρας πολλάς.

38 φαραγξιν V 39 χρυσας] + χαλκας και ℵ* + ϗ χαλκας ℵc.a V | απ] ℵV υπ ℵ* (απ ℵc.a) 39—40 om πυρος και εξεταθη μερος τι της ℵ* (hab ℵc.a) 40 om υψηλα ℵ* (hab ℵc.a, c.b) 41 φωνης] pr της ℵ | και συνκρουσμους] συνκρουσμου ℵ*V (συγκρ.) και συνκρουσμου ℵc.a | om σφοδρα V 42 επεσον ℵ 43 Ελεαζαρος ο Αυραν (Αυαραν V) ℵV | υπεραγων ℵV | ωφθη] ωηθη ℵ 44 αυτω] εαυτω ℵV 45 απεδραμεν ℵ* (επεδρ. ℵ[1]) | φαραγγος A | εθανατου| ℵc.a (vid) | δεξιαν ℵ* (improb ν ℵc.a) | απ] επ V 47 ειδον] ιδοντες ℵ* (ιδεν correcturus erat ℵc.a) | των δυναμεων το ορμημα ℵ το ορμ. τ. δ. V | om και 3° ℵ | εξεκλινεν ℵ* (-ναν ℵc.a) 48 και 1°] οι δε ℵV | ανεβαινον ℵVa (αναιβ. V*) 49 εποιησεν] + ειρηνην ℵV | Βαιθσουρων V | συνκεκλ.] εγκεκλ. V 50 Βαιθσουραν ℵV | επαταξεν A 51 βελοστασιας ℵ | om και λιθοβολα V | βαλεσθαι V 52 om πολλας ℵV

A [53]Βρώματα δὲ οὐκ ἦν ἐν τοῖς ἁγίοις, διὰ τὸ ἕβδομον ἔτος εἶναι, καὶ οἱ 53
ἀνασωζόμενοι εἰς τὴν Ἰουδαίαν ἀπὸ τῶν ἐθνῶν κατέφαγον τὸ ὑπό-
λιμμα τῆς παραθέσεως· [54]καὶ ὑπελείφθησαν ἐν τοῖς ἁγίοις ἄνδρες 54
ὀλίγοι, ὅτι κατεκράτησεν αὐτῶν ὁ λιμός· καὶ ἐσκορπίσθησαν ἕκαστος
εἰς τὸν τόπον αὐτοῦ. [55]Καὶ ἤκουσεν Λυσίας ὅτι Φίλιππος, ὃν 55
κατέστησεν ὁ βασιλεὺς Ἀντίοχος ἔτι ζῶντος αὐτοῦ ἐκθρέψαι Ἀντί-
οχον τὸν υἱὸν αὐτοῦ εἰς τὸ βασιλεῦσαι αὐτόν, [56]ἀπέστρεψεν ἀπὸ 56
τῆς Περσίδος καὶ Μηδίας, καὶ αἱ δυνάμεις αἱ πορευθεῖσαι τοῦ βασι-
λέως μετ' αὐτοῦ, καὶ ὅτι ζητεῖ παραλαβεῖν τὰ τῶν πραγμάτων.
[57]καὶ κατέσπευδον καὶ ἐπενεύσσοντο τοῦ ἀπελθεῖν· καὶ εἶπεν πρὸς 57
τὸν βασιλέα καὶ τοὺς ἡγεμόνας τῆς δυνάμεως καὶ τοὺς ἄνδρας
Ἐκλείπομεν καθ' ἡμέραν, καὶ ἡ τροφὴ ἡμῖν ὀλίγη, καὶ ὁ τό-
πος, οὗ παρεμβάλλομεν, ἐστὶν ὀχυρός, καὶ ἐπίκειται ἡμῖν τὰ τῆς
βασιλείας. [58]νῦν οὖν δῶμεν δεξιὰν τοῖς ἀνθρώποις τούτοις, καὶ 58
ποιήσωμεν μετ' αὐτῶν εἰρήνην, καὶ μετὰ παντὸς ἔθνους αὐτῶν·
[59]καὶ στήσωμεν αὐτοῖς τοῦ πορεύεσθαι τοῖς νομίμοις αὐτῶν, ὡς 59
τὸ πρότερον· χάριν γὰρ τῶν νομίμων αὐτῶν, ὧν διεσκεδάσαμεν,
ὠργίσθησαν καὶ ἐποίησαν ταῦτα πάντα. [60]καὶ ἤρεσεν ὁ λόγος 60
ἐναντίον τοῦ βασιλέως καὶ τῶν ἀρχόντων, καὶ ἀπέστειλεν πρὸς αὐτοὺς
εἰρηνεῦσαι, καὶ ἐπεδέξαντο. [61]καὶ ὤμοσεν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ 61
ἄρχοντες ἐπὶ τούτοις· ἐξῆλθεν ἐκ τοῦ ὀχυρώματος. [62]καὶ εἰσῆλθεν 62
ὁ βασιλεὺς εἰς τὸ ὄρος Σιών, καὶ ἴδεν τὸ ὀχύρωμα τοῦ τόπου· καὶ
ἠθέτησεν τὸν ὁρκισμὸν ὃν ὤμοσεν, καὶ ἐνετείλατο καὶ καθεῖλεν τὸ
τεῖχος κυκλόθεν. [63]καὶ ἀπῆραν κατὰ σπουδὴν καὶ ἀπέστρεψεν εἰς 63
Ἀντιοχίαν, καὶ εὗρεν Φίλιππον κυριεύοντα τῆς πόλεως, καὶ ἐπο-
λέμησεν πρὸς αὐτόν, καὶ κατελάβετο τὴν πόλιν βίᾳ.

[1]Ἔτους ἑνὸς καὶ πεντηκοστοῦ ἐξῆλθεν Δημήτριος ὁ τοῦ Σελεύκου 1 VII
ἐκ Ῥώμης, καὶ ἀνέβη σὺν ἀνδράσιν ὀλίγοις εἰς πόλιν παραθαλασσίαν,

ℵV 53 αγιοις] αγειοις V* αγγ. V¹ 55 υιον] incep β ℵ* (improb ℵ¹) 56 Μηδειας ℵVᵃ | αι δυναμεις] δυναμις ℵ | του βασ.] pr μετα ℵV | πραγματων] προσταγματων ℵ* (πραγμ. ℵᶜ) 57 κατεσπευδεν ℵ | επενυσσοντο] επενευσεν ℵ επενευσαν V | τους ανδρας] pr προς ℵᶜ | ημιν 1°] ημων V | οχυρος] ισχυρος ℵ | επικεινται V | βασιλιας ℵ 58 om μετ αυτων ℵ | εθνους] pr του V | αυτων 2°] αυτον A 59 στησομεν ℵ | αυτοις] αυτους ℵ | ως] ων ℵ* (ς superscr ℵ¹) | om αυτων 2° V | παντα ταυτα V 60 απεστειλαν V | επεδεξατο A 61 ωμολογησεν ℵ* (ωμοσεν ℵᶜ) | εξηλθον ℵV 62 εισηλθον ℵ* (-λθεν ℵᶜ) | το ορος] om το ℵV | ειδεν ℵ -δε Vᵃ | ορισμον ℵ* (ορκ. ℵᶜ·ᵃ) και καθειλεν] καθελειν ℵV 63 απηρεν ℵ επηρεν V | Αντιοχειαν Vᵃ VII 1 ενος και πεντηκοστου] α' και ρ' και ν' ℵ πρωτου κ. πεντ. ϗ| εκατοστου V | εξηλθεν] pr και ℵV | ο του Σελ.] om ο ℵ* (hab ℵᶜ·ᵃ) | συν ανδ. ολ. εις π. παραθ.] εν ανδρ. εν ολιγ. παρα θαλασσαν ℵ* συν ανδρ. ολιγ. παρα θ. ℵᶜ·ᵃ (παραθαλασσιαν ℵ¹?ᶜ·ᵇ?)

2 καὶ ἐβασίλευσεν ἐκεῖ. [2]καὶ ἐγένετο ὡς εἰσεπορεύετο εἰς οἶκον βασι- A
λείας πατέρων αὐτοῦ, συνέλαβον αἱ δυνάμεις τὸν Ἀντίοχον καὶ τὸν
3 Λυσίαν ἀγαγεῖν αὐτοὺς αὐτῷ. [3]καὶ ἐγνώσθη αὐτῷ τὸ πρᾶγμα καὶ
4 εἶπεν Μή μοι δείξητε τὰ πρόσωπα αὐτῶν. [4]καὶ ἀπέκτειναν αὐτοὺς αἱ
5 δυνάμεις, καὶ ἐκάθισεν Δημήτριος ἐπὶ θρόνου βασιλείας αὐτοῦ. [5]καὶ
ἦλθον πρὸς αὐτὸν πάντες ἄνδρες ἄνομοι καὶ ἀσεβεῖς ἐξ Ἰσραήλ, καὶ
6 Ἄλκιμος ἡγεῖται αὐτῶν βουλόμενος ἱερατεύειν. [6]καὶ κατηγόρησαν τοῦ
λαοῦ πρὸς τὸν βασιλέα, λέγοντες Ἀπώλεσεν Ἰούδας καὶ οἱ ἀδελφοὶ
αὐτοῦ πάντας τοὺς φίλους σου, καὶ ἡμᾶς ἐσκόρπισεν ἀπὸ τῆς γῆς
7 ἡμῶν. [7]νῦν οὖν ἀπόστειλον ἄνδρα ᾧ πιστεύεις, καὶ πορευθεὶς ἰδέτω
τὴν ἐξολέθρευσιν ἅπασαν ἣν ἐποίησεν ἡμῖν καὶ τῇ χώρᾳ τοῦ
βασιλέως, καὶ ἐκολάσατο αὐτοὺς καὶ πάντας τοὺς ἐπιβοηθοῦντας
8 αὐτοῖς. [8]Καὶ ἐπέλεξεν ὁ βασιλεὺς τὸν Βακχίδην τῶν φίλων
τοῦ βασιλέως κυριεύοντα ἐν τῷ πέραν τοῦ ποταμοῦ καὶ μέγαν ἐν τῇ
9 βασιλείᾳ καὶ πιστὸν τῷ βασιλεῖ· [9]καὶ ἀπέστειλεν αὐτὸν καὶ Ἄλκι-
μον τὸν ἀσεβῆ, καὶ ἔστησαν αὐτῷ τὴν ἱερωσύνην, καὶ ἐνετείλατο αὐτῷ
10 ποιῆσαι τὴν ἐκδίκησιν ἐν τοῖς υἱοῖς Ἰσραήλ. [10]καὶ ἀπῆλθεν καὶ ἦλθεν
μετὰ δυνάμεως πολλῆς εἰς γῆν Ἰούδα· καὶ ἀπέστειλεν ἀγγέλους πρὸς
Ἰούδαν καὶ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ λόγοις εἰρηνικοῖς μετὰ δόλου.
11 [11]καὶ οὐ προσεῖχον τοῖς λόγοις αὐτῶν· ἴδον γὰρ ὅτι ἦλθον μετὰ
12 δυνάμεως πολλῆς. [12]καὶ ἐπισυνήχθησαν πρὸς Ἄλκιμον καὶ Βακχίδην
13 συναγωγὴ γραμματέων, ἐκζητῆσαι δίκαια. [13]καὶ πρῶτοι οἱ Ἁσιδαῖοι
14 ἦσαν ἐν υἱοῖς Ἰσραήλ, καὶ ἐπεζήτουν παρ' αὐτῶν εἰρήνην· [14]εἶπαν
γάρ Ἄνθρωπος ἱερεὺς ἐκ τοῦ σπέρματος Ἀαρὼν ἦλθεν ἐν ταῖς
15 δυνάμεσιν, καὶ οὐκ ἀδικήσει ἡμᾶς. [15]καὶ ἐλάλησεν μετ' αὐτῶν εἰρη-
νικοὺς λόγους, καὶ ὤμοσεν αὐτοῖς λέγων Οὐκ ἐκζητήσομεν ὑμῖν
16 κακόν, καὶ τοῖς φίλοις ὑμῶν. [16]καὶ ἐνεπίστευσαν αὐτῷ, καὶ συνέ-
λαβεν ἐξ αὐτῶν ἑξήκοντα ἄνδρας, καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ἡμέρᾳ

2 εγενετο] εποιειτο ℵ* (εγεν. ℵ[c.a]) | συνελαβοντο ℵ* (-βον ℵ[c.a, c.b]) | τον ℵV Αντ.] pr εις V 3 om αυτω V 5 Αλκισμος ℵ | ηγειται] ηγειτο ℵV | αυτων] + ηγουμενος ℵ 6 κατηγορησαι ℵ* (-σαν ℵ[c]) | εσκορπισαν ℵ[c.a] 7 πιστευσεις ℵ* (-εις ℵ[c.a]) | πασαν την εξ. ℵ τ. εξολοθρ. πασαν V 8 επελεξεν] επεταξεν V | Βαρακχιδην A Βαχχιδην ℵ | τ. φυλων A τον φιλον V | αυτου βασιλεως ℵ* (του βασ. ℵ[1]) 9 Αλκιμον (-κειμ. A)] pr τον ℵ | om και 3° ℵ* (hab ℵ[c.a]) | εστησεν ℵ* (-σαν ℵ[c.a]) V | αρχιερωσυνην V 10 απηλθεν] απηρον ℵV | ηλθεν] ηλθον ℵV | γην Ιουδα] την Ιουδαιαν V | om προς 2° ℵV 11 προσειχον] προσεσχον ℵV | ειδον ℵV | ηλθα| ℵ 12 Αλκινον A | Βακχιδην (Κακχ. A)] Βακχιδης ℵ* (-δην ℵ[c.a]) | γραμματειων V* (-τεων V[a]) | εκζητ.] pr και V | δικαιοι ℵ* (δικαια ℵ[c]) 13 Ασιδαιοι (-δεοι A)] Ασειδοναιοι ℵ* (-δαιοι ℵ[1]) 14 ειπον ℵV | γαρ] + οτι V | του σπερματος] om του ℵ | ηλθον V 15 λογους ειρηνικους ℵV 16 ενεπιστευσεν ℵ* (-σαν ℵ[c.a])

A μιᾷ κατὰ τοὺς λόγους οὓς ἔγραψεν

17 Σάρκας ὁσίων σου καὶ αἵματα αὐτῶν 17

ἐξέχεαν κύκλῳ Ἰερουσαλήμ, καὶ οὐκ ἦν αὐτοῖς ὁ θάπτων.

18 Καὶ ἐπέπεσεν αὐτῶν ὁ φόβος καὶ ὁ τρόμος εἰς πάντα τὸν λαόν, 18
ὅτι εἶπαν Οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια καὶ κρίσις· παρέβησαν γὰρ τὴν
στάσιν καὶ τὸν ὅρκον ὃν ὤμοσαν. 19 καὶ ἀπῆρεν Βακχίδης ἀπὸ Ἰερου- 19
σαλήμ, καὶ παρενέβαλεν ἐν Βηζέθ, καὶ ἀπέστειλεν καὶ συνέλαβεν
πολλοὺς ἀπὸ τῶν μετ' αὐτοῦ αὐτομολησάντων ἀνδρῶν καί τινας τοῦ
λαοῦ, καὶ ἔθυσεν αὐτοὺς εἰς τὸ φρέαρ τὸ μέγα. 20 καὶ κατέστησεν τὴν 20
χώραν τῷ Ἀλκίμῳ, καὶ ἀφῆκεν μετ' αὐτοῦ δύναμιν τοῦ βοηθεῖν αὐτῷ·
καὶ ἀπῆλθεν Βακχίδης πρὸς τὸν βασιλέα. 21 καὶ ἠγωνίσατο Ἄλκιμος 21
περὶ τῆς ἀρχιερωσύνης. 22 καὶ συνήχθησαν πρὸς αὐτὸν πάντες οἱ 22
ταράσσοντες τὸν λαὸν αὐτῶν, καὶ κατεκράτησαν γῆν Ἰούδα, καὶ
ἐποίησαν πληγὴν μεγάλην ἐν Ἰσραήλ. 23 καὶ ἴδεν Ἰούδας πᾶσαν τὴν 23
κακίαν ἣν ἐποίησεν Ἄλκιμος καὶ οἱ μετ' αὐτοῦ ἐν υἱοῖς Ἰσραὴλ ὑπὲρ
τὰ ἔθνη· 24 καὶ ἐξῆλθεν εἰς πάντα τὰ ὅρια τῆς Ἰουδαίας κυκλόθεν, 24
καὶ ἐποίησεν ἐκδίκησιν ἐν τοῖς ἀνδράσιν καὶ τοῖς αὐτομολήσασιν, καὶ
ἀνεστάλησαν τοῦ πορευθῆναι εἰς χώραν. 25 ὡς δὲ ἴδεν Ἄλκιμος ὅτι 25
ἐνίσχυσεν Ἰούδας καὶ οἱ μετ' αὐτοῦ, καὶ ἔγνω ὅτι δύναται ὑποστῆναι
αὐτούς, καὶ ἐπέστρεψεν πρὸς τὸν βασιλέα καὶ κατηγόρησεν αὐτῶν
πονηρά. 26 Καὶ ἀπέστειλεν ὁ βασιλεὺς Νικάνορα ἕνα τῶν 26
ἀρχόντων αὐτοῦ τῶν ἐνδόξων, καὶ μισοῦντα καὶ ἐχθραίνοντα τῷ
Ἰσραήλ, καὶ ἐνετείλατο αὐτῷ ἐξᾶραι τὸν λαόν. 27 καὶ ἦλθεν Νικάνωρ 27
εἰς Ἰερουσαλὴμ δυνάμει πολλῇ, καὶ ἀπέστειλεν πρὸς Ἰούδαν καὶ τοὺς
ἀδελφοὺς αὐτοῦ μετὰ δόλου λόγοις εἰρηνικοῖς λέγων 28 Μὴ ἔστω 28
μάχη ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν· ἥξω ἐν ἀνδράσιν ὀλίγοις, ἵνα ἴδω
ὑμῶν τὰ πρόσωπα μετ' εἰρήνης. 29 καὶ ἦλθεν πρὸς Ἰούδαν, καὶ 29
ἠσπάσαντο ἀλλήλους εἰρηνικῶς· καὶ οἱ πολέμιοι ἦσαν ἕτοιμοι
ἐξαρπάσαι τὸν Ἰούδαν. 30 καὶ ἐγνώσθη ὁ λόγος τῷ Ἰούδᾳ, ὅτι 30
μετὰ δόλου ἦλθεν ἐπ' αὐτόν· καὶ ἐπτοήθη ἀπ' αὐτοῦ, καὶ οὐκ ἠβου-
λήθη ἔτι ἰδεῖν τὸ πρόσωπον αὐτοῦ. 31 καὶ ἔγνω Νικάνωρ ὅτι 31
ἀπεκαλύφθη ἡ βουλὴ αὐτοῦ, καὶ ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰούδᾳ

ℵV 16 τους λογους ους] τον λογον ον ℵV | εγραψεν] + αυτον ℵ* + ο προφητης ℵ^c.a 17 σαρκας] κρεας ℵ* (improb ℵ^c) + κρεας V | αιμα ℵ* (αιματα ℵ^c) V 18 ειπον ℵV 19 παρενεβαλλεν V | Βηζεθ] Βηθζαιθ ℵ Βαιθζηθ V | συνεβαλεν ℵ* (συνελ. ℵ^c.a) | om και 6° ℵ* (hab ℵ^c.a) | αυτους] αυτος ℵ 20 των Αλκιμων ℵ* (τω Αλκιμω ℵ^c.b) 21 αρχιερωσυνης (-ρωσ. A)] ιερωσυνης ℵ 23 ειδεν ℵV^a | Αλκινος A 24 ορια sup ras A^a | om και 2°, 4° ℵV | πορευθηναι] εκπορευεσθαι ℵ πορευεσθαι V | χωραν] pr την ℵV 25 ειδεν ℵV^a | δυναται] pr ου ℵV | αυτων] αυτου V 26 αυτου] pr των ℵ* (improb ℵ^c) | εξαιραι V* (-αρ. V^a) 27 ηλθεν] απηλθεν V 28 υμων ιδω V 29 ετοιμοι ησαν ℵ 30 επ] προς V | εβουληθη ℵV 31 Ιουδα] + εν πολεμω ℵV

32 κατὰ Χαρφαρσαραμά. [32]καὶ ἔπεσαν τῶν παρὰ Νικάνορος ὡς πεντα- A
33 κισχίλιοι ἄνδρες, καὶ ἔφυγον εἰς τὴν πόλιν Δαυείδ. [33]Καὶ μετὰ
τοὺς λόγους τούτους ἀνέβη Νικάνωρ εἰς τὸ ὄρος Σιών· καὶ ἐξῆλθαν
ἀπὸ τῶν ἱερέων ἐκ τῶν ἁγίων καὶ ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ
ἀσπάσασθαι αὐτὸν εἰρηνικῶς, καὶ δεῖξαι αὐτῷ τὴν ὁλοκαύτωσιν τὴν
34 προσφερομένην ὑπὲρ τοῦ βασιλέως. [34]καὶ ἐμυκτήρισεν αὐτούς, καὶ
κατεγέλασεν αὐτῶν καὶ ἐμίανεν αὐτούς, καὶ ἐλάλησεν ὑπερηφάνως.
35 [35]καὶ ὤμοσεν μετὰ θυμοῦ λέγων Ἐὰν μὴ παραδοθῇ Ἰούδας καὶ ἡ
παρεμβολὴ αὐτοῦ τὸ νῦν εἰς χεῖράς μου, καὶ ἔσται ἐὰν ἐπιστρέψω ἐν
36 εἰρήνῃ, ἐνπυριῶ τὸν οἶκον τοῦτον. καὶ ἐξῆλθεν μετὰ θυμοῦ. [36]καὶ
εἰσῆλθον οἱ ἱερεῖς καὶ ἔστησαν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου καὶ
37 τοῦ ναοῦ, καὶ ἔκλαυσαν καὶ εἶπαν [37]Σὺ ἐξελέξω τὸν οἶκον τοῦτον
ἐπικληθῆναι τὸ ὄνομά σου ἐπ' αὐτόν, εἶναι οἶκον προσευχῆς καὶ
38 δεήσεως τῷ λαῷ σου. [38]ποίησον ἐκδίκησιν ἐν τῷ ἀνθρώπῳ τούτῳ
καὶ ἐν τῇ παρεμβολῇ αὐτοῦ, καὶ πεσάτωσαν ἐν ῥομφαίᾳ· μνήσθητι
39 τῶν δυσφημιῶν αὐτῶν, καὶ μὴ δῷς αὐτοῖς μονήν. [39]Καὶ ἐξῆλθεν
Νικάνωρ ἐξ Ἰερουσαλὴμ καὶ παρενέβαλον ἐν Βεθωρών, καὶ συνήν-
40 τησεν αὐτῷ δύναμις Συρίας. [40]καὶ Ἰούδας παρενέβαλεν ἐν Ἀδασὰ ἐν
41 τρισχιλίοις ἀνδράσιν· καὶ προσηύξατο Ἰούδας καὶ εἶπεν [41]Οἱ παρὰ
τοῦ βασιλέως ὅτε ἐδυσφήμησαν, ἐξῆλθεν ἄγγελός σου καὶ ἐπάταξεν ἐν
42 αὐτοῖς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας. [42]οὕτως σύντριψον τὴν
παρεμβολὴν ταύτην ἐνώπιον ἡμῶν σήμερον· καὶ γνώτωσαν οἱ ἐπί-
λοιποι ὅτι κακῶς ἐλάλησεν ἐπὶ τὰ ἅγιά σου, καὶ κρῖνον αὐτὸν κατὰ τὴν
43 κακίαν αὐτοῦ. [43]καὶ συνῆψαν αἱ παρεμβολαὶ εἰς πόλεμον τῇ τρισ-
καιδεκάτῃ τοῦ μηνὸς Ἀδάρ, καὶ συνετρίβη ἡ παρεμβολὴ Νικάνορος·
44 καὶ ἔπεσεν αὐτὸς πρῶτος ἐν τῷ πολέμῳ. [44]ὡς δὲ ἴδεν ἡ παρεμβολὴ
45 αὐτοῦ ὅτι ἔπεσεν Νικάνωρ, ῥίψαντες τὰ ὅπλα αὐτῶν ἔφυγον. [45]καὶ
κατεδίωκον αὐτοὺς ὁδὸν ἡμέρας μιᾶς ἀπὸ Ἀδασὰ ἕως τοῦ ἐλθεῖν εἰς
Γαζηρά, καὶ ἐσάλπισαν ὀπίσω αὐτῶν ταῖς σάλπιγξιν τῶν σημασιῶν.
46 [46]καὶ ἐξῆλθον ἐκ πασῶν τῶν κωμῶν τῆς Ἰουδαίας κυκλόθεν, καὶ

31 Χαρφαρσαραμα] Φαρσαλαμα ℵ* Χαφαρσαλ. ℵ[1]V **32** επεσον ℵV | ℵV ωs] ωσει ℵV | πεντακισχιλιοι (-λιους A)] πεντακοσιοι ℵ **33** το ορος] om το ℵV | εξηλθεν ℵ -θον V | προφερομενην ℵ* (προσφ. ℵ[c.a]) **35** εις χειρας μου το νυν ℵV | εμπυριω V[a] | εξηλθεν] εξηλθο incep ℵ* (-λθεν ℵ[1 (vid)]) | θυμου 2°]+μεγαλου ℵV **36** εκλαυσεν A | ειπον ℵV **37** αυτον] αυτου ℵ | του λαου V **38** om εν 1° ℵ | ανθρωπω] ναω (sic) A | πεσετωσαν ℵ **39** παρενεβαλεν ℵV | Βαιθωρων ℵV **40** παρεβενεν V* (-βαινεν V[a]) | om εν 1° V | ειπον ℵ* (ειπεν ℵ[c.a]) **41** αγγελος] pr ο ℵV | χιλιαδες A **42** συνετριψεν A **43** Αδερ V | επεσεν] επεπεσεν ℵ **44** ειδεν ℵV pr η ℵ* (improb ℵ[1]) | om αυτων ℵ **45** μιας ημερας ℵ | εσαλπισαν] εσαλπιζον ℵV | σαλπιγξιν] σαλπιγγει A

A ὑπερεκέρων αὐτούς· καὶ ἀνέστρεφον οὗτοι πρὸς τούτους, καὶ ἔπεσαν
πάντες ῥομφαίᾳ, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. 47 καὶ ἔλαβον 47
τὰ σκῦλα καὶ τὴν προνομήν, καὶ τὴν κεφαλὴν Νικάνορος ἀφεῖλαν
καὶ τὴν δεξιὰν αὐτοῦ, ἣν ἐξέτεινεν ὑπερηφάνως, καὶ ἤνεγκαν καὶ
ἐξέτειναν παρὰ τὴν Ἰερουσαλήμ. 48 καὶ ηὐφράνθη ὁ λαὸς σφόδρα, 48
καὶ ἤγαγον τὴν ἡμέραν ἐκείνην ἡμέραν εὐφροσύνης μεγάλην. 49 καὶ 49
ἔστησαν τοῦ ἀγαγεῖν κατ᾽ ἐνιαυτὸν τὴν ἡμέραν ταύτην τῇ τρισκαι-
δεκάτῃ τοῦ Ἀδάρ. 50 καὶ ἡσύχασεν ἡ γῆ Ἰούδα ἡμέρας ὀλίγας. 50

1 Καὶ ἤκουσεν Ἰούδας τὸ ὄνομα τῶν Ῥωμαίων, ὅτι εἰσὶν δυνατοὶ ἐν 1 VIII
ἰσχύι, καὶ αὐτοὶ εὐδοκοῦσιν ἐν πᾶσιν τοῖς προστεθειμένοις αὐτοῖς, καὶ
ὅσοι ἐὰν προστεθῶσιν αὐτοῖς, καὶ ὅσοι ἐὰν προσέλθωσιν αὐτοῖς,
ἱστῶσιν αὐτοῖς φιλίαν, 2 καὶ ὅτι εἰσὶν δυνατοὶ ἰσχύι· καὶ διηγήσαντο 2
αὐτῷ τοὺς πολέμους αὐτῶν καὶ τὰς ἀνδραγαθίας ἃς ποιοῦσιν ἐν τοῖς
Γαλάταις, καὶ ὅτι κατεκράτησαν αὐτῶν, καὶ ἤγαγον αὐτοὺς ὑπὸ
φόρον· 3 καὶ ὅσα ἐποίησαν ἐν χώρᾳ Σπανίας, τοῦ κατακρατῆσαι 3
τῶν μετάλλων τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου τοῦ ἐκεῖ, 4 καὶ κατε- 4
κράτησαν τοῦ τόπου παντὸς τῇ βουλῇ αὐτῶν καὶ τῇ μακροθυμίᾳ—καὶ ὁ
τόπος ἦν μακρὰν ἀπέχων ἀπ᾽ αὐτῶν σφόδρα—καὶ τῶν βασιλέων τῶν
ἐπελθόντων ἐπ᾽ αὐτοὺς ἀπ᾽ ἄκρου τῆς γῆς, ἕως συνέτριψαν αὐτοὺς
καὶ ἐπάταξαν ἐν αὐτοῖς πληγὴν μεγάλην, καὶ οἱ ἐπίλοιποι διδόασιν
αὐτοῖς φόρον κατ᾽ ἐνιαυτόν· 5 καὶ τὸν Φίλιππον καὶ τὸν Περσέα 5
Κιτιέων βασιλέα καὶ τοὺς ἐπηρμένους ἐπ᾽ αὐτούς, συνέτριψαν αὐ-
τοὺς πολέμῳ καὶ κατεκράτησαν αὐτῶν· 6 καὶ Ἀντίοχον τὸν μέγαν 6
βασιλέα τῆς Ἀσίας τὸν πορευθέντα ἐπ᾽ αὐτοὺς εἰς πόλεμον ἔχοντα
ἑκατὸν εἴκοσι ἐλέφαντας καὶ ἵππον καὶ ἅρματα καὶ δύναμιν πολλὴν
σφόδρα, καὶ συνετρίβη ἀπ᾽ αὐτῶν· 7 καὶ ἔλαβον αὐτὸν ζῶντα, καὶ 7
ἔστησαν αὐτοῖς διδόναι αὐτόν τε καὶ τοὺς βασιλεύοντας μετ᾽ αὐτὸν
φόρον μέγαν, καὶ διδόναι ὅμηρα καὶ διαστολήν, 8 καὶ χώραν τὴν 8
Ἰνδικὴν καὶ Μηδίαν καὶ Λυδίαν, καὶ ἀπὸ τῶν καλλίστων χωρῶν

ℵV 46 υπερεκερων] υπερηρων V* (-ρον Va) | ανεστρεφον] απεστρεφον ℵV | τουτους] αυτους V | επεσον ℵ | ου κατελειφθη] ουκ απελιφθη ℵ* (ου κατελιφθ. ℵc.a) 47 αφειλαν] αφειλον ℵV | την Ιερ.] τη Ιερ. ℵ* (την ℵc.a) V 48 μεγαλης ℵc.a V 49 αγαγειν] αγειν ℵV 50 η γη Ιουδα] Ιουδας V VIII 1 om εν 1° ℵV | προστιθεμενοις ℵV | om και οσοι εαν προστεθωσιν αυτοις ℵV | εαν 2°] αν ℵV 2 εισι ℵVa | ανδραγαθειας A | ποιησουσιν V 4 απεχων μακραν ℵV | εως] ως ℵ | αυτους 2°] αυτου A | επαταξεν A 5 Κι-τιαιων ℵc.a AV | πολεμω] pr εν ℵV 6 incep Αντιοντ ℵ* (Αντιοχον ℵ1) | εκατον] εκαστον A | απ αυτων] υπ αυτου ℵ* (απ αυτων ℵc.a) υπ αυτων V 7 εστησαν]+αυτον ℵc.a | διδοναι 1°] δουναι ℵ* (διδ. ℵc.a, c.b) | αυτον 3°] αυτων V | μεγαν] μεγαλην ℵ* (-γαν ℵc.b) | om και 4° ℵV | ομηρον ℵ 8 Μη-δειαν Va | om και 4° ℵ

αὐτῶν, καὶ λαβόντες αὐτὰς παρ' αὐτοῦ ἔδωκαν αὐτὰς Εὐμενεῖ τῷ A
9 βασιλεῖ· 9 καὶ ὅτι οἱ ἐκ τῆς Ἑλλάδος ἐβουλεύσαντο ἐλθεῖν καὶ ἐξᾶραι
10 αὐτούς, 10 καὶ ἐγνώσθη ὁ λόγος αὐτοῖς, καὶ ἀπέστειλαν ἐπ' αὐτοὺς
στρατηγὸν ἕνα, καὶ ἐπολέμησαν πρὸς αὐτούς, καὶ ἔπεσαν ἐξ αὐτῶν
τραυματίαι πολλοί, καὶ ᾐχμαλώτισαν τὰς γυναῖκας αὐτῶν καὶ τὰ
τέκνα αὐτῶν, καὶ ἐπρονόμευσαν αὐτούς, καὶ κατεκράτησαν τῆς γῆς
αὐτῶν, καὶ καθεῖλον τὰ ὀχυρώματα αὐτῶν, καὶ ἐπρονόμευσαν αὐτούς,
11 καὶ κατεδουλώσαντο αὐτοὺς ἕως τῆς ἡμέρας ταύτης. 11 καὶ τὰς ἐπιλοί-
πους βασιλείας, καὶ τὰς νήσους, ὅσοι ποτὲ ἀνέστησαν αὐτοῖς, κατέ-
12 φθειραν καὶ ἐδούλωσαν αὐτοῖς· 12 μετὰ δὲ τῶν φίλων αὐτῶν καὶ τῶν
ἐπαναπαυομένων αὐτοῖς συνετήρησαν αὐτοῖς φιλίαν, καὶ κατεκράτησαν
τῶν βασιλειῶν τῶν ἐγγὺς καὶ τῶν μακράν· καὶ ὅσοι ἤκουσαν τὸ
13 ὄνομα αὐτῶν ἐφοβοῦντο ἀπ' αὐτῶν· 13 οἷς δ' ἂν βούλωνται βοηθεῖν
καὶ βασιλεύειν, βασιλεύσουσιν· οὓς δ' ἂν βούλωνται, μεθιστῶσιν, καὶ
14 ὑψώθησαν σφόδρα. 14 καὶ ἐν ἅπασιν τούτοις οὐκ ἐπέθεντο οὐδεὶς
αὐτῶν διάδημα, καὶ οὐ περιεβάλοντο πορφύραν, ὥστε ἁδρυνθῆναι ἐν
15 αὐτῇ. 15 καὶ βουλευτήριον ἐποίησαν ἑαυτοῖς, καὶ καθ' ἡμέραν ἐβου-
λεύοντο τριακόσιοι καὶ εἴκοσι, βουλευόμενοι διὰ παντὸς περὶ τοῦ
16 πλήθους, τοῦ εὐκοσμεῖν ἑαυτούς. 16 καὶ πιστεύουσιν ἑνὶ ἀνθρώπῳ
ἄρχειν αὐτῶν κατ' ἐνιαυτὸν καὶ κυριεύειν πάσης τῆς γῆς αὐτῶν, καὶ
πάντες ἀκούουσιν τοῦ ἑνός, καὶ οὐκ ἔστιν φθόνος οὔτε ζῆλος ἐν
17 αὐτοῖς. 17 Καὶ ἐπέλεξεν Ἰούδας τὸν Εὐπόλεμον υἱὸν Ἰωάννου
τοῦ Ἀκχὼς καὶ Ἰάσονα υἱὸν Ἐλεαζάρου, καὶ ἀπέστειλεν αὐτοὺς εἰς
18 Ῥώμην, στῆσαι αὐτοῖς φιλίαν καὶ συμμαχίαν, 18 καὶ τοῦ ἆραι τὸν ζυγὸν
αὐτῶν, ὅτι ἴδον τὴν βασιλείαν τῶν Ἑλλήνων καταδουλουμένους τὸν
19 Ἰσραὴλ δουλίαν. 19 καὶ ἐπορεύθησαν εἰς Ῥώμην, καὶ ἡ ὁδὸς πολλὴ
20 σφόδρα· καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον, καὶ ἀπεκρίθησαν 20 Ἰού-
δας ὁ καὶ Μακκαβαῖος καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ τὸ πλῆθος τῶν
Ἰουδαίων ἀπέστειλαν ἡμᾶς πρὸς ὑμᾶς, στῆσαι μεθ' ὑμῶν συμμαχίαν καὶ

10 επεσο̄] ℵ | αιχμαλωτησαν V* | επρονομ. 1°] επρονομευσε̄] ℵ* (-σαν ℵV ℵ$^{c.a}$V) | κατεκρατησεν ℵ* (-σαν ℵ$^{c.a}$) | om αυτων 4° ℵ* (hab ℵ$^{c.a}$) | καθειλεν ℵ* (-λον ℵ$^{c.a}$) 11 οσοι] οι ℵ | αντεστησαν V | αυτοις 1°] επ αυτους V | αυτοις 2°] αυτους ℵV 12 om αυτοις 2° ℵV | φιλιαν] φιλιων A | βασιλεων ℵV | ηκουον ℵV 13 οις] οσοις V | βασιλευουσιν ℵV pr και ℵ* (improb ℵ$^{c.a}$) 14 πασιν ℵV | ουδεις αυτων] αυτων ουδε εις ℵV | διαδημα] δημα sup ras A^a (seq spat 1 lit) | και ου] ουδε ℵV | om εν αυτη ℵ* (hab επ αυτη ℵ$^{c.a}$) 15 om και 2° V | βουλευομενοι] pr οι V | αυτους ℵ 16 αρχεῑ] sup ras A^a | om κυριευειν ℵ* (hab ℵ$^{c.a}$) | ουτε] ουδε ℵ 17 επελεξατο ℵV | Ακκως ℵ Ιακκως V | Ιασωνα V | om αυτοις ℵ* (hab ℵ$^{c.a}$) 18 αυτων] pr απ ℵV | ιδον] ειδε̄] ℵ ειδον V^a | δουλια ℵ δουλεια V 19 εισηλθοσαν ℵ | το βουλ.] om το V | απεκριθησαν] + και ειπον ℵV 20 om και 1° V | αυτου] αυτοι V* (-του V^a) | απεστιλεν ℵ

A εἰρήνην, καὶ γραφῆναι ἡμᾶς συμμάχους καὶ φίλους ὑμῶν. [21]καὶ ἤρεσεν 21
ὁ λόγος ἐνώπιον αὐτῶν. [22]καὶ τοῦτο τὸ ἀντίγραφον τῆς γραφῆς ἧς 22
ἀντέγραψαν ἐπὶ δέλτοις χαλκαῖς καὶ ἀπέστειλαν εἰς Ἰερουσαλὴμ
εἶναι παρ᾽ αὐτοῖς ἐκεῖ μνημόσυνον εἰρήνης καὶ συμμαχίας [23]Καλῶς 23
γένοιτο Ῥωμαίοις καὶ τῷ ἔθνει τῶν Ἰουδαίων ἐν τῇ θαλάσσῃ καὶ
ἐπὶ τῆς ξηρᾶς εἰς τὸν αἰῶνα, καὶ ῥομφαία καὶ ἐχθρὸς μακρυνθείη
ἀπ᾽ αὐτῶν. [24]ἐὰν δὲ ἐνστῇ πόλεμος Ῥώμῃ προτέρᾳ ἢ πᾶσι τοῖς 24
συμμάχοις αὐτῶν ἐν πάσῃ κυρίᾳ αὐτῶν· [25]συμμαχήσει τὸ ἔθνος τῶν 25
Ἰουδαίων, ὡς ἂν ὁ καιρὸς ὑπογραφῇ αὐτοῖς, καρδίᾳ πλήρει. [26]καὶ 26
τοῖς πολεμοῦσιν οὐ δώσουσιν οὐδὲ ἐπαρκέσουσιν σῖτον, ὅπλα, ἀργύριον, πλοῖα, ὡς ἔδοξεν Ῥώμῃ· καὶ φυλάξονται τὰ φυλάγματα αὐτῶν
οὐθὲν λαβόντες. [27]κατὰ τὰ αὐτὰ δέ, ἐὰν ἔθνει Ἰουδαίων συμβῇ 27
προτέροις πόλεμος, συμμαχήσουσιν οἱ Ῥωμαῖοι ἐκ ψυχῆς, ὡς ἂν
αὐτοῖς ὁ καιρὸς ὑπογράφῃ. [28]καὶ τοῖς συμμαχοῦσιν οὐ δοθήσεται 28
σῖτος, ὅπλα, ἀργύριον, ὡς ἔδοξεν Ῥώμῃ· καὶ φυλάξονται τὰ φυλάγματα ταῦτα, καὶ οὐ μετὰ δόλου. [29]κατὰ τοὺς λόγους τούτους 29
οὕτως ἔστησαν Ῥωμαῖοι τῷ δήμῳ τῶν Ἰουδαίων. [30]ἐὰν δὲ μετὰ τοὺς 30
λόγους τούτους βουλεύσωνται οὗτοι καὶ οὗτοι προσθεῖναι ἢ ἀφελεῖν, ποιήσονται ἐξ αἱρέσεως αὐτῶν, καὶ ὃ ἐὰν προσθῶσιν ἢ ἀφέλωσιν
ἔσται κύρια. [31]καὶ περὶ τῶν κακῶν ὧν ὁ βασιλεὺς Δημήτριος συν- 31
τελεῖται εἰς αὐτούς, ἐγράψαμεν αὐτῷ λέγοντες Διὰ τί ἐβάρυνας τὸν
ζυγόν σου ἐπὶ τοὺς φίλους ἡμῶν τοὺς συμμάχους Ἰουδαίους; [32]ἐὰν 32
οὖν ἔτι ἐντύχωσιν κατὰ σοῦ, ποιήσομεν αὐτοῖς τὴν κρίσιν, καὶ πολεμήσομέν σε διὰ τῆς θαλάσσης καὶ διὰ τῆς ξηρᾶς.

[1]Καὶ ἤκουσεν Δημήτριος ὅτι ἐποίησεν Νικάνωρ καὶ αἱ δυνάμεις 1 IX
αὐτοῦ πόλεμον, καὶ προσέθετο τὸν Βακχίδην καὶ τὸν Ἄλκιμον ἐκ δευτέρου ἀποστεῖλαι εἰς γῆν Ἰούδα, καὶ τὸ δεξιὸν κέρας μετ᾽ αὐτῶν.
[2]καὶ ἐπορεύθησαν ὁδὸν τὴν εἰς Γάλγαλα, καὶ παρενεβάλοσαν ἐπὶ 2

ℵV 20 ημας 2°] υμας V | υμων 2°] ημων ℵ*V* (υμ. ℵ$^{c.a}$V^{a}) 21 ενωπιον] εναντιον ℵV 22 γραφης] επιστολης ℵ | δελτοις] δεκτοις A 23 των Ιουδαιων] om των ℵV 24 πασιν ℵ | κυρια] pr τη ℵ 25 συμμαχηση V* (-σει V^{a}) 26 om ου δωσουσιν ℵ* (hab ℵ$^{c.a}$) | om ουδε επ. V | πλοιον ℵ* (πλοια ℵ$^{c.a}$) + ουδε επαρκεσουσιν V | Ρωμη] Ρωμαιοις ℵ$^{c.a}$ | ουθεν] οθεν A ουδεν V 27 συνμαχησουσιν ℵ συμμαχησωσιν V 28 αργυριον] + πλοια ℵV | Ρωμη] Ρωμαιοις ℵ | και φυλαξονται] φυλασσουσιν ℵ* (ϗ φυλαξωνται ℵ$^{c.a}$) 29 κατα τ. λ. τ. c praec coniunx V 30 βουλευσονται ℵV* | και 1°] η ℵV | ουτοι] τοι V | ποιησωνται ℵ | εαν 2°] αν ℵ | εσται· κυρια· (sic) A 31 om βασιλευς ℵ* (hab ℵ$^{c.a}$) | αυτους] υμας ℵ$^{c.a}$V | συμμαχους] + ημων ℵ 32 ποιησωμεν V | αυτοις] εαυτοις ℵ | σε] υπερ σου ℵ* (σε ℵ$^{c.b}$) | δια της θαλασσης και bis scr ℵ* (improb δ. τ. θ. ℵ^{1} et και ℵ$^{c.a}$) IX 1 εποιησεν] επισεν ℵ* (επεισ. ℵ$^{c.a}$) επεσεν V | αι δυναμεις] η δυναμις ℵV | πολεμω ℵ εν πολ. V 2 παρενεβαλον ℵV

Μεσσαλὼθ τὴν ἐν Ἀρβήλοις, καὶ προκατελάβοντο αὐτήν, καὶ ἀπώ- A
3 λεσεν ψυχὰς ἀνθρώπων πολλάς. ³καὶ τοῦ μηνὸς τοῦ πρώτου ἔτους
δευτέρου καὶ πεντηκοστοῦ καὶ ἑκατοστοῦ παρενέβαλλον εἰς Ἰερου-
4 σαλήμ. ⁴καὶ ἀπῆραν καὶ ἐπορεύθησαν εἰς Βερέαν ἐν εἴκοσι χιλιάσιν
5 ἀνδρῶν καὶ δισχιλιάσιν ἵππων. ⁵καὶ Ἰούδας ἦν παρεμβεβληκὼς ἐν
6 Ἀλασά, καὶ τρισχίλιοι ἄνδρες ἐκλεκτοὶ μετ' αὐτοῦ. ⁶καὶ ἴδον τὸ
πλῆθος τῶν δυνάμεων, ὅτι πολλοί εἰσιν, καὶ ἐφοβήθησαν σφόδρα·
καὶ ἐξερύησαν πολλοὶ ἀπὸ τῆς παρεμβολῆς, οὐ κατελείφθησαν ἐξ
7 αὐτῶν ἀλλ' ἢ ὀκτακόσιοι ἄνδρες. ⁷καὶ ἴδεν Ἰούδας ὅτι ἀπερρύη ἡ
παρεμβολὴ αὐτοῦ, καὶ ὁ πόλεμος ἔθλιβεν αὐτόν· καὶ συνετρίβη τῇ
8 καρδίᾳ, ὅτι οὐκ εἶχεν καιρὸν συναγαγεῖν αὐτούς. ⁸καὶ ἐξελύθη, καὶ
εἶπεν τοῖς καταλειφθεῖσιν Ἀναστῶμεν καὶ ἀναβῶμεν ἐπὶ τοὺς ὑπε-
9 ναντίους ἡμῖν, ἐὰν ἄρα δυνώμεθα πολεμῆσαι αὐτούς. ⁹καὶ ἀπέ-
στρεψαν αὐτόν, λέγοντες Οὐ μὴ δυνησώμεθα, ἀλλ' ἢ σώζωμεν τὰς
ἑαυτῶν ψυχὰς τὸ νῦν· ἐπιστρέψωμεν μετὰ τῶν ἀδελφῶν ἡμῶν,
10 καὶ πολεμήσωμεν πρὸς αὐτούς· ἡμεῖς δὲ ὀλίγοι. ¹⁰καὶ εἶπεν Ἰούδας
Μή μοι γένοιτο ποιῆσαι τὸ πρᾶγμα τοῦτο, φυγεῖν ἀπ' αὐτῶν· καὶ
ἤγγικεν ὁ καιρὸς ἡμῶν, καὶ ἀποθάνωμεν ἀνδρίᾳ χάριν τῶν ἀδελ-
11 φῶν ἡμῶν, καὶ μὴ καταλείπωμεν αἰτίαν τῇ δόξῃ ἡμῶν. ¹¹καὶ
ἀπῆρεν ἡ δύναμις ἀπὸ τῆς παρεμβολῆς, καὶ ἔστησαν εἰς συνάντησιν
αὐτοῖς, καὶ ἐμερίσθη ἡ ἵππος εἰς δύο μέρη, καὶ οἱ σφενδονῆται καὶ
οἱ τοξόται προεπορεύοντο τῆς δυνάμεως, καὶ οἱ πρωταγωνισταὶ πάντες
12 οἱ δυνατοί. ¹²Βακχίδης δὲ ἦν ἐν τῷ δεξιῷ κέρατι, καὶ ἤγγισεν ἡ
φάλαγξ ἐκ τῶν δύο μερῶν, καὶ ἐφώνουν ταῖς σάλπιγξιν, καὶ ἐσάλ-
13 πισαν καὶ οἱ παρὰ Ἰούδου καὶ αὐτοὶ ταῖς σάλπιγξιν· ¹³καὶ ἐσείσθη ἡ
γῆ ἀπὸ τῶν παρεμβολῶν αὐτῶν· καὶ ἐγένετο ὁ πόλεμος συνηγμένος
14 ἀπὸ πρωίθεν ἕως ἑσπέρας. ¹⁴καὶ ἴδεν Ἰούδας ὅτι Βακχίδης καὶ τὸ

2 Μαισαλωθ ℵV | αυτην] αυτους ℵ* (-την ℵ^c.a) | απωλεσαν ℵ | ψυχας] ℵV pr εις ℵ 3 δευτερου] pr του ℵV | πεντηκοστου κ. εκατοστου] ν' και ρ' ℵ | παρενεβαλον ℵV | εις] επι ℵV 4 δισχιλιασιν ιππων] B̄ (sic) ιππεων ℵ* β' ιππον ℵ^c.a δισχιλιων ιππων V 5 παρενβεβληκως ℵ | Ελασα ℵV | τρισχιλιοι] ┐┼ ℵ* ,γ ℵ^c.a | μετ αυτου εκλεκτοι ℵV 6 ειδον ℵV^a | εξερρ. V^1?| κατελειφθη V | οκτ.] pr ως V 7 ειδεν ℵV^a | την καρδια ℵ* (τη καρδ. ℵ^1. c.a) 8 επι] προς V | ημιν] ημων ℵV | αυτους] pr προς ℵV 9 απεστρεφον ℵ* (-ψαν ℵ^c.a) V | αυτους ℵ* (-τον ℵ^c.a) | δυνωμεθα ℵV + πολεμησαι προς αυτους V | σωζομεν ℵ*V σωσομεν ℵ^c.a | επιστρεψομεν V* | μετα των αδελφων] και οι αδελφοι ℵV | πολεμησωμεν] pr μη V 10 om μοι ℵV | om τουτο ℵ | ηγγικεν] pr ει ℵV | om και 3° ℵV | ανδρια] ανδρειως ℵV | om ημων 2° ℵ* (hab ℵ^c.b) | καταλιπωμεν ℵ 11 προσεπορευοντο ℵ* (προεπ. ℵ^c.a) V 12 om και 4° ℵV | Ιουδα ℵV 13 εσεισθη] εσαλευθη ℵV | των παρεμβ.] pr της φωνης ℵV | om αυτων ℵV | απο πρ. συνηγμ. V | συνημμενος ℵ | εως] μεχρι ℵ 14 ειδεν ℵV^a

A στερέωμα τῆς παρεμβολῆς ἐν τοῖς δεξιοῖς, καὶ συνῆλθον αὐτῷ πάντες οἱ
εὔψυχοι τῇ καρδίᾳ. [15]καὶ συνετρίβη τὸ δεξιὸν κέρας ἀπ' αὐτῶν, καὶ 15
ἐδίωκεν ὀπίσω αὐτῶν ἕως Ἀζώτου ὄρους. [16]καὶ οἱ εἰς τὸ ἀριστερὸν 16
κέρας ἴδον ὅτι συνετρίβη τὸ δεξιὸν κέρας, καὶ ἐπέστρεψαν κατὰ
πόδας Ἰούδα καὶ τῶν μετ' αὐτοῦ ἐκ τῶν ὄπισθεν. [17]καὶ ἐβαρύνθη 17
ὁ πόλεμος, καὶ ἔπεσαν τραυματίαι πολλοὶ ἐκ τούτων καὶ ἐκ τούτων.
[18]καὶ Ἰούδας ἔπεσεν καὶ οἱ λοιποὶ ἔφυγον. [19]καὶ ἦραν Ἰωναθὰν καὶ 18 19
Σίμων Ἰούδαν τὸν ἀδελφὸν αὐτοῦ καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ τῶν
πατέρων αὐτοῦ ἐν Μωδεείμ. [20]καὶ ἔκλαυσαν αὐτὸν ἐκεῖ, καὶ ἐκόψαντο 20
αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν, καὶ ἐπένθουν ἡμέρας πολλὰς καὶ
εἶπαν [21]Πῶς ἔπεσεν δυνατός, σώζων τὸν Ἰσραήλ. 21

[22]Καὶ τὰ περισσὰ τῶν λόγων Ἰούδου καὶ τῶν πολέμων καὶ τῶν 22
ἀνδραγαθιῶν ὧν ἐποίησεν καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐ κατεγράφη·
πολλὰ γὰρ ἦν σφόδρα.

[23]Καὶ ἐγένετο μετὰ τὴν τελευτὴν Ἰούδου, ἐξέκυψαν οἱ ἄνομοι ἐν 23
πᾶσιν τοῖς ὁρίοις Ἰσραήλ, καὶ ἀνέτειλαν πάντες οἱ ἐργαζόμενοι τὴν
ἀδικίαν. [24]ἐν ταῖς ἡμέραις ἐκείναις ἐγενήθη λιμὸς μεγάλη σφόδρα, 24
καὶ αὐτομόλησεν ἡ χώρα μετ' αὐτῶν. [25]καὶ ἐξέλεξεν Βακχίδης τοὺς 25
ἀσεβεῖς ἄνδρας, καὶ κατέστησεν αὐτοὺς κυρίους τῆς χώρας. [26]καὶ 26
ἐξεζήτουν καὶ ἐξηραύνων τοὺς φίλους Ἰούδου, καὶ ἦγον αὐτοὺς πρὸς
Βακχίδην· καὶ ἐξεδίκα αὐτούς, καὶ ἐνέπαιζον αὐτοῖς. [27]καὶ ἐγένετο 27
θλίψις μεγάλη ἐν τῷ Ἰσραήλ, ἥτις οὐκ ἐγένετο ἀφ' ἧς ἡμέρας
οὐκ ὤφθη προφήτης αὐτοῖς. [28]καὶ ἠθροίσθησαν πάντες οἱ φίλοι 28
Ἰούδου καὶ εἶπον τῷ Ἰωναθάν [29]Ἀφ' οὗ ὁ ἀδελφός σου Ἰούδας τε- 29
τελεύτηκεν, καὶ ἀνὴρ ὅμοιος αὐτῷ οὐκ ἔστιν ἐξελθεῖν πρὸς τοὺς
ἐχθροὺς καὶ Βακχίδην, καὶ ἐν τοῖς ἐχθραίνουσιν τοῦ ἔθνους ἡμῶν.
[30]νῦν οὖν σε ᾑρετισάμεθα σήμερον τοῦ εἶναι ἀντ' αὐτοῦ ἡμῖν εἰς 30
ἄρχοντα καὶ ἡγούμενον, τοῦ πολεμῆσαι τὸν πόλεμον ἡμῶν. [31]καὶ 31
ἐπεδέξατο Ἰωναθὰν ἐν τῷ καιρῷ ἐκείνῳ τὴν ἥγησιν· καὶ ἀνέστη ἀντὶ

ℵV 14 om εν ℵ 15 κερας] μερος ℵ | om απ V 16 ειδον ℵV | και 2°] κατα προσωπον και ℵ* και κατα προσωπον ℵ[1] (και ℵ[c.a, c.b]) | επεστρεψεν ℵ* (επεστρεψαν ℵ[c.a]) V | om κατα π. ℵ* (hab ℵ[c.a]) | Ιουδου V[a (vid)] 17 επεσον ℵV | om και εκ τουτων ℵ 19 ηρεν ℵ | αυτου] αυτων ℵ bis: 1° V | Μωδαειν ℵ Μωδειν V 20 om εκει ℵV | ειπεν ℵ ειπον V 22 περισσια ℵ περισσεα A | Ιουδα ℵV[a] | πολλη ℵV 23 Ιουδα ℵ[c.a]V: item 26, 28, 31, ℵ: 31, V | εξεκοψαν V | ανετειλαν] ανεκυψαν V 24 μεγαλη] μεγας ℵV | ηυτομολ. V 26 εξηραυνων] ηρευνουν ℵ ηρευνων V | Ιουδα V[a]: item 28 | ηγαγον V | εξεδικα (-κει V)] εξεδιωκε ℵ | ενεπαιζεν ℵ -ζαν V* | αυτοις] pr εν V 28 τω Ιωναθαν] om τω ℵ* (hab ℵ[c.a]) 29 post ου ras 1 lit A[1] | εξελθειν] + και εισελθειν ℵV 31 ηγησιν] ητησιν A

32 Ἰούδου τοῦ ἀδελφοῦ αὐτοῦ. [32]Καὶ ἔγνω Βακχίδης, καὶ ἐζήτει A
33 αὐτὸν ἀποκτεῖναι. [33]καὶ ἔγνω Ἰωναθὰν καὶ Σίμων ὁ ἀδελφὸς αὐτοῦ
καὶ πάντες οἱ μετ' αὐτοῦ, καὶ ἔφυγον εἰς τὴν ἔρημον Θεκῶε, καὶ
34 παρενέβαλον ἐπὶ τὸ ὕδωρ λάκκου Ἀσφάλ. [34]καὶ ἔγνω Βακχίδης τῇ
ἡμέρᾳ τῶν σαββάτων, καὶ ἦλθεν αὐτὸς καὶ πᾶν τὸ στράτευμα αὐτοῦ
35 πέραν τοῦ Ἰορδάνη. [35]καὶ ἀπέστειλεν τὸν ἀδελφὸν αὐτοῦ ἡγούμενον
τοῦ ὄχλου· καὶ παρεκάλεσεν τοὺς Ναβαταίους φίλους αὐτοῦ παρα-
36 θέσθαι αὐτοῖς τὴν ἀποσκευὴν αὐτῶν τὴν πολλήν. [36]καὶ ἐξῆλθον οἱ
υἱοὶ Ἰαμβρεὶν ἐκ Μηδαβά, καὶ συνέλαβον Ἰωάννην καὶ πάντα ὅσα
37 εἶχεν, καὶ ἀπῆλθον ἔχοντες. [37]μετὰ δὲ τοὺς λόγους τούτους ἀπήγγει-
λαν Ἰωναθὰν καὶ Σίμωνι τῷ ἀδελφῷ αὐτοῦ ὅτι Υἱοὶ Ἰαμβρὶν ποιοῦσιν
γάμον μέγαν, καὶ ἄγουσιν τὴν νύμφην ἀπὸ Ναδαβάθ, θυγατέρα ἑνὸς
38 τῶν μεγάλων μεγιστάνων Χανάαν, μετὰ παραπομπῆς μεγάλης. [38]καὶ
ἐμνήσθησαν Ἰωάννου τοῦ ἀδελφοῦ αὐτῶν, καὶ ἀνέβησαν καὶ ἐκρύ-
39 βησαν ὑπὸ τὴν σκέπην τοῦ ὄρους. [39]καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν
καὶ ἴδαν, καὶ ἰδοὺ θροῦς καὶ ἀποσκευὴ πολλή, καὶ ὁ νυμφίος ἐξῆλθεν
καὶ οἱ φίλοι αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰς συνάντησιν αὐτῶν μετὰ
40 τυμπάνων καὶ μουσικῶν καὶ ὅπλων πολλῶν. [40]καὶ ἐξανέστησαν
ἐπ' αὐτοὺς ἀπὸ τοῦ ἐνέδρου καὶ ἀπέκτειναν αὐτούς· καὶ ἔπεσαν τραυμα-
τίαι πολλοί, καὶ οἱ ἐπίλοιποι ἔφυγον εἰς τὸ ὄρος, καὶ ἔλαβον πάντα τὰ
41 σκεύη αὐτῶν. [41]καὶ μετεστράφη ὁ γάμος εἰς πένθος, καὶ φωνὴ μου-
42 σικῶν αὐτῶν εἰς θρῆνον. [42]καὶ ἐξεδίκησαν τὴν ἐκδίκησιν αἵματος ἀδελ-
43 φοῦ αὐτῶν, καὶ ἀπέστρεψαν εἰς τὸ ὄρος τοῦ Ἰορδάνου. [43]Καὶ
ἤκουσεν Βακχίδης, καὶ ἦλθεν τῇ ἡμέρᾳ τῶν σαββάτων ἕως τῶν
44 κρηπίδων τοῦ Ἰορδάνου ἐν δυνάμει πολλῇ. [44]καὶ εἶπεν Ἰωναθὰν τοῖς
ἀδελφοῖς αὐτοῦ Ἀναστῶμεν νῦν καὶ πολεμήσωμεν ὑπὲρ τῶν ψυχῶν
45 ἡμῶν· οὐ γάρ ἐστιν σήμερον ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν. [45]ἰδοὺ γὰρ
ὁ πόλεμος ἐξ ἐναντίας ἡμῶν καὶ ἐξόπισθεν ἡμῶν· τὸ δὲ ὕδωρ τοῦ

31 Ιουδα V **33** Ασφαρ ℵV **34** Ιορδανου ℵV **35** Ναβατεους A | ℵV παραθεσθαι] pr του ℵV | αυτους V | αποσκευην αυτων] παρασκευην αυτου ℵ **36** Αμβρει ℵ Ιαμβρει V | εκ] pr οι ℵ (ι ℵ* οι ℵ[1]) V **37** om δε ℵ* (hab ℵ[c.a]) | απηγγειλαν] απηγγιλεν ℵ α 2° evan in A | αδελφω] incep ατω ℵ* (αδ. ℵ[1. c.a, c.b]) | Ιαμβρι ℵ* (Αμβρι ℵ[c.a, c.b (vid)]) V | Ναδαβαθ] Γαβαδαν ℵ Ναβαδαθ V **38** εμνησθησαν] + του αιματος ℵ* (improb ℵ[c.a (vid)]: postea repos) V | αυτων] αυτου ℵ* (-των ℵ[c.a]) | σκεπην] στεγην V **39** ιδον ℵV* (ειδ. V[a]) | αποσκευη] pr η ℵV | υπαντησιν ℵ **40** απεκτινεν ℵ* (-ναν ℵ[c.a]) | επεσον ℵV | σκευη] σκυλα ℵV | αυτων] αυτου ℵ* (-των ℵ[c.a]) **42** εξεδικησεν ℵ* (-σαν ℵ[c.a]) | αυτων] αυτου ℵ* (-των ℵ[c.a]) | ορος] ελος ℵ **43** κρηπιων ℵ* (-πιδων ℵ[c.a]) **44** αδελφοις αυτου] παρ αυτου ℵV | νυν] δη ℵ | υπερ] περι ℵV | χθες V **45** om ημων 1° ℵV | om δε V* (superscr V[1])

A Ἰορδάνου ἔνθεν καὶ ἔνθεν καὶ ἕλος καὶ δρυμός, καὶ οὐκ ἔστιν τόπος
τοῦ ἐκκλῖναι. 46 νῦν οὖν κεκράξατε εἰς οὐρανόν, ὅπως διασωθῆτε 46
ἐκ χειρὸς ἐχθρῶν ἡμῶν. 47 καὶ συνῆψεν ὁ πόλεμος· καὶ ἐξέτεινεν 47
Ιωναθὰν τὴν χεῖρα αὐτοῦ πατάξαι τὸν Βακχίδην, καὶ ἐξέκλινεν
ἀπ᾽ αὐτοῦ εἰς τὰ ὀπίσω. 48 καὶ ἐνεπήδησεν Ιωναθὰν καὶ οἱ μετ᾽ αὐτοῦ 48
εἰς τὸν Ἰορδάνην, καὶ διεκολύμβησαν εἰς τὸ πέραν· καὶ οὐ διέβησαν
ἐπ᾽ αὐτοὺς τὸν Ἰορδάνην. 49 καὶ διέπεσαν παρὰ Βακχίδα τῇ ἡμέρᾳ 49
ἐκείνῃ εἰς χιλίους ἄνδρας. 50 Καὶ ἀπέστρεψαν εἰς Ἰερουσαλήμ, 50
καὶ ᾠκοδόμησαν πόλεις ὀχυρὰς ἐν τῇ Ἰουδαίᾳ, τὸ ὀχύρωμα τὸ ἐν
Ιεριχω καὶ τὴν Ἐμμαοὺμ καὶ τὴν Βαιθωρων καὶ τὴν Βαιθηλ καὶ τὴν
Θαμναθα, Φαραθων καὶ τὴν Τεφων, ἐν τείχεσιν ὑψηλοῖς καὶ πύλαις
καὶ μοχλοῖς. 51 καὶ ἔθεντο φρουρὰν ἐν αὐτοῖς τοῦ ἐχθραίνειν τῷ 51
Ισραηλ. 52 καὶ ὠχύρωσαν τὴν πόλιν καὶ Βαιθσουραν καὶ Γαζαραν 52
καὶ τὴν ἄκραν, καὶ ἔθεντο ἐν αὐταῖς δυνάμεις καὶ παραθέσεις βρω-
μάτων. 53 καὶ ἔλαβον τοὺς υἱοὺς τῶν ἡγουμένων τῆς χώρας ὅμηρα, καὶ 53
ἔθεντο αὐτοὺς ἐν τῇ ἄκρᾳ ἐν Ἰερουσαλὴμ ἐν φυλακῇ. 54 Καὶ 54
ἐν ἔτει τρίτῳ καὶ πεντηκοστῷ καὶ ἑκατοστῷ, τῷ μηνὶ τῷ δευτέρῳ,
ἐπέταξεν Ἄλκιμος καθαιρεῖν τὸ τεῖχος τῆς αὐλῆς τῶν ἁγίων τῆς
ἐσωτέρας, καὶ καθεῖλεν τὰ ἔργα τῶν προφητῶν, καὶ ἐνήρξατο τοῦ
καθαιρεῖν. 55 ἐν τῷ καιρῷ ἐκείνῳ ἐπλήγη Ἄλκιμος, καὶ ἐνεποδίσθη 55
τὰ ἔργα αὐτοῦ, καὶ ἀπεφράγη τὸ στόμα αὐτοῦ, καὶ παρελύθη, καὶ
οὐκ ἠδύνατο ἔτι λαλῆσαι λόγον καὶ ἐντείλασθαι περὶ τοῦ οἴκου αὐτοῦ.
56 καὶ ἀπέθανεν Ἄλκιμος ἐν τῷ καιρῷ ἐκείνου μετὰ βασάνου μεγάλης. 56
57 καὶ ἴδεν Βακχίδης ὅτι ἀπέθανεν Ἄλκιμος, καὶ ἀπέστρεψεν πρὸς 57
τὸν βασιλέα, καὶ ἡσύχασεν ἡ γῆ Ιουδα ἔτη δύο. 58 Καὶ ἐβου- 58
λεύσαντο οἱ ἄνομοι πάντες λέγοντες Ἰδοὺ Ιωναθὰν καὶ οἱ παρ᾽ αὐτοῦ
ἐν ἡσυχίᾳ κατοικοῦσιν πεποιθότες· νῦν οὖν ἄξομεν τὸν Βακχίδην, καὶ
συλλήμψεται αὐτοὺς πάντας ἐν νυκτὶ μιᾷ. 59 καὶ πορευθέντες συνε- 59

ℵV 45 om και 5° ℵV | om του 2° V 46 ουρανον] pr τον ℵV | εχθρων] pr των ℵ | ημων] υμων ℵV 47 εξεκλιναν V* (-νεν V1) 49 και διεπεσαν] κ. διεβησαν A επεσον δε ℵV | Βαχχιδου ℵV (Βακχ.) | χιλιους] ϡ ℵ* ,γ ℵc.a τρισχιλιους V 50 απεστρεψαν] επεστρεψεν ℵV | ωκοδομησεν ℵc.a | πολις A | εν 2°] πεμπτον V | Αμμαους ℵ* Αμμαουμ ℵc.aV | Βαιθωρων ℵVa Βηθ. V* | Βαιθηλ ℵVa | Φαραθων...εν τειχεσιν] φασιν (sic) ℵ* (Φαρ. ϛ την Τεφων | εν τιχεσιν ℵc.a) | Τεφω V | πυλαις] θυροις (sic) ℵ 51 εθετο ℵ | φρουρας V | αυταις ℵV 52 ωχυρωσεν ℵV | και Βεθσ.] της Βεθσ. ℵ τ. εν Βαιθσουρα V | Γαζαρα ℵV | εθετο ℵV1 (θετο V*) | δυναμεις (-μις V*)] pr τας V 53 ελαβεν ℵV | εθετο ℵV 54 τριτω κ. πεντ.] γ' και ν' ℵ | εκατοστω V (ρ' ℵ)] ενατω A | εναταξεν A | Αλχιμος A 55 επληγη] pr και ℵ | εδυνατο V (ηδ. Va) 56 εκινω ℵ | μεγαλου ℵ 57 ειδεν ℵV | επεστρεψεν ℵV 58 παντες οι ανομοι ℵV | om και 2° ℵ | οι παρ] παντες οι μετ V | αξομεν] αναξον ℵ αναξομεν V* (-ξωμ. Va) | συλληψ. V

60 βουλεύσαντο αὐτῷ. [60]καὶ ἀπῆρεν τοῦ ἐλθεῖν μετὰ δυνάμεως πολλῆς, A
καὶ ἀπέστειλεν ἐπιστολὰς λάθρα πᾶσι τοῖς συμμάχοις αὐτοῦ τοῖς ἐν
τῇ Ἰουδαίᾳ, ὅπως συλλάβωσιν τὸν Ἰωναθὰν καὶ τοὺς σὺν αὐτῷ· καὶ
61 οὐκ ἠδύνατο, ὅτι ἐγνώσθη αὐτοῖς ἡ βουλὴ αὐτῶν. [61]καὶ συνέλαβον
ἀπὸ τῶν ἀνδρῶν τῆς χώρας τῶν ἀρχηγῶν τῆς κακίας εἰς πεντήκοντα
62 ἄνδρας, καὶ ἀπέκτεινεν αὐτούς. [62]καὶ ἐξεχώρησεν Ἰωναθὰν καὶ
Σίμων καὶ οἱ μετ' αὐτοῦ εἰς Βεθβασὶ τὴν ἐν τῇ ἐρήμῳ, καὶ ᾠκοδόμησεν
63 τὰ καθῃρημένα αὐτῆς, καὶ ἐστερέωσεν αὐτήν. [63]καὶ ἔγνω Βακχίδης καὶ
συνήγαγεν πᾶν τὸ πλῆθος αὐτοῦ, καὶ τοῖς ἐκ τῆς Ἰουδαίας παρήγγει-
64 λεν. [64]καὶ ἐλθὼν παρενέβαλεν ἐπὶ Βεθβασί, καὶ ἐπολέμησεν αὐτὴν
65 ἡμέρας πολλὰς καὶ ἐποίησεν μηχανάς. [65]καὶ ἀπέλειπεν Ἰωναθὰν
Σίμωνα τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ πόλει, καὶ ἐξῆλθεν εἰς τὴν χώραν,
66 καὶ ἦλθεν ἀριθμῷ. [66]καὶ ἐπάταξεν Ὀδομηρὰ καὶ τοὺς ἀδελφοὺς
αὐτοῦ καὶ τοὺς υἱοὺς Φασιρὼν ἐν τῷ σκηνώματι αὐτῶν, καὶ ἐξῆρξατο
67 τύπτειν καὶ ἀναβαίνειν ἐν ταῖς δυνάμεσιν. [67]καὶ Σίμων καὶ οἱ
μετ' αὐτοῦ ἐξῆλθον ἐκ τῆς πόλεως, καὶ ἐνεπύρισαν τὰς μηχανάς.
68 [68]καὶ ἐπολέμησαν πρὸς τὸν Βακχίδην, καὶ συνετρίβη ὑπ' αὐτῶν, καὶ
ἔθλιβον αὐτὸν σφόδρα, ὅτι ἦν ἡ βουλὴ αὐτοῦ καὶ ἡ ἔφοδος αὐτοῦ
69 κενή. [69]καὶ ὠργίσθησαν θυμῷ τοῖς ἀνδράσιν τοῖς ἀνόμοις τοῖς
συμβουλεύσασιν αὐτῷ ἐλθεῖν εἰς τὴν χώραν, καὶ ἀπέκτειναν ἐξ αὐτῶν
70 πολλούς, καὶ ἐβουλεύσατο τοῦ ἀπελθεῖν εἰς τὴν γῆν αὐτοῦ. [70]καὶ
ἐπέγνω Ἰωναθάν, καὶ ἀπέστειλεν πρὸς αὐτὸν πρέσβεις, τοῦ συνθέ-
σθαι πρὸς αὐτὸν εἰρήνην καὶ ἀποδοῦναι αὐτοῖς τὴν αἰχμαλωσίαν.
71 [71]καὶ ἀπεδέξατο, καὶ ἐποίησεν κατὰ τοὺς λόγους αὐτοῦ, καὶ ὤμοσεν
αὐτῷ μὴ ἐκζητῆσαι αὐτῷ κακὸν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.
72 [72]καὶ ἀπέδωκεν αὐτῷ τὴν αἰχμαλωσίαν ἣν ᾐχμαλώτευσεν τὸ πρότερον
ἐκ γῆς Ἰούδα· καὶ ἀποστρέψας ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ, καὶ οὐ
73 προσέθετο ἔτι ἐλθεῖν εἰς τὰ ὅρια αὐτῶν. [73]καὶ κατέπαυσεν ῥομφαία

60 απηλθεν ℵ* (απηρ. ℵc.a c.b) | απεστειλαν V | λαθρα επιστολας ℵV | ℵV
πασιν ℵ | συνμαχοις ℵ | συλλαβουσιν ℵ | συν αυτω] μετ αυτου ℵV | ηδυναντο
ℵV | om αυτοις ℵ | επιβουλη V | αυτων] αυτου ℵ 61 συνελαβον] συνε-
βαλον ℵ | αρχηγων] αργιων ℵ* vid (αρχηγων ℵ1) | om εις πεντηκοντα ανδρας ℵ |
απεκτειναν V 62 εξεχωρησεν] + απ αυτων ℵ | Βαιθβαισσει ℵ Βαιθβασι
V | την] τη V | εστερεωσαν ℵ 64 Βαιθβασσει ℵV | μηχανε incep ℵ*
-νας ℵ1 65 απελιπεν ℵ 66 επεταξεν V vid | Οαδομηρα ℵ* (ι improb ℵ?) |
Φασειρων ℵ Φαρισων V | εξηρξατο] ηρξαντο ℵV | ανεβαινον ℵ -νεν V 68 η εφ.]
om η V | καινη V 69 ωργισθησαν] ωργισθη εν ℵc.a ωργισθη V | εβου-
λευσα|το ℵ 70 απεστειλεν] απεστιλαν ℵ* (-λεν ℵc.a) | om προς αυτον (1°) V
αυτον 1°] αυτους ℵ 71 απεδεξατο] επεδεξατο ℵ | αυτου 1°] αυτω ℵ* (-του
ℵc.a, c.b) | ωμοσαν ℵ* (-σεν ℵc.a, c.b) 72 επεδωκαν ℵ* (απ. ℵ1 nisi fort c)
απεδωκεν ℵc.a | αιχμαλωτευσε| ℵ* (ηχμ. ℵc.b) | γης] της ℵ

A ἐξ Ἰσραήλ, καὶ ᾤκησεν Ἰωναθὰν ἐν Μαχμάς· καὶ ἤρξατο Ἰωναθὰν
κρίνειν τὸν λαὸν καὶ ἠφάνισεν τοὺς ἀσεβεῖς ἐξ Ἰσραήλ.
[1]Καὶ ἐν ἔτει ἑξηκοστῷ καὶ ἑκατοστῷ ἀνέβη Ἀλέξανδρος ὁ τοῦ 1 X
Ἀντιόχου ὁ Ἐπιφανής, καὶ κατελάβετο Πτολεμαΐδα, καὶ ἐπεδέξαντο
αὐτὸν καὶ ἐβασίλευσεν ἐκεῖ. [2]καὶ ἤκουσεν Δημήτριος ὁ βασιλεύς, 2
καὶ συνήγαγεν δυνάμεις πολλὰς σφόδρα, καὶ ἐξῆλθεν εἰς συνάντησιν
αὐτῷ εἰς πόλεμον. [3]καὶ ἀπέστειλεν πρὸς Ἰωναθὰν ἐπιστολὰς 3
Δημήτριος λόγοις εἰρηνικοῖς, ὥστε μεγαλῦναι αὐτόν. [4]εἶπεν γάρ 4
Προφθάσωμεν τοῦ εἰρήνην θεῖναι μετ' αὐτῶν, πρὶν ἢ θεῖναι αὐτὸν μετὰ
Ἀλεξάνδρου καθ' ἡμῶν. [5]μνησθήσεται γὰρ πάντων τῶν κακῶν ὧν 5
συνετελέσαμεν πρὸς αὐτόν, καὶ εἰς τοὺς ἀδελφοὺς αὐτοῦ καὶ εἰς τὸ
ἔθνος αὐτοῦ. [6]καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν συναγαγεῖν δυνάμεις, καὶ 6
κατασκευάζειν ὅπλα, καὶ εἶναι αὐτὸν σύμμαχον αὐτοῦ, καὶ τὰ ὅμηρα
τὰ ἐν τῇ ἄκρᾳ εἶπεν παραδοῦναι αὐτῷ. [7]Καὶ ἦλθεν Ἰωναθὰν 7
ἐν Ἰερουσαλήμ, καὶ ἀνέγνω τὰς ἐπιστολὰς εἰς τὰ ὦτα παντὸς τοῦ λαοῦ
καὶ τῶν ἐκ τῆς ἄκρας. [8]καὶ ἐφοβήθησαν φόβον μέγαν, ὅτε ἤκουσαν 8
ὅτι ἔδωκεν αὐτοῖς ὁ βασιλεὺς ἐξουσίαν συναγαγεῖν δυνάμεις. [9]καὶ 9
παρέδωκαν οἱ ἐκ τῆς ἄκρας Ἰωναθὰν τὰ ὅμηρα, καὶ ἀπέδωκαν αὐτοὺς
τοῖς γονεῦσιν αὐτῶν. [10]καὶ ᾤκησεν Ἰωναθὰν ἐν Ἰερουσαλήμ, καὶ 10
ἤρξατο οἰκοδομεῖν καὶ καινίζειν τὴν πόλιν. [11]καὶ εἶπεν πρὸς τοὺς 11
ποιοῦντας τὰ ἔργα οἰκοδομεῖν τὰ τείχη καὶ τὸ ὄρος Σιὼν κυκλόθεν
ἐκ λίθων τετραγώνων εἰς ὀχύρωσιν, καὶ ἐποίησαν οὕτως. [12]καὶ 12
ἔφυγον οἱ ἀλλογενεῖς οἱ ὄντες ἐν τοῖς ὀχυρώμασιν οἷς ᾠκοδόμησεν ὁ
Βακχίδης. [13]καὶ κατέλειπεν ἕκαστος τὸν τόπον αὐτοῦ, καὶ ἀπῆλθεν 13
εἰς τὴν γῆν αὐτοῦ. [14]πλὴν ἐν Βεθσούροις ὑπελείφθησάν τινες τῶν 14
καταλειπόντων τὸν νόμον καὶ τὰ προστάγματα· ἦν γὰρ αὐτοῖς φυ-
γαδευτήριον. [15]Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἀλέξανδρος τὰς 15
ἐπαγγελίας ὅσας ἀπέστειλεν Δημήτριος τῷ Ἰωναθάν, καὶ διηγήσαντο

ℵV 73 Μαχμαις V^{a} | ηφανιζεν V X 1 εξηκοστω και εκατ.] ξ' και ρ' ℵ | Πτολεμαιδαν A (Πολ. A* τ superscr et αι sup ras A$^{a?}$) | επεδεξατοΔεπεξαντο ℵ* απεδεξατο ℵ$^{c.a}$ απεδεξαντο V 3 προς Ιων. επιστολας Δημητριος] Δημητριος προς Ιων. απ επιστολας ℵ (απ pro επ incep ℵ* improb ℵ^{1}) V | μεγαλυνθηναι ℵ 4 ειρηνην θειναι] ειρηνευθηναι V | αυτων] αυτον V^{a} 5 εθνος] γενος V | om αυτου 2° ℵV 6 εδωκαν V | δυναμις V* | om και 2° V 7 εν] εις ℵV 8 αυτοις] αυτω ℵV | δυναμεις (-μις A)] δυναμιν ℵ* (-μεις ℵ$^{c.a, c.b}$) V 9 τα ομ.] om τα V | απεδωκαν] εδωκεν ℵ | αυτων] αυτου ℵ* (-των ℵ$^{c.a, c.b}$) 10 ωκησεν] ηκουσεν A 11 το ορος] om το ℵ* (hab ℵ$^{c.b}$) | τετραγωνων (γων sup ras A^{a})] τετραποδων ℵ*V -πεδων ℵ$^{c.b}$ | εις] pr και ℵ* (improb ℵ$^{c.b(vid)}$) | εποιησεν ℵV 12 ο Βακχ.] om ο ℵ* (hab ℵ$^{c.a}$) 13 κατελιπεν ℵ | τον τοπον] τοπον V* (τον τοπ. V^{a}) 14 Βαιθσουροις ℵV$^{a?}$ -ρος V* | καταλιποντων ℵV^{a} | om αυτοις ℵV | φυγαδευτηριον] pr εις ℵV 15 Αλεξανδρος ο βασ. ℵV | διηγησατο ℵ* (-σαντο ℵ$^{c.a}$)

αὐτῷ τοὺς πολέμους καὶ τὰς ἀνδραγαθίας ἃς ἐποίησεν αὐτὸς καὶ οἱ A
16 ἀδελφοὶ αὐτοῦ, καὶ τοὺς κόπους οὓς ἔσχοσαν. [16]καὶ εἶπεν Μὴ
εὑρήσομεν ἄνδρα τοιοῦτον ἕνα; καὶ νῦν ποιήσωμεν αὐτὸν φίλον καὶ
17 σύμμαχον ἡμῶν. [17]καὶ ἔγραψεν ἐπιστολὰς καὶ ἀπέστειλεν αὐτῷ
18 κατὰ τοὺς λόγους τούτους λέγων [18]Βασιλεὺς Ἀλέξανδρος τῷ ἀδελφῷ
19 Ἰωναθὰν χαίρειν. [19]ἀκηκόαμεν περὶ σοῦ, ὅτι ἀνὴρ ἀγαθὸς ἰσχύι καὶ
20 ἐπιτήδειος εἶ τοῦ εἶναι ἡμῶν φίλος. [20]καὶ νῦν καθεστάκαμέν σε
σήμερον ἀρχιερέα τοῦ ἔθνους σου, καὶ φίλον βασιλέως καλεῖσθαι—καὶ
ἀπέστειλαν αὐτῷ πορφύραν καὶ στέφανον χρυσοῦν—καὶ φρονεῖν τὰ
21 ἡμῶν καὶ συντηρεῖν φιλίαν πρὸς ἡμᾶς. [21]καὶ ἐνεδύσατο Ἰωναθὰν τὴν
ἁγίαν στολὴν τῷ ἑβδόμῳ μηνὶ ἔτους ἑξηκοστοῦ καὶ ἑκατοστοῦ ἐν ἑορτῇ
σκηνοπηγίας, καὶ συνήγαγεν δυνάμεις, καὶ κατεσκεύασεν ὅπλα
22 πολλά. [22]Καὶ ἤκουσεν Δημήτριος τοὺς λόγους τούτους, καὶ
23 ἐλυπήθη, καὶ εἶπεν [23]Τί τοῦτο ἐποιήσαμεν, ὅτι προέφθακεν ἡμᾶς ὁ
Ἀλέξανδρος τοῦ φιλίαν καταλαβέσθαι τοῖς Ἰουδαίοις εἰς στήριγμα;
24 [24]γράψω κἀγὼ αὐτοῖς λόγους παρακλήσεως καὶ ὕψους καὶ δομάτων,
25 ὅπως ὦσιν σὺν ἐμοὶ εἰς βοήθειαν. [25]καὶ ἀπέστειλεν αὐτοῖς κατὰ τοὺς
λόγους τούτους Βασιλεὺς Δημήτριος τῷ ἔθνει τῶν Ἰουδαίων χαίρειν.
26 [26]ἐπεὶ συνετηρήσατε τὰς πρὸς ἡμᾶς συνθήκας καὶ ἐνεμείνατε τῇ
φιλίᾳ ἡμῶν καὶ οὐ προσεχωρήσατε τοῖς ἐχθροῖς ἡμῶν, ἠκούσαμεν καὶ
27 ἐχάρημεν. [27]καὶ νῦν ἐνμείνατε ἔτι τοῦ συντηρῆσαι πρὸς ἡμᾶς πίστιν,
28 καὶ ἀνταποδώσομεν ὑμῖν ἀγαθὰ ἀνθ᾽ ὧν ποιεῖτε μεθ᾽ ἡμῶν. [28]καὶ
29 ἀφήσομεν ὑμῖν ἀφέματα πολλά, καὶ δώσομεν ὑμῖν δόματα. [29]καὶ
νῦν ἀπολύω ὑμᾶς καὶ ἀφίημι πάντας τοὺς Ἰουδαίους ἀπὸ τῶν φόρων
30 καὶ τῆς τιμῆς τοῦ ἁλός, καὶ ἀπὸ τῶν στεφάνων· [30]καὶ ἀντὶ τοῦ τρίτου
τῆς σπορᾶς, καὶ ἀντὶ τοῦ ἡμίσους τοῦ καρποῦ τοῦ ξυλίνου τοῦ ἐπι-
βάλλοντός μοι λαβεῖν, ἀφίημι ἀπὸ τῆς σήμερον καὶ ἐπέκεινα, τοῦ

15 τας ανδραγαθιας (-θειας A)] τανδρ incep ℵ* (τας ανδρ. ℵ[1]) | om ους ℵV εσχοσαν ℵ* (hab ους εσχον ℵ[c.a]V) 16 τοιουτον] τον V | ποιησομεν ℵV | συμμαχοῖ ℵ 17 επιστ.] pr τας V | αυτω] αυτου ℵ* (-τω ℵ[c.a]) 18 τω αδελφω] αδελφω τω ℵ* τω αδελφω τω ℵ[c.b] | om χαιρειν V 19 αγαθος] δυνατος ℵ δυν. ει V | ει του ειναι] ειναι ℵ* του superscr ante ειναι ℵ[c.a] εις το ειν. V 20 βασιλεως] pr του ℵ | καλεισθαι] κεισθαι σε ℵ* καλεισθαι σε ℵ[c.a]V | απεστειλεν ℵV | χρυσουν]+και λεγων ℵ[c.a] | φιλιας ℵ 21 εξηκοστου κ. εκατοστου] ζ' και ρ' ℵ* ξ' και ρ' ℵ[c.a] | σκηνοπ.] pr της V 23 εποιησας ℵ | προεφθασεν ℵV | om ημας...τοις Ιουδ. V | ο Αλεξ.] om ο ℵ 24 αυτοις καγω ℵ | δοματος ℵ 25 επεστειλεν ℵV | om των V 26 επει συνετηρησατε] επι συνετ. (? επισυνετ.) ℵAV* (επει συνετ. V[a]) | τας προς ημας] τα προς τασσμας ℵ* (τας improb ℵ[1. c.b] τας πρ. ημ. ℵ[c.a]) | ενεμειναte] ενετιλατο ℵ* (ενεμιναται ℵ[c.a]) 27 om και 1° ℵ | νυν]+ουν V* | εμειν. V* εμμ. V[a] | του συντηρησαι] συντηρησαι τι ℵ 30 τους καρπους A* του καρπου A[?] | om μοι V

A λαβεῖν ἀπὸ τῆς γῆς Ἰούδα, καὶ ἀπὸ τῶν τριῶν νομῶν τῶν προστι-
θεμένων αὐτῇ ἀπὸ τῆς Σαμαρίτιδος καὶ Γαλιλαίας, ἀπὸ τῆς σήμερον
ἡμέρας καὶ εἰς τὸν ἅπαντα χρόνον. 31 καὶ Ἰερουσαλὴμ ἤτω ἁγία καὶ 31
ἀφιεμένη καὶ τὰ ὅρια αὐτῆς, αἱ δεκάται καὶ τὰ τέλη. 32 ἀφίημι καὶ τὴν 32
ἐξουσίαν τῆς ἄκρας τῆς ἐν Ἰερουσαλήμ, καὶ δίδωμι τῷ ἀρχιερεῖ ὅπως
ἂν καταστήσῃ ἐν αὐτῇ ἄνδρας, οὓς ἂν ἐκλέξηται αὐτός, τοῦ φυλάσσειν
αὐτήν. 33 καὶ πᾶσαν ψυχὴν Ἰουδαίων τὴν αἰχμαλωτισθεῖσαν ἀπὸ γῆς 33
Ἰούδα εἰς πᾶσαν βασιλείαν μου ἀφίημι ἐλευθέραν δωρεάν· καὶ πάντες
ἀφιέτωσαν τοὺς φόρους καὶ κτηνῶν αὐτῶν. 34 καὶ πᾶσαι αἱ ἑορταὶ 34
καὶ τὰ σάββατα καὶ νουμηνίαι καὶ ἡμέραι ἀποδεδειγμέναι, καὶ τρεῖς
ἡμέραι πρὸ ἑορτῆς καὶ τρεῖς ἡμέραι μετὰ ἑορτήν, ἔστωσαν πᾶσαι αἱ
ἡμέραι ἀτελείας καὶ ἀφέσεως πᾶσι τοῖς Ἰουδαίοις τοῖς οὖσιν ἐν πάσῃ
τῇ βασιλείᾳ μου. 35 καὶ οὐχ ἕξει ἐξουσίαν οὐδεὶς πράσσειν καὶ 35
παρενοχλεῖν τινα αὐτῶν περὶ παντὸς πράγματος. 36 καὶ προγρα- 36
φήτωσαν τῶν Ἰουδαίων εἰς τὰς δυνάμεις τοῦ βασιλέως εἰς τριάκοντα
χιλιάδας ἀνδρῶν, καὶ δοθήσεται αὐτοῖς ξένια, ὡς καθήκει πάσαις ταῖς
δυνάμεσιν τοῦ βασιλέως. 37 καὶ κατασταθήσεται ἐξ αὐτῶν ἐν τοῖς 37
ὀχυρώμασιν τοῦ βασιλέως τοῖς μεγάλοις, καὶ ἐκ τούτων κατασταθή-
σεται ἐπὶ χρειῶν τῆς βασιλείας τῶν οὐσῶν εἰς πίστιν· καὶ οἱ
ἐπ' αὐτῶν καὶ οἱ ἄρχοντες ἐξ αὐτῶν ἔστωσαν, καὶ πορευέσθωσαν τοῖς
νόμοις αὐτῶν, καθὰ καὶ προσέταξεν ὁ βασιλεὺς ἐν γῇ Ἰούδα. 38 καὶ 38
τοὺς τρεῖς νομοὺς τοὺς προστεθέντας τῇ Ἰουδαίᾳ ἀπὸ τῆς χώρας
Σαμαρίας, προστεθήτω τῇ Ἰουδαίᾳ πρὸς τὸ λογισθῆναι τοῦ γενέσθαι
ὑφ' ἕνα, τοῦ μὴ ὑπακοῦσαι ἄλλης ἐξουσίας ἀλλ' ἢ τοῦ ἀρχιερέως.

ℵV 30 της γης] om της V | απο 4°] pr και V | της Σαμαριτιδος] om της ℵ των Σαμαρειτων V | om ημερας V 31 Ιερουσαλημ (in Ιλημ 1 lit ras inter λ et η A?) ητω αγια] η Ιηλμ εστω η αγια ℵ* (η 2° improb ℵ$^{c.a}$) | ητω] εσται V | αφιμενη ℵ*V* (αφιεμ. ℵ$^{c.a}$ αφειμ. V^{a}) | αι (ε ℵ*) δεκαται] ϗ τας δεκατας ℵ$^{c.a}$ τας δε δεκ. V 31—32 τελη αφιημι· και AV 32 ακρας] σαρρας (sic) ℵ* (ακρας ℵ$^{c.a, c.b}$) | της 2°] την ℵ* (της ℵ$^{c.a, c.b}$) V | om και 2° ℵ | αρχιερει] + ανδρας ℵ* (improb ℵ$^{c.a}$ nisi iam antea) | καταστηση ℵV | om αν V | αυτος εκλεξηται ℵV | om αυτην V 33 φορους] + αυτων ℵ$^{c.a}$ | κτηνων] pr των ℵV 34 αι εορτ.] om αι V | νουμηνια ℵ* (-νιαι ℵ$^{c.a}$) | αποδεδειγμεναι] pr αι ℵ | om ημεραι 3° ℵ | ημεραι 4°] + εστωσαν ℵ | ατελειας] ατελις ℵ* (-λιας ℵ^{1}V*) | πασιν ℵ | om παση ℵV 35 ουχ εξει] ουκ εχει ℵV | παντος] τινος ℵ παντων V* (-τος V^{1}) 36 προγραφητωσαν (-τωνσαν A)] προγρα sup ras et in mg A^{a} προφητωσαν V* (προγραφ. V^{1}) 37 om και κατασταθησεται ...του βασιλεως ℵ | ταις μεγ. ℵ (τοις μεγ. ℵ^{1}) | εκ τουτων κατασταθησεται] κριται κατασταθησονται ℵ | επ αυτων rescr A^{1} | εξ αυτων εστωσαν] εστωσᾱ εαυτων ℵ εστ. εξ αυτ. V | αυτων 4°] εαυτων ℵ | καθα και] καθως ℵ 38 Σαμαρειας V | om το ℵ | επακουσαι ℵ* (υπ. ℵ$^{c.a, c.b}$) | αλλη εξουσια ℵV

39 [39]Πτολεμαΐδα καὶ τὴν προσκυροῦσαν αὐτῇ δέδωκα δόμα τοῖς ἁγίοις A
τοῖς ἐν Ἰερουσαλὴμ εἰς τὴν προκαθήκουσαν δαπάνην τοῖς ἁγίοις.
40 [40]κἀγὼ δίδωμι κατ᾽ ἐνιαυτὸν δέκα πέντε χιλιάδας σίκλων ἀργυρίου
41 ἀπὸ τῶν λόγων τοῦ βασιλέως, ἀπὸ τῶν τόπων τῶν ἀνηκόντων. [41]καὶ
πᾶν τὸ πλεονάζον ὃ οὐκ ἀπεδίδοσαν ἀπὸ τῶν χρειῶν, ὡς ἐν τοῖς
42 πρώτοις ἔτεσιν, ἀπὸ τοῦ νῦν δώσουσιν εἰς τὰ ἔργα τοῦ οἴκου. [42]καὶ
ἐπὶ τούτοις πεντακισχιλίους σίκλους ἀργυρίου οὓς ἐλάμβανον ἀπὸ τῶν
χρειῶν, ὡς ἐν τοῖς πρώτοις ἔτεσιν, τοῦ ἁγίου ἀπὸ τοῦ λόγου κατ᾽ ἐνι-
αυτόν, καὶ ταῦτα ἀφίεται, διὰ τὸ ἀνήκειν αὐτὰ τοῖς ἱερεῦσιν τοῖς
43 λειτουργοῦσιν. [43]καὶ ὅσοι ἐὰν φύγωσιν εἰς τὸ ἱερὸν τὸ ἐν Ἰεροσο-
λύμοις καὶ ἐν πᾶσιν τοῖς ὁρίοις αὐτοῦ, ὀφίλων βασιλικὰ καὶ πᾶν
πρᾶγμα, ἀπολελύσθωσαν, καὶ πάντα ὅσα ἐστὶν αὐτοῖς ἐν τῇ βασιλείᾳ
44 μου. [44]καὶ τοῦ οἰκοδομηθῆναι καὶ τοῦ ἐπικαινισθῆναι τὰ ἔργα τῶν
45 ἁγίων, καὶ ἡ δαπάνη δοθήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως. [45]καὶ τοῦ
οἰκοδομηθῆναι τὰ τείχη Ἰερουσαλήμ, καὶ ὀχυρῶσαι κυκλόθεν, καὶ ἡ
δαπάνη δοθήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως, καὶ τοῦ οἰκοδομῆσαι τὰ
46 τείχη ἐν τῇ Ἰουδαίᾳ. [46]Ὡς δὲ ἤκουσεν Ἰωναθὰν καὶ ὁ λαὸς
τοὺς λόγους τούτους, οὐκ ἐπίστευσεν αὐτοῖς οὐδὲ ἐπεδέξαντο, ὅτι
ἐπεμνήσθησαν τῆς κακίας τῆς μεγάλης ἧς ἐποίησεν ἐν Ἰσραήλ, καὶ
47 ἔθλιψεν αὐτοὺς σφόδρα. [47]καὶ εὐδόκησαν ἐν Ἀλεξάνδρῳ, ὅτι αὐτὸς
ἐγένετο αὐτοῖς ἀρχηγὸς λόγων εἰρηνικῶν, καὶ συνεμάχουν αὐτῷ πάσας
48 τὰς ἡμέρας. [48]καὶ συνήγαγεν Ἀλέξανδρος ὁ βασιλεὺς δυνάμεις μεγά-
49 λας, καὶ παρενέβαλεν ἐξ ἐναντίας Δημητρίου. [49]καὶ συνῆψαν πόλε-
μον οἱ δύο βασιλεῖς, καὶ ἔφυγεν ἡ παρεμβολὴ Δημητρίου, καὶ ἐδί-
50 ωξεν αὐτὸν ὁ Ἀλέξανδρος, καὶ ἴσχυσεν ἐπ᾽ αὐτούς. [50]καὶ ἐστερέωσεν
πόλεμον σφόδρα ἕως ἔδυ ὁ ἥλιος, καὶ ἔπεσεν ὁ Δημήτριος ἐν τῇ

39 τοις αγιοις 1° bis scr V* (improb V^{a}) | καθηκουσαν ℵV **40** καγω] ℵV + δε V **41** ο] οι ℵ* (ι ras ℵ$^{?}$) | απο 1°] pr οι ℵ | εθνεσιν ℵ* (ετ. ℵ$^{c.a, c.b}$) | δωσουσιν ℵV^{a} (-σι) δοσ. V* | om εις V **42** ους] οσα ℵ* (ους ℵ$^{c.a}$) | om ως εν τοις πρωτοις ετεσιν ℵ | ετεσιν] εθεσιν A | αφιται ℵ* (αφιετ. ℵ$^{c.a}$) **43** οφιλων] pr ο V | βασιλικα] βασιλει V | παντα] πᾱ πραγμα ℵ* | αυτοις] + απολελυσθωσαν ℵ **44** om και 2° ℵ* (hab ℵ$^{c.a}$) | om του 2° ℵV | και η δαπανη...βασιλεως uncis incl ℵ$^{c.a, c.b}$ | om η δαπ. V **45** οχυρωσαι] ωχυρωσεν ℵ | εν] Ι̅η̅λ̅μ̅ ℵ **46** επιστευσαν ℵ$^{c.a}$V | επεταξαντο ℵ* (επεδεξ. ℵ$^{c.a}$) | εμνησθησαν ℵV | εποιησαν ℵ^{*vid} (-σεν ℵ$^{c.a\ vid}$) **47** ευδοκησαν εν] ευδοκησαμεν A | αυτος] pr και V **48** ο βασιλευς Αλεξανδρος ℵ | δυναμεις (-μις A) μεγαλας] πασας τας δυναμεις (-μις ℵ* -μεις ℵ$^{c.b}$) ℵ | Δημητριος ℵ* (-τριου ℵ$^{c.a, c.b}$) **49** συνηψεν ℵ$^{*(vid)}$ (-ψαν ℵ^{1}) | Δημητριου] Αλεξανδρου ℵ* (Δημ. ℵ$^{c.a, c.b}$) A | αυτον] αυτους ℵ$^{c.a}$ ante αυτον ras 3 litt A$^{a?}$ | ο Αλεξανδρος] ο Δημητριος ℵ* (Αλεξανδρος ℵ$^{c.a}$) A **50** πολεμον] pr τον ℵV | εδυ ο ηλιος] ηλιος εδυ ℵ ο ηλ. εδ. ℵ^{1}

A ἡμέρᾳ ἐκείνῃ. [51]Καὶ ἀπέστειλεν Ἀλέξανδρος πρὸς Πτολεμαῖον 51
βασιλέα Αἰγύπτου πρέσβεις κατὰ τοὺς λόγους τούτους λέγων [52]Ἐπεὶ 52
ἀνέστρεψα εἰς τὴν βασιλείαν μου καὶ ἐκάθισα ἐπὶ θρόνου πατέρων
μου καὶ ἐκράτησα τῆς ἀρχῆς, καὶ συνέτριψα τὸν Δημήτριον καὶ
ἐπεκράτησα τῆς χώρας ἡμῶν· [53]καὶ συνῆψα πρὸς αὐτὸν μάχην, 53
καὶ συνετρίβη αὐτὸς καὶ ἡ παρεμβολὴ αὐτοῦ ὑφ' ἡμῶν, καὶ ἐκαθίσαμεν
ἐπὶ θρόνου βασιλείας αὐτοῦ· [54]καὶ συνστήσωμεν πρὸς αὐτὸν φιλίαν· 54
καὶ νῦν δός μοι τὴν θυγατέρα σου εἰς γυναῖκα, καὶ ἐπιγαμβρεύσω σοι,
καὶ δώσω σοι δόματα καὶ αὐτῇ ἄξιά σου. [55]καὶ ἀπεκρίθη Πτολε- 55
μαῖος ὁ βασιλεὺς λέγων Ἀγαθὴ ἡμέρα, ἐν ᾗ ἀνέστρεψας εἰς γῆν
πατέρων σου, καὶ ἐκάθισας ἐπὶ θρόνου βασιλείας αὐτῶν. [56]καὶ νῦν 56
ποιήσω σοι ἃ ἔγραψας· ἀλλὰ ἀπάντησον εἰς Πτολεμαίδα, ὅπως ἴδω-
μεν ἀλλήλους, καὶ ἐπιγαμβρεύσω σοι καθὼς εἴρηκας. [57]καὶ ἐξῆλθεν 57
Πτολεμαῖος ἐξ Αἰγύπτου αὐτὸς καὶ Κλεοπάτρα ἡ θυγάτηρ αὐτοῦ, καὶ
ἦλθεν εἰς Πτολεμαίδα ἔτους δευτέρου καὶ ἑξηκοστοῦ καὶ ἑκατοστοῦ.
[58]καὶ ἀπήντησεν αὐτῷ Ἀλέξανδρος ὁ βασιλεύς, καὶ ἐξέδετο αὐτῷ 58
Κλεοπάτραν τὴν θυγατέρα αὐτοῦ, καὶ ἐποίησεν τὸν γάμον αὐτῆς ἐν
Πτολεμαίδι, καθὼς οἱ βασιλεῖς, ἐν δόξῃ μεγάλῃ. [59]Καὶ 59
ἔγραψεν ὁ βασιλεὺς Ἀλέξανδρος Ἰωνάθῃ ἐλθεῖν εἰς συνάντησιν
αὐτῷ. [60]καὶ ἐπορεύθη μετὰ δόξης εἰς Πτολεμαίδα, καὶ ἀπήντησεν 60
τοῖς δυσὶν βασιλεῦσιν· καὶ ἔδωκεν αὐτοῖς ἀργύριον καὶ χρυσίον καὶ
τοῖς φίλοις αὐτῶν καὶ δόματα πολλά, καὶ εὗρεν χάριν ἐναντίον
αὐτῶν. [61]καὶ συνήχθησαν ἐπ' αὐτὸν ἄνδρες λοιμοὶ ἐξ Ἰσραήλ, 61
ἄνδρες παράνομοι, ἐντυχεῖν κατ' αὐτοῦ· καὶ οὐ προσέσχεν αὐτοῖς ὁ
βασιλεύς. [62]καὶ προσέταξεν αὐτοῖς ὁ βασιλεύς, καὶ ἐξέδυσεν Ἰωνα- 62
θὰν τὰ ἱμάτια αὐτοῦ, καὶ ἐνέδυσεν αὐτὸν πορφύραν· καὶ ἐποίησαν
οὕτως. [63]καὶ ἐκάθισεν αὐτὸν ὁ βασιλεὺς μετ' αὐτοῦ, καὶ εἶπεν τοῖς 63

ℵV 52 εκαθισα] ενεκαθισα ℵ | θρονω̄| ℵ* (θρονου ℵ^c.a) | εκρατησας ℵ* (-σα ℵ^c.a) | επεκρατησεν ℵ* (-σα ℵ^c.a) 53 εκαθισα ℵ^c.a (postea rurs εκαθισαμεν) 54 συνστησωμεν] νυν στησομεν ℵV (-σωμ.) | αυτον] αυτους ℵ εαυτους V | om νυν ℵV 55 ανεστρεψας] επεστρεψας ℵV | om σου ℵ* (hab ℵ^c.a) | αυτου ℵ* (-των ℵ^c.a) 56 απαντησον] + μοι ℵ^c.a | ιδωμεν] incep ειρδ ℵ* ειδωμεν ℵ^1, c.a 57 ετους...εκατοστου cum seqq (58) coniung ℵ | εξηκοστου] ξ' ℵ 58 om και 1° ℵ | Αλεξανδος (sic) A | εξεδοτο ℵ^c.a V 59 Αλεξ-ανδρος ο βασιλευς ℵV | Ιωναθη] Ιωναθα ℵ* τω Ιωναθαν ℵ^c.a Ιωναθαν V | συναντησιν] pr τη̄| ℵ^c.a 60 εις Πτ. μετα δ. V | δυσι V | βασιλευσι ℵV^a | δοματα ℵV] δυνατα A | εναντιον] ενωπιον ℵ 61 συνηχθησαν] επισυνη-χθησαν ℵV | επ] προς ℵV | παρανομοι] ανομοι ℵ 62 om αυτοις ℵV | ο βασιλευς] incep λ (improb ℵ^1) | εξεδυσαν ℵV | ενεδυσαν ℵ 63 εκαθισαν ℵ | ο βασιλευς] οι βασιλεις ℵ | αυτου 1°] αυτω̄| ℵ* (-του ℵ^c.a) | ειπαν ℵ* (-πεν ℵ^c.a)

ἄρχουσιν αὐτοῦ Ἐξέλθατε μετ᾽ αὐτοῦ εἰς μέσον τῆς πόλεως, καὶ A
κηρύξατε τοῦ μηδένα ἐντυγχάνειν κατὰ τούτου περὶ μηδενὸς πρά-
64 γματος, καὶ μηδεὶς αὐτῷ ἐνοχλείτω περὶ παντὸς λόγου. [64]καὶ ἐγένετο
ὡς εἶδον οἱ ἐντυγχάνοντες τὴν δόξαν αὐτοῦ καθὼς ἐκήρυξεν, καὶ περι-
65 βεβλημένον αὐτὸν σινδόνα, καὶ ἔφυγον πάντες. [65]καὶ ἐδόξασεν αὐτὸν
ὁ βασιλεύς, καὶ ἔγραψεν αὐτὸν τῶν πρώτων φίλων, καὶ ἔθετο αὐτὸν
66 στρατηγὸν καὶ μεριδάρχην. [66]καὶ ἐπέστρεψεν Ἰωναθὰν εἰς Ἰερου-
σαλὴμ μετ᾽ εἰρήνης καὶ εὐφροσύνης.

67 [67]Καὶ ἐν ἔτει πέμπτῳ καὶ ἑξηκοστῷ καὶ ἑκατοστῷ ἦλθεν Δημήτριος
68 ὁ υἱὸς Δημητρίου ἐκ Κρήτης εἰς τὴν γῆν τῶν πατέρων αὐτοῦ. [68]καὶ
ἤκουσεν Ἀλέξανδρος ὁ βασιλεύς, καὶ ἐλυπήθη σφόδρα, καὶ ἀπέστρεψεν
69 εἰς Ἀντιοχίαν. [69]καὶ κατέστησεν Δημήτριος Ἀπολλώνιον τὸν ὄντα
ἐπὶ Κοίλης Συρίας, καὶ συνήγαγεν δύναμιν μεγάλην, καὶ παρενέβαλεν
70 ἐν Ἰαμνείᾳ· καὶ ἀπέστειλεν πρὸς Ἰωναθὰν τὸν ἀρχιερέα, λέγων [70]Σὺ
μονώτατος ἐπαίρῃ ἐφ᾽ ἡμᾶς, ἐγὼ δὲ ἐγενήθην εἰς καταγέλωτα καὶ
ὀνειδισμὸν διὰ σέ· καὶ διὰ τί ἐξουσιάζῃ ἐφ᾽ ἡμᾶς ἐν τοῖς ὄρεσιν;
71 [71]νῦν οὖν εἰ πέποιθας ἐπὶ ταῖς δυνάμεσίν σου, κατάβηθι πρὸς ἡμᾶς
εἰς τὸ πεδίον, καὶ συγκριθῶμεν ἑαυτοῖς ἐκεῖ, ὅτι μετ᾽ ἐμοῦ ἐστιν
72 δύναμις τῶν πόλεων. [72]ἐρώτησον καὶ μάθε τίς εἰμι καὶ οἱ λοιποὶ
οἱ βοηθοῦντες ἡμῖν· καὶ λέγουσιν Οὐκ ἔστιν ὑμῖν στάσις ποδὸς κατὰ
πρόσωπον ἡμῶν, ὅτι δὶς ἐτροπώθησαν οἱ πατέρες σου ἐν τῇ γῇ αὐτῶν.
73 [73]καὶ νῦν οὐ δυνήσῃ ὑποστῆναι τὴν ἵππον καὶ δύναμιν τοιαύτην
ἐν τῷ πεδίῳ, ὅπου οὐκ ἔστιν λίθος οὐδὲ κόχλαξ οὐδὲ τόπος τοῦ
74 φυγεῖν. [74]Ὡς δὲ ἤκουσεν Ἰωναθὰν τῶν λόγων Ἀπολλωνίου,
ἐκινήθη τῇ διανοίᾳ, καὶ ἐπέλεξεν δέκα χιλιάδας ἀνδρῶν, καὶ ἐξῆλθεν
ἐξ Ἰερουσαλήμ, καὶ συνήντησεν αὐτῷ Σίμων ὁ ἀδελφὸς αὐτοῦ ἐπὶ
75 βοήθειαν αὐτοῦ. [75]καὶ παρενέβαλεν ἐπὶ Ἰόππην, καὶ ἀπέκλεισαν

63 om αυτου 2° ℵ* (hab ℵ$^{c.a}$) V | κατα τουτου] κατα του σου (sic) A κατ ℵV αυτου ℵV | παρενοχλειτω ℵV **64** σινδονα] πορφυραν ℵV | om και 3° V **66** om εις Ιερουσαλημ ℵ **67** εν ετει...εκατοστω] ε̄ ετι και ξ′ και ρ′ ℵ* εν ε′ ετι κ. ξ′ κ. ρ′ ℵ$^{c.a}$ | ο υιος] om ο ℵV | εκ Κρητης] om κ 1° A* (superscr A$^{a?}$) **68** ελυπηθη] + ο βασιλευς ℵ* (improb et unc incl ℵ$^{1, c.a, c.b}$) | υπεστρεψεν ℵ* (απεστρ. ℵ$^{c.a}$) V | Αντιοχειαν V **69** Κοιλης] pr της ℵ$^{c.a}$ | παρενεβαλον ℵ* (-λεν ℵ$^{c.a}$) | εν Ιαμνεια] επι Ιαμνιαν ℵV **70** ονειδισμον] pr εις ℵV | εξουσιαζη (-ζει V^{a})] pr συ ℵ **71** ει πεποιθας] επιπεποιθας (? επι πεπ.) ℵ | συγκρ. V^{a} | μετ εμου εστιν] ουκ εστι] ετι ℵ* (μετ εμ. εστ. ℵ$^{c.a}$) **72** λοιμοι V* (λοιπ. V^{1}) | ημιν] υμιν V | υμιν] ημιν ℵ*A (υμ. ℵ$^{c.a}$) | στασις] seq ras 1 lit (σ vel ο) in A | om ποδος ℵ* ποδων ℵ$^{c.a}$ | δις ετροπωθησαν] διετροπωθησαν ℵ **73** om και 2° ℵ | του φυγειν] που φυγειν A **74** εξ] εις ℵ* (εξ ℵ$^{c.b}$) | συνηντησεν] συνην V | επι βοηθειαν] ε. βοηθιαν ℵ επιβοηθειν V | αυτου 2°] αυτω ℵV **75** Ιωππ. V

A αὐτὸν οἱ ἐκ τῆς πόλεως, ὅτι φρουρὰ Ἀπολλωνίου ἐν Ἰόππῃ, καὶ
ἐπολέμησαν αὐτήν. [76]καὶ φοβηθέντες ἤνοιξαν οἱ ἐκ τῆς πόλεως, 76
καὶ ἐκυρίευσεν Ἰωναθὰν Ἰόππης. [77]καὶ ἤκουσεν Ἀπολλώνιος, καὶ 77
παρενέβαλεν τρισχιλίαν ἵππον καὶ δύναμιν πολλήν, καὶ ἐπορεύθη
εἰς Ἄζωτον ὡς διοδεύων, καὶ ἅμα προσῆγεν εἰς τὸ πεδίον, καὶ διὰ
τὸ ἔχειν αὐτὸν πλῆθος ἵππου καὶ πεποιθέναι ἐπ᾽ αὐτήν. [78]καὶ κατε- 78
δίωξεν ὀπίσω αὐτοῦ εἰς Ἄζωτον, καὶ συνῆψαν αἱ παρεμβολαὶ ὀπίσω
αὐτοῦ εἰς πόλεμον. [79]καὶ ἀπέλειπεν Ἀπολλώνιος χιλίαν ἵππον 79
κρυπτῶς κατόπισθεν αὐτῶν· [80]καὶ ἔγνω Ἰωναθὰν ὅτι ἔστιν ἔνεδρον 80
κατόπισθεν αὐτοῦ. καὶ ἐκύκλωσαν αὐτοῦ τὴν παρεμβολήν, καὶ ἐξετί-
ναξαν τὰς σχίζας εἰς τὸν λαὸν ἐκ πρωίθεν ἕως δείλης. [81]ὁ δὲ λαὸς 81
ἱστήκει καθὼς ἐπέταξεν Ἰωναθάν, καὶ ἐκοπίασαν οἱ ἵπποι αὐτῶν.
[82]καὶ εἵλκυσεν Σίμων τὴν δύναμιν αὐτοῦ, καὶ συνῆψεν πρὸς τὴν 82
φάλαγγα, ἡ γὰρ ἵππος ἐξελύθη· καὶ συνετρίβησαν ἀπ᾽ αὐτοῦ, καὶ
ἔφυγαν. [83]καὶ ἡ ἵππος ἐσκορπίσθη ἐν τῷ πεδίῳ, καὶ ἔφυγον εἰς 83
Ἄζωτον, καὶ εἰσῆλθον εἰς Βηθδαγὼν τὸ εἰδώλιον αὐτῶν τοῦ σωθῆναι.
[84]καὶ ἐνεπύρισεν Ἰωναθὰν τὴν Ἄζωτον καὶ τὰς πόλεις τὰς κύκλῳ 84
αὐτῆς, καὶ ἔλαβεν τὰ σκῦλα αὐτῶν, καὶ τὸ ἱερὸν Δαγὼν καὶ τὸ ἱερὸν
αὐτῆς ἐνεπύρισεν ἐν πυρί. [85]καὶ ἐγένοντο οἱ πεπτωκότες μαχαίρᾳ 85
σὺν τοῖς ἐνπυρισθεῖσιν εἰς ἄνδρας ὀκτακισχιλίους. [86]καὶ ἀπῆρεν 86
ἐκεῖθεν Ἰωναθάν, καὶ παρενέβαλεν εἰς Ἀσκάλωνα, καὶ ἐξῆλθον οἱ
ἐκ τῆς πόλεως εἰς συνάντησιν αὐτῷ ἐν δόξῃ μεγάλῃ. [87]καὶ ἐπέ- 87
στρεψεν Ἰωναθὰν σὺν τοῖς παρ᾽ αὐτοῦ ἔχοντες σκῦλα πολλά. [88]καὶ 88
ἐγένετο ὡς ἤκουσεν Ἀλέξανδρος ὁ βασιλεὺς τοὺς λόγους τούτους, καὶ
προσέθετο δοξάσαι τὸν Ἰωναθάν. [89]καὶ ἀπέστειλεν αὐτῷ πόρπην 89
χρυσῆν, ὡς ἔθος ἐστὶν δίδοσθαι τοῖς συγγενεῦσιν τῶν βασιλέων· καὶ
ἔδωκεν αὐτῷ τὴν Ἀκκαρὼν καὶ πάντα τὰ ὅρια αὐτῆς εἰς κληροδοσίαν.

ℵV 75 αυτον] αυτην ℵ* (-τον ℵ[c.a]) V | φρουραν ℵ | Ιοππη (Ιωππ. V)] + ευρον ℵ | επολεμησεν V 76 φοβηθεντες] incep e ℵ* (improb ℵ[1]) | εκυριευσαν ℵ* (-σεν ℵ[c.a, c.b]) | Ιωππ. V[a] 77 παρεβαλεν V* παρελαβεν V[1] | προηγεν ℵ | om και 6° ℵV | αυτην] αυτη ℵ 78 αυτου 1°] + εις πολεμον ℵV 79 απελιπεν ℵ 80 αυτου 1°] αυτων V | εκυκλωσεν V | λαον] ναο̄| ℵ* (λαον ℵ[c.a]) 82 συνηψαν ℵ | φαραγγα ℵ* (φαλ. ℵ[c.a]) φραγγ. V* (φαρ. V[1]) | απ] υπ ℵV | εφυγον V 83 εσκορπ.] εξελυθη V | εφυγεν ℵ | Βηθδαγων] Βοδαγων ℵ* (Βηθδ. ℵ[c.a, c.b]) 84 τας (τ sup ras A[a]) πολεις] τας πολις ℵ | και το ιερον αυτης] και τους συνφυτοῡ|τουντας εις αυτο ℵ* (improb τοῡ ℵ[1?]) και τους συνφευγοντας (-φυγ. V) εις αυτο ℵ[c.a, c.b]V | om εν ℵV 85 εγενετο ℵ* (εγενοντο ℵ[c.a]) | εμπυρισθισιν ℵ 86 εκειθεν] ενθε̄| ℵ om V | εις 1°] επι ℵV | Ασκαλωνα] Καλωνα A 87 Ιωναθαν] + ις (εις ℵ[c.a]) Ῑη̄λ̄μ̄ ℵ + εις Ιλημ V | εχοντι ℵ* (-τες ℵ[c.a]) 88 om Αλεξανδρος V | προσεθετο] + ετι ℵV 89 εστι V | συγγενεσιν ℵ* (-νευσιν ℵ[c.a]) V (-σι) | Ακκαρω ℵ* (Ακκαρων ℵ[c.b])

XI 1 [1]Καὶ ὁ βασιλεὺς Αἰγύπτου ἤθροισεν δυνάμεις πολλὰς ὡς ἡ ἄμμος A
ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης, καὶ πλοῖα πολλά· καὶ ἐζήτησεν
κατακρατῆσαι τῆς βασιλείας Ἀλεξάνδρου δόλῳ, καὶ προσθεῖναι αὐτὴν
2 τῇ βασιλείᾳ αὐτοῦ. [2]καὶ ἐξῆλθεν εἰς Συρίαν λόγοις εἰρηνικοῖς, καὶ
ἤνοιγον αὐτῷ οἱ ἀπὸ τῶν πόλεων, καὶ συνήντων αὐτῷ, ὅτι ἐντολὴ
ἦν Ἀλεξάνδρου τοῦ βασιλέως συναντᾶν αὐτῷ διὰ τὸ πενθερὸν αὐτοῦ
3 εἶναι. [3]ὡς δὲ εἰσεπορεύετο εἰς τὰς πόλεις Πτολεμαίδος, ἀπέτασσε
4 τὰς δυνάμεις φρουρὰν ἐν ἑκάστῃ πόλει. [4]ὡς δὲ ἤγγισεν Ἀζώτου,
ἔδειξαν αὐτῷ τὸ ἱερὸν Δαγὼν ἐνεπυρισμένον καὶ Ἄζωτον καὶ τὰ περι-
πόλια αὐτῆς καθῃρημένα καὶ τὰ σώματα ἐρριμμένα, καὶ τοὺς ἐνπε-
πυρισμένους οὓς ἐνεπύρισεν ἐν τῷ πολέμῳ, ἐποίησαν γὰρ θιμωνιὰς
5 αὐτῶν ἐν τῇ ὁδῷ αὐτοῦ. [5]καὶ διηγήσαντο τῷ βασιλεῖ ἃ ἐποίησεν
6 Ἰωναθάν, εἰς τὸ ψογίσαι αὐτόν· καὶ ἐσίγησεν ὁ βασιλεύς. [6]καὶ
συνήντησεν Ἰωναθὰν τῷ βασιλεῖ εἰς Ἰόππην μετὰ δόξης, καὶ ἠσπά-
7 σαντο ἀλλήλους, καὶ ἐκοιμήθησαν ἐκεῖ. [7]καὶ ἐπορεύθη Ἰωναθὰν
μετὰ τοῦ βασιλέως ἕως τοῦ ποταμοῦ τοῦ καλουμένου Ἐλευθέρου, καὶ
8 ἐπέστρεψεν εἰς Ἰερουσαλήμ. [8]ὁ δὲ βασιλεὺς Πτολεμαῖος ἐκυρίευσεν
τῶν πόλεων τῆς παραλίας ἕως Σελευκίας τῆς παραθαλασσίας, καὶ
9 διελογίζετο περὶ Ἀλεξάνδρου λογισμοὺς πονηρούς. [9]καὶ ἀπέστειλεν
πρέσβεις πρὸς Δημήτριον βασιλέα, λέγων Δεῦρο συνθώμεθα πρὸς
ἑαυτοὺς διαθήκην, καὶ δώσω σοι τὴν θυγατέρα μου ἣν ἔχει Ἀλέ-
10 ξανδρος, καὶ βασιλεύσεις τῆς βασιλείας τοῦ πατρός σου· [10]μεταμε-
μέλημαι γὰρ δοὺς αὐτῷ τὴν θυγατέρα μου, ἐζήτησεν γὰρ ἀποκτεῖναί με.
11 [11]καὶ ἐψόγισεν αὐτὸν χάριν τοῦ ἐπιθυμῆσαι αὐτὸν τῆς βασιλείας
12 αὐτοῦ. [12]καὶ ἀφελόμενος αὐτοῦ τὴν θυγατέρα, ἔδωκεν αὐτὴν τῷ
Δημητρίῳ, καὶ ἠλλοιώθη τὸ πρόσωπον Ἀλεξάνδρου, καὶ ἐφάνη ἔχθρα

XI 1 ο βασιλευς] om ο ℵV | δυναμις ℵ* (-μεις ℵc.b) A | πολλα V* (-λας ℵV Va) | ως η] ως ει Va | η παρα] om η ℵ* (hab ℵc.a) | εζητησεν κατακρατησαι] εζητησε και κατεκρατησε ℵ* (εζητησε κατακρατησε ℵc.a)　2 λογοις ειρηνικοις] λεγων λογους ιρηνικους ℵ | των πολεων] της πολεως ℵ | συνηντου̅| ℵ | εντολη ην] εντολην A* (-λη ην A1) | τον V* (το Va)　3 εισεπορευοντο V | Πτολεμαιδος] Πτολεμαιος ℵ* c.b (vid) (Πτολεμαιδ. ℵc.a) | απετασσε̅| V | δυναμις A | φρουραν] φρουρειν ℵc.b (-ριν) V　4 ηγγισεν] ηγγεισαν ℵ | Αζωτω Va | ενεπυρισμενον] ενπεπυρισμενον ℵV εμπ. Va | περιπολεια A | τα σωματα] om τα ℵ | εριμμ. V | ενπεπυρισμενους ους (-νους| νους A* -νους| ους A1?)] εμπεπ. ους ℵVa | θειμωνιας ℵ θημ. Va　5 ψογισαι] ψεξαι ℵ　6 Ιωππ. Va　7 μετα του ℵV] μετ αυτου A　8 ο δε Πτολεμαιος ο βασιλευς ℵ | Πτολεμεος A: item 13, 15, 16, 18 | της παραλ.] pr εως V | παραλιου ℵ | Σελευκειας Va　9 βασιλεα] pr τον ℵ | θυγατεραν ℵ | ειχεν ℵ* (εχει ℵc.a et ut vid c.b) V | om και 3° ℵ* (hab ℵc.a) | της βασιλειας] τη βασιλεια A* vid (της βασιλειας A1) την βασιλειαν ℵ　10 μεταμεμελημαι γαρ] μετα γαρ εμε ℵ* (μεταμεμεληме γαρ ℵc.a)　11 εψογισεν] εψεξε̅| ℵ* (εψογ. ℵc.a) | βασιλιας ℵ　12 τω Δημ.] om τω ℵ | ηλλ. το προσ. Αλεξανδρου] εδηλωθη τω Αλεξανδρω ℵ ηλλ. τω Αλ. V | εχθρα] pr η ℵV

A αὐτῶν. [13]Καὶ εἰσῆλθεν Πτολεμαῖος εἰς Ἀντιοχίαν, καὶ περιέθετο 13
τὸ διάδημα τῆς Ἀσίας, καὶ περιέθετο δύο διαδήματα περὶ τὴν κεφαλὴν
αὐτοῦ, τὸ τῆς Ἀσίας καὶ Αἰγύπτου. [14]Ἀλέξανδρος δὲ ὁ βασιλεὺς ἦν 14
εἰς Κιλικίαν κατὰ τοὺς καιροὺς ἐκείνους, ὅτι ἀπεστάτουν οἱ ἀπὸ τῶν
τόπων ἐκείνων. [15]καὶ ἤκουσεν Ἀλέξανδρος, καὶ ἦλθεν ἐπ᾽ αὐτὸν ἐν 15
πολέμῳ· καὶ ἐξήγαγεν Πτολεμαῖος καὶ ἀπήντησεν αὐτῷ ἐν χειρὶ
ἰσχυρᾷ, καὶ ἐτροπώσατο αὐτόν. [16]καὶ ἔφυγεν Ἀλέξανδρος εἰς τὴν 16
Ἀραβίαν, τοῦ σκεπασθῆναι αὐτὸν ἐκεῖ· ὁ δὲ βασιλεὺς Πτολεμαῖος
ὑψώθη. [17]καὶ ἀφεῖλεν Ζαβδιὴλ ὁ Ἄραψ τὴν κεφαλὴν Ἀλεξάνδρου, 17
καὶ ἀπέστειλεν τῷ Πτολεμαίῳ. [18]καὶ ὁ βασιλεὺς Πτολεμαῖος ἀπέ- 18
θανεν ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ οἱ ὄντες ἐν τοῖς ὀχυρώμασιν αὐτοῦ
ἀπώλοντο ὑπὸ τῶν ἐν τοῖς ὀχυρώμασιν. [19]καὶ ἐβασίλευσεν Δημήτριος 19
ἔτους ἑβδόμου καὶ ἑξηκοστοῦ καὶ ἑκατοστοῦ.

[20]Ἐν ταῖς ἡμέραις ἐκείναις συνήγαγεν Ἰωναθὰν τοὺς ἐκ τῆς Ἰου- 20
δαίας, τοῦ ἐκπολεμῆσαι τὴν ἄκραν τὴν ἐν Ἰερουσαλήμ· καὶ ἐποίησαν
ἐπ᾽ αὐτὴν μηχανὰς πολλάς. [21]καὶ ἐπορεύθησάν τινες μισοῦντες τὸ 21
ἔθνος αὐτῶν, ἄνδρες παράνομοι, πρὸς τὸν βασιλέα, καὶ ἀπήγγειλαν
αὐτῷ ὅτι Ἰωναθὰν περικάθηται τὴν ἄκραν. [22]καὶ ἀκούσας ὠργίσθη· 22
ὡς δὲ ἤκουσεν, εὐθέως ἀναζεύξας ἦλθεν εἰς Πτολεμαίδα, καὶ ἔγραψεν
Ἰωναθὰν τοῦ μὴ περικαθῆσθαι καὶ τοῦ ἀπαντῆσαι αὐτὸν αὐτῷ συν-
μίσγειν εἰς Πτολεμαίδα τὴν ταχίστην. [23]ὡς δὲ ἤκουσεν Ἰωναθάν, 23
ἐκέλευσεν περικαθῆσθαι· καὶ ἐπέλεξεν τῶν πρεσβυτέρων Ἰσραὴλ καὶ
τῶν ἱερέων, καὶ ἔδωκεν αὐτὸν τῷ κινδύνῳ. [24]καὶ λαβὼν ἀργύριον 24
καὶ χρυσίον καὶ ἱματισμὸν καὶ ἕτερα ξένια πλείονα, καὶ ἐπορεύθη
πρὸς τὸν βασιλέα εἰς Πτολεμαίδα, καὶ εὗρεν χάριν ἐναντίον αὐτοῦ.
[25]καὶ ἐνετύγχανον κατ᾽ αὐτοῦ τινες ἄνομοι τῶν ἐκ τοῦ ἔθνους. [26]καὶ 25 26
ἐποίησεν αὐτῷ ὁ βασιλεὺς καθὼς ἐποίησαν αὐτῷ οἱ πρὸ αὐτοῦ, καὶ
ὕψωσεν αὐτὸν ἐναντίον πάντων τῶν φίλων αὐτοῦ. [27]καὶ ἔστησεν 27
αὐτῷ τὴν ἀρχιερωσύνην, καὶ ὅσα ἄλλα εἶχεν τίμια τὸ πρότερον, καὶ

ℵV 13 εισηλθεν] εξηλθεν ℵ* (εισηλθ. ℵc.a, c.b) | Αντιοχειαν V | Αιγυπτου και Ασιας ℵ Αιγ. και το της Ασ. V 14 εις Κιλικιαν] εν Κιλικια ℵV 15 ηλθον ℵ* (ηλθεν ℵc.a) | αυτον 1°] αυτων Va | om εν 1° ℵc.aV | Πτολεμαιος] + την δυναμιν ℵc.a 16 om αυτον ℵ* (hab ℵc.a) 18 ο βασιλευς] om ο ℵ* (hab ℵc.b) | om εν 1° ℵ 19 εβδομου...εκατοστου] ζ′ και ξ′ και ρ′ ℵ 20 εκειναισυνηγαγεν ℵ | εκπολεμησαι] πολεμησαι ℵ | εποιησεν ℵ | εν αυτη ℵ* (επ αυτην ℵc.a, c.b) 21 επορευθημεν ℵ* (-σαν ℵc.a) | εθνος] + ημω̄| ℵ* (improb ℵ1, c.a) 22 περικαθησθαι] + τη ακρα ℵc.a | συνμισγειν (συνμιγειν V* συγμιγηναι Va)] pr κ ℵc.a 23 om δε ℵ* (hab ℵc.a) | επελεξεν] εξελεξεν ℵ | ιερεων] Ιουδαιων ℵ | αυτον] εαυτον ℵ 24 ετερα ξενια] εταραξεν τα A | πλειον ℵ* (πλειονα ℵc.a) | om και 5° V 26 οι προ αυτου αυτω ℵ | παντων των φ. αυτου] των φιλω̄| αυτου παντων ℵ παντων τ. φ. α. παντων (sic) V 27 αρχιεροσυνην AV*

28 ἐποίησεν αὐτὸν τῶν πρώτων φίλων ἡγεῖσθαι. [28]καὶ ἠξίωσεν Ἰωναθὰν A
τὸν βασιλέα ποιῆσαι τὴν Ἰουδαίαν ἀφορολόγητον καὶ τὰς τρεῖς τοπαρ-
χίας καὶ τὴν Σαμαρῖτιν, καὶ ἐπηγγείλαντο αὐτῷ τάλαντα τριακόσια.
29 [29]καὶ εὐδόκησεν ὁ βασιλεύς, καὶ ἔγραψεν τῷ Ἰωναθὰν ἐπιστολὰς περὶ
30 πάντων τούτων ἐχούσας τὸν τρόπον τοῦτον [30]Βασιλεὺς Δημήτριος
31 Ἰωναθὰν τῷ ἀδελφῷ χαίρειν, καὶ ἔθνει Ἰουδαίῳ. [31]τὸ ἀντίγραφον
τῆς ἐπιστολῆς, ἧς ἐγράψαμεν Λασθένει τῷ συγγενεῖ ἡμῶν περὶ ὑμῶν,
32 γεγράφαμεν καὶ πρὸς ὑμᾶς, ὅπως ἴδητε [32]Βασιλεὺς Δημήτριος
33 Λασθένει τῷ πατρὶ χαίρειν. [33]τῷ ἔθνει τῶν Ἰουδαίων φίλοις ἡμῶν
καὶ συντηροῦσι τὰ πρὸς ἡμᾶς δίκαια ἐκρίναμεν ἀγαθοποιῆσαι, χάριν
34 τῆς ἑαυτῶν εὐνοίας πρὸς ἡμᾶς. [34]ἑστάκαμεν οὖν αὐτοῖς τὰ ὅρια τῆς
Ἰουδαίας καὶ τοὺς τρεῖς νομούς, Ἀφαίρεμα καὶ Λυδδὰ καὶ Ῥαθαμείν·
προσετέθησαν τῇ Ἰουδαίᾳ ἀπὸ τῆς Σαμαρίτιδος· καὶ πάντα τὰ
συγκυροῦντα αὐτοῖς πᾶσιν τοῖς θυσιάζουσιν εἰς Ἰεροσόλυμα, ἀντὶ
τῶν βασιλικῶν ὧν ἐλάμβανεν ὁ βασιλεὺς παρ᾽ αὐτῶν τὸ πρότερον
35 κατ᾽ ἐνιαυτὸν ἀπὸ τῶν γενημάτων τῆς γῆς καὶ τῶν ἀκροδρύων. [35]καὶ
τὰ ἄλλα τὰ ἀνήκοντα ἡμῖν ἀπὸ τοῦ νῦν τῶν δεκατῶν καὶ τῶν τελῶν
τῶν ἀνηκόντων ἡμῖν, καὶ τὰς τοῦ ἁλὸς λίμνας, καὶ τοὺς ἀνήκοντας
36 ἡμῖν στεφάνους, πάντα ἐπαρκέσομεν αὐτοῖς. [36]καὶ οὐκ ἀθετήσεται
37 οὐδὲν τούτων ἀπὸ τοῦ νῦν ἐπὶ τὸν ἅπαντα χρόνον. [37]νῦν οὖν ἐπι-
μελεῖσθε τοῦ ποιῆσαι τούτων ἀντίγραφον, καὶ δοθήτω Ἰωναθάν, καὶ
38 τεθήτω ἐν ὄρει τῷ ἁγίῳ ἐν τόπῳ ἐπιτηδείῳ ἐπισήμῳ. [38]Καὶ
ἴδεν Δημήτριος ὁ βασιλεὺς ὅτι ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ
καὶ οὐθὲν αὐτῷ ἀνθεστήκει, καὶ ἀπέλυσεν πάσας τὰς δυνάμεις
αὐτοῦ, ἕκαστον εἰς τὸν ἴδιον τόπον, πλὴν τῶν ξένων δυνάμεων
ὧν ἐξενολόγησεν ἀπὸ τῶν νήσων τῶν ἐθνῶν· καὶ ἤχθρασαν αὐτῶν

27 *των πρωτων*] om *των* ℵ* (hab ℵ^c.a) om *πρωτων* V **28** Ιουδαια ℵ* ℵV (-*δαιαν* ℵ^c.a) | *τας τρεις τοπαρχιας*] *τρις τριηραρχιας* ℵ* (*τας τρις τοπ.* ℵ^c.a, c.b) | *Σαμαρειτιν* ℵV^a | *επηγγειλατο* ℵV **29** *επιστολην* V | *εχουσαν* V **30** Ιουδαιων ℵA^aV **31** om *το* ℵ | *συνγενει* ℵ | *ημων*] *υμων* ℵ*A* vid (*ημ.* ℵ^c.a A^a) **32** Λασθενι ℵA **33** *ημων*] *ουσιν* ℵ | *συντηρουσιν* V* | *αγαθον ποιησαι* ℵ | *εαυτων*] *εξ αυτων* ℵV **34** *εστακιμεν* ℵ | om *ουν* ℵ | om *αυτοις* 1° V | *τα ορια*] *τα τε ορ.* ℵV | Αφερεμα AV* | Ιουδεα ℵ (-*δαια* ℵ^c.a) | *Σαμαρειτ.* V | *συνκυρουντα* ℵV* | *πασι* V | *ακροδυων* A **35** *τελων*] + *και* ℵ* (improb ℵ^1? (non c.a)) | *το του αλος λιμνων* ℵ* (*τας τ. αλ. λιμνας* ℵ^c.a) | *παντας* ℵ | *επαρκεσωμεν* ℵ **36** *αθετησετε* ℵ *αθετηθησεται* V | *ουδεν*] *ουδε εν* ℵ | *νυν*] + *απο του νυν* ℵ* (improb ℵ^c.a) | *επι*] *εις* ℵ* *και εις* ℵ^c.a **37** *επιμελεσθαι* ℵV* | Ιναθαν V* | *ορει*] pr *τω* ℵ | *τοπω επιτηδειω*] *τω τοπω επιτηριω* ℵ* (*επιτηδ.* ℵ^c.a) **38** *ειδεν* ℵV* | *ουδεν* ℵV | *ανθιστ.* V* (*ανθειστ.* V^a) | om *πασας* ℵV | om *εις τον* A | *ιδιον τοπον*] *τ. αυτου* V | *δυναμενων* ℵ | *ηχθρασαν αυτων*] *ηχθραινον αυτω* ℵ *ηχραναν* (*ηχθρ.* V^1) *αυτω* V

A πᾶσαι αἱ δυνάμεις αἱ ἀπὸ τῶν πατέρων. 39Τρύφων δὲ ἦν τῶν 39
παρὰ Ἀλεξάνδρου τὸ πρότερον, καὶ ἴδεν ὅτι πᾶσαι αἱ δυνάμεις
καταγογγύζουσιν κατὰ τοῦ Δημητρίου, καὶ ἐπορεύθη πρὸς Σιν-
μαλκουὴ τὸν Ἄραβα, ὃς ἔτρεφεν τὸν Ἀντίοχον τὸ παιδάριον
τὸ τοῦ Ἀλεξάνδρου· 40καὶ προσήδρευεν αὐτῷ, ὅπως παραδοῖ 40
αὐτὸν αὐτῷ, ὅπως βασιλεύσῃ ἀντὶ τοῦ πατρὸς αὐτοῦ· καὶ ἀπ-
ήγγειλαν αὐτῷ ὅσα συνετέλεσεν Δημήτριος, καὶ τὴν ἔχθραν ἣν
ἐχθραίνουσιν αὐτῷ αἱ δυνάμεις αὐτοῦ· καὶ ἔμεινεν ἐκεῖ ἡμέρας
πολλάς. 41Καὶ ἀπέστειλεν Ἰωναθὰν πρὸς Δημήτριον τὸν 41
βασιλέα, ἵνα ἐκβάλῃ τοὺς ἐκ τῆς ἄκρας ἐξ Ἰερουσαλὴμ καὶ τοὺς
ἐν τοῖς ὀχυρώμασιν· ἦσαν γὰρ πολεμοῦντες τὸν Ἰσραήλ. 42καὶ ἀπέ- 42
στειλεν Δημήτριος πρὸς Ἰωναθὰν λέγων Οὐ μόνον ταῦτα ποιήσω σοι
καὶ τῷ ἔθνει σου, ἀλλ' ἢ δόξῃ δοξάσω σε καὶ τὸ ἔθνος σου, ἐὰν
εὐκαιρίας τύχω. 43νῦν οὖν ὀρθῶς ποιήσεις ἀποστείλας ἡμῖν ἄνδρας 43
οἳ συμμαχήσουσίν μοι, ὅτι ἀπέστησαν πᾶσαι αἱ δυνάμεις μου. 44καὶ 44
ἀπέστειλεν Ἰωναθὰν ἄνδρας τρισχιλίους δυνατοὺς ἰσχύι αὐτῶν εἰς
Ἀντιοχίαν, καὶ ἦλθοσαν πρὸς τὸν βασιλέα, καὶ ηὐφράνθη ὁ βασιλεὺς
ἐπὶ τῇ ἐφόδῳ αὐτῶν. 45καὶ ἐπισυνήχθησαν οἱ ἐκ τῆς πόλεως εἰς 45
μέσον τῆς πόλεως εἰς ἄνδρας δώδεκα μυριάδας, καὶ ἠβούλοντο
ἀνελεῖν τὸν βασιλέα. 46καὶ ἔφυγεν ὁ βασιλεὺς εἰς τὴν αὐλήν, καὶ 46
κατελάβοντο οἱ ἐκ τῆς πόλεως τὰς διόδους τῆς πόλεως, καὶ ἤρξαντο
ἐκπολεμεῖν. 47καὶ ἐκάλεσεν ὁ βασιλεὺς τοὺς Ἰουδαίους ἐπὶ βοήθειαν, 47
καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν πάντες ἅμα· καὶ διεσπάρησαν ἐν τῇ
πόλει· καὶ ἀπέκτειναν ἐν τῇ πόλει ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς μυριάδας
δέκα. 48καὶ ἐνεπύρισαν τὴν πόλιν, καὶ ἐλάβοσαν σκῦλα πολλὰ ἐν 48
ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ ἔσωσαν τὸν βασιλέα. 49καὶ ἴδον οἱ ἀπὸ τῆς 49
πόλεως ὅτι κατεκράτησαν οἱ Ἰουδαῖοι τῆς πόλεως ὡς ἠβούλοντο, καὶ
ἠσθένησαν ταῖς διανοίαις αὐτῶν, καὶ ἐκέκραξαν πρὸς τὸν βασιλέα

ℵV 39 ειδεν ℵV | Σινμαλκουη] Ιμαλκουε ℵV | ετρεφεν] ετρεψεν ℵ* (εθρεψεν ℵ1, c.b) | τον Αντιοχον] om τον ℵV | το του Αλεξ.] τον του Αλεξ. ℵV 40 om οπως παραδοι αυτον αυτω ℵ | παραδω V | βασιλευσει V* (-ση Va) | απηγγειλεν ℵV | οσα] α V | συνετελεσεν] συνετασσεν ℵV | Δημητριος] pr ο ℵV 42 Δημητριος]+ο ℵ* (improb ℵ1, c) | ταυτα μονον ℵV | αλλα ℵ* (αλλ η ℵc.a) | δοξη ℵc.a | εαν] αν ℵV 43 αποστελλων V | ημιν] μοι ℵV 44 τρισχιλιους] ⁊͞Γ ℵ* ,γ' ℵc.a | αυτων 1°] αυτω ℵV | Αντιοχειαν V | ηλθοσ̄ ℵV | ευφρ. V 45 εκ] απο ℵV | om εις 2° A | ανδρων ℵV 46 πολεως 1°] οικιας ℵ | εκπολεμειν] πολεμειν ℵV 47 επεσυνηχθ. V | παντες προς αυτο̄ ℵ om V | om εν τη πολει (2°) ℵV 48 ελαβον ℵV | om εν V 49 ειδον ℵV | om ως ηβουλοντο ℵ* (hab ως εβουλοντο ℵc.a V) | εκεκραξαν] εκρατησαν ℵ* εκραξαν ℵc.a

50 μετὰ δεήσεως, λέγοντες [50]Δὸς ἡμῖν δεξιάς, καὶ παυσάσθωσαν οἱ A
51 Ἰουδαῖοι πολεμοῦντες ἡμᾶς καὶ τὴν πόλιν. [51]καὶ ἔριψαν τὰ ὅπλα,
καὶ ἐποίησαν εἰρήνην· καὶ ἐδοξάσθησαν οἱ Ἰουδαῖοι ἐναντίον τοῦ
βασιλέως καὶ ἐνώπιον πάντων τῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ· καὶ ἐπέ-
52 στρεψαν εἰς Ἰερουσαλὴμ ἔχοντες σκῦλα πολλά. [52]καὶ ἐκάθισεν ὁ
βασιλεὺς Δημήτριος ἐπὶ θρόνου τῆς βασιλείας αὐτοῦ, καὶ ἡσύχασεν
53 ἡ γῆ ἐνώπιον αὐτοῦ· [53]καὶ ἐψεύσατο πάντα ὅσα εἶπεν, καὶ ἠλλο-
τριώθη τῷ Ἰωναθὰν καὶ οὐκ ἀνταπέδωκεν τὰς εὐνοίας ἃς ἀνταπέδωκεν
54 αὐτῷ, καὶ ἔθλιψεν αὐτὸν σφόδρα. [54]Μετὰ δὲ ταῦτα ἀπέστρεψεν
Τρύφων καὶ Ἀντίοχος μετ' αὐτοῦ, παιδάριον νεώτερον· καὶ ἐβασί-
55 λευσεν, καὶ ἐπέθετο διάδημα. [55]καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν
πᾶσαι αἱ δυνάμεις ἃς ἀπεσκοράκισεν Δημήτριος, καὶ ἐπολέμησαν
56 πρὸς αὐτόν, καὶ ἔφυγεν καὶ ἐτροπώθη· [56]καὶ ἔλαβεν Τρύφων τὰ
57 θηρία, καὶ κατεκράτησεν Ἀντιοχίας. [57]καὶ ἔγραψεν Ἀντίοχος ὁ
νεώτερος Ἰωνάθᾳ λέγων Ἵστημί σοι τὴν ἀρχιερωσύνην, καὶ καθί-
στημί σε ἐπὶ τῶν τεσσάρων νομῶν, καὶ εἶναί σε τῶν φίλων τοῦ
58 βασιλέως. [58]καὶ ἀπέστειλεν αὐτῷ χρυσώματα καὶ διακονίαν, καὶ
ἔδωκεν αὐτῷ ἐξουσίαν πίνειν ἐν χρυσώμασιν καὶ εἶναι ἐν πορφύρᾳ
59 καὶ ἔχειν πόρπην χρυσῆν. [59]καὶ Σίμωνα τὸν ἀδελφὸν αὐτοῦ κατέ-
στησεν στρατηγὸν ἀπὸ τῆς κλίμακος Τύρου ἕως τῶν ὁρίων Αἰγύπτου.
60 [60]καὶ ἐξῆλθεν Ἰωναθάν, καὶ διεπορεύετο πέραν τοῦ ποταμοῦ καὶ ἐν
ταῖς πόλεσιν, καὶ ἠθροίσθησαν πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις Συρίας
εἰς συμμαχίαν· καὶ ἦλθεν εἰς Ἀσκάλωνα, καὶ ἀπήντησαν αὐτῷ οἱ
61 ἐκ τῆς πόλεως ἐνδόξως. [61]καὶ ἀπῆλθεν ἐκεῖθεν εἰς Γάζαν, καὶ ἀπέ-
κλεισαν οἱ ἀπὸ Γάζης· καὶ περιεκάθισεν περὶ αὐτήν, καὶ ἐνεπύρισεν
62 τὰ περιπόλια αὐτῆς ἐν πυρί, καὶ ἐσκύλευσεν αὐτάς· [62]καὶ ἠξίωσαν οἱ
ἀπὸ Γάζης Ἰωναθάν, καὶ ἔδωκεν αὐτοῖς δεξιάς· καὶ ἔλαβεν τοὺς υἱοὺς
τῶν ἀρχόντων αὐτῶν εἰς ὅμηρα, καὶ ἐξαπέστειλεν αὐτοὺς εἰς Ἰερου-

49 λεγοντες] λογον V **50** δεξιαν ℵV | incep πολεμε ℵ* (πολεμουντ. ℵ[1.c.a]) ℵV **51** ερριψαν ℵV | om παντων ℵ* (hab ℵ[c.a]) | αυτου] + και ωνομασθησαν εν τη βασιλεια αυτου ℵ* (improb ℵ[c.a]) | επεστρεψεν ℵ* (-ψαν ℵ[c.a]) **52** Δημητριος ο βασιλευς ℵV **53** εσπευσατο ℵ* (εψ. ℵ[c.a]) | ηλλοτριωθη τω] ηλλοτριωθησαν ℵ* (ηλλοτριωθη τω ℵ[c.a]) | ανταπεδωκεν] απεδωκεν ℵ | om τας ευνοιας ας ανταπεδωκεν ℵ pr κατα V | εθλιβεν ℵV **54** μετ] pr και ℵ **55** επισυνηχθησαν (επεσ. V)] επισυνησαν ℵ* (επισυνηχθ. ℵ[c.a]) | επεσκορακισεν ℵ* (απεσκ. ℵ[1]) | Δημητριος] + ος ℵ* (improb ℵ[c.a]) | επολεμησεν ℵV* | ετροπωθησαν ℵ **56** Αντιοχιας (-χειας V)] pr της ℵ **57** Ιωναθαν ℵ*V τω Ιωναθαν ℵ[c.a] | αρχιερωσυνην] seq spat 2 vel 3 litt in A | om και 3° ℵ* (hab ℵ[c.a]) **60** πασαι αι δυναμεις] πασα δυναμις ℵV | αυτω] αυτον V **61** Γαζης] pr της V | om εν V **62** ηξιωσεν V* | δεξιαν ℵ* (δεξιας ℵ[c.a]) | om εις 2° V

A σαλήμ, καὶ διῆλθεν τὴν χώραν ἕως Δαμασκοῦ. [63]Καὶ ἤκουσεν 63
Ἰωναθὰν ὅτι παρῆσαν οἱ ἄρχοντες Δημητρίου εἰς Κῆδες τὴν ἐν τῇ Γαλι-
λαίᾳ μετὰ δυνάμεως πολλῆς, βουλόμενοι μεταστῆσαι αὐτὸν τῆς χρείας.
[64]καὶ συνήντησεν αὐτοῖς, τὸν δὲ ἀδελφὸν αὐτοῦ Σίμωνα κατέλειπεν 64
ἐν τῇ χώρᾳ. [65]καὶ παρενέβαλεν Σίμων ἐν Βεθσούρᾳ, καὶ ἐπολέμει 65
αὐτὴν ἡμέρας πολλὰς καὶ συνέκλεισεν αὐτήν. [66]καὶ ἠξίωσαν αὐτὸν 66
τοῦ δεξιὰς λαβεῖν, καὶ ἔδωκεν αὐτοῖς· καὶ ἐξέβαλεν αὐτοὺς ἐκεῖθεν
καὶ κατελάβετο τὴν πόλιν, καὶ ἔθετο ἐπ' αὐτὴν φρουράν. [67]καὶ 67
Ἰωναθὰν καὶ ἡ παρεμβολὴ αὐτοῦ παρενέβαλον ἐπὶ τὸ ὕδωρ τοῦ
Γεννησάρ· καὶ ὤρθρισαν τὸ πρωὶ εἰς τὸ πεδίον Νασώρ· [68]καὶ ἰδοὺ 68
παρεμβολὴ ἀλλοφύλων ἀπήντα αὐτῷ ἐν τῷ πεδίῳ, καὶ ἐξέβαλον
ἔνεδρον ἐπ' αὐτὸν ἐν τοῖς ὄρεσιν, αὐτοὶ δὲ ἀπήντησαν ἐξ ἐναντίας.
[69]τὰ δὲ ἔνεδρα ἐξανέστησαν ἐκ τῶν τόπων ἑαυτῶν, καὶ συνῆψαν 69
πόλεμον· καὶ ἔφυγον οἱ παρὰ Ἰωνάθου πάντες· [70]οὐδὲ εἷς κατελείφθη 70
ἀπ' αὐτῶν, πλὴν Ματταθίας ὁ τοῦ Ἀψαλώμου καὶ Ἰούδας ὁ τοῦ
Χαλφεί, ἄρχοντες τῆς στρατιᾶς τῶν δυνάμεων. [71]καὶ διέρρηξεν 71
Ἰωναθὰν τὰ ἱμάτια αὐτοῦ, καὶ ἐπέθετο γῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ,
καὶ προσηύξατο. [72]καὶ ἐπέστρεψεν πρὸς αὐτοὺς πολέμῳ, καὶ ἐτρο- 72
πώσατο αὐτούς, καὶ ἔφυγον. [73]καὶ ἴδον οἱ φυγόντες παρ' αὐτοῦ, καὶ 73
ἐπέστρεψαν πρὸς αὐτόν, καὶ ἐδίωκον μετ' αὐτοῦ ἕως Κάδης ἕως τῆς
παρεμβολῆς αὐτῶν, καὶ παρενέβαλον ἐκεῖ. [74]καὶ ἔπεσον ἐκ τῶν 74
ἀλλοφύλων ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς ἄνδρας τρισχιλίους· καὶ ἐπέ-
στρεψεν Ἰωναθὰν εἰς Ἰερουσαλήμ.

[1]Καὶ ἴδεν Ἰωναθὰν ὅτι ὁ καιρὸς αὐτῷ συνεργεῖ, καὶ ἐπέλεξεν 1 XII
ἄνδρας, καὶ ἀπέστειλεν εἰς Ῥώμην στῆσαι καὶ ἀνανεῶσαι τὴν πρὸς
αὐτοὺς φιλίαν· [2]καὶ πρὸς Σπαρτιάτας καὶ τόπους ἑτέρους ἀπέστειλεν 2
ἐπιστολὰς κατὰ ταὐτά. [3]καὶ ἐπορεύθησαν εἰς Ῥώμην, καὶ ἐπορεύ- 3
θησαν εἰς τὸ βουλευτήριον, καὶ εἶπαν Ἰωναθὰν ὁ ἀρχιερεὺς καὶ τὸ

ℵV 62 om την χωραν V 63 Κεδες V 64 συνη̅|τησαν εαυτοις ℵ* (συνηντησεν αυτ. ℵ[c.a]) | τον δε αδελφον αυτου Σιμωνα κατελειπεν] και κατελιπεν τον αδ. αυτ. Σιμ. ℵ 65 Σιμωνα V* | εν] επι ℵV | Βαιθσ. V 66 ηξιωσεν V | δεξιαν ℵ*V (δεξιας ℵ[c.a]) 67 παρενεβαλον] pr και ℵ | om του Γενν. V | Γεννησαι ℵ* (Γεννησαρ ℵ[c.a, c.b]) | Νασωρ] Ασωρ ℵ 68 παρεμβολη] pr η ℵV | εξεβαλεν ℵ* (εξεβαλον ℵ[c.a]) V | αυτον] αυτοις V | απηντησαν] παριστηκισαν ℵ 69 ανεστησαν V | εαυτων] αυτων ℵV | om και εφυγον ℵ* (hab ℵ[c.a]) | Ιωναθαν ℵ 70 ο του Αψαλωμου] του ψαλμωδου ℵ | Χαλφει] Χαφει ℵ 72 επεστρεψεν] υπεστρεφον ℵ* υπεστρεψεν ℵ[c.a]V 73 ειδον ℵV[a] | φευγοντες ℵ | προς] επ ℵV | εδιωκαν ℵ | Κεδες ℵV 74 om εν V | om ανδρας V XII 1 ειδεν ℵV | ο καιρος] om ο V | αυτω] αυτων ℵ* (-τω ℵ[1 (fort), c.a, c.b]) | επελεξατο ℵV | ανανεωσασθαι ℵV 2 τοπους] pr εις ℵ | αποστ.] pr και V 3 επορευθησαν 2°] εισηλθον ℵV | ειπον ℵV

ἔθνος τῶν Ἰουδαίων ἀπέστειλαν ἡμᾶς ἀνανεώσασθαι τὴν φιλίαν A
4 αὐτοῖς καὶ τὴν συμμαχίαν κατὰ τὸ πρότερον. 4 καὶ ἔδωκαν ἐπιστολὰς
αὐτοῖς πρὸς αὐτοὺς κατὰ τόπον, ὅπως προπέμπωσιν αὐτοὺς εἰς γῆν
5 Ἰούδα μετ' εἰρήνης. 5 καὶ τοῦτο ἀντίγραφον τῶν ἐπιστολῶν ὧν
6 ἔγραψεν Ἰωναθὰν τοῖς Σπαρτιάταις 6 Ἰωναθὰν ἀρχιερεὺς τοῦ ἔθνους
καὶ ἡ γερουσία καὶ οἱ ἱερεῖς καὶ ὁ λοιπὸς δῆμος τῶν Ἰουδαίων Σπαρ-
7 τιάταις τοῖς ἀδελφοῖς χαίρειν. 7 ἔτι πρότερον ἀπεστάλησαν ἐπιστολαὶ
πρὸς Ὀνίαν τὸν ἀρχιερέα, παρὰ δ' Ἀρείου τοῦ βασιλεύοντος ἐν
8 ὑμῖν, ὅτι ἐστὲ ἀδελφοὶ ἡμῶν, ὡς τὸ ἀντίγραφον ὑπόκειται. 8 καὶ
ἐπεδέξατο Ὀνίας τὸν ἄνδρα τὸν ἀπεσταλμένον ἐνδόξως, καὶ ἔλαβεν
9 τὰς ἐπιστολάς, ἐν αἷς διεσαφεῖτο περὶ συμμαχίας καὶ φιλίας. 9 καὶ
ἡμεῖς οὖν ἀπροσδεεῖς τούτων ὄντες, παράκλησιν ἔχοντες τὰ βιβλία
10 τὰ ἅγια τὰ ἐν ταῖς χερσὶν ἡμῶν, 10 ἐπειράθημεν ἀποστεῖλαι τὴν πρὸς
ὑμᾶς ἀδελφότητα καὶ φιλίαν ἀνανεώσασθαι, πρὸς τὸ μὴ ἐξαλλο-
τριωθῆναι ὑμῶν· πολλοὶ γὰρ καιροὶ διῆλθον ἀφ' οὗ ἀπεστείλατε
11 πρὸς ἡμᾶς. 11 ἡμεῖς οὖν ἐν παντὶ καιρῷ ἀδιαλείπτως ἐν ταῖς ἑορταῖς
καὶ ἐν ταῖς λοιπαῖς καθηκούσαις ἡμέραις μιμνῃσκόμεθα ὑμῶν, ἐφ' ὧν
προσφέρομεν θυσιῶν καὶ ἐν ταῖς προσευχαῖς, ὡς δέον ἐστὶν καὶ
12 πρέπον μνημονεύειν ἀδελφῶν. 12 εὐφραινόμεθα δὲ ἐπὶ τῇ δόξῃ
13 ὑμῶν. 13 ἡμᾶς δὲ ἐκύκλωσαν πολλαὶ θλίψεις καὶ πόλεμοι πολλοί,
14 καὶ ἐπολέμησαν ἡμᾶς οἱ βασιλεῖς οἱ κύκλῳ ἡμῶν. 14 οὐκ ἠβουλόμεθα
οὖν παρενοχλεῖν ὑμῖν καὶ τοὺς λοιποὺς συμμάχους καὶ φίλους ἡμῶν
15 ἐν τοῖς πολέμοις τούτοις. 15 ἔχομεν γὰρ τὴν ἐξ οὐρανῶν βοηθίαν
βοηθοῦσαν ἡμῖν, καὶ ἐρύσθημεν ἀπὸ τῶν ἐχθρῶν ἡμῶν, καὶ ἐταπεινώ-
16 θησαν οἱ ἐχθροὶ ἡμῶν. 16 ἐπελέξαμεν οὖν Νουμήνιον Ἀντιόχου καὶ
Ἀντίπατρον Ἰάσονος, καὶ ἀπεστάλκαμεν πρὸς Ῥωμαίους ἀνανεώ-
σασθαι τὴν πρὸς αὐτοὺς φιλίαν καὶ συμμαχίαν τὴν πρότερον.
17 17 ἐνετειλάμεθα οὖν αὐτοῖς καὶ πρὸς ὑμᾶς πορευθῆναι καὶ ἀσπά-
σασθαι ὑμᾶς, καὶ ἀποδοῦναι ὑμῖν τὰς παρ' ἡμῶν ἐπιστολὰς περὶ
18 τῆς ἀνανεώσεως καὶ τῆς ἀδελφότητος ἡμῶν. 18 καὶ νῦν καλῶς
19 ποιήσετε ἀντιφωνήσαντες ἡμῖν πρὸς ταῦτα. 19 Καὶ τοῦτο τὸ

3 απεστιλεν ℵ | αυτοις] εαυτοις ℵV 5 αντιγραφον] pr το ℵV | τοι- ℵV σπαρτιαταις A 6 αρχ.] pr ο V | και η γερουσια του εθνους ℵV | Σπαρ- τιαταις] Σπαρτιαις A 7 ετι] επι (? επει) ℵ$^{c.a}$ | αρχιερεαν ℵ | Δαριου (? δ Αριου) ℵAV* | ως] ω ℵ* (ως ℵ$^{c.a}$) 8 απεδεξατο ℵ$^{c.a}$ | Ονιας] pr ο ℵ | διε- σαφησατο V 9 om και ℵ | om τα 3° V 11 εν 2°] + τε ℵ | om εν 3° ℵ | μνησκομεθα ℵ | υμων] ημων V | θυσιαν ℵV 13 om πολλαι θλ. κ. πολ. V 14 εβουλ. V | παρενοχλησαι ℵV 15 ουρανου ℵ | βοηθειαν V | ερρυσθημεν ℵV^{a} | om ημων 1° ℵV^{1} (repos V$^{1?a?}$) 16 Ιασωνος V 17 υμιν] ημιν V 18 ποιησετε (ℵV -ται)] εποιησατε A

A ἀντίγραφον τῶν ἐπιστολῶν ὧν ἀπέστειλαν Ὀνείᾳ [20]Ἄρης βασιλεὺς 20
Σπαρτιατῶν Ὀνείᾳ ἱερεῖ μεγάλῳ χαίρειν. [21]εὑρέθη ἐν γραφῇ περί τε 21
τῶν Σπαρτιατῶν καὶ Ἰουδαίων, ὅτι ἀδελφοί εἰσίν, καὶ ὅτι εἰσὶν
ἐκ γένους Ἀβραάμ. [22]καὶ νῦν ἀφ᾽ οὗ ἔγνωμεν ταῦτα, καλῶς ποιή- 22
σετε γράφοντες ἡμῖν περὶ τῆς εἰρήνης ὑμῶν. [23]καὶ ἡμεῖς δὲ ἀντι- 23
γράφομεν ὑμῖν Τὰ κτήνη ὑμῶν καὶ ἡ ὕπαρξις ὑμῶν ἡμῖν ἐστιν, καὶ
τὰ ἡμῶν ὑμῖν ἐστιν· ἐντελλόμεθα οὖν ὅπως ἀπαγγείλωσιν ὑμῖν κατὰ
τὰ αὐτά. [24]Καὶ ἤκουσεν Ἰωναθὰν ὅτι ἐπέστρεψαν οἱ ἄρχοντες 24
Δημητρίου μετὰ δυνάμεως πολλῆς ὑπὲρ τὸ πρότερον τοῦ πολεμῆσαι
πρὸς αὐτόν. [25]καὶ ἀπῆρεν ἐξ Ἰερουσαλήμ, καὶ ἀπήντησεν αὐτοῖς 25
εἰς τὴν Ἁμαθεῖτιν χώραν· οὐ γὰρ ἔδωκεν αὐτοῖς ἀνοχὴν τοῦ ἐμβατεῦσαι
εἰς τὴν χώραν αὐτοῦ. [26]καὶ ἀπέστειλεν κατασκόπους εἰς τὴν παρεμ- 26
βολὴν αὐτοῦ· καὶ ἐπέστρεψαν, καὶ ἀπήγγειλαν αὐτῷ ὅτι Οὕτως
τάσσονται ἐπιπεσεῖν ἐπ᾽ αὐτοὺς τὴν νύκτα. [27]ὡς δὲ ἔδυ ὁ ἥλιος, 27
ἐπέταξεν Ἰωναθὰν τοῖς παρ᾽ αὐτοῦ γρηγορεῖν καὶ εἶναι ἐπὶ τοῖς
ὅπλοις, ἑτοιμάζεσθαι εἰς πόλεμον δι᾽ ὅλης τῆς νυκτός· καὶ ἐξέ-
βαλεν προφύλακας κύκλῳ τῆς παρεμβολῆς. [28]καὶ ἤκουσαν οἱ ὑπε- 28
ναντίοι ὅτι ἡτοίμασται Ἰωναθὰν καὶ οἱ παρ᾽ αὐτοῦ εἰς πόλεμον, καὶ
ἐφοβήθησαν καὶ ἔπτηξαν τὴν καρδίαν αὐτῶν, καὶ ἀνέκαυσαν πυρὰς ἐν
τῇ παρεμβολῇ αὐτῶν. [29]Ἰωναθὰν δὲ καὶ οἱ παρ᾽ αὐτοῦ οὐκ ἔγνωσαν 29
ἕως πρωί· ἔβλεπον γὰρ τὰ φῶτα καιόμενα. [30]καὶ κατεδίωξεν ὀπίσω 30
αὐτῶν, καὶ οὐκ ἐκατέλαβεν αὐτούς, διέβησαν γὰρ τὸν Ἐλεύθερον
ποταμόν. [31]καὶ ἐξέκλινεν Ἰωναθὰν ἐπὶ τοὺς Ἄραβας τοὺς καλου- 31
μένους Ζαβαδαίους, καὶ ἐπάταξεν αὐτούς, καὶ ἔλαβεν τὰ σκῦλα
αὐτῶν. [32]καὶ ἀναζεύξας ἦλθεν εἰς Δαμασκόν, καὶ διώδευσεν ἐν πάσῃ 32
τῇ χώρᾳ. [33]καὶ Σίμων ἐξῆλθεν καὶ διώδευσεν ἕως Ἀσκάλωνος, καὶ 33
τὰ πλησίον ὀχυρώματα, καὶ ἐξέκλινεν εἰς Ἰόππην καὶ προκατε-
λάβετο αὐτήν. [34]ἤκουσεν γὰρ ὅτι βούλονται τὸ ὀχύρωμα παραδοῦναι 34
τοῖς παρὰ Δημητρίου, καὶ ἔθετο ἐκεῖ φρουράν, ὅπως φυλάσσωσιν
αὐτήν. [35]Καὶ ἐπέστρεψεν Ἰωναθὰν καὶ ἐξεκκλησίασεν τοὺς 35

ℵV **19** om ων A* | απεστειλεν ℵ$^{c.a}$ **19—20** Ονεια Αρης] Ονια Αρης ℵ$^{*\ vid}$ Ονιαρης ℵ$^{c.a\ vid}$V* Ονειαρης A^{vid} **20** Ονεια] incep ν ℵ* (improb ℵ$^{1\ (fort)}$ postea ras) Ονια V | χαιρων (sine interpunct) A **21** εισιν αδελφοι ℵV | εκ γενους] εγγενους A **22** incep νυν αυν V* (ν. αφ ου V^{1}) **23** ημεις] υμεις ℵ* (ημ. ℵ$^{c.a}$) | αντιγραφομεν] incep αντιγραφον ℵ* (-φομεν ℵ$^{c.a\ (vid)}$) | υμων 1°] ημων V | υμων 2°] ημων V^{1} | ημιν] υμιν V | ημων υμιν] υμων ημιν V | τα αυτα] ταυτα ℵV **24** οι αρχοντες] om οι ℵ* (hab ℵ$^{c.a}$) | πολεμησαι] πορευθηναι V **25** Αμαθειτιν (-θιτην V* -θι την V^{a}) χωραν] χ. Αμαθιτιν ℵ **27** της ν.] om της V **28** παρ] πατερες ℵ | τη καρδια ℵV | om αυτων 1°. V **30** κατεδιωξαν A κατεδιωξεν Ιωναθαν ℵV | ου κατελαβεν ℵV **31** Ζαβαδεους ℵA **32** τη χωρα] om τη ℵV **33** εξεκλιναν V **34** ηκουσαν V | ηβουλοντο V

πρεσβυτέρους τοῦ λαοῦ, καὶ ἐβουλεύσατο μετ' αὐτῶν τοῦ οἰκοδομῆσαι A
36 ὀχυρώματα ἐν τῇ Ἰουδαίᾳ, [36]καὶ προσυψῶσαι τὰ τείχη Ἰερουσαλήμ,
καὶ ὑψῶσαι ὕψος μέγα ἀνὰ μέσον τῆς ἄκρας καὶ τῆς πόλεως εἰς τὸ
διαχωρίσαι αὐτὴν τῆς πόλεως, ἵνα ᾖ αὕτη κατὰ μόνας, ὅπως μήτε ἀγο-
37 ράζωσιν μήτε πωλῶσιν. [37]καὶ συνήχθησαν τοῦ οἰκοδομεῖν, καὶ ἔπεσεν
τοῦ τείχους τοῦ χειμάρρου τοῦ ἐξ ἀπηλιώτου, καὶ ἐπεσκεύασεν τὸ κα-
38 λούμενον Χαφεναθά. [38]καὶ Σίμων ᾠκοδόμησεν τὴν Ἀδιδὰ ἐν τῇ σεφηλά,
39 καὶ ὠχύρωσεν θύρας καὶ μοχλούς. [39]Καὶ ἐζήτησεν Τρύφων
βασιλεῦσαι τῆς Ἀσίας καὶ περιθέσθαι τὸ διάδημα καὶ ἐκτεῖναι χεῖρας
40 ἐπὶ Ἀντίοχον τὸν βασιλέα. [40]καὶ ηὐλαβήθη μή ποτε οὐκ ἐάσῃ αὐτὸν
Ἰωναθὰν καὶ μή ποτε πολεμήσῃ πρὸς αὐτόν, καὶ ἐζήτει πόρον τοῦ
41 συλλαβεῖν αὐτὸν τοῦ ἀποκτεῖναι· καὶ ἀπάρας ἦλθεν εἰς Βεθσά. [41]καὶ
ἐξῆλθεν Ἰωναθὰν εἰς ἀπάντησιν αὐτῷ ἐν τεσσεράκοντα χιλιάσιν
42 ἀνδρῶν ἐπιλελεγμέναις εἰς παράταξιν, καὶ ἦλθεν εἰς Βεθσά. [42]καὶ
εἶδεν Τρύφων ὅτι πάρεστιν μετὰ δυνάμεως πολλῆς, καὶ ἐκτεῖναι
43 χεῖρας ἐπ' αὐτὸν ηὐλαβήθη. [43]καὶ ἐπεδέξατο αὐτὸν ἐνδόξως, καὶ
συνέστησεν αὐτὸν πᾶσιν τοῖς φίλοις αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ δόματα,
καὶ ἐπέταξεν τοῖς φίλοις αὐτοῦ καὶ ταῖς δυνάμεσιν αὐτοῦ ὑπακούειν
44 αὐτῷ ὡσαύτως. [44]καὶ εἶπεν τῷ Ἰωναθάν Ἵνα τί ἔκοψας πάντα τὸν
45 λαὸν τοῦτον πολέμου μὴ ἐνεστηκότος ἡμῖν; [45]καὶ νῦν ἀπόστειλον
αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν, ἐπίλεξον δὲ σεαυτῷ ἄνδρας ὀλίγους
οἵτινες ἔσονται μετὰ σοῦ· καὶ δεῦρο μετ' ἐμοῦ εἰς Πτολεμαΐδα, καὶ
παραδώσω σοι αὐτὴν καὶ τὰ λοιπὰ ὀχυρώματα καὶ τὰς δυνάμεις τὰς
πολλὰς καὶ πάντας τοὺς ἐπὶ τῶν χρειῶν, καὶ ἐπιστρέψας ἀπελεύ-
46 σομαι· τούτου γὰρ χάριν πάρειμι. [46]καὶ ἐμπιστεύσας αὐτῷ ἐποίησεν

35 εβουλευετο ℵV | οχυρωμασιν V* (-τα V^{1}) **36** υψος μεγα] μεως (sic) ℵV μεγαν ℵ* υψος μεγαν ℵ$^{c.a}$ | om εις το διαχωρισαι (-ρησαι A) αυτην της πολεως ℵ* (hab ℵ$^{c.a}$) | om οπως μητε αγοραζωσιν μητε πωλωσιν ℵ* hab οπως μ. αγορασωσιν μ. πωλησωσιν ℵ$^{c.a}$ | αγορασωσιν V **37** του (τω ℵ* του ℵ$^{c.b}$) οικοδομειν] + την πολῑ ℵ + πολεις V | επεπεσαν ℵ επεπεσεν V | τειχους] χειους ℵ* (τειχ. ℵ$^{c.a, c.b}$) | επεσκιασαν V | τον καλ. ℵ **38** οικοδομησεν ℵ | Αδιδα] Αδειδα ℵ super A et α puncta posuit A$^{? vid}$ | σεφηλα] + πεδινη ℵ* (improb ℵ$^{c.a, c.b}$) V | ωχυρωσεν] + αυτην και επεστησεν ℵV **39** εκτειναι χειρας] εξετειν̄ε | την χειρα ℵ | επι] επ ℵV **40** ευλαβηθη ℵV | εασει V* | πολεμησει V* | om πορον ℵ | του συλλαβειν] om του ℵV | του 2°] και V | αποκτειναι] απολεσαι ℵV | απαρας ηλθεν] παρεισηλθεν V | Βαιθσαν ℵV **41** αυτου V* | τεσσερακοντα] μ' ℵ | επιλελεγμενων ℵ$^{c.a}$ -ναι A **42** ιδεν V* | παρεστιν] ηλθεν ℵ | om και 2° ℵV | αυτον] αυτην ℵ$^{c.a}$ (-τον rurs ℵ$^{c.b}$) | ηυλαβηθη (ευλ. ℵV)] pr και ℵ$^{c.a}$V^{a} **43** ενδοξως] ευλογως ℵ* (ενδ. ℵ$^{c.a}$) | συνεταξεν ℵ* (συνεστ. ℵ$^{c.a}$) συνηντησεν V | πασι V | om και εδωκεν αυτω δοματα και επεταξεν τοις φιλοις αυτου ℵ* (hab ℵ$^{c.a}$) V | αυτω 2°] αυτου ℵ* (-τω ℵ$^{c.a}$)V | ωσαυτως] ως αυτου ℵV **44** εκοψας] εκοπωσας V | om παντα ℵV | μη ενεστηκοτος ημιν πολεμου ℵ **45** επιλεξαι ℵV | πολλας] λοιπας ℵV

A καθὼς εἶπεν, καὶ ἐξαπέστειλεν τὰς δυνάμεις, καὶ ἀπῆλθον εἰς γῆν
Ἰούδα. [47]κατέλειπεν δὲ μεθ' ἑαυτοῦ ἄνδρας τρισχιλίους· ὧς δισχιλίους 47
ἀφῆκεν ἐν τῇ Γαλιλαίᾳ, χίλιοι δὲ συνῆλθον αὐτῷ. [48]Ὡς δὲ 48
εἰσῆλθεν Ἰωναθὰν εἰς Πτολεμαίδα, ἀπέκλεισαν οἱ Πτολεμαῖται τὰς
πύλας, καὶ συνέλαβον αὐτόν, καὶ πάντας τοὺς συνελθόντας μετ' αὐτοῦ
ἀπέκτειναν ἐν ῥομφαίᾳ. [49]καὶ ἀπέστειλεν Τρύφων δυνάμεις καὶ 49
ἵππον εἰς Γαλιλαίαν εἰς τὸ πεδίον τὸ μέγα, τοῦ ἀπολέσαι πάντας
τοὺς παρὰ Ἰωνάθου. [50]καὶ ἐπέγνωσαν ὅτι συνελήμφθη καὶ ἀπό- 50
λωλεν, καὶ οἱ μετ' αὐτοῦ· καὶ παρεκάλεσαν ἑαυτούς, καὶ ἐπορεύοντο
συνεστραμμένοι ἕτοιμοι εἰς πόλεμον. [51]καὶ ἴδον οἱ διώκοντες ὅτι 51
περὶ ψυχῆς ἐστιν αὐτοῖς· καὶ ἐπέστρεψαν. [52]καὶ ἦλθον πάντες 52
μετ' εἰρήνης εἰς γῆν Ἰούδα, καὶ ἐπένθησαν τὸν Ἰωναθὰν καὶ τοὺς
μετ' αὐτοῦ, καὶ ἐφοβήθησαν σφόδρα· καὶ ἐπένθησεν Ἰσραὴλ πένθος
μέγα. [53]καὶ ἐζήτησαν πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν ἐκτρίψαι 53
αὐτούς· εἶπαν γάρ Οὐκ ἔχουσιν ἄνδρα ἄρχοντα καὶ βοηθοῦντα· νῦν
οὖν πολεμήσωμεν αὐτούς, καὶ ἐξαροῦμεν ἐξ ἀνθρώπων τὸ μνημόσυνον
αὐτῶν.

[1]Καὶ ἤκουσεν Σίμων ὅτι συνήγαγεν Τρύφων δύναμιν πολλὴν τοῦ 1 XIII
ἐλθεῖν εἰς γῆν Ἰούδα τοῦ ἐκτρίψαι αὐτήν. [2]καὶ εἶδεν τὸν λαὸν ὅτι 2
ἐστὶν ἔντρομος καὶ ἔκφοβος, καὶ ἀνέβη εἰς Ἰερουσαλὴμ καὶ ἤθροισεν
τὸν λαόν· [3]καὶ παρεκάλεσεν αὐτούς, καὶ εἶπεν αὐτοῖς Αὐτοὶ οἴδατε 3
ὅσα ἐγὼ καὶ οἱ ἀδελφοί μου καὶ οἶκος τοῦ πατρός μου ἐποιήσαμεν
περὶ τῶν νόμων καὶ τῶν ἁγίων, καὶ τοὺς πολέμους καὶ τὰς στενο-
χωρίας. [4]τούτου χάριν ἀπώλοντο οἱ ἀδελφοί μου πάντες χάριν τοῦ 4
Ἰσραήλ, καὶ κατελείφθην ἐγὼ μόνος. [5]καὶ νῦν μή μοι γένοιτο φεί- 5
σασθαί μου τῆς ψυχῆς ἐν παντὶ καιρῷ θλίψεως· οὐ γάρ εἰμι κρείσσων

ℵV 46 εξαπεστιλας ℵ* (-λεν ℵc.a) | δυναμεις (-μις ℵ)] + Ιωναθαν ℵc.a | και 3°] αι ℵ* (και ℵc.a) 47 κατελιπεν ℵ | εαυτου] εαυτους A | ως δισχιλιους] ϛ ως ανδρας χιλιους ℵ* (δισχ. ℵ1) | ως] ων V | τη Γαλιλαια] om τη ℵ* (hab ℵc.a) 48 Πτολεμαιδαν ℵ | απεκλεισαν] incep απεκλισε ℵ* (-σαν ℵ1) | Πτολεμαϊς ℵV* | συνεισελθοντας ℵ | μετ αυτου] αυτου ℵ* αυτω ℵ1 | απεκτινον ℵ* (-ναν ℵc.a (vid)) 49 ιππων] pr spat 1 lit A? (fort incep ε A*) | εις 2°] και ℵV | παρα] απο V | Ιωναθαν ℵVa 50 και 1°] pr ους ℵ | επεγν.] pr ουκ V | οτι] οτε δε ℵ | συνεστρεμμενοι A 51 ειδον ℵV | αυτοις εστιν V 52 επενθησε Va | Ισραηλ] pr πας ℵV 53 εζητησε| ℵ* (-σαν ℵc.a) | ειπον ℵV | om ανδρα ℵV | εξαρωμεν ℵV XIII 1 Τρυφων] incep σ ℵ* (Τρ. ℵ1) | του εκτριψαι] και εκτρ. ℵV 2 ιδεν V* ειδε Va | εντρομος εστιν ℵV | om εις ℵ* (hab ℵc.a) 3 ειπον A* fort | οικος] pr ο ℵV | εποιησαμεν] pr παντες ℵV | περι] χαριν ℵV | om και 6° ℵ* (hab ℵc.a) V | om και τας στενοχωριας ℵ* hab ℵc) V + ας ιδομεν ℵc.b 4 τουτου] ων και ℵV | παντες οι αδελφοι μου ℵV

6 τῶν ἀδελφῶν μου. 6 πλὴν ἐκδικήσω περὶ τοῦ ἔθνους μου καὶ περὶ A
τῶν ἁγίων καὶ περὶ τῶν γυναικῶν καὶ τῶν τέκνων ἡμῶν, ὅτι
7 συνήχθησαν πάντα τὰ ἔθνη ἐκτρίψαι ἡμᾶς ἔχθρας χάριν. 7 καὶ
ἀνεζωπύρισεν τὸ πνεῦμα τοῦ λαοῦ αὐτοῦ ἀκοῦσαι τῶν λόγων τούτων·
8 8 καὶ ἀπεκρίθησαν φωνῇ μεγάλῃ λέγοντες Σὺ εἶ ἡμῶν ἡγούμενος
9 ἀντὶ Ἰούδου καὶ Ἰωνάθου τοῦ ἀδελφοῦ σου· 9 πολέμησον τὸν πόλεμον
10 ἡμῶν, καὶ πάντα ὅσα ἐὰν εἴπῃς ἡμῖν ποιήσομεν. 10 καὶ συνήγαγεν
πάντας τοὺς ἄνδρας τοὺς πολεμιστάς, καὶ ἐτάχυνεν τοῦ τελέσαι τὰ
11 τείχη Ἰερουσαλήμ, καὶ ὀχύρωσεν αὐτὴν κυκλόθεν. 11 καὶ ἀπέστειλεν
Ἰωναθὰν τὸν τοῦ Ἀψαλώμου καὶ μετ᾽ αὐτοῦ δύναμιν ἱκανὴν εἰς
Ἰόππην, καὶ ἐξέβαλεν τοὺς ἐν αὐτῇ ὄντας, καὶ ἔμεινεν ἐκεῖ ἐν
12 αὐτῇ. 12 Καὶ ἀπῆρεν Τρύφων ἀπὸ Πτολεμαίδος μετὰ δυνάμεως
πολλῆς εἰσελθεῖν εἰς γῆν Ἰούδα, καὶ Ἰωναθὰν μετ᾽ αὐτοῦ ἐν φυλακῇ·
13 13 Σίμων δὲ παρενέβαλεν ἐν Ἀδίδοις κατὰ πρόσωπον τοῦ πεδίου.
14 14 καὶ ἐπέγνω Τρύφων ὅτι ἀνέστη Σίμων ἀντὶ Ἰωνάθου τοῦ ἀδελφοῦ
αὐτοῦ, καὶ ὅτι συνάπτειν αὐτῷ μέλλει εἰς πόλεμον· καὶ ἀπέστειλεν
15 πρὸς αὐτὸν πρέσβεις, λέγων 15 Περὶ ἀργυρίου οὗ ὤφειλεν Ἰωναθὰν
ἀδελφός σου εἰς τὸ βασιλικόν, δι᾽ ἃς εἶχεν χρείας, συνέχομεν αὐτόν.
16 16 καὶ νῦν ἀπόστειλον ἀργυρίου ἑκατὸν τάλαντα καὶ δύο τῶν υἱῶν
αὐτοῦ ὅμηρα, ὅπως μὴ ἀφεθεὶς ἀποστατήσει ἀφ᾽ ἡμῶν, καὶ ἀφήσομεν
17 αὐτόν. 17 καὶ ἔγνω Σίμων ὅτι δόλῳ λαλοῦσιν πρὸς αὐτόν, καὶ πέμπει
τὸ ἀργύριον καὶ τὰ παιδάρια, μή ποτε ἔχθραν ἄρῃ μεγάλην πρὸς
18 τὸν λαόν, 18 λέγοντες Ὅτι οὐκ ἀπέστειλα αὐτῷ τὸ ἀργύριον καὶ τὰ παι-
19 δάρια, ἀπώλετο· 19 καὶ ἀπέστειλεν τὰ παιδάρια καὶ τὰ ἑκατὸν τάλαντα·
20 καὶ διεψεύσατο, καὶ οὐκ ἀφῆκεν τὸν Ἰωναθάν. 20 καὶ μετὰ ταῦτα
ἦλθεν Τρύφων τοῦ ἐμβατεῦσαι εἰς τὴν πόλιν καὶ ἐκτρίψαι αὐτήν, καὶ
ἐκύκλωσεν ὁδὸν τὴν εἰς Ἀδωρά· καὶ Σίμων καὶ ἡ παρεμβολὴ αὐτοῦ
21 ἀντιπαρῆγεν αὐτῷ εἰς πάντα τόπον οὗ ἐπορεύετο. 21 οἱ δὲ ἐκ τῆς
ἄκρας ἀπέστελλον πρεσβευτὰς καὶ κατασπεύδοντας αὐτὸν τοῦ ἐλθεῖν

6 om περι 3° ℵV | των τεκνων ημων] τεκν. υμων ℵV | συνηχθησαν] ℵV incep συνε ℵ* (συνηχθ. ℵc.a, c.b) **7** αυτου] αμα του ℵV **8** Ιωδου A Ιουδα V | Ιωναθαν Va: item 14 **9** om ημων V | εαν] αν ℵV **10** εταχυναν V + αυτου V ⌈ οχυρωσεν (οχ sup ras Aa?)] ωχυρωσεν ℵV | κυκλω V **11** μετ αυτου] συν αυτω V | Ιοππη A | εν αυτη οντας] οντας εκει ℵV | om εκει ℵ* (hab ℵc.a) V | om εν 2° V **12** εισελθειν] ελθειν ℵV **13** Αδεινοις ℵ* (Αδειδ. ℵc.a) Αδιμοις V **14** om εις ℵV **15** αδελφος] pr ο ℵVvid | συνεχομεν ℵ **16** νυν] ν 1° sup ras Aa | ταλ. ρ′ ℵ ταλ. εκατον V | αποστατηση ℵVa -σει V* **17** εγνω] pr ουκ V | πεμπει] + του λαβειν ℵV | om και 4° ℵV **18** επεστειλα ℵ* (απεστ. ℵc.a, c.b) **18—19** om απωλετο και απεστειλεν τα παιδαρια ℵ **19** εκατον] ρ′ ℵ **20** Τρυφων] + νυν ℵ* (improb ℵc.a) | πολιν] χωραν ℵV | εκυκλωσαν ℵV | αντιπαρηγαγεν ℵ | ου] + αν ℵV **21** απεστελλον] + προς Τρυφωνα ℵV | om και 1° ℵ

A πρὸς αὐτὸν διὰ τῆς ἐρήμου καὶ ἀποστεῖλαι αὐτοῖς τροφάς. 22 καὶ ἡτοί- 22
μασεν Τρύφων πᾶσαν τὴν ἵππον αὐτοῦ ἐλθεῖν· καὶ ἐν τῇ νυκτὶ ἐκείνῃ
ἦν χιὼν πολλὴ σφόδρα, καὶ οὐκ ἦλθεν διὰ τὴν χιόνα· καὶ ἀπῆρεν καὶ
ἦλθεν εἰς τὴν Γαλααδῖτιν. 23 ὡς δὲ ἤγγισεν τῆς Βασκαμά, ἀπέκτεινεν 23
τὸν Ἰωναθάν, καὶ ἐτάφη ἐκεῖ. 24 καὶ ἐπέστρεψεν Τρύφων καὶ ἀπῆλ- 24
θεν εἰς τὴν γῆν αὐτοῦ. 25 Καὶ ἀπέστειλεν Σίμων, καὶ ἔλαβεν 25
τὰ ὀστᾶ Ἰωναθὰν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἔθαψεν αὐτὸν ἐν Μωδεεὶμ
πόλει τῶν πατέρων αὐτοῦ. 26 καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ 26
κοπετὸν μέγαν, καὶ ἐπένθησαν αὐτὸν ἡμέρας πολλάς. 27 καὶ ᾠκο- 27
δόμησεν Σίμων ἐπὶ τὸν τάφον τοῦ πατρὸς αὐτοῦ καὶ τῶν ἀδελφῶν
αὐτοῦ, καὶ ὕψωσεν αὐτὸν τῇ ὁράσει λίθῳ ξυστῷ ἐκ τῶν ὄπισθεν
καὶ ἐκ τῶν ἔμπροσθεν. 28 καὶ ἔστησεν ἑπτὰ πυραμίδας, μίαν κατέ- 28
ναντι τῆς μιᾶς, τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τέσσαρσιν ἀδελφοῖς.
29 καὶ ταύταις ἐποίησεν μηχανήματα περιθεὶς στύλους μεγάλους, καὶ 29
ἐποίησεν ἐπὶ τοῖς στύλοις πανοπλίας εἰς ὄνομα αἰώνιον, καὶ παρὰ
ταῖς πανοπλίαις πλοῖα ἐπιγεγλυμμένα, εἰς τὸ θεωρεῖσθαι ὑπὸ πάν-
των τῶν πλεόντων τὴν θάλασσαν. 30 οὗτος ὁ τάφος ὃν ἐποίησεν 30
ἐν Μωδεεὶμ ἕως τῆς ἡμέρας ταύτης. 31 Ὁ δὲ Τρύφων 31
ἐπορεύετο δόλῳ μετὰ Ἀντιόχου τοῦ βασιλέως τοῦ νεωτέρου, καὶ
ἀπέκτεινεν αὐτόν, 32 καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ, καὶ περιέθετο τὸ 32
διάδημα τῆς Ἀσίας, καὶ ἐποίησεν πληγὴν μεγάλην ἐπὶ τῆς γῆς.

33 Καὶ ᾠκοδόμησεν Σίμων τὸ ὀχύρωμα τῆς Ἰουδαίας, καὶ περιε- 33
τείχισεν πύργοις ὑψηλοῖς καὶ τείχεσιν μεγάλοις καὶ πύργοις καὶ
πύλαις καὶ μοχλοῖς, καὶ ἔθετο βρώματα ἐν τοῖς ὀχυρώμασιν. 34 καὶ 34
ἐπελέξατο Σίμων ἄνδρας, καὶ ἀπέστειλεν πρὸς Δημήτριον τὸν βασιλέα
τοῦ ποιῆσαι ἄφεσιν τῇ χώρᾳ, ὅτι πᾶσαι αἱ πράξεις Τρύφωνος ἦσαν
ἁρπάσαι. 35 καὶ ἀπέστειλεν αὐτῷ Δημήτριος ὁ βασιλεὺς κατὰ τοὺς 35
λόγους τούτους, καὶ ἀπεκρίθη αὐτῷ, καὶ ἔγραψεν αὐτῷ ἐπιστολὴν
τοιαύτην 36 Βασιλεὺς Δημήτριος Σίμωνι ἀρχιερεῖ καὶ φίλῳ βασιλέων 36

ℵV 21 αυτον 2°] αυτους ℵV 22 om και 3° V | την χιονα] τον χ. ℵ* (την χ. ℵ$^{c.b}$) | Γαλααδειτιν ℵ 23 om εκει ℵ 24 επεστρεψεν (απ. V)] + εκει ℵ | γην αυτου] αυτου οικιαν ℵ* (γην αυτ. ℵ$^{c.a}$) 25 Μωδειν ℵ -διν V 27 ξεστω ℵ | εκ των οπισθεν και εκ των εμπροσθεν] εκ των εμπρ. και οπ. ℵ εκ των οπ. και εκ των οπ. (sic) A εκ τ. οπ. κ. εμπρ. V 28 μια ℵ | και τεσσαρσιν] ϛ τοις ℵ* ϛ τοις τεσσαρσιν ℵ$^{c.a}$ V 29 ταυταις] ταυτα ℵ | πανοπλιαν ℵ | πλοια] ποια A | ενγεγλυμμενα ℵV* | om των πλεοντων V 30 Μωδειν ℵV (-διν) 33 το οχυρωμα] τα οχυρωματα ℵV | Ιουδαιας] Ιδουμαιας ℵ* (Ιουδ. ℵ$^{c.a}$) | om και πυργοις ℵV | πυλοις (sic) V 34 επελεξεν ℵV | ησαν αρπασαι] αρπαγαι ℵ* ησ. αρπαγ. ℵ$^{c.a}$V 36 αρχ.] pr τω V

37 καὶ πρεσβυτέροις καὶ ἔθνει Ἰουδαίων χαίρειν. 37τὸν στέφανον τὸν A
χρυσοῦν, καὶ τὴν βάιν ἣν ἀπεστείλατε, κεκομίσμεθα, καὶ ἕτοιμοί
ἐσμεν τοῦ ποιεῖν ὑμῖν εἰρήνην μεγάλην, καὶ γράφειν τοῖς ἐπὶ τῶν
38 χρειῶν τοῦ ἀφεῖναι ὑμῖν ἀφέματα. 38καὶ ὅσα ἐστήσαμεν πρὸς ὑμᾶς
39 ἕστηκεν, καὶ τὰ ὀχυρώματα, ἃ ᾠκοδομήσατε, ὑπαρχέτω ὑμῖν. 39ἀφίε-
μεν δὲ ὑμῖν ἀγνοήματα καὶ τὰ ἁμαρτήματα ἕως τῆς σήμερον ἡμέρας,
καὶ τὸν στέφανον ὃν ὠφείλετε· καὶ εἴ τι ἄλλο ἐτελωνεῖτο ἐν Ἰερουσα-
40 λήμ, μηκέτι τελωνείσθω· 40καὶ εἴ τινες ἐπιτήδειοι ὑμῶν γραφῆναι εἰς
τοὺς περὶ ἡμᾶς, ἐνγραφέσθωσαν, καὶ γινέσθω ἀνὰ μέσον ἡμῶν εἰρήνη.
41 41Ἔτους ἑκατοστοῦ ἑβδομηκοστοῦ ἤρθη ὁ ζυγὸς τῶν ἐθνῶν ἀπὸ τοῦ
42 Ἰσραήλ. 42καὶ ἤρξατο ὁ λαὸς Ἰσραὴλ γράφειν ἐν ταῖς συνγραφαῖς
καὶ συναλλάγμασιν Ἔτους πρώτου ἐπὶ Σίμωνος ἀρχιερέως μεγάλου
43 καὶ στρατηγοῦ καὶ ἡγουμένου Ἰουδαίων. 43Ἐν ταῖς ἡμέραις
ἐκείναις παρενέβαλεν ἐπὶ Γάζαν, καὶ ἐκύκλωσεν αὐτὴν παρεμβολαῖς,
καὶ ἐποίησεν ἑλέπολιν καὶ προσήγαγεν τῇ πόλει, καὶ ἐπάταξεν πύργον
44 ἕνα, καὶ κατελάβετο. 44καὶ ἐξήλλοντο οἱ ἐν τῇ ἑλεπόλει εἰς τὴν πόλιν,
45 καὶ ἐγένετο κίνημα μέγα ἐν τῇ πόλει. 45καὶ ἀνέβησαν οἱ ἐν τῇ πόλει
σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις ἐπὶ τὸ τεῖχος διερρηχότες τὰ ἱμάτια
αὐτῶν, καὶ ἐβόησαν φωνῇ μεγάλῃ ἀξιοῦντες Σίμωνα δεξιὰς αὐτοῖς
46 δοῦναι. 46καὶ εἶπαν Μὴ ἡμῖν χρήσῃ κατὰ τὰς πονηρίας ἡμῶν, ἀλλὰ
47 κατὰ τὸ ἔλεός σου. 47καὶ συνελύθη αὐτοῖς Σίμων, καὶ οὐκ ἐπολέμησεν
αὐτούς· καὶ ἐξέβαλεν αὐτοὺς ἐκ τῆς πόλεως, καὶ ἐκαθέρισεν τὰς
οἰκίας ἐν αἷς ἦν τὰ εἴδωλα, καὶ οὕτως εἰσῆλθεν εἰς αὐτὴν ὑμνῶν καὶ
48 εὐλογῶν. 48καὶ ἐξέβαλεν ἐξ αὐτῆς πᾶσαν ἀκαθαρσίαν, καὶ κατοί-
κισεν ἐν αὐτῇ ἄνδρας οἵτινες τὸν νόμον ποιοῦσιν· καὶ προσοχύρωσεν
49 αὐτήν, καὶ ᾠκοδόμησεν ἑαυτῷ ἐν αὐτῇ οἴκησιν. 49Οἱ δὲ ἐκ
τῆς ἄκρας ἐν Ἰερουσαλὴμ ἐκωλύοντο ἐκπορεύεσθαι εἰς τὴν χώραν καὶ

37 βαιν] βαιτην ℵ | αφεματα] pr τα ℵV 38 ωκοδομησατε] οικοδομηκατε ℵV ℵV* 39 αφ. δε] και αφ. V | om υμιν ℵV | αγν.] pr τα V | οφειλ. Va | τελωνισθηθω Va 40 γινεσθω] γινεσθω αν ℵ* γινεσθωσαν ℵ1? (postea ras σαν ℵ?) 41 εκατοστου εβδομηκοστου] ο' και εκατοστου ℵ εβδ. κ. εκατ. V 42 om Ισραηλ ℵV | συγγρ. V | συναλλαγματα ℵ | πρωτου (-τους A)] α' ℵ | στρατηγου] + με ℵ* (improb ℵ1) 43 παρενεβαλλεν ℵ | ελεπολιν ℵ (-λεις V)] om A | επαταξαν V 44 εξειλοντο Va | ελεοπολει ℵV πολει A | μεγα εν τη πολει] εν τη π. μ. ℵV 45 ταις γυναιξι (-ξιν V*)] om ταις ℵ | om αξιουντες ℵ* (hab ℵc.a) | Σειμωνα ℵ | δεξιας] δει ιδιας ℵ* (δεξιας ℵc.a, c.b) 46 ειπον V | ημιν] ημην (sic) A* (uid) 47 om αυτοις ℵ* (hab ℵc.a) | εκ] εξω ℵ | εκαθαρισεν ℵ: item 50 | ευλογων] + τον θν̄ V 48 και 1°] κ| και ℵ* (ras κ ℵ?) | κατωκησεν V* | ποιησωσι] ℵ ποιησουσιν V | προσωχυρωσεν ℵVa | om αυτην V | και ωκοδομησεν] δικαιωκοδ. ℵ* (και ωκοδ. ℵ1) improb vid και ℵc sed puncta ras ℵ? 49 εν Ιερουσαλημ] pr οι ℵ | εκπορευεσθαι] + και εισπορευεσθαι ℵV | om και 1° ℵ

A ἀγοράζειν καὶ πωλεῖν· καὶ ἐπείνασαν σφόδρα, καὶ ἀπώλοντο ἐξ αὐτῶν
ἱκανοὶ τῇ λιμῷ. [50]καὶ ἐβόησαν πρὸς Σιμωνα δεξιὰς λαβεῖν, καὶ 50
ἔδωκεν αὐτοῖς, καὶ ἐξέβαλεν αὐτοὺς ἐκεῖθεν, καὶ ἐκαθέρισεν τὴν ἄκραν
ἀπὸ τῶν μιασμάτων. [51]καὶ εἰσῆλθεν εἰς αὐτὴν τῇ τρίτῃ καὶ εἰκάδι 51
τοῦ δευτέρου μηνὸς ἔτους ἑνὸς καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ μετὰ
αἰνέσεως καὶ βαίων καὶ ἐν κινύραις καὶ ἐν κυμβάλοις καὶ ἐν νάβλαις
καὶ ἐν ὕμνοις καὶ ἐν ᾠδαῖς, ὅτι συνετρίβη ἐχθρὸς μέγας ἐξ Ἰσραήλ·
[52]καὶ ἔστησεν κατ' ἐνιαυτὸν τοῦ ἄγειν τὴν ἡμέραν ταύτην. καὶ 52
προσωχύρωσεν τὸ ὄρος τοῦ ἱεροῦ τὸ παρὰ τὴν ἄκραν, καὶ ᾤκει ἐκεῖ
αὐτὸς καὶ οἱ παρ' αὐτοῦ. [53]καὶ ἴδεν Σιμων τὸν Ἰωάννην τὸν υἱὸν 53
αὐτοῦ, ὅτι ἀνήρ ἐστιν, καὶ ἔθετο αὐτὸν ἡγούμενον τῶν δυνάμεων
πασῶν· καὶ ᾤκει ἐν Γαζάροις.

[1]Καὶ ἐν ἔτει δευτέρῳ καὶ ἑβδομηκοστῷ καὶ ἑκατοστῷ συνήγαγεν 1 XIV
Δημήτριος ὁ βασιλεὺς τὰς δυνάμεις αὐτοῦ, καὶ ἐπορεύθη εἰς Μηδίαν,
τοῦ ἐπισπᾶσθαι βοήθειαν ἑαυτῷ, ὅπως πολεμήσῃ τὸν Τρύφωνα.
[2]καὶ ἤκουσεν Ἀρσάκης ὁ βασιλεὺς Περσίδος καὶ Μηδίας ὅτι ἦλθεν 2
Δημήτριος εἰς τὰ ὅρια αὐτοῦ, καὶ ἀπέστειλεν ἕνα τῶν ἀρχόντων
αὐτοῦ συλλαβεῖν αὐτὸν ζῶντα. [3]καὶ ἐπορεύθη καὶ ἐπάταξεν τὴν 3
παρεμβολὴν Δημητρίου καὶ συνέλαβεν αὐτόν, καὶ ἤγαγεν αὐτὸν πρὸς
Ἀρσάκην, καὶ ἔθετο αὐτὸν ἐν φυλακῇ. [4]Καὶ ἡσύχασεν ἡ γῆ 4
πάσας τὰς ἡμέρας Σιμωνος, καὶ ἐζήτησεν ἀγαθὰ τῷ ἔθνει αὐτοῦ· καὶ
ἤρεσεν αὐτοῖς ἡ ἐξουσία αὐτοῦ καὶ ἡ δόξα αὐτοῦ πάσας τὰς ἡμέρας.
[5]καὶ μετὰ πάσης τῆς δόξης αὐτοῦ ἔλαβεν τὴν Ἰόππην εἰς λιμένα, καὶ 5
ἐποίησεν εἴσοδον ταῖς νήσοις τῆς θαλάσσης. [6]καὶ ἐπλάτυνεν τὰ ὅρια 6
τῷ ἔθνει αὐτοῦ, καὶ ἐκράτησεν τῆς χώρας. [7]καὶ συνήγαγεν αἰχμα- 7
λωσίαν πολλήν, καὶ ἐκυρίευσεν Γαζάρων καὶ Βεθσούρων καὶ τῆς ἄκρας
καὶ ἐξῆρεν τὰς ἀκαθαρσίας ἐξ αὐτῆς, καὶ οὐκ ἦν ὁ ἀντικείμενος αὐτῷ.
[8]καὶ ἦσαν γεωργοῦντες τὴν γῆν αὐτῶν μετ' εἰρήνης, καὶ ἡ γῆ ἐδίδου 8

ℵV 49 τη λιμω] τω λ. ℵV[1] (τω ν. V[*]) 51 εισηλθον ℵ | του δευτερου μηνος] του μηνος του δευτερου ℵ | ενος] πρωτου ℵV | om και 3° ℵ | βαεω| ℵ[*] βαιεω| ℵ[c.a vid] (βαιω| ℵ[c.b]) | Ισραηλ] Ιλημ V 52 ταυτην] + μετα ευφροσυνης ℵV | προσοχυρωσεν ℵV[*] 53 ειδεν ℵ | τον υιον] om τον ℵV | Γαζαροις] ις sup ras ℵ[1] (prius ζ) XIV 1 εβδομηκοστω κ. εκατοστω] εβδομω κ. ρ' ℵ | Μηδειαν ℵV[a] | επισπασθαι βοηθειαν εαυτω] επισπασασθαι (σ 1° om vid ℵ[*]) βοηθιαν αυτω (εαυτ. ℵ[c.a]V) ℵV 2 Αρσικης ℵ | Περσιδος] pr της ℵV | Μηδειας V[a] | οτε ℵ[*] (οτι ℵ[c.a, c.b]) | εισηλθεν ℵ[*] (ηλθεν ℵ[c.a, c.b])V | των αρχ.] ω 1° sup ras ℵ[1] | συνλαβιν ℵ 3 om και εθετο αυτον εν φυλακη ℵ[*] (hab ℵ[c.a]) 4 ησυχασεν] σ 1° inst ℵ[c.a, c.b] | γη] + Ιουδα ℵV | απασας V 5 Ιοππην] ιππον ℵ[*] (Ιοππην ℵ[c.a (fort), c.b]) | νησοις] νοσοις ℵ[*] (νησ. ℵ[1 (vid)]) 6 εθνει αυτου] εθνι τουτω ℵ[*] (εθν. αυτου ℵ[c.b]) 7 εκυριευσεν] συνηγαγεν ℵ | Βαιθσ. V

τὰ γενήματα αὐτῆς, καὶ τὰ ξύλα τῶν πεδίων τὸν καρπὸν αὐτῶν. A
9 [9]πρεσβύτεροι ἐν ταῖς πλατείαις ἐκάθηντο, πάντες περὶ ἀγαθῶν ἐκοι-
νολόγουν, καὶ οἱ νεανίσκοι ἐνεδύσαντο δόξας καὶ στολὰς πολέμου.
10 [10]ταῖς πόλεσιν ἐχορήγησεν βρώματα, καὶ ἔταξεν αὐτὰς ἐν σκεύεσιν
ὀχυρώσεως, ἕως ὅτου ὀνομάσθη τὸ ὄνομα τῆς δόξης αὐτοῦ ἕως ἄκρου
11 γῆς· [11]ἐποίησεν τὴν εἰρήνην ἐπὶ τῆς γῆς, καὶ ηὐφράνθη Ἰσραὴλ
12 εὐφροσύνην μεγάλην. [12]καὶ ἐκάθισεν ἕκαστος ὑπὸ τὴν ἄμπελον
13 αὐτοῦ καὶ τὴν συκῆν αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν αὐτούς· [13]καὶ
ἐξέλειπεν πολεμῶν αὐτοὺς ἐπὶ τῆς γῆς, καὶ οἱ βασιλεῖς αὐτῶν συνε-
14 τρίβησαν ἐν ταῖς ἡμέραις ἐκείναις. [14]καὶ ἐστήρισεν πάντας τοὺς
ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ· τὸν νόμον ἐξεζήτησεν, καὶ ἐξῆρεν πάντα
15 ἄνομον καὶ πονηρόν· [15]τὰ ἅγια ἐδόξασεν, καὶ ἐπλήθυνεν τὰ σκεύη
τῶν ἁγίων.

16 [16]Καὶ ἤκουσεν ἐν Ῥώμῃ ὅτι ἀπέθανεν Ἰωναθάν, καὶ ἕως Σπάρτης,
17 καὶ ἐλυπήθησαν σφόδρα. [17]ὡς δὲ ἤκουσαν ὅτι Σίμων ὁ ἀδελφὸς
αὐτοῦ γέγονεν ἀντ᾽ αὐτοῦ ἀρχιερεὺς καὶ ἐπικρατεῖ τῆς χώρας καὶ τῶν
18 πόλεων τῶν ἐν αὐτῇ, [18]καὶ ἔγραψαν πρὸς αὐτὸν δέλτοις χαλκαῖς τοῦ
ἀνανεώσασθαι πρὸς αὐτὸν φιλίαν καὶ τὴν συμμαχίαν ἣν ἔστησαν
19 πρὸς Ἰούδαν καὶ Ἰωναθὰν τοὺς ἀδελφοὺς αὐτοῦ. [19]καὶ ἀνεγνώσθησαν
20 ἐνώπιον ἐκκλησίας ἐν Ἰερουσαλήμ. [20]καὶ τοῦτο τὸ ἀντίγραφον τῶν
ἐπιστολῶν ὧν ἀπέστειλαν οἱ Σπαρτιᾶται Σπαρτιατῶν ἄρχοντες καὶ ἡ
πόλις Σίμωνι ἱερεῖ μεγάλῳ καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς ἱερεῦσι
21 καὶ τῷ λοιπῷ δήμῳ τῶν Ἰουδαίων ἀδελφοῖς χαίρειν. [21]οἱ πρεσβευταὶ
οἱ ἀποσταλέντες πρὸς τὸν δῆμον ἡμῶν ἀπήγγειλαν ἡμῖν περὶ τῆς
22 δόξης ὑμῶν καὶ τιμῆς, καὶ ηὐφράνθημεν ἐπὶ τῇ ἐφόδῳ αὐτῶν. [22]καὶ
ἀναγραψάμενοι τὰ ὑπ᾽ αὐτῶν εἰρημένα ἐν ταῖς βουλαῖς τοῦ δήμου
οὕτως Νουμήνιος Ἀντιόχου καὶ Ἀντίπατρος Ἰάσονος πρεσβευταὶ

8 *ξυλα*] + *αμα* ℵ | *τον καρπον*] pr *και* ℵ* (improb ℵ^{c}) **9** *πλατειαις*] ℵV *εκκλησιαις* ℵ* (*πλατιαις* ℵ$^{c.a\ (et\ c.b\ vid)}$) | *αγαθων*] + *ϛ* ℵ$^{c.a}$ (postea ras) | *εκοινολογουντο* ℵV | *δοξαν* ℵ **10** *εχορηγησαν* ℵ | *εταξεν αυτας*] *εταξαν εαυτους* ℵ | *οχυρωσεως*] *οχυρωματω̄* | ℵ* (*-ρωσεως* ℵ$^{c.a,\ c.b}$) | *ωνομασθη* ℵV **11** *εποιησεν*] pr *και* ℵ$^{c.a}$ | *την ειρηνην*] om *την* ℵV | *ευφρανθη* ℵV **12** om *και την συκην αυτου* ℵ | *ο εκφοβων*] om *ο* ℵ* (hab ℵ$^{c.a}$) **13** *εξελιπεν* ℵ | om *αυτων* ℵV **14** *εξεζητησαν* ℵ **15** om *τα αγια εδοξασεν και επληθυνεν* ℵ | *τα σκευη*] pr *και* ℵ **16** *ηκουσεν*] *ηκουσθη* ℵV **17** *Σειμων* ℵ | *αρχιερευς αντ αυτου* ℵV | *και* 1°] + *αυτος* ℵV | *επικρ.*] + *εν εν αυτη* V* (improb *εν* 2° V^{a}) **18** om *και* 1° ℵV | *την συμμαχιαν*] om *την* ℵV | bis scr *φιλ. κ. συμμ.* V* (improb 1° V^{1}) **19** *εκκλησιας*] pr *της* ℵV | *εν Ιερ.*] pr *της* V **20** *Σιμων* ℵ* (*Σιμωνι* ℵ$^{1\ (fort)}$) | *ιερευσιν* ℵV **21** *πρεσβευται*] *πρεσβυτεροι* ℵV | *οι αποσταλ.*] om *οι* ℵ*V* (hab ℵ$^{c.a}$V^{1}) | *υμων*] *ημων* ℵ* (*υμ.* ℵ$^{c.a}$) **22** *αναγραψαμενοι*] *ανεγραψαμεν* ℵV | *Ιασωνος* V | *πρεσβυται* ℵV

A Ἰουδαίων ἤλθοσαν πρὸς ἡμᾶς ἀνανεούμενοι τὴν πρὸς ἡμᾶς φιλίαν·
23 καὶ ἤρεσεν τῷ δήμῳ ἐπιδέξασθαι τοὺς ἄνδρας ἐνδόξως, καὶ τοῦ 23
θέσθαι τὸ ἀντίγραφον τῶν λόγων αὐτῶν ἐν τοῖς ἀποδεδειγμένοις τῷ
δήμῳ βιβλίοις, τοῦ μνημόσυνον ἔχειν τὸν δῆμον τῶν Σπαρτιατῶν· τὸ
δὲ ἀντίγραφον τούτων ἔγραψαν Σίμωνι τῷ ἀρχιερεῖ. 24 Μετὰ 24
ταῦτα ἀπέστειλεν Σίμων τὸν Νουμήνιον εἰς Ῥώμην ἔχοντα ἀσπίδα
χρυσῆν μεγάλην ὁλκὴν μνῶν χιλίων, εἰς τὸ στῆσαι πρὸς αὐτοὺς τὴν
συμμαχίαν.

25 Ὡς δὲ ἤκουσεν ὁ δῆμος τῶν λόγων τούτων, εἶπαν Τίνα 25
χάριν ἀποδώσομεν Σίμωνι καὶ τοῖς υἱοῖς αὐτοῦ; 26 ἐστήρισεν γὰρ 26
αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ, καὶ
ἐπολέμησαν τοὺς ἐχθροὺς Ἰσραηλ ἀπ᾽ αὐτῶν. καὶ ἔστησαν αὐτῷ
ἐλευθερίαν, καὶ κατέγραψεν ἐν δέλτοις χαλκαῖς, καὶ ἔθεντο ἐν στήλῃ
ἐν ὄρει Σιων. 27 καὶ τοῦτο τὸ ἀντίγραφον τῆς γραφῆς Ὀκτωκαιδεκάτῃ 27
Ἐλουλ, ἔτους δευτέρου ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ, καὶ τοῦτο τρίτον
ἔτος ἐπὶ Σίμωνος τοῦ ἀρχιερέως, 28 ἐν Σαραμελ, ἐπὶ συναγωγῆς 28
μεγάλης τῶν ἱερέων καὶ λαοῦ καὶ ἀρχόντων ἔθνους καὶ τῶν πρεσβυ-
τέρων τῆς χώρας ἐγνώρισεν ἡμῖν. 29 ἐπεὶ πολλάκις ἐγενήθησαν πό- 29
λεμοι ἐν τῇ χώρᾳ, Σίμων δὲ ὁ υἱὸς Ματταθίου ὁ υἱὸς τῶν υἱῶν Ἰωαριβ
καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἔδωκαν ἑαυτοὺς τῷ κινδύνῳ, καὶ ἀντέστησαν
τοῖς ὑπεναντίοις τοῦ ἔθνους αὐτῶν, ὅπως σταθῇ τὰ ἅγια αὐτῶν καὶ ὁ
νόμος, καὶ δόξῃ μεγάλῃ ἐδόξασαν τὸ ἔθνος αὐτῶν· 30 καὶ ἤθροισεν 30
Ἰωναθαν τὸ ἔθνος αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς ἀρχιερεύς, καὶ προσε-
τέθη πρὸς τὸν λαὸν αὐτοῦ· 31 καὶ ἐβουλήθησαν οἱ ἐχθροὶ αὐτῶν 31
ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτῶν τοῦ ἐκτρίψαι τὴν χώραν αὐτῶν,
καὶ ἐκτεῖναι τὰς χεῖρας ἐπὶ τὰ ἅγια αὐτῶν· 32 τότε ἀνέστη Σίμων, καὶ 32

ℵV 22 ηλθον ℵV | ημας 1°] υμας ℵ* (ημ. ℵ$^{c.b}$) | ημας 2°] υμας ℵ 23 επι-
δεξασθαι] + τας φιλιας κ ℵ$^{c.a}$ | του μνημ. εχειν] το μνημ. εχ. ℵ | των Σπαρτ.]
τον Σπ. ℵ* (των Σπ. ℵ$^{c.a}$) | εγραψα ℵ* (-ψαν ℵ^{c}) εγραψαμεν V 24 μετα]
+ δε ℵ$^{c.a}$ | ολκης ℵ$^{c.a}$ | χιλιων] α' ℵ* ,α' ℵ$^{c.a}$ 25 Σιμωνι] + ται ℵ* (τε
ℵ$^{c.a}$ postea improb ℵ?) 26 εστηρισται ℵ | επολεμησεν ℵV | τους εχθρους]
ους εχθρ sup ras A^{a} | Ιηλ· απ αυτων distinx A | κατεγραψαν ℵV | χαλκοις
ℵ* (-καις ℵ$^{c.a, c.b}$) | στηλαις ℵV | ορεσι V 27 οκτωκαιδεκατω ℵ$^{c.a}$ | om
Ελουλ ℵ | δευτερου εβδομηκοστου κ. εκατοστου] β' και ο' και ρ' ℵ | εβδ.] pr
και V | om και 3° ℵ | τουτο] το ℵ | του αρχιερεως] αρχιερεως μεγαλου ℵV
28 Ασαραμελ ℵV | των ιερεων] om των ℵ αρχιερεων V 29 εγενηθημεν ℵ*
(-θησαν ℵ$^{c.a}$) | ο υιος των υιων] υιος υιων ιερευς των υιων ℵV | Ιωαρειβ ℵV in
Ιωαριβ rescr ι 2° A + δυο A | εαυτους] αυτους ℵ | om αυτων 1° ℵ 30 om
και ηθροισεν Ιωναθαν το εθνος αυτων ℵ | αυτων] αυτου V | αυτοις] αυτων V
31 om του εκτριψαι την χωραν αυτων ℵ* (hab ℵ$^{c.a}$)V | την χωραν 2°] pr εις
A | εκκλιναι ℵ* (εκτειναι ℵ$^{c.a}$) | τας χειρας] om τας ℵ 32 αντεστη ℵV

ἐπολέμησεν περὶ τοῦ ἔθνους αὐτοῦ, καὶ ἐδαπάνησεν χρήματα πολλὰ A
τῶν ἑαυτοῦ, καὶ ὀπλοδότησεν τοὺς ἄνδρας τῆς δυνάμεως τοῦ ἔθνους
33 *αὐτοῦ, καὶ ἔδωκεν αὐτοῖς ὀψώνια·* 33 *καὶ ὠχύρωσεν τὰς πόλεις τῆς*
Ἰουδαίας καὶ τὴν Βεθσούραν τὴν ἐπὶ τῶν ὁρίων τῆς Ἰουδαίας, οὗ ἦν
τὰ ὅπλα τῶν πολεμίων τὸ πρότερον, καὶ ἔθετο ἐκεῖ φρουρὰν ἄνδρας
34 *Ἰουδαίους·* 34 *καὶ Ἰόππην ὠχύρωσεν τὴν ἐπὶ τῆς θαλάσσης, καὶ τὴν*
Γαζάραν τὴν ἐπὶ τῶν ὁρίων Ἀζώτου, ἐν ᾗ ᾤκουσαν οἱ πολέμιοι τὸ
πρότερον ἐκεῖ, καὶ κατῴκισεν ἐκεῖ Ἰουδαίους, καὶ ὅσα ἐπιτήδεια πρὸς
35 *τῇ τούτων ἐπανορθώσει ἔθετο ἐν αὐτοῖς.* 35 *καὶ εἶδεν ὁ λαὸς τὴν*
πίστιν τοῦ Σίμωνος καὶ τὴν δόξαν ἣν ἐβουλεύσατο ποιῆσαι τῷ ἔθνει
αὐτοῦ, καὶ ἔθεντο αὐτὸν ἡγούμενον αὐτῶν καὶ ἀρχιερέα, διὰ τὸ
πεποιηκέναι αὐτὸν ταῦτα πάντα, καὶ τὴν δικαιοσύνην καὶ τὴν πίστιν
ἣν συνετήρησεν τῷ ἔθνει αὐτοῦ, καὶ ἐξεζήτησεν παντὶ τρόπῳ ὑψῶσαι
36 *τὸν λαὸν αὐτοῦ.* 36 *καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ εὐοδώθη ἐν ταῖς χερσὶν*
αὐτοῦ, τοῦ ἐξαρθῆναι τὰ ἔθνη ἐκ τῆς χώρας αὐτῶν, καὶ τοὺς ἐν τῇ
πόλει Δαυιδ τοὺς ἐν Ἰερουσαλὴμ οἳ ἐποίησαν ἑαυτοῖς ἄκραν ἐξ ἧς
ἐξεπορεύοντο, καὶ ἐμίαινον κύκλῳ τῶν ἁγίων, καὶ ἐποιοῦσαν πληγὴν
37 *μεγάλην ἐν τῇ ἁγνείᾳ·* 37 *καὶ κατῴκισεν ἐν αὐτῇ ἄνδρας Ἰουδαίους,*
καὶ ὠχύρωσεν αὐτὴν πρὸς ἀσφάλειαν τῆς χώρας καὶ τῆς πόλεως, καὶ
38 *ὕψωσεν τὰ τείχη Ἰερουσαλήμ.* 38 *καὶ ὁ βασιλεὺς Δημήτριος ἔστησεν*
39 *αὐτῷ τὴν ἀρχιερωσύνην κατὰ ταῦτα,* 39 *καὶ ἐποίησεν αὐτὸν τῶν φίλων*
40 *αὐτοῦ, καὶ ἐδόξασεν αὐτὸν δόξῃ μεγάλῃ·* 40 *ἠκούσθη γὰρ ὅτι προσα-*
γορεύονται Ἰουδαῖοι ὑπὸ Ῥωμαίων φίλοι καὶ σύμμαχοι καὶ οἱ ἀδελφοί,
41 *καὶ ὅτι ἀπήντησαν τοῖς πρεσβευταῖς Σίμωνος ἐνδόξως·* 41 *καὶ ὅτι οἱ*
Ἰουδαῖοι καὶ οἱ ἱερεῖς εὐδόκησαν τοῦ εἶναι αὐτῶν Σίμωνα ἡγούμενον
καὶ ἀρχιερέα εἰς τὸν αἰῶνα, ἕως τοῦ ἀναστῆναι προφήτην πιστόν·
42 42 *καὶ τοῦ εἶναι ἐπ᾽ αὐτῶν στρατηγόν, καὶ ὅπως μέλῃ αὐτῷ περὶ τῶν*

32 *επολεμησε* ℵ* (*-σεν* ℵ$^{c.a}$) V^{a} | *ωπλοδ.* V^{a} | *τους ανδρας*] pr *αυτου* ℵ ℵV **33** *οχυρωσεν* ℵV* | Βαιθσουραν ℵV | *την επι*] *τη επι* A* (superscr *ν* A^{1}) | *το προτερον*] *των πρ.* ℵ* (*το πρ.* ℵ$^{c (c.b\ vid)}$) **34** Γαραζαν ℵ* (Γαζαραν ℵ$^{c.b}$) | *ωκουν* ℵV | *πολεμοι* ℵ* (*-μιοι* ℵ$^{c.a\ (vid)}$) | om *εκει* 1° ℵ bis V | *επιτηδεια*]+ *ην* ℵV | *αυτοις*] *αυταις* ℵV **35** om *ειδεν ο λαος* ℵ* (hab *ιδεν ο λ.* ℵ$^{c.a}$) | *πιστιν*]+ *και πραξιν* V | *εθετο* ℵ | *αυτον πεποιηκεναι αυτον παντα ταυτα* ℵ *αυτ. πεπ. τ. π.* V **36** *ευωδ.* V^{a} | *οι εποιησαν εαυτοις*] *εποιησεν αυτοις* ℵ* *οι επ. αυτ.* ℵ$^{c.a}$ | *ακρας* A | *επορευοντο* ℵ* (*εξεπορ.* ℵ$^{c.a}$) | *εποιουν* ℵV | *αγνια* ℵV **37** *ασφαλιαν* ℵV* | Ιερουσαλημ] pr *της* ℵ* (improb ℵ$^{c.a}$) V **38** *αρχιεροσυνην* ℵ* (*αρχϊερωσ.* ℵ$^{c.a}$) *αρχι|ϊερωσ.* (sic) A **40** *ηκουσθη*] *ηκουσεν* ℵV | *προσηγορευται* ℵ* (*-ρευνται* ℵ^{1}V) | Ιουδαιοι] pr *οι* ℵV | *οι αδελφοι*] om *οι* ℵV | *απηντησεν* V | *πρεσβυτεροις* V | Σιμων ℵ* (*-νος* ℵ$^{c.a}$) **41** *οιερεις* A (sic) | *ηυδοκ.* V | *αυτων*] *αυτω* ℵ* (*-των* ℵ$^{c.a}$) **42** *επ αυτων*] *επ αυτω εν* ℵ* *αυτων* ℵ^{1} *εαυτων* ℵ$^{c\ (vid)}$ + *μωνα ηγουμενον* ℵ* (*μωνα ηγ.* improb ℵ$^{1\ et\ postea}$)

A ἁγίων, καθιστάναι δι' αὐτοῦ ἐπὶ τῶν ἔργων αὐτῶν καὶ ἐπὶ τῆς χώρας
καὶ ἐπὶ τῶν ὅπλων καὶ ἐπὶ τῶν ὀχυρωμάτων· 43 καὶ ὅπως μέλῃ αὐτῷ 43
περὶ τῶν ἁγίων, καὶ ὅπως ἀκούηται ὑπὸ πάντων, καὶ ὅπως γράφωνται
ἐπὶ τῷ ὀνόματι αὐτοῦ πᾶσαι συγγραφαὶ ἐν τῇ χώρᾳ, καὶ ὅπως περι-
βάλληται πορφύραν καὶ χρυσοφορῇ. 44 καὶ οὐκ ἔξεστιν οὐδενὶ τοῦ 44
λαοῦ καὶ τῶν ἱερέων ἀθετῆσαί τι τούτων καὶ ἀντειπεῖν τοῖς ὑπ' αὐτοῦ
ῥηθησομένοις, καὶ ἐπισυστρέψαι συστροφὴν ἐν τῇ χώρᾳ ἄνευ αὐτοῦ,
καὶ περιβαλέσθαι πορφύραν καὶ ἐνπορποῦσθαι πόρπην χρυσῆν·
45 ὃς δ' ἂν παρὰ ταῦτα ποιήσῃ ἢ ἀθετήσῃ τι τούτων, ἔνοχος ἔσται. 45
46 καὶ εὐδόκησεν πᾶς ὁ λαὸς θέσθαι Σίμωνι ποιῆσαι κατὰ τοὺς 46
λόγους τούτους. 47 καὶ ἐπεδέξατο Σίμων, καὶ εὐδόκησεν ἀρχιερατεῦσαι 47
καὶ εἶναι στρατηγὸς καὶ ἐθνάρχης τῶν Ἰουδαίων καὶ ἱερέων καὶ τοῦ
προστατῆσαι πάντων. 48 Καὶ τὴν γραφὴν ταύτην εἶπαν θέσθαι 48
ἐν δέλτοις χαλκαῖς, καὶ στῆσαι αὐτὰς ἐν περιβόλῳ τῶν ἁγίων ἐν
τόπῳ πιστῷ· 49 τὰ δὲ ἀντίγραφα αὐτῶν θέσθαι ἐν τῷ γαζοφυλακίῳ, 49
ὅπως ἔχῃ Σίμων καὶ οἱ υἱοὶ αὐτοῦ.

1 Καὶ ἀπέστειλεν Ἀντίοχος υἱὸς Δημητρίου τοῦ βασιλέως ἐπι- 1 XV
στολὰς ἀπὸ τῶν νήσων τῆς θαλάσσης Σίμωνι ἱερεῖ καὶ ἐθνάρχῃ τῶν
Ἰουδαίων καὶ παντὶ τῷ ἔθνει. 2 καὶ ἦσαν περιέχουσαι τὸν τρόπον 2
τοῦτον Βασιλεὺς Ἀντίοχος Σίμωνι ἱερεῖ μεγάλῳ καὶ ἐθνάρχῃ καὶ
ἔθνει Ἰουδαίων χαίρειν. 3 ἐπειδή τινες λοιμοὶ κατεκράτησαν τῆς 3
βασιλείας τῶν πατέρων ἡμῶν, βουλεύομαι δὲ ἀντιποιήσασθαι τῆς
βασιλείας, ὅπως ἀποκαταστήσω αὐτὴν ὡς ἦν τὸ πρότερον· ἐξενολό-
γησα δὲ πλῆθος δυνάμεων καὶ κατεσκεύασα πλοῖα πολεμικά· 4 βού- 4
λομαι δὲ ἐκβῆναι κατὰ τὴν χώραν, ὅπως μετέλθω τοὺς κατεφθαρ-
κότας τὴν χώραν ἡμῶν καὶ τοὺς ἠρημωκότας πόλεις πολλὰς ἐν τῇ
βασιλείᾳ· 5 νῦν οὖν ἵστημί σοι πάντα τὰ ἀφαιρέματα ἃ ἀφῆκάν σοι 5

ℵV 42 δι αυτου] αυτους ℵ 43 ακουηται] ακουονται ℵ | γραφονται ℵ*V* (-φωνται ℵ$^{c.a}$V^{a}) | πασαι]+αι ℵ$^{c.a}$ (postea improb) | συγγραφαι] συνγραφαι αι ℵ | περιβαληται ℵV 44 εξεστιν (-τι A)] εξεσται ℵV | ουδενι] ουθεν ℵ* (ουδενι ℵ$^{c.a, c.b}$) ουθενι V | επισυστρεψαι] επιστρεψαι ℵV | περιβαλλεσθαι ℵ* (-βαλεσθαι ℵ$^{c.a}$) 46 ηυδοκ. V (item 47) | Σιμωνα ℵ 47 αρχιερατευειν ℵV αρχιερευσαι A* (αρχιερατευσαι A^{1}) | προσστησαι ℵ* (προστατ. ℵ$^{c.a}$) 48 ειπον ℵV | στησαι] θησαι A | περιβολων A*^{vid} (-λω A$^{?}$) | πιστω] επισημω ℵV XV 1 Αντιωχος ℵ* (Αντιοχ. ℵ$^{c.a}$) | υιος] pr ο ℵ$^{c.a}$ | Σιμων ℵ* (-νι ℵ$^{c.a}$) | εθναρ|θναρχη ℵ* (ras θναρ ℵ$^{?}$) 2 τροπον] τοπον A* (superscr ρ A^{a}) 3 επειδη] επι ℵ επει V | βουλευομαι] βουλομαι ℵV | το προτερον ως ην ℵ | εξενολογησα δε] και εξενολογησα̅| ℵ* (εξενολογησα δε ℵ$^{c.a}$) | κατεσκευασαν ℵ* (-σα ℵ$^{c.a}$) 4 βασιλεια]+μου ℵV 5 αφαιρεματα 1°] αφεματα ℵ* (αφερεμ. ℵ$^{c.a}$)V | α αφηκαν] αφηκαν ℵ* (α αφ. ℵ^{1})

6 οἱ πρὸ ἐμοῦ βασιλεῖς, καὶ ὅσα ἄλλα ἀφαιρέματα ἀφῆκάν σοι· 6ποι- A
7 ῆσαι κόμμα ἴδιον νόμισμα τῆς χώρας σου· 7Ἰερουσαλὴμ δὲ καὶ τὰ
ἅγια εἶναι ἐλεύθερα· καὶ πάντα τὰ ὅπλα ὅσα κατεσκεύασας, καὶ
8 τὰ ὀχυρώματα ἃ ᾠκοδόμησας, ὧν κρατεῖς, μενέτω σοι. 8καὶ πᾶν
ὀφείλημα βασιλικὸν καὶ τὰ ἐσόμενα βασιλικά, ἀπὸ τοῦ νῦν καὶ
9 εἰς τὸν ἅπαντα χρόνον, ἀφιέσθω σοι. 9ὡς δ᾽ ἂν καταστήσωμεν
τὴν βασιλείαν ἡμῶν, δοξάσωμέν σε καὶ τὸ ἔθνος σου καὶ τὸ ἱερὸν
δόξῃ μεγάλῃ, ὥστε φανερὰν γενέσθαι τὴν δόξαν ὑμῶν ἐν πάσῃ τῇ
10 γῇ. 10Ἔτους τετάρτου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἐξῆλ-
θεν Ἀντίοχος εἰς τὴν γῆν τῶν πατέρων αὐτοῦ, καὶ συνῆλθον πρὸς
11 αὐτὸν πᾶσαι αἱ δυνάμεις, ὥστε ὀλίγους εἶναι σὺν Τρύφωνι. 11καὶ
ἐδίωξεν αὐτὸν Ἀντίοχος ὁ βασιλεύς, καὶ ἦλθεν εἰς Δωρὰ φεύγων
12 τὴν ἐπὶ τὴν θάλασσαν. 12ᾔδει γὰρ ὅτι ἐπισυνῆκται ἐπ᾽ αὐτὸν
13 κακά, καὶ ἀφῆκαν αὐτὸν αἱ δυνάμεις. 13καὶ παρενέβαλεν Ἀντίοχος
ἐπὶ Δωρά, καὶ σὺν αὐτῷ δώδεκα μυριάδες ἀνδρῶν πολεμιστῶν καὶ
14 ὀκτακισχιλία ἵππος. 14καὶ ἐκύκλωσεν τὴν πόλιν, καὶ τὰ πλοῖα
ἀπὸ θαλάσσης συνῆψαν· καὶ συνέθλιβεν τὴν πόλιν ἀπὸ τῆς γῆς
καὶ ἀπὸ τῆς θαλάσσης, καὶ οὐκ εἴασεν οὐδένα ἐκπορεύεσθαι καὶ
15 εἰσπορεύεσθαι. 15Καὶ ἦλθεν Νουμήνιος καὶ οἱ παρ᾽ αὐτοῦ ἐκ
Ῥώμης ἔχοντες ἐπιστολὰς τοῖς βασιλεῦσι καὶ ταῖς χώραις, ἐν αἷς
16 ἐγέγραπτο τάδε 16Λεύκιος ὕπατος Ῥωμαίων Πτολεμαίῳ βασιλεῖ χαί-
17 ρειν. 17οἱ πρεσβευταὶ τῶν Ἰουδαίων ἦλθαν πρὸς ἡμᾶς φίλοι ἡμῶν
καὶ σύμμαχοι, ἀνανεούμενοι τὴν ἐξ ἀρχῆς φιλίαν καὶ συμμαχίαν,
ἀπεσταλμένοι ἀπὸ Σίμωνος τοῦ ἀρχιερέως καὶ τοῦ δήμου τῶν Ἰου-
18 δαίων· 18ἤνεγκαν δὲ ἀσπίδα χρυσῆν ἀπὸ μνῶν πεντακισχιλίων.
19 19ἤρεσεν οὖν ἡμῖν γράψαι τοῖς βασιλεῦσιν καὶ ταῖς χώραις, ὅπως
μὴ ἐκζητήσωσιν αὐτοῖς κακά, καὶ μὴ πολεμήσωσιν αὐτοὺς καὶ τὰς

5 αφαιρεματα 2°] δοματα ℵV | σοι 3°]+οι προ εμου βασιλεις σοι ℵ* (improb ℵ$^{c.a}$) ℵV 6 ποιησαι] pr και επετρεψα σοι ℵV | νομισμα improb ℵ$^{1, c.a}$ (repos ℵ$^{c.b (vid)}$) | τη χωρα ℵV 7 δε και τα αγια ειναι] δεκτα αγια ℵ* (δε ϗ τα αγ. ειν. ℵ$^{c.a}$) 8 τον απ.] om τον V | αφεισθω ℵV 9 ως] ων ℵ* (ως ℵ$^{c.b}$) | καταστησωμεν την βασιλειαν] κρατησωμεν της βασιλειας ℵ | δοξασομεν V^{a} 10 τεταρτου κ. εβδομηκοστου κ. εκατοστου] δ′ και ο′ και ρ′ ℵ | εξηλθεν] και ηλθεν ℵ* (εξηλθ. ℵ$^{c.a}$) 11 om ο βασιλευς ℵ* (hab ℵ$^{c.a}$) | την θαλασσαν] θαλασσης ℵV 12 κακα] pr τα ℵV 13 μυριαδας ℵ* (-δες ℵ$^{c.a}$) χιλιαδες V | πολεμικων ℵ* (-μιστων ℵ$^{c.a}$) | οκτακισχιλιων (-χιλια ℵ^{1}) ιππων ℵ 14 om και τα πλοια...συνεθλιβεν την πολιν ℵ | συνηψεν V | εθλιβεν V* | om απο 3° ℵ | και 6°] ουδε ℵV 15 βασιλευσιν ℵV* | ταδε] ταυτα ℵV 17 πρεσβυται ℵV | ηλθον ℵV | ημας] υμας A 18 ηνεγκον V* | ανσπιδα ℵ* (ασπ. ℵ$^{1 (vid), c.a}$) | πεντακισχιλιων] α′ ℵ* ,α′ ℵ$^{c.a}$ χιλιων V 19 τοις βασιλευσιν] ταις βασ. ℵ* (τοις βασ. ℵ$^{c.a}$) | om αυτοις κακα και μη πολεμησωσιν ℵ* (hab ℵ$^{c.a}$)

A πόλεις αὐτῶν καὶ τὰς χώρας αὐτῶν, καὶ ἵνα μὴ συμμαχῶσιν τοῖς
πολεμοῦσιν αὐτούς. [20]ἔδοξεν δὲ ἡμῖν δέξασθαι τὴν ἀσπίδα παρ' αὐ- 20
τῶν. [21]εἴ τινες οὖν λοιμοὶ διαπεφεύγασιν ἐκ τῆς χώρας αὐτῶν 21
πρὸς ὑμᾶς, παράδοτε αὐτοὺς τῷ Σίμωνι τῷ ἀρχιερεῖ, ὅπως ἐκδι-
κήσει αὐτοὺς κατὰ τὸν νόμον αὐτῶν. [22]καὶ ταὐτὰ ἔγραψεν Δημητρίῳ 22
τῷ βασιλεῖ καὶ Ἀττάλῳ καὶ Ἀράθῃ καὶ Ἀρσάκῃ, [23]καὶ εἰς πάσας 23
τὰς χώρας, καὶ Σαμψάκῃ, καὶ Σπαρτιάταις, καὶ εἰς Δῆλον καὶ εἰς
Μύνδον καὶ εἰς Σικυῶνα καὶ εἰς τὴν Καρίδα καὶ εἰς Σάμον καὶ εἰς
τὴν Παμφυλίαν καὶ Λυκίαν καὶ εἰς Ἁλικαρνασσὸν καὶ εἰς Κῶ καὶ
εἰς Σίδην καὶ εἰς Ἄραδον καὶ εἰς Ῥόδον καὶ εἰς τὴν Φασηλίδα καὶ
Γόρτυναν καὶ Κνίδον καὶ Κύπρον καὶ Κυρήνην. [24]τὸ δὲ ἀντίγρα- 24
φον αὐτῶν ἔγραψεν Σίμωνι τῷ ἀρχιερεῖ. [25]Ἀντίοχος δὲ ὁ βα- 25
σιλεὺς παρενέβαλεν ἐπὶ Δωρὰ ἐν τῇ δευτέρᾳ, προσάγων διὰ παντὸς
αὐτῇ τὰς χεῖρας καὶ μηχανὰς ποιούμενος, καὶ συνέκλεισεν τὸν Τρύ-
φωνα τοῦ εἰσπορεύεσθαι καὶ ἐκπορεύεσθαι. [26]καὶ ἀπέστειλεν αὐτῷ 26
Σίμων δισχιλίους ἄνδρας ἐκλεκτοὺς συμμαχῆσαι αὐτῷ καὶ ἀργύριον
καὶ χρυσίον καὶ σκεύη ἱκανά. [27]καὶ οὐκ ἠβούλετο αὐτὰ δέξασθαι, 27
ἀλλὰ ἠθέτησεν πάντα ὅσα ἐσυνέθετο αὐτῷ τὸ πρότερον, καὶ ἠλ-
λοτριοῦτο αὐτῷ. [28]καὶ ἀπέστειλεν πρὸς αὐτὸν Ἀθηνόβιον ἕνα τῶν 28
φίλων αὐτοῦ κοινολογησόμενον αὐτῷ, λέγων Ὑμεῖς κατακρατεῖτε τῆς
Ἰόππης καὶ Γαζαρηνῶν καὶ τῆς ἄκρας ἐν Ἰερουσαλήμ, πόλεις τῆς
βασιλείας μου. [29]τὰ ὅρια αὐτῶν ἠρημώσατε, καὶ ἐποιήσατε πληγὴν 29
μεγάλην ἐπὶ τῆς γῆς, καὶ ἐκυριεύσατε τόπων πολλῶν ἐν τῇ βασι-
λείᾳ μου. [30]νῦν οὖν παράδοτε τὰς πόλεις ἃς κατελάβεσθε, καὶ 30
τοὺς φόρους τῶν τόπων ὧν κατεκυριεύσατε, τῶν ὁρίων τῶν ἐκ τῆς
Ἰουδαίας. [31]εἰ δὲ μή, δότε ἀντ' αὐτῶν πεντακόσια τάλαντα ἀργυ- 31
ρίου, καὶ τῆς καταφθορᾶς ἧς κατεφθάρκατε καὶ τῶν φόρων τῶν

ℵV 19 την χωραν ℵV | om μη 3° V | συνμαχωσιν ℵ | πολεμωσιν A | αυτους 2°] pr προς ℵV 21 om εκ ℵ* (hab ℵ^c.a) | τω Σιμωνι] om τω ℵV 22 εγραψαν ℵ* (-ψεν ℵ^c.a, c.b) | Αριαραθη ℵ 23 Σαμψαμη ℵV | Σπαρτιαταις] Παρτ. A | Συκυωνα ℵ* (Σικυωνα ℵ^c.a, c.b) Συκιωνα A | Καριαν ℵV | την Παμφ.] om την V | Λυκιαν] εις Τηκιαν (sic) ℵ* εις Λυκ. ℵ^c.a, c.bV | και εις Κω...την Φασ. (Βασιλειδαν A)] και εις Ροδον και εις Φασηλιδα και εις Κω και εις Σιδην και εις Αραδον ℵV | Γορτυνα ℵV | Κυρηνην] Σμυρναν V 24 αυτων] τουτων ℵV | εγραψαν ℵ 25 παρενεβαλεν] παρεβαλεν εν ℵ* (παρενεβ. ℵ^c.a) | δευτερα] + ημερα ℵ^c.a | παντος] πα|των ℵ | του] + μη ℵ^c.a | εισπορευεσθαι] εκπορ. ℵV | εκπορευεσθαι] εισπορ. ℵ^1V 27 εβουλετο V | αλλ V | συνεθετο ℵ | αλλοτρ. V^vid | αυτω 2°] αυτου V 28 Γαζαρηνων] Γαζαρων ℵV | εν Ιερουσαλημ] pr της ℵ 29 ερημωσατε ℵ | ποιησατε ℵ* (εποιησατε ℵ^c.a) | om τοπων ℵ | βασιλια ℵ 30 πολες ℵ | κατελαβεσθε] παρελαβετε ℵ | των οριων] pr εκτος ℵ | om των εκ ℵV 31 om αντ ℵ* (hab ℵ^c.a)

πόλεων ἄλλα τάλαντα πεντακόσια· εἰ δὲ μή, παραγενόμενοι ἐκπο- A
32 λεμήσουσιν ὑμᾶς. [32]Καὶ ἦλθεν Ἀθηνόβιος φίλος τοῦ βασιλέως
εἰς Ἰερουσαλήμ, καὶ εἶδεν τὴν δόξαν Σίμωνος καὶ κυλίκιον μετὰ
χρυσωμάτων καὶ ἀργυρωμάτων καὶ παράστασιν ἱκανήν· καὶ ἐξί-
33 στατο, καὶ ἀπήγγειλεν αὐτοῖς τοὺς λόγους τοῦ βασιλέως. [33]καὶ
ἀποκριθεὶς Σίμων εἶπεν αὐτῷ Οὔτε γῆν ἀλλοτρίαν εἰλήφαμεν, οὔτε
ἀλλοτρίων κεκρατήκαμεν, ἀλλὰ τῆς κληρονομίας τῶν πατέρων ἡμῶν·
34 ὑπὸ δὲ ἐχθρῶν ἡμῶν ἀκρίτως ἔν τινι καιρῷ κατεκρατήθη. [34]ἡμεῖς
δὲ καιρὸν ἔχοντες ἀντεχόμεθα τῆς κληρονομίας ἡμῶν καὶ τῶν πατέ-
35 ρων ἡμῶν. [35]περὶ δὲ Ἰόππης καὶ Γαζαρηνῶν αἰτεῖς· αὗται ἐποίουν
ἐν τῷ λαῷ πληγὴν μεγάλην καὶ τῇ γῇ ἡμῶν· τούτων δώσομεν τά-
36 λαντα ἑκατόν. καὶ οὐκ ἀπεκρίθη αὐτῷ λόγον. [36]ἀπέστρεψεν δὲ
μετὰ θυμοῦ πρὸς τὸν βασιλέα, καὶ ἀπήγγειλεν αὐτῷ τοὺς λόγους
τούτους καὶ τὴν δόξαν Σίμωνος καὶ πάντα ὅσα εἶδεν· καὶ ὠργίσθη
37 ὁ βασιλεὺς ὀργὴν μεγάλην. [37]Τρύφων δὲ ἐμβὰς εἰς πλοῖον ἔφυγεν
38 εἰς Ὀρθωσίαν. [38]καὶ κατέστησεν ὁ βασιλεὺς τὸν Κενδεβαῖον ἐπι-
στράτηγον τῆς παραλίας, καὶ δυνάμεις πεζικὰς καὶ ἱππικὰς ἔδωκεν
39 αὐτῷ. [39]καὶ ἐνετείλατο αὐτῷ παρεμβάλλειν κατὰ πρόσωπον τῆς
Ἰουδαίας· καὶ ἐνετείλατο αὐτῷ οἰκοδομῆσαι τὴν Κεδρων καὶ ὀχυ-
ρῶσαι τὰς πόλεις, καὶ ὅπως πολεμῇ τὸν λαόν· ὁ δὲ βασιλεὺς ἐδί-
40 ωκε τὸν Τρύφωνα. [40]καὶ παρεγενήθη Κενδεβαῖος εἰς Ἰαμνείαν,
καὶ ἤρξατο τοῦ ἐρεθίζειν τὸν λαὸν καὶ ἐμβατεύειν εἰς τὴν Ἰουδαίαν
41 καὶ αἰχμαλωτίζειν τὸν λαὸν καὶ φονεύειν. [41]καὶ ᾠκοδόμησεν τὴν
Κεδρων καὶ ἔταξεν ἐκεῖ ἱππεῖς καὶ δυνάμεις ὅπως ἐκπορευόμενοι
ἐξοδεύωσιν τὰς ὁδοὺς τῆς Ἰουδαίας, καθὰ συνέταξεν αὐτῷ ὁ βασι-
XVI 1 λεύς. [1]Καὶ ἀνέβη Ἰωάννης ἐκ Γαζάρων, καὶ ἀπήγγειλεν
2 Σίμωνι τῷ πατρὶ αὐτοῦ ἃ συνετέλει Κενδεβαῖος. [2]καὶ ἐκάλεσεν

31 παραγιν. V^{vid} | εκπολεμησωμε̄] ℵ -σομεν V 32 φιλος] pr ο ℵV | ℵV
βασιλεως 1°] βασιλευσαι ℵ* (-λεως ℵ$^{c.a}$) | ιδεν V* | om και 5° ℵ* (hab ℵ$^{c.a}$) |
εξισταντο ℵ* (-στατο ℵ$^{c.a, c.b}$) | απηγγειλαν ℵ* (-λεν ℵ$^{c.a}$) V | αυτοις] αυτω ℵV
33 υπο] απο V 34 αντεχομεσθα A | om ημων και ℵV 35 Γαζαρηνων]
Γαζαρων ων ℵV | αιτεις αυται sup ras V$^{a\ vid}$ | τη γη] την χωραν ℵ | εκατον]
ρ' ℵ 36 απηγγιλαν ℵ* (-λεν ℵ$^{c.a}$) | οργη μεγαλη ℵ 38 Κενδεβεον A | om
και ιππ. V 39 παρεμβαλειν V | την Κεδρων (Καιδρ. A)] om την ℵ |
οχυρωσαι] οικοδομησαι ℵ | πολεις] πυλας ℵV | om και 4° ℵ | πολεμησωσιν ℵ
πολεμηση V | εδιωκεν V* 40 Ιαμνιαν ℵV | εκβασσευειν ℵ* (ενβατευειν ℵ$^{c.a}$)
41 Κεδρων ℵ*] Κεδρω A Χεβρων ℵ$^{c.a, c.b}$ | εταξεν] απεταξεν ℵ απεστειλεν V |
δυναμιν V | εξοδευσουσιν ℵ -σωσιν V* | καθα] pr και ℵ* (improb ℵ$^{c.a}$) | αυτω
ο βασιλευς] κ ο βασ. ℵ* (improb. κ ℵ^{1}) ο βασ. αυτω ℵ$^{c.a}$ XVI 1 πατρι]
αδελφω ℵ* ($\overline{\pi\rho\iota}$ ℵ^{1}) | συνετελει Κενδεβαιος] συνετελεσεν Δεβαιος ℵ* συνετελεσεν
Κενδεβαιος ℵ$^{c.a}$ συνετελεκεν Δεβ. V

A Σίμων τοὺς δύο υἱοὺς αὐτοῦ τοὺς πρεσβυτέρους Ἰούδαν καὶ Ἰωάν-
νην, καὶ εἶπεν αὐτοῖς Ἐγὼ καὶ οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ
πατρός μου ἐπολεμήσαμεν τοὺς πολέμους Ἰσραὴλ ἀπὸ νεότητος ἕως
τῆς σήμερον ἡμέρας, καὶ εὐοδώθη ἐν ταῖς χερσὶν ἡμῶν ῥύσασθαι
τὸν Ἰσραὴλ πλεονάκις. [3]νῦν δὲ γεγήρακα, καὶ ὑμεῖς δὲ ἐν τῷ 3
ἐλέει ἱκανοί ἐστε ἐν τοῖς ἔτεσιν· γίνεσθε ἀντ᾿ ἐμοῦ καὶ τοῦ ἀδελ-
φοῦ μου, καὶ ἐξελθόντες ὑπερμαχεῖτε ὑπὲρ τοῦ ἔθνους ἡμῶν, ἡ δὲ
ἐκ τοῦ οὐρανοῦ βοήθεια ἤτω μεθ᾿ ὑμῶν. [4]καὶ ἐπέλεξεν ἐκ τῆς 4
χώρας εἴκοσι χιλιάδας ἀνδρῶν πολεμιστῶν καὶ ἱππεῖς, καὶ ἐπορεύ-
θησαν ἐπὶ τὸν Κενδεβαῖον, καὶ ἐκοιμήθησαν ἐν Μωδαειμ. [5]καὶ 5
ἀναστάντες τὸ πρωὶ ἐπορεύοντο εἰς τὸ πεδίον· καὶ ἰδοὺ δύναμις
πολλὴ εἰς συνάντησιν αὐτοῖς, πεζικοὶ καὶ ἱππεῖς, καὶ χειμάρρους
ἦν ἀνὰ μέσον αὐτῶν. [6]καὶ παρενέβαλεν κατὰ πρόσωπον αὐτῶν 6
αὐτὸς καὶ ὁ λαὸς αὐτοῦ· καὶ εἶδεν τὸν λαὸν δειλούμενον διαπερᾶσαι
τὸν χειμάρρουν, καὶ διεπέρασεν πρῶτος· καὶ εἶδον αὐτὸν οἱ ἄνδρες,
καὶ διεπέρασαν κατόπισθεν αὐτοῦ. [7]καὶ διεῖλεν τὸν λαὸν καὶ τοὺς 7
ἱππεῖς ἐν μέσῳ τῶν πεζῶν· ἡ δὲ ἵππος τῶν ὑπεναντίων πολλὴ
σφόδρα. [8]καὶ ἐσάλπισαν ταῖς σάλπιγξιν, καὶ ἐτροπώθη Κενδε- 8
βαῖος καὶ ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἔπεσον ἐξ αὐτοῦ τραυματίαι
πολλοί· οἱ δὲ καταλειφθέντες ἔφυγον εἰς τὸ ὀχύρωμα. [9]τότε ἐτραυ- 9
ματίσθη Ἰούδας ὁ ἀδελφὸς Ἰωάννου· Ἰωάννης δὲ κατεδίωξεν αὐτοὺς
ἕως ἐλθεῖν εἰς Κεδρών, ἣν ᾠκοδόμησεν. [10]καὶ ἔφυγον εἰς τοὺς πύρ- 10
γους τοὺς ἐν τῷ ἀγρῷ Ἀζώτου, καὶ ἐνεπύρισεν αὐτὴν ἐν πυρί· καὶ
ἔπεσαν ἐξ αὐτῶν εἰς ἄνδρας χιλίους, καὶ ἀπέστρεψεν εἰς τὴν Ἰουδαίαν
μετ᾿ εἰρήνης. [11]Καὶ Πτολεμαῖος ὁ τοῦ Ἀβούβου ἦν καθε- 11
σταμένος στρατηγὸς εἰς τὸ πεδίον Ἰεριχώ, καὶ ἔσχεν ἀργύριον καὶ
χρυσίον πολύ· [12]ἦν γὰρ γαμβρὸς τοῦ ἀρχιερέως. [13]καὶ ὑψώθη ἡ 12 13
καρδία αὐτοῦ, καὶ ἠβουλήθη κατακρατῆσαι τῆς χώρας, καὶ ἐβου-
λεύετο δόλῳ κατὰ Σίμωνος καὶ κατὰ τῶν υἱῶν αὐτοῦ ἆραι αὐτούς.
[14]Σίμων δὲ ἦν ἐφοδεύων τὰς πόλεις τὰς ἐν τῇ χώρᾳ καὶ φροντί- 14

ℵV 2 πολεμιους ℵ* (ras ι ℵ?) | ευωδ. V[a] 3 νυν] νυνι ℵ* νυνει ℵ? | om υπερμαχειτε ℵ* (hab ℵ[c.a]) | βοηθια V* | ητω] εστω ℵV 4 επελεξαν V | om εκ της χωρας V | Μωδαειμ] Μωδιν ℵ*V Μωδεϊν ℵ[c.b] 5 επορευθησαν ℵ | πεζικοι] βασιλικη ℵ* πεζικη ℵ[1] (βασ. uncis incl et improb) 6 παρενεβαλε ℵ*V[a] (-λεν ℵ[c.a]V) | αυτων] -του V[*vid] | ιδεν ℵV* | ιδον V* | διεπερασαν] διεπερασεν A | αυτου 2°] αυτω̄| ℵ* (-του ℵ[c.a]) 7 η] ην ℵ (ν postea ras) 8 σαλπιγξ.] pr ιεραις V | ετροπωθησαν ℵ* ετροπωδηκεν (sic) ℵ[c.a] | Κενδεβαιος] Δαιβεος ℵ | αυτου 2°] αυτων ℵV 9 ελθειν] ηλθεν ℵV | ωκοδομησεν ℵ 10 τω αγρω] τοις αγροις ℵV | επεσον ℵV | χιλιους] δισχιλιους ℵV | μετ] μετα ℵ 11 Ιερειχω ℵ 12 αρχ.] ιερεως V 13 εβουληθη ℵV | om κατα 2° ℵV

ζων τὰς ἐπιμελίας αὐτῶν, καὶ κατέβη εἰς Ἰεριχὼ αὐτὸς καὶ Ματ- A
ταθίας καὶ Ἰούδας καὶ οἱ υἱοὶ αὐτοῦ ἔτους ἑβδόμου καὶ ἑβδομηκοστοῦ
15 καὶ ἑκατοστοῦ ἐν μηνὶ ἑνδεκάτῳ· οὗτος ὁ μὴν Σαβάτ. [15]καὶ ὑπε-
δέξατο αὐτοὺς ὁ τοῦ Ἀβούβου εἰς τὸ ὀχυρωμάτιον τὸ καλούμενον
Δωκ μετὰ δόλου, ὃ ᾠκοδόμησεν, καὶ ἐποίησεν αὐτοῖς πότον μέγαν·
16 καὶ ἐνέκρυψεν ἐκεῖ ἄνδρας. [16]καὶ ὅτε ἐμεθύσθη Σίμων καὶ οἱ υἱοὶ
αὐτοῦ, ἐξανέστη Πτολεμαῖος καὶ οἱ μετ' αὐτοῦ, καὶ ἔλαβοσαν τὰ
ὅπλα αὐτῶν, καὶ ἐπεισήλθοσαν τῷ Σίμωνι εἰς τὸ συμπόσιον, καὶ
ἀπέκτειναν αὐτὸν καὶ τοὺς υἱοὺς αὐτοῦ, καί τινας τῶν παιδαρίων
17 αὐτοῦ. [17]καὶ ἐποίησεν ἀθείαν μεγάλην, καὶ ἀνταπέδωκεν κακὰ
18 ἀντὶ ἀγαθῶν. [18]καὶ ἔγραψεν ταῦτα Πτολεμαῖος, καὶ ἀπέστειλεν τῷ
βασιλεῖ ὅπως ἀποστείλῃ αὐτῷ δυνάμεις εἰς βοήθειαν, καὶ παραδῷ
19 τὴν χώραν αὐτῶν καὶ τὰς πόλεις. [19]καὶ ἀπέστειλεν ἑτέρους εἰς
Γάζαρα ἆραι τὸν Ἰωάννην, καὶ τοῖς χιλιάρχοις ἀπέστειλεν ἐπιστο-
λὰς παραγενέσθαι πρὸς αὐτόν, ὅπως δῷ αὐτοῖς ἀργύριον καὶ χρυ-
20 σίον καὶ δόματα. [20]καὶ ἑτέρους ἀπέστειλεν καταλαβέσθαι τὴν Ἰε-
21 ρουσαλὴμ καὶ τὸ ὄρος τοῦ ἱεροῦ. [21]καὶ προδραμών ἀπήγγειλεν
Ἰωάννῃ εἰς Γάζαρα, ὅτι ἀπώλετο ὁ πατὴρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ
22 αὐτοῦ, καὶ ὅτι Ἀπέσταλκε καὶ σὲ ἀποκτεῖναι. [22]καὶ ἀκούσας ἐξέστη
σφόδρα, καὶ συνέλαβεν τοὺς ἄνδρας τοὺς ἐλθόντας ἀπολέσαι αὐτόν·
καὶ ἀπέκτεινεν αὐτούς, ἔγνω γὰρ ὅτι ἐζήτουσαν αὐτὸν ἀπολέσαι.
23 [23]Καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωάννου καὶ τῶν πολέμων αὐτοῦ καὶ
τῶν ἀνδραγαθιῶν αὐτοῦ ὧν ἠνδραγάθησεν καὶ τῆς οἰκοδομῆς τῶν
24 τειχέων ὧν ᾠκοδόμησεν καὶ τῶν πράξεων αὐτοῦ, [24]ἰδοὺ ταῦτα γέ-
γραπται ἐπὶ βιβλίου ἡμερῶν ἀρχιερωσύνης αὐτοῦ, ἀφ' οὗ ἐγενήθη
ἀρχιερεὺς μετὰ τὸν πατέρα αὐτοῦ.

14 *τας επιμελιας*] *τα της επιμ.* ℵV improb *τα* ℵ$^{c.a}$V^{a} | *Ιερειχω* ℵ | om *και* 5° ℵV | *οι υιοι*] *αδελφος* ℵ* *υιοι* ℵ$^{c.a}$ | *εβδομου κ. εβδομηκοστου κ. εκατοστου*] *ζ' και ο' και ρ'* (incep *σ* pro *ζ* ℵ* improb ℵ$^{1 et postea}$) | *ενδεκατω*] *αιου* (sic) ℵ* *αι'* (sic) ℵ$^{c.a}$ | *Σαββατ* ℵ **15** *το καλουμενον*] pr *εις* ℵ | *οικοδ.* V* | *μεγα* A **16** *μετ*] *παρ* ℵV | *ελαβον* ℵV | *επεισηλθον* ℵV | *απεκτινον* ℵ | *υιους*] pr *δυο* ℵV | *τινα* ℵ* (*τινας* ℵ$^{c.a}$) **17** *αθειαν*] *αθεσιαν* ℵV | *απεδωκεν* ℵV **18** *απεστειλεν*] + *ταυτα* ℵ* (improb ℵ$^{c.a}$) | *τω βασιλει οπως αποστειλη αυτω*] *οπως τω βασιλει* ℵ* (*τω βασιλει οπ. αποστιλη αυτω* ℵ$^{c.a}$) | *δυναμιν* V | *την χωραν αυτων και τας πολεις*] *τας πολεις αυτω και την χ.* ℵV **19** *Γαζαραν* ℵ* (*-ρα* ℵ$^{c.a}$) | om *και χρυσιον* ℵ* (hab ℵ$^{c.a}$) **21** *προδραμων*] + *τις* ℵV | *Ιωαννει* ℵ *Ιωαννης* A^{vid} | *απεσταλκεν* ℵV* **22** om *αυτον κ. απεκτεινεν* V | *εγνω*] *επεγνω* ℵV | *εζητουν* ℵV **23** *Ιωαννου*] incep *του* A^{vid} | *ανδραγαθειων* A | *ηνδραγαθην* (sic) A | *οικοδομης*] *ωκοδ.* A | *τειχεων*] *τειχων* ℵV | *οικοδομησεν* ℵ **24** *βιβλιω* ℵ

Subscr *Μακκαβαικων α'* ℵ *Μακκαβαιων α'* A *Μακαβαιων α'* V

ΜΑΚΚΑΒΑΙΩΝ Β

A ΤΟΙΣ ἀδελφοῖς τοῖς κατ' Αἴγυπτον Ἰουδαίοις χαίρειν οἱ ἀδελφοὶ 1 I
οἱ ἐν Ἱεροσολύμοις Ἰουδαῖοι καὶ οἱ ἐν τῇ χώρᾳ τῆς Ἰουδαίας,
εἰρήνην ἀγαθήν· 2 καὶ ἀγαθοποιήσαι ὑμῖν ὁ θεός, καὶ μνησθῆναι τῆς 2
διαθήκης αὐτοῦ τῆς πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν δούλων
αὐτοῦ τῶν πιστῶν. 3 καὶ δῴη ὑμῖν καρδίαν πᾶσιν εἰς τὸ σέβεσθαι 3
αὐτὸν καὶ ποιεῖν αὐτοῦ τὰ θελήματα καρδίᾳ μεγάλῃ καὶ ψυχῇ
βουλομένῃ· 4 καὶ διανοίξαι τὴν καρδίαν ὑμῶν ἐν τῷ νόμῳ αὐτοῦ καὶ 4
ἐν τοῖς προστάγμασιν, καὶ εἰρήνην ποιήσαι· 5 καὶ ὑπακούσαι ὑμῶν 5
τῶν δεήσεων, καὶ καταλλαγείη ὑμῖν, καὶ μὴ ὑμᾶς ἐγκαταλείποι ἐν
καιρῷ πονηρῷ. 6 Καὶ νῦν ὧδέ ἐσμεν προσευχόμενοι περὶ 6
ὑμῶν. 7 βασιλεύοντος Δημητρίου, ἔτους ἑκατοστοῦ ἑξηκοστοῦ ἐνάτου, 7
ἡμεῖς οἱ Ἰουδαῖοι γεγράφαμεν ὑμῖν ἐν τῇ θλίψει καὶ ἐν τῇ ἀκμῇ τῇ
ἐπελθούσῃ ἡμῖν ἐν τοῖς ἔτεσιν τούτοις, ἀφ' οὗ ἀπέστη Ἰάσων καὶ
οἱ μετ' αὐτοῦ ἀπὸ τῆς ἁγίας γῆς καὶ τῆς βασιλείας· 8 καὶ ἐνεπύρισαν 8
τὸν πυλῶνα, καὶ ἐξέχεαν αἷμα ἀθῷον· καὶ ἐδεήθημεν τοῦ κυρίου καὶ
εἰσηκούσθημεν· προσηνέγκαμεν θυσίαν καὶ σεμίδαλιν, καὶ ἐξήψαμεν
τοὺς λύχνους, καὶ προεθήκαμεν τοὺς ἄρτους. 9 καὶ νῦν ἵνα ἄγητε 9
τὰς ἡμέρας τῆς σκηνοπηγίας τοῦ Χασελεῦ μηνός. 10 ἔτους ὀγδοη- 10
κοστοῦ καὶ ὀγδόου ἐν Ἱεροσολύμοις.

Καὶ οἱ ἐν τῇ Ἰουδαίᾳ καὶ ἡ γερουσία καὶ Ἰούδας Ἀριστοβούλῳ
διδασκάλῳ Πτολεμαίου τοῦ βασιλέως, ὄντι δὲ ἀπὸ τοῦ τῶν χριστῶν

V Inscr Μακκαβαιων β' AV I 2 υμιν] ημιν V | μνησθηναι] μνησθειη V
3 σεβειν V 4 om εν 2° V | προσταγμασι V[a] 6 ωδεσμεν V* (ωδε εσμ. V[1])
7 εκατοστου...ενατου] ενατου (ενν. V[a]) και εξηκοστου και εκατοστου V | ετεσι
V[a] | απεστη] απεσταλη V | om και 3° A* (superscr A[1 (vid)]) 8 προση-
νεγκαμεν] pr και V | εξηγαγομεν] εξηγαγεν A εξηψαμεν V 9 ινα α εγητε
(sic) A[vid] | της σκηνοπηγιας (-γειας A)] om της V 10 ογδοηκοστου και
ογδοου] pr εκατοστου και V | distinx post ογδ. V | εν Ιεροσολυμ.] pr οι V

ἱερέων γένους, καὶ τοῖς ἐν Αἰγύπτῳ Ἰουδαίοις, χαίρειν καὶ ὑγιαίνειν. A
11 [11]ἐκ μεγάλων κινδύνων ὑπὸ τοῦ θεοῦ σεσωσμένοι μεγάλως εὐχαριστ-
12 τοῦμεν αὐτῷ, ὡς ἂν πρὸς βασιλέα παρατασσόμενοι. [12]αὐτὸς γὰρ
ἐξέβρασεν τοὺς παρατασσομένους ἐν τῇ ἁγίᾳ πόλει εἰς τὴν Περσίδα.
13 [13]γενόμενος γὰρ ὁ ἡγεμὼν καὶ ἡ περὶ αὐτὸν ἀνυπόστατος δοκοῦσα
εἶναι δύναμις, κατεκόπησαν ἐν τῷ τῆς Ναναίας ἱερῷ, παραλογισμῷ
14 χρησαμένων τῶν περὶ τὴν Ναναίαν ἱερέων. [14]ὡς γὰρ συνοικῶν αὐτῇ
παρεγένετο εἰς τὸν τόπον ὅ τε Ἀντίοχος καὶ οἱ σὺν αὐτῷ φίλοι, χάριν
15 τοῦ λαβεῖν τὰ χρήματα πλείονα εἰς φερνῆς λόγον· [15]καὶ προθέντων
αὐτὰ τῶν ἱερέων τοῦ Ναναίου, κἀκείνου προσελθόντος μετ' ὀλίγων εἰς
τὸν περίβολον τοῦ τεμένους, συγκλείσαντες τὸ ἱερόν, ὡς εἰσῆλθεν
16 Ἀντίοχος, [16]ἀνοίξαντες τὴν τοῦ φατνώματος κρυπτὴν θύραν, βάλλοντες
πέτρους συνεκεραύνωσαν τὸν ἡγεμόνα, καὶ μέλη ποιήσαντες καὶ τὰς
17 κεφαλὰς τοῖς ἔξω παραρίψαντες. [17]κατὰ πάντα εὐλογητὸς ἡμῶν
18 ὁ θεός, ὃς ἔδωκεν τοὺς ἀσεβήσαντας. [18]Μέλλοντες ἄγειν ἐν
τῷ Χασελευ πέμπτῃ καὶ εἰκάδι τὸν καθαρισμὸν τοῦ ἱεροῦ, δέον ἡγη-
σάμεθα διασαφῆσαι ὑμῖν, ἵνα καὶ αὐτοὶ ἄγητε σκηνοπηγίας καὶ τοῦ
πυρός, ὅτε Νεεμίας, ὁ οἰκοδομήσας τότε τὸ ἱερὸν καὶ τὸ θυσιαστήριον,
19 ἀνήνεγκεν θυσίας. [19]καὶ γὰρ ὅτε εἰς τὴν Περσικὴν ἤγοντο ἡμῶν
οἱ πατέρες, οἵ τε εὐσεβεῖς ἱερεῖς λαβόντες ἀπὸ τοῦ πυρὸς τοῦ θυσια-
στηρίου λαθραίως, κατέκρυψαν ἐν κοιλώματι φρέατος τάξιν ἔχοντος
ἄνυδρον, ἐν ᾧ κατησφαλίσαντο, ὥστε πᾶσιν ἄγνωστον εἶναι τὸν
20 τόπον. [20]διελθόντων δὲ ἐτῶν ἱκανῶν, ὅτε ἔδοξεν τῷ θεῷ, ἀποσταλεὶς
Νεεμίας ἀπὸ τοῦ βασιλέως τῆς Περσίδος τοὺς ἐκγόνους τῶν ἱερέων
21 τῶν ἀποκρυψάντων ἔπεμψεν ἐπὶ τὸ πῦρ. [21]ὡς δὲ διεσάφησαν ἡμῖν μὴ
εὑρηκέναι πῦρ ἀλλὰ ὕδωρ παχύ, ἐκέλευσεν αὐτοὺς ἀποβάψαντας
φέρειν· ὡς δὲ ἀνηνέχθη τὰ τῶν θυσιῶν, ἐκέλευσεν τοὺς ἱερεῖς Νεεμίας
22 ἐπιρρᾶναι τῷ ὕδατι τά τε ξύλα καὶ τὰ ἐπικείμενα. [22]ὡς δὲ ἐγένετο
καὶ χρόνος διῆλθεν ὅ τε ἥλιος ἀνέλαμψεν ἐπινεφὴς ὤν, ἀνήφθη πυρὰ
23 μεγάλη, ὥστε θαυμάσαι πάντας. [23]προσευχὴν δὲ ἐποιήσαντο οἱ

12 παραταξαμενους V | εις]+γαρ V 13 om γαρ V | των περι] τω V περι (τω in fin lin) A 14 συνοικησων V 15 τεμενου A 16 κεφαλας]+αφελοντες V | παραριψαντες] παρεριψαν V* παρερριψαν V^a 18 διαφεισαι A* (διασαφεισαι A^1) | υμιν] ημιν A | σκηνοπηγειας A | Νεεμειας A: item 21 | om τοτε V 19 τε] τοτε V | εχοντος V] εχοντες A 20 απο] υπο V 21 διεσαφισαν] διδιεσαφησαν V*vid δε διεσαφ. V^a | παχυ (-χυν A)] ταχυ V | αποβαψαντες A | ανηνεχθη] απηνεχθη V 22 εγενετο]+τουτο V | ο τε ηλιος] om τε A* (superscr A^1) | αντελαμψεν V | επινεφης] pr προτερον V

A ἱερεῖς δαπανωμένης τῆς θυσίας, οἵ τε ἱερεῖς καὶ πάντες, καταρχομένου
Ἰωνάθου τῶν τε λοιπῶν ἐπιφωνούντων, ὡς Νεεμίου. [24]ἦν δὲ ἡ 24
προσευχὴ τὸν τρόπον ἔχουσα τοῦτον Κύριε ὁ θεός, ὁ πάντων κτίστης,
ὁ φοβερὸς καὶ ὁ ἰσχυρὸς καὶ δίκαιος καὶ ἐλεήμων, ὁ μόνος βασιλεὺς
καὶ χρηστός, [25]ὁ μόνος χορηγός, ὁ μόνος δίκαιος καὶ παντοκράτωρ 25
καὶ αἰώνιος, ὁ διασῴζων τὸν Ἰσραὴλ ἐκ παντὸς κακοῦ, ὁ ποιήσας
τοὺς πατέρας ἐκλεκτοὺς καὶ ἁγιάσας αὐτούς· [26]πρόσδεξαι τὴν θυσίαν 26
ὑπὲρ παντὸς τοῦ λαοῦ σου Ἰσραὴλ καὶ διαφύλαξον τὴν μερίδα σου
καὶ καθαγίασον. [27]ἐπισυνάγαγε τὴν διασπορὰν ἡμῶν, ἐλευθέρωσον 27
τοὺς δουλεύοντας ἐν τοῖς ἔθνεσιν, τοὺς ἐξουθενημένους καὶ βδελυκτοὺς
ἔφιδε· καὶ γνώτωσαν τὰ ἔθνη ὅτι σὺ ὁ θεὸς ἡμῶν. [28]βασάνισον 28
τοὺς καταδυναστεύοντας καὶ ἐξυβρίζοντας ἐν ὑπερηφανίᾳ· [29]κατα- 29
φύτευσον τὸν λαόν σου εἰς τὸν τόπον τὸν ἅγιόν σου, καθὼς εἶπεν
Μωσῆς. [30]Οἱ δὲ ἱερεῖς ἐπέψαλλον τοὺς ὕμνους. [31]καθὼς δὲ 30 31
ἀνηλώθη τὰ τῆς θυσίας, καὶ τὸ περιλειπόμενον ὕδωρ ὁ Νεεμίας
ἐκέλευσεν λίθους μείζονας καταχεῖν. [32]ὡς δὲ τοῦτο ἐγενήθη, φλὸξ 32
ἀνήφθη· τοῦ δὲ ἀπὸ τοῦ θυσιαστηρίου ἀντιλάμψαντος φωτὸς ἐδα-
πανήθη. [33]ὡς δὲ φανερὸν ἐγενήθη τὸ πρᾶγμα, καὶ διηγγέλη τῷ 33
βασιλεῖ τῶν Περσῶν ὅτι εἰς τὸν τόπον οὗ τὸ πῦρ ἔκρυψαν οἱ μετα-
χθέντες ἱερεῖς τὸ ὕδωρ ἐφάνη, ἀφ᾽ οὗ καὶ οἱ περὶ τὸν Νεεμίαν
ἥγνισαν τὰς θυσίας, [34]περιφράξας δὲ ὁ βασιλεὺς ἱερὸν ἐποίησεν, 34
δοκιμάσας τὸ πρᾶγμα· [35]καὶ οἷς ὁ βασιλεὺς πολλὰ διάφορα ἐλάμβανεν, 35
καὶ μετεδίδου. [36]προσηγόρευσαν δὲ οἱ περὶ τὸν Νεεμίαν τοῦτο 36
Νεφθάρ, ὃ διερμηνεύεται Καθαρισμός· καλεῖται δὲ παρὰ τοῖς πολλοῖς
Νεφθάρ. [1]Εὑρίσκεται δὲ ἐν ταῖς ἀπογραφαῖς Ἰερεμίας ὁ 1 II
προφήτης ὅτι ἐκέλευσεν τοῦ πυρὸς λαβεῖν τοὺς μεταγενομένους, ὡς
σεσήμανται· [2]καὶ ὡς ἐνετείλατο τοῖς μεταγενομένοις ὁ προφήτης, 2
δοὺς αὐτοῖς τὸν νόμον, ἵνα μὴ ἐπιλάθωνται τῶν προσταγμάτων τοῦ
κυρίου, καὶ ἵνα μὴ ἀποπλανηθῶσιν ταῖς διανοίαις, βλέποντες ἀγάλ-
ματα χρυσᾶ καὶ ἀργυρᾶ καὶ τὸν περὶ αὐτὰ κόσμον. [3]καὶ ἕτερα τοιαῦτα 3

V 23 καταρχομενους V* κατερχομενους V^a | Ιωναθον V^a | τε 2°] δε V Νεεμειου A 24 Κυριε] + κε̅ V | ο ισχυρος] om ο V 25 παντοκρατωρ] pr ο V 26 του λαου] om του V 27 εθνεσι V^a | επιδε V εφειδε A | συ] + ει V 29 ειπε V^a | Μωυσης V 31 εκελευσε V^a | καταχειν] κατεχειν V 32 εγενηθη] εγενετο V | om και 1° V | διηγγελθη V | εκρυψαν] απεκρυψαν V | το υδωρ] | om το V | Νεεμειαν A | τας θυσιας] τα της θ. V 35 οις] + εχαρισατο V | 36 Νεμιαν V* (Νεεμ. V^a) Νεεμειαν A | πολλοις] λοιποις V | Νεφθαρ 2°] Νεφθαι V II 1—4 φητης| οτι εκελευσεν...αυτω συν|ακολουθειν in mgg et sup ras A^a 1 μεταγομενους V 2 μεταγομενοις V | επιλαθονται V* (-θωνται V^a) | αυτα] αυτας A^a

λέγων, παρεκάλει μὴ ἀποστῆναι τὸν νόμον ἀπὸ τῆς καρδίας αὐτῶν. A
4 [4]ἦν δὲ ἐν τῇ γραφῇ, ὡς τὴν σκηνὴν καὶ τὴν κιβωτὸν ἐκέλευσεν ὁ
προφήτης χρηματισμοῦ γενηθέντος αὐτῷ συνακολουθεῖν, ὡς δὲ ἐξῆλθεν
εἰς τὸ ὄρος οὗ ὁ Μωυσῆς ἀναβὰς ἐθεάσατο τὴν τοῦ θεοῦ κληρονομίαν.
5 [5]καὶ ἐλθὼν ὁ Ἰερεμίας εὗρεν οἶκον ἀντρώδη, καὶ τὴν σκηνὴν καὶ τὴν
κιβωτὸν καὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος εἰσήνεγκεν ἐκεῖ, καὶ
6 τὴν θύραν ἐνέφραξεν· [6]καὶ προσελθόντες τινὲς τῶν συνακολου-
θούντων ὥστε ἐπισημάνασθαι τὴν ὁδόν, καὶ οὐκ ἐδυνήθησαν εὑρεῖν.
7 [7]ὡς δὲ ὁ Ἰερεμίας ἔγνω, μεμψάμενος αὐτοῖς εἶπεν ὅτι Καὶ ἄγνωστος
ὁ τόπος ἔσται, ἕως ἂν συνάγῃ ὁ θεὸς ἐπισυναγωγὴν τοῦ λαοῦ, καὶ
8 ἔλεος γένηται. [8]καὶ τότε ὁ κύριος ἀναδείξει ταῦτα, καὶ ὀφθήσεται
ἡ δόξα τοῦ κυρίου καὶ ἡ νεφέλη, ὡς ἐπὶ Μωσῇ ἐδηλοῦτο, ὡς καὶ
9 ὁ Σαλωμὼν ἠξίωσεν, ἵνα ὁ τόπος καθαγιασθῇ μεγάλως. [9]διεσαφεῖτο
δὲ καὶ ὡς σοφίαν ἔχων ἀνήνεγκεν θυσίαν ἐγκαινισμοῦ καὶ τῆς τελειώ-
10 σεως τοῦ ἱεροῦ. [10]καθὼς καὶ Μωυσῆς προσηύξατο πρὸς Κύριον, καὶ
κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ τὰ τῆς θυσίας ἐδαπάνησεν, οὕτως
Σαλωμὼν προσηύξατο πρὸς Κύριον, καὶ καταβὰν τὸ πῦρ ἀνήλωσεν
11 τὰ ὁλοκαυτώματα· [11]καὶ εἶπεν Μωσῆς Διὰ τὸ μὴ βεβρῶσθαι τὸ περὶ
12 τῆς ἁμαρτίας ἀνηλώθη. [12]ὡσαύτως καὶ ὁ Σαλωμὼν τὰς ὀκτὼ ἡμέρας
13 ἤγαγεν. [13]Ἐξηγοῦντο δὲ καὶ ἐν ταῖς ἀναγραφαῖς καὶ ἐν
τοῖς ὑπομνηματισμοῖς τοῖς κατὰ τὸν Νεεμίαν τὰ αὐτά, καὶ ὡς κατα-
βαλλόμενος βιβλιοθήκην ἐπισυνήγαγεν τὰ περὶ τῶν βασιλέων καὶ
προφητῶν βιβλία, καὶ τὰ τοῦ Δαυείδ, καὶ ἐπιστολὰς βασιλέων
14 περὶ ἀναθεμάτων. [14]ὡσαύτως δὲ καὶ Ἰούδας τὰ διαπεπτωκότα
διὰ τὸν γεγονότα πόλεμον ἡμῖν ἐπισυνήγαγεν ταῦτα, καὶ ἔστιν
15 παρ' ἡμῖν. [15]ὧν οὖν ἐὰν χρείαν ἔχητε, τοὺς ἀποκομιοῦντας ὑμῖν ἀπο-
16 στέλλετε. [16]Μέλλοντες οὖν ἄγειν τὸν καθαρισμὸν ἐγράψαμεν
17 ὑμῖν· καλῶς οὖν ποιήσετε ἄγειν τὰς ἡμέρας. [17]ὁ δὲ θεὸς ὁ σώσας
τὸν πάντα λαὸν αὐτοῦ, καὶ ἀποδοὺς τὴν κληρονομίαν αὐτοῦ πᾶσιν
18 καὶ τὸ βασίλειον καὶ τὸ ἱεράτευμα καὶ τὸν ἁγιασμόν, [18]καθὼς ἐπ-

5 ο Ιερεμιας] om ο V + εις τον τοπον V 6 προσελθοντες] προσελθον (sic) V A | εδυνηθησαν] ηδυνασθησαν V 7 Ιερεμειας A | συναγη] συναγαγη V 8 αναδιξη A | ως 1°] + και V | Μωση] Μωυσεως V | ο Σαλωμων] Σολομων V 10 προσηυξατο 1°] ηυξατο V | εκ του ουρανου] εξ ουρανου V | ουτως] + και V | Σαλωμων] ο Σολομων V | om προς Κυριον (2°) V | ανηλωσεν] αναλωσε V[a] 12 Σολομων V | τας] μετα sup ras A[a] (τας A*) 13 Νεεμειαν A | τα αυτα] ταυτα V | βασιλεων 1°] + βιβλια V | om βιβλια V | Δαυιδ V | επιστολας] + δε V | αναθηματων V 14 Ιουδας] pr ο V | ταυτα] παντα V 16 ποιησητε] προησητε V | αγειν 2°] αγαγοντες V 17 om αυτου 2° V | πασι V[a] | ιερευμα A* (ιερατ. A[1])

A ἠγγείλατο διὰ τοῦ νόμου· ἐλπίζομεν γὰρ ἐπὶ τῷ θεῷ, ὅτι ταχέως
ἡμᾶς ἐλεήσει, καὶ ἐπισυνάξει ἐκ τῆς ὑπὸ τὸν οὐρανὸν εἰς τὸν
ἅγιον τόπον· ἐξείλατο γὰρ ἡμᾶς ἐκ μεγάλων κακῶν, καὶ τὸν τόπον
ἐκαθέρισεν.

[19]Τὰ δὲ κατὰ τὸν Ἰούδαν τὸν Μακκαβαῖον καὶ τοὺς τούτου ἀδελ- 19
φοὺς καὶ τὸν τοῦ ἱεροῦ τοῦ μεγίστου καθαρισμὸν καὶ τὸν τοῦ βωμοῦ
ἐγκαινισμόν, [20]ἔτι τε τοὺς πρὸς Ἀντίοχον τὸν Ἐπιφανῆ καὶ τὸν 20
τούτου υἱὸν Εὐπάτορα πολέμους, [21]καὶ τὰς ἐξ οὐρανοῦ γενομένας 21
ἐπιφανείας τοῖς ὑπὲρ τοῦ Ἰουδαισμοῦ φιλοτίμως ἀνδραγαθήσασιν,
ὡς τὴν ὅλην χώραν ὀλίγους ὄντας λεηλατεῖν, καὶ τὰ βάρβαρα πλήθη
διώκειν, [22]καὶ τὸ περιβόητον καθ' ὅλην τὴν οἰκουμένην ἱερὸν ἀνα- 22
κομίσασθαι, καὶ τὴν πόλιν ἐλευθερῶσαι, καὶ τοὺς μέλλοντας κατα-
λύεσθαι νόμους ἐπανορθῶσαι, τοῦ κυρίου μετὰ πάσης ἐπιεικίας ἵλεω
γενομένου αὐτοῖς, [23]ὑπὸ Ἰάσωνος τοῦ Κυρηναίου δεδηλωμένα διὰ 23
πέντε βιβλίων, πειρασόμεθα δι' ἑνὸς συντάγματος ἐπιτεμεῖν. [24]συνο- 24
ρῶντες γὰρ τὸ χύμα τῶν ἀριθμῶν, καὶ τὴν οὖσαν δυσχέρειαν τοῖς
θέλουσιν εἰσκυκλεῖσθαι τοῖς τῆς ἱστορίας διηγήμασιν διὰ τὸ πλῆθος
τῆς ὕλης, [25]ἐφροντίσαμεν τοῖς μὲν βουλομένοις ἀναγινώσκειν ψυχα- 25
γωγίαν, τοῖς δὲ φιλοφρονοῦσιν εἰς τὸ διὰ μνήμης ἀναλαβεῖν εὐκοπίαν,
πᾶσιν δὲ τοῖς ἐντυγχάνουσιν ὠφέλειαν. [26]καὶ ἡμῖν μὲν τοῖς τὴν 26
κακοπάθειαν ἐπιδεδεγμένοις τῆς ἐπιτομῆς οὐ ῥᾴδιον, ἱδρῶτος δὲ καὶ
ἀγρυπνίας τὸ πρᾶγμα· [27]καθάπερ τῷ παρασκευάζοντι συμπόσιον, 27
καὶ ζητοῦντι τὴν ἑτέρων λυσιτέλειαν, οὐκ εὐχερές· ὅμως διὰ τὴν
τῶν πολλῶν εὐχαριστίαν ἡδέως τὴν κακοπάθειαν ὑποίσομεν· [28]τὸ 28
μὲν διακριβοῦν περὶ ἑκάστων τῷ συγγραφεῖ παραχωρήσαντες, τὸ δὲ
ἐπιπορεύεσθαι τοῖς ὑπογραμμοῖς τῆς ἐπιτομῆς ἀτονοῦντες. [29]καθάπερ 29
γὰρ τῆς καινῆς οἰκίας ἀρχιτέκτονι τῆς ὅλης καταβολῆς φροντιστέον,
τῷ δὲ ἐγκαινίζειν καὶ ζωγραφεῖν ἐπιχειροῦντι τὰ ἐπιτήδεια πρὸς
διακόσμησιν ἐξεταστέον, οὕτως δοκῶ καὶ ἐπὶ ἡμῶν. [30]τὸ μὲν 30

V 18 ελπιζομεν] λπιζ sup ras A[a] | ελεηση A | εκαθαρισε V[a] 19 Μακαβαιον V[*] (Μακκ. V[a]) | του ιερου του μεγιστου] του μεγιστου ιερου V 21 επιφανιας V[*] (-νειας V[a]) | ως] ωστε V | λεηλατειν] δεηλ. A[vid] 22 επιεικειας V[a] | ιλεω] ιλεως A 23 υπο] pr κατα τα V | Βιασωνος A | Κυρηναιου] Κηρυναιου A Κυριναιου V[*] (Κυρην. V[a]) 24 δυσχεριαν V[*] (-ρειαν V[a]) | διηγημασι V[a] 25 πασι V | ωφελιαν V[*] (-λειαν V[a]) 26 κακοπαθιαν V[*] (-θειαν V[a]) | επιδεδειγμενοις V | αγρυπνειας A 27 ευχαριστεια] A | υποισωμεν V[*] (-σομεν V[a]) 28 συγγραφευ V[*] (-φει V[1 (vid)]) 29 ενκαινιζειν] ενκαιειν V[*] εγκαιειν V[a] | δοκων A

ἐμβατεύειν καὶ περίπατον ποιεῖσθαι λόγῳ καὶ πολυπραγμονεῖν ἐν A
31 τοῖς κατὰ μέρος, τῷ τῆς ἱστορίας ἀρχηγενέτῃ καθήκει· [31]τὸ δὲ σύντο-
μον τῆς λέξεως μεταδιώκειν, καὶ τὸ ἐξεργαστικὸν τῆς πραγματίας παρ-
32 αιτεῖσθαι, τῷ τὴν μετάφρασιν ποιουμένῳ συνχωρητέον. [32]Ἐν-
τεῦθεν οὖν ἀρξώμεθα τῆς διηγήσεως, τοῖς προειρημένοις τοσοῦτον
ἐπιζεύξαντες· εὔηθες γὰρ τὸ μὲν πρὸ τῆς ἱστορίας πλεονάζειν, τὴν
δὲ ἱστορίαν ἐπιτέμνειν.

III 1 [1]Τῆς ἁγίας πόλεως κατοικουμένης μετὰ πάσης εἰρήνης, καὶ τῶν
νόμων ὅτι κάλλιστα συντηρουμένων διὰ τὴν Ὀνείου τοῦ ἀρχιερέως
2 εὐσέβειάν τε καὶ μισοπονηρίαν, [2]συνέβαινεν καὶ αὐτοὺς τοὺς βασιλεῖς
τιμᾷν τὸν τόπον, καὶ τὸ ἱερὸν ἀποστολαῖς ταῖς κρατίσταις δοξάζειν·
3 [3]ὥστε καὶ Σέλευκον τὸν τῆς Ἀσίας βασιλέα χορηγεῖν ἐκ τῶν ἰδίων
προσόδων πάντα τὰ πρὸς τὰς λειτουργίας τῶν θυσιῶν ἐπιβάλλοντα
4 δαπανήματα. [4]Σίμων δέ τις ἐκ τῆς Βενιαμεὶν φυλῆς προστάτης τοῦ
ἱεροῦ καθεσταμένος, διηνέχθη τῷ ἀρχιερεῖ περὶ τῆς κατὰ τὴν πόλιν
5 ἀγορανομίας. [5]καὶ νικῆσαι τὸν Ὀνίαν μὴ δυνάμενος, ἦλθεν πρὸς
Ἀπολλώνιον Θρασαίου, τὸν κατ᾽ ἐκεῖνον τὸν καιρὸν Κοίλης Συρίας
6 καὶ Φοινίκης στρατηγόν. [6]καὶ προσήγγειλεν περὶ τοῦ χρημάτων
ἀμυθήτων γέμειν τὸ ἐν Ἰεροσολύμοις γαζοφυλάκιον, ὥστε τὸ πλῆθος
τῶν διαφόρων ἀναρίθμητον εἶναι, καὶ μὴ προσενεγκεῖν αὐτὰ πρὸς τὸν
τῶν θυσιῶν λόγον, εἶναι δὲ δυνατὸν ὑπὸ τὴν τοῦ βασιλέως ἐξουσίαν
7 πεσεῖν ταῦτα. [7]συμμίξας δὲ Ἀπολλώνιος τῷ βασιλεῖ, περὶ τῶν
μηνυθέντων αὐτῷ χρημάτων ἐνεφάνισεν· ὁ δὲ προχειρισάμενος Ἡλιό-
δωρον τὸν ἐπὶ τῶν πραγμάτων ἀπέστειλεν, δοὺς ἐντολὰς τὴν τῶν
8 προειρημένων χρημάτων ἐκκομιδὴν ποιήσασθαι. [8]εὐθέως δὲ ὁ
Ἡλιόδωρος ἐποιεῖτο τὴν πορίαν, τῇ μὲν ἐνφάσει ὡς τὰς κατὰ
Κοίλην Συρίαν καὶ Φοινίκην πόλεις ἐφοδεῦσαι, τῷ πράγματι δὲ τὴν τοῦ

30 λογων V | πολυπραγμονει A | τοις κατα μ.] ταις κ. μ. A | αρχηγενετη] V αρχηγετη V 31 πραγματειας V^a | τω την μεταφρασιν ποιουμενω] την των μεταφρ. ποιουμενων A | συγχωρητεον V 32 αρξομεθα V^* (-ξωμ. V^a) III 1 οτι] ετι V | Ονιου V | om τε V | και 2° seq ras 1 lit in A 3 τα προς] τας προς A | επιβαλλοντας A 4 Βενιαμιν V^* (-μειν V^a) | καθισταμενος V | om περι A (hab V) | αγορανομειας A 5 Θαρσιου $V^{*\,vid}$ Θαρσεου V^a (Θαρσεα coniec Hort) 6 προσηγγελλεν V | om του 1° V | το γαζοφ. το εν Ιεροσ. V | προσενεγκειν] προσηκειν V | προς] εις V | ταυτα] pr απαντα V 7 ο Απωλλωνιος V^* ο Απολλ. V^a | Ιλιοδωρον V^* Ηλ. V^a (ita identidem) | τον επι] των επι V (τὸν ε. V^a) | χρηματων 2°] + διαφορων V 8 συνετελειτο την πoριαν (-ρειαν V^a) ο Ηλιοδ. V | τη μεν] την μ. V^* | εμφασι V^a | τας κατα] τα κατα A | εφοδευσων V

A βασιλέως πρόθεσιν ἐπιτελεῖν. 9 παραγενηθεὶς δὲ εἰς Ἱεροσόλυμα, καὶ 9
φιλοφρόνως ὑπὸ τοῦ ἀρχιερέως τῆς πόλεως ἀποδεχθείς, ἀνέθετο περὶ
τοῦ γεγονότος ἐμφανισμοῦ, καὶ τίνος ἕνεκεν πάρεστιν διεσαφήνισεν·
ἐπυνθάνετο δὲ εἰ ταῖς ἀληθείαις ταῦτα οὕτως ἔχοντα τυγχάνει. 10 τοῦ 10
δὲ ἀρχιερέως ὑποδείξαντος παρακαταθήκας εἶναι χηρῶν τε καὶ ὀρφα-
νῶν, 11 τινὰ δὲ καὶ Ὑρκανοῦ τοῦ Τωβίου σφόδρα ἀνδρὸς ἐν ὑπεροχῇ 11
κειμένου—οὐχ οὕτως διαβάλλων ὁ δυσσεβὴς Σίμων—τὰ δὲ πάντα
ἀργυρίου τετρακόσια τάλαντα, χρυσίου δὲ διακόσια· 12 ἀδικῆσαί τε 12
τοὺς πεπιστευκότας τῇ τοῦ τόπου ἁγιωσύνῃ καὶ τῇ τοῦ τετιμημένου
κατὰ τὸν σύμπαντα κόσμον ἱεροῦ σεμνότητι καὶ ἀσυλίᾳ, παντελῶς
ἀμήχανον εἶναι· 13 ὁ δ᾽ ἕτερος, δι᾽ ἃς εἶχεν βασιλικὰς ἐντολάς, πάντως 13
ἔλεγεν εἰς τὸ βασιλικὸν ἀναλημπτέα ταῦτα εἶναι. 14 Ταξά- 14
μενος δὲ ἡμέραν εἰσῄει τὴν περὶ τούτων ἐπίσκεψιν οἰκονομήσων·
ἦν δὲ οὐ μικρὰ καθ᾽ ὅλην τὴν πόλιν ἀγωνία. 15 οἱ δὲ ἱερεῖς πρὸ 15
τοῦ θυσιαστηρίου ἐν ταῖς ἱερατικαῖς στολαῖς ῥίψαντες ἑαυτοὺς ἐπεκα-
λοῦντο εἰς οὐρανὸν τὸν περὶ παρακαταθήκης νομοθετήσαντα τοῖς
παρακαταθεμένοις ταῦτα σῷα διαφυλάξαι. 16 ἦν δὲ ὁρῶντα τὴν τοῦ 16
ἀρχιερέως ἰδέαν τιτρώσκεσθαι τὴν διάνοιαν· ἡ γὰρ ὄψις καὶ τὸ τῆς
χρόας παρηλλαγμένον ἐνέφαινεν τὴν κατὰ ψυχὴν ἀγωνίαν· 17 περι- 17
εκέχυτο γὰρ ἐπὶ τὸν ἄνδρα δέος τι καὶ φρικασμὸς σώματος, δι᾽ ὧν
πρόδηλον ἐγίνετο τοῖς θεωροῦσιν τὸ κατὰ καρδίαν ἐνεστὸς ἄλγος.
18 οἱ δὲ ἐκ τῶν οἰκιῶν ἀγεληδὸν ἐξεπήδων ἐπὶ πάνδημον ἱκετίαν, 18
διὰ τὸ μὴ μέλλειν εἰς καταφρόνησιν ἔρχεσθαι τὸν τόπον. 19 ὑπεζω- 19
σμέναι δὲ ὑπὸ τοὺς μαστοὺς αἱ γυναῖκες σάκκους κατὰ τὰς ὁδοὺς
ἐπλήθυνον· αἱ δὲ κατάκλειστοι τῶν παρθένων, αἱ μὲν συνέτρεχον
ἐπὶ τοὺς πυλῶνας, αἱ δὲ ἐπὶ τὰ τείχη, τινὲς δὲ διὰ τῶν θυρίδων
διέκυπτον. 20 πᾶσαι δὲ προτείνουσαι τὰς χεῖρας εἰς τὸν οὐρανὸν 20
ἐποιοῦντο τὴν λιτανείαν· 21 ἐλεεῖν δὲ τὴν τοῦ πλήθους παμμιγῆ 21
πρόπτωσιν, τήν τε τοῦ μεγάλως ἀγωνιῶντος ἀρχιερέως προσδο-

V 9 υπο του αρχιερεως] ο αρχιερευς A | της πολεως] pr και V | ενεκα V | παρεστιν] παρεγενετο V | διεσαφησεν V 11 Τωβιω A | ουτως] ως V | διαβαλλων] + ην V | δυσεβης A | διακοσια] δ sup ras A[a?] 12 αδικησαι] αδικηθηναι V | τε] δε V | om τη 2° V | τιμωμενου V | ασυλεια A 13 ο δ ετερος] ο δε Ηλιοδωρος V | το βασιλικον] την βασιλικην προσοδον V | ταυτα] ταυτ V 15 εν] συν V | παρακαταθηκης] καταθηκης V 17 επι] περι V | ων] ην A | προδηλον εγινετο] εγιν. εκδηλον V 18 οι δε] επι δε V | οικειων A | ικετειαν V[a] | om μη V 19 υπο τους μαστους αι γυναικες] αι γυν. υπο τ. μ. το στηθος V | διεξεκυπτον V 20 λιταναιαν A λιτανιαν V* (-νειαν V[a]) 21 δε] δ ην V | παμμιγη V | την τε] και την V | αγωνιωντος] α sup ras A[a]

22 κίαν.　　[22]Οἱ μὲν οὖν ἐπεκαλοῦντο τὸν παγκρατῆ κύριον τὰ A
πεπιστευμένα τοῖς πεπιστευκόσιν σῷα διαφυλάσσειν μετὰ πάσης
23 24 ἀσφαλείας. [23]ὁ δὲ Ἡλιόδωρος τὸ διεγνωσμένον ἐπετέλει. [24]αὐτόθι
δὲ αὐτοῦ σὺν τοῖς δορυφόροις κατὰ τὸ γαζοφυλάκιον ἤδη παρόντος,
ὁ τῶν πνευμάτων καὶ πάσης ἐξουσίας δυνάστης ἐπιφανίαν μεγάλην
ἐποίησεν, ὥστε πάντας τοὺς κατατολμήσαντας συνελθεῖν, καταπλαγέν-
25 τας τὴν τοῦ θεοῦ δύναμιν, εἰς ἔκλυσιν καὶ δειλίαν τραπῆναι. [25]ὤφθη
γάρ τις ἵππος αὐτοῖς φοβερὸν ἔχων τὸν ἐπιβάτην, καὶ καλλίστῃ
σαγῇ διακεκοσμημένος, φερόμενος δὲ ῥύδην ἔσεισεν τῷ Ἡλιοδώρῳ
τὰς ἐνπροθεσίους ὁπλάς· ὁ δὲ ἐπικαθήμενος ἐφαίνετο χρυσῆν πανο-
26 πλίαν ἔχων. [26]ἕτεροι δὲ δύο ἐφάνησαν αὐτῷ νεανίαι τῇ ῥώμῃ μὲν
ἐκπρεπεῖς, κάλλιστοι δὲ τὴν γλῶσσαν, διαπρεπεῖς δὲ τὴν περιβολήν·
οἳ καὶ παριστάντες ἐξ ἑκατέρου μέρους ἐμαστίγουν αὐτὸν ἀδιαλείπτως,
27 πολλὰς ἐπιριπτοῦντες αὐτῷ πληγάς. [27]ἄφνω δὲ πεσόντα πρὸς τὴν
γῆν καὶ πολλῷ σκότει περιχυθέντα συναρπάσαντες καὶ εἰς φόριον
28 ἐνθέντες, [28]τὸν ἄρτι μετὰ πολλῆς παραδρομῆς καὶ πάσης δορυφορίας
εἰς τὸ προειρημένον εἰσελθόντα γαζοφυλάκιον, ἔφερον ἀβοήθητον
αὐτὸν τοῖς ὅλοις καθεστῶτα, φανερῶς τὴν δυναστίαν ἐπεγνω-
29 κότα. [29]καὶ ὁ μὲν διὰ τὴν θείαν ἐνέργειαν ἄφωνος καὶ πάσης
30 ἐστερημένος ἐλπίδος καὶ σωτηρίας ἔριπτο· [30]οἱ δὲ τὸν κύριον εὐλό-
γουν τὸν παραδοξάζοντα τὸν ἑαυτοῦ τόπον· καὶ τὸ μικρῷ πρότερον
δέους καὶ ταραχῆς γέμον ἱερόν, τοῦ παντοκράτορος ἐπιφανέντος
31 κυρίου, χαρᾶς καὶ εὐφροσύνης ἐπλήρωτο.　　[31]Ταχὺ δέ τινες τῶν
τοῦ Ἡλιοδώρου συνήθων ἠξίουν τὸν Ὀνίαν ἐπικαλέσασθαι τὸν
ὕψιστον, καὶ τὸ ζῆν χαρίσασθαι τῷ παντελῶς ἐν ἐσχάτῃ πνοῇ
32 κειμένῳ. [32]ὕποπτος δὲ γενόμενος ὁ ἀρχιερεὺς μή ποτε διάλημψιν
ὁ βασιλεὺς σχῇ κακουργίαν τινὰ περὶ τὸν Ἡλιόδωρον ὑπὸ τῶν
Ἰουδαίων συντετελέσθαι, προσήγαγεν θυσίαν ὑπὲρ τῆς τοῦ ἀνδρὸς

22 οι μεν ουν] και οι μεν V | επεκαλουντο] εκαλουντο V | τον παγκρατη V (παγκρ. V^a)] om τον V | διαφυλασσειν] διατηρησαι V | ασφαλιας V^* (-λειας V^a) 24 δε αυτου] δι εαυτου V | ο των πνευμ.] ο δε παντων π̄ρω̄ν V | επιφανειαν V^a | συνεισελθειν V　25 τις ιππος] τοις ιπποις A | εσεισεν] ενεσεισεν V | ενπροθεσιους] εν προθεσει· ους A εμπροσθεους (sic) V　26 δυο εφανησαν αυτω νεανιαι] προσεφανησαν δυο νεαν. V | εκπρεπεις] εκτρεπεις A ευπρ. V^a | γλωσσαν] δοξαν V | διαπρεπεις] διατρ. A | παρασταντες V^a | om εξ V | αυτον] εαυτον A | επιριπτουντε| εαυτω A^{*vid} | επιρρ. V^a　27 πεσοντα] επεσον τα A^{vid} | προς] εις V　28 αυτον τοις ολοις (χολ. A)] εαυτω V | δυναστιαν (-τειαν V^a)] pr του θεου V　29 ενεργειαν] ανεργειαν A εργειαν V^* (ενεργ. V^1) | ερεριπτο V^* ερερριπτο V^a　30 ηυλογουν V | κυριου] χ̄ῡ A | επεπληρωτο V　31 συνηθων] συνηλθων V^* συνηλθον V^a | επικαλεισθαι V　32 προσηγαγεν] προσηνεγκεν V

A σωτηρίας. [33]ποιουμένου δὲ τοῦ ἀρχιερέως τὸν ἱλασμὸν οἱ αὐτοὶ 33
νεανίαι πάλιν ἐφάνησαν τῷ Ἡλιοδώρῳ ἐν ταῖς αὐταῖς ἐσθήσεσιν
ἐστολισμένοι, καὶ στάντες εἶπαν Πολλὰ Ὀνίᾳ τῷ ἀρχιερεῖ χάριτας
ἔχε, διὰ γὰρ αὐτὸν σοὶ κεχάρισται τὸ ζῆν Κύριος. [34]σὺ δὲ ἐξ 34
οὐρανοῦ μεμαστιγωμένος διάγγελλε πᾶσι τὸ μεγαλεῖον τοῦ θεοῦ
κράτος. ταῦτα δὲ εἰπόντες ἀφανεῖς ἐγένοντο. [35]ὁ δὲ Ἡλιόδωρος 35
θυσίαν ἀνενεγκὼν τῷ θεῷ, καὶ εὐχὰς μεγίστας εὐξάμενος τῷ τὸ ζῆν
περιποιήσαντι, καὶ τὸν Ὀνίαν ἀποδεξάμενος, ἀνεστρατοπέδευσεν πρὸς
τὸν βασιλέα· [36]ἐξεμαρτύρει δὲ πᾶσιν ἅπερ ἦν ὑπ᾽ ὄψιν τεθεαμένος 36
ἔργα τοῦ μεγίστου θεοῦ. [37]Τοῦ δὲ βασιλέως ἐπερωτή- 37
σαντος τὸν Ἡλιόδωρον ποῖός τις εἴη ἐπιτήδειος ἔτι ἅπαξ διαπεμ-
φθῆναι εἰς Ἱεροσόλυμα, ἔφησεν [38]Εἴ τινα ἔχεις πολέμιον ἢ πραγμάτων 38
ἐπίβουλον, πέμψον αὐτὸν ἐκεῖ, καὶ μεμαστιγωμένον αὐτὸν προσδέξῃ,
ἐάνπερ καὶ διασωθῇ, διὰ τὸ περὶ τὸν τόπον ἀληθῶς εἶναί τινα θεοῦ
δύναμιν. [39]αὐτὸς γὰρ ὁ τὴν κατοικίαν ἐπουράνιον ἔχων ἐπόπτης 39
ἐστὶν καὶ βοηθὸς ἐκείνου τοῦ τόπου, καὶ τοὺς παραγινομένους ἐπὶ
κακώσει τύπτων ἀπολλύει. [40]καὶ τὰ μὲν καθ᾽ Ἡλιόδωρον καὶ τὴν 40
τοῦ γαζοφυλακίου τήρησιν οὕτως ἐχώρησεν.

[1]Ὁ δὲ προειρημένος Σίμων, ὁ τῶν χρημάτων καὶ τῆς πατρίδος 1 IV
ἐνδείκτης γεγονώς, ἐκακολόγει τὸν Ὀνίαν ὡς οὗτός τε εἴη τὸν Ἡλιό-
δωρον ἐπισεσεικὼς καὶ τῶν κακῶν δημιουργὸς καθεστηκώς· [2]καὶ τὸν 2
εὐεργέτην τῆς πόλεως καὶ τὸν κηδεμόνα τῶν ὁμοεθνῶν καὶ ζηλωτὴν
τῶν νόμων, ἐπίβουλον τῶν πραγμάτων ἐτόλμα λέγειν. [3]τῆς δὲ 3
ἔχθρας ἐπὶ τοσοῦτον προβαινούσης, ὥστε καὶ διά τινος τῶν ὑπὸ
τοῦ Σίμωνος δεδοκιμασμένων φόνους συντελεῖσθαι, [4]συνορῶν Ὀνίας 4
τὸ χαλεπὸν τῆς φιλονεικίας καὶ Ἀπολλώνιον Μενεσθέως, τῶν
Κοίλης Φοινίκης καὶ Συρίας στρατηγόν, συναύξοντα τὴν κακίαν τοῦ
Σίμωνος, [5]πρὸς τὸν βασιλέα διεκομίσθη, οὐ γινόμενος τῶν πολιτῶν 5
κατήγορος, τὸ δὲ σύμφορον κοινῇ καὶ κατ᾽ ἰδίαν παντὶ τῷ πλήθει

V 33 οι αυτοι νεανιαι] αυτοι οι νεαν. V | ειπον V | πολλας V | κεχαρισται σοι V | Κυριος] pr ο V 34 εξ ουρανου] υπ αυτου V | μεμαστιγωμενος] μεν μαστιγωμενος (sic) A | ταυτα δε] ταυτ V 35 ανενεγκας V | τω θεω] τω κω V | om ευξαμενος V | ανεστρατοπεδευσεν] εστρατοπαιδευσεν V* -πεδευσε Va 36 εργα του] εργαζου A | μεγιστου] μεγαλου V 37 ειη] ειν V* ην Va | εφησεν] εφη V 38 θεου δυναμιν τινα V 39 επουρανιον] π ex ττ fec vid A? | απολλυσιν V 40 καθ] κατα V IV 1 ουτος] αυτος V 2 τον κηδ.] om τον V 4 Ονιας] pr ο V | του χαλεπον V* (το χαλ. Va) | Μενεσθεως coniec Hort] μαινεσθαι εως A μ. ως V | των] τον V | Συριας κ. Φοινικης V | συναυξοντο A 5 προς] ως V | διεκοσμηθη] διεκομισθη Va | συμφερον Va | om και V

6 σκοπῶν. [6]ἑώρα γὰρ ἄνευ βασιλικῆς προνοίας ἀδύνατον εἶναι τυχεῖν A
εἰρήνης ἐπὶ τὰ πράγματα, καὶ τὸν Σίμωνα παῦλαν οὐ λημψόμενον
7 τῆς ἀνοίας. [7]Μεταλλάξαντος δὲ τὸν βίον Σελεύκου, καὶ παρα-
λαβόντος τὴν βασιλείαν Ἀντιόχου τοῦ προσαγορευθέντος Ἐπιφανοῦς,
8 ὑπενόθευσεν Ἰάσων ὁ ἀδελφὸς Ὀνίου τὴν ἀρχιερωσύνην· [8]ἐπαγγει-
λάμενος τῷ βασιλεῖ δι' ἐντεύξεως ἀργυρίου τάλαντα ἑξήκοντα πρὸς
τοῖς τριακοσίοις, καὶ προσόδου τινὸς ἄλλης τάλαντα ὀγδοήκοντα.
9 [9]πρὸς δὲ τούτοις ὑπισχνεῖτο καὶ ἕτερα διαγράφειν πεντήκοντα πρὸς
τοῖς ἑκατόν, ἐὰν ἐπιχορηγηθῇ διὰ τῆς ἐξουσίας αὐτοῦ γυμνάσιον
καὶ ἐφηβίαν αὐτῷ συστήσασθαι, καὶ τοὺς ἐν Ἱεροσολύμοις Ἀντιοχεῖς
10 ἀναγράψαι. [10]ἐπινεύσαντος δὲ τοῦ βασιλέως καὶ τῆς ἀρχῆς κρατή-
σας, εὐθέως πρὸς τὸν Ἑλληνικὸν χαρακτῆρα τοὺς ὁμοφύλους μετέ-
11 στησε. [11]καὶ τὰ κείμενα τοῖς Ἰουδαίοις φιλάνθρωπα βασιλικὰ διὰ
Ἰωάννου τοῦ πατρὸς Εὐπολέμου, τοῦ ποιησαμένου τὴν πρεσβίαν
ὑπὲρ φιλίας καὶ συμμαχίας πρὸς τοὺς Ῥωμαίους, παρώσας, καὶ τὰς
μὲν νομίμας καταλύων πολιτίας, παρανόμους ἐθισμοὺς ἐκαίνιζεν.
12 [12]ἀσμένως γὰρ ὑπ' αὐτὴν ἀκρόπολιν γυμνάσιον καθίδρυσεν, καὶ
τοὺς κρατίστους τῶν ἐφ' ἡμῶν ὑποτάσσων ὑπὸ πέτασον ἤγαγεν.
13 [13]ἦν δ' οὕτως ἀκμή τις Ἑλληνισμοῦ καὶ πρόσβασις ἀλλοφυλισμοῦ
διὰ τὴν τοῦ ἀσεβοῦς καὶ οὐκ ἀρχιερέως Ἰάσονος ὑπερβάλλουσαν
14 ἀναγνείαν, [14]ὥστε μηκέτι περὶ τὰς τοῦ θυσιαστηρίου λειτουργίας
προθύμους εἶναι τοὺς ἱερεῖς, ἀλλὰ τοῦ μὲν νεὼ καταφρονοῦντες καὶ
τῶν θυσιῶν ἀμελοῦντες ἔσπευδον μετέχειν τῆς ἐν παλαίστρῃ παρα-
15 νόμου χορηγίας, μετὰ τὴν τοῦ δίσκου πρόσκλησιν· [15]καὶ τὰς μὲν
πατρῴας τιμὰς ἐν οὐδενὶ τιθέμενοι, τὰς δὲ Ἑλληνικὰς δόξας καλλίστας
16 ἡγούμενοι. [16]ὧν καὶ χάριν περιέσχεν αὐτοὺς χαλεπὴ περίστασις, καὶ
ὧν ἐζήλουν τὰς ἀγωγὰς καὶ καθ' ὃ ἅπαν ἤθελον ἐξομοιοῦσθαι, τοὺς
17 πολεμίους καὶ τιμωρητὰς ἔσχον. [17]ἀσεβεῖν γὰρ εἰς τοὺς θείους νόμους

6 επι] ετι V | παυλαν] αναπαυλαν V   7 αρχιεροσυνην A   8 τρια- V
κοσιος V* (-σιοις V^1)   9 υπεισχνοιτο A | διαγραψειν V | αυτου γυμνασιον· A | om εν A* (superscr A^1) | Αντιοχεις] Αντιοχον V | αναγραψαι] αναγορευσαι V   10 κρατησας της αρχης V | προς] επι V | μετεστησε] μετηγαγεν V   11 Ιουδαιοις] seq ras 1 lit (ε vel σ) in A | πρεσβειαν V | νομιμους V | πολιτειας V^a εκαινιζεν] επιωνιζεν V^a 12 ακροπ.] pr την V | εφ ημων] εφηβων V | om υποτασσων V   13 ακμη] αγκμη A | Εασονος A* Ειασονος A^1 Ιασωνος V | αναγνειαν] αγνειαν A   14 του μεν νεω] τους μεν ναιω A | καταφρονουντας A καταφρονουντος V^a (rescr) | σπουδον V* εσπουδ. V^1 (εσπευδ. V^a) | παρανομοχορηγιας V   15 πατρωους V | τιθεμενοι V | καλλιστοις A
16 καθ ο απαν] κατα παν V^a (rescr.) | τους πολ.] τουτους πολ. V | εχον V* (εσχον V^a)

A οὐ ῥᾴδιον· ἀλλὰ ταῦτα ὁ ἀκόλουθος καιρὸς δηλώσει. [18]Ἀγο- 18
μένου δὲ πενταετηρικοῦ ἀγῶνος ἐν Τύρῳ, καὶ τοῦ βασιλέως παρόντος,
[19]ἀπέστειλεν Ἰάσων ὁ μιερὸς θεωροὺς ὡς ἀπὸ Ἱεροσολύμων Ἀντιο- 19
χέας παρακομίζοντας ἀργυρίου δραχμὰς τριακοσίους εἰς τὴν τοῦ
Ἡρακλέους θυσίαν, ἃς καὶ ἠξίωσαν οἱ παρακομίζοντες μὴ χρῆσθαι
εἰς θυσίαν, [20]ἕνεκα δὲ τῶν παρόντων εἰς τὰς τῶν τριηρέων κατα- 20
σκευάς. [21]Ἀποσταλέντος δὲ εἰς Αἴγυπτον Ἀπολλωνίου τοῦ 21
Μενεσθέως διὰ τὰ πρωτοκλήσια τοῦ Φιλομήτορος βασιλέως, μεταλα-
βὼν Ἀντίοχος ἀλλότριον αὐτὸν τῶν αὐτοῦ γεγονότων πραγμάτων,
τῆς καθ᾽ αὑτὸν ἀσφαλίας ἐφρόντιζεν· ὅθεν εἰς Ἰόππην παραγενόμενος,
κατήντησεν εἰς Ἱεροσόλυμα. [22]μεγαλομερῶς δὲ ὑπὸ τοῦ Ἰάσονος 22
καὶ τῆς πόλεως ἀποδεχθεὶς μετὰ δᾳδουχίας καὶ βοῶν εἰσεδέχθη·
εἶθ᾽ οὕτως εἰς τὴν Φοινίκην κατεστρατοπέδευσεν. [23]Μετὰ 23
δὲ τριετῆ χρόνον ἀπέστειλεν Ἰάσων Μενέλαον, τὸν τοῦ προσημαι-
νομένου Σίμωνος ἀδελφόν, παρακομίζοντα τὰ χρήματα τῷ βασιλεῖ,
καὶ περὶ πραγμάτων ἀναγκαίων ὑπομνηματισμοὺς τελέσοντα. [24]ὁ δὲ 24
συσταθεὶς τῷ βασιλεῖ καὶ δοξάσας αὐτὸν τῷ προσώπῳ τῆς ἐξουσίας,
εἰς ἑαυτὸν κατήντησεν ἀρχιερωσύνην, ὑπερβάλλων τὸν Ἰάσονα τά-
λαντα ἀργυρίου τριακόσια. [25]λαβὼν δὲ τὰς βασιλικὰς ἐντολὰς 25
παρεγίνετο, τῆς μὲν ἀρχιερωσύνης οὐδὲν ἄξιον φέρων, θυμοὺς δὲ
ὠμοῦ τυράννου καὶ θηρὸς βαρβάρου ὀργὰς ἔχων. [26]καὶ ὁ μὲν Ἰάσων 26
ὁ τὸν ἴδιον ἀδελφὸν ὑπονοθεύσας, ὑπονοθευθεὶς ὑφ᾽ ἑτέρου φυγὰς
εἰς τὴν Ἀμμανῖτιν χώραν συνήλαστο. [27]ὁ δὲ Μενέλαος τῆς μὲν ἀρχῆς 27
ἐκράτει, τῶν δὲ ἐπηγγελμένων τῷ βασιλεῖ χρημάτων οὐδὲν εὐτάκτει·
[28]ποιουμένου δὲ τὴν ἀπαίτησιν Σωστράτου τοῦ τῆς ἀκροπόλεως 28
ἐπάρχου· πρὸς τοῦτον γὰρ ἦν ἡ τῶν διαφόρων πρᾶξις· δι᾽ ἣν αἰτίαν
οἱ δύο ὑπὸ τοῦ βασιλέως προσεκλήθησαν· [29]καὶ ὁ μὲν Μενέλαος 29
ἀπέλειπεν τῆς ἀρχιερωσύνης διάδοχον Λυσίμαχον τὸν ἑαυτοῦ ἀδελφόν,
Σώστρατος δὲ Κράτητα τὸν ἐπὶ τῶν Κυπρίων. [30]Τοιούτων 30

V 17 ταυτα] + μεν V 19 μιεος A* (μιερος A¹) μιαρος V | Αντιοχιας A Αντιοχεις οντας V | τριακοσιας V | θυσιαν 2°] + εις ετεραν δε καταθεσθαι δαπανην V 20 ενεκα] pr επειсε δε ταυτα δια μεν τον αποστειλαντα εις την Ηρακλεους θυσιᾱ| V | παροντων] παρακομιζοντων V | τριηρων V | κατασκευας] παρασκευας V 21 Μενεσθεσεως A (Μενεσθεως V) | μεταλαβων] μεταβαλων V | γεγονοτων] γεγονεναι V | καθ αυτον] κατ αυτων V | ασφαλειας V^a | Ιοππην] Ιππην A 22 Ιασωνος V | αποδεχθεις] παραδεχθεις V | εισεδεχθη] εισπεπορευται V 23 πραγματων...τελεσοντα (-τας A)] παντων των αναγκαιω̄| χρηματισμους τελεσαντα V 24 συνσταθεις V | κατηντησεν] κατεστησε V | αρχιερωσυνην (-ροσ. V*)] pr την V | υπερβαλων V | Ιασωνα A 25 παρεγενετο V 26 om ο 2° V | υπονομευθεις A 28 Σοστρατου V | υπο] επι V 29 αρχιερωσυνης] ιερωσυνης V | Σοστρατος V* | Κρατητα τον] κρατησας των V

δὲ συνεστηκότων, συνέβη Ταρσεῖς καὶ Μαλλώτας στασιάζειν, διὰ τὸ A
31 Ἀντιοχίδι τῇ παλλακῇ τοῦ βασιλέως ἐν δωρεᾷ δίδοσθαι. [31]θᾶττον
οὖν ὁ βασιλεὺς ἧκεν καταστεῖλαι τὰ πράγματα, καταλείπων τὸν
32 διαδεχόμενον Ἀνδρόνικον, τῶν ἐν ἀξιώματι κειμένων. [32]νομίσας δὲ
ὁ Μενέλαος εἰληφέναι καιρὸν εὐφυῆ, χρυσώματά τινα τῶν τοῦ ἱεροῦ
νοσφισάμενος ἐχαρίσατο τῷ Ἀνδρονίκῳ, καὶ ἕτερα ἐτύγχανεν πεπρα-
33 κὼς εἴς τε Τύρον καὶ τὰς κύκλῳ πόλεις. [33]καὶ σαφῶς ἐπεγνωκὼς ὁ
Ὀνίας, ἀπήνεγκεν ἀποκεχωρηκὼς εἰς ἄσυλον τόπον, ἐπὶ Δάφνης
34 τῆς πρὸς Ἀντιοχείας κειμένης. [34]ὅθεν ὁ Μενέλαος λαβὼν ἰδίᾳ τὸν
Ἀνδρόνικον, παρεκάλει χειρώσασθαι τὸν Ὀνίαν· ὁ δὲ παραγενόμενος
ἐπὶ τὸν Ὀνίαν καὶ πεισθεὶς ἐπὶ δόλῳ καὶ δεξιασθεὶς μεθ' ὅρκων,
δοὺς δεξιάν, καίπερ ἐν ὑποψίᾳ κείμενος, ἔπεισεν ἐκ τοῦ ἀσύλου
προελθεῖν· ὃν καὶ παραχρῆμα παρέκλεισεν, οὐκ αἰδεσθεὶς τὸ δίκαιον.
35 [35]δι' ἣν αἰτίαν οὐ μόνον Ἰουδαῖοι, πολλοὶ δὲ καὶ τῶν ἄλλων ἐθνῶν
36 ἐδείναζον καὶ ἐδυσφόρουν ἐπὶ τῷ τοῦ ἀνδρὸς ἀδίκῳ φόνῳ. [36]τοῦ δὲ
βασιλέως ἐπανελθόντος ἀπὸ τῶν κατὰ Κιλικίαν τόπων, ἐνετύγχανον
οἱ κατὰ πόλιν Ἰουδαῖοι, συμμισοπονηρούντων καὶ τῶν Ἑλλήνων,
37 ὑπὲρ τοῦ παρὰ λόγον τὸν Ὀνίαν ἀπεκτονῆσθαι. [37]ψυχικῶς οὖν
ὁ Ἀντίοχος ὑπολυπηθεὶς καὶ τραπεὶς ἐπὶ ἔλεος, καὶ δακρύσας διὰ τὴν
38 τοῦ μετηλλαχότος σωφροσύνην καὶ πολλὴν εὐταξίαν, [38]καὶ πυρωθεὶς
τοῖς θυμοῖς, παραχρῆμα τὴν τοῦ Ἀνδρονίκου πορφύραν περιελόμενος καὶ
τοὺς χιτῶνας περιρήξας, περιαγαγὼν καθ' ὅλην τὴν πόλιν ἐπ' αὐτὸν
τὸν τόπον οὗπερ τὸν Ὀνίαν ἠσέβησεν, ἐκεῖ τὸν μιαιφόνον ἀπεκόσμησεν,
39 τοῦ κυρίου τὴν ἀξίαν αὐτῷ κόλασιν ἀποδόντος. [39]Γενομένων
δὲ πολλῶν ἱεροσυλημάτων κατὰ τὴν πόλιν ὑπὸ τοῦ Λυσιμάχου
μετὰ τῆς τοῦ Μενελάου γνώμης, καὶ διαδοθείσης ἔξω τῆς φήμης,
ἐπισυνήχθη τὸ πλῆθος ἐπὶ τὸν Λυσίμαχον, χρυσωμάτων ἤδη πολ-
40 λῶν διενηνεγμένων. [40]ἐπεγειρομένων δὲ τῶν ὄχλων καὶ ταῖς ὀρ-
γαῖς διεμπιπλαμένων, καθοπλίσας ὁ Λυσίμαχος πρὸς τρισχιλίους,

30 Ταρσις AV* | Αντιοχειδι V[a] | δεδοσθαι V 31 καταλειπων (-λιπ. V[a])] V pr τουτοις V 32 ευφυη] ευφη V* | εχαρισατο τω] εχαρισατω V* (-το τω V[1]) | και 2°] + εις V 33 και] pr α V | Ονιας V | απηνεγκεν] απηλεγχεν V | Αντιοχειαν V 34 om επι τον Ονιαν V | δεξιὰς θεὶς V | μεθ] μετ AV* | δεξιαν] δεξιας V | ασυλου] ασυλλου V | το δικαιον] τον δ. V 35 φονου A 36 Κιλιαν V* (Κιλικιαν V[1]) | συμμισοπον. V[a] | απεκτονησθαι V] απεκτονησεν A 37 υπολυπηθεις] επι λυπη λυπηθεις V | επι ελεος] υπ ελεους V 38 Ανδρονιου A* (-νικου A[1]) | περιρρηξας V | την πολιν] om την V | κολασιν] κολασασιν A 39 ιεροσυλ
ηματων] Ιεροσολυμητων V* (-μιτων V[a]) 40 καθοπλησαμενος V* (καθοπλισαμ. V[a]) | Λυσιμαχος] + τους χιλιαρχους V

Α κατήρξατο χειρῶν ἀδίκων, προηγησαμένου τινὸς Αὐρανοῦ προβεβη-
κότος τὴν ἡλικίαν, οὐδὲν δὲ ἧττον καὶ τὴν ἄγνοιαν. [41]συνειδότες δὲ 41
καὶ τὴν ἐπίθεσιν τοῦ Λυσιμάχου, συναρπάσαντες οἱ μὲν πέτρους,
οἱ δὲ ξύλων πάχη, τινὲς δὲ ἐκ τῆς παρακειμένης σποδοῦ δρασσό-
μενοι, φύρδην ἐνετίνασσον εἰς τοὺς περὶ τὸν Λυσίμαχον. [42]δι' ἣν 42
αἰτίαν πολλοὺς μὲν αὐτῶν τραυματίας ἐποίησαν, τινὰς δὲ κατέ-
βαλον, πάντας δὲ εἰς φυγὴν συνήλασαν, αὐτὸν δὲ τὸν ἱερόσυλον παρὰ
τὸ γαζοφυλάκιον ἐχειρώσαντο. [43]Περὶ δὲ τούτων ἐνέστη 43
κρίσις ἐπὶ τὸν Μενέλαον. [44]καταντήσαντος δὲ τοῦ βασιλέως εἰς 44
Τύρον, ἐπ' αὐτοῦ τὴν δικαιολογίαν ἐποιήσαντο οἱ πεμφθέντες τρεῖς
ἄνδρες ὑπὸ τῆς γερουσίας. [45]ἤδη δὲ λελιμμένος ὁ Μενέλαος ἐπηγ- 45
γείλατο χρήματα ἱκανὰ τῷ Πτολεμαίῳ Δορυμένους, πρὸς τὸ πεῖσαι
τὸν βασιλέα. [46]ὅθεν ἀπολαβὼν ὁ Πτολεμαῖος εἴς τι περίστυλον 46
ὡς ἀναψύχοντα τὸν βασιλέα μετέθηκεν. [47]καὶ τὸν μὲν τῆς ὅλης 47
κακίας αἴτιον Μενέλαον ἀπέλυσεν τῶν κατηγορημένων, τοῖς δὲ
ταλαιπώροις, οἵτινες εἰ καὶ ἐπὶ Σκυθῶν ἔλεγον ἀπελύθησαν ἀκα-
τάγνωστοι, τούτοις θάνατον ἀπέκρινεν. [48]ταχέως οὖν τὴν ἄδικον 48
ζημίαν ὑπέσχον οἱ περὶ πόλεως καὶ δήμων καὶ τῶν ἱερῶν σκευῶν
προηγορήσαντες. [49]δι' ἣν αἰτίαν καὶ Τύριοι μισοπονηρεύσαντες τὰ 49
πρὸς τὴν κηδίαν αὐτῶν μεγαλομερῶς ἐχορήγησαν. [50]ὁ δὲ Μενέλαος 50
διὰ τὰς τῶν κρατούντων πλεονεξίας ἔμενεν ἐπὶ τῇ ἀρχῇ, ἐπιφυόμενος
τῇ κακίᾳ, μέγας τῶν πολιτῶν ἐπίβουλος καθεστώς.

[1]Περὶ δὲ τὸν καιρὸν τοῦτον τὴν δευτέραν ἄφοδον ὁ Ἀντίοχος 1 V
εἰς Αἴγυπτον ἐστείλατο. [2]συνέβη δὲ καθ' ὅλην τὴν πόλιν σχεδὸν 2
ἐφ' ἡμέρας τεσσεράκοντα φαίνεσθαι διὰ τῶν ἀέρων τρέχοντας ἱπ-
πεῖς διαχρύσους στολὰς ἔχοντας, καὶ λόγχας σπειρηδὸν ἐξωπλι-
σμένους, [3]καὶ μαχαιρῶν σπασμούς, καὶ εἴλας ἵππων διατεταγμένας, 3
καὶ προσβολὰς γινομένας καὶ καταδρομὰς ἑκατέρων, καὶ ἀσπίδων
κινήσεις, καὶ καμάτων πλήθη, καὶ βελῶν βολάς, καὶ χρυσέων κόσ-

V 40 Αυρανου] + τυραννου V | την αγνοιαν] τη ανοια V 41 συνειδοντες V* συνιδοντ. V[a] | παχη ξυλων V | σποδου] εποδου A (sic) | Λυσιμαχον] + επιτιθεμενους V 42 ην] ῆ|ν V | κατεβαλον] pr και V | συνηλασον V | παρα] κατα V 43 om δε V | επι] προς V 44 om εις Τυρον V 45 ηδη δε λελιμμ. ο Μενελαος] λελειμμενος δε ο Μ. ηδη V | Δορυμενου A δωρουμενος V | πεισαι] πεσαι A 46 αναψυξοντα V 47 κατηγορουμενων V | ταγνωστοι τ. θ. απεκρ. evan in V 48 δημου V 49 μισοπονηρησαντες V | κηδειαν V 50 επι] εν V | πολιτων (-λειτ. A)] πολεμιων V
V 1 τον καιρον] των καιρων A* (o bis sup ras A[a]) | εφοδον V 2 εφ ημερας· τεσσερακοντα A εφ ημ. τεσσαρακ. V | διατρεχοντας V | εξοπλ. V* 3 ειλας] ιλας V | καταδρομας] δρομας sup ras A[1] | καματων] καμακων V

4 βων ἐκλάμψεις, καὶ παντοίους θωρακισμούς. 4 διὸ πάντες ἠξίουν A
5 ἐπ' ἀγαθῷ τὴν ἐπιφανίαν γεγενῆσθαι. 5 Γενομένης δὲ λαλιᾶς
ψευδοῦς, ὡς μετηλλαχότος Ἀντιόχου τὸν βίον, παραλαβὼν ὁ Ἰάσων
οὐκ ἐλάττους τῶν χιλίων, ἐφνιδίως ἐπὶ τὴν πόλιν συνετελέσατο
ἐπίθεσιν· τῶν δὲ ἐπὶ τῷ τείχει συνελασθέντων, καὶ τέλος ἤδη κατα-
λαμβανομένης τῆς πόλεως, ὁ Μενέλαος εἰς τὴν ἀκρόπολιν ἐφυγάδευ-
6 σεν. 6 ὁ δὲ Ἰάσων ἐποιεῖτο σφαγὰς τῆς πόλεως τῶν ἰδίων ἀφει-
δῶς, οὐ συννοῶν τὴν εἰς τοὺς συγγενεῖς εὐημερίαν δυσημερίαν εἶναι
τὴν μεγίστην, δοκῶν δὲ πολεμίων καὶ οὐχ ὁμοεθνῶν τρόπαια κατα-
7 βάλλεσθαι. 7 τῆς μὲν ἀρχῆς οὐκ ἐκράτησεν, τὸ δὲ τέλος τῆς ἐπι-
βουλῆς αἰσχύνην λαβών, φυγὰς πάλιν εἰς τὴν Ἀμμανῖτιν παρῆλθεν.
8 8 πέρας οὖν κακῆς καταστροφῆς ἔτυχεν, ἐγκλεισθεὶς πρὸς Ἀρέταν
τὸν τῶν Ἀράβων τύραννον, πόλιν ἐκ πόλεως φεύγων, διωκό-
μενος ὑπὸ πάντων, στυγούμενος ὡς τῶν νόμων ἀποστάτης καὶ
βδελυσσόμενος ὡς πατρίδος καὶ πολιτῶν δήμιος, εἰς Αἴγυπτον
9 ἐξεβράσθη. 9 ὁ συχνοὺς τῆς πατρίδος ἀποξενώσας ἐπὶ ξένης
ἀπώλετο, πρὸς Λακεδαιμονίους ἀναχθείς, ὡς διὰ τὴν συγγενίαν
10 τευξόμενος σκέπης· 10 καὶ ὁ πλῆθος ἀτάφων ἐκρίψας ἀπένθη-
τος ἐγενήθη, καὶ κηδίας οὐδ' ἧστινος οὔτε πατρῴου νόμου μετέ-
11 σχεν. 11 Προσπεσόντων δὲ τῷ βασιλεῖ περὶ τῶν γεγονότων,
διέλαβεν ἀποστάτιν τὴν Ἰουδαίαν· ὅθεν ἀναζεύξας ἐξ Αἰγύπτου
12 τεθηριωμένος τῇ ψυχῇ, ἔλαβεν τὴν μὲν πόλιν δοριάλωτον. 12 καὶ
ἐκέλευσεν τοῖς στρατιώταις κόπτειν ἀφειδῶς τοὺς ἐνπίπτοντας, καὶ
13 τοὺς ἐν ταῖς οἰκίαις ἀναβαίνοντας κατασφάζειν. 13 ἐγίνετο δὲ νέων
καὶ πρεσβυτέρων ἀναίρεσις, ἀνήβων τε καὶ γυναικῶν καὶ τέκνων
14 ἀφανισμός, παρθένων τε καὶ νηπίων σφαγαί. 14 ὀκτὼ δὲ μυριάδες
ἐν ταῖς πάσαις ἡμέραις τρισὶν κατεφθάρησαν, τέσσαρες μὲν ἐν χει-
15 ρῶν νόμοις, οὐχ ἧττον δὲ τῶν ἐσφαγμένων ἐπράθησαν. 15 οὐκ ἀρ-

3 παντοιους θωρακισμους] παντοιοις τεθωρακισμενοις V 4 επιφανειαν V Va | γεγενησθαι] γενεσθαι V 5 μετηλλαχοντος A μετηλαχοτος V | συνετελεσατο] συνεστησατο V | εφυγαδευσεν] εφυγεν V 6 της πολεως] των πολιτων V | ου συννοων] ουκ εννοων V | τους συγγ.] την συγγ. (sic) A | δε 2° seq ras 2 ut vid litt in A 7 Αμανιτην V* | παρηλθεν] απηλθεν V 8 ετυχεν] ελαβεν V 9 ο συχνους (συνχν. A)] pr και V | πατριδος] pr οικειας V | απολετο V* | Λακαιδαιμ. A | αναχθεις] αναδιχθεις V* (-δειχθ. Va) | συγγενειαν Va | σκεπης (sic) V* (σκεπης V1?) 10 αταφον V | απενθητος εγενηθη] αταφος γενηθεις V | κηδειας V | ητινος V | ουτε] ουδε V | νομου] ταφου V 11 αποστατειν V | την ψυχην V | δορυαλωτον Va 12 εμπιπτοντας V | εν ταις οικιαις] εις τας οικειας V | κατασφαζειν] κατασφαττειν V 13 εγινετο] εγινοντο V | om ανηβων τε και V | γυναικων]+τε V 14 τεσσαρες] τεσσερας A* vid (α 1° sup ras Aa) | νομαις V

A κεσθεὶς δὲ τούτοις, κατετόλμησεν εἰς τὸ πάσης τῆς γῆς ἁγιώτατον
ἱερὸν εἰσελθεῖν, ὁδηγὸν ἔχων τὸν Μενέλαον, τὸν καὶ τῶν νόμων
καὶ τῆς πατρίδος προδότην γεγονότα, [16]καὶ ταῖς μιεραῖς χερσὶν τὰ 16
ἱερὰ σκεύη λαμβάνων, καὶ τὰ ὑπὸ πολλῶν βασιλέων ἀνασταθέντα
πρὸς αὔξησιν καὶ δόξαν τοῦ τόπου καὶ τιμήν, ταῖς βεβήλοις χερσὶν
συνσύρων. [17]καὶ ἐμετεωρίζετο τὴν διάνοιαν ὁ Ἀντίοχος, οὐ συνο- 17
ρῶν ὅτι διὰ τὰς ἁμαρτίας τῶν τὴν πόλιν οἰκούντων ἀπώργισται
βραχέως ὁ δεσπότης, διὸ γέγονεν περὶ τὸν τόπον παρόρασις. [18]εἰ 18
δὲ μὴ συνέβη προσενέχεσθαι πολλοῖς ἁμαρτήμασιν, καθάπερ ἦν ὁ
Ἡλιόδωρος ὁ πεμφθεὶς ὑπὸ Σελεύκου τοῦ βασιλέως ἐπὶ τὴν ἐπί-
σκεψιν τοῦ γαζοφυλακίου, οὗτος προαχθεὶς παραχρῆμα μαστιγωθεὶς
ἀνετράπη τοῦ θράσους. [19]ἀλλ' οὐ διὰ τὸν τόπον τὸ ἔθνος, ἀλλὰ 19
διὰ τὸ ἔθνος τὸν τόπον ὁ κύριος ἐξελέξατο. [20]διόπερ καὶ αὐτὸς ὁ 20
τόπος συνμετασχὼν τοῦ ἔθνους δυσπετημάτων γενομένων, ὕστερον
εὐεργετημάτων ἐκοινώνησεν· καὶ ὁ καταληφθεὶς ἐν τῇ τοῦ παντο-
κράτορος ὀργῇ, πάλιν ἐν τῇ τοῦ μεγάλου δεσπότου καταλλαγῇ μετὰ
πάσης δόξης ἐπανωρθώθη. [21]Ὁ οὖν Ἀντίοχος ὀκτακόσια πρὸς 21
τοῖς χιλίοις ἀπενεγκάμενος ἐκ τοῦ ἱεροῦ τάλαντα θᾶττον εἰς τὴν
Ἀντιοχίαν ἐχωρίσθη, οἰόμενος ἀπὸ τῆς ὑπερηφανίας τὴν μὲν γῆν
πλωτὴν καὶ τὸ πέλαγος πορευτὸν θέσθαι, διὰ τὸν μετεωρισμὸν τῆς
καρδίας. [22]κατέλειπεν δὲ καὶ ἐπιστάτας τοῦ κακοῦν τὸ γένος, ἐν 22
μὲν Ἱεροσολύμοις Φίλιππον τὸ μὲν γένος Φρύγα, τὸν δὲ τρόπον
βαρβαρώτερον ἔχοντα τοῦ καταστήσαντος· [23]ἐν δὲ Γαριζεὶν Ἀνδρό- 23
νικον· πρὸς δὲ τούτοις Μενέλαος χείριστα τῶν ἄλλων ὑπερήρετο
τοῖς πολίταις, ἀπεχθῆ δὲ πρὸς τοὺς πολίτας Ἰουδαίους ἔχων διά-
θεσιν. [24]ἔπεμψεν δὲ τὸν μυσάρχην Ἀπολλώνιον μετὰ στρατεύμα- 24
τος, δισμυρίους δὲ τοῖς δισχιλίοις, προστάξας τοὺς ἐν ἡλικίᾳ πάντας
κατασφάξαι, τὰς δὲ γυναῖκας καὶ τοὺς νεωτέρους πωλεῖν. [25]οὗτος 25

V 15 τον Μεν.] om τον V 16 μιαραις V | χερσι bis V^a | υπο πολλων] πολλ sup ras A^a υπ αλλων V | ανασταθεντα] ανατεθημενα V^* (ανατεθειμ. V^a) | συνσυρω (ad fin lin) A 17 μετεωριζετο V | διο] δι αις V 18 συνεβαινεν V | προενεχεσθαι V | αμαρτημασι V^a | om ην ο V | Ηλιοδωρος V | ουτος] και αυτος V | om προαχθεις V | ανετραπη] + αν V 20 συμμετασχων V | του εθνους] pr των V | εκοινωνησαν A | καταλημφθης V^* (-ληφθεις V^a) | επανορθωθη V^* 21 ο ουν] ο γ ουν (sic) V | Αντιοχειαν V | απο] υπο V | γην πλωτην] την πρωτην A 22 Φιλιππον...γενος] ιππον το μεν γεν|ος sup ras et in mg A^a 23 Γαριζιν V | Μενελαος] Μενελαον· ος V | χειριστας A | υπερηρετο] υπερηρτο V | απεχθη (απηχθη A) ...διαθεσιν] εχων δε προς τους Ιουδαιους διαθεσιν απεχθη V 24 om δε 1° V | τοις δισχιλιοις] προς τοις χιλιοις V

δὲ παραγενόμενος εἰς Ἱεροσόλυμα καὶ τὸν εἰρηνικὸν ὑποκριθείς, A
ἐπέσχεν ἕως τῆς ἁγίας ἡμέρας τοῦ σαββάτου· καὶ λαβὼν ἀργοῦντας
26 τοὺς Ἰουδαίους τοῖς ὑφ᾽ ἑαυτὸν ἐξοπλισίαν παρήγγειλεν. [26]καὶ
τοὺς ἐλθόντας πάντας ἐπὶ τὴν θεωρίαν συνεξεκέντησεν, καὶ εἰς
τὴν πόλιν σὺν τοῖς ὅπλοις εἰσδραμὼν ἱκανὰ κατέστησεν πλήθη.
27 [27]Ἰούδας δὲ ὁ καὶ Μακκαβαῖος, δέκατός που γενηθεὶς καὶ ἀναχω-
ρήσας, ἐν τοῖς ὄρεσιν θηρίων τρόπον διέζη σὺν τοῖς μετ᾽ αὐτοῦ· καὶ
τὴν χορτώδη τροφὴν σιτούμενοι διετέλουν, πρὸς τὸ μὴ μετασχεῖν
τοῦ μολυσμοῦ.

VI 1 [1]Μετ᾽ οὐ πολὺν δὲ χρόνον ἐξαπέστειλεν ὁ βασιλεὺς γέροντα
Ἀθηναῖον, ἀναγκάζειν τοὺς Ἰουδαίους μεταβαίνειν ἀπὸ τῶν πατρίων
2 νόμων, καὶ τοῖς τοῦ θεοῦ νόμοις μὴ πολιτεύεσθαι· [2]μολῦναι δὲ καὶ
τὸν ἐν Ἱεροσολύμοις νεὼ καὶ προσονομάσαι Διὸς Ὀλυμπίου, καὶ
τὸν ἐν Γαριζει[ν], καθὼς ἐτύγχανον οἱ τὸν τόπον οἰκοῦντες, Διὸς
3 ξενίου. [3]χαλεπὴ δὲ καὶ τοῖς ὅλοις ἦν δυσχερὴς ἡ ἐπίστασις τῆς
4 κακίας. [4]τὸ μὲν γὰρ ἱερὸν ἀσωτίας καὶ κώμων ὑπὸ τῶν ἐθνῶν
ἐπεπληροῦτο ῥᾳθυμούντων μεθ᾽ ἑταιρῶν, καὶ ἐν τοῖς ἱεροῖς περι-
βόλων γυναιξὶ πλησιαζόντων, ἔτι δὲ τὰ μὴ καθήκοντα ἔνδον εἰσ-
5 φερόντων. [5]τὸ δὲ θυσιαστήριον τοῖς ἀποδιεσταλμένοις ἀπὸ τῶν
6 νόμων ἀθεμίτοις ἐπεπλήρωτο. [6]ἦν δ᾽ οὔτε σαββατίζειν, οὔτε πα-
τρῴους ἑορτὰς διαφυλάττειν, οὔτε ἁπλῶς Ἰουδαῖον ὁμολογεῖν εἶναι.
7 [7]ἤγον δὲ μετὰ πικρᾶς ἀνάγκης εἰς τὴν κατὰ μῆνα τοῦ βασιλέως
γενέθλιον ἡμέραν ἐπὶ σπλαγχνισμόν· γενομένης δὲ Διονυσίων ἑορτῆς
8 ἠναγκάζοντο κισσοὺς ἔχοντες πομπεύειν τῷ Διονύσῳ. [8]ψήφισμα δὲ
ἐξέπεσεν εἰς τὰς ἀστυγείτονας Ἑλληνίδας πόλεις, Πτολεμαίου ὑπο-
θεμένου, τὴν αὐτὴν ἀγωγὴν κατὰ τῶν Ἰουδαίων ἄγειν καὶ σπλαγχνί-
9 ζειν, [9]τοὺς δὲ μὴ προαιρουμένους μεταβαίνειν ἐπὶ τὰ Ἑλληνικὰ
10 κατασφάζειν. παρῆν οὖν ὁρᾶν τὴν ἐνεστῶσαν ταλαιπωρίαν. [10]δύο

25 εξοπλησιν V 26 ελθοντας] εξελθοντας V | θεωριαν] θεαν V | συνε- V
κεντησεν V | εισδραμων] δραμων V | κατεστησεν] κατεστρωσεν V 27 γεννη-
θεις A | αναχωρησας] + εις την ερημον V | εν τοις ορεσιν θηριων τροπον] κτηνων
βιον εν τοις ορ. V | τροφην] ο sup ras A[a] VI 1 εξαπεστειλεν] απεστειλεν
V | νομοις] νομου A 2 νεων V | Γαριζει AV | οικουντες] κατοικουντες
V | Διος ξενιου] Διοξενιου A 3 επιτασις V[a] 4 επεπληρουτο] πεπλη-
ρωτο V | εταιρων (? ἑταίρων)] ετερων AV | περιβολοις V 5 αποδιεσταλ-
μενων A 6 πατρο|ους A[fort] πατριους V | ουτε 3°] ουδ V 7 ηγον]
ηγοντο V 8 αστυγειτονας] αστυγεις A | om Ελληνιδας V | πολεις
Πτολεμαιου· (sic) A π. Πτολεμαιος V[* vid] (-ου V[1])

A γὰρ γυναῖκες ἀνήχθησαν περιτετμηκυῖαι τὰ τέκνα· τούτων δὲ ἐκ
τῶν μαστῶν κρεμάσαντες τὰ βρέφη, καὶ δημοσίᾳ περιαγαγόντες αὐ-
τὰς τὴν πόλιν, κατὰ τοῦ τείχους ἐκρήμνισαν. [11] ἕτεροι δὲ πλησίον 11
συνδραμόντες εἰς τὰ σπήλαια λεληθότως ἄγειν τὴν ἑβδομάδα, μηνυ-
θέντες τῷ Φιλίππῳ συνεφλογίσθησαν, διὰ τὸ εὐλαβῶς ἔχειν βοη-
θῆσαι αὐτοῖς κατὰ δόξαν τῆς σεμνοτάτης ἡμέρας.

[12] Παρακαλῶ οὖν τοὺς ἐντυγχάνοντας τῇδε τῇ βίβλῳ μὴ συστέλ- 12
λεσθαι διὰ τὰς συμφοράς, λογίζεσθαι δὲ τὰς τιμωρίας μὴ πρὸς ὄλε-
θρον, ἀλλὰ πρὸς παιδίαν τοῦ γένους ἡμῶν εἶναι. [13] καὶ γὰρ τὸ 13
μὴ πολὺν χρόνον ἐᾶσθαι τοὺς δυσσεβοῦντας, ἀλλ' εὐθέως περι-
πίπτειν τοῖς ἐπιτίμοις, μεγάλης εὐεργεσίας σημεῖόν ἐστιν. [14] οὐ γὰρ 14
καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἐθνῶν ἀναμένει μακροθυμῶν ὁ δεσπό-
της μέχρι τοῦ καταντήσαντας αὐτοὺς πρὸς ἐκπλήρωσιν ἁμαρτιῶν
κολάσῃ, οὕτως καὶ ἐφ' ἡμῶν ἔκρινεν εἶναι· [15] ἵνα μὴ πρὸς τέλος 15
ἀφικομένων ἡμῶν τῶν ἁμαρτιῶν ὕστερον ἡμᾶς ἐκδικᾷ. [16] διόπερ 16
οὐδέποτε μὲν τὸν ἔλεον ἀφ' ἡμῶν ἀφίστησιν· παιδεύων δὲ μετὰ
συμφορᾶς οὐκ ἐγκαταλείπει τὸν ἑαυτοῦ λαόν. [17] πλὴν ἕως ὑπομνή- 17
σεως ταῦθ' ἡμῖν εἰρήσθω· δι' ὀλίγων δ' ἐλευστέον ἐπὶ τὴν διήγησιν.

[18] Ἐλεάζαρός τις τῶν πρωτευόντων γραμματέων, ἀνὴρ ἤδη προβε- 18
βηκὼς τὴν ἡλικίαν καὶ τὴν πρόσοψιν τοῦ προσώπου κάλλιστος, ἀνα-
χαίνων ἠναγκάζετο φαγεῖν ὕειον κρέας. [19] ὁ δὲ τὸν μετ' εὐκλείας 19
θάνατον μᾶλλον ἢ τὸν μετὰ μύσους βίον ἀναδεξάμενος αὐθαιρέτως ἐπὶ
τὸ τύμπανον προσῆγεν, [20] προπτύσας δέ, καθ' ὃν ἔδει τρόπον προσέρ- 20
χεσθαι τοὺς ὑπομένοντας ἀμύνασθαι ὧν οὐ θέμις γεύσασθαι διὰ τὴν
πρὸς τὸ ζῆν φιλοστοργίαν. [21] οἱ δὲ πρὸς τῷ παρανόμῳ σπλαγχνισμῷ 21
τεταγμένοι διὰ τὴν ἐκ τῶν παλαιῶν χρόνων πρὸς τὸν ἄνδρα γνῶσιν
ἀπολαμβάνοντες αὐτὸν κατ' ἰδίαν ἐνεκάλουν, ἐνεγκόντα κρέα, οἷς
καθῆκον αὐτῷ χρᾶσθαι, δι' αὐτοῦ παρασκευασθέντα, ὑποκρῖναι δὲ ὡς

V 10 ανηχθησαν] ανηνεχθησαν V | εκ των μαστων κρεμασαντες] εκκρεμασαντων εκ τ. μ. V | αγαγοντες V | εκρημνησαν V 11 αυτοις] εαυτοις V 12 ουν] δε V | παιδειαν V[a] 13 πολυν] + ειναι V | τοις επιτιμοις] επιτιμιοις V | ευγεργεσιας (sic) V 14 καταντησαντος A καταναντησαντας V | κολασει V[a] | om ειναι V 15 εκδικη V 16 αφ ημων τον ελεον V | εγκαταλειπει V 17 ταυτ AV 18 Ελεαζαρος] + δε V | την προσοψιν] om την V* (hab V[1]) | om αναχαινων V | υειον] υιον AV* 19 ευκλιας AV* | προσηγεν] προσηγετο V 20 προπτυσας] προ.. V* πρωτευσας V[a] (rescr) | αμυνεσθαι V | om δια την A 21 τω παρανομω] το παρ. V* | των παλαιων] om των V | απολαμβανοντες] απολαβοντες V | ενεκαλουν] παρεκαλουν V | ενεγκαντα V | χρασθαι] χρησασθαι V | υποκριναι] υποκριθηναι V

ἐσθίοντα τὰ ὑπὸ τοῦ βασιλέως τεταγμένα τῶν ἀπὸ τῆς θυσίας κρεῶν, A
22 [22]ἵνα τοῦτο πράξας ἀπολυθῇ τοῦ θανάτου, καὶ διὰ τὴν ἀρχαίαν πρὸς
23 αὐτοὺς φιλίαν τύχοι φιλανθρωπίας. [23]ὁ δὲ λογισμὸν ἀστεῖον ἀναλα-
βὼν καὶ ἄξιον τῆς ἡλικίας καὶ τῆς τοῦ γήρους ὑπεροχῆς καὶ τῆς
ἐπικτήτου καὶ ἐπιφανοῦς πολιτείας καὶ τῆς ἐκ παιδὸς καλλίστης
ἀναστροφῆς, μᾶλλον δὲ τῆς ἁγίας καὶ θεοκτίστου νομοθεσίας, ἀκολού-
24 θως ἀπεφήνατο, ταχέως λέγων προπέμπειν εἰς τὸν ᾅδην [24]Οὐ γὰρ
τῆς ἡμετέρας ἡλικίας ἄξιόν ἐστιν ὑποκριθῆναι, ἵνα πολλοὶ τῶν νέων
ὑπολαβόντες Ἐλεάζαρον τὸν ἐνενηκονταετῆ μεταβεβηκέναι εἰς ἀλλο-
25 φυλισμόν, [25]καὶ αὐτοὶ διὰ τὴν ἐμὴν ὑπόκρισιν καὶ διὰ τὸ μικρὸν καὶ
ἀκαριαῖον ζῆν πλανηθῶσιν δι' ἐμέ, καὶ μύσος καὶ κηλῖδα τοῦ γήρως
26 κατακτήσωμαι. [26]εἰ γὰρ καὶ ἐπὶ τοῦ παρόντος ἐξελοῦμαι τὴν ἐξ ἀν-
θρώπων τιμωρίαν, ἀλλὰ τὰς τοῦ παντοκράτορος χεῖρας οὔτε ζῶν
27 οὔτε ἀποθανὼν ἐκφεύξομαι. [27]διόπερ ἀνδρείως μὲν νῦν διαλλάξας
28 τὸν βίον τοῦ μὲν γήρως ἄξιος φανήσομαι, [28]τοῖς δὲ νέοις ὑπόδιγμα
γενναῖον καταλελοιπὼς εἰς τὸ προθύμως καὶ γενναίως ὑπὲρ τῶν
σεμνῶν καὶ ἁγίων νόμων ἀπευθανατίζειν. τοσαῦτα δὲ εἰπὼν ἐπὶ τὸ
29 τύμπανον εὐθέως ἦλθεν, [29]τῶνδε ἀγόντων πρὸς αὐτὸν τὴν μικρῷ
πρότερον εὐμένειαν δυσμένειαν διὰ τὴν τῶν προειρημένων λόγων,
30 ὡς αὐτοὶ ὑπελάμβανον, ἀπόνοιαν. [30]μέλλων δὲ ταῖς πληγαῖς
τελευτᾶν, ἀναστενάξας εἶπεν Τῷ κυρίῳ τῷ τὴν ἁγίαν γνῶσιν ἔχοντι
φανερόν ἐστιν ὅτι δυνάμενος ἀπολυθῆναι τοῦ θανάτου, σκληρὰς
ὑποφέρω κατὰ σῶμα ἀλγηδόνας μαστιγούμενος, κατὰ ψυχὴν δὲ
31 ἡδέως διὰ τὸν αὐτοῦ φόβον ταῦτα πάσχω. [31]καὶ οὗτος οὖν τοῦτον τὸν
τρόπον μετήλλαξεν, οὐ μόνον τοῖς νέοις, ἀλλὰ καὶ τοῖς πλείστοις τοῦ
ἔθνους τὸν ἑαυτοῦ θάνατον ὑπόδιγμα γενναιότητος καὶ μνημόσυνον
ἀρετῆς καταλείπων.

VII 1 [1]Συνέβη δὲ καὶ ἑπτὰ ἀδελφοὺς μετὰ τῆς μητρὸς συλλημφθέντας

21 εσθοντα V | τεταγμενα] προστεταγμενα V 22 τυχοι] τυχη V | V φιλανθρωπιας] pr τησδε της V 23 γηρως V | επικτητους A | και επιφανους πολιτειας] επιφανιας (-νειας V[a]) και της πολιας V | θεοκτιστου] pr της V 24 πολλοι των νεων] πολλοις των νεω (sic, sed ν fort evan ad fin lin) A | μεταβεβηναι A 25 ακαριαιον] ακαιρεον A ακεραιον V | δι] εις V | κατακτησωμαι] καταστησωμαι V* καταστησομαι V[a] 27 διαλλαξας] μεταλλαξας V[a] (rescr) 28 υποδειγμα V | ειπως A | ηλθεν] ειλκετο V 29 αγοντων] απαντων V | προς αυτον την μικρω προτερον ευμενειαν δυσμενειαν (η δυσμ. A)] την μ. προτ. προς αυτον ευμ. εις δυσμενειαν απαγοντων V (γοντων rescr) | om την 2° A (hab V) | απονοιαν] + ειναι AV 30 σωμα] pr το V | δια] pr και V 31 τον τροπον τουτον V | νεοις] υιοις V | υποδειγμα V | καταλιπων V[a] VII 1 συλληφθεντας V

A ἀναγκάζεσθαι ὑπὸ τοῦ βασιλέως ἀπὸ τῶν ἀθεμίτων ὑείων κρεῶν
ἐφάπτεσθαι, μάστιξιν καὶ νευραῖς αἰκιζομένους. [2]εἷς δὲ αὐτῶν γενό- 2
μενος προήγορος εἶπεν Μέλλεις ἐρωτᾶν καὶ μανθάνειν ἡμῶν; ἕτοιμοι
γὰρ ἀποθνῄσκειν ἐσμὲν ἢ πατρῴους νόμους παραβαίνειν. [3]ἔκθυμος 3
δὲ γενόμενος ὁ βασιλεὺς προσέταξεν τήγανα καὶ λέβητας ἐκπυροῦν.
[4]τῶν δὲ παραχρῆμα ἐκπυρωθέντων, τὸν γενόμενον αὐτῶν προήγορον 4
προσέταξεν γλωσσοτομεῖν, καὶ περισκυθίσαντας ἀκρωτηριάζειν, τῶν
λοιπῶν ἀδελφῶν καὶ τῆς μητρὸς συνορώντων. [5]ἄχρηστον δὲ αὐτὸν 5
τοῖς λοιποῖς γενόμενον ἐκέλευσεν τῇ πυρᾷ προσάγειν ἔμπνουν καὶ
τηγανίζειν. τῆς δὲ ἀτμίδος ἐφ᾽ ἱκανὸν διδούσης τοῦ τηγάνου ἀλλήλους
παρεκάλουν σὺν τῇ μητρὶ γενναίως τελευτᾶν, λέγοντες οὕτως [6]Ὁ κύριος 6
ὁ θεὸς ἐφορᾷ, καὶ ταῖς ἀληθείαις ἐφ᾽ ἡμῖν παρακαλεῖται, καθάπερ διὰ
τῆς κατὰ πρόσωπον ἀντιμαρτυρούσης ᾠδῆς διεσάφησεν Μωσῆς, λέγων

Καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

[7]Μεταλλάξαντος δὲ τοῦ πρώτου τὸν τρόπον τοῦτον, τὸν δεύτερον 7
ἦγον ἐπὶ τὸν ἐμπαιγμόν· καὶ τὸ τῆς κεφαλῆς δέρμα σὺν ταῖς θριξὶν
περισύροντες ἐπηρώτων Εἰ φάγεσθαι πρὸ τοῦ τιμωρηθῆναι κατὰ
μέλος τὸ σῶμα; [8]ὁ δὲ ἀποκριθεὶς τῇ πατρίῳ φωνῇ προσεῖπεν 8
Οὐχί. διόπερ καὶ οὗτος τὴν ἑξῆς ἔλαβεν βάσανον, ὡς ὁ πρῶτος.
[9]ἐν ἐσχάτῃ δὲ πνοῇ γενόμενος εἶπεν Σὺ μέν, ἀλάστωρ, ἐκ τοῦ 9
παρόντος ἡμᾶς ζῆν ἀπολύεις, ὁ δὲ τοῦ κόσμου βασιλεὺς ἀπο-
θανόντας ἡμᾶς ὑπὲρ τῶν αὐτοῦ νόμων εἰς αἰώνιον ἀναβίωσιν
ζωῆς ἡμᾶς ἀναστήσει. [10]Μετὰ δὲ τοῦτον ὁ τρίτος ἐνεπαίζετο, 10
καὶ τὴν γλῶσσαν αἰτηθεὶς ταχέως προέβαλλεν καὶ τὰς χεῖρας
εὐθαρσέως προέτεινεν· [11]καὶ γενναίως εἶπεν Ἐξ οὐρανοῦ ταῦτα 11
κέκληται, καὶ διὰ τοὺς αὐτοῦ νόμους ὑπερορῶ ταῦτα, καὶ παρ᾽ αὐτοῦ
ταῦτα πάλιν ἐλπίζω κομίζεσθαι. [12]ὥστε αὐτὸν τὸν βασιλέα καὶ 12
τοὺς σὺν αὐτῷ ἐκπλήσσεσθαι τὴν τοῦ νεανίσκου ψυχήν, ὡς ἐν

V 1 υιων AV* | μαστιξι V | νευροις V 2 εις] ει A* (ς superscr A¹) | ειπεν] ουτως εφη V | μελλεις] pr τι V | ημων] pr παρ V | πατρωους νομους παραβαινειν] παραβ. τους πατριους νομ. V 4 τον γεν.] το γεν. A | γλωσσοτι|μειν (sic) A γλωττοτομειν V 5 αχριστον V | λοιποις] ολοις V | εκελευσεν] προσεταξεν V | προσαγειν] προσαγαγειν V | εμπνουν V | διδουσης] διαδουσης V 6 ο κυριος] om ο V | Μωυσης V 7 μεταλλαξαντος] ras 2 vel 3 litt inter ξαν et τος A? | περισυραντες V | φαγεσθαι] φαγεσαι V | επηρωτουν A | το σωμα κατα μελος V 9 αλαστορ Vᵃ | αιωνιον] + ημας A 10 ταχεως] ευθεως V | προεβαλεν V | ευθαρσως V 11 κεκληται] κεκτημαι V | κομιζεσθαι] νομισασθαι V 12 εκπλησσεσθαι] καταπλησσεσθαι V | νεανισκου] νεανιου V

13 οὐδενὶ τὰς ἀλγηδόνας ἐτίθετο. [13]Καὶ τούτου δὲ μεταλλά- A
14 ξαντος τὸν τέταρτον ὡσαύτως ἐβασάνιζον αἰκιζόμενοι. [14]καὶ γενό-
μενος πρὸς τῷ τελευτᾶν οὕτως ἔφη Αἱρετὸν μεταλλάσσοντας ἀπὸ
ἀνθρώπων τὰς ὑπὸ τοῦ θεοῦ προσδοκᾶν ἐλπίδας πάλιν ἀναστήσεσθαι
15 ὑπ' αὐτοῦ· σοὶ μὲν γὰρ ἀνάστασις εἰς ζωὴν οὐκ ἔσται. [15]Ἐχο-
16 μένως δὲ τὸν πέμπτον προσάγοντες ᾐκίζοντο. [16]ὁ δὲ πρὸς αὐτὸν ἰδὼν
εἶπεν Ἐξουσίαν ἐν ἀνθρώποις ἔχων ὃ θέλεις ποιεῖς, φθαρτὸς ὤν·
17 μὴ δόκει δὲ τὸ γένος ἡμῶν ὑπὸ τοῦ θεοῦ καταλελεῖφθαι. [17]σὺ δὲ
καρτέρει, καὶ θεώρει τὸ μεγαλεῖον αὐτοῦ κράτος, ὡς σὲ καὶ τὸ σπέρμα
18 σου βασανιεῖ. [18]Μετὰ δὲ τοῦτον ἦγον τὸν ἕκτον, καὶ μέλλων
ἀποθνήσκειν ἔφη Μὴ πλανῶ μᾶλλον, ἡμεῖς γὰρ δι' ἑαυτοὺς ταῦτα πά-
19 σχομεν, ἁμαρτόντες εἰς τὸν ἑαυτῶν θεόν· ἄξια θαυμασμοῦ γέγονεν· [19]σὺ
20 δὲ μὴ νομίσῃς ἀθῷος ἔσεσθαι θεομαχεῖν ἐπιχειρήσας. [20]Ὑπερ-
αγόντως δὲ ἡ μήτηρ ἀγαθὴ καὶ μνήμης ἀγαθῆς ἀξία, ἥτις ἀπολλυμένους
υἱοὺς ἑπτὰ συνορῶσα μιᾶς ὑπὸ καιρὸν ἡμέρας εὐψύχως ἔφερεν διὰ τὰς
21 ἐπὶ Κύριον ἐλπίδας. [21]ἕκαστον δὲ τῶν ἀνθρώπων παρεκάλει τῇ
πατρίῳ φωνῇ, γενναίῳ πεπληρωμένη φρονήματι καὶ τὸν θῆλυν λο-
22 γισμὸν ἄρσενι θυμῷ διεγείρασα, λέγουσα πρὸς αὐτούς [22]Οὐκ οἶδ' ὅπως
εἰς τὴν ἐμὴν ἐφάνητε κοιλίαν, οὐδὲ ἐγὼ τὸ πνεῦμα καὶ τὴν ζωὴν
ὑμῖν ἐχαρισάμην, καὶ τὴν ἑκάστου στοιχείωσιν οὐκ ἐγὼ διερύθμισα.
23 [23]τοιγαροῦν ὁ τοῦ κόσμου κτίστης, ὁ πλάσας ἀνθρώπου γένεσιν καὶ
πάντων ἐξευρὼν γένεσιν, καὶ τὸ πνεῦμα καὶ τὴν ζωὴν ὑμῖν πάλιν
ἀποδίδωσιν μετ' ἐλέους, ὡς νῦν ὑπεροπᾶτε ἑαυτοὺς διὰ τοὺς αὐτοῦ
24 νόμους. [24]Ὁ δὲ Ἀντίοχος οἰόμενος καταφρονεῖσθαι καὶ τὴν
ὀνειδίζουσαν ὑφορώμενος φωνήν, ἔτι τοῦ νεωτέρου περιόντος, οὐ
μόνον διὰ λόγων ἐποιεῖτο τὴν παράκλησιν, ἀλλὰ καὶ δι' ὅρκων ἐπί-
στου ἅμα πλουτιεῖν καὶ μακαριστὸν ποιήσειν καὶ μεταθέμενον ἀπὸ
25 τῶν πατρίων, καὶ φίλον ἕξειν καὶ χρείας ἐμπιστεύσειν. [25]τοῦ δὲ
νεανίου μηδαμῶς προσέχοντος, προσκαλεσάμενος ὁ βασιλεὺς τὴν
μητέρα παρῄνει γενέσθαι τοῦ μειρακίου σύμβουλον ἐπὶ σωτηρίᾳ.

14 *τω τελευταν*] *το τελ. αυτον* V | *μεταλασσοντας* (sic) V | *απο*] *υπ* V | V *υπο*] *παρα* V **15** *εχομενως δε τον πεμπτον προσαγοντες*] *ως δε προσαγαγοντες τον πεμπτον* V **16** *φθαρτος ων ο θελεις ποιεις* V **18** *μαλλον*] *ματην* V | *πασχωμεν* V* | *αμαρτανοντες* V | *εαυτον* V* | *αξια*] *αξιο* V* *αξιοι* V^a | *γεγονεν*] *γεγοναμεν* V **19** *εσεθαι* V* (*εσεσθαι* V¹) **20** *υπεραγοντος* V | *αγαθη*] *θαυμαστη* V **21** *των ανθρωπων*] *αυτων* V | *πεπληρωμενω* A | *θηλυ* AV | *αρσενι*] *αρρενι* V | *λεγουσα προς αυτους*] *και λεγουσα* V **22** *διερυθνισα* (sic) A **24** *επιστουτο* V | om *αμα* V | *μακαρ.*]+*αμα* V | *ποιησεν* V* (-*σειν* V¹) | om *και* 4° V | *πατριων*]+*νομων* V | *εμπιστευσαμενος* V* (*εμπιστευσειν* V¹)

A 26 πολλὰ δὲ αὐτοῦ παραινέσαντος, ἐπεδέξατο πείσειν τὸν υἱόν. 26
27 προσκύψασα δὲ αὐτῷ, χλευάσασα τὸν ὠμὸν τύραννον, οὕτως 27
ἔφησεν τῇ πατρίῳ φωνῇ Υἱέ, ἐλέησόν με τὴν ἐν γαστρὶ περιενέγ-
κασάν σε μῆνας ἐννέα, καὶ θηλάσασάν σε ἔτη τρία, καὶ ἐκθρέψασάν
σε καὶ ἀγαγοῦσαν εἰς τὴν ἡλικίαν ταύτην καὶ τροφοφορήσασαν.
28 ἀξιῶ σε, τέκνον, ἀναβλέψαντα εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ 28
ἐν αὐτοῖς πάντα ἰδόντα γνῶναι, ὅτι οὐκ ἐξ ὄντων ἐποίησεν αὐτὰ ὁ θεός,
καὶ τὸ τῶν ἀνθρώπων γένος οὕτω γίνεται. 29 μὴ φοβηθῇς τὸν δήμιον 29
τοῦτον, ἀλλὰ τῶν ἀδελφῶν σου ἄξιος γενόμενος ἐπίδεξαι τὸν θάνατον,
ἵνα ἐν τῷ ἐλέει σὺν τοῖς ἀδελφοῖς σου κομίσωμαί σε. 30 Ἔτι 30
δὲ ταύτης καταληγούσης ὁ νεανίας εἶπεν Τίνα μένετε; οὐχ ὑπακούω
τοῦ προστάγματος τοῦ βασιλέως· τοῦ δὲ προστάγματος ἀκούω τοῦ
νόμου τοῦ δοθέντος τοῖς πατράσιν ἡμῶν διὰ Μωσῆ. 31 σὺ δὲ πάσης 31
κακίας εὑρετὴς γενόμενος εἰς τοὺς Ἑβραίους οὐ μὴ διαφύγῃς τὰς
χεῖρας τοῦ θεοῦ. 32 ἡμεῖς γὰρ διὰ τὰς ἑαυτῶν ἁμαρτίας πάσχομεν· 32
33 εἰ δὲ χάριν ἐπιπλήξεως καὶ παιδίας ὁ ζῶν κύριος ἡμῶν βραχέως 33
ἐπώργισται, καὶ πάλιν καταλλαγήσεται τοῖς ἑαυτοῦ δούλοις. 34 σὺ δέ, 34
ὦ ἀνόσιε καὶ πάντων ἀνθρώπων μιαρώτατε, μὴ μάτην μετεωρίζου
φρυττόμενος ἀδήλοις ἐλπίσιν, ἐπὶ τοὺς οὐρανίους παῖδας ἐπαράμενος
χεῖρα· 35 οὔπω γὰρ τὴν τοῦ παντοκράτορος ἐπόπτου θεοῦ κρίσιν 35
ἐκπέφευγας. 36 οἱ μὲν γὰρ νῦν ἡμέτεροι ἀδελφοὶ βραχὺν ἐπενέγκαντες 36
πόνον ἀενάου ζωῆς ὑπὸ διαθήκην θεοῦ πεπτώκασιν· σὺ δὲ τῇ τοῦ
θεοῦ κρίσει δίκαια τὰ πρόστιμα τῆς ὑπερηφανίας ἀποίσῃ. 37 ἐγὼ 37
δὲ καθάπερ οἱ ἀδελφοὶ καὶ σῶμα καὶ ψυχὴν προδίδωμι περὶ τῶν
πατρίων νόμων, ἐπικαλούμενος τὸν θεὸν ἵλεων ταχὺ τῷ ἔθνει γενέσθαι,
καὶ σὲ μετὰ ἐτασμῶν καὶ μαστίγων ἐξομολογήσασθαι διότι μόνος
αὐτὸς θεός ἐστιν· 38 ἐν ἐμοὶ δὲ καὶ τοῖς ἀδελφοῖς μου στῆσαι τὴν τοῦ 38
παντοκράτορος ὀργὴν τὴν ἐπὶ τὸ σύμπαν ἡμῶν γένος δικαίως ἐπηγμέ-

V 26 δε] δ V | παραινησαντος A 27 χλευασασα (χλευγασ. V* χλευασ. Va)] pr και V | ωμοτυραννον V* (ωμον τ. Va) | εφη V | τη πατριω] πατρωα V | γαστρι] pr τη V | εννεα] ενεα V* | σετη V* (σε ετη Va) | om και εκθρεψασαν σε V | τροφοφορησασαν] + σε V 28 ουτως V 29 φοβηθης] φοβηθηναι V | αλλα] αλα (sic) V | σου αξιος γενομενος επιδεξαι] αξιον γενομενον επιδεξασθαι V | κομισωμαι] κομισαιμε A 30 καταληγουσης] καταλγηγουσης (sic) A | νεανισκος V | υπακουω] επακουω V | Μωση] Μωσην A Μωυσεως V 33 παιδειας Va | παρωργισται V 34 om ανθρωπων V | φρυττομενος] φρυαττομενος V | επαιρομενος V | χειρας V 35 ουπω] pr ημεις γαρ δια τας εαυτων αμαρτιας πασχομεν V 36 om μεν V | υπενεγκαντες V | αεναου V | πεπωκασιν coniec Hort | αποισει V 37 αδελφοι] + μου V | ψυχην] ψυχην V | επικαλουμενος V | ιλεως A | om και σε...εξομολογησασθαι V 38 στησαι] στηναι V | το συμπαν] του συμπ. A | επηγμενην V

39 νην. [39]ἔκθυμος δὲ γενόμενος ὁ βασιλεὺς τούτῳ παρὰ τοὺς ἄλλους A
40 χειρίστως ἀπήντησεν, πικρῶς φέρων ἐπὶ τῷ μυκτηρισμῷ. [40]καὶ οὗτος
41 οὖν καθαρῶς μετήλλαξεν, παντελῶς ἐπὶ τῷ κυρίῳ πεποιθώς. [41]ἐσχάτη
42 δὲ τῶν υἱῶν ἡ μήτηρ ἐτελεύτησεν. [42]Τὰ μὲν οὖν περὶ τοὺς
σπλαγχνισμοὺς καὶ τὰς ὑπερβαλλούσας αἰκίας ἐπὶ τοσοῦτον δεδη-
λώσθω.

VIII 1 [1]Ἰούδας δὲ ὁ καὶ Μακκαβαῖος καὶ οἱ σὺν αὐτῷ παρεισπορευόμενοι
λεληθότως εἰς τὰς κώμας προσεκαλοῦντο τοὺς συγγενεῖς, καὶ τοὺς με-
μενηκότας ἐν τῷ Ἰουδαισμῷ προσλαμβανόμενοι συνήγαγον εἰς ἑξακι-
2 σχιλίους. [2]καὶ ἐπεκαλοῦντο τὸν κύριον ἐφιδεῖν τὸν ὑπὸ πάντων κατα-
πονούμενον λαόν, οἰκτεῖραι δὲ καὶ τὸν ναὸν τὸν ὑπὸ τῶν ἀσεβῶν
3 ἀνθρώπων βεβηλωθέντα· [3]ἐλεῆσαι δὲ καὶ τὴν καταφθειρομένην
πόλιν καὶ μέλλουσαν ἰσόπεδον γίνεσθαι, καὶ τῶν καταβοώντων πρὸς
4 αὐτὸν αἱμάτων εἰσακοῦσαι· [4]καὶ μνησθῆναι δὲ καὶ τῆς τῶν ἀναμαρ-
τήτων νηπίων παρανόμου ἀπωλίας, καὶ περὶ τῶν γενομένων εἰς τὸ
5 ὄνομα αὐτοῦ βλασφημιῶν, καὶ μισοπονηρῆσαι. [5]γενόμενος δὲ ὁ
Μακκαβαῖος ἐν συστέματι, ἀνυπόστατος ἤδη τοῖς ἔθνεσιν ἐγίνετο, τῆς
6 ὀργῆς τοῦ κυρίου εἰς ἔλεον τραπείσης. [6]πόλεις δὲ καὶ χώρας ἀπροσ-
δοκήτως ἐρχόμενος ἐνεπίμπρα· καὶ τοὺς ἐπικαίρους τόπους ἀπολαμ-
7 βάνων, οὐκ ὀλίγους τῶν πολεμίων τροπούμενος, [7]μάλιστα τὰς νύκτας
πρὸς τὰς τοιαύτας ἐπιβολὰς συνεργοὺς ἐλάμβανεν· καὶ λαλιὰ τῆς
8 εὐανδρείας αὐτοῦ διηχεῖτο πανταχῇ. [8]Συνορῶν δὲ ὁ Φίλιππος
κατὰ μικρὸν εἰς προκοπὴν ἐρχόμενον τὸν ἄνδρα, πυκνότερον δὲ ἐν
ταῖς εὐημερίαις προβαίνοντα, πρὸς Πτολεμαῖον τὸν Κοίλης Συρίας καὶ
Φοινίκης στρατηγὸν ἔγραψεν ἐπιβοηθεῖν τοῖς τοῦ βασιλέως πράγμασιν.
9 [9]ὁ δὲ ταχέως προχειρισάμενος Νικάνορα τὸν τοῦ Πατρόκλου, τῶν
πρώτων φίλων, ἀπέστειλεν, ὑποτάξας παμφύλων ἔθνη οὐκ ἐλάττους
τῶν δισμυρίων, τὸ πᾶν τῆς Ἰουδαίας ἐξᾶραι γένος· συνέστησαν δὲ

40 ουτος] ουτως V* | καθαρος V VIII 1 om και 1° V 2 κυριον] V θεον V | καταπονουμενον] καταπατουμενον V | των ασεβων] om των V 3 om και των...επακουσαι V | καταβοουντων A 4 om και 1° V | αναμαρτητων] αμαρτητων A αμαρτημων V* αναμαρτ. V¹(vid) | απωλειας Vᵃ | γινομενων V | εις]+τε V | om και 4° V 5 ο Μακκαβαιος εν συστεματι] εν συστηματι ο Μακκ. V | τραπισιν A 6 πολις A | χωρας] κωμας V | ερχομενος] επερχομενος V | ενεπιπρα V | ουκ ολιγους...τροπουμενος] ουχ (ουκ Vᵃ) ολιγων δε πτοματων (πτωμ. Vᵃ) των πολεμιων εποιειτο πληθη V 7 μαλιστα]+δε V | επιβουλας V | λαλιαν A | διηχειτο] διεχειτο V | πανταχου V 8 δε 1°] δ V | ερχομενος A | om εν V 9 των 1°] τον V* (των V¹) | πανφυλων εθνη] οχλου παμφιλου V | παν] συμπαν V | συνεστησα A συνεστησε V

A αὐτῷ καὶ Γοργίαν ἄνδρα στρατηγὸν καὶ εὖ πολεμικαῖς χρείαις ἔχοντα
πεῖραν. [10]διεστήσατο δὲ ὁ Νικάνωρ τὸν φόρον τῷ βασιλεῖ τοῖς 10
Ῥωμαίοις, ὄντα ταλάντων δισχιλίων, ἐκ τῆς τῶν Ἰουδαίων αἰχμαλω-
σίας ἐκπληρώσειν. [11]εὐθέως δὲ εἰς τὰς παραθαλασσίους πόλεις 11
ἀπέστειλεν προκαλούμενος ἐπ᾽ ἀγορασμὸν Ἰουδαίων σωμάτων,
ὑπισχνούμενος ἐνενήκοντα σώματα ταλάντου παραχωρήσειν· οὐ
προσδεχόμενος τὴν παρὰ τοῦ παντοκράτορος μέλλουσαν παρακο-
λουθοῦσαν αὐτῷ δίκην. [12]τῷ δὲ Ἰούδᾳ προσέπεσεν περὶ τῆς τοῦ 12
Νικάνορος ἐφόδου· καὶ μεταδόντος τοῖς σὺν αὐτῷ τὴν παρουσίαν τοῦ
στρατοπέδου, [13]οἱ δειλανδροῦντες καὶ ἀπιστοῦντες τὴν τοῦ θεοῦ 13
δίκην διεδίδρασκον ἑαυτοὺς καὶ ἐξετόπιζον· [14]οἱ δὲ τὰ περιλελιμμένα 14
πάντα ἐπώλουν, ὁμοῦ δὲ τὸν κύριον ἠξίουν ῥύσασθαι τοὺς ὑπὸ τοῦ
δυσσεβοῦς Νικάνορος πρὶν συντυχεῖν πεπραμένους· [15]καὶ εἰ μὴ 15
δι᾽ αὐτούς, ἀλλὰ διὰ τὰς πρὸς τοὺς πατέρας αὐτῶν διαθήκας, καὶ
ἕνεκα τῆς ἐπ᾽ αὐτοὺς ἐπικλήσεως τοῦ σεμνοῦ καὶ μεγαλοπρεποῦς ὀνό-
ματος αὐτοῦ. [16]Συναγαγὼν δὲ ὁ Μακκαβαῖος τοὺς περὶ αὐτὸν 16
ὄντας ἀριθμὸν ἑξακισχιλίους παρεκάλει μὴ καταπλαγῆναι τοῖς δεσμίοις
μηδὲ εὐλαβεῖσθαι τὴν τῶν ἀδίκως παραγενομένων ἐπ᾽ αὐτοὺς ἐθνῶν
πολυπληθείαν, ἀγωνίσασθαι δὲ γενναίως, [17]πρὸ ὀφθαλμῶν λαβόντας 17
τὴν ἀνόμως εἰς τὸν ἅγιον τόπον συντετελεσμένην ὑπ᾽ αὐτῶν ὕβριν
καὶ τὸν τῆς ἐμπεπαιγμένης πόλεως αἰκισμόν, ἔτι δὲ τὴν τῆς προγονικῆς
πολιτίας κατάλυσιν. [18]οἱ μὲν γὰρ ὅπλοις πεποίθασιν ἅμα καὶ 18
τόλμαις, ἔφησεν, ἡμεῖς δὲ ἐπὶ τῷ παντοκράτορι θεῷ, δυναμένῳ καὶ
τοὺς ἐρχομένους ἐφ᾽ ἡμᾶς καὶ τὸν ὅλον κόσμον ἑνὶ νεύματι καταλαβεῖν,
πεποίθαμεν. [19]προσαναλεξάμενος δὲ αὐτοῖς καὶ τὰς ἐπὶ τῶν προ- 19
γόνων γενομένας ἀντιλήμψεις, καὶ τὴν ἐπὶ Σενναχηρείμ, ἑκατὸν
ὀγδοήκοντα πέντε χιλιάδες ὡς ἀπώλοντο, [20]καὶ τὴν ἐν τῇ Βαβυλωνίᾳ 20
τὴν πρὸς τοὺς Γαλάτας παράταξιν γενομένην, ὡς οἱ πάντες ἐπὶ τὴν
χρείαν ἦλθον ὀκτακισχίλιοι σὺν Μακεδόσιν τετρακισχιλίοις, τῶν

V 9 ευ] εν V | πειραν εχοντα V 11 προκαλουμενος] προσκαλ. V | Ιου-
δαικων V | σωματα ταλαντου] σωματα|λαντου A | παρακολουθουσαν] παρακο-
λουθησειν V 12 περι] pr των V 13 οι δειλ.] οι δε δειλ. V 14 περι-
λελειμμ. V[a] | ηξιον (sic) A 15 δι αυτους] incep δι αυτοι V* (δι αυτους
V[1]) | διαθηκας] συνθηκας V | ενεκεν V | αυτους 2°] αυτου A 16 αριθμον]
pr τον V | παρεκαλη V* | τοις δεσμιοις] τους πολεμιους V | παραγινομενων V |
πολυπληθιαν V[a] 17 ανομως] των ανομων V | εμπεπεγμενης (-πειμεν.
A[?fort]) A εμπεπαγμ. V* (-παιγμ. V[1]) | πολιτειας V 18 πεποιθοσιν A |
εφησαν A | καταλαβειν] καταβαλειν V 19 γενομενας] γεγονυιας V | αντι-
ληψεις V | Σεναχηρειμ V* (-χειρ. V[a]) | εκατον] pr των V | χιλιαδες ως απω-
λοντο] χιλιαδων απωλειαν V 20 τη Βαβ.] om τη V | οκτακισχιλιους V

Μακεδόνων ἀπορουμένων, οἱ ἑξακισχίλιοι τὰς δώδεκα μυριάδας ἀπώ- A
λεσαν διὰ τὴν γινομένην αὐτοῖς ἀπ' οὐρανοῦ βοήθειαν, καὶ ὠφέλειαν
21 πολλὴν ἔλαβον. [21]ἐφ' οἷς εὐθαρσεῖς αὐτοὺς παραστήσας καὶ ἑτοίμους
ὑπὲρ τῶν νόμων καὶ τῆς πατρίδος ἀποθνῄσκειν τετραμερές τι ἐποίη-
22 σεν τὸ στράτευμα· [22]τάξας ἀδελφοὺς αὐτοῦ προηγουμένους ἑκατέρας
τάξεως, Σίμωνα καὶ Ἰώσηπον καὶ Ἰωνάθην, ὑποτάξας ἑκάστῳ χιλίους
23 πρὸς τοῖς πεντακοσίοις, [23]ἔτι δὲ καὶ Ἐλεάζαρον· παραναγνοὺς τὴν
ἱερὰν βίβλον, καὶ δοὺς σύνθημα ΘΕΟΥ ΒΟΗΘΕΙΑΣ, τῆς πρώτης σπείρης
24 αὐτὸς προηγούμενος συνέβαλε τῷ Νικάνορι. [24]γενομένου δὲ αὐτοῖς
τοῦ παντοκράτορος συμμάχου κατέσφαξαν τῶν πολεμίων ὑπὲρ τοὺς
ἐννακισχιλίους, τραυματίας δὲ καὶ τοῖς μέλεσιν ἀναπήρους τὸ πλεῖον
μέρος τῆς τοῦ Νικάνορος στρατείας, πάντας δὲ φεύγειν ἠνάγκασαν.
25 [25]τὰ δὲ χρήματα τῶν παραγενομένων ἐπὶ τὸν ἀγορασμὸν αὐτῶν ἔλα-
βον. συνδιώξαντες δὲ αὐτοὺς ἐφ' ἱκανὸν ἀνέλυσαν ἀπὸ τῆς χώρας
26 συγκλειόμενοι· [26]ἦν γὰρ ἡ πρὸ τοῦ σαββάτου δίκη, δι' ἣν αἰτίαν οὐκ ἐ-
27 μακροτόνησαν κατατρέχοντες αὐτούς. [27]ὁπλολογήσαντες δὲ αὐτοὺς
καὶ τὰ σκῦλα ἐκδύσαντες τῶν πολεμίων περὶ τὸ σάββατον ἐγίνοντο,
περισσῶς εὐλογοῦντες καὶ ἐξομολογούμενοι τῷ κυρίῳ τῷ διασώσαντι
28 εἰς τὴν ἡμέραν ταύτην, ἀρχὴν ἐλέους τάξαντος αὐτοῖς. [28]μετὰ δὲ τὸ
σάββατον τοῖς ᾐκισμένοις καὶ ταῖς χήραις καὶ τοῖς ὀρφανοῖς μερίσαντες
29 ἀπὸ τῶν σκύλων, τὰ λοιπὰ αὐτοὶ καὶ τὰ παιδία διεμερίσαντο. [29]ταῦτα
δὲ διαπραξάμενοι, καὶ κοινὴν ἱκετίαν ποιησάμενοι, τὸν ἐλεήμονα
30 κύριον ἠξίουν εἰς τέλος καταλλαγῆναι τοῖς αὐτοῦ δούλοις. [30]Καὶ
τοῖς περὶ Τιμόθεον καὶ Βακχίδην συνερείσαντες ὑπὲρ τοὺς δισμυ-
ρίους αὐτῶν ἀνεῖλον, καὶ ὀχυρωμάτων ὑψηλῶν εὖ μάλα ἐγκρατεῖς
ἐγένοντο, καὶ λάφυρα πλείονος ἐμερίσαντο, ἰσομοίρους αὐτοὺς καὶ
τοῖς ᾐκισμένοις καὶ ὀρφανοῖς καὶ χήραις ἔτι δὲ καὶ πρεσβυτέροις
31 ποιήσαντες. [31]ὁπλολογήσαντες δὲ αὐτοὺς ἐπιμελῶς πάντα συνέ-

20 μυριαδας] χειλιαδας A* fort (μυρ sup ras A¹) | ωφελιαν V* (-λειαν Vᵃ) V
21 ευθαρσις A | παραστησας] ποιησας V | τι] δε V | το στρατευμα εποιησεν V
22 ταξας] + δε V | αδελφους] pr τους V | εκατερας] + δε V | Ιωσηφον V | Ιωναθαν V **23** συνθεμα V | προηγουμενος] αφηγουμενος V **24** αναπειρους AV | πλειον] πλειστον V | της του Νικ.] om της V | στρατειας (-τιας V)] + εποιησαν V | om παντας V | δε φευγειν] φευγειν τε V | ηνηγκασεν (sic) A **25** παραγενομενων] παραγεγονοτων V | απο] υπο V | χωρας] ωρας V | συνκλεομενοι A συγκλειομ. V **26** om δικη V **28** ταις χηραις] om ταις V | τοις ορφ.] om τοις V | om και τα παιδια V | διεμερισαντο] εμερισαντο V **29** ικετειαν Vᵃ | καταλλαγηναι] διαλλαγηναι V **30** τοις περι] οι π. V | Βαχιδην V* (sup χ superscr κα Vᵃ) | συνερισ. AV | οχυρωματων] το οχυρωμα των A | εγκρατεις V | πλειονα V | αυτοις AV (αὐτ. V)
31 αυτους] εαυτους V

A θηκαν εἰς τοὺς ἐπικαίρους τόπους, τὰ δὲ λοιπὰ τῶν σκύλων ἤνεγκαν
εἰς Ἱεροσόλυμα· 32τὸν δὲ φυλάρχην τῶν περὶ Τιμόθεον ἀνεῖλον, 32
ἀνοσιώτατον ἄνδρα καὶ πολλὰ τοὺς Ἰουδαίους ἐπιλελυπηκότα.
33ἐπινίκια δὲ ἄγοντες ἐν τῇ πατρίδι τοὺς ἐμπρήσαντας τοὺς 33
ἱεροὺς πυλῶνας καὶ Καλλισθένην ὑφῆψαν εἰς ἐνοίκιον πεφευγότα·
καὶ τὸν ἄξιον τῆς δυσσεβείας ἐκομίσατο μισθόν. 34ὁ δὲ τρισαλι- 34
τήριος Νικάνωρ, ὁ τρισχιλίους ἐμπόρους ἐπὶ τὴν πρᾶσιν τῶν
Ἰουδαίων ἀγαγών, 35ταπεινωθεὶς ὑπὸ τῶν καθ' αὐτὸν νομιζομένων 35
ἐλαχίστων εἶναι, τῇ τοῦ κυρίου βοηθείᾳ, τὴν δοξικὴν ἀποθέμενος
ἐσθῆτα, διὰ τῆς μεσογείου, δραπέτου τρόπον ἔρημον ἑαυτὸν ποιήσας,
ἧκεν εἰς Ἀντιόχειαν, ὑπὲρ ἅπαν εὐημερηκὼς ἐπὶ τῇ τοῦ στρατοῦ
διαφθορᾷ. 36καὶ ὁ τοῖς Ῥωμαίοις ἀναδεξάμενος φόρον ἀπὸ τῆς τῶν 36
ἐν Ἱεροσολύμοις αἰχμαλωσίας κατορθώσασθαι, κατήγγελλεν ὑπέρ-
μαχον ἔχειν τοὺς Ἰουδαίους, καὶ διὰ τὸν τρόπον τοῦτον ἀτρώτους
εἶναι τοὺς Ἰουδαίους, διὰ τὸ ἀκολουθεῖν τοῖς ἑαυτοῦ προστεταγμένοις
νόμοις.

1Περὶ δὲ τὸν καιρὸν ἐκεῖνον ἐτύγχανεν Ἀντίοχος ἀναλελυκὼς 1 IX
ἀκόσμως ἐκ τῶν περὶ τὴν Περσίδα τόπων. 2εἰσεληλύθει γὰρ εἰς τὴν 2
λεγομένην Περσέπολιν, καὶ ἐπεχείρησεν ἱεροσυλεῖν καὶ τὴν πόλιν
συνέχειν· διὸ δὴ τῶν πληθῶν ὁρμησάντων, ἐπὶ τὴν τῶν ὅπλων
βοήθειαν ἐτράπησαν· καὶ συνέβη τροπωθέντα τὸν Ἀντίοχον ὑπὸ τῶν
ἐγχωρίων ἀσχήμονα τὴν ἀναζυγὴν ποιήσασθαι. 3ὄντι δὲ αὐτῷ 3
κατ' Ἐκβάτανα προσέπεσεν τὰ κατὰ Νικάνορα καὶ τοὺς περὶ
Τιμόθεον γεγονότα. 4ἐπαρθεὶς δὲ τῷ θυμῷ ᾤετο καὶ τῶν πεφυγα- 4
δευκότων αὐτὸν κακίαν εἰς τοὺς Ἰουδαίους ἐναπερείσασθαι· διὸ
συνέταξεν τὸν ἁρματηλάτην ἀδιαλείπτως ἐλαύνοντα κατανύειν τὴν
πορίαν, τῆς ἐξ οὐρανοῦ δὴ κρίσεως συνούσης αὐτῷ· οὕτως γὰρ
ὑπερηφάνως εἶπεν Πολυάνδριον Ἰουδαίων Ἱεροσόλυμα ποιήσω, παρα-
γενόμενος ἐκεῖ. 5ὁ δὲ παντεπόπτης κύριος ὁ θεὸς τοῦ Ἰσραηλ 5
ἐπάταξεν αὐτὸν ἀνιάτῳ καὶ ἀοράτῳ πληγῇ· ἄρτι δὲ αὐτοῦ κατα-

V 32 των περι] τον π. V 33 αγοντας A | ιερεις A | om και 1° AV | υφηψαν εις ενοικιον] υφ. εις ενοικειον (? εν οικ.) A υφηψαν (υψηφ. V* υφηψ. V$^{1 vid}$) εις ενοικιδιον (? εν οικ.) V | εκομισατο (εκομισσ. A$^{* vid}$ ras 1 lit post ι A?)] εκομησαντο V* 34 τρισχιλιους] τους χιλιους V 35 καθ] κατ V | κυριου] θεου V | δραπετου τροπον] τραπετου τοπον· A | διαφθορα A* (ο superscr A^{1}) 36 κατορθωσασθαι] διορθωσασθαι V | εχειν] + τον θεον V | εαυτου] υπ αυτου V IX 1 ακοσμος V 2 Περσεπολειν A Περσιπολιν V 3 τα κατα] τακτὰ (sic) V 4 των πεφυγαδ.] pr την V | κακειαν A | τον] τους V* (τον V^{1}) | καταλυειν] καταννυει V* (-ειν V^{1}) | πορειαν V^{a} | δη] ηδη V 5 παντεποπτης] π 3° ex ττ fec vid A^{1} πανεποπτης V

λήξαντος τὸν λόγον, ἔλαβεν αὐτὸν ἀνήκεστος τῶν σπλάγχνων A
6 ἀλγηδὼν καὶ πικραὶ τῶν ἔνδον βάσανοι, [6]πάνυ δικαίως, τὸν πολλαῖς
7 καὶ ξενιζούσαις συμφοραῖς ἑτέρων σπλάγχνα βασανίσαντα. [7]ὁ
δ' οὐδαμῶς τῆς ἀγερωχίας ἔληγεν, ἔτι δὲ καὶ τῆς ὑπερηφανίας ἐπε-
πλήρωτο, πῦρ πνέων τοῖς θυμοῖς ἐπὶ τοὺς Ἰουδαίους, καὶ κελεύων
ἐποξύνειν τὴν πορίαν· συνέβη δὲ καὶ πεσεῖν αὐτὸν ἀπὸ τοῦ
ἅρματος φερομένου ῥοίζῳ, καὶ δυσχερεῖ πτώματι περιπεσόντα πάντα
8 τὰ μέλη τοῦ σώματος ἀποστρεβλοῦσθαι. [8]ὁ δ' ἀντιδοκῶν τοῖς τῆς
θαλάσσης κύμασιν διὰ τὴν ὑπὲρ ἄνθρωπον ὑπερηφανίαν, καὶ
πλάστιγγι τῶν ὀρέων οἰόμενος ὕψη στήσειν, κατὰ γῆν γενόμενος ἐν
φορίῳ παρεκομίζετο, φανερὰν τοῦ θεοῦ πᾶσιν τὴν δύναμιν ἐνδει-
9 κνύμενος· [9]ὥστε καὶ ἐκ τοῦ σώματος τοῦ δυσσεβοῦς σκώληκας
ἀναζεῖν, καὶ ζῶντος ἐν ὀδύναις καὶ ἀλγηδόσιν τὰς σάρκας αὐτοῦ
διαπίπτειν, ὑπὸ δὲ τῆς ὀσμῆς αὐτοῦ πᾶν τὸ στρατόπεδον βαρύνεσθαι
10 τὴν σαπρίαν. [10]καὶ τὸν μικρῷ πρότερον τῶν οὐρανίων ἄστρων
ἅπτεσθαι δοκοῦντα, παρακομίζειν οὐδεὶς ἐδύνατο, διὰ τὸ τῆς ὀσμῆς
11 ἀφόρητον βάρος. [11]ἐνταῦθα οὖν ἤρξατο τὸ πολὺ τῆς ὑπερηφανίας
λήγειν τεθραυσμένος, καὶ εἰς ἐπίγνωσιν ἔρχεσθαι θείᾳ μάστιγι,
12 κατὰ στιγμὴν ἐπιτεινόμενος ταῖς ἀλγηδόσιν. [12]καὶ μηδὲ τῆς ὀσμῆς
αὐτοῦ ἀνέχεσθαι δυνάμενος, ταῦτ' ἔφη Δίκαιον ὑποτάσσεσθαι τῷ
13 θεῷ, καὶ μὴ θνητὸν ὄντα ὑπερήφανα φρονεῖν. [13]ηὔχετο δὲ ὁ
μιερὸς πρὸς τὸν οὐκέτι αὐτὸν ἐλεήσοντα δεσπότην, οὕτως λέγων·
14 [14]τὴν μὲν ἁγίαν πόλιν, ἣν σπεύδων παρεγίνετο ἰσόπεδον ποιῆσαι καὶ
15 πολυάνδριον οἰκοδομῆσαι, ἐλευθέραν ἀναδεῖξαι· [15]τοὺς δὲ Ἰουδαίους,
ὡς διεγνώκει μηδὲ ταφῆς ἀξιῶσαι, οἰωνοβρώτους σὺν τοῖς νηπίοις
16 ἐκτρίψαι θηρίοις, πάντας αὐτοὺς ἴσους Ἀθηναίοις ποιήσειν· [16]ὃν
δὲ πρότερον ἐσκύλευσεν ἅγιον νεὼ καλλίστοις ἀναθήμασιν κοσμήσειν,
καὶ τὰ ἱερὰ σκεύη πολυπλάσια πάντα ἀποδώσειν, τὰς δὲ ἐπιβαλλού-
σας πρὸς τὰς θυσίας συντάξεις ἐκ τῶν ἰδίων προσόδων χορηγήσειν·

5 βασανοι] βα superscr A[1] 7 δ] δε V | αγερωχειας V | υπερηφανειας A | V πορειαν V[a] | φερωμενω V[*] (φερομ. V[a]) | δυσχερη A 8 δ' αντιδοκων] δε αρτι δοκων V | κυμασιν] + επιτασσειν V | ανθρωπων υπερηφανιαν] ανων αλαζονιαν V | των ορεων] τα των ορ. μειζονα V | om οιομενος V | υψι A | γινομενος V | ενδεικνυμενος (-δειγν. A)] ενδεικνυοντος V 9 του σωματος] των του σωμ. οφθαλμων V 11 ληγειν] λεγει⌉ A | τεθραυσμενος] υποτεθραυσμ. V 12 δυναμενος ανεχεσθαι V | υπερηφανα] ισοθεα V 13 δε] ουν V | μιαρος V | om προς V 14 παρεγινετο] παραγινομενος V | ελευθεραν] + αυτην V 15 ως] ους V | διεγνωκει⌉ V | αξιωσειν V | οιωνοβρωτους] + δε V | εκτριψαι] εκριψειν V 16 αγιον· A | νεων V | καλλιστοις] καλλει⌉ τοις (sic) A

A [17]πρὸς δὲ τούτοις καὶ Ἰουδαῖος ἔσεσθαι, καὶ πάντα τόπον οἰκητὸν 17
ἐπελεύσεσθαι καταγγέλλοντα τὸ τοῦ θεοῦ κράτος. [18]οὐδαμῶς δὲ 18
ληγόντων τῶν πόνων, ἐπεληλύθει γὰρ ἐπ᾽ αὐτὸν δικαία ἡ τοῦ θεοῦ
κρίσις, τὰ κατ᾽ αὐτὸν ἀπελπίσας ἔγραψεν πρὸς τοὺς Ἰουδαίους τὴν
ὑπογεγραμμένην ἐπιστολήν, ἔχουσαν ἱκετηρίας τάξιν, περιέχουσαν
δὲ οὕτως [19]Τοῖς χρηστοῖς Ἰουδαίοις τοῖς πολίταις πολλὰ χαίρειν 19
καὶ ὑγιαίνειν καὶ εὖ πράττειν βασιλεὺς Ἀντίοχος καὶ στρατηγός.
[20]ἔρρωσθε, καὶ τὰ τέκνα καὶ τὰ ἴδια κατὰ γνώμην ἔσται ὑμῖν. εἰς 20
οὐρανὸν τὴν ἐλπίδα ἔχων, [21]ὑμῶν τὴν τιμὴν καὶ τὴν εὔνοιαν ἐμνη- 21
μόνευον φιλοστόργως· ἐπαναγαγὼν ἐκ τῶν κατὰ τὴν Περσίδα τόπων,
καὶ περιπεσὼν ἀσθενείᾳ δυσχερίαν ἐχούσῃ, ἀναγκαῖον ἡγησάμην
φροντίσαι τῆς κοινῆς πάντων ὑμῶν ἀσφαλείας· [22]οὐκ ἀπογινώσκων τὰ 22
κατ᾽ ἐμαυτόν, ἀλλὰ ἔχων πολλὴν ἐλπίδα ἐκφεύξεσθαι τὴν ἀσθένειαν.
[23]θεωρῶν δὲ ὅτι καὶ ὁ πατήρ, καθ᾽ οὓς καιροὺς εἰς τοὺς ἄνω τόπους 23
ἐστρατοπέδευσεν, ἀνέδειξεν τὸν διαδεξάμενον, [24]ὅπως ἐάν τι παρά- 24
δοξον ἀποβαίη καὶ προσαπέλθῃ τι δυσχερές, εἰδότες οἱ κατὰ τὴν
χώραν ᾧ καταλέλειπται τὰ πράγματα, μὴ ἐπιταράσσωνται· [25]πρὸς 25
δὲ τούτοις κατανοῶν τοὺς παρακειμένους δυνάστας καὶ γειτνιῶντας
τῆς βασιλείας τοῖς καιροῖς ἐπέχοντας καὶ προσδοκῶντας τὸ ἀποβησό-
μενον, ἀναδέδειχα τὸν υἱὸν Ἀντίοχον βασιλέα, ὃν πολλάκις ἀνα-
τρέχων εἰς τὰς ἐπάνω σατραπείας τοῖς πλείστοις ὑμῶν παρακατε-
τιθέμην καὶ συνίστων· γέγραφα δὲ πρὸς αὐτὸν τὰ ὑπογεγραμμένα.
[26]παρακαλῶ οὖν ὑμᾶς καὶ ἀξιῶ, μεμνημένους τῶν εὐεργεσιῶν κοινῇ 26
καὶ κατ᾽ ἰδίαν, ἕκαστον συντηρεῖν τὴν οὖσαν εὔνοιαν εἰς ἐμὲ καὶ τὸν
υἱόν· [27]πέπεισμαι γὰρ αὐτὸν ἐπιεικῶς καὶ φιλανθρώπως συνσταθέντα 27
τῇ ἐμῇ προαιρέσει συμπεριενεχθήσεσθαι ὑμῖν.

[28]Ὁ μὲν οὖν ἀνδροφόνος καὶ βλάσφημος τὰ χείριστα παθών, 28
ὡς ἑτέρους διέθηκεν, ἐπὶ ξένης ἐν τοῖς ὄρεσιν οἰκτίστῳ μόρῳ κατέ-

V 17 Ιουδαιον V | επελευσασθαι A | καταγγελλοντας A 18 τα κατ
αυτον] τα δε κατ αυτων (αυτον V^a) V | ικετηριας ταξιν· εχουσαν V | om
περιεχουσαν V 19 ευ πραττειν] διευτυχειν V | Αντιοχος και στρατηγος]
και στρατ. Αντ. V 20 ερρωσθαι AV* (-σθε V^a) | εσται] εστιν V
21 την τιμην] om την V | επαναγων V | δυσχερειαν V^a | om υμων 2° V |
ασφαλειας (-λιας V*)] + την εις ουνον ελπιδα εχοντων υμων V 22 αλλα] αλλ
V | εκφευξασθαι V 23 εστρατοπαιδευεν V* (-πεδευεν V^a) | διαδεξαμενον]
διαλεξομενον V 24 αποβαινει V -νη V^a | και προσαπελθη τι δυσχερες]
η και προσαγγελθη δυσχ. τι V | οι κατα] οτι κ. V | επιταρασσονται V*
25 γειτνιοντας V* | της βασιλειας] τη βασιλεια V | προσδοκωντας (-κοντ. V*
κουντ. V^a)] + δεχομενους V | σατραπιας V | παρακατετιθεμην V | om δε V
26 εις] προς V | υιον] + μου V 27 συνσταθεντα] παρακολουθουντα V |
συμπεριεν. V^a

29 στρέψεν τὸν βίον. [30]παρεκομίζετο δὲ τὸ σῶμα Φίλιππος ὁ σύν- A
τροφος αὐτοῦ· ὃς καὶ εὐλαβηθεὶς τὸν υἱὸν Ἀντιόχου πρὸς Πτολεμαῖον
τὸν Φιλομήτορα εἰς Αἴγυπτον διεκομίσθη.
X 1 [1]Μακκαβαῖος δὲ καὶ οἱ σὺν αὐτῷ, τοῦ κυρίου προάγοντος αὐτούς,
2 τὸ μὲν ἱερὸν ἐκομίσαντο καὶ τὴν πόλιν· [2]τοὺς δὲ κατὰ τὴν ἀγορὰν
βωμοὺς ὑπὸ τῶν ἀλλοφύλων δεδημιουργημένους, ἔτι δὲ τεμένη, κα-
3 θεῖλαν. [3]καὶ τὸν νεὼ καθαρίσαντες, ἕτερον θυσιαστήριον ἐποίησαν·
καὶ πυρώσαντες λίθους, καὶ πῦρ ἐκ τούτων λαβόντες, ἀνήνεγκαν
θυσίας μετὰ διετῆ χρόνον καὶ θυμίαμα καὶ λύχνους, καὶ τῶν ἄρτων
4 τὴν πρόθεσιν ἐποιήσαντο. [4]ταῦτα δὲ ποιήσαντες, ἠξίωσαν τὸν κύ-
ριον πεσόντες ἐπὶ κοιλίαν, μηκέτι παραπεσεῖν τοιούτοις κακοῖς,
ἀλλ' ἐάν ποτε καὶ ἁμάρτωσιν, ὑπ' αὐτοῦ μετὰ ἐπιεικείας, μὴ
5 βλασφήμοις καὶ βαρβάροις ἔθνεσιν παραδίδοσθαι. [5]ἐν ᾗ δὲ ἡμέρᾳ ὁ
νεὼς ὑπὸ ἀλλοφύλων ἐβεβηλώθη, συνέβη κατὰ τὴν αὐτὴν ἡμέραν
τὸν καθαρισμὸν γενέσθαι τοῦ ναοῦ, τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ αὐ-
6 τοῦ μηνός, τοῦ Χασελεύ. [6]καὶ μετ' εὐφροσύνης ἦγον ἡμέρας ὀκτὼ
σκηνωμάτων τρόπον, μνημονεύοντες ὡς πρὸ μικροῦ χρόνου τὴν τῶν
σκηνῶν ἑορτὴν ἐν τοῖς ὄρεσιν καὶ ἐν τοῖς σπηλαίοις θηρίων τρόπον
7 ἦσαν νεμόμενοι. [7]διὸ θύρσους καὶ κλάδους ὡραίους, ἔτι δὲ καὶ φοί-
νικας ἔχοντες, ηὐχαρίστουν τῷ εὐοδώσαντι καθαρίσαι τὸν ἑαυτοῦ
8 τόπον. [8]ἐδογμάτισάν τε μετὰ κοινοῦ προστάγματος καὶ ψηφίσματος
παντὶ τῷ τῶν Ἰουδαίων ἔθνει κατ' ἐνιαυτὸν ἄγειν τὰς δεκάτας ἡμέ-
ρας.

9 [9]Καὶ τὰ μὲν τῆς Ἀντιόχου τοῦ προσαγορευθέντος Ἐπιφανοῦς τελευ-
10 τῆς οὕτως εἶχεν. [10]νυνὶ δὲ τὰ κατὰ τὸν ὕπατον Ἀντίοχον, υἱὸν δὲ τοῦ
ἀσεβοῦς γενόμενον, δηλώσομεν αὐτά, συντέμνοντες τὰ συνέχοντα τῶν
11 πόλεων κακά. [11]οὗτος γὰρ παραλαβὼν τὴν βασιλείαν, ἀνέδειξεν ἐπὶ
τῶν πραγμάτων Λυσίαν τινά, Κοίλης δὲ Συρίας καὶ Φοινίκης στρατη-

29 παρεκομιζετο δε το σωμα] παρεκομιζε το σωμα V | ευλαβηθεις] διευλα- V βηθεις V   X 1 Μακαβαιος V* (Μακκ. Va) | αυτω] τω bis scr A   2 τους δε κατα] τους κατα V* (τους δε κ. V1) | τεμενη] pr και τα V | καθειλον V   3 νεων V | om και 2° V | θυσιαν V* (-ας V1 (vid))   4 κοιλιας V | παραπεσειν] περιπεσειν V | μετα] μετ V | επιεικειας] + παιδευεσθαι V | μη] pr και V | εθνεσι V   5 του αυτου μηνος] του μηνος V* (αυτου superscr V1 (vid)) | του Χασελευ] ο εστιν Χασ. V   6 ορεσι V | om εν 2° V   7 ηυχαριστουν] υμνους ανεφερον V | καθαρισαι] καθαρισθηναι V   8 τε] δε V | των Ιουδαιων] om των V | δεκατας] δεκα V   9 της] τες V* vid (της Va) | του προσαγορ.] om του V* (hab Va)   10 υπατον] Ευπατορα V | δηλωσωμεν Va (vid) | om συνεχοντα V | πολεων] πολεμων V   11 Κοιλης δε] κοινωνον V

A γὸν πρώταρχον. [12]Πτολεμαῖος γὰρ ὁ καλούμενος Μάκρων, τὸ δίκαιον 12
συντηρεῖν προηγούμενος πρὸς τοὺς Ἰουδαίους διὰ τὴν γεγονυῖαν πρὸς
αὐτοὺς ἀδικίαν, ἐπειρᾶτο τὰ πρὸς αὐτοὺς εἰρηνικῶς διεξάγειν. [13]ὅθεν 13
κατηγορούμενος ὑπὸ τῶν φίλων πρὸς τὸν Εὐπάτορα, καὶ προδότης
παρ' ἕκαστα ἀκούων, διὰ τὸ τὴν Κύπρον ἐμπιστευθέντα ὑπὸ τοῦ
Φιλομήτορος ἐκλιπεῖν καὶ πρὸς Ἀντίοχον τὸν Ἐπιφανῆ ἀναχωρῆσαι,
μήτε εὐγενῆ τὴν ἐξουσίαν εὐγεννaίσας, φαρμακεύσας ἑαυτὸν ἐξέ-
λειπεν τὸν βίον. [14]Γοργίας δὲ γενόμενος στρατηγὸς 14
τῶν τόπων, ἐξενοτρόφει, καὶ παρ' ἕκαστα πρὸς τοὺς ἰδίους ἐπολεμο-
τρόφει. [15]ὁμοῦ δὲ τούτων καὶ οἱ Ἰδουμαῖοι ἐγκρατεῖς ἐπικαίρων 15
ὀχυρωμάτων ὄντες, ἐγύμναζον τοὺς Ἰουδαίους, καὶ τοὺς φυγαδεύ-
σαντας ἀπὸ Ἰεροσολύμων προσλαβόμενοι πολεμοτροφεῖν ἐπεχεί-
ρουν. [16]οἱ δὲ περὶ τὸν Μακκαβαῖον, ποιησάμενοι λιτανίαν καὶ 16
ἀξιώσαντες τὸν θεὸν σύμμαχον αὐτοῖς γενέσθαι, ἐπὶ τὰ τῶν Ἰδου-
μαίων ὀχυρώματα ὥρμησαν· [17]οἷς καὶ προσβαλόντες εὐρώστως, 17
ἐνκρατεῖς ἐγένοντο τῶν τόπων, πάντας τε τοὺς ἐπὶ τῷ τείχει μα-
χομένους ἠμύναντο, κατέσφαζόν τε τοὺς ἐνπίπτοντας, ἀνεῖλον δὲ
οὐχ ἧττον τῶν δισμυρίων. [18]συνφυγόντων δὲ οὐκ ἔλαττον τῶν 18
ἐνακισχιλίων εἰς δύο πύργους ὀχυροὺς εὖ μάλα, καὶ πάντα τὰ πρὸς
πολιορκίαν ἔχοντας, [19]ὁ Μακκαβαῖος εἰς ἐπείγοντας τόπους, ἀπο- 19
λείπων Σίμωνα καὶ Ἰώσηπον, ἔτι δὲ Ζακχαῖον καὶ τοὺς σὺν
αὐτῷ ἱκανοὺς πρὸς τὴν τούτων πολιορκίαν, αὐτὸς ἐχωρίσθη. [20]οἱ 20
δὲ περὶ τὸν Σίμωνα φιλαργυρήσαντες ὑπό τινων τῶν ἐν τοῖς πύρ-
γοις ἐπείσθησαν ἀργυρίῳ· ἑπτάκις δὲ μυρίας δραχμὰς λαβόντες,
εἴασάν τινας διαρρυῆναι. [21]προσαγγέλλοντες δὲ τῷ Μακκαβαίῳ περὶ 21
τοῦ γεγονότος, συναγαγὼν τοὺς ἡγουμένους τοῦ λαοῦ, κατηγόρησεν
ὡς ἀργυρίου πέπρακαν τοὺς ἀδελφούς, τοὺς πολεμίους κατ' αὐτῶν
ἀπολύσαντες. [22]τούτους μὲν οὖν προδότας γενομένους ἀπέκτεινεν, 22

V 12 Πτολεμαιος] inter αι et ος 3 ut vid litt ras A? | καλουμενος] λεγομενος V | συνετηρει V | προηγουμενως V[a] | om προς τους Ιουδαιους V | προς αυτους (1°)] εις τους Ιουδαιους V | διεξαγαγειν V 13 εκλειπειν V* | ευγεννασιας A ευγενισας coniecer Grimm Fritzsch | εαυτον] δε αυτον V 14 τοπων] τροπων A | ιδιους] Ιουδαιους V 15 τουτω V | φυγαδευοντας V | προσλαμβανομενοι V 16 Μακαββαιον V | λιταναιαν A | γενεσθαι αυτοις συμμαχον V | Ιδουμαιων] Ιουδαιων V 17 προσβαλλοντες V | ευρρωστ. V[a] | ενκρατεις εγενοντο] εγεν. εγκρατεις V | τε 2°] δε V | ενπιπτοντας (εμπ. V)] + παντας V | ηττων V* 18 συμφυγ. V[a] | ενακισχιλιων V* | εχοντες V 19 Μακαβαιος V* (Μακκ. V[1]) | απολιπων V[a] | Ιωσηφον V | Ζακχαιον] pr και V 20 φιλαργυρισαντες V* (-γυρησ. V[a]) | των εν] τοις εν V 21 προσαγγελθεντος V | κατηγορησαν V | αργυριω V | του αδελφους V* (τους αδ. V[a])

23 καὶ παραχρῆμα τοὺς δύο πύργους κατελάβετο. [23]τοῖς δὲ ὅπλοις τὰ A
πάντα ἐν ταῖς χερσὶν εὐοδούμενος, ἀπώλεσεν ἐν τοῖς δυσὶν ὀχυρώ-
24 μασιν πλείους τῶν δισμυρίων. [24]Τιμόθεος δὲ ὁ πρῶτον ἡτ-
τηθεὶς ὑπὸ τῶν Ἰουδαίων, συναγαγὼν ξένας δυνάμεις παμπληθεῖς καὶ
τοὺς τῆς Ἀσίας γενομένους ἵππους συναθροίσας οὐκ ὀλίγους, παρῆν
25 ὡς δοριάλωτον λημψόμενος τὴν Ἰουδαίαν. [25]οἱ δὲ περὶ τὸν Μακκα-
βαῖον, συνεγγίζοντος αὐτοῦ, πρὸς ἱκεσίαν τοῦ θεοῦ γῇ τὰς κεφαλὰς
26 καταπάσαντες καὶ τὰς ὀσφύας σάκκοις ζώσαντες, [26]ἐπὶ τὴν ἀπέ-
ναντι τοῦ θυσιαστηρίου κρηπῖδα προσπεσόντες, ἠξίουν ἵλεων αὐτοῖς
γενόμενον ἐχθρεῦσαι τοῖς ἐχθροῖς αὐτῶν, καὶ ἀντικεῖσθαι τοῖς ἀντι-
27 κειμένοις, καθὼς καὶ ὁ νόμος διασαφεῖ. [27]γενόμενοι δὲ ἀπὸ τῆς
δεήσεως, ἀναλαβόντες τὰ ὅπλα, προῆγον ἀπὸ τῆς πόλεως ἐπὶ
28 πλεῖον· συνεγγίσαντες δὲ τοῖς πολεμίοις, ἐφ᾽ ἑαυτῶν ἦσαν. [28]ἄρτι
δὲ τῆς ἀνατολῆς διαχεομένης, προσέβαλλον ἑκάτεροι· οἱ μὲν σὺν
ἔγγυον ἔχοντες εὐημερίας καὶ νίκης μετὰ ἀρετῆς τὴν ἐπὶ τὸν κύ-
ριον καταφυγήν, οἱ δὲ καθηγεμόνα τῶν ἀγώνων ταττόμενοι τὸν
29 θυμόν. [29]γενομένης δὲ καρτερᾶς μάχης, ἐφάνησαν τοῖς ὑπεναντίοις
ἐξ οὐρανοῦ ἐφ᾽ ἵππων χρυσοχαλίνων πέντε ἄνδρες διαπρεπεῖς, καὶ
30 ἀφηγούμενοι τῶν Ἰουδαίων οἱ δύο [30]καὶ τὸν Μακκαβαῖον μέσον
λαβόντες, καὶ σκεπάζοντες ταῖς ἑαυτῶν πανοπλίαις, ἄτρωτον διε-
φύλασσον· εἰς δὲ τοὺς ἐναντίους τοξεύματα καὶ κεραυνοὺς ἐξε-
ρίπτουν· διὸ συγχυθέντες ἀορασίᾳ, διεκόπτοντο ταραχῆς πεπλη-
31 ρωμένοι. [31]κατεσφάγησαν δὲ δισμύριοι πρὸς τοῖς πεντακοσίοις,
32 ἱππεῖς δὲ ἑξακόσιοι. [32]Αὐτὸς δὲ ὁ Τιμόθεος συνέφυγεν εἰς
Γάζαρα λεγόμενον ὀχύρωμα, εὖ μάλα φρούριον, στρατηγοῦντος ἐκεῖ
33 Χαιρέου. [33]οἱ δὲ περὶ τὸν Μακκαβαῖον ἀσμένως περιεκάθισαν τὸ
34 φρούριον ἡμέρας τεσσεράκοντα. [34]οἱ δὲ ἔνδον τῇ ἐρυμνότητι τοῦ
τόπου πεποιθότες, ὑπεράγαν ἐβλασφήμουν, καὶ λόγους ἀθεμίτους
35 προιέντες. [35]ὑποφαινούσης, δὲ τῆς πέμπτης ἡμέρας καὶ εἰκοστῆς,
νεανίαι τῶν περὶ τὸν Μακκαβαῖον πυρωθέντες τοῖς θυμοῖς διὰ τὰς

24 πρωτον] προτερον V | παμπληθεις V | δορυαλ. V[a] **25** ικεσιαν] V ικετιαν V* ικετειαν V[a] | γην V **26** προπεσοντες V | ιλεως AV* (ιλεων V[a]) | om και 2° V **27** προηγον] προηλθον V | συνεγγεισαντος A **28** μετα] μετ V | την] της A **29** om δε V | ανδρες πεντε V | και seq ras 1 lit in A **29—30** οι δυο και] om δυο V **30** εαυτων] αυτων V | διεφυλαττον V | εναντιους] υπεναντιους V | κεραυνου V* (-νους V[a]) | εξεριπτουν (εξερρ. V[a])] εξεπιπτουν A **32** εφυγεν V | Χαιρεου] Χερεου A Χεραιου V **33** ασμενοι V | τεσσερακοντα] τεσσαρες και εικοσι V **34** ερυμνοτητι] ρυμνοτητι V | εβλασφημουν] εδυσφημουν V | προιεντες] προσιεντο V **35** υποφανουσης A | ημερας και εικοστης] και εικ. ημ. V

A βλασφημίας, προσβαλόντες τῷ τείχει, ἀρρενωδῶς καὶ θηριώδει θυμῷ
τὸν ἐμπίπτοντα ἔκοπτον. [36]ἕτεροι δὲ ὁμοίως προσαναβάντες ἐν τῷ 36
περισπασμῷ πρὸς τοὺς ἔνδον, ἐνεπίμπρων τοὺς πύργους, καὶ πυ-
ρὰς ἀνάπτοντες, ζῶντας τοὺς βλασφήμους κατέκαιον· οἱ δὲ τὰς πύ-
λας διέκοπτον, εἰσδεξάμενοι δὲ τὴν λοιπὴν τάξιν προκατελάβοντο
τὴν πόλιν, [37]καὶ τὸν Τιμόθεον ἀποκεκρυμμένον ἔν τινι λάκκῳ κατέ- 37
σφαξαν καὶ τὸν τούτου ἀδελφὸν Χαιρέαν καὶ τὸν Ἀπολλοφάνην.
[38]ταῦτα δὲ διαπραξάμενοι, μεθ’ ὕμνων καὶ ἐξομολογήσεως εὐλόγουν 38
τῷ κυρίῳ τῷ μεγάλως εὐεργετοῦντι τὸν Ἰσραὴλ καὶ τὸ νῖκος αὐτοῖς
διδόντι.

[1]Μετ’ ὀλίγον δὲ παντελῶς χρονίσκον Λυσίας ἐπίτροπος τοῦ βα- 1 XI
σιλέως καὶ συγγενὴς καὶ ἐπὶ τῶν πραγμάτων, λίαν βαρέως φέρων
ἐπὶ τοῖς γεγονόσι, [2]συναθροίσας περὶ τὰς ὀκτὼ μυριάδας καὶ τὴν 2
ἵππον ἅπασαν παρεγίνετο ἐπὶ τοὺς Ἰουδαίους, λογιζόμενος τὴν μὲν
πόλιν Ἕλλησιν οἰκητήριον ποιήσειν, [3]τὸ δὲ ἱερὸν ἀργυρολόγητον, 3
καθὼς τὰ λοιπὰ τῶν ἐθνῶν τεμένη, πρατὴν δὲ κατὰ ἔτος τὴν ἀρχιε-
ρωσύνην ποιήσειν· [4]οὐδαμῶς ἐπιλογιζόμενος τὸ τοῦ θεοῦ κράτος, 4
πεφρενωμένος δὲ ταῖς μυριάσιν τῶν πεζῶν καὶ ταῖς χιλιάσιν τῶν
ἱππέων καὶ τοῖς ἐλέφασιν τοῖς ὀγδοήκοντα. [5]εἰσελθὼν δὲ εἰς τὴν 5
Ἰουδαίαν καὶ συνεγγίσας Βεθσουρῶν, ὄντι μὲν ἐρυμνῷ χωρίῳ, Ἱε-
ροσολύμων δὲ ἀπέχοντι ὡσεὶ σχοίνους πέντε, τοῦτο ἔθλιβεν. [6]ὡς 6
δὲ μετέλαβον οἱ περὶ τὸν Μακκαβαῖον πολιορκοῦντα αὐτὸν τὰ ὀχυ-
ρώματα, μετὰ ὀδυρμῶν καὶ δακρύων ἱκέτευον σὺν τοῖς ὄχλοις τὸν
κύριον ἀγαθὸν ἄγγελον ἀποστεῖλαι πρὸς σωτηρίαν τῷ Ἰσραήλ.
[7]αὐτὸς δὲ πρῶτος ὁ Μακκαβαῖος ἀναλαβὼν τὰ ὅπλα προετρέψατο 7
τοὺς ἄλλους, ἅμα αὐτῷ διακινδυνεύοντας, ἐπιβοηθεῖν τοῖς ἀδελφοῖς
αὐτῶν· ὁμοῦ δὲ καὶ προθύμως ἐξώρμησαν. [8]αὐτόθι δὲ πρὸς τοῖς 8
Ἱεροσολύμοις ὄντων, ἐφάνη προηγούμενος αὐτῶν ἔφιππος ἐν λευκῇ
ἐσθῆτι πανοπλίαν χρυσῆν κραδαίνων. [9]ὁμοῦ δὲ πάντες εὐλόγησαν 9

V 35 προβαλοντες A προσβαλλοντες V 36 προς τους ενδον ενεπιμπρων τους πυργους] αναπτοντες ζωντας τους βλασφημους κατεκαιον V* improb V^{1} 37 Χεραιαν V 38 εξομολογησεων V | ευεργετουν V* (-τουντι V^{a}) XI 2 την ιππον] pr επι V | απασαν] πασαν V 3 κατα] κατ V 4 πεζων] πεδων A | ελεφασι V 5 Βεθουρων A Βαιθσουρων V | χωριων (sic) A | Ιεροσολυμων] pr απο V | σχοινους] σταδιους V | πεντε] + προς τοις μυριοις V | εθλειβον (λ sup ras A^{a}) A 6 ως δε μετελαβον bis scr A | μετα] μετ V | ικετευον] ικετετον (sic) A ικετευων V* | τω Ισραηλ] του Ισρ. V 7 αναλαβων] pr πρωτος A | προετρεψατο] προσετρ. A* vid (ras 1 lit post προ A?) | εξορμησαν V* (εξωρμ. V^{a}) 8 om εφιππος A* (hab A$^{a?mg}$) 9 ευλογησαντες V

τὸν ἐλεήμονα θεόν, καὶ ἐπερρώσθησαν ταῖς ψυχαῖς· οὐ μόνον ἀν- A
θρώπους θῆρας δὲ τοὺς ἀγριωτάτους καὶ σιδηρᾶ τείχη τιτρώσκειν
10 ὄντες ἕτοιμοι, [10]προῆγον ἐν διασκευῇ τὸν ἀπ' οὐρανοῦ σύμμαχον
11 ἔχοντες, ἐλεήσαντος αὐτοὺς τοῦ κυρίου. [11]λεόντινον δὲ ἐντινάξαντες
εἰς τοὺς πολεμίους, κατέστρωσαν αὐτῶν χιλίους πρὸς τοῖς μυρίοις,
ἱππεῖς δὲ ἑξακοσίους πρὸς χιλίοις· τοὺς δὲ πάντας ἠνάγκασαν φεύ-
12 γειν. [12]οἱ πλείονες δὲ αὐτῶν τραυματίαι γυμνοὶ διεσώθησαν· καὶ
13 αὐτὸς δὲ ὁ Λυσίας αἰσχρῶς φεύγων διεσώθη. [13]οὐκ ἄνους δὲ ὑπάρ-
χων, πρὸς ἑαυτὸν ἀντιβάλλων τὸ γεγονὸς περὶ αὐτὸν ἐλάττωμα καὶ
συννοήσας ἀνικήτους εἶναι τοὺς Ἑβραίους, τοῦ δυναμένου θεοῦ συμ-
14 μαχοῦντος αὐτοῖς, προσαποστείλας [14]ἔπεισεν συλλύεσθαι ἐπὶ πᾶ-
σι τοῖς δικαίοις, καὶ διότι καὶ τὸν βασιλέα πείσει, φίλον αὐτοῖς
15 ἀναγκάζων γενέσθαι. [15]ἐπένευσεν δὲ ὁ Μακκαβαῖος ἐπὶ πᾶσιν
οἷς ὁ Λυσίας παρεκάλει, τοῦ συμφέροντος φροντίζων· ὅσα γὰρ ὁ
Μακκαβαῖος ἐπέδωκεν τῷ Λυσίᾳ διὰ γραπτῶν περὶ τῶν Ἰουδαίων,
16 συνεχώρησεν ὁ γραμματεύς. [16]ἦσαν γὰρ γεγραμμέναι τοῖς Ἰουδαίοις
ἐπιστολαὶ παρὰ μὲν Λυσίου, περιέχουσαι τὸν τρόπον τοῦτον Λυσίας
17 τῷ πλήθει τῶν Ἰουδαίων χαίρειν. [17]Ἰωάννης καὶ Ἀβεσσαλὼμ οἱ
πεμφθέντες παρ' ὑμῶν, ἐπιδόντες τὸν ὑπογεγραμμένον χρημα-
18 τισμόν, ἠξίουν περὶ τῶν δι' αὐτοῦ σημαινομένων. [18]ὅσα μὲν οὖν
ἔδει καὶ τῷ βασιλεῖ προσενεχθῆναι διεσάφησα, ἃ δὲ ἦν ἐνδεχόμενα
19 συνεχώρησεν. [19]ἐὰν μὲν οὖν συντηρήσητε τὴν εἰς τὰ πράγματα
εὔνοιαν, καὶ εἰς τὸ λοιπὸν πειράσομαι παραίτιος ἀγαθῶν γενέ-
20 σθαι. [20]ὑπὲρ δὲ τούτων κατὰ μέρος ἐντέταλμαι τούτοις τε καὶ τοῖς
21 παρ' ἐμοῦ διαλεχθῆναι ὑμῖν. [21]ἔρρωσθε. ἔτους ἑκατοστοῦ τεσσε-
22 ρακοστοῦ ὀγδόου, Διὸς Κορινθίου τετράδι καὶ εἰκάδι. [22]Ἡ
δὲ τοῦ βασιλέως ἐπιστολὴ περιεῖχεν οὕτως Βασιλεὺς Ἀντίοχος τῷ
23 ἀδελφῷ Λυσίᾳ χαίρειν. [23]τοῦ πατρὸς ἡμῶν εἰς θεοὺς μεταστάντος,
βουλομένου τοὺς ἐκ τῆς βασιλείας ἀταράχους ὄντας γενέσθαι πρὸς
24 τὴν τῶν Ἰουδαίων ἐπιμελίαν, [24]ἀκηκοότες τοὺς Ἰουδαίους μὴ συν-

9 om και 1° V | δε 2°] τε V 10 προσηγον V 11 λεοντινον] V λεοντηδον V | χιλιους] χιλιοις A | χιλιοις] pr τοις V | τους] τουτους V | φυγειν V 12 διεσωθησαν] δε εσωθ. A 13 αντιβαλων V | τους δυναμενους A* fort (ras 1 lit post τ. item post δυν. A?) του δυνατου V 14 επεισεν] επισα A | συνλυσεσθαι V | πασιν V* | πεισει] πισιν A πισειν V* | αναγκαζειν codd | γινεσθαι V 15 επεδωκεν] εδωκεν V* | γραμματευς] βασιλευς V 16 γεγραμμεναι] pr αι V 17 Αβεσσαλωμ] Αβεσσαλωμ' μεσσαλα (sic) V | υπογεγραμμενον] επιγεγραμμενον V 20 κατα μ.] pr και των V 21 ερρωσθαι V* | τεσσαρακ. και ογδ. V | τετραδι κ. εικ.] εικ. τεταρτη V 23 μεταστantos] στ sup ras A[a] | βουλομενοι V | γινεσθαι V | την των Ιουδαιων επιμελιαν] τη των ιδιων επιμελια (-λεια V[a]) V 24 Ιου|ιουδαιους A

A ευδοκοῦντας τῇ τοῦ πατρὸς εἰς τὰ Ἑλληνικὰ μεταθέσει, ἀλλὰ τὴν
ἑαυτῶν ἀγωγὴν αἱρετίζοντας ἀξιοῦν συγχωρηθῆναι αὐτοῖς τὰ νό-
μιμα· 25 αἱρούμενοι οὖν καὶ τοῦτο τὸ ἔθνος ἐκτὸς ταραχῆς εἶναι, 25
κρίνομεν τό τε ἱερὸν ἀποκατασταθῆναι αὐτοῖς, καὶ πολιτεύεσθαι
κατὰ τὰ ἐπὶ τῶν προγόνων αὐτῶν ἔθη. 26 εὖ οὖν ποιήσεις δια- 26
πεμψάμενος πρὸς αὐτοὺς καὶ δοὺς δεξιάς, ὅπως εἰδότες τὴν ἡμετέ-
ραν προαίρεσιν εὔθυμοί τε ὦσιν, καὶ ἡδέως διαγίνωνται πρὸς τῇ
τῶν ἰδίων ἀντιλήμψει. 27 Πρὸς δὲ τὸ ἔθνος ἡ τοῦ βασιλέως 27
ἐπιστολὴ τοιάδε ἦν Βασιλεὺς Ἀντίοχος τῇ γερουσίᾳ τῶν Ἰουδαίων
καὶ τοῖς ἄλλοις Ἰουδαίοις χαίρειν. 28 ἔρρωσθε, εἴη ἂν ὡς βουλό- 28
μεθα· καὶ αὐτοὶ δὲ ὑγιαίνομεν. 29 ἐνεφάνισεν ἡμῖν Μενέλαος βου- 29
λόμενος κατελθόντας ὑμᾶς γίνεσθαι πρὸς τοῖς ἰδίοις. 30 τοῖς οὖν 30
καταπορευομένοις μέχρι τριακάδος Ξανθικοῦ ὑπάρξει δεξιὰ μετὰ τῆς
ἀδείας, 31 χρῆσθαι τοὺς Ἰουδαίους τοῖς ἑαυτῶν δαπανήμασιν καὶ νό- 31
μοις καθὰ καὶ τὸ πρότερον· καὶ οὐδεὶς αὐτῶν κατ᾽ οὐδένα τρόπον
παρενοχληθήσεται περὶ τῶν ἠγνοημένων. 32 πέπομφα δὲ καὶ τὸν 32
Μενέλαον παρακαλέσοντα ὑμᾶς. 33 ἔρρωσθε. ἔτους ἑκατοστοῦ τεσ- 33
σερακοστοῦ ὀγδόου, Ξανθικοῦ πεντεκαιδεκάτῃ. 34 Ἔπεμψαν 34
δὲ καὶ οἱ Ῥωμαῖοι πρὸς αὐτοὺς ἐπιστολὴν ἔχουσαν οὕτως Κόιντος
Μέμμιος, Τίτος Μάνιος, πρεσβῦται Ῥωμαίων, τῷ δήμῳ τῶν Ἰου-
δαίων χαίρειν. 35 ὑπὲρ ὧν Λυσίας ὁ συγγενὴς τοῦ βασιλέως συν- 35
εχώρησεν ὑμῖν, καὶ ἡμεῖς συνευδοκοῦμεν. 36 ἃ δὲ ἔκρινεν προσ- 36
ανενεχθῆναι τῷ βασιλεῖ, πέμψατέ τινα παραχρῆμα ἐπισκεψάμενοι
περὶ τούτων, ἵν᾽ ἐκθῶμεν ὡς καθήκει ὑμῖν· ἡμεῖς γὰρ προσάγομεν
πρὸς Ἀντιόχειαν. 37 διὸ σπεύσατε, καὶ πέμψατέ τινας, ὅπως καὶ 37
ἡμεῖς ἐπιγνῶμεν ὁποίας ἐστὲ γνώμης. 38 ὑγιαίνετε. ἔτους ἑκατοστοῦ 38
τεσσερακοστοῦ ὀγδόου, Ξανθικοῦ πεντεκαιδεκάτῃ.

V 24 εις] επι V | αιρετιζοντες V | αξιουντες V 25 om ουν V
26 αντιλημψει V 27 τοιαδε] τοιαυτη V 29 βουλομενος] βουλεσθαι
V | υμας] ημας A | ιδιοις] Ιουδαιοις A* (ιδ. A?) 30 καταπορευομενους
A* (salt) | μετα της αδειας] μετα της ιδιας A της αδιας V* (-δειας Va)
31 δαπανιμασι V* | ουδεις] ουθεις V 32 παρακαλεσαντα A 32—33 υμας
ερρωσθαι· A υμας. ερρωσθαι: V 33 τεσσερακοστου ογδοου] και τεσσαρα-
κοστου και ογδ. V | πεντεκαιδεκατη] πεμπτη και δεκατη V 34 επεμ-
ψαμεν A | εχουσαν] περιεχουσαν V | Κοϊντος· Μεμμιος Τιτος· Μανιος A |
Μανιος] + Ερνιος V | τω] των A | δημω των Ιουδαιων] Ιουδαιων πληθει V
36 προσανενεχθηναι V | πραχημα V* (παραχρ. V1) | επισκεψομενον V |
εχωμεν] εκθωμεν V | ημιν] υμιν V | Αντιοχειαν V 37 οποιας] επι
ποιας V 38 τεσσερακοστου ογδοου] και τεσσαρακοστου και ογδοου V |
πεντεκαιδεκατη] + Διοσκοριδου V

XII 1 [1]Γενομένων δὲ τῶν συνθηκῶν τούτων, ὁ μὲν Λυσίας ἀπῄει πρὸς A
2 τὸν βασιλέα, οἱ δὲ Ἰουδαῖοι περὶ τὴν γεωργίαν ἐγίνοντο. [2]τῶν δὲ
κατὰ τόπον στρατηγῶν Τιμόθεος καὶ Ἀπολλώνιος ὁ τοῦ Γενναίου,
ἔτι δὲ Ἱερώνυμος καὶ Δημοφῶν, πρὸς δὲ τούτοις Νικάνωρ ὁ Κυπρι-
3 άρχης, οὐκ εἴων αὐτοὺς εὐσταθεῖν καὶ τὰς ἡσυχίας ἄγειν. [3]Ἰοππεῖται
δὲ τηλικοῦτο συνετελέσαντο δυσσέβημα, παρακαλέσαντες τοὺς ἐν
ἑαυτοῖς οἰκοῦντας Ἰουδαίους ἐμβῆναι εἰς τὰ παρακατασταθέντα ὑπ᾽ αὐ-
τῶν σκάφη σὺν γυναιξὶν καὶ τέκνοις, ὡς μηδεμιᾶς ἐνεστώσης πρὸς
4 αὐτοὺς δυσμενείας· [4]μετὰ δὲ τὸ κοινὸν τῆς πόλεως ψήφισμα καὶ
τούτων ἐπιδεξαμένων, ὡς ἂν εἰρηνεύειν θελόντων καὶ μηδὲν ὕποπτον
ἐχόντων, ἀχθέντας αὐτοὺς ἐβύθισαν ὄντας οὐκ ἔλαττον τῶν διακο-
5 σίων. [5]μεταλαβὼν δὲ ὁ Ἰούδας τὴν γεγονυῖαν εἰς τοὺς ὁμοεθνεῖς
6 ὠμότητα, παραγγείλας τοῖς περὶ αὐτὸν ἀνδράσιν [6]καὶ ἐπικαλεσά-
μενος τὸν δίκαιον κριτὴν θεόν, παραγενόμενος ἐπὶ τοὺς μιαιφόνους
τῶν ἀδελφῶν, τὸν μὲν λιμένα νύκτωρ ἐνέπρησεν καὶ τὰ σκάφη κατέ-
7 φλεξεν, τοὺς δὲ ἐκεῖ συμφυγόντας ἐξεκέντησεν. [7]τοῦ δὲ χωρίου
συγκλεισθέντος, ἀνέλυσεν, πάλιν ἥξων καὶ τὸ σύμπαν τῶν Ἰοπ-
8 πιτῶν ἐκριζῶσαι πολίτευμα. [8]μεταλαβὼν δὲ καὶ τοὺς ἐν Ἰαμνίᾳ
τὸν αὐτὸν ἐπιτελεῖν βουλομένους τρόπον τοῖς κατοικοῦσιν Ἰουδαίοις,
9 [9]καὶ τοῖς Ἰαμνίταις νυκτὸς ἐπιβαλὼν ὑφῆψεν τὸν λιμένα σὺν τῷ
στόλῳ, ὥστε ἐπιφαίνεσθαι τὰς αὐγὰς τοῦ φέγγους εἰς τὰ Ἱεροσό-
10 λυμα, σταδίων ὄντων διακοσίων τεσσεράκοντα. [10]Ἐκεῖθεν
δὲ ἀποσπάσαντες σταδίους ἐννέα, ποιουμένων τὴν πορίαν ἐπὶ τὸν
Τιμόθεον, ἐπέβαλλον Ἄραβες αὐτῷ οὐκ ἐλάττους τῶν πεντακισχι-
11 λίων, ἱππεῖς δὲ πεντακόσιοι. [11]γενομένης δὲ καρτερᾶς μάχης καὶ
τῶν περὶ τὸν Ἰούδαν διὰ τὴν παρὰ τοῦ θεοῦ βοήθειαν εὐημερη-
σάντων, ἐλαττονωθέντες οἱ νομάδες ἠξίουν δοῦναι τὸν Ἰούδαν δεξιὰν
αὐτοῖς, ὑπισχνούμενοι καὶ βοσκήματα δώσειν καὶ ἐν τοῖς λοιποῖς

XII 2 Γεννεου A   3 Ιοππειται] οι Ιοππηται V | om τηλικουτο V | V επελεσαντο V | τους εν εαυταις] τους συν αυτοις V | παρακατασταθεντα] παρασταθεντα V | δυσμενιας V* (-νειας V^a)   4 μετα] κατα V | αχθεντας] επαναχθεντας V | om οντας V | διακοσιων (-σιον V* -σιων V^1)] + οντας V   5 ο Ιουδας] om ο V   6 παραγενομενος] παρεγενετο V | τον μεν λιμενα (ιυμενα [sic] A) νυκτωρ] και τον λιμενα μεν V | συμφευγοντας V   7 συγκλεισθ. V | ανελυσεν] ανεχυσεν A | παλιν] pr ως V | το συμπαν] τον σ. A | Ιοππητ. V* (-πιτ. V^a)   8 τους εν] τας εν A | Ιαμνεια V | βουλομενος AV | κατοικουσιν] παροικουσιν V   9 υφηψεν] εξηψεν V | ωστε επιφαινεσθαι] ως φαινεσθαι V | τεσσαρακοντα V   10 πορειαν V^a | επεβαλλον] προσεβαλλον V | ουκ ελαττους των πεντακισχιλιων] εις πεντακισχιλιους V | πεντακοσιοι] πεντακοσιους V   11 ελαττονωθεντες (-ττονοθ. V* -ττωνωθ. V^1)] + δε V | νομαδες] + Αραβες V | δεξιαν] δεξι V* δεξιας V^1

A ὠφελήσειν αὐτούς. ¹²Ἰούδας δὲ ὑπολαβὼν ὡς ἀληθῶς ἐν πολλοῖς 12
αὐτοὺς χρησίμους, ὑπεχώρησεν εἰρήνην ἄξειν πρὸς αὐτούς· καὶ λα-
βόντες δεξιὰς εἰς τὰς σκηνὰς ἐχωρίσθησαν. ¹³Ἐπέβαλεν 13
δὲ καὶ ἐπί τινα πόλιν γεφυροῦν, ὀχυρὰν καὶ τείχεσιν περιπεφρα-
γμένην καὶ παμμιγέσιν ἔθνεσιν κατοικουμένην, ὄνομα δὲ Κασπείν.
¹⁴οἱ δὲ ἔνδον πεποιθότες τῇ τῶν τειχέων ἐρυμνότητι τῇ τε τῶν 14
βρωμάτων παραθέσει, ἀναγωγότερον ἐχρῶντο τοῖς περὶ τὸν Ἰούδαν,
λοιδοροῦντες, καὶ προσέτι βλασφημοῦντες καὶ λαλοῦντες ἃ μὴ θέ-
μις. ¹⁵οἱ δὲ περὶ τὸν Ἰούδαν ἐπικαλεσάμενοι τὸν μέγαν τοῦ κόσμου 15
δυνάστην, τὸν ἄτερ κριῶν καὶ μηχανῶν ὀργανικῶν καταικρημνίσαντα
τὴν Ἰερεχὼ κατὰ τοὺς Ἰησοῦ χρόνους, ἐνέσεισαν θηριωδῶς τῷ
τείχει· ¹⁶καταλαβόμενοί τε τὴν πόλιν τῇ τοῦ θεοῦ θελήσει ἀμυ- 16
θήτους ἐποιήσαντο σφαγάς, ὥστε τὴν παρακειμένην λίμνην τὸ
πλάτος ἔχουσαν σταδίους δύο καταρρεῖν τὸ αἷμα πεπληρωμένην
φαίνεσθαι. ¹⁷Ἐκεῖθεν δὲ ἀποσπάσαντες σταδίους ἑπτα- 17
κοσίους πεντήκοντα διήνυσαν εἰς τὸν Χάρακα καὶ πρὸς τοὺς λεγο-
μένους Τουβιανοὺς Ἰουδαίους. ¹⁸καὶ Τιμόθεον μὲν ἐπὶ τῶν τόπων 18
οὐ κατέλαβον, ἄπρακτον τότε ἐκ τῶν τόπων ἐκλελυκότα, καταλε-
λοιπότα δὲ φρουρὰν ἔν τινι τόπῳ καὶ μάλα ὀχυράν. ¹⁹Δοσίθεος δὲ 19
καὶ Σωσίπατρος, τῶν περὶ τὸν Μακκαβαῖον ἡγεμόνων, ἐξοδεύσαντες
τοὺς ὑπὸ Τιμοθέου ἀπώλεσαν καταλειφθέντας ἐν τῷ ὀχυρώματι,
πλείους τῶν μυρίων ἀνδρῶν· ²⁰ὁ δὲ Μακκαβαῖος, διατάξας τὴν περὶ 20
αὐτὸν στρατιὰν σπειρηδόν, κατέστησεν αὐτοὺς ἐπὶ τῶν σπειρῶν· καὶ
ἐπὶ τὸν Τιμόθεον ὥρμησαν ἔχοντα περὶ αὐτὸν μυριάδας δώδεκα πεζῶν,
ἱππεῖς δὲ δισχιλίους καὶ πρὸς τοῖς ἑπτακισχιλίοις. ²¹τὴν δὲ ἔφοδον 21
μεταλαβὼν Ἰούδου, προεξαπέστειλεν ὁ Τιμόθεος τὰς γυναῖκας καὶ τὴν
ἄλλην ἀποσκευὴν εἰς τὸ λεγόμενον Κάρνιον· ἦν γὰρ δυσπολιόρκητον
καὶ δυσπρόσιτον τὸ χωρίον διὰ τὴν πάντων τῶν τόπων στενότητα.

V 12 χρησιμοις A | υπεχωρησεν] παρεχωρησεν V 13 om γεφυρουν V | παμμιγ. V | Καστιν V 14 ευρυμνοτητι A | παραθεσει] αναθεσει V | εχρωντο] εχθρωντο V 15 om περι A | κατακριμνισαντα V* (κρημν. V^a) | Ιησου] pr του V 16 εχουσαν σταδιους] σταδιων ουσαν V | καταρρειν (-ρρει A* -ρρεαν A^1) το αιμα] καταρρυτον αιματι V 17 αποσπασαντεσταδιους V* (-τες σταδ. V^1) | om και V | Τουβιανους V 18 τον τοπον (1°) V | ου] θῡ A*(unit) | τοτε εκ] τε απο V 19 Δοσιθεος V^a | περι τον] παρι των V* (περι τ. V^a) | ηγουμενων V | απωλεσαν τους υπο Τιμοθεου V 20 ωρμησεν V | μυριαδας δωδεκα πεζων] πεζων μυρ. δεκα δυο V | δισχιλιους] τρισχιλιους A^1 (δισχ. A* vid V) | om και 2° V | επτακισχιλιοις] πεντακοσιοις V 21 Ιουδα V* fort (Ιουδου [ου sup ras] V^1) | γυναικας] + και τα τεκνα V | παντων] pr εκ V

22 [22]ἐπιφανείσης δὲ τῆς Ἰούδου σπείρης πρώτου, καὶ γενομένου δέους A
ἐπὶ τοὺς πολεμίους, φόβου τε ἐκ τῆς τοῦ τὰ πάντα ἐφορῶντος
ἐπιφανίας γενομένης ἐπ' αὐτούς, εἰς φυγὴν ὥρμησαν ἄλλος ἀλλαχῇ
φερόμενος, ὥστε πολλάκις ὑπὸ τῶν ἰδίων βλάπτεσθαι καὶ ταῖς τῶν
23 ξιφῶν ἀκμαῖς ἀναπείρεσθαι. [23]ἐποιεῖτο δὲ τὸν διωγμὸν εὐτονώτε-
ρον Ἰούδας, συνκεντῶν τοὺς ἀλιτηρίους, διέφθειρεν δὲ εἰς μυριάδας
24 τρεῖς ἀνδρῶν. [24]αὐτὸς δὲ ὁ Τιμόθεος ἐμπεσὼν τοῖς περὶ τὸν Δωσί-
θεον καὶ Σωσίπατρον ἠξίου μετὰ πολλῆς γοητίας ἐξαφεῖναι ὡς σῷον
αὐτόν, διὰ τὸ πλειόνων μὲν γονεῖς, ὧν δὲ ἀδελφοὺς ἔχειν, καὶ τού-
25 τους ἀλογηθῆναι συμβήσεται· [25]πιστώσαντος δὲ αὐτοῦ διὰ πλειό-
νων τὸν ὁρισμὸν ἀποκαταστῆσαι τούτους ἀπημάντους, ἀπέλυσαν
26 αὐτὸν ἕνεκα τῆς τῶν ἀδελφῶν σωτηρίας. [26]Ἐξελθὼν δὲ
ἐπὶ τὸ Κάρνιον καὶ τὸ Ἀτεργάτιον, κατέσφαξεν μυριάδας σωμά-
27 των δύο πεντακισχιλίους. [27]μετὰ δὲ τὴν τούτων τροπὴν καὶ
ἀπώλειαν ἐπεστράτευσεν καὶ ἐπὶ Ἐφρών, πόλιν ὀχυράν, ἐν ᾗ
πάμφυλα ἐν αὐτῇ πλήθη· νεανίαι δὲ ῥωμαλέοι πρὸ τῶν τειχέων
καθεστῶτες εὐρώστως ἀπεμάχοντο· ἔνθα ὀργάνων καὶ βελῶν πολλαὶ
28 παραθέσεις ὑπῆρχον. [28]ἐπικαλεσάμενοι δὲ τὸν δυνάστην τὸν μετὰ
κράτους συντρίβοντα τὰς τῶν πολεμίων ὀλκάς, ἔλαβον τὴν πόλιν
ὑποχείριον, κατέστρωσαν δὲ τῶν ἔνδον εἰς μυριάδας δύο πεντα-
29 κισχιλίους. [29]ἀναζεύξαντές τε ἐκεῖθεν, ὥρμησαν ἐπὶ Σκυθῶν πόλιν,
30 ἀπέχουσαν ἀπὸ Ἱεροσολύμων σταδίους ἑξακοσίους. [30]ἀπομαρτυρη-
σάντων δὲ τῶν ἐκεῖ καθεστώτων Ἰουδαίων ἣν οἱ Σκυθοπολεῖται ἔσχον
πρὸς αὐτοὺς εὔνοιαν, καὶ ἐν τοῖς τῆς ἀτυχίας καιροῖς ἥμερον ἀπάντησιν,
31 [31]εὐχαριστήσαντες καὶ προσπαρακαλέσαντες καὶ εἰς τὰ λοιπὰ πρὸς τὸ
γένος εὐμενεῖς εἶναι, παρεγενήθησαν εἰς Ἱεροσόλυμα; τῆς τῶν ἑβδο-
32 μάδων ἑορτῆς οὔσης ὑπογύου. [32]Μετὰ δὲ τὴν λεγομένην
πεντηκοστὴν ὥρμησαν ἐπὶ Γοργίαν τὸν τῆς Ἰδουμαίας στρατηγόν.

22 πρωτου] πρωτης V | εκ της...εφορωντος] της τα παντα εκ του V εφ. V | επιφανειας V^a | εις φυγην] εισφυγειν A | ιδιων] Ιουδαιων V **23** ευτονωτερον]+ων A | Ιουδας] pr ο V | δε 2°] τε V | ανδρων τρεις V **24** Δοσιθεον V | ηξιουν V^* (ηξιου V^a) | γοητιας] γονυπητιας V^* (-πετιας $V^{a\,vid}$) | ως σωον (ωσωιον A)] ζωντα V | πλειονων] πλειον· ων A **25** πισαντος V^* (πιστωσαντος V^1) | αποκαταστησειν V | εκα V^* (ενεκα V^a) **26** σωματων μυριαδας V | δυο]+και V **27** απωλιαν V^* | om και 1° V | παμφυλα...πληθη] παμφυλα πληθη εν αυτη κατωκει V | νεανιαι δε...ενθα] νιανιαι (sic V^*) δε και μαλα ρωμαλαιοι προ των τειχεων καθεστωτες ευρωστως απεμαχοντο εν ω δε V **28** ολκας] αλκας V | δυο]+και V **29** τε] δε V **30** καθεστωτων κοτοικουντων V | ην] ων V | Σκυθοπολιται V **31** om και προσπαρακαλεσαντες V

A [33]ἐξῆλθεν δὲ μετὰ πεζῶν τρισχιλίων, ἱππέων δὲ τετρακοσίων· [34]παρα- 33 34
ταξαμένους δὲ συνέβη πεσεῖν ὀλίγους τῶν Ἰουδαίων. [35]Δωσίθεος 35
δέ τις τῶν τοῦ Βακήνορος, ἔφιππος ἀνὴρ καὶ καρτερός, εἴχετο τοῦ
Γοργίου, καὶ λαβόμενος τῆς χλαμύδος ἦγεν αὐτὸν εὐρώστως, καὶ
βουλομένου τὸν κατάρατον λαβεῖν ζωγρείαν, τῶν ἱππέων τινὸς
Θρᾳκῶν ἐπενεχθέντος αὐτῷ καὶ τὸν ὦμον καθελόντος, διέφυγεν Γορ-
γίας εἰς Μαρισά. [36]τῶν δὲ περὶ τὸν Ἔσδριν ἐπὶ πλεῖον μαχομένων 36
καὶ κατακόπων ὄντων, ἐπικαλεσάμενος Ἰούδας τὸν κύριον σύμμαχον
φανῆναι καὶ προοδηγὸν φανῆναι τοῦ πολέμου, [37]καταρξάμενος τῇ 37
πατρίῳ φωνῇ τὴν μεθ᾽ ὕμνων κραυγήν, ἐνσείσας ἀπροσδοκήτως τοῖς
περὶ τὸν Γοργίαν τροπὴν ἐποιήσατο αὐτῶν. [38]Ἰούδας δὲ 38
ἀναλαβὼν τὸ στράτευμα ἧκεν εἰς Ὀδολλὰμ πόλιν· τῆς δὲ ἑβδομάδος
ἐπιβαλλούσης, κατὰ τὸν ἐθισμὸν ἁγνισθέντες αὐτόθι τὸ σάββατον
διῆγεν. [39]τῇ δὲ ἐχομένῃ ἦλθον οἱ περὶ τὸν Ἰούδαν, καθ᾽ ὃν χρόνον 39
τὸ τῆς χρείας ἐγεγόνει, τὰ σώματα τῶν προπεπτωκότων ἀνακο-
μίσασθαι καὶ μετὰ τῶν συγγενῶν ἀποκαταστῆσαι εἰς τοὺς πατρῴους
τάφους. [40]εὗρον δὲ ἑκάστου τῶν τεθνηκότων ὑπὸ τοὺς χιτῶνας 40
ἱερώματα τῶν ἀπὸ Ἰαμνίας εἰδώλων, ἀφ᾽ ὧν ὁ νόμος ἀπείργει τοὺς
Ἰουδαίους· τοῖς δὲ πᾶσι σαφὲς ἐγένετο διὰ τήνδε τὴν αἰτίαν τούσδε
πεπτωκέναι. [41]πάντες οὖν εὐλογήσαντες τὰ τοῦ δικαιοκρίτου κυρίου 41
τοῦ τὰ κεκρυμμένα φανερὰ ποιοῦντος, [42]εἰς ἱκετείαν ἐτράπησαν, 42
ἀξιώσαντες τὸ γεγονὸς ἁμάρτημα τελείως ἐξαλειφθῆναι· ὁ δὲ γενναῖος
Ἰούδας παρεκάλεσε τὸ πλῆθος συντηρεῖν αὑτοὺς ἀναμαρτήτους εἶναι,
ὑπ᾽ ὄψιν ἑωρακότας τὰ γεγονότα διὰ τὴν τῶν προπεπτωκότων
ἁμαρτίαν. [43]ποιησάμενός τε κατ᾽ ἀνδρολογεῖον εἰς ἀργυρίου δραχμὰς 43
δισχιλίας ἀπέστειλεν εἰς Ἱεροσόλυμα προσαγαγεῖν περὶ ἁμαρτίας
θυσίαν, πάνυ καλῶς καὶ ἀστείως πράττων, ὑπὲρ ἀναστάσεως διαλο-
γιζόμενος· [44]εἰ μὴ γὰρ τοὺς προπεπτωκότας ἀναστῆναι προσεδόκα, 44
περισσὸν καὶ ληρῶδες ὑπὲρ νεκρῶν εὔχεσθαι· [45]εἴτε ἐμβλέπων τοῖς 45
μετ᾽ εὐσεβείας κοιμωμένοις κάλλιστον ἀποκείμενον εὐχαριστήριον,

V 34 παραταξαμενου V 35 Δοσιθεος V[a] | ανηρ εφιππος V | Γοργειου A | βουλομενος V | ζωγριαν V | Θρακων] Θαρσος V* Θαρσους V[a] | Γοργιας (-γειας A)] pr ο V 36 κατακοπων οντων] κατακοπτοντων V | om φανηναι 2° V 37 Γοργειαν A | αυτων εποιησατο V 38 διηγεν] διηγαγον V 39 τα της χρ. V | συγγονων V | πατριους V 40 Ιαμνειας V[a] | απαργει V | πασιν V* 41 δικαιου κριτου V 42 ικετιαν V* | το γεγονος] δια το γεγονως V* (-νος V[a]) | παρεκαλεσεν V | εωρακοτες A* (-κοτας A[a?]) | αμαρτιαν] αμαρτηματω̄ A 43 ποιησ. τε] + κατασκευασματα V | κατα ανδρολογιαν V | αναλογιζομενος] διαλογιζομενους V 44 περισσως A 45 ειτε] ειτ V | ευσεβειας V | ευχαριστηριον] χαρηστηριον V*

ὁσία καὶ εὐσεβὴς ἡ ἐπίνοια. ὅθεν περὶ τῶν τεθνηκότων τὸν ἐξιλασμὸν A
ἐποιήσατο, τῆς ἁμαρτίας ἀπολυθῆναι.

XIII 1 [1]Τῷ δὲ ἐνάτῳ καὶ τεσσερακοστῷ καὶ ἑκατοστῷ ἔτει προσέπεσεν
τοῖς περὶ τὸν Ἰούδαν Ἀντίοχον τὸν Εὐπάτορα παραγενέσθαι σὺν
2 πλήθεσιν ἐπὶ τὴν Ἰουδαίαν, [2]καὶ σὺν αὐτῷ Λυσίαν τὸν ἐπίτροπον
καὶ ἐπὶ τῶν πραγμάτων, ἕκαστον ἔχοντα δύναμιν Ἑλληνικὴν πεζῶν
μυριάδας ἕνδεκα καὶ ἱππέων πεντακισχιλίους τριακοσίους καὶ ἐλέ-
3 φαντας εἴκοσι δύο, ἅρματα δὲ δρεπανηφόρα τριακόσια. [3]συνέμιξεν
δὲ αὐτοῖς καὶ Μενέλαος, καὶ παρεκάλει μετὰ πολλῆς εἰρωνίας τὸν
Ἀντίοχον, οὐκ ἐπὶ σωτηρίας τῆς πατρίδος, οἰόμενος δὲ ἐπὶ τῆς
4 ἀρχῆς κατασταθήσεσθαι. [4]ὁ δὲ βασιλεὺς τῶν βασιλέων ἐξήγειρεν
τὸν θυμὸν τοῦ Ἀντιόχου ἐπὶ τὸν ἀλιτήριον, καὶ Λυσίου ὑποδείξαντος
τοῦτον αἴτιον τῶν κακῶν εἶναι καὶ πάντων προσέταξεν, ὡς ἔθος
5 ἐστὶν ἐν τῷ τόπῳ, προσαπολέσαι, ἀγαγόντας εἰς Βέροιαν. [5]ἔστιν
δὲ ἐν τῷ τόπῳ πύργος πεντήκοντα πήχεων πλήρης σποδοῦ, ὄρ-
γανον δὲ εἶχεν περιφερὲς πάντοθεν ἀπόκρημνον εἰς τὴν σποδόν.
6 [6]ἐνταῦθα τὸν ἱεροσυλίας ἔνοχον, ἤ καί τινων ἄλλων κακῶν ὑπεροχὴν
7 πεποιημένον, ἅπαντες προσωθοῦσιν εἰς ὄλεθρον. [7]τοιούτῳ μόρῳ
τὸν παράνομον συνέβη θανεῖν, μηδὲ τῆς γῆς τυγχάνοντα Μενέλαον·
8 [8]πάνυ δικαίως· ἐπεὶ γὰρ συνετελέσατο πολλὰ περὶ τὸν βωμὸν
ἁμαρτήματα, οὗ τὸ πῦρ ἁγνὸν ἦν καὶ ἡ σποδός, ἐν σποδῷ τὸν
9 θάνατον ἐκομίσατο. [9]Τοῖς δὲ φρονήμασιν ὁ βασιλεὺς βεβα-
ρημένος ἤρχετο, τὰ χείριστα τῶν ἐπὶ τοῦ πατρὸς αὐτοῦ γεγονότων
10 ἐνδειξόμενος τοῖς Ἰουδαίοις. [10]μεταλαβὼν δὲ Ἰούδας ταῦτα, παρήγ-
γειλεν τῷ πλήθει δι' ἡμέρας καὶ νυκτὸς ἐπικαλέσασθαι τὸν κύριον,
11 εἴ ποτε καὶ ἄλλοτε, καὶ νῦν ἐπιβοηθεῖν [11]τοῖς τοῦ νόμου καὶ πατρί-
δος καὶ ἱεροῦ ἁγίου στερεῖσθαι μέλλουσιν, καὶ τὸν ἄρτι βραχέως ἀνε-
ψυχότα λαὸν μὴ ἐᾶσαι τοῖς δυσφήμοις ἔθνεσιν ὑποχειρίους γενέ-
12 σθαι. [12]πάντων δὲ τὸ αὐτὸ ποιησάντων ὁμοῦ καὶ καταξιωσάντων
τὸν ἐλεήμονα κύριον μετὰ κλαυθμοῦ καὶ νηστειῶν καὶ προπτώσεως
ἐπὶ ἡμέρας τρεῖς ἀδιαλείπτως, παρακαλέσας αὐτοὺς ὁ Ἰούδας ἐκέ-

XIII 1 ενατω V[a] | τεσσαρακοστω V | Επατορα V* (Ευπ. V[a]) 2 om V δε V 3 Μενελαον V | om και 2° V* (hab V[1 (mg)]) | ειρωνειας V[a] | τη σωτηρια V | κατασταθησεται A 4 των κακων...παντων] ειναι παντων των κακων V | προσαπολεσθαι V | αγαγοντες V | Βερενοιαν V 5 πηχων V | οργανον δε] ουτος δε οργ. V 6 om η V | πεποιημενων AV[a] 7 τυγχανοντα] τυχοντα V 8 πολλα περι τον βωμον] επι τον βωμον πολλα V 9 βεβαρωμενος V 10 Ιουδας] pr ο V | επικαλεισθαι V 11 ιερου αγιου στερεισθαι] αγιου ιερου στηρισθαι V* (-ρεισθ. V[a]) | αναψυχοτα V* (ανεψ. V[1?]) 12 επι] εφ V | om αδιαλειπτως V | ο Ιουδας om ο V

A λευσεν παραγίνεσθαι. 13 καθ' ἑαυτὸν δὲ σὺν τοῖς πρεσβυτέροις γενό- 13
μενος ἐβουλεύσατο πρὶν εἰσβαλεῖν τὸ στράτευμα τοῦ βασιλέως ἐπὶ
τὴν Ἰουδαίαν καὶ γενέσθαι τῆς πόλεως ἐγκρατεῖς, ἐξελθόντας κρῖναι
τὰ πράγματα τῇ τοῦ θεοῦ βοηθείᾳ. 14 δοὺς δὲ τὴν ἐπιτροπὴν τῷ 14
κυρίῳ τοῦ κόσμου, παρακαλέσας τοὺς σὺν αὐτῷ γενναίως ἀγωνί-
σασθαι μέχρι θανάτου περὶ νόμων, ἱεροῦ, πόλεως, πατρίδος, πολιτείας·
περὶ δὲ Μωδεϊν ἐποιήσατο τὴν στρατιάν. 15 ἀναδοὺς δὲ τοῖς 15
περὶ αὐτὸν σύνθημα ΘΕΟΥ ΝΙΚΗΝ, μετὰ νεανίσκων ἀρίστων κεκρι-
μένων ἐπιβαλὼν νύκτωρ ἐπὶ τὴν βασιλικὴν αὐλήν, τὴν παρεμβολὴν
ἀνεῖλεν εἰς ἄνδρας δισχιλίους, καὶ τὸν πρωτεύοντα τῶν ἐλεφάντων
σὺν τῷ κατ' οἰκίαν ὄντι συνέθηκεν· 16 καὶ τὸ τέλος τὴν παρεμβολὴν 16
δέους καὶ ταραχῆς ἐπλήρωσαν, καὶ ἐξέλυσαν εὐημεροῦντες. 17 ὑπο- 17
φαινούσης δὲ ἤδη τῆς ἡμέρας τοῦτο ἐγεγόνει, διὰ τὴν ἐπαρήγουσαν
αὐτῷ τοῦ κυρίου σκέπην. 18 Ὁ δὲ βασιλεὺς εἰληφὼς γεῦμα 18
τῆς τῶν Ἰουδαίων εὐτολμίας, κατεπείρασεν διὰ μεθόδων τοὺς τό-
πους, 19 καὶ ἐπὶ Βαιθσουροις φρούριον ὀλίγον τῶν Ἰουδαίων προσ- 19
ῆγεν· ἐτροποῦτο, προσέκρουσεν, ἠλαττονοῦτο. 20 τοῖς δὲ ἔνδον 20
Ἰούδας τὰ δέοντα εἰσέπεμψεν. 21 προσήγγειλεν δὲ τὰ μυστήρια τοῖς 21
πολεμίοις Ῥόδοκος ἐκ τῆς Ἰουδαικῆς τάξεως· ἀνεζητήθη καὶ κατε-
λήμφθη καὶ κατεκλείσθη. 22 ἐδευτερολόγησεν ὁ βασιλεὺς τοῖς ἐν 22
Βαιθσουροις, δεξιὰν ἔδωκεν, ἔλαβεν, ἀπῄει, 23 προσέβαλεν τοῖς περὶ 23
τὸν Ἰούδαν, ἥττων ἐγένετο, μετέλαβεν ἀπονενοῆσθαι τὸν Φίλιππον
ἐν Ἀντιοχίᾳ τὸν ἀπολελιμμένον ἐπὶ τῶν πραγμάτων, συνεχύθη,
τοὺς Ἰουδαίους παρεκάλεσεν, ὑπετάγη, καὶ ὤμοσεν ἐπὶ πᾶσι τοῖς
δικαίοις, συνελύθη καὶ θυσίαν προσήγαγεν, ἐτίμησεν τὸν νεὼ καὶ
τὸν τόπον ἐφιλανθρώπησεν, 24 καὶ τὸν Μακκαβαῖον ἀπεδέξατο, κατέ- 24
λειπεν στρατηγὸν ἀπὸ Πτολεμαίδος ἕως τῶν Γεννηρων Ἡγεμονίδην,
25 ἦλθεν εἰς Πτολεμαίδα· ἐδυσφόρουν περὶ τῶν συνθηκῶν οἱ Πτολε- 25
μαεῖς, ἐδειλίαζον γὰρ ὑπεράγαν· ἠθέλησαν ἀθετεῖν τὰς διαστάλσεις.

V 13 εαυτον] αυτον V | πριν] + η V | του βασιλεως το στρατευμα V | επι] εις V | om και A 14 κυριω] κτιστη V | νομου V | πολιτειας V | Μωδιειν V | στρατιαν] στρατοπαιδειαν V* (-πεδ. V²) 15 νικης V | δισχιλιους] χιλιους V | οικια A* (ν superscr A¹) 16 δους A | επληρωσεν V 17 om δε V | τουτο] + δε V | επαρηγουσαν ... του κυριου (τω κω A)] εξ ουνου γεγονυιαν αυτω επαρηγουσαν κυ V 19 Βαιθσουρα V | ολιγον] οχυρον οχυρον V* (improb οχ. 2° V¹) | προσενεκρουσεν (προσνεκρ. A)] προσεκρουεν V 21 om και bis V | κατεληφθη V 23 απονενοεισθαι V | Αντιοχεια V | απολελειμμ. V² | πραγματων συνεχυθη· A | πασιν V* | συνελυθη] συνεληλυθη V | νεων V 24 απεδεξατο V | Γεννηρων] Γερρηνων V 25 εδυσφορων A | περι] υπερ V | Πτολεμαις AV* | εδειλιαζον (εδιλ. A)] αιδιναζον V* | υπεραγαν] υπερ Ιουδαιων V | διασταλσεις (-σις A)] διαστασεις V

26 [26]προσῆλθεν ἐπὶ τὸ βῆμα Λυσίας, ἀπελογήσατο ἐνδεχομένως, συνέ- A
πεισεν καὶ κατεπράϋνεν, εὐμενεῖς ἐποίησεν, ἀνέζευξεν εἰς Ἀντιοχίαν,
οὕτω τὰ τῆς ἐφόδου τοῦ βασιλέως καὶ τῆς ἀναζυγῆς ἐχώρησεν.

XIV 1 [1]Μετὰ δὲ τριετῆ χρόνον προσέπεσεν τοῖς περὶ τὸν Ἰούδαν,
Δημήτριον τὸν τοῦ Σελεύκου διὰ τοῦ κατὰ Τρίπολιν λιμένος εἰσ-
2 πλεύσαντα μετὰ πλήθους ἰσχυροῦ καὶ στόλου [2]κεκρατηκέναι τῆς
χώρας, ἐπανελόμενον Ἀντίοχον καὶ τὸν τούτου ἐπίτροπον Λυσίαν.
3 [3]Ἄλκιμος δέ τις προγεγονὼς ἀρχιερεύς, ἑκουσίως δὲ μεμολυσμένος
ἐν τοῖς τῆς ἀμιξίας χρόνοις, συννοήσας ὅτι καθ' ὁντιναοῦν τρόπον
οὐκ ἔστιν αὐτῷ σωτηρία οὐδὲ πρὸς τὸ ἅγιον θυσιαστήριον ἔτι πρόσ-
4 οδος, [4]ἦλθεν πρὸς τὸν βασιλέα Δημήτριον ὡς πρώτῳ καὶ ἑκατοστῷ
καὶ πεντηκοστῷ ἔτει, προσάγων αὐτῷ στέφανον χρυσοῦν καὶ φοί-
νικα, πρὸς δὲ τούτοις τοῖς νομιζομένοις θαλλῶν τοῦ ἱεροῦ· καὶ
5 τὴν ἡμέραν ἐκείνην ἡσυχίαν ἔσχεν. [5]καιρὸν δὲ λαβὼν τῆς ἰδίας
ἀνοίας συνεργόν, προσκληθεὶς εἰς συνέδριον ὑπὸ τοῦ Δημητρίου καὶ
ἐπερωτηθεὶς ἐν τίνι διαθέσει καὶ βουλῇ καθέστηκαν οἱ Ἰουδαῖοι,
6 πρὸς ταῦτα ἔφη [6]Οἱ λεγόμενοι τῶν Ἰουδαίων Ἁσιδαῖοι, ὧν ἀφηγεῖται
Ἰούδας ὁ Μακκαβαῖος, πολεμοτροφοῦσιν καὶ στασιάζουσιν, οὐκ ἐῶντες
7 τὴν βασιλείαν εὐσταθείας τυχεῖν. [7]ὅθεν ἀφελόμενος τὴν προγονικὴν
8 δόξαν, λέγων δὲ τὴν ἀρχιερωσύνην, δεύτερον νῦν ἐλήλυθα, [8]πρῶτον
μὲν ὑπὲρ τῶν ἀνηκόντων τῷ βασιλεῖ γνησίως φρονῶν, δεύτερον δὲ
καὶ τῶν ἰδίων πολιτῶν στοχασάμενος· τῇ μὲν γὰρ τῶν προειρημέ-
9 νων ἀλογιστίᾳ τὸ σύμπαν ἡμῶν γένος οὐ μικρῶς ἀκληρεῖ. [9]ἕκαστα
δὲ τούτων ἐπεγνωκὼς σύ, βασιλεῦ, καὶ τῆς χώρας καὶ τοῦ περιστα-
μένου γένους ἡμῶν προνοήθητι, καθ' ἣν ἔχεις πρὸς ἅπαντας εὐ-
10 απάντητον φιλανθρωπίαν. [10]ἄχρι γὰρ Ἰούδας περίεστιν, ἀδύνατον
11 εἰρήνης τυχεῖν τὰ πράγματα. [11]τοιούτων δὲ ῥηθέντων ὑπὸ τού-
του, θᾶττον οἱ λοιποὶ φίλοι δυσμενῶς ἔχοντες τὰ πρὸς τὸν Ἰούδαν

26 om και 1° V | Αντιοχειαν V | ουτως V | τα της εφοδου του βασιλεως] om V της εφοδου του A* (hab A?(mg)) τα του βασ. της εφ. V XIV 3 Αλκειμος A | προγεγονως] προγενομενος V | μεμολυμμενος V | της αμιξιας] om της V | ωντινα ου A ων V* (ωντιναουν Va) 4 ηλθεν] ηκεν V* (-κε Va) | πρωτου και εκατοστου και πεντηκοστου ετους V | προσαγαγων V | των νομιζομενων V 5 Δημητρειου A | καθεστηκεν A 6 οι λεγομενοι] οι δε γενομενοι V | αφηγειται] εφηγειτε V 7 λεγω V | δε] δη V | δευτερον] pr δευρο V 8 μεν 1°] + ων V | ιδιων πολιτων στοχασαμενος] ημετερων στοχ. πολ. V | τη] τι V | αλογιστια] αλογιστα V 9 τουτων] τουτως (sic) A | προσνοηθητι] προνοησαντι V

A προσεπύρωσαν τὸν Δημήτριον. 12 προχειρισάμενος δὲ εὐθέως τὸν 12
Νικάνορα τὸν γενόμενον ἐλεφαντάρχην, καὶ στρατηγὸν ἀναδείξας
τῆς Ἰουδαίας, ἐξαπέστειλεν 13 δοὺς ἐπιστολάς, αὐτὸν μὲν τὸν Ἰου- 13
δαν ἐπανελέσθαι, τοὺς δὲ σὺν αὐτῷ σκορπίσαι, καταστῆσαι δὲ
Ἄλκιμον ἀρχιερέα τοῦ μεγίστου ἱεροῦ. 14 οἱ δὲ ἐπὶ τῆς Ἰουδαίας 14
πεφυγαδευκότες τὸν Ἰούδαν ἔθνη συνέμισγον ἀγεληδὸν τῷ Νικάνορι,
τὰς τῶν Ἰουδαίων ἀτυχίας καὶ συμφορὰς ἰδίας εὐημερίας δοκοῦντες
ἔσεσθαι. 15 Ἀκούσαντες δὲ τὴν τοῦ Νικάνορος ἔφοδον καὶ 15
τὴν ἐπίθεσιν τῶν ἐθνῶν, καταπασάμενοι γῆν ἐλιτάνευσαν τὸν ἄχρι
αἰῶνος συστήσαντα τὸν αὐτοῦ λαόν, ἀεὶ δὲ μετ᾽ ἐπιφανείας ἀντι-
λαμβανόμενον τῆς ἑαυτοῦ μερίδος. 16 προστάξαντος δὲ τοῦ ἡγου- 16
μένου, ἐκεῖθεν εὐθέως ἀναζεύξας συνμίσγει αὐτοῖς ἐπὶ κώμην Δεσσαού.
17 Σίμων δὲ ὁ ἀδελφὸς Ἰούδα συμβεβληκὼς ἦν τῷ Νικάνορι, βραδέως 17
δέ, διὰ τὴν ἐφνίδιον τῶν ἀντιπάλων ἀφασίαν ἐπταικώς. 18 ὅμως δὲ 18
ἀκούων ὁ Νικάνωρ ἣν εἶχον οἱ περὶ τὸν Ἰούδαν ἀνδραγαθίαν καὶ
ἐν τοῖς περὶ τῆς πατρίδος ἀγῶσιν εὐψυχίαν, ὑπευλαβεῖτο τὴν κρίσιν
δι᾽ αἱμάτων ποιήσασθαι. 19 διόπερ ἔπεμψεν Ποσιδώνιον καὶ Θεόδοτον 19
καὶ Ματταθίαν, δοῦναι καὶ λαβεῖν δεξιάς. 20 πλείονος δὲ γενομένης 20
περὶ τούτων ἐπισκέψεως, καὶ τοῦ ἡγουμένου τοῖς πλήθεσιν ἀνακοι-
νωσαμένου, καὶ φανείσης ὁμοιοψήφου συγγνώμης, ἐπένευσαν ταῖς
συνθήκαις. 21 ἐτάξαντο δὲ ἡμέραν ἐν ᾗ κατ᾽ ἰδίαν ἥξουσιν εἰς 21
τὸ αὐτό· καὶ προῆλθεν παρ᾽ ἑκάστου δίφραξ, ἔθεσαν δίφρους.
22 διέταξεν Ἰούδας ἐνόπλους ἑτοίμους ἐν τοῖς ἐπικαίροις τόποις, μή 22
ποτε ἐκ τῶν πολεμίων ἐφνιδίως κακουργία γένηται· τὴν ἁρμόζου-
σαν ἐποιήσαντο κοινολογίαν. 23 διέτριβεν ὁ Νικάνωρ ἐν Ἱεροσο- 23
λύμοις, καὶ ἔπραττεν οὐθὲν ἄτοπον· τοὺς δὲ συναχθέντας ἀγελαίους
ὄχλους ἀπέλυσεν. 24 καὶ εἶχεν τὸν Ἰούδαν διὰ παντὸς ἐν προσώπῳ· 24

V 11 Δημητρειον A 12 προχειρισαμενος (-χειρησ. A)] προσκαλεσαμενος V | τον Νικ.] om τον V 13 επιστολας] εντολας V | μεγιστου] μεγαλου V 14 οι δε επι της Ιουδαιας πεφυγαδευκοτες] τα δε εκ της Ιουδ. πεφυγαδευκοτα V 15 ελιτανευον V | αυτου] εαυτου V | επιφανιας V* | αντιλαμβανομενος A 16 ηγομενου A* (υ superscr $A^{a?}$) | ευθεως αναζευξας] δια ταχους αναζευξ. V | συνμισγει] συνμισσει (sic) A | Δεσσαου V^{vid} 17 Ιουδου V | συμβεβληκως ην] συμβεβληκωσιν V* (-κοσι V^{a}) | βραδεως] βραχεως V | αιφνιδιον V^{a} 18 om δε V | Νεικανωρ A | περι 2°] υπερ V | υπευλαβειτο] επευλ. V^{vid} 19 Ποσιδονιον V* -σειδων. V^{a} | Ματταθειαν A | om δεξιας V 20 ηγουμενου] ηγεμονος V | ομοψηφου V | συγγνωμης (συγν. A)] γνωμης V 21 προσηλθεν V | διφραξ] διφρος V 22 διεταξεν] pr και V | ενοπλους] εν οπλοις V* (ενοπλους V^{a}) | αιφν. V^{a} 23 διετριβεν] + δε V | ουδεν V | αγελαιους] + ακερεως V* (-ραιως V^{a}) 24 και ειχεν] ειχεν δε V

25 ψυχικῶς τῷ ἀνδρὶ προσεκέκλιτο. [25]παρεκάλεσεν αὐτὸν γῆμαι καὶ A
26 παιδοποιήσασθαι· ἐγάμησεν, εὐστάθησεν, ἐκοινώνησεν βίου. [26]Ὁ
δὲ Ἄλκιμος συνιδὼν τὴν πρὸς ἀλλήλους εὔνοιαν καὶ τὰς γενομένας
συνθήκας λαβὼν ἧκεν πρὸς τὸν Δημήτριον, καὶ ἔλεγεν τὸν Νικάνορα
ἀλλότρια φρονεῖν τῶν πραγμάτων· τὸν γὰρ ἐπίβουλον τῆς βασι-
27 λείας αὐτοῦ Ἰούδαν διάδοχον ἀπέδειξεν. [27]ὁ δὲ βασιλεὺς ἔκθυμος
γενόμενος καὶ ταῖς τοῦ παμπονήρου διαβολαῖς ἐρεθισθείς, ἔγραψεν
Νικάνορι ὑπὲρ μὲν τῶν συνθηκῶν φάσκων βαρέως φέρειν, κελεύων
δὲ τὸν Μακκαβαῖον δέσμιον ἐξαποστέλλειν εἰς Ἀντιοχίαν ταχέως.
28 [28]προσπεσόντων δὲ τούτων τῷ Νικάνορι, συνεκέχυτο, καὶ δυσφό-
ρως ἔφερεν, εἰ τὰ διεσταλμένα ἀθετήσει μηδὲν τἀνδρὸς ἠδικηκότος.
29 [29]ἐπεὶ δὲ τῷ βασιλεῖ ἀντιπράττειν οὐκ ἦν, εὔκαιρον ἐτήρει στρατη-
30 γήματι τοῦ ἐπιτελέσαι. [30]ὁ δὲ Μακκαβαῖος αὐστηρότερον διεξαγα-
γόντα συνιδὼν τὸν Νικάνορα τὰ πρὸς αὐτόν, καὶ τὴν ἠθισμένην
ἀπάντησιν ἀγροικότερον ἐσχηκότα, νοήσας οὐκ ἀπὸ τοῦ βελτίστου
τὴν αὐστηρίαν εἶναι, συστρέψας οὐκ ὀλίγους τῶν περὶ αὐτόν, συν-
31 εκρύπτετο τὸν Νικάνορα. [31]Συγγνοὺς δὲ ὁ ἕτερος ὅτι γενναίως
ὑπὸ τοῦ ἀνδρὸς ἐστρατήγηται, παραγενόμενος ἐπὶ τὸ μέγιστον καὶ
ἅγιον ἱερόν, τῶν ἱερέων τὰς καθηκούσας θυσίας προσαγόντων, ἐκέ-
32 λευσεν παραδιδόναι τὸν ἄνδρα. [32]τῶν δὲ μεθ᾽ ὅρκων φασκόντων
33 μὴ γινώσκειν ποῦ ποτ᾽ ἐστὶν ὁ ζητούμενος, [33]προτείνας τὴν δεξιὰν
ἐπὶ τὸν νεώ, ὤμοσεν ταῦτα Ἐὰν μὴ δέσμιόν μοι τὸν Ἰούδαν
παραδῶτε, τόνδε τὸν τοῦ θεοῦ σηκὸν εἰς πεδίον ποιήσω, καὶ τὸ
θυσιαστήριον κατασκάψω, καὶ ἱερὸν ἐνταῦθα τῷ Διονύσῳ ἐπιφανὲς
34 ἀναστήσω. [34]τοσαῦτα δὲ εἰπὼν ἀπῆλθεν· οἱ δὲ ἱερεῖς προτείναντες
τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐπεκαλοῦντο τὸν διὰ παντὸς ὑπέρμαχον
35 τοῦ ἔθνους ἡμῶν, ταῦτα λέγοντες [35]Σύ, Κύριε, τῶν ὅλων ἀπροσδεὴς
ὑπάρχων, ηὐδόκησας ναὸν τῆς σῆς σκηνώσεως ἐν ἡμῖν γενέσθαι.
36 [36]καὶ νῦν, ἅγιε παντὸς ἁγιασμοῦ κύριε, διατήρησον εἰς αἰῶνα ἀμί-

24 προσεκεκλειτο A προσεκεκλητο V **25** παρεκαλεσεν] + δε V V
26 ηκεν] ηλθεν V | Δημητρειον A | των πραγμ.] pr περι V | om αυτου V |
Ιουδαν] + αυτου V | απεδειξεν] αναδεδιχεν V* (-δεδειχ. V^a) **27** ταις] τοις
A | παμπον. V^a | Νικανορι] pr τω V | φασκων υπερ μεν των συνθηκων V |
εξαποστελειν V | Αντιοχειαν V **28** δυσφορως] δυσχερερως (sic) V | αθε-
τησιν A | τανδρος] του ανδρος V^a **29** επει] επι A | του επιτελεσαι] τουτ
επιτ. V* τουτο επ. V^a **30** ειθισμενην V | συνετρεψας V* συνεκ|τρεψας V^a |
αυτον 2°] εαυτον V | συνεκρυπτετο] διεκρυπτε V **31** συγνους A συνγν.
V* (συγγ. V^a) | τἀνδρος V* (του ανδρ. V^a) | τον μεγ. V* (το μεγ. V^a)
32 φασκοντων] φαισαντων V* φησ. V^a | γινωσκων A **33** νεων V |
ωμοσεν ταυτα] ταυτ ωμοσεν V | παραδοτε V | om τον 3° V | εις πεδιον]
ισοπεδον V | Διανυσω (sic) A **34** δε 1°] δ V **35** ευδοκησας V

A αντον τόνδε τὸν προσφάτως κεκαθερισμένον οἶκον. ³⁷Ῥαζὶς 37
δέ τις τῶν ἀπὸ Ἰεροσολύμων πρεσβυτέρων ἐμηνύθη τῷ Νικάνορι
ἀνὴρ φιλοπολίτης καὶ σφόδρα καλῶς ἀκούων, καὶ κατὰ τὴν εὔνοιαν
πατὴρ τῶν Ἰουδαίων προσαγορευόμενος. ³⁸ἦν γὰρ ἐν τοῖς ἔμπρο- 38
σθεν χρόνοις τῆς ἀμιξίας κρίσεις εἰσενηνεγμένος Ἰουδαισμοῦ, καὶ
σῶμα καὶ ψυχὴν ὑπὲρ τοῦ Ἰουδαισμοῦ παραβεβλημένος μετὰ πάσης
ἐκτενίας. ³⁹βουλόμενος δὲ Νικάνωρ πρόδηλον ποιῆσαι ἣν εἶχεν 39
πρὸς τοὺς Ἰουδαίους δυσμενίαν, ἀπέστειλεν στρατιώτας ὑπὲρ τοὺς
πεντακοσίους συλλαβεῖν αὐτόν. ⁴⁰ἔδοξεν γὰρ ἐκεῖνον συλλαβὼν 40
τούτοις ἐνεργάσασθαι συμφοράν. ⁴¹τῶν δὲ πληθῶν μελλόντων τὸν 41
πύργον καταλαβέσθαι καὶ τὴν αὔλαιαν θύραν βιαζομένων καὶ κελευ-
όντων πῦρ προσάγειν καὶ τὰς θύρας ὑφάπτειν, περικατάλημπτος
γενόμενος ὑπέθηκεν ἑαυτῷ τὸ ξίφος· ⁴²εὐγενῶς θέλων ἀποθανεῖν 42
ἤπερ τοῖς ἀλιτηρίοις ὑποχείριος γενέσθαι, καὶ τῆς ἰδίας εὐγενείας
ἀναξίως ὑβρισθῆναι. ⁴³τῇ δὲ πληγῇ μὴ κατευθικτήσας διὰ τὴν τοῦ 43
ἀγῶνος σπουδήν, καὶ τῶν ὄχλων ἔσω τῶν θυρωμάτων εἰσβαλλόν-
των, ἀναδραμὼν γενναίως ἐπὶ τὸ τεῖχος, κατεκρήμνισεν ἑαυτὸν ἀν-
δρωδῶς εἰς τοὺς ὄχλους. ⁴⁴τῶν δὲ ταχέως ἀναποδισάντων, γενομέ- 44
νου διαστήματος, ἦλθεν κατὰ μέσον τὸν κενεῶνα. ⁴⁵ἔτι δὲ ἔμπνους 45
ὑπάρχων καὶ πεπυρωμένος τοῖς θυμοῖς, ἐξαναστὰς φερομένων κρου-
νηδὸν τῶν αἱμάτων, καὶ δυσχερῶν τῶν τραυμάτων ὄντων, δρόμῳ
τοὺς ὄχλους διελθών, καὶ στὰς ἐπί τινος πέτρας ἀπορρῶγος, ⁴⁶παν- 46
τελῶς ἔξαιμος ἤδη γινόμενος, προβαλὼν τὰ ἔντερα καὶ λαβὼν ἑκα-
τέραις ταῖς χερσίν, ἐνέσεισε τοῖς ὄχλοις· καὶ ἐπικαλεσάμενος τὸν
δεσπόζοντα τῆς ζωῆς καὶ τοῦ πνεύματος ταῦτα αὐτῷ πάλιν ἀπο-
δοῦναι, τόνδε τὸν τρόπον μετήλλαξεν.

¹Ὁ δὲ Νικάνωρ μεταλαβὼν τοὺς περὶ τὸν Ἰούδαν ὄντας ἐν τοῖς 1 XV
κατὰ Σαμάρειαν τόποις, ἐβουλεύσατο τῇ τῆς καταπαύσεως ἡμέρᾳ μετὰ
πάσης ἀσφαλείας αὐτοῖς ἐπιβαλεῖν. ²τῶν δὲ κατὰ ἀνάγκην συνεπο- 2

V 36 κεκαθαρισμενον V 37 Ραζις V* vid | om και 2° V 38 αμιξειας A | κρισεις A κρισιν V 39 δυσμενειαν V[a] 40 εδοξεν] ελεγεν V 41 om και τας θυρας υφαπτειν V | περικαταληπτος V | υπεθηκε A | το ξιφος] om το V 42 ειπερ V* (ηπερ V[a]) 43 γενναιως] + ασμενως V | ανδροδως V* (-δρωδ. V[a]) 45 δε] δ V | κρουνηδων V* | διελθοντων A | απορρωγος] απερρωγως V 46 προβαλων] προσλαβομενος V | om και λαβων V | δεσποζοντα] ras 1 lit (fort σ) inter ο 1° et ζ A? | τα αυτα] ταυτα V | τον τροπον] om τον V XV 1 τοποις εβουλευσατο sup ras V[a] | τη της καταπ. ημερα] την της καταπ. ημερας A (ν τη sup ras A[a?]) την της καταπ. ημεραν (την sup ras V[a]) | ασφαλιας V* 2 κατα] κατ V

μένων αὐτῷ Ἰουδαίων λεγόντων Μηδαμῶς οὕτως ἀγρίως καὶ βαρβάρως A
ἀπολέσῃς, δόξαν δὲ ἀπομέρισον τῇ προτετιμημένῃ ὑπὸ τοῦ πάντα
3 ἐφορῶντος μεθ᾽ ἁγιότητος ἡμέρᾳ. [3]ὁ δὲ τρισαλιτήριος ἐπηρώτησεν
εἰ ἔστιν ἐν οὐρανῷ ὁ δυνάστης ὁ προστεταχὼς ἄγειν τὴν τῶν σαβ-
4 βάτων ἡμέραν. [4]τῶν δ᾽ ἀποφηναμένων Ἔστιν ὁ κύριος ζῶν αὐτὸς
5 ἐν οὐρανῷ δυνάστης ὁ κελεύσας ἀσκεῖν τὴν ἑβδομάδα. [5]ὁ δὲ ἕτερος
Κἀγώ, φησίν, δυνάστης ἐπὶ τῆς γῆς, ὁ προστάσσων αἴρειν τὰ ὅπλα
καὶ τὰς βασιλικὰς χρείας ἐπιτελεῖν. ὅμως οὐ κατέσχεν ἐπιτελέσαι
6 τὸ σχέτλιον αὐτοῦ βούλημα. [6]Καὶ ὁ μὲν Νικάνωρ μετὰ
πάσης ἀσφαλείας ὑψαυχενῶν, διεγνώκει κοινὸν τῶν περὶ τὸν
7 Ἰούδαν συστήσασθαι τρόπον. [7]ὁ δὲ Μακκαβαῖος ἦν ἀδιαλείπτως
πεποιθὼς μετὰ πάσης ἐλπίδος ἀντιλήμψεως τεύξασθαι παρὰ τοῦ
8 κυρίου. [8]καὶ παρεκάλει τοὺς σὺν αὐτῷ μὴ δειλιᾶν τὴν τῶν ἐθνῶν
ἔφοδον, ἔχοντας δὲ κατὰ νοῦν τὰ προγεγονότα αὐτοῖς ἀπ᾽ οὐρανοῦ
βοηθήματα, καὶ τὰ νῦν προσδοκᾶν τὴν παρὰ τοῦ παντοκράτορος
9 ἐσομένην αὐτοῖς νίκην. [9]καὶ παραμυθούμενος αὐτοὺς ἐκ τοῦ νόμου
καὶ τῶν προφητῶν, προσυμνήσας δὲ αὐτοὺς καὶ τοὺς ἀγῶνας οὓς
10 ἦσαν ἐκτετελεκότες, προθυμοτέρους αὐτοὺς κατέστησεν. [10]καὶ τοῖς
θυμοῖς διεγείρας αὐτοὺς παρήγγειλεν, ἅμα παρεπιδεικνὺς τὴν τῶν
11 ἐθνῶν ἀθεσίαν καὶ τὴν τῶν ὅρκων παράβασιν. [11]ἕκαστον δὲ αὐτῶν
καθοπλίσας οὐ τὴν ἀσπίδων καὶ λογχῶν ἀσφαλίαν, ὡς τὴν ἐν τοῖς
ἀγαθοῖς λόγοις παράκλησιν, καὶ προσηγησάμενος ὄνειρον ἀξιόπιστον
12 ὑπέρ τι πάντας ηὔφρανεν. [12]ἦν δὲ ἡ τούτου θεωρία τοιάδε· Ὀνίαν
τὸν γενόμενον ἀρχιερέα ἄνδρα καλὸν καὶ ἀγαθόν, αἰδήμονα μὲν τὴν
ἀπάντησιν, πρᾶον δὲ τὸν τρόπον, καὶ λαλιὰν προιέμενον πρε-
πόντως καὶ ἐκ παιδὸς ἐκμεμελετηκότα πάντα τὰ τῆς ἀρετῆς ἴδια,
τοῦτον τὰς χεῖρας προτείναντά κατεύχεσθαι τῷ παντὶ τῶν Ἰουδαίων
13 συστήματι. [13]εἶθ᾽ οὕτως ἐπιφανῆναι ἄνδρα πολιᾷ καὶ δόξῃ δια-
φέροντα, θαυμαστὴν δέ τινα καὶ μεγαλοπρεπεστάτην εἶναι τὴν περὶ

2 αυτω συνεπ. V | om Ιουδαιων V | απολεσεις V[a] 3 επηρωτησεν] επη- V
ρωσεν (sic) A | ο δυναστης] om ο V 5 καγω] κατω A | om επι της γης
V | τα οπλα] om τα V 6 ασφαλειας] αλαζονιας V | υψαυχενων] ευψαυχ.
(? συψαυχ.) A | τροπαιον V 7 αδιαληπτως V* (-λειπτ. V[a]) | αντιληψεως V
8 και παρεκαλει V[a] (rescr) | τους συν] τοις σ. V | εχοντες A | ουρανου (sic)
A | εισομενην A 9 om και 1° V | αυτους 1°] αυτος V* vid αυτοις V[a] |
προσυμνησας] και προσυπομνησας V | om αυτους 3° V 11 εκαστος A |
ασπιδων και λογχων] δι ασπιδος και λογχης (δογχ. V* λογχ. V[a]) V | ασφα-
λειαν V[a] | προεξηγησαμενος V 12 πραυν V | εκμεμελετηκοτα] μεμελετη-
κοτα V | ιδια] οικεια V | προτεινοντα V 13 επιφανηναι] φανηναι V

A αὐτὸν ὑπεροχήν· [14]ἀποκριθέντα δὲ τὸν Ὀνίαν εἰπεῖν Ὁ φιλάδελφος 14
οὗτός ἐστιν ὁ πολλὰ προσευχόμενος περὶ τοῦ λαοῦ καὶ τῆς ἁγίας
πόλεως Ἰερεμίας ὁ τοῦ θεοῦ προφήτης. [15]προτείναντα δὲ Ἰερεμίαν 15
τὴν δεξιὰν παραδοῦναι τῷ Ἰούδᾳ ῥομφαίαν χρυσῆν, διδόντα δὲ προσ-
φωνῆσαι τάδε [16]Λαβὲ τὴν ἁγίαν ῥομφαίαν δῶρον παρὰ τοῦ θεοῦ, 16
δι᾽ ἧς θραύσεις τοὺς ὑπεναντίους. [17]Παρακληθέντες δὲ τοῖς 17
Ἰούδου λόγοις πάνυ καλοῖς καὶ δυναμένοις ἐπ᾽ ἀρετὴν παρορμῆσαι καὶ
ψυχὰς νέων ἐπανδρῶσαι, διέγνωσαν μὴ στρατεύεσθαι, γενναίως δὲ
ἐνφέρεσθαι, καὶ μετὰ πάσης εὐανδρείας ἐμπλακέντες κρῖναι τὰ
πράγματα, διὰ τὸ καὶ τὴν πόλιν καὶ τὰ ἅγια καὶ τὸ ἱερὸν κινδυ-
νεύειν. [18]ἦν γὰρ ὁ περὶ γυναικῶν καὶ τέκνων, ἔτι δὲ ἀδελφῶν 18
καὶ συγγενῶν, ἐν ἥττονι μέρει κείμενος αὐτοῖς, μέγιστος δὲ καὶ
πρῶτος ὁ περὶ τοῦ καθηγιασμένου ναοῦ φόβος. [19]ἦν δὲ καὶ τοῖς ἐν 19
τῇ πόλει κατειλημμένοις οὐ πάρεργος ἀγωνία, ταρασσομένοις τῆς ἐν
ὑπαίθρῳ προσβολῆς. [20]Καὶ πάντων ἤδη προσδοκώντων τὴν 20
ἐσομένην κρίσιν, καὶ ἤδη προσμιξάντων τῶν πολεμίων καὶ τῆς
στρατιᾶς ἐκταγείσης, καὶ τῶν θηρίων ἐπὶ μέρος εὔκαιρον ἀποκατα-
σταθέντων, τῆς δὲ ἵππου κατὰ κέρας τεταγμένης· [21]συνιδὼν ὁ Μακκα- 21
βαῖος τὴν τῶν πληθῶν παρουσίαν καὶ τῶν ὅπλων τὴν ποικίλην
παρασκευήν, τήν τε τῶν θηρίων ἐπὶ μέρος εὔκαιρον ἀγριότητα,
ἀνατείνας χεῖρας εἰς τὸν οὐρανόν, ἐπεκαλέσατο τὸν τερατοποιὸν
κύριον, γινώσκων ὅτι οὐκ ἔστιν δι᾽ ὅπλων, καθὼς δὲ ἐὰν αὐτῷ κριθῇ,
τοῖς ἀξίοις περιποιεῖται τὴν νίκην. [22]ἔλεγεν δὲ ἐπικαλούμενος τόνδε 22
τὸν τρόπον Σύ, δέσποτα, ἀπέστειλας τὸν ἄγγελόν σου ἐπὶ Ἐζεκίου
τοῦ βασιλέως τῆς Ἰουδαίας, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς Σεννα-
χηρειμ εἰς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας. [23]καὶ νῦν, δυνάστα 23
τῶν οὐρανῶν, ἀπόστειλον ἄγγελον ἀγαθὸν ἔμπροσθεν ἡμῶν εἰς δέος
καὶ τρόμον· [24]μεγέθει βραχίονός σου καταπλαγείησαν οἱ μετὰ βλα- 24

V 14 om δε V | ειπεν V* (-πειν V¹) | εστιν] ετιν (sic) A | περι] υπερ V | αγιας] απασης V 16 θραυσις A 17 Ιουδα V | λογογοις V* (λογοις V¹?) | επανδρωσαι (δ rescr A¹)] επανορθωσαι V | στρατευσασθαι V | δε 2°] δ V | εμφερ. V | ευτανδρειας (sic) A | εμπλακεντες] εμφυεντας V 18 αδελφων] pr περι V 19 κατηλλημενοις V* κατειλλ. Vª | ταραττομενων V 20 προσδοκων V* (-κωντων V¹) | προσμιξαντων] συμμιξ. V | και της στρατ.] της τε στρατ. V | των 2°] τω V* (των Vª) | δε] τε V 21 om επι μερος ευκαιρον V | ανατεινας] προτεινας V | χειρας] pr τας V | δε εαν] δ αν V | περιποιειται] περιποιουντι V 22 δε] δ Vª vid | ανειλεν] ανηλες V* ανειλες Vª | παρεμβοληςσενναχηρειμ V* (-λης Σεναχειρειμ Vª) 23 αγγελον αγαθον] τον αγγελον V | τρομον] τροπον A 24 καταπλαγειησαν A

σφημίας παραγινόμενοι ἐπὶ τὸν ἅγιόν σου λαόν. καὶ οὗτος μὲν ἐν A
25 τούτοις ἔληξεν. [25]Οἱ δὲ περὶ τὸν Νικάνορα μετὰ σαλπίγγων
26 καὶ παιάνων προσῆγον· [26]οἱ δὲ περὶ τὸν Ἰούδαν μετὰ ἐπικλήσεως
27 καὶ εὐχῶν συνέμιξαν τοῖς πολεμίοις. [27]καὶ ταῖς μὲν χερσὶν ἀγωνι-
ζόμενοι, ταῖς δὲ καρδίαις πρὸς τὸν θεὸν εὐχόμενοι, κατέστρωσαν
οὐδὲν ἧττον μυριάδων τριῶν καὶ πεντακισχιλίων, τῇ τοῦ θεοῦ μεγάλως
28 εὐφρανθέντες ἐπιμελείᾳ. [28]Γενόμενοι δὲ ἀπὸ τῆς χρείας καὶ
μετὰ χαρᾶς ἀναλύοντες, ἐπέγνωσαν προπεπτωκότα Νικάνορα σὺν τῇ
29 πανοπλίᾳ. [29]γενομένης δὲ κραυγῆς καὶ ταραχῆς, εὐλόγουν τὸν δυ-
30 νάστην τῇ πατρίῳ φωνῇ. [30]καὶ προσέταξεν ὁ καθ' ἅπαν σώματι
καὶ ψυχῇ πρωταγωνιστὴς ὑπὲρ τῶν πολιτῶν, ὁ τὴν τῆς ἡλικίας
εὔνοιαν εἰς ὁμοεθνεῖς διαφυλάξας, τὴν τοῦ Νικάνορος κεφαλὴν ἀπο-
τεμόντας, καὶ τὴν χεῖρα σὺν τῷ ὤμῳ, περιφέρειν εἰς Ἱεροσόλυμα.
31 [31]παραγενόμενος δὲ ἐκεῖ, καὶ συγκαλεσάμενος τοὺς ὁμοεθνεῖς καὶ τοὺς
ἱερεῖς πρὸ τοῦ θυσιαστηρίου στήσας, μετεπέμψατο τοὺς ἐκ τῆς ἄκρας.
32 [32]καὶ ἐπιδεξάμενος τὴν τοῦ μιεροῦ Νικάνορος κεφαλὴν καὶ τὴν
χεῖρα τοῦ δυσφήμου, ἣν ἐκτείνας ἐπὶ τὸν ἅγιον τοῦ παντοκράτορος
33 οἶκον ἐμεγαλαύχησεν, [33]καὶ τὴν γλῶσσαν τοῦ δυσσεβοῦς Νικάνορος
ἐκτεμών, ἔφη μετὰ μέρος τοῖς ὀρνέοις, τὰ δ' ἐπίχειρα τῆς ἀνοίας κατέ-
34 ναντι τοῦ ναοῦ κρεμάσαι. [34]οἱ δὲ πάντες εἰς τὸν οὐρανὸν εὐλόγησαν
τὸν ἐπιφανῆ κύριον, λέγοντες Εὐλογητὸς ὁ διατηρήσας τὸν ἑαυτοῦ
35 τόπον ἀμίαντον. [35]ἐξέδησεν δὲ τὴν τοῦ Νικάνορος προτομὴν ἐκ τῆς
ἄκρας ἐπίδηλον πᾶσιν, καὶ φανερὸν τῆς τοῦ κυρίου βοηθείας σημεῖον.
36 [36]ἐδογμάτισαν δὲ πάντες μετὰ κοινοῦ ψηφίσματος μηδαμῶς ἐᾶσαι
(37) ἀπαράσημαντον τήνδε τὴν ἡμέραν· [(37)]ἔχειν δὲ ἐπίσημον τὴν τρισκαι-
δεκάτην τοῦ δωδεκάτου μηνός—Ἀδὰρ λέγεται τῇ κυριακῇ φωνῇ—πρὸ
μιᾶς ἡμέρας τῆς Μαρδοχαικῆς ἡμέρας.

37 (38) [37]Τῶν οὖν κατὰ Νικάνορα χωρησάντων οὕτως, καὶ ἀπ' ἐκείνων

24 παραγεναμενοι V | λαον] ναον V 26 μετα] μετ V 27 αγωνι- V
ζομενοις A* (-νοι A?) | om καρδιαις A | μυριαδας τρεις και πεντακισχι-
λιους V | επιμελεια] επιφανεια V 29 πατρωω V 30 και προσε-
ταξεν] προσετ. δε V | ομοεθνεις] pr τους V | περιφερειν] φερειν V 31 δε]
δ V | συνκαλεσας V* (συγκ. V[a]) | ομοεθνους A 32 επιδειξαμενος V |
μιαρου V | εκτεινας] εκτετινας A 33 δυσεβους V* (δυσσ. V[1]) | μετα]
κατα V | τοις ορν.] pr δωσειν V | δ] δε V 34 ηυλογησαν V 35 κυριου]
θεου V 36 απαρασηματον V | εχειν] ειχεν V* -χε V[a] | τη τρισκαιδεκατη
V | κυριακη] Συριακη V | Μαρδοχοικης V

A τῶν καιρῶν κρατηθείσης τῆς πόλεως ὑπὸ τῶν Ἑβραίων, καὶ
αὐτὸς αὐτόθι τὸν λόγον καταπαύσω. 38 καὶ εἰ μὲν καλῶς, 38 (39)
εὐθίκτως τῇ συντάξει, τοῦτο καὶ αὐτὸς ἤθελον· εἰ δὲ εὐτελῶς καὶ
μετρίως, τοῦτο ἐφικτὸν ἦν μοι. 39 καθάπερ οἶνον κατὰ μόνας 39 (40)
πίνειν, ὡσαύτως δὲ καὶ ὕδωρ πάλιν πολέμιον· ὃν δὲ τρόπον οἶνος
ὕδατι συγκερασθεὶς ἤδη καὶ ἐπιτερπῆ τὴν χάριν ἀποτελεῖ, οὕτως
καὶ τὸ τῆς κατασκευῆς τοῦ λόγου τέρπει τὰς ἀκοὰς τῶν ἐντυγχανόντων τῇ συντάξει.

Ἐνταῦθα δὲ ἔσται ἡ τελευτή.

V 37 *καταπαυσων* A 38 *ει μεν*] *ειπεν·* A *ειδεν* V* (*ει μεν* V[1]) | *καλως*] + *και* V[a (mg)] | *ευθικτως*] *ευθιτικτως* V* *ευθυτικτως* V[a] 39 *καθαπερ*] + *γαρ* V | *ωσαυτος* V* (-*τως* V[a]) | *συγκερασθεις* V | *ηδη και επιτερπη*] *ηδη και επιτερπει* V* *ηδεια και επιτερπη* V[a] | *ουτω* V | *ενταυ* V* (*ενταυθα* V[a]) | *δε* 3°] *δ* V

Subscr Ιουδα *του* Μακκαιου (sic) *πραξεων επιστολη* A Ιουδα Μακκαβαιου *πραξεων επιτομη* V (rescr ut vid)

ΜΑΚΚΑΒΑΙΩΝ Γ

I 1 Ο ΔΕ Φιλοπάτωρ παρὰ τῶν ἀνακομισθέντων μαθὼν τὴν γινο- A
μένην τῶν ἐπ' αὐτοῦ κρατουμένων τόπων ἀφαίρεσιν ὑπὸ Ἀντιόχου,
παραγγείλας ταῖς πάσαις δυνάμεσιν πεζικαῖς καὶ ἱππικαῖς, καὶ τὴν
ἀδελφὴν Ἀρσινόην συνπαραλαβών, ἐξώρμησεν μέχρι τῶν κατὰ Ῥα-
2 φίαν τόπων, ὅπου παρεμβεβλήκεισαν οἱ περὶ Ἀντίοχον. [2]Θεόδοτος
δέ τις ἐκπληρῶσαι τὴν ἐπιβουλὴν διανοηθείς, παραλαβὼν τῶν πρου-
ποτεταγμένων αὐτῷ ὅπλων Πτολεμαικῶν τὰ κράτιστα, διεκομίσθη
νύκτωρ ἐπὶ τὴν τοῦ Πτολεμαίου σκηνήν, ὡς μόνος κτεῖναι αὐτόν,
3 καὶ ἐν τούτῳ διαλῦσαι τὸν πόλεμον. [3]τοῦτον δὲ διάγων Δωσίθεος
ὁ Δριμύλου λεγόμενος, τὸ γένος Ἰουδαῖος, ὕστερον δὲ μεταβαλὼν
τὰ νόμιμα καὶ τῶν πατρίων δογμάτων ἀπηλλοτριωμένος, ἄσημόν τινα
κατέκλινεν ἐν τῇ σκηνῇ, ὃν συνέβη κομίσασθαι τὴν ἐκείνου κόλασιν.
4 [4]γενομένης δὲ καρτερᾶς μάχης καὶ τῶν πραγμάτων μᾶλλον ἐρρωμένων
τῷ Ἀντιόχῳ, ἱκανῶς ἡ Ἀρσινόη ἐπιπορευσαμένη τὰς δυνάμεις παρε-
κάλει μετὰ οἴκτου καὶ δακρύων, τοὺς πλοκάμους λελυμένη, βοηθεῖν
ἑαυτοῖς τε καὶ τοῖς τέκνοις καὶ ταῖς γυναιξὶν θαρραλέως, ἐπαγγελ-
5 λομένη δώσειν νικήσασιν ἑκάστῳ δύο μνᾶς χρυσίου· [5]καὶ οὕτως
συνέβη τοὺς ἀντιπάλους ἐν χειρονομίαις διαφθαρῆναι, πολλοὺς δὲ
6 καὶ δοριαλώτους συλλημφθῆναι. [6]κατακρατήσας δὲ τῆς ἐπιβουλῆς
7 ἔκρινεν τὰς πλησίον πόλεις ἐπελθὼν παρακαλέσαι. [7]ποιήσας δὲ
τοῦτο, καὶ τοῖς τεμένεσι δωρεὰς ἀπονείμας, εὐθαρσεῖς τοὺς ὑποτε-

Inscr Μακκαβαιων λογος γ' A Μακκ. γ' V   I 1 ακομισθεντων V* v (αποκομ. V^{a}) | γενομενην V | επ] υπ V | συμπαραλαβων V | Αντιοχον] pr τον V   2 εκπληρωσαι] πληρωσαι V | οπλων] τοπων A* (οπλ. A^{1})   3 διαγαγων V | Δοσιθεος V^{a} | Δρυμυλου V* (Δριμ. V$^{1?}$) | μεταλαβων V* (μεταβαλ. V^{a})   4 καρτερας] και ετερας V | Αντιωχω (sic V*) ικανως· V | πλοκαμους] πολεμους A | εαυτον V* (-τοις V^{1}) | ταις γυναιξιν] om ταις V   5 ουτως] τουτως (sic ut vid) A | αντιπαους V* (-παλ. V^{1}) | δοριαλωτους (δορυαλ. V^{a})] ροδιαλωτους (sic) A | συλληφθ. V   7 δωρεαν V | απονειμα· A

A ταγμένους κατέστησεν. [8]Τῶν δὲ Ἰουδαίων διαπεμψαμένων 8
πρὸς αὐτὸν ἀπὸ τῆς γερουσίας καὶ τῶν πρεσβυτέρων τοὺς ἀσπα-
σομένους αὐτὸν καὶ ξένια κομιοῦντας καὶ ἐπὶ τοῖς συμβεβηκόσιν
χαρησομένους, συνέβη μᾶλλον αὐτὸν προθυμηθῆναι, ὡς τάχιστα πρὸς
αὐτοὺς παραγενέσθαι. [9]διακομισθεὶς δὲ εἰς Ἰεροσόλυμα, καὶ θύσας 9
τῷ πιστῷ θεῷ καὶ χάριτας ἀποδιδοὺς καὶ τῶν ἑξῆς τι τῷ τόπῳ
ποιήσας, καὶ δὴ παραγενόμενος εἰς τὸν τόπον καὶ τῇ σπουδαιότητι
καὶ εὐσεβείᾳ καταπληγείς, [10]θαυμάσας δὲ καὶ τὴν τοῦ ἱεροῦ εὐταξίαν, 10
ἐνεθυμήθη βουλεύσασθαι εἰς τὸν ναὸν εἰσελθεῖν. [11]τῶν δὲ εἰπόντων 11
μὴ καθήκειν γίνεσθαι τοῦτο, διὰ τὸ μηδὲ τοῖς ἔθνεσιν εἰσιέναι, μηδὲ
πᾶσιν τοῖς ἱερεῦσιν, ἀλλ᾽ ἢ μόνῳ τῷ προηγουμένῳ πάντων ἀρχιερεῖ,
καὶ τούτῳ κατ᾽ ἐνιαυτὸν ἅπαξ, ὁ δὲ οὐδαμῶς ἐπείθετο. [12]τοῦ τε νόμου 12
παραναγνωσθέντος, οὐδ᾽ ὣς ἀπέλειπεν προφερόμενος ἑαυτὸν δεῖν εἰσ-
ελθεῖν, λέγων Καὶ εἰ ἐκεῖνοι ἐστέρηνται ταύτης τῆς τιμῆς, ἐμὲ δὲ οὐ
δεῖ. [13]καὶ ἐπυνθάνετο διὰ τίνα αἰτίαν αὐτὸν εἰσερχόμενον εἰς πᾶν 13
τέμενος οὐθεὶς ἐκώλυσεν τῶν παρόντων. [14]καί τις ἀπρονοήτως 14
ἔφη κακῶς αὐτὸ τοῦτο τερατεύεσθαι· [15]γινομένου δέ, φησίν, τούτου, 15
διὰ τίνα αἰτίαν οὐχὶ πάντων εἰσελεύσεσθαι, καὶ θελόντων αὐτῶν
καὶ μή; [16]Τῶν δὲ ἱερέων ἐν πάσαις ταῖς ἐσθήσεσιν προσπε- 16
σόντων, καὶ δεομένων τοῦ μεγίστου θεοῦ βοηθεῖν τοῖς ἐνεστῶσιν,
καὶ τὴν ὁρμὴν τοῦ κακῶς ἐπιβαλλομένου μεταθεῖναι, κραυγῆς τε μετὰ
δακρύων τὸ ἱερὸν ἐμπλησάντων, [17]οἱ κατὰ τὴν πόλιν ἀπολειπόμενοι 17
ταραχθέντες ἐξεπήδησαν, ἄδηλον τιθέμενοι τὸ γινόμενον. [18]αἵ τε 18
κατάκλειστοι παρθένοι ἐν θαλάμοις σὺν ταῖς τεκούσαις ἐξώρμησαν· καὶ
ἀπέδωκαν κόνει τὰς κόμας πασάμεναι, πού γε καὶ στεναγμῶν ἐνεμπί-
πλων τὰς πλατείας. [19]αἱ δὲ καὶ προσαρτίως ἐσταλμέναι, τοὺς πρὸς 19
ἅπαν νῦν διατεταγμένους καὶ τὴν ἁρμόζουσαν αἰδῶ παραλείπουσαι,
δρόμον ἄτακτον συνίσταντο. [20]τὰ δὲ νεογνὰ τῶν τέκνων αἱ πρὸς 20
τούτοις μητέρες καὶ τιθηνοὶ παραλείπουσαι ἄλλως καὶ ἄλλως, αἱ μὲν
κατ᾽ οἴκους, αἱ δὲ κατὰ τὰς ἀγυιὰς ἀνεπιστρέπτως εἰς τὸ πανυπέρ-
τατον ἱερὸν ἠθροίζοντο. [21]ποικίλη δὲ ἦν τῶν εἰς τοῦτο συλλεγέντων 21

V 7 καταστησαι V 8 συμβεβηκοσι V | χαρισ. V^* (χαρησ. V^a) | προς 2°] παρ V 9 πιστω] μεγιστω V | τοπω] τοπον A | ευσεβεια] ευπρεπεια V | καταπλαγεις V 11 εθνεσιν] εκ του εθνους V 12 παραγνωσθ. AV | ουδ ως] ουδαμως V | εκεινω (sic) A 13 δια τινα] ατινα (sic) A | τετεμενος (sic) A | ουδεις V | διεκωλυσεν V^* -σε V^a 15 γενομενου V | παντες V 16 προπεσοντων V^* (προσπ. V^a) | μεγιστου] μεγαλου V | τε] δε V 18 πασσ. V^a | που γε] γοου τε V | ενεμπιμπλων V^* ενεπιμπλ. V^a 19 διατεταγμενην (sic) A | ατακτον] + εν τη πολει V 20 νεογνα] ναιογνα (γ rescr A^1) A | αι 1°] + τε A | αι 2°] και A | δε κατα τας] δεκατας (sic ut vid) A

22 ἡ δέησις ἐπὶ τοῖς ἀνοσίως ὑπ' ἐκείνου κατεγχειρουμένοις. [22]σύν τε A
τούτοις οἱ περὶ τῶν πολιτῶν θρασυνθέντες οὐκ ἠνείχοντο τέλεον
αὐτοῦ ἐπικειμένου καὶ τὸ τῆς προθέσεως ἐκπληροῦν διανοουμένου·
23 [23]φωνήσαντες δὲ τὴν ὁρμὴν ἐπὶ τὰ ὅπλα ποιήσασθαι, καὶ θαρραλέως
ὑπὸ τοῦ πατρῴου νόμου τελευτᾶν, ἱκανὴν ἐποίησαν ἐν τῷ τόπῳ
τραχύτητα, μόλις δὲ ὑπό τε τῶν γεραιῶν καὶ τῶν πρεσβυτέρων
24 ἀποτραπέντες, ἐπὶ τὴν αὐτὴν τῆς δεήσεως παρῆσαν στάσιν. [24]καὶ
25 τὸ μὲν πλῆθος ὡς ἔμπροσθεν τούτοις ἀνεστρέφετο δεόμενον. [25]οἱ
δὲ περὶ τὸν βασιλέα πρεσβύτεροι πολλαχῶς ἐπειρῶντο τὸν ἀγέρωχον
26 αὐτοῦ νοῦν ἐξιστάνειν τῆς ἐντεθυμημένης ἐπιβουλῆς. [26]θρασυνθεὶς
δὲ καὶ πάντας παραπέμψας ἤδη, καὶ πρόσβασιν ἤδη ἐποιεῖτο, τέλος
27 ἐπιθήσειν δοκῶν τῷ προειρημένῳ. [27]ταῦτα οὖν καὶ οἱ περὶ αὐτὸν
ὄντες θεωροῦντες ἐτράπησαν εἰς τὸ σὺν τοῖς ἡμετέροις ἐπικαλεῖσθαι
τὸν πᾶν κράτος ἔχοντα τοῖς παροῦσιν ἐπαμῦναι, μὴ περιιδόντα τὴν
28 ἄνομον καὶ ὑπερήφανον πρᾶξιν. [28]ἐκ δὲ τῆς πυκνοτάτης τε καὶ
ἐμπόνου τῶν ὄχλων συναγομένης κραυγῆς ἀνείκαστός τις ἦν βοή·
29 [29]δοκεῖν γὰρ ἦν μὴ μόνον τοὺς ἀνθρώπους, ἀλλὰ καὶ τὰ τείχη καὶ τὸ
πᾶν ἔδαφος ἠχεῖν, ἅτε δὴ τῶν πάντων τότε θάνατον ἀλλασσομένων
ἀντὶ τῆς τοῦ τόπου βεβηλώσεως.

II 2 [2]Κύριε, Κύριε, βασιλεῦ τῶν οὐρανῶν, καὶ δέσποτα πάσης τῆς
κτίσεως, ἅγιε ἐν ἁγίοις, μόναρχε, παντοκράτωρ, πρόσχες ἡμῖν
καταπονουμένοις ὑπὸ ἀνοσίου καὶ βεβήλου, θράσει καὶ σθένει πε-
3 φρυασμένου. [3]σὺ γὰρ εἶ ὁ κτίσας τὰ πάντα, καὶ τῶν ὅλων ἐπι-
κρατῶν· δυνάστης δίκαιος εἶ, καὶ τοὺς ὕβρει καὶ ἀγερωχίᾳ τι
4 πράσσοντας κρίνεις. [4]σὺ τοὺς ἔμπροσθεν ἀδικίαν ποιήσαντας, ἐν
οἷς γίγαντες ἦσαν ῥώμῃ καὶ θράσει πεποιθότες, διέφθειρας, ἐπαγα-
5 γὼν αὐτοῖς ἀμέτρητον ὕδωρ. [5]σὺ τοὺς ὑπερηφανίαν ἐργαζομένους
Σοδομίτας, ἀδήλους ταῖς κακίαις γενομένους, πυρὶ καὶ θείῳ κατέφλεξας,
6 παράδιγμα τοῖς ἐπιγινομένοις καταστήσας. [6]σὺ τὸν θρασὺν Φαραώ,
καταδουλωσάμενον τὸν λαόν σου τὸν ἅγιον Ἰσραήλ, ποικίλαις καὶ

21 ανοσιοις V 22 ειωηχοντο V* (ηνειχ. V^a) 23 φωνησαν A φωνη- V σαντος V | υπο 2°] απο V | om τε V | παρησαν] εστησαν V 24 τουτοις] pr εν V 25 επιβουλης] βουλης V 26 παντα V | πραπεμψας V* (παραπ. V^1) | om ηδη 2° V | επ. τελος· (sic) A | των προειρημενων V 27 μη] pr και V | περῐδο̄|ντα (sic) A (περιιδ. V) | την] ην A* (τ superscr A^1) 28 πυκνοτητος V | om τε V | εμπονου V^a 29 δοκειν] pr η A | om τοτε V II 2 παντοκρατωρ V* (-τορ V^a) | σθενει] ασθενει (sic) A | πρεφρυασμενους (sic) A πεφρυαγμενου V 3 om ει 1° V 4 ε|ν V* εν| V^a | οις]+και V | αυτους A 5 διαδηλους V^vid 6 τον αγιον] om τον V

A πολλαῖς δοκιμάσας τιμωρίαις ἐγνώρισας τὴν σὴν δύναμιν, ἐφ᾽ αἷς
ἐγνώρισας τὸ μέγα σου κράτος. [7]καὶ ἐπιδιώξαντα αὐτὸν σὺν ἅρμασιν 7
καὶ ὄχλων πλήθει, ἐπέκλυσας βάθει θαλάσσης, τοὺς δὲ ἐμπιστεύ-
σαντας ἐπὶ σοὶ τῷ τῆς ἁπάσης κτίσεως δυναστεύοντι, σῴους διε-
κόμισας. [8]οἳ καὶ συνιδόντες ἔργα σῆς χειρός, ᾔνεσάν σε τὸν 8
παντοκράτορα. [9]σύ, βασιλεῦ, κτίσας τὴν ἀπέρατον καὶ ἀμέτρητον 9
γῆν, ἐξελέξω τὴν πόλιν ταύτην, καὶ ἡγίασας τὸν τόπον τοῦτον εἰς
σὸν ὄνομά σοι τῷ τῶν ἁπάντων ἀπροσδεεῖ, καὶ παρεδόξασας ἐν
ἐπιφανείᾳ μεγαλοπρεπεῖ, σύστασιν ποιησάμενος αὐτοῦ πρὸς δόξαν
τοῦ μεγάλου καὶ ἐντίμου ὀνόματός σου. [10]καὶ ἀγαπῶν τὸν οἶκον τοῦ 10
Ἰσραὴλ ἐπηγγείλω διότι ἐὰν γένηται ἡμῶν ἀποστροφὴ καὶ καταλάβῃ
ἡμᾶς στενοχωρία, καὶ ἐλθόντες εἰς τὸν τόπον ἡμῶν δεηθῶμεν, εἰσ-
ακούσῃ τῆς δεήσεως ἡμῶν. [11]καὶ δὴ πιστὸς καὶ ἀληθινός. [12]ἐπεὶ 11 12
δὲ πλεονάκις καὶ θλιβέντων τῶν πατέρων ἡμῶν ἐβοήθησας αὐτοῖς
ἐν τῇ ταπεινώσει, καὶ ἐρρύσω αὐτοὺς ἐκ μεγάλων κακῶν· [13]ἰδοὺ δὲ 13
νῦν, ἅγιε βασιλεῦ, διὰ τὰς πολλὰς καὶ μεγάλας ἡμῶν ἁμαρτίας κατα-
πονούμεθα, καὶ ὑπετάγημεν τοῖς ἐχθροῖς ἡμῶν, καὶ παρείμεθα ἐν ἀδυ-
ναμίαις. [14]ἐν δὲ τῇ ἡμετέρᾳ καταπτώσει ὁ θρασὺς καὶ βέβηλος οὗτος 14
ἐπιτηδεύει καθυβρίσαι τὸν ἐπὶ τῆς γῆς ἀναδεδειγμένον τῷ ὀνόματι
τῆς δόξης σου ἅγιον τόπον. [15]τὸ μὲν γὰρ κατοικητήριόν σου οὐρανὸς 15
τοῦ οὐρανοῦ ἀνέφικτος ἀνθρώποις ἐστίν. [16]ἀλλὰ ἐπεὶ εὐδόκησας τὴν 16
δόξαν σου ἐν τῷ λαῷ σου Ἰσραήλ, ἡγίασας τὸν τόπον τοῦτον. [17]μὴ 17
ἐκδικήσῃς ἡμᾶς ἐν τῇ τούτων ἀκαθαρσίᾳ, μηδὲ εὐθύνῃς ἡμᾶς ἐν
βεβηλώσει, ἵνα μὴ καυχήσωνται οἱ παράνομοι ἐν θυμῷ αὐτῶν, μηδὲ
ἀγαλλιάσωνται ἐν ὑπερηφανίᾳ γλώσσης αὐτῶν, λέγοντες [18]Ἡμεῖς 18
κατεπατήσαμεν τὸν οἶκον τοῦ ἁγιασμοῦ, ὡς καταπατοῦνται οἱ οἶκοι
τῶν προσοχθισμάτων. [19]ἀπάλειψον τὰς ἁμαρτίας ἡμῶν, καὶ δια- 19
σκέδασον τὰς ἀμβλακίας ἡμῶν, καὶ ἐπίφανον τὸ ἔλεός σου κατὰ τὴν
ὥραν ταύτην. [20]ταχὺ προκαταλαβέτωσαν οἱ οἰκτιρμοί σου· καὶ δὸς 20
αἰνέσεις ἐν τῷ στόματι τῶν καταπεπτωκότων καὶ συντετριμμένων
τὰς ψυχάς, ποιήσας ἡμῖν εἰρήνην.

V **6** εδοκιμασας A | om την σην...εγνωρισας (2°) V **7** εμπιστευσ. V **9** εκτισας V | απερατον και αμετρητον] αμετριτον (sic V* -τρητ. V^a) κ. απεραντον V | σον ονομα σοι] ονομα σου V | απροσδεει] πρι V | om εν V | επιφανεια V^a **10** του Ισρ.] om του V | αποστρ.] pr η V | om ημων 2° V | εισακουσης V* -σεις V^a **11** πιστος] + ει V **12** om και 1° V | om αυτους V | μεγαλων] μελων (sic) A **13** αδυναμια V **14** αναδεδειγμ. V **16** αλλ V | αγιασας V **17** καυχησονται V* (-σωνται V^a) | αγαλλιασονται AV* (-σωνται V^a) **19** αμβλακιαν V **20** αινεσις A αινεσιν V

21 [21]Ἐνταῦθα ὁ πάντων ἐπόπτης θεὸς καὶ προπάτωρ ἅγιος ἐν ἁγίοις
εἰσακούσας τῆς ἐνθέσμου λιτανείας, τὸν ὕβρει καὶ θράσει μεγάλως
22 ἐπηρμένον ἐμάστιξεν αὐτόν, [22]ἔνθεν καὶ ἔνθεν κραδάνας αὐτὸν ὡς
κάλαμον ὑπὸ ἀνέμου, ὥστε κατ' ἐδάφους ἄπρακτον ἔτι καὶ τοῖς μέ-
λεσιν παραλελυμένον, μηδὲ φωνῆσαι δύνασθαι δικαίᾳ πεπληγμένον
23 κρίσει. [23]ὅθεν οἵ τε φίλοι καὶ σωματοφύλακες ὀξεῖαν ἰδόντες τὴν
καταλαβοῦσαν αὐτὸν εὔθυναν, φοβούμενοι μὴ καὶ τὸ ζῆν ἐκλείπῃ,
24 ταχέως αὐτὸν ἐξείλκυσαν ὑπερβάλλοντι καταπεπληγμένοι φόβῳ. [24]ἐν
χρόνῳ δὲ ὕστερον ἀναλεξάμενος αὐτόν, οὐδαμῶς εἰς μετάμελον ἦλθεν
ἐπιτιμηθείς, μετὰ ἀπειλῆς δὲ πικρᾶς θέμενος ἀνέλυσεν.

25 [25]Διακομισθεὶς δὲ εἰς τὴν Αἴγυπτον, καὶ τὰ τῆς κακίας ἐπαύξων,
διά τε τῶν προαποδεδιγμένων συνποτῶν καὶ ἑταίρων τοῦ παντὸς
26 δικαίου κεχωρισμένων, [26]οὐ μόνον ταῖς ἀναριθμήτοις ἀσελγίαις διηρ-
κέσθη, ἀλλὰ καὶ ἐπὶ τοσοῦτον θράσους προῆλθεν, ὥστε δυσφημίας
ἐν τοῖς τόποις συνίστασθαι, καὶ πολλοὺς τῶν φίλων ἀτενίζοντας εἰς
τὴν τοῦ βασιλέως πρόθεσιν καὶ αὐτοὺς ἕπεσθαι τῇ ἐκείνου θελήσει.
27 [27]προέθετο δημοσίᾳ κατὰ τοῦ ἔθνους διαδοῦναι ψόγον· ἐπὶ τοῦ
28 κατὰ τὴν αὐλὴν πύργου στήλην ἀναστήσας, ἐκόλαψεν γραφὴν [28]Μη-
δένα τῶν μὴ θυόντων ἐπὶ τὰ ἱερὰ αὐτῶν εἰσιέναι, πάντας δὲ τοὺς
Ἰουδαίους εἰς λαογραφίαν καὶ οἰκετικὴν διάθεσιν ἀχθῆναι, τοὺς δὲ
29 ἀντιλέγοντας βίᾳ φερομένους τοῦ ζῆν μεταστῆσαι· [29]τούς τε ἀπο-
γραφομένους χαράσσεσθαι καὶ διὰ πυρὸς εἰς τὸ σῶμα παρασήμῳ
Διονύσου κισσοφύλλῳ· οὓς καὶ προκαταχωρίσαι εἰς τὴν προσυνε-
30 σταλμένην αὐθεντίαν. [30]ἵνα δὲ μὴ τοῖς πᾶσιν ἀπεχθόμενος φαίνη-
ται, ὑπέγραψεν Ἐὰν δέ τινες ἐξ αὐτῶν προαιρῶνται ἐν τοῖς κατὰ
τελετὰς μεμυημένοις ἀναστρέφεσθαι, τούτους ἰσοπολίτας Ἀλεξανδρεῦ-
31 σιν εἶναι. [31]Ἔνιοι μὲν ἐπιπολαίως τὰς τῆς πόλεως εὐσεβείας
ἐπιβάθρας στυγοῦντες, εὐχερῶς ἑαυτοὺς ἐδίδοσαν, ὡς μεγάλης τινὸς
κοινωνήσοντες εὐκλείας ἀπὸ τῆς ἐσομένης τῷ βασιλεῖ συναναστροφῆς.

21 λιτανιας V* (-νειας V^a) 22 πεπληγμενον] περιπεπασμενο| V 23 ευθυνας A 24 αυτον] εαυτον V | μετα απειλης] απειλας V | ανελυσεν] ανεδυσεν A 25 επαυξων] επ αυτων (sic) A | προυποδεδειγμενον V | συμποτων V^a | ετερων AV | κεχωρισμενον V 26 ασελγειαις V^a | θρασος V | συνισтασθαι] συνι sup ras A^1 | ατενιζοντας] ατενιζειν V | αυτους] αυτος A* (υ superscr A^1) 27 του εθνους] om του V* (superscr V^1) 28 μηθενα V | επι] εις V | του] τους A 29 τους] τουτους V | χαρασσασθε A* -σσαισθε (superscr ι) A^a? χαρασεσθαι V* (-σσεσθ. V^a?) | παρασημα V* fort (-μω V^a) | Διονυσω AV | κισσοφυλλω] και Σοφυλλω V^vid | om και 2° V | προκαταχωρισαι] καταχωρησαι V 30 απεχομενοις V | τελετας] pr τας V 31 επιτολειως A επι πολεως V* (επιπολαιως V^a) | τα A* (τας A^1V) | επιβαθρα A | στυγουνται A | απο] υπο V

A [32]οἱ δὲ πλεῖστοι γενναίᾳ ψυχῇ ἐνίσχυσαν, καὶ οὐ διέστησαν τῆς 32
εὐσεβείας· τά τε χρήματα περὶ τοῦ ζῆν ἀντικαταλλασσόμενοι ἀδεῶς
ἐπειρῶντο ἑαυτοὺς ῥύσασθαι ἐκ τῶν ἀπογραφῶν. [33]εὐέλπιδές τε 33
καθιστήκεισαν ἀντιλήμψεως τεύξασθαι, καὶ τοὺς ἀποχωροῦντας
ἐξ αὐτῶν ἐβδελύσσοντο, καὶ ὡς πολεμίους τοῦ ἔθνους ἔκρινον, καὶ
τῆς κοινῆς συναναστροφῆς καὶ εὐχρηστίας ἐστέρουν. [1]Ἃ καὶ 1 III
μεταλαμβάνων ὁ δυσσεβὴς ἐπὶ τοσοῦτον ἐξεχόλησεν ὥστε οὐ μόνον
τοῖς κατὰ Ἀλεξάνδρειαν ὀργίζεσθαι ἀλλὰ καὶ τοῖς ἐν τῇ χώρᾳ βαρυ-
τέρως ἐναντιωθῆναι, καὶ προστάξαι σπεύδοντας συναγαγεῖν πάντας
ἐπὶ τὸ αὐτό, καὶ χειρίστῳ μόρῳ τοῦ ζῆν μεταστῆσαι. [2]τούτων δὲ 2
οἰκονομουμένων φήμη δυσμενὴς ἐξέκειτο κατὰ τοῦ γένους ἀνθρώποις
συμφρονοῦσιν εἰς κακοποίησιν, ἀφορμῆς δὲ διδομένης εἰς διάθεσιν,
ὡς ἂν ἀπὸ τῶν νομίμων αὐτοὺς κωλυόντων. [3]οἱ δὲ Ἰουδαῖοι τὴν μὲν 3
πρὸς τοὺς βασιλεῖς εὔνοιαν καὶ πίστιν ἀδιάστροφον ἦσαν φυλάσ-
σοντες· [4]σεβόμενοι δὲ τὸν θεόν, καὶ τῷ τούτου νόμῳ πολιτευόμενοι, 4
χωρισμὸν ἐποίουν ἐπὶ τῷ κατὰ τὰς τροφάς. δι᾽ ἣν αἰτίαν ἔνιοι ἀπ-
εχθεῖς ἐφαίνοντο· [5]τῇ δὲ τῶν δικαίων εὐπραξίᾳ κοσμοῦντες τὴν συν- 5
αναστροφήν, ἅπασιν ἀνθρώποις εὐδόκιμοι καθειστήκεισαν. [6]τὴν μὲν 6
οὖν περὶ τοῦ γένους ἐν πᾶσιν θρυλουμένην εὐπραξίαν οἱ ἀλλόφυλοι
οὐδαμῶς διηριθμήσαντο· [7]τὴν δὲ περὶ τῶν προσκυνήσεων καὶ τροφῶν 7
διάστασιν ἐθρύλουν, φάσκοντες μήτε τῷ βασιλεῖ μήτε ταῖς δυνάμεσιν
ὁμοσπόνδους τοὺς ἀνθρώπους γίνεσθαι, δυσμενεῖς δὲ εἶναι καὶ μέγα
τι τοῖς πράγμασιν ἐναντιουμένους· καὶ οὐ τῷ τυχόντι περιήψαντο
ψόγῳ. [8]Οἱ δὲ κατὰ τὴν πόλιν Ἕλληνες οὐδὲν ἠδικημένοι, 8
ταραχὴν ἀπροσδόκητον περὶ τοὺς ἄνδρας θεωροῦντες καὶ συνδρομὰς
ἀπροσκόπους γινομένας, βοηθεῖν μὲν οὐκ ἔσθενον· τυραννικὴ γὰρ ἦν
ἡ διάθεσις· παρεκάλουν δὲ καὶ δυσφόρως εἶχον, καὶ μεταπεσεῖσθαι
ταῦτα ὑπελάμβανον· [9]μὴ γὰρ οὕτω παροραθήσεσθαι τηλικοῦτο σύ- 9
στεμα μηδὲν ἠγνοηκός. [10]ἤδη δὲ καί τινες γείτονές τε καὶ φίλοι 10
καὶ συνπραγματευόμενοι, μυστικῶς τινας ἐπισπώμενοι, πίστεις

V 33 καθειστηκεισαν V^a | αντιλημψεως] αντι sup ras A^a αντιληψ. V | τευξεσθαι V | συν|αναστρ. V^* συ|ναναστρ. V^a III 1 εξεχολησεν] εχολησεν V | Αλεξανδριαν V^* (-δρειαν V^a) | σπευσαντας V 2 οικονομουμενων] οικοδομ. A | εξεκειτο] εξηχειτο V | συμφρονουσιν (συνφρ. V^*)] συμφοραν ουσιν (sic) A 4 δε] δη V | καταστροφας A 5 συν|αναστρ. V^* συ|ναναστρ. V^a 6 διηριθμησαντο] διερυθμησαντο V^* (-θμισ. V^a) 7 περιηψαν V | φοβω] ψογω V 8 ουδεν] ουδε V | ανδρας] ανους V | εσθανον A | μεταπεσεισθαι· A 9 ουτως V | συστημα V 10 συμπραγματευομενοι· V

ἐδίδουν συνασπιεῖν, καὶ πᾶν ἐκτενὲς προσοίσεσθαι πρὸς ἀντί- A
λημψιν.
11 11Ἐκεῖνος μὲν οὖν τῇ κατὰ τὸ παρὸν εὐημερίᾳ γεγαυρωμένος,
καὶ οὐ καθορῶν τὸ τοῦ μεγίστου θεοῦ κράτος, ὑπολαμβάνων δὲ
διηνεκῶς ἐν τῇ αὐτῇ διαμένειν βουλῇ, ἔγραψεν κατ᾽ αὐτῶν ἐπι-
12 στολὴν τήνδε 12Βασιλεὺς Πτολεμαῖος Φιλοπάτωρ τοῖς κατ᾽ Αἴγυπτον
καὶ κατὰ τόπον στρατηγοῖς καὶ στρατιώταις χαίρειν καὶ ἐρρῶσθαι.
13 14 13ἔρρωμαι δὲ καὶ αὐτὸς ἐγὼ καὶ τὰ πράγματα ἡμῶν. 14τῆς εἰς τὴν
᾽Ασίαν γενομένης ἡμῖν ἐπιστρατίας, ἧς ἴστε καὶ αὐτοί, τῇ τῶν θεῶν
15 ἀπροπτώτῳ συμμαχίᾳ κατὰ λόγον ἐπὶ τέλος ἀχθείσης, 15ἡγησάμεθα
μὴ βίᾳ δόρατος, ἐπιεικείᾳ δὲ καὶ πολλῇ φιλανθρωπίᾳ τιθηνήσασθαι
τὰ κατοικοῦντα Κοίλην Συρίαν καὶ Φοινίκην ἔθνη, εὖ ποιήσαντες
16 ἀσμένως. 16καὶ τοῖς κατὰ πόλεσιν ἱεροῖς ἀπονείμαντες προσόδους
πλείστας, προσήχθημεν καὶ εἰς τὰ Ἱεροσόλυμα ἀναβάντες τιμῆσαι
17 τὸ ἱερὸν τῶν ἀλιτηρίων καὶ μηδέποτε ληγόντων τῆς ἀνοίας. 17οἱ δὲ
λόγῳ μὲν τὴν ἡμετέραν ἀποδεξάμενοι παρουσίαν, τῷ δὲ πράγματι
νόθως, προθυμηθέντων ἡμῶν εἰσελθεῖν εἰς τὸν ναὸν αὐτῶν καὶ τοῖς
18 ἐκπρεπέσιν καὶ καλλίστοις ἀναθήμασιν τιμῆσαι, 18τύφοις φερόμενοι
παλαιοτέροις, εἶρξαν ἡμᾶς τῆς εἰσόδου, λειπόμενοι τῆς ἡμετέρας ἀλ-
19 κῆς, δι᾽ ἣν ἔχομεν πρὸς ἅπαντας ἀνθρώπους φιλανθρωπίαν. 19τὴν
δὲ αὐτῶν εἰς ἡμᾶς δυσμενίαν ἔκδηλον καθιστάντες, ὡς μονώτατοι
τῶν ἐθνῶν βασιλεῦσιν καὶ τοῖς ἑαυτῶν εὐεργέταις ὑψαυχενοῦντες
20 οὐδὲν γνήσιον βούλονται φέρειν. 20Ἡμεῖς δὲ τῇ τούτων
ἀνοίᾳ συμπεριενεχθέντες, καὶ μετὰ νίκης διακομισθέντες, καὶ εἰς
τὴν Αἴγυπτον τοῖς πᾶσιν ἔθνεσιν φιλανθρώπως ἀπαντήσαντες, κα-
21 θὼς ἔπρεπεν ἐποιήσαμεν. 21ἐν δὲ τούτοις πρὸς τοὺς ὁμοφύλους
αὐτῶν ἀμνησικακίαν ἅπασιν γνωρίζοντες, διά τε τὴν συμμαχίαν καὶ
τὰ πεπιστευμένα μετὰ ἁπλότητος αὐτοῖς ἀρχῆθεν μύρια πράγματα,

10 *συνασπισειν* V | *παν*] *παντας* V^{a} | om *εκτενες* V^{a} | *αντιληψιν* V V
11 *υπολαμβανειν* AV 12 *Πτολεμεος* A 14 *της εις*] *εκ της κατα* V | *επιστρατειας* V 15 *επιεικια* V (*-κεια* V^{a}) | *κατοικουντα*] *κατα* V | *ασμενως*] *μεν ως* AV 16 *προσ|οδους* V^{*} *προ|σ.* V^{a} | *προηχθημεν* V | *Ιεροσολυμα*] om I A^{*} (superscr A^{1}) 17 *την ημετεραν αποδεξαμενοι* sup ras A^{1} (*την ημ. αποδ. την ημ.* A^{*}) *αποδεξ. την ημ.* V | *εκπρεπεσειν* V^{*} *ευπρεπεσει* V^{a} | *ανθημασιν* A (*αναθ.* V) 18 *απαντας*] *παντας* V 19 *δυσμενειαν* V^{a} | *καθειστανtες* A *καθειστωντες* V^{*} *καθιστ.* V^{a} *μονοτατοι* V^{*} (*μονωτ.* V^{a}) | *βασιλευειν* A (*-λευσιν* V) 20 *συμπεριενεχθ.* V^{a} 21 *τε*] *δε* V | *μετα*] margine avulso periit *τα* in V^{*} *με|θ.* V^{a} | *πραγματα*]+*τολμησαντες* V

A ἐξαλλοιῶσαι ἐβουλήθημεν, καὶ πολιτίας αὐτοὺς Ἀλεξανδρέων κα-
ταξιῶσαι, καὶ μετόχους τῶν ἀεὶ ἱερέων καταστῆσαι. [22]οἱ δὲ τοὐ- 22
ναντίον ἐκδεχόμενοι καὶ τῇ συμφύτῳ κακοηθείᾳ τὸ καλὸν ἀπωσά-
μενοι, διηνεκῶς δὲ εἰς τὸ φαῦλον ἐκνεύοντες, [23]οὐ μόνον ἀπεστρέ- 23
ψαντο τὴν ἀτίμητον πολιτίαν, ἀλλὰ καὶ βδελύσσονται λόγῳ τε καὶ
σιγῇ τοὺς ἐν αὐτοῖς ὀλίγους πρὸς ἡμᾶς γνησίως διακειμένους,
παρ᾽ ἕκαστα ὑφορώμενοι μετὰ τῆς δυσκλεεστάτης ἐμβιώσεως διὰ
τάχους ἡμᾶς καταστρέψαι τὰ πράγματα. [24]διὸ καὶ τεκμηρίοις κα- 24
λῶς πεπεισμένοι τούτους κατὰ πάντα δυσνοεῖν ἡμῖν τρόπον, καὶ
προνοούμενοι μή ποτε ἐφνιδίου μετέπειτα ταραχῆς ἐνστάσης ἡμῖν
τοὺς δυσσεβεῖς τούτους κατὰ νώτου προδότας καὶ βαρβάρους ἔχω-
μεν πολεμίους· [25]προστετάχαμεν ἅμα τῷ προσπεσεῖν τὴν ἐπιστολὴν 25
τήνδε, αὐθωρεὶ τοὺς ἐννεμομένους σὺν ταῖς γυναιξὶ καὶ τέκνοις
μετὰ ὕβρεως καὶ σκυλμῶν ἀποστεῖλαι πρὸς ἡμᾶς ἐν δεσμοῖς σιδη-
ροῖς πάντοθεν κατακεκλεισμένους, εἰς ἀνήκεστον καὶ δυσκλεῆ πρέ-
ποντα δυσμενέσι φόνον. [26]τούτων γὰρ ὁμοῦ κολασθέντων, διει- 26
λήφαμεν εἰς τὸν ἐπίλοιπον χρόνον τελείως ἡμῖν τὰ πράγματα ἐν
εὐσταθείᾳ καὶ τῇ βελτίστῃ διαθέσει κατασταθήσεσθαι. [27]ὃς δ᾽ ἂν 27
σκεπάσῃ τινὰ τῶν Ἰουδαίων ἀπὸ γεραιοῦ μέχρι νηπίου καὶ μέχρι
τῶν ὑπομαστιαίων, ἐχθίσταις βασάνοις ἀποτυμπανισθήσεται πανοι-
κίᾳ· [28]μηνύειν δὲ τὸν βουλόμενον ἐφ᾽ ᾧ τὴν οὐσίαν τοῦ ἐμπί- 28
πτοντος ὑπὸ τὴν εὔθυναν λήμψεται, καὶ ἐκ τοῦ βασιλείου δραχμὰς
δισχιλίας, καὶ τῆς ἐλευθερίας στεφανωθήσεται. [29]πᾶς δὲ τόπος, οὗ 29
ἐὰν φωραθῇ τὸ σύνολον σκεπαζόμενος Ἰουδαῖος, ἄβατος καὶ πυρι-
φλεγὴς γινέσθω, καὶ πάσῃ θνητῇ φύσει καθ᾽ ἅπαν ἄχρηστος φανή-
σεται εἰς τὸν ἀεὶ χρόνον. [30]καὶ ὁ μὲν τῆς ἐπιστολῆς τύπος οὕτως 30
ἐγέγραπτο.

[1]Πάντῃ δὲ ὅπου προσέπιπτεν τοῦτο τὸ πρόσταγμα, δημοτελὴς 1 IV
συνίστατο τοῖς ἔθνεσιν σὺν εὐωχίᾳ μετὰ ἀλαλαγμῶν καὶ χαρᾶς, ὡς

V 21 εβουλευμεν V* (superscr θη V¹) | πολιτιας (-τειας Vᵃ)] pr της Vᵃ salt | Αλεξανδρειων V* vid (-δρεων Vᵃ) | om και μετοχους...καταστησαι V 22 εκνευοντες] εκ νεοτητος V 23 πολιτειαν Vᵃ | periit εν in V* neque suppl Vᵃ 24 τεκμηριων V* vid (-ριον Vᵃ) | πεπεισμενοι] πεπιστευμενοι V | προσνοουμ. V | αιφνιδιου V | εστασης A εν...σης V* ενουσης Vᵃ | νωτου] νοτον Vᵃ vid | εχομεν V 25 αυθωρι V | γυναιξιν V* (-ξι Vᵃ) | και 1°] pr τε V | κατακεκλεισμενοις AV | φονον] φοβον V 26 διεληφαμεν A | ευσταθια V* (-θεια Vᵃ) | βελτιστη] κρατιστη V 27 γηραιου Vᵃ | om και V | υπομασθιων V | εχθισταις] αισχισταις V 28 βασιλειον] βασιλικου αργυριου V 29 σπαζομενοι V* (σκεπαζ. V¹) | om Ιουδαιος V | καθ απαν] κατα παντα V | αχριστος V IV 1 om ουν V

ἂν τῆς προκατεσκιρωμένης αὐτοῖς πάλαι κατὰ διάνοιαν, μετὰ παρ- A
2 ρησίας νῦν ἐκφαινομένης ἀπεχθείας. [2]τοῖς δὲ Ἰουδαίοις ἄλεκτον
πένθος ἦν καὶ πανόδυρτος μετὰ δακρύων βοή, στεναγμοῖς πεπυρω-
μένης πάντοθεν αὐτῶν τῆς καρδίας, ὀλοφυρομένων τὴν ἀπροσδό-
3 κητον ἐξαίφνης αὐτοῖς ἐπικριθεῖσαν ὀλεθρίαν. [3]τίς νομὸς ἢ πόλις,
ἢ τίς τὸ σύνολον οἰκτιστος τόπος, ἢ τίνες ἀγυιαὶ κοπετοῦ καὶ γόων
4 ἐπ' αὐτοῖς οὐκ ἐνεπιπλῶντο; [4]οὕτως γὰρ μετὰ πικρίας ἀνοίκτου
ψυχῆς ὑπὸ τῶν κατὰ πόλιν στρατηγῶν ὁμοθυμαδὸν ἐξαπεστέλλοντο,
ὥστε ἐπὶ ταῖς ἐξάλλοις τιμωρίαις καί τινας τῶν ἐχθρῶν λαμβάνοντας
πρὸ τῶν ὀφθαλμῶν τὸν κοινὸν ἔλεον, καὶ λογιζομένους τὴν ἄδηλον
τοῦ βίου καταστροφήν, δακρύειν αὐτῶν τὴν δυσάθλιον ἐξαποστολήν.
5 [5]ἤγετο γὰρ γέρων πλήρης πολιᾶς πεπυκασμένος τὴν ἐκ τοῦ γή-
ρως νωθρότητα ποδῶν ἐπικύφων, ἀνατροπῆς ὁρμῇ βιαίας, ἁπάσης
6 αἰδοῦς ἄνευ πρὸς ὀξεῖαν καταχρώμενος πορείαν. [6]αἱ δὲ ἄρτι πρὸς
βίου κοινωνίαν γαμικὸν ὑπεληλυθυῖαι παστὸν νεάνιδες ἀντὶ τέρ-
ψεως μεταλαβοῦσαι γόους, καὶ κόνει τὴν μυροβρεχῆ πεφυρμέναι
κόμην, ἀκαλύπτως δὲ ἀγόμεναι, θρῆνον ἀνθ' ὑμεναίων ὁμοθυμαδὸν
7 ἐξῆρχον, ὡς ἐσπαραγμέναι σκύμνοις ἀλλοεθνέσιν· [7]δέσμιαι δὲ δη-
8 μοσίᾳ μέχρι τῆς εἰς τὸ πλοῖον ἐμβολῆς εἵλκοντο μετὰ βίας. [8]οἱ δὲ
τούτων συνζυγεῖς βρόχους ἀντὶ στεφέων τοὺς αὐχένας περιπεπλε-
γμένοι μετὰ ἀκμαίας νεανικῆς ἡλικίας, ἀντὶ εὐωχίας καὶ νεωτερικῆς
ῥᾳθυμίας τὰς ἐπιλοίπους τῶν γάμων ἡμέρας ἐν θρήνοις διῆγον, παρὰ
9 πόδας ἤδη τὸν ᾅδην ὁρῶντες κείμενον. [9]κατήχθησαν δὲ θηρίων τρό-
πον ἀγόμενοι σιδηροδέσμοις ἀνάγκαις· οἱ μὲν τοῖς ζυγοῖς τῶν πλοίων
προσηλωμένοι τοὺς τραχήλους, οἱ δὲ τοὺς πόδας ἀρρήκτοις κατησφα-
10 λισμένοι πέδαις, [10]ἔτι καὶ τῷ καθύπερθε πυκνῷ σανιδώματι διακει-
μένῳ, ὅπως πάντοθεν ἐσκοτισμένοι τοὺς ὀφθαλμούς, ἀγωγὴν ἐπι-
11 βούλων ἐν παντὶ τῷ κατάπλῳ λαμβάνωσιν. [11]Τούτων δὲ
ἐπὶ τὴν λεγομένην Σχεδίαν ἀχθέντων, καὶ τοῦ παράπλου περανθέν-

1 προκατασκειρωμενης A -σκηρ. V | απεχθειας] απεχθ.. V 2 αλη- V
κτον $V^{a\,vid}$ | πανοδυρκτος A | επεισκριθεισαν V 3 οἰκτιστὸ(ς] (sic) V |
αυτοις] αυ suppl V^{a} | om ουκ ενεπιπλωντο A | ενεπιμπλ. V^{a} 4 πικρας
V | ανοικτου] pr και V^{a} | ομοθυμαδον] ο 1° suppl V^{a} | εξαλλοις] εξαλληλοις
(ε|ξ. V^{*} εξ, V^{a}) V 5 γερων] γηραιων V | πληρης πολιας] πληθος πολια
V | πεπυκασμενων AV | επικουφον A επικυφον V | εξιαν A | καταχρωμεν A
καταχρωμενον V |ποριαν V^{*} (-ρειαν V^{a}) 6 μεταβαλουσαι V | πεφυρ-
μεναι] πεφρυγμεναι V | αλλοεθνεσι V 7 δημοσι· α (sic) A 8 δε]
τε V | συζυγεις V | βροχοις V | περιπεπλεγμενων $V^{*\,vid}$ (-μενοι $V^{1(vid)}$) |
ακμαια V^{*} (-ας V^{a}) | νεανικης] pr ς V^{*} (om V^{a}) 9 αγομενοις A | σιδη-
ροδεσμοι V | κατεσφαλισμενοι V 10 κατ' υπερθε AV^{*} καθυπερθε̄| V^{a}
11 αχθεντων] αναχθ. V | περαθεντος A^{*} (περανθ. A^{1})

A τος, καθὼς ἦν δεδογματισμένον τῷ βασιλεῖ, προσέταξεν αὐτοὺς ἐν
τῷ πρὸ τῆς πόλεως ἱπποδρόμῳ παρεμβαλεῖν ἀπλάτῳ καθεστῶτι
περιμέτρῳ, καὶ πρὸς παραδειγματισμὸν ἄγαν εὐκαιροτάτῳ καθε-
στῶτι πᾶσι τοῖς καταπορευομένοις εἰς τὴν πόλιν, καὶ τοῖς ἐκ τού-
των εἰς τὴν χώραν στελλομένοις πρὸς ἐκδημίαν· πρὸς τὸ μηδὲ ταῖς
δυνάμεσιν αὐτοῦ κοινωνεῖν μηδὲ τὸ σύνολον καταξιῶσαι περιβόλῳ.
12 ὡς δὲ τοῦτο ἐγενήθη, ἀκούσας τοὺς ἐκ τῆς πόλεως ὁμοεθνεῖς κρυβῇ 12
ἐκπορευομένους πυκνότερον ἀποδύρεσθαι τὴν ἀκλεῆ τῶν ἀδελφῶν
ταλαιπωρίαν, 13 διοργισθεὶς προσέταξεν καὶ τούτοις ὁμοῦ τὸν αὐτὸν 13
τρόπον ἐπιμελῶς ὡς ἐκείνοις ποιῆσαι, μὴ λειπομένοις κατὰ μηδένα
τρόπον τῆς ἐκείνων τιμωρίας· 14 ἀπογραφῆναι δὲ πᾶν τὸ φῦλον ἐξ 14
ὀνόματος, οὐκ εἰς τὴν ἔμπροσθεν βραχεῖ προδεδηλωμένην τῶν ἔργων
κατὰ τρόπον λατρείαν, στρεβλωθέντας δὲ παρηγγελμέναις αἰκίαις τὸ
τέλος ἀφανίσαι μιᾶς ὑπὸ καιρὸν ἡμέρας. 15 ἐγίνετο μὲν οὖν ἡ τού- 15
των ἀπογραφὴ μετὰ πικρᾶς σπουδῆς καὶ φιλοτίμου προσεδρίας ἀπὸ
ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, ἀνήνυτον λαμβάνουσα τὸ τέλος ἐπὶ
ἡμέρας τεσσεράκοντα. 16 Μεγάλως δὲ καὶ διηνεκῶς ὁ βα- 16
σιλεὺς χαρᾷ πεπληρωμένος, συμπόσια ἐπὶ πάντων τῶν εἰδώλων
συνιστάμενος, πεπληρωμένῃ πόρρω τῆς ἀληθείας φρενὶ καὶ βεβήλῳ
στόματι, κωφὰ καὶ μὴ δυνάμενα αὐτοῖς λαλεῖν ἢ ἀρήγειν ἐπαινῶν,
εἰς δὲ [τὸν θεὸν] τὰ μὴ καθήκοντα λαλῶν. 17 μετὰ δὲ τὸ προειρημένον 17
τοῦ χρόνου διάστημα προσηνέγκαντο οἱ γραμματεῖς τῷ βασιλεῖ, μηκέτι
ἰσχύειν τὴν τῶν Ἰουδαίων ἀπογραφὴν ποιεῖσθαι διὰ τὴν ἀμέτρητον
αὐτῶν πληθύν· 18 καίπερ ὄντων ἔτι κατὰ τὴν χώραν τῶν πλειόνων, 18
τῶν μὲν κατὰ τὰς οἰκίας ἔτι συνεστηκότων, τῶν δὲ καὶ κατὰ τὸν τό-
πον, ὡς ἀδυνάτου καθεστῶτος πᾶσιν τοῖς ἐπ᾽ Αἴγυπτον στρατηγοῖς.
19 ἀπειλήσαντος δὲ αὐτοῖς σκληρότερον, ὡς δεδωροκοπημένοις εἰς 19
μηχανὴν τῆς ἐκφυγῆς, συνέβη σαφῶς αὐτὸν περὶ τούτου πιστω-
θῆναι, 20 λεγόντων μετὰ ἀποδείξεως καὶ τὴν χαρτηρίαν ἤδη καὶ τοὺς 20
γραφικοὺς καλάμους, ἐν οἷς ἐχρῶντο, ἐκλελοιπέναι. 21 τοῦτο δὲ ἦν 21

V 11 απλετω V | παραδειγματισμου V | ευκερωτατω V* (ευκαιροτ. V^a) | πασι V | τοις 2°] τους V | στελλομενους V | om μηδε 2° A (hab V) | περιβολων V 13 om ως εκεινοις V 14 ουκ εις] εις γαρ V | κατα τροπον] καταπονον V | στρεβλωθεντα A -τες V | παρηγγελμεναις] pr ταις V 15 om ουν V | η] + γη V | προσεδριας] προς ανδρειαν V | τεσσαρακ. V 16 om χαρα V | πεπληρωμενος] πεπλανημ. V | επι] απο V | φρενι] φρονει A | βεβιλως V* (-βηλω V^a) | κωφα] pr τα μεν V | η αρηγειν] παρηγ. V | εις δε τα μη καθ. λαλων A (om V) 17 προσηνεγκαν V 18 συνεστηκοτων] νυν εστηκ. V | om και V* (superscr V^1) | τον τοπον] om τον V | αδυνατου] δυνατου A | επ] υπο V 19 πιστωθηναι] πισθηναι V* (πεισθ. V^a) 20 χαρτηραν V | εχθρω|το V* vid (εχρ. V^a)

ἐνέργεια τῆς τοῦ βοηθοῦντος τοῖς Ἰουδαίοις ἐξ οὐρανοῦ προνοίας A
ἀνικήτου.

V 1 [1]Τότε προσκαλεσάμενος Ἕρμωνα τὸν πρὸς τῇ τῶν ἐλεφάντων
ἐπιμελείᾳ, βαρείᾳ μεμεστωμένος ὀργῇ καὶ χόλῳ κατὰ πᾶν ἀμετά-
2 θετος, [2]ἐκέλευσεν ὑπὸ τὴν ἐρχομένην ἡμέραν δαψιλέσι δράκεσι
λιβανωτοῦ καὶ οἴνῳ πλείονι ἀκράτῳ ἅπαντας τοὺς ἐλέφαντας ποτί-
σαι, ὄντας τὸν ἀριθμὸν πεντακοσίους· καὶ ἀγριωθέντας τῇ τοῦ πό-
ματος ἀφθόνῳ χορηγίᾳ εἰσαγαγεῖν πρὸς συνάντησιν τοῦ μόρου τῶν
3 Ἰουδαίων. [3]ὁ μὲν τάδε προστάσσων ἐτρέπετο πρὸς τὴν εὐωχίαν,
συναγαγὼν τοὺς μάλιστα τῶν φίλων καὶ τῆς στρατιᾶς ἀπεχθῶς
4 ἔχοντας πρὸς τοὺς Ἰουδαίους. [4]ὁ δὲ ἐλεφαντάρχης τὸ προσταγὲν
5 ἀραρότως Ἕρμων συνετέλει. [5]οἵ τε πρὸς τούτοις λειτουργοὶ κατὰ
τὴν ἑσπέραν ἐξιόντες τὰς τῶν ταλαιπωρούντων ἐδέσμευον χεῖρας,
τήν τε λοιπὴν ἐμηχανῶντο περὶ αὐτοὺς ἀσφάλειαν ἔννυχον, δό-
6 ξαντες ὁμοῦ λήμψεσθαι τὸ φῦλον πέρας τῆς ὀλεθρίας. [6]οἱ δὲ πά-
σης σκέπης ἔρημοι δοκοῦντες εἶναι τοῖς ἔθνεσιν Ἰουδαῖοι, διὰ τὴν
7 πάντοθεν περιέχουσαν αὐτοὺς μετὰ δεσμῶν ἀνάγκην, [7]τὸν παντο-
κράτορα κύριον καὶ πάσης δυνάμεως δυναστεύοντα, ἐλεήμονα θεὸν
αὐτῶν καὶ πατέρα, δυσκαταπαύστῳ βοῇ πάντες μετὰ δακρύων ἐπε-
8 καλέσαντο, δεόμενοι [8]τὴν κατ᾽ αὐτῶν μεταστρέψαι βουλὴν ἀνοσίαν,
καὶ ῥύσασθαι αὐτοὺς μετὰ μεγαλομεροῦς ἐπιφανείας ἐκ τοῦ παρὰ
9 πόδας ἐν ἑτοίμῳ μόρου. [9]τούτων μὲν οὖν ἡ λιτανία ἐκτενῶς ἀνέ-
10 βαινεν εἰς τὸν οὐρανόν. [10]ὁ δὲ Ἕρμων τοὺς ἀνηλεεῖς ἐλέφαντας
ποτίσας πεπληρωμένους τῆς τοῦ οἴνου πολλῆς χορηγίας καὶ τοῦ
λιβάνου μεμεστωμένους, ὄρθριος ἐπὶ τὴν αὐλὴν παρῆν περὶ τούτων
11 προσαγγεῖλαι τῷ βασιλεῖ. [11]τὸ δὲ ἀπ᾽ αἰῶνος κτίσμα χρόνου καλὸν
ἐν νυκτὶ καὶ ἡμέρᾳ ἐπιβαλλόμενον ὑπὸ τοῦ χαριζομένου πᾶσιν, οἷς
12 ἂν αὐτὸς θελήσει, ὕπνου μέρος ἀπέστειλεν εἰς τὸν βασιλέα· [12]καὶ
ἡδίστῳ καὶ βαθεῖ κατεσχέθη τῇ ἐνεργείᾳ τοῦ δεσπότου, τῆς ἀθέσμου
μὲν προθέσεως πολὺ διεσφαλμένος, τοῦ δὲ ἀμεταθέτου λογισμοῦ με-
13 γάλως διεψευσμένος. [13]οἵ τε Ἰουδαῖοι τὴν προσημανθεῖσαν ὥραν

V 1 την των ελ. επιμελειαν V | αμεταθετον V   2 om δρακεσι V | V
αγριωσαντας V | αφθονως A   3 τους μαλιστα] om τους V | εχοντας] εχου-
σης V   4 αραροτως τω (το V^a) προσταγεν V | Ερμων] pr τω V^* (ras V?)
5 ασφαλιαν V^* (-λειαν V^a)   7 om και 2° V   8 μεταστρεψαι] κατα-
στρεψαι V | επιφανιας V^* (-νειας V^a)   9 om ουν V | εκτενως η λιτανια
(-νεια V^a) V   10 περι τουτων] pr τα V   11 χρονου κτισμα V | θελησῃ
V^a | απεστειλεν εις τον βασιλεα subter lineas adscrips V   12 βαθει] βασει
A | κατησχεθη A | ενεργια V^* (-γεια V^a)   13 προσ|ημανθησαν V^* προ|ση-
μανθεισαν V^a

A διαφυγόντες, τὸν ἅγιον ᾔνουν θεὸν αὐτῶν· καὶ πάλιν ἠξίουν τὸν
εὐκατάλλακτον δεῖξαι μεγαλοσθενοῦς ἑαυτοῦ χειρὸς κράτος ἔθνεσιν
ὑπερηφάνοις. [14] μεσούσης δὲ ἤδη δεκάτης ὥρας σχεδόν, ὁ πρὸς 14
ταῖς κλήσεσιν τεταγμένος, ἀθρόους τοὺς κλητοὺς ἰδών, ἔνυξεν προσ-
ελθὼν τὸν βασιλέα. [15] καὶ μόλις διεγείρας, ὑπέδειξε τὸν τῆς συμ- 15
ποσίας καιρὸν ἤδη παρατρέχοντα, τὸν περὶ τούτων λόγον ποιού-
μενος. [16] ὃν ὁ βασιλεὺς λογισάμενος, καὶ τραπεὶς εἰς τὸν πότον, 16
ἐκέλευσεν τοὺς παραγεγονότας ἐπὶ τὴν συμποσίαν ἄντικρυς ἀνα-
κλῖναι αὐτοῦ. [17] οὗ καὶ γενομένου, παρῄνει εἰς εὐωχίαν δόντας 17
ἑαυτούς, τὸ παρὸν τῆς συμποσίας ἐπὶ πολὺ γεραιρομένους εἰς εὐ-
φροσύνην καταθέσθαι μέρος. [18] ἐπὶ πλεῖον δὲ προσκοπτούσης τῆς 18
ὁμιλίας, τὸν Ἕρμωνα προσκαλεσάμενος ὁ βασιλεύς, μετὰ πικρίας
ἀπειλῆς ἐπυνθάνετο τίνος ἕνεκεν αἰτίας ἰάθησαν οἱ Ἰουδαῖοι τὴν
περιοῦσαν ἡμέραν περιβεβιωκότες. [19] τοῦ δὲ ὑποδείξαντος ὅτι νυκτὸς 19
τὸ προσταγὲν ἐπὶ τέλος ἠγιοχέναι, καὶ τῶν φίλων αὐτῶν προσ-
μαρτυρησάντων· [20] τὴν ὠμότητα χείρονα Φαλάριδος ἐσχηκὼς ἔφη 20
τὸ τῆς σήμερον ὕπνῳ χάριν ἔχειν αὐτούς· ἀνυπερθέτως δὲ εἰς τὴν
ὑποστέλλουσαν ἡμέραν κατὰ τὸ ὅμοιον ἑτοίμασον τοὺς ἐλέφαντας
ἐπὶ τὸν τῶν ἀθεμίτων Ἰουδαίων ἀφανισμόν. [21] εἰπόντος δὲ τοῦ 21
βασιλέως, ἀσμένως πάντες μετὰ χαρᾶς οἱ παρόντες ὁμοῦ συναινέ-
σαντες, εἰς τὸν ἴδιον οἶκον ἕκαστος ἀνέλυσεν. [22] καὶ οὐχ οὕτως εἰς 22
ὕπνον κατεχρήσαντο τὸν χρόνον τῆς νυκτός, ὡς εἰς τὸ παντοίους
μηχανᾶσθαι τοῖς ταλαιπώροις δοκοῦσιν ἐμπαιγμούς. [23] Ἄρτι 23
δὲ ἀλεκτρυὼν ἐκέκραγεν ὄρθριος, καὶ τὰ θηρία καθωπλικὼς ὁ Ἕρμων
ἐν τῷ μεγάλῳ περιστύλῳ διεκίνει. [24] τὰ δὲ κατὰ τὴν πόλιν πλήθη 24
συνήθροιστο πρὸς τὴν οἰκτροτάτην θεωρίαν, προσδοκῶντα τὴν πρω-
ίαν μετὰ σπουδῆς. [25] οἱ δὲ Ἰουδαῖοι κατὰ τὸν ἀμερῆ ψυχουλκού- 25
μενοι χρόνον, πολύδακρυν ἱκετίαν ἐν μέλεσιν γοεροῖς τείνοντες
τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐδέοντο τοῦ μεγίστου θεοῦ πάλιν αὐτοῖς
βοηθῆσαι συντόμως. [26] οὔπω δὲ ἡλίου βολαὶ κατεπείροντο, καὶ 26

13 ευκαταλακτον (sic) AV 14 δεκατης] και της V | κλισεσιν V^* (κλησεσι V^a) | τεταγμενοις A | ενυξε V 15 υπεδειξεν V^* (-ξε V^a) 16 αυτους V 17 ου και γενομενου] και γενομενος V 18 προσκοπτουσης] προβαινουσης V | πικρας V | επυνθανεντο (sic) V^* (-νετο V^a) | ιαθησαν V^* (ειαθ. V^a)] ιασθ. A 19 τα προσταγεντα V | ηγηοχεναι V^a | αυτων] αυτου V 20 Φαιλαριδος A | υπνω] V^a (υπνω $V^{*\,fort}$) | ειχεν A (εχειν V) | υποστελλουσαν] επιτελουσαν V | αφανισμω $V^{*\,vid}$ -σμον V^a 21 συναινεσαντες] συνεσαντες (sic) A | ανελυσε V 22 ως εις το] ωστε V 25 δε] τε V | τον αμερη] τινα μερη V | ψυχολκουμενοι V | πολυδακρυον V | ικετειαν V^a | μελεσι V 26 ουπου A (ουπω V) | κατεσπιρωντο V^* -σπειρ. V^a

τοῦ βασιλέως τοὺς φίλους ἐκδεχομένου, ὁ Ἕρμων παραστὰς ἐπι- A
καλεῖ πρὸς τὴν ἔξοδον, ὑποδεικνὺς τὸ πρόθυμον τοῦ βασιλέως ἐν
27 ἑτοίμῳ κεῖσθαι. [27]τοῦ δὲ ἀποδεξαμένου καὶ καταπλαγέντος ἐπὶ τῇ
ἀνόμῳ ἐξόδῳ, κατὰ πάντα ἀγνωσίᾳ κεκρατημένος ἐπυνθάνετο, ὅτι
28 τὸ διασαφούμενον ἔτι αὐτῷ μετὰ σπουδῆς τετέλεσται. [28]τοῦτο δὲ
ἦν ἐνέργεια τοῦ πάντα δεσποτεύοντος θεοῦ, τῶν πρὶν αὐτῷ μεμη-
29 χανημένων λήθην κατὰ διάνοιαν ἐντεθεικότος. [29]ὑπεδείκνυεν ὁ Ἕρ-
μων καὶ πάντες οἱ φίλοι τὰ θηρία καὶ τὰς δυνάμεις Ἡτοίμασται,
30 βασιλεῦ, κατὰ τὴν σὴν ἐκτενῆ πρόθεσιν. [30]ὁ δὲ ἐπὶ τοῖς ῥηθεῖσιν
πληρωθεὶς βαρεῖ χόλῳ, διὰ τὸ περὶ τούτων προνοίᾳ θεοῦ διεσκε-
31 δάσθαι πᾶν αὐτοῦ νόημα, ἐνατενίσας μετὰ ἀπειλῆς εἶπεν [31]Ὅσοι
γονεῖς παρῆσαν ἢ παίδων γόνοι, τήνδε θηρσὶν ἀγρίοις ἐσκεύασαν
δαψιλῆ θοῖναν ἀντὶ τῶν ἀνεγκλήτων ἐμοὶ καὶ προγόνοις ἐμοῖς ἀπο-
32 δεδειγμένων ὁλοσχερῆ βεβαίαν πίστιν ἐξόχως Ἰουδαίων. [32]καίπερ
εἰ μὴ διὰ τὴν τῆς συστροφίας στοργὴν καὶ τῆς χρείας, τὸ ζῆν ἀντὶ
33 τούτων ἐστερήθης. [33]οὕτως ὁ Ἕρμων ἀπροσδόκητον ἐπικίνδυνον
ὑπήνεγκεν ἀπειλήν· καὶ τῇ ὁράσει καὶ τῷ προσώπῳ συνεστάλη.
34 [34]ὁ καθ' εἷς δὲ τῶν φίλων σκυθρωπῶς ὑπεκρέων, τοὺς συνηθροισμέ-
35 νους ἀπέλυσαν ἕκαστον ἐπὶ τὴν ἰδίαν ἀσχολίαν. [35]οἵ τε Ἰουδαῖοι
τὰ παρὰ τοῦ βασιλέως ἀκούσαντες, τὸν ἐπιφανῆ θεὸν Κύριον, βα-
σιλέα τῶν βασιλευόντων, ᾔνουν, καὶ τῆσδε τῆς βοηθείας αὐτοῦ
36 τετευχότες. [36]Κατὰ δὲ τοὺς αὐτοὺς νόμους ὁ βασιλεὺς
συστησάμενος πᾶν τὸ συμπόσιον, εἰς εὐφροσύνην τραπῆναι παρε-
37 κάλει. [37]τὸν δὲ Ἕρμωνα προσκαλεσάμενος μετὰ ἀπειλῆς εἶπεν
Ποσάκις δὲ δεῖ σοι περὶ τούτων αὐτῶν σοι προστάττειν, ἀθλιώτατε;
38 [38]τοὺς ἐλέφαντας ἔτι καὶ νῦν καθόπλισον εἰς τὴν αὔριον ἐπὶ τὸν
39 τῶν Ἰουδαίων ἀφανισμόν. [39]οἱ δὲ συνανακείμενοι συγγενεῖς τὴν
40 ἀσταθῆ διάνοιαν αὐτοῦ θαυμάζοντες, προεφέροντο τάδε [40]Βασιλεῦ,
μέχρι τίνος ὡς ἡμᾶς διαπειράζεις, προστάσσων ἤδη τρίτον αὐτοὺς
ἀφανίσαι, καὶ πάλιν ἐπὶ τῶν πραγμάτων ἐκ μεταβολῆς ἀναλύων τὰ

26 εκδεχομενος V | επικαλει] εκαλει V | υποδεικνυων V | εν ετοι V^* (εν V ετοιμη V^a) 27 ανομω] παρανομω V | παντα] παν V | διασαφουμενον] διμαφουν (sic) V^* δειμ. V^a | τετελεσθαι V 28 ενεργεια] pr η V | παντα] pr τα V | δεσποτευοντος] δυναστευοντος V | μηχανευμενων V^* μεμηχανευμ. V^1 29 ητοιμασθαι V 31 αποδεδειγμ. V | εξοχωσι] (sic) A 32 στοργης A | τουτου V | εστερεθης V 33 επικινδυνον] pr και V | τη ορασει] τω θρασει V 34 απελυεν V 35 βασιλευοντων] βασιλεων V 36 τους αυτους νομους] τουτους μονους V 37 om δει V | om σοι 2° V 40 ως] + αλλογους (sic) V | τα σοι] τας οικιας A

A σοὶ δεδογμένα; 41 ὧν χάριν ἡ πόλις διὰ τὴν προσδοκίαν ὀχλεῖ· 41
καὶ πληθύουσα συστροφαῖς ἤδη καὶ κινδυνεύει πολλάκις διαρπα-
σθῆναι. 42 Ὅθεν ὁ κατὰ πάντα Φάλαρις βασιλεὺς ἐν- 42
πληθυνθεὶς ἀλογιστίας, καὶ τὰς γινομένας πρὸς ἐπισκοπὴν τῶν
Ἰουδαίων ἐν αὐτῷ μεταβολὰς τῆς ψυχῆς παρ' οὐδὲν ἡγούμενος,
ἀτελέστατον βεβαίως ὅρκον ὁρισάμενος τούτους μὲν ἀνυπερθέτως
πέμψειν εἰς ᾅδην ἐν γόνασιν καὶ ποσὶν θηρίων ᾐκισμένους, 43 ἐπι- 43
στρατεύσαντα δὲ ἐπὶ τὴν Ἰουδαίαν, ἰσόπεδον πυρὶ καὶ δόρατι στή-
σεσθαι διὰ τάχους, καὶ τὸν ἄβατον ἡμῖν αὐτῶν ναὸν πυρὶ πρή[σα]ν[τα]
ἐν τάχει τῶν συντελούντων ἐκεῖ θυσίαν εἰς τὸν ἅπαντα χρόνον
καταστήσειν. 44 τότε περιχαρεῖς ἀναλύσαντες οἱ φίλοι καὶ συγγε- 44
νεῖς μετὰ πίστεως, διέτασσον τὰς δυνάμεις ἐπὶ τοὺς εὐκαιροτάτους
τόπους τῆς πόλεως πρὸς τὴν τήρησιν. 45 ὁ δὲ ἐλεφαντάρχης τὰ 45
θηρία σχεδόν, ὡς εἶπεν, εἰς κατάστεμα μανιῶδες ἀγηοχὼς εὐωδεστά-
τοις πόμασιν οἴνῳ λελιβανωμένῳ, φοβερῶς κεκοσμημένα κατασκευαῖς,
46 περὶ τὴν ἕω, τῆς πόλεως ἤδη πλήθεσιν ἀναριθμήτοις κατὰ τοῦ 46
ἱπποδρόμου καταμεμεστωμένης, εἰσελθὼν εἰς τὴν αὐλὴν ἐπὶ τὸ
προκείμενον ὤτρυνε τὸν βασιλέα. 47 ὁ δὲ ὀργῇ βαρείᾳ γεμίσας 47
δυσσεβῆ φρένα, παντὶ τῷ βάρει σὺν τοῖς θηρίοις ἐξώρμησε, βου-
λόμενος ἀτρώτῳ καρδίᾳ καὶ κόραις ὀφθαλμῶν θεάσασθαι τὴν ἐπί-
πονον καὶ ταλαίπωρον τῶν προσεσημαμμένων καταστροφήν. 48 ὡς 48
δὲ τῶν ἐλεφάντων ἐξιόντων ἐπὶ πύλην, καὶ τῆς ἑπομένης ἐνόπλου
δυνάμεως τῆς τε τοῦ πλήθους πορίας κονιορτὸν ἰδόντες, καὶ βα-
ρυηχῆ θόρυβον ἀκούσαντες οἱ Ἰουδαῖοι, 49 ὑστάτην βίου ῥοπὴν αὐ- 49
τοῖς ἐκείνην δόξαντες εἶναι τὸ τέλος τῆς ἀθλιωτάτης προσδοκίας,
εἰς οἶκτον καὶ γόους τραπέντες, κατεφίλουν ἀλλήλους, περιπλεκό-
μενοι τοῖς συγγενέσιν, ἐπὶ τοὺς τραχήλους ἐπιπίπτοντες, γονεῖς παι-
σὶν καὶ μητέρες νεάνισιν· ἕτεραι δὲ νεογνὰ πρὸς μαστοὺς ἔχουσαι
βρέφη τελευταῖον ἕλκοντα γάλα. 50 οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς ἔμ- 50
προσθεν αὐτῶν γεγενημένας ἀντιλήμψεις ἐξ οὐρανοῦ συνιδόντες,

V 41 συστροφας V* vid (-φαις V^a) 42 Φαλαρεις A | εμπληθυνθεις V^a | αλοτιαις V* (-γιστιαις V^1) | ατενεστατον A* vid (ατελ. A^?) | αδην] αλην (sic) A^vid 43 στησεσθαι] θησεσθαι V | τον αβατον] post τον ras 2 litt A^? | αυτων ημιν V | πρησαντα] πρην AV | θυσιας V 45 αγηοχως V^a | om φοβερως κεκοσμημενα V | κατασκευας V + ας V^a (mg) 46 καταμεμεστωμενοις A 47 εξωρμησεν V* 48 επι] περι V | om τε V | πορειας V^a 49 om αυτοις V | αθλειοτατης A | περιπλεκομενην V* (-νοι V^1) | συνγενουσιν V | επεπιπτον V^a vid | om μητερες V | μαστων V | εχουσαι] εχοντες AV* (εχουσαι V^a) | ελκοντα γαλα] ελκονται αλλ A 50 αντιληψεις V

πρηνεῖς ὁμοθυμαδὸν ῥίψαντες ἑαυτούς, καὶ τὰ νήπια χωρίσαντες A
51 τῶν μαστῶν, [51]ἀνεβόησαν φωνῇ μεγάλῃ σφόδρα, τὸν τῆς ἁπάσης
δυνάστην ἱκετεύοντες, οἰκτεῖραι μετὰ ἐπιφανείας αὐτοὺς ἤδη πρὸς
πύλαις ᾅδου καθεστῶτας.

VI 1 [1]Ἐλεάζαρος δέ τις ἀνὴρ ἐπίσημος τῶν ἀπὸ τῆς χώρας Ἰουδαίων ἐν
πρεσβείῳ τὴν ἡλικίαν ἤδη λελογχὼς καὶ πάσῃ τῇ κατὰ τὸν βίον ἀρετῇ
κεκοσμημένος, τοὺς περὶ αὐτὸν καταστείλας πρεσβυτέρους ἐπικαλεῖ-
2 σθαι τὸν ἅγιον θεόν, καὶ προσηύξατο τάδε [2]Βασιλεῦ μεγαλοκράτωρ,
ὕψιστε, παντοκράτωρ θεέ, τὴν πᾶσαν διακυβερνῶν ἐν οἰκτιρμοῖς
3 κτίσιν, [3]ἔπιδε ἐπὶ Ἀβραὰμ σπέρμα, ἐφ᾽ ἡγιασμένου τέκνα Ἰακώβ,
μερίδος ἡγιασμένης σου λαὸν ἐν ξένῃ γῇ ξένον ἀδίκως ἀπολλύμενον.
4 [4]πάτερ, σὺ Φαραὼ πληθύνοντα ἅρμασιν τὸν πρὶν Αἰγύπτου ταύτης
δυνάστην ἐπαρθέντα ἀνόμῳ θράσει καὶ γλώσσῃ μεγαλορήμονι σὺν
τῇ ὑπερηφάνῳ στρατιᾷ ποντοβρόχους ἀπώλεσας, φέγγος ἐπιφάνας
5 ἐλέους Ἰσραὴλ γένει. [5]σὺ τὸν ἀναριθμήτοις δυνάμεσιν γαυρωθέντα
Σενναχηρεὶμ βαρὺν Ἀσσυρίων βασιλέα, δόρατι τὴν πᾶσαν ὑποχείριον
ἤδη λαβόντα γῆν καὶ μετεωρισθέντα ἐπὶ τὴν ἁγίαν σου πόλιν, βαρέα
λαλοῦντα κόμπῳ καὶ θράσει, σύ, δέσποτα, ἔθραυσας, ἔκδηλον δεικνὺς
6 ἔθνεσιν πολλοῖς τὸ σὸν κράτος. [6]σὺ τοὺς κατὰ τὴν Βαβυλωνίαν
τρεῖς ἑταίρους πυρὶ τὴν ψυχὴν αὐθαιρέτως δεδωκότας εἰς τὸ μὴ
λατρεῦσαι τοῖς κενοῖς, διάπυρον δροσίσας κάμινον, ἐρρύσω μέχρι
7 τριχὸς ἀπημάντους, φλόγα πᾶσιν ἐπιπέμψας τοῖς ὑπεναντίοις. [7]σὺ
τὸν διαβολαῖς φθόνου λέουσι κατὰ γῆς ῥιφέντα θηρσὶν βορὰν Δανιὴλ
8 εἰς φῶς ἀνήγαγες ἀσινῆ· [8]τόν τε βυθοτρεφοῦς ἐν γαστρὶ κήτους
Ἰωνᾶν τηκόμενον ἀφιδὼν ἀπήμαντον πᾶσιν οἰκείοις ἀναδείξας,
9 πάτερ. [9]καὶ νῦν, μισοῦβρι, πολυέλεε, τῶν ὅλων δικαστά, τάχος
ἐπιφάνηθι τοῖς ἁγίοις Ἰσραὴλ γένους, ὑπὸ ἐβδελυγμένων ἀνόμων

51 απασης] πασης δυναμεως V | επιφανιας V* (-νειας V^a) | καθεστωτες V* V (-τας V^a) VI 1 Ιουδαιων] ιερεων V | λελοχως V | καταστειλας] κατατησας V* (καταστησ. V^a) | om και 2° V 2 μεγαλοκρατορ V^a | υψιστα A | παντοκρατορ V^a | οικτειρμοις V* (οικτιρμ. V^a) 3 om επι V | εφ] απο V | ξενων V | απολλυμενων V^a 4 πατερ συ Φαραω] υπο Φαραω sup ras A^a seq spat 2 fort litt | πληθυοντα V | ανομω] τω V | μεγαλωρ. V* μεγαλορ. V^a | ποντοβρυχ. V | απολεσας V* (απωλ. V^a) | ελεου V* (-ους V^a) 5 δυναμεσι V | γαρωθεντα V* (γαυρ. V^a) | Σεναχειρειμ V | βαρυ|ν V* (ν improb V^a) | την πασαν υποχει, [κ]αι μετεωρισθεν, βαρεα λαλουντα madore corrosa rescr V^a | βαρια V* -ρεια V^a | θραυσας V | δικνυεις V* (δεικνυεις V^a) 6 Βαβυλωνα V | διαπυρου V | δροσισας] χρονιας V | καμινου V | ερυσω V* (ερρ. V^a) | τοιχος vel τειχος A* (τριχ. A^1) | φλογα πασιν] φλογασιν (sic) A 7 βορα A 7—9 multa paene evanuere, nonnulla rescr V^a 8 βυθοντρεφους (sic, sed ε rescr) V | αφιδων] αφελων V 9 μισυβρι V | δικαστα] σκεπαστα V | ταχος] pr το V | αγιοις] απο V

A ἐθνῶν ὑβριζομένοις. [10] εἰ δὲ ἀσεβείαις κατὰ τὴν ἀποικίαν ὁ βίος 10
ἡμῶν ἐνέσχηται, ῥυσάμενος ἡμᾶς ἀπὸ ἐχθρῶν χειρός, ᾧ προαιρῇ,
δέσποτα, ἀπόλεσον ἡμᾶς μόρῳ. [11] μὴ τοῖς ματαίοις οἱ ματαιόφρονες 11
εὐλογησάτωσαν ἐπὶ τῇ τῶν ἠγαπημένων σου ἀπωλείᾳ, λέγοντες Οὐδὲ
ὁ θεὸς αὐτῶν ἐρύσατο αὐτούς. [12] σὺ δὲ ὁ πᾶσαν ἀλκὴν καὶ δυναστείαν 12
ἔχων ἅπασαν, αἰώνιε, νῦν ἔπιδε· ἐλέησον ἡμᾶς τοὺς καθ᾽ ὕβριν
ἀνόμων ἀλόγιστον ἐκ τοῦ ζῆν μεθισταμένους ἐν ἐπιβούλων τρόπῳ.
[13] πτηξάτω δὲ ἔθνη σὴν δύναμιν ἀνίκητον σήμερον, ἔντιμε, δυνάμεις 13
ἔχων ἐπὶ σωτηρίαν Ἰακὼβ γένους. [14] ἱκετεύει σε τὸ πᾶν πλῆθος τῶν 14
νηπίων καὶ οἱ τούτων γονεῖς μετὰ δακρύων. [15] δειχθήτω πᾶσιν 15
ἔθνεσιν, ὅτι μεθ᾽ ἡμῶν εἶ, κύριε, καὶ οὐκ ἀπέστρεψας τὸ πρόσωπόν
σου ἀφ᾽ ἡμῶν· ἀλλὰ καθὼς εἶπας Οὐδὲ ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν
ὄντων ὑπέριδον αὐτούς, οὕτως ἐπιτέλεσον, κύριε. [16] Τοῦ δὲ 16
Ἐλεαζάρου λήγοντος ἄρτι τῆς προσευχῆς, ὁ βασιλεὺς σὺν τοῖς θηρίοις
καὶ παντὶ τῷ τῆς δυνάμεως φρυάγματι κατὰ τὸν ἱππόδρομον παρῆγεν.
[17] καὶ θεωρήσαντες οἱ Ἰουδαῖοι, μέγα εἰς οὐρανὸν ἀνέκραξαν, ὥστε 17
καὶ τοὺς παρακειμένους αὐλῶνας συνηχήσαντας ἀκατάσχετον πτοὴν
ποιῆσαι παντὶ τῷ στρατοπέδῳ. [18] τότε ὁ μεγαλόδοξος καὶ παντο- 18
κράτωρ καὶ ἀληθινὸς θεός, ἐπιφάνας τὸ ἅγιον αὐτοῦ πρόσωπον,
ἠνέῳξεν τὰς οὐρανίους πύλας, ἐξ ὧν δεδοξασμένοι δύο φοβεροειδεῖς
ἄγγελοι κατέβησαν φανεροὶ πᾶσιν πλὴν τοῖς Ἰουδαίοις, [19] καὶ ἀντέ- 19
στησαν, καὶ τὴν δύναμιν τῶν ὑπεναντίων ἐπλήρωσαν ταραχῆς καὶ
δειλίας καὶ ἀκινήτοις ἔδησαν πέδαις. [20] καὶ ὑπόφρικον καὶ τὸ τοῦ 20
βασιλέως σῶμα ἐγενήθη, καὶ λήθη τὸ θράσος αὐτοῦ τὸ βαρύθυμον
ἔλαβεν. [21] καὶ ἀπέστρεψαν τὰ θηρία ἐπὶ τὰς συνεπομένας ἐνόπλους 21
δυνάμεις, καὶ κατεπάτουν αὐτοὺς καὶ ὠλέθρευον. [22] Καὶ μετε- 22
στράφη τοῦ βασιλέως ἡ ὀργὴ εἰς οἶκτον καὶ δάκρυα ὑπὲρ τῶν ἔμπρο-
σθεν αὐτῷ μεμηχανευμένων. [23] ἀκούσας γὰρ τῆς κραυγῆς, καὶ συνιδὼν 23
πρηνεῖς ἅπαντας εἰς τὴν ἀπώλειαν, δακρύσας μετ᾽ ὀργῆς τοῖς φίλοις
διηπειλεῖτο, λέγων [24] Παραβασιλεύετε, καὶ τυράννους ὑπερβεβηκότες 24
ὠμότητι· καὶ ἐμὲ αὐτὸν τὸν ὑμῶν εὐεργέτην ἐπιχειρεῖτε τῆς ἀρχῆς ἤδη
καὶ τοῦ πνεύματος μεθιστᾶν, λάθρα μηχανώμενοι τὰ μὴ συμφέροντα

V 9 υβριζομενους V 10 ω] ως V 11 om τη V | απωλια V* (-λεια V^a) | ερρυσατο V^a 12 ανομον V | μεθισтανομενους V 13 εντιμε] εν τινι με A | δυναμεις] δυναμει A δυναμιν V | σωτηρια V 15 om εθνεσιν V | ουδε] οτι ουδ V | υπερειδον V 17 συνηχθησαντας AV | om πτοην V 18 om και 1° V 20 βαρυθμον V* (-θυμ. V^a) 21 αυτας V 23 διη-πειλειτο] ηπειλειτο V* (-λητο V^a) 24 υπερβεβηκετε V | εμε αυτον] εμαυτον V | τον υμων] om τον V | επιχειρητε V* (-ρειτε V^a)

25 τῇ βασιλείᾳ. [25]τίς τοὺς κρατήσαντας ἡμῶν ἐν πίστει τὰ τῆς χώρας A
ὀχυρώματα τῆς οἰκίας ἀποστήσας, ἕκαστον ἀλόγως ἤθροισεν ἐνθάδε;
26 [26]τίς τοὺς ἐξ ἀρχῆς εὐνοίᾳ πρὸς ἡμᾶς κατὰ πάντα διαφέροντας πάντων
ἐθνῶν, καὶ τοὺς χειρίστους πλεονάκις ἀνθρώπων ἐπιδεδειγμένους
27 κινδύνους, οὕτως ἀθέσμως περιέβαλεν αἰκίαις; [27]λύσατε, ἐκλύσατε
ἄδικα δεσμά· εἰς τὰ ἴδια μετ᾿ εἰρήνης ἐξαποστείλατε, τὰ προστεταγμένα
28 παραιτησάμενοι. [28]ἀπολύσατε τοὺς υἱοὺς τοῦ παντοκράτορος ἐπου-
ρανίου θεοῦ ζῶντος, ὃς ἀφ᾿ ἡμετέρων μέχρι τοῦ νῦν προγόνων ἀπα-
ραπόδιστον εὐστάθειαν μετὰ δόξης προφέρει τοῖς ἡμετέροις πράγ-
29 μασιν. [29]ὁ μὲν οὖν ταῦτα ἐξέλεξεν· οἱ δὲ ἐν ἀμερεῖ χρόνῳ λυθέντες,
τὸν ἅγιον σωτῆρα θεὸν αὐτῶν ηὐλόγουν, ἄρτι τὸν θάνατον ἐκπεφυ-
30 γότες. [30]Εἶτα ὁ βασιλεὺς εἰς τὴν πόλιν τὸν ἐπὶ τῶν προσόδων
προσκαλεσάμενος, ἐκέλευσεν οἴνους τε καὶ τὰ λοιπὰ πρὸς εὐωχίαν
ἐπιτήδεια τοῖς Ἰουδαίοις χορηγεῖν ἐπὶ ἡμέρας ἑπτά, κρίνας αὐτούς,
ἐν ᾧ τόπῳ ἔδοξαν τὸν ὄλεθρον ἀναλαμβάνειν, ἐν τούτῳ ἐν εὐφροσύνῃ
31 πάσῃ σωτήρια ἀγαγεῖν. [31]τότε οἱ τὸ πρὶν ἐπονείδιστοι καὶ πλησίον
τοῦ ᾅδου, μᾶλλον δὲ ἐπ᾿ αὐτῷ βεβηκότες, ἀντὶ πικροῦ καὶ δυσατάκτου
μόρου κώθωνα σωτήριον συστησάμενοι, τὸν εἰς πτῶσιν αὐτοῖς καὶ
τάφον ἡτοιμασμένον τόπον κλισίας κατεμερίσαντο πλήρεις χαρμονῆς.
32 [32]καταλήξαντες δὲ θρήνων πανόδυρτον μέλος, ἀνέλαβον ᾠδὴν πάτριον,
τὸν Ἰσραὴλ σωτῆρα καὶ τερατοποιὸν αἰνοῦντες θεόν· οἰμωγὴν δὲ
πᾶσαν καὶ κωκυτὸν ἀπωσάμενοι, χοροὺς συνίσταντο εὐφροσύνης
33 εἰρηνικῆς σημεῖον. [33]ὡσαύτως δὲ καὶ ὁ βασιλεὺς περὶ τούτων συμ-
πόσιον βαρὺ συνάγων, ἀδιαλείπτως εἰς οὐρανὸν ἀνθωμολογεῖτο μεγα-
34 λομερῶς ἐπὶ τῇ παραδόξῳ γενηθείσῃ αὐτῶν σωτηρίᾳ. [34]οἵ τε πρὶν εἰς
ὄλεθρον καὶ οἰωνοβρώτους αὐτοὺς ἔσεσθαι τιθέμενοι καὶ μετὰ χαρᾶς
ἀπογραψάμενοι, κατεστέναξαν αἰσχύνην ἐφ᾿ ἑαυτοῖς περιβαλόμενοι,
35 καὶ πυρόπνουν τόλμαν ἀκμαίως ἐσβεσμένοι. [35]οἵ τε Ἰουδαῖοι, καθὼς
προειρήκαμεν, συστησάμενοι τὸν προειρημένον χορόν, μετ᾿ εὐωχίας

25 τις τους κρατησαντας] της του κρατησαντος A | αποστησας] αποδησας V V | ενθα V 26 παντα] παντας A | και] pr μεσον δε V | επιδεδειγμ. V 27 προστεταγμενοι] προπεπραγμενα V 28 μετα δοξης ευσταθειαν V | προφερει] παρεχει V 29—30 multa paene evanuere in V 29 εξελεξεν] ελεξεν V 30 πολιν] + απαλλαγεις V | ευωχιαν] ευχιων (sic) V | σωτηριαν V | αγαγειν] αγειν V 31 πληρης V* (-ρεις V[a]) 32 καταληξαντες] ε sup ras A[a] | θρηνων V | πανοδ. μελος] pr και V | Ισραηλ σωτηρα] Ιηλ· ορα· (sic) A om σωτηρα V | δε 2°] τε V | ειρηνικης] ειρηνης V 33 συναγαγων V | om αυτων V 34 οινοβρωτους A | om και 2° V | απογραψαμενοι] αποστρεψαμενοι V | εφ] επι V | περιβαλλομενοι V | πυροπνουν] pr την V | ακμαιως] ακλεως V 35 χορον] χρονον A χρον· (sic) V* (χορον V[a])

A ἐν ἐξομολογήσεσιν ἱλαραῖς καὶ ψαλμοῖς διῆγον. 36καὶ κοινὸν ὁρισά- 36
μενοι περὶ τούτων θεσμὸν, ἐπὶ πᾶσαν τὴν παροικίαν αὐτῶν εἰς γενεάς,
τὰς προειρημένας ἡμέρας ἄγειν ἔστησαν εὐφροσύνους, οὐ πότου χάριν
καὶ λιχνείας, σωτηρίας δὲ τῆς διὰ θεὸν γενομένης αὐτοῖς. 37ἐνέτυχον 37
δὲ τῷ βασιλεῖ, τὴν ἀπόλυσιν αὐτῶν εἰς τὰ ἴδια αἰτούμενοι.
38Ἀπογράφονται δὲ αὐτοὺς ἀπὸ πέμπτης καὶ εἰκάδος τοῦ Παχὼν 38
ἕως τῆς τετάρτης τοῦ Ἐπιφί, ἐπὶ ἡμέρας τεσσαράκοντα· συνίστανται
δὲ αὐτῶν τὴν ἀπώλειαν ἀπὸ πέμπτης τοῦ Ἐπιφὶ ἕως ἑβδόμης, ἡμέραις
τρισίν. 39ἐν αἷς καὶ μεγαλοδόξως ἐπιφάνας τὸ ἔλεος αὐτοῦ ὁ τῶν 39
πάντων δυνάστης ἀπταίστους αὐτοὺς ἐρρύσατο ὁμοθυμαδόν.
40Εὐωχοῦντο δὲ πάνθ᾽ ὑπὸ τοῦ βασιλέως χορηγούμενοι μέχρι 40
τῆς τεσσαρεσκαιδεκάτης, ἐν ᾗ καὶ τὴν ἐντυχίαν ἐποιήσαντο περὶ τῆς
ἀπολύσεως αὐτῶν. 41συναινέσας δὲ αὐτοῖς ὁ βασιλεὺς ἔγραψεν 41
αὐτοῖς τὴν ὑπογεγραμμένην ἐπιστολὴν πρὸς τοὺς κατὰ πόλιν στρα-
τηγοὺς μεγαλοψύχως τὴν ἐκτενίαν ἔχουσαν 1Βασιλεὺς Πτολεμαῖος 1 VII
Φιλοπάτωρ τοῖς κατ᾽ Αἴγυπτον στρατηγοῖς καὶ πᾶσιν τοῖς τετα-
γμένοις ἐπὶ πραγμάτων χαίρειν καὶ ἐρρῶσθαι. 2ἐρρώμεθα δὲ καὶ 2
αὐτοὶ καὶ τὰ τέκνα ἡμῶν, κατευθύνοντος ἡμῖν τοῦ μεγάλου θεοῦ
τὰ προστάγματα, καθὼς προαιρούμεθα. 3τῶν φίλων τινὲς κατὰ 3
κακοήθειαν πυκνότερον ἡμῖν παρακείμενοι, συνέπεισαν ἡμᾶς εἰς
τὸ τοὺς ὑπὸ τὴν βασιλείαν Ἰουδαίους συναθροίσαντας τὰ συ-
στήματα κολάζεσθαι ξενιζούσαις ἀποστάντων τιμωρίαις· 4προ- 4
φερόμενοι μηδέποτε εὐσταθήσειν τὰ πράγματα ἡμῶν, δι᾽ ἣν ἔχουσιν
οὗτοι πρὸς τὰ ἔθνη δυσμενίαν, μέχρι ἂν συντελεσθῇ τοῦτο. 5οἳ καὶ 5
δεσμίους καταγαγόντες αὐτοὺς μετὰ σκυλμῶν ὡς ἀνδράποδα, μᾶλλον
δὲ ὡς ἐπιβούλους, ἄνευ πάσης ἀνακρίσεως καὶ ἐξετάσεως ἐπεχείρησαν
ἀνελεῖν, νόμου Σκυθῶν ἀγριωτέραν ἐμπεπηρμένοι ὠμότητα. 6ἡμεῖς δὲ 6
ἐπὶ τούτοις σκληρότερον διαπειλησάμενοι, καθ᾽ ἣν ἔχομεν πρὸς
ἅπαντας ἀνθρώπους ἐπιεικίαν, μόγις τὸ ζῆν αὐτοῖς χαριζόμενοι, καὶ
τὸν ἐπουράνιον θεὸν ἐγνωκότες ἀσφαλῶς ὑπερησπικότα τῶν Ἰουδαίων,

V 36 λιχνιας V 38 εικαδος] ος sup ras V? | om του Παχων V | Επιφει (1°) A | om επι V | ημερας V* (-ραις Va) 39 om αυτους V 40 πανθ] π sup ras A? 41 δε] τε V VII 1 ερρωσθε A 2 κατευθυναντος V | προσταγματα] πραγματα V | καθως προαιρ.] καθωσπερ αιρ. V 3 των φιλων] pr και V | om κατα V | συνεπεισαν] επεισαν V | τα συστηματα] om τα V | κολασασθαι V | αποστατων V 4 μηδεποτε] μηποτε V | εθνη] pr παντα V | δυσμενειαν Va | om αν V 5 καταγαγοντες] συναγαγοντες V | επεχειρησαν] προεπεχ. V | om ανελειν V | εμπεπηρμενοι] εμπεπορπημενοι V | ωμοτητα] ωμ rescr Va 6 δε] γε V | απαντας] παντας V | επιεικειαν Va | χαρισαμενοι V

7 ὡς πατέρα ὑπὲρ υἱῶν διὰ παντὸς συμμαχοῦντα, [7]τήν τε τοῦ φίλου A
ἣν ἔχουσιν βεβαίαν πρὸς ἡμᾶς καὶ τοὺς προγόνους ἡμῶν εὔνοιαν
ἀναλογισάμενοι, δικαίως ἀπολελύκαμεν πάσης καθ' ὁντινοῦν αἰτίας
8 τρόπον. [8]καὶ προστετάχαμεν ἑκάστῳ πάντας εἰς τὰ ἴδια ἐπιστρέ-
φειν, ἐν παντὶ τρόπῳ μηθενὸς αὐτοὺς τὸ σύνολον καταβλάπτοντος,
9 μήτε ὀνειδίζοντος περὶ τῶν γεγενημένων παρὰ λόγον. [9]γινώσκετε γὰρ
ὅτι κατὰ τούτων ἐάν τι κακοτεχνήσωμεν πονηρόν, ἢ ἐπιλυπήσωμεν
αὐτοὺς τὸ σύνολον, οὐκ ἄνθρωπον, ἀλλὰ τὸν πάσης δεσπόζοντα
δυνάμεως θεὸν ὕψιστον ἀντικείμενον ἡμῖν ἐπ' ἐκδίκησιν τῶν πραγ-
10 μάτων κατὰ πᾶν ἀφεύκτως διὰ παντὸς ἕξομεν. ἔρρωσθε. [10]Λα-
βόντες δὲ τὴν ἐπιστολὴν ταύτην, οὐκ ἐσπούδασαν εὐθέως περὶ τὴν
ἄφοδον, ἀλλὰ τὸν βασιλέα προσηξίωσαν τοὺς ἐκ τοῦ γένους τῶν
Ἰουδαίων τὸν ἅγιον θεὸν αὐθαιρέτως παραβεβηκότας τοῦ θεοῦ τὸν
11 νόμον, τυχεῖν δι' αὐτῶν τῆς ὀφειλομένης κολάσεως· [11]προφερόμενοι
τοὺς γαστρὸς ἕνεκεν τὰ θεῖα παραβεβηκότας προστάγματα μηδέποτε
12 εὐνοήσειν μηδὲ τοῖς τοῦ βασιλέως προστάγμασιν. [12]ὁ δὲ τἀληθὲς αὐτοὺς
λέγειν παραδεξάμενος καὶ παραινέσας, ἔδωκεν αὐτοῖς ἄδειαν πάντων,
ὅπως τοὺς παραβεβηκότας τοῦ θεοῦ τὸν νόμον ἐξολεθρεύσωσιν κατὰ
πάντα τὸν ὑπὸ τῆς βασιλείας αὐτοῦ τόπον μετὰ παρρησίας, ἄνευ
13 πάσης βασιλικῆς ἐξουσίας καὶ ἐπισκέψεως. [13]τότε κατευφημήσαντες
αὐτόν, ὡς πρέπον ἦν, οἱ τούτων ἱερεῖς καὶ πᾶν τὸ πλῆθος, ἐπιφωνή-
14 σαντες τὸ ἀλληλουιά, μετὰ χαρᾶς ἀνέλυσαν· [14]οὗτοί τε τὸν ἐμπεσόντα
τῶν μεμιαμμένων ὁμοεθνῆ κατὰ τὴν ὁδὸν ἀπέκτεννον, καὶ μετὰ παρα-
15 δειγματισμῶν ἀνῄρουν. [15]ἐκείνῃ δὲ τῇ ἡμέρᾳ ἀνεῖλον ὑπὲρ τοὺς
τριακοσίους ἄνδρας, ἣν καὶ ἤγαγον εὐφροσύνην μετὰ χαρᾶς βεβήλους
16 χειρωσάμενοι. [16]αὐτοὶ δὲ οἱ μέχρι θανάτου τὸν θεὸν ἐσχηκότες,
παντελῆ σωτηρίαν ἀπόλυσιν ἐσχηκότες, ἀνέζευξαν ἐκ τῆς πόλεως
παντοίοις· εὐωδεστάτοις ἄνθεσιν κατεστεμμένοι μετ' εὐφροσύνης καὶ

6 πατερα] $\overline{\pi\eta\rho}$ (sic) V 7 ην] pr δι AV | εχουσι V | απελυσαμεν V | om V πασης V | καθ οντινα ουν V[a] 8 τροπω] τοπω V | μηθεν A μηδενος V | αυτοις V | ονειδιζοντος] ονειδιζειν V | γεγενημενων] γενομενων V 9 κακοτεχνασωμεν V | εκδικησει V | ερρωσθαι AV* (-σθε V[a]) 10 ευθεως] + γενεσθαι V | αφοδον] ανωδον V (ανοδ. V[a]) | βασιλεως A | προσηξιωσαν] ξιω sup ras A[a] | αυθετως V* (-θαιρετως V[a]) | δια την A (δι αυτων V) | οφειλομενης] οφιλουσης V* (οφειλ. V[a]) 11 προσταγμασιν] πραγμασιν V 12 εξολοθρευσωσιν V* (-σι V[a]) | την βασιλειαν V | και 2°] η V 13 το αλλ.] pr τον A 14 ουτοι] ουτως V | μεμιασμενων V | ομοεθνει V* (-νη V[a]) | απεκτεννον] εκολαζοντο V | παραδειγμ. V 15 om ην V | χειρωσαμενοι] κεχειρωμενοι V 16 σωτηριαν απολυσιν] σωτηριας απολαυσιν V | εσχηκοτες 2°] ειληφοτες V | ανεζευξεν A | om ευωδεστατοις V | ανθεσι V

A βοῆς, ἐν αἴνοις καὶ παμμελέσιν ὕμνοις εὐχαριστοῦντες τῷ θεῷ τῶν
πατέρων αὐτῶν ἁγίῳ σωτῆρι τοῦ Ἰσραήλ. 17 Παραγενηθέντες 17
δὲ εἰς Πτολεμαΐδα τὴν ὀνομαζομένην διὰ τὴν τοῦ τόπου ἰδιότητα
ῥοδοφόρον, ἐν ᾗ προσέμεινεν αὐτοὺς ὁ στόλος κατὰ κοινὴν αὐτῶν
βουλὴν ἡμέρας ἑπτά, 18 ἐκεῖ ἐποίησαν πότον σωτηρίου, τοῦ βασιλέως 18
χορηγήσαντος αὐτοῖς εὐψύχως τὰ πρὸς τὴν ἄφιξιν πάντα ἑκάστῳ ἕως
ἐπὶ τὴν ἰδίαν οἰκίαν. 19 καταχθέντες δὲ μετ᾽ εἰρήνης ἐν ταῖς πρεπού- 19
σαις ἐξομολογήσεσιν, ὡσαύτως κἀκεῖ ἔστησαν καὶ ταύτας ἄγειν τὰς
ἡμέρας ἐπὶ τὸν τῆς παροικίας αὐτῶν χρόνον εὐφροσύνους· 20 ἃς καὶ 20
ἀνιερώσαντες ἐν στήλῃ, κατὰ τὸν τῆς συμποσίας τόπον προσευχῆς
καθιδρύσαντες, ἀνέλυσαν ἀσινεῖς, ἐλεύθεροι, ὑπερχαρεῖς, διά τε γῆς
καὶ θαλάσσης καὶ ποταμοῦ ἀνασῳζόμενοι τῇ τοῦ βασιλέως ἐπιταγῇ,
ἕκαστος εἰς τὴν 21 ἔμπροσθεν, ἐν τοῖς ἐχθροῖς ἐξουσίαν ἐσχηκότες 21
μετὰ δόξης καὶ φόβου, τὸ σύνολον ὑπὸ μηδενὸς διασεισθέντες τῶν
ὑπαρχόντων. 22 καὶ πάντα τὰ ἑαυτῶν πάντες ἐκομίσαντο ἐξ ἀπο- 22
γραφῆς, ὥστε τοὺς ἔχοντάς τι μετὰ φόρου μεγίστου ἀποδοῦναι αὐτοῖς,
τὰ μεγαλεῖα τοῦ μεγάλου θεοῦ ποιήσαντος τελέως ἐπὶ σωτηρίᾳ αὐτῶν.
23 Εὐλογητὸς ὁ ῥύστης Ἰσραηλ εἰς τοὺς ἀεὶ χρόνους. ἀμήν. 23

V 16 om εν A? (hab ut vid ante ενοις (sic) A*) | παμμελεσιν V^a | αγιω σωτηρι] αγιων σοι A αιωνιω V 17 ροδοφανον A 18 σωτηριον V | παντας A | επι] εις V 19 χρονον sup ras A^a 20 καθυδρυσαντες (sic) A | υπερχαρις A | εκαστον A | εις την] + ιδιαν· και πλειστην V 21 om εν V | φοβου και δοξης V 22 φορου] φοβου V | μεγαλου] μεγιστου V | τελειως V

Subscr Μακκαβαιων γ´ AV

ΜΑΚΚΑΒΑΙΩΝ Δ

I 1 ΦΙΛΟΣΟΦΩΤΑΤΟΝ λόγον ἐπιδείκνυσθαι μέλλων, εἰ αὐτοδέσποτός A
ἐστιν τῶν παθῶν ὁ εὐσεβὴς λογισμός, συμβουλεύσαιμ᾽ ἂν ὑμῖν ὀρθῶς
2 ὅπως προθύμως προσέχητε τῇ φιλοσοφίᾳ. [2]καὶ γὰρ ἀναγκαῖος εἰς
ἐπιστήμην παντὶ ὁ λόγος, καὶ ἄλλως τῆς μεγίστης ἀρετῆς, λέγω δὴ
3 φρονήσεως, περιέχει ἔπαινον. [3]εἰ ἄρα τῶν σωφροσύνης κωλυτικῶν
παθῶν ὁ λογισμὸς φαίνεται ἐπικρατεῖν, γαστριμαργίας τε καὶ ἐπι-
4 θυμίας· [4]ἀλλὰ καὶ τῶν τῆς δικαιοσύνης ἐμποδιστικῶν παθῶν κυριεύειν
ἀναφαίνεται, οἷον κακοηθείας, καὶ τῶν τῆς ἀνδρίας ἐμποδιστικῶν
5 παθῶν, θυμοῦ τε καὶ πόνου καὶ φόβου. [5]πῶς οὖν, ἴσως εἴποιεν ἄν
τινες, εἰ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ, λήθης καὶ ἀγνοίας οὐ δεσπό-
6 ζει; γελοῖον ἐπιχειροῦντες λέγειν· [6]οὐ γὰρ τῶν ἑαυτοῦ παθῶν ὁ
λογισμὸς κρατεῖ, ἀλλὰ τῶν τῆς δικαιοσύνης καὶ ἀνδρείας καὶ σω-
φροσύνης καὶ φρονήσεως ἐναντίων· καὶ τούτων, οὐχ ὥστε αὐτὰ κατα-
7 λῦσαι, ἀλλ᾽ ὥστε αὐτοῖς μὴ εἶξαι. [7]Πολλαχόθεν μὲν οὖν καὶ
ἀλλαχόθεν ἔχοιμ᾽ ἂν ὑμῖν ἐπιδεῖξαι, ὅτι αὐτοκράτωρ ἐστὶν τῶν παθῶν
8 ὁ εὐσεβὴς λογισμός. [8]πολὺ δὲ πλέον τοῦτο ἀποδείξαιμι ἀπὸ τῆς
ἀνδραγαθείας τῶν ὑπὲρ ἀρετῆν ἀποθανόντων, Ἐλεαζάρου τε καὶ
9 ἑπτὰ ἀδελφῶν καὶ τῆς τούτων μητρός. [9]ἅπαντες γὰρ οὗτοι τῶν ἕως
θανάτου πόνων ὑπεριδόντες ἐπεδείξαντο ὅτι περικρατεῖ τῶν παθῶν

Inscr Μακκαβαιων δ' ℵAV I 1 μελλον V* (-λλων V[a]) | om ευσε- ℵV
βης V | προσεχητε προθυμως ℵV | φιλοσοφια] + τοις μελλουσιν λεγεσθαι V
2 μεγιστης] + ων V 3 ει αρα] η γαρ V* ου γαρ μεν V[a] 4 εμπο-
διστικων (1°) A | κυριευειν] κωλυειν V | κακοηθιας ℵ | και 2°] pr τε V | αν-
δρειας V: item 6 | θυμου] pr κυριευειν αναφαινεται V | φοβου και πονου ℵ
5 ειποιεν αν τις ℵ* ειποι αν τις ℵ[c.a]V 6 εαυτου] αυτου ℵV | om και
φρονησεως ℵV | τουτων] των τοιουτων ℵ 7 αυτοκρατωρ] pr δεσποτης
V | om ευσεβης ℵV 8 ανδραγαθειας] καλοκαγαθιας ℵ ανδρειας V*
(ανδραγ. V[1 mg]) | αρετης ℵV | επτα] pr των ℵ* (improb ℵ[c.a]) 9 παντες
ℵ* (απαντες ℵ[c.a]) | τους εως θαν. πονους ℵV

A ὁ λογισμός. 10 τῶν μὲν οὖν ἀρετῶν ἔπεστί μοι ἐπαινεῖν τοὺς κατὰ 10
τοῦτον τὸν καιρὸν ὑπὲρ τῆς καλοκἀγαθίας ἀποθανόντας μετὰ τῆς
μητρὸς ἄνδρας· τῶν δὲ τιμῶν μακαρίσαιμ' ἄν. 11 θαυμασθέντες γὰρ 11
ἐκεῖνοι οὐ μόνον ὑπὸ πάντων ἀνθρώπων ἐπὶ τῇ ἀνδρίᾳ καὶ τῇ
ὑπομονῇ, ἀλλὰ καὶ ὑπὸ τῶν αἰκισαμένων, αἴτιοι κατέστησαν τοῦ
καταλυθῆναι τὴν κατὰ τοῦ ἔθνους τυραννίδα, νικήσαντες τὸν τύραννον
τῇ ὑπομονῇ, ὥστε καθαρισθῆναι δι' αὐτῶν τὴν πατρίδα. 12 ἀλλὰ καὶ 12
περὶ τούτου νῦν αὐτίκα δὴ λέγειν ἐξέσται, ἀρξαμένων τῆς ὑποθέσεως,
ὅπερ εἴωθα ποιεῖν, καὶ οὕτως εἰς τὸν περὶ αὐτῶν τρέψομαι λόγον,
δόξαν διδοὺς τῷ πανσόφῳ θεῷ.

13 Ζητοῦμεν δὴ τοίνυν, εἰ αὐτοκράτωρ ἐστὶν τῶν παθῶν ὁ λογισμός. 13
14 διακρίνωμεν δέ, τί ποτέ ἐστιν λογισμός, καὶ τί πάθος, καὶ πόσαι 14
παθῶν ἰδέαι, καὶ εἰ πάντων ἐπικρατεῖ τούτων ὁ λογισμός. 15 λογισμὸς 15
μὲν δὴ τοίνυν ἐστὶν νοῦς μετὰ ὀρθοῦ βίου προτιμῶν τὸν σοφίας λόγον.
16 σοφία δὴ τοίνυν ἐστὶν γνῶσις θείων καὶ ἀνθρωπίνων πραγμάτων, 16
καὶ τῶν τούτων αἰτιῶν. 17 αὕτη δὴ τοίνυν ἐστὶν ἡ τοῦ νόμου παι- 17
δία, δι' ἧς τὰ θεῖα σεμνῶς καὶ τὰ ἀνθρώπινα συμφερόντως μαν-
θάνομεν. 18 Τῆς δὲ σοφίας ἰδέαι καθεστᾶσιν φρόνησις καὶ 18
δικαιοσύνη καὶ ἀνδρία καὶ σωφροσύνη. 19 κυριωτάτη δὲ πάντων ἡ 19
φρόνησις, ἐξ ἧς δὴ τῶν παθῶν ὁ λογισμὸς ἐπικρατεῖ. 20 παθῶν δὲ 20
φύσεις εἰσὶν αἱ περιεκτικώταται δύο, ἡδονή τε καὶ πόνος· τούτων δὲ
ἑκάτερον καὶ περὶ τὴν ψυχὴν πέφυκεν. 21 πολλαὶ δὲ καὶ περὶ τὴν 21
ἡδονὴν καὶ τὸν πόνον παθῶν εἰσιν ἀκολουθίαι. 22 πρὸ μὲν οὖν τῆς 22
ἡδονῆς ἐστιν ἐπιθυμία· μετὰ δὲ τὴν ἡδονήν, χαρά. 23 πρὸ δὲ τοῦ 23

ℵV 10 κατα τουτον] κατ εκεινον V | ανδρας] παιδας V | μακαρισαιμι V^{a} | αν] + αυτους V 11 om εκεινοι ℵ | επι τη ανδρια (-δρεια V)] επ ανδρια ℵ | και τη υπομονη] om ℵ* και υπομ. $ℵ^{c.a}$V 12 τουτου] του ℵ τουτων V | om νυν V | αρξαμενω ℵV | om εις V | αυτον V* (αυτων V^{a}) 13 ζητουμεν δη τοινυν] ζητουμενου δη τουτου V | αυτοκρατωρ] δεσποτης V | εστι ℵ* (-τιν $ℵ^{c.a}$) 14 διακρινωμεν δε] διακρινομεν ℵ* και διακρινομεν $ℵ^{c.a}$ διακρινωμεν V | om τι 2° ℵ | παθων] pr των V 15 om μεν ℵ* (hab $ℵ^{c.a}$) | om δη V | ορθου (-θους A) βιου] ορθου λογου ℵV | σοφιας λογον] σοφιας βιον ℵ σοφον βιον V 16 γνως V* (γνωσις $V^{a(vid)}$) | ανθρωπιων ℵ 17 παιδεια V | συμφεροντως] υμφερ rescr $ℵ^{1}$ 18 καθεστηκασιν ℵ + τεσσαρες $ℵ^{c.b}$ | ανδρεια V 19 κυριοτατη A κυριοτητι V* (-ωτατη V^{a}) | δη] δεη (sic) A δε ℵ | των παθων] om των ℵ 20 φυσις ℵA | εκατερος ℵ* εκατερων V* (-ρον $ℵ^{c.a}V^{a}$) | και περι] pr και περι το σωμα η γλωσσα (sic) V* improb η γλ. $V^{1(fort)}$ | πεφυκος V^{a} 21 πολλα A | τω̄| πονων A (sed το̄ prius ut vid) | παθων] αγαθω̄| ℵ | ακολουθιαι] ακολουθ rescr $ℵ^{1}$

24 πόνου ἐστὶν φόβος· μετὰ δὲ τὸν πόνον, λύπη. [24]θυμὸς δὲ κοινὸν A
πάθος ἐστὶν ἡδονῆς καὶ πόνου, ἐὰν ἐννοηθῇ τις ὅτι αὐτῷ περιέπεσεν.
25 [25]ἐν δὲ τῇ ἡδονῇ ἔστιν καὶ ἡ κακοήθης διάθεσις, πολυτροπωτάτη
26 πάντων τῶν παθῶν οὖσα. [26]κατὰ μὲν ψυχῆς ἀλαζονία καὶ φιλαργυ-
27 ρία καὶ φιλοδοξία καὶ φιλονεικία καὶ βασκανία· [27]κατὰ δὲ τὸ σῶμα
28 παντοφαγία καὶ λαιμαργία καὶ μονοφαγία. [28]καθάπερ οὖν δυοῖν
τοῦ σώματος καὶ τῆς ψυχῆς φυτῶν ὄντων ἡδονῆς τε καὶ πόνου, πολλαὶ
29 τούτων τῶν παθῶν εἰσιν παραφυάδες· [29]ὧν ἕκαστος ὁ παγγέωργος
λογισμὸς περικαθαίρων τε καὶ ἀποκνίζων καὶ περιπλέκων καὶ ἐπάρ-
δων καὶ πάντα τρόπον μεταχέων ἐξημεροῖ τὰς τῶν ἠθῶν καὶ παθῶν
30 ὕλας. [30]Ὁ γὰρ λογισμὸς τῶν μὲν ἀρετῶν ἐστιν ἡγεμών, τῶν
δὲ παθῶν αὐτοκράτωρ. ἐπιθεώρει γε τοίνυν πρῶτον διὰ τῶν κωλυτι-
κῶν τῆς σωφροσύνης ἔργων, ὅτι αὐτοδέσποτός ἐστιν τῶν παθῶν ὁ
31 λογισμός. [31]σωφροσύνη δὴ τοίνυν ἐστὶν ἐπικράτεια τῶν ἐπιθυμιῶν.
32 [32]τῶν δὲ ἐπιθυμιῶν αἱ μέν εἰσιν ψυχικαί, αἱ δὲ σωματικαί· καὶ τού-
33 των ἀμφοτέρων ὁ λογισμὸς ἐπικρατεῖν φαίνεται. [33]ἐπεὶ πόθεν
κινούμενοι πρὸς τὰς ἀπειρημένας τροφάς, ἀποτρεπόμεθα τὰς ἐξ αὐτῶν
ἡδονάς; οὐχ ὅτι δύναται τῶν ὀρέξεων ἐπικρατεῖν ὁ λογισμός; ἐγὼ
34 μὲν οἶμαι. [34]τοιγαροῦν ἐνύδρων ἐπιθυμοῦντες καὶ ὀρνέων καὶ τετρα-
πόδων, παντοίων βρωμάτων τῶν ἀπηγορευμένων ἡμῖν κατὰ τὸν νόμον
35 ἀπεχόμεθα διὰ τὴν τοῦ λογισμοῦ ἐπικράτειαν. [35]ἀντέχεται γὰρ τὰ
τῶν ὀρέξεων πάθη ὑπὸ τοῦ σώφρονος νοὸς ἀνακαμπτόμενα· καὶ
φιλοτιμοῦνται πάντα τὰ τοῦ σώματος κινήματα ὑπὸ τοῦ λογισμοῦ.
II 1 [1]Καὶ τί θαυμαστόν, εἰ αἱ τῆς ψυχῆς ἐπιθυμίαι πρὸς τὴν τοῦ
2 κάλλους μετουσίαν ἀκυροῦνται; [2]ταύτῃ γοῦν ὁ σώφρων Ἰωσὴφ
ἐπαινεῖται, ὅτι τῷ λογισμῷ διανοίᾳ περιεκράτησεν τῆς ἡδυπαθείας.
3 [3]νέος γὰρ ὢν καὶ ἀκμάζων πρὸς συνουσιασμὸν ἠκύρωσεν τῷ λογισμῷ

24 και] pr τε V | οτε] οτι ℵV 25 εν τη ηδ. δε ℵV | εστιν] ενεστι] ℵV ℵ | πολυποτρωτατη (sic) A | ουσα των παθων ℵV 26 κατα] και τα ℵ | αλαζονεια V^a | φιλοδοξια] κενοδοξια V 27 και λαιμαργια και νομοφαγια A και μονοφαγια και λαιμαργια ℵ και μονοφαγια V 28 δυειν ℵV | παθων] φυτων ℵ 29 εκαστην ℵV (-τιν V* -την V^a) | om τε ℵ | επαρδων] δων sup ras ℵ^1 30 αυτοκρατωρ] δεσποτης V | γε τοινυν πρωτον] τοινυν πρ. ℵ* δε πρ. ℵ^{c.a, c.b} γε το πρ. V 31 om δη V | επικρατια ℵV* (-τεια V^a) 32 om και V | επικρατειν ο λογισμος ℵ 33 αποτρεπομεθα] αποστρεφομεθα ℵV | μεν] γαρ ℵ | οιμε| (sic) A 34 παντοιων] pr και ℵ | βρωματων των] βρωματα οντων A | κατα] δια ℵ* (κατα ℵ^{c.a}) | επικρατιαν V* (-τειαν V^a) 35 ανεχεται ℵ | ανακαμπτομενα (-μεθα A)] ανακοπτομενα ℵV | φιλοτιμουνται] φιμουται ℵ (φειμ.) V II 2 om τω λογισμω ℵ | περιεκρατησε V 3 ηκυρωσε ℵ

A τὸν τῶν παθῶν οἶστρον. [4]οὐ μόνον δὲ τὴν τῆς ἡδυπαθείας οἰστρη- 4
λασίαν ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται, ἀλλὰ καὶ πάσης ἐπιθυμίας.
[5]λέγει γοῦν ὁ νόμος Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, 5
οὐδὲ ὅσα τῷ πλησίον σού ἐστιν. [6]καίτοι ὅτε μὴ ἐπιθυμεῖν εἴρηκεν 6
ἡμᾶς ὁ νόμος, πολὺ πλέον πείσαιμ' ἂν ὑμᾶς ὅτι τῶν ἐπιθυμιῶν κρα-
τεῖν δύναται ὁ λογισμός, ὥσπερ καὶ τῶν κωλυτικῶν τῆς δικαιοσύνης
παθῶν. [7]ἐπεὶ τίνα τρόπον μονοφάγος τις ὢν τὸ ἦθος καὶ γαστρί- 7
μαργος καὶ μέθυσος μεταπαιδεύεται, εἰ μὴ δῆλον ὅτι κύριός ἐστιν
τῶν παθῶν ὁ λογισμός; [8]αὐτίκα γοῦν τῷ νόμῳ πολιτευόμενος, κἂν 8
φιλάργυρός τις εἴη, βιάζεται τὸν ἑαυτοῦ τρόπον, τοῖς δεομένοις δανί-
ζων χωρὶς τόκων, καὶ τὸ δάνειον τῶν ἑβδομάδων ἐνστασῶν χρεοκο-
πούμενος. [9]κἂν φειδωλός τις ᾖ, ὑπὸ τοῦ νόμου κρατεῖται διὰ τὸν λο- 9
γισμόν, μήτε ἐπικαρπούμενος τοὺς ἀμήτους, μήτε ἐπιρωγολογούμενος
τοὺς ἀμπελῶνας· καὶ ἐπὶ τῶν ἑτέρων δ' ἔστιν ἐπιγνῶναι τοῦθ', ὅτι
τῶν παθῶν ἐστιν ὁ λογισμὸς κρατῶν. [10]ὁ γὰρ νόμος καὶ τῆς πρὸς 10
γονεῖς εὐνοίας κρατεῖ, μὴ καταπροδιδοὺς τὴν ἀρετὴν δι' αὐτούς· [11]καὶ 11
τῆς πρὸς γαμετῆς φιλίας ἐπικρατεῖ, διὰ παρανομίαν αὐτὴν ἀπελέγχων·
[12]καὶ τῆς τέκνων φιλίας κυριεύει, διὰ κακίαν αὐτῶν κολάζων· καὶ τῆς 12
φίλων συνηθείας δεσπόζει, διὰ πονηρίας αὐτοὺς ἐξελέγχων. [13]καὶ 13
μὴ νομίσητε παράδοξον εἶναι, ὅπου καὶ ἔχθραν ὁ λογισμὸς ἐπικρατεῖν
δύναται διὰ τὸν νόμον, [14]μηδὲ δενδροτομῶν τὰ ἥμερα τῶν πολεμίων 14
φυτά, τὰ δὲ τῶν ἐχθρῶν τοῖς ἀπολέσασιν διασῴζων, καὶ τὰ πεπτωκότα
συνεγείρων. [15]Καὶ διὰ τῶν βιαιοτέρων δὲ παθῶν κρατεῖν ὁ λο- 15
γισμὸς φαίνεται, φιλαρχίας καὶ κενοδοξίας καὶ ἀλαζονίας καὶ μεγαλαυ-
χίας καὶ βασκανίας. [16]πάντα γὰρ ταῦτα τὰ κακοήθη πάθη ὁ σώφρων 16
νοῦς ἀπωθεῖται, ὥσπερ καὶ τὸν θυμόν· καὶ γὰρ τούτου δεσπόζει. [17]θυ- 17

ℵV 4 ου] pr και ℵ* (improb ℵ[c.a, c.b]) | την της] της της (sic) A την επι της ℵ* (improb ℵ[c.a]) V | ο λογισμος επικρατειν ℵ 5 om σου 2° V 6 om οτε V | πεισαιμι αν V[a] | δυναται κρατειν V | παθων] πασων A (ω rescr A[1]) 7 τινα τις τροπον μονοφαγος (-γως V) ℵV | και 2°] pr η ℵV 8 τω νομω] pr ο V | ειη] η ℵV | εαυτου] αυτου ℵ | δανειζων V[a] | om και V | δανειον V[a] | ενστασων ℵV] ενταssων A | χρεωκοπ. V[a] 9 επικαρπολογουμενος ℵV | επιρωλογ. V* (επιρωγολογ. V[1]) | ετερων] εργων ℵV | δ] δε ℵV | τουθ] τουτο ℵV | κρατων] ν sup ras A[a] (-των A* vid) 10 γονεας V 11 προσ-γαμετης] προς γαμετην ℵV | παρανομιαν] pr την ℵV 12 αυτων] αυτους ℵ αυτα V | συνηθιας ℵ | πονηριαν ℵV | εξελεγχων] ελεγχων V 13 εχθραν ο λογισμος επικρατειν] εχθρας επικρ. ο λογ. ℵV 14 μηδε] μητε ℵV | απολεσασι ℵV 15 om δια ℵ[c.a, c.b]V | βιοτερων (sic) A | κρατειν] επικρατειν ℵ[c.a] | φιλαρχιας] φιλαργυριας ℵ* (-χιας ℵ[c.b]) | αλαζονειας ℵV[a] 16 om τα ℵ* (hab ℵ[c.a])

μούμενος γέ τοι Μωσῆς κατὰ Δαθὰν καὶ Ἀβειρών, οὐ θυμῷ τι κατ᾽ αὐ- A
18 τῶν ἐποίησεν, ἀλλὰ λογισμῷ τὸν θυμὸν διῄτησεν. [18]δυνατὸς γὰρ
ὁ σώφρων νοῦς, ὡς ἔφην, κατὰ τῶν παθῶν ἀριστεῦσαι, καὶ τὰ μὲν
19 αὐτῶν μεταθεῖναι, τὰ δὲ καὶ ἀκυρῶσαι. [19]ἐπεὶ διὰ τί ὁ πάνσοφος
ἡμῶν πατὴρ Ἰακὼβ τοὺς περὶ Συμεὼν καὶ Λευεὶν αἰτιᾶται μὴ λογισμῷ
τοὺς Σικιμίτας ἐθνηδὸν ἀποσφάξαντας, λέγων Ἐπικατάρατος ὁ θυμὸς
20 αὐτῶν; [20]εἰ μὴ γὰρ ἐδύνατο τῶν θυμῶν ὁ λογισμὸς κρατεῖν, οὐκ ἂν
21 εἶπεν οὕτως. [21]ὁπηνίκα γὰρ ὁ θεὸς τὸν ἄνθρωπον κατεσκεύασεν, τὰ
22 πάθη αὐτοῦ καὶ τὰ ἤθη περιεφύτευσεν· [22]καὶ τηνικαῦτα δὲ περὶ
πάντων τὸν ἱερὸν ἡγεμόνα νοῦν διὰ τῶν αἰσθητηρίων ἐνεθρόνισεν·
23 [23]καὶ τούτῳ νόμον ἔδωκεν, καθ᾽ ὃν πολιτευόμενος βασιλεύσει βασιλείαν
σώφρονά τε καὶ δικαίαν καὶ ἀγαθὴν καὶ ἀνδρείαν.

24 [24]Πῶς οὖν, εἴποι τις ἄν, εἰ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ, λήθης
III 1 καὶ ἀγνοίας οὐ κρατεῖ; [1]ἔστι δὲ κομιδῇ γελοῖος ὁ λογισμός· οὐ γὰρ
τῶν ἑαυτοῦ παθῶν ὁ λογισμὸς ἐπικρατεῖν φαίνεται, ἀλλὰ τῶν σω-
2 ματικῶν. [2]οἷον ἐπιθυμίαν τις ὑμῶν οὐ δύναται ἐκκόψαι, ἀλλὰ μὴ
3 δουλωθῆναι τῇ ἐπιθυμίᾳ δύναται ὁ λογισμὸς παρασχέσθαι. [3]θυμόν
τις οὐ δύναται ἐκκόψαι ὑμῶν τῆς ψυχῆς, ἀλλὰ τῷ θυμῷ δυνατὸν βοη-
4 θῆσαι. [4]κακοήθειάν τις ὑμῶν οὐ δύναται ἐκκόψαι, ἀλλὰ τὸ μὴ καμ-
5 φθῆναι τῇ κακοηθείᾳ δυνατὸν ὁ λογισμὸς συμμαχῆσαι. [5]οὐ γὰρ ἐκρι-
6 ζωτὴς τῶν παθῶν ὁ λογισμός ἐστιν, ἀλλὰ ἀνταγωνιστής. [6]ἔστιν γοῦν
τοῦτο διὰ τῆς Δαυεὶδ τοῦ βασιλέως δίψης σαφέστερον ἐπιλογίσασθαι.
7 [7]ἐπεὶ γὰρ δι᾽ ὅλης ἡμέρας προσβάλλων τοῖς ἀλλοφύλοις ὁ Δαυεὶδ πολ-
8 λοὺς αὐτῶν ἀπέκτεινεν μετὰ τῶν τοῦ ἔθνους στρατιωτῶν, [8]τότε δὴ
γενομένης ἑσπέρας, ἱδρῶν καὶ σφόδρα κεκμηκώς, ἐπὶ τὴν βασίλειον

17 Μωυσης V | Αβιρων V* (-βηρ. V[a]) 18 δυνατος] ικανος ℵ* (δυν. ℵV ℵ[c.b]) | μεταθειναι] μετα sup ras A[1 (fort)] 19 Σικειμιτας A | αυτων] + οτι αυθαδης V 20 εδυνετο A | των θυμων ο λογισμος] του θυμου ο λογ. ℵ ο λογ. των παθων V 21 κατεσκευασεν τον ανθρωπον ℵ 22 και τηνικαυτα δε] τηνικαυτα δε sup ras A[a] ηνικα δε ℵ πινακα δε V | περι] επι ℵV | παντων] + των (sic) A 23 και 1°] ι sup ras 3 litt A[1] | δεδωκεν ℵ | βασιλειαν] βα sup ras A[a] | om και 2° A 24 ειποιτε ℵ* (ειποι τις αν ℵ[c.a]) | κρατει 1°] δεσποτης εστιν V 24—III 1 om κρατει ληθης...εαυτου παθων ο λογισμος ℵ* hab δεσποτης εστιν ο λογισμος ληθης και αγνοιας ου κρατι εστιν δε κομιδη γελοιος ο λογος ου γαρ των εαυτου παθων ο λογισμος (add κρα sed rursus improb) ℵ[c] III 1 εστιν V | λογισμος 1°] λογος V | επικρατειν] κρατειν ℵ[c.a] επικρατων V | αλλα] αλα (sic) ℵ 2 εκκοψαι ου δυναται υμων ℵ ου δυν. εκκ. υμ. V | μη δουλ.] pr το V | παρεχεσθαι ℵ* (παρασχ. ℵ[c.a]) V 3 υμων εκκοψαι ℵ | δυνατον] + τον λογισμον ℵV 4 κακοηθιαν, κακοηθια ℵ | δυνατον] δυναιτ αν ℵ δυναται V 7 ημερας] pr της V | προσβαλων ℵV | ο Δαυειδ] om ο V 8 ιδρων] pr εσπευδεν ℵ

A σκηνὴν ἦλθεν, περὶ ἣν ὁ πᾶς τῶν προγόνων στρατὸς ἐστρατοπεδεύκει.
9 οἱ μὲν οὖν ἄλλοι πάντες ἐπὶ τὸ δεῖπνον ἦσαν· 10 ὁ δὲ βασιλεὺς ὡς 9 10
μάλιστα διψῶν, καίπερ ἀφθόνους ἔχων πηγάς, οὐκ ἠδύνατο δι' αὐ-
τῶν ἰάσασθαι τὴν δίψαν. 11 ἀλλά τις αὐτὸν ἀλόγιστος ἐπιθυμία 11
τοῦ παρὰ τοῖς πολεμίοις ὕδατος ἐπιτείνουσα συνέφρυγε, καὶ λύουσα
κατέφλεγεν. 12 ὅθεν τῶν ὑπερασπιστῶν ἐπὶ τῇ τοῦ βασιλέως ἐπι- 12
θυμίᾳ σχετλιαζόντων, δύο νεανίσκοι στρατιῶται καρτεροί, καταιδε-
σθέντες τὴν τοῦ βασιλέως ἐπιθυμίαν, τὰς πανοπλίας καθωπλίσαντο,
καὶ κάλπιν λαβόντες ὑπερέβησαν τοὺς τῶν πολεμίων χάρακας· 13 καὶ 13
λαθόντες τοὺς τῶν πυλῶν ἀκροφύλακας, διεξῄεσαν εὐράμενοι κατὰ
πᾶν τὸ τῶν πολεμίων στρατόπεδον. 14 καὶ ἀνευράμενοι θαρραλέως 14
τὴν πηγήν, ἐξ αὐτῆς ἐγέμισαν τῷ βασιλεῖ τὸ ποτόν. 15 ὁ δὲ καὶ περὶ 15
τὴν δίψαν διαπυρούμενος, ἐλογίσατο πάνδεινον εἶναι κίνδυνον τῇ
ψυχῇ λογισθὲν ἰσοδύναμον τὸ ποτὸν αἵματι. 16 ὅθεν ἀντιθεὶς τῇ 16
ἐπιθυμίᾳ τὸν λογισμόν, ἔσπεισεν τὸ πόμα τῷ θεῷ. 17 δυνατὸς γὰρ 17
ὁ σώφρων νοῦς νικῆσαι τὰς τῶν παθῶν ἀνάγκας, καὶ σβέσαι τὰς τῶν
οἴστρων φλεγμονάς, 18 καὶ τὰς τῶν σωμάτων ἀλγηδόνας καθ' ὑπερ- 18
βολὴν οὔσας καταπαλαῖσαι, καὶ τῆς καλοκἀγαθίας τοῦ λογισμοῦ
ἀποπτύσαι πάσας τὰς τῶν παθῶν ἐπικρατίας.

19 Ἤδη δὲ καὶ ὁ καιρὸς ἡμᾶς καλεῖ ἐπὶ τὴν ἀπόδειξιν τῆς ἱστορίας 19
τοῦ σώφρονος λογισμοῦ. 20 ἐπειδὴ γὰρ βαθεῖαν εἰρήνην διὰ τὴν 20
εὐνομίαν οἱ πατέρες ἡμῶν εἶχον, καὶ ἔπραττον καλῶς, ὥστε καὶ τὸν
τῆς Ἀσίας βασιλέα Σέλευκον τὸν Νικάνορα καὶ χρήματα εἰς τὴν
ἱερουργίαν αὐτοῖς ἀφορίσαι, καὶ τὴν πολιτίαν αὐτῶν ἀποδέχεσθαι·
21 τότε δή τινες πρὸς τὴν κοινὴν νεωτερίσαντες ὁμόνοιαν πολυτρόπως 21
ἐχρήσαντο συμφοραῖς. 1 Σίμων γάρ τις πρὸς Ὀνίαν ἀντιπολι- 1 IV
τευόμενος τόν ποτε τὴν ἀρχιερωσύνην ἔχοντα διὰ βίου, καλὸν καὶ

ℵV 8 εστρατοπεδευκε... V* (παιδ. Va) 10 om ως ℵ 11 διεφρυγε] ℵ* συνεφρυγεν ℵc.aV 12 υπερασπιστων] υπασπιστων ℵ | πανοπλιας] παντευχιας ℵV | καλπιν ℵ καρπιν V* καρπην V1(vid) 12—13 χαρακας| και sup ras et in mg Aa 13 ευραμενοι] ανευρωμενοι ℵ* ανερευνωμενοι ℵc.aV | στρατοπαιδιον A* (-δον A? vid) 14 ανευραμενοι] ανεραυνομενοι (sic) V | θαρραλεως την πηγην εξ αυτης] τη| πηγην εξ αυτ. θαρρ. ℵV | εγεμισαν] εκομισαν ℵV | το βασ. V* (τω β. Va) 15 και περι] καιπερ ℵ και V | τη διψα V* τη διψη Va | τη ψυχη] om τη ℵ | το ποτον] om το ℵV 16 πομα sup ras et in mg Aa 18 ουσας] pr δυνατας ℵ | τη καλοκαγαθια ℵV | επικρατειας ℵVa 19 om και V 20 τον Νικανορος V | αφορισαι] αποφορισαι A | πολειτειαν ℵ πολιτειαν V 21 τοτε δη τινες| προς την in mg et sup ras Aa | πολυτροποις ℵV

ἀγαθὸν ἄνδρα, ἐπειδὴ πάντα τρόπον διαβάλλων ὑπὲρ τοῦ ἔθνους A
2 οὐκ ἴσχυσεν κακῶσαι, φυγὰς ᾤχετο, τὴν πατρίδα προδώσων. ²ὅθεν
ἥκων πρὸς Ἀπολλώνιον, τὸν Συρίας τε καὶ Φοινίκης καὶ Κιλικίας
3 στρατηγόν, ἔλεγεν ³Εὔνους ὢν τοῖς τοῦ βασιλέως πράγμασιν ἥκω,
μηνύων πολλὰς ἰδιωτικῶν χρημάτων μυριάδας ἐν τοῖς Ἰεροσολύμων
γαζοφυλακίοις τεθησαυρίσθαι τῷ ἱερῷ μὴ ἐπικοινωνούσας, ἀλλὰ προσ-
4 ήκειν ταῦτα Σελεύκῳ τῷ βασιλεῖ. ⁴τούτων ἕκαστα γνοὺς ὁ Ἀπολ-
λώνιος, τὸν μὲν Σίμωνα τῆς εἰς τὸν βασιλέα κηδεμονίας ἐπαινεῖ, πρὸς
δὲ τὸν Σέλευκον ἀναβὰς κατεμήνυε τὸν τῶν χρημάτων θησαυρόν·
5 ⁵καὶ λαβὼν τὴν περὶ αὐτῶν ἐξουσίαν, ταχὺ εἰς τὴν πατρίδα ἡμῶν
6 μετὰ τοῦ καταράτου Σίμωνος καὶ βαρυτάτου στρατοῦ ⁶προσελθών,
ταῖς τοῦ βασιλέως ἐντολαῖς ἥκειν ἔλεγεν, ὅπως τὰ ἰδιωτικὰ τοῦ
7 γαζοφυλακίου λάβοι χρήματα. ⁷καὶ τοῦ ἔθνους πρὸς τὸν λόγον
σχετλιάσαντος ἀντιλέγοντός τε, πάνδεινον εἶναι νομίσαντες εἰ οἱ τὰς
παρακαταθήκας πιστεύσαντες τῷ ἱερῷ θησαυρῷ στερηθήσονται, ὡς
8 οἷόν τε ἦν ἐκώλυον. ⁸μετὰ ἀπειλῆς δὲ ὁ Ἀπολλώνιος ἀπῄει εἰς
9 τὸ ἱερόν. ⁹τῶν δὲ ἱερέων μετὰ γυναικῶν καὶ παιδίων ἐν τῷ ἱερῷ
ἱκετευσάντων τὸν θεὸν ὑπερασπίσαι τοῦ καταφρονουμένου τόπου,
10 ¹⁰ἀνιόντος τε μετὰ καθωπλισμένης στρατιᾶς τοῦ Ἀπολλωνίου πρὸς
τὴν τῶν χρημάτων ἁρπαγήν, οὐρανόθεν προυφάνησαν ἔφιπποι ἄγ-
γελοι περιαστράπτοντες τοῖς ὅπλοις, καὶ πολὺν αὐτοῖς φόβον τε καὶ
11 τρόμον ἐνιόντες. ¹¹καταπεσών γέ τοι ἡμιθανὴς ὁ Ἀπολλώνιος ἐπὶ
τὸν πάμφυλον τοῦ ἱεροῦ περίβολον, τὰς χεῖρας ἐξέτεινεν εἰς τὸν
οὐρανὸν καὶ μετὰ δακρύων τοὺς Ἑβραίους παρεκάλει ὅπως περὶ αὐτοῦ
12 εὐξόμενοι, τὸν ἐπουράνιον ἐξευμενίσωνται στρατόν. ¹²ἔλεγεν γὰρ
ἡμαρτηκώς, ὥστε καὶ ἀποθανεῖν ἄξιος ὑπάρχειν, πᾶσίν τε ἀνθρώποις

IV 1 διαβαλων V 2 ηκως A | προς] ως ℵ 3 μηνυσων V | γαζο- ℵV
φυλακειοις AV[a] | τεθησαυρισται A | τω ιερω (ω sup ras A[a?])] τοις ιεροις ℵ |
αλλα] και ℵV 4 τουτων] + δε V | κατεμηνυσε ℵ | των 4°] το A* (των A[1])
5 λαβων] ελαβεν ℵV | ταχυ] pr και ℵV 6 προελθων ℵ* (προσελθ.
ℵ[c.a]) | ηκειν] εικειν V[a] | γαζοφυλακιου (-κειου V[a]) λαβοι sup ras et in mg A[a]
7 σχετλιαζοντος ℵ | αντιλεγοντος τε] και αντιλ. V | εναι A* (ειν. A[1]) | νο-
μισαντες] νοησαντες ℵ | οι τας παρακαταθηκας] τας παρ. οι ℵ | πιστευσαντας A
8 απειλων ℵ | Απώνιος A* (Απολλ. A[1]) 9 ιερεων] γεραιων ℵ | του]
+ ιερου ℵV | τοπου] pr του ℵ 10 om τε 1° V[vid] | στρατιας] pr της ℵV | τω
Απολλωνιω V | αγγελοι προυφανησαν εφιπποι ℵ εφιπποι προεφανησαν αγγ.
V | αυτοις] αυτων ℵ | ενιοντες] ενιε|τες ℵ 11 γε] δε ℵV | om ο Απολ-
λωνιος V | om και A (hab ℵV) | παρεκαλει] ρε sup ras A[a] | ευξομενοι (εξ.
A* ευξ. A[a?])] προσευξαμενοι ℵV | επουρανιον] ουρανιον ℵV 12 τε]
δε V

A ὑμνήσειν σωθεὶς τὴν τοῦ ἱεροῦ τόπου μακαριότητα. [13]τούτοις ἐπαχθεὶς 13
τοῖς λόγοις Ὀνίας ὁ ἀρχιερεύς, καίπερ ἄλλως εὐλαβηθεὶς μή ποτε
νομίσειεν ὁ βασιλεὺς Σέλευκος ἐξ ἀνθρωπίνης ἐπιβουλῆς καὶ μὴ θείας
δίκης ἀνῃρῆσθαι τὸν Ἀπολλώνιον, ηὔξατο περὶ αὐτοῦ. [14]καὶ ὁ μὲν 14
παραδόξως διασωθεὶς ᾤχετο, δηλώσων τῷ βασιλεῖ τὰ συμβάντα
αὐτῷ. [15]Τελευτήσαντος δὲ Σελεύκου τοῦ βασιλέως, διαδέχε- 15
ται τὴν ἀρχὴν ὁ υἱὸς αὐτοῦ Ἀντίοχος Ἐπιφανής, ἀνὴρ ὑπερήφανος,
δεινός· [16]ὃς καταλύσας τὸν Ὀνίαν τῆς ἀρχιερωσύνης Ἰάσονα τὸν 16
ἀδελφὸν αὐτοῦ κατέστησεν ἀρχιερέα, [17]συνθέμενον δώσειν, εἰ ἐπιτρέ- 17
ψειεν αὐτῷ τὴν ἀρχήν, κατ' ἐνιαυτὸν τρισχίλια ἑξακόσια ἑξήκοντα
τάλαντα. [18]ὁ δὲ ἐπέτρεψεν αὐτῷ ἀρχιερᾶσθαι καὶ τοῦ ἔθνους ἀφη- 18
γεῖσθαι. [19]ὃς καὶ ἐξεζήτησεν τὸ ἔθνος, καὶ ἐξεπολίτευσεν ἐπὶ πᾶσαν 19
παρανομίαν· [20]ὥστε μὴ μόνον ἐπ' αὐτῇ τῇ ἄκρᾳ τῆς πατρίδος ἡμῶν 20
γυμνάσιον κατασκευάσαι, ἀλλὰ καὶ καταλῦσαι τὴν τοῦ ἱεροῦ κηδεμονίαν.
[21]ἐφ' οἷς ἀγανακτήσασα ἡ θεία δίκη αὐτόν τοι τὸν Ἀντίοχον ἐπολέμησεν. 21
[22]ἐπειδὴ γὰρ πολεμῶν ἦν κατ' Αἴγυπτον Πτολεμαίῳ, ἤκουσέν τε ὅτι 22
φήμης διαδοθείσης περὶ τοῦ τεθνάναι αὐτόν, ὡς ἔνι μάλιστα χαίροιεν
οἱ Ἱεροσολυμεῖται, ταχέως ἐπ' αὐτοὺς ἀνέζευξεν. [23]καὶ ὡς ἐπόρθησεν 23
αὐτούς, δόγμα ἔθετο ὅπως εἴ τινες αὐτῶν φάνοιεν τῷ πατρίῳ πολιτευό-
μενοι νόμῳ, θάνοιεν. [24]καὶ ἐπεὶ κατὰ μηδένα τρόπον ἴσχυεν καταλῦσαι 24
διὰ τῶν δογμάτων τὴν τοῦ ἔθνους εὔνοιαν, ἀλλὰ πάσας τὰς ἑαυτοῦ
ἀπειλὰς καὶ τιμωρίας ἑώρα καταλυομένας, [25]ὥστε καὶ γυναῖκας, ὅτι 25
περιέτεμον τὰ παιδία, μετὰ τῶν βρεφῶν κατακρημνισθῆναι, προειδυίας
ὅτι τοῦτο πείσονται· [26]ἐπεὶ οὖν τὰ δόγματα αὐτοῦ κατεφρονεῖτο ὑπὸ 26
τοῦ λαοῦ, αὐτὸς διὰ βασάνων ἕνα ἕκαστον τοῦ ἔθνους ἠνάγκαζεν,
μιερῶν ἀπογευομένους τροφῶν, ἐξόμνυσθαι τὸν Ἰουδαισμόν.

[1]Προκαθίσας γέ τοι μετὰ τῶν συνέδρων ὁ τύραννος Ἀντίοχος ἐπὶ 1 V

ℵV 13 τουτοις] pr ελεγεν V | υπαχθεις ℵ | Ονειας ℵ | ανηρησασθαι A ανη-ρησεσθαι V 14 παραδοξως διασωθεις] παραδοξωσωθεις V* παραδοξως σωθεις V[1?] 15 τελευτησαντος...ανηρ paene evanuere in V | ο υιος] om ο ℵ* (hab ℵ[c.a]) | Επιφανης] pr ο ℵ | δεινος] pr και ℵ 16 ος] και V | Ονειαν ℵ | Ιασωνα V 17 συνθεμενος ℵ* (-νον ℵ[c.a]) | τρισχιλια] χειλια ℵ* ,γ ℵ[c.b] 18 αρχιερασθαι] pr και ℵV | αφηγεισθαι του εθνους ℵ 19—V 11 multa rescr V[a] sunt quae paene evanuerint in V 19 om ος ℵ | εξεζητησεν] εξεδιητησεν ℵV 20 om αλλα και καταλυσαι A (hab ℵV) 21 τοι] αυτοις ℵV[rescr] 22 om γαρ ℵ* (hab ℵ[c.a]) | τε] δε V[rescr] | ενι incertum est in V | οι Ιεροσολυμειται χαιροιεν ℵ | Ιεροσολυμιται V 23 τινες] τις ℵ | φανιε[(sic) A 24 ευνοιαν] ευνομιαν ℵV | εορα A 25 γυναικας] pr τας V 26 κατεφρονητο V | του εθνους] τουτου θνους (sic) A | μιαρων ℵV | απογευσαμενους V

τινος ὑψηλοῦ τόπου, καὶ τῶν στρατευμάτων αὐτῶν παρεστηκότων A
2 κυκλόθεν ἐνόπλων, [2]παρεκέλευεν τοὺς δορυφόρους ἕνα ἕκαστον τῶν
Ἐβραίων περισπᾶσθαι, καὶ κρεῶν ὑείων καὶ εἰδωλοθύτων ἀναγκάζειν
3 ἀπογεύεσθαι· [3]εἰ δέ τινες μὴ θέλοιεν μιεροφαγῆσαι, τούτους τροχι-
4 σθέντας ἀναιρεθῆναι. [4]πολλῶν δὲ συναρπασθέντων, εἷς πρῶτος ἐκ τῆς
ἀγέλης Ἐβραῖος ὀνόματι Ἐλεάζαρος, τὸ γένος ἱερεύς, τὴν ἐπιστήμην
νομικός, καὶ τὴν ἡλικίαν προήκων, καὶ πολλοῖς τῶν περὶ τὸν τύραννον
5 διὰ τὴν ἡλικίαν γνώριμος, παρήχθη πλησίον αὐτοῦ. [5]καὶ αὐτὸν ἰδὼν
6 ὁ Ἀντίοχος ἔφη [6]Ἐγὼ πρὶν ἄρξασθαι τῶν κατὰ σοῦ βασάνων, ὦ
πρεσβῦτα, συμβουλεύσαιμ' ἄν σοι ταῦτα ὅπως ἀπογευσάμενος τῶν
ὑείων σῴζοιο· αἰδοῦμαι γάρ σου τὴν ἡλικίαν καὶ τὴν πολιάν, ἣν
μετὰ τοσοῦτον ἔχων χρόνον οὔ μοι δοκεῖς φιλοσοφεῖν, τῇ Ἰουδαίων
7 χρώμενος θρησκείᾳ. [7]διὰ τί γὰρ τῆς φύσεως κεχαρισμένης καλλίστην
8 τὴν τοῦδε τοῦ ζῴου σαρκοφαγίαν βδελύττῃ; [8]καὶ γὰρ ἀνόητον τοῦτο
τὸ μὴ ἀπολαύειν τῶν χωρὶς ὀνείδους ἡδέων, καὶ ἄδικον ἀποστρέ-
9 φεσθαι τὰς τῆς φύσεως χάριτας. [9]σὺ δέ μοι καὶ ἀνοητότερον ποιή-
10 σειν δοκεῖς, εἰ κενοδοξῶν περὶ τὸ ἀληθὲς [10]ἔτι κἀμοῦ καταφρονήσεις
ἐπὶ τῇ ἰδίᾳ τιμωρίᾳ· οὐκ ἐξυπνώσεις ἀπὸ τῆς φλυάρου φιλοσοφίας
11 ὑμῶν; [11]καὶ ἀποσκεδάσεις σου τὸν λῆρον ¶ τὸν λογισμόν, καὶ ἄξιον ¶ V
τῆς ἡλικίας ἀναλαβὼν νοῦν φιλοσοφήσεις τὴν τοῦ συμφέροντος ἀλή-
12 θειαν, [12]καὶ προσκυνήσας μου τὴν φιλάνθρωπον παρηγορίαν οἰκτει-
13 ρήσεις τὸ σεαυτοῦ γῆρας; [13]καὶ γὰρ ἐνθυμήθητι, ὡς εἰ καί τις ἐστιν
τῆσδε τῆς θρησκείας ἐποπτικὴ δύναμις, συγγνωμονήσειέν σοι ἐπὶ πᾶσιν
14 δι' ἀνάγκην παρανομίᾳ γινομένῃ. [14]Τοῦτον τὸν τρόπον ἐπὶ
τὴν ἔκθεσμον σαρκοφαγίαν ἐποτρύνοντος τοῦ τυράννου, λόγον ᾔτησεν
15 ὁ Ἐλεάζαρος. [15]καὶ λαβὼν τοῦ λέγειν ἐξουσίαν, ἤρξατο δημηγορεῖν
16 οὕτως [16]Ἡμεῖς, Ἀντίοχε, θείῳ πεπεισμένοι νόμῳ πολιτεύεσθαι, οὐδε-

V 1 αυτων] αυτω ℵ 2 των Εβραιων] Εβραιον ℵ* (των Εβραιων ℵ$^{c.a}$) | ℵV περισπασθαι] επισπασθαι ℵV | υιων AV* (υειων ℵV^{a}): item 6 | ιδωλοθυτων (λ sup ras ubi prius ν ut vid) ℵ 3 τις ℵ* (τινες ℵ$^{c.a}$) | θελοιεν] θελουσι V^{rescr} (-λοιεν V^{*vid}) | μιαροφαγησαι ℵV 4 om Εβραιος ℵ | ονοματι] τουνομα V (sed νομα rescr partim sup ras: bis scripsisse vid συναρπ. εις πρωτος V*) | γνωριμος] + δια την φιλοσοφιαν V 6 εγω] + πρεσβυτα ℵ | om ω πρεσβυτα ℵ | οσουτον A* (τ superscr A[1]) | θρησκια ℵ 7 κεχαρισμενης] χ sup ras ℵ[1] | την τουδε του ζωου] τουτου του ζ. V^{vid} 8 των χωρις ονιδους ηδεω|ν δι sup ras et in mg A^{a} | αδικον] pr δι A$^{?\,mg\,sinistr}$ | αποστρεφει] ℵ* (-στρεφεσθαι ℵ$^{c.a}$) 10 καταφρονησειας V^{rescr} 11 ληρον] cett desunt in V usque XII 1, folio codicis abscisso | των λογισμων ℵ | αναλαβωνουν A 12 οικτιρησεις A 13 om ως ℵ* (hab ℵ$^{c.a}$) | θρησκειας] + υμων ℵ | συγγνωμ. A συνγν. ℵ | πασιν] παση ℵ 14 εχθεσμο| ℵ* (εκθ. ℵ^{c}) 16 Αντιωχε A | πεπεισμενω A

A μίαν ἀνάγκην βιαιοτέραν εἶναι νομίζομεν τῆς πρὸς τὸν νόμον ἡμῶν
εὐπειθείας. 17 διὰ δὴ κατ᾽ οὐδένα τρόπον παρανομεῖν ἀξιοῦμεν. 18 καί- 17 18
τοι εἰ καὶ κατὰ ἀλήθειαν μὴ ἦν ὁ νόμος ἡμῶν, ὡς σὺ ὑπολαμβάνεις,
θεῖος, ἄλλως δὲ νομίζομεν αὐτὸν εἶναι θεῖον, οὐδὲ οὕτως ἐξὸν ἡμῖν ἦν
τὴν ἐπὶ τῇ εὐσεβείᾳ δόξαν ἀκυρῶσαι. 19 μὴ μικρὰν οὖν εἶναι νομίσῃς 19
ταύτην, εἰ μιεροφαγήσαιμεν, ἁμαρτίαν. 20 τὸ γὰρ ἐν μικροῖς καὶ ἐν 20
μεγάλοις παρανομεῖν ἰσοδύναμόν ἐστιν· 21 δι᾽ ἑκατέρου γὰρ ὡς ὁμοίως 21
ὁ νόμος ὑπερηφανεῖται. 22 χλευάζεις δὲ ἡμῶν τὴν φιλοσοφίαν, ὥσπερ 22
οὐ μετὰ εὐλογιστίας ἐν αὐτῇ βιούντων. 23 σωφροσύνην τε γὰρ ἡμᾶς 23
ἐκδιδάσκει, ὥστε πασῶν τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν κρατεῖν, καὶ
ἀνδρείαν ἐξασκεῖν, ὥστε πάντα πόνον ἑκουσίως ὑπομένειν· 24 καὶ 24
δικαιοσύνην παιδεύει, ὥστε διὰ πάντων τῶν ἠθῶν ἰσονομεῖν καὶ εὐ-
σέβειαν διδάσκειν, ὥστε μόνον τὸν ὄντα θεὸν σέβειν μεγαλοπρεπῶς.
25 διὸ οὐ μιεροφαγοῦμεν· πιστεύοντες γὰρ θεοῦ καθεστάναι τὸν νόμον, 25
οἴδαμεν ὅτι καὶ κατὰ φύσιν ἡμῖν συμπαθεῖ νομοθετῶν ὁ τοῦ κόσμου
κτίστης· 26 τὰ μὲν οἰκειωθησόμενα ἡμῶν ταῖς ψυχαῖς ἐπέτρεψεν 26
ἐσθίειν, τὰ δὲ ἐναντιωθησόμενα ἐκώλυσεν σαρκοφαγεῖν. 27 τυραννικὸν 27
δὲ οὐ μόνον ἀναγκάζεις ἡμᾶς παρανομεῖν, ἀλλὰ καὶ ἐσθίειν, ὅπως τῇ
ἐχθίστῃ ἡμῶν μιεροφαγίᾳ ταύτῃ ἔτι ἐγγελάσῃς. 28 ἀλλ᾽ οὐ γελάσεις 28
κατ᾽ ἐμοῦ τοῦτον τὸν γέλωτα· 29 οὔτε τοὺς ἱεροὺς τῶν προγόνων περὶ 29
τοῦ φυλάξαι τὸν νόμον ὅρκους οὐ παρήσω, 30 οὐδ᾽ ἂν ἐκκόψεις μου τὰ 30
ὄμματα καὶ τὰ σπλάγχνα μου τήξεις. 31 οὐχ οὕτως εἰμὶ γέρων ἐγὼ 31
καὶ ἄνανδρος, ὥστε μοι διὰ τὴν εὐσέβειαν μὴ νεάζειν τὸν λογισμόν.
32 πρὸς ταῦτα τροχοὺς εὐτρέπιζε, καὶ τὸ πῦρ ἐκφύσα σφοδρότερον. 32
33 οὐχ οὕτως οἰκτειρήσω τὸ ἐμαυτοῦ γῆρας, ὥστε με δι᾽ ἐμαυτοῦ τὸν 33
πάτριον καταλῦσαι νόμον. 34 οὐ ψεύσομαί σε, παιδευτὰ νόμε, οὐδὲ 34
φεύξομαί σε, φίλη ἐγκράτεια· 35 οὐδὲ καταισχυνῶ σε, φιλόσοφε λόγε, 35
οὐδὲ ἐξαρνήσομαί σε, ἱερωσύνη τιμία καὶ νομοθεσίας ἐπιστήμη· 36 οὐδὲ 36
μιανεῖς μου τὸ σεμνὸν γήρως στόμα, οὐδὲ νομίμου βίου ἡλικίαν.

ℵ 18 om και ℵ | ημων] η ℵ* (ημ. ℵ^c.a) | om συ ℵ | ενομιζομεν ℵ | ην ημι] ℵ | ευσεβια ℵ 19 μιαροφαγ. ℵ 20 εν 1°] επι ℵ | om εν 2° ℵ 22 χλευαζει A 23 ανδριαν ℵ | εξασκειν] εκδιδασκειν ℵ* (εξασκειν ℵ^c: ν vid improbasse ℵ^c.a(?) restit ℵ^c.b) 24 παιδευειν A | διδασκειν] εκδιδασκει ℵ 25 μιαροφαγ. ℵ | καθισταναι A | om και ℵ | συνπαθη ℵ 27 αναγκαζειν ℵ | παρανομειν αλλα και εσθιειν] μιαροφαγειν αλλα η | παρανομειν ℵ* (παραν. αλλα κ. εσθ. ℵ^c.a) | εχθιστη] εκθιστη ℵ* εσχιστη ℵ^c.a | μιαροφαγια ℵ | om ετι ℵ | εγγελασης] επεγγελασης ℵ 29 ουτε] ουδε ℵ* ου μα ℵ^c.a 30 εκκοψειας ℵ | μου 2° improb ℵ^c.a | τηξειας ℵ^c.a 33 οικτειρησω] οικτειρομαι ℵ | om με ℵ 34 φευξομαι] εξομουμαι ℵ 36 μιανει ℵ* (-νεις ℵ^c.a)

37 37ἁγνόν με οἱ πατέρες προσδέξονται, μὴ φοβηθέντα σου τὰς μέχρι A
38 θανάτου ἀνάγκας. 38ἀσεβῶν μὲν γὰρ τυραννήσεις· τῶν δὲ ἐμῶν περὶ
τῆς εὐσεβείας λογισμῶν οὔτε λόγοις δεσπόσεις, οὔτε δι' ἔργων.
VI 1 1Τοῦτον τὸν τρόπον ἀντιρρητορεύσαντα ταῖς τοῦ τυράννου παρη-
γορίαις, παραστάντες οἱ δορυφόροι πικρῶς ἔσυραν ἐπὶ τὰ βασανι-
2 στήρια τὸν Ἐλεάζαρον. 2καὶ πρῶτον μὲν περιέδυσαν τὸν γεραιὸν
3 ἐκκεκοσμημένον τὴν περὶ τὴν εὐσέβειαν εὐσχημοσύνην. 3ἔπειτα περι-
4 αγκωνίσαντες ἑκατέρωθεν, μάστιξιν κατῄκιζον, 4Πείσθητι ταῖς τοῦ
5 βασιλέως ἐντολαῖς, ἑτέρωθεν κήρυκος ἐπιβοῶντος. 5ὁ δὲ μεγαλόφρων
καὶ εὐγενὴς ὡς ἀληθῶς Ἐλεάζαρος, ὥσπερ ἐν ὀνείρῳ βασανιζόμενος
6 κατ' οὐδένα τρόπον μετετρέπετο. 6ἀλλὰ ὑψηλοὺς ἀνατείνας εἰς τὸν
οὐρανὸν τοὺς ὀφθαλμούς, ἀπεξαίνετο ταῖς μάστιξιν τὰς σάρκας ὁ
7 γέρων, καὶ κατερρεῖτο τῷ αἵματι, καὶ τὰ πλευρὰ κατετιτρώσκετο, 7καὶ
πίπτων εἰς τὸ ἔδαφος, ἀπὸ τοῦ μὴ φέρειν τὸ σῶμα τὰς ἀλγηδόνας,
8 ὀρθὸν εἶχεν καὶ ἀκλινῆ τὸν λογισμόν. 8λάξ γέ τοι τῶν πικρῶν τις
δορυφόρων εἰς τοὺς κενεῶνας ἐναλλόμενος ἔτυπτεν, ὅπως ἐξανίσταιτο
9 πίπτων. 9ὁ δὲ ὑπέμεινεν τοὺς πόνους καὶ περιεφρόνει τῆς ἀνάγκης
10 καὶ διεκαρτέρει τοὺς αἰκισμούς, 10καὶ καθάπερ γενναῖος ἀθλητὴς τυπτό-
11 μενος ἐνίκα τοὺς βασανίζοντας ὁ γέρων. 11ἱδρῶν γέ τοι τὸ πρόσωπον,
καὶ ἐπασθμαίνων σφοδρῶς, καὶ ὑπ' αὐτῶν τῶν βασανιζόντων ἐθαυμάζετο
12 ἐπὶ τῇ εὐτυχίᾳ. 12ὅθεν τὰ μὲν ἐλεῶντες τὰ τοῦ γήρως αὐτοῦ, 13τὰ
13 δὲ ἐν συμπαθείᾳ τῆς συνηθείας ὄντες, τὰ δὲ ἐν θαυμαστῷ τῆς καρτερίας
14 προσιόντες αὐτῷ τινες τῶν τοῦ βασιλέως ἔλεγον 14Τί τοῖς κακοῖς
15 τούτοις σεαυτὸν ἀλογίστως ἀπόλλεις, Ἐλεαζάρ; 15ἡμεῖς μὲν τῶν ἡψη-
μένων βρωμάτων παραθήσομεν· σὺ δὲ ὑποκρινόμενος τῶν ὑείων
16 ἀπογεύσασθαι, σώθητι. 16Καὶ ὁ Ἐλεάζαρος, ὥσπερ πικρότερον
17 διὰ τῆς συμβουλίας αἰκισθείς, ἀνεβόησεν 17Μὴ, οὕτως κακῶς φρονή-
σαιμεν, οἱ Ἀβραὰμ παῖδες, ὥστε μαλακοψυχήσαντας ἀπρεπὲς ἡμῖν
18 δρᾶμα ὑποκρίνασθαι. 18καὶ γὰρ ἀλόγιστον, εἰ πρὸς ἀλήθειαν ζήσαντες

37 αγνον] + δε ℵ$^{c.a}$ | εισδεξονται ℵ* (προσδεξ. ℵ$^{c.a}$) 38 περι] υπερ ℵ | ℵ ευσεβιας ℵ VI 1 αντιρητορευσαντος ℵ* (αντιρρ. ℵ$^{c.a}$) 2 εκκεκοσμημενον] ενκοσμουμενον ℵ | τη περι την ευσεβιαν ευσχημοσυνη ℵ 6 τον ουρανον] om τον ℵ | ταις] τας A* (ι superscr A^{1}) | τα (sic) πλευρας ℵ$^{c.a}$ 7 ορθρο̄| A | ακλινη] ν sup ras et η in mg A^{1} 8 εξανιστατο ℵ* (-σταιτο ℵ$^{c.a}$) 9 υπεμενε ℵ 11 γε] γεν (sic) A | om επι ℵ | ευτυχια] ευψυχια ℵ 13 της συνηθειας (ϋυν. A* συν. A$^{?}$)] την συνηθειαν ℵ* (της συνηθειας ℵ$^{c.a}$) | θαυμαστω] θαυμασμω ℵ | των του βασ.] om των ℵ 14 om τι ℵ* (hab ℵ$^{1?c}$) | απολλεις αλογιστως ℵ 15 μεν] μεντοι ℵ | συ] σε A | αποκρινομενος ℵ$^{c.a}$ (postea restit υποκρ.) | απογευεσθαι ℵ | σωζοιο ℵ 18 ζησαντας ℵ$^{c.a}$

A τὸν μέχρι γήρως βίον, καὶ τὴν ἐπ᾽ αὐτῶν δόξαν νομίμως φυλάσσοντες, εἰ
νῦν μεταβαλοίμεθα, [19] καὶ αὐτοὶ μὲν ἡμεῖς γενοίμεθα τοῖς νέοις ἀσεβείας 19
τύπος, ἵνα παράδειγμα γενώμεθα τῆς μιεροφαγίας. [20] αἰσχρὸν γὰρ εἰ 20
ἐπιβιώσομεν ὀλίγον χρόνον, καὶ τοῦτον καταγελώμενοι πρὸς ἁπάντων
ἐπὶ δειλίᾳ· [21] καὶ ὑπὸ μὲν τοῦ τυράννου καταφρονηθῶμεν ὡς ἄνανδροι, 21
τὸν δὲ θεῖον ἡμῶν νόμον μέχρι θανάτου μὴ προασπίσαιμεν. [22] πρὸς 22
ταῦτα ὑμεῖς μέν, ὦ Ἀβραὰμ παῖδες, εὐγενῶς ὑπὲρ τῆς εὐσεβείας τελευ-
τᾶτε. [23] οἱ δὲ τοῦ τυράννου δορυφόροι, τί μέλλετε; [24] Πρὸς 23 24
τὰς ἀνάγκας οὕτως μεγαλοφρονοῦντα αὐτὸν ἰδόντες, καὶ μηδὲ πρὸς τὸν
οἰκτειρμὸν αὐτῶν μεταβαλλόμενοι, ἐπὶ τὸ πῦρ αὐτὸν ἤγαγον. [25] ἔνθα 25
διὰ κακοτέχνων ὀργάνων καταφλέγοντες αὐτὸν ὑπερίπτοσαν καὶ
δυσώδεις χυλοὺς εἰς τοὺς μυκτῆρας αὐτοῦ κατέχεον. [26] ὁ δὲ μέχρι 26
ὀστέων ἤδη κατακεκαυμένος καὶ μέλλων λιποθυμεῖν, ἀνέτεινεν τὰ
ὄμματα πρὸς τὸν θεόν, καὶ εἶπεν [27] Σὺ οἶσθα, θεέ, παρόν μοι σώζεσθαι, 27
βασάνοις καυστικαῖς ἀποθνήσκω διὰ τὸν νόμον. [28] ἵλεως γενοῦ τῷ 28
ἔθνει σου, ἀρκεσθεὶς τῇ ἡμετέρᾳ περὶ αὐτῶν δίκῃ. [29] καθάρσιον 29
αὐτῶν ποίησον τὸ ἐμὸν αἷμα, καὶ ἀντίψυχον αὐτῶν λάβε τὴν ἐμὴν
ψυχήν. [30] καὶ ταῦτα εἰπὼν ὁ ἱερὸς ἀνὴρ εὐγενῶς ταῖς βασάνοις ἐναπ- 30
έθανεν, καὶ μέχρι τῶν τοῦ θανάτου βασάνων ἀντέστη τῷ λογισμῷ διὰ
τὸν νόμον. [31] ὁμολογουμένως οὖν δεσπότης ἐστὶν τῶν παθῶν ὁ εὐσεβὴς 31
λογισμός. [32] εἰ γὰρ τὰ πάθη τοῦ λογισμοῦ κεκρατήκει, τούτοις ἂν 32
ἀπεδόμην τὴν τῆς ἐπικρατίας μαρτυρίαν. [33] νυνὶ δὲ τοῦ λογισμοῦ τὰ 33
πάθη νικήσαντος, αὐτῷ προσηκόντως τὴν τῆς ἡγεμονίας προσνέμομεν
ἐξουσίαν. [34] καὶ δίκαιόν ἐστιν ὁμολογεῖν ἡμᾶς τὸ κράτος εἶναι τοῦ 34
λογισμοῦ, ὅπου γε καὶ τῶν ἔξωθεν ἀλγηδόνων ἐπικρατεῖ· [35] ἐπεὶ καὶ 35
γελοῖον· καὶ οὐ μόνον τῶν ἀλγηδόνων ἐπιδείκνυμι κεκρατηκέναι τὸν
λογισμόν, ἀλλὰ καὶ τῶν ἡδονῶν κρατεῖν, μηδὲ αὐταῖς ὑπείκειν.

[1] Ὥσπερ γὰρ ἄριστος κυβερνήτης ὁ τοῦ πατρὸς ἡμῶν Ἐλεαζάρου 1 VII
λογισμός, πηδαλιουχῶν τὴν τῆς εὐσεβείας ναῦν ἐν τῷ τῶν παθῶν
πελάγει, [2] καὶ καταικιζόμενος ταῖς τοῦ τυράννου ἀπειλαῖς καὶ καταν- 2

ℵ 18 αυτων] αυτω ℵ | φυλαξαντες ℵ$^{c.a}$ | om ει 2° ℵ 19 γενοιμεθα] γενομεθα A γενωμεθα ℵ | μιαροφαγιας ℵ 20 γαρ] δε ℵ | προς απαντων] υπο παντων ℵ | δειλια] διλια A* διλεια A^{1} 21—22 προασπισαιμεν προς ταυτα· A 22 om προς ταυτα ℵ 24 τον] ον sup ras ℵ^{1} | μεταβαλλομενον ℵ | ηγαγον] ανηγον ℵ 25 υπερεπτοσαν A υπεριπτον ℵ$^{c.a}$ 26 οστεων] pr των ℵ | κατακεκαυμενος] κεκαυμενος ℵ | ανετεινε ℵ 28 περι] υπερ ℵ 29 ποιησαι ℵ 31 των παθων εστιν ℵ 35 improb και 1° ℵ$^{c.a}$ | κεκρατηκεναι] κρατεῖ| ℵ | μηδε] και μηδεν ℵ VII 1 αριστος] pr ο ℵ | πηδαλιου εχων A | ευσεβιας ℵ 2 om και 1° ℵ | om ταις του ℵ | improb και 2° ℵ$^{c.a}$

3 πλούμενος ταῖς τῶν βασάνων τρικυμίαις, ³κατ' οὐδένα τρόπον μετέ- A
τρεψεν τοὺς τῆς εὐσεβείας οἴακας, ἕως οὗ ἔπλευσεν ἐπὶ τὸν τῆς θανάτου
4 νίκης λιμένα. ⁴οὐχ οὕτως πόλις πολλοῖς καὶ ποικίλοις μηχανήμασιν
ἀντέσχεν ποτὲ πολιορκουμένη, ὡς ὁ πανάγιος ἐκεῖνος τὴν ἱερὰν ψυχὴν
αἰκισμοῖς τε καὶ στρέβλαις πυρπολούμενος ἐκίνησεν τοὺς πολιορ-
5 κοῦντας, διὰ τὸν ὑπερασπίζοντα τῆς εὐσεβείας λογισμόν. ⁵ὥσπερ
γὰρ πρόκρημνον ἄκραν τὴν ἑαυτοῦ διάνοιαν ὁ πατὴρ Ἐλεάζαρος ἐκτεί-
6 νας, περιέκλασεν τοὺς μαινομένους τῶν παθῶν κλύδωνας. ⁶Ὦ
ἄξιε τῆς ἱερωσύνης ἱερεῦ, οὐκ ἐμίανας τοὺς ἱεροὺς ὀδόντας, οὐδὲ τὴν
θεοσέβειαν καὶ καθαρισμὸν χωρήσασαν γαστέρα ἐκοινώνησας μιε-
7 8 ροφαγίᾳ. ⁷ὦ σύμφωνε νόμου καὶ φιλόσοφε θείου βίου. ⁸τοιούτους
δεῖ εἶναι τοὺς δημιουργοῦντας τὸν νόμον ἰδίῳ αἵματι, καὶ γενναίῳ
9 ἱδρῶτι τοῖς μέχρι θανάτου πάθεσιν ὑπερασπίζοντας. ⁹σύ, πάτερ,
τὴν εὐνομίαν ἡμῶν διὰ τῶν ὑπομονῶν εἰς δόξαν ἐκύρωσας, καὶ
τὴν ἁγιαστίαν σεμνολογήσας οὐ κατέλυσας, καὶ διὰ τῶν ἔργων ἐπι-
10 στοποίησας τοὺς τῆς φιλοσοφίας λόγους. ¹⁰ὦ βασάνων βιαιότερε
γέρων, πυρὸς εὐτονώτερε πρεσβῦτα, καὶ παθῶν μέγιστε βασιλεῦ,
11 Ἐλεαζάρ. ¹¹Ὥσπερ γὰρ ὁ πατὴρ Ἀαρὼν τῷ θυμιατηρίῳ
καθωπλισμένος, διὰ τοῦ ἐθνοπλήθους ἐπιτρέχων τὸν ἐμπυριστὴν
12 ἐνίκησεν ἄγγελον, ¹²οὕτως ὁ Ἀαρωνίδης Ἐλεάζαρος διὰ τοῦ πυρὸς
13 ὑπερτηκόμενος οὐ μετετράπη τὸν λογισμόν. ¹³καίτοι τὸ θαυμασιώ-
τατον, γέρων ὤν, λελυμένων ἤδη τῶν τοῦ σώματος πόνων καὶ
περικεχαλασμένων δὲ τῶν σαρκῶν, κεκμηκότων δὲ καὶ τῶν νεύρων,
14 ἀνενέασεν ¹⁴τῷ πνεύματι τοῦ λογισμοῦ, καὶ τῷ Ἰσακείῳ λογισμῷ
15 τὴν πολυκέφαλον στρέβλαν ἠκύρωσεν. ¹⁵ὦ μακαρίου γήρως καὶ
σεμνῆς πολιᾶς καὶ βίου νομίμου, ὃν πιστὴ θανάτου σφραγὶς ἐτελεί-
16 ωσεν. ¹⁶Εἰ δὲ τοίνυν γέρων τῶν μέχρι θανάτου βασάνων
περιεφρόνησεν δι' εὐσέβειαν, ὁμολογουμένως ἡγεμών ἐστιν τῶν πα-
17 θῶν ὁ εὐσεβὴς λογισμός. ¹⁷Ἴσως δ' ἂν εἴποιέν τινες, τῶν παθῶν

3 μετετρεψεν] ετρεψε ℵ | ευσεβιας A | θανατου] αθανατου ℵ 4 αν- ℵ
τεσχε ℵ | om τε ℵ | εκινησεν] ενικησεν ℵ 5 προκρημον A | Ελεαζαρ ℵ | μαινομενους] επιμαιν. ℵ | κλυδωνας sup ras A¹ 6 ιεροσυνης A | θεοσεβιαν ℵ | εκοινωνησας] εκοινωσας ℵ | μιαροφαγια ℵ 9 ημων] υμων A | αγιαστιαν] απαστιαν ℵ | φιλοσοφιας] θειας φιλ. σου ℵ 10 βιοτερε (sic) A | πυρος] pr και ℵ | πρεσβυ ℵ* (πρεσβυτα ℵ^{c.a}) 11 om γαρ ℵ* (hab ℵ^{c.a}) | om τον εμπυριστην ℵ* τον εμπυρισμον ℵ^{c.a} | αγγελον] pr τον ℵ* (improb ℵ^{c.a}) A* vid (ras A?) 12 Αρωνιαδης A^{vid} | Ελεαζαρ ℵ 13 λελυμενων]+μεν ℵ | πονων] τονων ℵ | om και 1° ℵ | περιεχαλασμ. A | και 2°] αι sup ras A^{a?} 14 του λογισμου] pr δια ℵ | Ισακιω ℵ | ηκυρωσεν] ενικησεν ℵ 16 γερων]+ανηρ ℵ | περιεφρονει ℵ 17 om δ ℵ* (hab ℵ^{c.a})

A οὐ πάντες περικρατοῦσιν· ὅτι οὐδὲ πάντες φρόνιμον ἔχουσιν τὸν λογι-
σμόν. 18ἀλλ' ὅσοι τῆς εὐσεβείας προνοοῦσιν ἐξ ὅλης καρδίας, οὗτοι 18
μόνοι δύνανται κρατεῖν τῶν τῆς σαρκὸς παθῶν· 19οἱ πιστεύοντες, ὅτι 19
θεῷ οὐκ ἀποθνήσκουσιν, ὥσπερ γὰρ οἱ πατριάρχαι ἡμῶν Ἀβραάμ,
Ἰσαάκ, Ἰακώβ, ἀλλὰ ζῶσιν τῷ θεῷ. 20οὐδὲν οὖν ἐναντιοῦται τὸ φαί- 20
νεσθαί τινας παθοκρατεῖσθαι διὰ τὸν ἀσθενῆ λογισμόν. 21ἐπεὶ τίς 21
πρὸς ὅλον τὸν τῆς φιλοσοφίας κανόνα εὐσεβῶς φιλοσοφῶν, καὶ
πεπιστευκὼς θεῷ, 22καὶ εἰδὼς ὅτι διὰ τὴν ἀρετὴν πάντα πόνον 22
ὑπομένειν μακάριόν ἐστιν, οὐκ ἂν περικρατήσειεν τῶν παθῶν διὰ
τὴν εὐσέβειαν; 23μόνος γὰρ ὁ σοφὸς καὶ σώφρων ἀνδρεῖός ἐστιν τῶν 23
παθῶν κύριος. 24διὰ τοῦτό γε τοι καὶ μειρακίσκοι τῷ τῆς εὐσεβείας 24
λογισμῷ φιλοσοφοῦντες χαλεπωτέρων βασανιστηρίων ἐπεκράτησαν.

1Ἐπειδὴ γὰρ κατὰ τὴν πρώτην πεῖραν ἐνικήθη περιφανὴς ὁ 1 VIII
τύραννος, μὴ δυνηθεὶς ἀναγκάσαι γέροντα μιεροφαγῆσαι, 2τότε δὴ 2
σφόδρα περιπαθῶς ἐκέλευσεν ἄλλους ἐκ τῆς ἡλικίας τῶν Ἑβραίων
ἀγαγεῖν· καὶ εἰ μὲν μιεροφαγήσαιεν, ἀπολύειν φαγόντας· εἰ δὲ
ἀντιλέγοιεν, πικρότερον βασανίζειν. 3ταῦτα διαταξαμένου τοῦ 3
τυράννου, παρῆσαν ἀγόμενοι μετὰ γεραιᾶς μητρὸς ἑπτὰ ἀδελφοί,
καλοί τε καὶ αἰδήμονες καὶ γενναῖοι καὶ ἐν παντὶ χαρίεντες. 4οὓς 4
ἰδὼν ὁ τύραννος καθάπερ ἐν χορῷ περιέχοντας μέσην τὴν μητέρα,
ἥσθετο ἐπ' αὐτοῖς, καὶ τῆς εὐπρεπείας ἐκπλαγεὶς καὶ τῆς εὐγενίας,
προσεμειδίασεν αὐτοῖς, καὶ πλησίον καλέσας ἔφη 5Ὦ νεανίαι, φιλο- 5
φρόνως ἐγὼ καθ' ἑνὸς ἑκάστου ὑμῶν θαυμάζω τὸ κάλλος· καὶ τὸ
πλῆθος τοσούτων ἀδελφῶν ὑπερτιμῶν, οὐ μόνον συμβουλεύω μὴ
§ Π μανῆναι τὴν §αὐτὴν τῷ προβασανισθέντι γέροντι μανίαν, 6ἀλλὰ καὶ 6
παρακαλῶ συνείξαντάς μοι τῆς ἐμῆς ἀπολαῦσαι φιλίας· δυναίμην γὰρ
¶ Π ὥσπερ κολάζειν τοὺς ἀπειθοῦντάς μου τοῖς ἐπιτάγμασιν,¶ οὕτως καὶ
εὐεργετεῖν τοὺς εὐπειθοῦντάς μοι. 7πιστεύσατε οὖν, καὶ ἀρχὰς ἐπὶ 7
τῶν ἐμῶν πραγμάτων ἡγεμονικὰς λήμψεσθε, ἀρνησάμενοι τὸν πά-
τριον ὑμῶν τῆς πολιτείας θεσμόν· 8καὶ μεταλαβόντες Ἑλληνικοῦ βίου 8

ℵ Π 18 ευσεβιας ℵ 19 οι πιστ.] om οι ℵ | γαρ] ουδε ℵ | Ισαακ Ιακωβ] και Ισ. και Ιακ. ℵ | τω θεω] om τω ℵ 20 δια] pr η ℵ* (improb ℵ^c.a) 21 om ευσεβως ℵ 22 ευσεβειαν] θεοσεβειαν ℵ 23 ο σοφος] om ο ℵ | om σωφρων ℵ | των παθ.] pr ο ℵ VIII 1 περιφανως ℵ | μιαροφαγησαι ℵ 2 τοτε] τοδε A | ηλικιας] λειας ℵ | μιαροφαγησαιεν ℵ | δε] δ ℵ 3 διαταξαμενου] διαδεξαμ. A | επτα] ζ' ℵ | αδημονες A* (αιδ. A¹) 4 om περιεχοντας ℵ* (hab post μητερα ℵ^c.a) | και της ευγενιας sup ras A^a? | ευγενειας ℵ 5 βασανισθεντι ℵ* (προβ. ℵ^c.a Π) 6 om και 1° Π | ειξαντες Π | απολαυειν ℵ απολλυειν Π | γαρ] δ αν ℵ | ουτω ℵ 7 αρνησαμενοι] αρνηθεντες ℵ^c.a | υμων] ημων A 8 μεταλαβοντες] λαβοντες ℵ

9 καὶ μεταδιαιτηθέντες ἐντρυφήσετε ταῖς νεότησιν ὑμῶν. [9]ἐπεὶ ἐὰν A
ὀργίλως με διάθησθε διὰ τῆς ἀπειθείας ὑμῶν, ἀναγκάσετέ με ἐπὶ
δειναῖς κολάσεσιν ἕνα ἕκαστον ὑμῶν διὰ τῶν βασάνων ἀπολέσαι.
10 [10]κατελεήσατε οὖν ἑαυτους, οὓς καὶ ὁ πολέμιος ἔγωγε καὶ τῆς ἡλικίας
11 καὶ τῆς εὐμορφίας οἰκτείρομαι. [11]οὐ διαλογιεῖσθε τοῦτο, ὅτι οὐδὲν
ὑμῖν ἀπειθήσασιν πλὴν τοῦ μετὰ στρεβλῶν ἀποθανεῖν ἀπόκειται;
12 [12]ταῦτα δὲ λέγων, §ἐκέλευσεν εἰς τὸ ἔμπροσθεν προτεθῆναι τὰ βα- § Π
σανιστήρια, ὅπως καὶ διὰ τοῦ φόβου πείσειεν αὐτοὺς μιεροφαγῆσαι.
13 [13]ὡς δὲ τροχούς τε καὶ ἀρθρενβόλους στρεβλωτήριά τε καὶ¶ τροχαν- ¶ Π
τῆρας καὶ καταπέλτας καὶ λέβητας, τήγανά τε καὶ δακτυλήθρας, καὶ
χεῖρας σιδηρᾶς καὶ σφῆνας καὶ τὰ ζώπυρα τοῦ πυρὸς οἱ δορυφόροι
14 προέθεσαν, ὑπολαβὼν δὲ ὁ τύραννος ἔφη [14]Μειράκια, φοβήθητε,
καὶ ἣν σέβεσθε δίκην, ἵλεως ὑμῖν ἔσται δι᾽ ἀνάγκην παρανομή-
15 σασιν. [15]Οἱ δὲ ἀκούσαντες ἐπαγωγὰ καὶ ὁρῶντες δεινά,
οὐ μόνον οὐκ ἐφοβήθησαν, ἀλλὰ καὶ ἀντεφιλοσόφησαν §τῷ τυράννῳ, § Π
16 καὶ διὰ τῆς εὐλογιστίας τὴν τυραννίδα αὐτοῦ κατέλυσαν.¶ [16]καίτοι ¶ Π
λογισώμεθα· εἰ δειλόψυχοί τινες ἦσαν καὶ ἄνανδροι ἐν αὐτοῖς, ποίοις
17 ἂν ἐχρήσαντο λόγοις; οὐχὶ τούτοις; [17]Ὦ τάλανες ἡμεῖς, καὶ λίαν
ἀνόητοι· βασιλέως ἡμᾶς παρακαλοῦντος καὶ ἐπὶ εὐεργεσίᾳ φωνοῦντος,
18 μὴ πεισθείημεν αὐτῷ; [18]τί βουλήμασιν κενοῖς ἑαυτοὺς εὐφραίνομεν,
19 καὶ θανατηφόρον ἀπειθίαν τολμῶμεν; [19]οὐ φοβησόμεθα, ἄνδρες
ἀδελφοί, τὰ βασανιστήρια, καὶ λογιούμεθα τὰς τῶν βασάνων ἀπειλάς,
καὶ φευξόμεθα τὴν κενοδοξίαν ταύτην καὶ ὀλεθροφόρον ἀλαζονίαν;
20 [20]ἐλεήσωμεν τὰς ἑαυτῶν ἡλικίας, καὶ κατοικτειρήσωμεν τὸ τῆς μητρὸς
21 22 γῆρας· [21]καὶ ἐνθυμηθῶμεν, ὅτι ἀπειθοῦντες τεθνηξόμεθα. [22]συγγνώ-
σεται δὲ ἡμῖν καὶ ἡ θεία δίκη δι᾽ ἀνάγκην τὸν βασιλέα φοβηθεῖσιν.
23 [23]τί ἐξάγομεν ἑαυτοὺς τοῦ ἡδίστου βίου, καὶ ἀποστεροῦμεν ἑαυτοὺς
24 τοῦ γλυκέος κόσμου; [24]μὴ βιαζώμεθα τὴν ἀνάγκην, μηδὲ κενοδοξή-
25 σωμεν ἐπὶ τῇ ἑαυτῶν στρέβλῃ. [25]οὐδὲ αὐτὸς ὁ νόμος ἑκουσίως ἡμᾶς

9 απιθιας ℵ | om υμων 1° ℵ | δειναις] δινai A[?] (seq ras 1 lit A[*]) ℵΠ 10 πολεμος A 12 om το Π | προτεθηναι] τιθεναι ℵ | και] καν Π | μιαροφαγησαι ℵ[c.b] 13 τροχλους ℵ[*] (τροχους ℵ[1]) | αρθενβολους A αρθρεμβολας ℵ[*] (ς ras ℵ[?]) αρθρεμβολα Π | τροχαντηρια ℵ[*] (-ρας ℵ[c.a]) | καταπελτας] π sup ras A[a?] | om δε 2° ℵ 14 σεβεσται A 16 εν αυτοις και ανανδροι ℵ 17 ημεις sup ras A[a] ημι ℵ[*] (ημις ℵ[1, c.a]) | παρακαλουντος] καλουντος ℵ | φωνουντος μη πισθ in mg et sup ras A[a] | φωνουντος] παρακαλουντος ℵ | μη] η ℵ[*] ει ℵ[c.a] 18 om κενοις ℵ[*] (hab ℵ[c.a]) | ευφρενουμεν ℵ[*] (-νομεν ℵ[1]) 19 φοβηθησομεθα ℵ 20 κατοικτιρωμεν ℵ 22 συγνωσεται (sic) A συνγνωσεται ℵ 25 ουδε] ουδ ℵ | νομος ℵ] ναος A

A θανατοῖ φοβηθέντας τὰ βασανιστήρια. [26]πόθεν ἡμῖν ἡ τοσαύτη ἐντέ- 26
τηκεν φιλονεικία, καὶ ἡ θανατηφόρος ἀρέσκει καρτερία, παρὸν μετὰ
ἀταραξίας ζῆν τῷ βασιλεῖ πεισθέντας; [27]ἀλλὰ τούτων οὐδὲν εἶπον 27
οἱ νεανίαι βασανίζεσθαι μέλλοντες, οὐδὲ ἐνεθυμήθησαν. [28]ἦσαν γὰρ 28
§ Π περίφρονες τῶν παθῶν, καὶ αὐτοκράτορες τῶν ἀλγηδόνων. [29]ὥστε 29
¶ Π ἅμα τῷ παύσασθαι τὸν τύραννον συμβουλεύοντα αὐτοῖς μιεροφαγῆσαι,¶
πάντες διὰ μιᾶς φωνῆς ὁμοῦ, ὥσπερ ἀπὸ τῆς αὐτῆς ψυχῆς, εἶπον
[1]Τί μέλλεις, ὦ τύραννε; ἕτοιμοι γάρ ἐσμεν ἀποθνήσκειν, ἢ παραβαίνειν 1 IX
τὰς πατρίους ἡμῶν ἐντολάς. [2]καὶ αἰσχυνόμεθα γὰρ τοὺς προγόνους 2
εἰκότως, εἰ μὴ τῇ τοῦ νόμου εὐπειθείᾳ συμβούλῳ καὶ γνώσει χρησαί-
μεθα. [3]σύμβουλε τύραννε παρανομίας, μὴ ἡμᾶς μισῶν ὑπὲρ αὐτοὺς 3
ἡμᾶς ἐλέα. [4]χαλεπώτερον γὰρ αὐτοῦ τοῦ θανάτου νομίζομεν εἶναί σου 4
τὸν ἐπὶ τῇ παρανόμῳ σωτηρίᾳ ἡμῶν ἔλεον. [5]ἐκφοβεῖς δὲ ἡμᾶς, τὸν 5
διὰ τῶν βασάνων ἡμῖν θάνατον ἀπειλῶν, ὥσπερ οὐχὶ πρὸ βραχέως
παρὰ Ἐλεαζάρου μαθών. [6]εἰ δ' οἱ γέροντες τῶν Ἑβραίων διὰ τὴν 6
εὐσέβειαν καὶ βασανισμοὺς ὑπομείναντες ἀπέθανον, ἀποθάνοιμεν ἂν
δικαιότερον ἡμεῖς οἱ νέοι, τὰς βασάνους τῶν σῶν ἀναγκῶν ὑπεριδόντες
ἃς καὶ ὁ παιδευτὴς γέρων ἐνίκησεν. [7]πείραζε γὰρ οὖν, τύραννε· 7
καὶ τὰς ἡμῶν ψυχὰς εἰ θανατώσεις διὰ τὴν εὐσέβειαν, μὴ νομίσῃς
ἡμᾶς βλάπτειν βασανίζων. [8]ἡμεῖς μὲν γὰρ διὰ τῆσδε τῆς κακοπα- 8
θείας καὶ ὑπομονῆς τὰ τῆς ἀρετῆς ἆθλα οἴσομεν, [9]σὺ δὲ διὰ τὴν ἡμῶν 9
μιεροφονίαν αὐτάρκη καρτερήσεις ὑπὸ τῆς θείας δίκης αἰώνιον βάσανον
διὰ πυρός.

[10]Ταῦτα αὐτῶν εἰπόντων, οὐ μόνον ὡς κατὰ ἀπειθούντων ἐχαλέ- 10
παινεν ὁ τύραννος, ἀλλ' ὡς καὶ κατὰ ἀχαρίστων ὠργίσθη. [11]ὅθεν 11

ℵΠ 25 om φοβηθεντας τα βασανιστηρια ℵ* (hab ℵ$^{c.a}$) 26 εντεθηκεν A εντετηκε ℵ | ζην] χρη A | πισθεντες ℵ* (-τας ℵ$^{c.a}$) 27 νεανιαις A 28 γαρ]+μελλοντες ℵ (improb ℵ$^{1.c.a}$) | περιφρονες των παθων] π. τα των παθ. ℵ* (αν et ες superscr ℵ$^{c.a}$: fors παντες pro τα voluit) | αλγηδονων] ηδον sup ras A^{a} 29 τω παυσασθαι] om τω ℵ του παυσ. Π | συνβουλ. Π | μιαροφαγησαι ℵΠ | δια] απο ℵ IX 1 εσμεν]+ω τυραννε ℵ* (improb ℵ?) | αποθνησκειν] ο superscr A^{1} | πατριους] πατρωους ℵ 2 om και 1° ℵ | προγονους]+ημων ℵ | ευπιθια ℵ | γνωσει] Μωϋσει ℵ 3 om ημας 2° ℵ 4 αυτου] αυτους A | του bis scr ℵ* (improb 1° ℵ$^{c.a}$) 5 θανατον ημιν ℵ | παρα] παρ ℵ 6 Ευβραιων ℵ* (Εβρ. ℵ$^{1.c.a}$) | ευσεβιαν ℵ | απεθανον] ευσεβησᾱ| ℵ | υπερειδοτες ℵ* -ειδοντες ℵ$^{c.a}$ | ους ℵ* (ας ℵ$^{c.a}$) | παιδευτης]+ημων ℵ 7 γαρ ουν] τοιγαρουν ℵ | ευσεβιαν ℵ 8 κακοπαθιας ℵ | οισομεν] εξομεν ℵ+και εσομεθα παρα τω θω̄ δι ο (δι ον ℵ$^{c.a}$) και ταυτα πασχομεν ℵ 9 ημων] υμων A | μιεφονιαν (sic) ℵ | καρτερησεις] καρτερηθ incep ℵ* (-ρησεις ℵ^{1}) | improb δια πυρος ℵ$^{c.a}$ 10 αλλ ως και] αλλα και ως ℵ | καταχαριστων ℵ* κατα αχ. ℵ^{1}

τὸν πρεσβύτατον αὐτῶν κελευσθέντες παρήγαγον οἱ μαστιγωταί, καὶ A
διαρρήξαντες τὸν χιτῶνα διέδησαν τὰς χεῖρας αὐτοῦ καὶ τοὺς βραχί-
12 ονας ἱμᾶσιν ἑκατέρωθεν. [12]ὡς δὲ τύπτοντες ταῖς μάστιξιν ἐκοπίασαν,
13 μηδὲν ἀνύοντες, ἀνέβαλον αὐτὸν ἐπὶ τὸν τροχόν. [13]περὶ ὃν κατατει-
14 νόμενος ὁ εὐγενὴς νεανίας ἔξαρθρος ἐγίνετο. [14]καὶ κατὰ πᾶν μέλος
15 κλώμενος κατηγόρει λέγων [15]Τύραννε μιαρώτατε καὶ τῆς οὐρανίου
δίκης ἐχθρὲ καὶ ὠμόφρον, οὐκ ἀνδροφονήσαντά με τοῦτον καταικίζεις
16 τὸν τρόπον, οὐδὲ ἀσεβήσαντα, ἀλλὰ θείου νόμου προασπίζοντα. [16]καὶ
τῶν δορυφόρων λεγόντων Ὁμολόγησον φαγεῖν, ὅπως ἀπαλλαγῇς
17 τῶν βασάνων. [17]ὁ δὲ εἶπεν Οὐχ οὕτως ἰσχυρὸς ὑμῶν ἐστιν ὁ
τρόπος, ὦ μιαροὶ διάκονοι, ὥστε μου τὸν λογισμὸν ἆξαι. τέμνετέ μου
18 μέλη, καὶ πυροῦτε τὰς σάρκας, καὶ στρεβλοῦτε τὰ ἄρθρα· [18]διὰ
πασῶν γὰρ ὑμᾶς πείσω τῶν βασάνων ὅτι μόνοι οἱ παῖδες Ἑβραίων
19 ὑπὲρ ἀρετῆς εἰσιν ἀνίκητοι. [19]ταῦτα λέγοντες ἔτι πῦρ ἐπέστρωσαν,
20 καὶ διερεθίζοντες τὸν τροχὸν προσεπικατέτεινον. [20]ἐμολύνετο δὲ
πάντοθεν αἵματι ὁ τροχός, καὶ ὁ σωρὸς τῆς ἀνθρακιᾶς τοῖς τῶν ἰχώρων
ἐσβέννυτο σταλαγμοῖς, καὶ περὶ τοὺς ἄξονας τοῦ ὀργάνου περιέρρεον
21 αἱ σάρκες. [21]καὶ περιτετηγμένον ἤδη ἔχων τὸ τῶν ὀστέων πῆγμα ὁ
22 μεγαλόφρων καὶ Ἀβραμιαῖος νεανίας οὐκ ἐστέναξεν· [22]ἀλλ᾽ ὥσπερ
ἐν πυρὶ μετασχηματιζόμενος εἰς ἀφθαρσίαν, ὑπέμεινεν εὐγενῶς τὰς
23 στρέβλας [23]Μιμήσασθέ με, ἀδελφοί, λέγων· μή μου τὸν αἰῶνα λει-
ποτακτήσητε, μηδὲ ἐξομόσησθέ μου τὴν τῆς εὐψυχίας ἀδελφότητα·
24 ἱερὰν καὶ εὐγενῆ στρατείαν στρατεύσασθε περὶ τῆς εὐσεβείας, [24]δι᾽ ἧς
ἵλεως ἡ δικαία καὶ πάτριος ἡμῶν πρόνοια τῷ ἔθνει γενηθεῖσα τιμω-
25 ρήσειεν τὸν ἀλάστορα τύραννον. [25]καὶ ταῦτα εἰπὼν ὁ ἱεροπρεπὴς
26 νεανίας ἀπέρρηξεν τὴν ψυχήν. [26]Θαυμασάντων δὲ πάντων
τὴν καρτεροψυχίαν αὐτοῦ, ἦγον οἱ δορυφόροι τὸν καθ᾽ ἡλικίαν τοῦ

11 κελευθ. A | παρηγον ℵ | μαστισται] υπασπισται ℵ   12 ανεβαλον] ℵ ανεβαλλον ℵ* ανελαβον ℵ[c.a] | επι] περι ℵ   13 εξαρθος A   14 κατηγορει] εκακηγορι ℵ   15 ωμοφρον] ομοφρω̄| A ωμοφρων ℵ | ανδροφρονησαντα A | καταικιζεις τον τροπον] τον τρ. βασανιζεις ℵ   17 ισχυρος] ισχυροτερος ℵ[c] | εστιν ο τροπος] ο τροχος εστιν ℵ pr ισχυρ (sic) ℵ* (statim improb ℵ[1]) | μιαροι ℵ | αξαι] αγξαι ℵ | μελη] pr τα ℵ | πυρουτε] + μου ℵ   18 οι παιδες] om οι ℵ   19 ταυτα λεγοντες...προσεπικατετεινον] και ταυτα ειπων (λεγοντι pro ειπ. ℵ[c.a]) υπεστρωσαν πυρ και το (improb το ℵ[c.a]) διερεθιζον τον τροχο̄| και προσεκατετινον ℵ | ετι] εστι A | επετρωσαν A   20 τοις] ις sup ras A[a] | αυξονας A   21 περιτετηκμενον A περιτετμημενον ℵ | Αβραμιαιος] Αβρααμ' ὑїος ℵ* Αβρααμιαιος ℵ[c.a]   23 στρατιαν ℵ | εστρατευσασθε ℵ | ευσεβιας ℵ   24 ημων] η ℵ* (ημ. ℵ[c.a])   25 improb και ℵ[c.a (vid)] postea fort repos | απερηξεν ℵ* απερρ. ℵ[c]   26 δορυφοροι] incep δυρο ℵ* (δορυφ. ℵ[1 vid, c])

A προτέρου δεύτερον, καὶ σιδηρᾶς ἐναρμοσάμενοι χεῖρας ὀξέσιν τοῖς
ὄνυξιν, τοῖς ὀργάνοις καὶ καταπέλτῃ προσέδησαν αὐτόν. [27]ὡς δ' εἰ 27
φαγεῖν βούλοιτο πρὶν βασανίζεσθαι πυνθανόμενοι, τὴν εὐγενῆ γνώ-
μην ἤκουσαν, [28]ἀπὸ τῶν τενόντων ταῖς σιδηραῖς χερσὶν ἐπισπασά- 28
§ II μενοι, μέχρι γε τῶν γενείων τὴν σάρκα πᾶσαν §καὶ τὴν τῆς κεφαλῆς
δορὰν οἱ παρδάλειοι θῆρες ἀπέσυραν· ὁ δὲ ταύτην βαρέως τὴν ἀλγηδόνα
καρτερῶν, ἔλεγεν [29]Ὡς ἡδὺς πᾶς τρόπος θανάτου διὰ τὴν πάτριον 29
¶ II ἡμῶν εὐσέβειαν· ἔφη τε πρὸς τὸν τύραννον [30]Οὐ δοκεῖς,¶ πάντων 30
ὠμότατε τύραννε, πλεῖον ἐμοῦ σε νῦν βασανίζεσθαι, ὁρῶν σου νικώ-
μενον τὸν τῆς τυραννίδος ὑπερήφανον λογισμὸν ὑπὸ τῆς διὰ τὴν
§ II εὐσέβειαν ἡμῶν ὑπομονῆς; [31]ἐγὼ μὲν γὰρ §ταῖς διὰ τὴν ἀρετὴν 31
ἡδοναῖς τὸν πόνον ἐπικουφίζομαι· [32]σὺ δὲ ἐν ταῖς τῆς ἀσεβείας 32
ἀπειλαῖς βασανίζῃ· οὐκ ἐκφεύξῃ δέ, μιαρώτατε τύραννε, τὰς τῆς θείας
¶ II ὀργῆς δίκας.¶ [1]Καὶ τούτου τὸν ἀοίδιμον θάνατον καρτερή- 1 X
σαντος, ὁ τρίτος ἤγετο, παρακαλούμενος πολλὰ ὑπὸ πολλῶν ὅπως
ἀπογευσάμενος σῴζοιτο. [2]ὁ δὲ ἀναβοήσας ἔφη Ἠ ἀγνοεῖτε ὅτι 2
αὐτός με τοῖς ἀποθανοῦσιν ἔσπειρεν πατήρ, καὶ ἡ αὐτὴ μήτηρ ἐγέν-
νησεν, καὶ ἐπὶ τοῖς αὐτοῖς ἀνετράφην δόγμασιν; [3]οὐκ ἐξόμνυμαι τὴν 3
εὐγενῆ τῆς ἀδελφότητος συγγένειαν. [4]πρὸς ταῦτα εἴ τι ἔχετε κολα- 4
στήριον, προσαγάγετε τῷ σώματί μου· τῆς γὰρ ψυχῆς μου, οὐδ' ἂν
θέλητε, ἅψεσθε. [5]οἱ δὲ πικρῶς ἐνέγκαντες τὴν παρρησίαν τοῦ 5
ἀνδρός, ἀρθρεμβόλοις ὀργάνοις τὰς χεῖρας αὐτοῦ καὶ τοὺς πόδας
ἐξήρθρουν, καὶ ἐξ ἁρμῶν ἀναμοχλεύοντες ἐξεμέλιζον· [6]καὶ τοὺς 6
δακτύλους καὶ τοὺς βραχίονας καὶ τὰ σκέλη καὶ τοὺς ἀγκῶνας
περιέλκων. [7]καὶ κατὰ μηδένα τρόπον ἰσχύοντες αὐτὸν ἄγξαι, περι- 7
σύραντες τὸ δέρμα σὺν ἄκραις ταῖς τῶν δακτύλων κορυφαῖς ἀπεσκύ-
θιζον, καὶ εὐθέως ἦγον ἐπὶ τὸν τροχόν. [8]περὶ ὃν ἐκ σφονδύλων 8

ℵII 26 προτερου] πρεσβυτερου ℵ | σιδηρεας ℵ* (-ρας ℵ?) | οξεσι ℵ | ονυξι ℵ | τοις οργανοις] οργανω ℵ 27 την ευγ.] pr και ℵ | ηκουσαν] ακουσαντες ειλκυσαν ℵ* improb ειλκ. ℵ$^{c.a, c.b}$ 28 σιδηραιαις ℵ* (-ραις ℵ$^{c.b}$) | om γε ℵ | παρδαλιοι AII] παρδαλεοι ℵ* -λαιοι ℵ$^{c.a}$ | απεσυρον ℵ | βαρ. την αλγ.] την αλγ. γεννεως II 29 θανατου τροπος ℵII | ευσεβιαν ℵ: item 30 | om εφη τε πρ. τον τυρ. II 30 δοκ[ει] II^{vid} | πλειον] πλεον ℵ | om νυν ℵ | σου] σοι ℵ | τον της τυρ.] om τον ℵ* (hab ℵ$^{c.a}$) | ημων] υμων A 31 om μεν ℵ* (hab ℵ$^{c.a}$) | αρετην] [ευσεβει]αν II^{vid} | ηδονης A | των πονων II 32 ασεβειαις A | μιαρωτατε ℵII | τας] τα ℵ* (τας ℵ$^{c.a}$) X 1 post αοιδ. incep τ ℵ* (improb ℵ^{1}) | υπο] απο ℵ* (υπο ℵ$^{c.a, c.b}$) 2 om η 1° ℵ | αυτος] pr ο ℵ$^{c.a}$ 3 συγγενειαν] ευγενιαν ℵ 4 om ℵ | αψασθαι A 5 αθρεμβολοις A 6 om και 1° ℵ* (hab ℵ$^{c.a}$) | περιελκων] περιεκλων ℵ 7 ισχυσαντες ℵ* (ισχυοντες ℵ$^{c.a}$) | περισυραντες το δερμα] περιλυσαντες τα οργανα ℵ* (περισ. το δ. ℵ$^{c.a}$) 8 σφονδυλων] σπονδυλων ℵ

ἐκμελιζόμενος ἑώρα τὰς ἑαυτοῦ σάρκας περιλακιζομένας καὶ κατὰ A
9 σπλάγχνων σταγόνας αἵματος ἀπορρεούσας. [9]μέλλων δὲ ἀποθνήσκειν,
10 ἔφη [10]Ἡμεῖς μέν, ὦ μιερώτατε τύραννε, διὰ παιδείαν καὶ ἀρετὴν
11 θεοῦ ταῦτα πάσχομεν· [11]σὺ δὲ διὰ τὴν ἀσέβειαν καὶ μιαιφονίαν
12 ἀκαταλύτους καρτερήσεις βασάνους. [12]Καὶ τούτου θανόντος
13 ἀδελφοπρεπῶς, τὸν τέταρτον ἐπεσπῶντο, λέγοντες [13]Μὴ μανῇς καὶ
σὺ τοῖς ἀδελφοῖς σου τὴν αὐτὴν μανίαν, ἀλλὰ πεισθεὶς τῷ βασιλεῖ
14 σῷζε σεαυτόν. [14]ὁ δὲ αὐτοῖς ἔφη Οὐχ οὕτως καυστικώτερον ἔχετε
15 κατ᾽ ἐμοῦ τὸ πῦρ, ὥστε με δειλανδρῆσαι. [15]μὰ τὸν μακάριον τῶν
ἀδελφῶν μου θάνατον, καὶ τὸν αἰώνιον τοῦ τυράννου ὄλεθρον, καὶ τὸν
ἀοίδιμον τῶν εὐσεβῶν βίον, οὐκ ἀρνήσομαι τὴν εὐγενῆ ἀδελφότητα.
16 [16]ἐπινόει, τύραννε, βασάνους· ἵνα καὶ διὰ τούτων μάθῃς, ὅτι ἀδελφός
17 εἰμι τῶν προβασανισθέντων. [17]ταῦτα ἀκούσας ὁ αἱμοβόρος καὶ φο-
νώδης καὶ παμμιαρώτατος Ἀντίοχος, ἐκέλευσεν τὴν γλῶτταν αὐτοῦ
18 ἐκτεμεῖν. [18]ὁ δὲ ἔφη Κἂν ἀφέλῃς τὸ τῆς φωνῆς ὄργανον, καὶ σιω-
19 πώντων ἀκούει ὁ θεός. [19]ἰδοὺ κεχάλασται ἡ γλῶσσα· τέμνε. οὐ
20 γὰρ παρὰ τοῦτο τὸν λογισμὸν ἡμῶν γλωσσοτομήσεις. [20]ἡδέως ὑπὲρ
21 τοῦ θεοῦ τὰ τοῦ σώματος μέλη ἀκρωτηριαζόμεθα. [21]σὲ δὲ ταχέως
μετελεύσεται ὁ θεός· τὴν γὰρ τῶν θείων ὕμνων μελῳδὸν γλῶτταν
XI 1 ἐκτέμνεις. [1]Ὡς δὲ καὶ οὗτος ταῖς βασάνοις καταικισθεὶς
2 ἐναπέθανεν, ὁ πέμπτος παρεπήδησεν, λέγων [2]Οὐ μέλλω, τύραννε, πρὸς
3 τὸν ὑπὲρ τῆς ἀρετῆς βασανισμὸν παραιτεῖσθαι. [3]αὐτὸς δ᾽ ἀπ᾽ ἐμαυτοῦ
παρῆλθον, ὅπως κἀμὲ κατακτείνας, περὶ πλειόνων ἀδικημάτων ὀφι-
4 λήσῃς τῇ οὐρανίῳ δίκῃ τιμωρίαν. [4]ὦ μισάρετε καὶ μισάνθρωπε, τί
5 δράσαντας ἡμᾶς τοῦτον πορθεῖς τὸν τρόπον; [5]ἢ κακόν σοι δοκεῖ, ὅτι
τὸν πάντων κτίστην εὐσεβοῦμεν, καὶ κατὰ τὸν ἐνάρετον αὐτοῦ ζῶμεν
6 7 νόμον; [6]ἀλλὰ ταῦτα τιμῶν, οὐ βασάνων ἐστὶν ἄξια, [7]εἴπερ ᾐσθάνου
8 ἀνθρώπους ποθῶν, καὶ ἐλπίδα εἶχες παρὰ θεῷ σωτηρίου· [8]νῦν ἰδὲ
9 ἀλλότριος ὢν θεοῦ, πολεμεῖς τοὺς εὐσεβοῦντας εἰς τὸν θεόν. [9]τοι-

8 απορεουσας ℵ 10 μιαρωτατε ℵ 11 ασεβιαν ℵ 12 αδελφο- ℵ
πρεπως] φοπρ sup ras A[a] 14 αυτοις] αυτω ℵ | κλαυστικωερον (sic) A*
(καυστικωτ. A[1 (vid)]) 15 αοιδιμον] ολεθρον αιδιō| ℵ* (improb ολεθρ. ℵ[1, c.a])
16 δια τουτων] δι αυτων ℵ | προβεβασανισθεντων (sic) A 17 ταυτα]+
δε (superscr) ℵ[1] | φονωδης] incep φονι ℵ* | παμμιαρωτατος ℵ | εκτεμνειν ℵ*
18 σιωπουντων A 19 προκεχαλασται ℵ | γλωττοτομησεις ℵ 20 του 1°]
seq τ in ℵ* (improb ℵ[1]) | μελη] βελη ℵ* (μ. ℵ[1 (vid)]) 21 υμνον μελωδαν
ℵ* (υμνων μελωδον ℵ[c.a]) XI 1 κατακισθεις (sic) A 2 om παραιτεισθαι
ℵ 3 οφιλησεις (-σις A) τη ουρανιω δικη] τη επουρανιω δικη δωσεις ℵ |
τιμωριαν sup ras A[1] 4 μισαρετε] μιαρωτατε ℵ | τον τροπον πορθεις ℵ
5 om η κακον σοι δοκει ℵ 6 εστιν] εισι] ℵ 7—8 om ειπερ ησθα-
νου...εις τον θεον ℵ

A αὖτα λέγοντα οἱ δορυφόροι δήσαντες αὐτὸν εἷλκον ἐπὶ τὸν καταπέλτην·
10ἐφ᾽ ὃν δήσαντες αὐτὸν ἐπὶ τὰ γόνατα, καὶ ταῦτα ποδάγραις σιδηραῖς 10
ἐφαρμόσαντες τὴν ὀσφὺν αὐτοῦ ἐπὶ τὸν τροχιαῖον σφῆνα κατέκαμψαν·
περὶ ὃν ὅλος ἐπὶ τὸν τροχὸν σκορπίου τρόπον ἀνακλώμενος ἐξεμελί-
ζετο. 11κατὰ τοῦτον τὸν τρόπον καὶ τὸ πνεῦμα στενοχωρούμενος καὶ 11
τὸ σῶμα ἀγχόμενος 12Καλάς, ἔλεγεν, ἄκων, ὁ τύραννος, χάριτας ἡμῖν 12
χαρίζῃ, καλάς, διὰ γενναιοτέρων πόνων ἐπιδείξασθαι παρέχων τὴν εἰς
τὸν νόμον ἡμῶν καρτερίαν. 13Τελευτήσαντος δὲ καὶ τούτου, 13
ὁ ἕκτος ἤγετο μειρακίσκος· ὃς πυνθανομένου τοῦ τυράννου εἰ βούλοιτο
φαγὼν ἀπολύεσθαι, ὁ δὲ ἔφη 14Ἐγὼ τῇ μὲν ἡλικίᾳ τῶν ἀδελφῶν μου 14
εἰμὶ νεώτερος, τῇ δὲ διανοίᾳ ἡλικιώτης. 15εἰς τὰ αὐτὰ γὰρ καὶ γεννη- 15
θέντες καὶ τραφέντες, ὑπὲρ τῶν αὐτῶν καὶ ἀποθνῄσκειν ὀφίλομεν
ὁμοίως. 16ὥστε εἴ σοι δοκεῖ βασανίζειν μὴ μιεροφαγοῦντας, βασάνιζε. 16
17ταῦτα αὐτὸν εἰπόντα παρῆγον ἐπὶ τὸν τροχόν. 18ἐφ᾽ οὗ κατατεινό- 17 18
μενος εὐμελῶς καὶ ἐκσφονδυλιζόμενος ὑπεκαίετο. 19καὶ ὀβελίσκους 19
ὀξεῖς πυρώσαντες, τοῖς νώτοις προσέφερον· καὶ τὰ πλευρὰ διαπεί-
ραντες, ἀπ᾽ αὐτοῦ τὰ σπλάγχνα διέκαιον. 20ὁ δὲ βασανιζόμενος Ὦ 20
ἱεροπρεποῦς αἰῶνος, ἔλεγεν, ἐφ᾽ ὃν διὰ τὴν εὐσέβειαν εἰς γυμνασίαν
πόνων ἀδελφοὶ τοσοῦτοι κληθέντες οὐκ ἐνικήθημεν. 21ἀνίκητος γάρ 21
ἐστιν, ὦ τύραννε, ἡ εὐσεβὴς ἐπιστήμη. 22καλοκἀγαθίᾳ καθωπλισμένος 22
τεθνήξομαι κἀγὼ μετὰ τῶν ἀδελφῶν μου, 23μέγαν σοι προσβάλλων 23
καὶ αὐτὸς ἀλάστορα, καινουργὲ τῶν βασάνων, καὶ πολέμιε τῶν ἀληθῶς
εὐσεβούντων. 24ἓξ μειράκια κατελύσαμέν σου τὴν τυραννίδα. 25τὸ 24 25
γὰρ μὴ δυνηθῆναί σε μεταπεῖσαι τὸν λογισμὸν ἡμῶν, μήτε βιάσασθαι
πρὸς τὴν μιεροφαγίαν, οὐ κατάλυσίς ἐστιν σου; 26τὸ πῦρ σου ψυχρὸν 26
ἡμῖν, καὶ ἄπονοι οἱ καταπέλται, καὶ ἀδύνατος ἡ βία σου. 27οὐ γὰρ 27

ℵ 9 τοιαυτα] τοι· αυτα A (praec spat 3 litt: fors καιτοι voluit A*) + δε ℵ | ειλκον] εικον ℵ* (ειλκ. ℵc.a) 10 εφαρμοσαντες ℵc.a] εφορμασαντες ℵ*A | επι τον τροχιαιον] περι τροχ. ℵ | επι τον τροχον] περι τον τραχηλον ℵ | σκοπιου ℵ* (σκορπ. ℵc.a) | εξεμελιζετο] με sup ras Aa 11 και 2°] και· και A 12 ο τυραννος] ω τυραννε ℵ | om καλας 2° ℵ | της ℵ* (την ℵc.a) | καρτεριας ℵ* (-ριαν ℵc.a) 13 τελευτησας (sic) A | improb ο δε ℵc.a 14 τη μεν ηλικια] μεν την ηλικιαν ℵ* μεν τη ηλικια ℵc.a | om μου ℵ | διανοια] ανοια A 15 τα αυτα] τα αυ (sic) A ταυτα ℵ | om και 1° ℵ | γεννηθεντες ℵ | τραφεντες] ανατραφ. ℵ 16 μιαιροφαγουντα ℵ | βασανιζε] βασανιζειν ℵ (-ζε ℵ1, c.a) A*fort 17 om αυτον ℵ 18 ευμελως] επιμελως ℵ | εκσπο̄|δυλιζομενος ℵ | υπεκαιετο] + πυρι ℵ 19 διαπειραντες] διαφθειραντες ℵ | om απ ℵ | τα σπλαγχνα] pr και ℵc.a | διεκαιον] διϊκεον ℵ* διεκεον ℵc.a 20 αιωνος] αγωνος ℵ | ελεγον ℵ* (-γεν ℵ1) | ευσεβιαν ℵ | ενικημεν ℵ* (-κηθημεν ℵc.a) 21 om ω ℵ 23 και αυτος προσβαλλω̄| ℵ 24 κατελυσαμεν] καταλελυκαμεν ℵ 26 αδυνατοις ℵ* (-τος ℵ1) 27 improb οι ℵc.a

τυράννου ἀλλὰ θείου νόμου προεστήκασιν ἡμῶν οἱ δορυφόροι· διὰ A
XII 1 τοῦτο ἀνίκητον ἔχομεν τὸν λογισμόν. [1]Ὡς δὲ καὶ οὗτος
μακαρίως ἐναπέθανεν [3]καταβληθεὶς εἰς λέβητα, ὁ ἕβδομος παρεγίνετο, § V
2 πάντων νεώτερος. [2]ὃν κατοικτειρήσας ὁ τύραννος, καίπερ δεινῶς ὑπὸ
3 τῶν ἀδελφῶν αὐτοῦ κακισθείς, [3]ὁρῶν ἤδη τὰ δεσμὰ περικείμενον,
πλησιέστερον αὐτὸν μετεπέμψατο, καὶ παρηγορεῖν ἐπειρᾶτο, λέγων
4 [4]Τῆς μὲν τῶν ἀδελφῶν σου ἀπονοίας τὸ τέλος ὁρᾷς· διὰ γὰρ ἀπείθειαν
στρεβλωθέντες τεθνήκασιν. σύ, εἰ μὲν μὴ πεισθείης, τάλας βασανι-
5 σθεὶς καὶ αὐτὸς τεθνήξῃ πρὸ ὥρας. [5]πεισθεὶς δὲ φίλος ἔσῃ, καὶ τῶν
6 ἐπὶ τῆς βασιλείας ἀφηγήσῃ πραγμάτων. [6]καὶ ταῦτα παρακαλῶν, τὴν
μητέρα τοῦ παιδὸς μετεπέμψατο, ὅπως αὐτὴν ἐλεήσας τοσούτων υἱῶν
στερηθεῖσαν παρορμήσειεν ἐπὶ τὴν σωτηρίαν εὐπειθῆ ποιῆσαι τὸν
7 περιλειπόμενον. [7]ὁ δὲ τῆς μητρὸς τῇ Ἐβραΐδι φωνῇ προτρεψαμένης
8 αὐτόν, ὡς ἐροῦμεν μετὰ μικρὸν ὕστερον [8]Ἀπολύσατέ με, φησίν· εἴπω
9 τῷ βασιλεῖ καὶ τοῖς σὺν αὐτῷ φίλοις πᾶσιν. [9]καὶ ἐπιχαρέντες μά-
10 λιστα ἐπὶ τῇ ἐπαγγελίᾳ τοῦ παιδός, ταχέως ἔλυσαν αὐτόν. [10]καὶ
11 δραμὼν ἐπὶ πλησίον τῶν τηγάνων, ἔφη [11]Ἀνόσιε, φησίν, καὶ πάντων
τῶν πονηρῶν ἀσεβέστατε τύραννε, οὐκ ᾐδέσθης παρὰ τοῦ θεοῦ λαβὼν
τὰ ἀγαθὰ καὶ τὴν βασιλείαν, τοὺς θεράποντας αὐτοῦ κατακτεῖναι, καὶ
12 τοὺς τῆς εὐσεβείας ἀσκητὰς στρεβλῶσαι; [12]ἀνθ' ὧν ταμιεύεταί σε ἡ
θεία δίκη πυκνοτέρῳ καὶ αἰωνίῳ πυρὶ καὶ βασάνοις, αἳ εἰς ὅλον τὸν
13 αἰῶνα οὐκ ἀνήσουσίν σε. [13]οὐκ ᾐδέσθης ἄνθρωπος ὤν, θηριωδέστατε,
τοὺς ὁμοιοπαθεῖς καὶ ἐκ τῶν αὐτῶν γεγονότας στοιχείων γλωττοτο-
14 μῆσαι, καὶ τοῦτον καταικίσας τὸν τρόπον βασανίσαι; [14]ἀλλ' οἱ μὲν
15 εὐγενῶς ἀποθανόντες ἐπλήρωσαν τὴν εἰς τὸν θεὸν εὐσέβειαν· [15]σὺ

XII 1 ουτος] αυτος ℵ | εναπεθανεν] απεθανεν ℵ | καταβληθεις] ..ταβληθεις ℵV V | παρεγενετο V 2 κατοικτιρας ℵV (-τειρ.) 3 περικειμενα V | πλησιετερον ℵ πλησιοτ. V* -σιαιτ. V[a] 4 το τελος] om το ℵ* (hab ℵ[c.a]) | απειθειαν] απιστιαν ℵ (σ sup ras ℵ[1]) | τεθνεασιν ℵ | συ] + δε ℵV | πεισθειης] πισθεις ℵ | βασανισθεις] βασανοις V[a] (οι sup ras 3 fort litt) | ωρας] ορας ℵ* (ωρ. ℵ[c.a]) 5 βασιλιας ℵ 6 αυτην] εαυτην ℵ[c.a]V | ελεησασα ℵV | στερηθειαν ℵ* (-σαν ℵ[c.b]) στερηθεισα V | σωτηριον ℵ | ευπειθη] ευπιθια| ℵ | om ποιησαι ℵ ποιησαιεν V* (improb εν V[a?]) 7 om μετα V 8 απολυσατε] λυσατε ℵV 9 και επιχαρεντες] οι δε χαρεντες ℵ 10 om εφη ℵ 11 φησι A? | των πονηρων ασεβεστατε] ασεβ. πονηρ. ℵ | om τυραννε ℵ | βασιλιαν ℵ | κατακτειναι ℵ[c.a] | της ευσ.] om της ℵ* (hab ℵ[c.a]) 12 ταμιευσεται ℵV | om σε 1° ℵ* (hab ℵ[c.a]) | om θεια ℵV | om και βασανοις V | om αι ℵ* (hab ℵ[c.a]) V 13 θηριωδεστα V* (-τατε V[a]) | γλωττο|μησαι (sic) V | τουτον καταικισας (κατακεισ. A) τον τροπον] τουτον κατακαυσας τον τρ. ℵ τουτον τον τρ. καταικ. (κατεκ. V*) V | βασανιζει ℵ* (-σαι ℵ[c.a]) 14 ευσεβιαν ℵ

A δὲ κακῶς οἰμώξεις, τοὺς τῆς ἀρετῆς ἀγωνιστὰς ἀναιτίως ἀποκτείνας.
[16]ὅθεν καὶ αὐτὸς ἀποθνῄσκειν μέλλων, ἔφη [17]Οὐκ ἀπαυτομολῶ τῆς 16 17
τῶν ἀδελφῶν μου μαρτυρίας. [18]ἐπικαλοῦμαι δὲ τὸν πατρῷον θεόν, 18
ὅπως ἵλεως γένηται τῷ γένει μου. [19]σὲ δὲ καὶ ἐν τῷ νῦν βίῳ καὶ 19
θανόντα τιμωρήσεται. [20]καὶ ταῦτα κατευξάμενος, ἑαυτὸν ἔρριψεν κατὰ 20
τῶν τηγάνων· καὶ οὕτως ἀπέδωκεν.

[1]Εἰ δὲ τοίνυν τῶν μέχρι θανάτου πόνων ὑπερεφρόνησαν οἱ ἑπτὰ 1 XIII
ἀδελφοί, συνομολογεῖται πανταχόθεν, ὅτι αὐτοδέσποτός ἐστιν τῶν
παθῶν ὁ εὐσεβὴς λογισμός. [2]ὥσπερ γὰρ οἱ τοῖς πάθεσιν δουλω- 2
θέντες ἐμιεροφάγησαν, ἐλέγομεν γὰρ αὐτοὺς τούτοις νενικῆσθαι·
[3]νυνὶ δὲ οὐχ οὕτως· ἀλλὰ τῷ ἐπαινουμένῳ λογισμῷ παρὰ θεῷ 3
περιεγένοντο τῶν παθῶν. [4]καὶ οὐκ ἔστιν παριδεῖν τὴν ἡγεμονίαν 4
τῆς διανοίας· ἐπεκράτησαν γὰρ καὶ πάθους καὶ πόνων. [5]πῶς οὖν 5
οὐκ ἔστιν τούτοις τὴν τῆς εὐλογιστίας παθοκρατίαν ὁμολογεῖν, οἳ
τῶν μὲν διὰ πυρὸς ἀλγηδόνων οὐκ ἐπεστράφησαν; [6]καθάπερ γὰρ 6
προβλῆτες λιμένων πύργοι τὰς κυμάτων ἀπειλὰς ἀνακόπτοντες,
γαληνὸν παρέχουσιν τοῖς εἰσπλέουσιν τὸν ὅρμον· [7]οὕτως ἡ ἑπτά- 7
πυργος τῶν νεανίσκων εὐλογιστία τὸν τῆς εὐσεβείας ὀχυρώσασα λι-
μένα τὴν τῶν παθῶν ἐνίκησεν ἀκολασίαν. [8]ἱερὸν γὰρ εὐσεβείας 8
στήσαντες χορὸν παρεθάρσυνον ἀλλήλους, λέγοντες [9]Ἀδελφικῶς 9
ἀποθάνοιμεν ἀδελφοὶ περὶ τοῦ νόμου· μιμησώμεθα τοὺς τρεῖς τοὺς
ἐπὶ τῆς Συρίας νεανίσκους, οἳ τῆς ἰσοπάλιδος καμίνου κατεφρό-
νησαν. [10]μὴ δειλανδρήσωμεν πρὸς τὴν τῆς εὐσεβίας ἀπόδειξιν. 10

ℵV 15 κακως] pr κακος ων V | αποκτεινας ℵ (-κτιν.) V 16 om εφη ℵ^{c.a} (repos ut vid ℵ^{c.b}) V 17 απαυτομολω] αυτωμολω V* (-τομ. V^a) | αδελφων μου] παιδων ℵ* (αδ. μου ℵ^{c.a}) αδελφων V | μαρτυριας] αριστιας ℵV* (-τειας V^a) 18 πατριον V | γενει μου] εθνει (-νι ℵ) ημων ℵV 20 ερριψεν V | απεδωκεν] + το πνα ℵ + την ψυχην V XIII 1 ει δε] ιδε A | υπερεφρονησαν] συπερεφροσαν (sic) ℵ* (υπερεφρονησ. ℵ^1) υπερηφανησαν V | πανταχοθεν] παντοθεν V 2 ωσπερ] ει ℵ* (ωσπ. ℵ^{c.a}) | οι] om ℵ* ει ℵ^{c.a}V | παθεσι ℵ | εμιαροφ. V^a | ελεγαμεν (sic) ℵ | γαρ 2°] αν ℵ om V | τουτοις αυτους ℵ | ενικησθαι V* vid (νεν. V^a) 3 παρα θυ λογισμω ℵ παρα θω λογ. V 4 και 1°] ων ℵV 5 ουκ 1°] pr ο A | ευλογιστιας A^1ℵV] ευλογιας A* | πανθοκρατιαν ℵ* (παθ. ℵ^1) παθοκρατειαν V^a | μεν] + γαρ ℵ* (improb ℵ^{c.a}) | επεστραφησαν (εεστρ. A* επ. A^1)] απεστραφησαν ℵ* (επ. ℵ^{c.a}) 6 προβλητες] προπληταις A προβληταις ℵ προβλιται V* -βλητ. V^a | πυργοις A | κυματων] pr των ℵV | ανακοπτοντες] ανακαμπτοντες V | παρεχουσι ℵV | εισπλεουσι V 7 επταπυρος V* (-πυργ. V^1) | ευσεβιας ℵ: item 8 | ενεικησε ℵ | ακολασιαν] κολασιν ℵV 8 παρεθαρσυναν V 9 αποθανωμεν ℵV (-νομ. V* -νωμ. V^a) | Ασσυριας (ασ superscr) A^{1?a?}ℵV | ισοπολιδος A ισοπολιτιδου ℵ* ισοπολιτιδος ℵ^{c.a}V | καμινου] καιομενης ℵ* (καμιν. ℵ^{c.a}) 10 ευσεβειας V | επιδιξιν ℵ

11 12 11 καὶ ὁ μὲν Θάρρει, ἀδελφέ, ἔλεγεν· ὁ δὲ Εὐγενῶς καρτέρησον. 12 ὁ A
δὲ ἔλεγεν· Μνήσθητε πόθεν ἐστέ, ἢ τίνος πατρὸς χειρὶ σφαγιασθῆναι
13 διὰ τὴν εὐσέβειαν ὑπέμεινεν ὁ Ἰσαάκ. 13 εἷς δὲ ἕκαστος καὶ ἀλλή-
λους ὁμοῦ πάντες ἐφορῶντες φαιδροὶ καὶ μάλα θαρραλέοι Ἑαυτούς,
ἔλεγον, τῷ θεῷ ἀφιερώσομεν ἐξ ὅλης τῆς καρδίας τῷ δόντι τὰς
ψυχάς, καὶ χρήσωμεν τῇ περὶ τὸν νόμον φυλακῇ τὰ σώματα.
14 15 14 μὴ φοβηθῶμεν τὸν δοκοῦντα ἀποκτενεῖν. 15 μέγας γὰρ ψυχῆς
ἀγὼν καὶ κίνδυνος ἐν αἰωνίῳ βασάνῳ κείμενος τοῖς παραβᾶσιν τὴν
16 ἐντολὴν τοῦ θεοῦ. 16 καθοπλισώμεθα τοιγαροῦν τῇ τοῦ θείου λο-
17 γισμοῦ παθοκρατίᾳ. 17 οὕτως παθόντας ἡμᾶς Ἀβραὰμ καὶ Ἰσαὰκ
18 καὶ Ἰακὼβ ὑποδέξονται, καὶ πάντες οἱ πατέρες ἐπαινέσουσιν. 18 καὶ
ἑνὶ ἑκάστῳ τῶν ἀποσπωμένων αὐτῶν ἀδελφῶν ἔλεγον οἱ περιλει-
πόμενοι Μὴ καταισχύνῃς ἡμᾶς, ἀδελφέ, μηδὲ ψεύσῃ τοὺς προαπο-
19 θανόντας. 19 Οὐκ ἀγνοεῖτε δὲ τὰ τῆς ἀνθρωπότητος φίλτρα,
ἅπερ ἡ θεία καὶ πάνσοφος πρόνοια διὰ τῶν πατέρων τοῖς γεννω-
20 μένοις ἐμέρισεν, καὶ διὰ τῆς μητρῴας φυτεύσασα γαστρός· 20 ἐν ᾗ
τὸν ἴσον ἀδελφοὶ κατοικήσαντες χρόνον, καὶ ἐν τῷ αὐτῷ χρόνῳ πλα-
σθέντες, καὶ ἀπὸ τοῦ αὐτοῦ αἵματος αὐξηθέντες, καὶ διὰ τῆς αὐτῆς
21 ψυχῆς τελεσφορηθέντες, 21 καὶ διὰ τῶν ἴσων ἀποτεχθέντες χρόνων,
καὶ ἀπὸ τῶν αὐτῶν γαλακτοποτοῦντες πηγῶν, ἀφ' οὗ συντρέφονται
22 ἐναγκαλισμάτων φιλάδελφοι ψυχαί· 22 καὶ αὔξονται σφοδρότερον διὰ
συντροφίας καὶ τῆς καθ' ἡμέραν συνηθείας καὶ τῆς ἄλλης παιδίας
23 καὶ τῆς ἡμετέρας ἐν νόμῳ θεοῦ ἀσκήσεως. 23 οὕτως δὴ τοίνυν καθ-
εστηκυίας τῆς φιλαδελφίας συμπαθούσης, οἱ ἑπτὰ ἀδελφοὶ συμπα-

11 κατερησον V (καρτ. Va) 12 ελεγεν] pr καταμνησθεις ℵV | om ℵV μνησθητε ℵ* (hab ℵc.a) | πατρος] προ (pro πρς) A | ευσεβιαν ℵ | ο Ισαακ (-σακ ℵ* -σαακ ℵc.a)] om ο ℵV 13 om και 1° ℵV | εφορων (sic) A | φαιδροι] pr εδραιοι και V | αφιερωσωμεν ℵVa | δοντι] διδοντι V 14 αποκτεννειν ℵ 15 μεγα A* (ς superscr Aa?) | om αγων και V | αιωνι ℵ* (-νιω ℵc.a) | παραβασιν (-σι ℵ*)] παραβαινουσιν ℵc.a (-σι) V 16 την του θ. λ. παθοκρατιαν ℵV* (-τειαν Va) 17 ουτως (-τω ℵ)] + γαρ ℵV | παθοντας] θανοντας ℵV | Ισακ ℵ* (Ισαακ ℵc.a, c.b) 18 αποσπωμενων] + ων V* (improb V1) | αυτων] αυτω ℵ* (-των ℵc.a) | αδελφω A | μηδε] μη V | προαποθανοντας] + ημων αδελφους ℵV 19 ανθρωποτητος] αδελφοτητος ℵ | incep πανσοπ. ℵ* (πανσοφ. ℵ1) | των πατ.] om των ℵ | γαστρος] incep α ℵ* (improb ℵ1) 20 χρονω] χρονων V* 21 γαλακτοποτουντες (-ποουντ. A* ποτ. A1)] γαλακτοτροφουντες ℵ* (γαλακτοποτ. ℵc.a) γαλα ποτισθεντες V | ου] ων ℵV | συνστρεφονται ℵ | εναγκαλισματων Aℵ (? -μα των ℵ*)] εν αγκαλαις ματων V* (αι[ματων] Va) | φιλαδελφων ℵ* (-φοι ℵc.a) 22 συντροφιαν ℵ | συνηθιας ℵ | παιδειας 23 συνπαθουσης της φιλαδελφιας ℵ συμπαθους της φιλ. V

A θέστερον ἴσχον τὴν πρὸς ἀλλήλους ὁμόνοιαν. 24νόμῳ γὰρ τῷ αὐτῷ 24
παιδευθέντες, καὶ τὰς αὐτὰς ἐξασκήσαντες ἀρετάς, καὶ τῷ δικαίῳ
συντραφέντες βίῳ, μᾶλλον ἐφ' αὐτοὺς ἤγαγον. 25ἡ γὰρ ὁμοζηλία 25
τῆς καλοκἀγαθίας ἐπέτεινεν αὐτῶν τὴν πρὸς ἀλλήλους ὁμόνοιαν·
26σὺν γὰρ τῇ εὐσεβείᾳ ποθεινοτέραν αὐτοῖς κατεσκεύαζεν τὴν φιλο- 26
δελφίαν. 27ἀλλ' ὁμοίως καίπερ τῆς φύσεως καὶ τῆς συνηθείας καὶ 27
τῶν τῆς ἀρετῆς ἠθῶν τὰ τῆς ἀδελφότητος αὐτοῖς φίλτρα συν-
αυξόντων, ἀνέσχοντο διὰ τὴν εὐσέβειαν τοὺς ἀδελφοὺς οἱ ὑπολε-
λιμμένοι τοὺς καταικιζομένους ὁρῶντες μέχρι θανάτου βασανιζο-
μένους. 1προσέτι καὶ ἐπὶ τὸν αἰκισμὸν ἐποτρύνοντες, ὡς μὴ μόνον 1 XIV
τῶν ἀλγηδόνων περιφρονῆσαι αὐτούς, ἀλλὰ καὶ τῆς τῶν ἀδελφῶν
φιλαδελφίας παθῶν κρατῆσαι. 2Ὦ βασιλέως λογισμοὶ βα- 2
σιλικώτεροι καὶ ἐλευθέρων ἐλευθερώτεροι· 3ὢ ἱερᾶς καὶ ἐναρμόστου 3
περὶ τῆς εὐσεβείας τῶν ἑπτὰ ἀδελφῶν συμφωνίας. 4οὐδεὶς ἐκ τῶν 4
ἑπτὰ μειρακίων ἐδειλίασεν, οὐδὲ πρὸς τὸν θάνατον ὤκνησεν· 5ἀλλὰ 5
πάντες, ὥσπερ ἐπ' ἀθανασίας ὁδὸν τρέχοντες, ἐπὶ τὸν διὰ τῶν βα-
σάνων θάνατον ἔσπευδον. 6καθάπερ γὰρ χεῖρες καὶ πόδες συμφώ- 6
νως τοῖς τῆς ψυχῆς ἀφηγήμασιν κινοῦνται· οὕτως οἱ ἱεροὶ μείρακες
ἐκεῖνοι ὡς ὑπὸ ψυχῆς ἀθανάτου τῆς εὐσεβείας πρὸς τὸν ὑπὲρ αὐτῆς
συνεφώνησαν θάνατον. 7ὢ πανάγιε συμφώνων ἀδελφῶν ἑβδομάς· 7
καθάπερ γὰρ ἑπτὰ τῆς κοσμοποιίας ἡμέραι περὶ τὴν εὐσέβειαν,
8οὕτως περὶ τὴν ἑβδομάδα χορεύοντες οἱ μείρακες ἐκύκλουν, τὸν τῶν 8
βασάνων φόβον καταλύοντες. 9νῦν ἡμεῖς ἀκούοντες τὴν θλῖψιν τῶν 9
νεανιῶν ἐκείνων, φρίττομεν· οἱ δὲ οὐ μόνον ὁρῶντες, ἀλλ' οὐδὲ μό-
νον ἀκούοντες τὸν παραχρῆμα ἀπειλῆς λόγον, ἀλλὰ καὶ πάσχοντες,

ℵV 23 την προς αλληλους ομονοιαν] προς αλληλους ℵV 24 συστραφεντες ℵ* (συντραφ. ℵc.a) | εφ (επ A) αυτους ηγαγον] εαυτους ηγαπων ℵV 25 αυτων] ω sup ras A¹ αυτω ℵ | αλληλοις A¹ | ομονοιαν] pr ευνοιαν και ℵ ευνοιαν V 26 συν γαρ τη ευσεβεια] sup ras pl litt A¹ + ομολογισμος V | ποθεινοτεραν] pr την ℵ | αυτοις] εαυτοις ℵc | κατεσκευαζον ℵ | την φιλαδ.] improb την ℵc.a 27 ομοιως] ομως ℵ | καιπερ] και περι V | συνηθιας ℵ | συναυξαντων ℵ* (-ξοντ. ℵc.a) συναυξανοντων V | ευσεβιαν ℵ | υπολελιμμενοι] υπολειπομενοι ℵ (-λιπ.) V | τους 2°] το sup ras A¹ | καταικιζομενους] κατοικτιζ. ℵ | μεχρι] pr και V XIV 1 επι τον αικ.] επ εκ. V* (επ αικ. Va) | εποτρυνοντες] υπομενοντες V | της των αδ. φιλαδ.] των φιλαδ. V 2 βασιλεως] βασιλεων ℵV seq βασι in ℵ* (improb ℵ¹) 3 om ω A | εναρμοστους A | της ευσεβειας] της ιερας ℵ* τ. ευσεβιας ℵ¹ την της ευσεβειας V 5 om δια V 6 om γαρ ℵV | χειρες] pr αι ℵV | ποδες] pr οι ℵV | συμφωνως] + ως V | εκεινοι ως] νοι ως sup ras A¹ | ως] ωσπερ V | om υπο V | αθανατου] pr της V | ευσεβειας (-βιας ℵ)] + κινουμενοι V 7 εβδομαδας ℵ* (-μας ℵc.a) | ευσεβιαν ℵ 8 ουτω ℵ* (-τως ℵc.a) | τον των] των των V* (τον των Va)

10 ἐκαρτέρουν καὶ τοῦτο ταῖς διὰ πυρὸς ὀδύναις. [10]ὧν τί γένοιτο ἐπαλ- A
γέστερον; ὀξεῖα γὰρ καὶ σύντομος ἡ τοῦ πυρὸς οὖσα δύναμις ταχέως
διέλυσε τὰ σώματα.
11 [11]Καὶ μὴ θαυμαστὸν ἡγεῖσθε εἰ ὁ λογισμὸς περιεκράτησεν τῶν
ἀνδρῶν ἐκείνων ἐν ταῖς βασάνοις, ὅπου γε καὶ γυναικὸς νοῦς πολυ-
12 τροπωτέρων ὑπερεφρόνησεν ἀλγηδόνων. [12]ἡ μήτηρ γὰρ τῶν ἑπτὰ
νεανίσκων ὑπήνεγκεν τὰς ἐφ' ἑνὶ ἑκάστῳ τῶν τέκνων στρέβλας.
13 [13]θεωρεῖτε δὲ πῶς πολύπλοκός ἐστιν ἡ τῆς φιλοτεκνίας στοργή,
14 ἕλκουσα πάντα πρὸς τὴν τῶν σπλάγχνων συμπάθειαν· [14]ὅπου γε
καὶ τὰ ἄλογα ζῷα ὁμοίαν τὴν πρὸς τὰ ἐξ αὐτῶν γεννώμενα συμπά-
15 θειαν καὶ στοργὴν ἔχει τοῖς ἀνθρώποις. [15]καὶ γὰρ τῶν πετεινῶν,
τὰ μὲν ἥμερα κατὰ τὰς οἰκίας ὀροφοιτοῦντα προασπίζει τῶν νεοττῶν·
16 [16]τὰ δὲ κατὰ τὰς κορυφὰς ὀρέων καὶ φαράγγων ἀπορρῶγας καὶ
δένδρων ὀπὰς καὶ τὰς τούτων ἄκρας νοσσοποιησάμενα ἀποτίκτει, καὶ
17 τὸν προσιόντα κωλύει· [17]εἰ δὲ καὶ μὴ δύναιντο κωλύειν, περιπτά-
μενα κυκλόθεν αὐτῶν ἀλγοῦντα τῇ στοργῇ, ἀνακαλούμενα τῇ ἰδίᾳ
18 φωνῇ, καθ' ὃν δύναται τρόπον βοηθεῖ τοῖς τέκνοις. [18]καὶ τί δεῖ τὴν
διὰ τῶν ἀλόγων ζῴων ἐπιδεικνύναι τὴν πρὸς τὰ τέκνα συμπάθειαν;
19 [19]ὅπου γε καὶ μέλισσαι περὶ τὸν τῆς κηρογονίας καιρὸν ἐπαμύνον-
ται τοὺς προσιόντας, καὶ καθάπερ σιδήρῳ τῷ κέντρῳ πλήσσουσι
τοὺς προσιόντας τῇ νοσσιᾷ αὐτῶν, καὶ ἐπαμύνονται ἕως θανάτου.
20 [20]ἀλλ' οὐχὶ τὴν Ἀβραὰμ ὁμόψυχον τῶν νεανιῶν μητέρα μετεκίνησεν
XV 1 ἡ συμπάθεια τέκνων. [1]Ὦ λογισμὲ τέκνων παθῶν τύ-
2 ραννε, καὶ εὐσέβεια μητρὶ τέκνων ποθεινοτέρα. [2]μήτηρ δυεῖν προ-

9 εκαρτερουν] ενεκαρτεροῦ| ℵ | ταις δια πυρος] ταις του πυρος ℵ* ταις δια ℵV τ. π. ℵc.a ταις δι|πυρος V* (δια π. V*) 10 γενοιτο] pr αν ℵc.a | επαγγελτερον ℵ* επαλγεστερον ℵc.a | ουσα η του πυρος ℵ | διελυσε] διελευσε (sic) A διελυεν ℵ διελυε V 11 ο λογισμος] om ο V | περιεκρατησε ℵ | τοις βασ. ℵA | γυναικων V* (-κος Va) | υπερεφρονησεν] περιεφρονησεν V 12 υπηνεγκεν (υφ. ℵ*)] εκινων υπ. ℵc.a 13 παντα] απαντα V | σπλαγχνων (παγχν. A* σπλ. Aa?)] pr τεκνων ℵ | συνπαθιαν ℵ 14 οπου] incep ομ ℵ* (οπ. ℵ1) ομου V | αλογα] αλλα V | την προς] εις ℵ* την εις ℵc.a | συμπαθιαν ℵ 15 οροφυτουντα ℵ οροφοιτωντα V (οροφοφ. Syr ut vid) | προσασπιζει ℵ* (προασπ. ℵc.a) | νεοτων A* V* (νεοττ. Aa Va) 16 τας κορυφ.] om τας ℵV | φαραγγων] ραγγ sup ras Aa? | αρορωγας V* (απορρ. Va) | εννεσσοποιησομενα ℵ* (-ποιουμενα ℵc.a) | κωλυει] αποκωλυει V 16—17 κωλυει δε ℵ* (κωλυει ει δε ℵc.a) 17 δυναιτο ℵ* (-ναιντο ℵc.a) | περιπταμενα ℵ* (περιειπτ. ℵc.a) | αργουντα ℵ* (αλγ. ℵc.a) | τη στοργη] pr και V | καθ ον δυναται τροπον βοηθει] καθ ο δυνανται βοηθι (-θιν ℵc.a) ℵ | δυνατι A 18 την δια των ℵc.a AV] δια την των ℵ* | om την 2° ℵc.a, c.b | συμπαθιαν ℵ 19 επαμυνονται 2°] απαμυνουσιν ℵ 20 την] τη ℵ* (την ℵc.a) | νεανισκων ℵ | τη συμπαθεια A συμπαθια ℵ συμπαθεια V XV 1 ευσεβια ℵ 2 μητηρ] ηρ (in μ̅η̅ρ̅) sup ras Aa

κειμένων, εὐσεβείας, καὶ τῆς ἑπτὰ υἱῶν σωτηρίας προσκαίρου κατὰ
τὴν τοῦ τυράννου ὑπόσχεσιν· 3 τὴν εὐσέβειαν μᾶλλον ἠγάπησεν 3
τὴν σῴζουσαν εἰς αἰώνιον ζωὴν κατὰ θεόν. 4 Ὦ τίνα 4
τρόπον ἠθολογήσαιμι φιλότεκνα γονέων πάθη, ψυχῆς τε καὶ μορφῆς
ὁμοιότητα εἰς μικρὸν παιδοχαρακτῆρα θαυμάσιον ἐναποσφραγίζον[τα],
μάλιστα διὰ τὸ τῶν πατέρων τοῖς γεννηθεῖσιν τὰς μητέρας καθεστά-
ναι συμπαθεστέρας. 5 ὅσῳ γὰρ καὶ ἀσθενόψυχοι καὶ πολυγονώτεραι 5
ὑπάρχουσιν μητέρες, τοσούτῳ μᾶλλόν εἰσιν φιλοτεκνότεραι. 6 πα- 6
σῶν δὲ τῶν μητέρων ἐγένετο ἡ τῶν ἑπτὰ μήτηρ φιλοτεκνωτέρα,
ἥτις ἑπτὰ κυοφορίαις τὴν πρὸς αὐτοὺς ἐπιφυτευομένη φιλοστοργίαν·
7 καὶ διὰ πολλὰς τὰς καθ᾽ ἕκαστον αὐτῶν ὠδῖνας ἠναγκασμένη τὴν 7
εἰς αὐτοὺς ἔχειν συμπάθειαν, 8 διὰ τὸν πρὸς τὸν θεὸν φόβον ὑπερεῖδεν 8
τὴν τῶν τέκνων πρόσκαιρον σωτηρίαν. 9 οὐ μὴν δέ, ἀλλὰ καὶ διὰ 9
τὴν καλοκἀγαθίαν τῶν υἱῶν καὶ τὴν πρὸς τὸν νόμον αὐτῶν εὐπειθίαν,
μείζω τὴν ἐν αὐτοῖς ἔσχεν φιλοστοργίαν. 10 δίκαιοί τε γὰρ ἦσαν 10
καὶ σώφρονες καὶ ἀνδρεῖοι καὶ μεγαλόψυχοι καὶ φιλάδελφοι, καὶ
φιλομήτορες οὕτως, ὥστε καὶ μέχρι θανάτου τὰ νόμιμα φυλάσσοντας
πείθεσθαι αὐτῇ· 11 ἀλλ᾽ ὅμως, καίπερ τοσούτων ὄντων τῶν περὶ 11
φιλοτεκνίαν εἰς συμπάθειαν ἑλκόντων τὴν μητέρα, ἐπ᾽ οὐδενὸς αὐτῶν
τὸν λογισμὸν αὐτῆς αἱ παμποίκιλοι βάσανοι ἴσχυσαν μετατρέψαι.
12 ἀλλὰ καὶ καθ᾽ ἕνα παῖδα καὶ ὁμοῦ πάντας ἡ μήτηρ ἐπὶ τὸν 12
τῆς εὐσεβείας προετρέπετο θάνατον. 13 Ὦ φύσις ἱερά, καὶ 13
φίλτρα γονέων καὶ γονεῦσιν φιλόστοργε, καὶ τροφεῖα, καὶ μητέρων

ℵV 2 ευσεβιας ℵ | προσκαιρους A προσκαιρου ℵ[c.a]V | υποσχεσιν] προσχεσῖ (ρ sup ras quasi prius esset τυραννουποσχ.) ℵ[1 (vid), c.b] 3 ευσεμιαν (sic) ℵ* (ευσεβ. ℵ[c.a (vid)]) | ηγαπησας ℵ* (-σεν ℵ[c.a]) | σωζουσαν] ζωσαν ℵ | αιωνιαν ℵ 4 μορφης] μ superscr, φ sup ras ℵ[1]: seq ακ in ℵ* quod improb ℵ[1] | παιδοχαρακτηρα] παιδος χαρ. ℵ χαρακτ. παιδος V | εναπεσφραγιζō A εναποσφραγιζομεν ℵ* -ζον ℵ[c.a]V | το] τον A | πατέρων] παθων codd | γεννηθεισι V | μητερας] + των παθων ℵ + των πρω̅ν V | συμπαθεστερας V 5 ασθενοψυχαι] ασθενεστεραν ℵ* (-ραι ℵ[?]) | πολυγονιμωτεραι V | μητερες] pr αι ℵV | εισι V | φιλοτεκνοτεραι V[a vid] 6 om πασων δε...φιλοτεκνωτερα ℵ* (hab ℵ[c.a mg inf]) | επτα 2°] εν ταις V[a] | κυοφοριαι A* (ς superscr A[1]) | επιφυτευομενη] επιφερομενην ℵ* επιφυτευομενην ℵ[c.a]V | φιλοστοργεια A 7 ηναγκασμενη ℵV | εις] προς V | συμπαθιαν ℵ 8 υπεριδεν V* (-ειδε V[a]) 9 om δε V | om και 1° ℵ* (hab ℵ[c.a]) | ευπειθειαν V | μειζω] μιζον ℵ* (μιζω ℵ[c.a]) μειζων AV | om την 3° ℵ* (hab ℵ[c.a]) | εσχεν (-χε V)] ειχεν ℵ[c.a, c.b] 10 δικαιοι] και οι ℵ* (δικ. ℵ[c.a]) | φυλασσοντες ℵ* (-ντας ℵ[c.a]) V | πιθεσθαι ℵ 11 καιπερ] και υπερ AV | φιλοτεκνιαν] pr την ℵV | συμπαθιαν ℵ συμπαθειαν V | επ] εφ ℵ υπ V | αυτης] incep αυσ ℵ* (αυτ. ℵ[c.a]) | παμποικιλοι V | om βασανοι A | μεταστρεψαι V 12 της ευσεβειας (-βιας ℵ)] pr υπερ V 13 γονευσιν] γεννημασι ℵ γενεσει V

14 ἀδάμαστα πάθη. [14]καθ' ἕνα στρεβλούμενον καὶ φλεγόμενον ὁρῶσα A
15 μήτηρ, οὐ μετεβάλετο διὰ τὴν εὐσέβειαν. [15]τὰς σάρκας τῶν τέκνων
ἑώρα περὶ τὸ πῦρ τηκομένας, καὶ τοὺς τῶν ποδῶν καὶ χειρῶν δακτύλους
ἐπὶ γῆς σπαίροντας, καὶ τὰς τῶν κεφαλῶν μέχρι τῶν περὶ τὰ γένεια
16 σάρκας ὥσπερ προσωπεῖα προκειμένας. [16]ὢ πικροτέρων μὲν νῦν
17 μήτηρ πόνων πειρασθεῖσα, ἤπερ τῶν ἐπ' αὐτοῖς ὠδίνων. [17]ὢ μόνη
18 γύναι τὴν εὐσέβειαν ὁλόκληρον ἀποκυήσασα. [18]οὐ μετέτρεψέν σε
πρωτότοκος ἀποπνέων· οὐδὲ δεύτερος εἰς οἰκτρὸν βλέπων ἐν βασάνοις·
19 οὐδὲ τρίτος ἀποψύχων. [19]οὐδὲ τοὺς ὀφθαλμοὺς ἑνὸς ἑκάστου θεω-
ροῦσα ταυρηδὸν ἐπὶ τῶν βασάνων ὁρῶντας τὸν αὐτὸν αἰκισμόν, καὶ τοὺς
20 μυκτῆρας προσημειουμένους αὐτῶν τὸν θάνατον, οὐκ ἔκλαυσας. [20]ἐπὶ
σαρξὶν τέκνων ὁρῶσα σάρκας τέκνων ἀποκεκομμένας, καὶ ἐπὶ χερσὶν
χεῖρας ἀποτεμνομένας, καὶ ἐπὶ κεφαλαῖς κεφαλὰς ἀποδειροτομουμένας,
καὶ ἐπὶ νεκροῖς νεκροὺς πίπτοντας, καὶ πολυάνδριον ὁρῶσα τῶν τέκνων
21 χωρίον διὰ τῶν βασάνων, οὐκ ἐδάκρυσας. [21]οὐχ οὕτως σειρήνιοι
μελῳδίαι οὐδὲ κύκνιοι πρὸς φιληκοΐαν φωναὶ τοὺς ἀκούοντας ἐφέλ-
22 κονται, ὢ τέκνων φωναὶ μετὰ βασάνων μητέρα φωνούντων. [22]πηλίκαις
καὶ πόσαις τότε ἡ μήτηρ, τῶν υἱῶν βασανιζομένων τροχοῖς τε καὶ
23 καυτηρίοις, ἐβασανίζετο βασάνοις; [23]ἀλλὰ τὰ σπλάγχνα αὐτῆς ὁ
εὐσεβὴς λογισμὸς ἐν αὐτοῖς τοῖς πάθεσιν ἀνδρειώσας ἐπέτεινεν τὴν
24 πρόσκαιρον φιλοτεκνίαν παριδεῖν. [24]καίπερ ἑπτὰ τέκνων ὁρῶσα
ἀπώλειαν καὶ τὴν τῶν στρεβλῶν πολύπλοκον ποικιλίαν, ἀσπά-

13 αδαμαστη ℵ* (-τα ℵ$^{c.a\,(vid)}$) 14 μετεβαλλετο ℵV | ευσεβιαν ℵ ℵV
15 σπαιροντας] σπεροντα A περοντας (sic) ℵ* σπειροντας ℵ$^{c.a}$ σπεροντας V | om και τας V | των περι] om των V | προσωτια (sic) ℵ* -πια ℵ$^{c.a}$ 16 om μεν ℵV | μητηρ πονων πειρασθεισα] πονων πιραθισα μητηρ ℵ μη͞ρ πονων πειραθισα V | επ] εν V | ωδινων] pr δακρυων και V 17 γυναι] pr μη͞ρ V | ευσεβιαν ℵ 18 πρωτοτοκος] pr ο ℵ | αποπνεων] απονεων A* (π superscr A^{1}) om ℵ* (hab ℵ$^{c.a}$) | δευτερον A | εις] + σε ℵV | ουδε 2°] ου ℵV
19 ταυδον V* (ταυρηδ. V^{1}) | τον αυτον] τον εαυτω ℵ$^{c.a}$ των εαυτων V* τον εαυτ. V^{1} | μυκτηρας] ρας sup ras A^{a} (seq spat 9 vel 10 litt ubi fors prius τον θανατον) | προσιμιουμενους A* προσσ. A^{a} | αυτων τον θαν.] τον θαν. αυτων ℵ om τον θαν. A$^{*\,vid}$ (hab A$^{a\,mg}$) τον θαν. εαυτων V 20 σαρξι V | ορωσα 1°] εωρακας ℵ* (ορωσ. ℵ$^{c.a,\,c.b}$) | αποκεκομμενας] αποκεομενας ℵ$^{iam\ ante\ c}$ αποκαιομ. V | χερσι V | νεκροις] νεκρους ℵ* (-ροις ℵ$^{c.a,\,c.b}$) | πιπτοντας] θαπτοντας V | χωριον] χοριον ℵ* χοριδιον ℵ$^{c.a}$ το χωριον V 21 ουτω ℵ* (-τως ℵ$^{c.a}$) | μελωδιοι ℵ* (-διαι ℵ$^{c.a}$) | κυκνιοι] κυκνον V* -νων V^{a} | ω] ως ℵV | φωνουντων] φωνοῦ| (sic) A 22 υιων] υι sup ras A pr επτα V | om τε ℵV | καυτηριαις ℵ* (-ριοις ℵ$^{c.a}$) καυ|στηριοις V 23 αλλα] + και V | ανδρειωσας] ανδρειως V | προσκαιρον] α sup ras A^{a} 24 ορωσαν V | απωλιαν ℵ | στρεβλων] incep τεκνων ℵ* (improb ℵ^{1}) | πολυπλοκον] πολυτροπον ℵ | ασπασασα] ας απασας ℵ* (ασπασας ℵ$^{c.b}$) V αναστασασα coniec Bensly versione Syr fretus

A σασα ἡ γενναία μήτηρ ἐξέλυσεν διὰ τὴν πρὸς θεὸν πίστιν. [25]καθ- 25
άπερ γὰρ ἐν βουλευτηρίῳ τῇ ἑαυτῆς ψυχῇ δεινοὺς ὁρῶσα συμβού-
λους, φύσιν καὶ γένεσιν καὶ φιλοτεκνίαν καὶ τέκνων στρέβλαν,
[26]δύο ψήφους κρατοῦσα μήτηρ, θανατηφόρον τε καὶ σωτήριον ὑπὲρ 26
τέκνων, [27]οὐκ ἐπέγνω τὴν σῴζουσαν ἑπτὰ υἱοὺς πρὸς ὀλίγον χρόνον 27
σωτηρίαν· [28]ἀλλὰ τῆς θεοσεβοῦς Ἀβραὰμ καρτερίας ἡ θυγάτηρ 28
ἐμνήσθη. [29]Ὦ μήτηρ ἔθνους, ἔκδικε τοῦ νόμου, καὶ ὑπερασ- 29
πίστεια τῆς εὐσεβείας, καὶ τοῦ διὰ σπλάγχνων ἀγῶνος ἀθλοφόρε.
[30]ὦ ἀρρένων πρὸς καρτερίαν γενναιοτέρα, καὶ ἀνδρῶν πρὸς ὑπομονὴν 30
ἀνδρειοτέρα. [31]καθάπερ γὰρ ἡ Νῶε κιβωτὸς ἐν τῷ κοσμοπληθεῖ κατα- 31
κλυσμῷ κοσμοφοροῦσα καρτεροὺς ὑπήνεγκεν τοὺς κλύδωνας· [32]οὕτως 32
σύ, ἡ νομοφύλαξ, πανταχόθεν ἐν τῷ τῶν παθῶν περιαντλουμένη
κατακλυσμῷ, καὶ καρτεροῖς ἀνέμοις ταῖς τῶν υἱῶν βασάνοις συνεχο-
μένη, γενναίως ὑπέμεινας τοὺς τῆς εὐσεβείας χειμῶνας.

[1]Εἰ δὲ τοίνυν καὶ γυνὴ καὶ γεραιὰ καὶ ἑπτὰ παίδων μήτηρ ὑπέμει- 1 XVI
νεν τὰς μέχρι θανάτου βασάνους ὁρῶσα τῶν τέκνων· ὁμολογουμένως
αὐτοκράτωρ ἐστὶν τῶν παθῶν ὁ εὐσεβὴς λογισμός. [2]ἀπέδειξα οὖν ὅτι 2
οὐ μόνον τῶν παθῶν ἄνδρες ἐπεκράτησαν, ἀλλὰ καὶ γυνὴ τῶν μεγίστων
βασάνων ὑπερεφρόνησεν. [3]καὶ οὐχ οὕτως οἱ περὶ Δανιὴλ λέοντες 3
ἦσαν ἄγριοι, οὐδὲ Μισαὴλ ἐκφλεγομένη κάμινος λαβροτάτῳ πυρί, ὡς
τῆς φιλοτεκνίας περιέκαιεν ἐκείνη φύσις, ὁρῶσα αὐτῆς τοὺς ἑπτὰ υἱοὺς
βασανιζομένους. [4]ἀλλὰ τῷ λογισμῷ τῆς εὐσεβείας κατέσβεσε το- 4
σαῦτα καὶ τηλικαῦτα πάθη ἡ μήτηρ. [5]καὶ γὰρ τοῦτο ἐπιλογίσασθαι, 5
ὅτι εἰ δειλόψυχος ἦν ἡ γυνή, καίπερ μήτηρ οὖσα, ὠλοφύρετο ἂν

ℵV 24 θεον] pr τον ℵ 25 om γαρ ℵ | τη εαυτης ψυχη (-χης A)] της αυτης ψυχης ℵ* (τη εαυτ. ψυχη ℵ^c.a) | φασιν ℵ* (φυσιν ℵ^c.a) + τε ℵ | στρεβλας ℵV 26 μητηρ] pr η V 26—27 om υπερ τεκνων...σωτηριαν ℵ* (hab ℵ^c.a) 27 επεγνω] εγνω ℵ^c.a 28 θεοσεβιας ℵ* (-σεβους ℵ^c.a) | κατεριας V* (καρτ. V^a) 29 μητηρ] μ̅ε̅ρ V | εκδικε του νομου] εκδικητου ν. V^vid | υπερασπιστεια] υπερασπιστρια ℵV^a (-αστρια V*) | ευσεβιας ℵ 30 ανδρειωτερα ℵAV* (-οτερα V^a) 31 Νωαι A | κοσμοπληθει] εθνοπληθει ℵ | καρτερως ℵV | υπηνεγκεν] υπεμεινεν ℵ (-μιν.) V 32 συ] + γυνη V | ανεμοις] αν λοιμοις A | συνεχομενοι V* (-νη V^1 (fort)) | της ευσεβειας] pr υπερ ℵV XVI 1 om και 1°, 2° V | γηραια V^a | υπεμεινε V | των τεκνω̅] ορωσα ℵ 2 ανδρες των παθων ℵV | επεκρατησαν] εκρατησαν ℵV 3 Δανιηλ] pr τον V | Μισαηλ] pr η ℵV | ως] εως A | της φιλοτ.] pr η ℵV | εκινην ℵ | ορωσα] ℵ | αυτης τους επτα υιους βασανιζομενους] αυτην (αυτης ℵ^c.a) ουτως ποικιλως βασ. τους ε. υιους ℵV 4 ευσεβιας ℵ: item 13 | κατεσβεσεν ℵ om V | τοσαυτα] pr τα ℵV | η μητηρ] pr ενικησεν V 5 om και γαρ τουτο...δειλοψ. ην V | ει δειλοψ. ην η γυνη] δ. ει η γυνη ℵ* δ. ει ην γ. ℵ^c.a | ωλοφυρετο (ωλυφερ. ℵ* ωλοφυρ. ℵ^1)] ουκ ωλοφυρατο V

6 ἐπ᾿ αὐτοῖς· καὶ ἴσως ἂν ταῦτα οὕτως εἶπεν 6Ὦ μελέα ἔγωγε καὶ A
πολλάκις τρισαθλία, ἥτις ἑπτὰ παῖδας τεκοῦσα, οὐδενὸς μήτηρ γεγένη-
7 μαι. 7ὦ μάταιοι ἑπτὰ κυοφορίαι, καὶ ἀνόνητοι ἑπτὰ δεκάμηνοι, καὶ
8 ἄκαρποι τιθηνίαι, καὶ ταλαίπωροι γαλακτοτροφίαι. 8μάτην ἐφ᾿ ὑμῖν,
ὦ παῖδες, πολλὰς ὑπέμεινα ὠδῖνας καὶ χαλεπωτέρας φροντίδας ἀνα-
9 τροφῆς. 9ὦ τῶν ἐμῶν παίδων, οἱ μὲν ἄγαμοι, οἱ δὲ γαμήσαντες ἀνό-
νητοι, οὐκ ὄψομαι ὑμῶν τέκνα, οὐδὲ μάμμη κληθεῖσα μακαρισθήσομαι.
10 10ὦ ἡ πολύπαις καὶ καλλίπαις ἐγὼ γυνὴ χήρα καὶ μόνη πολύθρηνος·
11 11οὐδ᾿ ἂν ἀποθάνω, θάπτοντα τῶν υἱῶν ἕξω τινά. ἀλλὰ τούτῳ τῷ θρήνῳ
12 οὐδένα ὠλοφύρετο ἡ ἱερὰ καὶ θεοσεβὴς μήτηρ, 12οὐδ᾿ ἵνα μὴ ἀποθάνωσιν
13 ἀπέτρεπεν αὐτῶν τινα, οὐδ᾿ ὡς ἀποθνῃσκόντων ἐλυπήθη. 13ἀλλ᾿ ὥσπερ
ἀδαμάντινον ἔχουσα τὸν νοῦν, καὶ εἰς ἀθανασίαν ἀνατίκτουσα τὸν τῶν υἱῶν
ἀριθμόν, μᾶλλον ὑπὲρ τῆς εὐσεβείας ἐπὶ τὸν θάνατον αὐτοὺς προετρέ-
14 πετο ἱκετεύουσα. 14Ὦ μήτηρ δι᾿ εὐσέβειαν θεοῦ στρατιῶτι.
πρεσβῦτι καὶ γυνή, διὰ καρτερίαν καὶ τύραννον ἐνίκησας, καὶ ἔργοις
15 δυνατωτέρα καὶ λόγοις εὑρέθης ἂν ἀνδρός. 15καὶ γὰρ ὅτε συνελήμφθης
μετὰ τῶν παίδων, εἱστήκεις τὸν Ἐλεάζαρον ὁρῶσα βασανιζόμενον, καὶ
16 ἔλεγες τοῖς παισὶν ἐν τῇ Ἑβραΐδι φωνῇ 16Ὦ παῖδες, γενναῖος ὁ ἀγών·
ἐφ᾿ ὃν κληθέντες ὑπὲρ τῆς διαμαρτυρίας τοῦ ἔθνους, ἐναγωνίσασθε
17 προθύμως ὑπὲρ τοῦ πατρίου νόμου. 17καὶ γὰρ αἰσχρὸν τὸν μὲν
γέροντα τοῦτον ὑπομένειν τὰς διὰ τὴν εὐσέβειαν ἀλγηδόνας, ὑμᾶς δὲ
18 τοὺς νεωτέρους καταπλαγῆναι τὰς βασάνους. 18ἀναμνήσθητε ὅτι διὰ
19 τὸν θεὸν τοῦ κόσμου μετελάβετε, καὶ τοῦ βίου ἀπελαύσατε· 19καὶ διὰ
20 τοῦτο ὀφίλετε πάντα πόνον ὑπομένειν διὰ τὸν θεόν. 20δι᾿ ὃν καὶ ὁ
πατὴρ ἡμῶν Ἀβραὰμ ἔσπευδεν τὸν ἐθνοπάτορα υἱὸν σφαγιάσαι Ἰσαάκ,

5 om αν 2° V | om ουτως ℵV 6 ουδενος] ουδε ενος ℵ 7 ανωνητοι ℵV A : item 9 | επτα 2°] pr αι ℵ | τιθηνιοι ℵ 8 ματην] + δε ℵ + δ V 9 γαμησαντες] γημαντες ℵV 10 η πολυπαις] om η V | χηρα] pr η V 11 τουτων ℵ* (τουτω ℵ$^{1.c.a}$) | ωλοφυρετο ℵ ολοφυρατο V* ωλ. V^{a} | θεοσεβης] + και ιερα V 12 ουδ ως] ως ουδε ℵV 13 εχουσα αδαμαντινον ℵ | νυν A* (νουν A^{1}) | ανατικτουσα] ανατεινουσα V 14 μητηρ ℵ] μ̅η̅ρ A μ̅ε̅ρ V | ευσεβιαν ℵ : item 17, 23 | θεου] + μητηρ και ευσεβους στρατιας ℵ* (improb ℵ$^{c.a}$) + μ̅η̅ρ και ευσ. στρατηγιας V | στρατιωτη V | πρεσβυτι] και πρεσβυτη V | γυνη] γυναι ℵV | και τυραννον] τον τυρ. V | ενικησας] pr νικη V | αν ανδρος] αν|δρος ℵ αν|δρειος V 15 εστηκεις A ιστ. ℵV* (ειστ. V^{a}) | ελεγε| ℵ* (ελεγες ℵ$^{c.a}$) | improb εν ℵ$^{c.a}$ 16 ο αγων] om ο ℵ | πατρωου ℵV^{a} 17 υπομενειν] υπομιναι ℵ | νεωτερους] νεανισκους ℵV | καταπληγηναι ℵ* (-πλαγ. ℵ$^{c.a}$) | τους βασ. ℵ* (τας β. ℵ$^{c.a}$) 18 αναμνησθητε] + δε ℵ | οτι] δια incep ℵ* διοτι ℵ$^{1.c.a}$ | απελαυσετε ℵ απηλαυσατε V 19 οφειλε| V* οφειλετε V^{a} | πονον υπομενειν] υπομιναι π. ℵ π. υπομειναι V 20 διο ℵ* (δι ον ℵ$^{c.a}$) | εσπευδον V | τον] τιν V* (τον V^{1}) | Ισακ ℵ* (Ισαακ ℵ$^{c.a}$)

A καὶ τὴν πατρῴαν χεῖρα ξιφηφόρον καταφερομένην ἐπ᾽ αὐτὸν ὁρῶν
οὐκ ἔπτηξεν. 21 καὶ Δανιὴλ ὁ δίκαιος εἰς λέοντας ἐβλήθη· καὶ Ἀνα- 21
νίας καὶ Ἀζαρίας καὶ Μισαὴλ εἰς κάμινον πυρὸς ἀπεσφενδονήθησαν,
καὶ ὑπέμειναν διὰ τὸν θεόν. 22 καὶ ὑμεῖς οὖν τὴν αὐτὴν πίστιν πρὸς 22
τὸν θεὸν ἔχοντες, μὴ χαλεπαίνητε· 23 ἀλόγιστον γὰρ εἰδότας εὐσέβειαν 23
μὴ ἀνθίστασθαι τοῖς πόνοις. 24 Διὰ τούτων τῶν λόγων ἡ 24
ἑπταμήτωρ ἕνα ἕκαστον τῶν υἱῶν παρακαλοῦσα ἔπεισε μᾶλλον ἀπο-
θανεῖν, ἢ παραβῆναι τὴν ἐντολὴν τοῦ θεοῦ· 25 ἔτι δὲ καὶ ταῦτα ἰδόντες 25
ὅτι διὰ τὸν θεὸν ἀποθανόντες ζῶσιν τῷ θεῷ, ὥσπερ Ἀβραὰμ καὶ
Ἰσαὰκ καὶ Ἰακώβ, καὶ πάντες οἱ πατριάρχαι. 1 ἔλεγον δὲ καὶ τῶν 1 XVII
δορυφόρων τινὲς ὡς ὅτε ἔμελλεν καὶ αὐτὴ συλλαμβάνεσθαι πρὸς
θάνατον, ἵνα μὴ ψαύσειέν τι τοῦ σώματος αὐτῆς, ἑαυτὴν ἔρριψεν κατὰ
τῆς πυρᾶς. 2 Ὦ μήτηρ σὺν ἑπτὰ παισὶν καταλύσασα τὴν 2
τοῦ τυράννου βίαν, καὶ ἀκυρώσασα τὰς κακὰς ἐπινοίας αὐτοῦ, καὶ
ἐπιδείξασα τὴν τῆς πίστεως γενναιότητα. 3 καθάπερ γὰρ σὺ στέγη 3
ἐπὶ τοῦ στύλου τῶν παίδων γενναίως ἱδρυμένη, ἀκλινῶς ὑπήνεγκας
τὸν διὰ τῶν βασάνων σεισμόν. 4 θάρρει τοιγαροῦν, ὦ μήτηρ ἱερόψυχε, 4
τὴν ἐλπίδα τῆς ὑπομονῆς γενναίως ἔχουσα πρὸς θεόν. 5 οὐχ οὕτω 5
σελήνη κατ᾽ οὐρανὸν σὺν ἄστροις σεμνὴ καθέστηκεν, ὡς σὺ τοὺς ἰσα-
στέρους ἑπτὰ παῖδας φωταγωγήσασα πρὸς τὴν εὐσέβειαν ἔντιμος
καθέστηκας θεῷ, καὶ ἐστήρισαι ἐν οὐρανῷ σὺν αὐτοῖς. 6 ἦν γὰρ ἡ 6
παιδοποιία σου ἀπὸ Ἀβραὰμ τοῦ παιδός. 7 Εἰ δὲ ἐξὸν ἡμῖν 7
ἦν, ὥσπερ τινός, ζωγραφῆσαι τὴν τῆς ἱστορίας σου εὐσέβειαν, οὐκ ἂν

ℵV 20 πατρωα ℵ* (-αν ℵc.a) πατρωον V | om ορων ℵ | επηξεν ℵ* (επτηξεν ℵc.a) 21 Ανανιας A | απεσφενδονισθησαν V 22 χαλεπαινετε ℵV* (-νητε Va) 23 ειδοτες V | ανθιστασθαι] αντιτασσεσθαι ℵ ανισταισθε Va 24 επταμητηρ ℵc.a sed statim repos -τωρ | επεισεν ℵ | om αποθανειν A 25 ετι] οτι ℵc.a επει V | ιδοντες] ειδοτες ℵV | οτι] οτι οι ℵ* οποι ℵc.a | δια] pr οι V | αποθανοντες] αποθνησκοντες ℵV | Ισακ ℵ* (Ισαακ ℵc.a) | παντες οι πατρ.] οι λυποι (λοιπ. Va) πατρ. V XVII 1 ως οτε] οτι ως ℵ* οτι οτε ℵc.aV | συλλαμβ. και αυτη ℵV | τι] τις ℵV | αυτης] εαυτης A | ερειψε ℵ 2 $\overline{\mu\epsilon\rho}$ Va | om και 1° ℵ | επιδειξασα] δειξασα ℵ (διξ.) V 3 στεγη συ V | του στυλου] τους στυλους ℵ στυλους V | ϋδρυμενη A | ακλινη ℵ* ακλινης ℵc.aV | om δια V 4 μητηρ] $\overline{\mu\epsilon\rho}$ V | τη A* (την A1) | γενναιως] βεβαιαν ℵV | θεον] pr τον ℵV 5 ουχ ουτω] ουχ ουτως bis scr ℵc.a (improb 2° ℵc.a) ουτως V* ουχ ουτ. V1 | συν 1°] εν ℵ* (συν ℵc.a) | ισαστερους ℵV] εις αστερας A | om επτα V | ευσεβιαν ℵ: item 7 (2°) | καθεστηκας] εστηκας V | θεω] θω (sic) ℵ | εν ουρανω συν αυταις] εν (συν ℵc.a) αυτοις εν ουρανοις ℵ 6 παιδος] $\overline{\pi\rho\varsigma}$ ℵV 7 ωσπερ] ως επι ℵ*V ωσπερ επι ℵc.a | ιστοριας σ. ευσεβειαν] ευσεβειας (-βιας ℵ) σ. ιστοριαν ℵV 7—8 ουκ αν εφριττον...και γαρ αξιον ην sup ras et in mgg Aa (om ουκ αν εφριττον... ευσεβειαν (2°) A* vid)

ἔφριττον οἱ θεωροῦντες μητέρα ἑπτὰ τέκνων δι' εὐσέβειαν ποικίλας A
8 βασάνους μέχρι θανάτου ὑπομείνασαν; 8 καὶ γὰρ ἄξιον ἦν καὶ ἐπὶ
αὐτοῦ τοῦ ἐπιταφίου ἀναγράψαι καὶ ταῦτα τοῖς ἀπὸ τοῦ ἔθνους εἰς
9 μνείαν λεγόμενα 9 ἘΝΤΑΥ͂ΘΑ ΓΈΡΩΝ ἹΕΡΕΎΣ, ΚΑῚ ΓΥΝῊ ΓΕΡΑΙΆ,
ΚΑῚ ἙΠΤᾺ ΠΑΙ͂ΔΕΣ ἘΝΚΕΚΉΔΕΥΝΤΑΙ ΔΙᾺ ΤΥΡΆΝΝΟΥ ΒΊΑΝ, ΤῊΝ
10 ἙΒΡΑΊΩΝ ΠΟΛΙΤΊΑΝ ΚΑΤΑΛΥ͂ΣΑΙ ΘΈΛΟΝΤΟΣ. 10 ΟἿ ΚΑῚ ἘΞΕΔΊΚΗΣΑΝ
ΤῸ ἜΘΝΟΣ ΕἸΣ ΘΕῸΝ ἈΦΟΡΩ͂ΝΤΕΣ, ΚΑῚ ΜΈΧΡΙ ΘΑΝΆΤΟΥ ΤᾺΣ ΒΑΣΆ-
11 ΝΟΥΣ ὙΠΟΜΕΊΝΑΝΤΕΣ. 11 ἀληθῶς γὰρ ἦν ἀγὼν θεῖος ὁ δι' αὐτῶν
12 γεγενημένος. 12 ἠθλοθέτει γὰρ τότε ἀρετὴ δι' ὑπομονῆς δοκιμάζουσα·
13 τὸ νῖκος ἐν ἀφθαρσίᾳ ἐν ζωῇ πολυχρονίῳ. 13 Ἐλεαζὰρ δὲ προηγωνί-
ζετο· ἡ δὲ μήτηρ τῶν ἑπτὰ παίδων ἐνήθλει· οἱ δὲ ἀδελφοὶ ἠγωνίζοντο·
14 14 ὁ τύραννος ἀντηγωνίζετο· ὁ δὲ κόσμος καὶ ὁ τῶν ἀνθρώπων βίος
15 ἐθεώρει· 15 θεοσέβεια δὲ ἐνίκα, τοὺς ἑαυτῆς ἀθλητὰς στεφανοῦσα.
16 16 τίνες οὐκ ἐθαύμασαν τοὺς τῆς ἀληθείας νομοθεσίας ἀθλητάς; τίνες
17 οὐκ ἐξεπλάγησαν; 17 Αὐτός γέ τοι ὁ τύραννος καὶ ὅλον τὸ
18 συνέδριον αὐτῶν ἐξεθαύμασαν αὐτῶν τὴν ὑπομονήν, 18 δι' ἣν καὶ τῷ
19 θείῳ νῦν παρεστήκασιν θρόνῳ, καὶ τὸν μακάριον βιοῦσιν αἰῶνα· 19 καὶ
γάρ φησιν ὁ Μωσῆς Καὶ πάντες οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου.
20 20 καὶ οὗτοι οὖν ἁγιασθέντες διὰ θεὸν τετίμηνται οὐ μόνον οὖν ταύτῃ
τῇ τιμῇ, ἀλλὰ καὶ τῷ δι' αὐτοὺς τὸ ἔθνος ἡμῶν τοὺς πολεμίους μὴ
21 ἐπικρατῆσαι, 21 καὶ τὸν τύραννον τιμωρηθῆναι καὶ τὴν πατρίδα καθα-
22 ρισθῆναι· 22 ὥσπερ ἀντίψυχον γεγονότας τῆς τοῦ ἔθνους ἁμαρτίας καὶ

7 θεωρουντες]+ορωντες ℵV | μεχρι θανατου] om ℵ* (hab ℵ$^{c.b}$)+γιγνο- ℵV
μενας ℵ$^{c.b}$+γινομενας V | υπομενουσαν V 8 επι] επ ℵV 9 ενταυθα] ενταυθοι ℵ$^{c.a}$ (sed statim repos -θα) V (ενταυθ οι sic V* -θοι V$^{post\ 1}$) | ιερευς και γυνη γεραια lin subduct adfec A$^{a?}$ | και 1°]+συν αυτω V | επτα] incep ε ℵ* (ζ' ℵ^1) | ενκεκηδευται V* εγκεκηδευντ. V$^{a(vid)}$ | τυραννου βιαν] τυραννον ℵ* (τυραννου β. ℵ$^{c.a}$) | την Εβρ. πολιτιαν] των Εβρ. την πολιτειαν V | θελοντες A θελοντας ℵ* (-τος ℵ^1) θελησαντος V 10 εθνος] γενος ℵ 12 ηθλοτει (sic) A | νικος]+αυτης V | εν αφθαρσια] εις αφθαρσιαν αυτης ℵ* αφθαρσια ℵ$^{c.a}$ om ℵ$^{c.b}$ εις αφθαρσιαν V 13 om δε 1° ℵ* (hab ℵ$^{c.a}$) | προηγωνιτο ℵ* (προηγωνιζετο ℵ$^{c.a}$) | om επτα ℵ* (hab ℵ$^{c.a}$) | αδελφοι] pr επτα ℵ 14 ο τυραννος αντ. evan in V ad fin col | om ο 3° V 15 θεοσεβια ℵ 16 αληθειας] θειας ℵ (θιας) V | νομοθεσιας (-σια ℵ* -σιας ℵ^1)] pr θεοσεβειας V | αθλητες ℵ* (-τας ℵ^1) | τινες 2°]+δε ℵ 17 συνεδριον] συμβουλιον ℵV | om αυτων 1° ℵV | εθαυμασαν ℵ* (εξεθ. ℵ$^{c.a}$) | υπομονην] pr αρετην και την ℵ pr αρετην και V 18 δι ην...αιωνα lin subduct adfec A$^{a?}$ 19 Μωυσης ℵ 20 ουτοι] αυτοι ℵ | om δια θεον ℵ* hab δια τον θν̄ ℵ$^{c.a}$ 20—22 ου μονον...αμαρτιας lin subduct adfec A$^{a?}$ 20 om ουν 2° ℵV | om τω V* hab το V$^{1(vid)}$ (τω V^a) | τω δι αυτους· A | επικρατησας A 21 τιμωρηθηναι] pr καταισχυνθηναι και V 22 ωσπερ]+γαρ V | γεγονας ℵ* (-νοτας ℵ$^{c.a}$)

A διὰ τοῦ αἵματος τῶν εὐσεβῶν ἐκείνων καὶ τοῦ ἱλαστηρίου θανάτου
αὐτῶν, ἡ θεία πρόνοια τὸν Ἰσραὴλ προκακωθέντα διέσωσεν. 23 πρὸς 23
γὰρ τὴν ἀνδρίαν αὐτῶν τῆς ἀρετῆς καὶ τὴν ἐπὶ ταῖς βασάνοις αὐτῶν
ὑπομονὴν ὁ τύραννος ἀφιδὼν Ἀντίοχος ἀνεκήρυξεν τοῖς στρατιώταις
αὐτοῦ εἰς ὑπόδειγμα τὴν ἐκείνων ὑπομονήν· 24 ἔσχεν τε αὐτοὺς 24
γενναίους καὶ ἀνδρείους εἰς πεζομαχίαν καὶ πολιορκίαν· καὶ ἐκπορ-
θήσας ἐνίκησεν πάντας τοὺς πολεμίους.

1 Ὦ τῶν Ἀβραμιαίων σπερμάτων ἀπόγονοι παῖδες Ἰσραηλῖται, πεί- 1 XVIII
θεσθε τῷ νόμῳ τούτῳ, καὶ πάντα τρόπον εὐσεβεῖτε 2 γινώσκοντες ὅτι 2
τῶν παθῶν δεσπότης ἐστὶν ὁ εὐσεβὴς λογισμός, καὶ οὐ μόνον τῶν
ἔνδοθεν ἀλλὰ καὶ τῶν ἔξωθεν πόνων· 3 ἀνθ᾽ ὧν διὰ τὴν εὐσέβειαν 3
προέμενοι τὰ σώματα τοῖς πόνοις ἐκεῖνοι, οὐ μόνον ὑπὸ τῶν ἀνθρώπων
ἐθαυμάσθησαν, ἀλλὰ καὶ θείας μερίδος κατηξιώθησαν. 4 καὶ δι᾽ αὐτοὺς 4
εἰρήνευσεν τὸ ἔθνος, καὶ τὴν εὐνομίαν τὴν ἐπὶ τῆς πατρίδος ἀνανεωσά-
μενος, ἐκπεπολιόρκηκε τοὺς πολεμίους. 5 καὶ ὁ τύραννος Ἀντίοχος 5
καὶ ἐπὶ γῆς τετιμώρηται, καὶ ἀποθανὼν κολάζεται· ὡς γὰρ οὐδὲν
οὐδαμῶς ἴσχυσεν ἀναγκάσαι τοὺς Ἱεροσολυμείτας ἀλλοφυλῆσαι, καὶ
τῶν πατρίων ἐθνῶν ἐκδιαιτηθῆναι, 6 τότε δὴ ἀπάρας ἀπὸ τῶν Ἱερο- 6
σολύμων ἐστρατοπέδευσεν ἐπὶ Πέρσας. Ἔλεγεν δὲ ἡ μήτηρ
τῶν ἑπτὰ παίδων καὶ ταῦτα ἡ δικαία τοῖς τέκνοις 7 ὅτι Ἐγὼ ἐγενήθην 7
παρθένος ἁγνή, καὶ οὐχ ὑπερέβην πατρικὸν οἶκον· ἐφύλασσον δὲ τὴν
ᾠκοδομημένην πλευράν. 8 οὐ διέφθειρέν με λυμεὼν τῆς ἐρημίας 8
φθορεὺς ἐν πεδίῳ· οὐδὲ ἐλυμήνατό μου τὰ ἁγνὰ τῆς παρθενίας λυμεὼν
ἀπάτης ὄφις· ἔμεινα δὲ χρόνον ἀκμῆς σὺν ἀνδρί. 9 τούτων δὲ 9

ℵV 22 δια] της ℵ* (δια ℵ^{c.a}) | θανατου] pr του ℵ | προκακωθεντα τον Ισλ ℵ 23 ανδρειαν V | την 2°] της A | om αυτων 2° ℵ | αφιδων] ιδων V | ανεκηρυξεν ο Αντιοχος ℵ ανεκ. Αντ. V | υποδειγμα V 24 om και ανδρειους V | εκπορθουντας V XVIII 1 Αβρααμιδων ℵ* Αβρααμιαιων ℵ^{c.a} | Ισδραηλιται ℵ Ισραηλιτ. V | πιθεσθε ℵ* -θαι ℵ^{c.a} 2 εστιν δεσποτης ℵV 3 ευσεβιαν ℵ | προεμενοι ℵ | θαυμασθησαν A* (εθ. A¹) | θειας] pr της V 4 ευνομιαν (sic) V^{1 fort} | την 2°] τη ℵ^{* fort} | om επι V | ανανεωσαμενοι ℵV | εκπεπολιορκηκε] εκπεπορθηκαν ℵ*V εκπεπολιορκηκαν ℵ^{c.a} 5—24 multa paene evanuere in A 5 γης] pr της V | τετιμωρηται] ετειμωρειτο V* (ετιμ. V^a) | εθνων] om ℵ εθων V | εκδιαιτηθηναι] εκζητηθηναι ℵ 6 om δη ℵV | εστρατοπεδευσεν] εστρατευσεν ℵ | Περσας] περας ℵ* (Περσ. ℵ^{c.b}) | om επτα ℵ | om παιδων V | η δικαια] τα δικαιωματα ℵ ιδια V 7 εγεννηθην V | και ουχ] ουδε ℵ om και V | ωκοδομουμενην A οικοδομουμενην ℵ οικοδομημενην V 8 ου διεφθειρεν] ουδε εφθιρεν ℵ | της ερημιας] τ sup ras A? (seq spat 4 litt) om της ℵV | απατης A*ℵ^{c.b}V] απατηλος A^{a?} απατητης ℵ* | εμειν A* (α superscr A^{a?})

ἐνηλίκων γενομένων ἐτελεύτησεν ὁ πατήρ. μακάριος μὲν ἐκεῖνος· τὸν A
γὰρ τῆς εὐτεκνίας βίον ἐπιζητήσας, τὸν τῆς ἀτεκνίας οὐκ ὠδυνήθη
10 καιρόν· 10 ὃς ἐδίδασκεν ὑμᾶς, ἔτι ὢν σὺν ἡμῖν, τὸν νόμον καὶ τοὺς
11 προφήτας. 11 τὸν ἀναιρεθέντα Ἅβελ ὑπὸ Κάιν ἀνεγίνωσκεν δὲ ἡμῖν,
12 καὶ τὸν ὁλοκαρπούμενον Ἰσαάκ, καὶ τὸν ἐν φυλακῇ Ἰωσήφ· 12 ἔλεγεν
δὲ ἡμῖν τὸν ζηλωτὴν Φινεές, ἐδίδασκεν δὲ ὑμᾶς τοὺς ἐν πυρὶ Ἁνανίαν
13 καὶ Ἀζαρίαν καὶ Μισαήλ· 13 ἐδόξαζεν δὲ καὶ τὸν ἐν λάκκῳ λεόντων
14 Δανιήλ, ὃν καὶ ἐμακάριζεν· 14 ὑπεμίμνησκεν δὲ ὑμᾶς τὴν Ἠσαίου
γραφὴν τὴν λέγουσαν Κἂν διὰ πυρὸς διέλθῃς, φλὸξ οὐ κατακαύσει σε.
15 15 τὸν ὑμνογράφον ἐμελῴδει ἡμῖν Δαυιδ τὸν λέγοντα Πολλαὶ αἱ
16 θλίψεις τῶν δικαίων. 16 τὸν Σαλωμῶντα ἐπαροιμίαζεν ἡμῖν τὸν λέγοντα
17 Ξύλον ζωῆς ἐστιν πᾶσιν τοῖς ποιοῦσιν αὐτοῦ τὸ θέλημα. 17 τὸν
Ἰεζεκιὴλ ἐπιστοποιεῖτο τὸν λέγοντα Εἰ ζήσεται τὰ ὀστᾶ τὰ ξηρὰ ταῦτα;
18 18 ᾠδὴν μὲν γὰρ ἣν ἐδίδαξεν Μωσῆς οὐκ ἐπελάθετο τὴν διδάσκουσαν
19 Ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω. 19 Αὕτη ἡ ζωὴ ὑμῶν καὶ ἡ μακαριότης
τῶν ἡμερῶν.
20 20 Ὦ πικρᾶς τῆς τότε ἡμέρας, καὶ οὐ πικρᾶς, ὅτε ὁ πικρὸς Ἑλλήνων
τύραννος πῦρ φλέξας λέβησιν ὠμοῖς, καὶ ζέουσι θυμοῖς ἀγαγὼν ἐπὶ
τὸν καταπέλτην καὶ πάλιν τὰς βασάνους αὐτοῦ τοὺς ἑπτὰ παῖδας
21 τῆς Ἀβραμίτιδος, 21 τὰς τῶν ὀμμάτων κόρας ἐπήρωσεν, καὶ γλώσσας
22 ἐξέτεμεν, καὶ βασάνοις ποικίλαις ἀπέκτεινεν. 22 ὑπὲρ ὧν ἡ θεία
23 δίκη μετῆλθεν καὶ μετελεύσεται τὸν ἀλάστορα. 23 οἱ δὲ Ἀβραμιαῖοι

9 ενηλικων] ενικων (sic) A | πατηρ] + αυτων ℵV | μεν] δε ℵ* (μεν ℵ^c.a) | ℵV επιζητησας] επιζησας ℵ^c.a V 10 ημιν A^(vid) V] υμιν ℵ | om και ℵ* (hab ℵ^1 (vid), c.a) V 11 δε] τε ℵV | ημιν] υμιν ℵ | Ισακ ℵ* (Ισαακ ℵ^c.a) 12 ημιν] υμιν ℵ | τον ζηλωτην] pr και V | δε 2°] τε ℵV | υμας] ημας V | τους εν πυρι] pr και V | om και 2° ℵ 13 δε] τε V | ον evan nisi potius erasum est in A | om και 2° ℵV 14 δε] τε V | υμας] ημας V | την 1°] pr και ℵ | Ησαια ℵ* (Ησαιου ℵ^c.a) | τον λεγοντα ℵ* (την λεγουσαν ℵ^c.a) | διελθης] εισελθης ℵ* προσελθης ℵ^c.a 15 εμελωδει] in εμελωδι (sic) rescr ι A^a? | η μεν A* vid (ημιν A?) | τον λεγ.] om τον ℵ 16 Σαλωμωντα ℵ Σολομωνα V | παροιμιαζεν ℵ | ημιν] υμιν ℵ | τον λεγοντα] om τον ℵ | om πασιν ℵV 17 επιστοποιει ℵ 18 εδιδασκεν ℵ | Μωυσης ℵ | την διδασκουσαν] διδασκων την λεγουσαν ℵV 19 υμων] ημων V | μακαριοτης] μακροτης ℵ ματης (sic) V 20 πικρας 1°] πικρα A | οτε] οτι ℵ | ο πικρος] om ο ℵ* (hab ℵ^c.a) V | Ελληνων] + ω̄| ℵ* (improb ℵ^c.a) | φλεξας] πυροις σβεσας ℵ* improb πυροις ℵ? (φλεξας ℵ^c.a) πυρι σβεσας V | ζεουσιν V | τας βασ.] τους βασ. ℵ | τους επτα] pr τας επι ℵ* (improb ℵ^c.a, c.b) pr τας επι τας επι (sic) V* (improb επι τας V?) | Αβρααμειτιδος ℵ 21 τας (sup ras A^a) των ομμ. κορας] και των ομμ. τας κ. ℵ pr και V | επηρωσεν ℵ^1 (incep λ ante επ. ℵ*)] επληρωσεν AV | γλωσσᾱ| ℵ* (γλωσσας ℵ^c.a) | ποικειλοις A 22 αλαστορα] + τυραννον ℵ 23 Αβρααμιαιοι ℵ

A παῖδες σὺν τῇ ἀθλοφόρῳ μητρὶ εἰς πατέρων χῶρον συναγελάζονται,
ψυχὰς ἁγνὰς καὶ ἀθανάτους ἀπειληφότες παρὰ τοῦ θεοῦ· 24 ᾧ ἡ δόξα 24
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ℵV 23 αθλοφορω]+αυτων V | εις] ει ℵ* (εις ℵc.a) | χωρον] χορον ℵ | συναγελαζονται] ευαγγελιζονται ℵ* (συναγ. ℵc.a) | αθανατους AaℵC.aV] αθλοφορους ℵ*A* fort (νατους sup ras) | του θεου] om του ℵ* (hab ℵc.a) V
24 om των αιωνων V
Subscr Μακκαβαιων δ' ℵAV

ΩΣΗΕ
ΑΜΩΣ
ΜΕΙΧΑΙΑΣ
ΙΩΗΛ
ΟΒΔΕΙΟΥ
ΙΩΝΑΣ
ΝΑΟΥΜ
ΑΜΒΑΚΟΥΜ
ΣΟΦΟΝΙΑΣ
ΑΓΓΑΙΟΣ
ΖΑΧΑΡΙΑΣ
ΜΑΛΑΧΙΑΣ
ΗΣΑΙΑΣ
ΙΕΡΕΜΙΑΣ
ΒΑΡΟΥΧ
ΘΡΗΝΟΙ
ΕΠΙΣΤΟΛΗ ΙΕΡΕΜΙΟΥ
ΙΕΖΕΚΙΗΛ
ΔΑΝΙΗΛ
ΣΟΥΣΑΝΝΑ
ΒΗΛ ΚΑΙ ΔΡΑΚΩΝ
ΜΑΚΚΑΒΑΙΩΝ Α
ΜΑΚΚΑΒΑΙΩΝ Β
ΜΑΚΚΑΒΑΙΩΝ Γ
ΜΑΚΚΑΒΑΙΩΝ Δ

τοῖς προσδεχομένοις λύτρωσιν Ἰερουσαλήμ.

ΨΑΛΜΟΙ ΣΟΛΟΜΩΝΤΟΣ

Α'

I 1 ΕΒΟΗΣΑ πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με εἰς τέλος, r
πρὸς τὸν θεὸν ἐν τῷ ἐπιθέσθαι ἁμαρτωλούς.
2 [2]ἐξάπινα ἠκούσθη κραυγὴ πολέμου ἐνώπιόν μου·
ἐπακούσεταί μου, ὅτι ἐπλήσθην δικαιοσύνης.
3 [3]ἐλογισάμην ἐν καρδίᾳ μου ὅτι ἐπλήσθην δικαιοσύνης,
ἐν τῷ εὐθηνῆσαί με καὶ πολλὴν γενέσθαι ἐν τέκνοις.
4 [4]ὁ πλοῦτος αὐτῶν διεδόθη εἰς πᾶσαν τὴν γῆν,
καὶ ἡ δόξα αὐτῶν ἕως ἐσχάτου τῆς γῆς.
5 [5]ὑψώθησαν ἕως τῶν ἄστρων,
εἶπαν Οὐ μὴ πέσωσιν·
6 [6]καὶ ἐξύβρισαν ἐν τοῖς ἀγαθοῖς αὐτῶν,
καὶ οὐκ ἤνεγκαν.
7 [7]αἱ ἁμαρτίαι αὐτῶν ἐν ἀποκρύφοις,
καὶ ἐγὼ οὐκ ᾔδειν·
8 [8]αἱ ἀνομίαι αὐτῶν ὑπὲρ τὰ πρὸ αὐτῶν ἔθνη,
ἐβεβήλωσαν τὰ ἅγια Κυρίου ἐν βεβηλώσει.

Β'

II Ψαλμὸς τῷ Σαλωμών περὶ Ἰερουσαλήμ.

1 [1]Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἁμαρτωλὸν ἐν κριῷ κατέβαλλε τείχη ὀχυρά,
καὶ οὐκ ἐκώλυσας.

Inscr ψαλμοι Σολομωντος l (-μωνος h) om ir | α' om r | ψαλμος τω hilmpv Σαλομων: πρωτος i

I 1 του θεου] om του r   3 πολλην lr] πολυν himpv   4 διεδοθη ilr] διελθοι hmpv | γην] + και η δοξα αυτων εως εσχατου την γην r* (improb r¹) | αυτων 2°] αυτου l   5 ειπον l | πεσωσι imp πεσωσι μεν l   7 και εγω ir] καγω hlmpv   II Σαλομων hilpv deest tit in m   1 κατεβαλλε ir] κατεβαλε hlmpv

r [2]ἀνέβησαν ἐπὶ τὸ θυσιαστήριόν σου ἔθνη ἀλλότρια, 2
κατεπατοῦσαν ἐν ὑποδήμασιν αὐτῶν ἐν ὑπερηφανίᾳ.
[3]ἀνθ' ὧν οἱ υἱοὶ Ἰερουσαλὴμ ἐμίαναν τὰ ἅγια Κυρίου, 3
ἐβεβηλοῦσαν τὰ δῶρα τοῦ θεοῦ ἐν ἀνομίαις·
[4]ἕνεκεν τούτων εἶπεν Ἀπορίψατε αὐτὰ μακρὰν ἀπ' ἐμοῦ, 4
οὐκ εὐόδωκεν αὐτοῖς τὸ κάλλος τῆς δόξης αὐτοῦ·
[5]ἐξουθενώθη ἐνώπιον τοῦ θεοῦ, 5
ἠτιμώθη ἕως εἰς τέλος.
[6]υἱοὶ καὶ θυγατέρες ἐν αἰχμαλωσίᾳ πονηρᾷ, 6
ἐν σφραγῖδι ὁ τράχηλος αὐτῶν, ἐν ἐπισήμῳ ἐν τοῖς ἔθνεσιν·
[7]κατὰ τὰς ἁμαρτίας αὐτῶν ἐποίησεν αὐτοῖς, 7
ὅτι ἐγκατέλειπεν αὐτοὺς εἰς χεῖρας κατισχυόντων·
[8]ἀπέστρεψεν γὰρ τὸ πρόσωπον αὐτοῦ ἀπὸ ἐλέους αὐτῶν, 8
νέον καὶ πρεσβύτην καὶ τέκνα αὐτῶν εἰς ἅπαξ·
[9]ὅτι πονηρὰ ἐποίησαν εἰς ἅπαξ, τοῦ μὴ ἀκούειν. 9
[10]καὶ ὁ οὐρανὸς ἐβαρυθύμησε, καὶ ἡ γῆ ἐβδελύξατο αὐτούς, 10
[11]ὅτι οὐκ ἐποίησεν πᾶς ἄνθρωπος ἐπ' αὐτῆς ὅσα ἐποίησαν. 11
[12]καὶ γνώσεται ἡ γῆ τὰ κρίματά σου πάντα τὰ δίκαια, ὁ θεός. 12
[13]ἔστησαν τοὺς υἱοὺς Ἰερουσαλὴμ εἰς ἐμπαιγμόν, 13
ἀντὶ πορνῶν ἐν αὐτῇ·
πᾶς ὁ πορευόμενος εἰσεπορεύετο κατέναντι τοῦ ἡλίου·
ἐνέπαιζον ταῖς ἀνομίαις αὐτῶν·
[14]καθὰ ἐποίουν αὐτοί, ἀπέναντι τοῦ ἡλίου παρεδειγμάτισαν ἀδικίας αὐτῶν. 14
καὶ θυγατέρες Ἰερουσαλὴμ βέβηλοι κατὰ τὸ κρίμα σου,
[15]ἀνθ' ὧν αὐταὶ ἐμιαίωσαν αὑτὰς ἐν φυρμῷ ἀναμίξεως. 15
τὴν κοιλίαν μου καὶ τὰ σπλάγχνα μου πονῶ ἐπὶ τούτοις.
[16]ἐγὼ δικαιώσω σε, ὁ θεός, ἐν εὐθύτητι καρδίας· 16
ὅτι ἐν τοῖς κρίμασίν σου ἡ δικαιοσύνη σου, ὁ θεός.
[17]ὅτι ἀπέδωκας τοῖς ἁμαρτωλοῖς κατὰ τὰ ἔργα αὐτῶν, 17
καὶ κατὰ τὰς ἁμαρτίας αὐτῶν τὰς πονηρὰς σφόδρα.

hilmpv 2 κατεπατουν hilmpv 3 om οι i | εβεβηλουν hilmpv 4 απορριψ. hlmpv απερριψ. i | ευοδωκεν ilr] ευωδωκεν hmpv | αυτου hilprv] αυτης m 5 εξουθενωθη ilr] εξουθενηθη hmpv | om εως hmpv 6 υιοι] pr οι hilmpv | θυγατερες] pr αι hilmpv | εθνεσι hilmpv 7 εγκατελιπεν hilmpv 8 απεστρεψε himpv | om το hilmpv | ελεου hilmpv | αυτων 1°] αυτου i 10 εβαρυθυμησεν il 11 οσα] ο ex ου fec r^corr 12 τα δικ. παντα i 13 εστησεν hmv εστησε p | παραπορευομ. hilmpv 15 εμιαιωσαν] εμιαινον hilmpv | εαυτας hilmpv 16 κριμασι hilmpv 17 και ir] om hlmpv

18 [18]ἀνεκάλυψας τὰς ἁμαρτίας αὐτῶν, ἵνα φανῇ τὸ κρίμα σου· r
19 [19]ἐξήλειψας τὸ μνημόσυνον αὐτῶν ἀπὸ τῆς γῆς.
ὁ θεὸς κριτὴς δίκαιος, καὶ οὐ θαυμάσει πρόσωπον.
20 [20]ὠνείδισαν γὰρ ἔθνη Ἰερουσαλὴμ ἐν καταπατήσει·
κατέσπασεν τὸ κάλλος αὐτῆς ἀπὸ θρόνου δόξης.
21 [21]περιεζώσατο σάκκον ἀντὶ ἐνδύματος εὐπρεπείας,
σχοινίον περὶ τὴν κεφαλὴν αὐτῆς ἀντὶ στεφάνου.
22 [22]περιείλατο μίτραν δόξης ἣν περιέθηκεν αὐτῇ ὁ θεός·
23 [23]ἐν ἀτιμίᾳ τὸ κάλλος αὐτῆς ἀπερρίφη ἐπὶ τὴν γῆν.
24 [24]καὶ ἐγὼ εἶδον, καὶ ἐδεήθην τοῦ προσώπου Κυρίου καὶ εἶπον
Ἱκάνωσον, Κύριε, τοῦ βαρύνεσθαι χεῖράς σου ἐπὶ Ἰσραὴλ
ἐν ἐπαγωγῇ ἐθνῶν.
25 [25]ὅτι ἐνέπαιξαν καὶ οὐκ ἐφείσαντο, ἐν ὀργῇ καὶ θυμῷ μετὰ μηνίσεως·
26 [26]καὶ συντελεσθήσονται, ἐὰν μὴ σύ, Κύριε, ἐπιτιμήσεις αὐτοῖς
ἐν ὀργῇ σου.
27 [27]ὅτι οὐκ ἐν ζήλει ἐποίησαν, ἀλλ' ἐν ἐπιθυμίᾳ ψυχῆς,
28 [28]ἐκχέαι τὴν ὀργὴν αὐτῶν εἰς ἡμᾶς ἐν ἀρπάγματι.
καὶ μὴ χρονίσῃς, ὁ θεός, τοῦ ἀποδοῦναι αὐτοῖς εἰς κεφαλάς,
29 [29]τοῦ εἰπεῖν τὴν ὑπερηφανίαν τοῦ δράκοντος ἐν ἀτιμίᾳ.
30 [30]καὶ οὐκ ἐχρόνισα ἕως ἔδειξέν μοι ὁ θεὸς τὴν ὕβριν αὐτοῦ,
ἐκκεκεντημένον ἐπὶ τῶν ὀρέων Αἰγύπτου,
ὑπὲρ ἐλαχίστου ἐξουδενωμένον ἐπὶ γῆς καὶ θαλάσσης·
31 [31]τὸ σῶμα αὐτοῦ διαφερόμενον ἐπὶ κυμάτων ἐν ὕβρει πολλῇ,
καὶ οὐκ ἦν [§]ὁ θάπτων· § c
32 [32]ὅτι ἐξουθένωσεν αὐτὸν ἐν ἀτιμίᾳ·
οὐκ ἐλογίσατο ὅτι ἄνθρωπός ἐστιν,
καὶ τὸ ὕστερον οὐκ ἐλογίσατο.
33 [33]εἶπεν Ἐγὼ κύριος γῆς καὶ θαλάσσης ἔσομαι·
καὶ οὐκ ἐπέγνω ὅτι ὁ θεὸς μέγας,
κραταιὸς ἐν ἰσχύι αὐτοῦ τῇ μεγάλῃ.

20 *ονειδισαν* i | *κατεσπασε* hilmpv **22** *περιειλετο* hilmpv **24** *Κυριου*] chilmpv + *του θεου* i | *και* 3°] *καγω* i | om *Κυριε* i | *χειρα* hi (*χειρα σου του βαρ.* i) lmpv | *Ιερουσαλημ* hilmpv | *επαγωγη* ilmrp] *απαγ.* hv **26** *επιτιμησης* hilmpv | *αυτοις* hmprv] *αυτους* il **27** *ζηλω* hilmpv | *αλλα* hlmpv **28** *εκχεαι* i | om *και* hilmpv **29** *ατιμια* hlmpv] *αἰτία μία* r *ἀτιμία μιᾷ* i **30** *εως*] + *ου* i | *εδειξε* himpv **31** *διαφερομενον* ilr] *διεφθαρμενον* hmpv **32** *εξουδενωσεν* chilmpv | *εστι* chmpv **33** *ειπειν* l (de c non liq) | *κραταιος*] pr *και* (? $\overline{κς}$) c

r [34]αὐτὸς βασιλεὺς ἐπὶ τῶν οὐρανῶν 34
καὶ κρίνων βασιλεῖς καὶ ἀρχάς·
[35]ὁ ἀνιστῶν ἐμὲ εἰς δόξαν, 35
καὶ κοιμίζων ὑπερηφάνους εἰς ἀπωλίαν αἰῶνος ἐν ἀτιμίᾳ,
ὅτι οὐκ ἔγνωσαν αὐτόν.
[36]καὶ νῦν ἴδετε, οἱ μεγιστᾶνες τῆς γῆς, τὸ κρίμα τοῦ κυρίου· 36
ὅτι μέγας βασιλεὺς καὶ δίκαιος, κρίνων τὴν ὑπ᾽ οὐρανόν.
[37]εὐλογεῖτε τὸν θεόν, οἱ φοβούμενοι τὸν κύριον ἐν ἐπιστήμῃ, 37
ὅτι τὸ ἔλεος Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, μετὰ κρί-
ματος,
[38]τοῦ διαστεῖλαι ἀνὰ μέσον δικαίου καὶ ἁμαρτωλοῦ, 38
ἀποδοῦναι ἁμαρτωλοῖς εἰς τὸν αἰῶνα κατὰ τὰ ἔργα αὐτῶν·
[39]καὶ ἐλεῆσαι δίκαιον ἀπὸ ταπεινώσεως ἁμαρτωλοῦ, 39
καὶ ἀποδοῦναι ἁμαρτωλῷ ἀνθ᾽ ὧν ἐποίησεν δικαίῳ.
[40]ὅτι χρηστὸς ὁ κύριος τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ὑπομονῇ, 40
ποιῆσαι κατὰ τὸ ἔλεος αὐτοῦ τοῖς ὁσίοις αὐτοῦ,
παρεστάναι διὰ παντὸς ἐνώπιον αὐτοῦ ἐν ἰσχύι.
[41]εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα ἐνώπιον δούλων αὐτοῦ. 41

Γ′

Ψαλμὸς τῷ Σαλωμὼν περὶ δικαίων. III

[1]Ἵνα τί ὑπνοῖς, ψυχή, καὶ οὐκ εὐλογεῖς τὸν κύριον; 1
[2]ὕμνον καινὸν ψάλλετε τῷ θεῷ τῷ αἰνετῷ. 2
ψάλλε καὶ γρηγόρησον ἐπὶ τὴν γρηγόρησιν αὐτοῦ·
ὅτι ἀγαθὸς ψαλμὸς τῷ θεῷ ἐξ ἀγαθῆς καρδίας.
[3]δίκαιοι μνημονεύουσιν διὰ παντὸς τοῦ κυρίου, 3
ἐν ἐξομολογήσει καὶ δικαιώσει τὰ κρίματα τοῦ κυρίου.
[4]οὐκ ὀλιγωρήσει δίκαιος παιδευόμενος ὑπὸ τοῦ κυρίου· 4
ἡ εὐδοκία αὐτοῦ διὰ παντὸς ἔναντι Κυρίου.
[5]προσέκοψεν ὁ δίκαιος καὶ ἐδικαίωσεν τὸν κύριον· 5
ἔπεσεν, καὶ ἀποβλέπει τί ποιήσει αὐτῷ ὁ θεός·

chilmpv 35 ο ανιστων clr] om ο himpv | απωλειαν chilmpv | αιωνος] αιωνιον chilmpv | αυτων l 36 om του chilmpv 37 Κυριου c^mg himprv] αυτου c^txt l 39 αμαρτωλου] + αποδουναι αμαρτωλοις εις τον αιωνα κατα τα εργα αυτων i | εποιησε chimpv 40 οσιοις] μετ hmpv III γ′ om hv | Σαλομων chilmpv 1 ουκ ευλογεις] ου λογεις r* 2 και αινον clr] καινον himpv | ψαλατε chilpv ψαλλατε m | ψαλλε και] ψαλαι ι | θεω] κυριω i | αγαθης ir] ολης chlmpv 3 μνημονευουσι chilmpv | του κυριου (2°)] om του chilmpv 4 om του chilmpv | εναντιον ch^corr ilmpv (ενωπιον h*vid) 5 εδικαιωσε chilmpv | επεσε chimpv

6 [6]ἀποσκοπεύει ὅθεν ἥξει σωτηρία αὐτῷ. r
7 [7]ἀλήθεια τῶν δικαίων παρὰ θεοῦ σωτῆρος αὐτῶν·
οὐκ αὐλίζεται ἐν οἴκῳ δικαίου ἁμαρτία ἐφ' ἁμαρτίαν.
8 [8]ἐπισκέπτεται διὰ παντὸς τὸν οἶκον αὐτοῦ ὁ δίκαιος,
τοῦ ἐξᾶραι ἀδικίαν ἐν παραπτώματι αὐτοῦ.
9 [9]ἐξιλάσατο περὶ ἀγνοίας ἐν νηστείᾳ καὶ ταπεινώσει ψυχὴν αὐτοῦ·
10 [10]καὶ ὁ κύριος καθαρίζει πᾶν ἄνδρα ὅσιον καὶ τὸν οἶκον αὐτοῦ.
11 [11]προσέκοψεν ἁμαρτωλός, καὶ καταρᾶται ζωὴν αὐτοῦ,
τὴν ἡμέραν γενέσεως αὐτοῦ καὶ ὠδῖνας μητρός·
12 [12]προσέθηκεν ἁμαρτίας ἐφ' ἁμαρτίαις τῇ ζωῇ αὐτοῦ·
13 [13]ἔπεσεν, ὅτι πονηρὸν τὸ πτῶμα αὐτοῦ, καὶ οὐκ ἀναστήσεται.
ἡ ἀπώλεια τοῦ ἁμαρτωλοῦ εἰς τὸν αἰῶνα,
14 [14]καὶ οὐ μὴ μνησθήσεται ὅταν ἐπισκέπτηται δικαίους·
15 [15]αὕτη ἡ μερὶς τῶν ἁμαρτωλῶν εἰς τὸν αἰῶνα.
16 [16]οἱ δὲ φοβούμενοι τὸν κύριον ἀναστήσονται εἰς ζωὴν αἰώνιον,
καὶ ἡ ζωὴ αὐτῶν ἐν φωτὶ Κυρίου οὐκ ἐκλείψει ἔτι.

Δʹ

IV Διαλογὴ τοῦ Σαλωμὼν τοῖς ἀνθρωπαρέσκοις.

1 [1]Ἵνα τί σύ, βέβηλε, κάθησαι ἐν συνεδρίῳ ὁσίῳ,
καὶ ἡ καρδία σου μακρὰν ἀφέστηκεν ἀπὸ τοῦ κυρίου,
ἐν παρανομίαις παροργίζων τὸν θεὸν Ἰσραήλ;
2 [2]περισσὸς ἐν λόγοις, περισσὸς ἐν σημειώσει ὑπὲρ πάντας,
ὁ σκληρὸς ἐν λόγοις κατακρῖναι ἁμαρτωλοὺς ἐν κρίσει.
3 [3]καὶ ἡ χεὶρ αὐτοῦ ἐν πρώτοις ἐπ' αὐτὸν ὡς ἐν ζήλει,
καὶ αὐτὸς ἔνοχος ἐν ποικιλίᾳ ἁμαρτωλῶν, ἐν ἀκρασίαις·
4 [4]οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ πᾶσαν γυναῖκα ἄνευ διαστολῆς,
ἡ γλῶσσα ψευδὴς ἐν συναλλάγματι μεθ' ὅρκου.

6 *σωτηρια*] pr *η* i | *αυτω* c*r] *αυτου* c^corr hilmpv   7 *δικαιου*] pr *του* chilmpv chilmpv   9 om *αυτου* r   10 *παντα* chilmpv | *οσιον* himprv] *θειον* cl   11 *αμαρτωλος*] pr *ο* i | *ζωην*] pr *την* i   12 *προσεθηκεν* ilr] *προσεθηκαν* hmpv (de c non liq) | *αμαρτιαις* clr] *αμαρτιας* himpv   13 *πτωμα*] *σπερμα* i   14 *ου μη*] om *μη* chilmpv | *επισκεπτεται* i   15 om *η* chilmpv   16 om *τον* chlmpv | *ουκ*] pr *και* chilmpv   IV *δ'* cilr] *γ'* hv | *διαλογη του* cilr] *ψαλμος τω* hpv | *Σαλομων* chilpv | *ανθρωπαρεσκοις*] + *τεταρτος* i (deest tit in m)   1 *καθησαι βεβηλε* chilmpv | *οσιω* clr] *οσιων* i om hmpv   2 *κατακρινει* cl *κατακρινων* hmpv   3 *ζηλω* chilmpv | *αμαρτωλων*] *αμαρτιων* chilmpv | *εν* 3°] pr *και* chilmpv   4 *γλωσσα*] + *αυτου* chilmpv

r [5]ἐν νυκτὶ καὶ ἐν ἀποκρύφοις ἁμαρτάνει ὡς οὐχ ὁρώμενος, 5
ἐν ὀφθαλμοῖς αὐτοῦ λαλεῖ πάσῃ γυναικὶ ἐν συνταγῇ κακίας·
[6]ταχὺς εἰσόδῳ εἰς πᾶσαν οἰκίαν ἱλαρότητι ὡς ἄκακος. 6
[7]ἐξάραι ὁ θεὸς τοὺς ἐν ὑποκρίσει ζῶντας μετὰ ὁσίων, 7
ἐν φθορᾷ σαρκὸς αὐτοῦ καὶ πενίᾳ τὴν ζωὴν αὐτοῦ·
[8]ἀνακαλύψαι ὁ θεὸς τὰ ἔργα ἀνθρώπων ἀνθρωπαρέσκων, 8
ἐν καταγέλωτι καὶ μυκτηρισμῷ τὰ ἔργα αὐτοῦ.
[9]καὶ δικαιώσαισαν ὅσιοι τὸ κρίμα τοῦ θεοῦ αὐτῶν, 9
ἐν τῷ ἐξαίρεσθαι ἁμαρτωλοὺς ἀπὸ προσώπου δικαίου,
[10]ἀνθρωπάρεσκον λαλοῦντα μόνον μετὰ δόλου. 10
[11]καὶ οἱ ὀφθαλμοὶ αὐτῶν ἐπ' οἶκον ἀνδρὸς ἐν εὐσταθίᾳ, ὡς ὄφις, 11
διαλῦσαι σοφίαν ἀλλήλων ἐν λόγοις παρανόμων.
[12]οἱ λόγοι αὐτοῦ παραλογισμοί, 12
εἰς πρᾶξιν ἐπιθυμίας ἀδίκων.
[13]οὐκ ἀπέστη ἕως ἐνίκησεν σκορπίσαι ὡς ἐν ὀρφανίᾳ, 13
καὶ ἠρήμωσεν οἶκον ἕνεκεν ἐπιθυμίας παρανόμου.
[14]παρελογίσατο ἐν λόγοις ὅτι οὐκ ἔστιν ὁρῶν καὶ κρίνων, 14
[15]ἐπλήσθη ἐν παρανομίᾳ ἐν ταύτῃ· 15
καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπ' οἶκον ἕτερον ὀλοθρεῦσαι ἐν λόγοις
ἀναπτερώσεως·
οὐκ ἐμπίπλαται ἡ ψυχὴ αὐτοῦ, ὡς ᾅδης, ἐν πᾶσι τούτοις.
[16]γένοιτο, Κύριε, ἡ μερὶς αὐτοῦ ἐν ἀτιμίᾳ ἐνώπιόν σου, 16
ἡ ἔξοδος αὐτοῦ ἐν στεναγμοῖς καὶ ἡ εἴσοδος αὐτοῦ ἐν ἀρᾷ·
[17]ἐν ὀδύναις καὶ πενίᾳ καὶ ἀπορίᾳ ἡ ζωὴ αὐτοῦ, Κύριε, 17
ὁ ὕπνος αὐτοῦ ἐν λύπαις καὶ ἡ ἐξέγερσις αὐτοῦ ἐν ἀπο-
ρίαις·
[18]ἀφαιρεθείη ὕπνος ἀπὸ κροτάφων αὐτοῦ ἐν νυκτί, 18
ἀποπέσοιεν ἀπὸ παντὸς ἔργου χειρῶν αὐτοῦ·
[19]καὶ ἐλλιπὴς ὁ οἶκος αὐτοῦ ἀπὸ παντὸς οὗ ἐμπλήσει ψυχὴν 19
αὐτοῦ,

chilmpv 6 ως ακακος] ωσακκος r 9 δικαιωσαισαν ir] δικαιωσαιαν c δικαιως ειεν l δικαιωσαιεν hmpv | οσιοι clr] pr οι himpr | δικαιου] pr του i 10 μονον] νομον chilmpv | δολου] δουλου r 11 αυτων] αυτου i | επ οικον cilr] εν οικω hmpv | ευσταθεια chlv 12 αδικου chilmpv 13 απεστη cilr] ανεστη hpv | οικον cilr] om hmpv 15 ολοθρευσαι hilmpv (de c non liq) | ως αδης clr] ως ο αδ. i om hmpv 17 πενια] pr εν hmpv | om και 2° r | λυπαις cilr] οδυναις hmpv | εξεγερσις] εγερσις i | απορια mp 18 αποπεσοιεν] αποπεσοι chilv αποπεσαι mp | χειρος mp | αυτου 2°]+εν ατιμια chilmpv 19 και] pr κενος χερσιν αυτου εισελθοι εις τον οικον αυτου chilmpv

20 [20]ἐν μονίᾳ ἀτεκνίας τὸ γῆρας αὐτοῦ εἰς ἀνάλημψιν. l
21 [21]σκορπισθείησαν σάρκες ἀνθρωπαρέσκων ὑπὸ θηρίων,
καὶ ὀστᾶ παρανόμων κατέναντι τοῦ ἡλίου ἐν ἀτιμίᾳ.
22 [22]ὀφθαλμοὺς ἐκκόψαισαν κόρακες ὑποκρινομένων,
23 [23]ὅτι ἠρήμωσεν οἴκους πολλοὺς ἀνθρώπων ἐν ἀτιμίᾳ
καὶ ἐσκόρπισεν ἐπιθυμίᾳ.
24 [24]καὶ οὐκ ἐμνήσθησαν θεοῦ,
καὶ οὐκ ἐφοβήθησαν τὸν θεὸν ἐν ἅπασι τούτοις.
25 [25]καὶ παρώργισαν τὸν θεόν,
καὶ παρώξυναν ἐξᾶραι αὐτοὺς ἀπὸ τῆς γῆς·
ὅτι ψυχὰς ἀκάκων παραλογισμῷ ὑπεκρίνοντο.
26 [26]μακάριοι οἱ φοβούμενοι τὸν κύριον ἐν ἀκακίᾳ αὐτῶν·
27 [27]καὶ ὁ κύριος ῥύσεται αὐτοὺς ἀπὸ ἀνθρώπων δολίων καὶ ἁμαρ-
τωλῶν·
καὶ ῥύσεται ἡμᾶς ἀπὸ παντὸς σκανδάλου παρανόμου.
28 [28]ἐξάραι ὁ θεὸς τοὺς ποιοῦντας ἐν ὑπερηφανίᾳ πᾶσαν ἀδικίαν,
ὅτι κριτὴς μέγας καὶ κραταιὸς Κύριος ὁ θεὸς ἡμῶν ἐν δι-
καιοσύνῃ.
29 [29]γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐπὶ πάντας τοὺς ἀγαπῶντάς σε.

Ε′

V Ψαλμὸς τῷ Σαλωμών.

1 [1]Κύριε ὁ θεός, αἰνέσω τῷ ὀνόματί σου ἐν ἀγαλλιάσει,
ἐν μέσῳ ἐπισταμένων τὰ κρίματά σου τὰ δίκαια.
2 [2]ὅτι εὔχρηστος καὶ ἐλεήμων ἡ καταφυγὴ τοῦ πτωχοῦ·
3 [3]ἐν τῷ κεκραγέναι με πρὸς σὲ μὴ παρασιωπήσῃς ἀπ᾽ ἐμοῦ.
4 [4]οὐ γὰρ λήψεται σκῦλα παρὰ ἀνδρὸς δυνατοῦ·
5 [5]καὶ τίς λήψεται ἀπὸ πάντων ὧν ἐποίησας, ἐὰν μὴ σὺ δῷς;
6 [6]ὅτι ἄνθρωπος καὶ ἡ μερὶς αὐτοῦ παρὰ σοῦ ἐν σταθμῷ·
οὐ προσθήσει τοῦ πλεονάσαι παρὰ τὸ κρίμα σου, ὁ θεός.

20 μονωσει chilmpv | αναληψιν chilmpv **22** οφθαλμους εκκοψαισαν chilmpv κορακες] εκκοψειαν κορακες οφθ. ανθρωπων chilmpv **23** ηρημωσαν chilmpv | πολλων ανθρωπων l ανθρωπων πολλων c | εσκορπισεν (εσκοπ. r*)] εσκορπισαν εν chilmpv **24** εμνησθησαν θεου] εμνησθης ανου r | απασι clr] πασι hmpv **25** παρωξυνεν r **27** om και 1° chilmpv V ε′ cilr] δ′ hv | τω Σαλομων ψαλμος πεμπτος i ψ. Σολομων cl ψ. Σαλομων hpv (deest tit in m) **1** το ονομα imp **2** ευχρηστος] ευ χρηστος chilmpv | η cilr] ει hmpv **4** ου γαρ...δυνατου] om cl | σκυλα ir] + ανθρωπος hmpv **6** παρα] απο i | σου 1° cilr] σοι hmpv

r [7]ἐν τῷ θλίβεσθαι ἡμᾶς ἐπικαλεσόμεθα εἰς βοήθειαν, 7
καὶ σὺ οὐκ ἀποστρέψῃ τὴν δέησιν ἡμῶν,
ὅτι σὺ ὁ θεὸς ἡμῶν εἶ.
[8]μὴ βαρύνῃς τὴν χεῖρά σου ἐφ᾽ ἡμᾶς, 8
ἵνα μὴ δι᾽ ἀνάγκην ἁμάρτωμεν.
[9]καὶ ἐὰν μὴ ἐπιστρέψῃς ἡμᾶς, οὐκ ἀφεξόμεθα, 9
ἀλλ᾽ ἐπὶ σὲ ἥξομεν·
[10]ἐὰν γὰρ πεινάσω, πρὸς σὲ κεκράξομαι, ὁ θεός, 10
καὶ σὺ δώσεις μοι.
[11]τὰ πετεινὰ καὶ τοὺς ἰχθύας σὺ τρέφεις, 11
ἐν τῷ διδόναι σε ὑετὸν ἐρήμοις εἰς ἀνατολὴν χλόης,
ἑτοιμάσαι χορτάσματα ἐν ἐρήμῳ παντὶ ζῶντι·
[12]καὶ ἐὰν πεινάσωσιν, πρὸς σὲ ἀροῦσιν πρόσωπον αὐτῶν. 12
[13]τοὺς βασιλεῖς καὶ ἄρχοντας καὶ λαοὺς σὺ τρέφεις, ὁ θεός, 13
καὶ πτωχοῦ καὶ πένητος ἡ ἐλπὶς τίς ἐστιν εἰ μὴ σύ, Κύριε;
[14]καὶ σὺ ἐπακούσῃ, ὅτι τίς χρηστὸς καὶ ἐπιεικὴς ἀλλ᾽ ἢ σύ; 14
εὐφρᾶναι ψυχὴν ταπεινοῦ ἐν τῷ ἀνοῖξαι χεῖρά σου ἐν ἐλέει.
[15]ἡ χρηστότης ἀνθρώπου ἐν φειδῷ, καὶ ἡ αὔριον· 15
καὶ ἐὰν δευτερώσῃ ἄνευ γογγυσμοῦ, καὶ τοῦτο θαυμάσειας.
¶i [16]τὸ δὲ δόμα σου πολὺ μετὰ χρηστότητος ¶καὶ πλούσιον, 16
καὶ οὗ ἐστιν ἡ ἐλπὶς ἐπὶ σέ, οὐ φείσεται ἐν δόματι·
[17]ἐπὶ πᾶσαν τὴν γῆν τὸ ἔλεός σου, Κύριε, ἐν χρηστότητι. 17
[18]μακάριος οὗ μνημονεύει ὁ θεὸς ἐν συμμετρίᾳ αὐταρκίας· 18
[19]ἐὰν ὑπερπλεονάσῃ ὁ ἄνθρωπος, ἐξαμαρτάνει· 19
[20]ἱκανὸν τὸ μέτριον ἐν δικαιοσύνῃ, 20
καὶ ἐν τούτῳ ἡ εὐλογία Κυρίου, εἰς πλησμονὴν ἐν δικαιοσύνῃ.
[21]ηὐφράνθησαν οἱ φοβούμενοι Κύριον ἐν ἀγαθοῖς, 21
καὶ ἡ χρηστότης σου ἐπὶ Ἰσραὴλ τῇ βασιλείᾳ σου.
[22]εὐλογημένη ἡ δόξα Κυρίου, 22
ὅτι αὐτὸς βασιλεὺς ἡμῶν.

chilmpv 7 *αποστρεψη* lr] *αποστρεψης* i *αποστρεψεις* hmpv (de c non liq) | *ει ο θεος ημων* chilmpv 8 *βαρυνεις* i 9 *αλλα* hmpv 11 *τρεφεις*] + *κ̅ε̅* c^{txt} | *ερημοις*] pr *εν* chilmpv 12 *πεινασωσι* chilmpv | *αρουσι* chilmpv | *προσωπον* ir] *προσωπα* chlmpv 13 *αρχοντας* cilr] pr *τους* hmpv | *τρεφεις*] *στρεφεις* r 14 *επακουσῃς* r | *ελεω* chilmpv 15 *φειδω* clr] *φειδοι* i *φιλω* hmpv | *και εαν* clr] + *και* himpv 16 *ου* 1°] *ουκ* r | *η ελπις επι σε*] *επι σε Κυριε η ελπις* chilmpv 18 *αυταρκιας* r (-*κειας* cl)] *αυταρκεσιας* hmpv 21 *ευφρανθησαν* chlmpv | *τη βασιλεια*] pr *εν* chlmpv

Ϛʹ

VI ᾿Εν ἐλπίδι· τῷ Σαλωμών.

1 [1]Μακάριος ἀνὴρ οὗ ἡ καρδία αὐτοῦ ἑτοίμη ἐπικαλέσασθαι τὸ r
ὄνομα Κυρίου·
2 [2]ἐν τῷ μνημονεύειν αὐτὸν τὸ ὄνομα Κυρίου σωθήσεται.
3 [3]αἱ ὁδοὶ αὐτοῦ κατευθύνονται ὑπὸ Κυρίου,
καὶ πεφυλαγμένα ἔργα χειρῶν αὐτοῦ ὑπὸ Κυρίου θεοῦ αὐτοῦ.
4 [4]ἀπὸ ὁράσεως πονηρῶν ἐνυπνίων αὐτοῦ οὐ ταραχθήσεται·
5 [5]ἡ ψυχὴ αὐτοῦ ἐν διαβάσει ποταμῶν καὶ σάλῳ θαλασσῶν οὐ
πτοηθήσεται.
6 [6]ἐξανέστη ἐξ ὕπνου αὐτοῦ,
καὶ ηὐλόγησεν τῷ ὀνόματι Κυρίου.
7 [7]ἐπ᾿ εὐσταθίᾳ καρδίας αὐτοῦ ἐξύμνησεν τῷ ὀνόματι τοῦ θεοῦ,
καὶ ἐδεήθη τοῦ προσώπου Κυρίου περὶ παντὸς τοῦ οἴκου
αὐτοῦ.
8 [8]καὶ Κύριος εἰσήκουσεν προσευχὴν παντὸς ἐν φόβῳ θεοῦ,
καὶ πᾶν αἴτημα ψυχῆς ἐλπιζούσης πρὸς αὐτὸν ἐπιτελεῖ ὁ
κύριος.
9 [9]εὐλογητὸς Κύριος ὁ ποιῶν ἔλεος τοῖς ἀγαπῶσιν αὐτὸν ἐν ἀληθείᾳ.

Ζʹ

VII Τῷ Σαλωμών· ἐπιστροφῆς.

1 [1]Μὴ ἀποσκηνώσῃς ἀφ᾿ ἡμῶν, ὁ θεός,
ἵνα μὴ ἐπιθῶνται ἡμῖν οἳ ἐμίσησαν ἡμᾶς δωρεάν.
2 [2]ὅτι ἀπώσω αὐτούς, ὁ θεός·
μὴ πατησάτω ὁ πους αὐτῶν κληρονομίαν ἁγιάσματός σου.
3 [3]σὺ ἐν θελήματί σου παίδευσον ἡμᾶς,
καὶ μὴ δῷς ἔθνεσιν.
4 [4]ἐὰν γὰρ ἀποστείλῃς θάνατον, σὺ ἐντελῇ αὐτῷ περὶ ἡμῶν·
ὅτι σὺ ἐλεήμων, καὶ οὐκ ὀργισθήσῃ τοῦ συντελέσαι ἡμᾶς,
5 [5]ἐν τῷ κατασκηνοῦν τὸ ὄνομά σου ἐν μέσῳ ἡμῶν ἐλεηθησόμεθα.

VI Ϛʹ cl] εʹ h om r | Σαλομων chl Σολομων r (deest tit in m) 1 επι- chlmpv καλεσασθαι cr] επικαλεισθαι hlmpv 4 ορασεων chlmpv | σαλων hmpv σαλον clr 6 ευλογησεν l ευλογησε chmpv | τω ονοματι clr] το ονομα hmpv 7 ευσταθια] ευσταθεια chlv | εξυμνησε chlmpv | τω ονοματι clr] το ονομα hmpv | του θεου] + αυτου chlmpv 8 εισηκουσε chlmpv | ο κυριος] om ο chlmpv 9 ελεος clr] ελεον hmpv VII ζʹ clr] Ϛʹ hv | Σαλομων chlmpv Σολομων r deest tit in m 1 μισησαντες chlmpv

r 6 καὶ οὐκ ἰσχύσει πρὸς ἡμᾶς ἔθνος, 6
ὅτι σὺ ὑπερασπιστὴς ἡμῶν.
7 καὶ ἡμεῖς ἐπικαλεσόμεθά σε, καὶ σὺ ἐπακούσῃ ἡμῶν· 7
8 ὅτι σὺ οἰκτειρήσεις τὸ γένος Ἰσραὴλ εἰς τὸν αἰῶνα καὶ 8
οὐκ ἀπώσει·
καὶ ἡμεῖς ὑπὸ ζυγόν σου τὸν αἰῶνα,
καὶ μάστιγα παιδίας σου.
9 κατευθυνεῖς ἡμᾶς ἐν καιρῷ ἀντιλήψεώς σου, 9
τοῦ ἐλεῆσαι τὸν οἶκον Ἰακὼβ εἰς ἡμέραν ἐν ᾗ ἐπηγγείλω αὐτοῖς.

Η′

Τῷ Σαλωμών· εἰς νῖκος. VIII

1 Θλῖψιν καὶ φωνὴν πολέμου ἤκουσεν τὸ οὖς μου, 1
φωνὴν σάλπιγγος ἠχούσης σφαγὴν καὶ ὄλεθρον·
2 φωνὴ λαοῦ πολλοῦ ὡς ἀνέμου πολλοῦ σφόδρα, 2
ὡς καταιγὶς πυρὸς πολλοῦ φερομένου δι᾽ ἐρήμου.
3 καὶ εἶπα τῇ καρδίᾳ μου 3
Ποῦ ἄρα κρινεῖ αὐτὸν ὁ θεός;
4 φωνὴν ἤκουσα εἰς Ἰερουσαλὴμ πόλιν ἁγιάσματος· 4
5 συνετρίβη ἡ ὀσφύς μου ἀπὸ ἀκοῆς, παρελύθη γόνατά μου. 5
6 ἐφοβήθη ἡ καρδία μου, ἐταράχθη τὰ ὀστᾶ μου ὡς λίνον· 6
7 εἶπα Κατευθυνοῦσιν ὁδοὺς αὐτῶν ἐν δικαιοσύνῃ. 7
ἀνελογισάμην τὰ κρίματα τοῦ θεοῦ ἀπὸ κτίσεως οὐρανοῦ καὶ γῆς·
ἐδικαίωσα τὸν θεὸν ἐν τοῖς κρίμασιν αὐτοῦ τοῖς ἀπ᾽ αἰῶνος.
8 ἀνεκάλυψεν ὁ θεὸς τὰς ἁμαρτίας αὐτῶν ἐναντίον τοῦ ἡλίου· 8
ἔγνω πᾶσα ἡ γῆ τὰ κρίματα τοῦ θεοῦ τὰ δίκαια.
9 ἐν καταγαίοις κρυφίοις αἱ παρανομίαι αὐτῶν ἐν παροργισμῷ· 9
10 υἱὸς μετὰ μητρὸς καὶ πατὴρ μετὰ θυγατρὸς συνεφύροντο. 10
11 ἐμοιχῶντο ἕκαστος τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ· 11
συνέθεντο αὐτοῖς συνθήκας μετὰ ὅρκου περὶ τούτων.
12 τὰ ἅγια τοῦ θεοῦ διηρπάζοσαν, 12
ὡς μὴ ὄντος κληρονόμου λυτρουμένου.

chlmpv 7 om σu cl | επακουσεις cl 8 απωση chlmpv | παιδιας r (-δειας hmpv)] παιδεια l (de c non liq) 9 η] ω r VIII η′ clr^{corr}] ζ′ hpv θ′ r^{*} | Σαλομων chlpv Σολομων r (deest tit in m) 1 ηκουσε chlmpv | το ους μου] η ψυχη μου c^{mg} l^{mg} 3 ειπον chlmpv: item 7 | αυτην cl 4 εις clr] εν hmpv 7 οδους] δους r 8 ανακαλυψεν r | εγνωσαν cl 9 καταγαιης l | κρυφοις cl 11 την γυναικα] om την chlmpv 12 διηρπαζον chlmpv | ως μη] ουκ chlmpv

13 [13]ἐπατοῦσαν τὸ θυσιαστήριον Κυρίου ἀπὸ πάσης ἀκαθαρσίας r
καὶ ἐν ἀφέδρῳ αἵματος ἐμίαναν τὰς θυσίας, ὡς κρέα βέβηλα·
14 [14]οὐ παρέλειπον ἁμαρτίαν ἣν οὐκ ἐποίησαν ὑπὲρ τὰ ἔθνη.
15 [15]διὰ τοῦτο ἐκέρασεν αὐτοῖς ὁ θεὸς πνεῦμα πλανήσεως,
ἐπότισεν αὐτοὺς ποτήριον οἴνου ἀκράτου εἰς μέθην.
16 [16]ἤγαγεν τὸν ἀπ' ἐσχάτου τῆς γῆς, τὸν παίοντα κραταιῶς,
17 [17]ἔκρινεν τὸν πόλεμον ἐπὶ Ἰερουσαλὴμ καὶ τὴν γῆν αὐτῆς.
18 [18]ἀπήντησαν αὐτῷ οἱ ἄρχοντες τῆς γῆς μετὰ χαρᾶς,
εἶπαν αὐτῷ Ἐπευκτὴ ἡ ὁδός σου· δεῦτε εἰσέλθατε μετ' εἰρήνης.
19 [19]ὡμάλισαν ὁδοὺς τραχείας ἀπὸ εἰσόδου αὐτοῦ,
ἤνοιξαν πύλας ἐπὶ Ἰερουσαλήμ, ἐστεφάνωσαν τείχη αὐτῆς.
20 [20]εἰσῆλθεν ὡς πατὴρ εἰς οἶκον υἱῶν αὐτοῦ μετ' εἰρήνης,
ἔστησεν τοὺς πόδας αὐτοῦ μετὰ ἀσφαλείας πολλῆς.
21 [21]κατελάβετο τὰς πυργοβάρεις αὐτῆς καὶ τὸ τεῖχος Ἰερουσαλήμ·
22 [22]ὅτι ὁ θεὸς ἤγαγεν αὐτὸν μετὰ ἀσφαλείας ἐν τῇ πλανήσει αὐτῶν.
23 [23]ἀπώλεσεν ἄρχοντας αὐτῶν καὶ πᾶν σοφὸν ἐν βουλῇ,
ἐξέχεεν τὸ αἷμα τῶν οἰκούντων Ἰερουσαλὴμ ὡς ὕδωρ ἀκαθαρσίας.
24 [24]ἀπήγαγεν τοὺς υἱοὺς καὶ τὰς θυγατέρας αὐτῶν,
ἃ ἐγέννησαν ἐν βεβηλώσει.
25 [25]ἐποίησαν κατὰ τὰς ἀκαθαρσίας αὐτῶν, καθὼς οἱ πατέρες αὐτῶν·
26 [26]ἐμίανεν Ἰερουσαλὴμ καὶ τὰ ἡγιασμένα τῷ ὀνόματι τοῦ θεοῦ.
27 [27]ἐδικαιώθη ὁ θεὸς ἐν τοῖς κρίμασιν αὐτοῦ ἐν τοῖς ἔθνεσι τῆς γῆς,
28 [28]καὶ οἱ ὅσιοι τοῦ θεοῦ ὡς ἀρνία ἐν ἀκακίᾳ ἐν μέσῳ αὐτῶν.
29 [29]αἰνετὸς Κύριος ὁ κρίνων πᾶσαν τὴν γῆν ἐν δικαιοσύνῃ αὐτοῦ.
30 [30]ἰδοὺ δή, ὁ θεός, ἔδειξας ἡμῖν τὸ κρίμα σου ἐν τῇ δικαιοσύνῃ σου,
31 [31]εἴδοσαν οἱ ὀφθαλμοὶ ἡμῶν τὰ κρίματά σου, ὁ θεός.
ἐδικαιώσαμεν τὸ ὄνομά σου τὸ ἔντιμον εἰς αἰῶνας,
32 [32]ὅτι σὺ ὁ θεὸς τῆς δικαιοσύνης, κρίνων τὸν Ἰσραὴλ ἐν παιδείᾳ.
33 [33]ἐπίστρεψον, ὁ θεός, τὸ ἔλεός σου ἐφ' ἡμᾶς καὶ οἰκτείρησον ἡμᾶς·
34 [34]συνάγαγε τὴν διασπορὰν Ἰσραὴλ μετὰ ἐλέους καὶ χρηστότητος.

13 *επατουν* chlmpv | *ακαθαρσιας*] *θαρσ* sup ras r | *εμιασαν* chilmpv chilmpv **14** *παρελιπον* chilmpv **15** *αυτους* cilr] *αυτοις* hmpv **16** *ηγαγε* chmpv | om *τον* 2° i **17** *εκρινε* chilmpv **18** *ειπον* hilmpv | *εισελθετε* chilmpv **19** *ομαλισαν* i | *αυτου* ilr] *αυτων* hmpv **20** *εστησε* chimpv | post *ποδας* 2 vel 3 litt ras r | *μετ* i **22** *ο θεος*] om *ο* chilmpv **23** *παντα* chilmpv | *εξεχεε* chimpv **24** *απηγαγε* chilmpv | *α*] *ας* chilmpv | *εγεννησεν* m **26** *εμιαναν* chilmpv **27** *εθνεσι* chilmpr^corr v **29** om *γην εν* i **30** *ειδον* chilmpv **31** *ημων* cilr] *αυτων* hmpv **32** *την δικαιοσυνην* r **34** *Ἰλημ* c* | *μετα* cr] *μετ* hilmpv | *ελεου* c^corr hilmpv (*παιδ* incep c*)

r 35 ὅτι πίστις σου μεθ' ἡμῶν, καὶ ἡμεῖς ἐσκληρύναμεν τράχηλον ἡμῶν, 35
καὶ σὺ παιδευτὴς ἡμῶν εἶ.
36 μὴ ὑπερίδῃς ἡμᾶς, ὁ θεὸς ἡμῶν, 36
ἵνα μὴ καταπίωσιν ἡμᾶς ἔθνη, ὡς μὴ ὄντος λυτρουμένου.
37 καὶ σὺ ὁ θεὸς ἡμῶν ἀπ' ἀρχῆς, 37
καὶ ἐπὶ σὲ ἡ ἐλπὶς ἡμῶν, Κύριε·
38 καὶ ἡμεῖς οὐκ ἀφεξόμεθά σου, 38
ὅτι χρηστὰ τὰ κρίματά σου εἰς ἡμᾶς.
39 ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν ἡ εὐδοκία εἰς τὸν αἰῶνα· 39
Κύριε σωτὴρ ἡμῶν, οὐ σαλευθησόμεθα ἔτι τὸν αἰῶνα χρόνον.
40 αἰνετὸς Κύριος ἐν τοῖς κρίμασιν αὐτοῦ ἐν στόματι ὁσίων, 40
καὶ εὐλογημένος Ἰσραὴλ ὑπὸ Κυρίου εἰς τὸν αἰῶνα.

Θ'

Τῷ Σαλωμών· εἰς ἔλεγχον. IX

1 Ἐν τῷ ἀπαχθῆναι Ἰσραὴλ ἐν ἀποικεσίᾳ εἰς γῆν ἀλλοτρίαν, 1
ἐν τῷ ἀποστῆναι αὐτοὺς ἀπὸ Κυρίου τοῦ λυτρωσαμένου αὐτούς,
2 ἀπερίφησαν ἀπὸ κληρονομίας ἧς ἔδωκεν αὐτοῖς Κύριος· 2
ἐν παντὶ ἔθνει ἡ διασπορὰ τοῦ Ἰσραὴλ κατὰ τὸ ῥῆμα τοῦ θεοῦ·
3 ἵνα δικαιωθῇς, ὁ θεός, ἐν τῇ δικαιοσύνῃ σου ἐν ταῖς ἀνομίαις ἡμῶν· 3
4 ὅτι σὺ κριτὴς δίκαιος ἐπὶ πάντας τοὺς λαοὺς τῆς γῆς. 4
5 οὐ γὰρ κρυβήσεται ἀπὸ τῆς γνώσεώς σου πᾶς ποιῶν ἄδικα, 5
6 καὶ αἱ δικαιοσύναι τῶν ὁσίων σου ἐνώπιόν σου, Κύριε· 6
καὶ ποῦ κρυβήσεται ἄνθρωπος ἀπὸ τῆς γνώσεώς σου, ὁ θεός;
7 τὰ ἔργα ἡμῶν ἐν ἐκλογῇ καὶ ἐξουσίᾳ τῆς ψυχῆς ἡμῶν, 7
τοῦ ποιῆσαι δικαιοσύνην καὶ ἀδικίαν ἔργοις χειρῶν ἡμῶν.
8 καὶ ἐν τῇ δικαιοσύνῃ σου ἐπισκέπτῃ υἱοὺς ἀνθρώπων· 8

chilmpv 35 πιστις] pr η chilmpv | τραχηλον] pr τον chilmpv 36 καταπιη chilmpv | om ως chilmpv 37 η ελπις ημων] ηλπισαμεν chilmpv 38 αφ] εφ chilmpv 39 η ευδοκια] om η cl η ευδ. αυτων i | Κυριος c 40 στομασιν i | και] + συ hmpv IX τω Σαλομων εις νικος ψαλμος θ' και εις ελ. i | Σαλομων chilprv (deest tit in m) 1 Ιερουσαλημ i | αποικησια hmp 2 απερριφησαν chilmpv | ο κυριος i | η διασπορα cilr] επι διασπ. hmpv 3 om τη i 5 αδικα] κακα chilmpv 6 om αι cl 7 εργοις] pr εν chilmpv

9 [9]ὁ ποιῶν δικαιοσύνην θησαυρίζει ζωὴν αὐτῷ παρὰ Κυρίῳ, r
καὶ ὁ ποιῶν ἀδικίαν αὐτὸς αἴτιος τῆς ψυχῆς ἐν ἀπωλείᾳ.
10 [10]τὰ γὰρ κρίματα Κυρίου ἐν δικαιοσύνῃ κατ᾽ ἄνδρα καὶ οἶκον.
11 [11]τίνι χρηστεύσῃ, ὁ θεός, εἰ μὴ τοῖς ἐπικαλουμένοις τὸν κύριον;
12 [12]καθαρίσει ἐν ἁμαρτίαις ψυχὴν ἐν ἐξομολογήσει, ἐν ἐξαγορίαις.
13 [13]ὅτι αἰσχύνη ἡμῖν καὶ τοῖς προσώποις ἡμῶν περὶ ἁπάντων·
14 [14]καὶ τίνι ἀφήσει ἁμαρτίας, εἰ μὴ τοῖς ἡμαρτηκόσι;
15 [15]δικαίους εὐλογήσεις, καὶ οὐκ εὐθυνεῖς περὶ ὧν ἡμάρτοσαν,
καὶ ἡ χρηστότης σου περὶ ἁμαρτάνοντας ἐν μεταμελείᾳ.
16 [16]καὶ νῦν σὺ ὁ θεός, καὶ ἡμεῖς λαός σου ὃν ἠγάπησας·
ἴδε καὶ οἰκτείρησον, ὁ θεὸς Ἰσραήλ, ὅτι σοί ἐσμεν·
καὶ μὴ ἀποστήσῃς ἔλεός σου ἀφ᾽ ἡμῶν,
ἵνα μὴ ἐπιθῶνται ἡμῖν.
17 [17]ὅτι σὺ ᾑρετίσω τὸ σπέρμα Ἀβραὰμ παρὰ πάντα τὰ ἔθνη,
18 [18]καὶ ἔθου τὸ ὄνομά σου ἐφ᾽ ἡμᾶς, Κύριε·
καὶ οὐ καταπαύσεις τὸν αἰῶνα.
19 [19]ἐν διαθήκῃ διέθου τοῖς πατράσιν ἡμῶν περὶ ἡμῶν,
καὶ ἡμεῖς ἐλπιοῦμεν ἐπὶ σὲ ἐν ἐπιστροφῇ ψυχῆς ἡμῶν.
20 [20]τοῦ κυρίου ἐλεημοσύνη ἡ ἐπ᾽ οἶκον Ἰσραὴλ
εἰς τὸν αἰῶνα καὶ ἔτι.

I′

X Ἐν ὕμνοις τῷ Σαλωμών.

1 [1]Μακάριος ἀνὴρ οὗ ὁ κύριος ἐμνήσθη ἐν ἐλεγμῷ,
καὶ ἐκυκλώθη ἀπὸ ὁδοῦ πονηρᾶς ἐν μάστιγι,
καθαρισθῆναι ἀπὸ ἁμαρτίας, τοῦ μὴ πληθῦναι.
2 [2]ὁ ἑτοιμάζων νῶτον εἰς μάστιγας, καὶ καθαρισθήσεται·
χρηστὸς γὰρ ὁ κύριος τοῖς ὑπομένουσιν παιδείαν.
3 [3]ὀρθώσει γὰρ ὁδοὺς δικαίων,
καὶ οὐ διαπρέψει ἐν παιδείᾳ.
4 [4]καὶ τὸ ἔλεος Κυρίου ἐπὶ τοὺς ἀγαπῶντας αὐτὸν ἐν ἀληθείᾳ,
καὶ μνήσεται Κύριος τῶν δούλων αὐτοῦ ἐν ἐλέει·

9 εαυτω chilmpv | αδικα hmpv 11 χρηστευσει cl χρησιμευσει i chilmpv 12 εξηγοριαις chlmpv 13 παντων i 14 αφεσει r | ημαρτηκοσιν l 15 ημαρτον chilmpv 16 om σου 1° chilmpv | οικτειρον chilmpv | ελεον chilmpv 18 καταπαυσει cil καταπαυση hmpv | τον αιωνα] pr εις chilmpv 20 ελεημοσυνη] pr η hilmpv | επι chilmpv X εν υμνοις] υμνος chilpv | τω Σαλωμων chilpv + ψαλμος ι´ i (deest tit in m) 1 καθαρισθηναι] pr και chlmpv 2 om και chilmpv | om γαρ cl | υπομενουσι chilmpv 3 διαπρεψει] διαστρεψει chilmpv 4 μνησθεται chilmpv

r [5]ἡ γὰρ μαρτυρία ἐν νόμῳ διαθήκης αἰωνίου, 5
ἡ μαρτυρία Κυρίου ἐπὶ ὁδοὺς ἀνθρώπων ἐν ἐπισκοπῇ.
[6]δίκαιος καὶ ὅσιος Κύριος ἡμῶν κρίμασιν αὐτοῦ εἰς τὸν αἰῶνα, 6
καὶ Ἰσραὴλ αἰνέσει τῷ ὀνόματι Κυρίου ἐν εὐφροσύνῃ.
[7]καὶ ὅσιοι ἐξομολογήσονται ἐν ἐκκλησίᾳ λαοῦ, 7
καὶ πτωχοὺς ἐλεήσει ὁ θεὸς ἐν εὐφροσύνῃ Ἰσραήλ.
[8]ὅτι χρηστὸς καὶ ἐλεήμων ὁ θεὸς εἰς τὸν αἰῶνα, 8
καὶ συναγωγαὶ Ἰσραὴλ δοξάσουσιν τὸ ὄνομα Κυρίου.
[9]τοῦ κυρίου ἡ σωτηρία ἐπὶ οἶκον Ἰσραὴλ εἰς σωφροσύνην αἰώνιον. 9

ΙΑ΄

Τῷ Σαλωμών· εἰς προσδοκίαν. XI

[1]Σαλπίσατε ἐν Σιὼν ἐν σάλπιγγι σημασίας ἁγίων, 1
[2]κηρύξατε ἐν Ἰερουσαλὴμ φωνὴν εὐαγγελιζομένου· 2
ὅτι ἠλέησεν ὁ θεὸς Ἰσραὴλ ἐν τῇ ἐπισκοπῇ αὐτῶν.
[3]στῆθι, Ἰερουσαλήμ, ἐφ' ὑψηλοῦ, καὶ ἴδε τὰ τέκνα σου 3
ἀπὸ ἀνατολῶν καὶ δυσμῶν συνηγμένα εἰς ἅπαξ ἀπὸ Κυρίου.
[4]ἀπὸ βορρᾶ ἔρχονται τῇ εὐφροσύνῃ τοῦ θεοῦ αὐτῶν· 4
ἐκ νήσων μακρόθεν συνήγαγεν αὐτοὺς ὁ θεός.
[5]ὄρη ὑψηλὰ ἐταπείνωσεν εἰς ὁμαλισμὸν αὐτοῖς· 5
[6]οἱ βουνοὶ ἐφύγοσαν ἀπὸ εἰσόδου αὐτῶν, 6
οἱ δρυμοὶ ἐσκίασαν αὐτοῖς ἐν τῇ παρόδῳ αὐτῶν.
[7]πᾶν ξύλον εὐωδίας ἀνέτειλεν αὐτοῖς ὁ θεός, 7
ἵνα παρέλθῃ Ἰσραὴλ ἐν ἐπισκοπῇ δόξης θεοῦ αὐτῶν.
[8]ἔνδυσαι, Ἰερουσαλήμ, τὰ ἱμάτια τῆς δόξης σου, 8
ἑτοίμασον τὴν στολὴν τοῦ ἁγιάσματός σου·
ὅτι ὁ θεὸς ἐλάλησεν ἀγαθὰ Ἰσραὴλ
εἰς τὸν αἰῶνα καὶ ἔτι.
[9]ποιήσαι Κύριος ἃ ἐλάλησεν ἐπὶ Ἰσραὴλ καὶ Ἰερουσαλήμ· 9
ἀναστήσαι Κύριος τὸν Ἰσραὴλ ἐν ὀνόματι δόξης αὐτοῦ.
τοῦ κυρίου τὸ ἔλεος ἐπὶ τὸν Ἰσραὴλ
εἰς τὸν αἰῶνα καὶ ἔτι.

chilmpv 5 γαρ cilr] om hmpv 6 Κυριος] ο κυριος chilmpv | κριμασιν] pr εν i | το ονομα hmpv | Κυριου] + εις τον αιωνα i 8 δοξασουσι chlmpv δοξασωσι i 9 επ chilmpv | σωφροσυνην hmprv] ευφροσυνην cil XI Σαλωμων l] Σαλομων hipv Σολομων r (deest tit in m) 2 ελεησεν i | Ισραηλ] pr εν hmpv | αυτου i 3 om τα i | om εις i | απο 2°] υπο chilmpv 5 ορη] ὅροι i 6 εφυγον chilmpv | δρυμοι] βουνοι c | εσκιασαν] εσκιρτησαν mp 7 om θεου i 8 αγαθα εις τον αιωνα και ετι Ισραηλ c^corr l (οιη pro Ιηλ c*) 9 Ιερουσαλημ] pr εν hlmpv | om το cl

ΙΒʹ

XII Τῷ Σαλωμών· ἐν γλώσσῃ παρανόμων.

1 [1]Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀνδρὸς παρανόμου καὶ
πονηροῦ,
ἀπὸ γλώσσης παρανόμου καὶ ψιθυροῦ καὶ λαλούσης ψευδῆ
καὶ δόλια·
2 [2]ἐν ποικιλίᾳ στροφῆς οἱ λόγοι τῆς γλώσσης ἀνδρὸς πονηροῦ.
ὥσπερ ἐν λαῷ πῦρ ἀνάπτον καλλονὴν αὐτοῦ
3 [3]ἡ παροικία αὐτοῦ, ἐμπλῆσαι οἴκους ἐν γλώσσῃ ψευδεῖ,
ἐκκόψαι δένδρα εὐφροσύνης φλογιζούσης παρανόμους,
4 [4]συγχέαι οἴκους παρανόμους ἐν πολέμῳ χείλεσι ψιθύροις.
μακρύναι ὁ θεὸς ἀπὸ ἀκάκων χείλη παρανόμων ἐν ἀπορίᾳ,
καὶ σκορπισθείησαν ὀστᾶ ψιθύρων ἀπὸ φοβουμένων Κύριον·
5 [5]ἐν πυρὶ φλογὸς γλῶσσα ψιθυρὸς ἀπόλοιτο ἀπὸ ὁσίων.
6 [6]φυλάξαι Κύριος ψυχὴν ἡσύχιον μισοῦσαν ἀδίκους,
καὶ κατευθύναι Κύριος ἄνδρα ποιοῦντα εἰρήνην ἐν οἴκῳ.
7 [7]τοῦ κυρίου ἡ σωτηρία ἐπὶ Ἰσραηλ παῖδα αὐτοῦ εἰς τὸν αἰῶνα,
8 [8]καὶ ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου Κυρίου ἅπαξ,
καὶ ὅσιοι Κυρίου κληρονομήσαισαν ἐπαγγελίας.

ΙΓʹ

XIII Τῷ Σαλωμών ψαλμός· παράκλησις τῶν δικαίων.

1 [1]Δεξιὰ Κυρίου ἐσκέπασέν με,
δεξιὰ Κυρίου ἐφείσατο ἡμῶν.
2 [2]ὁ βραχίων Κυρίου ἔσωσεν ἡμᾶς ἀπὸ ῥομφαίας διαπορευομένης,
ἀπὸ λιμοῦ καὶ θανάτου ἁμαρτωλῶν.
3 [3]θηρία ἐπεδράμοσαν αὐτοῖς πονηρά·
ἐν τοῖς ὀδοῦσιν αὐτῶν ἔτιλλοσαν σάρκας αὐτῶν,
καὶ ἐν ταῖς μύλαις ἔθλων ὀστᾶ αὐτῶν·
καὶ ἐκ τούτων ἁπάντων ἐρρύσατο ἡμᾶς Κύριος.

XII Σαλομων chipv (deest tit in m) 1 δολερα l πονηρα c* 2 ποι- chilmpv
κιλια στροφης ir] ποικ. τροφης cl ποιησει διαστροφης hmpv | λαω cilr] αλω
hmv αλλω p | καλλονην cilr] καλαμην hmpv 3 ψευδη i | παρανομου himpv
4 συγχεαι chilmpv | παρανομους οικους hlmpv | χειλεσι chilmpv | ψιθυρων i |
κακων mp | σκορπισθειη chilmpv 6 φυλαξαι] pr συγχεαι οικους
και r | om Κύριος...κατευθυναι r | ανδρος ποιουντος r 7 παιδων i
8 οσιοι] pr οι ci | κληρονομησαιεν ch(i)lmpv | επαγγελιας]+Κυριου chilmpv
XIII ιγʹ] τρεις και δεκατος i | Σαλομων chipv | om ψαλμος cl (deest tit in m)
1 εσκεπασε chilmpv 2 βραχιων] ω sup ras r 3 επεδραμον hilmpv |
ετιλλον hilmpv | μυλαις]+αυτων hlmpv | οστα] pr τα i | ο κυριος ci

[4]ἐταράχθη ὁ ἀσεβὴς διὰ παραπτώματα αὐτοῦ, 4
μή ποτε συμπαραλημφθῇ μετὰ τῶν ἁμαρτωλῶν.
[5]ὅτι δεινὴ ἡ καταστροφὴ τοῦ ἁμαρτωλοῦ, 5
καὶ οὐχ ἅψεται δικαίου οὐδὲν ἐκ πάντων τούτων.
[6]ὅτι οὐχ ὁμοία ἡ παιδεία τῶν δικαίων ἐν ἀγνοίᾳ, 6
καὶ ἡ καταστροφὴ τοῦ ἁμαρτωλοῦ·
[7]ἐν περιστολῇ παιδεύεται δίκαιος, 7
ἵνα μὴ ἐπιχαρῇ ὁ ἁμαρτωλὸς τῷ δικαίῳ.
[8]ὅτι νουθετήσει δίκαιον ὡς υἱὸν ἀγαπήσεως, 8
καὶ ἡ παιδεία αὐτοῦ ὡς πρωτοτόκου.
[9]ὅτι φείσεται Κύριος τῶν ὁσίων αὐτοῦ, 9
καὶ τὰ παραπτώματα αὐτῶν ἐξαλείψει ἐν παιδείᾳ.
ἡ γὰρ ζωὴ τῶν δικαίων εἰς τὸν αἰῶνα·
[10]ἁμαρτωλοὶ δὲ ἀρθήσονται εἰς ἀπώλειαν, 10
καὶ οὐχ εὑρεθήσεται μνημόσυνον αὐτῶν ἔτι.
[11]ἐπὶ δὲ τοὺς ὁσίους τὸ ἔλεος Κυρίου, 11
καὶ ἐπὶ τοὺς φοβουμένους τὸ ἔλεος αὐτοῦ.

ΙΔ

Ὕμνος τῷ Σαλωμών. XIV

[1]Πιστὸς Κύριος τοῖς ἀγαπῶσιν αὐτὸν ἐν ἀληθείᾳ, 1
τοῖς ὑπομένουσιν παιδείαν αὐτοῦ,
τοῖς πορευομένοις ἐν δικαιοσύνῃ προσταγμάτων αὐτοῦ,
ἐν νόμῳ ᾧ ἐνετείλατο ἡμῖν εἰς ζωὴν ἡμῶν.
[2]ὅσιοι Κυρίου ζήσονται ἐν αὐτῷ εἰς τὸν αἰῶνα· 2
ὁ παράδεισος τοῦ κυρίου, τὰ ξύλα τῆς ζωῆς ὅσιοι αὐτοῦ.
[3]ἡ φυτεία αὐτῶν ἐρριζωμένη εἰς τὸν αἰῶνα· 3
οὐκ ἐκτιλήσονται πάσας τὰς ἡμέρας τοῦ οὐρανοῦ,
ὅτι ἡ μερὶς καὶ κληρονομία τοῦ θεοῦ ἐστιν Ἰσραήλ.
[4]καὶ οὐχ οὕτως οἱ ἁμαρτωλοὶ καὶ παράνομοι, 4
οἳ ἠγάπησαν ἡμέραν ἐν μετοχῇ ἁμαρτίας αὐτῶν·
ἐν μικρότητι σαπρίας ἡ ἐπιθυμία αὐτῶν,

chilmpv 4 παραπτωματα] pr τα chilmpv 5 om η chilmpv | δικαιου] pr του cl | εκ παντων τουτων ουδεν hilmpv 5—6 om ουδεν...αμαρτωλου cl 6 των αμαρτωλων himpv 11 φοβουμενους] + αυτον chilmpv XIV ψαλμος ιδ' i | Σαλωμων lr] Σαλομων chipv (deest tit in m) 1 υπομενουσι chilmpv | πορευομενοις] + εν ακακια και i | ω cl] om r ως hmpv ων i 2 του κυριου] om του chilmpv 3 κληρονομια clr] pr η himpv | Ισραηλ cilr] pr ο hmpv 4 η επιθυμια cilr] εν επιθ. hmpv

5 [5]*καὶ οὐκ ἐμνήσθησαν τοῦ θεοῦ.* r
ὅτι ὁδοὶ ἀνθρώπων γνωσταὶ ἐνώπιον αὐτοῦ διὰ παντός,
καὶ ταμεῖα καρδίας ἐπίσταται πρὸ τοῦ γενέσθαι.
6 [6]*διὰ τοῦτο ἡ κληρονομία αὐτῶν ᾅδης καὶ σκότος καὶ ἀπώλεια,*
καὶ οὐχ εὑρεθήσονται ἐν ἡμέρᾳ ἐλέους δικαίων.
οἱ δὲ ὅσιοι Κυρίου κληρονομήσουσιν ζωὴν ἐν εὐφροσύνῃ.

ΙΕ′

XV *Ψαλμὸς τῷ Σαλωμών μετὰ ᾠδῆς.*

1 [1]*Ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸ ὄνομα Κυρίου,*
εἰς βοήθειαν ἤλπισα τοῦ θεοῦ Ἰακώβ, καὶ ἐσώθην·
2 [2]*ὅτι ἐλπὶς καὶ καταφυγὴ τῶν πτωχῶν σύ, ὁ θεός.*
3 [3]*τίς γὰρ ἰσχύει, ὁ θεός, εἰ μὴ ἐξομολογήσασθαί σοι ἐν ἀληθείᾳ;*
4 [4]*καὶ τί δυνατὸς ἄνθρωπος, εἰ μὴ ἐξομολογήσασθαι τῷ ὀνόματί σου;*
5 [5]*ψαλμὸν καινὸν μετὰ ᾠδῆς ἐν εὐφροσύνῃ καρδίας,*
καρπὸν χειλέων ἐν ὀργάνῳ ἡρμοσμένῳ γλώσσης,
ἀπαρχὴν χειλέων ἀπὸ καρδίας ὁσίας καὶ δικαίας·
6 [6]*ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ἀπὸ κακοῦ,*
φλὸξ πυρὸς καὶ ὀργὴ ἀδίκων οὐχ ἅψεται αὐτοῦ·
7 [7]*ὅταν ἐξέλθῃ ἐφ᾽ ἁμαρτωλοὺς ἀπὸ προσώπου Κυρίου,*
ὀλεθρεῦσαι πᾶσαν ὑπόστασιν ἁμαρτωλῶν.
8 [8]*ὅτι τὸ σημεῖον τοῦ θεοῦ ἐπὶ δικαίους εἰς σωτηρίαν·*
λιμὸς καὶ ῥομφαία καὶ θάνατος ἀπὸ δικαίων μακράν.
9 [9]*φεύξονται γὰρ ὡς διωκόμενοι πολέμου ἀπὸ ὁσίων,*
καταδιώξονται δὲ ἁμαρτωλοὺς καὶ καταλήψονται·
καὶ οὐκ ἐκφεύξονται οἱ ποιοῦντες ἀνομίαν τὸ κρίμα Κυρίου,
ὡς ὑπὸ πολεμίων ἐμπείρων καταλημφθήσονται.
10 [10]*τὸ γὰρ σημεῖον τῆς ἀπωλείας ἐπὶ τοῦ μετώπου αὐτῶν,*
11 [11]*καὶ ἡ κληρονομία τῶν ἁμαρτωλῶν ἀπώλεια καὶ σκότος,*
καὶ ἀνομίαι αὐτῶν διώξονται αὐτοὺς ἕως ᾅδου κάτω.
12 [12]*ἡ κληρονομία αὐτῶν οὐχ εὑρεθήσεται τοῖς τέκνοις αὐτῶν,*

5 *του θεου*] *αυτου* c om l | *ταμεια* (*ταμιεια* ch(i)lmpv)] pr *τα* c(i)l **6** *ελεου* chilmpv chilmpv | *κληρονομησουσι* chmpv XV om *τω* cl | *Σαλομων* chipv | *μετ ωδης* hipv om cl (deest tit in m) **1** *βοηθειαν*] pr *την* i | *ηλπισα*] *εσωθην* r **2** *συ*] + *ει* i **3** *τι* i | om *σοι* i **5** *καινον* ilr] *και αινον* hmpv | *μετα*] chilmpv | *απαρχη* cl *απαρχης* i **6** om *οργη* c **7** *επι* chilmpv | *ολοθρευσαι* chilmpv **8** *μακραν απο δικαιων* chilmpv **9** *διωκομενου* chmprv | *πολεμου* (coniec Gebhardt)] *απο λιμου* ir *λιμου* chlmpv | *καταδιωξεται* chilmpv | *καταληψεται* chilmpv | *Κυριου* himprv] *του θεου* cl | *καταλημφθησονται* hilr^corr *καταληφθησηται* c **11** *ανομιαι*] pr *αι* chilmpv | *κατωτατου* i **12** *ουχ ευρεθησετ* sup ras r

l 13αἱ γὰρ ἁμαρτίαι ἐξερημώσουσιν οἴκους ἁμαρτωλῶν· 13
καὶ ἀπολοῦνται ἁμαρτωλοὶ ἐν ἡμέρᾳ κρίσεως Κυρίου εἰς τὸν
αἰῶνα,
14ὅταν ἐπισκέπτηται ὁ θεὸς τὴν γῆν ἐν κρίματι αὐτοῦ. 14
15οἱ δὲ φοβούμενοι τὸν κύριον ἐλεηθήσονται ἐν αὐτῇ, 15
καὶ ζήσονται ἐν τῇ ἐλεημοσύνῃ τοῦ θεοῦ αὐτῶν·
καὶ ἁμαρτωλοὶ ἀπολοῦνται εἰς τὸν αἰῶνα χρόνον.

ΙϚʹ

Ὕμνος τῷ Σαλωμων εἰς ἀντίληψιν ὁσίοις. XVI

1Ἐν τῷ νυστάξαι ψυχήν μου ἀπὸ Κυρίου, 1
παρὰ μικρὸν ὠλίσθησα ἐν καταφορᾷ ὕπνου.
2τῷ μακρὰν ἀπὸ θεοῦ παρ' ὀλίγον ἐξεχύθη ἡ ψυχή μου εἰς 2
θάνατον,
σύνεγγυς πυλῶν ᾅδου μετὰ ἁμαρτωλοῦ·
3ἐν τῷ διενεχθῆναι ψυχήν μου ἀπὸ Κυρίου θεοῦ Ἰσραηλ, 3
εἰ μὴ ὁ κύριος ἀντελάβετό μου τῷ ἐλέει αὐτοῦ εἰς τὸν αἰῶνα.
4ἔνυξέν με ὡς κέντρον ἵππου ἐπὶ τὴν γρηγόρησιν αὐτοῦ, 4
ὁ σωτὴρ καὶ ἀντιλήπτωρ μου ἐν παντὶ καιρῷ ἔσωσέν με.
5ἐξομολογήσομαί σοι, ὁ θεός, ὅτι ἀντελάβου μου εἰς σωτηρίαν, 5
καὶ οὐκ ἐλογίσω με μετὰ τῶν ἁμαρτωλῶν εἰς ἀπώλειαν.
6μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀπ' ἐμοῦ, ὁ θεός, 6
μηδὲ τὴν μνήμην περὶ σοῦ ἀπὸ καρδίας ἕως θανάτου.
7ἐπικράτησόν μου, ὁ θεός, ἀπὸ ἁμαρτίας πονηρᾶς 7
καὶ ἀπὸ πάσης γυναικὸς πονηρᾶς σκανδαλιζούσης ἄφρονα.
8καὶ μὴ ἀπατησάτω με κάλλος γυναικὸς παρανομούσης, 8
¶ c καὶ παντὸς ὑποκειμένου¶ ἀπὸ ἁμαρτίας ἀνωφελοῦς.
9τὰ ἔργα τῶν χειρῶν μου κατεύθυνον ἐν τόπῳ σου, 9
καὶ τὰ διαβήματά μου ἐν τῇ μνήμῃ σου διαφύλαξον.
10τὴν γλῶσσάν μου καὶ τὰ χείλη μου ἐν λόγοις ἀληθείας περί- 10
στειλον,
ὀργὴν καὶ θυμὸν ἄλογον μακρὰν ποίησον ἀπ' ἐμοῦ.
11γογγυσμὸν καὶ ὀλιγοψυχίαν ἐν θλίψει μάκρυνον ἀπ' ἐμοῦ, 11

chilmpv 13 αι] και i | αμαρτιαι] ανομιαι chilmpv | εξερημωσουσιν r | αμαρτωλοι] pr οι hlmpv 14 αυτου] + αποδουναι αμαρτωλοις εις τον αιωνα χρονον hmpv 15 om και αμαρτωλοι ... χρονον hmpv | απολουνται αμαρτωλοι i απολ. οι αμ. cl XVI υμνος cilr] ψαλμος hpv | Σαλομων chipv | om οσιοις hpv (deest tit in m) 1 ωλισθησαν l υπνωσα i | om εν cl | καταφθορα chimv 2 τω μακραν] το μ. γενεσθαι i 3 Κυριος] θεος i | μου 2°] + εις σωτηριαν i 4—5 om ενυξεν ... εις σωτηριαν i 4 ενυξε chimpv | εσωσε chimpv 5 αντελαβετο r 6 om περι chilmpv | καρδιας] + μου chilmpv 7—8 om απο αμαρτιας ... και 1° i 10 αλογον] ν sup ras i 11 om γογγυσμον ... εμου l

ἐὰν ἁμαρτήσω ἐν τῷ σε παιδεύειν εἰς ἐπιστροφήν. r
12 [12]εὐδοκίᾳ δὲ μετὰ ἱλαρότητος στήρισον τὴν ψυχήν μου·
ἐν τῷ ἐνισχῦσαί σε τὴν ψυχήν μου ἀρκέσει μοι τὸ δοθέν.
13 [13]ὅτι ἐὰν μὴ σὺ ἐνισχύσῃς, τίς ὑφέξεται παιδείαν ἐν πενίᾳ,
14 [14]ἐν τῷ ἐλέγχεσθαι ψυχὴν ἐν χειρὶ σαπρίας αὐτοῦ;
ἡ δοκιμασία σου ἐν σαρκὶ αὐτοῦ καὶ ἐν θλίψει πενίας·
15 [15]ἐν τῷ ὑπομεῖναι δίκαιον ἐν τούτοις ἐλεηθήσεται ὑπὸ Κυρίου.

ΙΖʹ

XVII Ψαλμὸς τῷ Σαλωμών μετὰ ᾠδῆς· τῷ βασιλεῖ.

1 [1]Κύριε, σὺ βασιλεὺς ἡμῶν εἰς τὸν αἰῶνα καὶ ἔτι·
ὅτι ἐν σοί, ὁ θεός, ἡ ψυχὴ ἡμῶν καυχήσεται.
2 [2]καὶ τίς ὁ χρόνος ζωῆς ἀνθρώπου ἐπὶ τῆς γῆς;
κατὰ τὸν χρόνον αὐτοῦ καὶ ἡ ἐλπὶς αὐτοῦ ἐπ᾽ αὐτόν.
3 [3]ἡμεῖς δὲ ἐλπιοῦμεν ἐπὶ τὸν θεὸν σωτῆρα ἡμῶν,
ὅτι τὸ κράτος τοῦ θεοῦ ἡμῶν εἰς τὸν αἰῶνα μετ᾽ ἐλέους,
4 [4]καὶ ἡ βασιλεία τοῦ θεοῦ ἡμῶν εἰς τὸν αἰῶνα ἐπὶ τὰ ἔθνη.
5 [5]σύ, Κύριε, ᾑρετίσω τὸν Δαυὶδ βασιλέα ἐπὶ Ἰσραήλ,
καὶ σὺ ὤμοσας αὐτῷ περὶ τοῦ σπέρματος εἰς τὸν αἰῶνα,
τοῦ μὴ ἐκλείπειν ἀπέναντί σου βασίλειον αὐτοῦ.
6 [6]καὶ ἐν ταῖς ἁμαρτίαις ἡμῶν ἐπανέστησαν ἡμῖν ἁμαρτωλοί,
ἐπέθεντο ἡμῖν καὶ ἐξῶσαν ἡμᾶς·
οἷς οὐκ ἐπηγγείλω, μετὰ βίας ἀφείλαντο,
7 [7]καὶ οὐκ ἐδόξασαν τὸ ὄνομά σου τὸ ἔντιμον·
ἐν δόξῃ ἔθεντο βασίλειον ἀντὶ ὕψους αὐτῶν,
8 [8]ἠρήμωσαν τὸν θρόνον Δαυὶδ ἐν ὑπερηφανίᾳ ἀλλάγματος.
καὶ σύ, ὁ θεός, καταβαλεῖς αὐτούς, καὶ ἀρεῖς σπέρμα αὐτῶν
ἀπὸ τῆς γῆς,
9 [9]ἐν τῷ ἐπαναστῆναι αὐτοῖς ἄνθρωπον ἀλλότριον γένους ἡμῶν.
10 [10]κατὰ τὰ ἁμαρτήματα αὐτῶν ἀποδώσεις αὐτοῖς, ὁ θεός,
εὑρεθῆναι αὐτοῖς κατὰ τὰ ἔργα αὐτῶν.

12 *στηριξον* hlmpv | om *εν τω ενισχυσαι σε την ψ. μου* l **13** *εν πενια* hilmpv *παιδειαν* h*mpv* **14** *αυτου* 1° ir] *αυτης* hlmpv **XVII** *Σαλομων* hipv | *μετ* hilpv (deest tit in m) **1** *συ*] + *αυτος* hilmpv | *βασιλευς*] + *εις τον αιωνα ο θεος* i | *ημων* 1°] + *και* i | om *ημων* 2° hilmpv **3** *ελπιζομεν* i | *τον θεον τον σ.* l *θεον τον σ.* himpv | *ελεου* hilmpv **4** *εθνη*] + *εν κρισει* hilmpv **5** *επι*] *εν* l | *σπερματος*] + *αυτου* hilmpv | *εκλιπειν* il | *σου*] *το* l **6** *ημιν* 1°] *ημων* i | *υπεθεντο* i | *εξωσαν* hilmpv | om *ουκ* l | *μετα*] pr *και* i | *αφειλοντο* hilmpv **8** *ερημωσαν* i | *αλαλαγματος* hmpv | *σπερμα*] pr *το* hilmpv **10** *ευρεθειη* hmpv

r 11 οὐκ ἐλεήσει αὐτοὺς ὁ θεός, 11
ἐξηρεύνησεν τὸ σπέρμα αὐτῶν καὶ οὐκ ἀφῆκεν αὐτῶν ἕνα·
12 πιστὸς ὁ κύριος ἐν πᾶσι τοῖς κρίμασιν αὐτοῦ οἷς ποιεῖ ἐπὶ τὴν γῆν. 12
13 ἠρήμωσεν ὁ ἄνομος ἐπὶ τὴν γῆν ἡμῶν ἀπὸ ἐνοικούντων αὐτήν· 13
ἠφάνισαν νέον καὶ πρεσβύτην καὶ τέκνα αὐτῶν ἅμα.
14 ἐν ὀργῇ κάλλους αὐτοῦ ἐξαπέστειλεν αὐτὰ ἕως ἐπὶ δυσμῶν, 14
καὶ τοὺς ἄρχοντας τῆς γῆς εἰς ἐμπαιγμόν· καὶ οὐκ ἐφείσατο.
15 ἐν ἀλλοτριότητι ὁ ἐχθρὸς ἐποίησεν, ἐν ὑπερηφανίᾳ· 15
καὶ ἡ καρδία αὐτοῦ ἀλλοτρία ἀπὸ τοῦ θεοῦ ἡμῶν.
16 καὶ πάντα ὅσα ἐποίησεν ἐν Ἰερουσαλήμ, 16
καθὼς καὶ τὰ ἔθνη ἐν ταῖς πόλεσι τοὺς θεοὺς αὐτῶν.
17 καὶ ἐπεκρατοῦσαν αὐτῶν υἱοὶ τῆς διαθήκης ἐν μέσῳ ἐθνῶν συμμίκτων, 17
οὐκ ἦν ὁ ποιῶν ἐν μέσῳ ἐν αὐτοῖς, ἐν Ἰερουσαλήμ, ἔλεος καὶ ἀλήθειαν.
18 ἐφύγοσαν ἀπ' αὐτῶν οἱ ἀγαπῶντες συναγωγὰς ὁσίων· 18
ὡς στρουθία ἐξεπετάσθησαν ἀπὸ κοίτης αὐτῶν.
19 ἐπλανῶντο ἐν ἐρήμοις, σωθῆναι ψυχὰς αὐτῶν ἀπὸ κακοῦ, 19
καὶ τίμιον ἐν ὀφθαλμοῖς παροικίας ψυχὴ σεσωσμένη ἐξ αὐτῶν.
20 ἐφύγοσαν ἀπ' αὐτῶν οἱ ἀγαπῶντες συναγωγὰς ὁσίων· 20
εἰς πᾶσαν τὴν γῆν ἐγενήθη σκορπισμὸς αὐτῶν ὑπὸ ἀνόμων.
ὅτι ἀνέσχεν ὁ οὐρανὸς τοῦ στάξαι ὑετὸν ἐπὶ τὴν γῆν·
21 πηγαὶ συνεσχέθησαν αἰώνιοι ἐξ ἀβύσσων, ἀπὸ ὀρέων ὑψηλῶν. 21
ὅτι οὐκ ἦν ἐν αὐτοῖς ποιῶν δικαιοσύνην καὶ κρίμα·
ἀπὸ ἄρχοντος αὐτῶν καὶ λαοῦ ἐλαχίστου ἐν πάσῃ ἁμαρτίᾳ.
22 ὁ βασιλεὺς ἐν παρανομίᾳ καὶ ὁ κριτὴς ἐν ἀπειθείᾳ, 22
καὶ ὁ λαὸς ἐν ἁμαρτίᾳ.
23 ἴδε, Κύριε, καὶ ἀνάστησον αὐτοῖς τὸν βασιλέα αὐτῶν, υἱὸν Δαυίδ, 23
εἰς τὸν καιρὸν ὃν ἴδες σύ, ὁ θεός,
τοῦ βασιλεῦσαι ἐπὶ Ἰσραὴλ παῖδά σου.

hilmpv **11** ουκ 1°] pr κατα τα εργα αυτων hilmpv (om ουκ hmpv) | εξηρευνησε himpv | αυτων ενα ilr] αυτους hmpv **12** κυριος] θεος i | εποιησεν i **13** ερημωσεν i | ανομος ilr] ανεμος hmpv | om επι hilmpv | τεκνα] pr τα i **14** αυτων i **15** εποιησε i | εν υπερηφανια ir] υπερηφανιαν hlmpv | του θεου] om του i **16** τοις θεοις hilmpv **17** επεκρατουν hlmpv απεκρατουν i | υιοι] pr οι hilmpv | εν μεσω εν αυτοις εν] εν αυτοις εν μεσω hilmpv **18** εφυγον hilmpv | απο τουτων l | om οσιων l | εξεπετασαν l **20** om εφυγοσαν... οσιων hilmpv | σκορπισμος] pr ο hilmpv | ενεσχεν i | της γης i **21** αυτου i **22—23** ο βασιλευς... υιον Δαυιδ post εις τον καιρον...παιδα σου pos i **23** υιον] ὑῶ r | ειδες il οιδες hv οιδας mp | om επι l

24 [24]καὶ ὑπόζωσον αὐτὸν ἰσχὺν τοῦ θραῦσαι ἄρχοντας ἀδίκους. r
25 [25]καθάρισον Ἰερουσαλὴμ ἀπὸ ἐθνῶν καταπατούντων ἐν ἀπωλείᾳ,
26 ἐν σοφίᾳ, ἐν δικαιοσύνῃ [26]ἐξῶσαι ἁμαρτωλοὺς ἀπὸ κληρονομίας,
ἐκτρίψαι ὑπερηφανίαν ἁμαρτωλοῦ ὡς σκεύη κεραμέως,
ἐν ῥάβδῳ σιδηρᾷ συντρίψαι πᾶσαν ὑπόστασιν αὐτῶν·
27 [27]ὀλοθρεῦσαι ἔθνη παράνομα ἐν λόγῳ στόματος αὐτοῦ,
ἐν ἀπειλῇ αὐτοῦ φυγεῖν ἔθνη ἀπὸ προσώπου αὐτοῦ,
καὶ ἐλέγξαι ἁμαρτωλοὺς ἐν λόγῳ καρδίας αὐτῶν.
28 [28]καὶ συνάξει λαὸν ἅγιον οὗ ἀφηγήσεται ἐν δικαιοσύνῃ,
καὶ κρινεῖ φυλὰς λαοῦ ἡγιασμένου ὑπὸ Κυρίου θεοῦ αὐτοῦ.
29 [29]καὶ οὐκ ἀφήσει ἀδικίαν ἐν μέσῳ αὐτῶν αὐλισθῆναι ἔτι,
καὶ οὐ κατοικήσει πᾶς ἄνθρωπος μετ᾽ αὐτῶν εἰδὼς κακίαν.
30 [30]γνώσεται γὰρ αὐτοὺς ὅτι πάντες υἱοὶ θεοῦ εἰσιν αὐτῶν,
καὶ καταμερίσει αὐτοὺς ἐν ταῖς φυλαῖς αὐτῶν ἐπὶ τῆς γῆς.
31 [31]καὶ πάροικος καὶ ἀλλογενὴς οὐ παροικήσει αὐτοῖς ἔτι·
κρινεῖ λαοὺς καὶ ἔθνη ἐν σοφίᾳ δικαιοσύνης αὐτοῦ.
διάψαλμα.
32 [32]καὶ ἕξει λαοὺς ἐθνῶν δουλεύειν αὐτῷ ὑπὸ τὸν ζυγὸν αὐτοῦ,
καὶ τὸν κύριον δοξάσει ἐν ἐπισήμῳ πάσης τῆς γῆς.
33 [33]καὶ καθαριεῖ Ἰερουσαλὴμ ἐν ἁγιασμῷ, ὡς καὶ τὸ ἀπ᾽ ἀρχῆς,
34 [34]ἔρχεσθαι ἔθνη ἀπ᾽ ἄκρου τῆς γῆς ἰδεῖν τὴν δόξαν αὐτοῦ,
φέροντες δῶρα τοὺς ἐξησθενηκότας υἱοὺς αὐτῆς,
35 [35]καὶ ἰδεῖν τὴν δόξαν Κυρίου ἣν ἐδόξασεν αὐτὴν ὁ θεός·
καὶ αὐτὸς βασιλεὺς δίκαιος διδακτὸς ὑπὸ θεοῦ ἐπ᾽ αὐτούς,
36 [36]καὶ οὐκ ἔστιν ἀδικία ἐν ταῖς ἡμέραις αὐτοῦ ἐν μέσῳ αὐτῶν·
ὅτι πάντες ἅγιοι, καὶ βασιλεὺς αὐτῶν χριστὸς κύριος.
37 [37]οὐ γὰρ ἐλπιεῖ ἐπὶ ἵππον καὶ ἀναβάτην καὶ τόξον,
οὐδὲ πληθυνεῖ αὐτῷ χρυσίον οὐδὲ ἀργύριον εἰς πόλεμον·
καὶ πολλοῖς οὐ συνάξει ἐλπίδας εἰς ἡμέραν πολέμου.
38 [38]Κύριος αὐτὸς βασιλεὺς αὐτοῦ· ἐλπὶς τοῦ δυνατοῦ ἐλπίδι θεοῦ,
καὶ ἐλεήσει πάντα τὰ ἔθνη ἐνώπιον αὐτοῦ ἐν φόβῳ.

26 *εξωσον* il | *αμαρτωλου* lr] *αμαρτωλων* i *αμαρτωλους* hmpv | *ως*] *εν* i | hilmpv *συντριψον* i **27** om *εν απειλη...προσωπου αυτου* mp **28** *συναξαι* i **29** *ετι* ilr] om hmpv **30** *αυτων εισι(ν)* (h)il(mpv) | *της γης*] om *της* i **31** *αυτοις*] pr *εν* l | om *διαψαλμα* m **32** *τον ζυγον*] om *τον* hilmpv **33** *καθαρισει* himpv **34** *ερχεσθε* il **35** *δικαιος*] + *και* p **36** om *οτι παντες...χριστος κυριος* i **37** *εφ ιππον* i | *ουδε* 2°] *και* hil **38** *του*] *αυτου* r

r [39]*κατάξει γὰρ γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ εἰς αἰῶνα·* 39
[40]*εὐλογήσει λαὸν Κυρίου ἐν σοφίᾳ μετ' εὐφροσύνης.* 40
[41]*καὶ αὐτὸς καθαρὸς ἀπὸ ἁμαρτίας, τοῦ ἄρχειν λαοὺς μεγάλους,* 41
ἐλέγξαι ἄρχοντας καὶ ἐξᾶραι ἁμαρτωλοὺς ἐν ἰσχύι λόγου·
[42]*καὶ οὐκ ἀσθενήσει ἐν ταῖς ἡμέραις αὐτοῦ ἐπὶ θεῷ αὐτοῦ,* 42
ὅτι ὁ θεὸς κατηργάσατο αὐτὸν δυνατὸν ἐν πνεύματι ἁγίῳ
καὶ σοφὸν ἐν βουλῇ συνέσεως μετὰ ἰσχύος καὶ δικαιοσύνης.
[43]*καὶ εὐλογία Κυρίου μετ' αὐτοῦ ἐν ἰσχύι,* 43
[44]*καὶ οὐκ ἀσθενήσει ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον·* 44
καὶ τίς δύναται πρὸς αὐτόν;
ἰσχυρὸς ἐν ἔργοις αὐτοῦ καὶ κραταιὸς ἐν φόβῳ θεοῦ,
[45]*ποιμαίνων τὸ ποίμνιον Κυρίου ἐν πίστει καὶ δικαιοσύνῃ,* 45
καὶ οὐκ ἀφήσει ἀσθενῆσαι ἐν αὐτοῖς ἐν τῇ νομῇ αὐτῶν.
[46]*ἐν ἰσότητι πάντας αὐτοὺς ἄξει,* 46
καὶ οὐκ ἔσται ἐν αὐτοῖς ὑπερηφανία τοῦ καταδυναστευθῆναι
ἐν αὐτοῖς.
[47]*αὕτη ἡ εὐπρέπεια τοῦ βασιλέως Ἰσραήλ, ἣν ἔγνω ὁ θεός,* 47
ἀναστῆσαι αὐτὸν ἐπ' οἶκον Ἰσραήλ, παιδεῦσαι αὐτόν.
[48]*τὰ ῥήματα αὐτοῦ πεπυρωμένα ὑπὲρ χρυσίον τὸ πρῶτον τίμιον,* 48
ἐν συναγωγαῖς διακρινεῖ λαοῦ φυλὰς ἡγιασμένου·
[49]*οἱ λόγοι αὐτοῦ ὡς λόγοι ἁγίων ἐν μέσῳ λαῶν ἡγιασμένων.* 49
[50]*μακάριοι οἱ γενόμενοι ἐν ταῖς ἡμέραις ἐκείναις,* 50
ἰδεῖν τὰ ἀγαθὰ Ἰσραὴλ ἐν συναγωγῇ φυλῶν· ποιήσαι ὁ θεός.
[51]*ταχύναι ὁ θεὸς ἐπὶ Ἰσραὴλ τὸ ἔλεος αὐτοῦ·* 51
ῥύσεται ἡμᾶς ἀπὸ ἀκαθαρσίας ἐχθρῶν βεβήλων.
Κύριος αὐτὸς βασιλεὺς ἡμῶν εἰς τὸν αἰῶνα καὶ ἔτι.

ΙΗ'

Ψαλμὸς τῷ Σαλωμών· ἔτι τοῦ χριστοῦ κυρίου. XVIII

[1]*Κύριε, τὸ ἔλεός σου ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου εἰς τὸν αἰῶνα·* 1
[2]*ἡ χρηστότης σου ἐπὶ δόματος πλουσίου ἐπὶ Ἰσραήλ·* 2

hilmpv **39** *καταξει* ir] *παταξει* hlmpv | *αιωνα*] pr *τον* i **41** *λαου μεγαλου* hilmpv
42 *κατειργασατο* hilmpv | *δυνατον*] *δυναμιν* l om i | *μετ* hmpv | *δικαιοσυνην* r
45 *αφησαι* i | *αυτων*] *αυτω* l **46** *ισοτητι* il[mg]r] *οσιοτητι* hl[txt]mpv | *αυξει* p
47 *Ισραηλ* 1°] *Ιερουσαλημ* i **48** *τιμιον το πρ.* hilmpv | *λαους* hilmpv |
ηγιασμενου ir] *ηγιασμενων* hmpv *ηγιασμενους* l **49** *αυτων* r | om *ως* i
50 *γινομενοι* hilmpv | *Ισραηλ*] *Ιερουσαλημ* i | *ποιησαι* (*ποιῆσαι*) ilr] *ἃ ποιήσει* h
51 *ρυσαι* l XVIII *Σαλομων* hipv | *ετι* ir] *επι* hlpv (deest tit in m)
2 om *η* i | *επι* 1°] *μετα* hilmpv | *επιβλεπουσιν* l

οἱ ὀφθαλμοί σου ἐπιβλέποντες ἐπ' αὐτά, καὶ οὐχ ὑστερήσει r
ἐξ αὐτῶν,
3 ³τὰ ὦτά σου ἐπακούει εἰς δέησιν πτωχοῦ ἐν ἐλπίδι·
τὰ κρίματά σου ἐπὶ πᾶσαν τὴν γῆν μετὰ ἐλέους,
4 ⁴καὶ ἀγάπη σου ἐπὶ σπέρμα Ἀβραάμ, υἱοὺς Ἰσραήλ.
ἡ παιδία σου ἐφ' ἡμᾶς ὡς υἱὸν πρωτότοκον μονογενῆ,
5 ⁵ἀποστρέψαι ψυχὴν εὐήκοον ἀπὸ ἀμαθίας ἐν ἀγνοίᾳ.
6 ⁶καθαρίσαι ὁ θεὸς Ἰσραὴλ εἰς ἡμέραν ἐλέους ἐν εὐλογίᾳ,
εἰς ἡμέραν ἐκλογῆς ἐν ἀνάξει χριστοῦ αὐτοῦ.
7 ⁷μακάριοι οἱ γενόμενοι ἐν ἡμέραις ἐκείναις,
ἰδεῖν τὰ ἀγαθὰ Κυρίου, ἃ ποιήσει γενεᾷ τῇ ἐρχομένῃ·
8 ⁸ὑπὸ ῥάβδον παιδείας χριστοῦ κυρίου, ἐν φόβῳ θεοῦ αὐτοῦ,
ἐν σοφίᾳ πνεύματος καὶ δικαιοσύνης καὶ ἰσχύος·
9 ⁹κατευθῦναι ἄνδρας ἐν ἔργοις δικαιοσύνης φόβῳ θεοῦ,
καταστῆσαι πάντας αὐτοὺς ἐνώπιον Κυρίου.
10 ¹⁰γενεὰ ἀγαθὴ ἐν φόβῳ θεοῦ ἐν ἡμέραις ἐλέους. διάψαλμα.
11 ¹¹μέγας ἡμῶν ὁ θεὸς καὶ ἔνδοξος, ἐν ὑψίστοις κατοικῶν·
12 ¹²ὁ διατάξας ἐν πορίᾳ φωστῆρας εἰς καιροὺς ὡρῶν ἀφ' ἡμε-
ρῶν εἰς ἡμέρας,
καὶ οὐ παρέβησαν ἀπὸ ὁδοῦ ἧς ἐνετείλω αὐτοῖς.
13 ¹³ἐν φόβῳ θεοῦ ἡ ὁδὸς αὐτῶν καθ' ἑκάστην ἡμέραν,
ἀφ' ἧς ἡμέρας ἔκτισεν αὐτοὺς ὁ θεὸς καὶ ἕως αἰῶνος.
14 ¹⁴καὶ οὐκ ἐπλανήθησαν ἀφ' ἧς ἡμέρας ἔκτισεν αὐτούς·
ἀπὸ γενεῶν ἀρχαίων οὐκ ἀπέστησαν ὁδῶν αὐτῶν,
εἰ μὴ ὁ θεὸς ἐνετείλατο αὐτοῖς ἐν ἐπιταγῇ δούλων αὐτοῦ.

3 επακουσει hilmpv | μετα ilr] μετ hmpv | ελεου hilmpv **4** αγαπη] hilmpv pr η hilmpv | επι σπ. Αβρααμ (exc litt ε et αμ) sup ras r | υιου codd | παιδεια hilmpv | πρωτοτοκου μονογενους l **5** ευηκοον ilr] υπηκοον hmpv | αμαθειας i **6** καθαριση r | ελεου hlmpv **7** γινομενοι hlmpv | ημεραις] pr ταις hlmpv **9** ανδρας hlmpv | ενωπιον lr] εν φοβω hmpv **10** ελεου hlmpv | om διαψαλμα m **11** ο θεος ημων hlmpv **12** πορεια hlmpv **14** οδων] απο οδου hlmpv

Subscr Σολομωντος ψαλμοι στιχοι ψν' r ψαλμοι Σολομωνος ιη' l ψαλμοι Σολομωντος ιη'· εχουσιν επη ͵α hv ψαλμοι Σολομωντος δεκαοκτω· εχουσιν επη τριακοντα p (deest subscriptio in m)

ἐπροφήτευσεν δὲ καὶ τούτοις ἕβδομος ἀπὸ
Ἀδὰμ Ἑνώχ.

ΕΝΩΧ

I 1 ΛΟΓΟΣ εὐλογίας Ἐνώχ, καθὼς εὐλόγησεν ἐκλεκτοὺς δικαίους P
οἵτινες ἔσονται εἰς ἡμέραν ἀνάγκης ἐξᾶραι πάντας τοὺς ἐχθρούς, καὶ
σωθήσονται δίκαιοι.

2 [2]Καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν Ἐνώχ Ἄνθρω-
πος δίκαιός ἐστιν, ὅρασις ἐκ θεοῦ αὐτῷ ἀνεῳγμένη ἦν· ἔχων τὴν
ὅρασιν τοῦ ἁγίου καὶ τοῦ οὐρανοῦ. ἔδειξέν μοι, καὶ ἁγιολόγων ἁγίων
ἤκουσα ἐγώ, καὶ ὡς ἤκουσα παρ᾽ αὐτῶν πάντα καὶ ἔγνων ἐγὼ
θεωρῶν· καὶ οὐκ ἐς τὴν νῦν γενεὰν διενοούμην, ἀλλὰ ἐπὶ πόρρω
3 οὖσαν ἐγὼ λαλῶ. [3]Καὶ περὶ τῶν ἐκλεκτῶν νῦν λέγω καὶ
περὶ αὐτῶν ἀνέλαβον τὴν παραβολήν μου. καὶ ἐξελεύσεται ὁ ἅγιός
4 μου ὁ μέγας ἐκ τῆς κατοικήσεως αὐτοῦ, [4]καὶ ὁ θεὸς τοῦ αἰῶνος ἐπὶ
γῆν πατήσει ἐπὶ τὸ Σεινὰ ὄρος καὶ φανήσεται ἐκ τῆς παρενβολῆς
αὐτοῦ, καὶ φανήσεται ἐν τῇ δυνάμει τῆς ἰσχύος αὐτοῦ ἀπὸ τοῦ οὐ-
5 ρανοῦ τῶν οὐρανῶν. [5]καὶ φοβηθήσονται πάντες καὶ πιστεύσουσιν
οἱ ἐγρήγοροι, καὶ ᾄσουσιν ἀπόκρυφα ἐν πᾶσιν τοῖς ἄκροις τῆς [γῆς]·
καὶ σεισθήσονται πάντα τὰ ἄκρα τῆς γῆς, καὶ λήμψεται αὐτοὺς
6 τρόμος καὶ φόβος μέγας μέχρι τῶν περάτων τῆς γῆς. [6]καὶ σει-
σθήσονται καὶ πεσοῦνται καὶ διαλυθήσονται ὄρη ὑψηλά, καὶ ταπει-
νωθήσονται βουνοὶ ὑψηλοὶ τοῦ διαρυῆναι ὄρη, καὶ τακήσονται ὡς
7 κηρὸς ἀπὸ προσώπου πυρὸς ἐν φλογί. [7]καὶ διασχισθήσεται ἡ γῆ
σχίσμα ῥαγῶδες, καὶ πάντα ὅσα ἐστὶν ἐπὶ τῆς γῆς ἀπολεῖται,
8 καὶ κρίσις ἔσται κατὰ πάντων. [8]καὶ μετὰ τῶν δικαίων τὴν εἰρήνην
ποιήσει, καὶ ἐπὶ τοὺς ἐκλεκτοὺς ἔσται συντήρησις καὶ εἰρήνη, καὶ

I 2 λαλω] αλλω P 5 ασωσιν P | om γης 1° P 6 πεινωθησονται P* (ταπ. P[1]) 7 σχισμα ραγαδει P 8 μετα] μεγα P[vid]

P ἐπ᾽ αὐτοὺς γενήσεται ἔλεος, καὶ ἔσονται πάντες τοῦ θεοῦ, καὶ τὴν
εὐδοκίαν δώσει αὐτοῖς καὶ πάντας εὐλογήσει καὶ πάντων ἀντι-
λήμψεται· καὶ βοηθήσει ἡμῖν, καὶ φανήσεται αὐτοῖς φῶς καὶ ποιή-
σει ἐπ᾽ αὐτοὺς εἰρήνην. [9]ὅτι ἔρχεται σὺν ταῖς μυριάσιν αὐτοῦ καὶ 9
τοῖς ἁγίοις αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ ἀπολέσει πάντας
τοὺς ἀσεβεῖς, καὶ ἐλέγξει πᾶσαν σάρκα περὶ πάντων ἔργων τῆς
ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν καὶ σκληρῶν ὧν ἐλάλησαν λόγων,
καὶ περὶ πάντων ὧν κατελάλησαν κατ᾽ αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς.

[1]Κατανοήσατε πάντα τὰ ἔργα ἐν τῷ οὐρανῷ, πῶς οὐκ ἠλλοίωσαν 1 II
τὰς ὁδοὺς αὐτῶν, καὶ τοὺς φωστῆρας τοὺς ἐν τῷ οὐρανῷ, ὡς τὰ
πάντα ἀνατέλλει καὶ δύνει, τεταγμένος ἕκαστος ἐν τῷ τεταγμένῳ
καιρῷ, καὶ ταῖς ἑορταῖς αὐτῶν φαίνονται, καὶ οὐ παραβαίνουσιν τὴν
ἰδίαν τάξιν. [2]ἴδετε τὴν γῆν καὶ διανοήθητε περὶ τῶν ἔργων τῶν 2
ἐν αὐτῇ γινομένων ἀπ᾽ ἀρχῆς μέχρι τελειώσεως, ὥς εἰσιν φθαρτά,
ὡς οὐκ ἀλλοιοῦνται, οὐδὲν τῶν ἐπὶ γῆς, ἀλλὰ πάντα ἔργα θεοῦ
ὑμῖν φαίνεται. [3]ἴδετε τὴν θερείαν καὶ τὸν χειμῶνα. [1]καταμάθετε 1 III
καὶ ἴδετε πάντα τὰ δένδρα, [1]πῶς τὰ φύλλα χλωρὰ ἐν αὐτοῖς σκέ- 1 V
ποντα τὰ δένδρα, καὶ πᾶς ὁ καρπὸς αὐτῶν εἰς τιμὴν καὶ δόξαν.
διανοήθητε καὶ γνῶτε περὶ πάντων τῶν ἔργων αὐτοῦ, καὶ νοήσατε
ὅτι θεὸς ζῶν ἐποίησεν αὐτὰ οὕτως, καὶ ζῇ εἰς πάντας τοὺς αἰῶ-
νας· [2]καὶ τὰ ἔργα αὐτοῦ πάντα ὅσα ἐποίησεν εἰς τοὺς αἰῶνας, 2
ἀπὸ ἐνιαυτοῦ εἰς ἐνιαυτὸν γινόμενα πάντα οὕτως, καὶ πάντα ὅσα
ἀποτελοῦσιν αὐτῷ τὰ ἔργα, καὶ οὐκ ἀλλοιοῦνται αὐτῶν τὰ ἔργα,
ἀλλ᾽ ὡσπερεὶ κατὰ ἐπιταγὴν τὰ πάντα γίνεται. [3]ἴδετε πῶς ἡ θά- 3
λασσα καὶ οἱ ποταμοὶ ὡς ὁμοίως ἀποτελοῦσιν, καὶ οὐκ ἀλλοιοῦσιν
αὐτῶν τὰ ἔργα ἀπὸ τῶν λόγων αὐτοῦ. [4]Ὑμεῖς δὲ οὐκ ἐνε- 4
μείνατε οὐδὲ ἐποιήσατε κατὰ τὰς ἐντολὰς αὐτοῦ, ἀλλὰ ἀπέστητε καὶ
κατελαλήσατε μεγάλους καὶ σκληροὺς λόγους ἐν στόματι ἀκαθαρ-
σίας ὑμῶν κατὰ τῆς μεγαλοσύνης αὐτοῦ. ὅτι κατελαλήσατε ἐν τοῖς

B Iud. 14,15 [9]ἰδοὺ ἦλθεν Κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ 9 I
πάντων καὶ ἐλέγξαι πάντας τοὺς ἀσεβεῖς περὶ πάντων τῶν ἔργων ἀσεβείας
αὐτῶν ὧν ἠσέβησαν καὶ περὶ πάντων τῶν σκληρῶν ὧν ἐλάλησαν κατ᾽ αὐτοῦ
ἁμαρτωλοὶ ἀσεβεῖς.

---

8 γενηται P 9 τοις μυριασιν P II 1 κατανοησεται P 2 om ως 1° P

9 Κυριος] pr ο ℵ | αγιαις μυριασιν] μυρ. αγιων αγγελων ℵ μυρ. αγιαις C | παντας τους ασεβεις] πασαν ψυχην ℵ | om ασεβειας ℵC | om αυτων ℵ | σκληρων] + λογων ℵC

5 ψεύμασιν ὑμῶν, σκληροκάρδιοι, οὐκ ἔστιν εἰρήνη ὑμῖν. [5]τοιγὰρ P
τὰς ἡμέρας ὑμῶν ὑμεῖς κατηράσασθε, καὶ τὰ ἔτη τῆς ζωῆς ὑμῶν ἀπο-
λεῖται, καὶ τὰ ἔτη τῆς ἀπωλείας ὑμῶν πληθυνθήσεται ἐν κατάρᾳ
6 αἰώνων, καὶ οὐκ ἔσται ὑμῖν ἔλεος καὶ εἰρήνη. [6]Τότε ἔσται
τὰ ὀνόματα ὑμῶν εἰς κατάραν αἰώνιον πᾶσιν τοῖς δικαίοις, καὶ ἐν ὑμῖν
καταράσονται πάντες οἱ καταρώμενοι, καὶ πάντες οἱ ἁμαρτωλοὶ καὶ
ἀσεβεῖς ἐν ὑμῖν ὀμοῦνται, καὶ πάντες οἱ ἀναμάρτητοι χαρήσονται,
καὶ ἔσται αὐτοῖς λύσις ἁμαρτιῶν καὶ πᾶν ἔλεος καὶ εἰρήνη καὶ
ἐπιείκεια, ἔσται αὐτοῖς σωτηρία, φῶς ἀγαθόν, καὶ αὐτοὶ κληρονο-
μήσουσιν τὴν γῆν· καὶ πᾶσιν ὑμῖν τοῖς ἁμαρτωλοῖς οὐχ ὑπάρξει
7 σωτηρία, ἀλλὰ ἐπὶ πάντας ὑμᾶς κατάλυσις, κατάρα. [7]καὶ τοῖς ἐκ-
λεκτοῖς ἔσται φῶς καὶ χάρις καὶ εἰρήνη, καὶ αὐτοὶ κληρονομήσουσιν
8 τὴν γῆν, ὑμῖν δὲ τοῖς ἀσεβέσιν ἔσται κατάρα. [8]τότε δοθήσεται
τοῖς ἐκλεκτοῖς φῶς καὶ χάρις, καὶ αὐτοὶ κληρονομήσουσιν τὴν γῆν.
τότε δοθήσεται πᾶσιν τοῖς ἐκλεκτοῖς σοφία, καὶ πάντες οὗτοι ζή-
σονται, καὶ οὐ μὴ ἁμαρτήσονται ἔτι οὐ κατ᾽ ἀλήθειαν οὔτε κατὰ
ὑπερηφανίαν, καὶ ἔσται ἐν ἀνθρώπῳ πεφωτισμένῳ φῶς καὶ ἀν-
9 θρώπῳ ἐπιστήμονι νόημα, καὶ οὐ μὴ πλημμελήσουσιν [9]οὐδὲ μὴ
ἁμάρτωσιν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν, καὶ οὐ μὴ ἀποθάνω-
σιν ἐν ὀργῇ θυμοῦ, ἀλλὰ τὸν ἀριθμὸν αὐτῶν ζωῆς ἡμερῶν πληρώ-
σουσιν, καὶ ἡ ζωὴ αὐτῶν αὐξηθήσεται ἐν εἰρήνῃ, καὶ τὰ ἔτη τῆς
χαρᾶς αὐτῶν πληθυνθήσεται ἐν ἀγαλλιάσει καὶ εἰρήνῃ αἰῶνος ἐν
πάσαις ταῖς ἡμέραις τῆς ζωῆς αὐτῶν.

VI 1 [1]Καὶ ἐγένετο οὗ ἂν ἐπληθύνθησαν οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐν ἐκεί-
2 ναις ταῖς ἡμέραις ἐγεννήθησαν θυγατέρες ὡραῖαι καὶ καλαί. [2]καὶ
ἐθεάσαντο αὐτὰς οἱ ἄγγελοι υἱοὶ οὐρανοῦ καὶ ἐπεθύμησαν αὐτάς,
καὶ εἶπαν πρὸς ἀλλήλους Δεῦτε ἐκλεξώμεθα ἑαυτοῖς γυναῖκας ἀπὸ
3 τῶν ἀνθρώπων, καὶ γεννήσομεν ἑαυτοῖς τέκνα. [3]καὶ εἶπεν Σεμειαζᾶς
πρὸς αὐτούς, ὃς ἦν ἄρχων αὐτῶν Φοβοῦμαι μὴ οὐ θελήσετε ποιῆσαι

VI 1 [1]Καὶ ἐγένετο ὅτε ἐπληθύνθησαν οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐγεννήθησαν Sync.
2 αὐτοῖς θυγατέρες ὡραῖαι. [2]καὶ ἐπεθύμησαν αὐτὰς οἱ ἐγρήγοροι καὶ ἀπε-
πλανήθησαν ὀπίσω αὐτῶν, καὶ εἶπον πρὸς ἀλλήλους Ἐκλεξώμεθα ἑαυτοῖς
3 γυναῖκας ἀπὸ τῶν θυγατέρων τῶν ἀνθρώπων τῆς γῆς. [3]καὶ εἶπε Σεμιαζᾶς
ὁ ἄρχων αὐτῶν πρὸς αὐτούς Φοβοῦμαι μὴ οὐ θελήσητε ποιῆσαι τὸ πρᾶγμα

V 5 *και τα ετη* (coniec Dillmann, Lods)] *κατα* P 6 *αναμαρτητοι* coniec Charles] *αμαρτοι* P | *καταλυσιν καταραν* P 8 *σοφιαν* P VI 1 *και εγενετο*] pr *εκ του πρωτου βιβλιου Ενωχ περι των εγρηγορων* Sync 3 *θελησετε* Sync[g]

P τὸ πρᾶγμα τοῦτο, καὶ ἔσομαι ἐγὼ μόνος ὀφειλέτης ἁμαρτίας μεγά-
λης. [4]ἀπεκρίθησαν οὖν αὐτῷ πάντες Ὀμόσωμεν ὅρκῳ πάντες καὶ 4
ἀναθεματίσωμεν πάντες ἀλλήλους μὴ ἀποστρέψαι τὴν γνώμην ταύ-
την, μέχρις οὗ ἂν τελέσωμεν αὐτὴν καὶ ποιήσωμεν τὸ πρᾶγμα
τοῦτο. [5]τότε ὤμοσαν πάντες ὁμοῦ καὶ ἀνεθεμάτισαν ἀλλήλους 5
ἐν αὐτῷ. [7]Καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀρχόντων αὐτῶν· 7
Σεμιαζά, οὗτος ἦν ἄρχων αὐτῶν· Ἀραθάκ, Κιμβρά, Σαμμανή, Δα-
νειήλ, Ἀρεαρώς, Σεμιήλ, Ἰωμειήλ, Χωχαριήλ, Ἐζεκιήλ, Βατριήλ,
Σαθιήλ, Ἀτριήλ, Ταμιήλ, Βαρακιήλ, Ἀνανθνά, Θωνιήλ, Ῥαμιήλ,
Ἀσεάλ, Ῥακειήλ, Τουριήλ. [8]οὗτοί εἰσιν αὐτῶν οἱ δεκα[δ]άρχαι. 8
[1]Καὶ ἔλαβον ἑαυτοῖς γυναῖκας· ἕκαστος αὐτῶν ἐξελέξαντο ἑαυτοῖς 1 VII
γυναῖκας, καὶ ἤρξαντο εἰσπορεύεσθαι πρὸς αὐτὰς καὶ μιαίνεσθαι ἐν
αὐταῖς· καὶ ἐδίδαξαν αὐτὰς φαρμακείας καὶ ἐπαοιδὰς καὶ ῥιζοτομίας,
καὶ τὰς βοτάνας ἐδήλωσαν αὐταῖς. [2]Αἱ δὲ ἐν γαστρὶ λα- 2
βοῦσαι ἐτέκοσαν γίγαντας μεγάλους ἐκ πηχῶν τρισχιλίων, [3]οἵτινες 3
κατέσθοσαν τοὺς κόπους τῶν ἀνθρώπων. ὡς δὲ οὐκ ἐδυνήθησαν
αὐτοῖς οἱ ἄνθρωποι ἐπιχορηγεῖν, [4]οἱ γίγαντες ἐτόλμησαν ἐπ' αὐτούς, 4
καὶ κατεσθίοσαν τοὺς ἀνθρώπους. [5]καὶ ἤρξαντο ἁμαρτάνειν ἐν τοῖς 5
πετεινοῖς καὶ τοῖς [θ]ηρίοις καὶ ἑρπετοῖς καὶ τοῖς [ἰ]χθύσιν, καὶ ἀλλή-
λων τὰς σάρκας κατεσθίειν, καὶ τὸ αἷμα ἔπινον. [6]τότε ἡ γῆ ἐνέτυχεν 6
κατὰ τῶν ἀνόμων.

Sync. τοῦτο, καὶ ἔσομαι ἐγὼ μόνος ὀφειλέτης ἁμαρτίας μεγάλης. [4]καὶ ἀπεκρί- 4
θησαν αὐτῷ πάντες καὶ εἶπον Ὀμόσωμεν ἅπαντες ὅρκῳ καὶ ἀναθεματίσωμεν
ἀλλήλους τοῦ μὴ ἀποστρέψαι τὴν γνώμην ταύτην, μέχρις οὗ ἀποτελέσωμεν
αὐτήν. [5]τότε πάντες ὤμοσαν ὁμοῦ καὶ ἀνεθεμάτισαν ἀλλήλους. [6]ἦσαν 5 6
δὲ οὗτοι διακόσιοι οἱ καταβάντες ἐν ταῖς ἡμέραις Ἰάρεδ εἰς τὴν κορυφὴν τοῦ
Ἑρμονιεὶμ ὄρους, καὶ ἐκάλεσαν τὸ ὄρος Ἑρμών, καθότι ὤμοσαν καὶ ἀνεθε-
μάτισαν ἀλλήλους ἐν αὐτῷ. [7]Καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀρχόντων 7
αὐτῶν· α' Σεμιαζᾶς, ὁ ἄρχων αὐτῶν, β' Ἀταρκούφ, γ' Ἀρακιήλ, δ' Χωβα-
βιήλ, ε' Ὀραμμαμή, ϛ' Ῥαμιήλ, ζ' Σαμψίχ, η' Ζακιήλ, θ' Βαλκιήλ, ι' Ἀζαλ-
ζήλ, ια' Φαρμαρός, ιβ' Ἀμαριήλ, ιγ' Ἀναγημάς, ιδ' Θαυσαήλ, ιε' Σαμιήλ,
ιϛ' Σαρινᾶς, ιζ' Εὐμιήλ, ιη' Τυριήλ, ιθ' Ἰουμιήλ, κ' Σαριήλ.
[1]Οὗτοι καὶ οἱ λοιποὶ πάντες ἐν τῷ χιλιοστῷ ἑκατοστῷ ἑβδομηκοστῷ ἔτει 1 VII
τοῦ κόσμου ἔλαβον ἑαυτοῖς γυναῖκας, καὶ ἤρξαντο μιαίνεσθαι ἐν αὐταῖς ἕως
τοῦ κατακλυσμοῦ. καὶ ἔτεκον αὐτοῖς γένη τρία· πρῶτον γίγαντας μεγάλους,
[2]οἱ δὲ γίγαντες ἐτέκνωσαν ναφηλείμ, καὶ τοῖς ναφηλεὶμ ἐγεννήθησαν 2
Ἐλιούδ. καὶ ἦσαν αὐξανόμενοι κατὰ τὴν μεγαλειότητα αὐτῶν, καὶ ἐδίδαξαν
ἑαυτοὺς καὶ τὰς γυναῖκας ἑαυτῶν φαρμακείας καὶ ἐπαοιδίας.

---

6 του Ερμονιειμ] om του Sync[g] | Ερμων Sync[g] | ομοσαν Sync[g] 7 ο Ευμιηλ Sync[a] 8 αυτων οι δεκαδαρχαι] αρχε αυτων οι δεκα P VII 2 ναφηλειμ 1°] αφηλειμ Sync[a]

VIII 1 [1]Ἐδίδαξεν τοὺς ἀνθρώπους Ἀζαὴλ μαχαίρας ποιεῖν καὶ ὅπλα καὶ P
ἀσπίδας καὶ θώρακας, διδάγματα ἀγγέλων, καὶ ὑπέδειξεν αὐτοῖς τὰ
μέταλλα καὶ τὴν ἐργασίαν αὐτῶν, καὶ ψέλια καὶ κόσμους καὶ στί-
βεις καὶ τὸ καλλιβλέφαρον καὶ παντοίους λίθους ἐκλεκτοὺς καὶ
2 τὰ βαφικά. [2]καὶ ἐγένετο ἀσέβεια πολλή, καὶ ἐπόρνευσαν καὶ
ἀπεπλανήθησαν καὶ ἠφανίσθησαν ἐν πάσαις ταῖς ὁδοῖς αὐτῶν.
3 [3]Σεμιαζᾶς ἐδίδαξεν ἐπαοιδὰς καὶ ῥιζοτομίας· Ἀρμαρὼς ἐπαοιδῶν λυ-
τήριον· Ῥακιὴλ ἀστρολογίας· Χωχιὴλ τὰ σημειωτικά· Σαθιὴλ ἀστε-
4 ροσκοπίαν· Σεριὴλ σεληναγωγίας. [4]τῶν οὖν ἀνθρώπων ἀπολλυ-
μένων ἡ βο[ὴ] εἰς οὐρανοὺς ἀνέβη.

IX 1 [1]Τότε παρ[α]κύψαντες Μιχαὴλ καὶ Οὐ[ρι]ὴλ καὶ Ῥαφαὴλ καὶ
Γαβριή[λ], οὗτοι ἐκ τοῦ οὐρανοῦ ἐθεάσ[αν]το αἷμα πολὺ ἐκχυννό-

---

VIII 1 [1]Πρῶτος Ἀζαὴλ ὁ δέκατος τῶν ἀρχόντων ἐδίδαξε ποιεῖν μαχαίρας καὶ Sync.
θώρακας καὶ πᾶν σκεῦος πολεμικόν, καὶ τὰ μέταλλα τῆς γῆς καὶ τὸ χρυσίον,
πῶς ἐργάσωνται καὶ ποιήσωσιν αὐτὰ κόσμια ταῖς γυναιξί, καὶ τὸν ἄργυρον.
ἔδειξε δὲ αὐτοῖς καὶ τὸ στίλβειν καὶ τὸ καλλωπίζειν καὶ τοὺς ἐκλεκτοὺς λίθους
καὶ τὰ βαφικά· καὶ ἐποίησαν ἑαυτοῖς οἱ υἱοὶ τῶν ἀνθρώπων καὶ ταῖς θυγα-
2 τράσιν αὐτῶν, καὶ παρέβησαν καὶ ἐπλάνησαν τοὺς ἁγίους. [2]καὶ ἐγένετο
3 ἀσέβεια πολλὴ ἐπὶ τῆς γῆς, καὶ ἠφάνισαν τὰς ὁδοὺς αὐτῶν. [3]ἔτι δὲ καὶ
ὁ πρώταρχος αὐτῶν Σεμιαζᾶς ἐδίδαξεν εἶναι ὀργὰς κατὰ τοῦ νοός, καὶ ῥίζας
βοτανῶν τῆς γῆς. ὁ δὲ ἑνδέκατος Φαρμαρὸς ἐδίδαξε φαρμακείας, ἐπαοιδίας,
σοφίας, καὶ ἐπαοιδῶν λυτήρια· ὁ ἔνατος ἐδίδαξεν ἀστροσκοπίαν· ὁ δὲ
τέταρτος ἐδίδαξεν ἀστρολογίαν· ὁ δὲ ὄγδοος ἐδίδαξεν ἀεροσκοπίαν· ὁ δὲ
τρίτος ἐδίδαξε τὰ σημεῖα τῆς γῆς· ὁ δὲ ἕβδομος ἐδίδαξε τὰ σημεῖα τοῦ
ἡλίου· ὁ δὲ εἰκοστὸς ἐδίδαξε τὰ σημεῖα τῆς σελήνης. πάντες οὗτοι ἤρξαντο
ἀνακαλύπτειν τὰ μυστήρια ταῖς γυναιξὶν αὐτῶν καὶ τοῖς τέκνοις αὐτῶν.
μετὰ δὲ ταῦτα ἤρξαντο οἱ γίγαντες κατεσθίειν τὰς σάρκας τῶν ἀνθρώπων·
4 [4]καὶ ἤρξαντο οἱ ἄνθρωποι ἐλαττοῦσθαι ἐπὶ τῆς γῆς.

Sync.$_1$ οἱ δὲ λοιποὶ ἐβόησαν εἰς τὸν
οὐρανὸν περὶ τῆς κακώσεως αὐτῶν,
λέγοντες εἰσενεχθῆναι τὸ μνημό-
συνον αὐτῶν ἐνώπιον Κυρίου.

[4]Τότε ἐβόησαν οἱ ἄνθρωποι εἰς 4 Sync.$_2$
τὸν οὐρανὸν λέγοντες Εἰσαγάγετε
τὴν κρίσιν ἡμῶν πρὸς τὸν ὕψιστον,
καὶ τὴν ἀπώλειαν ἡμῶν ἐνώπιον
τῆς δόξης τῆς μεγάλης, ἐνώπιον
τοῦ κυρίου τῶν κυρίων πάντων τῇ
μεγαλωσύνῃ.

IX 1 [1]Καὶ ἀκούσαντες οἱ τέσσαρες
μεγάλοι ἀρχάγγελοι, Μιχαὴλ καὶ
Οὐριὴλ καὶ Ῥαφαὴλ καὶ Γαβριήλ,
παρέκυψαν ἐπὶ τὴν γῆν ἐκ τῶν
ἁγίων τοῦ οὐρανοῦ· καὶ θεασάμενοι
αἷμα πολὺ ἐκκεχυμένον ἐπὶ τῆς

[1]Καὶ ἀκούσαντες οἱ τέσσαρες 1
μεγάλοι ἀρχάγγελοι, Μιχαὴλ καὶ
Οὐριὴλ καὶ Ῥαφαὴλ καὶ Γαβριήλ,
παρέκυψαν ἐπὶ τὴν γῆν ἐκ τῶν
ἁγίων τοῦ οὐρανοῦ· καὶ θεασά-
μενοι αἷμα πολὺ ἐκκεχυμένον ἐπὶ

VIII 1 αρχοντων]+και Sync^g | μεταλλα] μεγαλα P 3 και ο]+δε Sync^g | αστροκοπιαν Sync^g | σεληνοναγιας P 4 pr εκ του λογου Ενωχ τα λοιπα περι εγρηγορων Sync$_2^g$ | των ουν coniec Charles] τον νουν P | μεγαλοσυνη Sync$_2^g$

P μεν[ον] ἐπὶ τῆς γῆς· 2καὶ εἶπαν πρὸς ἀλλήλους Φωνὴ βοώντων ἐπὶ 2
τῆς γῆς μέχρι πυλῶν τοῦ οὐρανοῦ. 3ἐντυγχάνουσιν αἱ ψυχαὶ τῶν 3
ἀνθρώπων λεγόντων Εἰσαγάγετε τὴν κρίσιν ἡμῶν πρὸς τὸν ὕψι-
στον. 4Καὶ εἶπα[ν] τῷ κυρίῳ Σὺ εἶ κύριος τῶν κυρίων καὶ 4
ὁ θεὸς τῶν θεῶν καὶ βασιλεὺς τῶν αἰώνων· ὁ θρόνος τῆς δόξης
σου εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος, καὶ τὸ ὄνομά σου τὸ ἅγιον
καὶ μέγα καὶ εὐλογητὸν εἰς πάντας τοὺς αἰῶνας. 5σὺ γὰρ ἐποίη- 5
σας τὰ πάντα, καὶ πᾶσαν τὴν ἐξουσίαν ἔχων, καὶ πάντα ἐνώπιόν
σου φανερὰ καὶ ἀκάλυπτα. 6καὶ πάντα σὺ ὁρᾷς ἃ ἐποίησεν Ἀζαήλ, 6
ὃς ἐδίδαξεν πάσας τὰς ἀδικίας ἐπὶ τῆς γῆς καὶ ἐδήλωσεν τὰ μυστή-
ρια τοῦ αἰῶνος τὰ ἐν τῷ οὐρανῷ ἃ ἐπιτηδεύουσιν [καὶ] ἔγνωσαν ἄν-
θρωποι· 7καὶ Σεμιαζᾶς, ᾧ τὴν ἐξουσίαν ἔδωκας ἄρχειν τῶν σὺν αὐτῷ 7

Sync.$_1$ γῆς καὶ πᾶσαν ἀσέβειαν καὶ ἀνο-
2 μίαν γενομένην ἐπ' αὐτῆς, 2εἰσελ-
θόντες εἶπον πρὸς ἀλλήλους ὅτι
Τὰ πνεύματα καὶ αἱ ψυχαὶ τῶν
ἀνθρώπων στενάζουσιν ἐντυγχά-
νοντα καὶ λέγοντα ὅτι Εἰσαγάγετε
τὴν κρίσιν ἡμῶν πρὸς τὸν ὕψιστον,
καὶ τὴν ἀπώλειαν ἡμῶν ἐνώπιον
τῆς δόξης τῆς μεγαλωσύνης, ἐνώ-
πιον τοῦ κυρίου τῶν κυρίων πάντων
4 τῇ μεγαλωσύνῃ. 4Καὶ εἶπον
τῷ κυρίῳ τῶν αἰώνων Σὺ εἶ ὁ θεὸς
τῶν θεῶν καὶ κύριος τῶν κυρίων καὶ
ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ
θεὸς τῶν αἰώνων, καὶ ὁ θρόνος τῆς
δόξης σου εἰς πάσας τὰς γενεὰς
τῶν αἰώνων, καὶ τὸ ὄνομά σου
ἅγιον καὶ εὐλογημένον εἰς πάντας
τοὺς αἰῶνας.

Sync.$_2$ τῆς γῆς καὶ πᾶσαν ἀνομίαν καὶ
ἀσέβειαν γινομένην ἐπ' αὐτῆς, 3εἰσ- 3
ελθόντες εἶπον πρὸς ἀλλήλους ὅτι
Τὰ πνεύματα καὶ αἱ ψυχαὶ τῶν ἀν-
θρώπων ἐντυγχάνουσι στενάζοντα
καὶ λέγοντα Εἰσαγάγετε τὴν δέησιν
ἡμῶν πρὸς τὸν ὕψιστον. 4Καὶ 4
προσελθόντες οἱ τέσσαρες ἀρχάγ-
γελοι εἶπον τῷ κυρίῳ Σὺ εἶ θεὸς
τῶν θεῶν καὶ κύριος τῶν κυρίων
καὶ βασιλεὺς τῶν βασιλευόντων καὶ
θεὸς τῶν ἀνθρώπων, καὶ ὁ θρόνος
τῆς δόξης σου εἰς πάσας τὰς γενεὰς
τῶν αἰώνων, καὶ τὸ ὄνομά σου ἅγιον
καὶ εὐλογημένον εἰς πάντας τοὺς
αἰῶνας.

Sync. 5σὺ γὰρ εἶ ὁ ποιήσας τὰ πάντα καὶ πάντων τὴν ἐξουσίαν ἔχων, καὶ 5
πάντα ἐνώπιόν σου φανερὰ καὶ ἀκάλυπτα· καὶ πάντα ὁρᾷς, καὶ οὐκ ἔστιν
ὃ κρυβῆναί σε δύναται. 6ὁρᾷς ὅσα ἐποίησεν Ἀζαὴλ καὶ ὅσα εἰσήνεγκεν, 6
ὅσα ἐδίδαξεν, ἀδικίας καὶ ἁμαρτίας ἐπὶ τῆς γῆς καὶ πάντα δόλον ἐπὶ τῆς
ξηρᾶς. ἐδίδαξε γὰρ τὰ μυστήρια καὶ ἀπεκάλυψε τῷ αἰῶνι τὰ ἐν οὐρανῷ.
ἐπιτηδεύουσι δὲ τὰ ἐπιτηδεύματα αὐτοῦ, εἰδέναι τὰ μυστήρια, οἱ υἱοὶ τῶν
ἀνθρώπων. 7τῷ Σεμιαζᾷ τὴν ἐξουσίαν ἔδωκας ἔχειν τῶν σὺν αὐτῷ ἅμα 7

IX 1 om επ αυτης Sync$_1^g$ 2 τον υψ.] om τον Sync$_1^g$ | μεγαλωσ. bis Sync$_1^g$ 4 θεος 2°] pr ο Sync$_1^g$ | ο θρονος] om ο Sync$_1^g$ | αιωνας] + και τα εξης. τοτε ο υψιστος εκελευσε τοις αγιοις αρχαγγελοις και εδησαν τους εξαρχους αυτων και εβαλον (εβαλλον Sync^g) αυτους εις την αβυσσον εως της κρισεως και τα εξης Sync$_1$ 5 om σε δυναται Sync^g 6 και οσα] om και Sync$_2^g$ | τω αιωνι] om τω Sync^g

8 ἅμα ὄντων. [8]καὶ ἐπορεύθησαν πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων P
τῆς γῆς καὶ συνεκοιμήθησαν αὐταῖς καὶ ἐμιάνθησαν, καὶ ἐδήλωσαν
9 αὐταῖς πάσας τὰς ἁμαρτίας. [9]καὶ αἱ γυναῖκες ἐγέννησαν τιτᾶνας,
10 ὑφ' ὧν ὅλη ἡ γῆ ἐπλήσθη αἵματος καὶ ἀδικίας. [10]καὶ νῦν ἰδοὺ
βοῶσιν αἱ ψυχαὶ τῶν τετελευτηκότων καὶ ἐντυγχάνουσιν μέχρι τῶν
πυλῶν τοῦ οὐρανοῦ, καὶ ἀνέβη ὁ στεναγμὸς αὐτῶν καὶ οὐ δύναται
ἐξελθεῖν ἀπὸ προσώπου τῶν ἐπὶ τῆς γῆς γινομένων ἀνομημάτων.
11 [11]καὶ σὺ πάντα οἶδας πρὸ τοῦ αὐτὰ γενέσθαι, καὶ σὺ ὁρᾷς ταῦτα
καὶ ἐᾷς αὐτούς, καὶ οὐδὲ ἡμῖν λέγεις τί δεῖ ποιεῖν αὐτοὺς περὶ
τούτων.

X 1 [1]Τότε Ὕψιστος εἶπεν περὶ τούτων, ὁ μέγας Ἅγιος, καὶ ἐλάλησεν
2 καὶ εἶπεν καὶ ἔπεμψεν Ἰστραὴλ πρὸς τὸν υἱὸν Λέμεχ [2]Εἶπον αὐτῷ
ἐπὶ τῷ ἐμῷ ὀνόματι Κρύψον σεαυτόν, καὶ δήλωσον αὐτῷ τέλος
ἐπερχόμενον, ὅτι ἡ γῆ ἀπόλλυται πᾶσα, καὶ κατακλυσμὸς μέλλει
3 γίνεσθαι πάσης τῆς γῆς καὶ ἀπολέσει πάντα ὅσα ἐστὶν αὐτῇ. [3]καὶ
δίδαξον αὐτὸν ὅπως ἐκφύγῃ, καὶ μενεῖ τὸ σπέρμα αὐτοῦ εἰς πάσας
4 τὰς γενεὰς τοῦ αἰῶνος. [4]Καὶ τῷ Ῥαφαὴλ εἶπεν Δῆσον τὸν
Ἀζαὴλ ποσὶν καὶ χερσίν, καὶ βάλε αὐτὸν εἰς τὸ σκότος, καὶ ἄνοι-

---

8 ὄντων. [8]καὶ ἐπορεύθησαν πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων τῆς γῆς καὶ Sync.
συνεκοιμήθησαν μετ' αὐτῶν καὶ ἐν ταῖς θηλείαις ἐμιάνθησαν, καὶ ἐδήλωσαν
9 αὐταῖς πάσας τὰς ἁμαρτίας, καὶ ἐδίδαξαν αὐτὰς μίσητρα ποιεῖν. [9]καὶ νῦν
ἰδοὺ αἱ θυγατέρες τῶν ἀνθρώπων ἔτεκον ἐξ αὐτῶν υἱοὺς γίγαντας· κίβδηλα
10 ἐπὶ τῆς γῆς τῶν ἀνθρώπων ἐκκέχυται, καὶ ὅλη ἡ γῆ ἐπλήσθη ἀδικίας. [10]καὶ
νῦν ἰδοὺ τὰ πνεύματα τῶν ψυχῶν τῶν ἀποθανόντων ἀνθρώπων ἐντυγχάνουσι,
καὶ μέχρι τῶν πυλῶν τοῦ οὐρανοῦ ἀνέβη ὁ στεναγμὸς αὐτῶν καὶ οὐ δύναται
11 ἐξελθεῖν ἀπὸ προσώπου τῶν ἐπὶ τῆς γῆς γινομένων ἀδικημάτων. [11]καὶ σὺ
αὐτὰ οἶδας πρὸ τῶν αὐτὰ γενέσθαι καὶ ὁρᾷς αὐτοὺς καὶ ἐᾷς αὐτούς, καὶ οὐδὲν
λέγεις. τί δεῖ ποιῆσαι αὐτοὺς περὶ τούτου;

X 1 [1]Τότε ὁ ὕψιστος εἶπε καὶ ὁ ἅγιος ὁ μέγας ἐλάλησε, καὶ ἔπεμψε τὸν
2 Οὐριὴλ πρὸς τὸν υἱὸν Λάμεχ λέγων [2]Πορεύου πρὸς τὸν Νῶε καὶ εἰπὸν αὐτῷ
τῷ ἐμῷ ὀνόματι Κρύψον σεαυτόν, καὶ δήλωσον αὐτῷ τέλος ἐπερχόμενον, ὅτι
ἡ γῆ ἀπόλλυται πᾶσα· καὶ εἰπὸν αὐτῷ ὅτι κατακλυσμὸς μέλλει γίνεσθαι
3 πάσης τῆς γῆς, ἀπολέσαι πάντα ἀπὸ προσώπου τῆς γῆς. [3]δίδαξον τὸν
δίκαιον τί ποιήσει, τὸν υἱὸν Λάμεχ, καὶ τὴν ψυχὴν αὐτοῦ εἰς ζωὴν συντηρήσει,
καὶ ἐκφεύξεται δι' αἰῶνος, καὶ ἐξ αὐτοῦ φυτευθήσεται φύτευμα καὶ σταθήσεται
4 πάσας τὰς γενεὰς τοῦ αἰῶνος. [4]Καὶ τῷ Ῥαφαὴλ εἶπε Πορεύου, Ῥαφαήλ,
καὶ δῆσον τὸν Ἀζαήλ· χερσὶ καὶ ποσὶ συμπόδισον αὐτόν, καὶ ἔμβαλε αὐτὸν

---

8 om αυτας Sync^g   9 om των ανθρ. (2°) Sync^g | τειτωναις P^{*vid} (-νας P^{corr}) | της γης] om της $Sync_2^g$ 11 om αυτους 3° $Sync_2^g$ X 1 του Λαμεχ Sync^g   4 εμβαλλε Sync^g

P ξον τὴν ἔρημον τὴν οὖσαν ἐν τῷ Δαδουὴλ κἀκεῖ βάλε αὐτόν, [5]καὶ 5
ὑπόθες αὐτῷ λίθους τραχεῖς καὶ ὀξεῖς καὶ ἐπικάλυψον αὐτῷ τὸ
σκότος, καὶ οἰκησάτω ἐκεῖ εἰς τοὺς αἰῶνας, καὶ τὴν ὄψιν αὐτοῦ .
πώμασον καὶ φῶς μὴ θεωρείτω· [6]καὶ ἐν τῇ ἡμέρᾳ τῆς μεγάλης τῆς 6
κρίσεως ἀπαχθήσεται εἰς τὸν ἐνπυρισμόν. [7]καὶ ἰαθήσεται ἡ γῆ, ἣν 7
ἠφάνισαν οἱ ἄγγελοι, καὶ τὴν ἴασιν τῆς γῆς δήλωσον, ἵνα ἰάσων-
ται τὴν πληγήν, ἵνα μὴ ἀπόλωνται πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων
ἐν τῷ μυστηρίῳ ὅλῳ ᾧ ἐπέταξαν οἱ ἐγρήγοροι καὶ ἔδειξαν τοὺς
υἱοὺς αὐτῶν, [8]καὶ ἠρημώθη πᾶσα ἡ γῆ ἀφανισθεῖσα ἐν τοῖς ἔρ- 8
γοις τῆς διδασκαλίας Ἀζαήλ· καὶ ἐπ' αὐτῷ γράψον τὰς ἁμαρτίας
πάσας. [9]Καὶ τῷ Γαβριὴλ εἶπεν ὁ κύριος Πορεύου ἐπὶ τοὺς 9
μαζηρέους, ἐπὶ τοὺς κιβδήλους καὶ τοὺς υἱοὺς τῆς πορνείας, καὶ
ἀπόλεσον τοὺς υἱοὺς τῶν ἐγρηγόρων ἀπὸ τῶν ἀνθρώπων· πέμψον
αὐτοὺς ἐν πολέμῳ ἀπωλείας. μακρότης γὰρ ἡμερῶν οὐκ ἔστιν αὐ-
τῶν, [10]καὶ πᾶσα ἐρώτησις [οὐκ] ἔσται τοῖς πατράσιν αὐτῶν καὶ περὶ 10
αὐτῶν, ὅτι ἐλπίζουσιν ζῆσαι ζωὴν αἰώνιον, καὶ ὅτι ζήσεται ἕκαστος
αὐτῶν ἔτη πεντακόσια. [11]Καὶ εἶπεν Μιχαὴλ Πορεύου καὶ 11
δήλωσον Σεμιαζᾷ καὶ τοῖς λοιποῖς τοῖς σὺν αὐτῷ ταῖς γυναιξὶν μι-
γεῖσιν, μιανθῆναι ἐν αὐταῖς ἐν τῇ ἀκαθαρσίᾳ αὐτῶν· [12]καὶ ὅταν 12

Sync. εἰς τὸ σκότος, καὶ ἄνοιξον τὴν ἔρημον τὴν οὖσαν ἐν τῇ ἐρήμῳ Δουδαήλ,
καὶ ἐκεῖ πορευθεὶς βάλε αὐτόν· [5]καὶ ὑπόθες αὐτῷ λίθους ὀξεῖς καὶ λίθους 5
τραχεῖς καὶ ἐπικάλυψον αὐτῷ σκότος, καὶ οἰκησάτω ἐκεῖ εἰς τὸν αἰῶνα· καὶ
τὴν ὄψιν αὐτοῦ πώμασον καὶ φῶς μὴ θεωρείτω· [6]καὶ ἐν τῇ ἡμέρᾳ τῆς 6
κρίσεως ἀπαχθήσεται εἰς τὸν ἐμπυρισμὸν τοῦ πυρός. [7]καὶ ἴασαι τὴν γῆν 7
ἣν ἠφάνισαν οἱ ἐγρήγοροι, καὶ τὴν ἴασιν τῆς πληγῆς δήλωσον, ἵνα ἰάσωνται
τὴν πληγὴν καὶ μὴ ἀπόλωνται πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν τῷ μυστηρίῳ
ὃ εἶπον οἱ ἐγρήγοροι καὶ ἐδίδαξαν τοὺς υἱοὺς αὐτῶν, [8]καὶ ἠρημώθη πᾶσα ἡ 8
γῆ ἐν τοῖς ἔργοις τῆς διδασκαλίας Ἀζαήλ· καὶ ἐπ' αὐτῇ γράψον πάσας τὰς
ἁμαρτίας. [9]Καὶ τῷ Γαβριὴλ εἶπε Πορεύου, Γαβριήλ, ἐπὶ τοὺς γίγαντας, 9
ἐπὶ τοὺς κιβδήλους, ἐπὶ τοὺς υἱοὺς τῆς πορνείας, καὶ ἀπόλεσον τοὺς υἱοὺς τῶν
ἐγρηγόρων ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων· πέμψον αὐτοὺς εἰς ἀλλήλους, ἐξ
αὐτῶν εἰς αὐτούς, ἐν πολέμῳ καὶ ἐν ἀπωλείᾳ. καὶ μακρότης ἡμερῶν οὐκ ἔσται
αὐτοῖς, [10]καὶ πᾶσα ἐρώτησις οὐκ ἔστι τοῖς πατράσιν αὐτῶν, ὅτι ἐλπίζουσι 10
ζῆσαι ζωὴν αἰώνιον, καὶ ὅτι ζήσεται ἕκαστος αὐτῶν ἔτη πεντακόσια. [11]Καὶ 11
τῷ Μιχαὴλ εἶπε Πορεύου, Μιχαήλ, δῆσον Σεμιαζᾶν καὶ τοὺς ἄλλους σὺν
αὐτῷ τοὺς συμμιγέντας ταῖς θυγατράσι τῶν ἀνθρώπων τοῦ μιανθῆναι ἐν
αὐταῖς ἐν τῇ ἀκαθαρσίᾳ αὐτῶν. [12]καὶ ὅταν κατασφαγῶσιν οἱ υἱοὶ αὐτῶν 12

---

5 και λιθ.] om και Sync^{g} | τω σκ. P | οικειωσατω Sync^{g} 7 μη] μην P | επαταξαν P 8 ερημωθη Sync$^{g(txt)}$ 9 τον Γ. Sync^{g} 10 ερωτησις (coniec Lods)] εργεσις P 11 τον Μ. Sync$^{g(txt)}$ | μιγεντας P

καταςφαγῶσιν οἱ υἱοὶ αὐτῶν καὶ ἴδωσιν τὴν ἀπώλειαν τῶν ἀγα- P
πητῶν, καὶ δῆσον αὐτοὺς ἑβδομήκοντα γενεὰς εἰς τὰς νάπας τῆς
γῆς μέχρι ἡμέρας κρίσεως αὐτῶν καὶ συντελεσμοῦ, ἕως τελεσθῇ τὸ
13 κρίμα τοῦ αἰῶνος τῶν αἰώνων. [13]τότε ἀπαχθήσονται εἰς τὸ χάος
τοῦ πυρὸς καὶ εἰς τὴν βάσανον καὶ εἰς τὸ δεσμωτήριον συνκλεί-
14 σεως αἰῶνος. [14]καὶ ὃς ἂν κατακαυθῇ καὶ ἀφανισθῇ ἀπὸ τοῦ νῦν,
15 μετ' αὐτῶν ὁμοῦ δεθήσονται μέχρι τελειώσεως γενεᾶς. [15]ἀπόλε-
σον πάντα τὰ πνεύματα τῶν κιβδήλων καὶ τοὺς υἱοὺς τῶν ἐγρηγόρων
16 διὰ τὸ ἀδικῆσαι τοὺς ἀνθρώπους. [16]καὶ ἀπόλεσον τὴν ἀδικίαν πᾶσαν
ἀπὸ τῆς γῆς, καὶ πᾶν ἔργον πονηρίας ἐκλειπέτω, καὶ ἀναφανήτω τὸ
φυτὸν τῆς δικαιοσύνης καὶ τῆς ἀληθείας εἰς τοὺς αἰῶνας· μετὰ χαρᾶς
17 φυτευθήσεται. [17]Καὶ νῦν πάντες οἱ δίκαιοι ἐκφεύξονται, καὶ
ἔσονται ζῶντες ἕως γεννήσωσιν χιλιάδας, καὶ πᾶσαι αἱ ἡμέραι νεότη-
18 τος αὐτῶν, καὶ τὰ σάββατα αὐτῶν μετὰ εἰρήνης πληρώσουσιν. [18]τότε
ἐργασθήσεται πᾶσα ἡ γῆ ἐν δικαιοσύνῃ καὶ καταφυτευθήσεται δέν-
19 δρον ἐν αὐτῇ, καὶ πλησθήσεται εὐλογίας. [19]καὶ πάντα τὰ δένδρα
τῆς γῆς ἀγαλλιάσονται· φυτευθήσεται, καὶ ἔσονται φυτεύοντες ἀμπέ-
λους, καὶ ἡ ἄμπελος ἣν ἂν φυτεύσωσιν, ποιήσουσιν προχοῦς οἴνου·
χιλιάδας καὶ σπόρου ποιήσει καθ' ἕκαστον μέτρον, ἐλαίας ποιή-
20 σει ἀνὰ βάτους δέκα. [20]καὶ σὺ καθάρισον τὴν γῆν ἀπὸ πάσης
ἀκαθαρσίας καὶ ἀπὸ πάσης ἀδικίας καὶ ἀπὸ πάσης ἁμαρτίας καὶ
ἀσεβείας, καὶ πάσας τὰς ἀκαθαρσίας τὰς γινομένας ἐπὶ τῆς γῆς
21 ἐξάλειψον. [21]καὶ ἔσονται πάντες λατρεύοντες οἱ λαοὶ καὶ εὐλο-
22 γοῦντες πάντες ἐμοὶ καὶ προσκυνοῦντες. [22]καὶ καθαρισθήσεται
πᾶσα ἡ γῆ ἀπὸ παντὸς μιάμματος καὶ ἀπὸ πάσης ἀκαθαρσίας καὶ
ὀργῆς καὶ μάστιγος, καὶ οὐκέτι πέμψω ἐπ' αὐτοὺς εἰς πάσας τὰς
XI 1 γενεὰς τοῦ αἰῶνος. [1]καὶ τότε ἀνοίξω τὰ ταμεῖα τῆς εὐλογίας τὰ
ὄντα ἐν τῷ οὐρανῷ, καὶ κατενεγκεῖν αὐτὰ ἐπὶ τὰ ἔργα, ἐπὶ τὸν
2 κόπον τῶν υἱῶν τῶν ἀνθρώπων. [2]καὶ τότε ἀλήθεια καὶ εἰρήνη

καὶ ἴδωσι τὴν ἀπώλειαν τῶν ἀγαπητῶν αὐτῶν, δῆσον αὐτοὺς ἐπὶ ἑβδομήκοντα Sync.
γενεὰς εἰς τὰς νάπας τῆς γῆς μέχρι ἡμέρας κρίσεως αὐτῶν, μέχρι ἡμέρας
13 τελειώσεως τελεσμοῦ, ἕως συντελεσθῇ κρίμα τοῦ αἰῶνος τῶν αἰώνων. [13]τότε
ἀπενεχθήσονται εἰς τὸ χάος τοῦ πυρὸς καὶ εἰς τὴν βάσανον καὶ εἰς τὸ δεσμω-
14 τήριον τῆς συγκλείσεως τοῦ αἰῶνος. [14]καὶ ὃς ἂν κατακριθῇ καὶ ἀφανισθῇ
ἀπὸ τοῦ νῦν, μετ' αὐτῶν δεθήσεται μέχρι τελειώσεως γενεᾶς αὐτῶν.

---

14 ος αν] οταν P corr vid | κατακαυσθη P | δεθησεται] δεησεται Sync[g (txt]
16 φυτευσεται P **19** και 3°] αι P **20** πασης 3°] σης P

P κοινωνήσουσιν ὁμοῦ εἰς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος καὶ εἰς πάσας
τὰς γενεὰς τῶν ἀνθρώπων.

[1]Πρὸ τούτων τῶν λόγων ἐλήμφθη Ἑνώχ, καὶ οὐδεὶς τῶν ἀν- 1 XII
θρώπων ἔγνω ποῦ ἐλήμφθη καὶ ποῦ ἐστιν καὶ τί ἐγένετο αὐτῷ.
[2]καὶ τὰ ἔργα αὐτοῦ μετὰ τῶν ἐγρηγόρων, καὶ μετὰ τῶν ἁγίων αἱ 2
ἡμέραι αὐτοῦ. [3]Καὶ ἑστὼς ἤμην Ἑνὼχ εὐλογῶν τῷ κυρίῳ 3
τῆς μεγαλοσύνης, τῷ βασιλεῖ τῶν αἰώνων. καὶ ἰδοὺ οἱ ἐγρήγοροι
τοῦ ἁγίου τοῦ μεγάλου ἐκάλουν με [4]Ἑνώχ, ὁ γραμματεὺς τῆς δι- 4
καιοσύνης, πορεύου καὶ εἰπὲ τοῖς ἐγρηγόροις τοῦ οὐρανοῦ οἵτινες
ἀπολιπόντες τὸν οὐρανὸν τὸν ὑψηλόν, τὸ ἁγίασμα τῆς στάσεως
τοῦ αἰῶνος, μετὰ τῶν γυναικῶν ἐμιάνθησαν, καὶ ὥσπερ οἱ υἱοὶ τῆς
γῆς ποιοῦσιν, οὕτως καὶ αὐτοὶ ποιοῦσιν, καὶ ἔλαβον ἑαυτοῖς γυναῖ-
κας. Ἀφανισμὸν μέγαν ἠφανίσατε τὴν γῆν, [5]καὶ οὐκ ἔσται ὑμῖν 5
εἰρήνη οὔτε ἄφεσις. καὶ περὶ ὧν χαίρουσιν τῶν υἱῶν αὐτῶν, [6]τὸν 6
φόνον τῶν ἀγαπητῶν αὐτῶν ὄψονται, καὶ ἐπὶ τῇ ἀπωλείᾳ τῶν υἱῶν
αὐτῶν στενάξουσιν καὶ δεηθήσονται εἰς τὸν αἰῶνα, καὶ οὐκ ἔσται
αὐτοῖς εἰς ἔλεον καὶ εἰρήνην.

[1]Ὁ δὲ Ἑνὼχ τῷ Ἀζαὴλ εἶπεν Πορεύου· οὐκ ἔσται σοι εἰρήνη. 1 XIII
κρίμα μέγα ἐξῆλθεν κατὰ σοῦ δῆσαί σε, [2]καὶ ἀνοχὴ καὶ ἐρώτησίς 2
σοι οὐκ ἔσται περὶ ὧν ἔδειξας ἀδικημάτων καὶ περὶ πάντων τῶν
ἔργων τῶν ἀσεβειῶν καὶ τῆς ἀδικίας καὶ τῆς ἁμαρτίας, ὅσα ὑπέ-
δειξας τοῖς ἀνθρώποις.

[3]Τότε πορευθεὶς εἴρηκα πᾶσιν αὐτοῖς, καὶ αὐτοὶ πάντες ἐφοβή- 3
θησαν, καὶ ἔλαβεν αὐτοὺς τρόμος καὶ φόβος. [4]καὶ ἠρώτησαν ὅπως 4
γράψω αὐτοῖς ὑπομνήματα ἐρωτήσεως, ἵνα γένηται αὐτοῖς ἄφεσις,
καὶ ἵνα ἐγὼ ἀναγνῶ αὐτοῖς τὸ ὑπόμνημα τῆς ἐρωτήσεως ἐνώπιον
Κυρίου τοῦ οὐρανοῦ, [5]ὅτι αὐτοὶ οὐκ ἔτι δύνανται λαλῆσαι, οὐδὲ ἐπᾶ- 5
ραι αὐτῶν τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἀπὸ αἰσχύνης περὶ ὧν
ἡμαρτήκεισαν καὶ κατεκρίθησαν. [6]Τότε ἔγραψα τὸ ὑπόμνημα 6
τῆς ἐρωτήσεως αὐτῶν καὶ τὰς δεήσεις περὶ τῶν πνευμάτων αὐτῶν
καὶ περὶ ὧν δέονται, ὅπως αὐτῶν γένωνται ἄφεσις καὶ μακρότης.
[7]καὶ πορευθεὶς ἐκάθισα ἐπὶ τῶν ὑδάτων Δὰν ἐν γῇ Δάν, ἥτις ἐστὶν 7
ἐκ δεξιῶν Ἑρμωνιεὶμ δύσεως· ἀνεγίγνωσκον τὸ ὑπόμνημα τῶν
δεήσεων αὐτῶν. [8]ὡς ἐκοιμήθην, καὶ ἰδοὺ ὄνειροι ἐπ' ἐμὲ ἦλθον 8
καὶ ὁράσεις ἐπ' ἐμὲ ἐπέπιπτον, καὶ ἴδον ὁράσεις ὀργῆς, καὶ ἦλθεν

XII 4 οι γραμματευς P | ηφανισατε] pr και P XIII 4 γενηται] γενονται P | αναγνοι P 5 δυνονται P

φωνὴ λέγουσα Εἶπον τοῖς υἱοῖς τοῦ οὐρανοῦ τοῦ ἐλέγξαι αὐτούς. P
9 9καὶ ἔξυπνος γενόμενος ἦλθον πρὸς αὐτούς, καὶ πάντες συνηγμένοι
ἐκάθηντο πενθοῦντες ἐν Ἐβελσατά, ἥτις ἐστὶν ἀνὰ μέσον τοῦ
10 Λιβάνου καὶ Σενισήλ, περικεκαλυμμένοι τὴν ὄψιν. 10ἐνώπιον αὐ-
τῶν καὶ ἀνήγγειλα αὐτοῖς πάσας τὰς ὁράσεις ἃς εἶδον κατὰ τοὺς
ὕπνους, καὶ ἠρξάμην λαλεῖν τοὺς λόγους τῆς δικαιοσύνης, ἐλέγχων
τοὺς ἐγρηγόρους τοῦ οὐρανοῦ.

XIV 1 1Βίβλος λόγων δικαιοσύνης καὶ ἐλέγξεως ἐγρηγόρων τῶν ἀπὸ
τοῦ αἰῶνος, κατὰ τὴν ἐντο ἣν τοῦ ἁγίου τοῦ μεγάλου ἐν ταύτῃ τῇ
2 ὁράσει. 2Ἐγὼ ἴδον κατὰ τοὺς ὕπνους μου ἃ νῦν λέγω
ἐν γλώσσῃ σαρκίνῃ ἐν τῷ πνεύματι τοῦ στόματός μου, ὃ ἔδωκεν ὁ
3 μέγας τοῖς ἀνθρώποις λαλεῖν ἐν αὐτοῖς καὶ νοήσει καρδίας· 3ὃς
ἔκτισεν καὶ ἔδωκεν ἐλέγξασθαι ἐγρηγόρους τοὺς υἱοὺς τοῦ οὐρα-
4 νοῦ. 4Ἐγὼ τὴν ἐρώτησιν ὑμῶν τῶν ἀγγέλων ἔγραψα, καὶ
ἐν τῇ ὁράσει μου τοῦτο ἐδείχθη· καὶ οὔτε ἡ ἐρώτησις ὑμῶν παρε-
5 δέχθη, 5ἵνα μηκέτι εἰς τὸν οὐρανὸν ἀναβῆτε ἐπὶ πάντας τοὺς
αἰῶνας, καὶ ἐν τοῖς δεσμοῖς τῆς γῆς ἐρρέθη δῆσαι ὑμᾶς εἰς πάσας
6 τὰς γενεὰς τοῦ αἰῶνος, 6καὶ ἵνα περὶ τούτων ἴδητε τὴν ἀπώλειαν
τῶν υἱῶν ὑμῶν τῶν ἀγαπητῶν, καὶ ὅτι οὐκ ἔσται ὑμῖν ὄνησις
7 αὐτῶν, ἀλλὰ πεσοῦνται ἐνώπιον ὑμῶν ἐν μαχαίρᾳ. 7καὶ ἡ ἐρώ-
τησις ὑμῶν περὶ αὐτῶν οὐκ ἔσται οὐδὲ περὶ ὑμῶν· καὶ ὑμεῖς
κλαίοντες καὶ δεόμενοι καὶ μὴ λαλοῦντες πᾶν ῥῆμα ἀπὸ τῆς γρα-
8 φῆς ἧς ἔγραψα. 8Καὶ ἐμοὶ ἐφ' ὁράσει οὕτως ἐδείχθη· ἰδοὺ
νεφέλαι ἐν τῇ ὁράσει ἐκάλουν καὶ ὁμίχλαι με ἐφώνουν, καὶ δια-
δρομαὶ τῶν ἀστέρων καὶ διαστραπαί με κατεσπούδαζον καὶ ἐθορύ-
9 βαζόν με, καὶ ἄνεμοι ἐν τῇ ὁράσει μου ἐξεπέτασάν με 9καὶ ἐπῆράν
με ἄνω καὶ εἰσήνεγκάν με εἰς τὸν οὐρανόν, καὶ εἰσῆλθον μέχρις
ἤγγισα τείχους οἰκοδομῆς ἐν λίθοις χαλάζης καὶ γλώσσης πυρὸς
10 κύκλῳ αὐτῶν· καὶ ἤρξαντο ἐκφοβεῖν με. 10Καὶ εἰσῆλθον
εἰς τὰς γλώσσας τοῦ πυρός, καὶ ἤγγισα εἰς οἶκον μέγαν οἰκοδομη-
μένον ἐν λίθοις χαλάζης, καὶ οἱ τοῖχοι τοῦ οἴκου ὡς λιθόπλακες,
11 καὶ πᾶσαι ἦσαν ἐκ χιόνος, καὶ ἐδάφη χιονικά, 11καὶ αἱ στέγαι ὡς
διάδρομαὶ ἀστέρων καὶ ἀστραπαί, καὶ μεταξὺ αὐτῶν χερουβὶν πύρινα,
12 καὶ οὐρανὸς αὐτῶν ὕδωρ, 12καὶ πῦρ φλεγόμενον κύκλῳ τῶν τειχῶν, καὶ
13 θύραι πυρὶ καιόμεναι. 13εἰσῆλθον εἰς τὸν οἶκον ἐκεῖνον, θερμὸν ὡς

9 σενεβελσατα P | την οψιν] ν 1° superscr P^1 XIV 2 α] ων P
3 ελεγξασθαι coniec Nestle] εκλεξασθαι P

P πῦρ καὶ ψυχρὸν ὡς χιών, καὶ πᾶσα τροφὴ ζωῆς οὐκ ἦν ἐν αὐτῷ· φόβος
με ἐκάλυψεν καὶ τρόμος με ἔλαβεν. [14]καὶ ἤμην σειόμενος καὶ τρέ- 14
μων, καὶ ἔπεσον. ἐθεώρουν ἐν τῇ ὁράσει μου, [15]καὶ ἰδοὺ ἄλλη θύρα 15
ἀνεῳγμένη κατέναντί μου, καὶ ὁ οἶκος μείζων τούτου, καὶ ὅλος οἰκοδο-
μημένος ἐν γλώσσαις πυρός, [16]καὶ ὅλος διαφέρων ἐν δόξῃ καὶ ἐν τιμῇ 16
καὶ ἐν μεγαλοσύνῃ, ὥστε μὴ δύνασθαί με ἐξειπεῖν ὑμῖν περὶ τῆς
δόξης καὶ περὶ τῆς μεγαλοσύνης αὐτοῦ. [17]τὸ ἔδαφος αὐτοῦ ἦν πυρός, 17
τὸ δὲ ἀνώτερον αὐτοῦ ἦσαν ἀστραπαὶ καὶ διαδρομαὶ ἀστέρων, καὶ ἡ
στέγη αὐτοῦ ἦν πῦρ φλέγον. [18]Ἐθεώρουν δὲ καὶ εἶδον θρόνον 18
ὑψηλόν, καὶ τὸ εἶδος αὐτοῦ ὡσεὶ κρυστάλλινον, καὶ τροχὸς ὡς ἡλίου
λάμποντος καὶ ὅρος χερουβίν. [19]καὶ ὑποκάτω τοῦ θρόνου ἐξεπορεύ- 19
οντο ποταμοὶ πυρὸς φλεγόμενοι, καὶ οὐκ ἐδυνάσθην ἰδεῖν. [20]καὶ ἡ 20
δόξα ἡ μεγάλη ἐκάθητο ἐπ' αὐτῷ· τὸ περιβόλαιον αὐτοῦ ὡς εἶδος
ἡλίου, λαμπρότερον καὶ λευκότερον πάσης χιόνος. [21]καὶ οὐκ ἐδύνατο 21
πᾶς ἄγγελος παρελθεῖν εἰς τὸν οἶκον τοῦτον καὶ ἰδεῖν τὸ πρόσωπον
αὐτοῦ διὰ τὸ ἔντιμον καὶ ἔνδοξον, καὶ οὐκ ἐδύνατο πᾶσα σὰρξ
ἰδεῖν αὐτοῦ [22]τὸ πῦρ φλεγόμενον κύκλῳ· καὶ πῦρ μέγα παριστήκει 22
αὐτῷ, καὶ οὐδεὶς ἐγγίζει αὐτῷ. κύκλῳ μυρίαι μυριάδες ἑστήκασιν
ἐνώπιον αὐτοῦ, καὶ πᾶς λόγος αὐτοῦ ἔργον. [23]καὶ οἱ ἅγιοι τῶν 23
ἀγγέλων οἱ ἐγγίζοντες αὐτῷ οὐκ ἀποχωροῦσιν νυκτὸς οὔτε ἀφίστανται
αὐτοῦ. [24]Κἀγὼ ἤμην ἕως τούτου ἐπὶ πρόσωπόν μου βεβλη- 24
μένος καὶ τρέμων, καὶ ὁ κύριος τῷ στόματι αὐτοῦ ἐκάλεσέν με καὶ
εἶπέν μοι Πρόσελθε ὧδε, Ἑνώχ, καὶ τὸν λόγον μου ἄκουσον. [25]καὶ 25
προσελθών μοι εἷς τῶν ἁγίων ἤγειρέν με καὶ ἔστησέν με, καὶ προσ-
ήγαγέν με μέχρι τῆς θύρας· ἐγὼ δὲ τὸ πρόσωπόν μου κάτω ἔκυφον.
[1]Καὶ ἀποκριθεὶς εἶπέν μοι Ὁ ἄνθρωπος ὁ ἀληθινός, ἄνθρωπος 1 XV
τῆς ἀληθείας, ὁ γραμματεύς· καὶ τῆς φωνῆς αὐτοῦ ἤκουσα· μὴ φοβηθῇς,
Ἑνώχ, ἄνθρωπος ἀληθινὸς καὶ γραμματεὺς τῆς ἀληθείας· πρόσελθε
ὧδε, καὶ τῆς φωνῆς μου ἄκουσον. [2]πορεύθητι καὶ εἰπὲ τοῖς πέμψασίν 2
σε Ἐρωτῆσαι ὑμᾶς ἔδει περὶ τῶν ἀνθρώπων, καὶ μὴ τοὺς ἀνθρώπους
περὶ ὑμῶν. [3]διὰ τί ἀπελίπετε τὸν οὐρανὸν τὸν ὑψηλὸν τὸν ἅγιον τοῦ 3
αἰῶνος, καὶ μετὰ τῶν γυναικῶν ἐκοιμήθητε καὶ μετὰ τῶν θυγατέρων
τῶν ἀνθρώπων ἐμιάνθητε καὶ ἐλάβετε ἑαυτοῖς γυναῖκας; ὥσπερ υἱοὶ
τῆς γῆς ἐποιήσατε καὶ ἐγεννήσατε ἑαυτοῖς τέκνα, υἱοὺς γίγαντας. [4]καὶ 4
ὑμεῖς ἦτε ἅγιοι καὶ πνεύματα ζῶντα αἰώνια· ἐν τῷ αἵματι τῶν γυναικῶν
ἐμιάνθητε, καὶ ἐν αἵματι σαρκὸς ἐγεννήσατε καὶ ἐν αἵματι ἀνθρώ-

15 αλλην θυραν ανεωγμενην P   18 ωσει] ωσυ P   20 επ] η | η P^vid   XV 4 πνευμα P: item 6, 7, 8, 9, 10, 12

πων ἐπεθυμήσατε, καθὼς καὶ αὐτοὶ ποιοῦσιν σάρκα καὶ αἷμα, οἵτινες P
5 ἀποθνήσκουσιν καὶ ἀπόλλυνται. 5 διὰ τοῦτο ἔδωκα αὐτοῖς θηλείας,
ἵνα σπερματίζουσιν εἰς αὐτὰς καὶ τεκνώσουσιν ἐν αὐταῖς τέκνα
6 οὕτως, ἵνα μὴ ἐκλείπῃ αὐτοῖς πᾶν ἔργον ἐπὶ τῆς γῆς. 6 ὑμεῖς δὲ
ὑπήρχετε πνεύματα ζῶντα αἰώνια καὶ οὐκ ἀποθνήσκοντα εἰς πάσας
7 τὰς γενεὰς τοῦ αἰῶνος. 7 καὶ διὰ τοῦτο οὐκ ἐποίησα ἐν ὑμῖν θη-
λείας· τὰ πνεύματα τοῦ οὐρανοῦ, ἐν τῷ οὐρανῷ ἡ κατοίκησις αὐ-
8 τῶν. 8 καὶ νῦν οἱ γίγαντες οἱ γεννηθέντες ἀπὸ τῶν πνευμάτων
καὶ σαρκὸς πνεύματα ἰσχυρὰ ἐπὶ τῆς γῆς, καὶ ἐν τῇ γῇ ἡ κατοί-
9 κησις αὐτῶν ἔσται. 9 πνεύ‹ματα› πονηρὰ ἐξῆλθον ἀπὸ τοῦ σώματος
αὐτῶν, διότι ἀπὸ τῶν ἀνω ... ρων ἐγένοντο, καὶ ἐκ τῶν ἁγίων ἐγρη-
γόρων ἡ ἀρχὴ τῆς κτίσ ... αὐτῶν καὶ ἀρχὴ θεμελίου· πνεύματα
10 πονηρὰ κληθήσεται. 10 ... ματα οὐρανοῦ, ἐν τῷ οὐρανῷ ἡ κατοί-
κησις αὐτῶν ἔσται· καὶ ... πνεύματα ἐπὶ τῆς γῆς τὰ γεννηθέντα,
11 ἐπὶ τῆς γῆς ἡ κατοίκησις αὐτῶν ἔσται. 11 καὶ τὰ πνεύματα τῶν
γιγάντων νεφέλας ἀδικοῦντα, ἀφανίζοντα καὶ ἐνπίπτοντα καὶ συν-
παλαίοντα καὶ συνρίπτοντα ἐπὶ τῆς γῆς, πνεύματα σκληρὰ γιγάν-
των, καὶ δρόμους ποιοῦντα καὶ μηδὲν ἐσθίοντα, ἀλλ᾽ ἀσιτοῦντα
12 καὶ διψῶντα καὶ προσκόπτοντα πνεύματα. 12 καὶ ἐξαναστήσει
ταῦτα εἰς τοὺς υἱοὺς τῶν ἀνθρώπων καὶ τῶν γυναικῶν, ὅτι ἐξελη-
XVI 1 λύθασιν ἀπ᾽ αὐτῶν, 1 ἀπὸ ἡμέρας σφαγῆς καὶ ἀπωλείας καὶ θανάτου,
ἀφ᾽ ὧν τὰ πνεύματα ἐκπορευόμενα ἐκ τῆς ψυχῆς τῆς σαρκὸς αὐ-
τῶν ἔσται ἀφανίζοντα χωρὶς κρίσεως· οὕτως ἀφανίσουσιν μέχρις

XV 8 8 Καὶ νῦν οἱ γίγαντες οἱ γεννηθέντες ἀπὸ πνευμάτων καὶ σαρκὸς πνεύματα Sync.
πονηρὰ ἐπὶ τῆς γῆς καλέσουσιν αὐτούς, ὅτι ἡ κατοίκησις αὐτῶν ἔσται ἐπὶ τῆς
9 γῆς. 9 πνεύματα πονηρὰ ἔσονται, τὰ πνεύματα ἐξεληλυθότα ἀπὸ τοῦ
σώματος τῆς σαρκὸς αὐτῶν, διότι ἀπὸ τῶν ἀνθρώπων ἐγένοντο, καὶ ἐκ τῶν
ἁγίων τῶν ἐγρηγόρων ἡ ἀρχὴ τῆς κτίσεως αὐτῶν καὶ ἀρχὴ θεμελίου· πνεύ-
10 11 ματα πονηρὰ 10 ἐπὶ τῆς γῆς ἔσονται. 11 τὰ πνεύματα τῶν γιγάντων νεμόμενα,
ἀδικοῦντα, ἀφανίζοντα, ἐμπίπτοντα καὶ συμπαλαίοντα καὶ ῥιπτοῦντα ἐπὶ
τῆς γῆς καὶ δρόμους ποιοῦντα, καὶ μηδὲν ἐσθίοντα, ἀλλ᾽ ἀσιτοῦντα καὶ
12 φάσματα ποιοῦντα καὶ διψῶντα καὶ προσκόπτοντα. 12 καὶ ἐξαναστήσονται
τὰ πνεύματα ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων καὶ τῶν γυναικῶν, ὅτι ἐξ αὐτῶν
XVI 1 ἐξεληλύθασι, 1 καὶ ἀπὸ ἡμέρας καιροῦ σφαγῆς καὶ ἀπωλείας καὶ θανάτου
τῶν γιγάντων ναφηλειμ, οἱ ἰσχυροὶ τῆς γῆς, οἱ μεγάλοι ὀνομαστοί, τὰ
πνεύματα τὰ ἐκπορευόμενα ἀπὸ τῆς ψυχῆς αὐτῶν, ὡς ἐκ τῆς σαρκὸς ἔσονται,
ἀφανίζοντα χωρὶς κρίσεως· οὕτως ἀφανίσουσι μέχρις ἡμέρας τῆς τελειώσεως,

---

5 αυτοις] αυταις P | εκλειπει P 8—9 om επι της γης (1°)...πονηρα 2° Sync[g] 8 και νυν οι γιγ.] pr και μεθ ετερα Sync 9 της κτισ.] om της Sync[g] 11 τα πνευματα] τα πρωτα Sync[g] | ριπτοντα Sync[g] | εσθειον P | και διψ.] om και Sync[g] XVI 1 ναφιλειμ Sync[g] | οι ισχ.] και ισχ. Sync[g]

P ἡμέρας τελειώσεως, τῆς κρίσεως τῆς μεγάλης, ἐν ᾗ ὁ αἰὼν ὁ μέγας
τελεσθήσεται. [2]Καὶ νῦν ἐγρηγόροις τοῖς πέμψασίν σε ἐρω- 2
τῆσαι περὶ αὐτῶν, οἵτινες ἐν οὐρανῷ ἦσαν [3]Ὑμεῖς ἐν τῷ οὐρανῷ 3
ἦτε, καὶ πᾶν μυστήριον ὃ οὐκ ἀνεκαλύφθη ὑμῖν καὶ μυστήριον τὸ
ἐκ τοῦ θεοῦ γεγενημένον ἔγνωτε, καὶ τοῦτο ἐμηνύσατε ταῖς γυναιξὶν
ἐν ταῖς σκληροκαρδίαις ὑμῶν, καὶ ἐν τῷ μυστηρίῳ τούτῳ πληθύν-
ουσιν αἱ θήλειαι καὶ οἱ ἄνθρωποι τὰ κακὰ ἐπὶ τῆς γῆς. [4]εἰπὸν οὖν 4
αὐτοῖς Οὐκ ἔστιν εἰρήνη.

[1]Καὶ παραλαβόντες με εἴς τινα τό· ν ἀπήγαγον, ἐν ᾧ οἱ ὄντες 1 XVI
ἐκεῖ γίνονται ὡς πῦρ φλέγον καί, ὅ· : θέλωσιν, φαίνονται ὡσεὶ
ἄνθρωποι. [2]Καὶ ἀπήγαγόν ·ὶς ζοφώδη τόπον καὶ εἰς 2
ὄρος οὗ ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν ινόν. [3]καὶ εἶδον τόπον 3
τῶν φωστήρων καὶ τοὺς θησαυροὺς τ· ντέρων καὶ τῶν βροντῶν,
καὶ εἰς τὰ ἀεροβαθῆ, ὅπου τόξον πυρος καὶ τὰ βέλη καὶ αἱ θῆκαι
αὐτῶν καὶ αἱ ἀστραπαὶ πᾶσαι. [4]Καὶ ἀπήγαγόν με μέχρι 4
ὑδάτων ζώντων καὶ μέχρι πυρὸς δύσεως, ὅ ἐστιν καὶ παρέχον
πάσας τὰς δύσεις τοῦ ἡλίου. [5]καὶ ἤλθομεν μέχρι ποταμοῦ πυρός, 5
ἐν ᾧ κατατρέχει τὸ πῦρ ὡς ὕδωρ καὶ ῥέει εἰς θάλασσαν μεγάλην
δύσεως. [6]ἴδον τοὺς μεγάλους ποταμούς, καὶ μέχρι τοῦ μεγάλου 6
ποταμοῦ καὶ μέχρι τοῦ μεγάλου σκότους κατήντησα, καὶ ἀπῆλθον ὅπου
πᾶσα σὰρξ οὐ περιπατεῖ. [7]ἴδον τοὺς ἀνέμους τῶν γνόφων τοὺς 7
χειμερινοὺς καὶ τὴν ἔκχυσιν τῆς ἀβύσσου πάντων ὑδάτων. [8]ἴδον 8
τὸ στόμα τῆς γῆς πάντων τῶν ποταμῶν καὶ τὸ στόμα τῆς ἀβύσ-
σου. [1]ἴδον τοὺς θησαυροὺς τῶν ἀνέμων πάντων, ἴδον ὅτι ἐν 1 XVIII
αὐτοῖς ἐκόσμησεν πάσας τὰς κτίσεις καὶ τὸν θεμέλιον τῆς γῆς,
[2]καὶ τὸν λίθον ἴδον τῆς γωνίας τῆς γῆς. ἴδον τοὺς τέσσαρας 2
ἀνέμους τὴν γῆν βαστάζοντας, καὶ τὸ στερέωμα τοῦ οὐρανοῦ, [3]καὶ 3
αὐτοὶ ἱστᾶσιν μεταξὺ γῆς καὶ οὐρανοῦ. [4]ἴδον ἀνέμους τῶν οὐ- 4
ρανῶν στρέφοντας καὶ διανύοντας τὸν τροχὸν τοῦ ἡλίου, καὶ
πάντας τοὺς ἀστέρας. [5]ἴδον τοὺς ἐπὶ τῆς γῆς ἀνέμους βαστά- 5
ζοντας ἐν νεφέλῃ. ἴδον πέρατα τῆς γῆς, τὸ στήριγμα τοῦ οὐρανοῦ
ἐπάνω. [6]Παρῆλθον καὶ ἴδον τόπον καιόμενον νυκτὸς καὶ 6

Sync. ἕως τῆς κρίσεως τῆς μεγάλης, ἐν ᾗ ὁ αἰὼν ὁ μέγας τελεσθήσεται· ἐφ' ἅπαξ ὁμοῦ τελεσθήσεται.

XVI 1 η] ω Sync[s] XVII 3 τας θηκας P | τας αστραπας πασας P 6 ποταμου P XVIII 4 διανευοντας P

ἡμέρας, ὅπου τὰ ἑπτὰ ὄρη ἀπὸ λίθων πολυτελῶν, τρία εἰς ἀνατολὰς P
7 καὶ τρία εἰς νότον βάλλοντα. [7]καὶ τὰ μὲν πρὸς ἀνατολὰς ἀπὸ λίθου
χρώματος, τὸ δὲ ἦν ἀπὸ λίθου μαργαρίτου, καὶ τὸ ἀπὸ λίθου ταθέν,
8 τὸ δὲ κατὰ νότον ἀπὸ λίθου πυρροῦ· [8]τὸ δὲ μέσον αὐτῶν ἦν εἰς
οὐρανόν, ὥσπερ θρόνος θεοῦ ἀπὸ λίθου φουκά, καὶ ἡ κορυφὴ τοῦ
9 θρόνου ἀπὸ λίθου σαπφείρου· [9]καὶ πῦρ καιόμενον ἴδον. κἀπέκεινα
10 τῶν ὀρέων τούτων [10]τόπος ἐστὶν πέρας τῆς μεγάλης γῆς· ἐκεῖ συντε-
11 λεσθήσονται οἱ οὐρανοί. [11]καὶ ἴδον χάσμα μέγα εἰς τοὺς στύλους τοῦ
πυρὸς καταβαίνοντας καὶ οὐκ ἦν μέτρον οὔτε εἰς βάθος οὔτε εἰς ὕψος.
12 [12]καὶ ἐπέκεινα τοῦ χάσματος τούτου ἴδον τόπον ὅπου οὐδὲ στε-
ρέωμα οὐρανοῦ ἐπάνω, οὔτε γῆ ἡ τεθεμελιωμένη ὑποκάτω αὐτοῦ
οὔτε ὕδωρ ἦν ὑπὸ αὐτὸ οὔτε πετεινόν, ἀλλὰ τόπος ἦν ἔρημος καὶ
13 φοβερός. [13]ἐκεῖ ἴδον ἑπτὰ ἀστέρας ὡς ὄρη μεγάλα καιόμενα, περὶ
14 ὧν πυνθανομένῳ μοι [14]εἶπεν ὁ ἄγγελος Οὗτός ἐστιν ὁ τόπος τὸ
τέλος τοῦ οὐρανοῦ καὶ γῆς· δεσμωτήριον τοῦτο ἐγένετο τοῖς ἄστροις
15 καὶ ταῖς δυνάμεσιν τοῦ οὐρανοῦ. [15]καὶ οἱ ἀστέρες οἱ κυλιόμενοι ἐν
τῷ πυρί, οὗτοί εἰσιν οἱ παραβάντες πρόσταγμα Κυρίου ἐν ἀρχῇ
τῆς ἀνατολῆς αὐτῶν (ὅτι τόπος ἔξω τοῦ οὐρανοῦ κενός ἐστιν), ὅτι
16 οὐκ ἐξῆλθαν ἐν τοῖς καιροῖς αὐτῶν· [16]καὶ ὀργίσθη αὐτοῖς καὶ ἔδησεν
αὐτοὺς μέχρι καιροῦ τελειώσεως αὐτῶν ἁμαρτίας, ἐνιαυτῶν μυρίων.
XIX 1 [1]καὶ εἶπέν μοι Οὐριήλ Ἐνθάδε οἱ μιγέντες ἄγγελοι ταῖς γυναιξὶν
στήσονται, καὶ τὰ πνεύματα αὐτῶν πολύμορφα γενόμενα λυμαίνεται
τοὺς ἀνθρώπους καὶ πλανήσει αὐτοὺς ἐπιθύειν τοῖς δαιμονίοις μέχρι
2 τῆς μεγάλης κρίσεως, ἐν ᾗ κριθήσονται εἰς ἀποτελείωσιν. [2]καὶ αἱ
γυναῖκες αὐτῶν τῶν παραβάντων ἀγγέλων εἰς σειρῆνας γενήσονται.
3 [3]κἀγὼ Ἑνὼχ ἴδον τὰ θεωρήματα μόνος, τὰ πέρατα πάντων, καὶ οὐ
μὴ ἴδῃ οὐδὲ εἷς ἀνθρώπων ὡς ἐγὼ ἴδον.
XX 1 2 [1]Ἄγγελοι τῶν δυνάμεων. [2]Οὐριήλ, ὁ εἷς τῶν ἁγίων ἀγγέλων
3 ὁ ἐπὶ τοῦ κόσμου καὶ τοῦ ταρτάρου. [3]Ῥαφαήλ, ὁ εἷς τῶν ἁγίων
4 ἀγγέλων ὁ ἐπὶ τῶν πνευμάτων τῶν ἀνθρώπων. [4]Ῥαγουήλ, ὁ
εἷς τῶν ἁγίων ἀγγέλων ὁ ἐκδικῶν τὸν κόσμον τῶν φωστήρων.
5 [5]Μιχαήλ, ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὁ ἐπὶ τῶν τοῦ λαοῦ ἀγαθῶν

XIX 3 * * * ἀνθρώπων ὡς ἐγὼ εἶδον. P₁
XX 2 * * * [2]ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὁ ἐπὶ τοῦ κόσμου καὶ τοῦ ταρτάρου.
3 [3]Ῥαφαὴλ ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὁ ἐπὶ τῶν πνευμάτων τῶν ἀνθρώπων.
4 [4]Ῥαγουὴλ ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὁ ἐκδικῶν τὸν κόσμον τῶν φωστήρων.
5 [5]Μιχαήλ, ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὃς ἐπὶ τῶν τοῦ λαοῦ ἀγαθῶν τέτακται

---

6 om τρια 1° P | τρια 2°] τρις P | βαλλοντας P 9 κακεινα P
12 γην την τεθεμελιωμενην P 16 αμαρτιας] + αυτων P XX 4 εκδεικων
P εκεκων (? ΕΚΑΙΚΩΝ pro ΕΚΔΙΚΩΝ) P₁

P τεταγμένος καὶ ἐπὶ τῷ χάῳ. [6]Σαριήλ, ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὁ 6
ἐπὶ τῶν πνευμάτων οἵτινες ἐπὶ τῷ πνεύματι ἁμαρτάνουσιν. [7]Γα- 7
βριήλ, ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὁ ἐπὶ τοῦ παραδείσου καὶ τῶν
δρακόντων καὶ χερουβείν. ἀρχαγγέλων ὀνόματα ἑπτά.

[1]Καὶ ἐφώδευσα ἕως τῆς ἀκατασκευάστου. [2]κἀκεῖ ἐθεασάμην ἔργον 1 2 XXI
φοβερόν· ἑώρακα οὔτε οὐρανὸν ἐπάνω, οὔτε γῆν τεθέαμαι τεθεμε-
λιωμένην, ἀλλὰ τόπον ἀκατασκεύαστον καὶ φοβερόν. [3]καὶ ἐκεῖ 3
τεθέαμαι ἑπτὰ τῶν ἀστέρων τοῦ οὐρανοῦ δεδεμένους καὶ ἐρριμμένους
ἐν αὐτῷ, ὁμοίους ὄρεσιν μεγάλοις καὶ ἐν πυρὶ καιομένους. [4]τότε 4
εἶπον Διὰ ποίαν αἰτίαν ἐπεδέθησαν, καὶ διὰ τί ὧδε ἐρίφησαν;
[5]τότε εἶπέν μοι Οὐριήλ, ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὃς μετ' ἐμοῦ 5
ἦν (καὶ αὐτὸς ἡγεῖτο αὐτῶν), καὶ εἶπέν μοι Ἐνώχ, περὶ τίνος ἐρωτᾷς,
ἢ περὶ τίνος τὴν ἀλήθειαν φιλοσπευδεῖς; [6]οὗτοί εἰσιν τῶν ἀστέρων 6
τοῦ οὐρανοῦ οἱ παραβάντες τὴν ἐπιταγὴν τοῦ κυρίου, καὶ ἐδέθησαν
ὧδε μέχρι τοῦ πληρῶσαι μύρια ἔτη, τὸν χρόνον τῶν ἁμαρτημάτων
αὐτῶν.
[7]Κἀκεῖθεν ἐφώδευσα εἰς ἄλλον τόπον τούτου φοβερώτερον, καὶ 7
τεθέαμαι ἔργα φοβερώτερα, πῦρ μέγα ἐκεῖ καιόμενον καὶ φλε-
γόμενον, καὶ διακοπὴν εἶχεν ὁ τόπος ἕως τῆς ἀβύσσου, πλήρης
στύλων πυρὸς μεγάλου καταφερομένων· οὔτε μέτρον. οὔτε πλάτος

P₁ καὶ ἐπὶ τῷ λαῷ. [6]Σαριήλ, ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὁ ἐπὶ τῶν πνευμάτων 6
οἵτινες ἐπὶ τῷ πνεύματι ἁμαρτάνουσιν. [7]Γαβριήλ, ὁ εἷς τῶν ἁγίων ἀγγέλων 7
ὁ ἐπὶ τοῦ παραδείσου καὶ τῶν δρακόντων καὶ χερουβίν. Ῥεμειήλ, ὁ εἷς τῶν
ἁγίων ἀγγέλων ὃν ἔταξεν ὁ θεὸς ἐπὶ τῶν ἀνισταμένων. ὀνόματα ζ' ἀρχαγ-
γέλων.

[1]Καὶ ἐφώδευσα μέχρι τῆς ἀκατασκευάστου. [2]καὶ ἐκεῖ ἐθεασάμην ἔργον 1 2 XXI
φοβερόν· ἑώρακα οὔτε οὐρανὸν ἐπάνω οὔτε γῆν τεθεμελιωμένην, ἀλλὰ τόπον
ἀκατασκεύαστον καὶ φοβερόν. [3]καὶ ἐκεῖ τεθέαμαι ζ' ἀστέρας τοῦ οὐρανοῦ 3
δεδεμένους καὶ ἐρριμμένους ἐν αὐτῷ ὁμοῦ, ὁμοίους ὁράσει μεγάλῃ καὶ ἐν
πυρὶ καιομένους. [4]τότε εἶπον Διὰ ποίαν αἰτίαν ἐπεδέθησαν, καὶ διὰ ποίαν 4
αἰτίαν ἐρίφησαν ὧδε; [5]καὶ εἶπέν μοι Οὐριήλ, ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὁ 5
μετ' ἐμοῦ ὤν (καὶ αὐτὸς αὐτῶν ἡγεῖτο), καὶ εἶπέν μοι Ἐνώχ, περὶ τίνος ἐρωτᾷς,
ἢ περὶ τίνος τὴν ἀλήθειαν φιλοσπευδεῖς; [6]οὗτοί εἰσιν τῶν ἀστέρων τοῦ 6
οὐρανοῦ οἱ παραβάντες τὴν ἐπιταγὴν τοῦ κυρίου, καὶ ἐδέθησαν ὧδε μέχρι
πληρωθῆναι μύρια ἔτη, τὸν χρόνον τῶν ἁμαρτημάτων αὐτῶν.
[7]Κἀκεῖθεν ἐφώδευσα εἰς ἄλλον τόπον τούτου φοβερώτερον, καὶ τεθέαμαι 7
ἔργα φοβερά· πῦρ μέγα ἐκεῖ καιόμενον καὶ φλεγόμενον, καὶ διακοπὴν εἶχεν ὁ
τόπος ἕως τῆς ἀβύσσου, πλήρης στύλων πυρὸς μεγάλων καταφερομένων· οὔτε

XX 7 χερουβει P XXI 3 ορεσιν coniec Charles] ορασιν P

8 ἠδυνήθην ἰδεῖν οὐδὲ εἰκάσαι. [8]τότε εἶπον Ὡς φοβερὸς ὁ τόπος καὶ P
9 ὡς δεινὸς τῇ ὁράσει. [9]τότε ἀπεκρίθη μοι ὁ εἷς τῶν ἁγίων ἀγγέλων
ὃς μετ' ἐμοῦ ἦν, καὶ εἶπέν μοι Ἐνώχ, διὰ τί ἐφοβήθης οὕτως καὶ
ἐπτοήθης; καὶ ἀπεκρίθην Περὶ τούτου τοῦ φοβεροῦ καὶ περὶ τῆς
10 προσόψεως τῆς δεινῆς. [10]καὶ εἶπεν Οὗτος ὁ τόπος δεσμωτήριον
ἀγγέλων· ὧδε συνσχεθήσονται μέχρι αἰῶνος εἰς τὸν αἰῶνα.

XXII 1 [1]Κἀκεῖθεν ἐφόδευσα εἰς ἄλλον τόπον, καὶ ἔδειξέν μοι πρὸς
2 δυσμὰς ἄλλο ὄρος μέγα καὶ ὑψηλόν, πέτρας στερεάς. [2]καὶ τέσ-
σαρες τόποι ἐν αὐτῷ κοῖλοι, βάθος ἔχοντες καὶ λίαν λεῖοι, τρεῖς
αὐτῶν σκοτινοὶ καὶ εἷς φωτινός, καὶ πηγὴ ὕδατος ἀνὰ μέσον αὐτοῦ.
καὶ εἶπον Πῶς λεῖα τὰ κοιλώματα ταῦτα καὶ ὁλοβαθῆ καὶ σκοτινὰ
3 τῇ ὁράσει. [3]τότε ἀπεκρίθη Ῥαφαήλ, ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὃς
μετ' ἐμοῦ ἦν, καὶ εἶπέν μοι Οὗτοι οἱ τόποι οἱ κοῖλοι, ἵνα ἐπισυνά-
γωνται εἰς αὐτοὺς τὰ πνεύματα τῶν ψυχῶν τῶν νεκρῶν. εἰς αὐτὸ
τοῦτο ἐκρίθησαν, ὧδε ἐπισυνάγεσθαι πάσας τὰς ψυχὰς τῶν ἀνθρώ-
4 πων. [4]καὶ οὗτοι οἱ τόποι εἰς ἐπισύνσχεσιν αὐτῶν ἐποίησαν μέχρι
τῆς ἡμέρας τῆς κρίσεως αὐτῶν καὶ μέχρι τοῦ διορισμοῦ καὶ διορισμέ-
5 νου χρόνου, ἐν ᾧ ἡ κρίσις ἡ μεγάλη ἔσται ἐν αὐτοῖς. [5]Τε-
θέαμαι ἀνθρώπους νεκροὺς ἐντυγχάνοντας, καὶ ἡ φωνὴ αὐτοῦ μέχρι
6 τοῦ οὐρανοῦ προέβαινεν καὶ ἐνετύγχανεν. [6]καὶ ἠρώτησα Ῥαφαὴλ
τὸν ἄγγελον ὃς μετ' ἐμοῦ ἦν, καὶ εἶπα αὐτῷ Τοῦτο τὸ πνεῦμα
τὸ ἐντυγχάνον τίνος ἐστίν, δι' ὃ οὕτως ἡ φωνὴ αὐτοῦ προβαίνει
7 καὶ ἐντυγχάνει ἕως τοῦ οὐρανοῦ; [7]καὶ ἀπεκρίθη μοι λέγων Τοῦτο
τὸ πνεῦμά ἐστιν τὸ ἐξελθὸν ἀπὸ Ἅβελ ὃν ἐφόνευσε Κάιν ὁ
ἀδελφός, καὶ Ἅβελ ἐντυγχάνει περὶ αὐτοῦ μέχρι τοῦ ἀπολέσαι τὸ
σπέρμα αὐτοῦ ἀπὸ προσώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ σπέρματος
8 τῶν ἀνθρώπων ἀφανισθῇ τὸ σπέρμα αὐτοῦ. [8]Τότε ἠρώτησα
περὶ τῶν κυκλωμάτων πάντων, διὰ τί ἐχωρίσθησαν ἓν ἀπὸ τοῦ
9 ἑνός. [9]καὶ ἀπεκρίθη μοι λέγων Οὗτοι οἱ τρεῖς ἐποιήθησαν χωρί-
ζεσθαι τὰ πνεύματα τῶν νεκρῶν· καὶ οὕτως ἐχωρίσθη εἰς τὰ πνεύ-
10 ματα τῶν δικαίων, οὗ ἡ πηγὴ τοῦ ὕδατος ἐν αὐτῷ φωτινή· [10]καὶ
οὕτως ἐκτίσθη τῶν ἁμαρτωλῶν, ὅταν ἀποθάνωσιν καὶ ταφῶσιν εἰς
11 τὴν γῆν, καὶ κρίσις οὐκ ἐγενήθη ἐπ' αὐτῶν ἐν τῇ ζωῇ αὐτῶν, [11]ὧδε
χωρίζεσθαι τὰ πνεύματα αὐτῶν εἰς τὴν μεγάλην βάσανον ταύ-

---

8 μέτρον οὔτε μέγεθος ἠδυνήθην ἰδεῖν οὔτε εἰκάσαι. [8]τότε εἶπον Ὡς φοβερὸς P₁
9 ὁ τόπος οὗτος καὶ ὡς δεινὸς τῇ ὁράσει. [9]τότε ἀπεκρίθη μοι καὶ εἶπεν * *

XXI 10 αιωνος] ενος P XXII 5 εντυγχανοντος P 6 ηρωτησεν P
8 εν απο του ενος (coniec Lods)] ην απο του αιωνος P 9 χωρισθη P
11 χωρειζεται P

P την, μέχρι τῆς μεγάλης ἡμέρας τῆς κρίσεως, τῶν μαστίγων καὶ
τῶν βασάνων τῶν κατηραμένων· μέχρι αἰῶνος ἦν ἀνταπόδοσις
τῶν πνευμάτων· ἐκεῖ δήσει αὐτοὺς μέχρις αἰῶνος. [12]καὶ οὕτως 12
ἐχωρίσθη τοῖς πνεύμασιν τῶν ἐντυγχανόντων, οἵτινες ἐνφανίζουσιν
περὶ τῆς ἀπωλείας, ὅταν φονευθῶσιν ἐν ταῖς ἡμέραις τῶν ἁμαρ-
τωλῶν. [13]καὶ οὕτως ἐκτίσθη τοῖς πνεύμασιν τῶν ἀνθρώπων, ὅσοι 13
οὐκ ἔσονται ὅσιοι ἀλλὰ ἁμαρτωλοί, ὅσοι ἀσεβεῖς, καὶ μετὰ τῶν
ἀνόμων ἔσονται μέτοχοι. τὰ δὲ πνεύματα, ὅτι οἱ ἐνθάδε θλιβέντες
ἔλαττον κολάζονται αὐτῶν, οὐ τιμωρηθήσονται ἐν ἡμέρᾳ τῆς κρίσεως,
οὐδὲ μὴ μετεγερθῶσιν ἐντεῦθεν. [14]Τότε ηὐλόγησα τὸν κύριον 14
τῆς δόξης, καὶ εἶπα Εὐλογητὸς εἶ, Κύριε ὁ τῆς δικαιοσύνης, κυριεύων
τοῦ αἰῶνος.

[1]Κἀκεῖθεν ἐφώδευσα εἰς ἄλλον τόπον πρὸς δυσμὰς τῶν περά- 1 XXIII
των τῆς γῆς. [2]καὶ ἐθεασάμην πῦρ διατρέχον καὶ οὐκ ἀναπαυό- 2
μενον οὐδὲ ἐνλεῖπον τοῦ δρόμου, ἡμέρας καὶ νυκτὸς ἅμα διαμένον.
[3]καὶ ἠρώτησα λέγων Τί ἐστιν τὸ μὴ ἔχον ἀνάπαυσιν; [4]τότε ἀπεκρίθη 3 4
μοι Ῥαγουήλ, ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὃς μετ' ἐμοῦ ἦν Οὗτος ὁ
δρόμος τοῦ πυρὸς τὸ πρὸς δυσμὰς πῦρ τὸ ἐκδιῶκόν ἐστιν πάντας
τοὺς φωστῆρας τοῦ οὐρανοῦ. [1]Καὶ ἔδειξέν μοι ὄρη πυρὸς 1 XXIV
καιόμενα νυκτός. [2]καὶ ἐπέκεινα αὐτῶν ἐπορεύθην καὶ ἐθεασάμην 2
ἑπτὰ ὄρη, ἔνδοξα πάντα, ἑκάτερα τοῦ ἑκατέρου διαλλάσσοντα, ὧν οἱ
λίθοι ἔντιμοι τῇ καλλονῇ, καὶ πάντα ἔντιμα καὶ ἔνδοξα καὶ εὐειδῆ,
τρία ἐπ' ἀνατολὰς ἐστηριγμένα ἐν τῷ ἑνί, καὶ τρία ἐπὶ νότον ἐν
τῷ ἑνί. καὶ φάραγγες βαθεῖαι καὶ τραχεῖαι, μία τῇ μιᾷ οὐκ ἐγγίζου-
σαι, [3]καὶ τῷ ὄρει ἕβδομον ὄρος ἀνὰ μέσον τούτων, καὶ ὑπερεῖχεν τῷ 3
ὕψει, ὅμοιον καθέδρᾳ θρόνου, καὶ περιεκύκλου δένδρα αὐτῷ εὐειδῆ.
[4]καὶ ἦν ἐν αὐτοῖς δένδρον ὃ οὐδέποτε ὠσφράνμαι καὶ οὐδεὶς ἕτερος 4
αὐτῷ ηὐφράνθη, καὶ οὐδὲν ἕτερον ὅμοιον αὐτῷ· ὀσμὴν εἶχεν εὐω-
δεστέραν πάντων ἀρωμάτων, καὶ τὰ φύλλα αὐτοῦ καὶ τὸ ἄνθος καὶ
τὸ δένδρον οὐ φθίνει εἰς τὸν αἰῶνα· οἱ δὲ περὶ τὸν καρπὸν ὡσεὶ
βότρυες φοινίκων. [5]τότε εἶπον Ὡς καλὸν τὸ δένδρον τοῦτό 5
ἐστιν καὶ εὐῶδες, καὶ ὡραῖα τὰ φύλλα, καὶ τὰ ἄνθη αὐτοῦ ὡραῖα
τῇ ὁράσει. [6]τότε ἀπεκρίθη μοι Μιχαήλ, εἷς τῶν ἁγίων ἀγγέλων 6
ὃς μετ' ἐμοῦ ἦν (καὶ αὐτὸς αὐτῶν ἡγεῖτο), [1]καὶ εἶπέν μοι Ἐνώχ, 1 XXV
τί ἐρωτᾷς καὶ τί ἐθαύμασας ἐν τῇ ὀσμῇ τοῦ δένδρου, καὶ διὰ τί
θέλεις τὴν ἀλήθειαν μαθεῖν; [2]τότε ἀπεκρίθην αὐτῷ Περὶ πάντων 2
εἰδέναι θέλω, μάλιστα δὲ περὶ τοῦ δένδρου τούτου σφόδρα. [3]καὶ 3
ἀπεκρίθη λέγων Τοῦτο τὸ ὄρος τὸ ὑψηλόν, οὗ ἡ κορυφὴ ὁμοία

XXIV 2 om τρια επ (ante ανατ.) P 4 αυτω 1°] αυτων P | ευωδεστερον P XXV 2 απεκρειθη P

θρόνου θεοῦ, καθέδρα ἐστὶν οὗ καθίζει ὁ μέγας κύριος, ὁ ἅγιος τῆς P
δόξης, ὁ βασιλεὺς τοῦ αἰῶνος, ὅταν καταβῇ ἐπισκέψασθαι τὴν γῆν
4 ἐπ' ἀγαθῷ. [4]καὶ τοῦτο τὸ δένδρον εὐωδίας, καὶ οὐδεμία σὰρξ ἐξ-
ουσίαν ἔχει ἅψασθαι αὐτοῦ μέχρι τῆς μεγάλης κρίσεως, ἐν ᾗ ἐκδί-
κησις πάντων καὶ τελείωσις μέχρις αἰῶνος· τότε δικαίοις καὶ ὁσίοις
5 δοθήσεται [5]ὁ καρπὸς αὐτοῦ τοῖς ἐκλεκτοῖς εἰς ζωὴν εἰς βοράν, καὶ
μεταφυτευθήσεται ἐν τόπῳ ἁγίῳ παρὰ τὸν οἶκον τοῦ θεοῦ βασιλέως
6 τοῦ αἰῶνος. [6]τότε εὐφρανθήσονται εὐφραινόμενοι καὶ χαρήσονται
καὶ εἰς τὸ ἅγιον εἰσελεύσονται· αἱ ὀσμαὶ αὐτοῦ ἐν τοῖς ὀστέοις αὐ-
τῶν, καὶ ζωὴν πλείονα ζήσονται ἐπὶ γῆς ἣν ἔζησαν οἱ πατέρες
σου, καὶ ἐν ταῖς ἡμέραις αὐτῶν καὶ βάσανοι καὶ πληγαὶ καὶ μάστιγες
7 οὐχ ἅψονται αὐτῶν. [7]Τότε ηὐλόγησα τὸν θεὸν τῆς δόξης,
τὸν βασιλέα τοῦ αἰῶνος, ὃς ἡτοίμασεν ἀνθρώποις τὰ τοιαῦτα δικαίοις,
καὶ αὐτὰ ἔκτισεν καὶ εἶπεν δοῦναι αὐτοῖς.

XXVI 1 [1]Καὶ ἐκεῖθεν ἐφώδευσα εἰς τὸ μέσον τῆς γῆς, καὶ ἴδον τόπον
ηὐλογημένον, ἐν ᾧ δένδρα ἔχοντα παραφυάδας μενούσας καὶ βλα-
2 στούσας τοῦ δένδρου ἐκκοπέντος. [2]κἀκεῖ τεθέαμαι ὄρος ἅγιον· ὑπο-
κάτω τοῦ ὄρους ὕδωρ ἐξ ἀνατολῶν, καὶ τὴν δύσιν εἶχεν πρὸς νότον.
3 [3]καὶ ἴδον πρὸς ἀνατολὰς ἄλλο ὄρος ὑψηλότερον τούτου, καὶ ἀνὰ
μέσον αὐτοῦ φάραγγα βαθεῖαν, οὐκ ἔχουσαν πλάτος, καὶ δι' αὐτῆς
4 ὕδωρ πορεύεται ὑποκάτω ὑπὸ τὸ ὄρος. [4]καὶ πρὸς δυσμὰς τούτου
ἄλλο ὄρος ταπεινότερον αὐτοῦ καὶ οὐκ ἔχον ὕψος, καὶ φάραγγα
βαθεῖαν καὶ ξηρὰν ἀνὰ μέσον αὐτῶν, καὶ ἄλλην φάραγγα βαθεῖαν
5 καὶ ξηρὰν ἐπ' ἄκρων τῶν τριῶν ὀρέων. [5]καὶ πόσαι φάραγγές εἰσιν
βαθεῖαι ἐκ πέτρας στερεᾶς, καὶ δένδρον οὐκ ἐφυτεύετο ἐπ' αὐτάς.

XXVII 6 1 [6]καὶ ἐθαύμασα περὶ τῆς φάραγγος, καὶ λίαν ἐθαύμασα. [1]καὶ εἶπον
Διὰ τί ἡ γῆ αὕτη ἡ εὐλογημένη καὶ πᾶσα πλήρης δένδρων, αὐτὴ
2 δὲ ἡ φάραγξ κεκατηραμένη ἐστίν; [2]γῆ κατάρατος τοῖς κεκαταρα-
μένοις ἐστὶν μέχρι αἰῶνος. ὧδε ἐπισυναχθήσονται πάντες οἱ κεκατη-
ραμένοι οἵτινες ἐροῦσιν τῷ στόματι αὐτῶν κατὰ Κυρίου φωνὴν
ἀπρεπῆ, καὶ περὶ τῆς δόξης αὐτοῦ σκληρὰ λαλήσουσιν. ὧδε ἐπι-
3 συναχθήσονται, καὶ ὧδε ἔσται τὸ οἰκητήριον. [3]ἐπ' ἐσχάτοις αἰῶσιν,
ἐν ταῖς ἡμέραις τῆς κρίσεως τῆς ἀληθινῆς ἐναντίον τῶν δικαίων
εἰς τὸν ἅπαντα χρόνον, ὧδε εὐλογήσουσιν οἱ εὐσεβεῖς τὸν κύριον
4 τῆς δόξης, τὸν βασιλέα τοῦ αἰῶνος· [4]ἐν ταῖς ἡμέραις τῆς κρίσεως
5 αὐτῶν εὐλογήσουσιν ἐν ἐλέει, ὡς ἐμέρισεν αὐτοῖς. [5]Τότε
ηὐλόγησα τὸν κύριον τῆς δόξης, καὶ τὴν δόξαν αὐτοῦ ἐδήλωσα καὶ
ὕμνησα μεγαλοπρεπῶς.

XXV 4 εν] ει P 5 βασιλευς P 7 ηυλογησαν P
XXVI 6 φαραγγας P XXVII 2 οιτινες] τινες P 3 ευσεβεις coniec Charles] ασεβεις P

P [1]Καὶ ἐκεῖθεν ἐπορεύθην εἰς τὸ μέσον Μανδαβαρά, καὶ ἴδον αὐτὸ 1 XXVIII
ἔρημον καὶ αὐτὸ μόνον, [2]πλῆρες δένδρων καὶ ἀπὸ τῶν σπερ- 2
μάτων ὕδωρ ἄνομβρον ἄνωθεν φερόμενον, [3]ὡς ὑδραγωγὸς δαψι- 3
λὴς ὡς πρὸς βορρᾶν ἐπὶ δυσμῶν πάντοθεν ἀνάγει ὕδωρ καὶ δρό-
σον. [1]Ἔτι ἐκεῖθεν ἐπορεύθην εἰς ἄλλον τόπον ἐν τῷ 1 XXIX
Βαβδηρά, καὶ πρὸς ἀνατολὰς τοῦ ὄρους τούτου ᾠχόμην, [2]καὶ ἴδον 2
κρίσεως δένδρα πνέοντα ἀρωμάτων, λιβάνων καὶ ζμύρνας, καὶ τὰ
δένδρα αὐτῶν ὅμοια καρύαις. [1]Καὶ ἐπέκεινα τούτων ᾠχόμην 1 XXX
πρὸς ἀνατολὰς μακράν, καὶ ἴδον τόπον ἄλλον μέγαν, φάραγγα
ὕδατος, [2]ἐν ᾧ καὶ δένδρον χρόα ἀρωμάτων ὁμοίων σχίνῳ, [3]καὶ 2 3
τὰ παρὰ τὰ χείλη τῶν φαράγγων τούτων ἴδον κιννάμωμον ἀρω-
μάτων· καὶ ἐπέκεινα τούτων ᾠχόμην πρὸς ἀνατολάς. [1]καὶ ἴδον 1 XXXI
ἄλλα ὄρη καὶ ἐν αὐτοῖς ἄλση δένδρων, καὶ ἐκπορευόμενον ἐξ αὐτῶν
νέκταρ τὸ καλούμενον σαρρὰν καὶ χαλβάνη. [2]καὶ ἐπέκεινα τῶν 2
ὀρέων τούτων ἴδον ἄλλο ὄρος πρὸς ἀνατολὰς τῶν περάτων τῆς
γῆς, καὶ πάντα τὰ δένδρα πλήρη ἐξαυτῆς ἐν ὁμοιώματι ἀμυγδάλων,
[3]ὅταν τριβῶσιν· διὸ εὐωδέστερον ὑπὲρ πᾶν ἄρωμα. [1]εἰς βορρᾶν 1 XXXII
πρὸς ἀνατολὰς τεθέαμαι ἑπτὰ ὄρη πλήρη νάρδου χρηστοῦ καὶ σχίνου
καὶ κινναμώμου καὶ πιπέρεως.

[2]Καὶ ἐκεῖθεν ἐφώδευσα ἐπὶ τὰς ἀρχὰς πάντων τῶν ὀρέων τού- 2
των, μακρὰν ἀπέχων πρὸς ἀνατολὰς τῆς γῆς, καὶ διέβην ἐπάνω τῆς
ἐρυθρᾶς θαλάσσης, καὶ ᾠχόμην ἐπ' ἄκρων, καὶ ἀπὸ τούτου διέβην
ἐπάνω τοῦ Ζωτιήλ. [3]καὶ ἦλθον πρὸς τὸν παράδεισον τῆς δικαιο- 3
σύνης, καὶ ἴδον μακρόθεν τῶν δένδρων τούτων. δένδρα πλείονα
καὶ μεγάλα δύο μὲν ἐκεῖ, μεγάλα σφόδρα καλὰ καὶ ἔνδοξα καὶ
μεγαλοπρεπῆ, καὶ τὸ δένδρον τῆς φρονήσεως, οὗ ἐσθίουσιν ἅγιοι
τοῦ καρποῦ αὐτοῦ καὶ ἐπίστανται φρόνησιν μεγάλην. [4]ὅμοιον τὸ 4
δένδρον ἐκεῖνο στροβιλέᾳ τὸ ὕψος, τὰ δὲ φύλλα αὐτοῦ κερατίᾳ ὅμοια,
ὁ δὲ καρπὸς αὐτοῦ ὡσεὶ βότρυες ἀμπέλου ἱλαροὶ λίαν, ἡ δὲ ὀσμὴ
αὐτοῦ διέτρεχεν πόρρω ἀπὸ τοῦ δένδρου. [5]τότε εἶπον Ὡς καλὸν 5
τὸ δένδρον, καὶ ὡς ἐπίχαρι τῇ ὁράσει. [6]τότε ἀπεκρίθη Ῥαφαήλ, ὁ 6
ἅγιος ἄγγελος ὁ μετ' ἐμοῦ ὤν Τοῦτο τὸ δένδρον φρονήσεως, ἐξ οὗ
ἔφαγεν ὁ πατήρ σου.

* * * * * * *

V [42]Καὶ οἱ κύνες ἤρξαντο κατεσθίειν τὰ πρόβατα καὶ οἱ ὗες καὶ οἱ 42 LXXXIX
ἀλώπεκες κατήσθιον αὐτά, μέχρι οὗ ἤγειρεν ὁ κύριος τῶν προβάτων

XXIX 2 ζμυρνα P   XXXI 2 αρωματων P   XXXII 3 ελθων P
4 κερατι P   LXXXIX 42 και οι κυνες] pr εκ του του Ενωχ βιβλιου
χρησις V

43 κριὸν ἕνα ἐκ τῶν προβάτων. [43]καὶ ὁ κριὸς οὗτος ἤρξατο κερατίζειν V
καὶ ἐπιδιώκειν ἐν τοῖς κέρασιν, καὶ ἐνετίνασσεν εἰς τοὺς ἀλώπεκας,
καὶ μετ᾽ αὐτοὺς εἰς τοὺς ὕας· καὶ ἀπώλεσεν ὕας πολλούς, καὶ μετ᾽ αὐτοὺς
44 [ἐλυμήνα]το τοὺς κύνας. [44]καὶ τὰ πρόβατα ὧν οἱ ὀφθαλμοὶ ἠνοίγησαν
ἐθεάσαντο τὸν κριὸν τὸν ἐν τοῖς προβάτοις, ἕως οὗ ἀφῆκεν τὴν ὁδὸν
45 αὐτοῦ καὶ ἤρξατο πορεύεσθαι ἀνοδίᾳ. [45]καὶ ὁ κύριος τῶν προβάτων
ἀπέστειλεν τὸν ἄρνα τοῦτον ἐπὶ ἄρνα ἕτερον, τοῦ στῆσαι αὐτὸν εἰς
κριὸν ἐν ἀρχῇ τῶν προβάτων ἀντὶ τοῦ κριοῦ τοῦ ἀφέντος τὴν ὁδὸν
46 αὐτοῦ. [46]καὶ ἐπορεύθη πρὸς αὐτὸν καὶ ἐλάλησεν αὐτῷ σιγῇ κατὰ
μόνας, καὶ ἤγειρεν αὐτὸν εἰς κριὸν καὶ εἰς ἄρχοντα καὶ εἰς ἡγούμενον
τῶν προβάτων· καὶ οἱ κύνες ἐπὶ πᾶσι τούτοις ἔθλιβον τὰ πρόβατα.
47 [47][καὶ] ὁ κριὸς ὁ πρῶτος τὸν κριὸν τὸν δεύτερον ἐπεδίωκεν, καὶ
ἔφυγεν ἀπὸ προσώπου αὐτοῦ· εἶτ᾽ ἐθεώρουν τὸν κριὸν τὸν πρῶτον
48 ἕως οὗ ἔπεσεν ἔμπροσθεν τῶν κυνῶν. [48]καὶ ὁ κριὸς ὁ δεύτερος
49 ἀναπηδήσας ἀφηγήσατο τῶν προβάτων. [49]καὶ τὰ πρόβατα ηὐξήθησαν
καὶ ἐπληθύνθησαν· καὶ πάντες οἱ κύνες καὶ αἱ ἀλώπεκες ἔφυγον
ἀπ᾽ αὐτοῦ καὶ ἐφοβοῦντο αὐτόν.

* * * * * * *

Cap. incert. 1 * * [1]παρὰ δὲ τοῦ ὄρους ἐν ᾧ ὤμοσαν καὶ ἀνεθεμάτισαν πρὸς τὸν πλη- Sync.
σίον αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα οὐ μὴ ἀποστῇ ἀπ᾽ αὐτοῦ ψῦχος καὶ χιὼν
καὶ πάχνη, καὶ δρόσος οὐ μὴ καταβῇ εἰς αὐτό, εἰ μὴ εἰς κατάραν κατα-
2 βήσεται ἐπ᾽ αὐτό, μέχρις ἡμέρας κρίσεως τῆς μεγάλης. [2]ἐν τῷ καιρῷ
ἐκείνῳ κατακαυθήσεται καὶ ταπεινωθήσεται, καὶ ἔσται κατακαιόμενον
καὶ τηκόμενον ὡς κηρὸς ἀπὸ πυρός, οὕτως κατακαήσεται περὶ πάντων
3 τῶν ἔργων αὐτοῦ. [3]καὶ νῦν ἐγὼ λέγω ὑμῖν υἱοῖς ἀνθρώπων Ὀργὴ
μεγάλη καθ᾽ ὑμῶν, κατὰ τῶν υἱῶν ὑμῶν· καὶ οὐ παύσεται ἡ ὀργὴ αὕτη
4 ἀφ᾽ ὑμῶν μέχρι καιροῦ σφαγῆς τῶν υἱῶν ὑμῶν. [4]καὶ ἀπολοῦνται οἱ
ἀγαπητοὶ ὑμῶν καὶ ἀποθανοῦνται οἱ ἔντιμοι ὑμῶν ἀπὸ πάσης τῆς γῆς,
ὅτι πᾶσαι αἱ ἡμέραι τῆς ζωῆς αὐτῶν ἀπὸ τοῦ νῦν οὐ μὴ ἔσονται πλείω
5 τῶν ἑκατὸν εἴκοσιν ἐτῶν. [5]καὶ μὴ δόξητε ἔτι ζῆσαι ἐπὶ πλείονα ἔτη·
οὐ γάρ ἐστιν ἐπ᾽ αὐτοῖς πᾶσα ὁδὸς ἐκφεύξεως ἀπὸ τοῦ νῦν, διὰ τὴν
ὀργὴν ἣν ὠργίσθη ὑμῖν ὁ βασιλεὺς πάντων τῶν αἰώνων· μὴ νομίσητε
ὅτι ἐκφεύξεσθε ταῦτα.

LXXXIX 44 ελυμηνατο coniec Kirkpatrick] . . . το V 47 και ο κρ.] εξης δε τουτοις γεγραπται οτι ο κρ. V | εθεωρουν] + φησιν V

Cap. incert. 1 παρα δε τ. ορους] pr και αυθις Sync | παρα] περι Sync^{g} | επ αυτο] εις αυτο Sync^{g} 2 και ταπ.] om και Sync^{g} 5 εκφ. ταυτα] seq in Sync και ταυτα μεν εκ του πρωτου βιβλιου Ενωχ (βιβλου του Ε. Sync^{g}) περι των εγρηγορων κτλ.

λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς.

ΩΔΑΙ

Α´

I ᾨδὴ Μωυσέως ἐν τῇ Ἐξόδῳ. A

Exod. xv. 1—19

1 ΑΣΩΜΕΝ τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται·
ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν.
2 [2]βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν·
οὗτος θεός μου, καὶ δοξάσω αὐτόν,
θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν.
3 [3]Κύριος συντρίβων πολέμους,
Κύριος ὄνομα αὐτῷ.
4 [4]ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν·
ἐπιλέκτους ἀναβάτας τριστάτας
κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ,
5 [5]πόντῳ ἐκάλυψεν αὐτούς·
κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος.
6 [6]ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύι·
ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς.
7 [7]καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους·
ἀπέστειλας τὴν ὀργήν σου, καὶ κατέφαγεν αὐτοὺς ὡς καλάμην.
8 [8]καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ·
ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα,
ἐπάγη τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης.
9 [9]εἶπεν ὁ ἐχθρός Διώξας καταλήμψομαι·

I deest tit in R 1 *ερειψεν* R: item 4 2 *εγενετο*] *εγενηθη* R R | *ουτος θεος μου*] *μου θεος* R 5 *εις*] *ως* R[vid] | *ωσει*] *ως* R 7 *τω πληθει*] *το πληθος* R | *της δοξης*] om *της* spatio 2 vel 3 litt interiecto R | *επεστειλας* R | *ως*] *ωσει* R 8 *ωσει*] *ως* R 9 *καταλημψ.*] + *αυτους* R

A μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου,
ἀνελῶ τῇ μαχαίρῃ μου, κυριεύσει ἡ χείρ μου.
[10]ἀπέστειλας τὸ πνεῦμά σου, καὶ ἐκάλυψεν αὐτοὺς θάλασσα· 10
ἔδυσαν ὡσεὶ μόλιβος ἐν ὕδατι σφοδρῷ.
[11]τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε; τίς ὅμοιός σοι; 11
δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα.
[12]ἐξέτεινας τὴν δεξιάν σου, 12
καὶ κατέπιεν αὐτοὺς ἡ γῆ.
[13]ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον ὃν ἐλυτρώσω, 13
παρεκάλεσας τῇ ἰσχύι σου εἰς κατάλυμα ἅγιόν σου.
[14]ἤκουσαν ἔθνη καὶ ἐφοβήθησαν· 14
ὠδῖνες ἔλαβον κατοικοῦντας Φυλιστιείμ.
[15]τότε ἔσπευσαν ἡγεμόνες Ἐδὼμ καὶ ἄρχοντες Μωαβιτῶν· 15
ἔλαβεν αὐτοὺς τρόμος,
ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χανάαν.
[16]ἐπιπέσοι ἐπ' αὐτοὺς φόβος καὶ τρόμος· 16
μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν·
ἕως ἂν παρέλθῃ ὁ λαός σου, Κύριε,
ἕως ἂν παρέλθῃ ὁ λαός σου οὗτος ὃν ἐκτήσω.
[17]εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, 17
εἰς ἕτοιμον κατοικητήριόν σου ὃ κατειργάσω,
ἁγίασμα, κύριε, ὃ ἡτοίμασαν αἱ χεῖρές σου,
[18]Κύριε, βασιλεύων τὸν αἰῶνα καὶ ἐπ' αἰῶνα καὶ ἔτι. 18
[19]ὅτι εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασιν καὶ ἀναβάταις αὐτοῦ 19
εἰς θάλασσαν,
καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς Κύριος τὸ ὕδωρ τῆς θαλάσσης·
οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς
θαλάσσης.

R 10 om και R | μολυβος R^{vid} 12 ξιαν pro δεξ. R 13 καταλιμμα R 14 εφοβηθησαν] ωργισθησαν R | κατοικουντας] οι κατοικουντες R | Φιλιστιμ R^{vid} 16 επιπεσαι R | αν 1°] ου R | παρελθοι (1°) R^{vid} | om σου Κυριε...ο λαος σου (sed spatio interiecto) R hab R^{lat} 17 κατειργασω] κατηρτισω R + Κυριε R 18 βασιλευων] pr ο R | τον αιωνα] pr εις R 19 om αυτου R | θαλασσαν] + ερυθραν R | θαλασσης 2°] + (20) λαβουσα δε η Μαρια| η προφητις η αδελφη Ααρων| το τυμπανον εν τη χειρι αυτης| και εισηλθοσαν πασαι αι γυναικες| οπισω αυτης μετα τυμπανων και χορων| (21) εξηρχεν δε αυτων Μαριαμ λεγουσα| ασωμεν τω κυριω ενδοξως γαρ| δεδοξασται ιππον και αναβατην εριψεν εις θαλασσαν R

Β´

II *Ὠδὴ Μωυσέως ἐν τῷ Δευτερονομίῳ.* A

Deut. xxxii. 1—43

1 [1]Πρόσεχε, οὐρανέ, καὶ λαλήσω·
καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου.
2 [2]προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου,
καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου·
ὡσεὶ ὄμβρος ἐπ᾽ ἄγρωστιν,
καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον.
3 [3]ὅτι ὄνομα Κυρίου ἐκάλεσα·
δότε μεγαλωσύνην τῷ θεῷ ἡμῶν.
4 [4]θεός, ἀληθινὰ τὰ ἔργα αὐτοῦ,
καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσις·
θεὸς πιστός, καὶ οὐκ ἔστιν ἀδικία·
δίκαιος καὶ ὅσιος Κύριος.
5 [5]ἡμάρτοσαν, οὐκ αὐτῷ τέκνα, μωμητά·
γενεὰ σκολιὰ καὶ διεστραμμένη.
6 [6]ταῦτα Κυρίῳ ἀνταποδίδοτε οὕτω,
λαὸς μωρὸς καὶ οὐχὶ σοφός;
οὐκ αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατό σε,
καὶ ἐποίησέν σε καὶ ἔκτισέν σε;
7 [7]μνήσθητε ἡμέρας αἰῶνος,
σύνετε ἔτη γενεᾶς γενεῶν.
ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι·
τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσίν σοι.
8 [8]ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη,
οὓς διέσπειρεν υἱοὺς Ἀδάμ,
ἔστησεν ὅρια ἐθνῶν
κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ.
9 [9]καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ,
σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.
10 [10]αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ,
ἐν δίψῃ καύματος, ἐν ἀνύδρῳ·

II *ωδη...Δευτερονομιω*] *αρχεται ωδη Δευτερονομιου* R 1 *γη*] pr *η* R | R *ρηματα*] pr *τα* R 2 *το αποφθεγμα*] om *το* R | *ωσει* 2°] *ως* R 4 *αδικια*] + *εν αυτω* R | *Κυριος*] pr *ο* R 6 *ταυτα*] *αυτα* R | *ουτως* R | om *ουτος* R 8 *ους*] *ως* R[vid] | *κατα*] *κατ* R 10 *διψει* R

A ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτόν,
καὶ διεφύλαξεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ.
[11]ὡς ἀετὸς σκεπάσαι νοσσιὰν αὐτοῦ, 11
καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησεν·
διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτούς,
καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ.
[12]Κύριος μόνος ἦγεν αὐτούς, 12
καὶ οὐκ ἦν μετ' αὐτῶν θεὸς ἀλλότριος.
[13]ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς, 13
ἐψώμισεν αὐτοὺς γενήματα ἀγρῶν·
ἐθήλασαν μέλι ἐκ πέτρας,
καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας·
[14]βούτυρον βοῶν καὶ γάλα προβάτων 14
μετὰ στέατος ἀρνῶν καὶ κριῶν,
υἱῶν ταύρων καὶ τράγων
μετὰ στέατος νεφρῶν πυροῦ,
καὶ αἷμα σταφυλῆς ἔπιον οἶνον.
[15]καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη, 15
καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος,
ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη·
καὶ ἐνκατέλειπεν θεὸν τὸν ποιήσαντα αὐτόν,
καὶ ἀπέστη ἀπὸ θεοῦ σωτῆρος αὐτοῦ.
[16]παρώξυνάν με ἐπ' ἀλλοτρίοις, 16
ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν με·
[17]ἔθυσαν δαιμονίοις καὶ οὐ θεῷ, 17
θεοῖς οἷς οὐκ ᾔδεισαν·
καινοὶ καὶ πρόσφατοι ἥκασιν,
οὓς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν.
[18]θεὸν τὸν ποιήσαντά σε ἐνκατέλειπες, 18
καὶ ἐπελάθου θεοῦ τοῦ τρέφοντός σε.
[19]εἶδεν Κύριος καὶ ἐζήλωσεν, 19
καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέρων·

R 10 διεφυλαξεν] εφυλαξεν R | κοραν R 11 σκεπασει R | νεοσσοις] νοσσιοις R 14 om και 4° R 15 ελιπανθη...σωτηρος αυτου] επλατυνθη επαχυνθη| και απεστη απο θεου| σωτηρος αυτου και ενκατελιπεν θεον τον ποιησαντα αυτον R 16 επ αλλοτριοις] επι θεοις αλλ. R 17 om και 2° R 18 ποιησαντα] γεννησαντα R | ενκατελιπες R[vid] 19 παρωξυνεν R | αυτου] αυτων R

20 [20]καὶ εἶπεν Ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, A
καὶ δείξω τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων.
ὅτι γενεὰ ἐξεστραμμένη ἐστίν,
υἱοὶ οἷς οὐκ ἔστιν πίστις ἐν αὐτοῖς.
21 [21]αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ,
παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν·
κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει,
ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.
22 [22]ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου,
καυθήσεται ἕως ᾅδου κάτω·
καταφάγεται γῆν καὶ τὰ γενήματα αὐτῆς,
φλέξει θεμέλια ὀρέων.
23 [23]συνάξω εἰς αὐτοὺς κακά,
καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς.
24 [24]τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων,
καὶ ὀπισθότονος ἀνίατος·
ὀδόντας θηρίων ἐξαποστελῶ εἰς αὐτούς,
μετὰ θυμοῦ συρόντων ἐπὶ γῆς.
25 [25]ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα,
καὶ ἐκ τῶν ταμείων φόβος·
νεανίσκος σὺν παρθένῳ,
θηλάζων μετὰ καθεστηκότος πρεσβυτέρου.
26 [26]εἶπα Διασπερῶ αὐτούς,
καταπαύσω δὴ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν·
27 [27]εἰ μὴ δι' ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονίσωσιν,
καὶ ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι·
μὴ εἴπωσιν Ἡ χεὶρ ἡμῶν ὑψηλὴ
καὶ οὐχὶ Κύριος ἐποίησεν ταῦτα πάντα.
28 [28]ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν ἐστιν,
καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη.
29 [29]οὐκ ἐφρόνησαν συνιέναι ταῦτα·
καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον.
30 [30]πῶς διώξεται εἷς χιλίους,
καὶ δύο μετακινήσουσιν μυριάδας,

20 εσχατων] εσχατου των ημερων R **21** θεω] θεοις R **22** κατω] R κατωτατου R | καταφαγεται] pr και R | γην] pr την R **23** εις 1°] επ R **24** λοιμω R[vid] | αποστελλω R **26** παυσω R **27** μακροχρονιουσιν R | om και 1° R | μη 4°] + ποτε R **29** ταυτα c seqq coniunx R

A εἰ μὴ ὁ θεὸς ἀπέδετο αὐτούς,
καὶ ὁ κύριος παρέδωκεν αὐτούς;
31 οὐ γάρ εἰσιν οἱ θεοὶ αὐτῶν ὡς ὁ θεὸς ἡμῶν· 31
οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι.
32 ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, 32
καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας·
ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς,
βότρυς πικρίας αὐτοῖς·
33 θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, 33
καὶ θυμὸς ἀσπίδων ἀνίατος.
34 οὐχὶ ταῦτα πάντα συνῆκται παρ' ἐμοί, 34
καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου;
35 ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, 35
ἐν καιρῷ ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν·
ὅτι ἐγγὺς ἡμέρα ἀπωλίας αὐτῶν,
καὶ πάρεστιν ἕτοιμα ὑμῖν.
36 ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ, 36
καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται·
ἴδεν γὰρ αὐτοὺς παραλελυμένους
καὶ ἐκλελοιπότας ἐν ἐπαγωγῇ καὶ παρειμένους.
37 καὶ εἶπεν Κύριος Ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν, 37
ἐφ' οἷς ἐπεποίθεισαν ἐπ' αὐτοῖς;
38 ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἐσθίετε, 38
καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν·
ἀναστήτωσαν καὶ βοηθησάτωσαν ὑμῖν,
καὶ γενηθήτωσαν ὑμῖν σκεπασταί.
39 ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι, 39
καὶ οὐκ ἔστιν θεὸς πλὴν ἐμοῦ·
ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω·
πατάξω, κἀγὼ ἰάσομαι·
καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος.
40 ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, 40

R 30 ει] pr και R | απεδοτο R 31 οτι ουκ εστιν ο θεος ημων ως οι θεοι αυτων R 34 ουχι] ουκ ιδου R | om παντα R 36 παρακλησεται R* (θη superscr R[1]) | παραλελυμενους αυτους R | εκλελοιποντας (ut vid) R | απαγωγη R | παρειμενους] απαγομενους R[vid] 38 om των αυτων R | αναστητωσαν]+νυν R 39 εστιν] εσται R | ο] ος AR | εκ των χειρων μου εξαιρ.] εξελειται εκ τ. χ. μου R 40 ουρανον]+ανω R | την χειρα] τας χειρας R

καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου A
καὶ ἐρῶ Ζῶ ἐγὼ εἰς τὸν αἰῶνα·
41 [41]ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου,
καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου,
καὶ ἐκδικήσει, καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς,
καὶ τοῖς μισοῦσιν ἀνταποδώσει.
42 [42]μεθύσω τὰ βέλη μου ἀφ' αἵματος,
καὶ ἡ μάχαιρά μου καταφάγεται κρέα,
ἀφ' αἵματος τραυματιῶν καὶ αἰχμαλωσίας,
ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν.
43 [43]εὐφράνθητε, οὐρανοί, ἅμα αὐτῷ,
καὶ προσκυνησάτωσαν αὐτῷ πάντες οἱ ἄγγελοι θεοῦ·
εὐφράνθητε, ἔθνη, μετὰ τοῦ λαοῦ αὐτοῦ,
καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ θεοῦ·
ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται,
καὶ ἐκδικήσει, καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς·
καὶ τοῖς μισοῦσιν ἀνταποδώσει δίκην,
καὶ ἐκκαθαριεῖ Κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ.

Γ'

III Προσευχὴ Ἄννας μητρὸς Σαμουήλ.

Regn. ii. 1—10

1 [1]Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ,
ὑψώθη κέρας μου ἐν θεῷ μου·
ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου,
ηὐφράνθην ἐν σωτηρίᾳ σου.
2 [2]ὅτι οὐκ ἔστιν ἅγιος ὡς Κύριος,
καὶ οὐκ ἔστιν δίκαιος ὡς ὁ θεὸς ἡμῶν,
οὐκ ἔστιν ἅγιος πλὴν σοῦ.
3 [3]μὴ καυχᾶσθε καὶ μὴ λαλεῖτε ὑψηλά,
μηδὲ ἐξελθάτω μεγαλορημοσύνη ἐκ τοῦ στόματος ὑμῶν·

40 ομνουμαι R | την δεξιαν μ. R   41 om και εκδικησει R | R ανταποδωσω R bis | εχθροις] + μου R | μισουσιν] + με R   42 φαγεται R | om εθνων R   43 αυτω 2°] αυτον R | οι αγγελοι] υιοι R | υιοι] οι αγγελοι R | εκδικαται R | om δικην 2° R | αυτου 3°] + (44) και εγραψεν Μωυσης την ωδην ταυτην | εν εκεινη τη ημερα και εδιδαξεν αυτην | τοις υιοις Ισραηλ εως εις τελος R   III ([ϛ'] T) om μητρος Σαμουηλ R   2 om και ουκ εστιν δικαιος ως ο θεος ημων R   3 μηδε] και μη R

A ὅτι θεὸς γνώσεων Κύριος,
καὶ θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ.
[4]τόξον δυνατῶν ἠσθένησεν, 4
καὶ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.
[5]πλήρεις ἄρτων ἠλαττώθησαν, 5
καὶ οἱ πεινῶντες παρῆκαν γῆν.
ὅτι στεῖρα ἔτεκεν ἑπτά,
καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησεν.
§ T [6§]Κύριος θανατοῖ καὶ ζωογονεῖ· 6
κατάγει εἰς ᾅδου καὶ ἀνάγει.
[7]Κύριος πτωχίζει καὶ πλουτίζει, 7
ταπεινοῖ καὶ ἀνυψοῖ.
[8]ἀνιστᾷ ἀπὸ γῆς πένητα, 8
καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν·
τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ,
καὶ θρόνον δόξης κατακληρονομῶν αὐτοῖς.
[9]διδοὺς εὐχὴν τῷ εὐχομένῳ, 9
καὶ εὐλόγησεν ἔτη δικαίου.
ὅτι οὐκ ἐν ἰσχύι δυνατὸς ἀνήρ·
[10]Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ· 10
Κύριος ἅγιος.
μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ,
καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ,
καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ·
ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος,
συνίειν καὶ γινώσκειν τὸν κύριον,
καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς.
Κύριος ἀνέβη εἰς οὐρανούς, καὶ ἐβρόντησεν·
αὐτὸς κρινεῖ ἄκρα γῆς, δίκαιος ὤν.
καὶ δίδωσιν ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν,
¶ AT καὶ ὑψώσει κέρας χριστοῦ αὐτοῦ.¶

RT 5 πληρης R 8 bis scr μετα δυναστων R* (improb 1° R[1?]) | και θρονον] εν θρονω R 9 ανηρ] + εν τη ισχυι αυτου T 10 κανκαυχασθω (4°) R[vid] | συνιειν] pr εν τω T | αυτος] pr και R | om δικαιος ων R | om και 7° R | διδωσιν] δωσει T

Δʹ (α)

IV^a **Ὠδὴ Ἡσαίου.** R

Isa. v. 1—9

1 [1]Ἄσω δὲ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ τῷ ἀμπελῶνί μου.
ἀμπελὼν ἐγένετο τῷ ἠγαπημένῳ ἐν κέρατι ἐν τόπῳ πίονι·
2 [2]καὶ φραγμὸν περιέθηκα, καὶ ἐφύτευσαν ἄμπελον ἐν σωρήκ.
καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτῆς, καὶ προλήνιον ὤρυξα
ἐν αὐτῷ·
καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησεν δὲ ἀκάνθας:
3 [3]καὶ νῦν, ἄνθρωπος τοῦ Ἰούδα καὶ οἱ ἐνοικοῦντες ἐν Ἰερουσαλήμ,
κρίνατε ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου.
4 [4]τί ποιήσω τῷ ἀμπελῶνί μου ἔτι, καὶ οὐκ ἐποίησα αὐτῷ;
διότι ἔμεινα ἵνα ποιήσῃ σταφυλήν, ἐποίησεν δὲ ἀκάνθας.
5 [5]νῦν δὲ ἀναγγελῶ ὑμῖν τί ποιήσω τῷ ἀμπελῶνί μου·
ἀφελῶ τὸν φραγμὸν αὐτοῦ καὶ ἔσται εἰς καταπάτημα,
καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ καὶ ἔσται εἰς καταπάτημα.
6 [6]καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ οὐδὲ μὴ σκαφῇ.
καὶ ἀναβήσεται εἰς αὐτὸν ὡσεὶ εἰς χέρσον ἄκανθα·
καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν.
7 [7]ὁ γὰρ ἀμπελὼν Κυρίου σαβαὼθ οἶκος Ἰσραὴλ ἐστιν,
καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον·
καὶ ἔμεινα τοῦ ποιῆσαι κρίσιν,
ἐποίησεν δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην ἀλλὰ κραυγήν.
8 [8]καὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν,
καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφελοῦνταί,
μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς;
9 [9]ἠκούσθη γὰρ ταῦτα πάντα εἰς τὰ ὦτα Κυρίου σαβαώθ.¶ ¶ R

Δʹ (β)

IV^b §**Προσευχὴ Ἡσαίου.** A § A

Isa. xxvi. 9—20

9 [9]Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ θεός,
διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς·
δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

IV^a [δʹ] R 2 εφυτευσα R[1] 6 ακανθη R 8 επι της γης AR paene evan in R IV^b δʹ A | Ησαιου] Εζεκιου A

A [10]πέπαυται γὰρ ὁ ἀσεβής· οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, 10
ἀλήθειαν οὐ μὴ ποιήσει·
ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου.
[11]Κύριε, ὑψηλός σου ὁ βραχίων καὶ οὐκ ᾔδεισαν, 11
γνόντες δὲ αἰσχυνθήτωσαν·
ζῆλος λήμψεται λαὸν ἀπαίδευτον,
καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.
[12]Κύριε ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· 12
πάντα γὰρ ἀπέδωκας ἡμῖν.
[13]Κύριε ὁ θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς· 13
Κύριε, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν,
τὸ ὄνομά σου ὀνομάζομεν.
[14]οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, 14
οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσουσιν·
διὰ τοῦτο ἐπήγαγες καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν.
[15]πρόσθες αὐτοῖς κακά, Κύριε, 15
πρόσθες κακὰ ἐπὶ τοῖς ἐνδόξοις τῆς γῆς.
[16]Κύριε, ἐν θλίψει ἐμνήσθην σου· 16
ἐν θλίψει μικρᾷ ἡ παιδία σου ἡμῖν.
[17]καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν, 17
καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραξεν,
οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου.
[18]διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν 18
καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν·
πνεῦμα σωτηρίας σου ἐποιήσαμεν ἐπὶ τῆς γῆς·
οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.
[19]ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνήμασιν, 19
καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ·
ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν,
ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται.
[20]βάδιζε, λαός μου, εἴσελθε εἰς τὰ ταμεῖά σου, 20
ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον,
ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου.

18 om ου πεσουμεθα A* (hab A^a)

Ε′

V [1]Προσευχὴ Ἰωνᾶ. §R A

Jon. ii. 3—10

3 [3]Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν θεόν μου,
καὶ εἰσήκουσέν μου ἐκ κοιλίας ᾅδου κραυγῆς μου·
ἤκουσας φωνῆς μου.
4 [4]ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης,
καὶ ποταμοί με ἐκύκλωσαν,
πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ᾽ ἐμὲ
διῆλθον.
5 [5]κἀγὼ εἶπα Ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου·
ἆρα προσθήσω τοῦ ἐπιβλέψαι πρὸς ναὸν τὸν ἅγιόν σου;
6 [6]περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου,
ἄβυσσος ἐκύκλωσέν με ἐσχάτη,
ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων·
7 [7]κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι·
καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, Κύριε ὁ θεός μου.
8 [8]ἐν τῷ ἐκλείπειν τὴν ψυχήν μου ἀπ᾽ ἐμοῦ τοῦ κυρίου ἐμνήσθην,
καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου εἰς ναὸν ἅγιόν σου.
9 [9]φυλασσόμενοι μάταια καὶ ψευδῆ ἔλεος αὐτῶν ἐγκατέλιπον·
10 [10]ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι,
ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ κυρίῳ.

Ϝ′

VI Προσευχὴ Ἀμβακούμ.

Habac. iii. 2—19

2 [2]Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην·
κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην.
ἐν μέσῳ δύο ζῴων γνωσθήσῃ,
ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ·
ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ,
ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ.
3 [3]ὁ θεὸς ἐκ Θεμὰν ἥξει,
καὶ ὁ ἅγιος ἐξ ὄρους Φαρὰν κατασκίου δασέως.

V 3 φωνης] την φωνην R 4 απεριψας R 5 τον αγιον] om τον R 6 εκυκλωσεν] εκαλυψεν R | εδυ] εδυσεν R 8 om απ εμου R 10 σωτηριον R | τω κυριω] + αμην R VI προσευχη Αμβακουμ] αρχεται ωδη Αμβ. R 2 σου 2°] + ο θεος R | επιγνωσθηση] γνωσθηση R 3 δασεως] + διαψαλμα R

A ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ,
καὶ αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.
4 καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται, 4
τέρατα ἐν χερσὶν αὐτοῦ·
καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ.
5 πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, καὶ ἐξελεύσεται· 5
ἐν πεδίλοις οἱ πόδες αὐτοῦ.
6 ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ· 6
ἐπέβλεψεν, καὶ ἐτάκη ἔθνη καὶ διεθρύβη τὰ ὄρη βίᾳ,
ἐτάκησαν βουνοὶ αἰώνιοι πορείας αἰωνίους αὐτοῦ.
7 ἀντὶ κόπων εἶδον σκηνώματα Αἰθιόπων, 7
πτοηθήσονται καὶ αἱ σκηναὶ γῆς Μαδιάμ. διάψαλμα.
8 μὴ ἐν ποταμοῖς ὠργίσθης, Κύριε; 8
μὴ ἐν ποταμοῖς ὁ θυμός σου;
ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου;
ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου,
καὶ ἡ ἱππασία σου σωτηρία.
9 ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ τὰ σκῆπτρα, λέγει Κύριος· 9
ποταμῶν ῥαγήσεται γῆ·
10 ὄψονταί σε καὶ ὠδινήσουσιν λαοί. 10
σκορπίζων ὕδατα πορείας αὐτοῦ·
ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς·
ὕψος φαντασίας αὐτῆς ἐπήρθη.
11 ὁ ἥλιος καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς· 11
εἰς φῶς βολίδες σου πορεύσονται,
εἰς φέγγος ἀστραπῆς ὅπλων σου.
12 ἐν ἀπειλῇ σου ὀλιγώσεις γῆν, 12
καὶ ἐν θυμῷ κατάξεις ἔθνη.
13 ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου. 13
ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον·

R 3 αινεσεως] pr της R^{vid} 4 τερατα] κερ. R | αυτου 2°] + υπαρχει αυτω R 5 εν πεδιλοις] εις πεδια R | οι ποδες αυτου c seqq coniunx R 6 εστησαν R | ετακη] ετακησαν R | om και 3° R | διετριβη R^{fort} | αινιοι R* (ω superscr R^{1}) 7 αι σκηναι] σκηνωματα R | Μαδιαμ] Μαζιαν R^{vid} | om διαψαλμα R 8 om μη εν ποταμοις ο θυμος σου R | η ιππ.] om η R^{vid} 9 εντονων R^{vid} | τα σκηπτρα] + σου A* (ras σου A?) om τα R | Κυριος] + διαψαλμα R | ποταμω A* (ν superscr A^{1}) ποταμου R^{vid} | γη] pr η R 10 οδυνησουσιν R^{vid} | om αυτου R | επηρθη c seqq coniunx A 11 βολιδες] pr αι R | εις 2°] και R | αστραπης] + σου ως R | οπλων R^{fort} 12 θυμω] τω θ. σου R 13 εβαλες R

ἐξήγειρας δεσμούς σου ἕως τραχήλου. A
14 [14]διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν,
σεισθήσονται ἐν αὐτῇ·
διανοίξουσιν χαλινοὺς αὐτῶν, ὡς ἔσθων πτωχὸς λάθρα.
15 [15]καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου
ταράσσοντας ὕδατα πολλά.
16 [16]ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ κοιλία μου
ἀπὸ φωνῆς προσευχῆς χειλέων μου,
καὶ εἰσῆλθεν τρόμος εἰς τὰ ὀστᾶ μου,
καὶ ὑποκάτωθέν μου ἐταράχθη ἡ ἕξις μου.
ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου,
τοῦ ἀναβῆναί με εἰς λαὸν παροικίας μου.
17 [17]διότι συκῆ οὐ καρποφορήσει,
καὶ οὐκ ἔσται γενήματα ἐν ταῖς ἀμπέλοις·
ψεύσεται ἔργον ἐλαίας,
καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν·
ἐξέλειπον ἀπὸ βρώσεως πρόβατα,
καὶ οὐχ ὑπάρχουσιν βόες ἐπὶ φάτναις ἐξιλάσεως αὐτῶν·
18 [18]ἐγὼ δὲ ἐπὶ τῷ κυρίῳ ἀγαλλιάσομαι,
χαρήσομαι ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου.
19 [19]Κύριος ὁ θεός μου δύναμίς μου,
καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν·
ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με,
τοῦ νικῆσαι ἐν τῇ ᾠδῇ αὐτοῦ.¶ ¶R

Ζʹ

VII §Προσευχὴ Ἑζεκίου. §T

a. xviii. 9—20
10 [10]Ἐγὼ εἶπα Ἐν τῷ ὕψει τῶν ἡμερῶν μου
πορεύσομαι ἐν πύλαις ᾅδου·
καταλείψω τὰ ἔτη τὰ ἐπίλοιπα.
11 [11]εἶπα Οὐκέτι οὐ μὴ ἴδω τὸ σωτήριον τοῦ θεοῦ ἐπὶ τῆς γῆς·
οὐ μὴ ἴδω ἄνθρωπον μετὰ κατοικούντων.

13 om σου 3° R | τραχηλου] + διαψαλμα R 14 εσθιων R 15 om και RT R | τους ιππ.] om τους R 16 εξις] ισχυς R | om μου 5° R 17 τοις αμπ. A | βρωσιν] καρπον R | εξελιπον R 18 επι 1°] εν R 19 Κυριος] $\overline{κε}$ A[vid] R | και ταξει] καταστησει R | επεβιβα R | ωδη] οδω R | αυτου] + αμην R VII (ηʹ T) Εζεκιου] + του βασιλεως T 10 ειπα] ειπον T | πορευσωμαι T 11 ειπα] ειπον T | της γ.] γης ζωντων T | ου μη 2°] pr ουκετι T | ανθρ.] + ετι T

A [12]ἐξέλειπον ἐκ τῆς συγγενείας μου, 12
κατέλειπον τὸ λοιπὸν τῆς ζωῆς μου·
ἐξῆλθεν καὶ ἀπῆλθεν ἀπ' ἐμοῦ
ὥσπερ ὁ καταλύων σκηνὴν πήξας·
τὸ πνεῦμά μου παρ' ἐμοὶ ἐγένετο
ὡς ἱστός, ἐρίθου ἐγγιζούσης ἐκτεμεῖν.
[13]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ παρεδόθην ἕως πρωὶ ὡς λέοντι· 13
οὕτως συνέτριψεν πάντα τὰ ὀστᾶ μου·
ἀπὸ γὰρ τῆς ἡμέρας ἕως τῆς νυκτὸς παρεδόθην.
[14]ὡς χελιδών, οὕτω φωνήσω, 14
καὶ ὡς περιστερά, οὕτω μελετήσω.
ἐξέλειπον γὰρ οἱ ὀφθαλμοί μου τοῦ βλέπειν
εἰς τὸ ὕψος τοῦ οὐρανοῦ πρὸς τὸν κύριον,
ὃς ἐξείλατό με καὶ ἀφείλατό μου τὴν ὀδύνην τῆς ψυχῆς.
[16]κύριε, καὶ περὶ αὐτῆς γὰρ ἀνηγγέλη σοι· 16
καὶ ἐξήγειράς μου τὴν πνοήν, καὶ παρακληθεὶς ἔζησα.
[17]εἵλου γάρ μου τὴν ψυχὴν ἵνα μὴ ἀπόληται, 17
καὶ ἀπέρριψας ὀπίσω μου πάσας τὰς ἁμαρτίας μου.
[18]οὐ γὰρ οἱ ἐν ᾅδου αἰνέσουσίν σε, 18
οὐδὲ οἱ ἀποθανόντες εὐλογήσουσίν σε,°
οὐδὲ ἐλπιοῦσιν οἱ ἐν ᾅδου τὴν ἐλεημοσύνην σου.
[19]οἱ ζῶντες εὐλογήσουσίν σε ὃν τρόπον κἀγώ· 19
ἀπὸ γὰρ τῆς σήμερον παιδία ποιήσω,
ἃ ἀναγγελεῖ τὴν δικαιοσύνην σου, Κύριε τῆς σωτηρίας μου·
[20]καὶ οὐ παύσομαι εὐλογῶν σε μετὰ ψαλτηρίου 20
πάσας τὰς ἡμέρας τῆς ζωῆς μου κατέναντι τοῦ οἴκου τοῦ θεοῦ.¶

Η′

Προσευχὴ Μανασσῆ. VIII

[1]Κύριε παντοκράτωρ ἐπουράνιε,
ὁ θεὸς τῶν πατέρων ἡμῶν,
τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ,
καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου·

T 12 συγγενιας T 14 ουτως bis T | μου οι οφθ. T | βλεπειν]+με T 16 om και 1° T 17 απεριψας T 18 αποθανουνται (sic) A* -νοντες A¹ (ras υ) 19 αναγγελουσιν T 20 του θεου] κυ του θυ μου T VIII (θ′ T) Μανασση T + τ υιου Εζεκιου T 1 om επουρανιε T

2 [2]ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν σὺν παντὶ τῷ κόσμῳ A
αὐτῶν,
3 [3]ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός σου,
ὁ κλείσας τὴν ἄβυσσον καὶ σφραγισάμενος τῷ φοβερῷ καὶ
ἐνδόξῳ ὀνόματί σου,
4 [4]ὃν πάντα φρίττει καὶ τρέμει ἀπὸ προσώπου δυνάμεώς σου·
5 [5]ὅτι ἄστεκτος ἡ μεγαλοπρεπία τῆς δόξης σου,
καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου·
6 [6]ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας
σου·
7 [7]ὅτι σὺ εἶ Κύριος ὕψιστος, εὔσπλαγχνος, μακρόθυμος, καὶ πο-
λυέλεος,
καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων.
8 [8]σὺ οὖν, Κύριε ὁ θεὸς τῶν δικαίων,
οὐκ ἔθου μετάνοιαν δικαίοις,
τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τοῖς οὐχ ἡμαρτηκόσιν σοι,
ἀλλ᾽ ἔθου μετάνοιαν ἐμοὶ τῷ ἁμαρτωλῷ.
9 [9]διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης·
ὅτι ἐπλήθυναν αἱ ἀνομίαι μου,
καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ
ἀπὸ πλήθους τῶν ἀδικιῶν μου·
10 [10]κατακαμπτόμενος πολλῷ δεσμῷ σιδήρου,
εἰς τὸ ἀνανεῦσαί με ὑπὲρ ἁμαρτιῶν μου, καὶ οὐκ ἔστιν μοι
ἄνεσις·
διότι παρώργισα τὸν θυμόν σου,
καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα,
στήσας βδελύγματα καὶ πληθύνας προσοχθίσματα.
11 [11]καὶ νῦν κλίνω γόνυ καρδίας, δεόμενος τῆς παρὰ σοῦ χρηστό-
τητος·
12 [12]ἡμάρτηκα, Κύριε, ἡμάρτηκα,
καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω·
13 [13]αἰτοῦμαι δεόμενός σου,
ἄνες μοι, Κύριε, ἄνες μοι,

3 ο κλεισας] και κλ. T | σφραγισ.] + αυτην T 4 φρισσει T 6 ελεον A T
7 οτι συ] συ γαρ T | om και 2° T 8 εμοι] pr επ T 9 om οτι T |
μου 1°] + κε επληθυναν T 10 σιδηρω T | ανανευσαι] pr μη T | om με T |
υπερ αμαρτιων] την κεφαλην T | ανεσις μοι T | στησας...προσοχθ.] μη ποιησας
το θελημα σου και φυλαξας τα προσταγματα σου T 11 καρδιας] + μου T
13 αιτουμαι] pr αλλ T

A μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου,
μηδὲ εἰς τὸν αἰῶνα μηνίσας τηρήσῃς τὰ κακά μοι,
μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς·
ὅτι σὺ εἶ, Κύριε, ὁ θεὸς τῶν μετανοούντων,
[14]καὶ ἐν ἐμοὶ δείξῃς τὴν ἀγαθωσύνην σου· 14
ὅτι ἀνάξιον ὄντα σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου,
[15]καὶ αἰνέσω σε διὰ παντὸς ἐν ταῖς ἡμέραις τῆς ζωῆς μου. 15
ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν,
καὶ σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Θʹ

Προσευχὴ Ἀζαρίου. IX

[26]Εὐλογητὸς εἶ, Κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, 26 Dan. iii. 26—45
καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.
[27]ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν, 27
καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου,
καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς·
[28]καὶ κρίματα ἀληθείας ἐποίησας 28
κατὰ πάντα ὅσα ἐποίησας ἡμῖν,
καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τῶν πατέρων ἡμῶν Ἰερουσαλήμ·
ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα διὰ τὰς ἁμαρτίας ἡμῶν.
[29]ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστάντες ἀπὸ σοῦ, 29
καὶ ἐξημάρτομεν ἐν πᾶσιν·
[30]καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, 30
οὐδὲ συνετηρήσαμεν οὐδὲ ἐποιήσαμεν
καθὼς ἐνετείλω ἡμῖν ἵνα εὖ ἡμῖν γένηται.
[31]καὶ πάντα ὅσα ἐπήγαγες ἡμῖν, καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, 31
ἐν ἀληθινῇ κρίσει ἐποίησας·
[32]καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων ἐχθίστων ἀποστατῶν, 32
καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.
[33]καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα· 33

T 13 μη] pr και T 14 την αγαθ.] pr πασαν T IX (ιʹ T) προσευχη Αζαριου] υμνος των τριων παιδων T 27 κρισις A 28 οσα εποιησας] α επηγαγες T | των πατερων] pr την T 29 αποσταντες] αποστηναι T 31 επηγαγες] εποιησας T | εποιησας 1°] επηγαγες T

αἰσχύνη καὶ ὄνειδος ἐγενήθη τοῖς δούλοις σου καὶ τοῖς σεβο- A
μένοις σε.
34 [34]μὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου,
καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου,
35 [35]καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ᾽ ἡμῶν,
δι᾽ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ,
καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου
καὶ Ἰσραὴλ τὸν ἅγιόν σου,
36 [36]οἷς ἐλάλησας πρὸς αὐτοὺς λέγων
πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ,
καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.¶ ¶ T
37 [37]ὅτι, δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη,
καί ἐσμεν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρ-
τίας ἡμῶν·
38 [38]καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ
ἡγούμενος,
οὐδὲ ὁλοκαύτωσις οὐδὲ θυσία,
οὐδὲ προσφορὰ οὐδὲ θυμίαμα,
οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος.
39 [39]ἀλλ᾽ ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσ-
δεχθείημεν.
40 [40]ὡς ἐν ὁλοκαυτώμασιν κριῶν καὶ ταύρων,
καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων,
οὕτως γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον,
καὶ ἐκτελέσαι ὄπισθέν σου·
ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί.
41 [41]καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ καὶ φοβούμεθά σε,
καὶ ζητοῦμεν τὸ πρόσωπόν σου·
42 [42]μὴ καταισχύνῃς ἡμᾶς,
ἀλλὰ ποίησον μεθ᾽ ἡμῶν κατὰ τὴν ἐπιεικίαν σου,
καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέου σου·
43 [43]§καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, § T
καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε.
44 [44]καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου
κακά·
καταισχυνθείησαν ἀπὸ πάσης δυνάμεως καὶ δυναστείας,

34 μη 1°] + δη T 35 δι] δια T 37—42 desunt in T deperdito folio T
44 καταισχυνθ.] pr και T | om δυναμεως και T | δυναστιας T

A καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη·
[45]καὶ γνώτωσαν ὅτι σὺ εἶ Κύριος ὁ θεὸς μόνος, 45
καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.

Ι'

§ R [51]Ὕμνος τῶν πατέρων ἡμῶν. X

[52]Εὐλογητὸς εἶ, Κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, 52 Dan. iii. 52—88
καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας·
καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιόν σου,
καὶ ὑπεραινετὸν καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας.
[53]εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, 53
καὶ ὑπερυμνητὸς καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας.
[54]εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, καθήμενος ἐπὶ τῶν χερουβείν, 54
καὶ ὑπερυμνητὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.
[55]εὐλογημένος εἶ ἐπὶ θρόνου τῆς βασιλείας σου, 55
καὶ ὑπερυμνητὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.
[56]εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, 56
καὶ ὑπερυμνητὸς καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας.
[57]εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν κύριον· 57
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[59]εὐλογεῖτε, οὐρανοί, τὸν κύριον· 59
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[58]εὐλογεῖτε, ἄγγελοι Κυρίου, τὸν κύριον· 58
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[60]εὐλογεῖτε, ὕδατα πάντα τὰ ἐπάνω τοῦ οὐρανοῦ, τὸν κύριον· 60
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

RT **45** om *και* 1° T X ([*η'*] R *ια'* T) *υ. των πατερων ημων*] *υ. των τριων παιδων* T deest tit in R[gr] sed pr Dan iii 51 (Th) *τοτε οι τρεις ως εξ ενος στοματος υμνουν και εδοξαζον και ευλογουν* (? *ηυλ.*) *τον θεον εν τη καμινω λεγοντες* R **52** *ευλογητον*] *ευλογημενον* RT | om *σου* 2° RT | om *και υπεραινετον* R **53** om *ει* R | *υπερυμνητος*] *υπεραινετος* R *υμνητος* T | *υπερενδοξος*] *ενδοξαζομενος* R **54** om *ει* R | *βλεπων*] *επιβλεπων* R | *των χερουβειν*] *χερουβιν* RT | *υπερυμνητος*] *υπεραινετος* RT **55** ante **54** pos T **55** om *ει* R | om *σου* R | *υπερυμνητος*] *αινετος* R **56** om *ει* R | *υπερυμνητος*] *υπεραινετος* R *αινετος* T | *υπερενδοξος*] *υπερυψουμενος* R *δεδοξασμενος* T **57** pr *ιβ'* c tit *υμνος των τριων παιδων* a IX 1 repetito T | *υμνειτε...αιωνας*] *υμνιτε* tantummodo hic et alicubi T **58** om R: 58, 59 suum ordinem servant in T **60** *επανω*] *υπερανω* R | *των ουρανων* RT

61 [61]εὐλογεῖτε, πᾶσαι αἱ δυνάμεις Κυρίου, τὸν κύριον· A
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
62 [62]εὐλογεῖτε, ἥλιος καὶ σελήνη, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
63 [63]εὐλογεῖτε, ἄστρα τοῦ οὐρανοῦ, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
64 [64]εὐλογεῖτε, πᾶς ὄμβρος καὶ δρόσος, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
65 [65]εὐλογεῖτε, πάντα τὰ πνεύματα, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
66 [66]εὐλογεῖτε, πῦρ καὶ καῦμα, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
67 [67]εὐλογεῖτε, ψῦχος καὶ καύσων, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
68 [68]εὐλογεῖτε, δρόσοι καὶ νιφετοί, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
71 [71]εὐλογεῖτε, νύκτες καὶ ἡμέραι, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
72 [72]εὐλογεῖτε, φῶς καὶ σκότος, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
69 [69]εὐλογεῖτε, πάγος καὶ ψῦχος, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
70 [70]εὐλογεῖτε, πάχναι καὶ χιόνες, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
73 [73]εὐλογεῖτε, ἀστραπαὶ καὶ νεφέλαι, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
74 [74]εὐλογείτω ἡ γῆ τὸν κύριον·
ὑμνείτω καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.
75 [75]εὐλογεῖτε, ὄρη καὶ βουνοί, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
76 [76]εὐλογεῖτε, πάντα τὰ φυόμενα ἐν τῇ γῇ, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
77 [77]εὐλογεῖτε, αἱ πηγαί, τὸν κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

64 *τον κυριον*] om *τον* R **65** *τα πνευματα*] om *τα* R **67, 68** om RT R: 68—73 suum ordinem servant in T **69** *παγος κ. ψυχος*] *ψυχος κ. καυμα* R *παγοι κ. ψ.* T **74** *ευλογιω* R*vid (*τ* superscr R[1]) | *υπερυψουτε* R **77** *υπερυψουτω* R: item 80, 81, 84 (ut vid), 85

A [78]εὐλογεῖτε, θάλασσαι καὶ ποταμοί, τὸν κύριον· 78
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[79]εὐλογεῖτε, κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασιν, τὸν 79
κύριον·
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[80]εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὸν κύριον· 80
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[81]εὐλογεῖτε, τὰ θηρία καὶ πάντα τὰ κτήνη, τὸν κύριον· 81
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[82]εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων, τὸν κύριον· 82
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[83]εὐλογείτω Ἰσραὴλ τὸν κύριον· 83
ὑμνείτω καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.
[84]εὐλογεῖτε, ἱερεῖς Κυρίου, τὸν κύριον· 84
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[85]εὐλογεῖτε, δοῦλοι Κυρίου, τὸν κύριον· 85
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[86]εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ δικαίων, τὸν κύριον· 86
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[87]εὐλογεῖτε, ὅσιοι καὶ ταπεινοὶ καρδίᾳ, τὸν κύριον· 87
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
[88]εὐλογεῖτε, Ἀνανία, Ἀζαρία, Μισαήλ, τὸν κύριον· 88
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

RT 78 ante 77 pos R 81 παντα τα θηρια κ. τα κτηνη R 83 ευλογειτε R 86 τον κυριον] om τον R 87 καρδια] την καρδιαν R τη καρδια T 88 Ανανιας R | Αζαριας R | Μισαηλ] pr και R | add in fine ευλογουμεν πατερα| και υιον και αγιον πνευμα| υμνουμεν| και υπερυψουμεν| αυτον εις τους αιωνας| (88) οτι εξειλατο (? εξιλ.) ημας εξ αδου| και εσωσεν ημας εκ χειρος θανατου| και ερυσατο ημας εκ μεσης| καιομενης (? κεομ.) φλογος| και εκ μεσου πυρος ελυτρωσατο ημας| (89) εξομολογεισθε τω κυριω| οτι αγαθος| οτι εις τον αιωνα| το ελεος αυτου| (90) ευλογειτε παντες| σεβομενοι θεον των θεων| τον κυριον υμνειτε| και εξομολογεισθε οτι| εις τον αιωνα το ελεος αυτου R (seq latine Dan iii 91—93: graeca hodie saltem desunt) add in fin (88) οτι ερυσατο ημας εξ αδου| και εσωσεν ημας εκ χειρος θανατου| και ερυσατο ημας εκ μεσου καιομενης φλογος| και εκ μεσου πυρος| ερυσατο ημας| (89) εξομολογισθε τω κ̅ω̅ οτι χ̅ς̅| οτι εις τον αιωνα το ελεος αυτου| (90) ευλογειτε παντες οι σεβομενοι κ̅ν̅ τον θ̅ν̅ των θεων| υμνιτε και εξομολογεισθε| οτι εις παντας τους αιωνας το ελεος αυτου: T

ΙΑʹ

XI Προσευχὴ Μαρίας τῆς θεοτόκου. A

Luc. i. 46—55

46 [46]Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον,
47 [47]καὶ ἠγαλλίασεν τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου.
48 [48]ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ·
ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσίν με πᾶσαι αἱ γενεαί.
49 [49]ὅτι ἐποίησέν μοι μεγάλα ὁ δυνατός·
καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ.
50 [50]καὶ τὸ ἔλεος αὐτοῦ ἀπὸ γενεᾶς εἰς γενεὰν
τοῖς φοβουμένοις αὐτόν.
51 [51]ἐποίησεν κράτος ἐν βραχίονι αὐτοῦ·
διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.
52 [52]καθεῖλεν δυνάστας ἀπὸ θρόνων,
καὶ ὕψωσεν ταπεινούς.
53 [53]πεινῶντας ἐνέπλησεν ἀγαθῶν,
καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.
54 [54]ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ,
μνησθῆναι ἐλέους,
55 [55]καθὼς ἐλάλησεν πρὸς τοὺς πατέρας ἡμῶν,
τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.¶ ¶ R

ΙΒʹ

XII Προσευχὴ Συμεών.

Luc. ii. 29—32

29 [29]Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα,
κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ·
30 [30]ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου,
31 [31]ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν,
32 [32]φῶς εἰς ἀποκάλυψιν ἐθνῶν,
καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

XI (ζʹ [R] T) προσευχη Μαριας της θεοτοκου] om της θεοτοκου R ευχη RT Μ. εκ του ευαγγελιου T 47 αγαλλιασεν R* (ηγαλλ. R^a) 49 μεγαλεια A[1] (superscr ει) RT (-λια) 50 απο γενεας εις γενεαν] εις γενεαν και γενεαν RT 51 διανοιας R 52 om και R 54 ελεους] + αυτου R 55 αιωνος] + αμην R XII (ιδʹ T) προσευχη Συμεων] ευχη Συμεωνος εκ του ευαγγελιου T

ΙΓʹ

A **Προσευχὴ Ζαχαρίου.** XIII

68 Εὐλογητὸς Κύριος ὁ θεὸς τοῦ Ἰσραήλ, 68 Luc. i. 68—79
ὅτι ἐπεσκέψατο, καὶ ἐποίησεν λύτρωσιν τῷ λαῷ αὐτοῦ,
69 καὶ ἤγειρεν κέρας σωτηρίας ἡμῖν 69
ἐν τῷ οἴκῳ Δαυεὶδ τοῦ παιδὸς αὐτοῦ·
70 καθὼς ἐλάλησεν διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προ- 70
φητῶν αὐτοῦ,
71 σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χειρὸς πάντων τῶν μι- 71
σούντων ἡμᾶς·
72 ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, 72
καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ,
73 ὅρκον ὃν ὤμοσεν πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, 73
τοῦ δοῦναι ἡμῖν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυ-
σθέντας
λατρεύειν αὐτῷ 75 ἐν ὁσιότητι καὶ δικαιοσύνῃ 75
ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας ἡμῶν.
76 καὶ σὺ δέ, παιδίον, προφήτης Ὑψίστου κληθήσῃ· 76
προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς
αὐτοῦ,
77 τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, 77
ἐν ἀφέσει ἁμαρτιῶν ἡμῶν,
78 διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν, 78
ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους,
79 ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, 79
τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

ΙΔʹ

Ὕμνος ἑωθινός. XIV

1 Δόξα ἐν ὑψίστοις θεῷ,
καὶ ἐπὶ γῆς εἰρήνη,
ἐν ἀνθρώποις εὐδοκία.
αἰνοῦμέν σε,

T XIII (ιγʹ T) προσευχη Ζαχαριου] ωδη Ζ. εκ του ευαγγελιου T 76 om δε T XIV sine numero in T: tit sicut in A

εὐλογοῦμέν σε, A
προσκυνοῦμέν σε,
δοξολογοῦμέν σε,
εὐχαριστοῦμέν σοι,
διὰ τὴν μεγάλην σου δόξαν,
Κύριε βασιλεῦ
ἐπουράνιε,
θεὲ πατὴρ παντοκράτωρ·
Κύριε υἱὲ μονογενὴ
Ἰησοῦ Χριστέ,
καὶ ἅγιον πνεῦμα.
Κύριε ὁ θεός,
ὁ ἀμνὸς τοῦ θεοῦ,
ὁ υἱὸς τοῦ πατρός,
ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου,
ἐλέησον ἡμᾶς·
ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, ἐλέησον ἡμᾶς·
πρόσδεξαι τὴν δέησιν ἡμῶν·
ὁ καθήμενος ἐν δεξιᾷ τοῦ πατρός,
ἐλέησον ἡμᾶς.
ὅτι σὺ εἶ μόνος ἅγιος,
σὺ εἶ μόνος κύριος,
Ἰησοῦς Χριστός,
εἰς δόξαν θεοῦ πατρός. ἀμήν.
καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε,
καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα,
καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
καταξίωσον, Κύριε, καὶ τὴν ἡμέραν ταύτην
ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.
εὐλογητὸς εἶ, Κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν,
καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.
ἀμήν.
εὐλογητὸς εἶ, Κύριε, δίδαξόν¶ με τὰ δικαιώματά σου· ¶ T
εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου·

6 σε] σοι T 10—11 • κ̅ε̅ βασιλευ • επουρανιε • T 12 πατηρ] T π̅ε̅ρ̅ T 13 υἱ (sic) A υ̅ι̅ε̅ T 21—23 του κοσμου...εν δεξια του evan in T (exc α in καθημ. ut vid) 26 ante κ̅ε̅ vid abstersisse δι T?
36 διδαξον] διδ... T

A εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.
Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.
ἐγὼ εἶπα Κύριε, ἐλέησόν με,
ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.
Κύριε, πρὸς σὲ κατέφυγα·
δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ θεός μου.
ὅτι παρὰ σοὶ πηγὴ ζωῆς,
ἐν τῷ φωτί σου ὀψόμεθα φῶς·
παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσίν σε.

Subscr ωδαι ιδ' A

APPENDIX

ἵνα μή τι ἀπόληται

APPENDIX

ΩΣΗΕ

I 6 θυγατεραν B* (-ρα B^{ab})

II 12 πετρινα Q ‖ 18 κατοικειω B* (-κιω B^{b}) ‖ 19 οικτιρμοις A^{vid} οικτηρμοις Q* (οικτιρμ. Q^{a})

III 1 μοιχαλην Q

IV 2 μισσγουσιν Q^{vid} ‖ 3 εκλειψουσιν B* (εκλειψ. B^{a}) A ‖ 4 δικαζητε B ‖ 7 ατειμιαν B* (ατιμ. B^{b}) ‖ 14 συνειων B* (-νιων B^{b}) ‖ 15 εισπορευεσθαι AQ* (-θε Q^{a}) | αναβαινεται Q* (-τε Q^{a})

V 1 προσεχεται Q | σκοπεια A ‖ 5 αδικειαις A ‖ 7 ερυσειβη B* (-σιβη B^{b}) ερισυβη A ‖ 8 σαλπιγγει A ‖ 9 εδιξα B* (εδειξα B^{ab}) ‖ 14 εξερουμενος A

VI 1 θλειψει B | ιασαιτε B* (ιασεται B^{b}) ‖ 10 φρεικωδη B* (φρικ. B^{b}) ‖ 11 εχμαλωσιαν B* (αιχμ. B^{ab})

VII 1 αδικεια A | κακεια B* (-κια B^{b}) ‖ 3 κακειαις A ‖ 4 κλειβανος B* (κλιβ. B^{b}: item 6, 7) | κεομενος Q* (καιομ. Q^{a}) ‖ 13 δηλαιοι A ‖ 14 σειτω B* (σιτ. B^{b}) | κατετετεμωντο B ‖ 16 παισουνται A

VIII 4 ιδωλα A ‖ 13 αδικειας A

IX 4 εσπισαν AQ* (εσπεισ. Q^{a}) ‖ 6 θαψι B* (θαψει B^{ab}) ‖ 9 αδικειας A ‖ 10 εβδελυκμενοι (?) εβδελυσμ. (?) B* ‖ 11 ωδεινων B* (ωδιν. B^{b}) ‖ 15 κακειαι A | εμεισησα BA

X 3 ημειν B* (-μιν B*) ‖ 5 μετωκεισθη A ‖ 10 παιδευσε B* (-σαι B^{b}) | αδικειαις A ‖ 13 αδικειας A | εφαγεται $Q^{*\,vid}$ ‖ 14 περιτετιχισμενα B* (-τειχ. B^{ab}) A | ηδαφεισαν A ‖ 15 κακειων A

XI 3 αναιλαβον A | βραχειονα B* (-χιον. B^{b}) ‖ 7 κατοικειας A

XII 1 επληθυνεν] πληθυν sup ras 7 ut vid litt A^{b} ‖ 6 ελαιον A ‖ 7 αδικειας B* (-κιας B^{b}) ‖ 8 ουκ B* (ουχ B^{ab}) | ημαρτεν] η sup ras A^{a} ‖ 9 κατοικειω A | σαι (2°) A ‖ 12 παιδιον B* (πεδ. B^{ab}) A ‖ 14 ονιδισμον B*Q* (ονειδ. $B^{ab}Q^{a}$)

XIII 4 χειραις B* (-ρες B^{ab}) ‖ 5 ετοιμενον B* (-μαινον B^{b}) ‖ 12 αδικειας B* (-κιας B^{b}) ‖ 13 ωδεινες B* (ωδιν. B^{b}) ‖ 14 παρακλησεις B* (-σις B^{ab}) A

XIV 1 εγγαστρι A ‖ 2 αδικειαις B* (-κιαις B^{b}) ‖ 3 αδικειαν A ‖ 5 κατοικειας A

ΑΜΩΣ

I 1 σισμου A ‖ 2 αιπενθησαν A | ποιμαινων A ‖ 3 εγγαστρι A (item 13) ‖ 4 καταφαγετε A ‖ 5 παιδιου A | εχμαλωτευθησεται B* (αιχμ. B^{ab}) ‖ 7 τιχη B* (τειχ. B^{ab}: item 10) ‖ 10 θεμελεια A ‖ 14 επει A

II 3 εξολοθρευσω B^{b} ‖ 6 τες (2°) B* (ταις $B^{a?b}$) ‖ 7 εξεκλειναν BAQ ‖ 8 επεινο̄| B* (επιν. B^{b}) ‖ 12 εποτιζεται A | ενετελλεσθαι $AQ^{*\,vid}$ (-θε Q^{a}) ‖ 13 κυλειω B* (κυλιω B^{b}) | κυλειεται B* (κυλιεται B^{b}) κυλιετε A ‖ 14 απολειτε A

III 5 πεσειτε B* (-ται B^{ab}) A ‖ 9 εμμεσω A ‖ 10 αδικειαν A ‖ 13 επιμαρτυρασθαι BA

IV 3 εξενεχθησεσθαι $Q^{*\,vid}$ (-σεσθη sic Q^{mg}) | απορριφησεσθαι Q* ‖ 11 εγενεσθαι AQ ‖ 12 επικαλεισθε Q

V 3 πολεις Q* (-λις Q^{a}) | χειλιοι

BAQ | υπολιφθησονται bis B^* (υπολειφθ. B^{ab}) ‖ 5 εισπορευεσθαι AQ^* (-θε Q^a) | ουκ Q^* (ουχ Q^a) ‖ 10 εμεισησαν B^* (εμισ. B^b) AQ^* ‖ 11 εδεξασθαι A ‖ 12 εκκλειοντες BAQ^* (εκκλιν. Q^a) ‖ 13 συνειων B^* (συνιων B^b) AQ^* (συνιων Q^a) ‖ 15 μεμεισηκαμεν B^* (μεμισ. B^b) A ‖ 19 απερισηται Q^* (απερεισ. Q^a) ‖ 21 μεμεισηκα B^* (μεμισ. B^b) A ‖ 22 ενεγκηται AQ^* (-τε Q^a) ‖ 24 χιμαρρους Q ‖ 26 αναιλαβετε A ‖ 27 μετοικειω B^* (-κιω B^b) A

VI 2 ορεια, ορειων Q^* (ορια, οριων Q^a) ‖ 4 κλαιειν Q^* (κλιν. Q^a) ‖ 5 ουκ A ‖ 6 πεινοντες B^* (πιν. B^b) | χρειομενοι B^* (χρι. B^b) ‖ 8 μεμεισηκα B^* (μεμισ. B^b) ‖ 9 υπολιφθωσιν B^* (υπολειφθ. B^{ab}) | υπολιφθησονται B^* (υπολειφθ. B^{ab}) ‖ 10 εξενεγκε A^bQ^* (-και Q^a) | σειγα B^* (σιγ. B^b) ‖ 12 θηλιαις AQ^{*vid} ‖ 13 ευφρενομενοι B^* (ευφραιν. B^{ab}) ‖ 14 εκθλειψουσιν B^* | χιμαρρου Q^* (χειμ. $Q^?$)

VII 1 ευθεινη Q^* (-θυνη Q^a) ‖ 2 ειλεως Q^* (ιλ. $Q^?$) ‖ 7 τιχους Q^* (τειχ. Q^a) ‖ 10 ποιειτε A | εμμεσω A ‖ 14 επολος B^* (αιπ. $B^{b?c?}$) A | συκαμεινα B^* (-μινα B^b)

VIII 5 μεικρον B^* (μικρ. B^{ab}) A ‖ 6 ταπινον A ‖ 7 νεικος B^* (νικ. B^b) ‖ 11 λειμον ter B^* (λιμ. B^b)

IX 7 εσται B^*Q^* (εστε $B^{ab}Q^a$) A

ΜΕΙΧΑΙΑΣ

I 3 επει B^* (επι B^b) ‖ 8 πορευσετε A | ποιησετε B ποιησαιτε A ‖ 10 μεγαλυνεσθαι Q^* (-θε Q^a) | ανοικοδομειται Q^* (-τε Q^a) | καταπασασθαι A ‖ 11 κοψασθε $B^{ab}A$ ‖ 16 κειρε A

II 3 εξεφνης B^* (εξαιφ. B^b) εξαφνης Q^* (εξαιφ. Q^a) ‖ 4 ἐμμελεῖ B | εταλεπωρησαμεν B^* (εταλαιπ. B^{ab}) ‖ 6 κλαιεται Q^* (-τε Q^a) ‖ 10 αναπαυσεις B^* (-σις B^b) A ‖ 12 θλειψει B | εμμεσω A

III 2 μεισουντες B^* (μισ. B^b) ‖ 10 Σιων B^b (item 12) ‖ 11 εκρεινον B | απεκρεινοντο B | ημειν B^* (ημιν B^b)

IV 1 αυτον B^b ‖ 7 Σιων B^b ‖ 9 ωδειναις B^* ωδεινες B^a (ωδινες B^b) ωδεινες Q^* (ωδιν. Q^a) ‖ 10 εκθρων B^* (εχθρ. $B^{a?b}$)

V 2 χειλιασιν BQ ‖ 3 τεξετε B^* (-ται B^{ab}) ‖ 4 ισχυει B^*Q^* (ισχυι B^bQ^a) ‖ 5 αὐτῇ B^b | ποιμαινες A ‖ 7 εμμεσω A (item 8) ‖ 9 θλαιβοντας B

VI 2 ε B^* (αι B^{ab}) ‖ 7 χειλιασιν B | κρειων A | χιμαρων B^b ‖ 14 φαγεσε B^* (-σαι B^{ab}) ‖ 15 σπέρεις B^c | πειεσεις B^* (πιεσεις B^b) | αλιψη B^* AQ^* (αλειψη $B^{ab}Q^a$)

VII 1 οιμμοι (1°, 2°) B^* (οιμοι B^{ab}) οιμμοι (1°, 2°) AQ | τρυγητῷ B^b ‖ 2 δικαζοντε B^* (-ται B^{ab}) | εκθλειβουσιν BQ^* (εκθλιβ. Q^a) | εκθλειβη BQ^* (εκθλιβη Q^a) ‖ 3 ιρηνικους B^* (ειρ. B^{ab}) ‖ 8 καθεισω A | σκοτι B^* (-τει B^{ab}) ‖ 10 εκθρα B^* (εχθρ. B^b) | περιβαλειτε A ‖ 11 αλυφης B^* (αλοιφ. $B^{b(vid)}$) | εξαλιψεις $B^{*b}A$ εξαλιψις B^aQ^* (εξαλειψις Q^a) | αποτρειψεται B^* (αποτριψ. B^b) ‖ 14 εμμεσω A ‖ 15 οψεσθαι AQ^* (-θε Q^a) ‖ 18 εξερων B^* (εξαιρ. B^{ab}) A ‖ 19 αδικειας A

ΙΩΗΛ

I 2 *ακουσαται* A | *ενωτισασθαι* ℵ* (*-σθε* ℵ$^{c.b}$) | *τες ημερες* bis ℵ* (*ταις ημεραις* ℵ$^{c.a, c.b}$) ‖ 3 *διηγησασθαι* ℵ* (*-σθε* ℵ$^{c.b}$) ‖ 4 *ακρεις* ℵ* (*-ρις* [ras *ε*] ℵ$^{?}$) | *ερυσειβη* B* (*-σιβη* B^{ab}) ‖ 5 *πεινοντες* B* (*πιν.* B^{b}) ‖ 6 *ανδοντες* (1°) ℵ* (ras *ν* 1° ℵ$^{?}$) | *ε* ℵ* (*αι* ℵ$^{c.a, c.b}$: item 12) ‖ 7 *ερειψεν* B* ‖ 9 *πενθιτε* ℵ | *λιτουργουντες* B*ℵ* (*λειτ.* B$^{a?b}$ℵ$^{c.b}$): item 13 bis *λιτ.* B* (*λειτ.* B$^{a?b}$) ‖ 10 *τεταλεπωρηκεν* bis ℵ* (*τεταλαιπ.* ℵ$^{c.b}$) | *παιδια* A | *πενθητω* B^{ab} *πενθιτω* ℵ | *στει* (2°) ℵ* (ras *ε* ℵ$^{?}$) | *σειτος* B* (*σιτ.* B^{b}) | *ελεον* ℵ ‖ 11 *θρηνέιτε* (pro *-νιτε*) ℵ$^{c.b}$ ‖ 13 *περιζωσασθαι* ℵ* (*-σθε* ℵ$^{c.b}$) | *κοπτεσθαι* A | *ιερις* ℵ* (*-ρεις* ℵ$^{c.b}$) | *θρηνιτε* ℵ* (*-νειτε* ℵ$^{c.b}$) | *λιτουργουνταις* (1°) ℵ* *λιτουργουντες* ℵ$^{c.a}$ (*λειτουργουντες* ℵ$^{c.b}$) | *λιτουργουντες* (2°) ℵ*Q* (*λειτ.* ℵ$^{c.b}$Q^{a}) ‖ 14 *κηρυξαται* A | *κε* ℵ* (*και* ℵ$^{c.a, c.b}$) ‖ 15 *οιμμοι* ter B* (*οιμοι* B^{b}) ℵAQ | *ταλεπωρια, ταλεπωριας* ℵ* (*ταλαιπ.* bis ℵ$^{c.b}$) | *ηξι* ℵ* (*ηξει* ℵ$^{c.b}$) ‖ 19 *βοησομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) | *ωρεα* ℵ* (*ωραια* ℵ$^{c.b}$: item 20) ‖ 20 *παιδιου* ℵ*Q* (*πεδ.* ℵ$^{c.b}$Q^{a}) A

II 1 *σαλπειγγει* ℵQ* (*-ιγγι* Q^{a}): item 15 ℵA | *ορι* ℵ (item 32) ‖ 3 *παραδισος* B* (*-δεισ.* B$^{?}$) ℵA | *παιδιον* AQ* (*πεδ.* Q^{a}) | *αιστε* ℵ* (*εσται* ℵ$^{c.a, c.b}$) ‖ 4 *καταδιωξοντε* ℵ* (*-ται* ℵ$^{c.b}$) ‖ 5 *εξαλουντε* ℵ* (*-ται* ℵ$^{c.b}$) ‖ 6 *σῡ|τριβησοντε* ℵ* (*-σονται* ℵ$^{c.b}$) ‖ 7 *μαχητε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *δραμουντε* A | *πολεμιστε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *τιχη* ℵ* (*τειχ.* ℵ$^{c.b}$) | *εκκλεινωσιν* BQ*^{vid} ‖ 9 *τιχεων* ℵ* (*τειχ.* ℵ$^{c.b}$) | *κλεπτε* ℵ* (*-ται* ℵ$^{c.a, c.b}$) ‖ 10 *σισθησετε* ℵ* (*σισθησεται* ℵ$^{c.b}$) ‖ 11 *δωσι* ℵ* (*-σει* ℵ$^{c.b}$) | *ησχυρα* ℵ* (*ισχυρα* ℵ$^{c.a}$) | *ημαιρα* ℵ* (*ημερα* ℵ$^{c.a, c.b}$) ‖ 12 *κε* (4°) ℵ* (*και* ℵ$^{c.b}$) ‖ 13 *ειματια* ℵ | *τες* ℵ* (*ταις* ℵ$^{c.a, c.b}$) ‖ 14 *μετανοησι* ℵ* (*-σει* ℵ$^{c.b}$) | *υπολιψεται* B* (*υπολειψ.* B$^{a (vid) b}$) *υπολιψετε* ℵ* (*-ται* ℵ$^{c.b}$) ‖ 17 *κριπιδος* ℵ* (*κρηπ.* ℵ$^{c.a}$) | *κλαυσοντε* ℵ* (*-νται* ℵ$^{c.b}$) | *λιτουργουντες* B*^{fort}ℵ* (*λειτ.* B$^{?}$ℵ$^{c.b}$) | *φισε* ℵ* (*φεισαι* ℵ$^{c.b}$) *φισαι* Q* (*φεισ.* Q^{a}) | *ονιδος* ℵ ‖ 18 *εφισατο* ℵ* (*-φεισ.* ℵ$^{c.b}$) ‖ 19 *ελεον* B*ℵ* (*ελαιον* B^{ab}ℵ$^{c.b}$) | *εμπλησθησεσθαι* ℵ*Q* (*-θε* ℵ$^{c.b}$Q^{a}) A | *ονιδισμον* B* (*ονειδ.* B$^{a (vid) b}$) ℵA ‖ 20 *αναβησετε* (1°) ℵ* (*-ται* ℵ$^{c.b}$) ‖ 21 *θαρσι* ℵ* (*-σει* ℵ$^{c.b}$) | *χερε* ℵ* (*χαιρε* ℵ$^{c.a, c.b}$) | *ποιησε* ℵ* (*ποιησαι* ℵ$^{c.b}$) ‖ 22 *θαρσιτε* ℵ* (*-σειτε* ℵ$^{c.b}$) | *παιδιου* ℵ* (*πεδ.* ℵ$^{c.b}$) A | *παιδια* A ‖ 23 *χερεται* ℵ* (*χαιρετε* ℵ$^{c.b}$) | *ευφρενεσθαι* ℵ* (*-θε* ℵ$^{c.b}$) *ευφραινεσθαι* Q* (*-θε* Q^{a}) | *βρεξι* ℵ* (*-ξει* ℵ$^{c.b}$) ‖ 24 *πλησθησοντε* ℵ* (*-νται* ℵ$^{c.b}$) | *ελεου* ℵ* (*ελαιου* ℵ$^{c.b}$) ‖ 25 *ακρεις* B* (*ακρις* B^{b}) | *ερυσειβη* B* (*-σιβη* B^{b}) *ερισυβη* A | *εξαπεστιλα* ℵ* (*-στειλα* ℵ$^{c.b}$) ‖ 26 *φαγεσθαι* AQ* (*-θε* Q^{a}) | *εσθιονταις* ℵ* (*-τες* ℵ$^{c.a, c.b}$) | *εμπλησθησεσθαι* ℵ* (*-σθε* ℵ$^{c.b}$) A | *αινεσατε* ℵ$^{c.a, c.b}$ *αινεσεται* Q* (*-τε* Q^{a}) | *κατεσχυνθη* ℵ* (*καταισχ.* ℵ$^{c.b}$) ‖ 27 *επιγνωσεσθαι* ℵ* (*-θε* ℵ$^{c.b}$) A | *εμμεσω* A | *κατεσχυνθωσιν* ℵ* ‖ 28 *εστε* ℵ* (*-ται* ℵ$^{c.b}$: item 32 bis) | *ε* ℵ* (*αι* ℵ$^{c.b}$) ‖ 29 *τες ημερες* ℵ* (*ταις ημεραις* ℵ$^{c.a, c.b}$) | *εκιναις* ℵ* (*εκειν.* ℵ$^{c.b}$) ‖ 32 *επικαλεσητε* B*^{c} (*-ται* B^{ac}) A

III 1 *ειδου* ℵ* (*ιδου* ℵ$^{c.b}$) | *τες* ℵ* (*ταις* ℵ$^{c.a, c.b}$) | *εκιναις* ℵ* (*εκειν.* ℵ$^{c.b}$) | *κερω* ℵ* (*καιρω* ℵ$^{c.a}$) | *εκινω* ℵ* (*εκειν.* ℵ$^{c.b}$) | *εκμαλωσιαν* ℵ* (*αιχμ.* ℵ$^{c.a (vid), c.b}$) ‖ 2 *Ιωσαφτ* ℵ*^{vid} (*Ιωσαφατ* ℵ$^{1?}$) | *διακριθησομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) | *εκι* ℵ* (*εκει* ℵ$^{c.b}$: item 12) | *καταδιλαντο* ℵ*^{vid} ‖ 3 *πεδαρια* ℵ* (*παιδ.* ℵ$^{c.a, c.b}$) | *επεινον* B ‖ 4 *υμις* ter ℵ* (*υμεις* ℵ$^{c.b}$) | *ανταποδιδοται* A | *μνησικακιται* ℵ | *καιφαλας* ℵ* (*κεφ.* ℵ$^{c.a, c.b}$) ‖ 6 *απεδοσθαι* ℵ* (*-θε* ℵ$^{c.b}$) | *εξωσηται* Q* (*-τε* Q^{a}) ‖ 7 *απεδοσθαι* A ‖ 8 *χιρας* ℵ* (*χειρ.* ℵ$^{c.b}$) | *αποδωσοντε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *εκμαλωσιαν* ℵ* (*αιχμ.* ℵ$^{c.b}$) ‖ 9 *προσ-*

εγεγεται ℵ | αναβενετε ℵ* (αναβαιν. ℵ$^{c.b}$) | ανδραις ℵ* (ανδρες ℵ$^{c.a, c.b}$) | πολεμιστε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 10 σιρομαστας AQ^{a} [ε cum punct] ‖ 11 συναθροιζεσθαι Q* (-θε Q^{a}) | εισπορευεσθαι ℵ*Q* (-εσθε ℵ$^{c.b}$Q^{a}): item 13 ℵ*AQ* ‖ 12 εξεγιρεσθωσαν ℵ | αναβενετωσαν ℵ* (-βαιν. ℵ$^{c.b}$) | καθειω A | διακρινε ℵ* (-ναι ℵ$^{c.b}$) | 13 εξαποστιλατε ℵ* (-στειλ. ℵ$^{c.b}$) | πεπιται ℵ ‖ 16 σισθησετε ℵ* (σισθησεται ℵ$^{c.b}$) | φισεται ℵ | συνχυσι ℵ* (-σει ℵ$^{c.b}$) ‖ 17 επιγνωσεσθαι ℵ*Q* (-σθε Q^{a}) | ορι B*ℵ* (ορει B^{b}ℵ$^{c.b}$) | αγειω B* (-γιω B^{b}) | εστε ℵ* (εσται ℵ$^{c.b}$: item 18, 19 bis) | διελευσοντε ℵ* (-νται ℵ$^{c.b}$) | ουκετι ℵ* (-ετι ℵ$^{c.a, c.b}$) ‖ 18 εκινη ℵ* (εκεινη ℵ$^{c.b}$) | ρυησοντε bis ℵ* (-νται ℵ$^{c.b}$) | πασε ε ℵ* (πασαι αι ℵ$^{c.a, c.b}$) | χιμαρρουν ℵQ ‖ 19 παιδιον A ‖ 21 κατασκηνωσι ℵ

ΟΒΔΕΙΟΥ

1 εξαπεστιλεν ℵ* (εξαπεστειλ. ℵ$^{c.b}$) | αναστηται ℵ* (-τε ℵ$^{c.b}$) ‖ 2 ητειμωμενος B* (ητιμ. B^{b}) ‖ 3 οπες ℵ* (οπαις ℵ$^{c.b}$) | καταξι ℵ* (καταξει ℵ$^{c.b}$) ‖ 4 ακιθεν ℵ* (εκειθ. ℵ$^{c.b}$) | σαι ℵ* (σε ℵ$^{c.b}$) | λεγι ℵ* (λεγει ℵ$^{c.b}$) ‖ 5 κλεπτε ℵ* (κλεπται ℵ$^{c.b}$) | λῃστε ℵ ‖ 7 εξαπεστιλαν ℵ* (-στειλ. ℵ$^{c.b}$) | ιρηνικοι B*ℵ* (ειρ. B^{ab}ℵ$^{c.b}$) | συνεσεις B*ℵ* (συνεσις B^{ab}ℵ$^{?}$) ‖ 8 εκινη ℵ* (εκειν. ℵ$^{c.b}$) | ημαιρα ℵ* (ημερα ℵ$^{c.b}$) ‖ 9 μαχητε ℵ* (-ται ℵ$^{c.a, c.b}$) ‖ 10 καλυψι ℵ* (-ψει ℵ$^{c.b}$) | σαι εσχυνη ℵ* (σε αισχ. ℵ$^{c.a, c.b}$) ‖ 11 εχμαλωτευοντων ℵ* (αιχμ. ℵ$^{c.a, c.b}$) ‖ 12 επειδης Q* | ημαιραν ℵ* (ημεραν ℵ$^{c.a, c.b}$) | θλειψεως B (item 14) ‖ 13 συνεπειθη B* (συνεπιθη B^{b}) | απωλειας B^{ab} ‖ 14 αιπιαστης ℵ* (επιστης ℵ$^{c.a, c.b}$) | εξολεθρευσε ℵ* (-σαι ℵ$^{c.b}$) ‖ 15 εστε ℵ* (-σται ℵ$^{c.b}$: item 17 bis, 18 bis, 21) | καιφαλην ℵ* (κεφαλην ℵ$^{c.b}$) ‖ 16 αιπι ℵ* (επι ℵ$^{c.b}$) | εσοντε ℵ* (εσονται ℵ$^{c.b}$) | ουκ Q* (ουχ Q^{a}) ‖ 19 παιδιον A ‖ 20 μετοικαισιας, μετοικαισια ℵ* (-κεσ. bis ℵ$^{c.a, c.b}$)

ΙΩΝΑΣ

I 3 φυγιν ℵ* (φυγειν ℵ$^{c.b}$) ‖ 4 εξηγιρεν ℵ* (-γειρεν ℵ$^{c.b}$: item 11) ‖ 7 κε (2°) ℵ* (και ℵ$^{c.a, c.b}$) | ημειν B* (ημιν B^{b}) ‖ 8 απαγγιλον ℵ ‖ 10 ανδραις (1°) ℵ* (-δρες ℵ$^{c.a, c.b}$) ‖ 11 κοπασι ℵ ‖ 12 κοπασι ℵ* (-σει ℵ$^{c.b}$) ‖ 13 επιστρεψε ℵ* (-ψαι ℵ$^{c.a, c.b}$)

II 1 κα (1°) ℵ* (και ℵ$^{c.a}$) | κητι B* (-τει B^{ab}): item 11 κητι B*ℵ* (-τει B^{ab}ℵ$^{c.b}$) | τρις bis ℵ* (τρεις ℵ$^{c.b}$) ‖ 3 θλειψει B ‖ 6 καιφαλη ℵ* (κεφ. ℵ$^{c.a, c.b}$) | σχεισμας B* (σχισμ. B^{b}) ‖ 8 εκλιπιν ℵ* (-πειν ℵ$^{c.b}$) ‖ 9 ματεα ℵ* (-ταια ℵ$^{c.a, c.b}$)

III 4 τρις ℵ* (τρεις ℵ$^{c.b}$) ‖ 5 ανδραις ℵ* (-δρες ℵ$^{c.a, c.b}$) ‖ 6 ηγγεισεν A | εκαθεισεν A ‖ 7 βοαις ℵ* (-ες ℵ$^{c.a, c.b}$) ‖ 8 αδικειας B* (-κιας B^{b}) ‖ 9 μετανοησι ℵ* (-σει ℵ$^{c.b}$) ‖ 10 κακεια B* (-κια B^{b}) | ποιησε ℵ* (-σαι ℵ$^{c.b}$) | αιποιησεν ℵ* (επ. ℵ$^{c.a, c.b}$)

IV 2 τες ℵ* (ταις ℵ$^{c.a, c.b}$) | κακειαις B* (-κιαις B^{b}) A ‖ 4 ε ℵ ‖ 5 εκαθεισεν A | εκι ℵ* (εκει ℵ$^{c.b}$) | απειδη B*Q* (απιδη B^{b}Q^{a}) | εστε ℵ* (εσται ℵ$^{c.b}$) | πολι ℵ* (-λει ℵ$^{c.b}$) ‖ 6 καιφαλης (1°) ℵ* (κεφ. ℵ$^{c.a, c.b}$): item 11 καιφαλην ℵ* (κεφ. ℵ$^{c.a, c.b}$) | ειπε ℵ* (-ναι ℵ$^{c.a, c.b}$) | σκιαζιν ℵ* (-ζειν ℵ$^{c.b}$) ‖ 7 σκωληκει A ‖ 8 ανατιλαι ℵ* (-τειλ. ℵ$^{c.b}$) ‖ 9 λελυπησε ℵ | λελυπημε ℵ* (-μαι ℵ$^{c.b}$) ‖ 10 εφισω ℵ | αικακοπαθησας ℵ* (εκακ. ℵ$^{c.a, c.b}$) ‖ 11 φισομαι ℵ* (φεισ. ℵ$^{c.b}$) | αιγνωσαν ℵ* (εγν. ℵ$^{c.a, c.b}$)

ΝΑΟΥΜ

I 2 *εξερων* ℵ* (*εξαιρ.* ℵ$^{c.b}$) | *εκχθρους* ℵ* (*εχθ.* ℵ$^{?}$) ‖ 3 *συνσισμω* A | *νεφελε* ℵ* (*-λαι* ℵ$^{c.a, c.b}$) ‖ 4 *απιλων* ℵ | *ξηρενων* ℵ* (*-ραινων* ℵ$^{c.b}$) ‖ 5 *εσισθησαν* ℵ ‖ 6 *τηκι* B*ℵ* (*-κει* B^{ab}ℵ$^{c.b}$) | *ε πετρε* ℵ* (*αι πετραι* ℵ$^{c.a, c.b}$) ‖ 7 *θλειψεως* B ‖ 8 *διωξετε* ℵ* (*-ται* ℵ$^{c.b}$) ‖ 9 *λογειζεσθε* ℵ *λογιζεσθαι* A ‖ 11 *εξελευσετε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *λογεισμος* ℵ ‖ 12 *αιvακουσθησεται* ℵ* (*ενακ.* ℵ$^{c.a, c.b}$) ‖ 14 *εντελιται* ℵ* (*-λειται* ℵ$^{c.b}$) *εντελειτε* A | *ταχις* ℵ* (*-χεις* ℵ$^{c.b}$) ‖ 15 *ειδου* ℵ* (*ιδ.* ℵ$^{c.b}$) | *ιρηνην* ℵ* (*ειρ.* ℵ$^{c.b}$) | *διελθιν* ℵ* (*-θειν* ℵ$^{c.b}$) | *παλεωσιν* ℵ* (*-λαιωσιν* ℵ$^{c.b}$)

II 1 *συντετελεστε* ℵ* (*-σται* ℵ$^{c.b}$) ‖ 2 *εξερουμενος* ℵ* (*εξαιρ.* ℵ$^{c.b}$) A | *ανδρισε* ℵ* (*-σαι* ℵ$^{c.b}$) | *ισχυει* ℵ ‖ 3 *διεφθιραν* ℵ ‖ 4 *εμπεζοντας* ℵ* (*-παιζ.* ℵ$^{c.b}$) | *ηνιε* ℵ* (*-νιαι* ℵ$^{c.a, c.b}$) | *ιππις* ℵ ‖ 5 *τες* bis ℵ* (*ταις* ℵ$^{c.a, c.b}$) | *αστραπε* ℵ* (*-παι* ℵ$^{c.a, c.b}$) ‖ 6 *φευξοντε* ℵ* (*-νται* ℵ$^{c.b}$) | *επει* B* (*επι* B^{b}) | *τιχη* ℵ* (*τειχ.* ℵ$^{c.b}$) ‖ 7 *πυλε* ℵ* (*-λαι* ℵ$^{c.a, c.b}$) | *διηνυχθησαν* B* (*διηνοιχθ.* B^{ab}) ℵ ‖ 8 *υποστασεις* A | *ε* ℵ* (*αι* ℵ$^{c.a, c.b}$) | *περιστερε* ℵ* (*-ραι* ℵ$^{c.a, c.b}$) ‖ 10 *βεβαρυντε* ℵ* (*-νται* ℵ$^{c.b}$) ‖ 11 *ωδειναις* B* (*ωδινες* B^{b}) ‖ 12 *εκι* ℵ* (*εκει* ℵ$^{c.b}$) ‖ 14 *καταφαγετε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *ουκαιτι* ℵ* (*-ετι* ℵ$^{c.a, c.b}$)

III 1 *αδικειας* B* (*-κιας* B^{b}) ‖ 2 *μαστειγων* B* (*μαστιγων* B^{b}) ‖ 3 *αναβενοντος* ℵ* (*-βαιν.* ℵ$^{c.b}$) | *βαριας* ℵ ‖ 5 *διξω* ℵ | *εσχυνην* ℵ* (*αισχ.* ℵ$^{c.a, c.b}$) | *βασιλιαις* ℵ ‖ 6 *επιρειψω* B* | *θησομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) ‖ 7 *εστε* ℵ* (*-σται* ℵ$^{c.b}$) | *ερι* ℵ | *δηλεα* B* (*δειλαια* [per ras] B^{a} *δειλεια* [superscr] B^{b}) *δηλεα* ℵ* *δειλεα* ℵ$^{c.b}$ *διλαια* A | *στεναξι* ℵ* (*-ξει* ℵ$^{c.b}$) ‖ 8 *ετοιμασε* (1°) ℵ* (*-σαι* ℵ$^{c.a, c.b}$) | *αρμοσε* ℵ* (*αρμοσαι* ℵ$^{c.b}$) | *τιχη* ℵ* (*τειχ.* ℵ$^{c.b}$) ‖ 9 *αιστιν* ℵ* (*εστιν* ℵ$^{c.a, c.b}$) | *Λιβυαις* ℵ ‖ 10 *αιγμαλωτος* ℵ* (*αιχμ.* ℵ$^{c.a, c.b}$) | *δεθησοντε* ℵ* (*-νται* ℵ^{c}) | *χειροπεδες* B* (*-δαις* B$^{a\,(fort)\,b}$) *χιροπαιδες* ℵ* *χειροπεδες* ℵ$^{c.b}$ *χειροπαιδες* AQ* (*χειροπεδαις* Q^{a}) ‖ 11 *εκθρων* ℵ* (*εχθρ.* ℵ$^{c.b}$) ‖ 12 *πεσουντε* ℵ* (*-νται* ℵ$^{c.b}$) ‖ 13 *γυνεκες* ℵ* (*γυναικ.* ℵ$^{c.a, c.b}$) | *εκθροις* ℵ* (*εχθρ.* ℵ$^{c.b}$) | *ανοιγομενε* ℵ* (*-ναι* ℵ$^{c.a, c.b}$) | *πυλε* ℵ* (*-λαι* ℵ$^{c.a, c.b}$) | *καταφαγετε* ℵ* (*-ται* ℵ$^{c.b}$: item 15 bis) ‖ 14 *εμβηθει* A ‖ 15 *εκι* ℵ* (*εκει* ℵ$^{c.b}$) | *εξολοθρευσει* B^{b} *εξολεθρευσι* ℵ* (*-σει* ℵ$^{c.b}$) ‖ 17 *ανετιλεν* B*ℵ* (*-τειλ.* B^{ab}ℵ$^{c.b}$) ‖ 18 *ποιμαινες* B*Q* (*-μενες* B^{b}Q^{a}) A | *εκυμισεν* A ‖ 19 *ιασεις* A

ΑΜΒΑΚΟΥΜ

I 2 *κεκραξομε* ℵ* (*-μαι* ℵ$^{c.a}$) | *βοησομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) ‖ 3 *εδιξας* ℵ* (*εδειξ.* ℵ$^{c.b}$) | *επιβλεπιν* ℵ* (*-πειν* ℵ$^{c.b}$: item 13) | *ταλεπωριαν* ℵ* (*ταλαιπ.* ℵ$^{c.b}$) *ταλαιπωρειαν* Q* (*-ριαν* Q^{a}) | *κρισεις* ℵ* (improb ε ℵ$^{?}$ postea ras) A | *λαμβανι* ℵ* (*-βανει* ℵ$^{c.b}$) ‖ 4 *διασκεδαστε* ℵ* (*-σται* ℵ$^{c.b}$) | *διεξαγετε* ℵ* (*-ται* ℵ$^{c.b}$) ‖ 5 *καταφρονητε* B* (*-ται* B^{b}) A | *τες ημαιρες* ℵ* (*ταις ημαιραις* ℵ$^{c.b}$) | *πιστευσηται* ℵ | *εκδιηγητε* B* (*-ται* B^{b}) ‖ 6 *εξεγιρω* ℵ* (*-γειρω* ℵ$^{c.b}$) | *ταχεινον* B | *επει* B* (*επι* B^{ab}) | *κατακληρονομησε* ℵ* (*-σαι* ℵ$^{c.b}$) ‖ 7 *εστε* ℵ* (*-σται* ℵ$^{c.a}$) ‖ 8 *εξαλουντε* ℵ* (*-νται* ℵ$^{c.b}$) | *εξιπτασοντε* ℵ* (*-νται* ℵ$^{c.b}$) | *φαγιν* ℵ* (*-γειν* ℵ$^{c.b}$) ‖ 10 *βασιλευσειν* ℵ* (*-σιν* ℵ$^{?}$) | *τυρανοι* ℵ | *πεγνια* ℵ* (*παιγν.* ℵ$^{c.b}$) | *εμπεξεται* ℵ*Q* (*εμπαιξεται* ℵ$^{c.b}$Q^{a}) A | *κρατησι* ℵ* (*-σει* ℵ$^{c.b}$) ‖ 11 *εξειλασεται* B ‖ 13 *επιβλεπις* ℵ* (*-πεις* ℵ$^{c.b}$) | *καταπινω* ℵ* ‖ 15 *αγκειστρω* ℵ | *τες σαγηνες* ℵ* (*ταις -ναις*

ℵ$^{c.a, c.b}$) ‖ 16 θυσι ℵ* (-σει ℵ$^{c.b}$) | θυμιασι ℵ ‖ 17 φισεται ℵQ* (φεισ. Q^{a})

II 1 στησομε ℵ* (-μαι ℵ$^{c.b}$) | ιδιν ℵ* (ιδειν ℵ$^{c.b}$) | λαλησι ℵ* (λαλησει ℵ$^{c.b}$) ‖ 2 ορασειν ℵ* (ε cum punct et ras ℵ$^{?}$) ‖ 3 ανατελι ℵ* (-λει ℵ$^{c.b}$) | υπομινον ℵ* (-μεινον ℵ$^{c.b}$) ‖ 4 υποστιληται ℵ ‖ 5 παιρανη ℵ* (περανη ℵ$^{c.a, c.b}$) | επισυναξι ℵ* (-ξει ℵ$^{c.b}$) | εισδεξετε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 7 εξεφνης B*ℵ*Q* (εξαιφν. B^{ab}ℵ$^{c.b}$Q^{a}) A ‖ 9 ταξε ℵ* (ταξαι ℵ$^{c.b}$) | χιρος ℵ* (χειρ. ℵ$^{c.b}$) ‖ 10 αιβουλευσω ℵ* (εβ. ℵ$^{c.a, c.b}$) ‖ 12 εμασιν ℵ* (αιμ. ℵ$^{c.a}$) ‖ 13 αιν ℵ* (εν ℵ$^{c.a, c.b}$) ‖ 14 γνωνε ℵ* (γνωναι ℵ$^{c.b}$) | κατακαλυψι ℵ ‖ 15 σπηλεα ℵ ‖ 16 πειε ℵ ‖ 17 καλυψι ℵ | ταλεπωρια ℵ* (ταλαιπωρια ℵ$^{c.a, c.b}$) | πτοησι ℵ* (-σει ℵ$^{c.b}$) | σαι (2°) ℵ* (σε ℵ$^{c.a, c.b}$) | εματα ℵ* (αιμ. ℵ$^{c.a, c.b}$) ‖ 18 ωφελι ℵ* (-λει ℵ$^{c.b}$) | ιδωλα ℵ ‖ 20 ευλαβισθω ℵ* (-βεισθ. ℵ$^{c.b}$)

III 2 εμμεσω A | εγγειζειν ℵ | ταρσαι ℵ | αναδεχθηση B*ℵ* (αναδειχθ. B^{ab}ℵ$^{c.b}$) A | ταραχθηνε ℵ* (-ναι ℵ$^{c.b}$) ‖ 3 κατασκειου B* (-σκιου B^{b}) | ενεσεως ℵ* (αιν. ℵ$^{c.a, c.b}$) ‖ 4 εστε ℵ* (-σται ℵ$^{c.b}$: item 17) | καιρατα ℵ* (κερ. ℵ$^{c.b}$) | κρατεων ℵ ‖ 6 αιστη ℵ* (εστη ℵ$^{c.a, c.b}$) | εωνιας ℵ* (αιων. ℵ$^{c.a, c.b}$) ‖ 8 ωργεισθης ℵ ‖ 9 εντινων ℵ* (εντειν. ℵ$^{c.a, c.b}$) | ανετινας ℵ* | ραγησετε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 10 σαι ℵ* (σε ℵ$^{c.a, c.b}$) | ωδεινησουσιν B* (ωδιν. B^{b}) ‖ 11 ταξι ℵ* (-ξει ℵ$^{c.b}$: item 19) | πορευσοντε ℵ* (-νται ℵ$^{c.a}$) ‖ 12 απιλη ℵ ‖ 13 χρειστον B* (χριστ. B^{b}) | βαλις ℵ* | καιφαλας ℵ* (κεφ. ℵ$^{c.a, c.b}$: item 14) | εξηγιρας ℵ ‖ 14 εκστασι ℵ | σισθησοντε ℵ* (-νται ℵ$^{c.b}$) ‖ 15 ις ℵ* (εις ℵ$^{c.a}$) ‖ 16 εξεις B* (-ξις B^{b}) ℵ*A | αναπαυσομε ℵ* (-μαι ℵ$^{c.b}$) | θλειψεως B ‖ 17 ψευσετε ℵ* (-ται ℵ$^{c.b}$) | ελεας ℵA^{vid} | παιδια A | βοαις ℵ ‖ 18 χαρησομε ℵ* (-μαι ℵ$^{c.b}$) ‖ 19 νικησε ℵ* (-σαι ℵ$^{c.a}$)

ΣΟΦΟΝΙΑΣ

I 1 ημερες ℵ* (-ραις ℵ$^{c.a, c.b}$) ‖ 2 εκλιψει B*Q* (εκλειψ. B^{ab}Q^{a}) ℵ ‖ 3 πετινα ℵ | ηχθυες ℵ* (ιχθ. ℵ$^{c.a}$) ‖ 4 χιρα ℵ* (χειρα ℵ$^{c.a, c.b}$) ‖ 6 εκκλεινοντας BAQ* (εκκλιν. Q^{a}) ‖ 7 ευλαβισθε ℵ ‖ 8 εστε B*^{b} (-σται B^{a}) ℵ* (-σται ℵ$^{c.b}$: item 10, 12: item 13 -σται ℵ$^{c.a, c.b}$) ‖ 9 εκινη ℵ* (εκειν. ℵ$^{c.b}$: item 10, 12) ‖ 12 τες ℵ* (ταις ℵ$^{c.a, c.b}$) | αγαθοποιησει ℵ$^{c.b}$ ‖ 14 ταχια ℵ ‖ 15 θλειψεως B ‖ 17 εκθλειψω BQ* (εκθλιψ. Q^{a}) | εμα ℵ* (αιμα ℵ$^{c.a, c.b}$) ‖ 18 δυνητε A

II 1 απεδευτον B*ℵ* (απαιδευτον B^{ab}ℵ$^{c.a, c.b}$) ‖ 2 γενεσθε ℵ* (-σθαι ℵ$^{c.b}$) ‖ 3 ζητησαται (1°) A | ταπινοι ℵ | εργαζεσθαι ℵQ* (-σθε Q^{a}) | αποκρεινεσθαι B* (αποκριν. B^{b}) αποκρινεσθαι ℵA ‖ 4 εστε ℵ* (-σται ℵ$^{c.b}$: item 6, 7, 9) ‖ 5 κατοικειας A ‖ 7 σχυνισμα ℵ* (σχοιν. ℵ$^{c.a}$) | διλης ℵ | επεσκεπτε ℵ* (-πται ℵ$^{c.b}$) Q*^{fort} | εκμαλωσιαν ℵ* (αιχμ. ℵ$^{c.b}$) ‖ 8 ονιδισμους B* (ονειδ. B$^{a\ fort\ b}$) ℵ | ωνιδιζον ℵA ‖ 9 διαρπωντε ℵ* (-νται ℵ$^{c.a, c.b}$) ‖ 10 ωνιδισαν B* (ωνειδ. B$^{a\ fort\ b}$) ℵA ωνιδεισαν Q* (ωνειδισαν Q^{a}) ‖ 11 πασε ε ℵ* (-σαι αι ℵ$^{c.a, c.b}$) ‖ 12 υμις ℵ* (-μεις ℵ$^{c.b}$) | Αιθιοπαις ℵ | εσται B* (εστε B^{ab}) A ‖ 13 εκτενι ℵ* | χιρα ℵ* (χειρ. ℵ$^{c.b}$) | απολι ℵ* | θησι ℵ* ‖ 14 εμμεσω AΓ$^{?}$

III 1 κεινησει B* (κιν. B^{b}) A κινησι ℵ* (-σει ℵ$^{c.b}$) | χιρας ℵ* (χειρ. ℵ$^{c.b}$) ‖ 2 πολεις B* (-λις B^{b}) A | ησηκουσεν ℵ* (εισηκ. ℵ$^{c.a, c.b}$) | ηγγεισεν ℵA ‖ 3 κριτε ℵ* (-ται ℵ$^{c.a, c.b}$) ‖ 4 προφητε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 5 εμμεσω A (item 15) Γ | δωσι ℵ* (-σει ℵ$^{c.b}$) | αδικειαν B* (-κιαν B^{b}) | απετησει ℵ* (απαιτ. ℵ$^{c.a, c.b}$) Γ | ις (2°) ℵ (εις ℵ$^{c.a}$) ‖ 6 υπαρχιν ℵ* (-χειν ℵ$^{c.b}$) ‖ 7 φοβεισθαι AQ* (-θε

Q^{a}) Γ | *δεξασθαι* AQ* (*-σθε* Q^{a}) ‖ 8 *υπομινον* ℵ | *εισδεξασθε* ℵ* (*-σθαι* ℵ^{c}) | *εκχεε* ℵ* (*-χεαι* ℵ^{c}) ‖ 9 *επικαλισθε* ℵ* *επικαλεισθε* ℵ$^{c.b}$ A ‖ 11 *εκινη* ℵ* (*εκειν.* ℵ$^{c.b}$) | *κατεσχυνθης* ℵ* (*καταισχ.* ℵ$^{c.a}$) | *υβρεσεως* A | *ουκαιτι* ℵ* (*-ετι* ℵ$^{c.a, c.b}$: item 15) ‖ 12 *υπολιψομαι* Q* (*υπολειψ.* Q^{a}) | *ταπινον* ℵ* (*-πεινον* ℵ$^{c.b}$) | *ευλαβηθησοντε* ℵ* (*-σονται* ℵ$^{c.b}$) ‖ 13 *ματεα* ℵ* (*-ταια* ℵ$^{c.a, c.b}$) | *νεμησοντε* ℵ* (*-νται* ℵ$^{c.b}$) | *κοιτασθησοντε* ℵ* (*-νται* ℵ$^{c.a}$) | *εστε* ℵ* (*-σται* ℵ$^{c.b}$) ‖ 14 *χερε* ℵ* (*χαιρ.* ℵ$^{c.b}$) | *ευφρενου* ℵ ‖ 15 *χιρος* ℵ* (*χειρ.* ℵ$^{c.b}$) | *εμεσω* ℵ* (*εν μ.* ℵ$^{c.b}$) ‖ 16 *εκινω* ℵ* (*εκειν.* ℵ$^{c.b}$: item 19, 20) | *θαρσι* ℵ* (*θαρσει* ℵ$^{c.b}$) | *χιραις* ℵ* (*χειρες* ℵ$^{c.b}$) ‖ 17 *επαξι* ℵ* (*-ξει* ℵ$^{c.b}$) | *κενιει* ℵ* (*καιν.* ℵ$^{c.b}$) A ‖ 18 *ονιδισμον* ℵAQ* (*ονειδ.* Q^{a}) ‖ 19 *εκπεπειεσμενην* B* (*εκπεπιεσμ.* B^{b}) | *εισδεξομε* ℵ* (*-μαι* ℵ$^{c.a}$) ‖ 20 *κατεσχυνθησοντε* ℵ* (*καταισχυνθησονται* ℵ$^{c.a}$) | *πασι* B^{b} | *εχμαλωσιαν* ℵ* (*αιχμ.* ℵ$^{c.a}$)

ΑΓΓΑΙΟΣ

I 1 *χιρι* ℵ* (*χειρι* ℵ$^{c.b}$: item 3) ‖ 2 *ουκ* AQ | *οικοδομησε* ℵ ‖ 4 *οικιν* B* (*-κειν* B^{ab}) ‖ 6 *εσπιρατε* ℵ ‖ 7 *θεσθαι* A ‖ 9 *διωκεται* B* (*-τε* B^{ab}) ℵ ‖ 10 *ανεξι* ℵ* (*-ξει* ℵ$^{c.b}$) | *υποστελιτε* ℵ* (*-λειται* ℵ$^{c.b}$) *υποστελειτε* A ‖ 11 *ελεον* ℵ | *εκφερι* ℵ* (*-ρει* ℵ$^{c.b}$) | *χιρων* ℵ* (*χειρ.* ℵ$^{c.b}$) ‖ 12 *εξαπεστιλεν* ℵ* (*-στειλ.* ℵ$^{c.b}$)

II 1 *ικαδι* (1°) ℵ* (*εικ.* ℵ$^{c.b}$) | *ετι* B* (*ετει* B^{ab}) | *επει* A | *χιρι* ℵ* (*χειρ.* ℵ$^{c.b}$) ‖ 3 *υμις* ℵ* (*υμεις* ℵ$^{c.b}$) | *βλεπεται* ℵ ‖ 4 *κατισχυ* (2°) ℵ* (*-σχυε* ℵ$^{c\ et\ fort\ antea}$) | *ποιειται* ℵ Q ‖ 5 *εμμεσω* AΓ | *θαρσιται* ℵ* (*θαρσειτ.* ℵ$^{c.b}$) ‖ 6 *σισω* ℵQ* (*σεισ.* Q^{a}) Γ ‖ 7 *συνσισω* ℵQ* | *ηξι* ℵ* (*-ξει* ℵ$^{c.b}$) ‖ 9 *μεγαλη|λη* ℵ | *εστε* ℵ* (*-σται* ℵ$^{c.b}$) | *λεγι* (1°) ℵ* (*-γει* ℵ$^{c.b}$: item 11, 14, 23 ter) | *ιρηνην* (1°) ℵ* (*ειρ.* ℵ$^{c.b}$) | *αναστησε* ℵ* (*-σαι* ℵ$^{c.b}$) ‖ 12 *αψητε* ℵ* (*-ται* ℵ$^{c.b}$: item 13) | *ελεου* ℵ ‖ 14 *χιρων* ℵ* (*χειρ.* ℵ$^{c.b}$: item 17) | *εκι* ℵ* (*εκει* ℵ$^{c.b}$) | *εμεισεται* B* (*εμεισειτε* B^{a} *εμισ.* B^{b}) *εμισιτε* ℵ *εμεισιτε* Γ ‖ 15 *θεσθαι* A (item 18 ℵA) | *θινε* ℵ* *θιναι* ℵ$^{c.a}$ (*θειναι* ℵ$^{c.b}$) ‖ 16 *εισεπορευεσθαι* AQ* (*-σθε* Q^{a}) | *εξαντλησε* ℵ* (*-σαι* ℵ$^{c.b}$) ‖ 18 *επεκινα* ℵ* (*επεκειν.* ℵ$^{c.b}$) | *τες* ℵ* (*ταις* ℵ$^{c.a, c.b}$) ‖ 19 *ελεας* ℵ ‖ 21 *σιω* ℵ*AQ* (*σειω* Q^{a}) ‖ 22 *καταβησοντε* ℵ* (*-νται* ℵ$^{c.b}$) | *αναβατε* ℵ | *ρομφεα* ℵ* (*-φαια* ℵ$^{c.a, c.b}$) ‖ 23 *εκινη* ℵ* (*-κεινη* ℵ$^{c.b}$) | *λημψομε* ℵ* (*λημψομαι* ℵ$^{c.a, c.b}$) | *θησομε* ℵ* (*-μαι* ℵ$^{c.a, c.b}$)

ΖΑΧΑΡΙΑΣ

I 3 *ερις* ℵ* (*ερεις* ℵ$^{c.b}$) | *λεγι* (2°) ℵ* (*-γει* ℵ$^{c.b}$) | *λεκι* (3°) ℵ* (*λεγει* ℵ$^{c.a, c.b}$) ‖ 4 *γεινεσθε* ℵA | *πσηκουσαν* ℵ* (*εισηκ.* ℵ$^{c.a, c.b}$) ‖ 5 *εωνα* ℵ* (*αιωνα* ℵ$^{c.a}$) ‖ 6 *δεχεσθαι* ℵ | *παρατετακτε* ℵ* (*-κται* ℵ$^{c.b}$) | *ποιησε* ℵ* (*ποιησαι* ℵ$^{c.b}$) ‖ 7 *ετι* ℵ | *επει* A ‖ 8 *πυκειλοι* ℵ* *ποικειλοι* ℵ$^{c.a, c.b}$ ‖ 9 *διξω* ℵ ‖ 11 *κατοικιτε* ℵ* (*κατοικειται* ℵ$^{c.b}$) *κατοικειτε* A ‖ 17 *ερετιει* B* (*αιρ.* B^{ab}) ℵ ‖ 18 *καιρατα* ℵ* (*κερατα* ℵ$^{c.b}$: item 19): item 21 bis *καιρατα* ℵ* (*κερ.* ℵ$^{c.a, c.b}$) ‖ 19 *κυριαι* ℵ* (*-ριε* ℵ$^{c.a, c.b}$) ‖ 20 *εδιξεν* ℵ ‖ 21 *ερχοντε* ℵ* (*-νται* ℵ$^{c.b}$) | *ειπε* B^{b} | *ουδις* ℵ* (*-δεις* ℵ$^{c.b}$) | *καιφαλην* ℵ* (*κεφ.* ℵ$^{c.a, c.b}$) | *χιρας* ℵ* (*χειρ.* ℵ$^{c.b}$) | *επερομενα* B* (*επαιρ.* B^{ab}) ℵA

II 1 *χειρει* ℵ ‖ 2 *διαμετρησε* ℵ* (*-σαι* ℵ$^{c.b}$) ‖ 4 *ειπε* B^{b} | *εκινον* ℵ* (*εκειν.* ℵ$^{c.b}$) | *εμμεσω* AΓ (item 5, 10, 11) ‖ 5 *εσομε* bis ℵ* (*-μαι* ℵ$^{c.b}$)

τιχος ℵQ* (τειχος Q^{a}) ‖ 7 ανασωζεσθαι AQ* (-σθε Q^{a}) | κατοικουνταις ℵ* (-τες ℵ^{c}) | θυγαταιρα ℵ* (-τερα ℵ^{c}) ‖ 9 ειδου ℵ* (ιδ. ℵ^{c}: item 10) | χιρα ℵ* (χειρα ℵ$^{c.b}$) | γνωσεσθαι A ‖ 11 καταφευξοντε ℵ* (-νται ℵ$^{c.a, c.b}$) | ε|θνη ℵ* (|εθνη ℵ$^{c.b}$) | εκινη ℵ* (-κεινη ℵ$^{c.b}$) | εσοντε ℵ* (-νται ℵ$^{c.b}$) ‖ 12 κατακληρονομισι ℵ* (-μησει ℵ^{c}) | ερετιει Bℵ ‖ 13 ευλαβισθω ℵ* (-βεισθω ℵ$^{c.b}$) | εξεγηγερτε B*ℵ* (-ρται B^{ab}ℵ$^{c.b}$)

III 1 εδιξεν ℵ | ιστηκι ℵ* (-κει ℵ$^{c.b}$): item 3, 5 ιστηκι ℵ | αντικισθαι ℵ* ι 3° superscr ℵ^{1} (αντικεισθαι ℵ^{c}) ‖ 2 ε| (1°) ℵ* (εν ℵ$^{c.b}$) | διαβολαι ℵ* (-λε ℵ$^{c.b}$) | επιτιμησε (2°) ℵ* (-σαι ℵ$^{c.b}$) | ουχ B* (ουκ B$^{a?b}$) ℵAΓ ‖ 4 αφελεται B* (-τε B^{ab}) ‖ 5 επιθεται B* (-τε B^{ab}) | καιφαλην (1°) ℵ* (κεφ. ℵ$^{c.a, c.b}$) ‖ 7 τες ℵ* (ταις ℵ$^{c.a, c.b}$) | προσταγμασι B^{b} | εμμεσω A ‖ 8 ειδου ℵ* (ιδ. ℵ^{c}) ‖ 9 εκινης ℵ* (εκειν. ℵ$^{c.b}$): item 10 εκινη ℵ* (εκειν. ℵ$^{c.b}$) ‖ 10 συνκαλεσεται B*ℵ$^{c.a, c.b}$

IV 3 ελεαι ℵ (item 11) ‖ 5 γεινωσκις ℵ$^{c.a}$ (γινωσκεις ℵ$^{c.b}$) ‖ 6 δυναμι B*ℵ* (-μει B^{ab}ℵ$^{c.b}$) | ισχυει ℵ*Q* (ισχυι ℵ^{c}Q^{a}) ‖ 7 ι ℵ* (ει ℵ$^{c.a}$) ‖ 9 χιρες bis ℵ* (χειρ. ℵ$^{c.b}$) | ε (2°) ℵ* (αι ℵ$^{c.a, c.b}$: item 11 [1°]) ‖ 10 χαρουντε ℵ* (-νται ℵ$^{c.b}$) | οψοντε ℵ* (-νται ℵ$^{c.b}$) | χιρι ℵ* (χειρι ℵ$^{c.b}$) ‖ 11 ελαιε A | αυτε ℵ* (-ται ℵ$^{c.a, c.b}$) ‖ 12 αιλαιω̄| ℵ* (ελαιων ℵ$^{c.a, c.b}$) | τες ℵ* (ταις ℵ$^{c.a, c.b}$) ‖ 13 ουχ ℵ* (ουκ ℵ^{c})

V 1 ειδου ℵ* (ιδου ℵ$^{c.b}$: item 7 [1°]): item 9 (ιδ. ℵ^{c}) ‖ 4 εμμεσω AΓ* (εν μεσω Γ^{a}): item 7, 8 ‖ 5 ειδε ℵ*Q* (ιδε ℵ$^{c.b}$Q^{a}) ‖ 7 εξεερομενον ℵ* (εξαιρ. ℵ$^{c.b}$) A ‖ 8 ερειψεν (2°) ℵ ‖ 9 γυνεκαις ℵ* (γυναικες ℵ$^{c.a, c.b}$) | πτερυξειν ℵ | αυτε ℵ* (-ται ℵ$^{c.a, c.b}$): item 10 ‖ 11 οικοδομησε ℵ* (-σαι ℵ$^{c.b}$) | ετοιμασε ℵ* (-σαι ℵ$^{c.a, c.b}$) | εκι ℵ* (-κει ℵ$^{c.b}$)

VI 1 ειδου ℵ* (ιδ. ℵ^{c}) ‖ 6 καθοπισθεν B*ℵ* (κατ. B^{ab}ℵ$^{c.a, c.b}$) ‖ 7 πορευεσθε Γ* (-σθαι Γ^{a}) | πορευεσθαι B* (-σθε B^{ab}) ‖ 10 εκμαλωσιας ℵ* (αιχμ. ℵ$^{c.b}$) | εκινη ℵ* (-κειν. ℵ$^{c.b}$) ‖ 11 ποιησεις Γ* (-σεις Γ^{a}) ‖ 12 ερις ℵ* (-ρεις ℵ$^{c.b}$) | οικοδομησει ℵ* (-σει ℵ$^{c.b}$) ‖ 13 λημψετε ℵ* (-ται ℵ$^{c.b}$) | εστε (1°) ℵ* (-σται ℵ$^{c.b}$: item 14, 15) | ιρηνικη ℵ* (ειρ. ℵ$^{c.b}$) ‖ 15 γνωσεσθαι ℵ$^{c.a}$ (sic) | εισακουσηται B* (-τε B^{ab})

VII 1 ετι ℵ* (-τει ℵ$^{c.b}$) ‖ 2 εξαπεστιλεν ℵ* (-στειλεν ℵ$^{c.b}$): item 12 (-στειλ. ℵ$^{c.a}$) | εξιλασασθε ℵ* (-σθαι ℵ$^{c.b}$) ‖ 3 πμπτω ℵ* ε superscr ℵ$^{1?c.a}$ ‖ 5 κοψησθαι ℵ | τες (2°) ℵ* (ταις ℵ$^{c.a, c.b}$) | ειδου ℵ* (ιδ. ℵ^{c}) | νενηστευκαται A νενιστευκατε Γ$^{*\,fort}$ ‖ 6 πειητε B* (πιητε B^{b}) | υμις ℵ* (-μεις ℵ$^{c.b}$) | πεινετε B* (πιν. B^{b}) πινεται ℵ ‖ 7 ε ℵ* (αι ℵ$^{c.a, c.b}$) | παιδινη A πεδεινη Q$^{a\,vid}$ | κατωκιτο ℵ* (-κειτο ℵ$^{c.b}$) ‖ 9 ποιειται ℵ ‖ 10 καταδυναστευεται ℵ | κακειαν A | μνησικακιτω ℵ ‖ 11 εδοκαν Γ* (εδωκ. Γ^{a}) ‖ 12 απιθη ℵ | εγενετο] εγε|το Γ ‖ 13 εστε ℵ* (-σται ℵ$^{c.b}$) | ησηκουσαν ℵ* (εισηκ. ℵ$^{c.a, c.b}$) | καικραξοντε ℵ

VIII 3 εμμεσω AΓ* (εν μ. Γ^{a}): item 8 | πολεις B*Q* (-λις B^{b}Q^{a}) A | αληθεινη AQ* (αληθινη Q^{a}) ‖ 4 καθησοντε ℵ* (-νται ℵ$^{c.b}$) | πλατιαις ℵ | χιρι ℵ* (χειρι ℵ$^{c.b}$) ‖ 5 ε ℵ* (αι ℵ$^{c.a, c.b}$: item 9) | πλατιαι ℵ | πλησθησοντε ℵ* (-νται ℵ$^{c.a, c.b}$) | παιδαριων ℵ | τες ℵ* (ταις ℵ$^{c.a, c.b}$: item 6, 9, 13, 15, 16, 23) | πλατιες ℵ* (πλατιαις ℵ$^{c.a, c.b}$) ‖ 6 εκιναις ℵ* (εκειν. ℵ$^{c.b}$: item 23) ‖ 8 εσοντε ℵ* (-νται ℵ$^{c.a, c.b}$: item 19) | κε (4°) ℵ* (και ℵ^{c}) ‖ 9 λεγι ℵ | χιρες ℵ* (χειρες ℵ$^{c.b}$) | ημερες ℵ* (ημεραις ℵ$^{c.a, c.b}$: item 23) | τεθεμελιωντε ℵ ‖ 10 εκινων ℵ | εστε (2°) ℵ | ιρηνη ℵ* (ειρ. ℵ$^{c.b}$) | α Γ$^{*\,vid}$ (απο Γ^{a}) | θλειψεως Bℵ ‖ 12 διξω ℵ | ιρηνην ℵ* (ειρ. ℵ$^{c.b}$: item 19) | δωσι (1° et 3°) ℵ* (-σει ℵ$^{c.b}$) ‖ 13 εστε ℵ* (-σται ℵ$^{c.b}$) | ηται ℵ* (ητε ℵ$^{c.b}$) | εσεσθαι ℵAQ* (-σθε Q^{a}) | θαρσιτε ℵ ‖ 14 κακωσε ℵ* (-σαι ℵ$^{c.b}$) | μαι ℵ* (με ℵ$^{c.a, c.b}$) ‖ 15 ημαιρες ℵ* (ημεραις ℵ$^{c.a, c.b}$) | θαρσιται ℵ ‖ 16 ποιησεται ℵQ* (-τε

Qa) | *λαλιται* ℵ* (*-λειται* ℵc.b) | *ιρηνικον* ℵ* (*ειρ.* ℵc.b) | *κρινεται* ℵ || 17 *λογειζεσθε* ℵ *λογιζεσθαι* AQ* (*-σθε* Qa) | *αγαπαται* ℵ | *εμειισησα* B* (*εμισ.* Bb) || 21 *πολεω* B* (*-λιν* Bb) | *δεηθηνε* ℵ* (*-ναι* ℵc.b) | *εκζητησε* ℵ: item 22 (*-σαι* ℵc.a) | *πορευσομε* ℵ* (*-μαι* ℵc.a, c.b) || 22 *εξιλασασθε* ℵ || 23 *επιβαλωντε* bis ℵ*

IX 4 *κληρονομησι* ℵ || 5 *οψετε* ℵ | *απολιται* ℵ *απολειτε* A || 7 *εσοντε* ℵ* (*-νται* ℵc.b) | *χειλιαρχος* Q* (*χιλ.* Qa) || 8 *ανακαμπτιν* ℵ | *ουκαιτι* ℵ* (*-ετι* ℵc.a, c.b) || 10 *ιρηνη* ℵ* (*ειρηνη* ℵc.b) || 11 *εματι* ℵ* (*αιμ.* ℵc.a, c.b) | *εξαπεστιλας* ℵ* (*-στειλ.* ℵc.b) || 12 *ημαιρας* ℵ* (*ημερας* ℵc.a, c.b) | *παροικαισιας* ℵ* (*-κεσιας* ℵc.a, c.b) || 13 *ενετινα* ℵ | *σαι* (2°) ℵ* (*σε* ℵc.b) || 14 *εστε* ℵ | *εξελευσετε* ℵ | *σαλπιγγει* ℵ | *πορευσετε* ℵ* (*-ται* ℵc.b) | *απιλης* ℵ || 16 *εκινη* ℵ* (*-κειν.* ℵc.b) || 17 *νεανεισκοις* ℵ* (*νεανισκ.* ℵc.b)

X 1 *αιτισθαι* ℵ* *αιτεισθαι* ℵc.b A | *χιμερινον* ℵQ* (*χειμ.* Qa) | *δωσι* ℵ* (*-σει* ℵc.b) || 2 *ματεα* ℵ | *ιασεις* B*ℵ* (*-σις* Babℵc.b) A || 3 *ποιμαινας* Q* (*-μενας* Qa) | *ταξι* ℵ* (*-ξει* ℵc.b) || 5 *εσοντε* ℵ* (*-νται* ℵc.b): item 6, 7 *εσοντε* ℵ | *πατουνταις* ℵ* (*πατουντες* ℵc.a, c.b) | *τες* ℵ* (*ταις* ℵc.a, c.b) | *κατεσχυνθησοντε* ℵ* (*καταισχ.* ℵc.b) || 6 *επακουσομε* ℵ* (*-μαι* ℵc.b) || 7 *οψοντε* ℵ* (*-ται* ℵc.b) | *χαριται* ℵ* *χαρειτε* A || 10 *υπολιφθη* B* (*-λειφθ.* Bab) AQ || 11 *αφερεθησεται* ℵQ* (*αφαιρ.* Qa) | *υβρεις* Q* (*-βρις* Qa) | *περιερεθησεται* B* (*περιαιρ.* Bab) ℵ *περιεραιθησεται* A

XI 2 *μεγειστανες* ℵ | *εταλεπωρησαν* ℵ* (*εταλαιπ.* ℵc.b) || 3 *ποιμαινων* AQ* (*-μενων* Qa) Γ | *τεταλεπωρηκεν* (bis) ℵ || 4 *ποιμενετε* B* (*-μαιν.* Bab) ℵΓ || 5 *ποιμαινες* B* (*-μεν.* Bab) A || 6 *φισομαι* ℵ | *ειδου* ℵ* (*ιδ.* ℵc): item 16 (*ιδ.* ℵc.b) | *χιρας* ℵ* (*χειρας* ℵc.b: bis) || 8 *τρις* ℵ* (*τρεις* ℵc.b) | *ε* ℵ* (*αι* ℵc.a, c.b) || 10 *διασκεδασε* ℵ* (*-σαι* ℵc.a, c.b): item 14 (*-σαι* ℵc.b) || 11 *εκινη* ℵ* (*εκειν.* ℵc.b) | *γνωσοντε* ℵ* (*-ται* ℵc.a, c.b) || 12 *απιτασθε* ℵ* (*-σθαι* ℵc.a *-σθε* repos ℵc.b) || 13 *σκεψομε* ℵ* || 15 *ποιμαινος* Q* (*-μεν.* Qa) | *απιρου* ℵ* (*απειρ.* ℵc.b) || 16 *εξεγιρω* ℵ | *επισκεψητε* ℵ* (*-ται* ℵc.b) || 17 *ποιμενοντες* B* (*ποιμαιν.* Bab) ℵ | *ματεα* ℵ* (*-ταια* ℵc.a, c.b) | *μαχερα* ℵ | *ξηρενομενος* ℵ* (*ξηραιν.* ℵc.b)

XII 1 *λεγι* ℵ* (*-γει* ℵc.b) | *εκτινων* ℵ* (*-τειν.* ℵc.b) || 2 *εστε* ℵ* (*-σται* ℵc.b: item 3, 8 bis, 9) || 3 *εκινη* ℵ* (*εκειν.* ℵc.b: item 4, 8 bis, 9, 11): item 6 *εκινη* ℵ | *θησομε* ℵ* (*-μαι* ℵc.b) | *πασι* Bb | *εθνεσι* Bb | *ενπεζων* ℵ* (*-παιζ.* ℵc.b) | *εμπεξεται* B*ℵ* (*-παιξ.* Babℵc.b) AΓ || 4 *εκστασι* ℵ* (*-σει* ℵc.b) | *παραφρονησι* ℵ | *αποτυφλωσι* ℵ* (*-σει* ℵc.b) || 5 *χειλιαρχοι* B | *τες* ℵ* (*ταις* ℵc.a, c.b) | *ευρησομαιν* ℵ* (*-μεν* ℵc.a, c.b) || 6 *καταφαγοντε* ℵ || 7 *σωσι* ℵ | *μεγαλυνητε* ℵ* (*-ται* ℵc.b) || 9 *εξαρε* ℵ* (*-ραι* ℵc.b) || 10 *επιβλεψοντε* ℵ* (*-ται* ℵc.b) | *οδυνηθησοντε* ℵ* (*-ται* ℵc.b) || 11 *μεγαλυνθησετε* ℵ* (*-ται* ℵc.b) | *παιδιω* A || 12 *κοψετε* ℵ* (*-ται* ℵc.b) | *ε* (1°) ℵ* (*αι* ℵc.a, c.b: item 13 [1°], 14 bis) | *γυνεκες* (1°) ℵ: item 13 (2°) | *αιαυτας* (2°) ℵ* (*εαυτας* ℵc.a, c.b) || 14 *πασε* ℵ* (*-σαι* ℵc.a, c.b) | *υπολελιμμαιναι* ℵ

XIII 1 *εκινη* ℵ* (*εκειν.* ℵc.b: item 2, 4) | *εστε* ℵ* (*-σται* ℵc.b: item 2 bis, 3, 4, 8) | *μετακεινησι*] A || 2 *ιδωλων* ℵ | *ουκαιτι* ℵ* (*-ετι* ℵc.a, c.b) | *μνια* ℵ || 3 *ερι* ℵ* (*-ρει* ℵc.b: item 5, 6 bis, 9) || 4 *κατεσχ.* ℵ* (*καταισχ.* ℵc.b) | *προφητε* ℵ | *ενδυσοντε* ℵ* (*-ται* ℵc.b) || 5 *ιμι* (1°) ℵ* (*ειμι* ℵc.b) || 6 *χιρων* ℵ* (*χειρ.* ℵc.b) || 7 *χιρα* ℵ* (*χειρ.* ℵc.b) || 8 *εκλιψει* B*Q* (*εκλειψ.* BabQa) ℵA | *υπολιφθησεται* B* (*υπολειφθ.* Bab) ℵΓ || 9 *πυρουτε* ℵ* (*-ται* ℵc.b) | *δοκιμαζετε* ℵ* (*-ται* ℵc.b) | *επικαλεσετε* ℵ* (*-ται* ℵc.b)

XIV 1 *ημερε* ℵ* (*-ραι* ℵc.a, c.b) || 2 *αλωσετε* ℵ* (*-ται* ℵc.b) | *πολεις* B* (*-λις* Bab) A | *ε* (2°) ℵ* (*αι* ℵc.a, c.b) | *εχμαλωσια* ℵ* (*αιχμ.* ℵc.a, c.b) || 3 *εκινοις* ℵ* (*εκειν.* ℵc.b: item 17) | *ημαιρα* ℵ* (*ημερα* ℵc.a, c.b) || 4 *στησοντε* ℵ | *εκινη* ℵ* (*εκειν.* ℵc.b: item 6, 20): item 7, 8, 9, 13 *εκινη* ℵ | *ελεων* bis

ℵ | κλινι ℵ* (-νει ℵ$^{c.b}$) ‖ 5 ημερες (2°) ℵ* (-ραις ℵ$^{c.a, c.b}$) | ηξι ℵ* (-ξει ℵ$^{c.b}$) ‖ 6 εστε (1°) ℵ* (-σται ℵ$^{c.b}$: item 7 bis, 9 bis, 13, 15, 16, 17, 18, 19, 20, 21 [1°]) | αιστε (2°) ℵ* (εσται ℵ$^{c.a, c.b}$): item 11, 21 (2°) ‖ 8 εξελευσετε ℵ* (-ται ℵ$^{c.b}$) | αισχατῃ ℵ* (εσχ. ℵ$^{c.b}$) | θερι B*ℵ* (-ρει B^{ab}ℵ$^{c.b}$) | εαρει Q* (-ρι Q^{a}) ‖ 9 βασιλαια ℵ* (-λεα ℵ$^{c.a, c.b}$) ‖ 10 μενι ℵ* (-νει ℵ$^{c.b}$) ‖ 11 κατοικησι ℵ ‖ 12 πτωσεις B* (-σις B^{b}) | ρυησοντε ℵ* (-νται ℵ$^{c.b}$) ‖ 13 εκστασεις A | επιλημψοντε ℵ* (-νται ℵ$^{c.b}$) | χιρος ℵ | χιρα ℵ* (χειρ. ℵ$^{c.b}$) ‖ 14 παραταξετε ℵ* (-ται ℵ$^{c.b}$) | συναξι ℵ* (-ξει ℵ$^{c.b}$) | ιματισμον ℵ* (ιμ. ℵ$^{c.a}$) ‖ 15 αὕτη] αὐτὴ B^{b} | πτωσεις ℵ* (-σις ℵ$^{c.b}$: item 18) | τες ℵ* (ταις ℵ$^{c.a, c.b}$) ‖ 16 καταλειφθωσιν QΓ | αναβησοντε ℵ* (-νται ℵ$^{c.b}$) ‖ 17 προσκυνησε ℵ* (-σαι ℵ$^{c.b}$) ‖ 18 παταξι ℵ* (-ξει ℵ$^{c.b}$) ‖ 19 αιθνων ℵ* (εθν. ℵ$^{c.a, c.b}$) | σκηνοπηγειας A ‖ 20 εσοντε ℵ* (-νται ℵ$^{c.b}$) | λεβηταις ℵ ‖ 21 θυσιαζονταις ℵ* (-τες ℵ$^{c.a, c.b}$) | λημψοντε ℵ* (-ται ℵ$^{c.a, c.b}$)

ΜΑΛΑΧΙΑΣ

I 1 χιρι ℵ* (χειρ. ℵ$^{c.b}$) | θεσθαι A ‖ 3 εμειστησα B*Q* (εμισ. B^{b}Q^{a}) A ‖ 4 ερι ℵ* (-ρει ℵ$^{c.b}$) | εωνος B* (αιων. B^{a}) ‖ 5 υμις ℵ: item 6, 12 υμις ℵ* (υμεις ℵ$^{c.b}$) | εριται ℵ ‖ 6 δοξαζι ℵ* (-ζει ℵ$^{c.b}$) | λεγι ℵ* (-γει ℵ$^{c.b}$) | φαυλιζονταις ℵ* (-ντες ℵ$^{c.a, c.b}$) ‖ 7 λεγιν ℵ* (-γειν ℵ$^{c.b}$) ‖ 8 λημψετε ℵ ‖ 9 εξιλασκεσθαι ℵ | δεηθηται ℵ ‖ 10 συνκλισθησονται B* συγκλισθ. AQ* (-κλεισθ. Q^{a}) | αναψετε Q | υμειν (2°) B* (-μιν B^{b}) | χιρων ℵ* (χειρ. ℵ$^{c.b}$): item 13 χιρων ℵ ‖ 12 βεβηλουται AQ* (-τε Q^{a}) ‖ 13 εισεφερεται ℵ | φερηται A | προσδεξομε ℵ* (-μαι ℵ$^{c.b}$) ‖ 14 εθνεσειν ℵ

II 2 ακουσηται ℵ | δουνε ℵ* (-ναι ℵ$^{c.a, c.b}$) | ευλογειαν bis ℵ | εστε ℵ* (-σται ℵ$^{c.b}$) | υμις ℵ* (-μεις ℵ$^{c.b}$) | τιθεσθαι A ‖ 3 αφωριζω A ‖ 4 ειναι ℵ* (-ναι ℵ$^{c.a, c.b}$) ‖ 5 ιρηνης ℵ* (ειρ. ℵ$^{c.b}$) ‖ 6 [ου]κ Γ | χιλεσιν ℵ | ιρηνι ℵ* (ειρηνη ℵ$^{c\ et\ antea}$) | αδικειας B* (-κιας B^{b}) ‖ 7 χιλη ℵ* (χειλ. ℵ$^{c.b}$) | φυλαξετε ℵ ‖ 8 εξεκλινατε ℵ εξεκλεινατε Q* (εξεκλιν. Q^{a}) ‖ 9 φυλασσεσθαι ℵ | ελαμβανεται ℵ ‖ 10 βεβηλωσε ℵ* (-σαι ℵ$^{c.b}$) ‖ 12 ταπινωθη ℵ* (ταπειν. ℵ$^{c.b}$) ‖ 13 εμεισουν A | εποιειται ℵ | εκαλυπτεται A | επιβλεψε ℵ | λαβιν ℵ* (-βειν ℵ$^{c.b}$) | χιρων ℵ* (χειρ. ℵ$^{c.b}$) ‖ 14 γυνεκος ℵ* (γυναικ. ℵ$^{c.b}$) ‖ 15 ζητι ℵ* (-τει ℵ$^{c.b}$) | φυλαξασθαι A (item 16) ‖ 16 μεισησας B* (μισ. B^{b}) | εξαποστιλῃς ℵ* (-στειλῃς ℵ$^{c.b}$) | καλυψι ℵ* (-ψει ℵ$^{c.b}$) | ενκαταλιπηται ℵ

III 1 επιβλεψετε ℵ* (-ται ℵ$^{c.b}$) A | υμις (1°) ℵ* (-μεις ℵ$^{c.b}$: item 8, 12) Γ* | ζητιτε ℵ ζητειται A | θελεται B* (-τε B^{ab}) ℵ | ερχετε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 2 υπομενι ℵ* (-νει ℵ$^{c.b}$) | εισπορευετε ℵ* (-ται ℵ$^{c.b}$) A ‖ 3 καθιειτε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 4 αρεσι ℵ* (-σει ℵ$^{c.b}$) ‖ 5 κρισι A | εκκλειναντας Q* (εκκλιν. Q^{a}) Γ | κρισειν ℵ* (-σιν ℵ$^{?}$) ‖ 6 ηλλοιωμε ℵ* (-μαι ℵ$^{c.a, c.b}$) ‖ 7 εξεκλειvατε Q* (εξεκλιν. Q^{a}) | αιφυλαξασθε ℵ ‖ 8 πτερνιζεται ℵ (item 9) | ειπατε ℵ* | ε ℵ* (αι ℵ$^{c.a, c.b}$) | εισι B^{b} ‖ 10 εστε ℵ | ανυξω ℵ* (-οιξω ℵ$^{c.a, c.b}$) | ευλογειαν ℵ ‖ 11 διαφθιρω ℵ ‖ 12 εσεσθαι ℵ ‖ 14 ιχετε ℵ* (-ται ℵ$^{c.a, c.b}$) ‖ 15 ημις ℵ* (-μεις ℵ$^{c.b}$) | ανοικοδομουντε ℵ* (-ται ℵ$^{c.a, c.b}$) ‖ 17 εσο|τε ℵ* (-ται ℵ$^{c.b}$) | ημαιραν ℵ* (ημεραν ℵ$^{c.a, c.b}$) | ερετιω B* (αιρ. B^{a}) ℵΓ | ερετιζει B* (αιρ. B^{ab}) ℵΓ ‖ 18 οψεσθαι ℵ

IV 1 ερχετε A | κλαιβανος B* (κλιβ. B^{b}) | εσοντε ℵ* (-νται ℵ$^{c.b}$): item 3 (-νται ℵ$^{c.a, c.b}$) | αναψι ℵ* (-ψει ℵ$^{c.b}$) ‖ 2 ανατελι ℵ* (-λει ℵ$^{c.b}$) |

ιασης Γ | τες ℵ* (ταις ℵ$^{c.a, c.b}$) | εξελευσεσθαι ℵQ* (-σθε Q^{a}) | σκιρτησεται ℵQ* (-τε Q^{a}) σκηρτησετε Γ ‖ 3 καταπατησεται B*Q* (-τε B^{ab}Q^{a}) ℵΓ ‖ 6 ενετιλαμπω ℵ

ΗΣΑΙΑΣ

I 1 βασιλια ℵQ* (-λεια Q^{a}) ‖ 2 ελελασεν Γ ‖ 5 πληγηται ℵ ‖ 6 καιφαλης ℵ* (κεφ. ℵ$^{c.b}$) | φλαιγμενουσα ℵ* (φλεγμαιν. ℵ$^{c.b}$) φλεγμενουσα ΑΓ ‖ 7 πολις ℵ* (-λεις ℵ$^{c, d.a}$) | αλλωτριων Γ ‖ 8 εγκαταλιφθησεται B*Q*^{vid}Γ | οπωροφυλακειον Q^{a} ‖ 10 προσεχεται ℵ ‖ 11 κρειων B* (κρι. B^{b}) ℵ ‖ 12 ερχησθαι ℵ* (ερχεσθαι ℵ$^{d.a}$) | οφθηνε ℵ ‖ 13 προσθησεσθαι ℵA | φερηται ℵΓ | ματεον ℵ ‖ 14 μεισει B* (μισ. B^{b}) μισι ℵ | εγενηθηται ℵ | ουκαιτι ℵ* (-ετι ℵ$^{c.b\,(vid)}$) ‖ 15 εκτινηται ℵ* (-τεινηται ℵ$^{c.b}$) | χιρας ℵ* (χειρ. ℵ$^{c.b, d.a}$) | πληθυνηται ℵA ‖ 16 γενεσθαι Q* (-σθε Q^{a}) | αφελεται ℵ | πονηρειας ℵ ‖ 17 κριν B* (κρισιν B^{b}) κρισειν ℵ | ρυσασθαι ℵQ* (-σθε Q^{a}) | κρεινατε B* (κριν. B^{b}) κρινατε ℵ ‖ 18 ωσειν bis ℵ* (-σιν ℵ$^{?}$ ε cum punct et erasum: [1°] οσιν [sic] ℵ$^{d.a}$) | φοινικουν ℵ* (φοιν. ℵ$^{c.b\,(vid), d.a}$) ‖ 19 θεληται ℵ: item 20 ℵQ* (-τε Q^{a}) | εισακουσηται ℵ$^{c.b}$ (sic) Q* (-τε Q^{a}): item 20 ℵAQ* (-τε Q^{a}) | φαγεσθαι ℵ ‖ 20 μαχερα ℵ ‖ 21 πολεις B* (-λις B^{b}): item 26 bis | φονευτε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 23 απιθουσιν ℵ | κρεινοντες B ‖ 24 κρισειν ℵ* (-σιν ℵ$^{?}$ ε cum punct et erasum) ‖ 25 χιρα ℵ* (χειρ. ℵ$^{c.b}$) | απιθουντας ℵ ‖ 27 εχμαλωσια ℵ* (αιχμ. ℵ$^{c.b}$) ‖ 30 om τα Q$^{?}$ | παραδισος B*Q* (-δεισ. B^{ab}Q^{a}) ℵ ‖ 31 ε ℵ* (αι ℵ$^{c.a, c.b}$ | σπινθηραις ℵ | αιστε (2°) ℵ* (εστε ℵ$^{c.b}$)

II 1 Ιουδεας ℵ ‖ 2 εστε ℵ | ημαιρες ℵ* (ημεραις ℵ$^{c.a, c.b}$) ‖ 3 αναγγελι ℵ* (-λει ℵ$^{c.b}$) | εκξελευσεται ℵ ‖ 4 μαχερα̅| ℵ | πολεμιν ℵ ‖ 8 χιρων ℵ* (χειρων ℵ$^{c.b}$) ‖ 9 εταπινωθη ℵ ‖ 10 κρυπτεσθαι ℵA | θαυσε ℵ* (θραυσαι ℵ$^{c.b}$): item 19 ‖ 11 ταπινος ℵ* (ταπεινος ℵ$^{c.b}$) | ταπινωθησεται ℵ* (ταπειν. ℵ$^{c.b}$): item 17 | εκινη ℵ* (εκειν. ℵ$^{c.b}$): item 17, 20 ‖ 12 ταπινωθησονται ℵ* (ταπειν. ℵ$^{c.b}$) ‖ 15 τιχος ℵ* (τειχ. ℵ$^{c.b}$) ‖ 17 πεσιται ℵ* (πεσειται ℵ$^{c.b}$) πεσειτε A ‖ 18 χιροποιητα ℵ* (χειροποι. ℵ$^{c.b}$) ‖ 19 σπηλεα ℵ | τασχισμας ℵ ‖ 20 ματεοις ℵ* (ματαιοις ℵ$^{c.b}$) ‖ 21 εισελθιν ℵ* (-θειν ℵ$^{c.b}$) | σχεισμας B | θραυσε ℵ* (-σαι ℵ$^{c.b}$)

III 1 αφελι ℵ* (-λει ℵ$^{c.b}$): item 18 ‖ 2 γειγαντα B*^{vid} (ras aliq ante ι) ℵ | πολεμειστην B*^{vid} (ras aliq ante ι) ‖ 4 εμπεκται B*$^{?}$ℵAQ* (εμπαικται Q^{a}) Γ ‖ 5 συμπεσιται ℵ* (συμπεσειτ. ℵ$^{c.b}$) συμπεσειτε A | πεδιον ℵ* (παιδιον ℵ$^{c.b}$) | ατειμος B* (ατιμ. B^{b}) | εντειμο̅| B ‖ 6 οικιου ℵΓ | ειματιον B*^{c} (ιματ. B^{b}): item 7 ειματιον B (vix coep inst ε B^{b}) | εχις ℵ* (-χεις ℵ$^{c.b}$) ‖ 7 ερι ℵ* (-ρει ℵ$^{c.b}$) | εκινη ℵ* (-κεινη ℵ$^{c.b}$): item 18 | αισομε (1°) ℵ* (εσομαι ℵ$^{c.b}$) ‖ 8 ε ℵ* (αι ℵ$^{c.a, c.b}$) | γλωσσε ℵ* (-σαι ℵ$^{c.a, c.b}$) | απιθουνταις ℵ* -τες ℵ$^{c.b}$ απιθουντες Q* (απειθ. Q^{a}) | εταπινωθη ℵ* (εταπειν. ℵ$^{c.b}$) A ‖ 11 χιρων ℵ* (χειρ. ℵ$^{c.b}$) ‖ 12 καλαμωντε ℵ* (-μωνται ℵ$^{c.b}$) | απετουνταις ℵ* (απαιτουντες ℵ$^{c.b}$) | μακαριζονταις ℵ* (-ντες ℵ$^{c.b}$) μαχαριζοντες Γ ‖ 14 κρισειν ℵ ‖ 15 υμις ℵ* (-μεις ℵ$^{c.b}$) | αδικειται ℵ αδεικειτε A | κατεσχυνεται ℵ* (καταισχυν. ℵ$^{c.b}$) καταισχυνεται A ‖ 16 κιτωνας ℵ* (χιτ. ℵ$^{c.a, c.b\,(vid)}$) | πεζουσαι ℵΓ ‖ 17 ταπινωσει ℵ* (ταπεινωσει ℵ$^{c.b}$) | ανακαλυψι ℵ* (-ψει ℵ$^{c.b}$) ‖ 20 κλιδωνας ℵ* (χλιδ. ℵ$^{c.b}$) ‖ 24 εστε ℵ* (-σται ℵ$^{c.b}$) | καιφαλης ℵ* (κεφ. ℵ$^{c.b}$) | κιτωνος ℵ* (χιτ. ℵ$^{c.b}$) ‖ 25 μαχερα bis ℵ | πεσιται ℵ* (πεσειται ℵ$^{c.b}$) | ισχυονταις ℵ* (-οντες ℵ$^{c.b}$) | ταπινωθησονται ℵ* (ταπεινωθη. ℵ$^{c.b}$) ‖ 26 καταλιφθηση B*ℵ*Q* (καταλειφθ. B^{ab}ℵ$^{c.b}$Q^{a})

IV 1 ονιδισμον ℵA ‖ 2 εκινη ℵ* (εκεινη ℵ$^{c.b}$) | επιλαμψι ℵ* (-ψει ℵ$^{c.b}$) | υψωσε ℵ* (-σαι ℵ$^{c.b}$) | δοξασε ℵ* (-σαι ℵ$^{c.b}$) | καταλιφθεν B*Q* (καταλειφθεν B^{ab}Q^{a}) ℵΓ: item 3 B*ℵQ* ‖ 3 εστε ℵ* (-σται ℵ$^{c.b}$): item 6 | υπολιφθεν B*Q* (υπολειφθ. B^{ab}Q^{a}) ‖ 4 εκπλυνι ℵ* (-νει ℵ$^{c.b}$) ‖ 5 σκιασι ℵΓ

V 1 πειονι B* (πι. B^{b}) ‖ 2 εμινα ℵ: item 4 εμινα ℵ* (έμειν. ℵ$^{c.b}$): item 7 εμινα ℵ*Q* (εμειν. ℵ$^{c.b}$Q^{a}) Z | ποιησε ℵ* (-σαι ℵ$^{c.b}$): item 4, 7 ‖ 3 κρεινατε B* (κριν. B^{b}) ‖ 4 ετει B* (ετι B^{ab}) | αιποιησα ℵ* (επ. ℵ$^{c.a, c.b}$) ‖ 5 εστε (2°) ℵ* (-σται ℵ$^{c.b}$): item 29 ‖ 6 τες ℵ* (ταις ℵ$^{c.b}$) | βρεξε B*? (-ξαι B^{ab}) ‖ 8 εγγειζονταις ℵ* (-ζοντες ℵ$^{c.a, c.b}$) ενγιζοντες Z | οικησεται A ‖ 9 μεγαλε ℵ* (-λαι ℵ$^{c.b}$) | καλε B* (-λαι B^{ab}) | ενοικουνταις ℵ* (-ντες ℵ$^{c.b}$) ‖ 10 σπιρων ℵ* (σπειρ. ℵ$^{c.b}$) ‖ 11 διωκονταις ℵ* (-ντες ℵ$^{c.b}$) | μενονταις ℵ* (-ντες ℵ$^{c.b}$) | οψαι ℵ* (οψε ℵ$^{c.b}$) ‖ 12 πεινουσιν B* (πιν. B^{b}) | χιρω̄ ℵ* (χειρ. ℵ$^{c.b}$) ‖ 13 ειδενε ℵ* (ειδεναι ℵ$^{c.a, c.b}$) | λειμον B* (λιμ. B^{b}) | δειψος B* (διψ. B^{b}) ‖ 14 διηνυξεν ℵ | διαλιπιν ℵ ‖ 15 ταπινωθησεται ℵ | ατειμασθησεται B* (ατιμ. B^{b}) | ταπινωθησονται ℵ* (ταπειν. ℵ$^{c.b}$) ‖ 17 απιλημμενων ℵQ* (απειλ. Q^{a}) ‖ 19 εγγεισατω ℵ | ποιησι ℵ* (-σει ℵ^{c}) | εινα (1°) ℵ* (ινα ℵ^{c}) ‖ 21 συναιτοι ℵ* (συνετοι ℵ$^{c.a, c.b}$) ‖ 22 πεινοντες B* (πιν. B^{b}) πινονταις ℵ ‖ 23 δικαιουνταις ℵ* (-ντες ℵ$^{c.b}$) | αιρονταις ℵ* (-ντες ℵ$^{c.b}$) ‖ 24 συνκαυθησετε ℵ* (-ται ℵ$^{c.b}$) | ανιμενης ℵ | εστε ℵ ‖ 25 χιρα ℵ* (χειρ. ℵ$^{c.b}$) | θνησιμεα ℵ | εμμεσω A ‖ 26 αρι ℵ* (-ρει ℵ$^{c.b}$) ‖ 27 πινασουσιν B*Q* (πειν. B^{ab}Q^{a}) ℵΓ | κοπιασουσει ℵ ‖ 28 οξια ℵAQ* (οξεα Q^{a}) | ελογεισθησαν ℵ | κατεγεις ℵ ‖ 29 ωσκυμνοι B* (ως σκ. B^{ab}) | λεονταις ℵ* (-ντες ℵ$^{c.b}$) | βοησι ℵ (item 30) | εκβαλι ℵ* (-λει ℵ$^{c.b}$) ‖ 30 εκινη ℵ* (εκειν. ℵ$^{c.b}$) | κυμενουσης ℵ* (κυμαιν. ℵ$^{c.b}$) | απορεια B* (-ρια B^{b})

VI 2 δυσειν ter ℵ* (ε erasum est) | τες (3°) ℵ* (ταις ℵ$^{c.a, c.b}$) ‖ 5 χιλη bis ℵ* (χειλ. ℵ$^{c.b}$) | εμμεσω B* (εν μ. B^{b}) ℵAΓ ‖ 6 χιρει ℵ* (χειρι ℵ$^{c.b}$ χειρη ℵ$^{d.a}$) | λαβειδι B* (λαβιδι B^{b}) ‖ 7 χιλεων ℵ* (χειλ. ℵ$^{c.b}$) ‖ 8 αποστιλω ℵ* (-στειλ. ℵ$^{c.b}$) A? | μαι ℵ* (με ℵ$^{c.b}$) ‖ 9 ακουσεται ℵ | βλεψηται ℵ βλεψεται Γ ‖ 10 ειδωσιν Q* (ιδ. Q^{a}) | ακουσωσειν ℵ* (ε cum punct et erasum) | συνωσειν ℵ* (ε cum punct et erasum) | ιασομε ℵ* (-μαι ℵ$^{c.b}$) ‖ 11 πολις Q* (-λεις Q^{a}) | κατοικισθαι B* (-κεισθ. B^{ab} et identidem) κατοικεισθε ℵ* (-σθαι ℵ$^{c.b}$) | καταλιφθησεται ℵQ* (καταλειφθ. Q^{a}) Γ ‖ 12 καταλιφθεντες B*Q* (καταλειφθ. B^{ab}Q^{a}) Γ

VII 1 πολεμησε ℵ* (-σαι ℵ$^{c.b}$) | πολιορκησε ℵ* (-σαι ℵ$^{c.b}$) ‖ 3 συναντησειν ℵ* (ε cum punct et erasum) | καταλιφθεις ℵA καταλιφθις Γ: item 22 καταλιφθεις ℵAQ* (-λειφθ. Q^{a}) Γ ‖ 4 ερις ℵ* (-ρεις ℵ$^{c.b}$) | φυλαξε ℵ* (-ξαι ℵ$^{c.b}$) | ησυχασε ℵ* (-σαι ℵ$^{c.b}$) ισυχασαι Γ | ασθενιτω ℵ ‖ 6 Ιουδεαν ℵ | συνλαλησανταις ℵ* (-ντες ℵ$^{c.a}$) ‖ 8 καιφαλη (1°) ℵ* (κεφ. ℵ$^{c.a, c.b}$): item 9 (2°) καιφ. ℵ* (κεφ. ℵ$^{c.b}$) | εκλιψει B*Q* (εκλειψ. B^{ab}Q^{a}) ℵ ‖ 9 πιστευσηται ℵ | συνηται ℵ$^{c.b}$ ‖ 11 σημιον B*^{vid} ℵ*Q* (σημειον B^{ab}ℵ$^{c.b}$Q^{a}): item 14 ℵ*Q* (-μειον ℵ$^{c.b}$Q^{a}) ‖ 12 πιρασω ℵ ‖ 13 μεικρον B* (μικρ. B^{ab}) | παρεχεται AQ* (-τε Q^{a}) ‖ 15 προελεσθε B* (-σθαι B^{ab}) ‖ 16 απιθει Γ | καταλιφθησεται ℵQ* (καταλειφθ. Q^{a}) ‖ 17 επαξι ℵ ‖ 18 εστε ℵ* (-σται ℵ$^{c.b}$): item 21, 23 | μυιες B* (μυιαις B^{ab}) | εκινη ℵ* (εκεινη ℵ$^{c.b}$): item 20, 21, 23 ‖ 19 ελευσοντε ℵ$^{c.a}$ (-νται ℵ$^{c.b}$) | φαραγξειν ℵ* (-γξιν ℵ$^{c.b}$) | σπηλεα ℵ ‖ 20 ξυρησι ℵ* (-σει ℵ$^{c.b}$) | καιφαλην ℵ* (κεφ. ℵ$^{c.b}$) ‖ 22 πλιστων ℵQ* (πλειστ. Q^{a}) ‖ 23 χειλιαι, χειλιων B* (χιλ. B$^{?}$) ‖ 25 εκι ℵ* (εκει ℵ$^{c.b}$)

VIII 1 ποιησε ℵ* (-σαι ℵ$^{c.b}$) ‖ 3 προφητειν ℵ* (-τιν ℵ^{c}) | εγγαστρι A ‖ 4 πεδιον ℵ* (παιδ. ℵ$^{c.b}$) | λημψετε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 5 λαλησε ℵ ‖ 6 ησυχει Γ ‖ 7 τιχος ℵ* (τειχ. ℵ$^{c.b}$) ‖

8 αφελι ℵ* (-λει ℵ$^{c.b}$) | αρε ℵ* (-ραι ℵ$^{c.b}$) | πληρωσε ℵ* (-ρωσαι ℵ$^{c.b}$) ‖ 9 ηττασθαι (1°) ℵQ* (-σθε Q^{a}) | ηττηθησεσθαι Q* (-σθε Q^{a}) ‖ 10 βουλευσησθαι ℵ$^{c.b}$ (sic) | λαλησηται A | υμειν B* (-μιν B^{a}) ‖ 11 χιρει ℵ* (χειρει ℵ$^{c.b}$) | απιθουσιν ℵAQ* (απειθ. Q^{a}) | πορια ℵQ* (-ρεια Q^{a}) ‖ 12 ταραχθηται ℵ ‖ 13 εστε ℵ* (-σται ℵ$^{c.b}$): item 14, 18, 21 ‖ 14 ουκ ℵ | συναντησεσθαι AQ* (-σθε Q^{a}) ‖ 15 κε (2°) ℵ* (και ℵ$^{c.b}$) | εγγειουσιν ℵ ‖ 17 ερι ℵ ‖ 18 πεδια ℵ* (παιδ. ℵ$^{c.b}$) | σημια ℵ | ορι ℵ ‖ 19 ειπωσειν ℵ* (-σιν ℵ^{c}) | εγγαστρειμυθους B^{a} (εγγαστριμ. B^{b}) ‖ 20 δωναι B* (δουναι B$^{b(vid)}$) ‖ 21 λειμος B* (λιμ. B^{b}) | πινασητε ℵ*Q* (πειν. ℵ$^{c.b}$Q^{a}) AΓ | λυπηθησεσθαι A | εριτε ℵ* (εριται ℵ$^{c.b}$ [sic]) ερειται A ‖ 22 θλειψεις B* (θλειψις B^{a} θλιψις B^{b}) | βλεπιν ℵ

IX 1 παραλειαν B* (-λιαν B^{b}) ‖ 2 σκοτι ℵQ* (-τει Q^{a}) Γ ‖ 3 πλιστον ℵ*Q* (πλειστ. ℵ$^{c.b}$Q^{a}) | ευφρενομενοι ℵ ‖ 5 ειματιον B* (ιμ. B^{ab}) | αποτεισουσιν B* (αποτισ. B^{b}) ‖ 6 πεδιον ℵ* (παιδ. ℵ$^{c.b}$) | καλειτε B* (-ται B^{ab}) καλιτε ℵ* (καλειται ℵ$^{c.b}$) | ιρηνην B* (ειρ. B^{ab}) ‖ 7 ιρηνης ℵ* (ειρ. ℵ$^{c.b}$) | βασιλιαν ℵ*Q* (-λειαν ℵ$^{c.b}$Q^{a}) | κατορθωσε ℵ* (κατορθωσαι ℵ$^{c.b}$) ‖ 8 απεστιλεν ℵ ‖ 9 υβρι ℵΓ ‖ 10 πληνθοι Γ | συκαμεινους B* (-μιν. B^{b}) ‖ 11 εκχθρους A ‖ 12 επει A ‖ 14 αφιλεν ℵ | καιφαλη̅| ℵ* (κεφ. ℵ$^{c.b}$) | μεικρον B* (μικρ. B^{ab}) ‖ 17 ελεησι ℵ* (-σει ℵ$^{c.b}$) ‖ 18 συνκαταφαγετε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 19 συνκεκαυτε ℵ* (-ται ℵ$^{c.b}$) | εστε ℵ* (-σται ℵ$^{c.b}$) ‖ 20 εκκλινι ℵ* (-νει ℵ$^{c.b}$) | πινασι ℵ πινασει AQ* (πειν. Q^{a}) | βραχειονος B* (βραχιον. B^{b})

X 2 εκκλεινοντες B* (-κλιν. B^{b}) A | ειve ℵ* (-ναι ℵ$^{c.b}$) ‖ 3 θλειψεις B* θλειψις B^{a} (θλιψις B^{b}) θλιψεις ℵ | καταφευξεσθαι A | καταλιψεται ℵ καταλιψετε AQ* (καταλειψ. Q^{a}) ‖ 4 εμπεσιν ℵ* (-σειν ℵ$^{c.b}$) | επει A ‖ 6 ποιησε ℵ* (-σαι ℵ$^{c.b}$) | καταπατιν ℵ* (-τειν ℵ$^{c.b}$) ‖ 7 ουκ] ουχ ℵA ‖ 9 ερι ℵ ‖ 11 χιροποιητοις ℵ* (χειροπ. ℵ$^{c.b}$) | ιδωλοις ℵ ‖ 12 εστε ℵ* (-σται ℵ$^{c.b}$: item 17, 18): item 20, 21 ℵ | ορι ℵ | επαξι ℵ* (-ξει ℵ$^{c.b}$) | επει (2°) B* (επι B^{b}) ‖ 13 ισχυει ℵ* (-υι ℵ$^{c.b}$) ‖ 14 σισω ℵQ* (σεισ. Q^{a}) | χιρι ℵ* (χειρι ℵ$^{c.b}$) | διαφευξετε ℵ* (-ται ℵ$^{c.b}$) | μαι ℵ* (με ℵ$^{c.b}$) | αντιπη ℵ* (αντειπη ℵ$^{c.b}$) ‖ 15 δοξασθησετε ℵ* (-ται ℵ$^{c.b}$) | αξεινη B* (αξιν. B^{b}) ‖ 17 αγιασι ℵ ‖ 18 εκινη ℵ* (εκειν. ℵ$^{c.b}$) ‖ 19 καταλιφθεντες B*Q* (καταλειφθ. B^{ab}Q^{a}) Γ | εσοντε ℵ* (-νται ℵ$^{c.b}$) | πεδιον ℵ ‖ 20 ουκαιτι ℵ* (-ετι ℵ$^{c.a, c.b}$) | καταλιφθεν ℵQ* (καταλειφθ. Q^{a}) Γ: item 21 καταλιφθεν B*Q* (καταλειφθ. B^{ab}Q^{a}) Γ ‖ 22 κε (2°) ℵ* (και ℵ$^{c.b}$) ‖ 23 ποιησι ℵ ‖ 25 ετει B* (ετι B^{b}) | μεικρον B* (μικρ. B^{b}) ‖ 26 θλειψεως B* (θλιψ. B^{b}) ‖ 28 ηξι ℵ* (-ξει ℵ$^{c.b}$) ‖ 29 λημψεται B^{b} ‖ 32 παρακαλειται bis Q* (-τε Q^{a}) παρακαλιται (2°) ℵ* (παρακαλειται ℵ$^{c.b}$) | μιναι ℵ* (μειν. ℵ$^{c.b}$) | χειρει ℵ ‖ 33 υβρι ℵ ‖ 34 μαχερα ℵ

XI 1 αναβησαιται A* (-σεται A?) ‖ 3 λαλειαν A | ελεξει ℵ* (ελεγξει ℵ$^{c.b}$) ‖ 4 κρινι ℵ* (-νει ℵ$^{c.b}$) | ταπινω ℵA | παταξι ℵ* (-ξει ℵ$^{c.b}$) | χιλεων ℵ | ανελι ℵ* (-λει ℵ$^{c.b}$) ‖ 6 παρδαλεις ℵ* (-λις ℵ$^{c.b}$) | πεδιον ℵ (item 8) | μεικρον B* (μικρ. B^{ab}) ‖ 7 πεδια ℵ ‖ 8 χιρα ℵ* (χειρ. ℵ$^{c.b}$): item 11 (χειρ. ℵ$^{c.a}$) ‖ 9 κατακαλυψε ℵ ‖ 10 αρχιν ℵ* (-χειν ℵ$^{c.b}$) | εστε (2°) ℵ* (-σται ℵ$^{c.a}$): item 16 (2°) (-σται ℵ$^{c.b}$) | αναπαυσεις B* (-σις B^{ab}) ‖ 11 εστε ℵ | εκινη ℵ* (-κειν. ℵ$^{c.a}$) | διξε ℵ* διξαι ℵ$^{c.a}$ Q* (δειξαι Q^{a}) | ζηλωσε ℵ* (ζηλωσαι ℵ$^{c.a}$) | καταλιφθεν ℵQ* (-λειφθεν Q^{a}) | καταλιφθη ℵQ* (-λειφθη Q^{a}) ‖ 12 σημιον ℵQ* (σημειον Q^{a}) ‖ 13 αφερεθησεται B* (αφαιρ. B^{ab}) ℵ | ζηλωσι ℵ | θλειψει B ‖ 15 ερημωσι ℵ | επιβαλι ℵ* (-λει ℵ$^{c.b}$) | βιεω ℵ* (βιαιω ℵ$^{c.a, c.b}$) | υποδημασι B^{b} ‖ 16 καταλιφθεντι B*Q* (καταλειφθ. B^{ab}Q^{a}) Γ

XII 1 εκινη ℵ* (-κεινη ℵ$^{c.b}$) | ωργεισθης ℵ ‖ 2 εσομε ℵ* (-μαι ℵ$^{c.b}$) |

[illegible]

XIII [illegible]

XIV 1 [illegible] | 3 [illegible] | 4 [illegible] | 5 [illegible] | 6 [illegible] | 9 [illegible] | 10 [illegible] | 11 [illegible] | 13 [illegible] | 15 [illegible] A | 16 [illegible] | 17 [illegible] | 19 [illegible] (μαχ. [illegible]) | [illegible] | 20 [illegible]

XV [illegible] | 6 [illegible] | 7 [illegible] | 9 [illegible]

XVI 2 [illegible] Q [illegible] | 3 [illegible] A | 4 [illegible] | 5 [illegible] AΓ | 7 [illegible] B [illegible] Q | 8 [illegible] A [illegible] B [illegible] Γ [illegible] Q | 10 [illegible] | 11 [illegible] A [illegible] KA | 12 [illegible] Γ | 14 [illegible] B Q [illegible] K

XVII 2 [illegible] K (item 4) | 3 [illegible] Q (-[illegible] Q) | [illegible] B | 4 [illegible]: item 7, 9 | [illegible]

XXIII 1 *ολολυ..ται* Γ ‖ 2 *ενοικουνταις* ℵ ‖ 4 *εσχυνθητι* ℵ* (*αισχ.* $\aleph^{c.b}$) | *ωδεινον* B* (*-δειν.* B^{b}) $\aleph^{c.b}$ ‖ 7 *ουκ* ℵ ‖ 8 *ισχυι* Q^{*vid} (*-υει* Q^{a}): item 11 $\aleph^{c(?b)}$Q* (*-υει* Q^{a}) AΓ ‖ 9 *ατειμασαι* B* (*ατιμ.* B^{b}) *ατιμασε* ℵ* (*-σαι* $\aleph^{c.b}$) ‖ 11 *χιρ* ℵ* (*χειρ* $\aleph^{c(?b)}$) | *ενετιλατο* B*ℵ* (*ενετειλ.* $B^{ab}\aleph^{c(?b)}$) | *απολεσε* ℵ* (*απολεσαι* $\aleph^{c(?b)}$) ‖ 12 *εκι* ℵ* (*εκει* $\aleph^{c.b}$) | *αναπαυσεις* B* (*-σις* B^{ab}) A ‖ 15 *εστε* ter ℵ* (*-σται* $\aleph^{c.b}$): item 16: item 18 *εστε* ℵ | *εκινη* ℵ* (*εκειν.* $\aleph^{c.b}$) | *καταλιφθησεται* ℵQ^{*vid} (*καταλειφθησεται* Q^{a}) Γ ‖ 16 *μνια* ℵAQ* (*μνεια* Q^{a}) | *αρχεον* ℵ ‖ 17 *βασιλιαις* Q* (*-λειαις* Q^{a}) ‖ 18 *εμπορεια* (2°) B* (*-ρια* B^{b}) | *εμπλησθηνε* ℵ* (*-ναι* $\aleph^{c.b}$)

XXIV 1 *καταφθιρι* ℵ* (*-φθειρει* $\aleph^{c.b}$) | *ερημωσι* ℵ* (*-σει* $\aleph^{c.b}$) | *ανακαλυψι* ℵ* (*-ψει* $\aleph^{c.b}$) | *διαστερι* ℵ* (*-ρει* $\aleph^{c.b}$) ‖ 2 *εστε* bis ℵ* (*-σται* $\aleph^{c.b}$): item 15 (1°), 18 | *θεραπενα* ℵ* (*-παινα* $\aleph^{c.b}$) | *οφιλι* ℵ* (*οφιλει* $\aleph^{c.b}$) ‖ 6 *εδετε* B* (*-ται* B^{ab}) ℵ | *κατοικουνταις* ℵ* (*-ντες* $\aleph^{c.b}$) | *καταλιφθησονται* ℵQ* (*-λειφθ.* Q^{a}): item 12 ℵQ*Γ ‖ 7 *πενθησι* bis ℵ* (*-σει* $\aleph^{c.b}$) | *ευφρενομενοι* ℵ ‖ 8 *πεπαυτε* ter ℵ* (*-ται* $\aleph^{c.b}$): item 11 ‖ 9 *πινουσειν* ℵ* (*-σιν* $\aleph^{c}$) *πινουσιν* (*ν* superscr) Q^{a} ‖ 10 *πολεις* B* (*-λις* B^{ab}) | *κλισι* ℵ* *κλισει* $\aleph^{c.b}$AQ* (*κλεισει* Q^{a}) ‖ 11 *ολολυζεται* $\aleph^{c.b}$) ‖ 13 *εμμεσω* AΓ | *παυσηтε* ℵ* (*-ται* $\aleph^{c.b}$) A ‖ 14 *καταλιφθεντες* ℵQ* (*-λειφθ.* Q^{a}) Γ ‖ 17 *παγεις* ℵ* (*-γις* $\aleph^{c}$) ‖ 18 *εμπεσιται* ℵ* (*-σειται* $\aleph^{c.b}$) | *σισθησεται* ℵQ* (*σεισθ.* Q^{a}) Γ (item 20) | [*θεμε*]*λεια* Γ ‖ 19 *ταραχθησετε* ℵ* (*-ται* $\aleph^{c.b}$) ‖ 20 *εκλεινεν* AΓ | *σισθησετε* ℵ* (*-ται* $\aleph^{c.b}$) | *οπωροφυλακειον* Q^{a} *οποροφυλακιον* Γ | *πεσειτε* B* (*-ται* B^{ab}) *πεσιται* ℵ* (*πεσειται* $\aleph^{c.b}$) ‖ 21 *επαξι* ℵ* (*-ξει* $\aleph^{c.b}$) ‖ 22 *αποκλισουσιν* ℵQ* (*αποκλεισουσιν* Q^{a}) ‖ 23 *πληη*[*θος*] Γ | *πεσιτε* ℵ* (*-σειται* $\aleph^{c.b}$) *πεσειτε* A | *τιχος* ℵ

XXV 1 *αρχεαν* ℵ* (*-χαιαν* $\aleph^{c.b}$) | *αληθεινην* B* (*-θινην* B^{b}) A ‖ 2 *πολεις* (2°)] *πολις* Q* (*-λεις* Q^{a}): item 3 | *πεσιν* Q* (*-σειν* Q^{a}) | *θεμελεια* B* (*-λια* B^{b}) ‖ 3 *ευλογησι* ℵ* (*ευλογησει* $\aleph^{c.b}$) ‖ 4 *πολι* ℵΓ* (*-λει* $Γ^{?}$) | *ε*|*διαν* ℵ* *ενδιαν* $\aleph^{c.a}$Q* (*ενδειαν* Q^{a}) ‖ 6 *ποιησι* ℵ* (*ποιησει* $\aleph^{c.b}$) ‖ 7 *χρεισονται* B* (*χρισ.* B^{b}) A | *ορι* ℵ* (*-ρει* $\aleph^{c.b}$) ‖ 8 *αφειλε* (1°) B^{b} *αφιλεν* bis ℵ* (*αφειλ.* $\aleph^{c.b}$) | *ονιδος* ℵ ‖ 9 *ερουσι* B^{b} | *εκινη* ℵ* (*-κειν.* $\aleph^{c.b}$) | *ακαλλιωμεθα* ℵ* (*αγ.* $\aleph^{c.a,c.b}$) ‖ 10 *δωσι* ℵ* (*δωσει* $\aleph^{c.b}$) ‖ 11 *χιρας* bis ℵ* (*χειρ.* $\aleph^{c.b}$) | *εταπινωσεν* ℵ* (*-πειν.* $\aleph^{c.b}$) | *ταπινωσι* ℵ* (*-πειν.* $\aleph^{c.b}$) ‖ 12 *ταπινωσει* ℵ* (*-πειν.* $\aleph^{c.b}$)

XXVI 1 *εκινη* ℵ* (*-κειν.* $\aleph^{c.b}$) | *πολεις* A | *θησι* ℵ* (*-σει* $\aleph^{c.b}$) | *τιχος* ℵQ* (*τειχ.* Q^{a}) | *περὶ τεῖχος* B^{b} *περιτιχος* ℵQ* (*-τειχ.* Q^{a}) ‖ 3 *ιρηνην* B*ℵ* (*ειρ.* $B^{ab}\aleph^{c.b}$): item 12 ‖ 4 *εωνιος* ℵ* (*αιων.* $\aleph^{c.b}$) ‖ 5 *ταπινωσας* ℵ* (*-πειν.* $\aleph^{c.b}$) | *καταξις* ℵ* (*-ξεις* $\aleph^{c}$) | *αιως* ℵ* (*εως* $\aleph^{c}$) ‖ 6 *ταπινων* ℵ* (*-πειν.* $\aleph^{c.b}$) ‖ 7 *ευθια* ℵ ‖ 8 *κρισεις* ℵ* (*-σις* $\aleph^{c.b}$) A | *μνια* ℵQ* (*μνεια* Q^{a}) ‖ 10 *πεπαυτε* B*ℵ* (*-ται* $B^{ac}\aleph^{c.b}$) | *εινα* ℵ* (*ινα* $\aleph^{c}$) ‖ 11 *βραχειων* B* (*-χιων* B^{b}) | *ηδισαν* ℵ | *λημψεται* B^{b} *λημψετε* ℵ* (*-ται* $\aleph^{c.b}$) | *απεδευτον* ℵ* (*απαιδ.* $\aleph^{c.b}$) ‖ 13 *κτησε* ℵ* (*-σαι* $\aleph^{c.b}$) ‖ 14 *αναστησουσι* B^{b} ‖ 16 *μεικρα* B* (*μικρ.* B^{b}) ℵ: item 20 *μεικρον* B* (*μικρ.* B^{b}) | *παιδιά* B^{b} ‖ 17 *ωδεινουσα* B* (*ωδιν.* B^{b}) Γ | *εγγειζει* ℵA | *ωδειν* B* (*ωδιν.* B^{b}) Γ *ωδινα* Q* (*-νι* Q^{a}) ‖ 18 *εγγαστρι* A | *ωδεινησαμεν* B* (*ωδιν.* B^{b}) Γ | *πεσουντε* B* (*-νται* B^{ab}) | *ενοικουνταις* ℵ* (*-ντες* $\aleph^{c.b}$) ‖ 19 *εγερθησοντε* ℵ* (*-σονται* $\aleph^{c.b}$) | *μνημιοις* B*Q* (*-μειοις* $B^{ab}Q^{a}$) ℵ | *ειαμα* B* (*ιαμα* B^{ab}) | *πεσιται* ℵ* (*πεσειται* $\aleph^{c.b}$) ‖ 20 *αποκλισον* ℵAQ* (*-κλεισ.* Q^{a}) ‖ 21 *ανακαλυψι* ℵ* (*ανακαλυψει* $\aleph^{c.b}$)

XXVII 1 *εκινη* ℵ* (*-κειν.* $\aleph^{c.b}$): item 2, 13 | *επαξι* ℵ* (*-ξει* $\aleph^{c.b}$) | *μαχεραν* ℵ* (*-χαιρ.* $\aleph^{c.b}$) | *ανελι* ℵ* (*-λει* $\aleph^{c.b}$) ‖ 3 *πεσιται* ℵ | *τιχος* ℵ ‖ 4 *θησι* ℵ* (*-σει* $\aleph^{c.b}$) | *φυλασσιν* ℵQ* (*-σσειν* Q^{a}) | *εποιησε* B^{b} ‖ 5 *ιρηνην*

ℵ$^{c.b}$) ‖ 13 εστε ℵ* (-σται ℵ$^{c.b}$): item 23 (2°), 26 bis: item 14, 32 εστε ℵ | τιχος ℵ ‖ 14 ευριν ℵ* (-ρειν ℵ$^{c.b}$) | μεικρον B* (μικρ. B^{ab}) ‖ 15 αποστραφις ℵ* (-φεις ℵ$^{c.b}$) | επεποιθις ℵ* (-θεις ℵ$^{c.b}$) | ματεοις ℵ ‖ 16 φευξεσθαι ℵA | διωκονταις ℵ* (-κοντες ℵ$^{c.b}$) ‖ 17 καταλιφθητε B*ℵ*Q* (-λειφθ. B^{ab}Q^{a}) καταλειφθηται ℵ$^{c.b}$ | σημεαν B* (-μαιαν B^{ab}) ℵA ‖ 18 μενι ℵ | οικτηρησαι Γ | ελεησε ℵ* (-σαι ℵ$^{c.b}$) ‖ 19 μαι ℵ | ελεησι ℵ* (-σει ℵ$^{c.b}$) | επηκουσε B^{b} ‖ 20 δωσι ℵ* (-σει ℵ$^{c.b}$) | εγγισωσειν ℵ (ε 2° cum punct) εγγεισωσιν A ‖ 22 ιδωλα ℵ | ωσις ℵ ‖ 23 πλησμονῇ B^{b} | εκινη ℵ* (-κειν. ℵ$^{c.b}$): item 25 | πειονα B* (πιον. B^{b}) ‖ 27 εδετε B* (-ται B^{ab}) ℵ$^{d.a}$ ‖ 28 φαραγγει ℵO | διερεθησεται ℵA | διοξεται ℵ$^{d.a}$ | πλανησεις B*ℵ* (πλανησις B^{ab}ℵ$^{c, d.a}$) A ‖ 29 δι' ὑμᾶς B^{b} | ευφραινεσθε B^{ab} | εισπορευεσθε B^{ab} | ευφρενομενους ℵ* (ευφραιν. ℵ$^{c.b}$) ‖ 30 βραχειονος B* (-χιον. B^{b}) | διξε ℵ* (-ξαι ℵ$^{c.b}$) | καταισθιουσης AQ | καιραυνωσι ℵ* (κεραυνωσι ℵ$^{c.b}$) ‖ 33 θιου B^{b}ℵQ* (θειου B*Q^{a})

XXXI 1 καταβενονταις ℵ* (καταβαινονταις ℵ$^{c.b}$) | πεποιθοταις (1°) ℵ* (-τες ℵ$^{c.b}$) ‖ 2 ματεαν ℵ* (ματαιαν ℵ$^{c.a, c.b}$) ‖ 3 ετιν ℵ* (εστιν ℵ$^{c.a, c.b}$) | επαξι ℵ* (-ξει ℵ$^{c.b}$) | χιρα ℵ* (χειρ. ℵ$^{c.b}$) | βοηθουνταις ℵ* (-ντες ℵ$^{c.b}$) ‖ 4 ειπε B^{b} | λεον ℵ* (λεων ℵ$^{c.a, c.b}$) | επειστρατευσε ℵ* (-σαι ℵ$^{c.b}$) ‖ 5 εξελιται ℵ εξελειτε A ‖ 6 επιστραφηται ℵ | βαθιαν ℵQ* (-θειαν Q^{a}) ‖ 7 εκινη ℵ* (-κειν. ℵ$^{c.b}$) | απαρνησοντε ℵ* (-σονται ℵ$^{c.b}$) | χιροποιητα (1°) ℵ* (χειρ. ℵ$^{c.b}$) ‖ 8 πεσιτε ℵ* (πεσειται ℵ$^{c.b}$) | μαχαίρᾳ bis B^{b} μαχερα bis ℵ | μαχερας ℵ ‖ 9 περηλημφθησονται ℵ* (περιλ. ℵ^{c}) | χαρακει ℵ | εχι ℵ* (-χει ℵ$^{c.b}$) | οικιους ℵQ* (-κειους Q^{a})

XXXII 1 βασιλευσι ℵ* (-λευσει ℵ$^{c.b, d.a}$) | αρξουσι B^{b} ‖ 2 εστε ℵ* (-σται ℵ$^{c.b}$): item 15, 17 εστε ℵ | Σιων B^{b} ‖ 3 ουκαιτι ℵ* (-ετι ℵ$^{c.b}$) | εσοντε ℵ* (-νται ℵ$^{c.b}$): item 19 εσοντε ℵ | δωσουσι B^{b} ‖ 4 ε (1°) ℵ* (αι ℵ$^{c.a, c.b}$): item 11, 14 ε (2°) ℵ | γλωσσε ℵ* (-σσαι ℵ$^{c.a, c.b}$) | λαλι] ℵ* (-λειν ℵ$^{c.b}$) | ιρην. ℵ* (ειρ. ℵ$^{c.b}$): item 17 ‖ 5 ειπωσιν (1°) ℵ | υπηρετε ℵ* (-ται ℵ$^{c.b}$) | σειγα B* (σιγ. B^{b}) ‖ 6 ματεα ℵ* (-ταια ℵ$^{c.b}$) | συντελιν ℵ* (-λειν ℵ$^{c.b}$) | διασπιρε ℵ | πινωσας ℵA ‖ 7 καταφθιρε ℵ* (-φθειρε ℵ$^{c.b}$) | ταπιν. bis ℵ* (ταπειν. ℵ$^{c.b}$) A ‖ 8 μενι ℵ* (-νει ℵ$^{c.b}$) ‖ 9 γυνεκες ℵ* (-ναικ. ℵ^{c}) | πλουσιε ℵ* (-σιαι ℵ^{c}) | ακουσαται A ‖ 10 μνιαν ℵQ* (μνειαν Q^{a}) | πεπαυτε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 11 εκδυσασθαι ℵ | γενεσθαι Q*^{vid} (-σθε Q^{a}) | περιζωσασθαι ℵ ‖ 12 κοπτεσθαι ℵA ‖ 14 σπηλεα ℵ* (-λαια ℵ$^{c.b}$) | ποιμαινων AQ ‖ 15 λογεισθησεται ℵ ‖ 16 κατοικησι ℵ* (-κησει ℵ$^{c.b}$) ‖ 17 κρατησι ℵ* (-σει ℵ$^{c.b}$) | πεποιθοταις ℵ* (-τες ℵ$^{c.b}$) | εωνος ℵ* (αιων. ℵ$^{c.b}$) ‖ 18 πολι ℵ | ενοικησι ℵ* (-κησει ℵ$^{c.b}$) ‖ 19 αιφ ℵ* (εφ ℵ$^{c.a, c.b}$) | πεδεινη B* (-δινη B^{b}) παιδινη A ‖ 20 σπιρονταις ℵ* (-ντες ℵ$^{c.b}$)

XXXIII 1 ταλεπωρ. bis ℵ* (ταλαιπ. ℵ$^{c.b}$) | αθετουνταις ℵ* (-ντες ℵ$^{c.b}$) | ημματιω ℵ* (ιματιω ℵ$^{c.a, c.b}$) ‖ 2 επει ℵ | απιθουντων ℵ*Q* (απειθουντων ℵ$^{c.b}$Q^{a}) ‖ 4 μεικρου B* (μικρ. B^{ab}): item 19 μεικρον B* (μικρ. B^{b}) | εμπεξουσιν ℵ*Q*^{vid} (εμπαιξουσιν Q^{a}) ‖ 6 εισι B^{b} ‖ 7 εφοβισθαι ℵ* (εφοβεισθαι ℵ$^{c.b}$) | κλεονταις ℵ* (κλαιοντες ℵ$^{c.b}$) | ιρηνην ℵ* (ειρ. ℵ$^{c.b}$) ‖ 8 αιρημωθησονται A | πεπαυτε ℵ* (-ται ℵ$^{c.b}$) | ερεται ℵ* (αιρ. ℵ$^{c.b}$) ‖ 9 εστε ℵ ‖ 10 αναστησομε ℵ* (-μαι ℵ$^{c.b}$) ‖ 11 οψεσθαι ℵ | εσθηθησεσθαι ℵ* | ματεα ℵ ‖ 12 εσοντε ℵ | ερρειμμενη B* (ερριμμ. B^{b}) ‖ 13 εγγειζονταις ℵ* (-ντες ℵ$^{c.b}$) ‖ 14 λημψεται B^{b} | αναγγελι bis ℵ* (-λει ℵ$^{c.b}$) ‖ 15 ευθιαν ℵQ* (-θειαν Q^{a}) | χιρας ℵ* (χειρ. ℵ$^{c.b}$) | αποσιομενος ℵAQ* (-σειομ. Q^{a}) | ειva (1°) ℵ* (ινα ℵ$^{c.b}$) ‖ 16 σπηλεω ℵ ‖ 17 οψοντε ℵ* (-νται ℵ$^{c.b}$) ‖ 18 μελετησι ℵ* (-σει ℵ$^{c.b}$) | συμβουλευονταις ℵ* (-ντες ℵ$^{c.b}$) ‖ 19 ηδι ℵ* (ηδει ℵ$^{c.b}$) | συνεσεις A ‖ 20 σισθωσιν

ℵ$^{c.a}$) | *δεκαπέντε* B^b ‖ 6 *χιρος* ℵ* (*χειρ.* ℵ$^{c.b}$) | *σαι* ℵ* (*σε* ℵ$^{c.b\ vid}$) ‖ 7 *σημιον* ℵQ* (-*μειον* Q^a): item 22 ‖ 9 *κε* ℵ* (*και* ℵ$^{c.b}$) ‖ 10 *υψι* ℵ* (-*ψει* ℵ$^{c.b}$) | *καταλιψω* ℵQ* (-*λειψ.* Q^a) ‖ 12 *εκτεμιν* ℵ* (-*μειν* ℵ$^{c.b}$) ‖ 13 *συντρειψεν* B* (*συνετρεψεν* B^b) ‖ 14 *χελειδων* B* (*χελιδ.* B^b) | *βλεπιν* ℵ* (-*πειν* ℵ$^{c.b}$) | *εξιλατο* ℵ* (*εξειλ.* ℵ$^{c.b}$) A | *αφιλατο* ℵ* (*αφειλ.* ℵ$^{c.b}$) ‖ 16 *εξηγιρας* ℵ* (-*γειρας* ℵ$^{c.b}$) ‖ 17 *ιλου* ℵ* (*ειλ.* ℵ$^{c.b}$) A ‖ 18 *ενεσουσιν* ℵ* (*αιν.* ℵ$^{c.a,\ c.b}$) ‖ 19 *ζωνταις* ℵ* (-*ντες* ℵ$^{c.b}$) | *πεδια* ℵ* (*παιδ.* ℵ$^{c.b}$) ‖ 20 *πανσομε* ℵ* (-*μαι* ℵ$^{c.b}$) ‖ 21 *τρειψον* B* (*τριψ.* B^b) | *καταπλασε* ℵ* (-*σαι* ℵ$^{c.b}$)

XXXIX 1 *εκινω* ℵ* (*εκειν.* ℵ$^{c.b}$) | *απεστιλε*] ℵ* (-*στειλεν* ℵ$^{c.b}$) | *κε* (1°) ℵ* (*και* ℵ$^{c.a}$): item 2 *κε* (10°) ℵ* (*και* ℵ$^{c.b}$) ‖ 2 *εδιξεν* bis ℵ* (*εδειξ.* ℵ$^{c.b}$) Q* (1°) (*εδειξ.* Q^a) ‖ 3 *εγ* (1°) ℵ* (*εκ* ℵ$^{c.a}$) ‖ 8 *ιρηνη* ℵ* (*ειρ.* ℵ$^{c.b}$) | *τες ημερες* ℵ* (*ταις -ραις* ℵ$^{c.b}$)

XL 1 *παρακαλιται* bis ℵ* (-*λειται* ℵ$^{c.b}$) ‖ 2 *ιερις* ℵ* (-*ρεις* ℵ$^{c.b}$) | *ταπινωσις* ℵ* (*ταπειν.* ℵ$^{c.b}$) *ταπεινωσεις* A ‖ 3 *ευθιας* ℵ | *ποιειται* ℵQ* (-*τε* Q^a) ‖ 4 *ταπινωθησεται* ℵ* (*ταπειν.* ℵ$^{c.b}$) | *εστε* ℵ* (-*σται* ℵ$^{c.b}$) | *ευθια*] ℵQ* (-*θειαν* Q^a) | *τραχια* ℵQ* 5 *οφθησετε* ℵ* (-*ται* ℵ$^{c.b}$) | *οψετε* ℵ* (-*ται* ℵ$^{c.b}$) ‖ 8 *μενι* ℵ* (-*νει* ℵ$^{c.b}$) ‖ 9 *φοβεισθαι* B* (-*σθε* B^{ab}) *φοβισθε* ℵ* (*φοβεισθε* ℵ$^{c.b}$) | *τες* ℵ* (*ταις* ℵ$^{c.a,\ c.b\ vid}$) | *ειδου* ℵ* (*ιδου* ℵ$^{c.b}$) ‖ 10 *βραχειων* B* (-*χιων* B^b) ‖ 11 *ποιμανι* ℵ* (-*νει* ℵ$^{c.b}$) | *βραχειονι* B* (*βραχιονι* B^b) | *εγγαστρι* A | *γαστρει* B* (-*στρι* B^b) ‖ 12 *χερι* ℵ* (*χειρ.* ℵ$^{c.b}$) ‖ 14 *εδιξεν* bis ℵ*Q* (*εδειξ.* ℵ$^{c.b}$Q^a) ‖ 15 *ελογεισθησαν* ℵ (item 17) ‖ 16 *ουχ* (1°)] *οκ* ℵ* (*ουκ* ℵ^c) | (2°) *ουκ* ℵ ‖ 19 *ικονα* ℵ* (*εικ.* ℵ$^{c.b}$) ‖ 20 *ζητησι* ℵ* (-*σει* ℵ$^{c.b}$) | *στησι* ℵ* (-*σει* ℵ$^{c.b}$) | *εινα* ℵ* (*ινα* ℵ^c) | *σαλευητε* AΓ ‖ 21 *γνωσεσθαι* ℵQ* (-*σθε* Q^a) | *ακουσεσθαι* ℵ | *εγνωται* ℵ$^{c.b}$ ‖ 22 *διατινας* B*Q* (-*τειν.* B^{ab}Q^a) ℵ | *κατοικι*] ℵ* (-*κειν* ℵ$^{c.b}$) ‖ 24 *κατεγις* ℵ ‖ 26 *ειδετε* B* (*ιδ.* B^b) *ειδεται* ℵ | *κατεδιξεν* B*ℵ* (-*δειξ.* B^{ab}ℵ$^{c.b}$) | *καλεσι* ℵ | *κρατι* ℵ* (-*τει* ℵ$^{c.b}$) ‖ 27 *αφιλεν* ℵ* (*αφειλ.* ℵ$^{c.b}$) ‖ 28 *πινασει* AQ* (*πειν.* Q^a) Γ | *εξευρεσεις* B*ℵ* (-*σις* B^{ab}ℵ$^{c.b}$) A ‖ 29 *πινωσιν* ℵAΓ ‖ 30 *πινασουσιν* ℵAQ* (*πειν.* Q^a) Γ: item 31 *πεινασουσι* B^b | *κοπιασουσι* B^b | *ανεισχυες* B* (*ανισχ.* B^{ab})

XLI 1 *εγκενιζεσθε* B* (*εγκαιν.* B^{ab}) *εγκαινιζεσθαι* A | *εγγεισατωσαν* ℵ | *αναγγιλατωσαν* ℵ ‖ 2 *εξηγιρεν* ℵ* (-*γειρεν* ℵ$^{c.b}$) | *δωσι* bis ℵ* (*δωσει* ℵ$^{c.b}$) *δ' ὡσεὶ* (1°) B^b | *εκστησι* ℵ* (-*σει* ℵ$^{c.b}$) | *μαχερας* ℵ ‖ 3 *ιρηνη* B* (*ειρ.* B^{ab}) ‖ 4 *επηργησε* B^b ‖ 6 *ερι* ℵ* (-*ρει* ℵ$^{c.b}$): item 7 ‖ 7 *κειρηθησονται* B* (*κιν.* B^b) A *κινθ.* ℵ* *κινηθ.* ℵ$^{c.a}$ ‖ 8 *πες* ℵ* (*παις* ℵ$^{c.b}$) ‖ 9 *σαι* (1°) ℵ* (*σε* ℵ$^{c.b}$): item 15 ‖ 11 *αντικιμενοι* ℵ | *οντας* ℵ* (-*ντες* ℵ$^{c.b}$): item 12 ‖ 12 *ζητησις* ℵ* (-*σεις* ℵ$^{c.b}$) | *ευρεις* Γ ‖ 14 *λεγε* ℵ* (-*γει* ℵ$^{c.b}$) ‖ 15 *λεπτωνες* ℵ* (-*νεις* punct *κατεγις* ℵ$^{c.b}$) ‖ 17 *εστε* ℵ* (-*σται* ℵ$^{c.b}$) | *εγκαταλιψω* B* (-*λειψ.* B^{ab}) *εγκαταλιψω* Q* (-*λειψ.* Q^a) Γ ‖ 18 *ανιξω* ℵ | *εμμεσω* B* (*εν μ.* B$^?$) AΓ | *παιδιων* B* (*πεδ.* B^{ab}) A ‖ 20 *κατεδιξεν* ℵ* (-*δειξ.* ℵ$^{c.b}$) A ‖ 21 *κρισεις* ℵ* (*ε* cum punct et erasum) A | *ηγγεισαν* ℵA ‖ 24 *εσται* B*^{b} (-*στε* B^{ab}) A: item 28 ‖ 25 *ηγιρα* ℵ* (*ηγειρα* ℵ$^{c.b}$) | *αρχονταις* ℵ* (-*ντες* ℵ$^{c.b}$) ‖ 26 *αναγγελι* ℵ* (-*λει* ℵ$^{c.b}$) ‖ 28 *ιδωλων* ℵA | *αποκριθωσι* B^b ‖ 29 *εισι* B^b | *ποιουνταις* ℵ* (-*ντες* ℵ$^{c.b}$) | *πλανωνταις* ℵ* (-*ντες* ℵ$^{c.b}$)

XLII 1 *αντιληψομαι* B^b *αντιλημψομε* ℵ* (-*μαι* ℵ$^{c.b}$) ‖ 3 *συντρειψει* B* (*συντριψ.* B^b) | *εξοισι* ℵ* (-*σει* ℵ$^{c.b}$) ‖ 6 *χιρος* ℵ* (*χειρ.* ℵ$^{c.b}$) | *σαι* (2°) ℵ* (*σε* ℵ$^{c.b}$) ‖ 7 *ανοιξε* ℵ* (-*ξαι* ℵ$^{c.b}$) | *σκοτι* ℵ*Q* (-*τει* ℵ$^{c.b}$Q^a) Γ ‖ 9 *κενα* A | *αναγγιλε* ℵ* (*αναγγειλαι* ℵ$^{c.b}$) ‖ 10 *δοξαζεται* Γ | *καταβενοντες* ℵ | *κατοικουνταις* ℵ* (-*κουντες* ℵ$^{c.b}$): item 11 (2°) ‖ 11 *ε* ℵ* (*αι* ℵ$^{c.b}$) | *κε* (2°) ℵ* (*και* ℵ$^{c.b}$) | *βοησουσι* B^b ‖ 13 *συντρειψει* B* (-*τριψ.* B^b) *συντριψι* ℵ* (-*ψει* ℵ$^{c.b}$) | *επεγερι* B*ℵ* (-*ρει* B^{ab}ℵ$^{c.b}$) ‖ 16 *αιγνωσαν* ℵ* (*εγν.*

XLVI 1 *ερεται* ℵ* (*αιρεται* ℵ$^{c.b}$) ‖ 2 *πινωντι* B* (*πειν.* B^{ab}) ℵ | *ησχυοντι* ℵ* (*ισχ.* ℵ$^{c.a,\,c.b}$) | *εκμαλωτοι* ℵ* (*αιχμ.* ℵ$^{c.b}$) ‖ 3 *ακουεται* ℵ* | *ερομενοι* ℵ* (*αιρ.* ℵ$^{c.b}$) | *πεδευομενοι* ℵ* (*παιδ.* ℵ$^{c.b}$) | *πεδιου* ℵ* (*παιδ.* ℵ$^{c.b}$) ‖ 4 *καταγηρασηται* ℵ$^{c.b}$ | *ανεχομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) ‖ 5 *τεχνασασθαι* B* (*-σθε* B^{ab}) ℵ ‖ 6 *χιροποιητα* ℵ* (*χειρ.* ℵ$^{c.b}$) ‖ 7 *ερουσιν* ℵ* (*αιρ.* ℵ$^{c.b}$) A | *θωσειν* ℵ | *κεινηθη* B* (*κιν.* B^{b}) A ‖ 10 *γενεσθε* ℵ | *βεβουλευμε* ℵ* (*-μαι* ℵ$^{c.b}$): item 11 ‖ 11 *πετινον* ℵ ‖ 13 *ηγγεισα* A

XLVII 1 *κληθηνε* ℵ* (*-ναι* ℵ$^{c.b}$) ‖ 2 *αλαισον* A | *αποκαλυψε* ℵ* (*-ψαι* ℵ$^{c.b}$) ‖ 3 *εσχυνη* ℵ* (*αισχ.* ℵ$^{c.b}$): item 10 | *φανησοντε* ℵ* (*-νται* ℵ$^{c.b}$) | *ονιδισμοι* B* (*ονειδ.* B^{ab}) ℵA | *λημψομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) ‖ 7 *εσομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) ‖ 8 *γνωσομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) ‖ 9 *ηξι* ℵ* (*-ξει* ℵ$^{c.b}$): item 11 (ter) | *ισχυει* B* (*-σχυι* B^{b}) ‖ 10 *εστε* ℵ* (*-σται* ℵ$^{c.b}$): item 15 ‖ 11 *γενεσθε* ℵ* (*-σθαι* ℵ$^{c.b}$) ‖ 12 *ται* ℵ* (*ταις* ℵ$^{?}$ *σ* sup) | *επαοιδες* B*ℵ* (*-δαις* B^{ab}ℵ$^{c.a,\,c.b}$) ‖ 13 *ορωνταις* ℵ* (*ορωντες* ℵ$^{c.b}$) | *αναγγιλατωσαν* ℵ* (*-γγειλ.* ℵ$^{c.b}$) | *ερχεσθε* ℵ* (*-σθαι* ℵ$^{c.b}$) ‖ 14 *εξελωντε* ℵ* (*-νται* ℵ$^{c.b}$) | *καθισε* ℵ* (*-σαι* ℵ$^{c.b}$) ‖ 15 *εσοντε* ℵ* (*-νται* ℵ$^{c.b}$)

XLVIII 1 *ομνυονταις* ℵ* (*-οντες* ℵ$^{c.b}$) ‖ 3 *ανηγγιλα* ℵ* (*-γγειλα* ℵ$^{c.b}$): item 5 ‖ 4 *γεινωσκω* ℵ: item 7 ℵ* (*γιν.* ℵ$^{c.b}$) A | *ι* ℵ* (*ει* ℵ$^{c.a,\,c.b}$) | *χαλχουν* ℵ (sic) ‖ 5 *παλε* ℵ* (*-λαι* ℵ$^{c.a,\,c.b}$): item 7 (*-λαι* ℵ$^{c.b}$) | *ελθιν* ℵ* (*-θειν* ℵ$^{c.b}$) | *ιδωλα* ℵ | *ενετιλατο* ℵ* ‖ 6 *υμις* ℵ* (*-μεις* ℵ$^{c.b}$) | *μελλι* ℵ | *γεινεσθαι* Bℵ* (*γιν.* ℵ$^{c.b}$) ‖ 7 *γεινεται* ℵ* (*γιν.* ℵ$^{c.b}$) A | *προτερες* ℵ* (*-ραις* ℵ$^{c.b}$) ‖ 8 *ηνιξα* ℵ ‖ 9 *διξω* ℵ*Q* (*δειξ.* ℵ$^{c.b}$Q^{a}) ‖ 10 *ουκ* ℵAQ | *αργιριου* ℵ* (*αργυρ.* ℵ^{c}) | *εξιλαμην* ℵA | *καμεινου* B* (*καμιν.* B^{b}) A ‖ 14 *αρε* ℵ* (*αραι* ℵ$^{c.a,\,c.b}$) ‖ 16 *εκι* ℵ* (*-κει* ℵ$^{c.b}$) | *απεστειλε* B^{b} ‖ 17 *δεδιχα* ℵQ | *ευριν* ℵ* (*-ρειν* ℵ$^{c.b}$) ‖ 18 *ιρηνη* B* (*ειρ.* B^{ab}) ‖ 19 *απολιτε* ℵ* (*-λειται* ℵ$^{c.b}$) *απολειτε* A ‖ 21 *διψησωσι* B^{b} | *αξι* ℵ* (*-ξει* ℵ$^{c.b}$) | *σχισθησετε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *ρυησετε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *πιετε* ℵ* (*-ται* ℵ$^{c.b}$) ‖ 22 *εστι* B^{b} | *χερειν* ℵ* (*χαιρειν* ℵ$^{c.b}$)

XLIX 1 *στησετε* ℵ ‖ 2 *εθηκε* B^{b} | *μαχεραι* ℵ | *αξιαν* ℵQ* (*-ξειαν* Q^{a}) | *χιρ.* ℵ* (*χειρ.* ℵ$^{c.b}$): item 16, 22 ‖ 3 *ειπε* B^{b} ‖ 5 *λεγι* ℵ* (*-γει* ℵ$^{c.b}$) | *συναχθησομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) | *δοξασθησομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) | *εστε* ℵ* (*-σται* ℵ$^{c.b}$) ‖ 6 *κληθηνε* ℵ | *πεδα* ℵ* (*παιδ.* ℵ$^{c.b}$) | *στησε* ℵ* (*-σαι* ℵ$^{c.b}$) | *επιστρεψε* ℵ* (*-ψαι* ℵ$^{c.b}$) | *ινε* ℵ* (*ειναι* ℵ$^{c.a,\,c.b}$) ‖ 7 *αρχονταις* ℵ* (*-ντες* ℵ$^{c.b}$) ‖ 8 *καταστησε* ℵ* (*-σαι* ℵ$^{c.b}$) | *κληρονομησε* ℵ* (*-σαι* ℵ$^{c.b}$) ‖ 9 *σκοτι* B*ℵ*Q* (*-τει* B^{b}ℵ$^{c.b}$Q^{a}) | *πασες* ℵ* (*-σαις* ℵ$^{c.b}$) | *τες* ℵ* (*ταις* ℵ$^{c.b}$) ‖ 10 *πινασουσιν* ℵAQ* (*πειν.* Q^{a}) | *παταξι* ℵ* (*-ξει* ℵ$^{c.b}$) | *παρακαλεσι* ℵ* (*-σει* ℵ$^{c.b}$) | *αξι* ℵ* (*-ξει* ℵ$^{c.b}$) ‖ 12 *εκ*] *εγ* A ‖ 13 *ευφρενεσθε* B* (*ευφραιν.* B^{ab}) | *ταπινους* ℵ* (*ταπειν.* ℵ$^{c.b}$) ‖ 15 *πεδιου* ℵ* (*παιδ.* ℵ$^{c.b}$) | *ελεησε* ℵ* (*-σαι* ℵ$^{c.b}$) | *επιλησομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) ‖ 18 *ειδε* ℵ ‖ 19 *καταπεινοντες* B* (*-πιν.* B^{b}) ‖ 20 *ερουσι* B^{b} ‖ 21 *ερις* ℵ* (*-ρεις* ℵ$^{c.b}$) | *εγεννησε* B^{b} | *κατελιφθην* B*ℵQ* (*-λειφθ.* B^{ab}Q^{a}) | *ουτε* B* (*ουτοι* B^{ab}) ‖ 22 *αξουσι* B^{b} | *αρουσι* B^{b} ‖ 23 *βασιλις* ℵ* (*-λεις* ℵ$^{c.b}$) | *αρχουσε* ℵ* (*-χουσαι* ℵ$^{c.b}$) ‖ 24 *εκμαλωτευση* ℵ* (*αιχμ.* ℵ$^{c.b}$): item 25 ‖ 25 *λημψετε* ℵ* (*-ψεται* ℵ$^{c.b}$) | *ρυσομε* ℵ* (*ρυσομαι* ℵ$^{c.b}$) ‖ 26 *θλειψαντες* B* (*θλιψ.* B$^{?}$) | *πιονται* ℵ* (*-νται* ℵ$^{c.b}$) | *εσθανθησεται* A | *αντιλαμβανοσε* ℵ* (*-νος σε* ℵ^{c})

L 1 *εξαπεστιλα* bis ℵ* (*-στειλ.* ℵ$^{c.b}$) | *αμαρτιες* ℵ* (*-τιαις* ℵ$^{c.b}$) | *τες* (2°) ℵ* (*ταις* ℵ$^{c.b}$) | *ανομιες* ℵ* (*-μιαις* ℵ$^{c.b}$) ‖ 2 *ουχ* (2°) A | *ισχυει* B* (*-χυει* B^{ab}) | *ουχ* (4°) Q | *ξηρανθησοντε* ℵ* (*-νται* ℵ$^{c.b}$) | *ειvε* ℵ* (*-ναι* ℵ$^{c.b}$) | *αποθανουντε* ℵ* (*-νται* ℵ$^{c.b}$) | *διψι* ℵ ‖ 3 *περιβολεον* ℵ* (*-λαιον* ℵ$^{c.b}$) A ‖ 4 *γνωνε* ℵ* (*-ναι* ℵ$^{c.b}$) | *δι* ℵ* (*δει* ℵ$^{c.b}$) | *ειπιν* Q* (*-πειν* Q^{a}) ‖ 5 *απιθω* ℵ ‖ 6 *εσχυνης* ℵ* (*αισχ.* ℵ$^{c.b}$) ‖ 7 *προσοπον* ℵ* (*ω*

[illegible]

LXVI 1 [illegible] | 2 [illegible] | 3 [illegible] | 4 [illegible] | 5 [illegible] | 6 [illegible]

[illegible]

ΙΕΡΕΜΙΑΣ

I 2 τον ℵ° (τοισ ℵ^{c.a, c.b}): item 3 (τοισ ℵ^{c.b}) ημερες ℵ° (-ραις ℵ^{c.a, c.b}): item 3 (-ραις ℵ^{c.b}) | τρεισκαιδεκατου Q | 3 ενδεκατου ℵ° (αιχμ. ℵ^{c.b}) | 5 πλασε ℵ° (-σαι ℵ^{c.b}) | επισταμε ℵ°A (-μαι ℵ^{c.b}): item 6 (A non adsequitur) | τεθικα ℵ: item 18 | 6 λαλε ℵ° (λαλειν ℵ^{c.b}) | 7 εστε B^{b} (item 9, 14) | εξαποστελω ℵ° (-στειλω ℵ^{c.b}) εντελλομε ℵ° (εντελλομαι ℵ^{c.b}): item 17 | 8 εξερεσθε ℵ° (εξαιρεισθαι ℵ^{c.b}): εξερεισθαι Q | 9 εξετινεν ℵ | 10 κατασκαπτειν ℵ° (-πτειν ℵ^{c.b}) | αναοικοδομειν ℵ° (-μειν ℵ^{c.b}) | 15 ειδον ℵ° (ιδου ℵ^{c.b}) | ηξουσι B^{b} | τειχη ℵ | 17 περιζωσε B° ℵ° (-σαι B^{ab} ℵ^{c.b}) αναστηθει Q° (-θι Q^{mg}) | εξερεσθε ℵ° (εξαιρεισθαι ℵ^{c.b}): εξερεισθαι Q° ^{mg} (εξαιρ. Q^{a}) | 18 τιχος ℵ° (τειχ. ℵ^{c.b}) | πασι B^{b} | 19 πολεμησουσι B^{b} | εξερεισθαι Q° (εξαιρ. Q^{a})

II 2 εστε B^{b} | ελαιους B° (ελεους B^{ab}) | εξακολουθησε ℵ° (-σαι ℵ^{c.b}) | σοι ℵ° (σε ℵ^{c.b}) | 5 πλημμελημα ℵ° (πλημ. ℵ^{c.a, c.b}) | ματαιων ℵ | ματαιωθησαν ℵ | 6 ειπον ℵ° (ειπαν ℵ^{c.b}: item 8) | απειρω ℵ° (απειρω ℵ^{c.b}) | 7 εμιανατε B°Q° (εμιαν. B^{b}Q^{a}) εθεσθαι ℵ | 8 εστι B^{b} (item 14 bis) ταλαιπωρος A | 9 κριθησομαι (1°) ℵ° | 10 αποστιλατε ℵ° (-στειλ. ℵ^{c.b}) γεγονε B^{b} | 11 αλλαξονται ℵ° (-ται ℵ^{c.b}) | εισιν ℵ° (εισιν ℵ^{c.b}) | 13 διωρυξαντε ℵ° (-ται ℵ^{c.b}) | 15 ε ℵ° (αι ℵ^{c.a, c.b}: item 36) | κατεκαυσθαι B° (-καυθαι B^{ab}) | 16 κατετεξον ℵ | κατελαβοντο ℵ° (-τον ℵ^{c.b}) | 19 γνωθει Q° ^{mg} | επι B° (επι B^{b}) | 20 αιωνος ℵ° (αιωνος ℵ^{c.b}) | τοπογραφηματ ℵ° (-μαι ℵ^{c.b}) | εια ℵ° (εκει ℵ^{c.b}) | διαχυθησομε ℵ° (-μαι ℵ^{c.b}) | 21 αληθινην B°AQ° (-θινην B^{b}Q^{a}) | 22 κατηλαθησε B° (-λαθησεται B^{a} -λαθησεται B^{b}): καταπλυθησε ℵ κατηλυθησε A | 23 ειρες ℵ° (ερεις ℵ^{c.b}) | ειδε ℵ | 24 τεταπωσα ℵ° (τεταπ. ℵ^{c.b}) | 25 τραχηλος

επισκεπτωντε ℵ* (-ται ℵ$^{c.b}$) | εδαδαξας A | ουχ ℵA | γυνεκα ℵ* (γυναικα ℵ$^{c.b}$) ‖ 22 αδικειας B* (-κιας B^{b}) | οπισθεια B* (-θια B^{b}) | παραδιγματισθηναι B*Q* (-δειγ. B^{ab}Q^{a}) ℵA ‖ 23 αλλαξετε ℵ* (-ται ℵ$^{c.b}$) | παρδαλεις A | υμις ℵ* (υμεις ℵ$^{c.b}$) | δυνησεσθαι ℵQ* (-θε Q^{a}) ‖ 24 διεσπιρα ℵ ‖ 25 απιθειν ℵA ‖ 27 απαλλοτριωσεις A | ετει A

XIV 2 ε ℵ* (αι ℵ$^{c.b}$: item 7 bis, 16) | πυλε ℵ* (-λαι ℵ$^{c.b}$) ‖ 3 μεγαστανες ℵ* (μεγιστ. ℵ$^{c.b}$) | ουκ ℵ | καινα ℵ* (κενα ℵ$^{c.b(?)}$) ‖ 8 εκκλαινων BℵA | καταλοιμα ℵ*^{vid} (-λυμα ℵ$^{?}$) ‖ 9 επικεκλητε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 10 κεινειν B* κηνεῖ] ℵ* (κιν. B^{b}ℵ$^{?}$) | εφισαντο ℵAQ* (εφεισ. Q^{a}) | μνησθησετε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 12 μαχερα ℵ (item 15: μαχεραν 13: μαχερας 16, 18) | κε (3°) ℵ | λειμ. B* (λιμ. B^{b}: item 15 bis [BA], 16, 18 [BA]) ‖ 13 ιπα ℵ* (ειπα ℵ$^{?}$) | ειδου ℵ* (ιδ. ℵ$^{c.b(?)}$): item 19 | προφητε ℵ* (-ται ℵ$^{c.b}$: item 14, 15) | προφητευουσι B^{b} | οψεσθαι A | ιρηνην ℵ* (ειρ. ℵ$^{c.b}$: item 19) ‖ 14 ειπε B^{b} | απεστιλα ℵ* (-στειλα ℵ$^{c.b}$: item 15) | ενετιλαμην ℵ* (ενετειλ. ℵ$^{c.b}$) ‖ 15 λεγουσι B^{b} | εστε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 16 εσοντε ℵ* (-ται ℵ$^{c.b}$) | τες ℵ* (ταις ℵ$^{?}$) | γυνεκες ℵ* (γυναικες ℵ$^{c.b}$) ‖ 17 καταγαγεται ℵ* (-γαγετε ℵ$^{c.b}$) ‖ 18 παιδιον A | τραυματιε ℵ* (-τιαι ℵ$^{c.b}$) | ηδισαν ℵ ‖ 19 επεσας ℵ*A (επαισας ℵ$^{?}$) | ιασεις A | υπεμιναμεν ℵ ‖ 22 ιδωλοις ℵ | δωσι ℵ* (-σει ℵ$^{c.b}$)

XV 1 εξαποστιλον ℵ* (-τειλον ℵ$^{c.b}$) ‖ 2 εστε ℵ* (-ται ℵ$^{c.b}$: item 16) | ερις ℵ* (-ρεις ℵ$^{c.b}$) | λειμον bis A | εχμαλωσιαν bis ℵ* (αιχμ. ℵ$^{?}$) ‖ 3 μαχεραν ℵ (item 9) | πετινα ℵ ‖ 5 φισεται ℵA | διλιασει B* (δειλ. B^{ab}) ℵA | ανακμ|ψει (sic) ℵ | ιρηνην ℵ ‖ 6 χιρα ℵ* (χειρα ℵ$^{?}$) ‖ 8 ταλεπωριαν ℵ* (ταλαιπ. ℵ$^{c.b}$) | επερειψαν B* ‖ 9 ωνιδισθη BℵA ‖ 10 οιμμοι BℵAQ* (οιμοι Q$^{a\,vid}$) ‖ 12 περιβολεον ℵ* (-λαιον ℵ$^{c.b}$) A ‖ 14 εκκεκαυτε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 15 επισκεψε B*^{b}ℵ* (-ψαι B^{ab}ℵ$^{c.b}$) | αθοωσον B* (αθω. B^{b}) ℵAQ | ονιδισμον ℵA ‖ 16 επικεκλητε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 17 εκαθεισα A ‖ 18 λοιπουντες ℵ | γεινομενη ℵ* (γιν. ℵ$^{c.b}$) ‖ 19 κε (5°) ℵ* (και ℵ$^{?}$) ‖ 20 τιχος ℵA | δυνωντε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 21 εξερεισθαι B*A εξερισθε ℵ* (εξαιρεισθαι B^{ab}ℵ$^{c.b}$) | χιρος bis ℵ* (χειρ. ℵ$^{?}$)

XVI 4 ταφησοντε ℵ* (-ται ℵ$^{c.b}$) | παραδιγμα B*ℵ* (-δειγ. B$^{b\,(vid)}$ℵ$^{c.b}$) A | εσοντε (1°) ℵ* (-ται ℵ$^{c.b}$) | πετινοις ℵ | μαχερα ℵ | λειμω B* (λιμ. B^{c}) A ‖ 5 θειασον B*Q* (θι. B^{b}Q^{a}) | κοψασθε ℵ* (-θαι ℵ$^{c.b}$) A ‖ 6 ποιησουσι B^{b} ‖ 7 κε (2°) ℵ* (και ℵ$^{c.b(?)}$) ‖ 8 συνκαθισε ℵ* (-σαι ℵ$^{c.b}$) ‖ 10 εστε ℵ* (-ται ℵ$^{c.b}$) | ελαλησε B^{b} ‖ 11 ερις ℵ* (-ρεις ℵ$^{c.b}$) ‖ 12 υμις bis ℵ* (υμεις ℵ$^{c.b}$) | επονηρευσασθαι A | πορευεσθαι ℵA ‖ 13 δουλευσεται ℵ$^{?}$A | εκι ℵ* (εκει ℵ$^{c.b}$: item 15) ‖ 14 ερχοντε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 18 ες ℵ* (αις ℵ$^{c.b(?)}$) bis | θνησιμεοις ℵ | βλελυγματων ℵ (sic) ‖ 20 ισιν ℵ* (εισιν ℵ$^{c.b(?)}$) ‖ 21 ειδου ℵ* (ιδ. ℵ$^{c.b}$) | γνωσοντε ℵ* (-ται ℵ$^{c.b}$)

XVII 5 στιρισι ℵ ‖ 6 εστε ℵ* (-ται ℵ$^{c.b}$: item 7, 8 bis, 11, 24, 27) | οψετε ℵ* (-ται ℵ$^{c.b}$) ‖ 8 ειкμαδα ℵ | βαλι ℵ* (-λει ℵ$^{?}$) | φοβηθη|θησεται (2°) ℵ | διαλιψει ℵA ‖ 9 βαθια A ‖ 10 δουνε ℵ* (-ναι ℵ$^{c.b}$) ‖ 11 ημισι A | ενκαταλιψουσιν B* (-λειψ. B^{ab}) ℵ ‖ 14 ιασε ℵ* (-σαι ℵ$^{c.b}$) | σωθησομε ℵ* (-μαι ℵ$^{c.b}$) ‖ 17 φιδομενος ℵ ‖ 18 κατεσχυνθητωσαν ℵ* (καταισχ. ℵ$^{c.b}$) | κατεσχυνθιην ℵ* (καταισχ. ℵ$^{c.b}$) | πτοηθιησαν ℵ | πτοηθιην ℵ ‖ 19 τες bis ℵ* (-ταις ℵ$^{c.b(?)}$: item 20, 27 [2°]) | ες ℵ* (αις ℵ$^{c.b(?)}$) bis | πασες ℵ* (-σαις ℵ$^{c.b}$) bis ‖ 21 φυλασσεσθαι ℵAQ*^{vid} (-θε Q^{a}) | ερετε B* (αιρ. B^{ab}) ℵA | εκπορευεσθαι A ‖ 22 ποιησεται ℵA | ενετιλαμην ℵ* (-τειλ. ℵ$^{c.b}$) | εκλειναν B* (εκλιν. B^{b}) A ‖ 23 ακουσε ℵ* (-σαι ℵ$^{c.b}$) | δεξασθε ℵ* (-θαι ℵ$^{c.b}$) ‖ 24 εισακουσηται ℵ (item 27 ℵ* [-τε ℵ$^{c.b}$]) | εισφεριν ℵ* (-ρειν ℵ$^{c.b}$) ‖ 25 αρμασι B^{b} | κε (5°) ℵ* (και ℵ$^{c.b(?)}$) | κατοι-

ℵ$^{c.b}$) | *ετει* ℵ*A? (*ετι* ℵ$^{c.b(?)}$) ‖ 13 *εργατε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *αποδωσι* ℵ* (*-σει* ℵ$^{c.b}$) ‖ 14 *ρειπιστα* B* (*ριπ.* B^b) | *κεχρεισμενα* B* (*-χρισμ.* B^b) ‖ 15 *βασιλευσις* ℵ* (*-σεις* ℵ$^{c.b}$) | *φαγοντε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *πειονται* B* (*πι.* B^b) | *κρειμα* B* (*κριμα* B^b) ‖ 16 *εκρειναν* B* (*εκριν.* B^b) | *ταπινω* ℵ* (*-πειν.* ℵ$^{c.b}$) | *γνωνε* ℵ* (*-ναι* ℵ$^{c.b}$) ‖ 17 *ισιν* ℵ* (*εισιν* ℵ$^{c.b}$) | *εκχαιειν* A ‖ 18 *οιμμοι* B*Q* (*οιμοι* B^{b}Q^a) ℵ ‖ 19 *επεκινα* ℵ* (*επεκεινα* ℵ$^{c.b}$) ‖ 20 *εραστε* ℵ* (*-ται* ℵ$^{c.b}$: item 22) ‖ 21 *παραπτωσι* ℵ* (*-σει* ℵ$^{c.b}$) ‖ 22 *ποιμανι* ℵ* (*-νει* ℵ$^{c.b}$) | *εχμαλωσ.* ℵ* (*αιχ.* ℵ$^{c.b}$) | *ατειμωθηση* B* (*ατιμ.* B^b): item 28 *ητειμωθη* B* *ητιμ.* B^b) ‖ 24 *αποσφραγεισμα* ℵ | *εκιθεν* ℵ* (*εκειθεν* ℵ$^{c.b}$) ‖ 26 *αποθανισθαι* ℵ* (*-νεισθαι* ℵ$^{c.b}$A) ‖ 27 *αποστρεψωσει*] ℵ* (*-σιν* ℵ$^{c.b}$) ‖ 28 *χρια* A

XXIII 2 *ποιμενοντας* ℵ | *επεσκεψασθαι* ℵ ‖ 4 *ποιμαινας* A | *ετει* A ‖ 5 *ημερε* ℵ* (*-ραι* ℵ$^{c.b}$) | *ποιησι* ℵ* (*-σει* ℵ$^{c.b}$) ‖ 10 *νομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) ‖ 14 *κατοικουνταις* ℵ* (*-τες* ℵ$^{c.b}$) ‖ 16 *ματεουσιν* ℵ* (*-ταιουσιν* ℵ$^{c.b}$) ‖ 17 *εστε* ℵ* (*-ται* ℵ$^{c.b}$: item 26 [*εστε* Bℵ*], 36) | *ουκ* B* (*ουχ* B^{ab}) ℵ | *ηξι* ℵ* (*ηξει* ℵ$^{c.b}$) ‖ 19 *σισμος* ℵ | *συνσισμον* ℵA ‖ 20 *επ*] *αιπ* ℵ* (*επ* ℵ$^{c.b}$) | *ενχιρηματος* ℵ* (*ενχειρ.* ℵ$^{c.b}$) ‖ 22 *αναπεστρεφον* B^b ‖ 24 *οψομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) ‖ 25 *λεγονταις* ℵ* (*-τες* ℵ$^{c.b}$) ‖ 27 *λογειζομενων* ℵ ‖ 29 *ουχ* B* (*ουκ* B^b) A ‖ 32 *ενετιλ.* ℵ* (*-τειλ.* ℵ$^{c.b}$) ‖ 33 *υμις* ℵ* (*υμεις* ℵ$^{c.b}$) | *εσται* A ‖ 34 *ειπωσι* B^b *ιπωσῑ* ℵ* (*ειπ.* ℵ$^{c.b}$) | *εκινον* ℵ* (*εκειν.* ℵ$^{c.b}$) ‖ 35 *εριται* ℵ* (*ερειτε* ℵ$^{c.b}$) ‖ 36 *ονομαζεται* ℵA ‖ 38 *απεστιλα* ℵ* (*-τειλα* ℵ$^{c.b}$) | *αιριται* ℵ* (*ερειται* ℵ$^{c.a(?)}$A) ‖ 40 *ονιδισμον* ℵA | *ατειμιαν* B* (*ατιμ.* B^b) | *αιπιλησθ.* ℵ* (*επιλ.* ℵ$^{c.b}$) ‖ 7 *ημαιρε* ℵ* (*ημεραι* ℵ$^{c.b}$) | *ανηγαγε* B^b

XXIV 1 *εδιξεν* ℵ* (*εδειξ.* ℵ$^{c.b}$) | *κιμενους* ℵ | *αποικισε* ℵ* (*-σαι* ℵ$^{c.b}$) | *τεχνειτας* Q* (*-νιτ.* Q^a) ‖ 3 *λειαν* B* (*λι.* B^b) bis: *λειαν* (1°) A^1 (*λι.* A*), (2°) A ‖ 6 *εκτειλω* B* (*-τιλ.* B^b) ‖ 7 *ιδεναι* ℵ | *εσοντε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *εσομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) ‖ 8 incep *κατα* ℵ* vid (*-οικ.* ℵ$^{1,c.a}$) ‖ 9 *ονιδισμον* ℵA | *εκι* ℵ* (*εκει* ℵ$^{c.b}$) ‖ 10 *λειμον* B* (*λιμ.* B^b) | *μαχεραν* ℵ

XXV 1 *ετι* ℵ$^{c.a}$: item 3 ℵ ‖ 3 *τρισκεδεκατω* A *τρεισκαιδεκ.* Q^a ‖ 5 *αποστραφηται* ℵ | *κατοικησεται* BℵA] *εωνος* (1°) ℵ* (*αιων.* ℵ$^{c.a, c.b\ vid}$) ‖ 6 *πορευεσθαι* A | *παροργιζηται* ℵ | *χιρων* ℵ* (*χειρ.* ℵ$^{c.b}$) | *κακωσε* ℵ* (*-σαι* ℵ$^{c.b}$) ‖ 8 *επιδη* ℵ | *επειστευσατε* ℵ ‖ 9 *ονιδισμον* ℵA ‖ 11 *εστε* ℵ* (*-ται* ℵ$^{c.b}$: item 19) A ‖ 12 *εκινο* ℵ* (*-κειν.* ℵ$^{c.b}$) ‖ 16 *αιστε* ℵ* (*εσται* ℵ$^{c.b}$) | *ουχ*] *ουκ* ℵ | *ηξι* ℵ* (*ηξει* ℵ$^{c.b}$) | *εκι* ℵ* (*εκει* ℵ$^{c.b}$) ‖ 17 *μαχεραν* ℵ ‖ 18 *εκιθεν* ℵ* (*εκειθ.* ℵ$^{c.b}$) ‖ 19 *αιγμαλωσιαν* ℵ*? (*αιχμ.* ℵ$^{c.b}$)

XXVI 2 *ετι* ℵ* (*ετει* ℵ$^{c.b}$) ‖ 3 *προσαγαγεται* ℵ ‖ 4 *καταστηται* ℵ | *περικεφαλεαις* B* (*-λαιαις* B$^{a?b}$) *περικαιφαλεαις* ℵ* (*-κεφ.* ℵ$^{c.b}$) | *ενδυσασθαι* A ‖ 7 *κυμενουσιν* ℵ* (*κυμαιν.* ℵ$^{c.b}$) ‖ 9 *επιβηται* ℵ | *εντιναται* ℵ *εντινατε* A ‖ 10 *εκινη* ℵ* (*εκειν.* ℵ$^{c.b}$) | *μαχερα* ℵ (item 14) ‖ 11 *αναβηθει* A | *ρητεινην* B* (*ρητιν.* B^b) | *καινον* ℵ* (*κεν.* ℵ$^{c.b}$) | *εστι* B^b ‖ 13 *χιρι* ℵ* (*χειρι* ℵ$^{c.b}$): item 24 *χιρας* ℵ* (*χειρ.* ℵ$^{c.b}$) | *κοψε* ℵ* (*-ψαι* ℵ$^{c.b}$) ‖ 14 *παραγγιλαται* ℵ* vid (*-γειλαται* ℵ$^{c.a(?)}$) | *επιστηθει* A | *σμειλακα* B* (*σμιλ.* B^b) ‖ 15 *εμινεν* ℵ* (*εμειν.* ℵ$^{c.b}$) ‖ 19 *εστε* ℵ* (*-ται* ℵ$^{c.b}$: item 27) ‖ 21 *σειτευτοι* B* (*σιτ.* B^b) | *ημαιρα* ℵ* (*ημερα* ℵ$^{c.b}$) | *κερος* ℵ* (*καιρος* ℵ$^{c.b}$) ‖ 22 *αξειναις* B* (*αξιν.* B^b) *αξινες* ℵ ‖ 23 *ικασθη* ℵAQ ‖ 27 *εκχμαλωσιας* ℵ* (*αιχμ.* ℵ$^{c.b(?)}$) | *αναστρεψι* ℵ* (*-ψει* ℵ$^{c.b}$) ‖ 28 *εκι* ℵ* (*εκει* ℵ$^{c.b}$) | *πεδευσω* ℵ* (*παιδ.* ℵ$^{c.b}$) | *αθοωσω* B*Q* (*αθωωσω* B^{b}Q$^{a\ vid}$) ℵA

XXVII 2 *αναγγιλατε* ℵ* (*-γειλατε* ℵ$^{c.b(?)}$) | *κρυψηται* ℵ ‖ 4 *εκιν.* ℵ* (*εκειν.* ℵ$^{c.b}$ bis: item 20 bis) | *βαδιζονταις* ℵ* (*-τες* ℵ$^{c.b}$) | *κλεοντες* B* (*κλαι.* B^{ab}) *κλαιονταις* ℵ* (*-τες* ℵ$^{c.b}$) ‖

τοικησι ℵ* (*-σει* ℵ$^{c.b}$) ‖ 44 *εκσοισω* ℵ* (*εξοισω* ℵ$^{c.b(?)}$) | *συναχθωσι* B^{b} ‖ 50 *πορευεσθαι* ℵA | *ιστασθαι* ℵ* (*-θε* ℵ$^{c.b}$) ‖ 51 *ονιδισμον* ℵA ‖ 52 *ημερε* ℵ$^{* vid}$ (*-ραι* ℵ$^{c.b(?)}$) ‖ 53 *ισχυει* ℵ* ‖ 56 *εκποιητε* ℵ* (*-ται* ℵ$^{c.b}$) A^{fort} ‖ 58 *τιχος* ℵ | *καινον* ℵ* (*κεν.* ℵ$^{c.b}$) | *εκλιψουσιν* B*Q* (*εκλειψ.* B^{b}Q^{a}) ℵ ‖ 59 *ενετιλατο* ℵ* (*-τειλ.* ℵ$^{c.b}$) | *ειπιν* ℵ* (*-πειν* ℵ$^{c.b}$) | *ετι* Bℵ* (*ετει* ℵ$^{c.b}$) ‖ 60 *ηξι* ℵ* (*ηξει* ℵ$^{c.b}$) ‖ 62 *ερις* ℵ* (*-ρεις* ℵ$^{c.b}$: item 64) | *εξωλεθρευσε* ℵ* (*-σαι* ℵ$^{c.b}$) | *ειπε* ℵ* (*-ναι* ℵ$^{c.b}$) | *αισηε* ℵ* (*εσται* ℵ$^{c.b}$)

XXIX 2 *εστε* ℵ* (*-ται* ℵ$^{c.b}$: item 18, 23) | *χιμαρρουν* A | *κατακλυσι* ℵ* (*-σει* ℵ$^{c.b}$) A | *κατοικουνταις* ℵ* (*-τες* ℵ$^{c.b}$) ‖ 3 *σισμου* ℵ ‖ 4 *απολεσε* ℵ* (*-σαι* ℵ$^{c.b}$) | *καταλυπους* ℵ$^{* vid}$ (*-λοιπ.* ℵ$^{c.b(?)}$) | *εξωλεθρευσι* ℵ* (*-σει* ℵ$^{c.b}$) ‖ 6 *κοψις* ℵ* (*-ψεις* ℵ$^{c.b}$) | *μαχερα* ℵ | *ουκ* B* (*ουχ* B^{b}) AQ | *αναπαυσε* ℵ ‖ 7 *ησυχασι* ℵ* (*-σει* ℵ$^{c.b}$) | *ενετιλατο* ℵ$^{* vid}$ (*-τειλ.* ℵ$^{c.b(?)}$) ‖ 10 *τρυγητε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *καταλιψουσιν* B* (*-λειψ.* B$^{a?b}$) ℵ | *επειθησουσιν* A ‖ 11 *χιρα* ℵ* (*χειρα* ℵ$^{c.b}$) | *γιτονος* ℵ ‖ 12 *υπολιπεσθε* ℵ* | *χηρε* ℵ ‖ 13 *αθοωμενη* B* (*αθωωμ.* B^{b}) ℵQ | *αθοωθης* B* (*αθωωθ.* B^{b}) ℵA ‖ 14 *ονιδισμον* ℵA | *εμμεσω* A | *πασε* ℵ* (*-σαι* ℵ$^{c.b}$) | *ε* ℵ* (*αι* ℵ$^{c.b}$: item 19) | *εσοντε* ℵ* (*-ται* ℵ$^{c.b}$) ‖ 15 *απεστιλεν* ℵ* (*-στειλ.* ℵ$^{c.b(?)}$) | *παραγενεσθαι* ℵA ‖ 17 *πεγνια* ℵ* (*παιγ.* ℵ$^{c.b}$) | *ενεχιρησεν* ℵ* (*-χειρ.* ℵ$^{c.b}$) | *εκιθεν* ℵ* (*-κειθ.* ℵ$^{c.b}$) | *σαι* A ‖ 19 *εκι* ℵ* (*εκει* ℵ$^{c.b}$ bis) | *αθρωπος* ℵ* (*ανθ.* ℵ$^{1?}$) | *ενοικησι* ℵ* (*-σει* ℵ$^{c.b}$) ‖ 20 *αντιστησετε* ℵ* (*-ται* ℵ$^{c.b}$) ‖ 21 *ελογεισατο* ℵ | *συνψηθωσι* B^{b} ‖ 23 *οψετε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *εκινη* ℵ* (*-κειν.* ℵ$^{c.b}$) | *ωδεινουσης* B* (*ωδιν.* B^{b})

XXX 1 *ειπε* B^{b} | *ισιν* ℵ* (*εισιν* ℵ$^{c.b}$) | *παρελαβε* B^{b} | *ενοικησι* ℵ* (*-σει* ℵ$^{c.b}$) ‖ 2 *ερχοντε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *φησι* B^{b} ‖ 3 *περιζωσασθαι* ℵ$^{c.a(?)}$A | *κοψασθαι* ℵ$^{c.a}$A | *ειερεις* ℵ* (*ιερ.* ℵ$^{?}$) ‖ 4 *παιδιοις* B^{*b} (*πεδ.* B^{a}) A ‖ 5 *ειδου* ℵ* (*ιδ.* ℵ$^{?}$) | *διασπαρησεσθαι* ℵAQ* (*-θε* Q^{a}) ‖ 6 *βασιλεισση* ℵA ‖ 8 *φευγεται* ℵ$^{c.a(?)}$A | *λειαν* A | *ελογεισατο* ℵ | *λογεισμον* ℵ ‖ 10 *εσοντε* ℵ* (*-ται* ℵ$^{c.b}$) ‖ 11 *εστε* ℵ* *-ται* ℵ$^{c.b}$) | *καθειση* A (*εκι* ℵ* (*εκει* ℵ$^{c.b}$ bis) | *κατοικησι* ℵ* (*-σει* ℵ$^{c.b}$) ‖ 12 *αναπαυσασθε* ℵ* (*-θαι* ℵ$^{c.b}$) ‖ 15 *πεσουντε* ℵ* (*-ται* ℵ$^{c.b}$ bis) | *πολεμιστε* ℵ* (*-ται* ℵ$^{c.b}$) ‖ 16 *τιχει* B* (*τειχ.* B$^{a?b}$) ℵA

XXXI 2 *ουκ|κ* ℵ* (*κ* 2° improb ℵ$^{?}$) | *βαδιειτε* A | *μαχερα* ℵ: item 10 *μαχεραν* ‖ 5 *αναβησετε* ℵ* (*-ται* ℵ$^{c.b}$) | *κλεω̄|* ℵ* (*κλαι.* ℵ$^{c.b}$) ‖ 7 *επιδη* ℵ ‖ 8 *ηξι* ℵ* (*ηξει* ℵ$^{c.b}$) | *απολιτε* ℵ* (*-λειται* ℵ$^{c.b}$: item 42) A | *παιδευση* A ‖ 9 *σημια* ℵ | *πασε* ℵ* (*-σαι* ℵ$^{c.b}$: item 37) | *ε* ℵ* (*αι* ℵ$^{c.b}$) ‖ 10 *εξερων* ℵ$^{* vid}$ (*εξαιρ.* ℵ$^{c.b(?)}$) | *εματος* ℵ* (*αιμ.* ℵ$^{c.b}$) ‖ 11 *πεδαριου* ℵ* (*παιδ.* ℵ$^{c.b}$) | *γυμα* ℵ$^{* vid}$ (*γευμα* ℵ$^{c.b(?)}$) ‖ 12 *ημερε* ℵ* (*-ραι* ℵ$^{c.b}$) | *κλεινοντας* A | *κλεινουσιν* A | *λεπτουνουσιν* B* (*-τυν.* B^{b}) | *καιρατα* ℵ* (*κερ.* ℵ$^{c.b}$) ‖ 13 *κατεσχυνθησεται* ℵ* (*καταισχ.* ℵ$^{c.b}$) ‖ 14 *ερειτε* ℵ* (*ερειτε* ℵ$^{c.b}$) ‖ 15 *πολεις* A ‖ 16 *ταχια* ℵ ‖ 17 *κεινησατε* B* (*κιν.* B^{b}) A ‖ 18 *εκτρειβεται* B* (*-τριβ.* B^{b}) | *λουμενομενος* ℵ$^{* vid}$ (*λυμαιν.* ℵ$^{c.b}$) ‖ 20 *αναγγιλω̄|* ℵ* (*-γειλω̄|* ℵ$^{c.b}$) ‖ 21 *ερχετε* ℵ* (*-ται* ℵ$^{c.b}$) ‖ 25 *επιχιρον* ℵ* (*-χειρ.* ℵ$^{c.b}$) ‖ 26 *επικρουσι* ℵ | *χιρ.* ℵ* (*χειρ.* ℵ$^{c.b}$: item 37) | *εστε* ℵ* (*-ται* ℵ$^{c.b}$: item 34 [vid]) ‖ 27 *επολεμις* ℵ ‖ 28 *πετρες* ℵ* (*-ραις* ℵ$^{c.b}$ bis) | *περιστερε* ℵ* (*-ραι* ℵ$^{c.b}$) ‖ 29 *υβρεισεν* ℵ | *λειαν* B* (*λι.* B^{b}) ‖ 31 *ολολυζεται* ℵA | *κιραδας* ℵQ* (*κειρ.* Q^{a}): item 36 *κιραδας* Q ‖ 32 *αποκλαυσομε* ℵ* (*-μαι* ℵ$^{c.b}$) | *ως ερημα* B^{b} | *τρυγητες* A* (*-ταις* A$^{?}$) ‖ 33 *διλης* ℵ ‖ 35 *αναβενοντα* ℵ* (*-βαιν.* ℵ$^{c.b(?)}$): item 44 *αναβενων* ℵ* (*-βαιν.* ℵ$^{c.b}$) ‖ 36 *βομβησει* ℵ* (*-σει* ℵ$^{c.b}$) ‖ 37 *καιφαλην* ℵ* (*κεφ.* ℵ$^{c.b(?)}$) ‖ 38 *χρια* ℵ* (*χρεια* ℵ$^{c.b}$) ‖ 39 *κε* (2°) ℵ$^{* vid}$ (*και* ℵ$^{c.b(?)}$) ‖ 44 *εντεσιται* ℵ* (*-σεετ.* ℵ$^{c.b(?)}$)

XXXII 2 *εξαιμουνται* A | *μαχερας* ℵ (item 13, 24): item 17 *μαχεραν* ‖

ℵ$^{c.b(?)}$) A | εποιησε B^{b} | απετηγανισε B^{b} ‖ 23 εμιχωντο ℵ^{*vid} (εμοιχ. ℵ$^{c.a(?)}$) | πολειτων B* (-λιτ. B^{b}) A ‖ 24 ερις ℵ* (ερεις ℵ$^{c.b(?)}$) ‖ 25 ειπεν Bℵ (cum Κυρ. coniunx) ‖ 26 γενεσθε ℵ* (-νεσθαι ℵ$^{c.b}$) | μενομενω B*ℵ* (μαιν. B$^{?}$ℵ$^{c.b(?)}$) | δωσις ℵ* (δωσεις ℵ$^{c.b}$) | αποκλισμα ℵA ‖ 28 απεστειλε B^{b} απεστιλεν ℵ* (-στειλεν ℵ$^{c.b}$) | φαγεσθαι A ‖ 31 αποστιλō| ℵ* (-τιλō| ℵ$^{c.b}$) | επιδη ℵ | πεποιθενε ℵ* (-ναι ℵ$^{c.b(?)}$) ‖ 32 εστε ℵ* (-ται ℵ$^{c.b}$) | εμμεσω A

XXXVII 1 ειπω A ‖ 2 ειπε B^{b} (item 3, 5, 12, 18) ‖ 3 ημερε ℵ* (-ραι ℵ$^{c.b}$) | φησι B^{b} ‖ 4 ελαλησε B^{b} ‖ 5 ακουσεσθαι Q* (-θε Q^{a}) | ιρηνη ℵ* (ειρ. ℵ$^{c.b}$) ‖ 6 ειδεται ℵ | ε ℵ* (αι ℵ$^{c.b}$: item 16) | ιεικτερον ℵ* (οικτερον ℵ$^{c.a(?)}$A) ‖ 7 εκινινη ℵ^{*vid} (εκεινη ℵ$^{c.b(?)}$) | εστι (1°) B^{b} (item 13 (2°)) ‖ 8 εκηνη ℵ^{*vid} (εκεινη ℵ$^{c.b(?)}$) | συντρειψω B ‖ 13 κρειναν B ‖ 14 επαιρωτησουσιν A | επεσα ℵ* (επαισα ℵ$^{c.b}$) A ‖ 18 πολεις A | καθεδειται ℵ ‖ 19 εξελευσοντε ℵ* (-ται ℵ$^{c.b}$) | φωνὴ] φωνῆ B^{b} ‖ 20 εισελευσοντε ℵ* (-ται ℵ$^{c.b}$) | επισκεψομε ℵ* (-μαι ℵ$^{c.b}$) | θλειβοντας BA ‖ 21 αποστρεψε ℵ* (-ψαι ℵ$^{c.b}$) ‖ 23 ηξι ℵ* (ηξει ℵ$^{c.b}$)

XXXVIII 1 εκινω ℵ* (εκειν. ℵ$^{c.b}$): item 33 εκινας ℵ* (εκειν. ℵ$^{c.b}$) | ειπε B^{b} (item 23, 36) | γενι ℵ* (γενει ℵ$^{c.b}$) | εσοντε ℵ* (-ται ℵ$^{c.b}$: item 33) ‖ 2 μαχερα ℵ | ολεσηται A ‖ 4 επιληψει B^{b} ‖ 6 αναστηται ℵ$^{c.a(?)}$ | αναβηται ℵ ‖ 7 ενεσατε ℵ* (αιν. ℵ$^{c.b}$) ‖ 9 παρακλησι A ‖ 10 αναγγηλατε ℵ^{*vid} (αναγγειλατε ℵ$^{c.b(?)}$) | σιλ ℵ^{*vid} (ισ̄λ ℵ$^{?}$) | συναξι ℵ* (-ξει ℵ$^{c.b}$) ‖ 11 εξιλατο ℵ | χιρος ℵ* (χειρ. ℵ$^{c.b}$: item 32) ‖ 12 ορι ℵ | Σιων B^{b} | σειτου B | πινασουσιν ℵA | ετει A ‖ 13 πρεσβυτε ℵ* (-ται ℵ$^{c.b}$) A ‖ 15 παυσασθε ℵ* (-σασθαι ℵ$^{c.b}$) | ισιν ℵ* (εισιν ℵ$^{c.b}$) ‖ 18 επεδευσας ℵ* (επαιδ. ℵ$^{c.b}$) A | επεδευθην ℵ* (επαιδ. ℵ$^{c.b}$) A ‖ 19 αιφ ℵ* (εφ ℵ$^{c.b(?)}$) | εσχυνης ℵ* (αισχυνης ℵ$^{c.b}$) | υπεδιξα ℵ* (-δειξ. ℵ$^{c.b}$) | ονιδισμον ℵA ‖ 20 πεδιον ℵ* παιδιον ℵ$^{c.b}$) | μνια B* (μνεια B^{b}) A ‖ 22 ητειμωμενη B ‖ 23 ερουσι B^{b} | εχμαλωσιαν ℵ* (αιχ. ℵ$^{c.b}$) ‖ 24 αρθησετε ℵ* (-σεται ℵ$^{c.b}$) ‖ 25 πινωσαν B* (πειν. B^{b}) ℵA ‖ 27 φησι B^{b} (item 28, 31, 33, 35) ‖ 28 εστε ℵ* (-ται ℵ$^{c.b}$) | καθερειν ℵ* (καθαιρειν ℵ$^{c.b}$) καθερων A | οικοδομιν ℵ* (-δομειν ℵ$^{c.b}$) ‖ 29 τες ημερες εκινες ℵ* (ταις ημεραις εκειναις ℵ$^{c.b}$) ‖ 30 αποθανειται ℵ* (-νειται ℵ$^{c.b}$) ‖ 31 ημερὲ ℵ* (-ραι ℵ$^{c.b}$: item 38) ‖ 32 ενεμιναν B*ℵ* (-μειν. B$^{?}$ℵ$^{c.b}$) ‖ 33 εσομε ℵ* (-μαι ℵ$^{c.b}$) ‖ 34 πολειτην B* (-λιτ. B^{b}) | ειδησουσι B^{b} | μαι ℵ* (με ℵ$^{c.b(?)}$) | μεικρου B* (μικρ. B^{b}) | ειλεως ℵ | αδικειαις B* (-κιαις B^{b}) | ετει A$^{*(vid)}$ ‖ 35 ταπινωθη ℵ* (ταπειν. ℵ$^{c.b}$) A ‖ 36 εβομβησε B^{b} ‖ 38 ερχοντε ℵ* (-ται ℵ$^{c.b}$) | πολεις A ‖ 39 διαμετρησεις A | εκλεκτων ℵ* (εκκλ. ℵ$^{c.b(?)}$) ‖ 40 καθερεθη ℵ* (καθαιρ. ℵ$^{c.b}$)

XXXIX 1 βασιλι ℵ* (-λει ℵ$^{c.b}$ ter: item 35) ‖ 3 κατεκλισεν ℵ$^{c.a\,mg}$ ‖ 4 παραδωσι ℵ$^{c.a\,mg}$ | λαλησι ℵ* (-σει ℵ$^{c.b}$) ‖ 5 εκι ℵ* (εκει ℵ$^{c.b}$: item 37) ‖ 7 ερχετε ℵ* (-ται ℵ$^{c.b}$) | κτησε B*ℵ* (-σαι B^{c}ℵ$^{c.b}$): item 8 -σε ℵ* -σαι ℵ$^{c.b}$ ‖ 10 βιβλειον B* (-λιον B^{b}) ‖ 14 εινα ℵ* (ινα ℵ$^{c.b(?)}$) | πλιους ℵ ‖ 15 οικειαι B* (οικιαι B^{b}) ℵA ‖ 16 δουνε ℵ* (-ναι ℵ$^{c.b}$: item 19) ‖ 17 βραχειονι B* (βραχιονι B^{b}: item 21) | μετερεωρω A ‖ 18 χειλιαδας BA ‖ 20 σημια ℵ: item 21 σημιοις ℵA ‖ 21 χιρι ℵ* (χειρ. ℵ$^{c.b}$) | κραταια ℵ ‖ 23 ενετιλω ℵ* (-τειλ. ℵ$^{c.b}$) | αιποιησαν ℵ* (επ. ℵ$^{c.b(?)}$) | συμβηνε ℵ* (-ναι ℵ$^{c.b}$) ‖ 24 πολεις A (item 28, 31) | χιρας ℵ* (χειρ. ℵ$^{c.b}$: item 25, 28, 36, 43) | μαχερας ℵ: item 36 μαχερα ℵ | λειμου B* (λιμ. B^{b}): item 36 λειμω B* (λιμ. B^{b}) A ‖ 27 τει ℵ* (τι ℵ$^{c.b}$) ‖ 28 ειπε B^{b} (item 42) | δοθισα ℵ* (-θεισα ℵ$^{c.b}$) ‖ 29 ες ℵ* (αις ℵ$^{c.b}$) | εταιροις A | παραπικρανε ℵ* (-ναι ℵ$^{c.b}$) ‖ 31 οργην ℵ^{*vid} (οργην ℵ$^{?}$) | απαλλαξε ℵ* (-αξαι ℵ$^{c.b}$) ‖ 35 φαραγγει ℵ* (-γι ℵ$^{c.b}$) | αναφεριν ℵ* (-ρειν ℵ$^{c.b}$) | πο-

ΒΑΡΟΥΧ

I 4 μεικρου B* (μικρ. B^{b}) ‖ 5 εκλησον B* (εκλαιον B^{ab}) ‖ 8 εποιησε B^{b} ‖ 11 προσευξασθαι A: item 13 AQ* (-θε Q^{a}) ‖ 12 σκιν B* (σκιαν $B^{b(vid)}$) ‖ 14 αναγνωσεσθαι AQ* (-σεσθε Q^{a}) ‖ 15 ερειται A ‖ 18 προσταγμασι B^{b} ‖ 19 εξηγαγε B^{b} ‖ 20 συνεταξε B^{b} ‖ 21 απεστειλε B^{b}

II 4 ονιδισμον B* (ονειδ. $B^{a?b}$) A ‖ 7 ελαλησε B^{b} ‖ 9 εγρηγορησε B^{b} ‖ 10 προσταγμασι B^{b} ‖ 11 σημιοις B* (-μειοις B^{ab}) | βραχειονι B* (-χιον. B^{b}) ‖ 16 κατειδε A | κλειναν B* (κλιν. B^{b}) A ‖ 17 ουκ A ‖ 18 πινωσα B* (πειν. B^{ab}) A ‖ 19 ελαιον A ‖ 21 ειπε B^{b} | κλειναte BA ‖ 25 λειμω B* (λιμ. B^{b}) A ‖ 29 βομβησεις A | μεικραν B* (μικρ. B^{b}) ‖ 30 εστι B^{b} ‖ 32 αινεσουσι B^{b} ‖ 33 αμαρτοντων B^{b} ‖ 34 σμικρυνθωσι B^{b} ‖ 35 κεινησω B* (κιν. B^{b}) A

III 1 κεκραγε B^{b} ‖ 7 αποικεια A ‖ 8 ονιδισμον A ‖ 9 ενωτισασθαι A ‖ 14 εστι (1°, 2°, 3°) B^{b} | φρονησεις A | συνεσεις A | μακροβιωσεις A ‖ 17 εμπεζοντες A ‖ 18 τεκτενοντες A ‖ 23 Αγαρ|ρ Q* (ρ 2° del Q^{a}) | εκζητητε A | τρειβους B* (τριβ. B^{b}) ‖ 25 εχι A ‖ 26 γειγαντες B* (γιγ. B^{b}) ‖ 27 θ̅σ̅σ̅ Q^{*vid} (σ 2° improb Q^{a}) ‖ 37 εξευρε B^{b}

IV 8 επελαθεσθαι A ‖ 9 επηγαγε B^{b} (item 15) ‖ 12 επιχερετω A | ηρωμωθην A | εξεκλειναν B* (-κλιν. B^{b}) A ‖ 15 ανεδες B* (αναιδ. B^{ab}) ‖ 16 μονὴν B^{b} ‖ 25 εκχθρος B* (εχθρ. B^{b}) ‖ 31 δηλαιοι B*Q* (δειλ. $B^{a?b}$ Q^{a}) A: item 32 bis B*A, (1°) Q* ‖ 36 περιβλεψε B

V 1 εκδυσε B* (-σαι B^{ab}) ‖ 3 διξει B* (δειξ. B^{ab}) ‖ 5 μνια B* (μνεια B^{b}) A ‖ 6 παιζοι A | ερομενους B ‖ 7 θεινας B* (θιν. B^{b}) θεινας A

ΘΡΗΝΟΙ

I εχμαλωτισθηνε ℵ* (αιχμαλωτισθηναι $ℵ^{c.b(?)}$) | εκαθεισεν A (item 1, 3) | κλεω̅| ℵ* (κλαιω̅| $ℵ^{c.b(?)}$) | εθρηνησε B^{b} ‖ 1 χωρες $ℵ^{*fort}$ (-ραις $ℵ^{?}$) ‖ 2 κλεουσα ℵ* (κλαιουσα $ℵ^{c.b(?)}$) ‖ 3 ταπινωσεως ℵ* (ταπειν. $ℵ^{c.b}$) A: item 7 ταπιν. ℵ* (ταπειν. $ℵ^{c.b}$): item 9 ταπινωσιν ℵ* (ταπεινωσιν $ℵ^{c.b}$) A | θλειβοντων BA ‖ 4 ειναι ℵ* (ειναι $ℵ^{c.b(?)}$) | πασε ε πυλε ℵ* (πασαι αι πυλαι $ℵ^{c.b}$) | πικρενομενη B*ℵ* (πικραιν. B^{ab} $ℵ^{c.b(?)}$) ‖ 5 Ḣ B^{b} | θλειβοντες B* (θλιβ. B^{b}) A: item 17 | καιφαλην $ℵ^{*vid}$ (κεφ. $ℵ^{c.b(?)}$) | εταπινωσεν ℵ* (εταπειν. $ℵ^{c.b}$): item 12: item 8 εταπινωσαν ℵ* (-πειν. $ℵ^{c.b}$) | εχμαλωσια ℵ* (αιχ. $ℵ^{c.b(?)}$): item 18 vid | θλειβοντος B^{*b}A (item 7) ‖ 6 Οὐαυ B^{b} | ευρισσκοντες ℵ ‖ 7 αρχεων ℵ | πεσιν ℵ | χιρας ℵ* (χειρ. $ℵ^{c.b}$) | εχροι A ‖ 9 εχρος ℵ ‖ 10 θλειβων BA | αγειασμα ℵ* (αγι. $ℵ^{?}$) ‖ 11 επιστρεψε ℵ* (-ψαι $ℵ^{c.b}$) ‖ 12 αδεται ℵ ‖ 14 Νοῦν B^{b} | χερσι B^{b} (bis) | ισχευς ℵ* (ισχυς $ℵ^{?}$) | εδωκε B^{b} | δυνησομε ℵ* (-μαι $ℵ^{c.b}$) ‖ 15 κερον ℵ* (καιρ. $ℵ^{c.b(?)}$) | συντρειψαι B* (-τριψ. B^{b}) συντριψε ℵ* (-ψαι $ℵ^{c.b}$) | κλεω ℵ* (κλαιω $ℵ^{c.b(?)}$) ‖ 16 εκραταιωθη ℵ ‖ 17 Φῆ B^{b} | ενετιλατο ℵ* (ενετειλ. $ℵ^{c.b}$) ‖ 18 εστι B^{b} | ειδετε ℵ ‖ 19 παρελογεισαντο ℵ̣ | πολι ℵ | επιστρεψωσι B^{b} ‖ 20 θλειβομαι B* (θλιβ. B^{b}) θλιβομε ℵ* (-μαι $ℵ^{c.b(?)}$) | παραπικρενουσα ℵ* (-ραιν. $ℵ^{c.b}$) | ητεκνωσε B^{b} | μαχερα ℵ ‖ 22 λυπιται ℵ* (λυπειται $ℵ^{c.b}$) λυπειτε A

II 1 Σιων B^{b} (item 6 vid, 8 vid, 10, 18) | κατερρειψεν B* (κατερριψ.

44, 56, 63) | *κλητταιον* A (item 44) ‖ 40 *αινεον* A | *εσθεσθαι* A (item 49) ‖ 43 *ονιδιζει* B^{*} (*ονειδιζει* B^{ab}) A ‖ 44 *γεινομενα* A ‖ 45 ἀλλ' ὃ B^{b} | *τεχνειται* B^{*} (-*νιτ*. B^{b}) ‖ 47 *ονιδος* A (item 71) ‖ 53 *διακρεινωσιν* B^{*} (-*κρινωσιν* B^{b}) ‖ 56 *δεκταιον* A ‖ 58 *κρισσων* B^{*} (*κρεισσ*. B^{ab}) ‖ 65 *κατ-αρασωντε* B^{*} (-*ται* $B^{a?b}$) ‖ 67 *κρετ-τω* B^{*} (*κρειττω* B^{ab}) ‖ 70 *ερρειμ-μενω* B^{*} (*ερριμμ*. B^{b}) ‖ 72 *κρισσων* AQ* (*κρεισσ*. Q^{a}) | *ιδωλα* A | *ονι-δισμου* A

ΙΕΖΕΚΙΗΛ

I 1 *εμμεσω* A (item 4, 13) ‖ 2 *πεμπτ. τ. μηνος* c praec coniunx B ‖ 5 *ορα-σεις* A ‖ 7 *αιλαφραι* A ‖ 10 *ομοιωσεις* A ‖ 26 *σαππιρου* B^{*} (*σαπφειρ*. B^{ab})

II 1 *ειπε* B^{b} ‖ 2 *ανελαβε* B^{b} | *εξηρε* B^{b} | *εστησε* B^{b} ‖ 3 *ειπε* B^{b} | *υι\|ε* B^{*} *υι\|ε* B^{b} | *οιτεινες* A ‖ 5 *εστι* B^{b} | *εμ-μεσω* AQ* fort (*εν μεσω* Q^{a}): item 6, A ‖ 6 *εστι* B^{b} ‖ 9 *βιβλειου* B^{*} (*βιβ-λιου* B^{b})

III 1 *ειπε* B^{b}: item 10, 22 ‖ 3 *γλευκαζον* Q* (*γλυκ*. Q^{a}) ‖ 7 *φι-λονικοι* A ‖ 8 *νεικος* BQ* (*νικ*. Q^{a}) | *νεικους* Q* (*νικ*. Q^{a}) ‖ 9 *κρατεοτερον* A ‖ 11 *ενδωσι* B^{b} ‖ 12 *ανελαβε* B^{b} ‖ 13 *σεισ\|μου* B^{*} *σει\|σμ*. $B^{?}$ *σισμου* A ‖ 15 *εκαθεισα* A | *εμμεσω* A (item 24) ‖ 18 *αδακια* Q ‖ 22 *παιδιον* A (item 23) ‖ 24 *ανεστησε* B^{b} | *ελαλησε* B^{b} ‖ 25 *δησουσι* B^{b}

IV 6 *τεσσαρακ*. B^{b} | *τεθικα* Q* (*τεθεικ*. Q^{a}) ‖ 16 *ενδια* AQ^{a} (*ενδεια* Q*)

V 1 *οξιαν* A ‖ 2 *εμμεση* A | *εμ-μεσω* A (item 5, 10, 12) ‖ 5 *τεθικα* B^{*}Q* (*τεθεικ*. $B^{a?b}Q^{a}$) ‖ 12 *λειμω* B^{*}A (*λιμ*. B^{b}) ‖ 16 *λειμου* B^{*} (*λιμ*. B^{b}) | *εκλιψιν* B^{*}A (*εκλειψ*. B^{ab}) ‖ 17 *λειμον* B^{*} (*λιμ*. B^{b})

VI 3 *ορεσι* B^{b} | *φαραγξι* B^{b} ‖ 7 *εμ-μεσω* A (item 13 AΓ) | *επιγνωσεσθαι* AΓ* (-*σθε* Γ$^{a\,fort}$): item 14 A ‖ 11 *λειμω* B^{*}A (*λιμ*. B^{b}: item 12) ‖ 13 *γνωσεσθαι* AΓ* (-*σθε* Γ^{a})

VII 4 *ηγγεικεν* A | *ωδεινων* B^{*} (*ωδιν*. B^{b}) ‖ 5 *κρεινω* B^{*} (*κριν*. B^{b}) ‖ 6 *φισεται* A | *εμμεσω* A ‖ 15 *λειμος* B^{*} (bis: *λιμ*. B^{b}) | *παιδιω* A ‖ 25 *εξ-ειλασμος* B^{*} (*εξιλ*. B^{b}) ‖ 26 *πρεσ\|β*. B^{*} *πρε\|σβ*. $B^{?}$

VIII 3 *ανελαβε* 1°, 2°, B^{b} | *ηγαγε* B^{b} ‖ 4 *παιδιω* A ‖ 5 *ειπε* B^{b} ‖ 9 *εισ\|ελθε* B^{*} *ει\|σ*. $B^{?}$ ‖ 10 *ειδου* B^{*} (*ιδ*. B^{ab}) | *ιδωλα* A ‖ 11 *εμμεσω* A | *ανεβαινε* B^{b} *αναιβενεν* A ‖ 13 *μι-ζονας* A | *πινουσι* B^{b} ‖ 16 *εισηγαγε* B^{b} | *προσκυνουσι* B^{b} ‖ 17 *ειπε* B^{b}

IX 1 *ηγγεικεν* A | *εκδικησεις* A | *ειχε* B^{*} ‖ 2 *σαπφιρου* B^{*} (*σαπφειρ*. B^{b}) ‖ 3 *αιθρειον* B^{*} (-*θριον* B^{b}) | *εκα-λεσε* B^{b} ‖ 4 *ειπε* B^{b} | *εμμεσω* A ‖ 5 *πορευεσθαι* A ‖ 6 *εξαλιψιν* B^{*} (*εξα-λειψ*. B^{ab}) | *εστι* B^{b} ‖ 7 *κοπτεται* A ‖ 8 *οιμμοι* B^{*}AQ (*οιμοι* B^{b}) | *εξαλιφεις* A ‖ 9 *πολεις* A ‖ 11 *απεκρεινατο* B^{*} (*απεκριν*. B^{b})

X 6 *εισηλθε* B^{b} ‖ 7 *εμμεσω* A (item 10) | *ελαβε* B^{b} ‖ 10 *οψεις* ‖ 17 *ειστηκεισαν* B^{b} Q^{a} ‖ 18 *χαιρουβει* B^{*} (*αι* improb B^{a}: *χερ*. B^{b})

XI 1 *εμμεσω* AΓ (item 7 A) ‖ 5 *ειπαται* A ‖ 6 *εισηλθε* B^{b} ‖ 7 *αὐτῇ* B^{b} ‖ 8 *φοβεισθαι* A ‖ 10 *επιγνω-σεσθαι* A ‖ 13 *οιμμοι* bis B^{*} (*οιμοι* $B^{b}Q^{a}$): *οιμμοι* AQ* ‖ 15 *απεχε-ται* A

XII 2 *εμμεσω* A (item 10, 12, 24) ‖ 18 *θλειψεως* B^{*} (*θλιψ*. B^{b}) ‖ 20 *επιγνωσεσθαι* A ‖ 23 *ειπωσι* B^{b} | *ηγγεικασιν* A

XIII 7 *εωρακαται* A | *ειρηκαται* A ‖ 10 *αλιφουσιν* B^{*}A (*αλειφ*. B^{ab}) ‖ 11 *αλιφοντας* B^{*}A (*αλειφ*. B^{ab}): item 15 | *εξερον* A ‖ 12 *ηλιψαται* A ‖ 13 *εξερουσαν* A ‖ 14 *ηλιψατε* A | *θεμελεια* A | *επιγνωσεσθαι* A (item 21) ‖ 16 *εστι* B^{b} ‖ 20 *βραχειονων* B^{*} (-*χιον*. B^{b}) ‖ 23 *μαντευσησθαι* A

XIV 1 *εκαθεισαν* A ‖ 3 *αποκρεινο-μενος* B^{*} (-*κριν*. B^{b}) ‖ 4 *ενεχετε* A ‖

B^{ab}) | *θυραιοι* $B^{*}AQ^{*}$ (*θυρεοι* $B^{ab}Q^{a}$) ‖ 25 *ποιησουσι* B^{b}: item 48 | *αφελουσι* B^{b} ‖ 26 *εκδυσουσι* B^{b} | *ληψ.* B^{b} ‖ 28 *μεισ.* B (*μισ.* $B^{b?}$): item 29 ‖ 30 *εποιησε* B^{b} | *εμειαινου* B^{*} (*εμι.* B^{b}) ‖ 39 *ιδωλοις* A ‖ 41 *κλειυης* B^{*} (*κλιν.* B^{b}) ‖ 43 *εξεπορνευσε* B^{b} ‖ 44 *εισ|επορ.* B^{*} *ει|σεπ.* $B^{?}$ ‖ 47 *εντρησουσι* B^{b} ‖ 49 *λημψεσθαι* A

XXIV 1 *ετι* A ‖ 2 *απηρισατο* Q ‖ 11 *εμμεσω* A ‖ 12 *κατεσχυνθησεται* A ‖ 22 *παρακληθησεσθαι* A | *φαγεσθαι* Q^{*} (*-σθε* Q^{a}) ‖ 23 *κοψησθαι* A | *εντακησεσθαι* A | *παρακαλεσεται* A ‖ 24 *ποιησεται* $B^{*}A$ (*-τε* B^{ab}) | *επιγνωσεσθαι* A ‖ 26 *αναγγειλε* $Γ^{*}$ (*-λαι* $Γ^{a}$)

XXV 3 *ακουσαται* A ‖ 5 *επιγνωσεσθαι* A ‖ 13 *εξελεθρευσω* Q^{vid} ‖ 15 *εξαλιψαι* A

XXVI 5 *εμμεσω* A (item 15) ‖ 7 *εστι* B^{b} ‖ 8 *παιδιω* A (item 10) | *αναιλει* A ‖ 9 *μαχαιρες* B^{*} (*-ραις* B^{ab}) ‖ 11 *καταπατησουσι* B^{b} ‖ 17 *αιπενετη* A ‖ 18 *νησσοι* B^{*} (*νησοι* B^{b})

XXVII 5 *ταινιαι* $B^{*}Q^{*}$ (*ταniαι* B^{ab}: *τενιαι* AQ^{a}) ‖ 6 *νησσων* B^{*} (*νησων* B^{b}) ‖ 9 *πρεσ|β.* B^{*} *πρε|σβ.* $B^{?}$ ‖ 11 *ετελιωσαν* B^{b} ‖ 17 *μελει* A^{*} (*μελι* $A^{?}$) | *ρήτεινην* B^{*} (*ρητινην* B^{b}: *ριτινην* Q) | *συμμεικτον* B^{*} (*συμμικτον* B^{b}): item 27 ‖ 18 *ερεια* B^{*} (*ερια* B^{b}) ‖ 19 *συμμεικτω* B^{*} (*-μικτω* B^{b}) ‖ 21 *κρειους* B^{*} (*κρι.* B^{b}) ‖ 24 *εμπορειαν* Q^{a} ‖ 27 *εμμεσω* A (item 34)

XXVIII 5 *δυναμι* (*-μει* B^{ab}) ‖ 7 *στρωσουσι* B^{b} ‖ 8 *καταβιβασουσι* B^{b} ‖ 12 *υ|ιε* B^{*} *|υιε* $B^{?}$ ‖ 13 *παραδισου* $B^{*}A$ (*-δεισου* B^{ab}) | *ιασπεω* A ‖ 14 *εμμεσω* A ‖ 17 *καλλι* Q^{*} (*καλλει* Q^{a}) ‖ 19 *εθνεσι* B^{b} ‖ 21 pr *κε* (sic ut vid) *σοι* $Q^{mg\ inf}$

XXIX 3 *εμμεσω* A (item 12 [bis], 21) ‖ 5 *παιδιου* A ‖ 12 *τεσσαρακ.* B^{b} | *εθνεσι* B^{b}: item 15 ‖ 13 *συν|αξ.* B^{*} *συ|ναξ.* $B^{?}$

XXX 4 *συμπεσειτε* A ‖ 11 *εκκενωσουσι* B^{b} ‖ 18 *συντρειψαι* B^{*} (*-τριψ.* B^{b}) ‖ 21 *βραχειονας* B^{*} (*βραχιον.* B^{b}: item 22, 24, 25) | *συνετρειψα* B^{*} (*-τριψ.* B^{b}) (*συν|ετρ.* B^{*} *συ|νετρ.* $B^{?}$) | adnot *Μεμφεως στομα Φαθωρης ψωμου πατημα Ταυν εντολη αποκρισεως Διοσπολει η εντολη ταπαινη εν ναπαυσει* (sic) $Q^{mg\ inf}$

XXXI 2 *υψι* A ‖ 4 *παιδιου* A (item 5, 6, 15) ‖ 11 *εποιησε* B^{b} ‖ 12 *παιδιω* A ‖ 14 *πεινοντες* B^{*} (*πιν.* B^{b}) | *εμμεσω* A (item 17, 18) ‖ 16 *εσισθησαν* B^{*} (*εσεισθ.* B^{ab}) | *πεινοντα* B^{*} (*πιν.* B^{b})

XXXII 2 *ποσι* B^{b} | *κατεπατεις* A ‖ 4 *παιδια* A ‖ 19 *εμμεσω* A (item 21, 25, 32) ‖ 21 *κριττων* A ‖ 22 *ηνοιξε* B^{b} | *ηλθε* B^{b} ‖ 24 *κατεσχε* B^{b}

XXXIII 7 *υ|ιε* B^{*} *υι|ε* B^{b} ‖ 10 *ελαλησαται* A | *εισι* B^{b} ‖ 11 *αποστρεψαται* A ‖ 15 *προσταγμασι* B^{b} ‖ 20 *ειπαται* A ‖ 27 *παιδιου* $B^{*}A$ (*πεδ.* B^{ab}) ‖ 28 *απολειτε* A ‖ 33 *εμμεσω* A

XXXIV 2 *ποιμαινες* (1°, 3°) A (item 7, 8 [bis], 9, 10 [$B^{*}A$, *ποιμενες* B^{ab}]) | *βοσκουσι* B^{b} ‖ 3 *περιβαλλεσθαι* A ‖ 4 *ενισχυσαται* A | *εσωματοποιησαται* A | *κατεδησαται* A | *εξητησαται* A | *κατειργασασθαι* A ‖ 7 *ακουσαται* A ‖ 8 *παιδιου* B^{*} (*πεδ.* B^{ab}) ‖ 12 *εμμεσω* A ‖ 13 *εισ|αξ.* B^{*} *ει|σαξ.* B^{b} | *φαραγξι* B^{b} ‖ 14 *πειονι* B^{*} (*πιονι* B^{b}) ‖ 17 *διακρίνω* B^{b}: in 20 deest accent ‖ 18 *ενεμεσθαι* A | *επειvετε* B^{*} (*επιν.* B^{ab}) *επινεται* A | *εταρασσεται* A ‖ 21 *επει* B^{*} (*επι* B^{b}) | *διωθειсθαι* A | *εκερατιζεται* A | *εξεθλειβετε* B^{*} (*εξεθλιβ.* B^{b}): *εξεθλιβεται* A ‖ 22 *κρίνω* B^{b} | *κρειον* B^{*} (*κρι.* B^{b}) ‖ 23 *ποιμενει* B^{*} (*-μανει* B^{ab}) ‖ 28 *εθνεσι* B^{b} ‖ 29 *λειμω* B^{*} (*λιμ.* B^{b}) | *ονιδισμον* $B^{*}A$ (*ονειδ.* B^{b}) ‖ 31 *εσται* A

XXXV 4 *πολεσι* B^{b} ‖ 8 *παιδιοις* $B^{*}A$ (*πεδ.* B^{ab})

XXXVI 1 *ακουσαται* A (item 4) ‖ 2 *εκχθρος* A ‖ 3 *ονιδισμα* A | *εθνεσι* B^{b}: item 4 ‖ 4 *χιμαρροις* B^{*} (*χειμ.* B^{ab}) | *πολεσι* B^{b} ‖ 6 *φαραγξι* B^{b} ‖ 8 *ελπιζουσι* B^{b} ‖ 9 *κατεργασθησεσθαι* A ‖ 11 *γνωσεσθαι* A ‖ 12 *εσεσθαι* A (item 28) ‖ 14 *φαγεσε* B^{*} (*-σαι* B^{ab}) ‖ 17 *ιδωλοις* A ‖ 19 *εκρεινα* B^{*} (*εκρινα* B^{b}) ‖ 21 *εξεληλυθασι* B^{b} ‖ 22 *εβεβηλωσαται* A (item 23) ‖ 23 *εμμεσω*

ΒΗΛ ΚΑΙ ΔΡΑΚΩΝ (Θ.)

3 ιδωλον A ‖ 8 ειπηται A | αποθανεισθαι A ‖ 9 αποθανειτε A ‖ 11 αποκλισον Q* (αποκλεισ. Q^{a}) ‖ 14 εκλισαν Q* (εκλεισ. Q^{a}) ‖ 19 ειδε A ‖ 21 εδιξαν Q* (εδειξαν Q^{a}) ‖ 30 επιγουσιν B* (επειγ. B^{ab}) AΔ ‖ 33 πδιον (sic) B* (πεδ. B^{ab}) παιδιον A ‖ 34 απενεγκαι Q απενιγκε Δ^{vid}

ΜΑΚΚΑΒΑΙΩΝ Α

I 1 **Μακαιδονα** ℵ | επαταξε V^{a} | Δαρειον ℵ$^{?}$V^{a} ‖ 4 ηρξε V^{a} ‖ 5 εγνοι ℵ* (εγνω ℵ$^{c.a}$) | αποθνησκι ℵ ‖ 6 συ|νεκτροφους ℵ* (σῡ|εκτρ. ℵ$^{c.a}$) ‖ 7 απεθανε V^{a} ‖ 8 επεκρατεισαν V* (-τησαν V^{a}) ‖ 9 αποθανιν ℵ (item 63) ‖ 10 ρειζα ℵ | ετι ℵA ‖ 11 ανεπισαν ℵA ‖ 14 νομημα V* (-μιμα V^{a}) ‖ 15 εθνεσι V^{a} ‖ 17 ιππευσι V^{a} ‖ 18 εφυγε V^{a} ‖ 21 ελβεν V* (ελαβεν V^{a}) ‖ 23 ευρε V^{a} ‖ 24 εποιησε V^{a} ‖ 25 τωπω V$^{*\,vid}$ (τοπω V^{a}) ‖ 27 ανελαβε V^{a} | εγενετω V* (-το V^{a}) ‖ 28 εσισθη ℵAV* (εσεισ. V^{a}) | εσχυνην ℵ* (αισχ. ℵ$^{c.a}$) ‖ 29 απεστιλεν ℵ (item 44) | φωρολογειας A ‖ 30 ιρηνικους ℵ | απωλεσε V^{a} ‖ 31 ελαβε V^{a} | καθειλε V^{a} ‖ 33 τειχι ℵ* (-χει ℵ$^{?}$) τιχι A τειχη V* (-χει V^{a}) ‖ 34 εκι ℵ ‖ 38 κατοικεια A | εγγκατελειπον (sic) V ‖ 39 ονιδισμον A ‖ 43 ιδωλοις ℵA ‖ 47 ωκοδομησαι A | ιδωλα A ιδωλια ℵ* (ειδ. ℵ$^{?}$) | θυιν A | υια ℵ*V* (υεια ℵ$^{1?}$V^{a}) A | κτινη V* (κτηνη V^{a}) ‖ 49 επιλαθεσθε ℵV* (-σθαι V^{a}) ‖ 50 αποθανιται ℵ αποθανειτε V$^{*\,vid}$ (-ται V^{a}) ‖ 51 εγραψε V^{a} ‖ 53 κρουφιοις V$^{*\,vid}$ (κρυφ. V^{a}) ‖ 54 αιρημωσεως A ‖ 55 πλατιαις ℵ | αιθυμιων A ‖ 57 η τις V* (ει τις V^{a}) ‖ 58 ισχυει V* (-υι V^{a}) | μηνει A (bis) ‖ 59 ηκαδη V* (εικαδι V^{a}) ‖ 61 βρεφει V* (-φη V^{a}) ‖ 62 φαγιν A ‖ 63 μιανθωσι V^{a} | βεβηλωσωσι V^{a}

II 1 εκιναις ℵ | εκαθεισεν V* εκαθησεν V^{a} ‖ 6 ειδεν V* (-δε V^{a}) | γεινουμενας (sic) V* (γινομ. V^{a}) ‖ 7 οιμμοι ℵAV* (οιμοι V*) | εγεννηθειν V* (-θην V^{a}) | καθεισαι A | εκι ℵ ‖ 9 πλατιαις ℵ ‖ 10 βασιλια ℵ | εκρατησε V^{a} ‖ 14 διερρηξε V^{a} | ιματιεαυτων V (sic) ‖ 15 θυσιασωσι V^{a} ‖ 17 ενδοξως V* (-ξος V^{a}) | πολι ℵ (item 27) A ‖ 18 καταλιφθεντες ℵ | δοξασθησεσθαι AV* (-σθε V^{a}) ‖ 19 ειπε V^{a} (item 49) | βασιλιας ℵ (item 57) | λατρειας V^{a} | ηρετησαντο V* (-τισ. V^{a}) ‖ 21 ειλεως ℵ ‖ 22 παρελθιν ℵ | λατρειαν V^{a} ‖ 24 ανηνεγκε V^{a} ‖ 25 ανδραν ℵ* (ανδρα ℵ$^{c.a}$) | απεκτινεν ℵ | καθειλε V^{a} ‖ 26 εποιησε V^{a} ‖ 27 ειστων AV^{1} ειστον V* (ιστων V^{a}) ‖ 28 εγκατελειπον V$^{a\,vid}$ ‖ 29 καθεισε A καθησαι V* (καθισαι V$^{a\,vid}$) ‖ 31 ανηγγελλη ℵ^{1} ‖ 36 ενετειναξαν V* (ενετιν. V^{a}) ‖ 37 αποθανομεν V | μαρτυρι ℵ | απολλυται A ‖ 38 σαββασι V^{a} ‖ 45 εκυκλωσε V^{a} | καθιλον ℵ ‖ 46 πεδαρια ℵ*V* (παιδ. ℵ$^{c.a}$V^{a}) | ισχυει V* (-υι V^{a}) ‖ 47 χιρι ℵ ‖ 48 χιρος (1°) ℵ ‖ 49 ηγγησαν V* (ηγγισ. V^{a}) | αποθανιν ℵ ‖ 51 μνησθηται ℵ | δεξασθαι ℵA ‖ 52 πιρασμω ℵ ‖ 54 ελαβε V^{a} (item 56) ‖ 57 ελεη V* (-ει V^{a}) | εκληρονομησε V^{a} ‖ 60 ερρυσθη V^{a} ‖ 61 εννοηθηται ℵ ‖ 62 εισκωληκας ℵ (sic) ‖ 64 ισχυεται A | ανδριζεσθαι A | δοξασθησεσθαι ℵ ‖ 67 προσαξεται A | εκδικησαται ℵ ‖ 68 εθνεσι V^{a} ‖ 70 απεθανε V^{a}

III 3 επλατυνε V^{a} ‖ 4 ωσκυμνος V* (ως σκ. V^{a}) ‖ 5 ταρασοντας V* (ταρασσ. V^{a}) ‖ 6 χιρι ℵ ‖ 7 επικρανε V^{a} | βασιλις ℵ | ηυφρανε V^{a} ‖ 8 εξωλοθρευσε V^{a} ‖ 10 Απωλλωνιος V* (Απολλ. V^{1}) ‖ 11 απεκτινεν ℵ

ΜΑΚΚΑΒΑΙΩΝ Δ

I 1 επιδικνυσθαι ℵA | προσεχηται A ‖ 3 λογεισμος A (item 30 [1°]) | γαστριμαργειας A ‖ 7 υμει] A ‖ 8 αποδιξαιμι A ‖ 9 επεδιξαντο A | περ'|κρατει ℵ$^{c.a}$ ‖ 10 καλοκαγαθειας A ‖ 11 επει A | αικεισαμενω̄| A ‖ 12 ἴωθα ℵ οιωθα A (sic) ‖ 14 διακρεινωμεν A | επικρατι A ‖ 19 φρονησεις V* (-σις V^{a}) ‖ 21 ακολουθειαι ℵ ‖ 22 επιθυμεια A ‖ 26 φιλονικια ℵ φιλονικεια A ‖ 27 παντοφαγεια A | λεμαργεια A | νομοφαγεια A ‖ 29 περικαθερων A | εξϊμεροι ℵ* (-ημ. ℵ$^{c.b}$) εξειμεροι A^{vid} ‖ 33 επι A | κεινουμενοι ℵA ‖ 34 ημειν A ‖ 35 φιλοτιμοῦ|τε A | κεινηματα A | λογεισμου A

II 2 επενειται A | λολογισμω V (sic) ‖ 4 οιδηπαθειας A (sic) | οιστρηλασειαν A ‖ 6 επιθυμειων A ‖ 7 επι A (item 19) ‖ 8 δαιομενοις A ‖ 9 φιδωλος ℵA | κρατειτε AV* (-ται V^{a}) ‖ 10 κρατι A ‖ 11 παρανονομειαν A (sic) ‖ 13 νομισηται AV ‖ 14 πολεμειων A ‖ 15 φενεται A | φιλαρχειας A | μεγαλαυχειας A | βασκανειας A ‖ 16 απωθειται] αποθειτε V* (-ται V^{a}) ‖ 19 κε A ‖ 21 κατευασεν V* (κατεσκευασε V^{a}) ‖ 22 εσθητηριω̄| ℵ ‖ 24 η ℵ* (ει ℵ$^{c.a}$) | κατει (2°) V* (κρ. V^{1})

III 1 κομειδη A ‖ 2 δουλοθηναι V* (-λωθ. V^{a}) | επιθυμεια A (item 11, 12, 16) ‖ 7 επι A ‖ 8 βασιλιον V* (-λειον V^{a}) | εστρατοπαιδευκει ℵA ‖ 9 διπνον A ‖ 11 αλογειστος A | πολεμειοις A | επιτινουσα ℵA ‖ 12 κατεδεσθεντες A | επιθυμειᾱ| A | πανοπλειας A | καθωπλεισαντο A | πολεμειων A (item 13) ‖ 14 θα|ραλεως V*^{vid} | εγεμεισαν A ‖ 15 πανδινον ℵ | εισοδυναμον A ‖ 16 εσπισεν V* (-σπεισ. V^{a}) ‖ 18 καταπαλεσαι ℵ | καλοκαγαθειας A ‖ 19 αποδιξιν A ‖ 23 ϊερουργειαν A | αποφορεισαι A

IV 3 γαζοφυλακειοις A ‖ 4 κηδαιμονιας A ‖ 5 πατρειδα A ‖ 7 πανδινον ℵA ‖ 9 υπερασπεισαι A ‖ 10 καθωπλεισμενης A ‖ 11 ημειθανης A | χειρασξετεινεν (nisi χειραεξ.) A ‖ 12 ημαρτικως V* (-τηκως V^{a}) | υμνησιν ℵA ‖ 13 νομισειεν A (sic) ‖ 15 δινος A ‖ 17 δωσι] A ‖ 19 παρανομειαν A ‖ 20 πατρειδος A | κηδαιμονιᾱ| A ‖ 22 χεροιε] A ‖ 23 ει] η A^{vid} ‖ 24 επι A ‖ 25 κατακρημνεισθηναι A | προϊδυϊας A | πισονται V* (πεισ. V^{a}) ‖ 26 μιαιρων A

V 1 προκαθεισας A ‖ 4 νομεικος A | ηλικειαν A (bis): item 36 ‖ 6 πρειν A | αρξασθε A | συμβουλευσεμ A | αιδουμε A ‖ 7 σαρκοφαγειαν A ‖ 10 φλοιαρου ℵ$^{c.a}$ (sic) ‖ 13 εποπτεικη A | παρανομεια A | γεινομενη A ‖ 14 σαρκοφαγειαν A ‖ 19 μεικραν ℵ | μιεροφαγησεμεν A ‖ 20 εισοδυναμον A ‖ 22 ευλογιστειας A ‖ 24 αισονομειν A ‖ 25 μειεροφαγουμεν A | ημειν A ‖ 26 αισθιειν A ‖ 27 μιεροφαγεια A ‖ 33 πατρειων A ‖ 34 πεδευτα A ‖ 35 ιεροσυνη A ‖ 38 δεσποσις A

VI 2 γερεον A ‖ 3 μαστιξειν A ‖ 4 πισθητι ℵA ‖ 5 ονιρω A ‖ 6 απεξεναιτο A*^{vid} (απεξενετο A$^{?}$) | κατερριτο ℵ ‖ 7 ακλεινη ℵA ‖ 8 εξανιστετο A ‖ 15 ϋποκρεινομενος A ‖ 16 αικεισθεις A ‖ 17 ημει] A | ϋποκρεινασθαι A ‖ 19 παραδιγμα ℵ | μιεροφαγειας A ‖ 20 καταγγελωμενοι A ‖ 22 πεδες A ‖ 23 μελλεται A ‖ 26 μεχρει A ‖ 28 ειλεως A ‖ 35 επιδικνυμι ℵ επειδικνυμι A

VII 2 κατεκειζομενος A ‖ 4 αικεισμοις A | εκεινησεν A ‖ 5 μενομενους A ‖ 6 αξιαι A | μιεροφαγεια A ‖ 7 συμφωναι A ‖ 8 δι A ‖ 9 ευνομειαν A ‖ 11 καθωπλεισμενος A ‖ 15 σφραγεις A ‖ 22 περικρατησιεν A ‖ 24 μιρακισκοι ℵ

VIII 1 μιαιροφαγησαι A: item 12 ℵ*, 29 ℵA ‖ 2 ϊλικιας A ‖ 3 γερεας A ‖ 4 προσεμιδιασεν A ‖ 6 συνιξαντας A | δυνεμην A | απιθουντας II ‖ 7 λημψεσθαι ℵA ‖ 9 διαθησθαι ℵA | απιθειας A | αναγκασεται A | δινας ℵ | απολεσε ℵ* (-σαι ℵ$^{c.a}$) ‖ 10 κατε-

δειρ. V^a) | εδρακυσας A (sic) ‖ 21 σιρηνιοι V^* (σειρ. V^a) ‖ 23 ανδριωσας ℵA | επετινεν ℵ | παριδιν ℵ ‖ 24 γεννεα ℵA ‖ 25 δινους ℵA ‖ 29 εκδικαι A | αθλοφοραι A ‖ 30 ανδριωτερα ℵ ‖ 31 κόσμιω πλήθει V (sic) ‖ 32 υπεμινας ℵ

XVI 1 γερεα ℵA | υπεμινεν ℵ | ωμολογουμενως V^a ‖ 2 απεδιξα ℵ ‖ 3 καμεινος A | φιλοτεκνειας A | περιεκεεν ℵ ‖ 5 διλοψυχος ℵA ‖ 6 τρισαθλεια A ‖ 7 κυοφορειαι ℵ ‖ 8 υπεμινα ℵ ‖ 9 κληθισα ℵ ‖ 10 καλλιπες ℵ χαλ|λιπαις A^{*vid} (καλλ. $A^{1?}$) ‖ 13 εικετευουσα A ‖ 14 στρατιωτει A | πρεσβυτει A ‖ 15 ιστηκις ℵ ιστικεις V^* (ειστηκ. V^a) ‖ 16 εναγωνισασθαι ℵAV^* (-σθε V^a) ‖ 18 αναμνησθηται A | μετελαβεται A | απελαυσαται A ‖ 19 οφιλεται ℵA | υπομαινειν A ‖ 21 καμεινον A | υπεμιναν ℵ ‖ 22 υμις ℵ | χαλεπαινηται A χαλεπανεται ℵ ‖ 23 ανθειστασθαι A ‖ 24 επεισαι A επισεν ℵ | αποθανιν ℵ

XVII 1 ψαυσιεν A ‖ 3 ακλεινως A | σισμον ℵA ‖ 4 ἵεροψυχαι A ‖ 5 καθ ℵ | εστηρησαι V^* (-ρισ. V^a) ‖ 6 παιδοποιεια A ‖ 7 εφρειττον V^* (εφριττ. V^a) | υπομινασαν ℵ ‖ 8 μνιαν ℵAV^* (μνειαν V^a) ‖ 9 γερεα ℵ γηραια V^a ‖ 10 υπομιναντες ℵ ‖ 11 θιος ℵ ‖ 12 ηθλοθετι ℵ | νεικος A ‖ 13 ενηθλι ℵ ‖ 14 εθεωρι ℵ ‖ 18 θιω ℵ ‖ 19 χιρας ℵ ‖ 22 εκινων ℵ (item 23) ‖ 24 ανδριους ℵA | παιζομαχιαν A | πολιορκειαν A | πολεμειους A

XVIII 1 πειθεσθαι AV^* (-σθε V^a) | ευσεβιτε ℵ ευσεβειται A ‖ 2 γεινωσκοντες A ‖ 3 εκινοι ℵ | θιας ℵ ‖ 4 ευνομειαν A | ανανακωσαμενος A | πολεμειους A ‖ 5 αλλοφυλεισαι ℵ ‖ 6 εστρατοπαιδευσεν AV ‖ 7 ουκ V^* (ουχ V^a) ‖ 8 λυμαιων V^* (-μεων V^a) bis, λυμαιων (2°) ℵ | ερημειας A | παιδιω A | παρθενειας AV^* | εμινα ℵ ‖ 9 εκινος ℵ | κερο| A ‖ 15 εμελωδι ℵ ‖ 21 ποικειλοις A | απεκτινεν ℵ ‖ 22 θια ℵA

ΨΑΛΜΟΙ ΣΟΛΟΜΩΝΤΟΣ

II 13 εμπεγμον r ‖ 15 σπλαχνα i ‖ 19 εξηλιψας r ‖ 20 ωνιδησαν r ‖ 22 μητραν i ‖ 23 απερριφει r ‖ 25 μηνησεως hmpv ‖ 28 χρονησης r ‖ 30 εχρονησαν ‖ 33 ισχυει r ‖ 37 επιστιμη r ‖ 38 αναμεσων r ‖ 40 παραστανai i | ισχυει ir

III 4 ολιγορησει r ‖ 7 αληθια r ‖ 16 εκλειψη r

IV 5 ουχ] ογ' r ‖ 6 οικειαν r | ιλαροτι r ‖ 19 ελλειπης lr ‖ 24 παρωργησαν r^{corr} (παροργ. r^*) ‖ 25 υπεκρυνοντο i

V 10 πινασω ir ‖ 12 πινασωσιν r ‖ 20 πλεισμονην r

VI 5 πτωηθησεται r

VII 2 πατισατω r

VIII 2 ως ανεμου πολλου bis scr c ‖ 6 ανελογησαμην r ‖ 12 διηρπαζωσαν r ‖ 13 αφαιδρω m ‖ 16 αισχατου r ‖ 23 οικουντων] οικουν i ‖ 27 αρνιαι h ‖ 34 ελαιου p

IX 2 εθνη r ‖ 3 ἳν δικαιοσυης r ‖ 5 κριβησεται i ‖ 12 αξαγοριαις i ‖ 16 συ] σαι i ‖ 20 ελεμοσυνη r

X 4 αγαποντας r ‖ 7 οτιαι r^* ‖ 8 εισωφροσυνην r

XII 2 αναπτων i ‖ 5 απωλοιτο i ‖ 8 κληρονομισαισαν r | επαγγελειας ir

XIII 3 ετειλον c ‖ 5 δυνη r ‖ 8 προτοτοκου r ‖ 11 ουκ r

XIV 3 ερριζομενη r | εκτειλησονται r εκτιλλησονται i ‖ 5 γενεσαι l

XV 6 ουχ] ουκ r ‖ 10 απολειας i | μετοπου i ‖ 11 απολεια r

XVI 5 ελογισω με] ἐλογήσωμαι r ἐλογήσομαι i ‖ 8 ανοφελους ir ‖ 9 τοπω] τυπω i ‖ 11 ολιγωψυχιαν i | πευδ. i^* ‖ 13 ενισχυσαις r^* | πεδιαν r

XVII 5 ηρετησω r ‖ 6 επηγγειλω ir ‖ 14 εμπεγμον r ‖ 20 του σταξαι] τοὺς τάξαι r ‖ 41 ισχυει r : item 43 ‖ 51 ταχυνη ρ

P | δικεοσυνης P | τον ουρανων τον υψηλων P | γυνεκων P | γυνεκας P || 5 εστε P | ιρηνη P | αφησις P | χερουσιν P || 6 επει P | απολεια P | των υιον P | εστε P | ιρηνην P

XIII 1 εστε P | ιρηνη P | κρειμα P | δησε P || 2 εδιξας P | ασεβιων P | υπεδιξας P || 3 πορευθις P || 4 αναγνοι P || 5 δυνονται P | ουδε] οδε P | εταρε P | αυτων (1°)] αυτον P | εσχυνης P || 6 δεησις P || 7 πορευθις P | ανεγινωσκων P || 8 ονηροι P | ορασις (bis) P | ιδων P | υειοις P^{*vid} | ελενξει P || 10 ενοπιον P | αννηγιλα P | ορασις P | λαλιν P | δικεοσυνης P | τος γρ. P

XIV 1 δικεοσυνης P | ελενξεως P | ορασι P || 2 ειδων P | σαρκειvη P | λαλιν P || 3 εκτεισεν P || 4 ανγελων P | ορασι P | εδιχθη P || 5 αναβηται P || 6 ειδητε P | απολιαν P | εστε P | πεσουντε P | ενωπιων P | μαχερα P || 7 υμις κλεοντες P || 8 ορασι (ter) P | εδιχθη P | νεφελε P | ομοχλε P | εφονουν P | διαδρομε P | διαστραπε P | με 2°, 3°, 4°] μαι P || 9 με 1°, 2°] μαι P | εισηνηνκαν P | ορανον P | τιχους P | εκφοβιν P || 10 ηνγεισα P | λιθωπλακες P | χιονεικα P || 11 αστερων P || 12 τυχων P | κεομενοι P || 13 οι| οικον P | οκ P | με bis] μαι P || 14 εμην σιομενος κ. τρεμον P | εθεορουν P | ορασι P || 15 γλωσσης P || 16 δειαφερων P | τειμη P | ωσται P | μαι P || 17 ανωτερων P || 18 εθεορουν P || 19 ιδιν P || 20 περιβολεον P || 21 ιδειν 1°] ειδειν P | ιδειν 2°] ιδιν P || 22 ουδις εγγιζι P | μυριε P || 23 ενγιζοντες P | αφισταντε P || 25 τον αγιον P

XV 1 αληθεινος bis P || 3 απελειπεται P | εκυμηθηται P | ελαβεται P || 4 εμιανθηται P | απολλυντε P || 5 θηλιας P || 6 υπερχετε P || 7 υμειν P | θηλιας P || 9 εξελθων P | ανοτερων P | κληθησετε P || 11 συνπαλεοντα P | εσθειον P | δειψωντα P || 12 εξαναστησι P

XVI 1 αφανειζοντα P | αφανησουσιν P | τελιωσεως P || 3 εμενυσατε P | τουτω] τουτο P | θηλιαι P

XVII 1 μαι P | φλεγων P || 2 μαι P | αφικνυτο P || 3 τους θησαυρος P || 4 μαι P | παρεχων P | δυσις P

XVIII 1 ειστασιν P | στερεγμα P || 6 κεομενον P | τρις P || 8 θνος (sic, pro θρονος) P | σαφφιρου P || 9 κεομενον P || 11 τους στυλος P || 13 κεομενα P | πυ|θανομαιον μοι P || 15 κοιλιομενοι P | παραβοντες P || 16 τελιωσεως P

XIX 1 λυμενεται P | πλανησι P | αποτελιωσιν P || 2 σιρηνας P || 3 ανθρωπον P_1 | ως] ος P_1 | εγω] ιω P_1

XX 2 ο 1°] ως P_1 | αγγελων P_1 | επει PP_1 || 3 επει P_1 || 4 των 1°] τον P_1 || 5 Μηχαηλ P_1 | των 1°] τον P_1 | επει P_1 | τον τ. λ. αγαθων PP_1 || 6 το αγιον P_1 | οιτεινες P_1 | επει P_1 || 7 των 1°] τον P_1 | παραδισου PP_1 | επει P_1

XXI 1 μεχρει P_1 | ακατατασκευαστου P_1 || 2 ουτε 1°] οτε P_1 || 3 τεθεαμε P_1 | κεομενους PP_1 || 4 αιτειαν P_1 | επαιδεθησαν P επηδηθησαν P_1 || 5 τον αγιον P_1 | ηγετο P_1 | αληθιαν φιλοσπεδις P_1 || 6 μεχρει PP_1 || 7 τεθεαμε P_1 | κεομενον P | στυλλων PP_1 | καταφαιρ. P | ειδων PP_1 || 8 φοβηρος P_1 | ορασι PP_1 || 9 απεκρειθη P_1 απεκρειθην P || 10 δεσμοτηριων P | συνσχηθησοντε P

XXII 1 ειστερεας P || 2 τεσσαροες (ut vid) P | λειαν λιοι P | τρις P | εισκοτινοι P | λια P | σκοτεινα P | ορασι P || 3 επισυναγονται P | εκρειθησαν P || 4 επισυνσχεσι P || 5 προεβενεν P || 6 προβεννι P || 7 απεκραθη P | εξελθων P || 9 τρις P || 10 κρισεις P || 11 χωρειζεσθαι P | ανταποδοσεις P || 13 θλειβεντες P | τειμωρηθησονται P

XXIII 2 διατρεχων P | ανατεομενον P || 3 εχων P || 4 εκδιωκων P

XXIV 1 εδιξεν P | κεομενα P || 2 καλλωνη P | εστερεγμενα P | φαρανγες P | τραχιαι P | ενγαιζουσαι P || 3 ορι P | υψι P | θρονου P || 4 φθεινι P || 5 ωρεα (1°) P | ορασι P

XXV 3 καθειζει P || 4 ενωδειας P | εκδεικησις P || 6 χαρισονται P | οσμε P | οσταιοις P | μαστειγες P

ΜΑΚΚΑΒΑΙΩΝ Δ

I 1 επιδικνυσθαι ℵA | προσεχηται A ‖ 3 λογεισμος A (item 30 [1°]) | γαστριμαργειας A ‖ 7 υμει] A ‖ 8 αποδιξαιμι A ‖ 9 επεδιξαντο A | περ'|κρατει ℵ$^{c.a}$ ‖ 10 καλοκαγαθειας A ‖ 11 επει A | αικεισαμενω| A ‖ 12 ἴωθα ℵ οιωθα A (sic) ‖ 14 διακρεινωμεν A | επικρατι A ‖ 19 φρονησεις V* (-σις V^a) ‖ 21 ακολουθειαι ℵ ‖ 22 επιθυμεια A ‖ 26 φιλονικια ℵ φιλονικεια A ‖ 27 παντοφαγεια A | λεμαργεια A | νομοφαγεια A ‖ 29 περικαθερων A | εξιμεροι ℵ* (-ημ. ℵ$^{c.b}$) εξειμεροι A^{vid} ‖ 33 επι A | κεινουμενοι ℵA ‖ 34 ημειν A ‖ 35 φιλοτιμου|τε A | κεινηματα A | λογεισμου A

II 2 επενειται A | λολογισμω V (sic) ‖ 4 οιδηπαθειας A (sic) | οιστρηλασειαν A ‖ 6 επιθυμειων A ‖ 7 επι A (item 19) ‖ 8 δαιομενοις A ‖ 9 φιδωλος ℵA | κρατειτε AV* (-ται V^a) ‖ 10 κρατι A ‖ 11 παρανονομειαν A (sic) ‖ 13 νομισηται AV ‖ 14 πολεμειων A ‖ 15 φενεται A | φιλαρχειας A | μεγαλαυχειας A | βασκανειας A ‖ 16 απωθειται] αποθειτε V* (-ται V^a) ‖ 19 κε A ‖ 21 κατευασεν V* (κατεσκευασε V^a) ‖ 22 εσθητηριω| ℵ ‖ 24 η ℵ* (ει ℵ$^{c.a}$) | κατει (2°) V* (κρ. V^1)

III 1 κομειδη A ‖ 2 δουλοθηναι V* (-λωθ. V^a) | επιθυμεια A (item 11, 12, 16) ‖ 7 επι A ‖ 8 βασιλιον V* (-λειον V^a) | εστρατοπαιδευκει ℵA ‖ 9 διπνον A ‖ 11 αλογειστος A | πολεμειοις A | επιτινουσα ℵA ‖ 12 κατεδεσθεντες A | επιθυμεια| A | πανοπλειας A | καθωπλεισαντο A | πολεμειων A (item 13) ‖ 14 θα|ραλεως V*^{vid} | εγεμεισαν A ‖ 15 πανδινον ℵ | εισοδυναμον A ‖ 16 εσπισεν V* (-σπεισ. V^a) ‖ 18 καταπαλεσαι ℵ | καλοκαγαθειας A ‖ 19 αποδιξιν A ‖ 23 ἱερουργειαν A | αποφορεισαι A

IV 3 γαζοφυλακειοις A ‖ 4 κηδαιμονιας A ‖ 5 πατρειδα A ‖ 7 πανδινον ℵA ‖ 9 υπεραστεισαι A ‖ 10 καθωπλεισμενης A ‖ 11 ημειθανης A | χειρασξετειεινεν (nisi χειραεξ.) A ‖ 12 ημαρτικως V* (-τηκως V^a) | υμνησιν ℵA ‖ 13 νομησιεν A (sic) ‖ 15 δινος A ‖ 17 δωσι] A ‖ 19 παρανομειαν A ‖ 20 πατρειδος A | κηδαιμονια| A ‖ 22 χεροιε| A ‖ 23 ει] η A^{vid} ‖ 24 επι A ‖ 25 κατακρημνεισθηναι A | προϊδυϊας A | πισονται V* (πεισ. V^a) ‖ 26 μιαιρων A

V 1 τροκαθεισας A ‖ 4 νομεικος A | ηλικειαν A (bis): item 36 ‖ 6 πρειν A | αρξασθε A | συμβουλευσεμ A | αιδουμε A ‖ 7 σαρκοφαγειαν A ‖ 10 φλοιαρου ℵ$^{c.a}$ (sic) ‖ 13 εποπτεικη A | παρανομεια A | γεινομενη A ‖ 14 σαρκοφαγειαν A ‖ 19 μεικραν ℵ | μιεροφαγησεμεν A ‖ 20 εισοδυναμον A ‖ 22 ευλογιστειας A ‖ 24 εισονομειν A ‖ 25 μειεροφαγουμεν A | ημειν A ‖ 26 αισθιειν A ‖ 27 μιεροφαγεια A ‖ 33 πατρειον A ‖ 34 πεδευτα A ‖ 35 ιεροσυνη A ‖ 38 δεσποσις A

VI 2 γερεον A ‖ 3 μαστιξειν A ‖ 4 πισθητι ℵA ‖ 5 ονιρω A ‖ 6 απεξεναιτο A*^{vid} (απεξενετο A$^?$) | κατερριτο ℵ ‖ 7 ακλεινη ℵA ‖ 8 εξανιστετο A ‖ 15 ὑποκρεινομενος A ‖ 16 αικεισθεις A ‖ 17 ημει] A | ὑποκρεινασθαι A ‖ 19 παραδιγμα ℵ | μιεροφαγειας A ‖ 20 καταγγελωμενοι A ‖ 22 πεδες A ‖ 23 μελλεται A ‖ 26 μεχρει A ‖ 28 ειλεως A ‖ 35 επιδικνυμι ℵ επειδικνυμι A

VII 2 κατεκειζομενος A ‖ 4 αικεισμοις A | εκεινησεν A ‖ 5 μενομενους A ‖ 6 αξιαι A | μιεροφαγεια A ‖ 7 συμφωναι A ‖ 8 δι A ‖ 9 ευνομειαν A ‖ 11 καθωπλεισμενος A ‖ 15 σφραγεις A ‖ 22 περικρατησιεν A ‖ 24 μιρακισκοι ℵ

VIII 1 μιαιροφαγησαι A: item 12 ℵ*, 29 ℵA ‖ 2 ἴλικιας A ‖ 3 γερεας A ‖ 4 προσεμιδιασεν A ‖ 6 συνιξαντας A | δυνεμην A | απιθουντας Π ‖ 7 λημψεσθαι ℵA ‖ 9 διαθησθαι ℵA | απιθειας A | αναγκασεται A | δινεις ℵ | απολεσε ℵ* (-σαι ℵ$^{c.a}$) ‖ 10 κατε-

P | *δικεοσυνης* P | *τον ουρανων τον υψηλων* P | *γυνεκων* P | *γυνεκας* P ‖ 5 *εστε* P | *ιρηνη* P | *αφησις* P | *χερουσιν* P ‖ 6 *επει* P | *απολεια* P | *των υιον* P | *εστε* P | *ιρηνην* P

XIII 1 *εστε* P | *ιρηνη* P | *κρειμα* P | *δησε* P ‖ 2 *εδιξας* P | *ασεβιων* P | *υπεδιξας* P ‖ 3 *πορευθις* P ‖ 4 *αναγνοι* P ‖ 5 *δυνονται* P | *ουδε*] *οδε* P | *επαρε* P | *αυτων* (1°)] *αυτον* P | *εσχυνης* P ‖ 6 *δεησις* P ‖ 7 *πορευθις* P | *ανεγινωσκων* P ‖ 8 *ονηροι* P | *ορασις* (bis) P | *ιδων* P | *υειοις* P^{*vid} | *ελενξει* P ‖ 10 *ενοπιον* P | *ανηνγιλα* P | *ορασις* P | *λαλιν* P | *δικεοσυνης* P | *τος γρ.* P

XIV 1 *δικεοσυνης* P | *ελενξεως* P | *ορασι* P ‖ 2 *ειδων* P | *σαρκειυη* P | *λαλιν* P ‖ 3 *εκτεισεν* P ‖ 4 *ανγελων* P | *ορασι* P | *εδιχθη* P ‖ 5 *αναβηται* P ‖ 6 *ειδητε* P | *απολιαν* P | *εστε* P | *πεσουντε* P | *ενωπιων* P | *μαχερα* P ‖ 7 *υμις κλεοντες* P ‖ 8 *ορασι* (ter) P | *εδιχθη* P | *νεφελε* P | *ομοχλε* P | *εφονουν* P | *διαδρομε* P | *διαστραπε* P | *με* 2°, 3°, 4°] *μαι* P ‖ 9 *με* 1°, 2°] *μαι* P | *εισπηπηκαν* P | *ορανον* P | *τιχους* P | *εκφοβιν* P ‖ 10 *ηνγεισα* P | *λιθωπλακες* P | *χιονεικα* P ‖ 11 *αστερων* P ‖ 12 *τυχων* P | *κεομενοι* P ‖ 13 *οι*| *οικον* P | *οκ* P | *με* bis] *μαι* P ‖ 14 *εμην σιομενος κ. τρεμον* P | *εθεορουν* P | *ορασι* P ‖ 15 *γλωσσης* P ‖ 16 *δειαφερων* P | *τειμη* P | *ωσται* P | *μαι* P ‖ 17 *ανωτερων* P ‖ 18 *εθεορουν* P ‖ 19 *ιδιν* P ‖ 20 *περιβολεον* P ‖ 21 *ιδειν* 1°] *ειδειν* P | *ιδειν* 2°] *ιδιν* P ‖ 22 *ουδις εγγιζι* P | *μυριε* P ‖ 23 *ενγιζοντες* P | *αφισταντε* P ‖ 25 *τον αγιον* P

XV 1 *αληθεινος* bis P ‖ 3 *απελειπεται* P | *εκυμηθηται* P | *ελαβεται* P ‖ 4 *εμιανθηται* P | *απολλυντε* P ‖ 5 *θηλιας* P ‖ 6 *υπερχετε* P ‖ 7 *υμειν* P | *θηλιας* P ‖ 9 *εξελθων* P | *ανοτερων* P | *κληθησετε* P ‖ 11 *συνπαλεοντα* P | *εσθειον* P | *δειψωντα* P ‖ 12 *εξαναστησι* P

XVI 1 *αφανειζοντα* P | *αφανησουσιν* P | *τελιωσεως* P ‖ 3 *εμενυσατε* P | *τουτω*] *τουτο* P | *θηλιαι* P

XVII 1 *μαι* P | *φλεγων* P ‖ 2 *μαι* P | *αφικνυτο* P ‖ 3 *τους θησαυρος* P ‖ 4 *μαι* P | *παρεχων* P | *δυσις* P

XVIII 1 *ειστασιν* P | *στεριγμα* P ‖ 6 *κεομενον* P | *τρις* P ‖ 8 *θνος* (sic, pro *θρονος*) P | *σαφφιρου* P ‖ 9 *κεομενον* P ‖ 11 *τους στυλος* P ‖ 13 *κεομενα* P | *πυ̅|θανομαιον μοι* P ‖ 15 *κοιλιομενοι* P | *παραβοντες* P ‖ 16 *τελιωσεως* P

XIX 1 *λυμενεται* P | *πλανησι* P | *αποτελιωσιν* P ‖ 2 *σιρηνας* P ‖ 3 *ανθρωπον* P_1 | *ως*] *ος* P_1 | *εγω*] *ιω* P_1

XX 2 *ο* 1°] *ως* P_1 | *αγγελον* P_1 | *επει* PP_1 ‖ 3 *επει* P_1 ‖ 4 *των* 1°] *τον* P_1 ‖ 5 Μηχαηλ P_1 | *των* 1°] *τον* P_1 | *επει* P_1 | *τον τ. λ. αγαθων* PP_1 ‖ 6 *το αγιον* P_1 | *οιτεινες* P_1 | *επει* P_1 ‖ 7 *των* 1°] *τον* P_1 | *παραδισου* PP_1 | *επει* P_1

XXI 1 *μεχρει* P_1 | *ακατατασκευαστου* P_1 ‖ 2 *ουτε* 1°] *οτε* P_1 ‖ 3 *τεθεαμε* P_1 | *κεομενους* PP_1 ‖ 4 *αιτειαν* P_1 | *επαιδεθησαν* P *επηδηθησαν* P_1 ‖ 5 *τον αγιον* P_1 | *ηγιτο* P_1 | *αληθιαν φιλοσπε̄δις* P_1 ‖ 6 *μεχρει* PP_1 ‖ 7 *τεθεαμε* P_1 | *κεομενον* P | *στυλλων* PP_1 | *καταφαιρ.* P | *ειδιν* PP_1 ‖ 8 *φοβηρος* P_1 | *ορασι* PP_1 ‖ 9 *απεκρειθη* P_1 *απεκρειθην* P ‖ 10 *δεσμοτηριων* P | *συνσχηθησοντε* P

XXII 1 *ειστερεας* P ‖ 2 *τεσσαροες* (ut vid) P | *λειαν λιοι* P | *τρις* P | *εισκοτινοι* P | *λια* P | *σκοτεινα* P | *ορασι* P ‖ 3 *επισυναγονται* P | *εκρειθησαν* P ‖ 4 *επισυνσχεσι* P ‖ 5 *προεβενεν* P ‖ 6 *προβεννι* P ‖ 7 *απεκραθη* P | *εξελθων* P ‖ 9 *τρις* P ‖ 10 *κρισεις* P ‖ 11 *χωρειζεσθαι* P | *ανταποδοσεις* P ‖ 13 *θλειβεντες* P | *τειμωρηθησονται* P

XXIII 2 *διατρεχων* P | *ανεπεομενον* P ‖ 3 *εχων* P ‖ 4 *εκδιωκων* P

XXIV 1 *εδιξεν* P | *κεομενα* P ‖ 2 *καλλωνη* P | *εστεριγμενα* P | *φαρανγες* P | *τραχιαι* P | *ενγειζουσαι* P ‖ 3 *ορι* P | *υψι* P | *θρουνου* P ‖ 4 *φθεινι* P ‖ 5 *ωρεα* (1°) P | *ορασι* P

XXV 3 *καθειξει* P ‖ 4 *ευωδειας* P | *εκδεικησις* P ‖ 6 *χαρισονται* P | *οσμε* P | *οσταιοις* P | *μαστειγες* P

20 εν τω αυτω χρονω] in eodem (sc. utero) || 21 αφ ου...ψυχαι] et in eodem gremio ferebantur: quibus e causis amor mutuus ortus est || 22 αυξονται] crevit (sc. amor mutuus) || 23 την προς αλληλους ομονοιαν] προς αλληλους vid || 24 εφ αυτους ηγαγον] εαυτους ηγαπων || 25 ομονοιαν] pr ευνοιαν και || 27 om μεχρι θανατου βασανιζομενους

XIV 1 της των αδελφων φιλαδελφιας] των φιλαδ. vid || 10 διελυσε] διελυε(ν) || 15 οροφοιτουντα] quae (avis) sub tectum init || 17 om ει δε και μη δυναιτο κωλυειν

XV 4 ψυχης τε και μορφης ομοιοτητα] similitudinem enim personae || 12 om η μητηρ || 13 γονευσιν] partus *v.* generatio || 15 σπαιροντας] voluntantes *v.* distortos | τας των κεφ. μεχρι τ. περι τ. γ. σαρκας] cutem capitum eorum usque ad carnem barbae || 18 εις]+σε || 19 ταυρηδον επι τ. β. ορωντας] aspectum eorum a cruciatu aversum | om τον αυτον αικισμον || 20 πολυανδριον ο. τ. τ. χωριον δια βασανων] milites videns tyranni in filios tuos instar procellae irruentes || 21 ω] ως || 24 ασπασασα] eradicavit eam (sc. τὴν φιλοτεκνίαν) || 25 τη εαυτης ψυχη] της αυτης ψυχης || 28 Αβρααμ cum η θυγατηρ conj || 30 om γενν. κ. αν. προς υπομονην || 31 καρτερους] καρτερως || 32 της ευσεβειας] pr υπερ

XVI 2 των παθων ανδρες] ανδρες των παθων || 3 Μισαηλ] pr η | εκεινη] εκεινην | ορωσα] ορωσαν ουτως ποικιλως | βασανιζομενους] occisos || 5 επιλογισασθαι] επιλογισασθε *v.* διαλογισασθε | καιπερ μητηρ ουσα] praesertim quod et mater erat | om ουτως || 7 om επτα 2° | om τιθηνιαι || 9 ω των εμων παιδων] e quibus (vobis) || 11 τουτω τω θρηνω] τουτων των θρηνων || 14 om θεου | δια καρτεριαν] per fortitudinem | και τυραννον] τον τυρ. || 16 εναγωνισασθε] ut certemur || 20 και 2°] ipse enim Isaacus || 24 om επειτε μαλλον vid || 25 ετι δε και ταυτα ιδοντες] vos enim oportet scire | οτι] οτι οι

XVII 1 τι] τις | εαυτην] pr voluntate sua || 2 om κακας || 3 τον στυλον] τους στυλους || 4 γενναιως] βεβαιαν || 5 om συν αστροις | τους ισα. επτα π. φωτ. προς τ. ευ.] quae septem filios illustres manu prehendisti et illuminasti ut ad veritatem advenirent || 6 παιδος] πατρος || 7 om ωσπερ | τινος] pr επι | ιστοριας σ. ευσεβειαν] ευσεβειας σ. ιστοριαν | θεωρουντες]+ορωντες | om μεχρι θανατου || 9 ενκεκηδευνται] ενκεκ. vid | τυραννου βιαν] τυραννον || 12 το νικος cum δοκιμαζουσα conj || 14 om και ο των ανθρωπων βιος || 16 αληθειας] θειας | νομοθεσιας] virtutis || 18 om νυν || 20 ουτοι] αυτοι | om μη || 24 εσχεν τε αυτους] et excitavit eos per exemplum istud ut essent

XVIII 2 ενδοθεν]+affectuum || 5 εθνων] εθων || 6 om των επτα παιδων και | η δικαια] τα δικαιωματα vid || 8 εν πεδιω] in civitate (vid) | λυμεων απατης οφις] blanditiae quae formam nocent || 9 τουτων] vobis autem ex eo natis et iam adultis | ο πατηρ]+vester || 11 ημιν] υμιν || 12 ημιν] υμιν || 13 om ον και εμακαριζεν || 15 ημιν] coram vobis || 16 ημιν] υμιν | om πασιν || 18 την διδασκουσαν] διδασκων την λεγουσαν || 19 υμων] ημων | μακαριοτης] μακροτης || 20 om ο πικρος | φλεξας] πυρι σβεσας | om παλιν | τους επτα] pr τας επι || 21 ποικιλαις] acribus || 22 αλαστορα]+τυραννον || 23 om εις πατερων χωρον

Subscr. Explicit Sermo De Maccabaeis matreque eorum *v.* Explicit Sermo Iosephi: De Eleazaro et de Samona filiisque eius *v.* Explicit Historia Iosephi: De Maccabaeis et de Samona septemque filiis eius et Eleazaro Sacerdote.



12093-16

